37
14 F
6
Ano 3033

SANCTI PATRIS NOSTRI,

JOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI CONSTANTINOPOLITANI

HOMILIARUM

DE

DIVERSIS UTRIUSQVE TESTAMENTI LOCIS,

Tomus Sextus.

Digitized by Google

CATALOGUS OPERUM
S. JOANNIS CHRYSOSTOMI,
QUÆ HOC VOLUMINE CONTINENTUR.

1. UNum & eundem eſſe legiſlatorem utriuſque teſtamenti Joa. Jac. Beurero interprete. - pag. 1
*2. In illud Geneſ. 1. Vidit Deus cuncta, &c. Frontone Ducæo Societ. Jeſu Theol. interprete. 16
*3. In illud Geneſ. Faciamus hominem ad imaginem, eodem interp. - - 21
4. In dictum Abrahami, Pone manum tuam Gen. 24. 10. Jac. Beurero interpr. - - 26
5. De ſerpente æneo Moſis Numeror. 21. eodem interp. - - - 44
6. De juſto & beato Job. Lælio Tifernate interp. ſermo. 1. - - 67
7. De juſto & beato Job. eodem interp. ſermo 2. - - - - 74
8. De juſto & beato Job. eodem interpr. ſerm. 3. - - - 79
9. De juſto & beato Job. eodem interpr. ſerm. 4. - - - - 87
10. In illud Pſal. 38. Verum tamen fruſtra. Joach. Perionio interprete. - - 98
11. In Pſal. 83. Et turtur nidum, &c. incerto interpr. - - - 104
12. In Eliam Prophetam ſermo incerto interpr. - - - - 109
13. De Joſeph & de caſtitate ſer. Front. Ducæo interp. - - - 113
14. De Suſanna ſer. Daniel. 13. eod. interp. - - - 120
15. De tribus pueris Daniel. eod. interp. - - - - 126
16. De ſigillis librorum Eſai. 46. 3. Jo. Jac. Beurero interp. - - - 134
17. De fide & lege naturæ incerto interpr. - - - - 149
18. De ſancta & individua Trinitate, incerto interpr. - - - 160
19. De ſancto & adorando Spiritu, incerto interpr. - - - - 173
20. De Pentecoſte, incerto interpr. - - - - - 192
21. In illud Joan. 1. In principio erat verbum. Jo. Jac. Beurero interpr. - - 199
22. De occurſu & Simeone Front. Ducæo interp. - - - - 207
23. In ſancta Theophania Domini, Achille Statio interp. - - - 213
24. De nuptiis Joan. 2. & contra Judæos incerto interp. - - - 217
25. De Chriſto paſtore & ove Joan. 10. Jo. Jac. Beurero interp. - - - 224
26. In decollationem S. Joannis Bapt. & de Herodiade, incerto interp. - - 235
27. In venerabilem crucem & de transgreſſione Adami, incerto interpr. - - 241
28. In dimiſſionem Chananææ Matth. 15. incerto interp. - - - 248
29. In præcurſorem Domini Joannem Bapt. Petro Pantino interp. - - 261
30. In ſanctos Apoſt. Petrum & Paulum Gerardo Voſſio interpr. - - - 263
31. In ſanctos duodecim Apoſtolos eodem interpr. - - - 268
32. In ſanctum Thomam Apoſtolum. Front. Ducæo interpr. - - - 271
33. In ſanctum Stephanum protomartyr. eod. interpr. - - - 274
34. In illud 2. Cor. 12. Sufficit tibi gratia Jo. Jac. Beurero interp. - - 284
35. In annuntiationem ſanctæ Deiparæ virg. Front. Ducæo interpr. - - 298
36. In ſancta Theophania & S. Joannem Bapt. eodem interpr. - - - 302
37. In parabolam de filio prodigo, eodem interp. - - - 308
38. In ſaltationem Herodis & decollationem Joannis, eodem interp. - - 317
39. In illud Matth. 13. Collegerunt Judæi concilium, eodem interp. - - 312
40. In decem Virgines Matth. 25. - - - - - 325
41. In meretricem & Phariſæum Luc. 7. eodem interp. - - - 331
42. In ſancta & magna Paraſceve. eodem interp. - - - 336
43. In Samaritanam Joan. 4. eodem interpr. - - - 342
44. De cæco à nativitate Joan. 9. eod. interp. - - - - 354
45. In triduanam Chriſti reſurrectionem eodem interpr. - - - 370
46. In aſcenſionem Domini noſtri Gerh. Voſſio interpr. ſer. 1. - - - 375
47. In eandem aſcenſionem ſer. 2. eodem interpr. - - - 378
48. In eandem aſcenſionem ſer. 3. eodem interp. - - - - 383
49. In eandem aſcenſionem ſer. 4. eodem interp. - - - - 386
*50. Bonum Chriſti diſcipulum benignum eſſe Front. Ducæo interp. - - 392
51. De pſeudoprophetis & falſis doctoribus Ger. Voſſio interp. - - - 396
52. De circo oratio Julio Bulengero interpr. - - - - 406

CATALOGUS OPERUM
S. JOANNIS CHRYSOSTOMI,
QUÆ HOC VOLUMINE CONTINENTUR.

1. UNum & eundem eſſe legiſlatorem utriuſque teſtamenti Joa. Jac. Beutero interprete. pag. 1
*2. In illud Geneſ. 1. Vidit Deus cuncta, &c. Frontone Ducæo Socier. Jeſu Theol. interprete. 16
*3. In illud Geneſ. Faciamus hominem ad imaginem, eodem interp. 21
4. In dictum Abrahami, Pone manum tuam Gen. 24. 10. Jac. Beutero interpr. 26
5. De ſerpente æneo Moſis Numeror. 21. eodem interp. 44
6. De juſto & beato Job. Lælio Tifernate interp. ſermo. 1. 67
7. De juſto & beato Job. eodem interp. ſermo 2. 74
8. De juſto & beato Job. eodem interpr. ſerm. 3. 79
9. De juſto & beato Job. eodem interpr. ſerm. 4. 87
10. In illud Pſal. 38. Verum tamen fruſtra. Joach. Perionio interprete. 98
11. In Pſal. 83. Et turtur nidum, &c. incerto interpr. 104
12. In Eliam Prophetam ſermo incerto interpr. 109
13. De Joſeph & de caſtitate ſer. Front. Ducæo interp. 115
14. De Suſanna ſer. Daniel. 13. eod. interp. 120
15. De tribus pueris Daniel. eod. interp. 126
16. De ſigillis librorum Eſai. 46. 3. Jo. Jac. Beutero interp. 134
17. De fide & lege naturæ incerto interpr. 149
18. De ſancta & individua Trinitate, incerto interpr. 160
19. De ſancto & adorando Spiritu, incerto interpr. 173
20. De Pentecoſte, incerto interpr. 192
21. In illud Joan. 1. In principio erat verbum. Jo. Jac. Beutero interpr. 199
22. De occurſu & Simeone Front. Ducæo interp. 207
23. In ſancta Theophania Domini, Achille Stacio interp. 213
24. De nuptiis Joan. 2. & contra Judæos incerto interp. 217
25. De Chriſto paſtore & ove Joan. 10. Jo. Jac. Beutero interp. 224
26. In decollationem S. Joannis Bapt. & de Herodiade, incerto interp. 235
27. In venerabilem crucem & de transgreſſione Adami, incerto interpr. 241
28. In dimiſſionem Chananææ Matth. 15. incerto interp. 248
29. In præcurſorem Domini Joannem Bapt. Petro Pantino interp. 261
30. In ſanctos Apoſt. Petrum & Paulum Gerardo Voſſio interpr. 263
31. In ſanctos duodecim Apoſtolos eodem interpr. 268
32. In ſanctum Thomam Apoſtolum. Front. Ducæo interpr. 271
33. In ſanctum Stephanum protomartyr. eod. interpr. 274
34. In illud 2. Cor. 12. Sufficit tibi gratia Jo. Jac. Beutero interp. 284
35. In annuntiationem ſanctæ Deiparæ virg. Front. Ducæo interpr. 298
36. In ſancta Theophania & S. Joannem Bapt. eodem interpr. 302
37. In parabolam de filio prodigo, eodem interp. 308
38. In ſaltationem Herodis & decollationem Joannis, eodem interp. 317
39. In illud Matth. 13. Collegerunt Judæi concilium, eodem interp. 312
40. In decem Virgines Matth. 25. 325
41. In meretricem & Phariſæum Luc. 7. eodem interp. 331
42. In ſancta & magna Paraſceve. eodem interp. 336
43. In Samaritanam Joan. 4. eodem interpr. 342
44. De cæco à nativitate Joan. 9. eod. interp. 354
45. In triduanam Chriſti reſurrectionem eodem interpr. 370
46. In aſcenſionem Domini noſtri Gerh. Voſſio interpr. ſer. 1. 375
47. In eandem aſcenſionem ſer. 2. eodem interpr. 378
48. In eandem aſcenſionem ſer. 3. eodem interp. 383
49. In eandem aſcenſionem ſer. 4. eodem interp. 386
*50. Bonum Chriſti diſcipulum benignum eſſe Front. Ducæo interp. 392
51. De pſeudoprophetis & falſis doctoribus Ger: Voſſio interp. 396
52. De circo oratio Julio Bulengero interpr. 406

*53.	In Salvatoris noſtri nativitaem Front. Ducæo interp.	413
*54.	In illud Lucæ 2. Exiit edictum à Cæſare eod. interp.	421
*55.	In oraculum Zachariæ redditum Lucæ 1. eod. interp.	429
*56.	In conceptionem Joannis Bapt. eodem interp.	432
*57.	In illud Matth 6. Attendite, ne eleemoſynam, eodem interp.	438
58.	De fugienda ſimulate ſpecie ſer. eodem interp.	443
*59.	De muliere, quæ fluxum ſanguinis paſſa, Matth. 9. eodem interprete.	447
*60.	De patrefamilias & operariis Matth. 20. eod. interp.	458
*61.	In parabolam de ficu arefacta. Matth. 21. eodem interp.	463
*62.	De Phariſæo & convivio Lucæ 11. eod. interp.	469
*63.	De Lazaro & divite Luc. 16. eodem interp.	472
*64.	De publicano & Phariſæo Lucæ 18. eodem interp.	476
*65.	De cæco & Zachæo Lucæ 18. eodem interp.	482
66.	Religioſum facetiis uti non debere.	496
*67.	De ſancto Joanne Theologo ex mſ. Ant. Mureti. eodem interp.	503
*68.	De adoratione ſanctæ Crucis Joach. Perionio Benedictino interpr.	511
69.	De confeſſione ſanctæ Crucis, eodem interpr.	518
70.	De negatione Petri Matth. Front. Ducæo interp.	513
71.	De jejunio & eleemoſyna, eodem interp.	531
72.	In ſacrum Paſcha Theodoro Peltano Societ. Jeſu Theol. interp.	535
73.	In ſecundum Domini adventum Front. Ducæo interp.	543

Florilegia ex homiliis Chryſoſtomi decerpta, Balthazare Etzelio Societ. Jeſu Theologo interprete,

1.	DE dilectione homil. 1.	pag. 557	2.	De oratione homil. 2.	570
3.	De Pœnitentia.	583	4.	De jejunio & temperantia hom. 4.	591
5.	De proſperitate & adverſit.	596	6.	De doctrina & correptione.	600
7.	De humilitate animi.	613	8.	De anima.	618
9.	De Eccleſia & myſteriis.	623	10.	De providentia.	632
11.	De divitiis & paupertate.	639	12.	De ingluvie & ebrietate.	650
13.	De adverſa valetudine.	657	14.	De mulieribus & pulchritudine.	664
15.	De avaritia.	666	16.	De ſuperbia & inani gloria.	674
17.	De invidia.	680	18.	De odio & inimicitiis.	685
19.	De triſtitia & mœrore.	692	20.	De ira & furore.	696
21.	De imperio & poteſtate.	702	22.	De patientia.	710
23.	De eleemoſyna.	729	24.	De peccato & confeſſione.	748
25.	De futuro Judicio.	762	26.	De virtute & vitio.	775
27.	De liberorum educatione.	788	28.	De juramentis.	798
29.	De manſuetudine.	805	30.	De laudibus Pauli Apoſt.	817
31.	De morte.	834			

Digitized by Google

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ

Εἰς διαφόρους ἀμφοτέρας τῆς Διαθήκης περικοπάς.

SANCTI PATRIS NOSTRI

JOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI CONSTANTINOPOLITANI, HOMILIÆ DE diverſis utriusque Teſtamenti locis.

Εἰς τὸ, ὅτι παλαιᾶς καὶ καινῆς Διαθήκης εἷς ὁ νομοθέτης· καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως· καὶ περὶ Μετανοίας.

Unum & eundem eſſe legiſlatorem & veteris & novi Teſtamenti: Item de veſte Sacerdotali: Nec non de Pœnitentia.

JOAN. JACOBO BEURERO interprete.

A Τῆς Χριστοῦ βασιλείας τὸ εὐαγγέλιον κηρύττουσι προφῆται, ἑρμηνεύουσι δὲ οἱ τῆς νέας χάριτος ὑπηρέται, δέχονται δὲ οἱ τοῦ θείου λόγου ἀκροαταὶ καὶ ἐρασταὶ καὶ ἐπαινέται. οὐκ ἔστιν ἐντρυφῆσαι τῷ λόγῳ τῆς ἀληθείας, μὴ διψῶντα τὸν λόγον τῆς διδασκαλίας. καὶ ὥσπερ οὐκ ἔστι μὴ διψῶντα καὶ πεινῶντα ἡδέως ἀπολαῦσαι τροφῆς, οὕτως οὐκ ἔστιν ἐντρυφῆσαι λόγῳ ἀληθείας, μὴ διψῶντα τοῦ ἁγίου πνεύματος τὴν διδασκαλίαν. B διό φησιν ὁ Σωτήρ· Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. ἡ ἀληθὴς τῶν ψυχῶν τροφή, ἡ ἀληθὴς τῶν εὐσεβῶν τρυφή, ὁ ἀληθὴς τῶν εὐσεβῶν πλοῦτος ὁ τοῦ Θεοῦ λόγος, ὁ διὰ τοῦ Δαβὶδ λέγων [ποτὲ μὲν γὰρ ὡς πλουτῶν ἐναβρύνεται, ποτὲ δὲ ὡς τρυφῶν καὶ λέγει·] Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι, καὶ κηρίον τῷ στόματί μου. ἐνταῦθα τρυφῶντος ἀφῆκε φωνήν. τρυφὴ γὰρ ἦν αὐτῷ ὁ τοῦ Θεοῦ φόβος καὶ λόγος· περὶ οὗ πολλάκις ἔλεγε, Κατατρύφησον τοῦ Κυρίου, C καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου. ἀλλαχοῦ δὲ οὐχ ὡς τρυφῶν μόνον, ἀλλὰ καὶ ὡς πλουτῶν ἐγκαλλωπίζεται τῷ πλούτῳ τοῦ νόμου, λέγων· Ἀγαθόν μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. εἶδες τρυφὴν εὐσεβείας, καὶ πλοῦτον ἐν δικαιοσύνῃ. δεῖ τοίνυν ἡμᾶς διψᾶν τὰ θεῖα, καὶ πεινᾶν τὰ ἱερά, καὶ ἔχειν ἄφθονον τὴν ἀπόλαυσιν ἐκ τῆς βασιλικῆς τοῦ Χριστοῦ τραπέζης, ἀντέχεσθαι δὲ τοῦ εὐαγγελίου τῆς σωτηρίας, οὐ νῦν δε- D ξάμενοι, ἀλλ᾽ ἐν τοῖς προφήταις θεμελιωθέντες, καὶ ἐν τοῖς ἀποστόλοις οἰκοδομηθέντες. οὐ γὰρ ἀφ᾽ οὗ ἐφάνη Χριστός, τὸ εὐαγγέλιον ἤρξατο, ἀλλ᾽ ἐρριζώθη μὲν ἐν ταῖς βίβλοις τῶν προφητῶν, ἐβλάστησε δὲ ἐν τῷ κηρύγματι τῶν ἀποστόλων. διὰ τοῦτο ὁ Παῦλος βουληθεὶς δεῖξαι, ὅτι τὸ εὐαγγέλιον οὐκ ἀπὸ τῆς οἰκονομίας ἤρξατο, ἀλλ᾽ ἀπὸ τῶν προφητῶν ἔλαμψε, διὰ τῆς οἰκονομίας αὐτὸ διαγορεύει. Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς E εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. οἶδε Παῦλος ἀδιαίρετον τὴν παλαιὰν καὶ τὴν νέαν διαθήκην· διὰ τοῦτο ποτὲ μὲν αὐτὴν καλεῖ καινὴν διαθήκην, ἵνα δείξῃ πῶς ἀνεκαινίσθη τῆς οἰκουμένης τὰ πέρατα [οἶδα ὅτι που πρώην γυμνάσας τὸν λόγον· ἀλλ᾽ ἐπαναλαμβάνω πρὸς ὑπόμνησιν] καλεῖ καινὴν διαθήκην πρὸς ἀντιδιαστολὴν τῆς γεγηρακυίας· κρείττονα, πρὸς A ἀντιδιαστολὴν τῆς ἐλάττονος, αἰώνιον πρὸς ἀντιδιαστολὴν τοῦ προσκαίρου. καλεῖ αὐτὴν καὶ δευτέραν διαθήκην. διὰ τί δευτέραν; ἵνα τῇ γνώμῃ συνάψῃ. τὸ γὰρ ἀπεσχισμένον τινὸς, δεύτερον οὐ λέγεται. ἀλλ᾽ ἐπειδὴ Θεὸς ἐλάλησε καὶ ἐν τῇ πρώτῃ, καὶ ἐν τῇ δευτέρᾳ, ὁ αὐτὸς λαλεῖ πρώτην καὶ δευτέραν, τῷ ἀριθμῷ τὴν συμφωνίαν ἐργαζόμενος. διὰ τοῦτο Παῦλος ἀδιαίρετον κηρύττων βασιλείαν πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, ποτὲ μὲν καλεῖ τὸ εὐαγγέλιον τοῦ Θεοῦ πατρὸς, ποτὲ δὲ τοῦ B υἱοῦ, λέγων. Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ. ἀλλ᾽ ἵνα μή τις ἀκούσας εὐαγγέλιον Θεοῦ, νομίσῃ τὸν υἱὸν μὴ ἔχειν αὐθεντίαν εἰς τὸ κήρυγμα, ἐν τῇ αὐτῇ ἐπιστολῇ μικρὸν ὑποβὰς λέγει. Μάρτυς γάρ μού ἐστιν ὁ Θεὸς, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ

A Chriſti quidem regni Evangelium Prophetæ prædicant; miniſtri vero novæ gratiæ illud ipſum interpretantur: divinæ veró doctrinæ auditores, amatores, atque laudatores, idipſum amplectuntur. Neque enim fieri poteſt ut quis ſermone veritatis oblectetur, qui doctrinæ ſermonem non aviſſimè expetat. Quemadmodum enim, ſi quis neque ſitiat, neque eſuriat, nullum admodum ex cibo potuque voluptatem capit: ſic veritatis illa doctrina nemo delectatur, qui Spiritus ſancti doctrinam B non ſummopere expetit, ac quaſi ſitit. Itaque Servator ait: *Beati qui eſuriunt & ſitiunt juſtitiam, quoniam ipſi ſaturabuntur.* (Matt. 5, 6) Verus animarum cibus, veræ piorum deliciæ, veræ piorum divitiæ verbum Dei eſt, Qui per Davidica oracula loquitur: interdum, velut dives, ſeſe venditat: interdum delicias facit, & ait: *Quam dulcia faucibus meis eloquia tua ſuper mel, & favum oris meo* (Pſal. 118, 103.) Hæc quidem ejus, qui deliciis fruitur, vox eſt. Nam Dei timor & verbum ipſi deliciæ erant. Qua de re alibi ſæpe: *Delectare in Domino, & det tibi petitio-* (Pſal. 36, 4.) C *nes cordis tui.* Aliis vero in locis non velut qui deliciis frueretur tantùm, ſed velut prædives, divitias legis ſuas oſtentat, dicens, *Bonum mihi lex oris tui ſuper millia auri & argenti.* (Pſal. 118, 72.) Delicias ergo pietatis, & divitias juſtitiæ advertiſti. Ergò & vos par eſt, ſiti & fame rerum divinarum teneri, & deliciis, è regia Chriſti menſa, ubertimè & abundè exſatiari: Evangeliumque ſalutis utraque manu. Non quód nunc primùm ea doctrina initiemini: ſed quód in Prophetarum literis jeceritis ejus doctrinæ fundamenta: atque à S. Apoſto- D lis exædificati & abſoluti ſitis. Neque enim ab eo tempore quo Chriſtus in carne apparuit, Evangelium incepit: ſed multò ante in propheticis literis radices egit, tandemque Apoſtolorum prædicatione effloruit. Qua de cauſa Apoſtolus quoq;, cùm propoſitum haberet demonſtrare, Evangelium non ab incarnatione incepiſſe, ſed in prophetis eluxiſſe, per incarnationem idipſum divulgat: *Paulus ſervus Jeſu Chriſti, vocatus Apoſtolus; ſegregatus in Evangelium* (Rom. 1, 1.) *Dei, quod multò ante promiſerat per Prophetas ſuos in ſcripturis ſan-* E *ctis de filio, qui factus eſt ex ſemine David ſecundum carnem.* Non ignorabat Paulus, vetus & novum Teſtamentum unum atque idem, atque adeo individuum eſſe: eamque ob cauſam illud interdum Teſtamentum novum appellat, ut demonſtret, quomodo fines orbis terrarum ſint inſtaurati. (Non ignoro hæc alibi à nobis fuiſſe explicata, ſed tamen hic, ut memoriam veſtram refricem, repeto) Vocat etiam Teſtamentum novum, ad diſtinctionem inveterati indicandam: præſtantius ſcilicet ad diſtinctionem inferio- A ris: æternum, comparatione ad momentaneum & temporale. (Novum teſtamentum cur ſic appelletur.) Sed & ſecundum ipſum vocat. Quid ita ſecundum? ut mutua ſententiarum connexione unum efficiat. Nam quod abſciſſum diſtractumque ab aliquo eſt, ſecundum non appellatur. Quoniam veró Deus oracula ſua edidit, & in primo, & in ſecundo, idem ille Paulus & primum & ſecundum vocat: atque hoc numero convenientiam utriusque & conſenſum declarat. Ergo & Paulus, individuum Patris, & Filii, & Spiritus ſancti regnum prædicat; jam quidem B Evangelium Dei Patris, jam veró Filii appellitat. *Paulus ſervus Jeſu Chriſti, vocatus Apoſtolus, ſegregatus in Evangelium Dei.* (Rom. 1, 1.) Verum ne quis, cùm audiat illud Evangelium Dei nominari, arbitretur Filium nullam ad prædicandum authoritatem obtinere, in eadem epiſtola, paulò poſt ait: *Teſtis enim mihi Deus, cui inſervio in ſpiritu meo, in Evangelio* (Rom. 1, 9.)

Filii ejuſdem. Ergo præconis hujus mirũ ingenium & ſententiã ſuis numeris expletam & perfectam animadvertiſti. Et ne exiſtimaretur in lege quidem alii cuidam Deo inſervire: in Evangelio verò 2.Tim,1,3. ad alium quendam ſeceſſionem facere, inquit: *Benedictus Deus, cui inſervio à majoribus in conſcientia pura,* Non enim, inquit, ab alio ad alium ſeceſſi: ſed quem inſcius colebam, ejus cognitione imbutus, complexus ſum. Et alibi cum docere vellet, oracula Teſtamenti veteris & novi ab eodem ore eodemque Domino profecta eſſe, unum teſtimonium petit à Teſtamento veteri, cui novi teſtamenti ſententiam quandam annexuit, & copulavit, cùm ait: Deut,25,4. 1.Cor 9,9. Matth. 10, 10. *Scriptum eſt, Non obturabis os bovis triturantis, &, Dignus eſt operarius mercede ſua:* quorum illud quidem, *Non obturabis,* Moſis eſt: hoc poſterius, *Dignus eſt operarius mercede ſua,* Chriſtus in Evangelio effatus eſt. At ille, ut planum faceret, ab uno & eodem ore edita eſſe oracula; ideò, quæ diſtinctis temporibus pronuntiata fuerant, ob veritatis conſenſionem copulavit, cùm ait: *Scriptum eſt, Non obturabis os bovis triturantis. &, Dignus eſt operarius mercede ſua.* Et hujus quidem Evangelicæ harmoniæ præclaram imaginem, retia illa Petri, quæ hodierno die in conſpectu veſtro laxata ſunt, exhibent. Neque enim ſemel Petrus tantùm retia laxavit: quanquam ſi hiſtoriam ſpectes ſemel tantum: ſed vi & efficacia ſæpenumero. Quoties enim Evangelium prædicatur, nihil ego aliud intueor, quàm Petrum & Andream, & totum illum chorum Apoſtolicum, Evangelicum illud rete laxantem. Et erat ſanè novum ſpectaculum ſervatorem in mari conſpicere, & auditores in littore conſiſtentes: mira verò res: piſces quidem in terra, piſcator autem in mari verſabatur. Immiſſio illius retis ima- Matt 4,18 go erat doctrinæ Evangelicæ. Reperit, ajunt literæ ſacræ, illos lavantes retia, ut qui omnem ſpem de piſcibus capiendis abjeciſſent. Piſcator enim niſi deſperet ſe aliquid piſcium poſſe capere, rete non lavat. Itaque reperit ipſos ſalvator retia lavantes: velut qui nullos ſeſe piſces capere poſſe confiderent. Quibus Dominus piſcationis aſtat. Sed quid facit? Primum quidem doctrinam veri- Luc.5,5. tatis illis proponit: hinc jubet rete laxari. Cùm enim verba factis & operibus deſtituta demonſtratione carerent; conſequens erat, ut doctrinam factis & reipſa confirmaret. Nam Deo jubente quæ nuſpiam reperiuntur invenies: & quæ non ſunt, capies. *Laxate,* ait, *retia veſtra.* Cui Petrus: *Magiſter, per totam noctem laborantes, nihil cepimus, ſed in verbo tuo laxabo rete.* Admiror Petri fidem: qui prima quidem improbaret, nova & recentia crederet: *In verbo tuo la-* Pſal,32,6. *xabo rete.* Quid ita, in verbo tuo, ait? Quoniam *verbo ejus cælum firmatum eſt*; terra ſuis fundamentis ſubſtitit: mare ſeparatum eſt: homo propriis ſuis floribus exornatus eſt, & omnia verbo tuo con- Hebr.1,3. ſtiterunt: ut eſt apud Paulum: *Qui portat omnia verbo potentiæ ſuæ.* In verbo tuo laxabo rete. Et verbum illud quidem rete anteceſſit: nec piſces adſunt. Nam licet adfuiſſent, ob tumultum eorum qui Rom 4, 17. piſcabantur, fuiſſent dilapſi. Sed deſcendit verbum ejus, *Qui vocat ea quæ non ſunt, ac ſi eſſent*: potentia & vis ejus qui jubebat, priùs quàm rete mare ſubiit: & magna vis piſcium capta eſt. Imago hæc fuit univerſalis Eccleſiæ. Rumpebatur rete: annuerunt ſociis, qui in alia navicula erant, ut advenirent, & illis auxiliarentur. Oportebat enim naves duas concurrere ad illam piſcationem. Conſenſus Prophetarum & Apoſtolorum. Niſi enim Prophetarum chorus Apoſtolicæ manui adſit, & opituletur: & niſi oraculis Prophetarum, Apoſtolorum eventus reſpondeat, non capimus quæ venamur. Itaque cum ſervator demonſtrare vellet, hanc piſcationem imaginem eſſe Eccleſiæ, eumque Petrum erudire, hoc exemplo acuit & incitavit ad fortitudinem. Dicit ipſi, *Ne metuas, ab hoc tempore homines eris capiens.* Ab hoc tempore, quo potentiæ meæ coram vobis periculum factum: idque vobis cognitum & plane perſpectum eſt, etiam bruta verbo meo obedire, omniaque nutum meum ſequi. Hoc igitur ſatis idoneo exemplo ob oculos poſito, deinceps capiendis hominibus operam dato. Neque enim dicit, homines piſcaberis, ſed homines vivos capiens eris. Siquidem piſces vivi, ut deinceps necentur, ſolent capi, homines vero, periculo mortis erepti, hoc genere captivitatis reviviſcunt. Itaq; ait, Ab hoc tempore homines eris capiens. Sed quam ob cauſam ait illi: Ne metuas? præſertim cùm promiſſum illud præclarum & ſplendidũ eſſet. Cur igitur ait, Ne metuas? Poſteaquam illis in mentem venit priorum ſuorum peccatorum, Dominus ait: Ne metuas te ipſum, tanquam peccatorem ſed deinceps de teipſo, velut de Apoſtolo, ſentito: tu qui Dominico imperio orbem quaſi ſagena complecti juberis. Hanc vocem (ne metuas) quiſque peccator ex Chriſto audiat, tantùm ex hoc tempore reſipiſcat, & ad ſanitatem mentis redeat. Ergo rete illud, ut ordinem rerum explicandarum prius inſtitutum proſequamur, figura fuit Evangelicæ Servatoris doctrinæ: quam D. Paulus interdum Evangelium, interdum Evangelium Juſtitiæ, aliquando Evangelium Pacis, tum verò Evangelium Potentiæ appellat. Poſteaquam enim prædicationis illa gratia tam potens & efficax fuit, ut bella, quæ orbem Evangelium juſtitiæ. infeſtabant, ſuſtolerit, hominesque ſeditionibus inter ſeſe infeſtos pietate imbuerit: & quod idem omnes ad ſalutem invitarit, non immeritò Evangelium juſtitiæ dicitur.

A τοῦ υἱοῦ αὐτοῦ. εἶδες τὸ θαῦμα τοῦ κήρυκος, καὶ τὴν ἀπηρτισμένην διάνοιαν. ἵνα μὴ νομισθῇ ἐν μὲν τῷ νόμῳ ἄλλῳ Θεῷ δουλεύειν, ἐν δὲ τῷ εὐαγγελίῳ πρὸς ἄλλον χωρεῖν, λέγει, Εὐλογητὸς ὁ Θεὸς, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει. οὐ γὰρ ἀπ' ἄλλου, φησὶ, πρὸς ἄλλον ἔδραμον, ἀλλ' ὃν εἶχον ἐν ἀγνοίᾳ, περιέλαβον ἐν γνώσει. καὶ πάλιν ὁ αὐτὸς βουληθεὶς δεῖξαι, ὅτι τὰ ῥήματα τῆς παλαιᾶς διαθήκης, καὶ τῆς νέας ἑνός ἐστι στόματος, καὶ ἑνὸς δεσπότου, B μίαν μαρτυρίαν ἀπὸ γραφῆς παλαιᾶς παρήγαγε, συμπλέξας τῷ εὐαγγελικῷ λόγῳ τὴν παλαιάν. καὶ λέγει· Γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα. καὶ, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. τὸ, οὐ φιμώσεις, Μωϋσῆς εἶπε· τὸ δὲ, ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ, ὁ Χριστὸς ἐν τοῖς εὐαγγελίοις. ἀλλ' ἵνα δείξῃ ὅτι ἓν στόμα κἀκεῖνα καὶ ταῦτα ἐλάλησε, τὰ τοῖς χρόνοις διῃρημένα, συνῆψε τῇ συμφωνίᾳ τῆς ἀληθείας, εἰπών. Γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα· καὶ, ἄξιος ὁ ἐργάτης C τοῦ μισθοῦ αὐτοῦ. τούτου τοῦ εὐαγγελίου εἰκὼν, τὰ δίκτυα Πέτρου, τὰ σήμερον ὑπ' ὄψεσιν ἡμετέραις καὶ ἀκοαῖς χαλασθέντα. οὐ γὰρ ἅπαξ Πέτρος ἐχάλασε τὰ δίκτυα, ἀλλὰ τῇ μὲν ἱστορίᾳ ἅπαξ, τῇ δὲ δυνάμει πολλάκις. ὁσάκις γὰρ ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον, οὐδὲν ἕτερον ὁρῶ, ἢ Πέτρον, καὶ Ἀνδρέαν, καὶ τὸν χορὸν τῶν ἀποστόλων, καὶ τὸ δίκτυον ἁπλοῦντας τὸ εὐαγγελικόν. καὶ ἦν ξένον θέαμα τὸν Σωτῆρα ἰδεῖν ἐν θαλάττῃ, καὶ τοὺς διδασκομένους παρὰ τὸν αἰγιαλὸν ἑ- D στῶτας· ξένον πρᾶγμα, οἱ ἰχθύες ἐπὶ τῆς γῆς, καὶ ὁ ἁλιεὺς ἐν θαλάττῃ. ἡ κάθεσις ἐκείνου τοῦ δικτύου εἰκὼν ἦν τοῦ εὐαγγελικοῦ λόγου. εὗρε, φησι, τοὺς ἁλιεῖς ἀποπλύνοντας τὰ δίκτυα, ὡς ἀπειπόντας τὴν ἄγραν· ἁλιεὺς γὰρ ἐὰν μὴ ἀπαγορεύσῃ τὴν θήραν, οὐ πλύνει τὸ δίκτυον. εὗρεν οὖν αὐτοὺς ὁ Σωτὴρ ἀπειπόντας τὴν ἄγραν, καὶ ἐφίσταται ὁ τῆς θήρας δεσπότης· καὶ τί ποιεῖ; πρῶτον διδάσκει τὸν λόγον τῆς ἀληθείας. εἶτα κελεύει χαλασθῆναι τὸ δίκτυον. ἐπειδὴ γὰρ τὰ ῥή- E ματα ἦν ἀναπόδεικτα ἄνευ τῶν ἔργων, ἐκέλευσεν ἀκολουθῆσαι τῷ λόγῳ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν, ὅτι Θεοῦ κελεύσαντος καὶ τὰ μὴ εὑρισκόμενα θηρεύεται, καὶ τὰ μὴ ὄντα λαμβάνεται. χαλάσατε, φησι, τὸ δίκτυον ὑμῶν. ὁ δὲ Πέτρος λέγει. Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν εὕρομεν. ἐπὶ δὲ τῷ σῷ ῥήματι χαλάσω τὸ δίκτυον. θαυμάζω Πέτρου τὴν πίστιν, τὰ πρῶτα ἀπογινώσκοντος, καὶ τὰ νέα πιστεύοντος. ἐπὶ τῷ σῷ ῥήματι χαλάσω τὸ δίκτυον. A διὰ τί εἶπεν ἐπὶ τῷ σῷ ῥήματι; ἐπειδὴ ἐπὶ τῷ ῥήματι αὐτοῦ καὶ οὐρανὸς ἐστερεώθη, καὶ ἡ γῆ ἐθεμελιώθη, καὶ θάλασσα ἀφωρίσθη, καὶ ἄνθρωπος οἰκείοις ἄνθεσιν ἐστεφανώθη, καὶ πάντα τῷ σῷ ῥήματι συνέστηκεν, ὥς φησιν ὁ Παῦλος· φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ἐπὶ δὲ τῷ σῷ ῥήματι χαλάσω τὸ δίκτυον. προκατέβη τοῦ δικτύου τὸ ῥῆμα· οὐ πάρεισιν οἱ ἰχθύες· καὶ γὰρ εἰ παρῆσαν, διὰ τὴν ὄχλησιν τῶν ἀγρευόντων διέφυγον. ἀλλὰ κατῆλθε τὸ B ῥῆμα ἐκείνου τοῦ καλοῦντος τὰ μὴ ὄντα, ὡς ὄντα· προκατῆλθε τοῦ δικτύου ἡ δύναμις τοῦ κελεύσαντος· συνήχθη πλῆθος ἰχθύων. εἰκὼν ἦν τῆς οἰκουμενικῆς ἐκκλησίας. διεῤῥήγνυτο τὸ δίκτυον· ἔνευσαν τῷ πλοίῳ τῷ συμμετόχῳ ἐλθεῖν, καὶ συναίρεσθαι αὐτοῖς. ἔδει γὰρ δύο σκάφη συνδραμεῖν εἰς τὴν ἄγραν. ἐὰν γὰρ μὴ παρῇ χορὸς προφητῶν βοηθῶν τῇ ἀποστολικῇ χειρὶ, καὶ τῇ προφητικῇ προῤῥήσει μὴ ἀκολουθήσῃ τῶν ἀποστόλων ἡ ἔκβασις, οὐ θηρεύεται τὰ θηρώμενα. βουληθεὶς τοίνυν ὁ Σωτὴρ δεῖξαι, ὅτι ἡ τῶν ἰχθύων ἄγρα εἰκών C ἐστι τῆς ἐκκλησίας, καὶ βουληθεὶς παιδεῦσαι Πέτρον ἔτι, τῷ ὑποδείγματι τούτῳ ἤλειψεν αὐτὸν εἰς ἀνδρείαν. λέγει αὐτῷ. Μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. ἀπὸ τοῦ νῦν, ἀφ' οὗ, φησιν, ἐπειράσθης τῆς δυνάμεως, καὶ ἔμαθες ὅτι καὶ τὰ ἄλογα ὑπακούει λόγῳ, καὶ πάντα ἕπεται τῷ ἐμῷ νεύματι, λαβὼν ἀρκοῦν τὸ ὑπόδειγμα, χρῆσαι λοιπὸν τῇ θήρᾳ. καὶ οὐκ εἶπεν, ἀνθρώπους ἔσῃ ἁλιεύων, ἀλλὰ, ἀνθρώπους ἔσῃ ζωγρῶν. ἐπειδὴ οἱ ἰχθύες ἀπὸ ζωῆς εἰς θάνατον ἁλιεύον- D ται. οἱ δὲ ἄνθρωποι ἀπὸ θανάτου εἰσαγρεύονται. ἀπὸ τοῦ νῦν, φησιν, ἀνθρώπους ἔσῃ ζωγρῶν. διὰ τί λέγει αὐτῷ, μὴ φοβοῦ; ἔσω, ἡ ἐπαγγελία καλὴν εἶχεν ὄψιν. διὰ τί οὖν φησι μὴ φοβοῦ; ἐπειδὴ προσέπεσεν τῇ μνήμῃ τῶν πρώτων ἁμαρτημάτων, μὴ φοβοῦ, φησι, σαυτὸν ὡς ἁμαρτωλὸν, ἀλλὰ λοιπὸν νόει σαυτὸν ὡς ἀπόστολον, ῥήματι δεσποτικῷ κελευόμενος τὴν οἰκουμένην σαγηνεῦσαι. μὴ φοβοῦ, πᾶς ἁμαρτωλὸς παρὰ Χριστοῦ ἀκουέτω· μὴ φοβοῦ, μόνον ἀπὸ τοῦ νῦν μετανοεί- E τω. τὸ τοίνυν δίκτυον, ἵνα εἰς τὴν προλαβοῦσαν ἔλθω ἀκολουθίαν, εἰκών ἐστι τῆς εὐαγγελικῆς τοῦ Σωτῆρος διδασκαλίας. τὸ δὲ εὐαγγέλιον τοῦτο καλεῖ Παῦλος, ποτὲ μὲν εὐαγγέλιον δικαιοσύνης, ποτὲ δὲ εὐαγγέλιον εἰρήνης, ποτὲ δὲ εὐαγγέλιον δυνάμεως. ἐπειδὴ γὰρ δυνατὴ ἡ χάρις τοῦ κηρύγματος, καὶ πολέμους ἠφάνισε, καὶ στάσεις ἀνθρώπων μὴ συμφωνούντων πρὸς εὐσέβειαν ἐσκόρπισε· καὶ διὰ μὲν τὸ πάντας καλέσαι πρὸς σωτηρίαν, λέγει δὲ εὐαγγέλιον δικαιοσύνης.

Διὰ δὲ τὸ καταστέλλειν τὸν πόλεμον τῶν δαιμόνων λέγεται εὐαγγέλιον εἰρήνης· διὰ δὲ τὸ εὐτελέσι ῥήμασι κηρύττειν Θεοῦ γνῶσιν, καλεῖται εὐαγγέλιον δυνάμεως. ἄκουε Παύλου λέγοντος· Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν. τὸ δυνατὸν γὰρ τότε φαίνεται δυνατὸν, ὅταν μὴ τοῖς ἀκολούθοις κεχρημένος λογισμοῖς, κρατήσῃ τῶν περάτων τῆς γῆς· ὡς λέγει ὁ Σωτὴρ τῷ Παύλῳ, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. οὐδὲν ἦν μέγα, εἰ γυμνῇ τῇ θεότητι τὴν οἰκουμένην ἐφώτισεν, ἀλλ' ὅτι διὰ σώματος τὴν ἀπαθῆ καὶ ἀσώματον ἔδειξε δόξαν. οὐδὲν ἦν θαυμαστὸν, εἰ ὁ ζῶν ζωοποιὸν ἀπαστράψας δόξαν, τὴν οἰκουμένην ἐζωοποίησεν· ἀλλὰ τὸ δυνατὸν τοῦ λόγου, ὅτι θανάτῳ τὸν θάνατον ἀφανίζει, καὶ διὰ τῆς ὕβρεως τὴν ἀθάνατον ἀπαστράπτει δόξαν. ἀλλαχοῦ λέγει, εὐαγγέλιον εἰρήνης· Τοὺς γὰρ πόδας "ὑμῶν, φησι, παρασκευάσατε ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς "εἰρήνης· ἀλλαχοῦ καλεῖ δικαιοσύνης, ὥς φησιν· Οὐ γὰρ ἐπαι"σχύνομαι τὸ εὐαγγέλιον. δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. τί ἐστι δικαιοσύνη Θεοῦ; ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις ἐδόθη μόνοις, τὸ δὲ εὐαγγέλιον πᾶσι, καλεῖ εὐαγγέλιον δικαιοσύνης. * δίκαιος γὰρ ὁ Θεὸς, ὁμοίως πάντας ποιήσας, ὁμοίως πάντας ἐφώτισε. καὶ ὅπερ ἦν δίκαιον, τὸ μὴ τοὺς μὲν σῶσαι τοὺς δὲ μὴ σῶσαι· τὸ μὴ τοὺς μὲν καλέσαι, τοὺς δὲ μὴ καλέσαι. ἐν τῇ παλαιᾷ διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία, ἀλλ' οἰκονομικὴ, προκατασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ. οὐ γὰρ λέγω ταύτην δικαίαν, κἀκείνην ἄδικον, ἀλλ' ἐκείνην ὁδὸν ταύτης, καὶ προκατασκευὴν ταύτης. ἔδωκε νόμον τῷ Ἰσραήλ. καὶ λέγει ὁ Δαβίδ· Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ἐπεὶ οὖν ἐκείνην ἔθνει ἀπεκάλυψεν, ἐνταῦθα δὲ ζυγοστατήσας τὸν τῆς ἀληθείας λόγον, πᾶσιν αὐτὸν ἐξ ἴσου ἐκέρασε. προσέχετε παρακαλῶ. δικαιοσύνη ἐστὶ, τὸ πάντας ὁμοίως σῶσαι. καὶ μὴ εἶναι διαφορὰν δούλου, καὶ ἐλευθέρου, βαρβάρου, ἢ Ἕλληνος, γυναικὸς, "ἢ ἀνδρός· ἀλλ' ὅ λέγει Παῦλος, Ἐν Χριστῷ Ἰησοῦ οὐ βάρβαρος, οὐ Σκύθης, οὐκ ἄρσεν, οὐ θῆλυ, οὐ δοῦλος, οὐκ ἐλεύθερος, ὁρᾷς ὁμοτιμίαν; ἐπειδὴ γὰρ ἡ φύσις ὁμότιμος, εἰ καὶ ταῖς γνώμαις ἐμερίσθημεν, συνάγει τὴν φύσιν εἰς τὸ ἀρχαῖον κάλλος. ὅτε γὰρ ἐπλάσθη Ἀδὰμ, οὐκ ἦν τις ἀλλογενὴς, οὐ Σκύθης, οὐ βάρβαρος, οὐχ Ἕλλην, οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐκ ἄρσεν, οὐ θῆλυ· ἐκ γὰρ τοῦ ἑνὸς τὰ δύο ἐπήγαγε. δουλείαν οὐ φύσις ἐγέννησεν, ἀλλὰ προαίρεσις ἔτικε. γίνεται δὲ καὶ δουλεία ἠναγκασμένη ἢ ἐν συμφορᾷ λιμοῦ, ἢ αἰχμαλωσίας ἀνάγκῃ. ἔστι δὲ καὶ ἑτέρα δουλεία αὐθαίρετος, ἡ δι' ἐπιγαμίαν θεραπαινίδων τὴν ἑαυτῆς ἐλευθερίαν πιπράσκουσα, καὶ ὑπὸ ζυγὸν δουλείας ἐρχομένη. ἡ δὲ πρώτη δουλεία ἀπὸ κακῆς συνέστη γνώμης. καὶ πόθεν εὑρίσκεται ἡ ῥίζα τῆς δουλείας, ἄκουε. μετὰ τὸν κατακλυσμὸν ὁ Νῶε πιὼν οἶνον, καὶ μὴ κεράσας αὐτὸν τῇ πρεπούσῃ κράσει, δι' ἀπειρίαν ἐμεθύσθη, οὐ γνώμης νόσον ἐνδεξάμενος, ἀλλ' ἀγνοίας· καὶ ἐμεθύσθη, καὶ μεθυσθεὶς ἐγυμνώθη. καὶ εἰσελθὼν εἷς τῶν υἱῶν αὐτοῦ, εἶδε τὴν τοῦ πατρὸς γύμνωσιν, καὶ ἐγέλα"σε. τί οὖν ὁ πατὴρ ἐκνήψας λέγει; Ἐπικατάρατος Χαναὰν, παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. ὁρᾷς πῶς τὴν δουλείαν ἐγέν"νησεν ἡ ἁμαρτία; διὰ τοῦτο λέγει ὁ Σωτήρ· Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. ἐπεὶ οὖν ἦλθεν ὁ ἐλευθερωτὴς τοῦ ἀνθρωπίνου γένους, καὶ συνεχώρησε τὴν ἁμαρτίαν, μᾶλλον δὲ ἦρεν [ἐκτεμὼν γὰρ τὴν ῥίζαν συνεξέτεμε τοὺς καρποὺς] καλεῖ δικαιοσύνης εὐαγγέλιον, διὰ τὸ πάντας ὁμοίως φωτίζειν. ὑπελάμβανον οὖν οἱ Ἰουδαῖοι, ὅτι τὸ εὐαγγέλιον τὸ κηρυττόμενον δι' αὐτῶν αὐτοῖς δίδοται μόνοις. ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία. διό φησιν ὁ "Δαβίδ· Ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου· κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. καὶ ἵνα δείξῃ, ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς, δικαιοσύ"νη ἐστὶν, ἐπήγαγε· Δικαιοσύνης πλήρης ἡ δεξιά σου. ὅταν βαθύ τι καὶ προφητικὸν ἀνακύψῃ ζήτημα, σύνδραμε τῷ λόγῳ, μὴ κροτῶν, ἀλλὰ νοῶν, μὴ ἁπλῶς δεχόμενος τὸν κρότον τῶν ῥημάτων, ἀλλὰ τὴν ἔννοιαν βασανίζων τῶν νοημάτων. ἐὰν γὰρ ᾄδῃς τὰ τοῦ Θεοῦ μετὰ ἀληθείας, καὶ μάλιστα τὴν φωνὴν ταύτην, ἣν ὁ Δαβὶδ εἶπεν [Ὑπελάβομεν, ὁ Θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου· κατὰ τὸ ὄνομά σου, ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου] εὑρίσκῃ καὶ ᾄδων τὰ τοῦ Θεοῦ, καὶ πληρούμενος πνεύματος ἁγίου. ὁ γὰρ γνησίως ψάλλων ἀνακαινιζόμενος τὴν ψυχὴν, ἀποτελεῖται ναὸς τοῦ ἁγίου πνεύματος. μὴ γὰρ μικρὸν νομίσῃς τὴν ψαλμῳδίαν εἶναι. δοκεῖ μὲν γὰρ τὴν ἀκοὴν θέλγειν, τῇ δὲ ἀληθείᾳ τὴν ψυχὴν ἐγείρει. οὕτω καὶ ὁ μακάριος Ἐλισ-

A Jam verò quia dæmonum bella ſedat, Evangelium pacis appellatur. Demique, quia Dei cognitionem verbis vilibus, & è medio petitis promulgat, Evangelium potentiæ dicitur. Itaque Paulum diſſerentem auſculta: *Non erubeſco Evangelium: virtus enim Dei eſt ad ſalutem omni credenti.* Potentia ſiquidem tùm demum verè eluceſcit ſi, qui eam promulgat, rationes nequaquam humano judicio congruentes adhibeat, & tamen orbem totum in ſuam ſententiam protrahat. Atq; hoc eſt quod Servator ipſi Paulo dicit:
B *Sufficit tibi gratia mea: virtus enim mea in infirmitate perficitur.* Neque enim magnum quippiam & illuſtre hoc fuiſſet, ſi nuda ſua natura divina Verbi potentia in qua ſpectetur, orbem illoſtâſſet: ſeo quia in corpore conſtitutus, incorpoream & incomparabilem gloriam declaravit: hoc verò magnum & admirabile eſt. Neq; illud admirabile, ſi vivus & vivificavi atq; gloria reſplendeſcens, orbi vitam reſtituiſſet: ſed potentia Verbi, morte mortem tollit & per omnia genera contumeliarum immortali gloria refulget. Aliis verò
C in locis Paulus Evangelium pacis appellat: *Præparate, ait, pedes veſtros in præparatione Evangelii pacis.* Alibi Evangelium juſtitiæ nominat, cum ait; *Non enim erubeſco Evangelium: Juſtitia enim Dei in ipſo revelatur.* Quid eſt juſtitia Dei? Poſtea quam lex prima ſolis Judæis fuit data, Evangelium verò omnibus, illud juſtitiæ appellat. Si quidem Deus juſtus, qui omnes peræquè procreavit, omnes peræquè illuſtravit: &, quod juſtitiæ proprium eſt, non hos quidem conſervavit illos verò non: & hos quidem vocavit, illos verò non. In
D veteri quidem teſtamento, vocatio juſta, aut quæ propriè ita dici queat, non fuit: ſed œconomica, & in diſpenſatione poſita, quæ juſtitiæ viam præmunivit. Neque verò hanc quidem juſtam, illam verò injuſtam dixero: ſed illam quidem aditum ad hanc patefeciſſe, & ad hanc apparatum quendam fuiſſe. Nã legem quidem Iſraëli dedit. Hinc David: *Qui annunciat verbum ſuum Jacob, juſtitias & judicia ſua Iſrael. Non fecit taliter omni nationi. & judicia ſua non manifeſtavit eis.* Legem ſiquidem uni genti patefecit: hìc verò do-
E ctrina veritatis tanquam ad ſtateram appenſa, omnibus eam ex æquo communicavit. Advertite quæſo: Juſtitia eſt, omnes ex æquo ſalvos velle: nec differentiam facere ſervi aut liberi, barbari aut Græci, mulieris vel viri: ſed quod Paulus dicit; *In Chriſto Jeſu non barbarus, non Scytha: non mas, non fœmina: nec ſervus, nec liber.* Vidéſne quod æqualitatem? Poſteaquam enim naturâ æquales ſumus, licet ſententiis diſſideamus: juſtitia illa noſtram naturam priſtinæ illi pulchritudini & integritati reſtituit. Cùm enim Adamus è terra
A formatus fuit, non alienigena, non Scytha, nec barbarus, nec Græcus, non ſervus, non liber, non mas, nec fœmina fuit: Ex uno ſiquidem duos illos procreavit. Servitutem vero non natura genuit, ſed liberũ arbitriũ hominis peperit. Sed & alia ſpecies ſervitutis eſt, ad quam, vel neceſſitate famis aut captivitatis adigimur. Sed & præter hanc, alia eſt quam ſpontè ſubimus: ut ancillis in uxoris ductis, libertatem vendimus, & nos ſervitutis jugo ſubjicimus. Ac prima quidem illa animi quadam pravitate conſtituta eſt. Tu verò, unde
B hæc ſervitus originem duxerit, attende. Poſt inundationem illam Noë cùm vinum bibiſſet, nec verò convenienter illud temperaſſet, imperitia quadam inebriatus eſt: non ſtudioſè ille quidem, vel data opera neque voluntatis ſed inſcitiæ crimen admiſit. Et quidem ebrius ſeipſum denudavit: ad quem unus è filiis ingreſſus, patrem nudum conſpexit, & irriſit. Quid igitur pater jam ſobrius ad illum? *Execratus Cham ſervus domeſticus erit fratribus ſuis.* An non vides, peccatum ſervitutem introduxiſſe? Hinc Servator: *Omnis, qui pec-*
C *catum facit, ſervus eſt peccati.* Poſtquam ergo liberator humani generis advenit, veniam peccatis conceſſit, imò verò ſuſtulit; ſiquidẽ radice exciſa, fructus ſimul excidit: vocat Evangelium juſtitiæ, quod omnes ex æquo homines illuſtret. Judæi verò arbitrabãtur, Evangelium, quod per ipſos promulgabatur, ad ſe ſolos pertinere. Verum hæc ipſorum expectatio inopinatum eventum ſortita eſt. Hinc igitur Davidicum illud: *Suſcepimus, Deus miſericordiam tuam in medio populi tui: ſecundùm nomen tuum Deus, ita & laus tua in fi-*
D *nes orbis terræ.* Et ut demonſtraret, quòd miſericordiam ſuam declarare in fines orbis terræ, ſit illa juſtitia, ſubjecit: *Juſtitiæ plena eſt dextera tua.* Quotieſcunq; profundior aliqua & prophetica ſeſe obtulerit quæſtio, eam amplectere: non quidem applauſu quodam externo, ſed intelligentia. Non autem ſimpliciter verborum ſonitum admirare, ſed ſententiam & vim verborum explora. Si enim verè & ex animo divinas laudes celebraveris, maximeque Davidicum illud oraculum cantaveris: Suſcepimus, Deus, mi-
E ſericordiam tuam in medio populi tui: ſecundum nomen tuum, Deus, ita & laus tua in fines terræ: Juſtitiæ plena eſt dextra tua: ſimul & divinas laudes celebrans, & ſancto Spiritu repletus apparebis. Qui enim ingenuè & ex animo pſallit, animo renovatur, & templum Spiritus ſancti efficitur. Neque enim leve & parvum quippiam pſalmorum modulationem exiſtimaveris. Videtur illa quidem aures tantùm demulcere, & ſuaviter afficere: atqui reipſa animum quoque excitat. Sic etiam beatus Eliſæus,

Evang. pacis Evang. potentiæ. Rom. 1, 16. 1. Cor. 12, 9. Epheſ. 6, 15. Rom. 1, 16. Pſal. 147, 19. 20. Gal. 3, 28. Col. 3, 11. Juſtitia Evangelũ. Gen. 2, 18. Servitutis ſpecies diverſa. Gen. 9, 25. Joan. 8, 34. Pſal. 47, 9. Rẽovatur animo, qui rectè pſallit.

cùm à regibus quibuſdam, ut futura prædiceret, rogaretur:
4. Reg. 3, 15. *Mihi vero virum, qui pſallendi ſciens ſit, adducite*, inquit; qui cum veniſſet, inter pſallendum, tradunt ſacræ literæ, Spiritus ſanctus ſuper Eliſæum cecidit. Ergo & ſpiritus ſanctus vocibus modulantium oblectatur, & velut incantationibus devocatur & allicitur, ſiquidem in Prophetæ animo acquievit. Equidem animus Prophetæ purus ab omni labe, Spiritum ſanctum advocare ſatis ſuperque potuiſſet. Quid eſt ergo, quod dicit: Date virum, qui pſallendi ſit ſciens? Non ſanè ideò, ut Spiritum ſanctum pſalmorum modulatione oblectari demonſtret: ſed ut illo cantante, Prophetæ mente renovata, digna, in quam Spiritus ſanctus ſe inſinuaret, efficeretur. Ideoque Spiritum invocat, ut planum faceret, non pſalmodia oblectari, ſed animo per modulationem excitato & attento. Neque ille ad pſallentem pervenit, ſed ad audientem. Oportet itaque in genere omnium pſalmorum vim ſententias perſcrutari: præcipuè verò ejus, qui nobis hodie eſt recitatus. (*Dominus regnavit*) *exultet terra, lætentur inſulæ multæ*. Quomodo ergo
Pſal. 96, 1. illud, *Dominus regnavit*, accipis? num quaſi recens ad faſtigium illud regiæ dignitatis pervenerit? Si enim dixiſſet Dominus regnat: ſempiternam illius regiam dignitatem notaſſet. Jam verò dicis, Dominus regnavit. Dictum eſt, & ante hac & jam iterum dicetur. Ante Chriſti adventum, ante Evangelii promulgationem, in naturam noſtram imperium obtinebat Diabolus, Peccatum, Mors. Undenam hoc? Pau-
Rom. 6, 12. lus explicat: *Quemadmodum enim regnavit peccatum in mortali noſtro corpore, ſic etiam gratia regnabit per Chriſtum*. Ecce peccati regnum. Ubinam Diaboli? Auſculta Chriſtum dicentem: *Si Satanas Satanam expellit, adverſus ſeipſum diviſus*
Matt. 12, 26. *eſt: Quomodo ergo ſtabit regnum illius?* Ecce Diaboli regnum. Ubi verò mortis regnum? Audi Paulum diſſerentem: *Regnavit*
Rom. 5, 14. *mors ab Adam usque ad Moſen, ſuper eos, qui non peccaverant*. Cùm igitur Diabolica trias, in ſanctam & impollutam Trinitatem, tyrannidem ſuam exercuiſſet, ſcilicet, Diabolus, Peccatum, Mors. Et Diabolus quidem decipiebat, Peccatum interficiebat, Mors verò ſepeliebat: David, hac triplici tyrannide oppreſſus, lætum nuntium indicat: monetque, ut ſeſe ex ſervitutis ergaſtulo ſubducant: & regnum Chriſti, quod prædicabatur, amplectantur: Dominus regnavit. Et regnum quidem mortis abolitum eſt, & peccati potentia imminuta eſt, & Diaboli poteſtas fracta eſt. Dominus regnavit, exultet terra. Et meritò ſanè exultare debuit, quæ quondam in ſervitutem redacta, jam liberata eſt, quæ quondam erravit, jam omni gloria reſplendet: quæ quondam in monumentis condita deliteſcebat, nunc in throno collocata eſt: quæ quondam omni ignominia oppreſſa jacebat, nunc omni honore & gloria afficitur: Dominus regnavit: ſic etiam alio in loco dicitur. Oportet enim ſententias conſentaneas inter ſe in medium afferre: *Dominus regnavit decorem indutus eſt*. Nos quidem veſte induimur, ut quicquid naturæ noſtræ minus eſſet decorum, occultaretur. Quare igitur Deus naturam ſuam, quæ & corpore vacat, & pleniſſima lucis eſt: imo quæ luce coruſcat, contegit? Atqui appellat ille corpus Chriſti veſtem ſuam. Dominus regnavit,
Eſa 53. 9. decorem indutus eſt: Decorem vocat carnem Chriſti. Erat enim illa ſanè decora, nec ulla peccati turpidine fœda. *Neque enim peccatum fecit unquam, nec inventus eſt dolus in ore eius*. Indutus eſt Dominus decorem, & præcinxit ſe. Namque zona regem quidem exornat: ſed & judicium & ſymbolum regis zona eſt, & judicis. Itaque ipſum & regem & judicem introducit Eſajas, cùm
Eſa. 11, 1. ait: *Egredietur virga de radice Jeſſe: & flos ex ipſa aſcendet, & requieſcet ſuper eum ſpiritus Domini, & erit juſtitia cingulum lumborum ejus, & fides cinctorium renum ejus*. Hujus ipſius veſtia Servatoris, in carne dico, latentem figuram præ ſe tulit Pontifex in lege. Et verò diligenter adverte: quomodo umbræ illæ veritatem nobis adumbrarint, & delineaverint: quomodo item Evangelicæ figuræ præluxerint. Ago hoc leniter, & pro virili me ſimplicium & imperitorum captui accommodo, ne illi huc
Exod 28. 4. vel illuc circumducantur. Pontifex igitur ingrediens in Sancta ſanctorum, induebat veſtem talarem, ſcilicet veſtem à capite usque ad pedes demiſſam, ſuperhumerale, zonam, femoralia, laminam auream, tiaram, hoc eſt cidarim, & rationale in pectore, & quæ præterea ſcriptura ibidem explicat, & cernere facile eſt. Aliæ quidem figuræ, alii quoque ſenſus. Neque enim Deus omnino hyacintho & purpura, item cocco & byſſo recreatur (Deus enim animorum puritatem poſtulat) ſed in corporeis illis floribus virtutum ille imaginem deſcribit. Si enim re vera veſtitu illo longè ornatiſſimo delectabatur: cur non Moſen ante Aaronem hoc modo induit? Sed Moſes quidem ea veſte carebat, eadem tamen ſacerdotes induebat. Moſes aqua non fuit lotus, & tamen lavabat: non oleo inunctus fuit, & tamen ungebat: nullam veſtem ſacerdotalem ille geſtabat,

Margin notes: τῇ ψαλμῳδίᾳ. — Zona indicium Regis. — Veſtitus Pontificis figura Chriſti.

σαίᾳ ὁ προφήτης παρακαλούμενος παρά τινων βασιλέων προφητεῦσαι τὰ μέλλοντα, λέγει· Δότε μοι ἄνδρα εἰδότα ψάλλειν. Ἦλθεν ὁ τῆς μουσικῆς ἔμπειρος, καὶ ἐν τῷ ψάλλειν, φησὶν, ἐκεῖνον, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ Ἐλισσαῖον. Τί οὖν; ἆρα τὸ πνεῦμα τὸ ἅγιον φωναῖς θέλγεται, καὶ ἐπῳδαῖς καθέλκεται, εἰ τῇ ψυχῇ ἐπαναπαύετο τοῦ προφήτου; ἤρκει ἡ καθαρότης τοῦ προφήτου προσκαλέσασθαι τὸ πνεῦμα τὸ ἅγιον. Διὰ τί οὖν λέγει, δότε ἄνδρα εἰδότα ψάλλειν; οὐχ ἵνα τὸ πνεῦμα τερφθῇ * τῆς ψαλμῳδίας, ἀλλ' ἵνα, ἐκείνου ψάλλοντος, ὁ νοῦς τοῦ προφήτου ἀνακαινισθεὶς, ἄξιος γένηται τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως. Διὰ τοῦτο τὸ πνεῦμα καλεῖ, ἵνα δείξῃ ὅτι οὐ τῇ ψαλμῳδίᾳ ἐπέρχεται, ἀλλὰ τῇ ψυχῇ τῇ ὑπὸ τῆς ψαλμῳδίας διεγερθείσῃ. Οὐκ ἦλθεν ἐπὶ τὸν ψάλλοντα, ἀλλ' ἐπὶ τὸν ἀκούοντα. Δεῖ μὲν οὖν καθόλου τὰς δυνάμεις τῶν ψαλμῶν ἐρευνᾷν, ἐξαιρέτως δὲ τοῦ σήμερον ἡμῖν ῥηθέντος ἁγίου ψαλμοῦ. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. Τὸ, ὁ Κύριος ἐβασίλευσε, πῶς ὑπολαμβάνεις; ἄρα ὡς πρόσφατον λαβόντα τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν, ὁ Κύριος βασιλεύει, τὸ ἀΐδιον αὐτοῦ ἡρμήνευσεν ἀξίαν· νῦν δὲ λέγει, ὁ Κύριος ἐβασίλευσεν. Εἴρηται καὶ πρώην ἡμῖν, καὶ νῦν λεχθήσεται. Πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας, πρὸ τοῦ εὐαγγελικοῦ κηρύγματος ἐβασιλεύετο ἡμῶν ἡ φύσις ὑπὸ τοῦ διαβόλου, ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου. Πόθεν τοῦτο; λέγει Παῦλος· Ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ Χριστοῦ. Ἰδοὺ ἡ τῆς ἁμαρτίας βασιλεία· ποῦ ἡ τοῦ διαβόλου; ἄκουε τοῦ Σωτῆρος λέγοντος· Εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, καθ' ἑαυτοῦ ἐμερίσθη. Πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; Ἰδοὺ ἡ τοῦ διαβόλου βασιλεία· ποῦ ἡ τοῦ θανάτου; ἄκουε Παύλου λέγοντος· Ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. Ἐπεὶ οὖν ἐκράτει ἡ διαβολικὴ τριὰς ἡ κατὰ τῆς ἁγίας καὶ ἀχράντου τριάδος τυραννήσασα, τουτέστιν, ὁ διάβολος, ἡ ἁμαρτία, ὁ θάνατος· καὶ ὁ μὲν διάβολος ἠπάτα, ἡ δὲ ἁμαρτία ἐφόνευεν, ὁ δὲ θάνατος ἔθαπτεν· εὐαγγελίζεται τοὺς τυραννουμένους ὁ Δαβὶδ, καὶ λέγει, ὥστε ἐξελθεῖν τὸν ζυγὸν τῆς δουλείας, καὶ δέξασθαι τοῦ Χριστοῦ τὴν δεσποτείαν κηρυττομένην· ὁ Κύριος ἐβασίλευσε. Πέπαυται τοῦ θανάτου ἡ βασιλεία, πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, πέπαυται τοῦ διαβόλου ἡ ἐξουσία. Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. Ἀγαλλιᾷν γὰρ ὀφείλει ἡ ποτὲ δεδουλωμένη, καὶ νῦν ἐλευθερωθεῖσα· ἡ ποτὲ πεπλανημένη, καὶ νῦν δεδοξασμένη· ἡ ποτὲ ἐν τάφοις, καὶ νῦν ἐν θρόνοις· ἡ ποτὲ ἐν ἀτιμίᾳ, καὶ νῦν ἐν τιμῇ. Ὁ Κύριος ἐβασίλευσεν. Οὕτω καὶ ἀλλαχοῦ λέγεται [δεῖ γὰρ τὰς συγγενεῖς τῶν νοημάτων παράγειν] Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἡμεῖς ἐνδυόμεθα ἔξωθεν ἱμάτιον, ἵνα τὸ ἀπρεπὲς τῆς φύσεως καλύψωμεν. Ὁ δὲ Θεὸς, ἵνα τί καλύψῃ τὴν ἀσώματον φύσιν τὴν φωτὸς γέμουσαν, μᾶλλον δὲ φωτὸς ἀπαστράπτουσαν; ἀλλὰ καλεῖ ἔνδυμα αὐτοῦ τὸ σῶμα τοῦ Χριστοῦ· ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Εὐπρέπειαν καλεῖ τὴν σάρκα τοῦ Χριστοῦ. Εὐπρεπὴς γὰρ ἦν οὐκ ἔχουσα αἶσχος ἁμαρτίας. Ἁμαρτίαν γὰρ οὐκ ἐποίησε πώποτε, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Ἐπειδὴ τὴν βασιλεία ζώνη κοσμεῖ. Ἔστι δὲ ἡ ζώνη βασιλέως γνώρισμα καὶ κριτοῦ. Εἰσάγει αὐτὸν καὶ βασιλεύοντα, καὶ κρίνοντα· λέγει γὰρ Ἡσαΐας· Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα Θεοῦ, καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευρὰς αὐτοῦ. Τοῦτο τὸ ἔνδυμα τοῦ Σωτῆρος, τὸ τῆς σαρκὸς λέγω, κρυφαίως, καὶ ἐν εἰκόνι εἶχεν ὁ ἀρχιερεὺς ἐν τῷ νόμῳ. Καὶ πρόσεχε ἀκριβῶς, πῶς αἱ σκιαὶ τὴν ἀλήθειαν ἡρμήνευσαν, πῶς οἱ τύποι τοῦ εὐαγγελίου προέλαμψαν. Λέγω δὲ ἠρέμα, καὶ κατὰ τὸ δυνατὸν συγκαταβαίνω τῇ ἀκοῇ τῶν ἀκεραίων καὶ τῶν ἀπείρων, ἵνα μὴ ὧδε κἀκεῖσε περιάγωνται. Ἐνεδύσατο ὁ ἀρχιερεὺς εἰσιὼν εἰς τὰ ἅγια τῶν ἁγίων ποδήρη, τουτέστιν, ἱμάτιον ἀπὸ κεφαλῆς μέχρι ποδῶν ἀπῃωρημένον, ἐπωμίδα, ζώνην, περισκελῆ, πέταλον χρυσοῦν, κίδαριν, ὅπερ ἐστὶ κυρβασίαν, τὸ λόγιον ἐπὶ τοῦ στήθους, καὶ ὅσα διαγορεύει ἡ γραφή, καί ἐστιν ἰδεῖν. Ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα. Οὐ γὰρ πάντως Θεὸς ἀναπαύεται ὑακίνθῳ, καὶ πορφύρᾳ, καὶ κόκκῳ, καὶ βύσσῳ [Θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα] ἀλλ' ἐν τοῖς σωματικοῖς ἄνθεσι διαγράφει τῶν ἀρετῶν τὴν εἰκόνα. Εἰ γὰρ ἀληθῶς ταῖς στολαῖς ἐκείναις, ταῖς ἐνδόξοις ἀνεπαύετο, διὰ τί οὐ πρὸ τοῦ Ἀαρὼν τὸν Μωϋσῆν οὐκ ἐνέδυσεν; ἀλλ' ἦν Μωϋσῆς καὶ γεγυμνωμένος τῆς ἐσθῆτος ἐκείνης, καὶ ἐνδύων αὐτὴν τοὺς ἱερεῖς. Μωϋσῆς οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουεν· οὐκ ἐχρίσθη ἐλαίῳ, καὶ ἔχριεν· οὐκ ἐφόρησεν ἱμάτιον ἱερατικὸν,

καὶ

malignus autem eſt ſicarius, deceptor, qui aliis mala machinatur. Talis prudens Jacob, prudens ut ſerpens, non venenum ſpargens ut ſerpens. Nam cùm in occurſum congreſſumque cum fratre Eſau venturus eſſet, homine ſceleribus & parricidiis coopertо, Deum orabat dicens, Domine erue me de manu fratris mei Eſaü, quia valde eum timeo: Deúmque ſic precatur, ut adverſus malum orationem opponat. Quando verò fratri occurrit, humanitate, cultu & obſervantia furorem ejus manſuefecit, & malitiam reſtinxit. Quid enim ait ad Eſaü? *Sic vidi faciem tuam, ut ſi quis videret vultum Dei.* Ac ſi hæc quidem dixit Jacob, ut ea fraude vinceret fratrem, malè loquebatur: ſin autem dixit, ut terrorem effugeret, calliditate rectè uſus eſt. Eſtote ergo prudentes, ut ſerpens; non venenum ejaculantes, ſed prudentes, & ſimplices ſicut columbæ. Poteſt autem columba & ad vitium & ad virtutem ſignificandam accipi: qua verò ratione, audi. Si iis inconſideratus minimèque diſcretus, & ſolius malitiæ peritus, accuſat te ſcriptura ut imprudentem. *Ephraim enim*, inquit, *quaſi columba inſipiens, qua cor non habet.* Si ergo inſipientiam fugiens, ſimplicitatem cum laude præ te tuleris, habes prudentiam perfectam, ſi eam cum malitia non commiſceas: & audis à Domino, Eſtote prudentes ſicut ſerpens, & ſimplices ſicut columbæ. Ne igitur nullo delectu utcunque ſcripturam lege, mi frater, aut ſimilitudines ad vitia malamque in partem accipias ab ea prolatas, dum diſtribuit huic quidem illud, illi vero aliud. Viſne hoc intelligere planiùs? Attende diligenter iis quæ dicuntur: Vocat leonem ſcriptura: Catulus enim Leonis, inquit, Juda: ex germine, fili mi, aſcendiſti: recumbens dormiviſti ut leo. Hic, ut leo, fortitudinem ſignificat: nam & de juſto eandem proponit ſimilitudinem. *Juſtus enim*, inquit, *quaſi leo confidit.* Fortis itaque eſt juſtus, non in male agendo, ſed in iis refellendis, quæ à ſceleratis inferuntur. Appellat & Salvatorem leonem, eò quòd eſſet ex tribu regia. ut enim quadrupedum Rex eſt leo, ſic inter Judæos tribus Juda regnabat, ex qua Salvator progenitus eſt. Neque verò exiſtimes, chariſſime, Chriſto indignum leonis imagini comparari: nam & eandem ipſi tribuit divinitati ſcriptura. Audi ergo quid dicat Propheta; *Leo rugiet, quis non timebit? Dominus Deus locutus eſt, quis non prophetabit?* Ergo ratione potentiæ, & quatenus terribilis eſt, ac Regia majeſtate pollens, comparatur Leoni Chriſtus. Appellatur & leo diabolus, non ut potens, vel ut tremendus, ſed ut percuſſor, ut tyrannus, ut exterminator. De hac re dicit & beatus Petrus Apoſtolus, *Ecce inimicus veſter diabolus circuit tanquam leo quærens, ut animam devoret.* Divide itaque eorum quæ leguntur notiones & intelligentias: ne fortè quæ in verbis apparent contraria, tuam mentem perturbent. Commemoravit ſcriptura leonem & leonem, ſed hunc quidem ſecundùm regiam dignitatem ac potentiam, illum autem ob vim perdendi atque delendi. Itaque juſtum ſimul & impium una ſimilitudine Scriptura exprimit. *Juſtus*, inquit, *ut palma florebit; ſicut cedrus, quæ in Libano eſt, multiplicabitur.* Priori loco propoſuit eam imaginem juſti, deinde pariter impii. *Vidi enim*, inquit, *impium ſuperexaltatum, & elevatum ſic, ut cedros Libani.* Vide ergo quo pacto eandem ſimilitudinem in medium attulerit, ſed dictionibus notiones diviſerit. Nam de impio dicit, Vidi impium ſuperexaltatum, & elevatum ſicut cedros, de juſto autem non dixit, ut cedrus, quæ in Libano eſt, effloreſcet, ſed multiplicabitur. Sic igitur apem imitare, mi homo, quam & Scriptura, ut imiteris in diligentia, te docet. *Vade ad apem*, & diſce quàm ſit operatrix. Noli diſcere quo pacto ſtimulum habeat, ſed quo pacto apis mel conficiat. Nam ſi apis ſtimulum fueris imitatus, reprehendet te David, dicens, *Omnes gentes circumdederunt me ſicut apes favum, & in nomine Domini ultus ſum eos.* Vides ut percutientes ſe comparet api pungenti, juſtos autem aſſimilet ei, quæ mel ſtillet? *Labra enim*, inquit, *juſtorum ſtillant ſapientiam, & favum mellis, ſermones honeſti: Dulcedo vero eorum ſanitas animæ.* Hanc itaque dulcedinem, dilectiſſimi, animarum, inquam, deſideremus ex tota anima, favúmque ſpiritalem in occulta animæ officina conficiamus, & eloquia divina pluris quàm mel & favum faciamus. Sæpenumero ſit ut ſi multum mellis comedatur, dulcedinem mutet in amaritudinem, & ſtomachi vitiet appetitum, omnémque hominis ſtatum evertat: ſermo verò divinus etſi multus accipiatur, animam non perturbat, ſed potiùs ſanat. *Dulcedo enim ejus ſanitas animæ.* Quapropter Sapiens cùm vellet mellis & ſermonis inter ſe diſcrimen opponere, *Mel multum*, ait, *comedere non eſt bonum, honorare autem oportet ſermones glorioſos.* Semper itaque, dilectiſſimi, tanquam favum quendam varium, ſacra

Gen.34,10. — *ἴσ. αὐτῇ — ǂ κακίαν. — * ἴσ. μερί-ζοντε — Prov.28,1. — Amos 3,8. — 1.Petr.5,8. — Pſal.91,13. — Pſal.37,35. — Prov.6,6. — Pſal.117,12. — Prov.16,24. — Prov.25,27.

κακοῦργος δέ ἐστιν ὁ φονεὺς, ὁ δόλιος, ὁ ἑτέροις κακὰ τεκταινόμενος. τοιοῦτος φρόνιμος ὁ Ἰακὼβ, φρόνιμος ὡς ὁ ὄφις, οὐκ ἰοβόλος ὡς ὁ ὄφις. ὅτε γὰρ ἔμελλε συμβάλλειν τῷ ἀδελφῷ αὐτοῦ Ἡσαῦ κακίας γέμοντι, καὶ φονοκτονίας, παρεκάλει τὸν Θεὸν, λέγων, Κύριε ῥῦσαί με ἀπὸ τοῦ ἀδελφοῦ μου Ἡσαῦ, ὅτι φοβοῦμαι αὐτὸν σφόδρα· καὶ ἱκέτευε τὸν Θεὸν, ὡς κατὰ πονηροῦ τὴν εὐχὴν τιθέμενος· ὅτε δὲ συνήντησε τῷ ἀδελφῷ, ἡμερότητι καὶ κολακείᾳ τὸν θυμὸν ἡμέρωσε, καὶ τὴν πονηρίαν ἔσβεσε. τί γάρ φησι πρὸς τὸν Ἡσαῦ; εἶδον σου τὸ πρόσωπον, ὡς εἴ τις ἴδοι πρόσωπον Θεοῦ. καὶ εἰ μὲν ἔλεγεν ὁ Ἰακὼβ ταῦτα, ἵνα διὰ τῆς ἀπάτης νικήσῃ τὸν ἀδελφὸν, κακῶς ἐλάλει· εἰ δὲ εἶπεν ἵνα τὸν φόβον ἐκφύγῃ, καλῶς ἐχρήσατο τῇ πανουργίᾳ. γίνεσθε οὖν φρόνιμοι ὡς ὁ ὄφις, μὴ θυμώδεις, μὴ ἰοβόλοι, ἀλλὰ φρόνιμοι καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. ἔστι δὲ τὴν περιστερὰν καὶ εἰς κακίαν καὶ εἰς ἀρετὴν ἐκλαβεῖν· καὶ ὅπως, ἄκουε. ἐάν τις ἀλόγιστος ᾖ καὶ ἀδιάκριτος, καὶ κακίας ἔμπειρος μόνον, διαβάλλει σε ἡ γραφὴ ὡς ἀσύνετον. Ἐφραὶμ γάρ φησιν ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. ἐὰν οὖν, τὸ ἄνουν φυγὼν, τὸ ἀκέραιον κατορθώσῃς, ἔχεις τὴν σύνεσιν τελείαν, οὐ συμμιγεὶς * αὐτῇ τῇ κακίᾳ· καὶ ἀκούεις παρὰ τοῦ Κυρίου, γίνεσθε φρόνιμοι ὡς ὁ ὄφις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. μὴ τοίνυν ἁπλῶς ἀδελφὲ τὰς γραφὰς ἀναγίνωσκε, καὶ τὰς εἰκόνας εἰς κακίας ἐκλάμβανε παρ' αὐτῆς, * μερίζουσα τούτῳ μὲν τοῦτο, τούτῳ δὲ ἕτερον. θέλεις οὖν μαθεῖν; πρόσεχε ἀκριβῶς τοῖς λεγομένοις. καλεῖ λέοντα ἡ γραφή· σκύμνος γάρ, φησι, λέοντος Ἰούδα, ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων. ὧδε τὸ, ὡς λέων, τὸ ἀνδρεῖον σημαίνει· καὶ γὰρ καὶ περὶ τοῦ δικαίου τὴν αὐτὴν ὑποτίθησιν εἰκόνα. δίκαιος γάρ, φησιν, ὡς λέων πέποιθεν. ἀνδρεῖος τοίνυν ὁ δίκαιος, οὐκ ἐν τῷ δρᾷν κακῶς, ἀλλ' ἐν τῷ διαλύειν τὰ παρὰ τῶν πονηρῶν ἐπαγόμενα. καλεῖ καὶ τὸν Σωτῆρα λέοντα, καὶ * τὸ ἐκ βασιλικῆς εἶναι φυλῆς. ὥσπερ γὰρ τῶν τετραπόδων ὑπάρχει βασιλεὺς ὁ λέων, οὕτως καὶ τῶν Ἰουδαίων ἐβασίλευσεν ἡ Ἰούδα φυλή, ἐξ ἧς ὁ Σωτὴρ ἀνέτειλε. καὶ μὴ νομίσῃς, ἀγαπητέ, ἀνάξιον εἶναι τοῦ Χριστοῦ τὸ, εἰκόνι λέοντος ἀπεικάζεσθαι. σχηματίζει γὰρ ἡ γραφὴ τὴν εἰκόνα ταύτην καὶ ἐπ' αὐτῆς τῆς θεότητος. ἄκουε γοῦν τί ὁ προφήτης φησί· λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; Κύριος ὁ Θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει; κατὰ τὸ δυνατὸν τοίνυν καὶ τὸ φοβερὸν, καὶ τὸ βασιλικὸν, λέοντι ἀπεικάζεται ὁ Χριστός. καλεῖται δὲ καὶ ὁ διάβολος λέων, οὐχ ὡς δυνατὸς, οὐδ' ὡς φοβερὸς, ἀλλ' ὡς πλήκτης, ὡς τύραννος, ὡς ἀφανιστικός. λέγει δὲ περὶ τούτου ὁ μακάριος Πέτρος ὁ Ἀπόστολος, ἰδοὺ ὁ ἐχθρὸς ὑμῶν διάβολος περιέρχεται, ὡς λέων, ζητῶν καταπιεῖν ψυχήν. μέριζε τοίνυν τῶν ἀναγνωσμάτων τὰς θεωρίας· μήποτε ἐναντία δοκοῦντα τῇ λέξει, συγχέῃ σου τὴν διάνοιαν. εἶπεν ἡ γραφὴ, λέοντα καὶ λέοντα· ἀλλὰ τὸν μὲν κατὰ τὸ βασιλικὸν καὶ δυνατὸν, τὸν δὲ κατὰ τὸ ἀφανιστικὸν καὶ δηλητήριον. οὕτω καὶ τὸν δίκαιον καὶ τὸν ἀσεβῆ διὰ μιᾶς εἰκόνος σχηματίζει ἡ γραφή. Δίκαιος, φησιν, ὡς φοῖνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. ἐποίησε πρότερον τὴν εἰκόνα τοῦ δικαίου, εἶθ' οὕτως καὶ τοῦ ἀσεβοῦς. εἶδον γάρ, φησι, τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου. ὅρα τοίνυν πῶς τὴν μὲν αὐτὴν εἰκόνα παρήγαγε, ταῖς δὲ λέξεσι τὰς ἐννοίας ἐμέρισεν; ἐπὶ μὲν γὰρ τοῦ ἀσεβοῦς λέγει, εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους· ἐπὶ δὲ τοῦ δικαίου οὐκ εἶπεν, ὥσπερ κέδρος ἡ ἐν τῷ Λιβάνῳ, ἐπανθήσεται, ἀλλὰ πληθυνθήσεται. οὕτως οὖν καὶ τὴν μέλιτταν μίμησαι, ὦ ἄνθρωπε, ἣν καὶ ἡ γραφὴ διδάσκει μιμεῖσθαι πρὸς φιλοπονίαν. πορεύθητι πρὸς τὴν μέλιτταν, καὶ μάθε ὡς ἐργάτις ἐστί. μὴ μάθῃς ὅτι κέντρον ἔχει, ἀλλ' ὅτι μέλι ἐργάζεται. ἐὰν γὰρ μιμήσῃ τῆς μελίττης τὸ κέντρον, κατηγορήσει σου Δαβὶδ, λέγων, πάντα ἔθνη ἐκύκλωσάν με, ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐν τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. ὁρᾷς πῶς τοὺς πλήττοντας ἀπεικάζει μελίττῃ πληττούσῃ, τοὺς δὲ δικαίους ἀπεικάζει τῇ τὸ μέλι ἀποσταζούσῃ; χείλη γάρ, φησιν, ἀνδρῶν δικαίων ἀποστάζουσι σοφίαν· καὶ κηρίον μέλιτος λόγοι καλοί· γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς. τοῦτο τοίνυν, ἀγαπητοί, τὸ γλύκασμα τῶν ψυχῶν λέγω, ποθήσωμεν ἐξ ὅλης ψυχῆς, καὶ τὸ κηρίον ἐργασώμεθα τὸ νοερὸν, καὶ τῷ κρυπτῷ τῆς ψυχῆς ἐργαστηρίῳ καὶ τὰ θεῖα λόγια λάβωμεν ὑπὲρ μέλι καὶ κηρίον. μέλι γὰρ πολὺ ἐσθιόμενον πολλάκις μεταβάλλει τὸ γλύκασμα εἰς τὴν πικρίαν, καὶ διαστρέφει τοῦ στομάχου τὴν ὄρεξιν, καὶ πᾶσαν ἀνασκευάζει τοῦ ἀνθρώπου τὴν κατάστασιν· λόγος δὲ Θεοῦ λαμβανόμενος πολὺς οὐ θολοῖ τὴν ψυχὴν, ἀλλὰ θεραπεύει· γλύκασμα γὰρ αὐτοῦ, ἴασις ψυχῆς. διὰ τοῦτο βουλόμενος ὁ σοφὸς ἐκεῖνος ἀντιθεῖναι διαφορὰν μέλιτος καὶ λόγου, φησὶν, ἐσθίειν μέλι πολὺ οὐ καλὸν, τιμᾷν δὲ χρὴ λόγους ἐνδόξους. ἔχομεν οὖν, ἀγαπητοί, τὸ κηρίον τὸ ποικίλον, τὰ θεῖα καὶ ἱερὰ

λόγια

λόγια διὰ παντός. καὶ ὥσπερ τὸ κηρίον ἐκεῖνο ἐκ πολλῶν μὲν καὶ διαφόρων σχημάτων ἀπαρτίζεται, ἓν δὲ ἔχει καλόν· οὕτω καὶ ἡμῖν ἔστω κηρίον ἡ θεία γραφή, ἐκ πολλῶν μὲν καὶ διαφόρων συγκειμένη προφητῶν, ἓν δὲ μέλι διδασκαλίας ἀποστάζουσα. τοιοῦτον ἡμῖν καὶ τὸ τῶν πατέρων κηρίον, ἐκ διαφόρων μὲν ἡλικιῶν συνηθροισμένον, μίαν δὲ χάριν καὶ μίαν πνευματικὴν διδασκαλίαν ἀποστάζον. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. γένοιτο δὲ ἡμᾶς εὐχαῖς καὶ πρεσβείαις τοῦ κοινοῦ πατρὸς τῇ φιλοπονίᾳ τὸν λόγον αὔξοντας τὸν θεῖον ἀπεργάζεσθαι νόμον ἐν τῇ διανοίᾳ πάντοτε, καὶ ποιεῖν ἐκεῖνο τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, τὸ ἔχειν τὸν νόμον τοῦ Θεοῦ πάντοτε ἐν μέσῳ τῆς κοιλίας ἡμῶν, ἤγουν τὰ θεῖα νοήματα, ὥστε νομίζειν φύσεως ὅρους ἐπιγινώσκειν, τιμᾶν τε τὴν ἀλήθειαν, καταφρονεῖν κόσμου, καὶ Θεῷ δόξαν ἀναπέμπειν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ἀπόδειξις, ὅτι τὴν εἰκόνα τὴν καθ' ὁμοίωσιν Θεοῦ γενομένην ἔρριψεν ὁ ἄνθρωπος ὁ πρῶτος διὰ τῆς παρακοῆς· διὰ δὲ τοῦ νέου Ἀδὰμ πάλιν αὐτὴν ἀπέλαβεν.

ΚΑΤ' εἰκόνα Θεοῦ, καὶ ὁμοίωσιν γεγονέναι τὸν ἄνθρωπον, καὶ ἡ θεία γραφὴ παραδέδωκε, καὶ ὁ τῆς διδασκαλίας λόγος ἠρέμα πως τοῖς φιλομαθέσιν ὑπέδειξε· καὶ μέμνησθε πάντως, εἴγε φιλόπονοι τῶν ἀκροατῶν, ὅπως ἡμῖν ὁ περὶ τούτου διελύθη λόγος, ὅτι τὸ κατ' εἰκόνα προηγουμένως εἰς τὴν τοῦ ἀνθρώπου δεσποτείαν, καὶ εἰς τὴν πάντων ἀρχὴν ὑπαγορεύεται. ἡ δὲ ὁμοίωσις ταύτης τῆς εἰκόνος εἰς τὴν τῶν ἀρετῶν τελείωσιν ἐκλαμβάνεται. ἀναγκαῖον δὲ δεῖξαι, ἀδελφοί, καὶ σαφῶς παραστῆσαι πῶς ὁ παρὰ πάντα τὰ ποιήματα τοῦ Θεοῦ μειζόνως τιμηθεὶς ὁ ἄνθρωπος, ἐκ τοῦ τιμίου καὶ πρωτοτύπου κάλλους τοῦ θείου χαρακτῆρος, εἰς τὴν τῶν ἀλόγων φύσιν, καὶ ὁμοιότητα κατηνέχθη. εἰκὼν γὰρ ὢν Θεοῦ ὁ φιλάνθρωπος ἑαυτὸν ἠμαύρωσε ταῖς κακίαις, καὶ ταῖς παρανομίαις ἠμόλυνε, καὶ ἀληθῶς παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ὅπως δὲ καὶ τοῖς ἀνοήτοις κτήνεσι παρωμοιώθη ὁ ἄνθρωπος, ἀναγκαῖον ἐξ αὐτῶν ἰδεῖν τῶν ἔργων, οὐχ ἵνα τὰ προλαβόντα μεμψώμεθα, ἀλλ' ἵνα τὰ παρόντα διορθωσώμεθα· καὶ γὰρ τὰ κατὰ τὸν Ἀδὰμ ἀναγινώσκεται, καὶ πᾶσα ἡ τῶν προλαβόντων ἱστορία, οὐχ ἵνα τοὺς προλαβόντας ἐπαινέσωμεν ἢ μεμψώμεθα, ἀλλ' ἵνα τὴν ἀρετὴν μιμησώμεθα, καὶ τὴν κακίαν ἐκκλίνωμεν. „Ταῦτα δέ, φησιν ὁ θαυμάσιος Παῦλος, ἐγράφη πρὸς νουθεσίαν „ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. τὴν εἰκόνα τοίνυν τὴν καθ' ὁμοίωσιν Θεοῦ γενομένην ἔρριψεν ὁ ἄνθρωπος ὁ πρῶτος διὰ τῆς παρακοῆς, καὶ πάτημα ἐποίησε δαιμόνων καὶ ταῖς τῶν ἀλόγων ὁμοιώσεσιν ὕβρισε· καὶ τὸν μὲν διὰ τὸ ὠμὸν καὶ τυραννικὸν τοῦ τρόπου λέοντα μᾶλλον, ἢ ἄνθρωπον ἐποίησε· τὸν δὲ λύκον διὰ τὸ ἁρπακτικὸν εἰργάσατο· καὶ μαρτυρεῖ ἡ γραφὴ λέγουσα οὕτως, „οἱ ἄρχοντες „ὑμῶν ὡς λέοντες ὠρυόμενοι, καὶ οἱ κριταὶ ὑμῶν ὡς λύκοι τῆς Ἀ„ραβίας· λέοντας καλέσασα τοὺς ὠμοὺς καὶ τυραννικούς, λύκους δὲ τοὺς ἁρπακτικοὺς καὶ πρὸς πλεονεξίαν βλέποντας. ὁρᾷς πῶς ὁ κατ' εἰκόνα Θεοῦ γενόμενος ἄνθρωπος εἰς τὴν τῶν ἀλόγων τάξιν κατηνέχθη; ὅταν οὖν τυραννῇ ἄνθρωπος, προσαγορεύεται λέων· ὅταν ἁρπάζῃ, δέχεται τοῦ λύκου τὴν προσηγορίαν· ὅταν ταῖς ἀσελγέσι ἐπιθυμίαις ἐμφύρηται, καὶ δίκην ἀλόγων ἐπὶ τὰς παρανόμους πράξεις ἐκφέρηται, εὑρίσκεται πάλιν ἵππος ὁ ἄνθρωπος. „ἵπποι γάρ, φησι, θηλυμανεῖς ἐγενήθησαν ἕκαστος ἐπὶ τὴν γυ„ναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν. ἄλλους πάλιν ἡ κακία ἀπὸ ἀνθρώπων κύνας ἐποίησε κύνας, διὰ τί; διὰ τὸ ὑλακτικόν, διὰ τὸ πάντοτε θορύβοις καὶ ταραχαῖς χαίρειν· περὶ ὧν καὶ ὁ μακάριος „Δαβὶδ ἐκ προσώπου τοῦ Σωτῆρος βοᾷ διὰ τοῦ προφήτου· „περιεκύ„κλωσάν με κύνες· καὶ τίνες οἱ κύνες; συναγωγὴ πονηρευομένων πε„ριέσχον με. ἄλλους πάλιν ἡ γραφὴ καλεῖ χοίρους τοὺς ἐν βόθρῳ τῶν ἀτόπων πράξεων ἐμφυρομένους· περὶ ὧν φησιν ὁ Κύριος διὰ τοῦ „εὐαγγελιστοῦ, μὴ ῥίπτετε τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας ὑμ„ῶν ἔμπροσθεν τῶν χοίρων. ὁρᾷς πῶς ποικίλος ὁ ἄνθρωπος, καὶ πῶς ἡ εἰκὼν ἐκείνη ἡ καθ' ὁμοίωσιν Θεοῦ γενομένη κατηνέχθη πρὸς τὰς τῶν ἀλόγων ὁμοιότητας οὐκ ἄλλου τινὸς βιασαμένου, ἀλλὰ τοῦ ἀνθρώπου ἑαυτὸν ῥίψαντος; ἡ γὰρ γραφὴ οὐ τῇ ἀνάγκῃ τὴν παράβασιν ἐπιγράφει, ἀλλὰ τῇ προαιρέσει τοῦ τιμηθέντος, καὶ τὴν τιμὴν ἀγνοήσαντος· ἄνθρωπος γάρ, „φησιν, ἐν τιμῇ ὢν, οὐ συνῆκε. φέρε πάλιν, εἰ δοκεῖ, σκοπήσωμεν ὡς αὖθις ἑτέρους τινὰς ἡ γραφὴ διὰ τὸ ποικίλον καὶ πανοῦργον καὶ ὑποκρίσεως γέμον τῆς γνώμης ἐπάγγελμα, ἀλώπεκας ὀνομάζει. διὰ τοῦτο γοῦν τὸν Ἡρώδην ποικίλον ὄντα ταῖς γνώμαις, καὶ πανοῦργον ταῖς ἐνθυμήσεσι, καὶ ἀσεβείᾳ συζῶντα, εὐσεβείᾳ συσχηματιζόμενον, ὁ

BIBLIOTECA CAZ ROMA

eloquia retineamus: & quemadmodum favus ille diverſis quidem conficitur ex generibus, unum autem bonum habet: ſic & nobis eſto favus ſcriptura divina, ex multis quidem ac diverſis conſtans Prophetis, unum verò doctrinæ mel ſtillans. Talis & nobis Patrum favus ex multis quidem ætatibus coacervatus, unam verò gratiam unámque ſpiritalem doctrinam diſtillans. Verùm hæc quidem hactenus: nobis verò precibus & patrocinüs communis Patris contingat, ut diligentia noſtra ſermonem augentes, divinam legem adimpleamus in mente noſtra quovis tempore: idque faciamus, quod à Davide dictum eſt, ut Dei legem in medio ventris noſtri ſemper habeamus, ſive divinas ſententias, ut naturæ terminos ſtatuamus agnoſcere, ac veritatem colere, mundum contemnere, Deóque gloriam offerre, nunc & ſemper & in ſecula ſeculorum. Amen. Pſal. 39, 7.

Ejuſdem demonſtratio, primum hominem per inobedientiam abjeciſſe imaginem ad ſimilitudinem Dei factam, & per novum Adamum eam rurſus recuperaſſe.

FRONT. DUCÆO Interprete.

HOminem ad imaginem & ſimilitudinem Dei editum in lucem & procreatum eſſe, cùm ipſa ſcriptura divina tradidit, tum doctrinæ ſermo ſenſim quodammodo diſcendi cupidis ſubindicavit. Ac meminiſtis omnino qui inter auditores utique diligentiores eſtis, quopacto de hoc argumento verba fecerimus, & qua ratione in primis illud: Ad imaginem, ad hominis dominatum & in omnes res creatas imperium referendum ſit: ſimilitudo verò imaginis hujus de perfectione virtutum intelligatur. Neceſſarium verò nunc eſt, fratres, ut doceamus, ac dilucidè exponamus, quo tandem modò is qui cæteris omnibus Dei creaturis honore fuerat antelatus homo, à propria primigeniáque divinæ formæ pulchritudine in brutarum animantium naturam & ſimilitudinem fuerit devolutus. Nam cùm benigni Dei imago eſſet, vitiis ſemetipſum deformavit, & ſceleribus labefecit, veréque jumentis inſipientibus comparatus eſt, & ſimilis factus eſt illis. Quo verò pacto jumentis etiam inſipientibus aſſimilatus fuerit homo, ex ipſis operibus intelligamus oportet, non ut, quæ præceſſerunt, vituperemus ſed ut præſentia corrigamus. Nam & quæ ad Adamum pertinent; omniſque eorum qui præceſſerunt, hiſtoria, non ut eos qui præceſſerunt laudemus, aut vituperemus, lecta ſunt, ſed ut virtutem imitemur, & vitium declinemus. *Hæc autem* (inquit admirabilis Paulus) *ſcripta ſunt ad correptionem noſtram, in quos fines ſeculorum devenerunt.* 1 Cor. 10, 11. Imaginem itaque ad ſimilitudinem Dei factam primus homo per inobedientiam abjecit, eamque dæmonibus proterendam permiſit, brutarum animantium ſimilitudine varia deturpavit: atque hunc quidem ob crudelitatem ac tyrannidem morum, leonem potiùs quàm hominem reddidit, illum autem lupum ob rapacitatem effecit. Teſtatur hoc Scriptura, quæ ſic ait, *Principes veſtri quaſi leones rugientes, & judices veſtri, quaſi lupi Arabiæ*: Zephan. 3, 4. leones appellans crudeles, & tyrannidem exercentes, lupos autem rapaces ad avaritiam & prædam imminentes. Vides ut ad imaginem Dei factus homo in belluarum ordinem ſit redactus? Quando ergo tyranni more ſe gerit homo, leo appellatur: quando rapax eſt, lupi cognomen invenit: cùm impuris libidinibus ſe coinquinat, & beſtiarum in morem ad improba facinora præceps ruit, rurſus equus invenitur homo: equi enim, inquit, amatores & emiſſarii facti ſunt: *unuſquiſque ad uxorem proximi ſui hinniebat.* Jer. 5, 8. Alios porrò vitium ex hominibus canes fecit. Canes, cur? propter allatrandi conſuetudinem, quódque tumultibus ac rixis uſque delectentur, de quibus & beatus David ex perſona Salvatoris clamat per Prophetam, *Circumdederunt me canes.* Pſal. 21, 17. Quoniam verò canes? *Concilium malignantium obſedit me.* Alios rurſus porcos appellat ſcriptura, qui in fovea pravarum actionum inquinantur, de quibus per Evangeliſtam ait Dominus, *Ne mittatis ſancta canibus, neque margaritas ante porcos.* Matth. 7, 6. Vides quomodo varius ſit homo, & quo pacto imago illa, quæ ad ſimilitudinem Dei facta erat, ad belluarum ſimilitudinem devoluta ſit, non altero quopiam vim afferente, ſed homine ſeipſum præcipitem agente? Scriptura enim non neceſſitati tranſgreſſionem adſcripſit, ſed libero arbitrio ejus, qui honore affectus fuerat, & honorem non agnoverat. *Homo quippe*, inquit, *cùm in honore eſſet, non intellexit.* Pſal. 48, 13. Age verò rurſus, ſi ita videtur, conſideremus quomodo alios etiam quoſdam propter varietatem & calliditatem, multæque ſimulationis plenam animi profeſſionem, vulpes ſcriptura nominet. Ea propter Herodem utique varium in conſiliis, & in cogitationibus aſtutum, in impietate viventem, ac pietatis velo perſonatum,

Salvator vulpem appellat. Cùm enim adveniſſent nonnulli, atque ipſi renunciaſſent Herodem ipſum videre velle; tum ſancta illa & magna vox reſpondens ait, *Dicite vulpi iſti, hodie & cras*
Luc. 13, 32. *ſigna facio, & tertia die conſummor.* Dicite vulpi iſti, quaſi dicat, animæ ad omnem calliditatem factæ, plenæ dolo, &
Act. 13. omni malitia & fallacia. Animadvertis, frater, quo pacto callidos ſcriptura vulpes appellet? Quotieſcunque igi-
Pſal. 62, 11. tur cum pſalmiſta dixeris, *Introibunt in inferiora terræ, partes vulpium erunt*; intellige ænigma, neque exiſtimes ænigma, B haud aliter quàm per intelligentiam accipi. Et rurſus alibi, dicit, Partes hypocritarum erunt: qui enim veritatem ignorant, non cum fidelibus, ſed cum hypocritis partem accipiunt: unde & Salvator hanc ſententiam obſignans ait de
Matth. 24, 51. eo qui malè diſpenſatoris munere functus erat, *Intrabit Dominus ſervi illius, & dividet eum, partémque ejus ponet cum hypocritis.* Itaque hypocritas appellavit ſcriptura vulpes. In tam multas ergo, fratres, dejecta eſt indeco- C ras figuras & ſimilitudines imago Dei, ſic ut non aliis nominibus omnem terrarum orbem appellet ſcriptura, priuſquam iſta cognitio pietatis illuceſceret, quàm brutorum, jumentorum, & reptilium atque immanium beſtiarum. Enimverò ipſum coryphæum Apoſtolorum Petrum, cùm benigniſſimus Deus admonere vellet, ut ex alienigenis omnes admitteret, qui ſe offerrent, admirabilem illam & inuſitatam ſindonem commonſtravit illi, quæ de cœlo quatuor initiis ſubmitte- D batur, in qua erant omnia quadrupedia terræ, & volatilia cœ-
Act. 10, 11. li, & beſtiæ & reptilia: & ait ad eum, *Surge Petre, occide, & manduca.* Ait autem Apoſtolus: *Abſit Domine: nunquam enim manducavi omne commune, & immundum.* Ignorans enim ænigma ſimilitudinis Petrus, putánſque ſenſilia eſſe quæ videbat, manducaturum ſe negat, conſuetudinem ſervans Judaicam, & ait, Abſit Domine? nunquam enim manducavi omne commune, & immundum. Dominus autem ad eum di- E xit, *quæ Deus purificavit, tu communia ne dixeris.* Hæc itaque Salvator cum Apoſtolo diſſerebat de quadrupedibus apparentibus & beſtiis ac volatilibus: Chriſti verò Apoſtolus Petrus intellexit poſtea Salvatorem non volatilia & belluas ſignificaſſe per linteum, ſed gentes omnes, atque Cornelio, cum illo colloquens, *Vos ſcitis quomodo abominatum ſit viro Judæo conjungi alicui alienigenæ: ſed mihi oſtendit Deus neminem communem aut immundum dicere hominem.* Didiciſti, mi frater, A quomodo variè belluarum appellationibus fuerimus ignomi-
Eſa. 11, 6. & 65. 25. nioſe notati? Rurſus cùm legeris in Propheta Eſaia. *Tunc lupus ſimul cum agno paſcetur, & pardalis cum hædo accubabit, & Leo & bos ſimul paſcentur, & ſimul comedent paleas*: intellige ænigma, & clarè percipe ejus intelligentiam, quod non brutorum animalium conventum ſignificat, ſed hominum potius congregationem, planéque pietatis communem interpretatur, & ſalu- B tem per gratiam omnibus mortalibus affulgentem. Cùm enim in Eccleſia pauperem videris cum divite aſtantem, cum magiſtratu privatum, tenuem cum illuſtri, eúmque qui exteriùs poteſtatem veretur, conſidera quid ſibi velit illud, Lupus cum agno paſcetur. Lupum nimirum appellat divitem, agnum verò pauperem. Unde autem id conſtat quoniam communicabit lupus cum agno, quo modo dives cum paupere, atque attende diligenter. Aſſiſtit plerumque dives & pauper in Eccleſia: compre- C hendit te hora myſteriorum: expellitur dives, ut minimè initiatus myſteriis. permanet autem intra cœleſtia tabernacula, aſtátque pauper: neq; tamen indignatur dives, quippe qui noverit ſe à divinis myſteriis alienum. Quinetiam, ò divinum beneficium, non modò æqualitas honoris eſt in Eccleſia, quæ à Deo eſt gratia. ſed & cùm uterque ſubſiſtit, plerumque pauper pietate divitem antecellit, neq; quicquam diviti contulerunt ad pietatem opes, neq; paupertas fideli fraudi fuit, ſed eum cum fiducia coram D ſancto ſtatuit altari. Hæc autem, dilectiſſimi, de catechumenis à me dicuntur, non de quibuſvis opulentis. Adverte quæſo animū, mi frater, ac vide quo pacto ſæpè Dominus excedat ex Eccleſia, & ſervus fidelis ſacris aſſideat myſteriis: egrediatur domina, & maneat ancilla: non enim accipit hominis faciem Deus. Non eſt ergo in Eccleſia ſervus & liber, ſed illum novit ſcriptura ſervum,
Joh. 8, 34. Rom. 6, 20. qui ſervituti peccati addictus eſt. *Quis enim,* inquit, *facit peccatum, ſervus eſt peccati.* Illum etiam liberum agnoſcit, qui à divi- E na gratia in libertatem aſſertus eſt. Nam *Lex*, inquit, *ſpiritus*
Rom. 8, 2. *vitæ in Jeſu Chriſto liberàvit me à lege peccati.* Cùm igitur hæc imago, variis modis, ut antè diximus, labefactata & diſſoluta eſſet; venit Servator, & propriam imaginem reſtauravit; & quam diabolus diſſiparat, eam ipſam tulit opifex homo factus, amator hominum, non ut dignitatem ſuam dedecore afficeret, ſed ſuam erga eos benignitatem demonſtraret. Unde hoc divinum

A Σωτὴρ ἀλώπεκα προσαγορεύει. ἐλθόντων γάρ τινων, καὶ ἀπαγγειλάντων αὐτῷ ὅτι βούλεται σε ἰδεῖν Ἡρώδης, ἡ ἁγία καὶ μεγάλη φωνὴ ἀποκριθεῖσά φησιν, εἴπατε τῇ ἀλώπεκι ταύτῃ, σήμερον καὶ αὔριον ποιῶ σημεῖα, καὶ τῇ τρίτῃ τελειοῦμαι. εἴπατε τῇ ἀλώπεκι ταύτῃ, ἀντὶ τοῦ, τῇ πεπανουργευμένῃ ψυχῇ, τῇ γεμούσῃ δόλου, καὶ πάσης πονηρίας, καὶ ῥᾳδιουργίας. εἶδες, ἀδελφὲ, πῶς καλεῖ τοὺς πανούργους ἡ γραφὴ ἀλώπεκας; ὅταν τοίνυν λέγῃς μετὰ τοῦ ψαλμῳδοῦ, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, μερίδες ἀλωπέκων ἔσονται, νόησον τὸ αἴνιγμα, καὶ μὴ ὑπολάβῃς τὸ αἴνιγμα εἰ μὴ εἰς B θεωρίαν ἐκλαμβάνεσθαι. καὶ πάλιν ἀλλαχοῦ φησι, μερίδες ὑποκριτῶν ἔσονται. οἱ γὰρ τὴν ἀλήθειαν ἀγνοοῦντες οὐ μετὰ τῶν πιστῶν, ἀλλὰ μετὰ τῶν ὑποκριτῶν τὸ μέρος λαμβάνουσιν. ὅθεν καὶ ὁ Σωτὴρ τὴν ἔννοιαν ταύτην ἐπισφραγίζων φησὶ περὶ τοῦ κακῶς οἰκονομήσαντος, εἰσελεύσεται ὁ δεσπότης τοῦ οἰκέτου ἐκείνου, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐ- C τοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. τοὺς τοίνυν ὑποκριτὰς ἀλώπεκας ἐκάλεσεν ἡ γραφή. εἰς τοσαύτας οὖν, ἀδελφοὶ, ἀπρεπεῖς κατηνέχθη μορφὰς, καὶ ὁμοιώσεις ἡ εἰκὼν τοῦ Θεοῦ, ὥστε οὐδὲν ἕτερον ὀνομάζει ἡ γραφὴ τὴν οἰκουμένην ἅπασαν, πρὶν ἐπιλάμψαι αὐτῇ ἡ γνῶσις τῆς εὐσεβείας, ἢ ἄλογα, καὶ κτήνη, καὶ ἑρπετὰ, καὶ θῆρας ἀγρίους. ἀμέλει γοῦν καὶ τὸν κορυφαῖον τῶν ἀποστόλων Πέτρον βουληθεὶς ὁ φιλάνθρωπος Θεὸς δυσωπῆσαι, ὥστε πάντας δέχεσθαι τοὺς ἐκ τῶν ἀλ- D λοφύλων προσιόντας, τὴν θαυμασίαν ἐκείνην, καὶ ξένην ἔδειξε σινδόνα καθιεμένην ἐκ τοῦ οὐρανοῦ ἐν τέτρασιν ἀρχαῖς, ἐν ᾗ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ θηρία καὶ ἑρπετά. καί φησι πρὸς αὐτὸν, ἀναστὰς Πέτρε θῦσον καὶ φάγε. ὁ δὲ ἀπόστολος ἔφη, μηδαμῶς Κύριε· οὐδέποτε γὰρ ἔφαγον πᾶν κοινὸν, καὶ ἀκάθαρτον. ἀγνοήσας γὰρ τῆς εἰκόνος τὸ αἴνιγμα ὁ Πέτρος, καὶ νομίσας αἰσθητὰ εἶναι τὰ ὁρώμενα ἀπαγορεύει τὴν βρῶσιν, τὴν Ἰου- E δαϊκὴν φυλάττων συνήθειαν, καί φησι, μηδαμῶς Κύριε, οὐδέποτε γὰρ ἔφαγον πᾶν κοινὸν, ἢ ἀκάθαρτον. ὁ δὲ Κύριος ἔφη πρὸς αὐτὸν, ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. ταῦτα τοίνυν διελέγετο ὁ Σωτὴρ τῷ ἀποστόλῳ περὶ τῶν τετραπόδων τῶν φαινομένων, καὶ τῶν θηρίων καὶ τῶν πετεινῶν. ὁ δὲ ἀπόστολος τοῦ Χριστοῦ Πέτρος ἐνόησε μετὰ ταῦτα ὅτι οὐ τὰ πετεινὰ καὶ τὰ θηρία ᾐνίξατο ὁ Σωτὴρ διὰ τῆς ὀθόνης, ἀλλὰ τὰ ἔθνη πάντα· καί φησι τῷ Κορνηλίῳ, διαλεγόμενος αὐτῷ, ὑμεῖς ἐπίστασθε, ὅτι ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι τινὶ ἀλλοφύλῳ. ἐμοὶ A δὲ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. ἔμαθες, ἀδελφὲ, ὅπως διαφόροις ταῖς τῶν ἀλόγων προσηγορίαις ὑβρίσθημεν; ὅταν πάλιν ἀναγνῷς ἐν τῷ προφήτῃ Ἡσαΐᾳ, τότε συμβοσκηθήσονται λύκος μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων καὶ βοῦς ἅμα βοσκηθήσονται, καὶ ἅμα ἄχυρα φάγονται· νόησον τὸ αἴνιγμα καὶ ἔκλαβε σαφῶς τὴν θεωρίαν, ὅτι οὐ τὴν ἀλόγων θηρίων σύνοδον μηνύει, ἀλλὰ τὴν τῶν ἀνθρώπων κοινω- B νίαν, καὶ ἑρμηνεύει σαφῶς τὴν τῆς εὐσεβείας τὴν κοινωνίαν, καὶ τὴν διὰ τῆς χάριτος ἐπιλάμψασαν σωτηρίαν πᾶσιν ἀνθρώποις. ὅταν γὰρ ἴδῃς ἐν ἐκκλησίᾳ πένητα πλουσίῳ συμπαρεστῶτα, ἰδιώτην ἄρχοντι, εὐτελῆ τῷ ὑπερέχοντι, τὸν ἔξω τρέμοντα τὴν δυναστείαν, νόησον τί ἐστι τὸ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός. λύκον τοίνυν καλεῖ τὸν πλούσιον, ἀρνίον δὲ τὸν πτωχόν. καὶ πόθεν τοῦτο; ὅτι κοινωνήσει λύκος ἀρνίῳ, ὃν τρόπον πλούσιος μετὰ πτωχοῦ. καὶ πρόσεχε ἀκριβῶς. ἕστηκε πολ- C λάκις πλούσιος καὶ πένης ἐν ἐκκλησίᾳ, κατέλαβέ σε ὥρα τῶν μυστηρίων, ἐξωθεῖται ὁ πλούσιος ὡς ἀμύητος ὢν· ἵσταται δὲ ὁ πένης ἐντὸς τῶν οὐρανίων σκηνῶν. καὶ οὐκ ἀγανακτεῖ ὁ πλούσιος· οἶδε γὰρ ἑαυτὸν ἀλλότριον τῶν θείων μυστηρίων. ἀλλ᾽ ὢ τῆς θείας χάριτος, οὐ μόνον ὁμοτιμία ὑπάρχει ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν τοῦ Θεοῦ χάριν, ἀλλὰ καὶ λύκοι ἵστανται. πολλάκις ὁ πένης τὸν πλούσιον πρωτεύει ἐν τῇ εὐσε- D βείᾳ, καὶ οὐδὲν ὁ πλοῦτος ὤνησε τὸν ἔχοντα ἐκ τῆς εὐσεβείας, οὐδὲ πενία τὸν πιστὸν ἐζημίωσε, παριστῶσα αὐτὸν μετὰ θάρσους τῷ ἁγίῳ θυσιαστηρίῳ. ταῦτα δὲ λέγω, ἀγαπητοὶ, περὶ τῶν κατηχουμένων, καὶ οὐ περὶ τῶν ἁπλῶς πλουσίων. ἐνόησον, ἀδελφὲ, πῶς ὑποχωρεῖ τῆς ἐκκλησίας πολλάκις δεσπότης, καὶ προσεδρεύει τοῖς μυστηρίοις πιστὸς οἰκέτης. ἀναχωρεῖ ἡ δέσποινα, καὶ μένει ἡ θεράπαινα· πρόσωπον γὰρ ἀνθρώπου Θεὸς οὐ λαμβάνει. οὐκ ἔστι τοίνυν ἐν τῇ ἐκκλησίᾳ δοῦλος καὶ E ἐλεύθερος, ἀλλ᾽ ἐκεῖνον οἶδεν ἡ γραφὴ δοῦλον τὸν τὴν ἁμαρτίαν διδουλωμένον. ὁ γὰρ ποιῶν, φησι, τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. καὶ ἐκεῖνον οἶδεν ἐλεύθερον, τὸν ὑπὸ τῆς θείας χάριτος ἠλευθερωμένον. ὁ γὰρ νόμος, φησὶ, τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας. ἐπεὶ οὖν ἡ εἰκὼν αὕτη διαφόρως, ὡς ἔφθημεν εἰπόντες, ἔφθαρτο καὶ διαλέλυτο, ἦλθεν ὁ Σωτὴρ καὶ τὴν ἰδίαν εἰκόνα πάλιν ἀνέστησε, καὶ ἣν κατέσπασεν ὁ διάβολος, ταύτην ἐφόρεσεν ὁ δημιουργὸς ἄνθρωπος γενόμενος, ὁ φιλάνθρωπος, οὐ τὴν ἀξίαν ὑβρίζων, ἀλλὰ τὴν φιλανθρωπίαν ὁρίζων. ὅθεν τοῦτο τὸ θεῖον

καὶ

καὶ ξένον ἔνδυμα ὁ μακάριος Δαβὶδ προαναφωνῶν ἔλεγεν, ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. οὐ τῇ ἀνάρχῳ καὶ ἀσωμάτῳ θεότητι ἔνδυμα δίδοται· οὐδὲν γὰρ εὐπρεπέστερον Θεοῦ, ἵνα Θεὸς εὐπρέπειαν ἐνδύσηται· ἀλλὰ τῇ ἀνθρωπίνῃ φύσει. ἡμεῖς γὰρ οἱ ἄνθρωποι τὰ ἀσχήμονα τῶν μελῶν τῇ εὐπρεπείᾳ τῶν ἐνδυμάτων καλύπτομεν· ὁ δὲ Θεὸς ἁπλοῦς ὤν, καὶ ἀσχημάτιστος, καὶ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ποίας εὐπρεπείας δεῖται, ἢ ποῖον ἔνδυμα περιβάλλεται; ἢ δῆλον ὅτι τοῦ σώματος ἀνάληψιν ὁ προφήτης ὠνόμασεν εὐπρέπειαν; καλεῖ δὲ καὶ τὴν οἰκείαν σάρκα εὐπρέπειαν· οὐ διὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ διὰ τὴν τῶν ἀρετῶν κατόρθωσιν. διὰ τοῦτο εὐπρεπὲς τὸ σῶμα τοῦ Κυρίου. οὐκ ἐπειδὴ σῶμα ἦν μόνον, ἀλλ᾽ ἐπειδὴ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. οὕτω καὶ Ἡσαΐας φησίν, ὅτι πάντας ἀνθρώπους ἐνδύσει, καὶ περιθήσει ὡς κόσμον νύμφης. ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο· καί, περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ, καὶ τὰ ἑξῆς. καὶ ταῦτα ὥσπερ ὁπλίτην τινὰ δείκνυσι τὸν βασιλέα Χριστόν, ὅπλα τινὰ γηΐνου σώματος ἐνδυόμενον. καὶ εἰκότως γηΐνου. οὐ γὰρ ὁμοίως τοῖς ἀνθρώποις ὁπλίζεται· καὶ ὅπως, ἄκουε· ἡμεῖς ἄνθρωποι, ὅτε πολλάκις ὁπλιζόμεθα, τὸ ἀσθενὲς φυλάττομεν ὑπὸ τοῦ ἰσχυροῦ. ὁ Θεὸς ὢν ἰσχυρός, καὶ κραταιός, καὶ δυνατός, τὸ γήϊνον καὶ ἀσθενὲς περιβάλλεται σῶμα, οὐχ ὑβρίζων τὴν ἀξίαν, ἀλλὰ διὰ τοῦ ἀσθενοῦς τὸ ὑπερβάλλον τῆς δυνάμεως ἐνδεικνύμενος, ὡς ἔλεγεν, ἱκετεύοντος αὐτὸν τοῦ Παύλου, ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμις ἐν ἀσθενείᾳ τελειοῦται. ὅθεν καὶ ὁ γενναῖος οὗτος ἀπόστολος καλῶς νοήσας τὰ πρὸς αὐτὸν εἰρημένα, φησὶ πρὸς Κορινθίους ἐπιστέλλων, ὅτι τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· ἐνεδύσατο Κύριος δύναμιν, τοῦτ᾽ ἔστι διὰ τῆς σαρκὸς ἀναλάμψασαν οἰκονομίαν. τί γὰρ ἐκείνης τῆς τιμίας καὶ ἁγίας σαρκὸς δυνατώτερον; τί δὲ ἰσχυρότερον; διὰ γὰρ σώματος τοὺς ἀσωμάτους καὶ πονηροὺς δαίμονας κατηγωνίσατο, καὶ διὰ σταυροῦ τὰς ἀντικειμένας δυνάμεις ἐθριάμβευσε. πρόσεχε ἀκριβῶς. τὸ περιζωσθῆναι, περιγραφῆναι σημαίνει. ἐπεὶ οὖν ἡ ἁγία καὶ ἀπερίγραπτος φύσις ἔδοξεν ἐν τῷ σώματι περιγράφεσθαι, οὐ περιγραφεῖσα μὲν κατὰ τὴν ἰδίαν φύσιν, περιγεγράφθαι δὲ νομισθεῖσα κατὰ τὴν φαινομένην ὄψιν, εἰκότως ἔλεγεν, ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ τί τὸ ἐπαγόμενον; καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ἐπεὶ οὖν τὰ πρῶτα ἐσάλευσε τὴν οἰκουμένην ἡ ἁμαρτία, ἐλθὼν ὁ Σωτὴρ ἔπηξε τὸν σταυρόν, καὶ ἐστερέωσε τὴν οἰκουμένην. σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ ὁ Παῦλος, ὁ μέντοι στερεὸς θεμέλιος ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην. δύο οὖν ῥήματα ἐξήνεγκεν ὁ δεσπότης, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· οὐκ ἐχρήσατο πολλῇ περιόδῳ λόγων· οὐκ εἶπε στερεῶ τὴν ἐκκλησίαν. καί, οὔτε βασιλεῖς, οὔτε ἄρχοντες, οὔτε τύραννοι, οὔτε δήμιοι, οὔτε σοφοί, οὔτε ἄγροικοι, οὔτε ῥήτορες περιέσονται τῆς ἐκκλησίας· ἄμαχος γὰρ καὶ ἀκαταγώνιστος ἡ βασιλεία Χριστοῦ· ἀλλὰ τῷ ῥήματι τὴν δύναμιν ἐσήμανε, καὶ ψιλῇ λέξει τὴν ἐπαγγελίαν ὠχύρωσεν· ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. δύο ῥήματα, οὐ ψιλὰ ῥήματα· ἀλλὰ Θεοῦ ῥήματα. ὁ γὰρ ῥήματι τὸν οὐρανὸν στερεώσας, καὶ τὴν γῆν θεμελιώσας ῥήματι, καὶ τὴν ἐκκλησίαν ᾠκοδόμησε, καὶ ἐτείχισε, καὶ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. προσπέσωμεν τοίνυν, ἀγαπητοί, τῷ τὴν οἰκουμένην στερεώσαντι, καὶ κλαύσωμεν, καὶ ἐνδυσωπήσωμεν· ἵνα διὰ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀφάτου δυνάμεως ἑδραῖοι, καὶ ἀμετακίνητοι ἐπὶ τὸν ἄσειστον καὶ ἄρραγη θεμέλιον μείναντες, αὐτῷ τὴν δόξαν ἀναπέμπωμεν, καὶ τὴν εὐχαριστίαν πάντοτε, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τὸ ῥητὸν τοῦ Ἀβραὰμ τὸ λέγον, Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου. καὶ εἰς διαφόρους μάρτυρας.

ΕΘΑΥΜΑΣΑ μεθ᾽ ὑμῶν, ὦ φιλόχριστοι, τὰ νέα εὐαγγελικῆς χάριτος διὰ τῆς παλαιᾶς διαθήκης κηρυττόμενα· ἐφωτίσθην μεθ᾽ ὑμῶν τὴν διάνοιαν, θεασάμενος τὸν ἀποστολικὸν χαρακτῆρα ἐν ταῖς προφητικαῖς φωναῖς ἐκλάμποντα. ὁμολογῶ τὸ κέρδος, ἵνα δέξωμαι τὸν μισθόν· εἶδον ξένα μυστήρια τῆς παλαιᾶς κηρυττόμενα· τὸν Ἀβραὰμ ὀμνύντα κατὰ τοῦ μηροῦ, καὶ μηρὸν μὲν προβαλλόμενον, τὸν δὲ ποιητὴν

A & admirabile indumentum beatus David prænuntians dixit, *Dominus regnavit decorem indutus eſt*. Neque verò divinitati principio carenti & incorporeæ datur indumentum. Nihil enim eſt ornatius Deo magiſque decorum, quam ut ipſe decorem induat: quin hoc humanæ naturæ convenit. Etenim nos homines membrorum deformitatem, veſtimentorum decore contegimus. Verùm cùm Deus ſimplex ſit, & ſine figura, *ſolus habens immortalitatem, lucem habitans inac-* Pſal. 92, 1.
B *ceſſibilem*, quo decore eget, aut quo indumento ornatur? Unde perſpicuum eſt Prophetam appellaſſe decorem, corporis aſſumptionem; quinetiam vocat, decentiam, propriam carnem, non ob corporis naturam, ſed ob virtutum perfectionem. Iccirco decorum corpus Domini, non quod corpus fuerit ſolum, ſed quod peccatum non fecerit, neque dolus inventus ſit in ore ejus. Dominus regnavit, decorem indutus eſt. Sic etiam ait Eſaias, Quod omnes homines induet. 1 Tim. 6, 16. Eſa. 61, 10. Pſal. 92. & 44. 4
C & circumdabit *quaſi ornamento ſponſa*. Indutus eſt Dominus fortitudinem, & præcinxit ſe. &, accingere gladio tuo ſuper femur tuum, potens; & quæ ſequuntur. Atque hæc tanquam armatum quempiā Regem Chriſtum demonſtrant, arma quædam terreni corporis indutū: & meritò terreni, non enim ſimiliter atq; homines armatur; & audi quomodo: Nos homines cùm plerumque armatur, quod infirmum eſt, tutamur eo quod forte eſt. Sed Deus qui fortis eſt, & validus, & potens, terre-
D num & invalidum corpus induit: non dedecorans dignitatem ſuam, verùm poteſtatis ſuæ præſtantiam per infirmum oſtendens: ſicut dixit Paulo, qui ſupplicabat ipſi. *Sufficit tibi gratia mea, nam virtus in infirmitate perficitur*. Unde cùm nobilis hic Apoſtolus præclarè percepiſſet ea quæ ſibi dicta erant, ad Corinthios ſcribens ait. *Quod infirmū eſt Dei, fortius eſt hominibus*. Indutus eſt Dominus fortitudinem: hoc eſt, diſpenſationem elucentem per carnem, quid enim illa pretioſa & ſancta carne 2. Cor. 12, 9. 1. Cor. 1, 25
E potentius? quid porrò fortius? Etenim per corpus, corporis expertes & malignos dæmones debellavit; & per crucem de adverſariis poteſtatibus triumphavit. Attende diligenter. Indutum & circumamictum eſſe, ſignificat circumſcriptum eſſe. Cum igitur ſancta & incircumſcripta natura videretur in corpore circumſcribi, non circumſcripta quidem ſecundùm propriam naturam, ſed ejuſmodi exiſtimata ex viſione apparente; meritò dixit, *Indutus eſt Dominus for-* Pſal. 92, 1.
A *titudinem, & præcinxit ſe*. Et quid eſt quod mox inducitur? Etenim firmavit orbem terræ, qui non commovebitur. Quoniam ergo peccatum concuſſerat primum orbem terrarum, cùm veniſſet Servator fixit crucem, & orbem terræ firmavit, *Tu es Petrus, & ſuper hanc petram ædificabo Eccleſiam meam, & portæ inferni non prævalebunt adverſus eam*. Et Paulus: *Sed firmum fundamentum Dei ſtat, habens ſignaculum hoc*. Duo itaque verba pronunciavit Dominus; Super hanc petram ædifi- Matt 16, 18
B cabo Eccleſiam meam, & portæ inferi non prævalebunt adverſus eam. Non uſus eſt magno verborum ambitu: non dixit: Firmabo Eccleſiam: &, nec Reges, nec Principes, neque Tyranni, neque carnifices, neque ſapientes, neque ruſtici, neque oratores ſuperabunt Eccleſiam. Nam invictum & inexpugnabile eſt Regnum Chriſti. Verum uno verbo vim & potentiam declaravit, ac ſimplici dictione promiſſionem munivit: Super hanc petram ædificabo Eccleſiam meam, & portæ inferi non
C prævalebunt adverſus eam. Duo verba, non nuda & tenuia verba, ſed Dei verba. Nam qui verbo cœlum firmavit, & terram fundavit verbo, etiam Eccleſiam ædificavit, & muro cinxit, & firmavit orbem terræ, qui non commovebitur. Procidamus itaque dilectiſſimi, illi qui orbem terræ ſtabilivit, & ploremus, & ad miſericordiam inducamus, ut per ipſius benignitatem & ineffabilem potentiam, ſtabiles & incommutabiles, in inconcuſſo & infracto fundamento permanentes, ipſi jugiter
D gloriam offeramus, & gratiarum actionem, ſimul cum Patre & Spiritu ſancto, nunc & ſemper & in ſecula ſeculorum, Amen.

De illo Abrahami dicto: Pone manum tuam ſub femur meum: Item, de diverſis martyribus.

JOAN. JACOBO BEURERO Interprete.

ADmiratus ſum vobiſcum, pientiſſimi religionis Chriſtianæ amatores, ſumma illa Evangelicæ gratiæ myſteria in veteri Teſtamento nobis multo antè prædicari: animoque &
E mente vobiſcum illuſtratus ſum ea contemplatione, cùm priſcorum illorum Prophetarum monumenta Apoſtolicæ doctrinæ notis inſignia & reſplendeſcentia animadverterem. Hoc igitur lucri, quod feci, libenter confiteor, ac præmio fero, ut propterea præmium accipiam. Nova, inquā, myſteria in veteri Teſtamento celebrari & proponi, liquido deprehendi: & quidem in ea quoque parte hiſtoriæ, ubi Abraham per femur jorat: quo loco femur quidem proponitur, ſed conditor ille Gen. 24, 2.

cœli & terræ juriſjurandi teſtis invocatur. *Pone*, ajunt ſacræ li- A
Gen 4,10. teræ, *manum tuam ſub femur meum, & jura mihi per Deum, qui fecit cœlum & terram*. Exſtitit enim hic inſignis quæſtio: ſi enim formula hæc juriſjurandi de eo ſemine accipitur, quod ex ſemine Jacobi efflореſcere debuit, juxta hoc divinum oraculum: Non deficiet princeps ex Juda, neque dux ex femore ejus: quomodo de Servatore hoc jusjurandum intelligetur? Iſaacus ſi quidem jam erat natus, & ſemen jam exierat: & cùm hæc formula conciperetur, nulla amplius de aliquo ſemine in femore B Abrahami ſpes ſupererat. Abrahamus etenim ſemen illud ſalutare in ſe ipſo habuerat, ut eſt apud Paulum: Dictum eſt Abrahamo, & ſemini ejus quem locum D. Paulus, in illa ad Galatas Epiſtola exactius ſecum reputans, interpretatur: *Non dicit in*
Gal 3,16. *ſeminibus, quaſi in multis: ſed quaſi in uno. & ſemini tuo, qui eſt Chriſtus.* Hoc igitur confectum eſt, Chriſtum ſecundum carnẽ ſemen eſſe Abrahæ. Itaq; meritò formula juriſjurandi per ſemen concipiebatur. Sed de hoc quæſtio eſt, quomodo ille per femur C juraverit, cùm ſalutaris ille flos jam effloruiſſet. Verumenim verò poſteaquam membrum illud ſemel inſtrumentum fuiſſet, in quo divinum illud ſemen delituerat, jurat velut in templo. Qui enim per templum jurat, per eum etiam, qui in eo habitat, jurat. Quis eſt autem qui nobis hæc ſuo ſuffragio comprobat? Servator ipſe noſter Phariſæis dicit: *Væ vobis Phariſæi ſtulti & cæci!*
Mat, 23,16. *quia dicitis, Si quis per templum juraverit, nihil eſt: qui verò juraverit per aurum templi, debet*: & quid ſtatim? *ſtulti vos & cæci.* D *Quid enim majus eſt? aurum, an templum quod ſanctificat aurum? Itaque vobis dico, Quicunque juraverit per templum, per eum jurat, qui in templo habitat.* Quemadmodum enim domus regia, ſive palatium, ſi vel ſemel regem acceperit, vel iterum atque iterum; etiamſi rex poſtea omninò ab illis locis abſtineat, tamen nihilo ſecius, quia aliquando regium hoſpitium fuit, locus ille ſacer & dedicatus eſt: Ita quoq; illius Patriarchæ membrum, quia ſemel organum fuiſſet futuræ illius diſpenſationis E Chriſti in carne, templum poſtea permanſit promiſſorum beneficiorum divinorum. Neq; jusjurandum illud injuſtum: ſed teſtimonium verum fuit. Jurat itaq; per ſemen, & illud ipſum ſemen deinceps interpretatur. *Pone manum tuam ſub femur meum, & jura Dominum Deum cœli & terræ.* Eſt igitur Servator noſter Deus cœli & terræ. Hanc ob rem etiã in Propheta Zacharia, cum varia quædam viſa eidem oblata, & ab ipſo ſancto conſpecta eſ-
Zach. 4. 2. ſent, fuit etiã hæc quædam viſi ſpecies. *Et reſpexi*, inquit ille, *oculis, & vidi: & ecce candelabrũ aureum totũ, & ſeptem lucernæ ſuper illud: & ſeptem infuſoria lucernarum, & ſeptem lampades, & à dextris candelabri & à ſiniſtris duo rami olivarum. Et dixi Angelo, qui mihi verba faciebat: Domine, quid hæc ſibi volũt?* Cùm igitur hoc quod expoſui, viſum eſſet, quod quidem aliud quippiã præ ſe ferret, aliud ad interpretandum proponeret. (neque enim, quæ apparebant, ſeipſa ſignificabant, ſed alia quædam innuebant) Interrogat Propheta: *Domine, quid hæc ſibi volunt?* Si de eo, B quod apparebat, quærebat: ſanè imperitè interrogabat. Quis enim neſcit, quid candelabrum, quid oliva? Verùm Propheta, quærit, non de iis quæ apparebant, ſed de iis quæ tacita conſideratione comprehendebantur. Quæ igitur illa erant? Cui Angelus, *An non intelligis quid iſta ſibi velint? Non domine mi.* Et meritò ille quidem ignorantiam confitetur, & à veritate inſtruitur. Sanè fuit ille frater quaſi Eunuchi, qui ex Philippo audivit: *Pu-*
Act. 8. 30. *taſne, intelligis, quæ legis*, Cui ille, æquo animo: *Quomodo verò intelligerem, niſi quis me, quaſi manu duceret?* Non intelligis quid hæc ſibi velint? Cui ille: Non domine mi. Quinam igitur illi duo rami olivarum ſunt à dextra, & à læva lucernæ? Hi ſunt, inquit, olivas interpretans: & quidem unà cum olivis, etiam candelabrum explicat. Itaque ſtudioſè adverte: Candelabrum quidem conſtiterat: rami verò aſtiterant candelabro. Angelus verò, cùm rem explicaret, non demonſtrat oleas candelabro aſtantes, ſed D Deo: ita ut candelabrum illud figura fuerit Dei, imò verò Servatoris noſtri, & diſpenſationis ejuſdem in carne. Anne tu hæc non intelligis? Non Domine mi. Et dicit: *Iſti duo rami, duo ſunt filii pinguedinis, & aſtant Domino univerſæ terræ*: Non lucernæ, ut apparebat, ſed Domino univerſæ terræ. Et candelabrũ ille quidem, ſeptem luminibus illuſtre proponit, ad declarandam Domini in carne diſpenſationem. Eſt enim Dominica caro verum candelabrum, quæ ſeptemplici gratia Spiritus ſancti illumina- E tiones oſtendit. *Exibit enim virga*, inquit Eſaias, *de radice Jeſſe, &*
Eſa. 11. 1. *flos de radice ejus aſcendet, & requieſcet ſuper eum Spiritus Domini.* Et quiſnam? multiplex ille Spiritus, affectionibus & natura vehemens. Requieſcet, ait, ſuper eum Spiritus Domini. Hoc quidem in loco Propheta eſſentiam Spiritus ſancti interpretatur: quod verò ſequitur, operationes & effecta Spiritus innuit. Spiritum enim Dei, dicit Spiritum ſapientiæ & intellectus, Spiritum conſilii & roboris, Spiritum cognitionis & pietatis: Spiritum timoris Dei: Septem enim illas gratias Spiritus ſancti, ſeptem quæ in Dominico corpore requieverunt dona, illam figuram lucernarum præfigurare dicit. Quare verò ſeptem lucernæ: Ad ſplendorem & lucem effectorum Spiritus ſancti.

A οὐρανοῦ καὶ γῆς ἐπιμαρτυρούμενον τῷ λόγῳ. Θὲς γάρ, φησί, τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ὄμοσόν μοι τὸν Θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀνακύπτει γὰρ ζήτημα. εἰ γὰρ διὰ τὸ σπέρμα εἴρηται τὸ μέλλον ἐκ τῶν μηρῶν Ἰακὼβ ἀνθεῖν, κατὰ τό, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ· πῶς οὖν κατὰ τοῦ Σωτῆρος εὑρεθήσεται ὁ ὅρκος, ἐπειδὴ ὁ Ἰσαὰκ τεχθεὶς ἦν ἤδη, καὶ τὸ σπέρμα προελήλυθε, καὶ ὅτε ὁ ὅρκος ἐγένετο, οὐκ ἦν ἐλπὶς τοῦ σπέρματος ἐν τῷ μη- B ρῷ Ἀβραάμ; Ἀβραὰμ γὰρ εἶχεν ἐν ἑαυτῷ τὸ σπέρμα τὸ σωτήριον, περὶ οὗ φησιν ὁ Παῦλος· εἴρηται τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ. καὶ ἀναλογιζόμενος τὸ γράμμα, καὶ ἑρμηνεύων φησὶν ἐν τῇ πρὸς Γαλάτας· οὐκ εἴρηται τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ᾽ ὡς ἐφ᾽ ἑνός, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. ἀποδέδεικται τοίνυν ὅτι σπέρμα Ἀβραὰμ ὁ Χριστὸς κατὰ σάρκα, καὶ εἰκότως ὁ ὅρκος ἐγένετο κατὰ τοῦ σπέρματος. ἀλλὰ τὸ ζητούμενον, πῶς ὄμνυσι κατὰ τοῦ μηροῦ, ὡς ἤδη τοῦ σω- C τηρίου ἄνθους προελθόντος· ἀλλ᾽ ἐπειδὴ ἅπαξ αὐτὸ τὸ μέλος ὄργανον ἐγένετο, καὶ ᾤκησέ ποτε ἐκεῖ τὸ θεῖον σπέρμα, ὡς ἐν ναῷ ὀμνύει. ὁ δὲ κατὰ τοῦ ναοῦ ὀμνύων, κατὰ τοῦ ἐνοικήσαντος ὀμνύει. τίς οὕτω μαρτυρεῖ τῷ λόγῳ; αὐτὸς ὁ Σωτὴρ ἡμῶν λέγει τοῖς Φαρισαίοις· οὐαὶ ὑμῖν Φαρισαῖοι μωροί, καὶ τυφλοί, ὅτι λέγετε, ἐάν τις ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ἐὰν δέ τις ὀμόσῃ εἰς τὸν χρυσὸν τοῦ ναοῦ, ὀφείλει. καὶ τί εὐθέως; μωροὶ ὑμεῖς, καὶ τυφλοί. τίς γὰρ μείζων, ὁ χρυσός, ἢ ὁ ναὸς ὁ ἁγιάζων D τὸν χρυσόν; διὸ λέγω ὑμῖν· ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν τῷ οἰκήσαντι ἐν αὐτῷ. ὥσπερ γὰρ οἶκος βασιλικός, ἐπειδὰν ἅπαξ δέξηται βασιλέα, κἂν δεύτερον, καὶ τρίτον, κἂν ἀπόσχηται ὁ βασιλεὺς τῶν οἰκημάτων, ὁ τόπος ἅπαξ ἀφιέρωται τῷ δέξασθαί ποτε βασιλέα· οὕτω καὶ τὰ μέλη τοῦ πατριάρχου, τῷ ἅπαξ ὄργανα γενέσθαι τῆς μελλούσης οἰκονομίας, ναὸς ἦν τῆς ἐπηγγελμένης εὐεργεσίας· καὶ οὐκ ἄδικος ὁ ὅρκος, ἀλλ᾽ ἀληθινὴ ἡ μαρτυρία. ὀμνύει τοίνυν κατὰ τοῦ σπέρματος, καὶ E ἑρμηνεύει τί τὸ σπέρμα. θὲς γὰρ τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ὅρκωσαι Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς. οὐκοῦν ὁ Σωτὴρ ἡμῶν Θεὸς οὐρανοῦ καὶ γῆς. διὰ τοῦτο καὶ ἐν τῷ Ζαχαρίᾳ τῷ προφήτῃ, ὅτε διάφοροι αὐτῷ ὀπτασίαι καὶ ὤφθησαν τῷ ἁγίῳ, ἐγένετο ἔν τι τοῦτο τῆς ὀπτασίας μέρος· καὶ ἀνέβλεψα, φησί, τοῖς ὀφθαλμοῖς μου, καὶ εἶδον· καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ ἑπτὰ λύχνοι ἐπάνω τῆς λυχνίας, καὶ ἑπτὰ ἐπαρυστρίδες τῶν λύχνων, καὶ ἑπτὰ λαμπάδες, καὶ ἐκ δε- A ξιῶν τῆς λυχνίας, καὶ ἐξ εὐωνύμων δύο κλάδοι ἐλαιῶν. καὶ εἶπον τῷ ἀγγέλῳ τῷ λαλοῦντί μοι, Κύριε, τί ἐστι ταῦτα; ἐπειδὴ ὄψις ἦν, ἄλλα δεικνύουσα, καὶ ἄλλα εἰς ἑρμηνείαν προάγουσα (καὶ οὐκ αὐτὰ ἦν τὰ φαινόμενα ἑαυτῶν σημαντικά, ἀλλ᾽ ἑτέρων ὑποδεικτικά) ἐρωτᾷ ὁ προφήτης, Κύριε, τί ἐστι ταῦτα; εἰ τὰ φαινόμενα ἠρώτα, κακῶς ἠρώτα. οὐκ οἶδας τί λυχνία, καὶ τί ἐλαία; ἀλλὰ ζητεῖ ὁ προφήτης, οὐ τὰ φαινόμενα, ἀλλὰ τὰ θεωρούμενα. ἆρα τί ἐστι ταῦτα; καὶ ὁ ἄγγελος, B οὐκ ἐπιγινώσκεις τί ἐστι ταῦτα; οὐχί, Κύριε· εὐγνωμόνως ὁμολογεῖ τὴν ἀμαθίαν, καὶ παιδεύεται παρὰ τῆς ἀληθείας. ἀδελφὸς καὶ οὗτος τοῦ εὐνούχου τοῦ ἀκούοντος παρὰ Φιλίππου, ἆρα γινώσκεις ἃ ἀναγινώσκεις; ὁ δὲ εὐγνωμόνως. πῶς γάρ, ἐὰν μή τις ὁδηγήσῃ με; οὐ γινώσκεις τί ἐστι ταῦτα; ὁ δέ φησιν, οὐχί, Κύριε. τίνες εἰσὶν οἱ δύο κλάδοι τῶν ἐλαιῶν, οἱ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ λαμπαδίου; οὗτοί εἰσι, λέγει, τὰς ἐλαίας ἑρμηνεύων. σὺν ταῖς ἐλαίαις, καὶ τὴν λυχνίαν C τί ἐστι. πρόσεχε ἀκριβῶς. ἡ λυχνία ἑστήκει, οἱ κλάδοι παρεστήκεισαν τῇ λυχνίᾳ. ὁ δὲ ἄγγελος ἑρμηνεύων, οὐ δείκνυσι τὰς ἐλαίας λυχνίᾳ παρεστώσας, ἀλλὰ Θεῷ, ὡς εἶναι τὴν λυχνίαν τύπον Θεοῦ. μᾶλλον δὲ τοῦ Σωτῆρος ἡμῶν, καὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας. οὐ γινώσκεις τί ἐστι ταῦτα; οὐχί, Κύριε. λέγει, οὗτοι οἱ κλάδοι οἱ δύο εἰσὶν οἱ δύο υἱοὶ τῆς πιότητος, οἱ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς. οὐ τῇ λυχνίᾳ κατὰ τὸ φαινόμενον, ἀλλὰ τῷ Κυρίῳ πάσης τῆς γῆς. ἑπτάφωτον εἰσάγει λυχνίαν διὰ τὴν τοῦ Κυρίου ἔνσαρκον οἰκονομίαν. λυχνία γὰρ ἦν D ἀληθὴς ἡ σὰρξ ἡ δεσποτική, ἡ τοῦ ἁγίου πνεύματος τὰς ἐλλάμψεις ἑπταπλασίονι χάριτι δείξασα. ἐξελεύσεται γὰρ ῥάβδος, φησὶν Ἡσαΐας, ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν πνεῦμα Θεοῦ. ποῖον; τὸ πολυμερὲς ταῖς ἐνεργείαις, καὶ πολὺ τῇ φύσει. ἐπαναπαύσεται πνεῦμα Θεοῦ. ἐνταῦθα τὴν οὐσίαν ἑρμηνεύει αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον· τὸ δὲ ἐπαγόμενον τὰς ἐνεργείας τοῦ E πνεύματος λέγει· πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ· τὰς ἑπτὰ χάριτας τοῦ ἁγίου πνεύματος, τὰς ἑπτὰ ἀναπαυσαμένας τῷ σώματι τῷ δεσποτικῷ, ἐκεῖνα σχηματίζει ἐν τύπῳ ἑπτὰ λύχνων. διὰ τί δὲ ἑπτὰ λύχνοι; διὰ τὸ φωτεινὸν τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος.

ἐντεῦθεν

ἐντεῦθεν ἐπιβὰς φησίν· οὗτοί εἰσιν οἱ ἑπτὰ ὀφθαλμοὶ Κυρίου, οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. ὁρᾷς αὐτὴν καθ' ἑαυτὴν σαφηνίζουσαν τὴν ἀλήθειαν, καὶ οὐ δεομένην λογισμῶν ἀνθρωπίνων; ἀλλ' αὐτοὶ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς. ὁ Ζαχαρίας Κύριον καλεῖ τὸν Σωτῆρα πάσης τῆς γῆς κατὰ τὴν ἔνσαρκον οἰκονομίαν. Πέτρος διαλεγόμενος Κορνηλίῳ, ἡ κορυφὴ τῶν ἀποστόλων, λέγει, ἡμεῖς οἴδαμεν τὸ ῥῆμα τὸ γενόμενον ἐπὶ τῆς Ἰουδαίας, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς πνεύματι ἁγίῳ. καὶ πάλιν ὁ αὐτός· τὸ ῥῆμα τὸ γενόμενον ἐν ὅλῃ τῇ Ἰουδαίᾳ, καὶ τὸν λόγον, ὃν ἀπέστειλεν ὁ Θεὸς εὐαγγελιζόμενος εἰρήνην τοῖς υἱοῖς Ἰσραήλ· οὗτός ἐστι πάντων Κύριος. ὁ προφήτης, Κύριον τῆς γῆς, ὁ εὐαγγελιστὴς Πέτρος Κύριον λέγει τῶν πάντων· οὗτός ἐστι πάντων Κύριος, πάντων καὶ τῶν ἐν οὐρανῷ, καὶ τῶν ἐπὶ τῆς γῆς, καὶ τῶν ὑποκάτω τῆς γῆς, καὶ τῶν ὁρωμένων, καὶ τῶν ἀοράτων· οὗτός ἐστι πάντων Κύριος. ὅθεν καὶ συνῳδὰ φθέγγεται Ἰωάννης λέγων. ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν. ἀναγκαῖον δὲ ζητῆσαι ἀκριβῶς καὶ λῦσαι τὴν αἱρετικὴν ζυγομαχίαν· ἐπειδὴ τῇ λέξει τῇ ἀποστολικῇ κακῶς ἀκολουθήσαντες, οὐ νοήσαντες εὐσεβῶς, ἀλλὰ περιγραψάμενοι δυσσεβῶς. αἱρετικῶν παῖδες οἴονται, ὅτι μισθὸν τοῦ σταυροῦ ἔλαβε τὸ γενέσθαι ὑπεράνω πάντων, καὶ διὰ τὸ παθεῖν, καὶ διὰ τὸ ὑπομεῖναι σταυρὸν ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν. ἀκολουθοῦσι τῇ φωνῇ τοῦ ἀποστόλου, μὴ νοήσαντες τὴν δύναμιν· καὶ ἠκολούθησαν μὲν τῇ λέξει, τὴν θεωρίαν μὴ βασανίσαντες. ἔχει δὲ οὕτως· ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε· διὰ τὸ πάθος, ὡς μισθὸν τοῦ πάθους διδοὺς αὐτῷ τὴν ὕψωσιν. πάντως λέγεις, αἱρετικέ· καὶ ἔδωκεν αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. ὁρᾷς, φησί, μετὰ τὸν σταυρὸν ὑψώθη, ὁρᾷς, φησί, μετὰ τὸ πάθος μισθὸν ἔλαβε τὴν ὕψωσιν. εἰ τοίνυν μετὰ τὸν σταυρὸν ὑψώθη, ὡς ὑμεῖς φατε, διὰ τί ὁ Βαπτιστὴς Ἰωάννης πρὸ τοῦ πάθους, καὶ πρὸ τοῦ σταυροῦ ἔλεγεν· ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστί; οὐχὶ γίνεται; διὸ καὶ Ἰουδαίοις διαλεγόμενος ὁ Ἰησοῦς ἔλεγεν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὸ Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. ἔστι γὰρ ἀεὶ, καὶ ἦν, καὶ ἔσται, καὶ πέρας οὐχ ἕξει. δεῖ δὲ ἡμᾶς, ἀδελφοί, τὴν ὀφειλὴν ἀποδοῦναι, καὶ μὴ προφάσει τῶν παρεκβάσεων ἀρνεῖσθαι τὰς ὑποσχέσεις. κηρυττέσθω Χριστοῦ δόξα, καὶ πατρὸς ὕψος κηρυττέσθω πνεῦμα ἅγιον· ὑψούσθω μονογενής, δοξαζέσθω ὁ πατήρ. μηδεὶς ἀνατετράφθαι τὴν ἀξίαν νομιζέτω, εἰ πνεύματος πρῶτον μνημονεύομεν, εἶτα υἱοῦ, εἶτα πατρός· ἢ υἱοῦ πρῶτον, εἶτα πατρός. οὐ γὰρ ἔχει τάξιν· οὐχ ὡς ἄτακτος, ἀλλ' ὡς τάξιν ὑπερβαίνουσα. ὥσπερ γὰρ οὐκ ἔστι σχῆμα ὁ Θεός, οὐχ ὡς ἀσχήμων, ἀλλ' ὡς ἀσχημάτιστος· καὶ ὥσπερ οὐκ ἔχει μορφὴν Θεός, οὐχ ὡς ἄμορφος, ἀλλ' ὡς ἀσώματος· οὕτως οὐκ ἔχει τάξιν ἡ θεία φύσις, οὐχ ὡς ἄτακτος, ἀλλ' ὡς τάξιν ὑπερβαίνουσα. λέγω πατέρα πρῶτον, οὐ τῇ τάξει πρῶτον, ἀλλὰ τῇ ἐννοίᾳ, ἐπειδὴ γεννήτωρ τοῦ μονογενοῦς, ἐπειδὴ ἡ ῥίζα τοῦ ἁγίου καρποῦ, ἐπειδὴ φῶς ἀΐδιον ἀϊδίου φωτὸς γέννημα. ἆρα, ἀδελφέ μου, εἴ τις τῶν καθ' ἡμᾶς ἐπιχειρήσει σήμερον ἐν ἐκκλησίᾳ, ἐν λαῷ ὀρθοδόξῳ, ἐν λαῷ πεπληρωμένῳ πάσης ὀρθῆς γνώσεως, προτάξαι τὸν υἱὸν τοῦ πατρός, οὐκ ἐβλασφημεῖτο παρ' αὐτῶν τῶν ὀρθοδόξων· ἆρα εἴ τις ἐτόλμησεν εἰπεῖν ἐν ἐκκλησίᾳ, ὁ Χριστὸς ὑμᾶς εὐλογήσει, καὶ ὁ πατὴρ αὐτοῦ, οὐχ ὡς ἄτακτος ἐνομίζετο, ὅτι μὴ προέταξε τὴν ῥίζαν, καὶ τότε ἐπήγαγε τὸν καρπόν· ἆρα εἴ τις εἴποι, ὁ υἱὸς ὑμᾶς σώσει καὶ ὁ πατήρ, οὐ σύγχυσιν ἐνομίζετο ἐργάζεσθαι, καὶ παραβαίνειν τὴν τάξιν· ἀλλὰ ταῦτα οὕτως ἐνομίσθη παρὰ ἀγνώμοσι κριταῖς· παρὰ δὲ ἀληθείᾳ δικαζούσῃ, καὶ ἀποστολικῇ ψήφῳ τὴν νίκην φερούσῃ, ἀδιάφορον καὶ υἱοῦ πρῶτον μνησθῆναι καὶ πατρός, καὶ πνεύματος. ἄκουε Παύλου τοῦ μεγάλου κήρυκος Θεσσαλονικεῦσι γράφοντος, ὅς λέγει· αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, καὶ ὁ Θεὸς ὁ πατὴρ ἡμῶν ἁγιάσει ὑμᾶς πρῶτον υἱός, καὶ λαμπάδος ἁγίας πεπληρωμένη ψυχή. ὅτι οὐκ ἔστι τάξις ἐν τῇ ἁγίᾳ φύσει· ἀλλ' ὅπερ ἂν πρῶτον θῇς, ὁμότιμον νοεῖται, καὶ τὸ δεύτερον οὐκ ἐλαττοῦται, καὶ τρίτον οὐχ ὑβρίζεται· ἀδιαφόρως προφέρει τὰ ὀνόματα, ἐπειδὴ οἶδε τὴν φύσιν ἀμέριστον, καὶ τὴν βασιλείαν ἄτμητον. ἐρωτήσωμεν δὲ ἅγιον Παῦλον, πόθεν εἴληφε τὰς ἀφορμὰς τοῦ οὕτω θεολογεῖν, ἢ οὕτω δοξολογεῖν, ἢ προτάσσειν τὸν υἱὸν τοῦ πατρός, οὐ τάξει, οὐ δυνάμει, ἀλλὰ τῇ λέξει; διὰ τί πρῶτον υἱοῦ ἐμνήσθη, καὶ οὕτω πατρός; λεγέτω Παῦλος ἑαυτῷ συνηγορῶν, καὶ τὴν ἐκκλησίαν παιδεύων. οὐδὲν ἐξ ἐμαυτοῦ φθέγγομαι, Χριστὸς δι' ἐμοῦ τὰ δόγματα ὑπαγορεύει, λέγων.

Non longè ab hoc loco digreſſus, ait: *Hi ſunt ſeptem oculi Domini, qui univerſam terram contuentur.* Videſne ipſam veritatem ſeipſam declarare: neq; humanis cogitationibus indigere? Sed ipſi adſtant Domino totius terræ. Zacharias ergo Dominum vocat, Servatorem univerſæ terræ, ſecundùm diſpenſationem in carne. Petrus quidem vertex Apoſtolorum, diſputans cum Cornelio, ait: *Nos ſcimus verbum quod in Judæa factum eſt, Jeſum Nazarenum, quem Deus unxit Spiritu ſancto.* Et rurſus idem: Act. 10, 38. 36. 38. *Verbum, quod in tota Judæa factum eſt, & Verbum, quod Deus miſit annuncians pacem filiis Iſrael, hic eſt Dominus omnium.* Et Propheta quidem Dominum terræ, Evangeliſta verò Petrus Dominum appellat omnium. *Hic eſt Dominus omnium*: omniũ, inquam, & in cœlis, & in terra, & ſub terra eorum, quæ aſpectabilia ſunt, & quæ non ſunt: hic eſt Dominus omnium. Hinc etiã hiſce congruenter Joannes pronunciat: *Qui de ſurſum venit, ſuper omnes eſt.* Job. 3, 31. Verum enim vero neceſſe eſt, hæc exactius diſquirere, & hæreticorum contentionibus reſpondere: Qui Apoſtoli vocem perperam conſectantes, non piè eam intellexerunt, ſed impiè eandem circumſcripsêre. Hæreticorũ ſtolida & ſtupida ſoboles arbitratur, Chriſtum qui ſit ſuper omnia, hoc præmiũ crucis ſuæ accepiſſe: & quia paſſus ſit, & crucem ſuſtinuerit, Deum ipſum exaltaſſe. Et verba illi quidem Apoſtoli conſectãtur: quorum tamen vim & ſententiam non intelligunt: dictiones, inquam, aucupantur, θεωρίαν & contemplationem earumdem omittunt, nec vim ponderant. Res autem ita habet: *Humiliavit ſemetipſum uſque ad mortem, mortem autem crucis.* Phil. 2, 8. Propterea Deus ipſum exaltavit, propter ſupplicium hoc exaltatione velut mercede ſupplicio illius perſoluta. Omninò, hæretice etiam hoc dicis: *Et dedit illi nomen, quod eſt ſuper omne nomen, ut in nomine Jeſu omne genu flectatur, cœleſtium & terreſtrium & infernorum.* Ibidem. Videſne inquit, hæretice, eum poſt ſupplicium crucis exaltatũ eſſe, videſne ipſum poſt paſſionem exaltationem mercedis loco accepiſſe? Si itaq; poſt crucem exaltatus eſt, ut quidem vos aſſeritis; cur Joannes Baptiſta, ante paſſionem & crucem dixit: *Qui deſurſum venit, ſuper omnes eſt?* Joh. 3, 31. non fit? Itaq; & cum Judæis diſſerens Jeſus dixit: *Amen amen dico vobis: antequam Abraham naſceretur, ego ſum.* Joh. 8, 58. Eſt enim ille ſemper, & erat, & erit, nec finẽ habebit. Sed æquum eſt, fratres nos, quod promiſimus, jam præſtare: nec prætextu quodam digreſſionũ, quæ promiſimus, prætermittere. Chriſti ergo gloria prædicetur: itemque Patris majeſtas prædicetur: unigenitus Filius extollatur: Pater glorificetur. Neque vero quiſquam arbitretur, dignitatem ſuo loco moveri, & violari: ſi primo loco Spiritus mentionem facimus, deinde Filii, poſtea Patris: vel Filii primo quidem loco, aut Patris. Non enim ordinem divinæ perſonæ habent, nec velut confuſæ ſunt: ſed omnem ordinem longè excedunt. Quemadmodum enim Deus figura quædam non eſt, neque tamen figura vacat, ſed tamen figurari nequit: & quemadmodum Deus forma præditus non eſt, nõ velut informis, ſed qui corpore vacet: ſic in natura illa divina ordo nullus ineſt, non quod confuſe ſit, ſed quia ordinem excedat omnem. Patrem primo nomino: non qui ordine primus ſit, ſed ratione & ſententia. Siquidem ille unigeniti Filii genitor exiſtit: ſiquidem radix ille eſt ſancti illius fructus: ſiquidem filius æternum lumen, æterni luminis ſoboles. Ergo, mi frater, ſi quis hac noſtra ætate, hodie quoque in Eccleſia, in populo rectè de rebus divinis ſentiente, & omni rerum divinarum cognitione vera imbuto, auſit Filium Patri præponere: nihil nefariè dicere videatur, in divinas illas perſonas, apud eos qui rectè ſentiunt. Itaq; ſi quis audeat in Eccleſia dicere: Chriſtus vobis benedicet, & Pater ejus, nequaquam confundere perſonas inter ſe exiſtimandus eſt, quia radicem non præpoſuit, deinde fructum adjunxit. Ergo & ſi quis dixit: Filius nos ſervabit & Pater, cõfuſionem nullam introducit, neq; ordinem pervertit: ſed hoc imperitis & iniquis rerum æſtimatoribus ita videtur. Nam, ſi veritas judicet, & Apoſtolica ſententia, quæ invicta eſt, obtineat: nihil intereſt & Filii primum meminiſſe, & Patris, & ſancti Spiritus. Attende, quid magnus ille præco Paulus ad Theſſalonicenſes ſcribat: *Ipſe vero Dominus noſter Jeſus Chriſtus, & Deus Pater noſter ſanctificabit vos.* Hic Filius primùm, & anima illa ſancta luce impleta commemoratur. Neque enim in divina illa natura ordo ſervatur: quamcunque primo loco ponas, æquali honoris & gloriæ dignitate cæteræ intelliguntur: neque ſecundæ quicquam decedit, neque tertia ulla contumelia afficitur: Ut & Paulus nulla ordinis habita ratione nomina pronunciat: quippe qui naturam illã impartibilem, & regnum illud individuum eſſe agnoſceret. Sed age ipſum Apoſtolum interrogemus, undenam hanc occaſionem ita de Deo docendi acceperit, vel potiùs ita Deum glorificandi, ut anteponeret Filium Patri, non ordine, neque virtute & potentia, ſed ipſa dictione? Cur ergo primum Filii meminit, & deinde Patris? Paulus hoc nobis explicet, ſeipſum defendat & Eccleſiam erudiat. Neque ego ex meo ingenio quicquam loquor. Chriſtus hæc, quæ propono, dogmata dictat.

An

An experimentum quæritis ejus qui in me loquitur Christus? Christus in me loquitur: Noli vocem dominicam accuſare, noli reprehendere. Sed nequeo, ait aliquis, Christum per te loquẽtem intelligere. Audi ſimpliciter ipſum de ſemetipſo. Si enim nomina ſancta Trinitatis ordini ſubjecta eſſent: &, ſi quod primò nominaretur, primum eſſet potentia: ſecundum verò, ſecundum in ordine eſſet: & tertium tertio loco quadam indignitate reſideret: nunquam Servator, ipſa ſc. veritas, hanc doctrinam inverſo ordine tradidiſſet. Sed ubinam Servator ſui

Joh. 14. 23. ipſius primò mentionem fecit, dein Patris? *Si quis*, ait, *mandata mea ſervat, Ego & Pater veniemus, & manſionem apud eum faciemus.* Si itaque Pater ordine antecedit, ſicut hæreticorum poſteri dictitant, & Filium, ſeu præfectum quendam regium, Patri adeſſe volunt, hoc ex ipſis quæratur: Num præfectus aliquis de rege audeat dicere: Ego & rex conſtituo: ſic enim ex noſtra conſuetudine, quæ nobis ſunt altiora, percipere oportet. Ergo natura condita, ſeipſam increatæ antepoſuit? Condita, inquam, natura, ut vos dicitis, auſa eſt ſeipſam conferre cum incomparabili, & quæ omnia excellit, natura? *Veniemus & manſionem apud ipſum faciemus.* Per hoc enim quod ait: *Ego & Pater*, nihil intereſſe, & indifferentiam nominum demonſtravit. Quòd verò

Similis ſententia etiam in prima eſt. Joh. 14. 23.

Joh. 14, 8. ait, Veniemus, & manſionem faciemus, æqualem vim effectionis declaravit. Sic alio quodam in loco, cum Apoſtolus Philippus diceret: *Domine, oſtende nobis Patrem, & ſufficit nobis*: Reſpondet Servator: *Tanto tempore vobiſcum ſum, & non cognoviſti me Philippe?* Reſponſum interrogationi adverſum, nunquid enim de te interrogavi? dixi: Oſtende nobis Patrem? Hic verò dicit, *Tanto tempore vobiſcum ſum & non cognoviſti me?* qui verò diſſimilis per æquè diſſimilem demonſtrari queat? quomodo per puſillum grandis aliquis perſpicitur? quomodo, qui gloria præſtat, per eum, qui ab ea multum abſit, cognoſci queat? quomodo per adminiſtrum creator? *Tanto tempore vobiſcum ſum.* Neque verò dicit: Tanto tempore vobiſcum Pater eſt, ſed ego vobiſcum ſum. Nam me præſente, etiam Pater eſt. *Tanto tempore vobiſcum ſum, & non cognoviſti me?* Præclarè dicit, *Non cognoviſti me*, ſi quidem ille dixerat, *Oſtende*: Servator verò, *Non cognoviſti me*, cum vellet docere: non conſpectum, ſed cognitionem Deum nobis proponere. *Non credis, quod ego in Patre*: Rurſus, ego, & deinde Pater? *Ego in Patre, & Pater in me.* Quomodo igitur tu dicis: *Oſtende nobis Patrem?* quaſi diceret, quare igitur tu velut alium videre expectaſti? *Ego in Patre, & Pater in me.* Cognoſcitur Filius per Patrem, & Pater per Filium. Quomodo tu dicis. Oſtende nobis, tanquam alium à me Patrem videre exoptans? Ego in Patre, & Pater in me eſt. Non ita quidem veluti natura ſit confuſa: neque tanquam phiala in phiala repoſita eſt. Ego in Patre & Pater in me. Non corporum ille quaſi fœdere conjunctionem notat, ſed ſenſorum animi contemplationem. Ego in Patre, Pater enim ſine filio non cognoſcitur: & Pater in me eſt. Filius enim ſine Patre non apparet. Quemadmodũ mens in ſermone, & ſermo in mente conſideratur. Undenam ego tuã mentem ſcire queam, quam per ſermonem interpretem? Sermo nempe tuus mentem tuam declarat, & in apertum profert. Et viciſſim, mens tua ſermonis tui interpres exiſtit. Fieri poteſt, ut ſermonem aliquis cognoſcat, qui ſententiam tamen non intelligat: at neque licet ſenſum rei percipere, niſi ſermo explicetur. Qua de cauſa Evangeliſta ait: In principio erat verbum: ut vacuitatem omnis perpeſſionis in illa ineffabili generatione demonſtret. Nam quemadmodũ ſeſe habet ſermo ad mentem: ſic unigenitus Deus, verbum ſeſe habet ad Patrem. Quod quidem mirabile eſt. Nam ut aliqua paulò antè dicta repetam: Priùs dicebamus, quòd ex iis quæ in nobis eveniunt, altiora quædam perdiſcere & cognoſcere liceat. Sermo itaque noſter intrinſecus cũ mente, quæ ipſum procreavit, conjunctus eſt: Num viſibilis eſt, cum viſibili: inviſibilis eſt cum inviſibili, intelligibilis cum intelligibili, incorporeus cum incorporeo: ſed cùm edendus eſt ſermo, ad os accedit: & quidem illic vocem ſibi induit, quum non alia res eidem vocem ſuppeditet, ſed ille ipſe ſermo ſibi dictionem contexat. Et inviſibilis naturâ cum Patre, mente dico, conjunctus, poſtea induta voce, ſe profert, & omnibus innoteſcit, qui paulò ante latuerat: deinde ſe prodit, & omnia explet, nec à mente, quæ ipſum procreaverat, ſeparatur. Quis enim ex hominibus cùm prolocutus fuerit, alioſque edocuerit, ſeipſum doctrina exhaurit? Anne, ſi quid loquor, quod ad aliorum aures perveniat ideò mentẽ penitus exprompſi? an non foras quidem hæc doctrina exiit, & intus manſit? nonne infinitas autem res circumſonuit, neque tamen mentem procreatricem deſtituit? Jam verò cùm humanus quidem ſermo à mente, quæ ipſum procreavit, emiſſus foras prodiens, authorem ſuum non relinquat: Deus verbum, qui noſtri gratia in hoc mundo apparuit, patrem nos ſinus inanes reliquit? Nequaquam: ſed, quod admirabile eſt, infiniti eundem unum ipſum Deum, λόγον, audiunt: & ad tot cùm ille perveniat, in partes non dividitur, ſed totus eſt cum unoquoque noſtrum, qui audimus, ſed eſt totus cum omnibus. Et, ſi pater fluxu quodam aut ſectione generavit: ideoque & partitus & diviſus eſt, ut hæretici dicunt:

Joh. 1. 1. Vide hom. prima.

In paulo ante, & in prima.

A ἀ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ· ὁ Χριστὸς λαλεῖ δι' ἐμοῦ. μὴ κατηγόρει τῆς φωνῆς τῆς δεσποτικῆς, μὴ ἐπιλαμβάνου. ἀλλ' οὐ δύναμαι νοῆσαι Χριστὸν δι' ἐμοῦ λαλοῦντα; ἄκουε αὐτοῦ γυμνῶς δι' ἑαυτοῦ φθεγγομένου. εἰ γὰρ τάξει ὑπέκειτο τὰ ὀνόματα τῆς ἁγίας τριάδος, καὶ τὸ μὲν πρῶτον λεγόμενον πρῶτον ἦν τῇ δυνάμει, τὸ δὲ δεύτερον δεύτερον τῇ τάξει, καὶ τὸ τρίτον τῇ ἐλαττώσει, οὐκ ἂν ὁ Σωτὴρ αὐτὸς ἀλήθεια ὢν συνέχεε τὸν τῆς ἀληθείας λόγον. καί που ὁ Σωτὴρ ἑαυτοῦ πρῶτον ἐμνημό-

B νευσε, καὶ εἶτα πατρός; ἐάν τις, φησι, τὰς ἐντολάς μου τηρῇ, ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ἐπειδὴ τάξει ὑστερίζει, λέγουσιν αἱρετικῶν παῖδες, καὶ ὥσπερ ἔπαρχόν τινα βασιλέως βούλονται εἶναι τὸν υἱὸν τῷ πατρὶ, ἐρωτησάτωσαν, εἰ ἐτόλμησεν εἰπεῖν ἔπαρχος περὶ βασιλέως, ὅτι ἐγὼ καὶ ὁ βασιλεὺς διατάσσομαι. ἐκ τῶν καθ' ἡμᾶς δεῖ τὰ ὑπὲρ ἡμᾶς. ἆρα κτιστὴ φύσις ἑαυτὴν προέταξε τῆς ἀκτίστου; κτιστὴ φύσις, ὡς

C ὑμεῖς λέγετε, ἐτόλμησεν εἰπεῖν, συναριθμοῦσα ἑαυτὴν τῇ ἀσυγκρίτῳ ὑπεροχῇ; ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. διὰ μὲν γὰρ τοῦ, ἐγὼ καὶ ὁ πατὴρ, τὸ ἀδιάφορον τῶν ὀνομάτων ἔδειξε· διὰ δὲ τοῦ, ἐλευσόμεθα, καὶ μονὴν ποιησόμεθα, τὸ ὁμότιμον τῆς ἐνεργείας ἔδειξεν. οὕτω καὶ ἐν ἑτέρῳ χωρίῳ Φιλίππου τοῦ ἀποστόλου λέγοντος· Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν, ἀποκρίνεται ὁ Σωτήρ· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με

D Φίλιππε; ἐναντία ἡ ἀπόκρισις τῇ ἐρωτήσει. μὴ γὰρ περὶ σοῦ ἠρώτησα; εἶπον, δεῖξον ἡμῖν τὸν πατέρα· ὁ δὲ λέγει, Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με; εἰ ἀνόμοιος, δι' ἀνομοίου πῶς δείκνυται; πῶς διὰ τοῦ μικροῦ ὁ μέγας ὁρᾶται; πῶς διὰ τοῦ * ἐλαττουμένου ὁ τῇ ἀξίᾳ ὑπερέχων; πῶς διὰ τοῦ ὑπουργοῦ ὁ δημιουργός; Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι. καὶ οὐκ εἶπε, μεθ' ὑμῶν ἐστιν ὁ πατὴρ, ἀλλ' εἰμί. ἐμοῦ γὰρ ὄντος, ὁ πατήρ ἐστι. Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι,

E καὶ οὐκ ἔγνωκάς με; καλῶς τὸ, οὐκ ἔγνωκάς με· ἐκεῖνος λέγει, δεῖξον· ὁ δὲ Σωτὴρ, οὐκ ἔγνωκάς με; βουλόμενος δεῖξαι, ὅτι θεὸν οὐκ ὄψις, ἀλλὰ γνῶσις παρίστησιν. οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρί; πάλιν τὸ, ἐγὼ, καὶ τότε ὁ πατήρ. ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. πῶς οὖν σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; ἀντὶ τοῦ, πῶς ὡς ἕτερον ἰδεῖν προσδοκήσας; ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ γνωρίζεται υἱὸς διὰ πατρὸς, καὶ πατὴρ

A διὰ υἱοῦ. πῶς σὺ λέγεις, δεῖξον ἡμῖν, ὡς ἄλλον παρ' ἐμὲ ζητῶν ἰδεῖν τὸν πατέρα; ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· οὐχ ὡς τῆς φύσεως συγκεχυμένης, οὐδὲ ὡς φιάλης ἐν φιάλῃ ἀποκειμένης. ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. οὐ σωμάτων λέγει συνθήκην, ἀλλὰ νοημάτων θεωρίαν. ἐγὼ ἐν τῷ πατρὶ, πατὴρ γὰρ ἄνευ υἱοῦ οὐ γνωρίζεται· καὶ ὁ πατὴρ ἐν ἐμοί, υἱὸς γὰρ ἄνευ πατρὸς οὐ φαίνεται· ὥσπερ ὁ νοῦς ἐν τῷ λόγῳ, καὶ ὁ λόγος ἐν τῷ νῷ θεωρεῖται. πόθεν δύ-

B ναμαι τὴν ἔννοιάν σου εἰδέναι, ἢ δι' ὧν φθέγγῃ; παρίστησιν ὁ λόγος τὸν νοῦν· ὁ νοῦς ὁ σὸς πάλιν ἑρμηνεύει σου τὸν λόγον. ἔστιν ἰδεῖν λόγον μὴ τὴν ἔννοιαν καταμαθόντα, οὔτε τὴν ἔννοιαν λαβεῖν, μὴ τοῦ λόγου ἑρμηνευθέντος. διὰ τοῦτο ὁ εὐαγγελιστής φησι, ἐν ἀρχῇ ἦν ὁ λόγος, ἵνα τὸ ἀπαθὲς τῆς γεννήσεως δείξῃ. ὅπερ ἐστὶν ὁ λόγος πρὸς νοῦν, τοῦτο ὁ μονογενὴς θεὸς λόγος πρὸς τὸν πατέρα. καὶ τὸ θαυμαστὸν [ἐπαναλήψομαι γάρ τινα τῶν προειρημένων] πρώην ἡμῖν ἦν ὁ λόγος, ὅτι ἐκ

C τῶν καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς μαθήσεις εἰπεῖν. ὁ λόγος ὁ ἡμέτερος ἔσω μετὰ τοῦ γεννήσαντος αὐτὸν ἐστὶ νοῦ. μὴ ὁρατός ἐστι μετὰ ὁρατοῦ; ἀόρατός ἐστι μετὰ ἀοράτου, νοητὸς μετὰ νοητοῦ, ἀσώματος μετὰ ἀσωμάτου. ὅταν δὲ μέλλῃ προέρχεσθαι ὁ λόγος, χωρεῖ ἐπὶ τὸ στόμα, κἀκεῖθεν αὐτὸν ἐνδύεται φωνὴν, οὐχ ἑτέρας αὐτῷ φύσεως τὴν φωνὴν παρεχούσης, ἀλλ' αὐτοῦ τοῦ λόγου ἑαυτῷ τὴν λέξιν ὑφαίνοντος. καὶ ἀόρατος τὴν φύσιν μετὰ τοῦ πατρὸς ὢν, τοῦ νοῦ λέγω, τὴν φωνὴν ἐνδυσάμενος προέρχεται, καὶ γίνεται πᾶσι δῆλος ὁ πρὸ τούτου ἄδηλος. εἶτα προ-

D ελθὼν καὶ πάντα πληροῖ, καὶ τοῦ γεννήσαντος αὐτὸν νοῦ οὐκ ἀφίσταται. τίς γὰρ ἀνθρώπων, ἐπειδὰν λαλήσῃ λόγον καὶ ἄλλους διδάξῃ, ἑαυτὸν κενοῖ τοῦ λόγου; ἆρα ἐὰν νῦν φθέγξωμαι, καὶ προέλθῃ εἰς ἄλλων ἀκοὰς, τὸν ἐμὸν νοῦν ἔρημον κατέλιπον; ἆρα οὐ προῆλθεν ἔξω ὁ λόγος, καὶ ἔμεινεν ἔσω; οὐ μυρίας ἀκοὰς ἐπλήρωσε, καὶ τοῦ γεννήσαντος νοῦ οὐκ ἀπεχώρησεν; εἶτα ὁ μὲν ἀνθρώπινος λόγος παρὰ τοῦ γεννήσαντος νοῦ ἀποστελλόμενος, καὶ ἔξω προέρχεται, καὶ τὸν γεννήσαντα οὐ κα-

E ταλιμπάνει. ὁ δὲ θεὸς λόγος, ἐπειδὴ δι' ἡμᾶς ἐφάνη εἰς τὸν κόσμον, τοὺς πατρῴους κόλπους ἐρήμους κατέλιπεν; οὐδαμῶς· ἀλλὰ καὶ τὸ θαυμαστὸν, μυριάδες ἀκούουσιν ἑνὸς αὐτοῦ τοῦ θεοῦ λόγου καὶ εἰς τοσούτους χωρῶν οὐ μερίζεται, ἀλλ' ὅλος ἐστὶ μεθ' ἑκάστου ἡμῶν τῶν ἀκουόντων, ὅλος μετὰ πάντων. καὶ εἰ ὁ πατὴρ ἐγέννησε κατὰ ῥύσιν καὶ τομὴν, καὶ ἐμερίσθη, καὶ διῃρέθη, ὡς οἱ αἱρετικοὶ λέγουσι,

λεγέτω πρὸς αὐτοὺς ὁ Σωτήρ· ἐρευνᾶτε τὰς γραφάς· ἐρευνᾶτε, μὴ παραφθείρετε· ἐρευνᾶτε, μὴ ἁπλῶς ἀναγινώσκοντες, ἀλλὰ τὸ βάθος τῶν νοημάτων ἐξιχνιάζοντες. ὁ Θεὸς τὰς γραφὰς ἔδωκε, τὰς δὲ θεωρίας οὐκ ἐγύμνωσεν, ἀλλὰ κατέλιπε τῷ δρόμῳ τῷ σῷ, ἵνα σου τὴν εὐγνωμοσύνην πειράσῃ, καὶ τὴν σπουδὴν ἴδῃ, ἵνα ἴδῃ σε εἰ δουλεύεις γραφαῖς, ἢ βιάζεις γραφάς. ὥσπερ γὰρ τὴν φύσιν τῶν πραγμάτων προτέθηκεν ὁ Θεός, τὰς δὲ τέχνας ἔκρυψε· καὶ πάντα μὲν προβέβληται ὑπὸ τοῦ Θεοῦ, τέχνη δὲ ἐξ ἀνθρωπίνης ἐννοίας ἀπετέχθη· οὕτω καὶ ἐπὶ τῶν γραφῶν. ἀλλ' ἵνα σαφηνίσω. ἔδωκεν ὁ Θεὸς λίθους, ἔδωκεν ὁ Θεὸς λίθων φύσιν· οὐκ οἰκοδομὴν ἕτοιμον ἔδωκε· σῖτον, οὐκ ἄρτον ἔδωκε· βότρυν, οὐκ οἶνον ἔδωκε· τὴν τῶν ἐρίων φύσιν, οὐχ ἱμάτιον ἔδωκε· γῆν γεωργοῦσαν χρυσόν, ἀλλ' οὐ χρυσόν. διὰ τί; ἐπειδὴ ἐν εἰκόνι Θεοῦ ποιεῖ τὸν ἄνθρωπον, μερίζεται τὴν δημιουργίαν. αὐτὸς κτίζει, κἀκεῖνος τῇ τέχνῃ ῥυθμίζει τὴν δημιουργίαν. ἐπειδὴ κατ' εἰκόνα ἑαυτοῦ ποιεῖ τὸν ἄνθρωπον, μερίζεται πρὸς αὐτὸν τῶν γινομένων τὴν εὐμένειαν. αὐτὸς ἐργάζεται ὡς δημιουργός, καὶ ὡς Θεός, ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, αὐτὸς ἐπάγει τὴν φύσιν τὴν μὴ οὖσαν· παραχωρεῖ δὲ τῇ εἰκόνι κοσμεῖν τὰ γεγενημένα. ἐννόησον τίς ἦν ὁ ἄνθρωπος ὁ πρῶτος ἄροτρον πηξάμενος, πῶς ἐνενόησε τεμεῖν ξύλον, παρεμβαλεῖν μέσον σίδηρον, τῇ ἁρμονίᾳ σφίγξαι, ζυγὸν ἐπινοῆσαι, ῥυμὸν εὐθῦναι, βόας συναγαγεῖν. ξύλον ἦν, σίδηρον ἦν, ἀλλ' ἡ τέχνη οὐ παρῆν. τίς σοι εἶπεν, ἄνθρωπε, ὅτι ἄροτρον οὕτω πήγνυται; τίς ὑπέβαλέ σοι τὴν ἀδάμαστον φύσιν τοῦ σιδήρου πυρὶ μαλάττειν; τίς ὑπέδειξέ σοι ἐκ τοσαύτης παχύτητος ῥαφίδα μικρὰν ἐργάσασθαι; τίς ἐπενόησεν ἐν τῇ διανοίᾳ ἐκ λίθων κατασκευάσαι θυρῶν κατασκευήν; ὀροφῶν ἐπίνοιαν πόθεν ἔμαθες, εἰπέ μοι, ἄνθρωπε; πολύ, φησίν, ὡς ἄπειρος, ξενίζεις. εἰκόνα Θεοῦ ὁρᾷς, καὶ ἐρωτᾷς μανθάνειν; διὰ τοῦτο, ἀδελφέ, πανταχοῦ ἡ ἀνθρωπίνη φύσις, τὸν ἑαυτῆς δεσπότην μιμουμένη, τῇ τέχνῃ τὴν φύσιν κοσμεῖ. ἀλλ' ἕως μὲν τῷ μέτρῳ μετρεῖται, καλή· ἐκβαίνουσα δὲ τὰ μέτρα, ἐκ τῆς ἀμετρίας ὑβρίζεται. οἷον, ἐπενόησε πῶς ὑποτάξει βοῦν καὶ ἵππον καὶ κάμηλον, καὶ ὅσα τῶν ἀλόγων εἰς ὑπηρεσίαν ἐδόθη. ἀπὸ δὲ πλεονεξίας ἐπενόησε μῖξαι τὰ παρὰ φύσιν. ἔμιξεν ὄνον ἵππῳ, τοῦ Θεοῦ τοῦτο μὴ θελήσαντος, ἀλλ' ἀπ' ἀρχῆς εἰρηκότος, ἐξαγαγέτω ἡ γῆ τετράποδα καὶ ἑρπετὰ κατὰ γένος· ἀλλ' ἡ πλεονεξία ἔμιξε τὰ παρὰ φύσιν. ὁ Θεὸς κολάζων τὴν ἀμετρίαν, ἄγονον ἐποίησε τὴν ἐπίνοιαν. ὅθεν ἡμίονος οὐ τίκτει, διὸ τὸ οὐκ εἶναι ἐξ ἐκείνων τῶν τότε γενομένων, τῶν ἀκουσάντων, αὐξάνεσθε καὶ πληρώσατε τὴν γῆν. ὅμως καὶ πρὶν ποιήσῃ, συγχωρεῖ τῇ εἰκόνι ἃ βούλεται· ἵνα τὴν δύναμιν αὐτῆς δείξῃ, καὶ τὴν ἀμετρίαν αὐτῆς κολάσῃ. πάλιν ἡ ἀμετρία τῆς ἐπιθυμίας ἐπεβάλετο ποιῆσαι ἀνθρώπου μορφήν, μιμουμένη Θεὸν ἐργαζόμενον· καὶ ποιεῖ σώματος σχῆμα, καὶ βιάζεται τῇ τέχνῃ τὴν φύσιν. καὶ ἐπειδὴ ἤκουσεν, ὅτι ὁ Θεὸς ἀπὸ γῆς ἐποίησε τὸν ἄνθρωπον, καὶ ἔπλασεν, ἀπορήσασα ἡ τέχνη μιμήσασθαι τὸν ἑαυτῆς δεσπότην κατὰ τὴν ἀλήθειαν, τῇ ἐπινοίᾳ πορίζεται τὸ ἀμήχανον, καὶ συνάγει ῥίζας, καὶ κιρνᾷ τὰ χρώματα, καὶ μιμεῖται ὀφθαλμὸν βλέποντα, καὶ μὴ βλέποντα ἀνεῳγμένον, ἀκοὴν ἀναπεπταμένην, ἀλλ' οὐκ ἀκούουσαν, ῥῖνας ἐπ' εὐθείας ἐπιτεταμένας, ἀλλὰ πνοὴν ἕλκειν μὴ δυναμένας, στόμα διατετυπωμένον, ἀλλὰ τῆς φωνῆς ἐστερημένον, πόδας καλῶς ἐρρυθμισμένους, ἀλλὰ πρὸς δρόμον οὐκ ἔχοντας ἐπιτηδειότητα. ἵνα δείξῃ ὃ συγκεχώρηκε τῇ εἰκόνι, ἵνα δειχθῇ ἡ τοῦ Θεοῦ ἐνέργεια· πάντων δὲ ἅψασθαι οὐ συνεχώρησεν, ἵνα μὴ εἰσελθοῦσα εἰς ἀλαζονείαν, ἑαυτῆς ἀπογνῷ καὶ τῆς ἑαυτοῦ σωτηρίας. ὅμως συγκεχώρηκεν ἀπὸ τῆς γῆς ζωγράφοις ποιεῖν, ἵνα ἐντρέψῃ τοὺς ἀρνουμένους, ὅτι ἀπὸ γῆς ἔπλασεν ὁ Θεὸς ἄνθρωπον. ἀλλ' ἡ τέχνη ἐμιμήσατο τὸν δημιουργόν. εἶδε σῶμα κατατρωθὲν σιδήρῳ. οἷον, ἀπεκόπη τῷ σιδήρῳ μέρος τι τῆς σαρκός. δεῖ ἀναπληρωθῆναι τὸ κολοβωθέν, δεῖ οἰκοδομηθῆναι τὴν θραυσθεῖσαν σάρκα. δημιουργὸς οὐκ ἔστιν, ἵνα σάρκας πλάσῃ. τί οὖν; ἡ τέχνη τῆς εἰκόνος τὴν φύσιν τοῦ δεσπότου μιμουμένη, ὥρμησεν ἐπὶ τὴν γῆν, ἐξ ἧς τὸ σῶμα, κατασκευάζει φάρμακα, ποιεῖ τὰς ἐμπλάστρους, καὶ ἡ μὲν καθαίρει, ἡ δὲ οἰκοδομεῖ. καὶ ὅρα τὸ θαυμαστόν. ὁ Θεὸς κάθηται, ὥσπερ πατὴρ καὶ παιδευτής, ὁρῶν τῆς ἑαυτοῦ εἰκόνος τὰ ἔργα. καὶ ὥσπερ πατὴρ ἐρωτᾷ τὸν υἱόν, τί δὲ τὸ νόημα βούλεται, οὐχ ἵνα μάθῃ, ἀλλ' ἵνα δοκιμάσῃ· οὕτως ἀεὶ πηγὴ τῶν ἀγαθῶν τὴν ἑαυτοῦ εἰκόνα παιδεύουσα προσάγει αὐτῇ ζητήματα. προσήγαγε τῷ Ἀδὰμ τὰ ζῶα τὰ ἄλογα, τὰ πετεινά, ὡς ἰδεῖν τί καλεῖ αὐτά· οὐχ ἵνα μάθῃ ὁ πάντα προειδώς, ἀλλ' ἵνα δοκιμάσῃ τὴν εἰκόνα, εἰ ἐπιτήδεια πρὸς κατανόησιν.

A „illis Servator dicat: *Scrutamini ſcripturas.* Scrutamini, non corrumpite: Scrutamini, non ſimpliciter legentes, ſed altitudinem ſenſuum perveſtigantes. Deus ſacras literas quidem dedit, ſed earundem contemplationes non denudavit, ſed curſui tuo reſervavit: ut ſic & æquitatem exploraret, & ſtudium perſpiceret: ut cognoſceret, an ſcripturæ inſervires & addictus eſſes, an ſcripturæ vim afferres. Quemadmodum enim Deus, natura rerum ob oculos poſita, artes occultavit: (nam omnia Deus propalam collocavit) ars verò ab humano ingenio inventa eſt: ſic etiam in
B ſcripturis facit. Sed planiùs rem declarabo. Deus lapides, lapidúmque naturam nobis dedit, non ædificia parata: largitus eſt idem frumentum, non panem: dedit uvam, non vinum: lanæ naturam non veſtem: dedit terram auri fœcundam, non autem aurum. Quid ita? Poſteaquam hominem ad imaginem ſuam condidit, creationis opus quodammodo partitur. Ipſe creat, & illius opificio creaturas exornat & componit. Et poſtquam ſecundùm imaginem ſuam creat hominem, etiam eorum, quæ procreata
C erant, benevolentiam cum ipſo communicat. Ipſe operatur velut creator, & tanquam Deus, ex nihilo ut eſſent omnia, producit ipſe naturam, quæ non exiſtebat, producit. Permittit autem imagini ſuæ, modis omnibus exornare res procreatas, itaq. tecum reputa, & conſidera, quis ille homo fuerit, qui primus aratrum compegit, quomodo excogitavit lignum ſecare, vomerem medium inſerere, & vinculo ſuo conſtringere, jugum artificioſe conficere, temonem dirigere, boves adducere. Lignum jam erat,
D ſed & ferrum erat: artificium adhuc nullum erat. Quis ergo, tibi, homo, ſuggeſſit, aratrum hoc modo confici? quis tibi ſuggeſſit, invictam illam vim ferri igne molliens commonſtravit, ex tanta craſſitudine exiguam acum fabricare? Quis tam ingenioſè excogitavit, ex lapidibus januarum tantum apparatum conſtruere? cujus eſt tectorum inventio? Unde hæc, homo, quæſo didiciſti? valde hoc tibi, inquit, novum & abſurdum ut poteinexperto videtur. Imaginem Dei cernis, & unde didicerit, quæris?
E Hanc ob rem, fratres, ubique natura humana opificem ſuum imitata, artificiis naturam exornat. Verùm quamdiu in eo illa modum ſervat, præclara eſt: quamprimum verò modum excedit, ob nimiam in ea re curioſitatem, jure contumelioſè habetur. Exempli gratia: Excogitavit illa, quomodo ſubjugaret bovem, equum & camelum frenaret, & alia animantia rationis expertia, quæ uſui hominis inſerviunt: ſed avaritiæ & nimiæ curioſitatis ſtudio excogitavit, etiam ut miſceret ea quæ ſpecie & natura
A adverſa ſunt. Miſcuit aſinum equo, præter Dei voluntatem, qui ab initio dixerat: *Producat terra quadrupedes & reptilia, ſecundùm genus.* Sed avaritia præter naturam miſcuit. Deus autem, qui punit immoderatas illas cupiditates, commentum illud infœcundum effecit. Hinc eſt, quod mula non parit: propterea quod non eſt ex numero eorum animantium, quæ tum procreata facie, quæque hanc Domini vocem audivere: *Creſcite & im-*
B *plete terram.* Sed & priuſquam procreet imagini, quæ velit, concedit: ut ita & quantum poſſit, demonſtret, & effrenatas ipſius cupiditates caſtiget. Sed & eadem immoderata hominis cupiditas etiam hominis formam effingere aggreſſa, imitata eſt Deum, naturæ opificem. Itaque & corpus hominis efformat, & artificio ſuo naturæ vim facit. Ubi verò hominem è limo terræ factum & efformatum cognovit ars ipſa, cùm non haberet qua ratione verè ſuum opificem imitaretur: ſolertia quadam illas difficul-
C tates compenſat: radices colligit, & colores miſcet, exprimitque oculum & videntem, & non videntem, licet apertum: aures patentes illas quidem, ſed ſurdas: nares rectas, ſed quæ reſpirare non poſſint: os bene conformatum illud quidem, ſed mutum, & voce deſtitutum: pedes omnibus ſuis partibus concinnè ſibi reſpondentes, ſed ad curſum nihili: ut demonſtret, quidnam ille imagini conceſſerit, ut etiam divina illius vis efficiendi ita cognoſceretur. Omnia verò ipſam ſuſcipere noluit, ne elatior & ſe &
D ſuam ſalutem deſperatè perderet. Nihilominus tamen pictoribus è terra conceſſit, ut pudore afficeret eos, qui hominem è limo terræ à Deo conditum eſſe inficiantur. Sed & aliis modis natura opificem imitata eſt: vidit corpus vulneribus confectum. Exempli gratia: Amputata eſt pars aliqua carnis: hic neceſſe eſt, quod defectum eſt, reſtituatur: oportet, carnem, quæ abſumpta eſt, reficere. Atqui nemo hic eſt naturæ opifex, qui carnem effingat. Quid igitur? ars imaginis Domini ſui naturam imitata, in terram
E excurrit, ex qua corpus fabricatum eſt, medicamenta & emplaſtra conficit: è quibus hæc quidem purgant, illa verò reſtituunt & explent. Ex adverte rem admirabilem: Deus ſedet, veluti pater & præceptor, ſuæ imaginis opera intuens: & quemadmodum pater filium interrogat, quid cogitatio ſibi vult, non ut diſcat, ſed ut exploret: ſic fons ille bonorum, perpetuò ſuam imaginem inſtituit, eique quæſtiones movet. Adduxit ad Adamum bruta animantia & volatilia, ut animadverteret, quomodo ipſa appellaret: non ut hoc diſceret ille, qui omnia prævidit: ſed ut imaginem ſuam probaret, num ad intelligendum idonea & comparata eſſet.

Ars ædificandi inventa eſt, inventa eſt architectonica, nautica, ars æris fundendi, intelligentia aſtrorum, non illa curioſa, ſed quæ ſitum poſitúmque aſtrorum ſpectat & contemplatur: utilis illa aſtrologia nautis, quæ ortum aſtrorum obſervat, & tempus ſecundæ navigationis ſignificat: non illa, quæ geneſes fingit, & de fato fabulatur: ſed quæ Domini voci obſequitur: *Faciamus luminaria in cælo, ut ſint in ſigna & in dies, & in tempora.* (Gen.1,15.) Prodit imago illa, & naturam perveſtigat: quærit herbas, invenit: quærit radices, deprehendit. Omnium artifex, omnium ingenioſus inventor reperitur. Veruntamen ne illa tantùm ſibi tribuat, quaſi ex ſeipſa hæc invenerit: & non potiùs ea facultate, quam Deus naturæ inſevit, quadam ratione demonſtrat, Deum omnium iſtorum operum naturæ noſtræ magiſtrum eſſe. (Sap.7,18.) Prodit beatus Salomon, & ait: *Ipſe enim mihi tribuit totius univerſi cognitionem conſtantem, ut ſcirem conſtitutionem mundi, efficaciam elementorum, principia, fines & media temporum, circulos anni, aſtrorum poſitus, naturas animalium & ferociam ferarum, differentias plantarum, & virtutes radicum: omniáque ſive in natura occulta ſint, ſive in aperto, ego homo cognovi.* Imago igitur quomodo hæc cognovit? Ille omnium opifex ſapientiam me docuit: docuit te & menſuras rerum, & non quæ menſura carent. Attende enim, & humanam artem in multa ſeſe effudiſſe, quæ modum excedunt (quæ quidem Dei imago eſt) videbis. Solers natura deprehendit, quomodo vocis organum redderetur, hoc cùm in natura obſervaſſet, artificio naturam imitatur. Excogitat illa organi naturam, ſive machinam ejuſmodi, quæ compluribus tibiis ſive fiſtulis contexta ſit: & attend[illegible] prætereà faciat, & quomodo ars naturam accuratè & exactè ad miraculum uſque imitetur. Invenit illa folles, non qui ex ſeſe aërem ederent, ſed dum explicantur & diſtenduntur, externum aërem quaſi mutuantur, deinde è follibus illis duobus, per canalem quempiam, ad omnes illas tibias aërem dimittit. Si igitur ſpiritus fluxum invenit, ita tamen ut vox ederetur nulla, donec articuli ſonum conformaſſent: At undénam hoc tibi homo? unde hoc organum confectum eſt, & hoc quaſi receptaculum ſpiritus? quare ſpiritus, qui influit, ſonum nullum efficit, præſertim cùm tibiæ pateant? Multa, inquit aliquis, nova & admiranda putas, velut rerum imperitus. Paulò antè dicebam, imago ſum, & meam ipſius naturam perſpexi, & meipſum imitatus ſum. Quomodo te ipſum imitatus es? Equidem etiam eum aërem quem ego haurio mutuatitium eſſe animadverti. Nam Thorax, qui ſubinde & explicatur & complicatur, aërem, qui inſpiratur, capit. Cerno arterias duas aërem emittentes: qui quidem per os, tanquam unicum canalem, exit. Cerno, inquam, aërem expirare: neque tamen ſermonem edi, niſi lingua ſonum ipſum conformaverit. Me ipſum, inquam, perſpexi, & æmulatus ſum: ex me ipſo artificium Domini deprehendi, ut eſt illud apud Davidem: (Pſal.138,5) *Mirabilis facta eſt ſcientia tua ex me*, meipſum novi, & opificem laudavi, Dominúmq; meum imitatus ſum; Naturam arti, velut effigiem, quam exprimeret, propoſui. Neque enim organum muſicum in rebus nihili, aut nullius momenti, habendum: ſed poſteaquam turpibus cantilenis inſervierit. Quemadmodum divina cantica antiquitus minimè prophana erant, licet immoderata voluptate ad luxum poſtea ſint inventa: nihilominus dedicata Deo erant: quemadmodum ne ab initio quidem prophana erant. Itaq; David: *Laudate ipſum in pſalterio, & cithara, in chordis & organo, in cymbalis jubilationis, in tympano & choro.* (Pſal.150,3.) Atq; utinam inventum hoc, non ad voluptatem, illecebras & luxum, non ad cultum ſimulachrorum converſum eſſet: ſed uſum, quem inventores ſpectarant, rebus divinis præſtaret. Nunquam enim artis ſolertia reprehenſa fuiſſet, ſi ad Domini cognitionem adjumento fuiſſet: nunquam vituperaretur cithara, ſi Deus cithara celebraretur. Qua de cauſa etiam beatus David, quum citharam compegiſſet, nullas turpes cantilenas eadem cecinit, ſed divina oracula eâdem edidit: erátq; cithara ejus, & Deo conſecrata, & dæmonum fuga. Quum enim Saulem regem dæmon exagitaret, & cæderet, & proſterneret, tum ajunt ſacræ literæ, David lyram pulſabat, & meliuſculè fiebat Sauli, & levabatur. (1Reg.16,23) Perſpicuum igitur eſt, artem, ſi ad divinum placitum attemperetur, & accommodetur, nihil habere quod in malis habetur: imò omnia nobis, illo ſcopo ob oculos poſito, ex animi ſententia evenire. Sed quo conſilio à Theologica quæſtione, ad artes & imitationem imaginis delapſus ſum? ut nimirum Domini vocem in hæreticos uſurpemus. At quamnam vocem? (Luc.12,56.) *Hypocritæ*, inquit, *faciem cæli & terræ noſtis judicare*: artes inveniſtis, multa ſubtiliter & argutè excogitaſtis, & tamen Dominum omnium atque artificem contumelia afficitis? Tu, inquam, artificiis tuis Dominum imitatus es: eiq; ſimilis, ſecundum imaginem & ſimilitudinem, renunciatus es. & me Dominũ opificem diſſimilem genitori traducis? Ego vos peccato obnoxios liberavi, & me omnium veſtrum Dominum poteſtati ſubjicere ſatagitis? Sanè inquit, etiam hoc ſcriptum eſt: quòd etiam filius ſubjicietur: dictũ illud quidẽ, ſed divina poteſtate forte dictum eſt.

A εἰσῆλθεν οἰκοδομική, ἦλθε τεκτονική, ναυτική, χαλκευτική, κατανόησις ἄστρων, οὐχ ἡ περίεργος, ἀλλ' ἡ τὴν θέσιν ὁρῶσα, ἡ τοῖς πλέουσιν ἐπιτηδεία, ἡ παρατηρουμένη ἄστρων ἀνατολάς, καὶ τὸν καιρὸν τῆς εὐπλοίας γνωρίζουσα, οὐχὶ γένεσιν πλάττουσα, καὶ εἱμαρμένην μυθολογοῦσα, ἀλλ' ἡ ἀκολουθοῦσα τῇ φωνῇ τοῦ δεσπότου· Ποιήσωμεν φωστῆρας ἐν τῷ οὐρανῷ, καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς ἡμέρας καὶ εἰς καιρούς. προσῆλθεν ἡ εἰκών, καὶ ἐξιχνιάζει τὴν φύσιν· B ζητεῖ βοτάνας, εὑρίσκει· ζητεῖ ῥίζας, καταλαμβάνει. πάντων εὑρίσκεται τεχνίτης, καὶ πάντων ἐπινοητής. ἀλλ' ἵνα μὴ νομίσῃ, ὅτι αὐτὴ εὗρεν ἐξ ἑαυτῆς, καὶ οὐ παρὰ τὴν δύναμιν τοῦ ἐνθέντος τῇ φύσει τὴν δύναμιν, δι' ἑνὸς λόγου δείκνυσιν ὅτι πάντων τούτων διδάσκαλος τῆς ἡμετέρας φύσεως ὁ Θεός. προσῆλθεν ὁ μακάριος Σολομών, λέγων· αὐτὸς γάρ μοι δέδωκε τῶν ὄντων τὴν γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὰς καὶ τέλη, C καὶ μεσότητα χρόνων, ἐνιαυτοῦ κύκλους, καὶ ἀστέρων θέσεις, φύσεις ζώων καὶ θυμοὺς θηρίων, διαφορὰς φυτῶν, καὶ δυνάμεις ῥιζῶν, ὅσα τέ ἐστιν ἀφανῆ καὶ ἐμφανῆ, ἔγνων ἐγὼ ὁ ἄνθρωπος. ἡ εἰκὼν πῶς ἔγνω; ὁ γὰρ πάντων τεχνίτης ἐδίδαξέ με σοφίαν· ἐδίδαξέ σε τὰ μέτρα, οὐ τὰ ἄμετρα. ὅρα γάρ πως εἰς πολλὰς ἀμετρίας ἐξεχύθη ἡ τέχνη ἡ ἀνθρωπίνη, καὶ ἦν εἰκὼν τοῦ Θεοῦ. ἐπενόησέ πως τὸ τῆς φωνῆς ὄργανον ἀποδίδοται, καὶ κατανοοῦσα τὴν φύσιν, D μιμεῖται τῇ τέχνῃ τὴν φύσιν. ἐπινοεῖ τὴν τοῦ ὀργάνου φύσιν, τούτου τοῦ πολυδόνακος ὀργάνου, τοῦ ἐκ πολλῶν καλάμων ὑφασμένου. καὶ ὅρα τί ποιεῖ, καί πως ἡ τέχνη πρὸς τὴν φύσιν ἑαυτὴν ἠκρίβωσεν· ἐπενόησεν ἀσκούς, οὐκ ἐξ ἑαυτῶν προφέροντας τὸ πνεῦμα, ἀλλὰ ἀναπτυσσομένους καὶ δανειζομένους πνεῦμα ἀλλότριον. εἶτα ἀπὸ τῶν δύο ἀσκῶν εἰς σωληνοδοχεῖον τοῦ πνεύματος, εἰς πάντας τοὺς καλάμους παραπέμπων τὸ πνεῦμα, καὶ ἐπενόησε καὶ τὸ πνεῦμα E ῥεῖν, καὶ φωνὴν μὴ εἶναι, ἕως ἂν ὁ δάκτυλος σχηματίσῃ τὸν φθόγγον. καὶ πόθεν σοι τοῦτο, ἄνθρωπε; πόθεν κατεσκεύασας ὄργανον, καὶ δοχεῖον πνεύματος; διὰ τί ῥέον τὸ πνεῦμα ἦχον οὐκ ἀποτελεῖ τῶν αὐλῶν ἀνεῳγμένων; πολύ, φησι, ξενίζῃ, ὡς ἄπειρος. ἄρτι προέλεγον· εἰκών εἰμι, τὴν ἐμαυτοῦ φύσιν εἶδον, καὶ ἐμιμησάμην ἐμαυτόν. πῶς ἐμιμήσω σεαυτόν; εἶδον καὶ ἐν ἐμαυτῷ τὸ πνεῦμα τοῦτο δεδανεισμένον. συνεχῶς γὰρ ὁ θώραξ ἀναπτυσσόμενος καὶ συμπτυσσόμενος δέχεται τὴν εἰσροὴν τοῦ πνεύματος. A βλέπω δύο ἀρτηρίας πεμπούσας τὸ πνεῦμα, προχωροῦν ὡς διὰ σωλῆνος τοῦ στόματος. ὁρῶ ὅτι τὸ πνεῦμα προχωρεῖ· καὶ ὁ λόγος οὐ γίνεται, ἐὰν μὴ ἡ γλῶσσα τὸν φθόγγον σχηματίσῃ. εἶδον ἐμαυτόν, καὶ ἐζήλωσα ἐμαυτόν, ἐξ ἐμοῦ κατέλαβον τὴν τέχνην τοῦ δεσπότου, ὡς λέγει Δαβίδ. ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐμαυτὸν εἶδον, καὶ τὸν τεχνίτην ἐπῄνεσα, ἐμιμησάμην τὸν ἐμαυτοῦ δεσπότην· τῇ τέχνῃ τὴν φύσιν προέστησα. οὐδὲ γὰρ φαῦλον τὸ ὄργανον, B ἀλλ' ὑποδοχὴ αἰσχρῶν ᾀσμάτων γίνεται ὄργανον. ὥσπερ θεῖα ἐλέγετο ἀπ' ἀρχῆς, οὐκ ἦν βέβηλα, εἰ καὶ τῇ ἀμετρίᾳ ἐπενοήθη εἰς τρυφήν, ἀλλ' ὅμως Θεῷ καθιέρωτο, ὥσπερ ἀπ' ἀρχῆς οὐκ ἦν βέβηλα. διὸ καὶ ὁ Δαβίδ, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ, καὶ κιθάρᾳ, ἐν χορδαῖς καὶ ὀργάνῳ, ἐν κυμβάλοις εὐήχοις, ἐν κυμβάλοις ἀλαλαγμοῦ, ἐν τυμπάνῳ καὶ χορῷ. εἴθε οὖν ἡ ἐπίνοια μὴ C πρὸς τρυφὴν ἀκολασίας ἐτράπη, μὴ εἰς προσκύνησιν εἰδώλων· ἀλλ' ὧν ἂν ἐπενόησε, τούτων τοὺς καρποὺς εἰ ἀπεδίδου τῷ Θεῷ, οὐκ ἂν ἐμέμφθη ἡ ἐπίνοια τῆς τέχνης, εἰ τὸν δεσπότην ἐγνώριζεν· οὐκ ἂν ἐμέμφθη ἡ κιθάρα, εἰ Θεὸς διὰ τῆς κιθάρας ἐκηρύττετο. διὰ τοῦτο ὁ μακάριος Δαβίδ, ἐπειδὴ κιθάραν ἐπήξατο, διὰ τῆς κιθάρας οὐκ αἰσχροὺς ὕμνους ᾖσεν, ἀλλ' ἱεροὺς ἔμελψε λόγους. ἐγένετο ἡ κιθάρα καὶ Θεῷ καθωσιωμένη, καὶ δαιμόνων φυγαδευτήριον. ὅτε γὰρ τὸν Σαοὺλ τὸν βασιλέα δαίμων κατεῖχε, καὶ ἐσπάραττε D καὶ κατεστρώννυεν, ἡνίκα, φησίν, ὁ μακάριος Δαβὶδ ἔκρουε τὴν κιθάραν, καλῶς ἐγίνετο τῷ Σαούλ, καὶ ἐκουφίζετο· ὁρᾷς ὅτι πᾶσα τέχνη, εἰ πρὸς ἀρέσκειαν ἥρμοσται Θεοῦ, οὐδὲν οὐκ ἔχει φαῦλον, ἀλλὰ πάντα κατὰ γνώμην ἂν ἡμῖν ἀπαντήσειεν; ἀλλὰ τί βουλόμενος ἦλθον ἀπὸ θεολογίας εἰς τέχνην, καὶ μίμησιν εἰκόνος; ἵνα τὴν δεσποτικὴν φωνὴν κατὰ τῶν αἱρετικῶν ἀποδώσωμεν. ποίαν; Ὑποκριταί, τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν· τέχνας E εὕρετε, ἐπινοίας πολλὰς ἐπενοήσατε, καὶ τὸν πάντων δεσπότην καὶ τεχνίτην ὑβρίζετε; σὺ τῇ τέχνῃ ἐμιμήσω τὸν δεσπότην, καὶ ὅμοιος ἀπηγγέλθης κατ' εἰκόνα καὶ ὁμοίωσιν, κἀμὲ τὸν δημιουργὸν ἀνόμοιον τῷ γεννήσαντι κηρύττεις; ἐγὼ ὑμᾶς ὑποτεταγμένους τῇ ἁμαρτίᾳ ἠλευθέρωσα, κἀμὲ τὸν πάντων δεσπότην εἰς ὑποταγὴν καλεῖτε; ναί, φησι, γέγραπται, ὅτι καὶ ὁ υἱὸς ὑποταγήσεται. εἴρηται μέν, κατὰ δύναμιν Θεοῦ.

οὐδὲ γὰρ ἡμέτερα τὰ λεγόμενα, ἀλλὰ Θεοῦ τὰ κηρυττόμενα. ἔστω ἵνα τῇ λέξει ἀκολουθήσω, συγχωρῶ τοῖς ἀκούουσιν εἰδέναι τὰ λεγόμενα. εἰ οὖν τῇ λέξει ἀκολουθήσω, ἐν τῇ μελλούσῃ δημιουργίᾳ, ἐν τῇ ἀναστάσει ὑποταγήσεται τότε; σὺ δὲ γίνῃ τότε ἰσάγγελος. „ἐν γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν, λέγει ὁ Σωτήρ, οὔτε γαμοῦσιν, „οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι Θεοῦ. σὺ ἀπὸ τῆς σαυτοῦ τάξεως ἀνάγῃ, καὶ ὁ υἱὸς ἀπὸ δεσποτείας εἰς ὑποταγὴν ἔρχεται; „οὐκ ἤκουσας Παύλου λέγοντος· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπε„τάγη, ὅτι καὶ αὐτὴ ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. ἡ κτίσις, οὐρανός, γῆ, καὶ τὰ ἄλλα πάντα· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα· ποίᾳ ματαιότητι; τῇ ἀνθρωπίνῃ. ματαιότητα αὐτὸν διὰ τί καλεῖ; ἐκτραπέντα τῆς εἰκόνος εἰς ὁμοιότητα ἀλόγων. ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης. καὶ ὁ „Δαβίδ· Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. τῇ οὖν ματαιότητι ταύτῃ, τῷ ἀνθρώπῳ τῷ διεφθαρμένῳ ὑπετάγη ἡ κτίσις. πῶς ὑπετάγη; ἀνατέλλει ὁ ἥλιος τοῖς ἀναξίοις, βρύουσιν αἱ πηγαὶ τοῖς ἀχαρίστοις, φέρει ἡ γῆ τοὺς καρποὺς τοῖς ἀγνώμοσιν. ὑπετάγη οὖν ἡ κτίσις τῇ ματαιότητι οὐχ ἑκοῦσα. εἰ γὰρ κατὰ γνώμην, οὐκ ἂν ὑπετάγη τοῖς ἀναξίοις ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα καὶ ὑποτέτακται. ποίῳ σκοπῷ; ἐλπίδι. ποίᾳ ἐλπίδι; ὅτι „καὶ αὐτὴ ἡ κτίσις [ταῦτά φησι Παῦλος] ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. ἡ κτίσις τότε ἐλευθεροῦται, καὶ ὁ υἱὸς καταδουλοῦται; ἐρευνᾶτε τὰς γραφάς, μὴ συκοφαντεῖτε· ἐρευνᾶτε, μὴ πολυπραγμονεῖτε· ἐρευνᾶτε πιστεύοντες, μὴ ἀντιλέγοντες. πόθεν ἔμαθες λέγειν, ὢν ἐγεννήθη, ἢ οὐκ ὤν; πόθεν ἔμαθες λέγειν, τὸ γεννῆσαι καὶ τὸ κτίσαι παρὰ Θεῷ ταυτόν ἐστι; Πέτρος σε ταῦτα ἐδίδαξε; Παῦλος ὑπέθετο; ἀλλ' ὁ Σωτὴρ ταῦτα ἡμῖν παρέδωκεν, ἀνάγνωθι τὴν γραφήν, καὶ δυσώπου τὸν νόμον. πλὴν οὐδὲ οἷς λέγει ἐμμένει. ὅταν γὰρ ἐρωτήσῃ, ὢν ἐγεννήθη, ἢ οὐκ ὤν, ψεύδεται. ὃ γὰρ μὴ ὁμολογεῖ, ἐξετάζει. πρῶτον ὁμολόγησον, ὅτι ἐγεννήθη, καὶ τότε ἐρώτα, ὤν, ἤ, μὴ ὤν. τὸ πρᾶγμα *ἀρνήσαι, καὶ τὸ ῥῆμα βασανίζεις; ὃ *μὴ οἶδας γεγεννηκότα, τούτου τὸν τρόπον ζητεῖς; ὢν ἐγεννήθη ἢ μὴ ὤν; δῆλος ὅτι ἐγεννήθη· πρῶτον στῆσον, ὅτι ἐγεννήθη, καὶ τότε ζήτει. *ἀρνήσαι τὴν φύσιν, καὶ τὴν λέξιν ἐξετάζεις; τὸ κτίσαι καὶ τὸ γεννῆσαι ταυτόν; πόθεν ὁ υἱός; λεγέτω τις αὐτῶν· ἐὰν μὴ ἡ πρῶτον φανερὰ ἡ τάξις τῶν δύο, καὶ τότε ἡ διάνοια συμφωνῇ, οὐ δύναμαι εἰπεῖν τὸ εἰδέναι καὶ τὸ βλέπειν ταυτόν· ἓν γὰρ εἶπον. ἐὰν δὲ εἴπω τὸ ἀκοῦσαι καὶ εἰδέναι ταυτόν ἐστι, τότε δοκῶ τὰ διαφέροντα, οὐ μὲν κατὰ τὴν ὄψιν, συμφωνοῦντα δὲ τῇ ἀκοῇ λέγειν, ὅτι ταυτόν ἐστι παρὰ Θεῷ. πόθεν οἶδας οὖν τὸ κτίσαι καὶ τὸ γεννῆσαι ταυτόν; εἰ μὲν γὰρ ἐγέννησε καὶ ἔκτισε, καλῶς λέγεις ταυτόν. εἰ δὲ μηδέποτε ἐγέννησε κατὰ σέ, ἀλλ' ἔκτισε, πῶς τὸ γεννῆσαι καὶ κτίσαι ταυτόν; ῥημάτων καινοδοξία, ῥήματα καινά, πραγμάτων ἀλήθεια. διὰ τί δὲ τὸ γεννῆσαι, καὶ τὸ κτίσαι σοφίζονται; ὁ Θεὸς αἱρετικός, φησιν, ἁπλοῦς ἐστι, καὶ οὐχ ὥσπερ ἡμεῖς. μέρει μὲν γεννῶμεν, μέρει δὲ κτίζομεν· οἷον τοῖς μὲν γεννητικοῖς γεννῶμεν, τῇ δὲ χειρὶ κτίζομεν· οὐχ οὕτω δὲ ὁ Θεός, φησιν. ἁπλοῦς γὰρ καὶ ἀσχημάτιστος. ἀλλ' ᾧ τρόπῳ γεννᾷ, τούτῳ καὶ κτίζει. ἐπειδὴ περὶ ἀοράτων ἐπαγγέλλῃ, πεφυσιωμένος ὑπὸ τῆς ἀκαίρου ταύτης καὶ ματαίας φιλοσοφίας, ἓν τῶν ὁρωμένων σε πεισάτω, ὅτι τῷ αὐτῷ τρόπῳ τὰ γινόμενα μὴ καλὸν τὴν αὐτὴν ἔχειν δύναμιν. λάβε χεῖρα τὴν ἐμὴν τὴν φαινομένην, ἵνα ἀπὸ τῶν φαινομένων ὁ ἔλεγχος δέξηται τῶν ἀοράτων. ἡ χεὶρ αὕτη μία οὖσα καθ' ἑαυτήν, καὶ ἐργαζομένη διάφορα, οὐ δύναται τὰ ἀποτελούμενα εἰς μίαν θεωρίαν ἕλξαι. οἷον τῇ αὐτῇ χειρὶ κτίζω καὶ καταστρέφω. οὐκοῦν ἐπειδὴ τῇ αὐτῇ ἐστι τὸ κτίσαι καὶ τὸ καταστρέψαι, ταυτὸν ἄρα; ἀλλ' οὐ ταυτόν. ἐπειδὴ λέγουσιν, ὅτι ἡμεῖς ἄλλως γεννῶμεν, καὶ ἄλλως κτίζομεν· λέγω κἀγώ, τῷ αὐτῷ τρόπῳ κτίζω τῇ αὐτῇ χειρί, καὶ καθαιρῶ τῇ αὐτῇ χειρί, καὶ τύπτω καὶ θεραπεύω. ἔσται οὖν τὸ τύψαι, καὶ τὸ θεραπεῦσαι ταυτόν; τῇ αὐτῇ χειρὶ καὶ ὠθῶ τὸν ἑστῶτα, καὶ ἐγείρω τὸν πεσόντα· τῇ αὐτῇ χειρὶ καὶ ψηφίζω, καὶ λύω τὴν ψῆφον. ἔσται οὖν καὶ τὸ ψηφίσαι καὶ τὸ λῦσαι τὴν ψῆφον ταυτόν; ταῦτα οὖν οὐκ ἔστι ματαιολογίας ἐπέκεινα; ταῦτα οὐ μῦθοι, καὶ ἀπαιδευσίαι; ἆρα οὐ στένει ἡ ψυχὴ Παύλου; οὐκ ἀγανακτεῖ Πέτρος, τοιούτων ῥημάτων κωμαζόντων κατὰ τῆς θείας διδασκαλίας; ἀπέγνως τὸν Χριστόν, καὶ ἔμαθες τὰ ἑτέρων. οὐκ ἤκουσας τοῦ Κυρίου λέγοντος, ὃς ἂν αἰσχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους; πολλοὶ πολλάκις Χριστὸν ὁμολογοῦσι, τοὺς δὲ λόγους αὐτοῦ αἰσχύνονται. ὁμολογεῖ Χριστὸν αἱρετικός, ἔρχεται δὲ εἰς τὸν λόγον πατρὸς

A Neque enim à nobis illa dicta profecta ſunt, ſed divina ſunt effata atque oracula. Jam verò, ut ſcriptum ſequar, concedo iis qui hæc audivere, ea ipſa intelligere: Dic, ut ſcripto aliquid tribuam, in illa futura creatione, in reſurrectione demum ſubjicietur. Atqui tu Angelis æqualis futurus es. Nam *in reſurrectione mortuorum*, ait Servator, *neque nubunt, neque nubuntur, ſed erunt velut Angeli Dei*. Matt. 22, 30 Tu ex ordine tuo in altiorem & ſublimiorem ſubveheris, & Filius ex dominatu alterius poteſtati ſubjicietur? An non Paulum B audiviſti concionantem? *Vanitati enim creatura ſubjecta eſt, quia & ipſa creatura ſimul ingemiſcit, & doloribus parturientis ſimul laborat huc uſque*. Joh. 8, 20. Creatura cœlum nempe, & terra, cæteráque omnia. Vanitati enim ſubjecta eſt creatura, non volens: at cuinam vanitati? humanæ. Quamobrem verò hominem vanitatem appellat? Quoniam primæva illa imagine, in vitam quandam belluinam degeneravit. *Vanitas* enim *vanitatum, & omnia vanitas*. Eccl. 1, 2. Et David eodem modo: *Verumtamen omnia vanitas*, Pſ. 18, 8. C *omnis homo vivens*. Ergo huic vanitati, homini ſcilicet corrupto, depravato natura, creatura ſubjecta eſt. Quomodo ergo ſubjecta? Exoritur Sol etiam indignis: fontes etiam ingratis ſcaturiunt: terra fruges ingratis & iniquis profert. Itaque ſubjecta eſt vanitati creatura non volens. Si enim certo quodam conſilio, non certè volens ſubjecta eſſet indignis: verùm propter eum, qui ſubjecit, eſt ſubjecta. At quonam ſcopo, & fine? Spe. Quanam ſpe? *Quoniam & ipſa creatura*, ut Paulus ait, *liberabitur à ſervi-* Rom. 8, 21. D *tute*, &c. Ergo creaturæ tum quidem liberabuntur: & filius in poteſtatem redigetur? *Scrutamini ſcripturas* non calumniamini: Joh. 5, 39. ſcrutamini, inquam, ſine curioſitate: ſcrutamini fidem adhibentes, non autem contradicentes. Unde tu didiciſti ſic enunciare: ens ſive qui erat, generatus eſt: vel non ens, ſive qui non erat? undénam didiciſti aſſerere, quòd generare & creare apud Deum idem ſit. Num Petrus te iſta docuit? Num Paulus tibi hæc ſubjecit? Sed Servator, ait, hæc nobis tradidit. Lege ſacras literas, E & legem reverere. Quid? quòd ne quidem ſibi ipſi conſtat? Si enim ex ipſo quæſiveris: ens ne, ſive cùm erat, generatus eſt: an non ens, ſive cùm non eſſet? falſum reſpondet. Nam id, quod nondum concedit, ſit necne diſquirendum ſumit. Primum igitur hoc da, quòd genitus ſit: tum demum quære, num jam ens, ſive non ens: num genitus ſit, cùm jam eſſet, ſive non eſſet? Rémne cùm inficiaris, vocabula ita expendis? Quem non genitum eſſe, ipſe ultro fateris, de eo quæſtionem moves? ens ne genitus eſt, an A non eſt? Primum pone genitum eſſe: tum demum diſputa: naturam inficiaris, & de voculis argutatis. Deinde condere ſive creare idemne eſt, & gignere? Undénam eſt Filius? dicat aliquis iſtorum: niſi primum liquidò de ordine duorum conſtiterit, túmque intelligentiæ aſſenſio acceſſerit? non poſſum dicere τὸ ἰδεῖν, quod eſt animi, καὶ τὸ βλέπειν, quod eſt corporis, id eſt, ſcire, noſſe & videre, idem eſſe: & unum tamen dixi. Si vero dicam, audire & ſcire id. meiſe: tunc quidem videor mihi diverſa dicere: non quidem B aſpectu, ſed auditu conſentanea proferre, quoniam apud Deum utrumque idem eſt. Unde igitur noſti, quod creare & gignere idem ſit? Si enim genuit, & creavit, præclarè utrumque idem dicis. Sin verò, ut quidem ſentis, nunquam genuit, ſed creavit, nullo pacto unum idemque fuerint gignere & creare: affectata hæc novitas verborum eſt, nova vocabula ſunt, rerum veritas conſtat. Quid eſt autem quod ita de differentia horum verborum argutantur? Deus, inquit hæreticus, eſt ſimplex, nec ita uti nos ſumus, C qui partibus quibus generamus, partibus item quibus condimus, inſtructi ſumus: verbi gratia: Genitalibus quidem membris generamus: manu verò condimus: Deus non item: qui ſimplex eſt, formæ expers: ſed quo modo generat, eodem etiam condit. Quando igitur de rebus, quæ non ſub aſpectum cadunt, Philoſophia vana, & importuna inflatus doctrinam quandam profiteris: age vel unum exemplum rerum aſpectabilium tibi hoc perſuadeat: nempe eodem planè modo, minimè hoc pulchrum fore: ſi, quæ D jam facta ſunt, una & eadem vi prædita forent. Accipe manum meam, quam coram aſpicis: ut ex iis quæ apparent & in aperto ſunt, etiam de iis quæ abſtruſa ſunt, convincaris. Equidem manus mea una illa quidem, & per ſe exiſtens, varia & diverſa omnino efficit. Neque opera ſua ad unum aliquod genus reducere poteſt: exempli gratia: eadem manu aliquid efficio & deſtruo: ergo quia eadem manu aliquid efficere & evertere licet, an ne propterea unum & idem eſt, condere & evertere? Non ſanè, & quandoquidem illi dicunt, alio nos modo generare, alio efficere: con- E trà dico: eodem modo, eadem manu aliquid efficio, & eadem demolior: & verbero & curo. Erit igitur & verberare & curare idem? Eadem manu impello aliquem conſiſtentem & collapſum erigo eadem manu ſententiam fero: & eandem retracto, & induco. Erit igitur & ſententiam ferre, & eandem improbare idem? Num igitur? fabulis hæc parum abſunt fabulæ hæc ſunt & ineptiæ. Num igitur Pauli animus non ingemiſcit? an non Petrus iraſcitur, cùm ejuſmodi verborum portenta, vel à comeſſabundis adverſus veritatem proferuntur? Chriſtum repudiaſti, & aliorum doctrinas amplexus es? Non tenes quid Dominus prædixerit? *Qui enim me &* Marc. 8, 38 *verba mea erubuerit*: Multi ſæpenumero Chriſtum confitentur, quos tamen doctrinæ ejuſdem pudet. Confitetur hæreticus Chriſtum, Luc. 9, 24.

χρὴ πάλιν τοῦ μυστηρίου τὸν λόγον. ὥσπερ ἐκεῖ ἄλλοι οἱ δάκνοντες, καὶ ἄλλος ὁ πηγνύμενος· οὕτω καὶ ἐνταῦθα πάντες οἱ ἁμαρτήσαντες, καὶ εἷς ὁ ὑπὲρ πάντων σταυρούμενος. ἔχεις δευτέραν εἰκόνα· σκόπησόν μοι καὶ ἑτέραν εἰκόνα τρίτην. ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. διὰ τί σταυροῦται χαλκοῦς ὄφις; ἵνα καταργηθῇ τὰ δήγματα τῶν ὄφεων. ἄλλο οὖν τὸ σταυρούμενον, καὶ ἄλλα τὰ καταργούμενα. οὐχ ὁρᾷς τὴν ἔμφασιν τῆς ἀληθείας; οὐ βλέπεις ὡς ἐν κρυπτῷ γράμματι, τὴν δύναμιν τῆς οἰκονομίας; ἐσταυρώθη, φησὶν, ὄφις, ἵνα καταργηθῇ τῶν δρακόντων τὰ δήγματα· ἐσταυρώθη Χριστὸς, ἵνα καταργηθῶσι τῶν δαιμόνων αἱ ἐνέργειαι· ἄλλος ὁ ὄφις ὁ πηγνύμενος, καὶ ἄλλοι οἱ καταργούμενοι δράκοντες· ἄλλος ὁ ἐπὶ σταυροῦ Χριστὸς, καὶ ἄλλοι οἱ καταργούμενοι δαίμονες. καὶ ὥσπερ ἐκεῖ ἡ εἰκὼν τοῦ ὄφεως τοῦ φαινομένου κατήργησε τὰ δήγματα τῶν ὄφεων, οὕτω καὶ ἐνταῦθα ἡ τοῦ Χριστοῦ νέκρωσις, τοῦ θανάτου γέγονε νέκρωσις, καὶ τῶν δαιμόνων καθαίρεσις. εἰκότως οὖν ὁ Σωτὴρ τὴν εἰκόνα πρὸς ἑαυτὸν ἁρμόζων ἔλεγε· καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. ἔχεις, ἀδελφὲ, τὸν μακάριον Μωϋσῆν καὶ ἐν ἑτέρῳ σχήματι τὸν σταυρὸν ὑπογράψαντα· καὶ ὅπως, ἄκουε. δεῖ γὰρ περὶ σταυροῦ λέγοντας, πολλὰς παραστῆσαι τοῦ μυστηρίου τὰς θεωρίας. ἐπέθεντό ποτε τοῖς Ἰσραηλίταις ἀλλόφυλοι, κατὰ τὴν ἔρημον, Ἀμαλὴκ δὲ ὄνομα τοῖς ἀλλοφύλοις. ἀποστέλλει Μωϋσῆς Ἰησοῦν τὸν τοῦ Ναυῆ, στρατηγήσοντα τοῖς ὁμοφύλοις, καὶ ὡπλισμένον τὸν διάδοχον ἑαυτοῦ, μόνος δὲ αὐτὸς ἐν τῷ ὄρει τὰς χεῖρας ἐκτείνων. Μωϋσῆς γάρ, φησιν, ἀνέβη εἰς τὸ ὄρος, καὶ ἥπλωσε τὰς χεῖρας αὐτοῦ· καὶ ἐγένετο ἡνίκα ἂν ἐξέτεινε Μωϋσῆς τὰς χεῖρας, ἐνίκα ὁ Ἰσραήλ· καὶ ἡνίκα ἂν κατετίθη τὰς χεῖρας ὑπὸ τοῦ σωματικοῦ βάρους νικώμενος, ἐνίκα ὁ Ἀμαλήκ. τί βούλεται τὸ σχῆμα; ὁ Ἰουδαῖος οὕτως φοβούμενος, μὴ λάμψῃ διὰ τῆς εἰκόνος ἡ δόξα τοῦ σταυροῦ τοῦ Χριστοῦ, οὐδὲν, φησιν, ὁ τύπος ἔχει τῶν σοι μυθολογουμένων. προσευχῆς ἦν ἐκεῖνο τὸ σχῆμα τύπος, οὐκ εἰκόνος, ὡς σὺ ὑπονοεῖς. καὶ τί δήποτε, εἴπερ * ἀληθῶς, ὅτι καρπὸς ἦν τῆς προσευχῆς ἡ νίκη, οὐ τῇ προσευχῇ τὴν νίκην * ὑπέγραψεν ὁ λόγος; [οὐ γὰρ εἶπεν ἡ γραφή· ἡνίκα ηὔχετο Μωϋσῆς· οὗτος γὰρ ἦν γνωρίζοντος ἀληθῶς, ὅτι καρπὸς ἐστὶν ἦν τῆς προσευχῆς ἡ νίκη] ἀλλ᾽ ἢ τῇ εἰκόνι καὶ τῷ σχήματι τῶν χειρῶν; ἡνίκα γὰρ καθῆκε Μωϋσῆς τὰς χεῖρας, ἡττᾶτο ὁ Ἰσραήλ· ἡνίκα δὲ ἥπλου, ἡττᾶτο ὁ Ἀμαλήκ. εἰ γὰρ τῆς προσευχῆς ἦν τὸ ἔργον, ἐχρῆν εἰπεῖν· καὶ ἡνίκα ηὔχετο Μωϋσῆς, ἐνίκα. ἀλλ᾽, ὡς ἔφθην εἰπὼν, τὴν προσευχὴν παραδραμὼν, οὐχ ὡς ἄχρηστον, ἀλλ᾽ ὡς ὀφείλουσαν παραχωρῆσαι τῇ εἰκόνι τοῦ σταυροῦ, τῷ τύπῳ καὶ τῷ σημείῳ τὴν νίκην * ὑπογράφει. ἡνίκα γὰρ ἥπλωσε Μωϋσῆς τὰς χεῖρας, ἐνίκα ὁ Ἰσραήλ. τί βούλεται ἡπλωμένη χείρ; ἀναζωγράφησον παρ᾽ ἑαυτῷ χεῖρας ἡπλωμένας, ἵνα ἴδῃς τοῦ προσκυνητοῦ σταυροῦ λάμπουσαν τὴν εἰκόνα. ἀλλ᾽ ἐκάμε, φησι, Μωϋσῆς· οὐ γὰρ ὑπήρκουν αἱ χεῖρες πρὸς τὴν εἰκόνα τῷ σωματικῷ βάρει νικώμεναι. τί οὖν; ἵνα μὴ, λυθείσης τῆς εἰκόνος, λυθῇ καὶ ἡ νίκη, ἵσταται Ἀαρὼν καὶ Ὢρ, καὶ ἐστήριζον αὐτοῦ τὰς χεῖρας, ἵνα μὴ ἡ εἰκὼν τοῦ σταυροῦ παρελθοῦσα καὶ παυσαμένη, σβέσῃ τὴν νίκην. διὰ τί δὲ ὅλως Ἀαρὼν καὶ Ὢρ τὰς χεῖρας ὑποστηρίζουσιν; Ἀαρὼν, ἀδελφὲ, τὴν ἱερατικὴν ἐπεῖχεν ἀξίαν· ὁ δὲ Ὢρ τῆς βασιλικῆς φυλῆς εἶχε τὴν συγγένειαν. δορυφορεῖ τοίνυν τὴν εἰκόνα τοῦ σταυροῦ ἱερωσύνη καὶ βασιλεία. καὶ ὥσπερ μεταμορφωθέντος τοῦ Κυρίου ἐν τῷ ὄρει, ὤφθη Μωϋσῆς καὶ Ἠλίας ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἵνα δορυφορήσωσι τοῦ Χριστοῦ τὴν βασιλικὴν εἰκόνα· οὕτω καὶ ἐνταῦθα Ἀαρὼν τῆς ἱερατείας τάξιν ἐπέχων, δορυφορεῖ τὸν σταυρὸν, καὶ Ὢρ ὁμοίως τῆς βασιλικῆς ἔχων τὸ πρῶτον ἄνθος, δορυφορεῖ τὸν σταυρόν. ταῦτά μοι εἴρηται, ἵνα δείξω, ὅπως τοῖς πατράσι τοῖς ἀρχαίοις ἐκείνοις τῆς εὐσεβείας ἀνεγράφετο ἡ εἰκὼν, καὶ ἐτιμᾶτο καὶ ὁ τύπος τῆς οἰκονομίας. εἰ δὲ οἱ προαναφωνοῦντες οὕτως ἐκήρυξαν ἐνδόξως, οὕτω προδιετύπωσαν ἐντίμως, πῶς οὐ καὶ πόσοις ἡμεῖς καὶ πηλίκοις στόμασι τοῦ Κυρίου τὸν σταυρὸν καὶ τὴν ἔνθεον οἰκονομίαν κηρύξομεν; οἶδα ὅτι πολὺς ὑμᾶς ἔχει πόθος τῶν δογματικῶν λόγων, καὶ τῶν τῆς θεολογίας κηρυγμάτων. ἀλλ᾽ ἔστιν ἐκείνων ἀδελφὰ καὶ τὰ νῦν εἰρημένα. τῆς γὰρ αὐτῆς ἐννοίας καὶ σταυρὸν κηρύξαι, καὶ τὸν μονογενῆ Θεὸν Λόγον ὑψῶσαι. τοιγαροῦν κἂν τὴν θεότητα τοῦ μονογενοῦς ὑμνήσῃς, κἂν τὴν οἰκονομίαν τιμήσῃς, μίαν καὶ τὴν αὐτὴν ἔχει ἀπόδειξιν τῆς εὐσεβείας. πλὴν ὅταν ἀκούσῃς σταυρὸν, ὅταν ἀκούσῃς σώματος οἰκονομίαν,

Quinetiam iterum myſterii ratio diligenti animadverſione obſervanda eſt. Quemadmodum illic alii ſerpentes erant, qui mordebant, & alius item, qui ſuffigebatur: ſic & hîc omnes ſceleribus & peccatis inquinati: & unus, qui pro omnibus pœnam luit. Habes itaq; & ſecundam, ſed & tertiam imaginem conſidera. *Nam in ore duorum vel trium ſtabit omne verbum.* (Deut. 19, 15. Matth. 18, 16.) Quare verò cruci ſuffigitur ſerpens æneus? ut aboleantur & conſeneſcant morſus ſerpentium. Ergo aliud eſt, quod in crucem tollitur, alia item quæ abolentur, ecquid ſignificationem veritatis animadvertis? An non, tanquam ſub involucro literarum, vim divini cujuſdam ordinis rerum futurarum perſpicis? Sublatus eſt in crucem æneus ſerpens, ait, ut abolerentur morſus draconum. Chriſtus crucifixus eſt, ut dæmonum operationes ceſſarent & abolerentur. Enimverò alius eſt ſerpens ille qui erigitur, alii qui abolentur dracones: alius eſt in cruce pendens Chriſtus, & alii qui abolentur dæmones. Et veluti illic ſimulachrum ſerpentis, qui coram apparebat, abolevit morſus ſerpentium: eodem modo etiam hic mors Chriſti, mortem penitus ſuſtulit dæmonéſque profligavit. Itaque non immeritò Servator, imaginem ſibi adaptans dixit: *Et ſicut Moſes exaltavit ſerpentem in deſerto, ita exaltari oportet filium hominis: ut omnis qui credit in ipſum, non pereat, ſed habeat vitam æternam.* (Joh. 3, 14.) Sed enim, mi frater, licet crucis deſcriptionem apud beatum Moſen etiam alia quadam figura informatam invenire, quam advertas velim. Nam qui de cruce verba faciunt, eos tanti myſterii & arcani complures contemplationes in medium afferre oportet. Quodam tempore exteri quidam, & alienigenæ populi, Iſraëlitis in ipſa ſolitudine bellum faciebant, nomine Amalecitæ: Moſes autem, Jeſum Nave F. ducem exercitus popularium ſuorum, & ſucceſſorem in Imperio deſignatum, armatum proficiſci jubet: ipſe interea in monte ſubſiſtens manibus in cœlum ſublatis. Moſes enim, ajunt ſacræ literæ, aſcendit in montem, & expandit manus ſuas: & factum eſt, cùm extenderet manus, vincebat Iſraël: & cùm demitteret ingraveſcentes, à corporea gravitate victus, vincebat Amalec. (Exod. 17, 11.) Quid hæc figura ſibi vult? Judæus quidem, metuens ne ex hac imagine gloria crucis Chriſti eluceſcat. Nihil, inquit, eorum, quæ abs te finguntur, hæc figura continet. Conformatio illa manuum, orationis figura erat: non imaginis, quam tu animo & mente concepiſti. Quod ſi ita eſt, & victoria illa fructus precationis fuit, cur igitur hiſtoria illa victoriam orationi non attribuit (neque enim hiſtoria ita habet: Cùm Moſes precabatur: Liquet ergo illam victoriam non fuiſſe fructum vel præmium orationis) ſed vel imaginis, & configurationis manuum. Quando enim Moſes demiſit manus, vincebatur Iſraël: quando verò explicabat, vincebatur Amalec. Si enim victoria illa orationi aſcribenda, dicendum fuiſſet: & quando Moſes precabatur, vincebat: ſed, ut modò dixi, oratione prætermiſſa non illa quidem inutili & quæ nihil ad rem faceret; ſed tamen quæ crucis imagini concedere debuit, huic figuræ & huic ſigno victoriam illam fert acceptam. Quando enim Moſes manus expandebat, vincebat Iſraël. Quid autem ſibi vult manus expanſa? finge apud animũ tuum manus expanſas, ut adorandæ crucis ſplendentem imaginem perſpicias. Sed defatigatus eſt, inquit ſcriptura, Moſes, neq; enim manus à gravitate corporis delaſſatæ ſervandæ illi cõfigurationi ſuppetebant. Quid ergo? ne illo ſchemate diſturbato, victoria quoq; amitteretur, aſtabat Moſi Aaron & Or, & manus ſublevabant: ne evaneſcente crucis imagine & ceſſante, victoria quoque manibus excideret. Quare verò omnino Aaron & Or manus ſuffulciunt? Aaron (fratres) pontificio munere fungebatur: Or verò regiæ tribus cognationẽ habebat. Itaque imaginem crucis, ſacerdotium & regnum inſtar ſatellitum ſtipant, & tuentur. Et quid cùm transformaretur Dominus in monte, Moſes & Helias ad dexterã, & ad lævam conſpecti ſunt: ut Chriſtum regia imagine reſplendentẽ quaſi ſatellites ſtiparent: (Luc. 9, 28. Matth. 17, 1. Marc. 9, 2.) Sic etiam hic Aaron ſacerdotii ordinẽ obtinens, crucem defendit: & ſimiliter Or primum regiæ dignitatis florem habens, crucẽ ſtipat. Hæc à me allata ſunt, ut demonſtrem quomodo priſcis illis patribus pietatis imago ſit informata & propoſita: nec non quàm venerabilis, vel figura etiam œconomiæ iiſdem extiterit. Si itaque Prophetæ illi tanta cum laude eam prædicârunt, & tam honorificè præfigurârunt: quanto nos æquius eſt omni contentione ſummis laudibus Domini crucem, divinam illam œconomiam, celebrare. Non ignoro vos magno deſiderio teneri talium orationum, quibus ſacræ Theologiæ capita & dogmata explicantur. At quæ nunc à me dicta ſunt, omnino cum illis conveniunt. Idem enim eſt, & crucem prædicare, & unigenitum Deum, Verbum, ſummis laudibus extollere. Quamobrem, ſive divinam naturam unigeniti concelebres, ſive ejus diſpenſationem & incarnationem laudes, oratio talis, una eadémque pietatis eſt demonſtratio. Veruntamen crucis mentione facta, humanitate Chriſti in medium allata,

animo

animo erecto, intelligentiáque in altum ſublata, unigeniti Filii ſupremam potentiam contemplare: neq; illa figura, quæ tua cauſa facta eſt, ſenſus tuos hebetet vel obtundat: ſed humanitas illa Christi, qui tua cauſa corpus aſſumpſit, cogitationẽ tuam & mentem extollat. Crux quidẽ tua cauſa; majeſtas verò Dei ſua ipſius cauſa eſt. Majeſtas divina nulla oratione amplificari, nulla etiam extenuari poteſt. Quicunq; enim in id incumbunt ut Deo detrectent, ſeipſos dignitatis gradu deturbant: qui verò Deum laudibus evehunt, ſe, licet indigni & viles ſint, in altiorem locum evehunt. Quamobrem, ut priùs dicebamus, quicunque, vel Christi in carne converſationem, vel doctrinam de ipſius divinitate collaudat, in iiſdem ſententiis verſatur. Quoniam verò de heſterna oratione ad noſtram exercitationem ſuſcepta cùm explicaretur illud: *Ut cognoſcant te ſolum verum Deum & Dominum Jeſum Chriſtum* [Joh. 17. 1.]: defuit quiddam: & ad illud quiddam, Solum verum Deum, oracula teſtimoniáq; Prophetarum pro filio ſatis ſuperq; allata ſint, quòd & ſolus, & verus Deus: neceſſarium tamẽ exiſtimo, etiam illorum verborũ vim, & ſententiam diligentius conſiderare & excutere. Et quidem hæreticus hoc modo objicit: ecquid habes, quod de verbo (miſſus) poſſis dicere? [Ibidem.] disertè ſiquidẽ & luculenter ſacræ literæ habent: & quẽ miſiſti Jeſum Chriſtum: anne qui legavit aliquem, cum legato eundẽ dignitatis gradum obtinet: Hæc ſi ita legas, ut dictionem duntaxat, nulla ſententiæ habita ratione, reſpicias, uti priùs diximus, & inter ſe, & à nobis vehemẽter diſſidere ſæpe, minimẽq; congruenter iiſdem noſtris rationibus dici videbuntur: præclarè quidem ſcripta, pravè autẽ intellecta: Sin verò ſententiam eorum cum re ipſa & veritate adhibens, conjungas: nunquam acies ingenii tui ſo pugnantia quædam aberrabit: ut quæ à Spiritu ſancto, ut rem exactè perſpicias, dirigatur. Verba enim hæc, miſſus eſt, & miſit, hominum ſunt: at divinos quoſdam ſenſus tantùm non edita voce declarant. Neq; enim qui legavit ex locis quibuſdam in alia loca legavit: neq; qui miſſus eſt è locis in loca pervenit. Atqui ait hæreticus, Pater filiũ in mundum miſit tanquam eum qui mundo præſens non eſſet, ad quem ſcilicet mittebatur. Quomodo & ſcriptura de Domino loquitur: *In mundo erat & mundus per ipſum factus eſt.* [ἦν ἐν τῷ κόσμῳ & decima.] Quomodo ergo venit, qui aderat? apparuit, qui latebat? Quòd ſi vocabulũ, miſit, re ipſa ita ut ſonat, accipias, neceſſe omnino eſt, eum qui miſſus fuit, iis in locis præſentẽ ſtatuere, in quibus tamẽ nondum [Joh. 8. 10.] verſabatur: & viciſſim eum qui miſit, eò legare, ubi nondũ præſens fuerit. Quomodo igitur Evãgeliſta dicebat, *Omnia per ipſum facta ſunt.* [Joh. 1. 3.] & ſine ipſo factum eſt nihil? in mundo erat, & mundus per ipſum factus eſt? Si itaq; in mundo erat, quomodo in mundũ ablegatur? An ne tibi illud excidit? *Cœlum & terram ego impleo, dicit Dominus.* [Hier. 23. 24.] Quid igitur ſibi vult illud, miſſus eſt? pro eo ac ſi dixiſſet, conſpectus eſt, in carne apparuit, & nobis affulſit. [Ita paulò antè, & ſæpè alias, & paulò poſt.] Legatio enim illa nõ ullam profectionem de loco in locum ſecum affert: ſed ex divina illius natura, quæ cerni conſpiciq; nequit, ejus aſpectabilem præſentiam. Neque enim cùm in hoc orbe ageret, Dominus ſecundùm humanã ipſius naturam cœlos ſua majeſtate, neque nunc ſecundum carnis aſſumptionẽ, quoq; ſupra cœlos ſublatus, orbem vacuum ſua adminiſtratione reliquit. Sed rurſus quod propoſuimus alio modo excutiamus. Si igitur ex vi verbi, fratres, Pater filium in mundum miſit: manifeſtum eſt, eum qui miſit, ſeparatum & diſtinctũ eſſe: & quidem, propria ſede ab eo qui miſſus eſt. Nam ſi idem cum ipſo eſt: planè ſupervacaneum fuerit illud, miſit: Sin verò miſit, neceſſe eſt ſeparatos eſſe, ſi quidem vim verbi reſpicias. Atqui non oportet ita ſerviliter verbis nos addictos eſſe: ſed fide imbutos ad eandẽ vitam inſtituere. Et quænam oratio nobis hic ſuffragabitur: quòd, qui in orbe apparuit, etiã in cœlis eſſet? Quis ſermo teſtificabitur: quòd qui miſſus à patre, à patre non diſceſſerit? Si miſſus in mundũ propriè eſt, quemadmodum verba ſonant: Si qui legavit alius eſt, & à legato ſeparatur, quomodo illud accipiendum erit: *Ego in patre & pater in me:* [Joh. 14. 11.] & rurſus: *& qui miſit me Pater, mecum eſt.* Nunquid animadvertis divinã illam naturã nuſpiam ſeparari? Humanitas verò Chriſti & œconomia ſpeciem illã legationis oſtendit. Quid ergo hoc ſibi vult, *Aſcendo ad patrem meum.* [Joh. 20. 17.] Etenim ſi pater cum ipſo eſt, cur aſcendit? Equidem aſcenſus ille humanitatem Domini interpretatur: & quidem corpus aſſumptum à Domino fuiſſe oſtendit, non autem divinitatis ſeparationem, vel differentiam declarat. Viſne cognoſcere? Sicut cùm in hoc mundo verſaretur, cœlos non dereliquit: neque à patre ſeparatus eſt: ſic in cœlos ſublatum, orbem eum minimè deſtituiſſe vacuum. Quippe idem, qui diſcipulis dixerit: *Et ecce ego vobiſcum ſum,* [Matth. 28. 20.] ſed aſcendo unde deſcendi, ad patrem meum, idem ille, inquam, iiſdem dicit: *Ecce ego vobiſcum ſum omnibus diebus uſq; ad conſummationem ſeculi.* Oraculum igitur illud, ut cognoſcant te ſolum verum Deum & quem miſiſti, Jeſum Chriſtum, ſenſum habet duplicem, duplicémque gladium nobis porrigit: illum quidem adverſus ſimulachrorum cultum promptum, & ſtrictum:

ἀνάγαγέ σου τὴν διάνοιαν πρὸς τὸ ὕψος τῆς τοῦ μονογενοῦς ἐξουσίας. μὴ τὸ σχῆμα τὸ διὰ σὲ γενόμενον ταπεινούτω σου τὸ φρόνημα, ἀλλ' ἡ φιλανθρωπία τοῦ σώσαντος ἀναγαγέτω σου τὴν διάνοιαν. σταυρὸς μὲν γὰρ διὰ σέ, ἀξία δὲ Θεοῦ δι' ἑαυτόν. ἀξίαι δὲ Θεοῦ οὐχ ὑψοῦνται λόγοις, οὐ καθαιροῦνται λόγοις· ἀλλ' οἱ καθαιροῦντες, ἑαυτῶν ἐργάζονται τὴν καθαίρεσιν· οἱ δὲ ὑψοῦντες, ἑαυτῶν ἐργάζονται τὴν καθαίρεσιν· οἱ δὲ ὑψοῦντες, ἑαυτῶν τὴν ἀντίληψιν εἰς ὕψος ἀνάγουσιν. ὥσπερ οὖν ἔφθημεν εἰπόντες, ὅτι καὶ ὁ τὴν οἰκονομίαν, καὶ ὁ τὴν θεολογίαν ἀνυμνήσας, τῆς αὐτῆς ἔχεται διανοίας· ἀλλ' ἐπειδὴ τοῖς χθὲς ἡμῖν γεγυμνασμένοις ἔλειπέ τι, πρὸς τό, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ Κύριον Ἰησοῦν Χριστόν· καὶ πρὸς μὲν τὸν μόνον ἀληθινὸν Θεὸν ἀπεδείχθησαν αἱ προφητεῖαι καὶ αἱ μαρτυρίαι τοῦ υἱοῦ, ὅτι καὶ μόνος ἀληθινὸς Θεός· ἀναγκαῖον δὲ οἶμαι κἀκείνην ἐξετάσαι τῆς λέξεως τὴν θεωρίαν. καί τοι φησὶν ὁ αἱρετικός· τί δὴ πάλιν ἔχεις καὶ πρὸς τὸ ἀπεσταλμένον εἰπεῖν; ῥητῶς γὰρ ἀναγέγραπται, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. μὴ ὁ ἀποστείλας τῷ ἀποσταλέντι ὁμότιμον ἔχει τὴν ἀξίαν; ταῦτα ἐὰν μὲν τῇ λέξει δουλεύων ἀναγνώσῃς, πολλάκις, ὡς προειρήκαμεν, πολλὴν εὑρήσεις ὡς ἀληθῶς πρὸς ἡμᾶς ἐναντιότητα, καὶ οὐ συμφωνοῦντα τοῖς αὐτοῖς λογισμοῖς τὰ καλῶς μὲν γεγραμμένα, κακῶς δὲ νοούμενα. ἐὰν δὲ πρὸς αὐτὴν τὴν ἀλήθειαν συλλάβῃς τὴν ἔννοιαν, οὐδαμοῦ σοι πρὸς ἐναντιότητα περιτραπήσεται τὸ τῆς διανοίας ὄμμα, ὑπ' αὐτοῦ τοῦ ἁγίου πνεύματος ὁδηγούμενον πρὸς ἀκριβῆ κατανόησιν. τὸ γὰρ, ἀπεστάλη, καὶ ἀπέστειλεν, ἀνθρώπινα μὲν φθέγματα, θεῖα δὲ κηρύττει νοήματα. οὔτε γὰρ ὁ ἀποστείλας ἀπὸ τόπων εἰς τόπους ἀπέστειλεν, οὔτε ὁ ἀποσταλεὶς ἀπὸ τόπων εἰς τόπους ἦλθεν. ἀλλ' ἀπέστειλε, φησίν, ὁ πατὴρ τὸν υἱὸν εἰς τὸν κόσμον, ὡς μὴ παρόντι τῷ κόσμῳ, πρὸς ὃν ἐπέμπετο. πῶς ἡ γραφὴ φησὶ περὶ αὐτοῦ τοῦ Κυρίου, ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο; πῶς ἂν ἦλθεν ὁ παρών, ἐφάνη ὁ λανθάνων; εἰ δὲ ἀληθῶς, ὡς ἀκούεις, νοεῖς τό, ἀπέστειλε, πᾶσα ἀνάγκη καὶ τὸν ἀποσταλέντα τότε ἐπιστῆναι τοῖς τόποις, οἷς μηδέπω παρῆν, καὶ τὸν ἀποστείλαντα ἐκεῖ πέμπειν, ὅπου μὴ πάρεστι. πῶς οὖν ὁ εὐαγγελιστὴς ἔλεγε, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέ; ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. εἰ τοίνυν ἦν ἐν τῷ κόσμῳ, πῶς ἀποστέλλεται ἐν τῷ κόσμῳ; οὐκ ἤκουσας αὐτοῦ λέγοντος· τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος; τί οὖν βούλεται τό, ἀπεστάλη; ἀντὶ τοῦ, ὤφθη, ἀντὶ τοῦ, διὰ σαρκὸς ἔλαμψεν. ἡ γὰρ ἀποστολὴ οὐ τὴν ἀπὸ τόπων εἰς τόπους μετάβασιν σημαίνει, ἀλλὰ τὴν ἐκ τῆς ἀοράτου θεότητος εἰς ἐμφανῆ παρουσίαν. οὔτε γὰρ ἐπιδημήσας τῇ γῇ κατὰ τὴν ἀνθρωπίνην οἰκονομίαν, τοὺς οὐρανοὺς ἐκένωσε τῆς ἑαυτοῦ ἀξίας, οὔτε νῦν ἀναληφθεὶς κατὰ τὴν τῆς σαρκὸς ἀνάληψιν, τὴν γῆν ἔρημον κατέλιπε τῆς ἰδίας ἐπιστασίας. Πάλιν ἑτέρως τὸν λόγον γυμνάσωμεν. εἰ κατὰ τὴν λέξιν, ἀδελφοί, ὁ πατὴρ ἀπέστειλε τὸν υἱὸν εἰς τὸν κόσμον, δῆλον ὅτι ὁ ἀποστείλας τοῦ ἀπεσταλμένου χωρίζεται κατὰ τὴν ἰδίαν στάσιν. εἰ μὲν γὰρ σὺν αὐτῷ ἐστι, περιττὸν τὸ ἀπέσταλκεν· εἰ δὲ ἀπέστειλεν, ἀνάγκη κεχωρίσθαι, κατὰ τὴν τῆς λέξεως ἔμφασιν. ἀλλ' οὐ δεῖ τῇ λέξει δουλεύειν, ἀλλὰ τῇ πίστει στοιχεῖν. καὶ τίς ἡμῖν μαρτυρήσει λόγος, ὅτι ἐπὶ γῆς φανεὶς ἐν οὐρανοῖς ἦν; τίς δὲ μαρτυρήσει λόγος, ὅτι παρὰ πατρὸς ἀπεσταλμένος οὐκ ἐχωρίσθη τοῦ πατρός; εἰ ἀπεστάλη εἰς τὸν κόσμον κατὰ τὴν λέξιν, εἰ ὁ πέμψας τοῦ ἀπεσταλμένου χωρίζεται, πῶς ἔλεγεν, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί; πῶς δὲ πάλιν ἔλεγε, καὶ ὁ πέμψας με πατὴρ μετ' ἐμοῦ ἐστιν; ὁρᾷς ὅτι ἡ θεία φύσις οὐ χωρίζεται· ἡ δὲ οἰκονομία τὸ σχῆμα τῆς ἀποστολῆς ἐνδείκνυται. τί οὖν βούλεται τό, ἀναβαίνω πρὸς τὸν πατέρα μου; εἰ γὰρ σὺν αὐτῷ ὁ πατήρ, διὰ τί ἀναβαίνει; ἡ ἀνάβασις τὴν οἰκονομίαν ἑρμηνεύει, τοῦ σώματος τὴν ἀνάληψιν, οὐ τῆς θεότητος τὴν διάστασιν. θέλεις δὲ μαθεῖν, ὅτι ὥσπερ ἐπιδημήσας τῇ γῇ, τοὺς οὐρανοὺς οὐ κατέλιπεν, οὔτε τοῦ πατρὸς ἐχωρίσθη· οὕτω καὶ εἰς οὐρανοὺς ἀναληφθείς, τὴν γῆν οὐ κατέλιπεν ἔρημον. ὁ εἰπὼν πρὸς τοὺς ἑαυτοῦ μαθητάς, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι, ἀλλὰ ἀνέρχομαι, ὅθεν κατῆλθον, πρὸς τὸν πατέρα μου· ὁ αὐτὸς πάλιν πρὸς ἐκείνους λέγει, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. τὸ οὖν, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν, διπλῆν ἔννοιαν ἔχει, καὶ μάχαιραν διπλῆν· τὴν μὲν κατὰ τῆς εἰδωλολατρείας ὁπλιζομένην,

τὴν

τὴν δὲ κατὰ τῆς Ἰουδαϊκῆς ἀπειθείας παρατεταγμένην. μόνον μὲν γὰρ ἀληθινὸν Θεὸν λέγει, ἵνα τὰ νεκρὰ εἴδωλα στηλιτεύσῃ. ἀπεσταλμένον δὲ Ἰησοῦν Χριστὸν, ἵνα τοὺς τὴν οἰκονομίαν ἀρνουμένους ἐπιστομίσῃ. ἐκλάμβανε τοίνυν τὰ ῥήματα πρὸς τὴν ἔννοιαν, καὶ μὴ ὕβριζε τὴν ἀξίαν διὰ τὴν λέξιν. ἵνα δὲ μάθῃς ἀκριβῶς, ὅτι τὸ ἀποσταλῆναι παρὰ τοῦ Θεοῦ, οὐ τὴν ἀπὸ τόπου εἰς τόπους μετάστασιν σημαίνει, ἀλλὰ τῆς οἰκονομίας τὴν φανέρωσιν· περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ λέγει τὸ εὐαγγέλιον, τοῦ ἀπὸ γῆς ὄντος, καὶ ἀπὸ γῆς φανερωθέντος. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ. ἆρα ἀπ' οὐρανῶν ἀπεστάλη Ἰωάννης; ἆρα ἄνωθεν ἐλήλυθε; πῶς οὖν ἐλήλυθεν; εἶτα ἄνθρωπος μὲν ἀποστελλόμενος οὐκ ἀπὸ τόπου εἰς τόπους μετέβη, ἀλλὰ τὴν οἰκονομίαν ἐνεχειρίσθη· ὁ δὲ Θεὸς λόγος, ὁ πάντα πληρῶν, ἐὰν εἴπῃ ἑαυτὸν ἀπεσταλμένον, τὴν φύσιν ὑβρίσει, καὶ οὐ τὴν οἰκονομίαν ἐμφανίσει; ὅρα αὐτὸν, ἀδελφὲ, καὶ πληροῦντα τῆς σαρκὸς τὴν οἰκονομίαν, καὶ μὴ καθαιροῦντα τῆς θεϊκῆς δυνάμεως τὴν ἀξίαν· καὶ τὸ ἀρχιερατικὸν σχῆμα. ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ παρακαλέσω αὐτὸν, καὶ παράκλητον πέμψει ὑμῖν τὸ πνεῦμα τῆς ἀληθείας. σὺ ἀναβαίνεις ἄνω, καὶ παρακαλεῖς, καὶ παρακαλῶν δυσωπεῖς, καὶ μετὰ τὴν παράκλησιν ἀποστέλλεις τὸ πνεῦμα [παρακαλῶ γὰρ ἔφης, καὶ πέμπω] τίνος ἕνεκεν πρὸ τῆς ἀναβάσεως λύεις τὴν τοῦ πατρὸς αὐθεντίαν, εἰ μὴ αὐθεντεῖς κατὰ τὴν θείαν ἀξίαν, ἀλλ' ἀναμένεις ἀπελθεῖν πρὸς τὸν πατέρα εἰς τὸν οὐρανὸν, καὶ παράκλησιν καὶ ἱκεσίαν προσάγειν, καὶ οὕτω λαβεῖν τοῦ πνεύματος τὴν χάριν, καὶ εἰς πᾶσαν ἐκπέμψαι τὴν οἰκουμένην; τίνος ἕνεκεν πρὶν ἀναβῇς, πρὶν παρακαλέσῃς, οἰκείαν ἐνδείκνυσαι τὴν αὐθεντίαν; διὰ τί πρὸ τῆς ἀναλήψεως, ἀναστὰς ἐκ νεκρῶν, ἐνεφύσησας εἰς τὰ πρόσωπα τῶν ἀποστόλων, καὶ λέγεις, λάβετε πνεῦμα ἅγιον; ὃ αἰτεῖς παρὰ πατρὸς, πρὶν ἱκετεύσῃς πατέρα, δίδως. οὐκοῦν εἰρωνεύῃ τὴν αἴτησιν; οὐκ εἰρωνεύομαι, φησιν [οὐκ ἔστι γὰρ εἰρωνεία παρὰ τῇ ἀληθείᾳ] ἀλλὰ τὸ μὲν ἥρμοσται τῇ ἀξίᾳ, τὸ δὲ πρέπει τῇ οἰκονομίᾳ. διὰ τί οὖν ἐνεφύσησας εἰς τὰ πρόσωπα τῶν ἀποστόλων; ἔδει με, φησιν ὁ Σωτὴρ, ἀναστάντα ἐκ τῶν νεκρῶν, τὴν ἀπαρχὴν τῆς ζωῆς τῷ κόσμῳ χαρίσασθαι. ἐπειδὴ γὰρ Ἀδὰμ πλασθεὶς ἔλαβεν ἐμφύσημα ζωῆς [ἐνεφύσησε γὰρ ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ, καὶ ἐγένετο εἰς ψυχὴν ζῶσαν] ὃ λαβὼν ἐκεῖνος ἀπώλεσε, τοῦτο παρὼν ἀναλαμβάνω. ἐγείρω τὸν πεσόντα, ἀνακαινίζω τὸν φθαρέντα, ζωοποιῶ τὸν νεκρωθέντα. μαρτυρεῖ μου τῇ οἰκονομίᾳ καὶ ὁ προφήτης βοήσας μου τὴν ἐμφύσησιν. καὶ τίς ὁ ἀναβοῶν προφήτης προαναφωνεῖ τὴν ἁγίαν ταύτην ἐμφύσησιν; ἄκουε, φησὶ, τοῦ προφήτου λέγοντος ἐν τοῖς δυοκαίδεκα· Ναοὺμ δὲ τούτῳ ὄνομα· ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. οὐκέτι μὴ προσθῶσιν ἐλθεῖν πρὸς παλαίωσιν· συντετέλεσται τὰ πρῶτα, φησιν. οὐκέτι οὖν μὴ προσθῶσιν ἐλθεῖν πρὸς παλαίωσιν. τὴν καινὴν χάριν εὐαγγελίζεται, ὅτι τὰ παλαιὰ πέπαυται, τὰ νέα ἀνθοῦσιν. ἑόρταζε τὰς ἑορτάς σου. διὰ τί, ἑόρτασον, ὀνομάζει; ἐπειδὴ ἐν τῇ ἑορτῇ τοῦ πάσχα ἀνάστασις ἤμελλεν ἀνθῆσαι, ἑόρταζε, φησιν, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. οὐκέτι μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν· συντετέλεσται, ἐξῆρται· τουτέστι, τὰ πρῶτα τέλος ἔχει. καὶ διὰ τί τέλος ἔχει τὰ πρῶτα; ἀνέβη γὰρ ἐκ τῆς γῆς ὁ ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως. Ἀλλὰ πάλιν ἐπαναλάβωμεν. ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. οὐκέτι μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν. τίνες αἱ ἑορταί; ἦσαν γὰρ ἐκεῖναι πᾶσαι αἱ παλαιαὶ τῶν νέων φέρουσαι τὴν εἰκόνα· πρώτη τῶν ἀζύμων ἡμέρα, εἰκὼν οὖσα τοῦ πάθους, τοῖς ἀκριβῶς ἐξετάζουσι· μετὰ ταύτην ἡμέρα τῆς πεντηκοστῆς, εἰκὼν οὖσα καὶ αὐτὴ τῆς τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος ἐπιφοιτήσεως. ἡ δὲ τῶν σκηνοπηγιῶν, εἰκὼν καὶ αὐτὴ ἦν τῶν σκηνῶν τῶν οὐρανίων. τοῦτο καὶ ὁ Κύριος ἐνδεικνύμενος, ἐπειδήπερ ἐκεῖναι ἦσαν πρόσκαιροι, βουλόμενος δεῖξαι, ὅτι αἱ σκηναὶ ἐκεῖναι τύποι εἰσὶ τῶν μελλουσῶν σκηνῶν, ἔλεγε πρὸς τοὺς ἐν τῷ κόσμῳ πλουτοῦντας· Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵν' ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. αἱ οὖν πρόσκαιροι σκηναὶ τύπος ἦσαν τῶν αἰωνίων σκηνῶν. ἐπεὶ οὖν ἡ τοῦ Χριστοῦ οἰκονομία τοὺς μὲν παλαιοὺς τύπους ἐπλήρου, τὴν δὲ νέαν χάριν ἐξήνθει, καλῶς ὁ προφήτης προαναφωνεῖ λέγων· ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου. σημαίνει τὸ, οὐκέτι γὰρ μὴ προσθῶσιν ἐλθεῖν εἰς παλαίωσιν. ἀνακεκαίνισται γὰρ τὰ παλαιὰ διὰ τῆς χάριτος, συντετέλεσται, ἐξῆρται. ἀνέβη γὰρ ἐκ τῆς γῆς ὁ ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως, ἀλλ' ὁ μὲν προφήτης Ναοὺμ γυμνῶς οὕτω παρέστησε τὸν τὴν ἁγίαν χάριν ἐμπνεύσαντα Κύριον.

A hunc verò adverſus impiam & Judaïcam infidelitatem comparatum. Unum enim & ſolum appellat, ut demortua illa ſimulachra notet, & infamet: miſſum verò Jeſum dicit: ut eos qui humanitatis illam totam œconomiam in carne inficiantur, obmuteſcere faciat. Verba itaq; cum ſententia conjunctim accipe: neq; majeſtatem propter dictionem contumelioſè tractes. Ut autem exactè intelligas hæc verba, à Deo miſſum eſſe, non ſignificare de uno loco in alium lucum ſeceſſionem: ſed patefactionē divinæ illius
B diſpenſationis & œconomiæ: de Joanne Baptiſta, qui & terrenus erat, & in terris apparuit. Et angelicæ literæ ajunt: *Fuit homo miſſus à Deo*: Nunquid Joannes cœlitus miſſus eſt? num è cœlis ad nos deſcendit? Quomodo igitur ad nos pervenit? Deinde verò homo cùm mitteretur, non de uno loco in alium ſeſe contulit: Sed illi myſterii diſpenſatio eſt mandata. Et Deus verbum, quod omnia implet: ſi ſe ipſum miſſum eſſe dicat, ſuam naturā contumelia protinus afficiet: neq; œconomiam in carne, ſeu diſpenſa- Joh. 1, 6.
C tionem ita nobis aperiet. Attende, frater ipſum omnes humanæ ſuæ conditionis partes explere: nec tamē quicquā de divinæ ſuæ potentiæ majeſtate detrahere. Et ſacerdotii quidem ſui ſpeciem his verbis proponit. *Aſcendo ad patrem meum, & rogabo eum, & paracletum mittet vobis ſpiritum veritatis.* Surſum aſcendis & patrocinaris & rogas patrocinans, & poſt patrocinationem mittis (Patrocinor enim dicis & mitto:) quare ante aſcenſionem, patris authoritatem & majeſtatem imminuis? ſi non ſecundùm di- Joh. 14, 16.
D vinam tuām dignitatē pro authoritate agis, verum certum tempus ad patrem aſcendendi in cœlos expectas, ut eidē preces ſupplicationeſq; offeras: ut hoc demum modo Spiritus gratiam acciperent, quæ quidem toti orbi terrarum communicaretur: cur, antequam aſcenderes, antequā rogares, propriam tuam demonſtras majeſtatem? Cur ante aſcenſionem cùm à mortuis reſurrexiſſes, inſufflaſti in faciem Apoſtolorum, dixiſtiq;: *Accipite Spiritum ſanctum?* Equidem quod à patre comprecaris, antequam
E rogas, largiris. Itaque ſimulas petitionem? Nequaquam ſimulo, ait (longiſſimè enim à veritate omnis abeſt ſimulatio.) Verùm prius quidem illud divinam illam dignitatem decebat: hoc verò humanæ naturæ convenit. Cur igitur inſufflaſti in faciem Apoſtolorum? Me verò, ait ſervator, ab inferis excitatū primitias vitæ toti mundo largiri oportuit. Poſteaquam enim Adamus formatus, ſpiraculum vitæ accepit: (*Inſpiravit enim Deus in faciem Adami, & factus eſt in animam viventem.*) Quod ille accepit, Joh. 20, 22. Gen. 2.
A perdidit: hoc ego præſens recupero & reſtituo. Lapſum erigo: depravatum inſtauro: morte mulctatum vita dono. Equidem de converſatione mea in carne etiā Propheta teſtificatur, qui meam inſpirationē prædicavit. At quis eſt ille Propheta qui exclamando meam inſpirationem illam ſanctā prædicit? Audi, inquit, Prophetam ex illis duodecim. Naum nomine dicentem: *Celebra, Juda, feſta tua, redde Deo vota tua.* Non illi ampliùs adjicient ut veniant ad vetuſtatē. Prima illa conſummata ſunt, ait. Non illi am- Naum. 1, 15.
B pliùs inducant redire ad vetera. Gratiam ille novam annuntiat, quoniam vetera deſierunt. Nova nunc florent: celebra feſta tua. Cur verò feſtū celebrato: peragito, dicit? quia in feſto Paſchatis reſurrectio erat futura. Celebra, Juda, inquit feſta tua, redde Deo vota tua: non ampliùs adjicient ut veniant ad vetuſtatem. Conſummata, & ad finē exitūmq; prima illa deducta ſunt. Quare verò ad finem prima ſunt deducta? Nam è terris aſcendit, qui in faciem tuā ſufflat, & qui te ex omni afflictione liberat. Sed repeta-
C mus propheticum oraculū: Celebra Juda feſtivitates tuas, & redde Deo vota tua, non ampliùs adjicient, ut veniant ad vetuſtatem. At quænam erant illa feſta? omnia, inquā, illa veteribus illis uſitata, quæ quidem novorū ſpeciem & imaginem præ ſe ferebant. Primum ſi quidem azymorum feſtū imago fuit ſupplicii & mortis Chriſti, ſi quis rem diligentiùs perpendat: poſt hoc dies Pentecoſtes, & ipſa imago fuit adventus ſancti & omni divino cultu venerandi Spiritus. Feſtum verò tabernaculorum, ſimilitudinem Lev. 23, & Exod. 23, 16.
D referebat æternorum illorum tabernaculorum. Quia verò tabernacula illa ad tempus tantùm extruebantur: cùm Dominus demonſtrare vellet, ea, figuras eſſe cœleſtium, æternorum, futurorum tabernaculorum, cum alloqueretur divites hujus mundi, dixit: *Facite vobis amicos ex mammona iniquitatis, ut cùm defeceritis, recipiant vos in æterna tabernacula.* Ergo tabernacula illa ad tempus conſtructa figuram gerebant æternorum illorum tabernaculorū. Cùm itaq; Chriſtus homo, inter homines agens, rebus Luc. 16, 9.
E à ſe in hac vita geſtis figuras illas adimpleret: & verò novā illam gratiā quaſi efflореſcere faceret, præclarè omnino Propheta exclamando prædicit: Celebra, Juda, feſtivitates tuas, & redde Deo vota tua: idq; ſignificat illud: Nō ampliùs adjicient ut veniant ad vetuſtatē. Etenim per gratiā inſtaurata omnia, cōſummata, & ad ſummū adducta ſunt. Aſcendit enim ex terra, qui inſpirat in faciē tuā, qui te ex malis liberat. Veruntamē Naum Propheta ſimpliciter & nudè Dominū ſanctam ſuam gratiam inſpirantē proponit

Eſaias verò alio quodam in loco Chriſtum ab inferis excitatum,
Eſa. 63, 11. ac Spiritum ſanctum largientem prædicit, cùm ait: *Recordatus eſt æternorum dierum, qui ex terra paſtorem ovium eduxit.* Et pro eo, inſufflavit in faciem eorum, protinus ſubjecit: Qui poſuit in ipſis Spiritum ſanctum: Divina majeſtas, divina appellatio, regalis dignitas, puta & impolluta gloria, poteſtas quæ comprehendi nequit, quæ cum patre conglorificatur, quæ cum filio re-
1 Cor. 12, 11. gnat, *qui operatur omnia, qui diſtribuit divina dona unicuique quemadmodum vult.* Equidem dubium mihi non eſt, quin germanos Eccleſiæ filios confirmet: adverſarios verò, pietatis quæ maximè haſtes lancinet hæc mea cruentéque oratio: eos, inquam, qui Spiritum ſanctum eadem cum Patre & Filio gloria afficere recuſant. O miſeros homines! Nolunt iſti Spiritum ſanctum honore dignari quē ipſi adepti ſunt. Apoſtolus verò de ſe,
Rom. 8, 17. & ſuis dixit: *Si compatimur, etiam conglorificabimur.* Paulus cum
2. Tim. 2, 12. Deo gloria afficitur: & Spiritus ſanctus gloria nō efficietur? Natura, quæ morti obnoxia eſt, ad id faſtigiū evehitur, ut cum Chriſto gloria afficiatur: & Spiritus ſanctus omni adoratione colendus, ne quidem eam excellentiam nobiſcum communē habebit? De iiſdem hominibus idem Apoſtolus dicit: *Si compatimur, etiam conregnabimus:* & Spiritus ſanctus nō regnat cum Chriſto? ô magnam ingratitudinem! ô magnam, nec ampliùs ferendam inſaniam! ô impiam hæreſin! & blaſphemiam incredibilem! & plagam incurabilem! Nos quidem ſperamus nos conregnaturos: & Spiritum ſanctum, ſervi loco habemus? Hæc à nobis, Fratres, eò dicuntur, non quód exiſtimemus Spiritum ſanctum peræquè, ut nos, cum Chriſto gloria affici debere: ſed eorum impias fraudes exagitamus, & reprehendimus, qui ne tantum quidem eidem tribuere dignantur. Propitius ſis nobis Domine in iis quæ diximus. Nam licet nuda & ſuperficiaria adverſariorum tantum verba repetamus: nemo tamen, fratres, contumeliam exiſtimet velim, contumelias illorum in Spiritum ſanctū à nobis repeti. Equidem in medium eas, & quidem nominatim adferimus, non quod impietati aſſentiamur. ſed errorem ipſum infamamus, vel veræ ſanæq; doctrinæ alumnos pravis illorū placitis arcemus, ac repellimus. Etenim illi ipſi Apoſtoli, qui Dominum charum habebant, & quidem conſpecta illius majeſtate, nihil dubitaverunt ſacris Evangeliis inſerere contumelias quas Domino Judæi imponebant. Itaq; literis prodita ſunt, quæcunq; illi de Chriſto auſi fuerunt dicere: & quód peccator eſſet: quód ex Deo non eſſet. Quin & palam in os ipſi nihil veriti ſunt dicere: Samaritanus es tu, &
Joh. 7. dæmonium habes. Atqui non illi libri Evangelici, ab iiſdem per-
Joh. 8, 48. ſcripti, Chriſtum accuſant: ſed impiæ illæ voces eorum qui blaſphemè in ipſum invecti fuerant. Adverte ſpiritus vim, & efficaciam. Audi Apoſtolorum laudes, cum ſumma Chriſti gloria conjunctas: ex illorum doctrina vitam inſtitues: Veſtigiis ſanctorū hominum inſiſte: neq; te profanorum hominum veſtigiis à vera rectaq; via abduci ſinas. Trinitatem adora: trinitatem laudibus extolle: trinitatem prædica. In hac ſentētia ſunt prophetæ: ſic docent Apoſtoli: ſic credunt martyres. Attende quomodo Paulus
1. Cor. 12, 4. Trinitatem prædicet: *Diviſiones gratiarum ſunt, idem autem Spiritus: diviſiones miniſtrationum ſunt, idem autem Dominus: & diviſiones, operationum ſunt, idem verò Deus, qui operatur omnia in omnibus.* Quanam de cauſa non à Patre initium facit? cur nō primò quidem Patrem prædicat, dehinc Filium, ac demum Spiritum ſanctum? Invertiſne ordinem, Paule? anne conſecutionē incon-
Matth. ult. cinnè reddis: Quum etiam Servator ita tradiderit: *In nomine Patris, & Filii, & Spiritus ſancti.* Túne leges Theologiæ negligis? At hoc Deus avertat, nos quicquam tale unquam de Paulo cogitare. Sanctus enim ille & admirabilis præco hoc probè proſpectū habuerat: quòd etiamſi Spiritus ſancti primò meminiſſet, ſe nihilominus Theologiæ puritatem integram illæſamq; conſervare: nec ſinceram, illam & puriſſimam naturam ulla contumelia lædere: Neq; dignitatem quæ omnis diviſionis expers eſt, in partes dividere. Spiritus primò meminit, ut manifeſtū evadat, quòd etiamſi ultimo loco Spiritum nominarit, non propterea ultimum faciat & extremum. Quoniam verò illi pravè & perversè rem interpretantur, nec unà numerant (ſed numero ulteriorē ſubnumerantes Patri Filium, & Filio Spiritū ſanctum: Primus enim, ajunt, Pater: ſecundus Filius, tertius Spiritus ſanctus, neutiquam illi rectam illius notitiæ ſeriem adorandæ Trinitatis pervident: ſed ingenio perverſo contumelioſè accipere Theologiæ puritatē conantur) meritò Paulus vocabulorum ordinem invertit: ut ſimul & veritatis vim patefaciat, & improborum opinionem labefactet. Atqui, ait, hoc me non latet, quòd Filii quidem & Spiritus ſancti obiter mentionem fecerit: verùm cùm ad Patrem perveniſſet, altiorem quandam & ſublimiorem Theologiam adhibuit. Et de Spiritu ſancto quidem dixit: *Idem autem Spiritus,* de Filio verò:

A Ἠσαΐας δὲ καὶ αὐτὸς ἐν ἑτέρῳ τόπῳ, τὸν ἐκ νεκρῶν ἀναστάντα, καὶ πνεῦμα ἅγιον τοῖς ἑαυτοῦ χαριζόμενον προαναφωνεῖ, λέγων· ἐμνήσθη ἡμερῶν αἰωνίων ὁ ἀναβιβάσας ἐκ γῆς τὸν ποιμένα τῶν προβάτων. καὶ ἀντὶ τοῦ, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτῶν, εὐθέως ἐπήγαγεν· ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον. ἡ θεία ἀξία, ἡ θεία προσηγορία, τὸ βασιλικὸν ἀξίωμα, ἡ ἄχραντος δόξα, καὶ ἡ ἀκατάληπτος δύναμις, τὸ τῷ πατρὶ συνδοξαζόμενον, καὶ υἱῷ συμβασι-
B λεῦον, καὶ ἐνεργοῦν τὰ πάντα, καὶ διαιροῦν τὰ θεῖα χαρίσματα ἑκάστῳ, καθὼς βούλεται. Ταῦτα εὖ οἶδα ὅτι στηρίζει μὲν τοὺς υἱοὺς ἰδίους τῆς ἐκκλησίας, δάκνει δὲ τοὺς ἐχθροὺς καὶ διαρρήγνυσι, μάλιστα τοὺς ἐχθροὺς τῆς εὐσεβείας, τοὺς παραιτουμένους πατρὶ καὶ υἱῷ συνδοξάζειν τὸ πνεῦμα τὸ ἅγιον. ὢ τῆς ἀθλιότητος· ἧσπερ αὐτοὶ ἔτυχον, καταξιοῦν ἐθέλουσι τὸ πνεῦμα τὸ ἅγιον. ὁ δὲ ἀπόστολος περὶ ἑαυτοῦ, καὶ τῶν κατ' αὐτὸν ἔλεγεν, εἰ συμπάσχομεν, καὶ συνδοξασθησόμεθα. Παῦλος συν-
C δοξάζεται Θεῷ, καὶ τὸ πνεῦμα οὐ συνδοξάζεται; ἡ θνητὴ φύσις τοσοῦτον ἀνάγεται, ὡς Χριστῷ συνδοξάζεσθαι, καὶ τὸ προσκυνητὸν πνεῦμα, οὐδὲ τῶν αὐτῶν ἡμῖν κοινωνήσει πλεονεκτημάτων; καὶ περὶ μὲν ἀνθρώπων, φησὶν ὁ αὐτὸς ἀπόστολος, εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. τὸ δὲ πνεῦμα τὸ ἅγιον οὐ συμβασιλεύει Χριστῷ; ὢ τῆς πολλῆς ἀγνωμοσύνης, ὢ τῆς πολλῆς, καὶ ἀφορήτου μανίας. ὢ γνώμης ἀθέου, καὶ βλασφημίας ἀμέτρου, καὶ πληγῆς ἀνιάτου. ἡμεῖς προσδοκῶμεν συμβα-
D σιλεῦσαι, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν δούλου τάξει κατατάττομεν; Ταῦτα δὲ φαμὲν, ἀδελφοὶ, οὐχ ὡς παραπλησίως ἡμῖν ὀφείλοντος τοῦ ἁγίου πνεύματος τῷ Χριστῷ συνδοξάζεσθαι, ἀλλὰ τὴν ἀσέβειαν ἐλέγχοντες τῶν μηδὲ τοσοῦτον ἀπονέμειν ἀνεχομένων. ἵλεως δὲ ἡμῖν, Κύριε, ἐπὶ τοῖς λαλουμένοις εἴης· ὅτι κἂν μέχρι ψιλῆς καὶ ἐπιπολαίου λέξεως δευτερῶμεν τὰ τῶν ἀσεβῶν ῥήματα, ἀλλ' ὑμᾶς μηδεὶς, ἀδελφοὶ, νομιζέτω ὕβριν εἶναι τοῦ ἁγίου πνεύματος τὸ δευτερωθῆναι τὰς παρ'
E ἐκείνων ὕβρεις. ἄγομεν γὰρ αὐτοὺς εἰς μέσον, καὶ λέγομεν, οὐ συντιθέμενοι τῇ ἀσεβείᾳ, ἀλλὰ τὴν πλάνην στηλιτεύοντες, καὶ τοὺς συντρόφους τῆς εὐσεβείας τῶν πονηρῶν δογμάτων ἀποτειχίζοντες. καὶ γὰρ οἱ ἀπόστολοι ἀγαπῶντες τὸν Κύριον, καὶ ἰδόντες αὐτοῦ τὴν ἀξίαν, οὐκ ὤκνησαν ἐντάξαι τοῖς ἁγίοις εὐαγγελίοις τὰς παρὰ τῶν Ἰουδαίων ὕβρεις. γέγραπται γοῦν ὅσα εἰπεῖν ἐτόλμησαν περὶ Χριστοῦ, καὶ ὅτι ἁμαρτωλός ἐστι, καὶ ὅτι τοῦ Θεοῦ οὐκ ἔστι. καὶ εἰς πρόσωπον αὐτοῦ λέγειν οὐκ
A ὤκνησαν, Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις. ἀλλ' αὐτὸ γράμμα οὐ τοῦ γράψαντος κατηγορεῖ, ἀλλὰ τῶν βλασφημησάντων. ἄκουε τοῦ πνεύματος τὴν ἐνέργειαν, ἄκουε τῶν ἀποστόλων τὴν δοξολογίαν. στοίχει ταῖς ἐκείνων διδασκαλίαις, ἕπου τοῖς βήμασι τῶν ἁγίων· μὴ πλάνα σαυτὸν τοῖς ἴχνεσι τῶν βεβήλων. τριάδα προσκύνει, τριάδα δόξαζε, τριάδα κήρυττε. οὕτω φρονοῦσι προφῆται, οὕτω κηρύττουσιν ἀπόστολοι, οὕτω πιστεύουσι μάρτυρες. ἄκουε Παύλου τὴν τριάδα κη-
B ρύττοντος· διαιρέσεις χαρισμάτων, τὸ δὲ αὐτὸ πνεῦμα· διαιρέσεις διακονιῶν, ὁ δὲ αὐτὸς Κύριος· διαιρέσεις ἐνεργημάτων, ὁ δὲ αὐτὸς Θεὸς ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. τίνος ἕνεκεν οὐκ ἀπὸ πατρὸς ἄρχεται; οὐ πρῶτον ἐκεῖνον κηρύττει, καὶ τότε τὸν υἱὸν, καὶ μετ' αὐτὸν τὸ ἅγιον πνεῦμα; μεταβάλλεις τὴν τάξιν, ὦ Παῦλε; μεταρρυθμίζεις τὴν ἀκολουθίαν; τοῦ Σωτῆρος παραδεδωκότος, ἐν ὀνόματι πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, σὺ λύεις τὸν θεσμὸν τῆς θεολογίας; ἀλ-
C λὰ γὰρ μὴ γένοιτο ἡμᾶς ποτε τοῦτο περὶ Παύλου νοῆσαι. ὁ γὰρ ἅγιος ἐκεῖνος καὶ θαυμαστὸς κῆρυξ οἶδεν ἀκριβῶς, ὅτι κἂν πνεύματος πρῶτον μνησθῇ, ἄτρεπτον φυλάττει τὴν θεολογίαν, καὶ οὐχ ὑβρίζει τὴν ἀσύγχυτον φύσιν, οὐκ ἐμμερίζει τὴν ἀμέριστον ἀξίαν. πνεύματος μέμνηται πρῶτον, ἵνα δείξῃ ὅτι τὸ τελευταῖον γράφειν τὸ πνεῦμα, οὐ τελευταῖον αὐτὸ ποιεῖ καὶ ἔσχατον. ἐπειδὴ γὰρ ἐκεῖνοι παρερμηνεύουσι κακῶς, οὐ συναριθμοῦντες, [ἀλλ' ὑπαριθμοῦντες
D τῷ πατρὶ τὸν υἱὸν, καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον· πρῶτος γὰρ, φησὶν, ὁ πατὴρ, δεύτερος ὁ υἱὸς, τρίτον τὸ πνεῦμα τὸ ἅγιον· οὐ τὴν εὔτακτον τῆς γνώσεως ἀκολουθίαν νοοῦντες τῆς προσκυνητῆς τριάδος, ἀλλὰ ψυχῇ διαστρόφῳ ὑβρίζειν ἐπιχειροῦντες τὴν τῆς θεολογίας καθαρότητα] εἰκότως ὁ Παῦλος ἀντιστρέφει τῶν ὀνομάτων τὴν τάξιν, ἵνα δείξῃ τῆς ἀληθείας τὴν δύναμιν, καὶ λύσῃ τῶν πονηρῶν τὴν ὑπόληψιν. Ἀλλ' οἶδα, φησὶν, ὅτι τοῦ μὲν υἱοῦ καὶ τοῦ πνεύματος ἐπιπολαίως
E ἐμνημόνευσεν, ἐπὶ δὲ τὸν πατέρα ἐλθὼν, εἰς ὕψος τὴν θεολογίαν ἤγαγεν. ἐπὶ μὲν γὰρ τοῦ πνεύματος εἶπε, τὸ δὲ αὐτὸ πνεῦμα. ἐπὶ δὲ τοῦ υἱοῦ, ὁ δὲ αὐτὸς Κύριος· εἰς δὲ τὸν πατέρα ἐλθὼν, εἶπεν, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. τί οὖν αὐτοῦ τὸ ῥῆμα τὸ, ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν, αὐθεντίαν μηνύει; ναί, φησί· καὶ ὑπεροχὴν ὑπερβάλλουσαν κηρύττει; ναί, φησί· δίχα

Idem autem Dominus, ad Patrem verò cùm pervenit, dixit: *Qui operatur omnia in omnibus.* Quid ergo Paulo declarat verbum ἐνεργῶ Operari? nónne authoritatem quandam? imò verò, & quidem præcedentem quandam poteſtatem interpretatur. Sanè verò, &

μαί

A μαί σε τὰς ὁμολογίας, ἐὰν ἐμμένῃς ταῖς συνθήκαις. ἴδωμεν τοίνυν τί σαφέστερον τὸ σκεῦος τῆς ἐκλογῆς, τῷ πνεύματι κυβερνώμενον „τῷ ἁγίῳ, περὶ αὐτῆς ὑποτίθεται τῆς ζητήσεως. ἑκάστῳ δίδοται ἡ φανέ-„ρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ δίδοται λόγος σοφίας κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ λόγος γνώσεως ἐν αὐτῷ τῷ πνεύματι, ἑτέρῳ δὲ ἡ πίστις ἐν αὐτῷ τῷ πνεύματι, ἑτέρῳ δὲ χαρίσματα ἰαμάτων κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ προφητεία, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν, ἄλλῳ πίστις, ἄλλῳ χαρίσματα. ταῦτα δὲ B πάντα πρόσεχε ἀκριβῶς, βλέπε λέξεως συμφωνίαν καὶ δυνάμεως· ὁ διὰ τῶν πρώτων εἰρηκὼς, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν, ἐλθὼν εἰς τὸ πνεῦμα, ταύτην διαμαρτυρεῖ τῷ πνεύματι τὴν δύναμιν· ταῦτα δὲ πάντα, φησὶν, ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. οὕτως οὐ λύεται ἡ ἁρμονία τῆς δοξολογίας, ὅταν τι τῶν ὀνομάτων τῆς ἁγίας τριάδος, ἢ πρῶτον, ἢ δεύτερον, ἢ τρίτον τίθεται. τὸ γὰρ πρῶτον, καὶ δεύτερον, C καὶ τρίτον, οὐ φύσεως ἐμφαίνει διαφορὰν, ἀλλὰ θεολογίας ὁδὸν ἀσύγχυτον. πάλιν ὁ αὐτὸς διδάσκαλος, ἵνα δείξῃ πανταχοῦ ἀδιαφόρως ἑαυτὸν κεχρημένον τῇ τῶν ὀνομάτων τάξει, εὐτάκτως δὲ καὶ ἀσφαλῶς προσιόντα τῷ θείῳ κηρύγματι, λέγει Θεσσαλονικεῦσι „γράφων· αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς, καὶ Θεὸς ὁ πατὴρ ἡμῶν. πρῶτον, Παῦλε, τὸν υἱὸν, καὶ τότε τὸν πατέρα κηρύττεις; τὸ γὰρ πρῶτον, D φησὶν ὁ Παῦλος, εἰς τάξιν ἐξέβαλες· ἐγὼ πρῶτον καὶ δεύτερον ἐὰν εἴπω, τὴν φύσιν ἀμέριστον ὑπολαμβάνω· μᾶλλον δὲ οὐχ ὑπολαμβάνω, ἀλλ' ἀσφαλῶς κηρύττω. μὴ τοίνυν ὕβριζε τὰ θεῖα λόγια, μηδὲ συκοφάντει τὰ οὐράνια δόγματα. εὑρήσεις εἰκόνα τοιαύτην καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ. ὥσπερ γὰρ ἐνταῦθα Παῦλος ἀρξάμενος ἀπὸ τοῦ πνεύματος ἦλθεν εἰς τὸν υἱὸν, καὶ ἀπὸ τοῦ υἱοῦ πάλιν εἰς τὸν πατέρα, καὶ τὸ τρίτον ἐν τῇ τάξει τῶν ὀνομάτων, ἐποίησε πρῶτον, οὐ τὴν τοῦ E κηρύγματος τάξιν μεταβαλὼν, ἀλλὰ τὴν ἀδιάφορον τῆς θεολογίας γνῶσιν ἐμφαίνων· οὕτω καὶ ἐν τῇ παλαιᾷ τὸν αὐτὸν τύπον εὑρήσεις, ὥσπερ ἐν εἰκόνι προλάμποντα. τίς οὐκ οἶδεν ἡμῶν, ἀδελφοὶ, ὅτι τὸν Ἀβραὰμ πρῶτον τάττει ἡ γραφὴ, δεύτερον δὲ τὸν Ἰσαὰκ, καὶ τρίτον „τὸν Ἰακώβ; ἐγὼ γὰρ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. καὶ εἰκότως ἡ γραφὴ κηρύττει πρῶτον τὸν γεννήσαντα, εἶτα τὸν γεννηθέντα, ἔπειτα τὸν ἐξ ἐκείνου. ἀλλ' ἐπειδὴ ἡ φύσις ἦν ἀμέριστος, εἰ καὶ A τοῖς χρόνοις διετέμνετο διὰ τῆς ἀκολουθίας, οὐκ ὤκνησεν ὁ Θεὸς μεταβαλεῖν τὴν τάξιν, ἵνα τὴν ὁμολογίαν ἀναδείξῃ. λέγει γὰρ ἐν τῷ Λευιτικῷ [λέγω γὰρ καὶ τὸν τόπον, ἵνα μὴ συκοφαντήσῃς τὰ λεγόμενα] „ἐὰν δὲ ἁμάρτωσιν οἱ υἱοὶ Ἰσραὴλ, παραδώσω αὐτοὺς εἰς ἔθνος „ἀλλότριον, καὶ πορεύσονται ἐκεῖ, καὶ λατρεύσουσι θεοῖς ἑτέροις. προμηνύων τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν, φησὶ, καὶ πορεύσονται ἐκεῖ καὶ λατρεύσουσι θεοῖς ἑτέροις. τότε αἰσχυνθήσεται ἡ καρδία αὐτῶν ἡ B ἀπερίτμητος· καὶ μετὰ βραχέα, καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραάμ. ἐπαναλήψομαι τὸ ῥῆμα· ὁ γὰρ πρότερος ἐκάλυψε τὴν ὑπόθεσιν. ἐκεῖ, φησὶν, αἰσχυνθήσεται ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος, καὶ ἐπιστρέψουσι πρός με, καὶ ἰάσομαι αὐτοὺς [οὐδέπω ἀπειλῇ, καὶ τὴν καταλλαγὴν ἐπαγγέλλεται] καὶ ἀνάξω αὐτοὺς εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραάμ. C ὁρᾷς πῶς μεταβάλλει τὴν τάξιν, ἵνα δείξῃ τὴν ὁμοτιμίαν; οὐ γὰρ πρῶτον ἐποίησε τὸν Ἰακὼβ τοῖς χρόνοις, ἀλλὰ τῇ ἀδιαφορίᾳ κατεχρήσατο, ἵνα δείξῃ τὴν ὁμοτιμίαν. ἀλλ' ἐπὶ μὲν τῶν πατριαρχῶν, χρόνος μερίζει τοὺς καρποὺς ἀπὸ τῆς ῥίζης [θνητὴ γὰρ ἡ φύσις καὶ τῶν φύντων καὶ τῶν γεγεννηκότων] τῆς δὲ ἁγίας καὶ ἀθανάτου προσκυνητῆς τριάδος τὴν φύσιν οὐ τέμνει λόγος, οὐ μερίζει χρόνος, οὐ διϊστῶσιν αἰῶνες. οὐδὲν γὰρ μεταξὺ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. ποιητὴς τῶν αἰώνων D ὁ μονογενής. ἄκουε τοῦ θείου καὶ γενναίου κήρυκος τοῦτό τι περὶ τοῦ πατρὸς „εἰρηκότος· πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας „τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων „ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. οὐδὲν τοίνυν μεταξὺ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, οὐδεὶς χρόνος, ἢ διάστημα χρόνου. πρὸ τῶν αἰώνων πατὴρ, πρὸ τῶν αἰώνων υἱὸς [αὐτὸς γὰρ ἐποίησε τοὺς αἰῶνας] πρὸ E τῶν αἰώνων τὸ ἅγιον πνεῦμα. οὐδαμοῦ σχίζεται ἡ φύσις, οὐδαμοῦ μερίζεται ἡ δύναμις. πρόσεχε ἀκριβῶς. βασιλεύει ὁ πατὴρ, βασιλεύει ὁ υἱὸς, βασιλεύει τὸ πνεῦμα τὸ ἅγιον. οἶδα ταύτῃ χρησάμενος τῇ ἀποδείξει· ἀλλὰ τὰ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. βασιλεύει πατὴρ, κατὰ τὸ, ὁ Θεὸς ἡμῶν βασιλεὺς εἰς αἰῶνα.

A quidem haſce tuas confeſſiones accipio, ſi conditiones conſtanter ſerves. Itaque exactiùs paulò illud vas electionis conſideremus, quod inſtinctu ductuque Spiritus ſancti de eadem quæſtione rationes quaſdam proponit: *Unicuique datur manifeſtatio Spiritus ad utilitatem:* Alii quidem per Spiritum datur ſermo ſapientiæ: alii autem ſermo ſcientiæ ſecundùm eundem Spiritum: alii fides in eodem Spiritum: alii gratia ſanitatum in uno Spiritu: alii Prophetia, alii interpretatio linguarum: alii fides, B alii dona. Hæc verò omnia, attende diligenter, ſpecta dictionis convenientiam & poteſtatis. Is, qui primùm quidem dixerat: ille ipſe Deus, qui agit omnia in omnibus, cùm ad Spiritum pervenit, eam ipſam vim poteſtatémque agendi Spiritui ſancto attribuit. Hæc verò omnia, ait, operatur unus & idem ille Spiritus, diſtribuens unicuique ita ut vult. Sic itaque convenientia illa, & quaſi harmonia, quæ Deo tribuenda eſt, non diſturbatur cùm pro nominibus ſanctæ Trinitatis vel primum, vel ſecundū, C & tertium ponitur. Namque primum, ſecundum, & tertium, nullam naturæ divinæ differentiam: ſed Theologicæ doctrinæ inſtitutionem quandam, quæ omni confuſione vacet, declarat. Rurſus ille ipſe Apoſtolus, ut demonſtret, ſeſe ubique abſq; differentia nominum iſtorum ordine uſum eſſe, & divinum hoc theorema non niſi decenter & conſideratè ſuſcepiſſe: dum ad Theſſalonicenſes literas dat, ſcribit: *Ipſe Dominus noſter Jeſus, & Deus Pater noſter.* Anne tu Paule primum quidem Filium: D deinde verò Patrem prædicas? Tu quidem, ait Paulus, per voculam, primum ordinem quendam inſtituis: ego verò ſi primum vel ſecundum dixero, impartibilem illam naturam exiſtimo: imò ne exiſtimo quidem, verùm conſtanter prædico. Ne igitur divinis eloquiis injuriam facias, noli traducere cœleſtem illam doctrinam. Namque in veteri teſtamento ſimile quippiam licet invenire. Ut enim hoc loco Paulus à Spiritu exorſus, ad Filium venit: & à Filio rurſus ad Patrem: & ſic tertium in ſerie divino- E rum nominum, primum fecit: non invertens ordinem prædicationis, ſed indifferentem Theologiæ cognitionem oſtendens: Sic in veteri Teſtamento eandem figuram invenies, velut ex imagine reſplendeſcentem. Quis verò noſtrum ignorat, fratres, Sacras literas primo loco ponere Abrahamum, deinde Iſaacum, & tertiò Jacobum? *Ego enim Deus Abraham, & Deus Iſaac, & Deus Jacob.* Et quidem meritò Sacræ literæ primò patrem, deinde ex eodem procreatū filium, ac tandem qui ex illo natus eſt ne- A potem collocant: Veruntamen, quia natura illorum erat individua, licet tempore & conſequentia quadam diſtingueretur, ideò nihil dubitavit Deus, ordinem ipſorum immutare, ut eandem eſſe rationem demonſtraret. Sic enim in Levitico ait: (locum enim indico, ne noſtra dicta deinceps calumnieris,) *Si verò peccaverint filii Iſraël, tradam ipſos in gentem alienam, & illuc proficiſcentur, & ſervient Diis alienis.* Cùm captivitatem Babyloni- B cam illis prædiceret: Tunc cor ipſorum incircumciſum pudore afficietur. Et paulo pòſt: Et recordabor teſtamenti Jacob, & teſtamenti Iſaac, & teſtamenti Abraham. Repetam locum: plauſus enim argumentum, quod tractabatur, nonnihil obſcurat. Illic, inquit, pudore confundetur cor ipſorum incircumciſum, & revertentur ad me, & ſanabo ipſos. (Nondum comminatus erat, & reditum in gratiam promittit.) Et reducam ipſos in terram patrum ſuorum, & recordabor teſtamenti Jacob, & teſta- C menti Iſaac, & teſtamenti Abraham. Nonne animadvertis, quomodo & ordinem immutet, ut honoris æqualitatem oſtendat? Neque enim Jacobum, quia tempore antecederet, primò nominavit, ſed quia uno eodemq; loco honoris à ſe haberi oſtendere vellet, hoc modo locutus eſt. Et in Patriarchis illis quidem, tempore fructus qui è radice pullularunt, diſtinguuntur. (Nam mortalis eſt natura & natorum & patrum.) Naturam verò ſanctæ & immortalis, adorandæque Trinitatis, non ratio dividit, D non tempus partitur, non ſecula diſtinguunt. Nihil enim intercedit inter Patrem, & Filium, & Spiritum ſanctum. Unigenitus Dei Filius ſecula condidit. Auſculta divinum & præclarum illū doctorem, qui de Patre hunc in modum diſſerit: *Multifariàm, multiſque modis olim Deus loquens Patribus in Prophetis, noviſſimè diebus iſtis locutus eſt nobis in Filio: quem heredem conſtituit univerſorum, per quem & ſecula fecit.* Itaque nihil inter Patrem, Filium, & Spiritum ſanctum intercedit: non tempus, non E intervallum temporis. Ante ſecula Pater, ante ſecula Filius: ipſe enim condidit ſecula: ante ſecula Spiritus ſanctus. Natura illa nuſquam ſeparatur, nuſquam poteſtas diſtinguitur. Adverte diligenter: Regnat Pater, regnat Filius, regnat & Spiritus ſanctus. Memini quidem, hoc argumenti genus etiam antehac à nobis adhiberi: verùm eadem ſæpius dicere, mihi quidem pigrum non eſt, vobis autem tutum. Regat Pater, juxta illud: Deus noſter Rex in ſeculum, regnat

1. Cor. 12.

2. Theſ. 3. 16.

Exod. 3. 6.

Lev. 26. 40. ſeq.

Hebr. 1.

τούτου περιασαλεῦσαι ψυχήν. ἰδού, τὸν πρῶτον ἄνθρωπον ἐξέβαλες τοῦ παραδείσου. βλέπε νῦν, ἐπιχείρησον, εἰ δυνήσῃ, κἂν ἀπὸ κοπρίας τὸν ἀθλητὴν ὑποσκελίσαι. ἀλλ', εἰ δοκεῖ, ἄνωθεν ὀλίγον εἰς αὐτὴν ἱστορίαν ἀναδράμωμεν. ἄνθρωπός τις ἦν ἐν „ χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος, „ ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀληθινός, ἀπεχόμενος ἀπὸ „ παντὸς πονηροῦ πράγματος. τοιοῦτος ἦν καὶ ὁ Ἀδὰμ πρὸ τοῦ πεισθῆναι τῇ γυναικί. διὰ τοῦτο οὗτος οὐ πείθεται τῇ γυναικί, ἵνα μὴ γένηται καθ' ἐκεῖνον. ἐκεῖνος ἐνδεδυμένος ἦν ἀφθαρσίαν, ὡς οἶδεν ὁ πλάσας αὐτόν. καὶ ἵνα πεισθῇ τῇ γυναικί, γυμνὸς ἐγένετο, καὶ κατεκρίθη· οὗτος γυμνὸς ἦν, καὶ οὐκ ἐπείσθη τῇ γυναικί, καὶ ἵνα μὴ πεισθῇ τῇ γυναικί, τὴν τῶν ἀγγέλων στεφανηφορίαν ἐνεδύσατο. ἐκεῖνος ἵνα πεισθῇ τῇ γυναικί, καὶ τῆς τοῦ παραδείσου τρυφῆς ἐξέπεσε, καὶ τὴν γῆν μητέρα ἀκανθῶν ἐποίησε, καὶ θάνατον ἐκληρονόμησεν· οὗτος ἵνα μὴ πεισθῇ τῇ γυναικί, καὶ τῆς κοπρίας, καὶ τῶν πληγῶν τὴν ἐλευθερίαν ἔλαβε, καὶ τὴν τῶν οὐρανῶν ἐκληρονόμησε βασιλείαν. ἐκεῖνος ἀπολογούμενος τῷ Θεῷ ἔλεγεν· Ἡ γυνή, ἣν ἔδωκάς μοι, αὕτη [μοι] ἔδωκε, καὶ ἔφαγον. ὢ ἀπολογίας συγγνώμην οὐκ ἐχούσης. ἐκείνη εἶπε, Φάγε· ἐγὼ εἶπον, μὴ φάγε. διὰ τί οὖν τῆς γυναικὸς ἤκουσας, καὶ τοῦ Θεοῦ παρήκουσας; ἀλλ' οὐχ οὗτος ἦν ὁ μακάριος Ἰώβ. ἀλλὰ πῶς; μετ' ἐπιπλήξεως ἔλεγεν, ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας. ἄνθρωπος ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ. διὰ τί δὲ καὶ τὴν χώραν ὠνόμασε; διὰ τὸ ἵνα μάθῃς, ὅτι οὐχ ἡ συνουσία τῶν ἁμαρτωλῶν τὸν δίκαιον δύναται πεῖσαι ἁμαρτῆσαι, ἀλλ' ἡ προαίρεσις τῶν εὐσεβούντων ὀφείλει στάσιμον καὶ βεβαίαν ἔχειν τὴν γνώμην. αὕτη γὰρ ἡ χώρα τῆς Ἀραβίας ἐστὶ μοχθηρῶν καὶ διεφθαρμένων ἀνθρώπων οἰκητήριον. πάντες ἦσαν παράνομοι, πάντες θεοστυγεῖς. πάντες βέβηλοι, πάντες ὑπερήφανοι, καὶ τοῦ Ἡσαῦ ἀπόγονοι, καὶ τῶν ἁμαρτίαις κομῶντες· ἀλλὰ τοσοῦτον πέλαγος τῆς ἀσεβείας οὐκ ἠδυνήθη κατασβέσαι τὴν λαμπτῆρα τῆς εὐσεβείας· ἡ τοσαύτη χώρα τῶν κακῶν οὐκ ἠδυνήθη τὸ στερεὸν ἀποπνίξαι τῆς καρτερίας· ὅθεν τούτῳ προσπελάσαι ὁ διάβολος ἐπιχείρησε. διὰ τί; ἐπειδήπερ ἔβλεπεν αὐτὸν ταῖς ἐλεημοσύναις μᾶλλον ἢ τοῖς χρήμασι πλουτοῦντα. ἄκουσον γὰρ αὐτοῦ λέγοντος ἀψευδῶς· ὀφθαλμὸς „ ἤμην τῶν τυφλῶν, ποὺς δὲ χωλῶν· καὶ αὖθις, ἐγὼ ἐπὶ ἀδυνάτῳ „ ἔκλαυσα, ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. καὶ οὐ μόνον διὰ τῶν λόγων, ἀλλὰ καὶ διὰ τῶν ἔργων ὑπερεπλούτει, θησαυρὸς ὅλος εὐποιίας τοῖς δεομένοις εὑρισκόμενος. τί γάρ φησιν ἀλλαχοῦ; οὐκ ἐξῆλθεν ἐκ τοῦ οἴκου μου ἐπιδεόμενος κόλπῳ κενῷ· στό„ μα χηρῶν εὐλόγησέ με, ἀπὸ δὲ κουρᾶς τῶν προβάτων μου ἐθερμάνθησαν ὦμοι πενήτων. ὥστε δῆλον, ὅτι διὰ πάντων ἐπλούτει θησαυρὸς ὅλος, καὶ διὰ τῶν λόγων, καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῆς ἐλεημοσύνης, καὶ διὰ τῆς προστασίας τῶν πενήτων, καὶ διὰ τῆς ἐπικουρίας τῶν δεομένων. ἀλλ' ὅρα τί ποιεῖ ὁ διάβολος. ἀφαρπάζει πάντα τὰ ὑπάρχοντα αὐτοῦ ἀπ' αὐτοῦ πρότερον, καὶ τελευταῖον τὰ τέκνα λαμβάνει. ἔλαβε πρῶτον τὰς ἀγέλας τῶν καμήλων, ἔλαβε τὰ ποίμνια τῶν προβάτων, τὸν πολὺν ἀριθμὸν τῶν ὄνων, τὴν μεγίστην ἀγέλην τῶν βοῶν· πάντα ἀφείλετο, καὶ τὸ τελευταῖον τὰ τέκνα. διὰ τί; πρόσεχε λοιπὸν μετὰ πάσης ἀκριβείας. πρῶτον ἔλαβεν αὐτοῦ πάντα τὰ ὑπάρχοντα, ἔπειτα τὰ τέκνα, ἔλαβε τὰ κληρονομιαῖα πράγματα, ἔπειτα τοὺς κληρονόμους ἠφάνισεν. ἵνα παντοίως αὐτὸν καὶ διὰ τῶν τέκνων πλήξῃ, πρῶτον ἤρξατο τὴν ὕπαρξιν ἀφανίζειν, πρῶτον ἤρξατο τὰ κληρονομιαῖα πράγματα, ζώντων τῶν κληρονόμων, ἁρπάζειν· ἵνα τῶν υἱῶν καὶ τῶν θυγατέρων ἑστηκότων, διὰ τὴν ἀπώλειαν τῶν κτημάτων καιρίαν λάβῃ ὁ δίκαιος τῆς ἀθυμίας πληγήν. ἐνενόει γὰρ ὁ πονηρὸς δαίμων, μήποτε τῶν τέκνων προαπολλυμένων, μηδὲ εἰς αἴσθησιν ἔλθῃ τῆς ἀπωλείας τῶν κτημάτων. ἀλλ' ὄντως ἀδάμας καὶ ὁ γενναῖος ἀθλητής, ὁ πολλὰ τυπτόμενος, καὶ διὰ πάντων στεφανούμενος, ὁ πολλὰ βέλη δεχόμενος, καὶ δι' αὐτῶν τῶν βελῶν τὸν διάβολον κατακεντίζων, ὁ διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν καθοπλιζόμενος οὐκ ἐπόνησεν, οὐκ ἐδάκρυσεν, οὐκ ἐσαλεύθη· ἀλλ' οὔτε πρὸς τὴν ἀπώλειαν τῶν κτημάτων ἐκάμπτετο, οὐδὲ πρὸς τὸν θάνατον τῶν τέκνων τὴν εὐσέβειαν ἐσυλᾶτο, ἀλλ' ἔμενεν ὥσπερ πύργος ἀκίνητος, κάτωθεν ἐπὶ τῆς γῆς ἐρριζωμένος καὶ τεθεμελιωμένος, καὶ „ μέχρις αὐτῶν τῶν οὐρανίων ἀψίδων ἠσφαλισμένος. Ἦλθε πρῶτος ἄγγελος, καὶ λέγει τῷ Ἰώβ· τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ „ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτά, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ λέγει τῷ Ἰώβ. πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατά σου, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως. βλέπε τί ποιεῖ ὁ διάβολος· ἐπειδὴ γὰρ εἶδεν αὐτὸν εἰς τὴν πρώτην καὶ δευτέραν πληγὴν γενναίως ἑστηκότα, καὶ μηδ' ὅλως ἐκ τῶν βασάνων αὐτοῦ διασαλευθέντα, πολεμούμενον, καὶ μὴ τιτρωσκόμενον, μηχανᾶταί τι τοιοῦτον ποιῆσαι· ἐπιβάλλει πῦρ ἐξ ἀέρος, ἵνα δόξῃ τὸ πῦρ ἐξ οὐρανοῦ καταπέμπεσθαι, καὶ ἵνα νομίσας ὅτι ὁ Θεὸς ἐξ οὐρανῶν αὐτὸν πολεμεῖ, βλασφημήσῃ τὸν Θεόν. τοῦτο δίχα τῆς ἁμαρ-

vel obliquare. Ecce primum ejeciſti hominem de paradiſo, nunc tenta, ſi vel à ſterquilinio pugilem ſupplantare poteris. Sed paulò altiùs in ipſam recurramus hiſtoriam. *Vir erat in terra Auſitide, nomine Job, & erat vir ille irreprehenſibilis, juſtus & colens Deum, verax & abſtinens ab omni re mala.* Talis erat Adam, priuſquam à muliere ſeduceretur. Ille indutus fuit incorruptione, prout ejus creator, ſed ut mulieri credidit, nudus effectus & condemnatus eſt: Job verò nudus erat, & mulieri non credidit: & quia mulieri non credidit, corona per Angelos allata indutus eſt. Ille ut mulieri credidit, à paradiſi deliciis cecidit, ut terram ſpinas parientem mortemque incidit, quam & tanquam hæreditatem conſecutus eſt: hic quia non credidit mulieri, & à ſterquilinio plagiſque liberatus, regnum hereditavit cœlum. Ille reſpondens Deo, inquit: *Mulier* Gen. 3. 12. *quam dediſti mihi, illa mihi dedit, & comedi.* O reſponſum indulgentiam non habens: illa inquit, Comede: Ego dixi, Ne comedas: quare ergo mulieri obſecundas & Deum ſpernis? ſed non ejuſmodi fuit ſanctus Job. Qualis ergo? cum Job. 2. reprehenſione inquit, O mulier quaſi una de ſtultis mulieribus locuta es, dicit ergo hiſtoria: *Vir erat in terra Auſitide nomine Job.* Cujus rei gratia provinciam nominavit? ut diſceres non perverſorum commercia agere id poſſe, ut juſtus vir peccet: ſed pios Deoque deditos propoſitum firmum ſtabilemque oportet habere mentem. Nam & Arabiæ regio improborum corruptorumque hominum habitaculum eſt: omnes iniqui erant, omnes Deo odibiles, omnes iniqui & facinoroſi, omnes ſuperbi, ob Eſau deſcendentes, & peccatis ſcatentes: ſed tantum impietatis pelagus pietatis luculentam facem nequivit extinguere. Tanta malorum regio, continentiæ decorem denigrare non valuit. Ideo huic proximus accedere diabolus cœpit: quoniam quidem eleemoſynis ipſum magis quàm pecuniis diteſcere vidit. Audi eum ſine mendacio dicentem: *Oculus fui cæcorum, & pes claudorum.* Et iterum: Job. 29. 15. *Ego ſuper impotente flevi, ingemui virum in neceſſitate videns.* Et non modo verbis ſupra modum diteſcebat, ſed etiam ope- Ibid. 30. 25. ribus theſaurum beneficiorum erga pauperes ſe exhibens. Alibi enim dicit: *Non exivit de domo mea indigens ſinu vacuo, os* Ibid. 31. 16. *vidua benedixit mihi: de velleribus ovium mearum calefacti ſunt* & seq. *humeri pauperum.* Manifeſtum itaque, quòd ex diverſis diteſcebat theſaurus totus & ſermonibus, & operibus, & eleemoſyna, & ſubſidio pauperum, & ſubventione indigentium. Sed vide quid diabolus facit, omnium primò ab eo ſubſtantiam univerſam diripit, poſtremo & liberos aufert. Camelorum primum armenta ſuſtulit & ovium gregem: aſinorum magnum illum numerum, & maximum boum, abripuit hæc univerſa, & ultimo loco liberos. Obſecro, omni cum diligentia attendendum: primum diripuit univerſam ejus ſubſtantiam, poſtmodum liberos: diripuit hæreditaria bona poſtmodum hæredes ipſos perdidit. Quo enim per liberos totaliter plecteret, primum cœpit ſubſtantiam perdere: primùm cœpit hæreditaria bona vivis hæredibus arripere, quò filus filiabuſque exiſtentibus, per jumentorum amiſſionem lethale acciperet juſtus mœſtitiæ vulnus. Conſideravit enim pravus dæmon, liberis fortaſſe prius extinctis, nullo movendum ſenſu amiſſione jumentorum. Sed qui prorſus adamas, nobiſque dimicator, qui multis cæſus flagris, atque in omnibus coronatus, qui multa accipiens in ſe tela, & ipſis cum telis diabolum confodiens, qui per arma confortatus juſtitiæ à dextris & ſiniſtris, non doluit, non lacrymas fudit, non motus eſt, ſed neque ad jumentorum perditionem curvatus, neque in liberorum morte pietati fraudem fecit: Manſit quaſi turris minimè nutans, ſub terra inferiùs detenta, ac radicitus fundata, atque ad ipſos aſſurgens cœleſtes orbes. Venit prior nuntius, & dixit Job: *Juga boum arabant, & aſinæ paſcebantur juxta eos,* Job. 1. 14. *venerunt prædones, tulerunt omnia, & pueros interfecerunt gladio. Adhuc eo loquente, venit alius nuntius, & dixit Job: Ignis cecidit de cœlo, & tactas oves tuas paſtoreſque conſumpſit.* Reſpice quid facit diabolus: Ut enim eum ad primam ſecundamque plagam generosè ſtantem, neque ſuis omnino cruciatibus dimotum, neque debellatum, tale quid machinatur? ignem ex aëre jacit, ut opinetur is de cœlo ignem demiſſum, & quum putaverit Deum ſe de cœlo expugnare, blaſphemet Deum. qui cùm putaverit ſe ſic ſine peccati ullius

A nota injuſtè debellantem Et, inquit, ignis de cœlo cecidit & tactas oves & paſtores conſumpſit. Etiam hoc adhuc loquente venit alius nuntius, & dixit Job : *Equites fecerunt tres turmas, & circumierunt camelos, & interemerunt eos, nec non & pueros percuſſerunt gladio.* Sed perſtitit in omnibus his beatus Job veluti columna quædam immobilis : quaſi turris, quæ non quatitur : velut luctator invictus, immotus, rigidus, vulnerans magis, quàm vulneratus. B Nam cum quis inutiliter laborat, in multis quidem dimicans, in nullo verò proficiens ; ſæpe pugnans, neque omnino ſuperans : ipſe eſt qui magis flagella contra vanos ſuos conatus ſuſcipit, quam quòd flagellet. Etiam hoc loquente, venit alius nuntius, continuum bellum, ſed vanum, indicens : denſiora tela, ſed ſplendidiora bravia intulit, non ſinit eum uſque ad horam reſpirare : ne quid pro inſita ſua pietate luctator ſapienter excogitet : immiſit omnia tela, neque repugnantem vicit : ſuam evacuavit pharetram, ſed nec ipſe dolore evacuatus eſt. C Confundantur omnes iniquè agentes ſupervacuè. Igitur ubi ille adverſarius eſt humiliatus, confuſus, qui multa quidem conatus eſt, per cuncta verò victus : immiſit enim adverſus paſtores tela ſua adverſus boves, adverſus filias, adverſus oves, adverſus camelos, adverſus natos, adverſus domum, adverſus corpus, amicos & domeſticos, per vermes, per vulnera & ſaniem : omnia ſuſdeque vertit, nec pietatem ſubvertit. murum perfodit inimicus, theſauque non minuit, nec abſtulit. Quotquot habuit mundi tyrannus, D jacula movit, per ignem, per enſes, per ruinam, per captivitatem, per ſanguinem hæc omnia tetendit, & virilem magis bellatorem effecit. Quare & Propheta exclamat, dicens : *Inimici defecerunt frameæ in finem.* Fortaſſis & ad ipſum dicitur : *Durum tibi contra ſtimulum calcitrare* : diripuit univerſa, pecuniam, poſſeſſiones, ſubſtantiam. Et quid ultimus nuncius ait? *Filiis tuis & filiabus veſcentibus & bibentibus vinum in domo fratris ſui primogeniti repentè ventus vehemens irruit à regione deſerti, & concuſſit quatuor angulos domus, quæ corruens oppreſſit liberos tuos, & mortui ſunt.* E Ut quid putas dilecte? homo non erat qui hæc Job narrabat, ſed ipſe diabolus, hominis in ſpeciem transformatus : Cum omni diligentia adverte quod dicitur. Filiis tuis, inquit, & filiabus tuis veſcentibus & bibentibus vinum in domo fratris ſui primogeniti, repentè ventus vehemens irruit à regione deſerti, & concuſſit quatuor angulos domus, quæ corruens oppreſſit liberos tuos, & mortui ſunt. Unde noviſti dic mihi, quoniam ventus venit è deſerto, & concuſſit quatuor A angulos domus? Si homo es, & intra domum eras, omnino te domus continebat : quomodo ergo quæ extra facta erant, vidiſti? Quòd ſi foris eras, quomodo quæ intus ſunt geſta, vidiſti? Si autem ſpiritus es, quinam ſis indica, neque hominis figuram præte feras. Filiis, inquit, & filiabus tuis veſcentibus apud fratrem ſuum ſeniorem. Vide quomodo omni intelligentia ſapientiaque repletus erat beatus Job : & quo pacto filiorum amicitiam ſtabiliebat. B Cogitabat enim, quoniam Cain & Abel duo fuerunt fratres ſoli per orbem exiſtentes, nullas habentes belli cauſas (omnis enim terra communiter ambobus ſubjecta erat) & tamen honoris Abel Cain invidus, ſurgens interfecit fratrem. Hujus rei gratia beatus Job, pro occultis filiorum Deo ſacrificium quidem faciebat quotidie ſurgens, hæc atque iis ſimilia dicens : *Ne quando cogitaverint mala filii mei adverſus Deum in cordibus ſuis.* C Pro his verò, quæ vel verbo ipſis alterutro, vel contentione contigiſſent, continuò veſci adinvicem faciebat, exiſtimans, quoniam & ſi quicquam livoris viciſſim contraxiſſent, menſæ, paniſque appoſitio eos conciliaret unanimes, intercidentemque faceret exulare malitiam : optimè ſciens, quoniam ex menſa continua maligna quæque intercidentia ſolverentur. Sed boni totius adverſarius, inviduſque diabolus, obſervavit tali eos tempore necare innocentes pueros, D tempore ſcilicet meridiano, quo cùm omnes congregati ſimul erant, tum ad pacem conjungebantur, tunc implacabile contra eos bellum immiſit. Et illi quidem amicitiam, hic veró gladium acuebat : illi charitatem ædificabant, hic domum ſubvertit : factaque eſt eadem hora domus ſepulchrum, & menſa calamitatis cymba, & naufragium, paſtoralis ſtatio, cunctaque à feris diſſipata. Quid ergo generoſus ille? non confuſus eſt, non concidit : Quod ejus facinus potiùs laudabo? qualis ſermo ſufficiet? qualis ſufficiet ad eam narrationem ſudatio? E O nobilem beatamque animam, ô patientiam magnam, qua nihil poteſt videri ſublimius : profectò dilectiſſimi confundor ſpiritu, conſcientia turbor, in his coronatum videns Job. Sed magis confundor,

Psal. 9.6. · Act. 9.5. · Ibid. 1, 18. 19. · Job. 1, 5.

A τήματος ἀδίκως αὐτὸν πολεμοῦντα· πῦρ φησιν ἐκ τοῦ οὐρανοῦ ἔπεσε, καὶ κατέφαγε τὰ πρόβατά σου καὶ τοὺς ποιμένας. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε τῷ Ἰώβ· οἱ ἱπποῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν μαχαίραις. ἀλλὰ καὶ ἐν πᾶσι τούτοις ἔμεινεν ὁ μακάριος Ἰώβ, ὥσπερ στῦλος ἀσάλευτος, ὥσπερ πύργος ἄσειστος, ὥσπερ B ἀγωνιστὴς ἀήττητος, ἀκαμπὴς, ἀνένδοτος, βάλλων μᾶλλον ἢ βαλλόμενος. ὅταν γάρ τις ἀνόητα κάμνῃ, πολλὰ πολεμῶν, καὶ μηδὲν ὠφελῶν, πολλάκις μαχόμενος, καὶ μηδ᾽ ὅλως περιγινόμενος, αὐτὸς μᾶλλόν ἐστιν ὁ τὰς μάστιγας κατὰ τῶν ματαίων αὐτοῦ πόνων ὑποδεχόμενος. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος· συνεχὴς ὁ πόλεμος, ἀλλὰ μάταιος τῷ κάμνοντι· πυκνότερα τὰ βέλη, ἀλλὰ φαιδρότερα τὰ βραβεῖα. οὐκ ἀφίησιν αὐτὸν C οὐδὲ πρὸς ὥραν ἀναπνεῦσαι, ἵνα μή τι κατὰ τὴν ἔμφυτον εὐσέβειαν τοῦ παλαιστοῦ σοφόν τι λογίσηται. ἔπεμψεν ὅλα τὰ βέλη, καὶ οὐκ ἐνίκησε τὸν ἀθλητήν· ἐκένωσεν αὐτοῦ τὴν φαρέτραν, καὶ οὐκ ἐκενώθη τῆς ἀλγηδόνος. αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κενῆς. ἐπεὶ γὰρ κἀκεῖνος ἀπεστράφη τεταπεινωμένος, κατῃσχυμμένος, ὁ πολλὰ παλαίσας, καὶ διὰ πάντων ἡττηθείς. ἔπεμψε γὰρ κατὰ τῶν ποιμένων, κατὰ βουκολίων, κατὰ τῶν προβάτων, κατὰ τῶν καμήλων, κατὰ τῶν υἱῶν, κατὰ τῶν θυ- D γατέρων, κατὰ τῆς οἰκίας, κατὰ τοῦ σώματος, διὰ τῶν φίλων, διὰ τῶν οἰκετῶν, διὰ τῶν σκωλήκων, διὰ τῶν τραυμάτων, διὰ τῶν ἰχώρων· πάντα ἐξεκένωσε, καὶ τὴν εὐσέβειαν οὐκ ἔλυσε. τὸ τεῖχος διώρυξε, καὶ τὸν θησαυρὸν οὐκ ἐξεκένωσεν. ὅσας εἶχεν ὁ τῆς οἰκουμένης τύραννος ῥομφαίας ἐκίνησε. διὰ πυρὸς, διὰ ξιφῶν, διὰ χώματος, διὰ αἰχμαλωσίας, δι᾽ αἵματος, πάντα διέτεινε, καὶ τὸν ἀθλητὴν μᾶλλον ἀνδρειότερον ἐποίησε. διὸ δὴ καὶ ὁ προφήτης ἀναβοᾷ λέγων· τοῦ E ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. τάχα δὲ καὶ πρὸς αὐτὸν λέγεται· σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἔλαβε πάντα τὰ χρήματα, τὰ κτήματα, τὴν ὕπαρξιν· καὶ τί ὁ τελευταῖος ἄγγελος; τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων εἰς τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου, ἐξαίφνης ἦλθε πνεῦμα ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ κατέπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἀπέθανον. καὶ ἵνα μάθῃς, ἀγαπη- A τέ, ὅτι οὐκ ἦν ἄνθρωπος ὁ ταῦτα διαγορεύων τῷ Ἰώβ, ἀλλ᾽ αὐτὸς ἦν ὁ διάβολος ἐσχηματισμένος ἐν ἀνθρώπου μορφῇ, μάθε μετὰ πάσης ἀκριβείας· τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης ἦλθε πνεῦμα ἐκ τῆς ἐρήμου καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἀπέθανον. πόθεν οἶδας, εἰπέ μοι, ὅτι πνεῦμα ἦλθεν ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων B γωνιῶν τῆς οἰκίας; εἰ ἄνθρωπος εἶ, καὶ πῶς εἶδες τὸ πνεῦμα; ποίοις ὀφθαλμοῖς ἐθεάσω αὐτό, πῶς δὲ καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τὸ πνεῦμα; εἰ ἄνθρωπος εἶ, καὶ ἔνδον ἦς ἐν τῇ οἰκίᾳ, πάντως ὅτι καί σε περιελάμβανεν ἡ οἰκία· εἰ δὲ ἔξω ἦς, πῶς ἔβλεπες τὰ ἔσω γινόμενα; εἰ δὲ πνεῦμα εἶ, δεῖξον ὅστις εἶ, καὶ μὴ σχηματίζου εἰς ἀνθρώπου μορφήν. τῶν υἱῶν σου, φησὶ, καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ. C βλέπε πῶς πάσης συνέσεως καὶ σοφίας πεπληρωμένος ἦν ὁ μακάριος ὁ Ἰώβ, καὶ πῶς ἠσφαλίζετο τὴν φιλίαν τῶν τέκνων. ἐλογίσατο γὰρ, ὅτι Κάϊν καὶ Ἄβελ δύο ἦσαν ἀδελφοὶ, μόνοι κατὰ τὴν οἰκουμένην τυγχάνοντες, οὐδεμίαν ἔχοντες ἀφορμὴν πολέμου. [πᾶσα γὰρ ἡ γῆ κοινῶς ἀμφοτέροις ἐπ᾽ ἐξουσίας προέκειτο.] καὶ ὅμως διὰ τὴν τιμὴν τοῦ Ἄβελ φθονήσας ὁ Κάϊν, ἀναστὰς ἐφόνευσε τὸν ἀδελφόν. διὰ τοῦτο ὁ μακάριος Ἰώβ, περὶ μὲν τῶν ἀδήλων θυ- D σίαν καθ᾽ ἑκάστην ἡμέραν προσέφερε τῷ Θεῷ, ἀνιστάμενος τὸ πρωῒ, καὶ λέγων· μήποτε κακὰ ἐνενόησαν οἱ υἱοί μου ἐν τῇ καρδίᾳ αὐτῶν πρὸς τὸν Θεόν. περὶ δὲ τῶν συμβαινόντων αὐτοῖς εἰς λόγον, ἢ εἰς λόγον, ἢ εἰς φιλονεικίαν, ἐποίει αὐτοὺς καθ᾽ ἑκάστην ἡμέραν μετ᾽ ἀλλήλων ἐσθίειν, ἐνθυμούμενος, ὅτι κἂν τινα πρὸς ἀλλήλους ἔχωσι μικροψυχίαν, ἡ τράπεζα καὶ ἡ διάθεσις τοῦ ἄρτου ποιεῖ αὐτοὺς εἰς φιλίαν μεταποιηθῆναι, καὶ τὴν κακίαν τὴν E προσπεσοῦσαν ἐξορίσαι· εἰδὼς ὅτι διὰ τῆς τραπέζης τῆς συνεχοῦς πάντα λύεται αὐτοῖς τὰ προσπεσόντα μοχθηρά. ἀλλ᾽ ὁ μισόκαλος διάβολος ἐν τούτῳ καιρῷ παρετήρει ἀπολέσαι τὰ μηδὲν ἡμαρτηκότα παιδία, ἐν καιρῷ τῆς μεσημβρίας, ὅτε πάντες ἦσαν συγκεκροτημένοι, ὅτε πρὸς εἰρήνην ἐκεῖνοι συνήπτοντο, τότε τὸν ἄσπονδον πόλεμον κατ᾽ αὐτῶν ἠφίει. ἐκεῖνοι φιλίαν, οὗτος μάχαιραν ἠκόνει· ἐκεῖνοι ἀγάπην ᾠκοδόμουν, καὶ οὗτος τὸν οἶκον κατέστρεφε. καὶ ἐγένετο κατ᾽ αὐτὴν τὴν ὥραν ὁ οἶκος τάφος, καὶ ἡ τράπεζα συμφορᾶς σκάφος, καὶ ναυάγιον μάνδρα ποιμενική, καὶ πάντα θηριάλωτα. τί οὖν ὁ γενναῖος ἐκεῖνος; οὐ συνεχύθη, οὐ κατέπεσε; τί αὐτοῦ ἐπαινέσω; ποῖος ἐπαρκέσει λόγος; ποῖος ἐξαρκέσει [illegible] πρὸς τὴν τοιαύτην διήγησιν; ὢ γενναίας καὶ μακαρίας ψυχῆς, ὢ μεγάλης ὑπομονῆς ὑπερβολὴν οὐκ ἐχούσης. ὄντως, ἀγαπητοί, συγχέομαι τὴν ψυχὴν, διαταράττομαι τὸ συνειδὸς, καὶ ἐστεφανωμένον βλέπων τὸν Ἰώβ· ἀλλὰ συγχέομαι τῇ ψυχῇ νῦν μᾶλλον ἐγώ,

τὰ

τὸν στεφανίτην ὁρῶν, ἤπερ ἐκεῖνος τότε τὴν συμφορὰν τῶν τέκνων ἐπ᾽ ὄψεσι βλέπων. Συγκέχυμαι τῇ ψυχῇ· νομίζω δὲ καὶ ὑμᾶς οὕτω διακεῖσθαι. πῶς ἂν ἐξείποιμι τὴν τοσαύτην τραγῳδίαν, οὐκ ἐπίσταμαι, καίγε τὴν κορωνίδα τῶν ἐγκωμίων ἐπὶ γλώττης φέρων. οἱ κατὰ σάρκα γονεῖς, ὅταν ἔχωσιν υἱὸν ταῖς ἐσχάταις ἀναπνοαῖς συνεχόμενον, περικαθέζονται, λόγων τελευταίων ἀκούονται, χεῖρας αὐτοῦ περιπτύσσονται, συνταγὰς περὶ τῶν ἀδιοικήτων συνάπτουσι, στόμα φιλοῦσι, τὰ τελευταῖα τῶν πατέρων φιλήματα. εἶτα ἀποδεδωκότα τὴν ψυχὴν ὁ παῖς, ὡς ὁ δεδωκὼς ἐκέλευσεν, οἱ γονεῖς σχηματίζουσι. χεῖρας ἀποτείνουσιν, ὀφθαλμοὺς ἀποκλείουσι, τὴν κεφαλὴν διορθοῦσι, τοὺς πόδας ἀποτείνουσι, ἀπολύουσι, τοῖς ἀξίοις ἀμφιάζουσιν ἐνταφίοις, καὶ τὴν ἰδίαν συμφορὰν παραμυθοῦνται. ἀλλὰ τί πρὸς τὸν γενναῖον τοῦτον ἀθλητήν; ἀπῆλθεν εἰς τὸν οἶκον τὸν κατ᾽ αὐτὸ, καὶ μίαν καὶ τὴν αὐτὴν ὥραν, οἶκον καὶ τάφον, συμπόσιον καὶ χῶμα, ἑορτὴν καὶ πένθος γενόμενον. περιέσκαψε, καὶ ἐζήτει τῶν τέκνων τὰ μέλη, καὶ ηὕρισκεν οἶνον καὶ αἷμα, ἄρτον καὶ χεῖρα, ὀφθαλμὸν καὶ κόνιν. καὶ ἐλάμβανέ ποτε μὲν χεῖρα, ποτὲ δὲ πόδα, ἄλλοτε κεφαλὴν ἀνέσπα μετὰ τοῦ χώματος, καὶ τῶν λίθων καὶ τῶν ξύλων· καί ποτε μὲν μέρος κοιλίας, ἄλλοτε τῶν ἐντέρων τὰ σπλάγχνα μετὰ τῶν χωμάτων ἀναφυρόμενα. ἐκαθέζετο δὲ ὁ ὑπερουρανομήκης ἐκεῖνος ἀγωνιστὴς διεσπαρμένα βλέπων τὰ μέλη τῶν τέκνων, ἐκαθέζετο συντιθεὶς μέλη πρὸς μέλη, χεῖρα πρὸς βραχίονα, ἀναπλάττων κεφαλὴν πρὸς στῆθος, γόνατα πρὸς τοὺς μηρούς. οὐ γὰρ ἦν μία τῶν συμβάντων ἡ συμφορά, ἀλλ᾽ ἐκ διαβολικῆς ἐνεργείας καὶ τυραννίδος ἡ πάντα λόγον ὑπερβαίνουσα καταστροφή. ἐκαθέζετο Ἰὼβ τοίνυν ὁ ἀληθῶς καρτερικὸς ἀδάμας ὁ μακάριος, διακρίνων τῶν τέκνων αὐτοῦ τὰ μέλη, μήπου τῶν θηλειῶν τὰ μέλη κατὰ τῶν ἀρσενικῶν διαπλάσῃ μελῶν, μήπου τὸ ἀρσενικὸν σχῆμα εἰς τὰ τῆς θηλείας μέλη συναρμοσθῇ. ὢ γενναίας ψυχῆς, τῆς τὴν ἀγγέλων εὐφημίαν ὑπερβαινούσης. διὰ τί; ὅτι ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον Κυρίου, ἀλλ᾽ ἀντὶ τούτων ἁπάντων ὁλόκληρον εὐχαριστίαν ἀντὶ θυσίας ἤνεγκε τῷ Θεῷ, λέγων· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

eum diademate videns inſignitum, quàm ille quondam filiorum crudelem caſum coram intuens: confundor anima: Puto autem & vos itidem effectos eſſe. Quomodo ergo talem tantamque tragœdiam explicavero, non ſatis novi, tametſi quorumcunque præconiorum laudumque magnitudinem in lingua ferens. Qui enim ſecundum carnem parentes ſunt, cùm natum ultimo laborantem habuerint, circumſedent, ultimaque ejus audiunt verba, manus circumpalpant, adhortationes fomentaque alia de induſtria adhibent. Os deoſculantur ultimo parentum oſculo. Exinde cùm reddiderit puer animam, prout juſſerit is à quo illam acceperat, jubent parentes officia adhibere: Manus componunt, oculos claudunt, caput directò ſtatuunt, pedes reducunt, lavant, ſepulchroque condigno dignis funeralibus condunt, atque propriam calamitatem ſolantur. Sed quid ſimile generoſo huic pugili? Abiit ad domum funeſtam, quæ ipſis una & eadem horâ domus & ſepulchrum, convivium & tumulus, feſtum & fletus facta eſt. Circumfodit & quæſivit liberorum membra, invenitque vinum & ſanguinem, panem & manum, oculum & pulverem. Et excepit quandoque quidem manum, quandoque pedem, quandoque caput cum pulverulenta materia, quam abſtrahebat cum lapidibus, cum lignis: & quandoque quidem ventris, quandoque inteſtinorum partem viſcera cum macerie confuſa. Sedit autem cœlo celſior ille luctator, diſperſa liberorum membra legens. Sedit componens membra ad membra, manus ad brachium aptans, caput ad humeros, genu ad femur. Neque una erat illius caſus calamitas, ſed diabolica operatione & tyrannide omnem ſermonem excedens ſubverſio. Sedit itaque verus fortisque adamas beatus Job, diſcernens liberorum ſuorum membra, cavensque ne fortè in maſculinis membris fœminea conjungat. O beatam profectoque generoſam, fœlicemque animam, celebrem angelorum famam ſuperantem. Quare? quia in omnibus quæ ſupervenerunt ei, non peccavit Job in conſpectu Domini; ſed pro his omnibus perfectam gratiarum actionem ſacrificii loco obtulit, dicens: *Sit nomen Domini benedictum*, nunc & ſemper, & in ſecula ſeculorum. Amen. Job. 1.

Εἰς τὸν δίκαιον καὶ μακάριον Ἰὼβ, λογ. β.

ΤΑ μεγάλα τῶν πραγμάτων, μεγάλων δεῖται διηγημάτων, καὶ αἱ λαμπραὶ τῶν δικαίων ἱστορίαι λαμπρᾶς δέονται καὶ γλώττης καὶ διανοίας· διανοίας μὲν εἰλικρινῶς τὰς θείας γραφὰς θεωρούσης, γλώττης δὲ τρανῶς τὰ θεῖα ἑρμηνευούσης, καὶ μάλιστα ἐπὶ τῆς προκειμένης ὑποθέσεως, λέγω δὲ τῶν τοῦ μακαρίου Ἰὼβ πεπονημένων· ἃ διὰ πάσης φοιτῶντα τῆς ὑπ᾽ οὐρανὸν, τῆς τῆς ὑπομονῆς ἀπαστράπτει λόγον. πλὴν εἰ καὶ νικᾷ τὴν ἡμετέραν ἀσθένειαν ὁ τῆς ὑποθέσεως λόγος, ἀλλ᾽ εὖ οἶδα, ὅτι παρέχει ἡ τοῦ Θεοῦ χάρις λόγον, οὐ διὰ τὴν τοῦ λέγοντος ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν πατέρων πρεσβείαν. ἀλλ᾽ ἐπ᾽ αὐτὴν ἔλθωμεν τὴν διήγησιν. ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι. ἀναγκαῖόν ἐστι πρῶτον σκοπῆσαι τὸ προοίμιον ποίαν ἔχει δύναμιν καὶ τίνος ἕνεκεν ἀπὸ ταύτης τῆς λέξεως τὸ προοίμιον πεποίηται ὁ ἱστοριογράφος, ἄνθρωπός τις ἦν. ἐπειδὴ ἔμελλε βίον ἐνάρετον διηγήσασθαι, καὶ πολὺ τὴν ἡμετέραν κατάστασιν νικῶντα, ἵνα μή τις εἰς τὴν ὑπερβολὴν τῶν ἀγώνων ἀποβλέψας, νομίσῃ ξένην εἶναι φύσιν, καὶ οὐκ ἀνθρωπίνην, προλαβὼν ἔδειξε τὴν φύσιν, ἵνα θαυμάσῃς τὴν πρόθεσιν, ὅτι ἄνθρωπος ὢν, ὑπὲρ ἄνθρωπον ἐπολιτεύσατο, καὶ μὲν κοινῆς φύσεως ἅπασι κοινωνήσας, ἀνωτέραν δὲ τοῦ κόσμου τὴν ψυχὴν ἀναγαγών· ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι. κηρύττει αὐτὸν καὶ ἀπὸ τῆς φύσεως κηρύττει αὐτὸν, καὶ ἀπὸ τῆς χώρας· ἵν᾽, ὥσπερ ἀκούσας αὐτὸν ἄνθρωπον, θαυμάζεις ὅτι ὑπὲρ ἄνθρωπον ἐπολιτεύσατο, οὕτως ἐὰν μάθῃς καὶ τὴν χώραν, ἐξ ἧς ὁ τοσοῦτος καρπὸς ἤνθησε, θαυμάσῃς ἀληθῶς, ὁποῖον ῥόδον ἐν μέσῳ τῶν ἀκανθῶν ἐβλάστησεν. πρόσεχε ἀκριβῶς. ἡ χώρα τοίνυν ἡ τῆς Αὐσίτιδος, χώρα ἦν τοῦ Ἡσαῦ. ἀπὸ γὰρ τοῦ Ἡσαῦ ἡ Αὐσίτης. ὀνομάζει δὲ οὐ βεβήλου καὶ πονηροῦ Ἡσαῦ τὴν χώραν, ὥς φησιν ὁ ἀπόστολος· μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἡσαῦ· ἵνα θαυμάσῃς ἐκ ποίων παιδευτηρίων κακίας οἷος καρπὸς ἀληθείας ἤνθησεν. ἀλλ᾽ οὐ μόνον αὐτὸν ἡ χώρα τοῦ Ἡσαῦ ἤνεγκεν, ἀλλὰ καὶ αὐτὴ ἡ ῥίζα τοῦ Ἡσαῦ. ἀπόγονος γὰρ ἦν τοῦ διαβαλλομένου. λέγει γὰρ τὸν Ἰὼβ ἡ γραφὴ πέμπτον εἶναι ἀπὸ τοῦ Ἀβραάμ. καὶ ὅπως πέμπτος, ἄκουε. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἰσαὰκ τὸν Ἡσαῦ· Ἡσαῦ τὸν Ῥαγουήλ·

De juſto & beato Job, Sermo II.

MAgnum rerum pondus, magnarum narrationum dignitatem poſtulat, ſplendidisque juſtorum hiſtoriis ſplendida lingua ſplendidaque mens convenit: Et mens quidem divinas literas ſincerè jugiterque contemplans, lingua verò divina interpretans. Idque potiſſimùm in ſubjecto nobis, ſumptoque ſancti Job laborum opere, qui omnem peragrantem ſub cœlo regionem, patientiæ ſermonem coruſcantium more vibravit. Sed quamvis noſtram ſuperet imbecillitatem dignitas argumenti novi gratiam Dei præbituram fore verbum, non pro dicentis authoritate, ſed patrum interveniente legatione ſanctorum. Cæterùm in eam veniamus hiſtoriam. Vir erat in regione Auſitide. Neceſſarium eſt omnium primò, qualem vim prooemium ipſum habeat, inquirere, cujusque rei gratia hiſtoricus ab hac faciat dictione principium, Vir erat. Quoniam quidem vitam narraturus erat virtute præditam, noſtramque vim ſupra modum vincentem: quis ad agonis ſublimitatem reſpiciens, putaret non humanam, ſed alterius generis eſſe naturam, deſcribit naturam, ut propoſitum admireris. Quòd homo exiſtens, ſupra hominem vivendo converſatus ſit: & communi quidem natura omnibus communicans, animam verò in ſublimi ſuperiorem mundo adducens. Vir erat in terra Auſitide. Prædicat eum, & à natura prædicat, & à provincia: ut quemadmodum mirari hominem audiens, ſupraque hominem viventem, & provinciam ex qua tantus fructus floruit, verè mireris: qualisque roſa in ſpinarum medio germinaverit, diligenter attende. Provincia namque Auſitis, Eſau provincia erat: etenim ab Eſau Auſitis. Nominat autem profani pravique Eſau ſedem: ſicut inquit Apoſtolus: *Ne quis fornicator, aut profanus, ut Eſau.* Quò diſcas, quibus ex malitiæ ſcholis quantus veritatis fructus eruperit. Sed hunc non modò Eſau provincia tulit, ſed & radix ipſa prava: pronepos enim accuſati & reprehenſi erat. Nam ſcriptura quintum ab Abraham dicit eſſe Job. Quomodo autem quintus ſit, audi: Abraham genuit Iſaac, Iſaac Eſau, Eſau Raguelem.

Ragü. l Zaram, Zara Job. Succeſſionem ergo ab Abrahamo habuit per Eſau. Oſtendit igitur ſcriptura radicem, quo fructum admireris. Quis enim Eſau erat? fornicator & profanus: quis erat Job, qui à fornicatore deſcendit, hinc vide. Mirandus &
Job. 31. 9. caſtus vir nunc nobis in narratione ſubjectus dicit: *Si ſequutum eſt cor meum alienam mulierem, placebit aliena viro uxor mea.* Eſau ad multas mixtionem habuit mulieres: inſatiabilis ad luxuriam exiſtens. Job verò mores pro lege vitæ habuit, tantumque abfuit ut alienam formam curioſe inquireret, atque à fornicatione adulterioque tantum abfuit, ut neque mulieres nondum deſponſatas attenderet, hoc eſt, virgines innuptas: oportet enim clariori oratione uti: tantùm abfuit ab alieni thori inſidiis, ut neque ad innuptam virginem, in qua nihil periculi fuerat, impudentem oculum deflexerit.
Ibid. v. 1. Unde inquit, *Pepigi fœdus cum oculis meis, & non convenis cum virgine.* Vide ad quam diſciplinæ ſententiam hunc virum pietatis partes vexerunt. Inſtituit oculum ad pietatem, inſtruit ad juſtitiam: & membra quæ à fornicatione originem duxerunt, maxima pudicitia claruerunt.
Gen. 27. 41. Eſaü quoad propoſitum parricida fuit: nam etſi actus non proceſſerit, propoſitum tamen accuſatur: dixit namque Eſau in corde ſuo, *Appropinquant dies luctus patris mei & occidam Jacob fratrem meum.* Radix itaque parricida: qui verò de radice floruit, juſtitiæ triumphator: ille cum natura pugnavit, fratremque alienum eſſe duxit: hic & alienos, fratres eſſe putavit,
Job. 29. 12. qui dicebat, *Factus ſum orphanis tanquam pater & loco viri matris eorum,* Judicium, quod non noveram, exquiſivi, & iniquos compeſcui. Atque omnia aliena ſuorum loco habet, qui ab Eſau ſucceſſionem habuit, ex eo ſcilicet, quia aliena ſua faciebat. Eſau mente ſua Jacob interficere cogitabat: Job vero ſacrificium offerebat pro filiis, cogitans; ne fortè quid mente peccaſſent: quandoquidem enim ille mente parricidium patrârat; timens hic magnus generoſusque miles, nequando & hi mente ſuſciperent peccati virus, offerebat ſacrificium, & vitulum
Ibid. 1. 5. unum pro peccatis: dicebat enim Job, *Ne quando filii mei ad Deum mala cogitaverint.* Cogita ad quale quantumque ſtudium eum pervenire faciebat moris diſciplina: & quid facit, quandoquidem Eſau & Jacob progenitores illorum viciſſim ſe oderant, (non Jacob in malitiam conſentiente, ſed Eſau primùm ad malitiam provecto,) progenitorum diſcordiam menſæ conſilio ſolvit, liberosque facit mutuò per dies ſingulos convivari, quò aſſueta menſa reſolvat malitiæ virus. Ad alterutrum accedebant mutuò filii Job, & ſenſu inſtructi, à priore ætate, in pace exerciti, in concordia educati, adinvicem comedebant & bibebant. Suſcipiebant autem & tres eorum ſorores, ut comederent cum eis & biberent. Et quid ad utilitatem hæc audienti? quare & ſororum addidit eſum? ut oſtendatur ſcilicet, quòd ad pudicitiam convivium agebatur, quodque ibi non riſus intercedebat diſſolutus, immodeſtiaque effuſus menſam injuria afficiens. Inducit ergo & comedentes virgines, quò ſpecimen figuramque convivii oſtendat, non ebrietate deformatam, ſed concordia ornatam. Vir erat in terra Auſitide, nomine Job. Columba in medio luporum, ſtella in medio nubium, lilium in medio ſpinarum, germen juſtitiæ in oppido iniquitatis.
Ibid. 1. 1. 2. *Et erat vir ille irreprehenſibilis.* Attende diligenter. Externi ac profani hominem definire conſueverunt. Quid eſt homo? Homo
Homo quid. eſt, inquiunt, animal rationale mortale. De his philoſophorum definitiones conſulantur: Scriptura autem non eaſdem dat definitiones. Sed quid homo? irreprehenſibilis, juſtus, & recedens ab omni opere malo verax, Si quis ergo te interrogaverit, quid eſt homo? dic ad eum: irreprehenſibilis, juſtus, verax, & recedens ab omni opere malo: adeò, ut qui talium perfectorum officiorum teſtimoniis non fuerit comprobatus, homo non ſit: Etenim talis, quamvis naturæ characterem ac formam ferat, hunc tamen malitiæ propoſitum de-
Pſal. 48. 21. format. Audi à propheta: *Homo cùm in honore eſſet; non intellexit*: comparatus eſt jumentis inſipientibus, & ſimilis factus eſt illis. Et erat ille vir irreprehenſibilis: non parva hæc
Crimen & reprehenſio diſſerunt. laus, examina verbum, quò propoſitionem admireris. Aliud eſt crimen quidem, aliud reprehenſio: nam crimen quidem graviſſimis peccatis committitur, reprehenſio verò levioribus culpis. Oſtendere igitur voluit ſcriptor non modò à crimine longè fuiſſe juſtum, ſed etiam à reprehenſione. Quomodo enim magna quis illi objeciſſet, ubi nec locum quidem minoribus videbat?

A Ραγουὴλ τὸν Ζαρέ· Ζαρὲ δὲ τὸν Ἰώβ. εἶχεν οὖν τὴν διαδοχὴν ἀπὸ τοῦ Ἀβραὰμ, διὰ τοῦ Ἡσαῦ εἰς αὐτὸν κατερχομένην. δείκνυσιν οὖν τὴν ῥίζαν, ἵνα τὸν καρπὸν θαυμάσῃς. τίς δὲ ἦν Ἡσαῦ; πόρνος καὶ βέβηλος. τίς δὲ ἦν ὁ Ἰώβ; ὁ ἀπὸ τοῦ πόρνου, οὗτος αὐτὸς ὁ σεμνὸς καὶ θαυμάσιος ἀνὴρ, ὁ νῦν προκείμενος ἡμῖν εἰς διήγησιν· ὁ λέγων· εἰ ἐπηκολούθησεν ὁ ὀφθαλμός μου γυναικὶ ἀλλοτρίᾳ, " ἀρέσει καὶ ἡ γυνή μου ἀλλοτρίῳ ἀνδρί. Ἡσαῦ περὶ πολλὰς εἶχε μίξιν
B γυναῖκας, ἄπληστος ὢν εἰς ἀσέλγειαν. ὁ δὲ Ἰὼβ τὸν τρόπον νόμον εἶχε τοῦ βίου, καὶ τοσοῦτον ἀπεῖχεν, ὥστε ἀλλότρια κάλλη μὴ περιεργάζεσθαι· καὶ πορνείας καὶ μοιχείας τοσοῦτον ἀπεῖχεν, ὡς μηδὲ τὰς μηδέπω κατεγνωσμένας γυναιξὶ προσέχειν, τουτέστι, τὰς ἀμνηστεύτοις παρθένοις. δεῖ γὰρ τῇ τρανοτέρᾳ λέξει χρήσασθαι. τοσοῦτον ἀπεῖχεν ἀλλοτρίοις γάμοις ἐπιβουλεύειν, ὅτι οὐδὲ τῇ ἀμνηστεύτῳ παρθένῳ, ἐφ' ᾗ οὐδεὶς ἦν κίνδυνος, ἀπέτεινε τὸ ὄμμα πρὸς ἀ-
C κολασίαν. καὶ τίς ὁ ταῦτα μαρτυρῶν; αὐτὸς ὁ Ἰώβ. διαθήκην, φησὶ, διεθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον. " βλέπε μέχρι τίνος παιδαγωγίας ἤκμασεν αὐτῷ τὰ τῆς εὐσεβείας; παιδαγωγεῖ τὸν ὀφθαλμὸν εἰς εὐσέβειαν, παιδαγωγεῖ καὶ τὰ μέλη εἰς δικαιοσύνην, καὶ ἀπὸ τοῦ πόρνου τὴν διαδοχὴν φέρων, μεγίστῃ σωφροσύνῃ ἀνέλαμψεν. Ἡσαῦ καὶ ἀδελφοκτόνος ὑπῆρχε, τοσοῦτον εἰς πρόθεσιν· εἰ γὰρ καὶ μὴ ἐξέβη ἡ πρᾶξις, ἀλλὰ κατηγορεῖται ἡ
D πρόθεσις. εἶπε γάρ, φησιν, Ἡσαῦ ἐν τῇ καρδίᾳ αὐτοῦ· ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ ἀνελῶ Ἰακὼβ τὸν " ἀδελφόν μου. ἡ τοίνυν ῥίζα ἀδελφοκτόνος· ὁ δὲ ἐκ τῆς ῥίζης ἀνθήσας, δικαιοσύνης βραβευτής. ἐκεῖνος τῇ φύσει ἐπολέμησε, καὶ τὸν ἀδελφὸν ἀλλότριον ἡγεῖτο· οὗτος καὶ τοὺς ἀλλοτρίους ἀδελφοὺς ἐνόμιζεν, ὁ λέγων. ἐγενόμην ὀρφανοῖς εἰς πατέρα, καὶ " ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν· δίκην ἣν οὐκ οἶδειν, ἐξιχνίασα, καὶ κατέπαυσα ἀδίκους. καὶ πάντα τὰ ἀλλότρια ἰδιοποιεῖται ὁ ἀπὸ
E τοῦ Ἡσαῦ φέρων τὴν διαδοχὴν, τῷ τὰ ἀλλότρια ἴδια τεθεῖσθαι· Ἡσαῦ ἐν τῇ διανοίᾳ ἐλογίζετο ἀνελεῖν τὸν Ἰακώβ· Ἰὼβ δὲ προσέφερε θυσίας ὑπὲρ τῶν υἱῶν, ἐννοῶν, μή τι κατὰ διάνοιαν ἥμαρτον. ἐπειδὴ γὰρ ἐκεῖνος κατὰ διάνοιαν ἐμελέτησε τὸν φόνον, φοβηθεὶς οὗτος ὁ μέγας καὶ γενναῖος ἀθλητὴς, μὴ καὶ οὗτοι ἐν τῇ διανοίᾳ παραδέξωνται τὸν ἰὸν τῆς ἁμαρτίας, προσέφερε θυσίαν καὶ μόσχον ἕνα περὶ ἁμαρτιῶν. ἔλεγε γὰρ ὁ Ἰώβ· μήποτε οἱ υἱοί μου κακὰ ἐνε-"
A νόησαν πρὸς τὸν Θεόν. ἐννόησον εἰς ὅσην ἀκρίβειαν αὐτῷ ἔφθασεν ἡ παιδαγωγία τοῦ τρόπου. καὶ τί ποιεῖ, ἐπειδὴ Ἡσαῦ καὶ Ἰακὼβ οἱ πρόγονοι ἐξεπολεμώθησαν πρὸς ἀλλήλους, [οὐ τοῦ Ἰακὼβ εἰς κακίαν συμφωνήσαντος, ἀλλὰ τοῦ Ἡσαῦ εἰς κακίαν ἄρξαντος,] τὴν διαφωνίαν τῶν προγόνων διαλύει τῇ ἑστιάσει. καὶ ποιεῖ τοὺς υἱοὺς αὐτοῦ καθ' ἡμέραν μετ' ἀλλήλων ἑστιᾶσθαι, ἵνα ἡ συνήθης
B τράπεζα διαλύσῃ τὸν τῆς κακίας τὸν ἰόν. παρ' ἀλλήλους ἐφοίτων οἱ υἱοὶ τοῦ Ἰὼβ, ὁμόνοιαν παιδευόμενοι, ἐκ νέας ἡλικίας, εἰρήνην ἀσκούμενοι, συμφωνίαν παιδευόμενοι, καὶ μετ' ἀλλήλων ἤσθιον καὶ ἔπινον. παρελάμβανον δὲ, φησὶ, καὶ τὰς τρεῖς ἀδελφὰς ὡς ἐσθίειν καὶ πίνειν μετ' αὐτῶν. καὶ τί τοῦτο εἰς ὠφέλειαν τῷ ἀκροατῇ; καὶ διὰ τί προσέθηκε τῶν ἀδελφῶν τὴν συνεστίασιν; ἵνα δειχθῇ, ὡς ἐπὶ σωφροσύνης ἠνέχθη αὐτῶν τὸ συμπόσιον, καὶ
C οὐκ ἦν γέλως ἄτακτος καὶ ἐκκεχυμένος, καὶ ἀκολασία τὴν τράπεζαν ὑβρίζουσα. διὰ τοῦτο παρεισάγει καὶ τὰς παρθένους εὐωχουμένας, ἵνα δείξῃ τὸ πρόσχημα τοῦ συμποσίου οὐ μέθῃ ὑβριζόμενον, ἀλλὰ συμφωνίᾳ στεφανούμενον. ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι· περιστερὰ ἐν μέσῳ ἱεράκων, πρόβατον ἐν μέσῳ λύκων, ἀστὴρ ἐν μέσῳ τῶν νεφελῶν, κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν, τὸ βλάστημα τῆς δικαιοσύνης ἐν τῇ κώμῃ τῆς ἀδικίας.
D καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος. πρόσεχε ἀκριβῶς· οἱ ἔξωθεν ὅρον ἔθεντο ἀνθρώπου. τί ἐστιν ἄνθρωπος; ἄνθρωπός ἐστι, φησὶ, ζῶον λογικὸν θνητόν. ταῦτα βούλονται τῶν φιλοσόφων οἱ ὅροι· ἡ δὲ γραφὴ οὐ τοιούτους ὅρους δίδωσιν· ἀλλὰ τί ἄνθρωπος; ἄμεμπτος, δίκαιος, ἀληθινός. ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ἐάν τίς σε ἐρωτήσῃ καὶ ὅρον ἀπαιτήσῃ, τί ἄνθρωπος; εἰπὲ πρὸς αὐτὸν, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· ὡς ὅγε τοῖς τοιούτοις κατορθώμασι μὴ μεμαρτυρημένος, οὐδὲ ἄνθρωπος ὑπάρχει. ἐὰν γὰρ ἔχῃ μὲν τὸν χαρακτῆρα τῆς φύσεως, ὑβρίζῃ δὲ αὐτὸν τῇ κακίᾳ τῆς προαιρέσεως, ἄκουε παρὰ τοῦ προφήτου· ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος. οὐ μικρὸν τὸ ἐγκώμιον. βασάνισον τὴν λέξιν, ἵνα θαυμάσῃς τὴν πρόθεσιν. ἄλλο ἐστὶν ἔγκλημα, καὶ ἄλλο μέμψις, ἔγκλημα μὲν γὰρ τοῖς βαρυτάτοις ἐπάγεται τῶν ἁμαρτιῶν· ἡ δὲ μέμψις ἐπὶ τῶν κουφοτάτων γίνεται πλημμελημάτων. ἠθέλησεν οὖν δεῖξαι ὁ συγγραφεὺς, ὅτι οὐ μόνον ἐγκλημάτων μακρὰν ἦν ὁ δίκαιος, ἀλλὰ καὶ μέμψεων. οὐδεὶς αὐτῷ ἐνεκάλεσεν εἰς μεγάλα δράσαντι, ὅπου γε οὐδεὶς ἐμέμψατο ὡς μικρὰ πράξαντι.

τοῦτο

τοῦτο δὲ μέγα τεκμήριον, οὗ μέσος ὁ βίος, ἀνέγκλητος. ὡς γὰρ μὴ ἔχης περὶ μοιχείας ἐγκαλεῖν, ἢ περὶ φόνου, ὁ τοιοῦτος ἀνέγκλητος. ὡς δὲ μέμψεις προσάγεις ὕβρεως, διαβολῆς, ἢ λοιδορίας ἢ μέθης, ὁ τοιοῦτος ἐγκλημάτων μὲν ἐκτὸς, ὑπὸ μέμψιν δὲ τρέχει. ἠθέλησεν οὖν δεῖξαι, ὅτι καὶ τῶν μικρῶν καὶ ἐλαχίστων πλασμάτων μακρὰν ἦν. καί φησιν· ἦν ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ὅθεν καὶ ὁ Θεὸς τῷ Ἀβραὰμ βουλόμενος δεῖξαι, ὅτι τὸ πρῶτον καὶ ἀρετὴν, τὸ ἄμεμπτόν ἐστι, λέγει αὐτῷ· σὺ δὲ εὐαρέστει ἐνώπιόν μου, καὶ γίνου ἄμεμπτος. τὸ, ἄμεμπτος, ὡς ἀκρότητα τρόπων ἐκλαμβάνεται. ὁ δὲ ἀπόστολος Παῦλος, ἐπειδὴ πρὸς τὰ ἔθνη εἶχε τοὺς ἀπὸ πολυθεΐας ἀπεσπασμένους, τοὺς ἀπὸ κακίας συνειλεγμένους, τοὺς ἀπὸ πορνείας καὶ μοιχείας συνηθροισμένους, οὐ προσέθηκε τὸ ἄκρον τῆς ἀρετῆς. ἀλλ᾽ ὡς ἦλθεν εἰς τὴν οἰκουμένην πεπληρωμένην πορνείας καὶ μοιχείας, ἠθέλησε δὲ ποιμένας καταστῆσαι τῆς οἰκουμένης, ἐπειδὴ τότε ἐσπάνιζε τὰ καλὰ τῆς ἀρετῆς, καθιστῶν ἐπισκόπους, Τίτῳ λέγει· κατάστησον ἐπισκόπους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος. τὸ, ἄμεμπτος, οὐκ εἶχε τότε χώραν, ἐπειδὴ, ὡς προεῖπον, ἐσπάνιζεν ἀκμὴν τὰ τῆς εὐσεβείας. μέγα τὸ ἄμεμπτον, μέσον δὲ τὸ ἀνέγκλητον· μέγα δὲ ἐν κακοῖς καὶ τὸ μικρὸν ἀγαθόν. διὰ τοῦτο εἶπε, μιᾶς γυναικὸς ἄνδρα· οὐκ ἐπειδὴ τοῦτο νῦν φυλάττεται ἐν τῇ ἐκκλησίᾳ [δεῖ γὰρ παντελεῖ ἁγνείᾳ καὶ ἁγιωσύνῃ ἐστέφθαι τὸν ἱερέα] ἀλλ᾽ ἐπειδὴ τότε πρὸς τοὺς ἐν πορνείᾳ μέγα ἦν, λέγει· κατάστησον ἐπισκόπους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ· οὐκ ἐπειδὴ νόμον ἔθηκε τοῦτο, ἀλλ᾽ ἐπειδὴ τῇ πλάνῃ συνέγνω. ᾔδει γὰρ ὅτι ἀνθοῦντος τοῦ λόγου τῆς εὐσεβείας αὐθαίρετον αὐτὴ ἡ φύσις ἕξει τὸ ἀγαθὸν, καὶ ἡ ἐκλογὴ γενήσεται τῶν κρειττόνων. ἄμεμπτος, δίκαιος. οὐ πρότερον ἦν ἐστι γενέσθαι δίκαιον, ἄμεμπτον μὴ γενόμενον. ἀληθινός. ὁ ἀληθινὸς τί βούλεται; ὁ μὴ ἐσχηματισμένος τὴν ὄψιν, καὶ ἄλλην ἔχων τὴν κατάστασιν· ὁ μὴ σωφροσύνην σχηματιζόμενος, ἀκολασίαν δὲ ἐνδεδυμένος· ὁ μὴ τὴν δικαιοσύνην ἐν τῷ σχήματι δεικνύων, τὴν δὲ ἀδικίαν ἐν τῇ καρδίᾳ φέρων. οὗτος ἀληθινὸς, καὶ εὐθέως θεοσεβής. ὅταν γὰρ ᾖ τὸ ἄμεμπτον, ὅταν τὸ δίκαιον, ὅταν τὸ ἀληθινὸν, τότε ἡ ἀληθὴς ἀπαρτίζεται θεοσέβεια. ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. ἐπειδὴ πολλοὶ ἀπέχονται ἀπὸ πολλῶν ἁμαρτημάτων, πάντων δὲ οὐκ ἀπέχονται, τὸ ἄκρον πάλιν τῆς ἀρετῆς βουλόμενος ὑποδεῖξαι, φησίν· ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· ὅθεν καὶ ὁ Δαβὶδ φησιν· οἱ ἀγαπῶντες Κύριον, μισεῖτε πονηρά. οὐ γὰρ ἐστι καὶ θεοσεβεῖν καὶ πονηρεύεσθαι. ἐκτίθεται δὲ αὐτοῦ τὴν ὕπαρξιν, ὅτι εἶχε πρόβατα ἑπτακισχίλια, καμήλους τρισχιλίας, ζεύγη βοῶν πεντακόσια, ὄνους νομάδας πεντακοσίας. διὰ τί ταῦτα ἐκτίθεται; οὐ τὸν πλοῦτον θαυμάζων τοῦ Ἰὼβ, ἀλλά σοι τῷ ἀκροατῇ καταλιμπάνων τὸ πλῆθος τῆς οὐσίας· ἵν᾽, ὅταν αὐτὸν ἴδῃς μετὰ ταῦτα γεγυμνωμένον τῶν ὑπαρχόντων, καὶ μὴ στένοντα θαυμάσῃς, ὅτι πόσων στερούμενος ἀγαθῶν, οὐκ ἀθετῶν τὸν εὐεργέτην, οὐχ ὑβρίζει τὸν δημιουργόν. ταῦτα τοίνυν ἐγράφη, οὐχ ἵνα τὸν πλοῦτον θαυμάσῃς, ἀλλ᾽ ἵνα τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν ἐπαινέσῃς τοῦ δικαίου· καὶ πρὸ ὀφθαλμῶν ἔχῃς πάντοτε τὸν φόβον τοῦ Θεοῦ. ἡ δὲ ἀκολουθία τῆς θεωρίας εἰς ἕτερον καιρὸν ταμιεύεται. ὁ γὰρ διάβολος, ἀδελφοὶ, ἐπειδὴ εἶδεν αὐτὸν πλουτοῦντα τοῦτον τὸν πρόσκαιρον, καὶ ἐκ τούτου τοῦ πλούτου τοῦ προσκαίρου τὸν αἰώνιον πλοῦτον ταμιευόμενον, ἐνενόησεν, ὅτι ὥσπερ πλουτοῦντι αὐτῷ συνεπλούτησεν ἡ δικαιοσύνη, οὕτω καὶ πτωχεύοντι συμπτωχεύσει καὶ ἡ ἀρετή. πειρᾶται οὖν αὐτὸν γυμνῶσαι τῶν χρημάτων, ἵνα γυμνώσῃ καὶ τῶν πλεονεκτημάτων. ἐνταῦθα δὲ προσεχέτωσαν ἀκριβῶς οἱ λέγοντες· μὴ ὁ Ἰὼβ οὐκ ἦν πλούσιος; μὴ ὁ Ἀβραὰμ οὐκ ἦν πλούσιος; διὰ τί οὖν ὑποτίθης ἡμῖν ἀκτημοσύνην; ἐρῶ κἀγὼ πρός σε, γενοῦ κατὰ τὸν Ἰὼβ πλούσιος, καὶ ἐπεύχομαί σοι πλείονα κτήσασθαι· γενοῦ κατὰ τὸν Ἀβραὰμ, καὶ πᾶσα ἡ γῆ συνεύχεταί σοι τὸν πλοῦτον· εἰπὲ καὶ σὺ, ὡς Ἰὼβ, ἡ θύρα μου ἀνέῳκται παντὶ θλιβομένῳ· εἰπὲ, ὤμους πενήτων ἐθέρμανα· εἰπὲ, ἐκ τῶν κουρῶν τῶν προβάτων μου ἐθερμάνθησαν ὦμοι πενήτων· εἰπὲ, καὶ στόμα χήρας εὐλόγησέ με, καὶ πλούτει πλοῦτον ὃν θέλεις. εὑρεθήσῃ γὰρ οὐ σαυτῷ πλουτῶν, ἀλλὰ τοῖς πένησιν οἰκονομῶν. ἡ θύρα μου γάρ, φησιν, ἀνέῳκται παντὶ θλιβομένῳ. μίμησαι τὴν ἀκρότητα ταύτης τῆς φιλοπτωχίας, ἔνδυσαι τὸν ζῆλον τῆς ὑπομονῆς, ἀνδρίσαι κατὰ τῶν ἐναντίων, τὰ ἴσα φρόνησον. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. γένοιτο δὲ ἡμᾶς τὸν ζῆλον καὶ τὴν ὑπομονὴν ἔχοντας ἐναυλον, ἔχειν καὶ τὴν ἀκολουθίαν τῶν λειπομένων, καὶ ὑμᾶς παρ᾽ ἡμῶν ἀπαιτεῖν τὰ λειπόμενα, καὶ ἡμᾶς ὑμῖν τελέσαι τῶν θεωρημάτων τὴν ἀκολουθίαν· καὶ γένοιτο ἡμᾶς γνησίως καὶ τὴν ἑορτὴν ἐπιτελέσαι, καὶ τοῖς παθήμασι τῶν ἁγίων κοινωνήσαντας κοινωνῆσαι καὶ

A hoc autem magnum eſt argumentum ejus, cujus ſine crimine converſatio. Quod enim de adulterio & homicidio accuſare non habes, talis ſine crimine: cui autem injuriâ reprehenſiones irrogaveris, detractionis, maledicti, ebrietatis, talis crimine quidem vacuus, reprehenſionem tamen incurrit. Vult ergo ſcriptor oſtendere, & à parvis & minimis quibusque culpis procul fuiſſe virum ſanctum: & inquit: Et erat vir ille irreprehenſibilis, juſtus, verax, timens Deum, recedens ab omni o-

B pere malo. Ex quo etiam Deus Abraham oſtendit primùm irreprehenſibilem, & virtutem habere, dicens ei: Tu verò complace in conſpectu meo, & eſto irreprehenſibilis: hoc autem irreprehenſibile pro morum excellentia accipitur. Paulus enim Apoſtolus ubi ad gentes proficiſcitur, ad homines à cultu multorum deorum abſtractos, ex vitiis collectos, ex fornicatione & adulterio congregatos, ſummum virtutis pondus illis non impoſuit: ſed ubi in orbe adulteriis fornicationibusque repleto,

C voluit orbis paſtores conſtituere: & quoniam virtutes rarò inveniebantur; Epiſcopos ordinans, Tito dixit: *Conſtitue Epiſcopos, ſicut ego tibi diſpoſui: ſi quis eſt ſine crimine.* Porrò irreprehenſibile tunc locum non habuit, quandoquidem pietatis vigor deficiebat. Magnum, irreprehenſibilem eſſe: medium autem ſine crimine eſſe: magnum malum in hominibus, vel exiguum bonum: & propterea dixit: *Et unius uxoris virum*: non ea ratione quod id nunc in Eccleſia obſervetur. Opor-

D tet enim omni prorſus caſtitate ſacerdotem ornatum eſſe. Sed quòd id quandoque ad eos qui in fornicatione erant, magnum fuit, ideo dicit: Conſtitue Epiſcopos, ſicut ego diſpoſui tibi: Si quis eſt ſine crimine, unius uxoris vir: non quòd id legis loco poſuerit, ſed quòd errori ignoſcebat. Sciebat enim quoniam florente pietatis verbo, ſua ſponte bonum ſibi natura ipſa vindicabit, & meliorum electio fiet. *Irreprehenſibilis, juſtus.* Non ergo fieri poteſt ut ſit juſtus, qui non

E antè irreprehenſibilis fuerit. *Verax.* Quid tibi vult iſtud verax? ut non facie figuram quandam præ ſe ferat, alium habens mentis habitum: nec is, qui caſtitatem ſimulet, incontinentiæ deditus: non, juſtitiam quidem extrinſecus ferens, malitiam verò intrinſecus fovens, hic verax atque illico Deum colens: cùm enim fuerit irreprehenſibilis, cùm juſtus, verax, tunc vera religio, veruſque Dei cultus perficitur. Recedens ab omni opere malo. Quoniam quidem multi rece-

A dunt à multis malis, ab omnibus autem non recedunt, iterum culmen juſtitiæ oſtendere volens, dicit: *Recedens ab omni opere malo.* Unde & David dicit: *Qui diligitis Deum, odite malum*: non enim poſſibile eſt Deum diligere, & operari malum. Exponit autem & ejus ſubſtantiam. Quoniam ovium habuit ſeptem millia, camelorum tria millia, quingenta quoque juga boum, & quingentas aſinas paſcuales. Quare ſcriptor hæc exponit? non Job divitias admiratus, ſed tibi auditori relinquens

B in objectum ſubſtantiæ multitudinem: quò ſi eundem videris poſt hæc univerſis nudatum bonis, minimeque ingemiſcentem, mireris quantis privatus bonis donatorem non contempſerit, neque conditorem maledictis inceſſerit. Hæc itaque ſcripta ſunt, non quò divitias in admiratione habeas, ſed quò juſti conſtantiam patientiamque laudes, atque præ oculis Dei timorem ſemper habeas. Sequens verò orationis ordo in aliud tem-

C pus contemplandus ſervatur: etenim diabolus quandoquidem eum diteſcentem eiſdem temporalibus divitiis vidit, atque ex eiſdem æternas ſibi theſaurizare divitias; putavit, quòd, quemadmodum eo diteſcente, diteſcebat juſtitia: ſic ad paupertatem ducto, eadem quoque virtus paupercula apparebit. Tentat eum igitur pecuniis nudare, quò claris eundem facinoribus nudet. Hic advertant diligenter, qui dicunt: Nonne Job dives fuit? Nonne Abraham dives fuit? quare igitur nobis ipſa

D rerum proponitur renunciatio? Dicam ego ad te. Fias juxta Job dives, atque ego tibi majores divitias exoptabo: fias juxta Abraham, atque omnis terra divitias tibi exoptabit. Dic & tu, ſicut Job dicebat: *Janua mea aperta fuit omni tribulato*: dic, humeros pauperum calefeci: dic, ex velleribus ovium mearum calefacti ſunt humeri pauperum: dic, os viduæ benedixit mihi, atque divitiis quibuſvis diteſce. Nam pauperibus neceſſaria præbendo, januamque omni tribulato apertam exhi-

E bendo, non tibi ipſi dives factus inveneris, ſed pauperum diſpenſator janua mea, inquit, aperta fuit omni tribulato. Imitare hunc ſummæ paupertatis amatorem, zelum patientiæ: viriliter contra adverſarios age: atque eundem animum indue: ſed de his hactenus. Contingat autem nobis, ut ſancti hujus imitatores facti, ſemper ea quæ ſequuntur in animo habeamus: vobis autem ut cupide reliquum à nobis expetatis. Contingat etiam nobis ut ſincerè feſtum diem celebremus paſſionibuſque ſanctorum communicantes,

Ad Tit. 1.

Ibidem.

Sacerdos cælibem eſſe decet.

Job 31.

& paſſioni Chriſti communicemus. Verè enim, fratres ante Chriſti paſſionem meritò fulſerunt ſanctorum paſſiones; fulſerunt enim ſicut fulgura paſſiones juſtorum, quò poſt hæc appareat Chriſtus, ſicut inquit (Paulus) Qui omnibus compatitur, & cum omnibus glorificatur. Orationibus igitur, lectionibusque ſanctorum patrum & prædictis intendentes, quodqoe reliquum eſt expectantes, gloriam referamus Patri, & Filio, & Spiritui ſancto, in ſecula ſeculorum. Amen.

A τῷ πάθει τοῦ Χριστοῦ. ἀληθῶς γὰρ, ἀδελφοὶ, δικαίως περιέλαμψε τοῦ πάθους τοῦ Χριστοῦ τὰ πάθη τῶν ἁγίων. περιέλαμψαν γὰρ, ὥσπερ ἀστραπαὶ, τὰ πάθη τῶν δικαίων, ἵνα μετὰ ταῦτα φανῇ ὁ Χριστὸς [ὥς φησιν ὁ Παῦλος] ὁ πᾶσι συμπάσχων, καὶ πᾶσι συνδοξαζόμενος. εὐχαῖς οὖν καὶ πρεσβείαις τῶν ἁγίων πατέρων, καὶ τοῖς εἰρημένοις στοιχήσαντες, καὶ τὰ λειπόμενα προσδοκήσαντες, δόξαν B ἀναπέμψωμεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

De juſto & beato Job, Sermo III.

IAm nos promiſſum attingamus, & vos audire pergite, atqoe in Job rerum ſerie conveniamus, noſque metipſi verbo patientiæ fideliter adhortemur. Etenim indignum eſt, in ſterquilinio quidem ſedentem Job ad pietatem abundantiùs excitari; nos verò quaſi choreis in Eccleſia inſiſtentes ad veritatem pigritari: & hunc quidem mille ſuæ calamitatis fletibus circomſeptum, aoimo non frangi: nos verò hymnis divinisque ſcripturis, & canticis ſpiritualibus plauſibusqoe excitatos, per deſidiam propoſitum perdere. Job corpore à vermibus conſumpto, pietate animam cuſtodivit illæſam. Illum vermes non vicerant, & nos ſudores dejicient? Simus & ipſi nos homines, homines juxta datam paulò antè definitionem. Hominem enim format, quod irreprehenſibile, quod juſtum, quod verax, quod Dei cultus eſt. Et quemadmodum in communi conſuetudine quis, ſi quando vel filium, vel domeſticum, ad deſtinatum opus tranſmiſerit, modum dat, dicens, Sicut homioem decet, hanc & illam actionem aggredere: communeque nomen propriam admirationem facit: Sic etſi omnes appellantur homines, ſolus ille verus homo, qui imaginem ſervaverit. Eum dixit hominem, ut & à communi natura propoſitum laudes; de terra Auſitide dixit, quò de infidelitate fornicantis provinciæ fructum ſuperextollas: dixit ejus poſſeſſiones, quò fortia ejus geſta io admiratione habeas: dixit ejus divitias, non quò ſubſtantiam laudes, ſed quò hac nudatum majori habeas in celebritate: omnibus enim exutus eſt, nec tamen in Deum pietate nudatus. Sed erat quemadmodum obſeſſa civitas, omnibus quidem externis rebus privata ſolis autem muris cuſtodita: oudatus liberis, nec pietatis fructus amiſit habuit enim filios, mores pios: & filias, virtutes. Tres ei filiæ juxta carnem, tresque ei virtutes juxta ſpiritum, quemadmodum inquit Apoſtolus Paolus: *Manent tria hæc, fides, ſpes, charitas, majorque horum charitas*: nudatus eſt omnibus, & naturæ conditorem non negavit. Sciebat eoim liberos ſolatium eſſe ſucceſſionis: cultorem verò radicis eſſe Deum. Non ægrè tulit quòd fructus amitteret: ſciebat enim ipſum cultorem radicis in ſeculum ſeculi permanere. Nudatus eſt ovibus, & ipſe ovis erat á Deo cuſtodita: nudatus eſt bobus, & juga quidem boum ſublata ſunt: animæ autem corporisque jugum haud erat inciſum, ſed concors tamen anima, & caro ad pietatem trahebat aratrum: patientiæ verò mores, virtutis fructus accepit, quò patientiæ fructus multiplicaret. Erant ei igitur camelorum tria millia, quingentæque aſinæ paſcuales: & ego exiſtimo parva admodum quædam & hæc poſſediſſe. Si enim cuique pauperi impendebantur, quemadmodum ipſe dicit: *Oculus fui cæco, pes claudo*, parva profectò ſubſtantia ad propoſitum quod habuit, fuerat: & copioſior erat hoſpitalitatis menſa, quàm proventuum abundantia. Pauper erat Job, bonæ non ſufficiens voluntati: & poſſeſſione quidem dives, pauper verò dandi propoſito erat: erant autem ei, inquit, opera magna ſoper terram: quænam? Amor erga pauperes & erga hoſpites ſumma humilitas, incomparabilis eleemoſyna, & quotquot ad virtutem proficiunt: ſed hic quidem ſic in deliciis non tam divitiarum quàm pietatis verſabatur. Alius autem ex ſapientibus verbum communi modo loquendi ſuſcipiens, magna eſſe opera dicit, vineta, oliveta, ſata jugera, & qootquot ſunt his ſimilia. Verè magna ei erant opera ſuper terram, qui cùm in terra verſaretur divitiis cæleſtibus affluebat. Diabolus autem, veluti heſterna die diximus, omnium ſceleratiſſimus, ſuſpicans, quemadmodum dum dives eſſet, virtutibus ditabatur: ſic quoque futurum ut ad paupertatem ipſo declinante, ſimul qooque virtus declinaret: nudat eum opibus, quò & virtutis munimentis nudet. Poſtulat autem à Deo adverſus juſtum dæmon tentandi authoritatem: ut confidas eum contra Chriſtianum propria virtute prævalere non poſſe: nec adverſus virum timeotem Deum, niſi deſuper fiat aſſenſus, vel ob caſtigationem, vel ex permiſſione. Deus enim cùm diſciplinæ correctiones addiderit, aut peccatorum pœnam exigit, aut certè vir-

1. Cor. 13, 13.

Job. 29, 15.

Job. 1.

Εἰς τὸν Δίκαιον καὶ μακάριον Ἰὼβ, λόγ. γ.

ΦΕρε, καὶ ἡμεῖς ἁψώμεθα τῆς ὑποθέσεως, καὶ ὑμεῖς τῆς ἀκροάσεως· καὶ πάντες γινώμεθα τῆς ἐπιτερπνῆς ἀκολουθίας τοῦ Ἰὼβ, καὶ μετὰ πίστεως τῷ λόγῳ τῆς ὑπομονῆς ἑαυτοὺς παραστήσωμεν· ἄτοπον γὰρ τὸν μὲν Ἰὼβ ἐπὶ κοπρίας καθήμενον μὴ ναρκῆσαι πρὸς τὴν C εὐσέβειαν, ἡμᾶς δὲ ἐν ἐκκλησίᾳ χορεύοντας, ὀκνεῖν πρὸς τὴν ἀλήθειαν· καὶ τὸν μὲν μυρίοις ὀδυρμοῖς περιεχόμενον τῆς ἑαυτοῦ συμφορᾶς, μὴ κατακλασθῆναι τὴν ψυχήν. ἡμᾶς δὲ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς καὶ θείαις γραφαῖς περιεσφιγμένους προδιδόναι ῥαθυμίᾳ τὴν προθυμίαν. Ἰὼβ ὑπὸ σκωλήκων δαπανώμενος τὸ σῶμα, ἄτρωτον διεφύλαξε τὴν ψυχὴν πρὸς εὐσέβειαν· ἐκεῖνον σκώληκες οὐκ ἐνίκησαν. καὶ ἡμᾶς ἱδρῶτες καταπαλαίσουσι; γενώμεθα καὶ ἡμεῖς D ἄνθρωποι, ἄνθρωποι κατὰ τὸν ὅρον τὸν προαποδεδομένον. τὸν γὰρ ἄνθρωπον χαρακτηρίζει τὸ ἄμεμπτον, τὸ δίκαιον, τὸ ἀληθινὸν, καὶ θεοσεβές. καὶ ὥσπερ ἐπὶ τῆς κοινῆς συνηθείας ἐπιστέλλων τις τὸν ἑαυτοῦ οἰκέτην, ἢ τὸν υἱὸν ἐπὶ πρᾶξιν ἵνα ἀποστέλλῃ, παρακελεύεται, λέγων· ὡς ἄνθρωπος ἅψαι τῆσδε τῆς πράξεως, καὶ τὸ κοινὸν ὄνομα ἴδιον ποιεῖται θαῦμα· οὕτω κἂν πάντες λέγωνται ἄνθρωποι, μόνος ἐκεῖνος ἀληθὴς ἄνθρωπος, ὁ τὴν εἰκόνα σώζων, καὶ τὸ πρω- E τότυπον κάλλος μὴ ἀφανίζων. εἶπεν αὐτὸν ἄνθρωπον, ἵνα ἀπὸ τῆς κοινῆς φύσεως τὴν πρόθεσιν ἐπαινέσῃς· εἶπεν αὐτὸν ἀπὸ τῆς χώρας Αὐσίτιδος, ἵνα ἀπὸ τῆς χώρας τῆς κωμώσης τὴν ἀσέβειαν, τὸν καρπὸν ἀνυμνήσῃς. εἶπεν αὐτοῦ τὰ κτήματα, ἵνα θαυμάσῃς τὰ πλεονεκτήματα. εἶπεν αὐτοῦ τὸν πλοῦτον, οὐχ ἵνα τὴν περιουσίαν ἐπαινέσῃς, ἀλλ' ἵνα γεγυμνωμένον αὐτὸ θαυμάσῃς. πάντων γὰρ ἀπεδύθη, καὶ τὴν εὐσέβειαν οὐκ ἀπεδύετο, ἀλλ' ἦν ὥσπερ τις πόλις πολιορκουμένη, A πάντων μὲν τῶν ἔξωθεν γεγυμνωμένη, μόνῳ δὲ τῷ τείχει φυλαττομένη. ἐγυμνώθη τέκνων, καὶ τοὺς καρποὺς τῆς εὐσεβείας οὐκ ἀπώλεσεν. εἶχε γὰρ τέκνα, τοὺς τρόπους [τῆς εὐσεβείας,] εἶχε θυγατέρας, τὰς ἀρετάς. τρεῖς αὐτῷ θυγατέρες κατὰ σάρκα, καὶ τρεῖς αὐτῷ ἀρεταὶ κατὰ πνεῦμα, καθώς φησιν ὁ Παῦλος· μένει δὲ τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη. ἐγυμνώθη πάντων, καὶ τὸν δημιουργὸν τῆς φύσεως οὐκ ἠρνήσατο. ᾔδει γὰρ ὅτι τέκνα, B παραμυθία διαδοχῆς· ὁ δὲ Θεὸς, γεωργὸς τῆς ῥίζης· οὐκ ἐδυσχέραινε, τοὺς καρποὺς ὁρῶν ἀποβαλλομένους· ᾔδει γὰρ ὅτι μένει εἰς τὸν αἰῶνα ὁ γεωργὸς τῆς ῥίζης. ἐγυμνώθη τῶν προβάτων, καὶ αὐτὸς ἦν πρόβατον ὑπὸ Θεοῦ φυλαττόμενον· ἐγυμνώθη τῶν βοῶν, καὶ τὰ μὲν ζεύγη τῶν βοῶν περιῄρητο· τὸ δὲ ζεῦγος τῆς ψυχῆς καὶ τοῦ σώματος οὐ διετέμνετο, ἀλλ' ὁμοῦ συμφωνήσασα ἡ σὰρξ καὶ ἡ ψυχὴ πρὸς εὐσέβειαν εἷλκε τὸ ἄροτρον· τρόπον δὲ τῆς ὑπομονῆς ἐδέχετο τοὺς καρποὺς τῆς ἀρε- C τῆς, ἵνα πλεονάσῃ τοὺς καρποὺς τῆς ὑπομονῆς. ἦσαν οὖν αὐτῷ κάμηλοι τρισχίλιαι, ὄνοι νομάδες πεντακόσιαι. ἐγὼ νομίζω ὅτι μικρὰ ἐκέκτητο, ἅπερ ἐκέκτητο. εἰ γὰρ ἑκάστῳ πτωχῷ ἐχορήγει, καθὼς αὐτὸς λέγει· ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν, μικρὰ ἂν ἦν ἡ ὕπαρξις πρὸς τὴν πρόθεσιν· πλείων ἦν ἡ χορηγία τῆς φιλοξενίας παρὰ τὴν περιουσίαν τῆς εἰσόδου. πτωχὸς ἦν Ἰώβ. οὐκ ἐπαρκῶν τῇ προθυμίᾳ· καὶ πλούσιος μὲν ὑπῆρχε τῇ κτήσει, πτωχὸς δὲ πρὸς D τὴν δύναμιν τῆς προαιρέσεως. ἦν δὲ αὐτῷ, φησι, καὶ ἔργα μεγάλα ἐπὶ τῆς γῆς. ποῖα δὲ ταῦτα; φιλοπτωχία καὶ φιλοξενία. ἄκρα ταπείνωσις, ἐλεημοσύνη ἀνυπέρβλητος, καὶ ὅσα εἰς ἀρετὴν συντελεῖ. ἀλλ' ὁ μὲν οὕτως ἐκόμα οὐ τῷ πλούτῳ τῷ προσκαίρῳ μᾶλλον, ἀλλὰ τῷ τῆς εὐσεβείας. ἄλλος δέ τις σοφὸς κοινῶς ἐκλαμβάνων τὸν λόγον, νομίζει ἔργα μεγάλα εἶναι ἀμπελῶνας, καὶ ἐλαιῶνας, καὶ σπόριμα πλέ- E θρα, καὶ ὅσα τοιαῦτα. ἀληθῶς δὲ ἦν αὐτῷ ἔργα μεγάλα ἐπὶ τῆς γῆς κομῶντι τῷ ἐπουρανίῳ. ὁ δὲ διάβολος, ὅπερ ἔφθην εἰπὼν τῇ προτέρᾳ, ὑποπτεύσας ὁ παμμίαρος, ὅτι ὥσπερ αὐτῷ πλουτοῦντι, συνεπλούτησε καὶ ἡ ἀρετὴ, οὕτω καὶ πτωχεύσαντι συμπτωχεύσει καὶ τὰ τῆς ἀρετῆς, γυμνοῖ αὐτὸν τῶν κτεάνων, ἵνα γυμνώσῃ καὶ τῶν τῆς ἀρετῆς πλεονεκτημάτων. καὶ αἰτεῖται παρὰ τοῦ Θεοῦ τὸν κατὰ τοῦ δικαίου πειρασμὸν, ἵνα σὺ θαρσῶν λάβῃς, ὅτι οὐκ ἔχει δαίμων ἐξουσίαν κατὰ Χριστιανοῦ, οὐδὲ κατ' ἀνδρὸς φοβουμένου τὸν Θεὸν, ἐὰν μὴ ἐπιτροπὴ ἄνωθεν γένηται, ἢ διὰ παιδείαν, ἢ διὰ συγχώρησιν. Θεὸς γὰρ ὅταν ἐπάγῃ παιδευτήρια, ἢ δίκην ἀπαιτεῖ τῶν ἁμαρτημάτων, ἢ τὴν ἀρε-

τὴν

Digitized by Google

τὸ γυμνάζει τῶν θείων κατορθωμάτων. οὐκ ἠδυνήθη οὖν ὁ διάβολος πολεμῆσαι τῷ Ἰὼβ, ἕως ἐπετράπη παρὰ τοῦ Θεοῦ. καὶ μὴ θαυμάσῃς, ἀγαπητὲ, εἰ κατὰ τοῦ Ἰὼβ οὐκ εἶχε τὴν ἐξουσίαν, μὴ λαβὼν τὴν ἐπιτροπήν. οὐδὲ γὰρ κατὰ χοίρων ἔχει ἐξουσίαν. ἄκουε πῶς ὁ λεγεὼν παρεκάλει, λέγων· εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμᾶς ἀπελθεῖν εἰς τοὺς χοίρους. εἰ δὲ χοίρων οὐκ ἔχει ἐξουσίαν μὴ ἐπιτρεπόμενος, τῶν κατ' εἰκόνα Θεοῦ γεγονότων πῶς ἔχει ἐξουσίαν μὴ κελευόμενος; ἐγένετο, φησὶν, ἐν τῇ ἡμέρᾳ αὐτῇ, καὶ ἦλθον οἱ ἄγγελοι τοῦ Θεοῦ παραστῆναι τῷ Κυρίῳ, καὶ ὁ διάβολος ἔστη ἐν μέσῳ αὐτῶν. ἆρα οὖν σὺν τῇ ἀγγελικῇ λειτουργίᾳ πάρεστι καὶ ὁ διάβολος, καὶ ἐν μέσῳ τῶν ἁγίων πνευμάτων τὸ ἀκάθαρτον πνεῦμα πάρεστι; ἀλλ' οὔτε οἱ ἅγιοι ἄγγελοι τῷ Θεῷ παρίστησαν σωματικῶς, οὐδὲ ὁ Σατανᾶς σωματικῶς· ἀλλὰ πᾶσα ὑπουργία παράστασις λέγεται. ὥσπερ γὰρ ὁ Ἠλίας ἐπὶ τῆς γῆς πολιτευόμενος, τῷ Θεῷ παρεστάναι ἔλεγε· Ζῇ, φησὶ, Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον, οὐχ ὅτι ἐν οὐρανοῖς ἀνελθὼν παρέστη, ἀλλ' ὅτι τῷ θείῳ κελεύσματι διηκόνει. οὕτω καὶ διάβολος ἔστη, οὐκ ἐν τῷ οὐρανίῳ χορῷ, οὐδὲ ἐν ταῖς ὑπερκοσμίοις δυνάμεσιν, ἀλλ' ὡς κτίσμα Θεοῦ κελεύεται ποιεῖν τὰ καθήκοντα· καὶ ὅπως, ἄκουε. μὴ γάρ μου ἁρπάσῃς τὸ ῥῆμα, καὶ εἴπῃς· ἆρα ὑπηρέτῃ κέχρηται διαβόλῳ ὁ Θεός; ὥσπερ ἐπὶ τῶν ἀνθρωπίνων ἐξουσιῶν, εἰσὶ φανεροὶ στρατιῶται, οἱ ταῖς τιμαῖς διακονούμενοι, καί εἰσιν ὁμολογούμενοι στρατιῶται, οἱ πρὸς τὰς τιμωρίας ἀφωρισμένοι· οὕτω καὶ ἐνταῦθα πρὸς μὲν τὰς λειτουργίας τὰς ἀγαθὰς, καὶ τὰς ὑπὲρ τῶν ἀνθρώπων οἰκονομίας, ἄγγελοι ἅγιοι ἀποστέλλονται· πρὸς δὲ τὰς κατὰ τῶν ἀνόμων ἀνθρώπων τιμωρίας, δαίμονες ἀποστέλλονται. καὶ ὅπως, ἄκουε. ὅτε τῶν ἁγίων ἀγγέλων μέμνηται Παῦλος, φησίν· οὐχὶ πάντες λειτουργικὰ πνεύματά εἰσιν, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; ὅθεν δῆλον ὅτι οἱ μὲν ἅγιοι ἄγγελοι ὑπηρετοῦσι τῇ τῶν ἀνθρώπων σωτηρίᾳ· οἱ δὲ πικροὶ δαίμονες ταῖς κατὰ τῶν ἁμαρτωλῶν τιμωρίαις. ἐξαπέστειλε γὰρ, φησὶν ὁ Δαβὶδ, εἰς τοὺς Αἰγυπτίους θυμὸν, καὶ ὀργὴν, καὶ θλίψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν· οἱ τοίνυν πονηροὶ καὶ ἀκάθαρτοι δαίμονες, εἰ καὶ ἀφηνίασαν τῇ προθέσει, ἀλλ' ὑπὸ τὸν ζυγὸν κεῖνται τῆς δουλείας, καὶ κελεύονται ὡς δήμιοι πρᾶξαι τὰ προσταττόμενα. καὶ μὴ θαυμάσῃς, εἰ Θεὸς κελεύει δαίμοσιν· οἱ ἀπόστολοι ὡς δημίῳ κέχρηνται τῷ διαβόλῳ· λέγει Παῦλος· ἐπειδή τινες περὶ τὴν πίστιν ἠστόχησαν, τούτους παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. καὶ πάλιν, περί τινος ἐκπορνεύσαντος, καὶ δίκην ὀφείλοντος, τί φησιν ὁ αὐτὸς Παῦλος; συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ ἔκρινα τὸν οὕτω τοῦτο κατεργασάμενον, τοῦτον παραδοῦναι τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου. ἵνα γὰρ μὴ νομίσωσιν οἱ δαίμονες, ὅτι πάντῃ κατὰ τῆς θείας εὐθηνίας ἐτυράννησαν, κελεύονται καὶ ἄκοντες ποιεῖν τὰ προσταττόμενα. οὐ πράγματα εἰς εὐθηνίαν συντείνοντα, ἀλλὰ πράγματα εἰς τιμωρίαν φέροντα. οὐκ οἶδας καὶ τοὺς παρ' ἡμῖν ἄρχοντας, ὅταν μὲν μετὰ τιμῆς τινα καλῶσι, πῶς ἀποστέλλουσι τοὺς δρομεῖς, κούρσωρας καλουμένους Ῥωμαϊστί· ὅταν δὲ μετ' ἀτιμίας τινὰς ἕλκωσιν, ἑτέρους ἐκπέμπουσιν ἀπηνεῖς καὶ σκληροὺς στρατιώτας; οὕτω καὶ ὁ Θεὸς τοῖς μὲν ἁγίοις ἀποστέλλει διακόνους ἀγγέλους εἰς σωτηρίαν· ὅταν δὲ τιμωρήσασθαι βούληται, τοῖς δαίμοσιν ἐπιτρέπει. διὰ τοῦτο ὅτε ἀποφαίνεται κατὰ τοῦ Ἀχαὰβ ὁ Θεὸς, λέγει· τίς πορεύσεται καὶ ἀπατήσει τὸν Ἀχαὰβ, καὶ πεσεῖται, καὶ ἀπεκρίθη πνεῦμα πονηρὸν, ἰδοὺ ἐγώ. ᾔδει γὰρ ὅτι εἰς τοῦτο τέτακται ὁ διάβολος. [οἱ τοίνυν δαίμονες.] συγγνῶτέ μοι, παρακαλῶ, περὶ πραγμάτων γὰρ ἀοράτων καὶ οὐκ αἰσθητῶν διαλέγομαι. ἀλλ' οὐδ' ἂν ἀπ' ἀρχῆς ἐπεχείρησά τι περὶ τούτων εἰπεῖν, εἰ μὴ τὰς ἀφορμὰς ἐκ τῆς ἁγίας γραφῆς ἐδανειζόμην. οὐ γὰρ ἀνθρωπίνης ἐστὶν ἐννοίας μερίζειν τὰ ἀόρατα ἀπὸ τῶν αἰσθητῶν. ἀλλ' ἐπειδὴ οἷς εἶπεν ὁ Θεὸς ἀντειπεῖν οὐκ ἔστι, τοῖς γεγραμμένοις [οὖν] στοιχοῦμεν· κἂν θέλωμεν, κἂν μή. οἱ τοίνυν πονηρότατοι δαίμονες ἀποστέλλονται μὲν ἰδικῶς εἰσπράξοντες παρὰ τῶν πονηρῶν τιμωρίαν· ἀποστέλλονται δὲ καὶ πρὸς δικαίους, οὐχ ἵνα τιμωρήσωνται, ἀλλ' ἵνα πειράσωσιν. ἐπειδὴ γὰρ ἄγγελος ἅγιος ὑπουργῆσαι τῇ πείρᾳ οὐ κελεύεται [οὐδὲ γὰρ ὁ Θεὸς κελεύει τι ἀνάξιον ἀγγέλῳ] διὰ τοῦτο δαίμονες αὐτὴν ἐπιτρέπονται τὴν πεῖραν. καὶ μὴ θαυμάσῃς, εἰ πρὸς δικαίους δαίμονες ἀποστέλλονται· ἀνήχθη γάρ ποτε ὁ δεσπότης τῶν ἁπάντων ἀπὸ τοῦ Ἰορδάνου εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. εἰ τοίνυν τὸν Κύριον καὶ τὸν σωτῆρα τῶν ἁπάντων διάβολος ἐπείρασε, τί θαυμάσεις, εἰ κατὰ δικαίου εἰς γυμνάσιον ὑπομονῆς δαίμων ἀποστέλλεται; ἀποστέλλεται δὲ οὐ τοῦ Θεοῦ κελεύοντος, ἀλλὰ συγχωροῦντος. σχηματίζει δὲ ἡ γραφὴ ὡς ἐν προσωποποιΐᾳ τὸν λόγον. οὐ γὰρ φωνὴ παρὰ τοῦ Θεοῦ χωρεῖ πρὸς πονηρὸν δαίμονα, οὐδὲ καταξιοῦται ταύτης ἡ παραβάτης ἐκείνη πρόθεσις. φύσις γὰρ ἀγαθὴ, πρόθεσις δὲ κακή. οὐ καταξιοῦται τῆς ἀχράν-

tutem divinis profectibus exercet. Igitur diabolus Job debellare non potuit, quòd id permiſſum non fuit à Deo. Neque mireris, chariſſime, ſi adverſus Job non habuit poteſtatem, permiſſu non præveniente: neque enim adverſus porcos poteſtatem habet. Audi quomodo legio deprecabatur, dicens: *Si ejicis nos, permitte nos abire in porcos.* (Matt. 8, 31.) Si ergo in porcos non habuit non permiſſus poteſtatem, in his qui ad imaginem Dei formati ſunt, quomodo niſi permiſſus poteſtatem habet? Factum eſt autem ut eodem die & Angeli Dei venirent ut aſſiſterent Domino, & diabolus ſtetit in medio eorum. Ergo cum Angelico miniſterio aſſiſtit & diabolus, atque in medio ſanctorum ſpirituum immundus ſpiritus aſſiſtit. Sed neque Deo ſancti Angeli corporaliter aſtiterunt, neque Satan corporaliter: ſed omnis miniſtratio ſummi Dei, aſſiſtentia dicitur: quemadmodum Helias ſuper terram verſatus, Deo aſſiſtere dicebatur: ſic inquit, *Vivit Dominus cui aſſiſto in conſpectu ejus hodie*; (3. Reg. 17, 1.) non quia in cœlum aſcendens aſtiterit, ſed quòd divino præcepto miniſtrabat. Sic & diabolus aſtitit, non in cœleſti choro, neque cum ſupernis mundi potentiis: ſed ut Dei creatura, congruentia ſibi facere jubetur, & quomodo, audi: Neque enim meum arripueris verbum, & dixeris: Igitur diabolo miniſtro utitur Deus? Sicut enim in hominum poteſtatibus, manifeſti quidem ſunt milites, qui honoribus miniſtrando inſiſtunt, atque certiſſimi ſunt milites qui ad exigendas pœnas ſegregantur: Sic & hoc in loco ad miniſteria quidem bona, atque ad hominum diſpenſationes, ſancti Angeli: ad pœnas autem à malis hominibus exigendas dæmones tranſmittuntur. Et quomodo, audi: Cùm ſanctorum Angelorum meminit Paulus, ſic ait: *Nonne omnes adminiſtratorii ſunt ſpiritus, propter eos qui hæreditatem accipient ſalutis.*? (Heb. 1, 14.) Ex quo manifeſtum, ſanctos quidem Angelos hominum ſaluti miniſtrare: malos verò ſpiritus his quæ adverſus malos inferuntur pœnis. Miſit enim, inquit David, in Ægyptum iram, indignationem & tribulationem, immiſſionem per Angelos malos. (Pſ. 77, 49.) Pravi itaque & immundi dæmones, etſi propoſito defecerunt, jugo tamen ſervitutis ſubjacent: atque ut carnifices quidam jubentur mandata perficere. Et miraris Deum præcipere dæmoniis? Apoſtoli veluti carnifice utuntur dæmonio: dicit enim Paulus: *Quoniam ergo aliqui circa fidem exciderunt, hos tradidi Satanæ*, (1. Tim. 1, 20.) ut diſcant non blaſphemare. Et iterum de quodam, qui fuerat fornicatus, pœnámque debente, ipſe idem Paulus dicit: Congregatis autem vobis & ſpiritu meo, cum virtute Domini Jeſu judicavi eum, qui hoc ſic operatus eſt, tradere hujuſmodi Satanæ in interitum carnis, ut ſpiritus ſalvus ſit in die Domini noſtri Jeſu Chriſti. (1. Cor. 5, 4.) Nam ne putent dæmones adverſus divinam potentiam, tyrannico ſe prorſus more habere poſſe, jubentur etiam inviti mandata facere, non quidem res ſerias, atque ad ubertatem lætitiámque tendentes, ſed ad pœnam trahentes. Nónne & eos qui apud nos ſunt principes, vidiſti quomodo cum honore quidem quoſdam ad ſe vocari jubent, curſores Romana lingua vocatos, mittunt: quandoque verò cum dedecore alios emittunt crudeles, & duros milites: Sic & Deus ſanctis ſuis ad ſalutem Angelos mittit. Cùm verò punire vult; id dæmoniis permittit. Propterea Deo adverſus Achab ſententiam lauto, & dicente: *Quis ibit & decipiet Achab & cadet?* (3. Reg. 22, 20.) Reſpondit ſpiritus nequam: Ecce ego. Sciebat enim ad id ſe deputatum ipſe diabolus. Ignoſcite quæſo mihi, de inviſibilibus & non viſibilibus diſputanti. Sed neque ab initio quidem tale aggreſſi eſſemus, niſi occaſio nobis ex ſancta ſcriptura proceſſiſſet: neque enim humanæ eſt mentis inviſibilia à ſenſibilibus ſeparare: ſed quoniam his quæ Deus dixit, refragari, inquam, non eſt locus, cum ſcripturis incedimus, velimus nolimus, & innitimur: itaque peſſimi dæmones mittuntur quidem, præcipuè ad exigendas à malis pœnas. Mittuntur autem & ad juſtos, non ut puniant, ſed ut tentent. Quandoque ſanctus Angelus tentationi miniſtrare non jubetur: (neque enim Deus Angelo mandat quod indignum eſt Angelo) idcirco dæmoniis ipſa tentatio permittitur: nec mirum ſi dæmones ad juſtos mittuntur. Nam & omnium quandoque Dominus ab Jordane *in deſertum ductus eſt, ut tentaretur à diabolo*: (Matth. 4.) Si ergo omnium Dominum & ſalvatorem diabolus tentavit, quid mirum ſi contra juſtū pro patientiæ exercitatione dæmon tranſmittitur? Tranſmittitur non jubente Deo, ſed permittente. Figurat autem ſcriptura ſermonem, veluti in imitatione perſonarum. Non enim vox à Deo ad pravum dæmonem procedit, neque verò hac habetur digna prævaricatrix illa præſumptio. Natura enim bona, præſumptio verò mala. Non habetur impolluta illa

voce dignus. Quòd ſi dicas, quomodo diabolo dixit Deus? Di-
Pſal. 49,16. cam tibi ex parte Davidis: Peccatori dixit Deus, *quare tu enarras juſtitias meas?* Vocem ergo ad peccatorem fingit? non: ſed pro eo quod loquitur, per ipſas res ad indignos loquitur. Et, dixit Dominus ceto: nunquid ergo vocem emittens, aut mandata roborans? Mandavit Deus vermiculo matutino. Sic ſi ſermo figuravit Deum diabolo fuiſſe locutum, non ex honoris æqualitate proceſſit, inhonoratam hanc prævaricatricémque ſubſtantiam ad Domini conſpectum perductam: ſed ſteterunt Angeli juxta deſtinatum ordinem. Venit autem diabolus & aſtitit in medio Angelorum, uti diſcas Angeli quidem naturam ſuſcepiſſe, proditoris verò mentem oſtendiſſe. Nam diabolus non naturæ nomen, fratres, ſed præſumptionis: non enim diabolus factus à principio, ſed Angelus creatus eſt. Diabolus verò, quia detrahebat, & Deo apud homines, & apud Deum hominibus, appellatur, quaſi Deum contra homines, hominéſque contra Deum; Dominum adverſus ſervum irritans, & ſervum adverſus dominum. Cùm enim ſuggerit diabolus nobis, & dicit: Quot mala in mundo? ubi Deus? quare non dominatur? ſic detrahit conditori apud nos: illud enim negotii diabolo à principio fuit. Detraxit Deo apud Adam,
Gen. 3,5. dicens: *Scit enim Deus quòd in quocunque die comederitis ex eo, aperientur oculi veſtri, & eritis ſicut dii*: Invidens, inquit, Deus, vetuit ne manducaretis: quod detrahendo Deo apud Adam dixit. Hic & Job coram Deo detraxit, cùm dixit: Num gratis colit
Job. 1,9. Job Deum? videlicet quia ſub mercede id facit, non virtute; mercedem tibi beneficii rependit: aufer ei pecuniam, atque ejus propoſitum mutabitur. Cùm ergo vidit Deus juſtum injuria illius affectum, per illius verſutiam opes ejus tollit: quò ſuſpicionem auferat peccati, & nudatam pietatem oſtendat: ab vide pravi dæmonis propoſitum. Dixit, inquit, Dominus diabolo: Unde venis? Hic ſuperbus & tumens, neque ſui locum & ſtatum ſciens, neque interrogantis dignitatem, dicit: Poſtquam circuivi terram, & quæ ſub cœlo ſunt, perambulavi, adſum. Quaſi diceret hoſtis, his ſe quæ ſub cœlo ſunt dominari, & ab eo quoque terreſtria quæque calcari, atque ſub pedibus habere ſe univerſos
Job. 1,7. homines: Poſtquam circuivi terram, & perambulavi quæ ſub cœlo ſunt, adſum. Sed jam reſcinditur diaboli ſuperbia. Nam cum putavit ſe imagini Dei dominari, excluſus eſt de terra, ut non jam eandem perambulet; exultaréque ipſum facit omnium
Lev. 26,12. Dominus. Ipſe enim eſt, qui promiſit: *Habitabo in eis, & ambulabo, & ero eorum Deus.* Prius quidem perambulavit diabolus, tunc ſcilicet cùm idololatria undique diffuſa, cùm luxuria in Domino erat, cùm univerſa malitiæ germina pullulabant, perambulavit diabolus. Cùm autem ſanctitudo & veritas eſt apud eos, qui veritatem cuſtodiunt, Deus inhabitat, & perambulat. Attendiſti mente tua ergo, inquit, ſervum meum Job, quòd non ei ſimilis in terra, homo irreprehenſibilis, juſtus, verax, recedens ab omni malo? Poſtquam dixit, ea quæ ſub cœlo ſunt omnia perambulavi: atque ſic elatus eſt ſuperbia, tanquam univerſis dominaretur: hanc ſolvens Veritatis ſermo, dicit ad eum: Vidiſti hominem à te minimè ſupplantatum? quandoquidem dicis te omnibus dominari: vidiſti eum qui univerſam tui malitiam vicerit? vidiſti conculcantem te, qui omnes conculcas? vidiſti eum qui tuam ſolvit tyrannidem, atque iniquitatem juſtitia reſolvit, impietatémque pietate? Hic autem reſiſtens, Deo dicit: Num gratis colit te? objicit poſſeſſiones, ut ejus agendi rationem vituperet, & mores: & quò ſuſpicionibus ſpuriam & imbecillem ejus
Job. 1,11. oſtendat virtutem. Tu ei dediſti abundantiam: ſi nudetur, hypocriſis apparebit: dicit ei Deus: *Tange univerſa quæ habet.* Sciebat enim quoniam ad avaritiam inſatiabile propoſitum habet: ideo dicit: Ecce omnium do tibi poteſtatem, tantùm in eum manum non extendas, terminis circumſcribit malitiam diaboli. Cæterùm vide qualem tendit arcum adverſus juſtum, qualia mittit tela. Exivit, & primùm ipſe mali operator, ſemetipſum malorum nuntium præbet. Ipſe jumenta percutit, atque idem percuſſionem
Diabolus nuntius ad Iob. annonciat. Dixit namque, inquit, diabolus Job: Boves arabant, & aſinæ paſcebantur juxta eos, & irruerunt prædones, tuleruntque omnia, nec non & pueros percuſſerunt gladio, & ego ſolus evaſi ut annontiarem tibi. Prima diaboli tentatio, primum telum adverſus juſtum generoſúmque dimicatorem. Sed oppoſuit
Eph. 6,16. Job ex adverſo fidei umbone, qui potuit *omnia tela ignita nequiſſimi extinguere.* Juga boum perdidit, & anima non eſt diviſa. Aſinæ perierunt, nobiliſque pullus pietatis frenum non negavit. Vidit amaram nuntiationem perditionis poſſeſſionum, & permanſit veluti firma turris & inſuperabilis. Diabolum pravitate crudelem exiſtentem, crudeléinque facti propoſito, pœnituit ſic nuntiaſſe.

A τῆς φωνῆς. ἐὰν δὲ εἴπῃς, πῶς εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· ἐρῶ σοι ἀπὸ τοῦ Δαυΐδ· τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; ἆρα φωνὴν ἔρρηξε πρὸς τὸν ἁμαρτωλόν; οὐχί· ἀλλὰ δι᾽ ὧν φθέγγεται, δι᾽ αὐτῶν τῶν πραγμάτων λαλεῖ πρὸς τοὺς ἀναξίους. ἐπέταξεν ὁ Θεὸς τῷ κήτει. ἆρα φωνὴν ἐκπέμψας, ἢ προστάγματα νευρώσας; ἐκέλευσεν ὁ Θεὸς σκώληκι ἑωθινῷ. οὕτως ἐὰν σχηματίσῃ ὁ λόγος, ὅτι ὁ Θεὸς ἐφθέγξατο πρὸς τὸν διάβολον,
B μὴ ἐξ ἰσοτιμίας προσαγάγῃς τὴν ἄτιμον ταύτην καὶ παραβεβηκυῖαν πρόθεσιν [εἰσαγομένην] εἰς πρόσωπον τοῦ δεσπότου. ἀλλ᾽ εἱστήκασιν οἱ ἄγγελοι κατὰ τὴν διατεταγμένην ἀκολουθίαν· ἦλθε δὲ ὁ διάβολος, καὶ παρέστη ἐν μέσῳ τῶν ἀγγέλων· ἵνα μάθῃς ὅτι ἀγγέλου μὲν φύσιν ἔλαβε, προδότου δὲ πρόθεσιν ἐπεδείξατο. διάβολος γὰρ, ἀδελφοὶ, οὐ φύσεως ὄνομα, ἀλλὰ προαιρέσεως. διὰ τί διάβολος; οὐ γὰρ διάβολος ἐγένετο ἀπ᾽ ἀρχῆς, ἀλλὰ ἄγγελος ἐκτίσθη· διάβολος
C δὲ ὠνομάσθη, ὡς διαβάλλων καὶ Θεὸν ἀνθρώποις, καὶ ἀνθρώπους Θεῷ· καὶ ὡς ζυγκρούων δεσπότην πρὸς οἰκέτην, καὶ οἰκέτην πρὸς δεσπότην. ὅταν γὰρ ὑποβάλλῃ ἡμῖν ὁ διάβολος, καὶ εἴπῃ, πόσα κακὰ ἐν τῷ κόσμῳ; ποῦ ὁ Θεός; διὰ τί μὴ προΐσταται; διαβάλλει τὸν δημιουργὸν πρὸς ἡμᾶς. ἔργον γὰρ τοῦτ᾽ ἐξ ἀρχῆς τῷ διαβόλῳ. διαβάλλει τὸν Θεὸν πρὸς τὸν Ἀδὰμ, λέγων· ᾜδει ὁ Θεὸς, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, ἔσεσθε ὡς θεοί. βασκαίνων, φησὶν, ἐκώλυσεν ὑμᾶς ὁ Θεὸς τῆς βρώσεως. ἐκεῖ τὸν Θεὸν διαβάλλει πρὸς τὸν
D Ἀδάμ· ὧδε τὸν Ἰὼβ πρὸς τὸν Θεόν. μὴ γὰρ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; τουτέστιν, ὑπόμισθός ἐστιν, οὐκ ἐνάρετος· μισθόν σοι τελεῖ τῆς εὐεργεσίας. περίελε τὰ χρήματα, καὶ γυμνοῦται αὐτοῦ ἡ πρόθεσις. ἐπεὶ οὖν εἶδεν ὁ Θεὸς τὸν δίκαιον τῇ ὑπονοίᾳ ἐκείνου ὑβριζόμενον, περιαιρεῖ τὰ κτήματα, ἵνα περιέλῃ τὴν ὑποψίαν, καὶ γυμνὴν δείξῃ τὴν εὐσέβειαν. καὶ βλέπε τοῦ πονηροῦ δαίμονος τὴν πρόθεσιν. εἶπε, φησὶν, ὁ Κύριος τῷ διαβόλῳ· πόθεν παραγέγονας; εἶτα ὁ
E ὑπερήφανος καὶ ἀλαζὼν, καὶ μήτε τὴν ἑαυτοῦ τάξιν εἰδὼς, μήτε τοῦ ἐρωτῶντος τὴν ἀξίαν, λέγει· περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ᾽ οὐρανὸν, πάρειμι· μονονουχὶ βοῶν καὶ βουλόμενος δεῖξαι, ὅτι κρατεῖ τῆς ὑπ᾽ οὐρανὸν, ὅτι πάντα αὐτῷ πεπάτηται τὰ γήϊνα, ὅτι πάντας ὑπὸ πόδας ἔχει τοὺς ἀνθρώπους· περιελθὼν, ἔφη, τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ᾽ οὐρανὸν, πάρειμι. ἐκκόπτεται δὲ τοῦ διαβόλου ἡ ἀλαζονεία. ἐπειδὴ γὰρ ἐνόμισε κρατεῖν τῆς τοῦ Θεοῦ εἰκόνος,
A ἐκβάλλεται τῆς γῆς, ὥστε μηκέτι ἐμπεριπατεῖν· καὶ ἐξορίζει αὐτὸν ὁ πάντων δεσπότης. αὐτὸς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος, ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός. τὰ πρῶτα ἐμπεριεπάτει ὁ διάβολος· ὅτε μὲν γὰρ ἡ εἰδωλολατρεία ἐκέχυτο, ὅτε ἡ ἀσέβεια ἐκράτει, ὅτε πάντα τὰ τῆς κακίας ἤκμαζεν, ὁ διάβολος ἐμπεριεπάτει. ὅτε δὲ ἁγιωσύνη καὶ δικαιοσύνη καὶ ἀλήθεια παρὰ τοῖς φυλάττουσι τὴν ἀλήθειαν, ὁ Θεὸς ἐνοικεῖ καὶ ἐμπερι-
B πατεῖ. προσέσχες οὖν τῇ διανοίᾳ σου, φησὶ, κατὰ τοῦ θεράποντός μου Ἰώβ· ὅτι οὐκ ἔστι κατ᾽ αὐτὸν ἐπὶ τῆς γῆς, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος; ἐπειδὴ εἶπε, πᾶσαν περιῆλθον τὴν ὑπ᾽ οὐρανὸν, καὶ ἠλαζονεύετο ὡς πάντων κρατῶν, περιαιρῶν αὐτοῦ τὴν ἀλαζονείαν ὁ λόγος τῆς ἀληθείας, φησὶ πρὸς αὐτόν· εἶδες τὸν ἄνθρωπον τὸν ὑπό σου μὴ πεπατημένον, ἐπειδὴ πάντων, ὡς ἔφης, κρατεῖς; εἶδες τὸν πάσης σου τῆς κακίας
C κρατήσαντα; εἶδες τὸν πατήσαντά σε τὸν πατοῦντα πάντας, εἶδες τὸν ἐκλύσαντά σου τὴν τυραννίδα, καὶ τὴν ἀδικίαν ἐκλύσαντα τῇ δικαιοσύνῃ, καὶ τὴν ἀσέβειαν τῇ εὐσεβείᾳ; ὁ δὲ ἀνθίσταται τῷ Θεῷ, καὶ λέγει· οὐ δωρεὰν σέβεται. προσέθηκε τὰ κτήματα, ἵνα ὑβρίσῃ αὐτοῦ τὸν τρόπον, ἵνα ὑβρίσῃ αὐτοῦ καὶ τὸ ἦθος, ἵνα ταῖς ὑπονοίαις νόθον δείξῃ τὴν ἀρετήν. σὺ δέδωκας αὐτῷ, φησὶ, τὴν ἀφθονίαν· περίελε τὴν ἀφθονίαν, καὶ γυμνοῦται ἡ ὑπόκρισις. λέγει
D αὐτῷ ὁ Θεός· ἅψαι πάντων ὧν ἔχει. ᾔδει γὰρ ὁ Θεὸς, ὅτι ἀκόρεστον ἔχει τὴν πρόθεσιν εἰς πλεονεξίαν· καὶ λέγει· ἰδοὺ, πάντων δίδωμί σοι τὴν ἐξουσίαν, αὐτοῦ δὲ μόνον μὴ ἅψῃ. ὅροις περιορίζει τὴν κακίαν τοῦ διαβόλου. βλέπε λοιπὸν οἷον ἀποτείνει τόξον κατὰ τοῦ δικαίου, οἷα πέμπει βέλη. ἐξῆλθε, καὶ πρῶτον σχηματίζεται αὐτὸς ὁ τῶν κακῶν ἐργάτης, αὐτὸς ἑαυτὸν ἄγγελον τῶν κακῶν παρασκευάσας, αὐτὸς ἔπληξε τὰ κτήνη, καὶ αὐτὸς ἀπαγγέλλει τὴν πληγήν. εἶπε γάρ, φησιν, ὁ διάβο-
E λος τῷ Ἰώβ. τὰ ζεύγη τῶν βοῶν σου ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο, καὶ ἦλθον οἱ αἰχμαλωτεύοντες, καὶ κατέσφαξαν τοὺς παῖδάς σου, καὶ ὑπελείφθην ἐγὼ μόνος, καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. πρώτη πεῖρα τοῦ διαβόλου, πρῶτον βέλος κατὰ τοῦ γενναίου ἀθλητοῦ. ἀλλ᾽ ἀντέστησεν Ἰὼβ τὸν θυρεὸν τῆς πίστεως, τὸν δυνάμενον πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. τὰ ζεύγη τῶν βοῶν ἀπώλετο καὶ ἡ ψυχὴ οὐκ ἐμερίζετο. αἱ ὄνοι ἀπώλοντο, καὶ ὁ εὐγενὴς πῶλος τὸν χαλινὸν τῆς εὐσεβείας οὐκ ἠρνήσατο. εἶδεν ἀγγελίαν πικρὰν τῆς ἀπωλείας τῶν κτημάτων, καὶ ἔμεινεν ὡς ἀσφαλὴς πύργος καὶ ἀκαταγώνιστος. ὁ διάβολος πικρὸς ὢν τῇ κακίᾳ, καὶ πικρὸς ὢν τῇ προαιρέσει, μετεμελήθη

οὕτως

ὅτι μὴ ἀπαγγείλας. καὶ πρόσεχε ἀκριβῶς, παρακαλῶ, μή σε διαφύγῃ ἡ τοῦ πονηροῦ ἔννοια, ἣν καὶ ὁ ἀπόστολος ἀκριβῶς κατανοήσας, φησίν· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ὡς οὖν ἀπήγγειλεν αὐτῷ, ὅτι τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο, καὶ ἦλθον οἱ αἰχμαλωτεύοντες, εἶδε δὲ τὴν Ἰὼβ ψυχὴν γενναίως φέρουσαν τὴν ἀγγελίαν, μεταμελήθη ὅτι κακῶς ἀπήγγειλε, καὶ μονονουχὶ εἶπε πρὸς ἑαυτὸν ὁ διάβολος· κακῶς ἀπήγγειλα, εἰπὼν αὐτῷ ὅτι ἄνθρωποι αὐτῷ ἐπολέμησαν· δύναται λογίσασθαι, ὅτι οἱ ἄνθρωποι ἐπολέμησαν καί με ἠδίκησαν, τί πρὸς τὸν Θεόν; κακῶς, φησίν, ἐτόξευσα, οὐ κατὰ σκοποῦ ἔβαλον, ἀπέτυχον τῆς τέχνης, ἀπεπλανήθη τὰ βέλη. εἶπον ὅτι ἄνθρωποι ᾐχμαλώτευσαν· δύναται οὗτος εἰπεῖν, τί οὖν τὴν τῶν ἀνθρώπων ἀδικίαν Θεῷ ἐπιγράψω; ἄλλοι οἱ ἠδικηκότες, καὶ ἄλλος ἔσται ὁ βλασφημούμενος; ἵνα οὖν μεταγάγῃ αὐτοῦ τὴν διάνοιαν ἀπὸ τῶν ἀνθρώπων εἰς Θεόν, καὶ δείξῃ αὐτῷ οὐκ ἀνθρώπους καταβλάπτοντας, ἀλλὰ Θεὸν πολεμοῦντα, λέγει αὐτῷ· πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ· μὴ δύνῃ εἰπεῖν, ὅτι ἐχθροὶ ἔρριψαν ἄνωθεν; ὕβρισον τὸν ἀδικήσαντα, βλασφήμησον τὸν πολεμήσαντα. πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ· διὰ τί λατρεύεις τῷ ἀδικήσαντι; διὰ τί προσκυνεῖς τὸν ἀναλίσκοντά σου τὰ κτήματα; πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, ἤκουσεν ὁ Ἰώβ, καὶ πάλιν ἐνίκησε γενναίως. ἡ γὰρ ὑπομονὴ ἐκείνη, ἀληθῶς ὑπομονὴ ἦν, μέχρι τέλους παρατεταμένη. περὶ ἧς φησιν ὁ Σωτήρ· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ· καθ' ἡμέραν ἔκαμνε προσφέρων θυσίας ὑπὲρ τῶν τέκνων· ἃ καθ' ἡμέραν κάμνων προσέφερεν, ἀθρόως ὁ Θεὸς εἰς θυσίαν ἔλαβε. πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ· εἰ ἐγὼ μόνος ἐνεδυόμην, δικαίως ἤλγουν· εἰ δὲ πένητες ἐνεδύοντο, μὴ δύναται ὁ δεσπότης ἀμελῆσαι τῶν πτωχῶν. οἶδα ὅτι ἃ ἔλαβεν εἰς θυσίαν ἀποδίδωσιν εἰς τὸ πολλαπλάσιον. μὴ γὰρ ἐξ ἀδικίας συνήχθη τὰ κτήματά μου; μὴ γὰρ ἀπὸ πλεονεξίας ἐκτησάμην τὰ προσόντα; ἐκ τῶν κουρῶν τῶν προβάτων μου ἐθερμάνθησαν ὦμοι πενήτων, καὶ στόμα χήρας εὐλόγησέ με. οἶδε τί ποιεῖ ὁ Θεός· νῦν ἔλαβέ μου τὴν ὕπαρξιν, ὡς θυσίαν· πολλαπλασιάσει δέ μοι τὴν οὐσίαν εἰς πλεονασμὸν ἀρετῆς. οὐ σαλεύει με τὰ ἔξωθεν βέλη τὸν ἔσωθεν ὠχυρωμένον· στηρίζει δέ με μᾶλλον ἔνδοθεν τὰ τοῦ Θεοῦ βέλη. τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα· περὶ ὧν ἔλεγε Δαβίδ, ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι. τὰ βέλη, ποῖα; βέλος εὐσεβείας, βέλος δικαιοσύνης, βέλος πόθου πρὸς Θεόν, βέλος ζήλου ἀρετῆς· τούτοις τοῖς θείοις βέλεσιν ἡ ψυχὴ τιτρώσκεται. ὡς οὖν πᾶσαν πεῖραν προσαγαγὼν ὁ διάβολος, καὶ τῶν κτημάτων γυμνώσας, τῆς δὲ ἀρετῆς οὐκ ἐγύμνωσε, χωρεῖ λοιπὸν ἐπὶ τὴν φύσιν, καὶ τὴν γεωργίαν τῆς φύσεως βιάζεται, καὶ ἀποσπᾷ τοὺς κλάδους ἀπὸ τῆς ῥίζης, καὶ συντρίβει τοὺς παῖδας τοῦ καλοῦ ἀγωνιστοῦ. περικόπτει τὸν καρπόν, ἵνα λυπήσῃ τὸν γεννήσαντα. καὶ τί ποιεῖ; βλέπε καὶ τὴν ἀγγελίαν τοῦ πονηροῦ, πῶς μεστὴ μέν ἐστιν εἰρωνείας, καὶ εἰς γοητείαν ῥέπουσα, καὶ καταβαλεῖν τὴν ψυχὴν τοῦ γενναίου δυναμένη. λέγει οὖν αὐτῷ· τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων ἐν τῇ οἰκίᾳ τοῦ πρεσβυτέρου σου υἱοῦ, ἦλθε πνεῦμα μέγα ἐκ τῆς ἐρήμου, καὶ συνέσεισε τὸν οἶκον, καὶ ἔπεσεν ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν. καὶ τὸ ῥῆμα ὑποκοριστικόν, δυνάμενον ἐγεῖραι πένθος. οὐκ εἶπεν, ἐπὶ τὰ τέκνα σου, ἀλλά, ἐπὶ τὰ παιδία· ἵνα τῶν παίδων ἀκούσας, εἰς οἶκτον ἔλθῃ, ἵνα καμφθῇ πρὸς συμπάθειαν. ἦλθε πνεῦμα μέγα ἐκ τῆς ἐρήμου. πάλιν τὸν κριτὴν διαβάλλει· πνεῦμα γὰρ οὐκ ἀνθρώποις ὑπακούει, ἀλλὰ τῷ Θεῷ. ἔπεσεν ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν. τότε Ἰὼβ ἀνέστη· οὕτω γὰρ γέγραπται. καλόν, τὸ ἀνέστη. οὐ γὰρ κατέπεσε τῇ πληγῇ, ἀλλ' ἀνέστη τῇ δυνάμει τῆς εὐσεβείας· ἀνέστη, καὶ προσεκύνησε. μισθὸς συμφορῶν ἡ προσκύνησις. τυπτόμενος εὐλογεῖ· συμφοραῖς βαλλόμενος, εὐχαριστεῖ, καὶ περιέκειρε τὴν κόμην. νῦν ἐφ' ἡμῶν τῶν πενθούντων πολλοὶ τρέφουσι κόμην, ἐκεῖνος δὲ περιέκειρε. διὰ τί; τῷ πενθοῦντι τὸ σπουδαζόμενον, εἰς τὸ ἐναντίον σχῆμα μεταστῆσαι τὴν κατάστασιν· ὅπου οὖν τιμᾶται κόμη, σημεῖον πένθους τὸ μὴ κείρεσθαι· πανταχοῦ γὰρ τὸ ἐναντίον ζητεῖται σχῆμα ἀπὸ τῶν πενθούντων. καὶ διέῤῥηξε τὰ ἱμάτια. τῷ μὲν σχήματι πρὸς τὸ πάθος ἀποσυρόμενος, τῷ δὲ πράγματι πρὸς τὴν ἀρετὴν ἀποδυόμενος. ἀποδύεται τὸ ἱμάτιον, ἵνα ὡς γυμνὸς ἀθλητὴς περιπλακῇ τῷ ἀντιπάλῳ, καὶ ἐξ ἀνεπιλήπτου πάλης βραβεύσῃ τὴν δικαιοσύνην. ἀπεδύσατο τὸ ἱμάτιον ὁ ἐνδεδυμένος τὴν δικαιοσύνην· καί φησιν ὁ μέγας λαμπτὴρ τῆς εὐσεβείας· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ὢ γενναίας ψυχῆς· αὕτη ἡ φωνὴ βέλος ἐγένετο κατὰ τοῦ διαβόλου, αὕτη ἡ φωνὴ βέλη κατὰ τῶν δαιμόνων ἀπέστειλεν, ἔρρηξε τὴν φάλαγγα τῶν ἐναντίων. γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. ἀποστολικὴ ἡ φωνὴ πρὸ τῶν ἀποστολικῶν χρόνων ἀνδρειζομένη· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός, γυμνὸς καὶ ἀπελεύσομαι. ὡς ὁ ἀπόστολος· οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον· δῆλον, ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφ-

Atque diligenter attende, obſecro, ne te pravitatis ejus intentio fugiat: quam & Apoſtolus proſpiciens, *Non enim*, inquit, *ignoramus verſutias ejus.* 2.Cor.2,11 Ut ergo nuntiavit ipſi, quòd & juga boum arabant, & aſinæ paſcebantur, & venerunt prædones: vidit autem Job auditam rem tolerare generoſo animo, pœnituit quòd malè nuntiaverat; & ad ſemetipſum ferme converſus, dixit diabolus: Malè nuntiavi, dicens homines cum ipſo pugnare. Poteſt ex hoc iſte cogitare, quoniam ſi me homines expugnaverunt, affecerúntque, quid hoc ad Deum attinet? Malè, inquit, jaculatus ſum, ſcopo aberrans, ſagittæ in emiſſione fefelli, erraverunt tela. Dixi quòd venerunt prædones. Poteſt hic dicere, Quid, ergone hominum injuriam Deo attribuam? alii qui injuriam intulerunt, & alius erit, cujus nomini detraham? Ut ergo ab hominibus ejus mentem ad Deum traducat, atque oſtendat non homines, ſed Deum bellum ſuſcipere, dicit ei: Ignis de cœlo cecidit: Nunquid dicere potes hoſtes deſuper immiſiſſe? eum affice contumelie, qui injuriam intulit, ejus nomini detrahe, qui te oppugnat. Ignis de cœlo cecidit. Quare ergo ſervis injurianti? quare tu facultates tuas conſumentem adoras? Ignis de cœlo cecidit: audit Job, & iterum fortiter ſuſtulit: nam patientia illa vera patientia erat uſque in finem producta, de qua inquit Salvator: *Qui autem ſuſtinuerit uſque in finem, hic ſalvus erit.* Matth.10,22 Ignis de cœlo cecidit: quotidie laborabat offerens pro liberis ſacrificium. Quod quotidie laborans ferebas, repentè ſimul Deus in ſacrificium ſuſcepit: *Amiſſum obtulit Iob pro ſacrificio.* Ignis de cœlo cecidit: ſi ego ſolus indutus eſſem, juſtè dolerem: ſi eum pauperes induebantur, nunquid poterit Deus pauperes perſpicere? novi quoniam eorum quæ in ſacrificium ſuſcepit, reddet centuplum: num enim ex iniquitate partæ ſunt opes? num enim per avaritiem opes acquiſivi? *Ex velleribus ovium mearum calefacti ſunt humeri pauperum: os viduæ benedixit mihi.* Job.29.13 Scit quid faciat Dominus, nunc veluti ſacrificium meam eccipit ſubſtantiam, eandem mihi augebit cum additamento virtutis: non me movent exteriores ſagittæ interioribus vallatum, confirmant magis intrò Dei ſagittæ; ſagittæ enim potentis acutæ, de quibus dicebat David: *Quoniam ſagittæ tuæ infixæ ſunt mihi*, Pſal.37,2 quales ſagittæ? Sagittæ pietatis, ſagittæ juſtitiæ, ſagittæ deſiderii ad Deum, ſagittæ zeli virtutis. His divinis ſagittis anima vulneratur. Ubi autem omnem induſtriam adhibens diabolus, & poſſeſſionibus illum nudans, virtute minimè nudavit, refugit de cætero ad alienam naturam, agriculturámque naturæ violat, & ramos à radice divellit, boníque luctatoris liberos opprimit, tollitque eis culatim fructus, quò genitorem triſtitia afficiat. Et quid facit? reſpice pravi nuntiationem, quomodo eſt ironia plena, atque ad ſeductionem repens, potenſque illius generoſi animum frangere, dicit ergo ei: *Filiis tuis & filiabus veſcentibus & bibentibus vinum in domo fratris ſui primogeniti, repentè venit ventus vehemens, irruit è deſerto, & concuſſit quatuor angulos domus, quæ corruens oppreſſit pueros tuos, & mortui ſunt.* Job.1,18 En verbum diminutivum quod pollet excitare fletum, non dixit ſuper liberos tuos, ſed ſuper pueros: ut ſimul audiens, miſericordia vulneretur, atque miſerebundus compaſſione flectatur. Venit ſpiritus magnus è deſerto: iterum judici detrahit. Spiritus enim non hominibus, ſed Deo eſt ſubditus. Corruens oppreſſit pueros tuos, & mortui ſunt. Tunc Job ſurrexit: ſic enim ſcriptum eſt. Bonum verbum, ſurrexit: non enim ſuccubuit vulneri, ſed ſurrexit pietatis virtute. Surrexit & adoravit. Merces calamitatum, adoratio, pulſatus ærumnis benedicit, oppreſſus gratias agit, & circumtondit comam. Nunc inter nos flentes multi nutriunt comam, ille autem abſcidit. *Job totondit comam* Quare? Id nimirum eſt propoſitum ei qui flet, ut contrariam in formam conſtituat habitum. Ubi enim honoratus coma, ſignum eſt fletus [tonderi: ubi verò tondetur, ſignum fletus eſt,] non tonderi. Ubique enim à flentibus contraria ſumitur figura. Et ſcidit tunicam ſuam, Figurâ quidem ipſa ad dolorem tractus; reverà ad virtutis exercitium exutus. Exuitur tunica: ut veluti nudus luctator, eſtantem adverſarium complectatur, atque mirabili lucta pro bravio juſtitiam reportet. Job.1,21 Exuit tunicam juſtitia veſtitus. Et inquit magnus iſte religionis ſplendor: *Dominus dedit, Dominus abſtulit, ſicut Domino placuit, ita factum eſt, ſit nomen Domini benedictum in ſecula.* O nobilem animam. Eadem ipſe vox ſagitta diabolo fuit, hæc eadem vox adverſus dæmonis tela jaculata eſt: fregit hoſtium aciem. Nudus exivi de utero matris meæ, & nudus revertar illuc. Apoſtolica vox ante tempora Apoſtolorum virtutis ad profectum veniens: Ibidem. Nudus exivi de utero matris meæ, & nudus revertar. Quemadmodum Apoſtolus inquit: *Nihil intulimus in hunc mundum, manifeſtum quoniam nihil efferre poſſumus.* 1.Tim.6,7 Dominus dedit, Dominus abſtulit,

A Omnia, ut brevibus utar verbis, ablata ſunt, ſola uxor relicta eſt,
antiquum diaboli organum, relicta eſt uxor, non quòd ei parce-
Gen. 3. ret diabolus, ſed quòd ſibi ipſi tela ſervaret. Quoniam quidem
ſciebat, quod per mulierem primum hominem ſubegerat, ideo
mulierem ſibi reſervat, qua ad inſidias, ut eiſdem armis utatur:
ſed ibi Adam invenit, hic autem Adam non invenit: ibi Adam in-
venit & Evam, hic Evam invenit, Adam verò non invenit. Dicit
ei mulier, quouſque tu ſuſtinebis? verè diaboli verba ſunt hæc:
B Quouſque, vox eſt ejus qui torquetur. Ego torqueor, tu dicis,
quouſque: ego flagellor, túque ad plagas flagellati obtorpeſcis,
Quouſque ſedes expectans de die in diem ſalutem tuam? Invitè
diabolus Juſti virtutem laudat, prædicat ejus patientiam, quo-
Job. 1. 9. niam ſub ſpe certavit. Quouſque, exinde vide ſcribentis ſapien-
tiam. Et proſpiciens in eam Job, dixit. non dixit, attendens ipſam,
ſed proſpiciens. Quare? ignorabat namque ſuam uxorem? nonne
cum ea vixerat? nonne ex eadem liberos genuerat? Quare ergo
C proſpexit? proſpicere oſtendit, quòd non eam vidit, ſed eum qui
in ea erat; diabolum Job cognoſcebat, qui in ſerpente fuerat lo-
Job. 2. cutus, & nunc in muliere loquentem: & dicit: Ut quid quaſi una
de ſtultis locuta es? quare non dixit, quaſi una de impiis, quaſi
una de infidelibus? Sciebat enim eam non infidelem, ſed ad inſi-
pientiam ſimul abreptam. Secus autem atque aliter, fratres,
Pſal. 13. 1. 52. 1. Deum neganti inſipientis nomen tribuitur. *Dixit enim*, inquit,
inſipiens in corde ſuo, non eſt Deus. Quaſi una de ſtultis, veluti ſi
D quis diceret, quaſi Eva locuta es. deinde, Si bona ſuſcepimus de
manu Domini, mala quare non ſuſtineamus? O nobilem ani-
mam, hic mihi ejus animam proba: Non novit Job ſe pro vir-
tute certare. non novit ſe pro patientia coronandum, ſed exiſti-
mavit eſſe tantummodo calamitatem à Deo illatam. Mala eſſe
putavit, atque mala perpeſſus, blaſphemavit. Quòd ſi mala eſſe
putans ſic certavit: ſi noviſſet coronam, multò magis certaſſet.
Quare ergo præveniens Deus ipſi non dixit; Vide quam rem
E agis, futurum eſt ut tibi prælium per diabolum paretur; futurum
eſt ut adverſum te armetur: decerta, potenter age, ut ne tuam
mentem evertat, ne ſacrilegii more tuos diripiat cogitatus, ne
tuam animam obſideat: confortare neque alienum id eſſe dicas,
luctam & agonem dimicatori denunciare. Nam Petro dicit Do-
Luc. 22. 31. minus: *Petre ecce expetivit vos Satanas, ut cribraret ſicut triti-*
cum. Apoſtolis prædicit tentationes. Job autem tentationem
& dimicationem non prædicit: nunquid iniquitas apud Deum?
A abſit. quibuſdam animum addit, quoſdam deſerit. Cur autem
non ſicut Apoſtolos ita Job admonet? Sciebat enim Deus diabo-
li malitiam, ſciebat invidiam, ſciebat verſutiam, quæ inficere vir-
tutem poterat: ſi dixiſſet ei Deus, Cave tibi ipſi, & certa: ſi ſuſti-
nueris in finem, ſubſtantiam tibi duplo magis reſtituam, regnum
cœlorum hæreditabis, immortalitatis accipies coronam, univer-
ſus orbis tuis laudibus reſonabit: Si hoc dixiſſet, certaſſet uti-
B que juſtus, ſed iterum diabolus occaſionem cepiſſet. Et ſi quidem
certans ille viciſſet, Deo dixiſſet: Nunquid gratis certavit? pro-
miſiſti ei immortalitatem, promiſiſti regnum, promiſiſti coro-
nam. Si enim qui temporalia ex ejuſmodi conſequitur, non uti-
que juſtus, ſed quaſi mercenarius habetur: ſi cœleſtium promiſ-
ſionem accepiſſet, num diabolo multò major accepiſſet occaſio?
ſed occultat coronas, ut certamina patefaciat, occultat præmia,
Apoſtolis quare prædicta tentatio. ut certatorem conſpicuum reddat. Quare ergo, inquis, & Apo-
C ſtolis non occultavit? Si enim non dixit Job, quare ratione pari
Apoſtolis dimicationem non tacuit? Solus Job certavit, pro ſe-
metipſo laboravit, pro ſemetipſo deſudavit: Apoſtoli autem
erant præcones terræ, orbiſque doctores: ipſis occultari pote-
rat, ſed res mundo detrimentum fuiſſet. Poterat Paulus ſine
coronæ promiſſione certare: Poterat Petrus ſine promiſſione
viriliter agere: Poterant Apoſtoli nulla bonorum accepta
promiſſione, à virtutis partibus ſtare. Sed non ubique Pau-
D lus, non ubique Petrus. Multorum animæ infirmæ ſunt,
multorum mentes vacillant. Si enim hodie regno prædicato,
fruitione futurorum bonorum, Angelica converſatione, pa-
radiſi deliciis, multi promiſſa deſpiciunt, ad præſentia
anhelantes; cùm de repromiſſis tacitum fuiſſet, quis ad
pietatem evolaſſet? Meritò ergo, fratres, Job ventura
non oſtendit, ut conſtantius ejus propoſitum oſtendat: Apo-
ſtolis autem futura promittit, quò auditorum animum ex-
E citet, quò mundi roboret mentem. Multi nunc regnum & au-
diunt, & deſpiciunt, multi Christum expectant, & nequi-
tiam pravitatémque induunt, multi à malitia non recedunt,

A σιλεῖτο. πάντων περιῃρέθη [ἵνα συντέμω] καὶ ἡ γυνὴ μόνη ὑπελέ-
λειπτο, τὸ ἀρχαῖον ὄργανον τοῦ διαβόλου, ἡ γυνὴ ὑπολέλειπτο, οὐ
φεισαμένου τοῦ διαβόλου, ἀλλ' ἑαυτῷ τὸ ὅπλον τηρήσαντος. ἐπειδὴ
γὰρ ᾔδει, ὅτι διὰ γυναικὸς τὸν πρῶτον ἄνθρωπον κατηγωνίσατο, φυ-
λάττει τὴν γυναῖκα, ἵνα τῷ ὁμοίῳ ὅπλῳ χρήσηται πρὸς τὴν ἐπιβουλήν.
ἀλλ' ἐκεῖ μὲν εὗρε τὸν Ἀδάμ, ὧδε δὲ τὸν Ἀδὰμ οὐχ εὑρίσκει. ἐκεῖ τὸν
Ἀδὰμ εὗρε καὶ τὴν Εὔαν· ὧδε δὲ τὴν μὲν Εὔαν εὗρε, τὸν δὲ Ἀδὰμ οὐχ εὗρε.
B λέγει αὐτῷ ἡ γυνή, ἕως τίνος καρτερήσεις; τὰ ῥήματα ἀληθῶς τοῦ
διαβόλου. τὸ γάρ, ἕως τίνος, βασανιζομένου ἐστὶν ἡ φωνή. ἐγὼ βασα-
νίζομαι, καὶ σὺ λέγεις ἕως τίνος; ἐγὼ τύπτομαι, καὶ σὺ ναρκᾷς πρὸς
τὰς πληγὰς τοῦ βασανιζομένου; ἕως τίνος κάθησαι περιμένων ἡμέ-
ραν ἐξ ἡμέρας τὴν σωτηρίαν; ἄκων ὁ διάβολος τὴν ἀρετὴν τοῦ δικαίου
ἀνυμνεῖ· κηρύττει αὐτοῦ τὴν ὑπομονήν, ὅτι ἐλπίδι ἠγωνίζετο. ἕως τί-
νος; εἶτα βλέπε τὸ σοφὸν τοῦ συγγραφέως. καὶ ἐμβλέψας αὐτῇ, φη-
C σίν, Ἰὼβ εἶπεν. οὐκ εἶπε, προσχὼν αὐτῇ, ἀλλ', ἐμβλέψας· ἐμβλέ-
ψας, διὰ τί; ἠγνόει γὰρ τὴν ἑαυτοῦ γυναῖκα; οὐκ αὐτῇ συνέζησεν; οὐκ
ἐξ αὐτῆς ἐτεκνώσατο; διὰ τί οὖν ἐνέβλεψε; τὸ ἐμβλέψας δείκνυσιν,
ὅτι οὐκ αὐτὴν βλέπει, ἀλλὰ τὸν ἐν αὐτῇ. ἐνέβλεψε τῷ διαβόλῳ ὁ
Ἰώβ· εἶδε τὸν ἐν τῷ ὄφει λαλήσαντα, καὶ νῦν ἐν τῇ γυναικὶ λαλοῦν-
τα. καὶ λέγει· ὡς μία τῶν ἀφρόνων ἐλάλησας. διὰ τί οὐκ εἶπεν, ὡς
μία τῶν ἀσεβῶν; ὡς μία τῶν ἀθέων; ᾔδει αὐτὴν οὐκ ἄθεον οὖσαν, ἀλλ'
D ὑπ' ἀφροσύνης συναρπασθεῖσαν· ἄλλως δέ, ἀδελφοί, κυρίως
τῷ τὸν Θεὸν ἀρνουμένῳ ἡ τοῦ ἄφρονος δίδοται φωνή. εἶπε γάρ, φη-
σιν, ἄφρων ἐν τῇ καρδίᾳ, οὐκ ἔστι Θεός. ὡς μία τῶν ἀφρόνων· ὡς
εἴ τις ἔλεγεν, ὡς ἡ Εὔα ἐλάλησας. εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χει-
ρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ὢ γενναίας ψυχῆς. ἐνταῦθά
μοι δοκίμασον αὐτοῦ τὴν ψυχήν. οὐκ ᾔδει Ἰώβ, ὅτι ὑπὲρ ἀρετῆς ἠ-
γωνίζετο· οὐκ ᾔδει ὅτι ὑπὲρ ὑπομονῆς στεφανοῦται· ἀλλ' ἐνόμιζεν
E ἁπλῶς συμφορὰν εἶναι θεήλατον· κακὰ εἶναι ἐνόμισε, καὶ κακὰ
νομίσας, οὐχ ὡς ὑπὲρ κακῶν ἐβλασφήμησεν. εἰ δὲ κακὰ νομίσας
οὕτως ἠγωνίσατο, εἰ ᾔδει τὸν στέφανον, οὐ πολλῷ μᾶλλον ἠγωνίζετο;
ἀλλὰ διὰ τί οὐ προλαβὼν εἶπεν αὐτῷ ὁ Θεός, ὅρα τί ποιεῖς; ὁ διά-
βολος μέλλει παρατάττεσθαί σοι, μέλλει κατὰ σοῦ ὁπλίζεσθαι. ἀγω-
νίζου, ἴσχυε, ἵνα μή σου περιτρέψῃ τὴν διάνοιαν, ἵνα μή σου συλήσῃ
τοὺς λογισμούς, ἵνα μή σου πολιορκήσῃ τὴν ψυχήν· ἴσχυε. καὶ μὴ νο-
A μίσῃς ὅτι ἀνοίκειον Θεῷ τὸ παραγγεῖλαι τῷ ἀθλητῇ τὴν πάλην. τῷ
γὰρ Πέτρῳ λέγει ὁ Κύριος, Πέτρε, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑ- "
μᾶς σινιάσαι ὡς τὸν σῖτον. τοῖς ἀποστόλοις προλέγει τοὺς πειρα- "
σμούς, τῷ δὲ Ἰὼβ οὐ προλέγει τοὺς πειρασμούς, οὐδὲ τὴν ἄθλησιν. μὴ
ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. τοὺς μὲν παραθαρσύνει, τοὺς δὲ
καταλιμπάνει. διὰ τί μὴ λέγει αὐτῷ, ὡς τοῖς ἀποστόλοις; ᾔδει ὁ Θεὸς
τοῦ διαβόλου τὴν κακουργίαν, ᾔδει τὸν φθόνον, ᾔδει τὴν ὑπόνοιαν δυναμέ-
B νην ἀμβλῦναι τὴν ἀρετήν. εἰ εἶπεν αὐτῷ ὁ Θεός, πρόσεχε σεαυτῷ
καὶ ἀγώνισαι· ἐὰν ὑπομείνῃς εἰς τέλος, τὰ ὑπάρχοντά σοι εἰς
τὸ διπλάσιον ἀποδίδωμι, βασιλείαν οὐρανῶν κληρονομήσεις. στε-
φάνους ἀθανασίας δέξῃ, μεστὴ τῶν ἐγκωμίων τῶν σῶν καὶ τῶν ἐπαίνων
ἡ οἰκουμένη πᾶσα γενήσεται. εἰ ταῦτα εἶπεν, ἠγωνίζετο μὲν ἂν ὁ δί-
καιος· ὁ δὲ διάβολος πάλιν ἀφορμὴν ἐλάμβανε· καὶ εἰ μὲν ἀγω-
νισάμενος οὕτως ἐνίκησεν, ἔλεγε τῷ Θεῷ, μὴ γὰρ δωρεὰν ἠγωνί-
C σατο; ἐπηγγείλω αὐτῷ ἀθανασίαν, ἐπηγγείλω βασιλείαν, ἐπ-
ηγγείλω στεφάνους. εἰ τοίνυν τῶν προσκαίρων λαβὼν τὴν ἀπόλαυσιν,
ὑπενοήθη οὐχ ὡς δίκαιος, ἀλλ' ὡς ὑπομίσθιος· εἰ ἔλαβε τὴν αἰω-
νίων τὴν ὑπόσχεσιν, οὐ πολλῷ μᾶλλον ὁ διάβολος ἀφορμὴν ἐλάμ-
βανεν; ἀλλὰ κρύπτει τοὺς στεφάνους, ἵνα γυμνώσῃ τοὺς ἄθλους. κρύ-
πτει τὸ βραβεῖον, ἵνα δείξῃ τὸν ἀθλητήν. διὰ τί οὖν, φησί, καὶ τοῖς
ἀποστόλοις οὐκ ἔκρυψεν; εἰ γὰρ διὰ τοῦτο οὐκ εἶπε τῷ Ἰώβ, διὰ τί μὴ
D τῷ αὐτῷ τρόπῳ καὶ ἐπὶ τῶν ἀποστόλων ἐσιώπησε τὸν ἆθλον; Ἰὼβ μό-
νος ἠγωνίζετο, ὑπὲρ ἑαυτοῦ ἔκαμνεν, ὑπὲρ ἑαυτοῦ ἠγωνίζετο· οἱ δὲ
ἀπόστολοι κήρυκες ἦσαν τῆς γῆς καὶ διδάσκαλοι τῆς οἰκουμένης. αὐ-
τοῖς μὲν οὖν κρύψαι ἠδύνατο, ἀλλὰ τῷ κόσμῳ ζημία τὸ πρᾶγμα
ἐγίνετο. ἠδύνατο Παῦλος ἄνευ στεφάνων ἐπαγγελίας ἀγωνί-
σασθαι, ἠδύνατο Πέτρος ἄνευ ἐπαγγελίας ἀνδρίσασθαι, ἠδύναν-
το οἱ ἀπόστολοι μὴ δεξάμενοι ἐπαγγελίαν ἀγαθῶν ὑπὲρ ἀρε-
E τῆς ἀγωνίσασθαι· ἀλλ' οὐ πανταχοῦ Παῦλος, οὐ πανταχοῦ Πέ-
τρος· πολλῶν ἀσθενοῦσιν αἱ ψυχαί, πολλῶν ὀκλάζουσιν αἱ διά-
νοιαι. εἰ γὰρ σήμερον βασιλείας κηρυττομένης, μελλόντων ἀγαθῶν
ἀπολαύσεως, συνδιαιτήσεως ἀγγελικῆς, τῆς ἐν παραδείσῳ τρυ-
φῆς, καταφρονοῦσι τῶν ἐπηγγελμένων πολλοί, προσεστηκότες πρὸς τὰ παρόντα· εἰ πάντως ἐσιωπήθη, τίς ἂν προσέδραμε τῇ εὐσε-
βείᾳ; εἰκότως οὖν, ἀδελφοί, τῷ μὲν Ἰὼβ οὐ δείκνυσι τὰ μέλλοντα, ἵνα στερροτέραν δείξῃ τὴν πρόθεσιν αὐτοῦ· τοῖς δὲ ἀποστό-
λοις ἐπαγγέλλεται τὰ μέλλοντα, ἵνα τῶν ἀκροατῶν διεγείρῃ τὰς ψυχάς, ἵνα τῆς οἰκουμένης νευρώσῃ τὴν διάνοιαν. πολλοὶ νῦν
ἀκούουσι περὶ βασιλείας, καὶ καταφρονοῦσι, πολλοὶ Χριστὸν ἐκδέχονται, καὶ πονηρίαν ἐνδύονται. πολλοὶ κακίας οὐκ ἀναχωροῦσι·

ἡμεῖς

τιμῶσι πολλοὶ σήμερον τὰς νηστείας, καὶ λέγουσι· σήμερον οὐδὲν λέγω τῷ ἀντιδίκῳ μου. παρέλθοι ἡ ἡμέρα τοῦ πάθους τοῦ Χριστοῦ, καὶ γυμνάσω τὴν δίκην, ἐκδικῶ τὴν ὕβριν, ποιῶ πολλά. οὐκοῦν ἀδελφὸς εἶ τοῦ Ἡσαῦ, ταῦτα ἐνθυμούμενος· ταῦτα λέγεις, ἃ εἶπεν Ἡσαῦ. καὶ γὰρ Ἡσαῦ ἠθέλησε φονεῦσαι τὸν ἀδελφόν, ἀλλὰ τὸν πατέρα ᾐδεῖτο. καὶ τί εἶπεν; ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ τότε φονεύσω τὸν ἀδελφόν μου. παρέλθῃ ὁ θάνατος τοῦ πατρός μου, καὶ τότε ἀναιρῶ· καὶ σὺ τί λέγεις; παρέλθῃ τὸ πάθος τοῦ Χριστοῦ, καὶ τότε στρατεύσομαι κατὰ τοῦ ἐχθροῦ μου. βλέπε μὴ ἀδελφὸς εἶ τοῦ Ἡσαῦ. ἄκουσον τί λέγει ὁ Παῦλος· μή τις πόρνος, ἢ βέβηλος, ὡς Ἡσαῦ. ἵνα μὴ δι' αὐτοῦ μανθάνωσιν οἱ πολλοί, ταῦτα εἴρηταί μοι, οὐκ εἰς παροξυσμὸν, ἀλλ' εἰς ἀντίληψιν τῶν ἀδελφῶν καὶ σωτηρίαν. γένοιτο δὲ ἡμᾶς καὶ λόγῳ παιδευομένους καὶ ἱστορίαις παιδαγωγουμένους, τῶν τε ἁγίων πατέρων καὶ προφητῶν ἀθλήσεσι κατορθοῦντας, δόξαν πάντοτε τῷ Θεῷ ἀναπέμπειν, νῦν καὶ ἀεὶ, καὶ εἰς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A honorant hodie jejunia multi & dicunt: Hodie adverſario meo nihil dico, tranſibit paſſionis Chriſti dies, tum litem intendam, ulciſcar injurias, multa faciam. Nónne igitur frater es Eſaü: hæc cogitans, eadem ipſa quæ & Eſaü dicis. Etenim tunc & Eſaü fratrem interficere voluit, ſed venerabatur patrem. Et quid dixit: *Appropinquent dies luctus patris mei, & occidam Jacob fratrem meum*: tranſeat patris mei mors, & tunc interficiam. Gen 27,41 Et tu quid dicis? Tranſeat Chriſti paſſio, & tunc contra adverſarium meum litigabo. B Vide ne frater Eſaü ſis. audi quid Paulus dicat: *Nec quis fornicator, nec profanus, ut Eſau*. Hæc à nobis non ad irritationem fratrum, ſed auxilii loco, atque ad eorum ſalutem dicta ſunt. Heb.12,16. Contingat autem nos & verbo inſtructos, & hiſtoriis edoctos, ſanctorúmque patrum & prophetarum certaminibus ad perfectionem dirigentibus, & opere perficientibus, continuò Deo gloriam reddere, & nunc, & ſemper, & in ſecula ſeculorum. Amen. C

Εἰς τὸν δίκαιον καὶ μακάριον Ἰώβ, λόγ. δʹ.

ΠΑΝΤΑΧΟΥ μὲν καὶ ἐπὶ πάντων, ὡς εἰπεῖν, τῶν θείων διηγημάτων, κατώτεροι τῶν πραγμάτων οἱ λόγοι, καὶ ἀσθενέστεραι αἱ λέξεις τῶν ὑποθέσεων· ἐξαιρέτως δὲ ἐπὶ τῶν τῷ μακαρίῳ Ἰὼβ κατορθωμένων. οὐδεὶς οὐδέποτε δύναται τῷ λόγῳ τῆς ὑποθέσεως παραστῆσαι τὸν λόγον τῆς ἑαυτοῦ εὐτελείας. κἂν γὰρ μυρία περὶ αὐτοῦ λέγηται, τῆς κατ' ἀξίαν δυνάμεως ὁ λόγος ἀπολιμπάνεται. ἐπεὶ οὖν εἴρηται ἡμῖν τὰ κατὰ δύναμιν μετρίως, οὐδὲν κωλύει καὶ σήμερον τῶν αὐτῶν ἅψασθαι διηγημάτων. καὶ μηδεὶς νομιζέτω ὑβρίζεσθαι τὴν ὑπόθεσιν, εἰ καὶ συντέμνομεν τὰ διηγήματα. οὐ γὰρ ἀλγεῖ Ἰὼβ τεμνόμενος· εἰ γὰρ τὸ σῶμα τεμνόμενος οὐκ ἤλγει, τῷ διηγήματι τεμνόμενος ἀλγήσει; ἔγνωμεν ἀπὸ τῶν προειρημένων διηγημάτων ὡς ἀπώλεσεν ἅπαντα, μᾶλλον δὲ εὗρεν ἅπαντα. πάντα γὰρ τὰ φαιδρὰ ἀπολέσας, τὴν ῥίζαν τῆς φαιδρότητος οὐκ ἀπώλεσεν. ἀπώλεσε τὴν λύραν, ἀλλ' ἔμεινεν ὁ τεχνίτης· ἀπώλεσε τοὺς καρποὺς τῆς εὐθηνίας, ἀλλ' ἔμεινεν ὁ γεωργὸς τῆς εὐπραγίας· ἐγυμνώθη πάντων τῶν κτημάτων καὶ οὐκ ἐγυμνώθη τῆς ἀρετῆς. προσέρριψε τῷ διαβόλῳ τὰ κτήματα, ἀπορριψάμενος τὸν βίον, ὥσπερ Ἰωσὴφ τὸ ἱμάτιον τῇ ἀσελγεῖ γυναικί. ἐν τῷ πάσχειν οὐκ ἔπασχε. ἔδει γὰρ καὶ τῆς φύσεως ὁμολογεῖν τὸ πάθος, καὶ τῆς ψυχῆς ἀνυμνεῖν τὴν ἀνδρείαν. ἐδείχθη τῆς φύσεως τὰ γνωρίσματα. ἐδείχθη καὶ τῆς ἀρετῆς τὰ πλεονεκτήματα. ἤκουσε τὴν παίδων συμφορὰν, καὶ διέρρηξε τὰ ἱμάτια, ἵνα τῆς φύσεως δείξῃ τὴν συμπάθειαν. εἰ μὴ γὰρ ἔπαθεν, οὐκ ἂν ἐθαυμάζετο ὡς φιλάρετος, ἀλλὰ κατεγινώσκετο ὡς ἀναίσθητος. ἀλλ' ἔπαθε μὲν ὡς ἄνθρωπος, ὑπέμεινε δὲ ὡς φιλόθεος· καὶ τῆς φύσεως τὴν ἀσθένειαν ἤλεγξε, καὶ τῆς εὐσεβείας τὸν τρόπον οὐ προδέδωκε· διέρρηξε τὰ ἱμάτια, ἀλλὰ προσεκύνησεν. οὐ τοσοῦτον ἐπήνεγκεν ὁ διάβολος, ὅσον ἐπλάγη· οὐ τοσοῦτον ἔτρωσεν, ὅσον ἐτρώθη. ἀλλὰ τὸν πρῶτον ἀγῶνα καλῶς διαθλήσαντα τὸν Ἰὼβ, πάλιν εἰς ἕτερον ἀγῶνα δίδωσιν ὁ Θεός, ἵνα λαμπρότερον αὐτῷ πλέξῃ τῆς ὑπομονῆς τὸν στέφανον. πάλιν γὰρ ἐκ δευτέρου παρίστανται οἱ ἄγγελοι, ὁ διάβολος εἰς τὸ μέσον ἐρωτᾶται παρὰ τοῦ πάντα εἰδότος, πόθεν σὺ ἔρχῃ; βλέπε τοῦ Θεοῦ τὴν σοφίαν· βλέπε τοῦ διαβόλου τὴν πανουργίαν. ᾔδει μὲν Θεὸς ἤδη πόθεν ἦλθεν, ὅτι ἡττηθεὶς παρὰ τοῦ δικαίου ἦλθε. βούλεται δὲ ὁ Θεὸς ἰδεῖν, εἰ εὐγνωμόνως ὁμολογεῖ τὴν ἧτταν. πόθεν σὺ παραγέγονας; ὁ διάβολος κρύψας τὴν ἧτταν [ᾐσχύνετο γὰρ] τῇ αὐτῇ κέχρηται φωνῇ τῇ πρώτῃ· περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν, πάρειμι. εἰς τοῦτο γὰρ ἐξῆλθες; τοῦτο ᾔτησας; οὐ σὺ εἶπας, δός μοι τὰ ὑπάρχοντα τοῦ Ἰώβ; διὰ τί κρύπτεις τὸν ἀγῶνα, ἵνα ἀφανίσῃς τὸν στέφανον τῆς νίκης; εἰπὲ τὸν ἀγῶνα, κατηραμένε, εἰπὲ καὶ τὴν πάλην, ἵνα κηρύξῃς τὴν νίκην. ἀλλ' ὃ ἔκρυψε φθονῶν ὁ διάβολος, ἀνυμνεῖ τῇ ἐναρέτῳ φιλοσοφίᾳ ὁ πάντων δεσπότης. προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰώβ; ὃ κρύπτεις, ἐγὼ γνωρίζω. ἐρωτᾷ γὰρ ὁ Θεὸς πολλάκις, οὐχ ἵνα μάθῃ, ἀλλ' ἵνα τῶν ἐρωτωμένων γυμνάσῃ τὴν πρόθεσιν, εἰ εὐγνωμόνως ὁμολογοῦσιν. οὕτως ἠρώτησε τὸν Κάϊν, ποῦ Ἄβελ ὁ ἀδελφός σου; ἠθέλησε γὰρ αὐτὸν τὸν τὸ κακὸν δράσαντα καὶ κατήγορον ἑαυτοῦ στῆναι, ἵνα ἡ αὐτοῦ κατηγορία ἀμβλύνῃ τὸ μέγεθος τοῦ ἐγκλήματος. πᾶς γὰρ ἑαυτοῦ κατηγορῶν, πραΰνει τοῦ δικαστοῦ τὴν ἀγανάκτησιν. ὥσπερ οὖν τότε ἠρώτα τὸν Κάϊν, ποῦ Ἄβελ ὁ ἀδελφός σου; ὁ δὲ νομίσας τὴν ἐρώτησιν ἀπὸ ἀγνοίας εἶναι, λέγει. οὐκ οἶδα. μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμί; καὶ ἐπεὶ ἐδοκίμασε τὴν πρόθεσιν, τότε ἤλεγξε τὴν ἀνοσιουργίαν λέγων· φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς. οὕτως

DE JUSTO ET BEATO JOB,
Sermo IV.

D UBIQUE quidem ac omni propemodum in divino ſermone rebus inferiora ſunt verba, materia inferiores dictiones, præcipuéque in his quæ ſummè perfectéque à beato Job acta ſunt. Nemo unquam potuit ſermone ſancti hujus præconia abundè dilucidare: etenim tametſi in ille decies decemque millia dicantur, ſermo tamen à condigna veritate ſuperatur. Quoniam igitur ea quæ præceſſerunt, à nobis pro virtute, quamvis mediocriter, dicta ſunt, nihil hodie impediet, quominus eiſdem ipſas narrationes attingamus: nec quiſquam exiſtimet materiæ injuriam fieri, ſi narrationem in anguſtum contrahamus. E Nam neque Job inciſus dolet: ſi enim inciſo corpore non doluit, quomodo narratione conciſus dolebit? Cognovimus ex præmiſſis quemadmodum univerſa amiſit, immo verò univerſa invenit. Cuncta enim læta amittens, lætitiæ radicem non amiſit: amiſit lyram, ſed artifex remanſit: amiſit abundantiæ fructus, ſed beneficentiæ agricola ſuperfuit. A Nudatus eſt omni re familiari, atqui haud eſt virtute nudatus. Abjecit diabolo opes, vitæ commoditates abjiciens, quemadmodum Joſeph pallium impudicæ mulieri. In paſſione non patiebatur. Gen. 39,12. Oportet enim naturæ paſſionem fateri, atque animæ virilitatem laudibus celebrare. Oſtenſa ſunt naturæ indicia, & virtutis fortia facta oſtenſa ſunt. Audivit liberorum calamitatem, & ſcidit veſtimenta, quò naturæ compaſſionem oſtenderet. Niſi enim paſſus fuiſſet, fortaſſe veluti virtutis amator non laudaretur, ſed veluti inſenſibilis damnaretur. B Sed paſſus quidem fuit ut homo, ſuſtinuit autem velut amator Dei: & naturæ infirmitatem arguit, ſed non pietatis mores prodidit. Scidit veſtimenta, ſed adoravit. Igitur diabolus non tam intulit, quàm accepit plagas: non tantum vulneravit, quantum vulneratus eſt: ſed poſtquam in primo agone bene certavit, rurſus ad alterum eum adducit Deus, quo clariori eum patientiæ diademate coronet. C Item ex ſecundario Angeli aſſiſtunt, & diabolus in medio, interrogatur ab eo qui omnia novit: Unde tu venis? Vide ſapientiam Dei, vide verſutiam Diaboli. noverat Deus unde veniret, quòd victus à juſto veniret. Vult ergo Deus videre, cum optimè ſcienti ſuam fateatur fugam. Unde tu venis? Diabolus cladem ſuam celans (namque confundebatur) eadem ipſa prima voce utitur: Poſtquam circuivi terram, & quæ ſub cœlo ſunt perambulavi, adſum. Ibid. 2. In hoc enim exiviſti, hæc poſtulaſti? nónne tu dixiſti: Da mihi univerſa quæ Job poſſidet? D quare certamen abſcondis, quò victoriæ coronam occultes? Dic certamen, maledicte diabole, diluctam quo victoriam indices. Sed quod occultabat invidens diabolus, id eximia Philoſophia extollit omnium Dominus. Attendiſti mente tua famulum meum Job? quod occultas, ego palam facio. Interrogat Deus ſæpenumero, non ut diſcat, ſed quò interrogatorum mentem experientia intueatur, ſi verè ſcientérque fateantur. E Sic interrogavit Cain, *ubi eſt Abel frater tuus*? Gen. 4. 9. Voluit namque, eum qui malum fecerat, vel ſui ipſius accuſatorem ſtare, quo ſui accuſatione, facinoris magnitudo leniretur. Omnis enim qui ſeipſum accuſat, judicis iram mitigat. Quemadmodum igitur tunc interrogabat Cain: ubi eſt Abel frater tuus? Ille autem putans interrogationē ab oſcitia procedere, dicit: *Neſcio: nunquid cuſtos fratris mei ſum?* atq; ubi mentem probavit, tunc increpavit facinus, dicens: Vox ſanguinis fratris tui clamat ad me terrā

Sic ſi interrogans, videt ignorantem, arguit, utreum; & nunc,
ubi diabolum interrogans, fugam, quam pertulerat ab eo, non
didicit : ipſe tandem edicit fugam, victoriámque juſti laudi-
bus celebrat : Attendiſti mente tua ſuper famulum meum,
quòd non eſt ſimilis ei ſuper terram, ſimplex & innocens? &
hîc mihi diligenter attende, ſodes, neque tranſeas divinarum
ſcripturarum verba. In primo teſtimonio minimè dictum eſt,
Job.1.8. innocens, ſed in ſecundo. In primo dixit Deus : *Nunquid
conſideraſti ſervum meum Job?* Quoniam non eſt ei ſimilis in
terra, homo irreprehenſibilis, & timens Deum, juſtus,
verax, & recedens ab omni malo opere. Et, Innocens
non appoſuit, poſt certamen verò, póſtque victoriam quaſi
coronam adducit famæ celebritatem ſuis certaminibus conve-
nientem. Cùm enim mille decémque millibus modis patiens,
abſque malitia tuliſſet calamitatem, contra Dominum non
Ibid.2.10. blaſphemans, cuncta judicans bonitate, & dicens : *Si bona
ſuſcepimus de manu Domini, mala quare non ſuſcipiamus?*
Cùm innocentiæ fuiſſet verbum, coronam ipſi plectit innocen-
tiæ, & dicit : Quoniam non eſt homo ei ſimilis innocens.
Ibid.1. Tu autem quare incaſſum dixiſti, perde univerſa quæ poſſi-
det? hoc eſt, in vanum ipſius invidiſti ſubſtantiæ? Dixiſti
enim hominem pecuniarum occaſione Deum colere: nudatus
eſt pecunia, atque haud virtute nudatus. Tu verò, diabo-
le, in vacuum dixiſti : Perde univerſa quæ poſſidet. Non
deſtituitur malitia ſua pravitate. Item malitiam aliam com-
perit, quæ juſti virtutem ſuperare ac proſternere poſſet. Di-
Job.2.4. cit ergo Deo : *Pellem pro pelle, & cuncta quæ habet homo,
dabit pro anima ſua.* Nihil, inquit, magnum, ſi opibus
excidit, libenter omnia ſprevit, quò ſe ſervaret. Sed ſi
vis hunc ipſum probare, carnes ejus tange : certe in faciem
benedicet tibi : (illud, benedicet, perinde eſt ac ſi dice-
ret, maledicet : etenim ſcriptura benedictis maledicta vela-
vit.) Et quare hæc ſcripta ſunt? ut tu fidelis diſcas, cùm
alieni mali turpia narraveris, eadem verborum honeſtate ve-
lare : neque glorieris turpibus operam præbens, ſed tur-
pium locutionem fugiens. Propterea, inquit Apoſtolus:
Eph.4.29. *Omne verbum turpe non exeat de ore veſtro* Hinc Deus juſtum
ſecundæ dimicationi tradit, non ipſe ea ex tentatione diſcens,
qualis ſit dimicator : ſed ex tentatione diabolum pudefaciens.
Job.2.7. Deus enim ante omnes, univerſe cognovit. *Egreſſus au-
tem diabolus à facie Domini, percuſſit Job ulcere peſſimo, à
planta pedis uſque ad verticem capitis.* Totum ejus corpus unum
vulnus effecit, unum livorem: oportuerat enim totum, ac per
totum coronari luctatorem, à pedibus uſque ad caput. Saluta-
re vulnus, victorioſum ulcus; ulcus quidem apparenter ſcatu-
riens ſanie, quantum verò quis intellectu conſequi poteſt, famæ
celebritate plenum. Sanies ulceris affuit parvo pro tempore,
eadem verò famæ celebritas, quam lucta peperit, nullo tem-
pore deficiet. Percuſſit eum ulcere peſſimo, à pedibus uſque
ad caput, quò totus per omnia membra coronatus appareat:
hinc ubi eum corpore tam invalidè ſe habentem, nullus con-
tigit qui caperet locus : ſed omnis domus, veluti corrupte-
lam quandam ejecit (neque enim aliud erat vulnus Job,
quàm fœda corporis quædam corruptio) exivit è civitate,
qui à mundo erat alienus, exivit è civitate, & ſedebat in ſter-
quilinio : exivit è civitate cui non mundanum erat ſuſceptum
certamen, ſed quod hujus ſeculi ſtatum excederet : nam &
extra civitatem & mœnia eſſe Chriſti crucis imago erat : pro-
Heb.13.11. pterea Paulus dicit : *Quorum enim animalium infertur ſan-
guis in ſancta, horum corpora cremantur extra caſtra.* Pro-
Matt.27. pterea Jeſus ut ſanctificaret populum, extra portam paſſus eſt.
Chriſtus extra portam, Job extra civitatem ſedet in ſtercore :
pietatis ſemen, patientiæ ſemen : in tribulationibus ſterco-
Pſal.112.7. ratum, ſedebat in ſterquilinio expectans *ſuſcitantem de terra
inopem, & de ſtercore erigentem pauperem.* Videbat, fra-
tres, proprium corpus labens, animam verò ſtabilitam. Vi-
debat corpus vermibus ebulliens, animam verò pietatem par-
turire : videbat corruptum terreum vas : atque ante Paulum
recordatus eſt verborum Pauli : licebat enim ipſi dicere : *Sed
2 Cor.4.16 licet is qui foris eſt noſter homo corrumpatur, tamen qui intus
eſt renovatur de die in diem.* Teſtam accepit qua ſaniem abraderet.
Idem. Teſta quidem ſaniem abradebat, hoſtis verò patientia frangeba-
tur. Decuit & ipſum dicere habentem teſtam : Habemus the-
ſaurum hunc in vaſis fictilibus. Sedit in ſtercore, qui multos de
ſtercore erexit : teſtam ſuſcepit, qua ſaniem abraderet : in mor-
Job.2.11. tuo luto, vivens lutum abradebat. Venerunt tres amici (trahunt
enim amicos ad ſolamen adverſa) venerunt Eliphax, Sophar,

A [ἐὰν ἐρωτήσας ἴδῃ ἀγνωμονοῦντα, ἐλέγχει κακουργοῦντα.] καὶ νῦν
ἐπειδὴ ἐρωτῶν τὸν διάβολον, οὐ μανθάνει παρ᾽ αὐτοῦ τὴν ἧτταν, ἣν ὑπέ-
στη, αὐτὸς στηλιτεύει αὐτοῦ τὴν ἧτταν, καὶ ἀνυμνεῖ τοῦ δικαίου τὴν νίκην.
προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ᾽
αὐτὸν ἄκακος ἐπὶ τῆς γῆς; ἐνταῦθα πρόσεχε ἀκριβῶς, παρακα-
λῶ, καὶ μὴ παρέρχου τὰ ῥήματα τῶν θείων γραφῶν. ἐν τῇ πρώτῃ
μαρτυρίᾳ οὐδαμοῦ ἐλέχθη τὸ ἄκακος, ἀλλ᾽ ἐν τῇ δευτέρᾳ. ἐν τῇ
B πρώτῃ ἔλεγεν ὁ Θεός, προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντος
μου Ἰώβ, ὅτι οὐκ ἔστι κατ᾽ αὐτὸν ἐπὶ τῆς γῆς ἄνθρωπος ἄμεμπτος,
δίκαιος, ἀληθινός, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· καὶ
τὸ ἄκακος ἐκεῖ οὐ προσέθηκε, μετὰ δὲ τὴν νίκην, καὶ τὸν ἀγῶνα προστίθη-
σιν αὐτῷ ὥσπερ στέφανον τὴν εὐφημίαν συνῳδὸν αὐτοῦ τοῖς ἀγωνί-
σμασιν. ἐπειδὴ γὰρ μυρία πάσχων ἀκάκως ἤνεγκε τὴν συμφοράν,
μὴ βλασφημήσας κατὰ τοῦ δεσπότου, ἀλλ᾽ ἀγαθότητι κρίνας τὰ
C πάντα, καὶ εἰρηκώς· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, “
τὰ κακὰ οὐχ ὑποίσομεν; ἐπειδὴ ἀκακίας ἦν τὸ ῥῆμα, ἀκακίας “
αὐτῷ πλέκει τὸν στέφανον, καί φησιν, ὅτι οὐκ ἔστι τὶς κατ᾽ αὐτὸν ἄν-
θρωπος ἄκακος. σὺ δὲ διὰ τί εἶπες, ἀπολέσαι τὰ ὑπάρχοντα
αὐτοῦ διὰ κενῆς; ἀντὶ τοῦ, μάτην αὐτοῦ τῇ περιουσίᾳ ἐφθόνησας·
εἶπες προφάσει τῶν χρημάτων εὐσεβεῖν τὸν ἄνδρα· ἐγυμνώθη τῶν κτη-
μάτων, καὶ οὐκ ἐγυμνώθη τῆς ἀληθείας. σὺ μὲν, διάβολε, εἶπες
D ἀπολέσαι τὰ ὑπάρχοντα αὐτοῦ διὰ κενῆς. οὐκ ἀπορεῖ ἡ κακία τῆς
ἑαυτῆς πονηρίας. εὑρίσκει πάλιν ὑπόνοιαν ἄλλην δυναμένην
σβέσαι τοῦ δικαίου τὴν ἀνδρείαν. λέγει οὖν τῷ Θεῷ· Δέρμα ὑπὲρ
δέρματος, καὶ πάντα ὅσα ἔχει ἄνθρωπος, δώσει ὑπὲρ τῆς ψυχῆς “
αὐτοῦ. οὐδὲν, φησι, μέγα, εἰ ἀπώλεσε κτήματα. ἡδέως πάντων
καταφρονήσει, ἵνα ἑαυτὸν σώσῃ. ἀλλ᾽ εἰ βούλει δοκιμάσαι αὐτὸν,
τῶν σαρκῶν αὐτοῦ ἅψαι. ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. [τὸ
E εὐλογήσει, ἀντὶ τοῦ, καταράσεται]. ἡ γὰρ γραφὴ τῇ εὐφημίᾳ τὴν δυσ-
φημίαν ἐκάλυψε.] καὶ διὰ τί ταῦτα γέγραπται; ἵνα σὺ ὁ πιστὸς
μάθῃς, ὅτε τῶν ἀλλοτρίων κακῶν διηγῇ τὰ αἰσχρὰ, καλύπτειν αὐτὰ
τῇ σεμνότητι τῶν λέξεων. μὴ σεμνῶς αἰσχρὰ πλάττων, ἀλλὰ σεμνύ-
νων, ὅταν τῶν αἰσχρῶν διαφύγῃς τὴν ὁμιλίαν. διὰ τοῦτό φησιν ὁ ἀπό-
στολος· πᾶν ῥῆμα αἰσχρὸν μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν. “
εἶτα ὁ Θεὸς παραδίδωσιν εἰς δευτέραν πεῖραν τὸν ἀγωνιστήν, οὐκ αὐ-
τὸς ἐκ τῆς πείρας μανθάνων οἷος ἦν ὁ ἀγωνιστής, ἀλλὰ τὸν διάβολον
A καταισχύνων ἐκ τῆς πείρας. Θεὸς γὰρ πρὸ τῶν ἁπάντων οἶδε τὰ πάν-
τα. ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ προσώπου Κυρίου, καὶ ἔπαισε τὸν Ἰὼβ “
ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. ὅλον αὐτοῦ τὸ σῶμα ἓν “
τραῦμα ἐποίησεν, ἕνα μώλωπα. ἔδει γὰρ ὅλον δι᾽ ὅλου στεφανωθῆναι
αὐτὸν ἀγωνιστὴν, ἀπὸ ποδῶν ἕως κεφαλῆς. τὸ τραῦμα τὸ σωτήριον,
τὸ ἕλκος τὸ ἐπινίκιον· ἕλκος κατὰ μὲν τὸ φαινόμενον ἰχῶρας ῥέον, κατὰ
δὲ τὸ νοούμενον εὐφημίας γέμον. οἱ ἰχῶρες τοῦ ἕλκους ἐν ὀλίγοις χρό-
B νοις ἐγένοντο, αἱ δὲ εὐφημίαι, ἃς ἀπέτεκεν ἡ ἄθλησις, εἰς πάντα
αἰῶνα οὐκ ἀνασβέσονται. ἔπαισεν αὐτὸν ἕλκει πονηρῷ ἀπὸ ποδῶν
ἕως κεφαλῆς, ἵνα ὅλος δι᾽ ὅλου τῶν μελῶν στεφανίτης ἀναδειχθῇ.
εἶτα ἐπειδὴ τὸν οὕτω δυσπραγήσαντα τῷ σώματι τόπος οὐδεὶς ἐν-
εδέχετο, ἀλλὰ πᾶσα ἡ οἰκία ἐξωθεῖτο αὐτὸν, ὡς λελωβημένον [οὐ γὰρ
ἦν τι ἕτερον τὸ τραῦμα τοῦ Ἰὼβ, ἢ μὴ λώβησις] ἐξῆλθεν ἔξω τῆς πό-
λεως ὁ τοῦ κόσμου ἀλλότριος. ἐξῆλθεν ἔξω τῆς πόλεως, καὶ ἐκάθητο ἐπὶ
C κοπρίας· ἐξῆλθεν ἔξω τῆς πόλεως, οὐ κοσμικὸν ἔχων τὸν ἀγῶνα, ἀλλ᾽
ὑπερβαίνοντα τὴν παροῦσαν κατάστασιν. τὸ γὰρ ἔξω τῆς πόλεως εἶ-
ναι καὶ τοῦ τείχους, εἰκὼν ἦν τοῦ σταυροῦ τοῦ Χριστοῦ. διὰ τοῦτο ὁ Παῦλος
λέγει· Ὧν δὲ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια, τούτων τὰ σώ- “
ματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὰ τοῦτο καὶ ὁ Ἰησοῦς, ἵνα “
ἁγιάζῃ τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Χριστὸς ἔξω τῆς πύλης, Ἰὼβ ἔξω
τῆς πόλεως ἐκάθισεν ἐπὶ κοπρίας· ὁ τῆς εὐσεβείας σπόρος, ὁ σπόρος τῆς
D ὑπομονῆς, ἐπὶ τῶν θλίψεων κοπριζόμενος, ἐκάθισεν ἐπὶ κοπρίας,
ἀναμένων τὸν ἐγείροντα ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνιστῶντα τὸν
πένητα. ἔβλεπεν, ἀδελφοὶ, τὸ σῶμα διαῤῥέον, τὴν δὲ ψυχὴν ἐστηριγμέ-
νην· ἔβλεπε τὸ σῶμα σκώληκας φέρον, τὴν δὲ ψυχὴν εὐσέβειαν ἀπο-
τίκτουσαν· ἔβλεπε τὸ γήϊνον σκεῦος φθειρόμενον, καὶ ἐμέμνητο πρὸ τοῦ
Παύλου τῶν τοῦ Παύλου ῥημάτων. ἔπρεπε γὰρ αὐτῷ λέγειν, ὅσον ὁ ἔξωθεν “
ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσωθεν ἀνακαινίζεται ἡμέρᾳ
E καθ᾽ ἡμέραν. ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξέσῃ, τῷ ὀστράκῳ τὸν ἰχῶ-
ρα ἀποξέων, τῇ ὑπομονῇ τὸν ἀνταγωνιστὴν ἐκλύων. ἔπρεπε καὶ αὐτῷ
λέγειν κατέχοντι τὸ ὄστρακον· ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακί-
νοις σκεύεσιν· ἐκάθητο ἐπὶ κοπρίας ὁ πολλοὺς ἀπὸ κοπρίας ἐγείρας·
ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξέσῃ· ἐν τῷ νεκρῷ πηλῷ τὸν ζῶντα
πηλὸν ἔξεεν· ἦλθον οἱ τρεῖς φίλοι. [καλοῦσι γὰρ αἱ συμφοραὶ τοὺς φίλους εἰς παραμυθίαν·] ἦλθεν Ἐλιφὰζ, Σωφὰρ καὶ Βαλδὰδ,

τρεῖς

τρεῖς βασιλεῖς πρὸς ἕνα βασιλέα. βασιλεὺς γὰρ ἦν πρὸ τούτου ὁ Ἰὼβ λέγων· ἤμην δὲ ἐν αὐτοῖς, ὡς βασιλεὺς ἐν μονοζώνοις. καὶ ἐκάθισαν, φησὶν, ἐνώπιον τοῦ Ἰὼβ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας, καὶ οὐδεὶς ἐλάλησεν. αἱ μὲν γὰρ μέτριαι συμφοραὶ δέχονται παραμυθίαν. τὰ δὲ μεγέθη τῶν συμφορῶν τῇ σιωπῇ τιμᾶται. ἔστι γὰρ, ἀδελφοὶ, ὅτε νικᾷ παραμυθίαν τὸ πάθος. καὶ ὥσπερ τὰ νοσήματα ἐν ἀκμῇ πᾶσαν θεραπείαν ἀποπέμπεται, οὕτω καὶ τὰ πάθη ἐν τῇ ἀκμῇ τῶν συμφορῶν πᾶσαν νουθεσίαν ἐκβάλλει. ἐσιώπησαν τῇ σιωπῇ κοινωνοῦντες τῷ πάθει. καὶ τί ποιεῖ; ἐπειδὴ ἐκείνους ἐνίκησεν ἡ συμφορὰ, καὶ οὐδεὶς ἐτόλμησε ῥῆξαι φωνὴν παραμυθίας, πρῶτος ἄρχεται τῶν λόγων Ἰώβ· ἀνοίγει θύραν τοῖς μὴ πάσχουσιν ὁ πάσχων. ἴσμεν γὰρ, ἀδελφοὶ, ὅτι ἐν ταῖς συμφοραῖς, ἢ ἐν τοῖς πένθεσιν, ἢ ἐν ἄλλῳ τινὶ κατηφείας πτώματι ἕκαστος αἰδεῖται πρῶτος ῥῆξαι φωνὴν, ἵνα μὴ δόξῃ ἄκαιρός τις εἶναι ἀρετῆς [γνώμης] εἰσηγητής· ἐὰν δὲ ἴδῃ ἄλλον ἀρξάμενον, ἀκολουθεῖ ἀκινδύνως. τοῦτο, ἀδελφοὶ, καὶ ἡ πεῖρα διδάσκει, καὶ τὰ πράγματα ὑποτίθεται. ὡς οὖν εἶδεν ἀποκλεῖσαν τὸ πάθος τὴν παραμυθίαν τῶν φίλων, ἀνοίγει θύραν ὁ πάσχων, καὶ ἄρχεται εὐθέως ἐκτραγῳδεῖν τὴν συμφορὰν, πανταχοῦ βλασφημίας „φεύγων τὴν ὑπόνοιαν· πρώτη φωνὴ τοῦ Ἰὼβ, ἐπικατάρατος ἡ ἡμέ„ρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη εἴη σκότος. οὐκ ἀσεβῶν ταῦτα λέγει, ἀλλὰ πάσχων. καὶ βλέπε τί ποιεῖ. ὥσπερ ἐπειδάν τις δεινῷ ἀποστήματι περιεχόμενος τέμνηται σιδήρῳ παρὰ τοῦ ἰατροῦ, οὐκ ἔχων πῶς ἀντιστῇ τῷ τέμνοντι, τῶν περιεστώτων ἅπτεται, καὶ δάκνει τοὺς παρεστῶτας, ἐκείνοις μὲν ἐγκαλεῖν οὐδὲν ἔχων, πρὸς δὲ τὸν ἰατρὸν ἐκτεῖναι τὴν χεῖρα οὐκ ἰσχύων· οὕτω καὶ ὁ Ἰὼβ φοβούμενος τῆς βλασφημίας τὸ μέγεθος, ὑβρίζει τὰ ἄψυχα, καὶ πληροῖ τοῦ πάθους τὴν πληροφορίαν, οὐ τοῦ Θεοῦ κατατολμῶν, ἀλλ' ἑαυτοῦ καὶ τῆς ἡμέρας κατηγορῶν. καταρᾶται γὰρ οὐ τὴν κτίσιν, ἀλλὰ τὴν ἑαυτοῦ ἡμέραν. ἐξουσίαν γὰρ ἔχω, φησὶ, τῆς ἐμῆς ἡμέρας. οὐ καταρῶμαι τὴν δημιουργίαν, τὴν ἐμαυτοῦ ἡμέραν καταρῶμαι. ἐπικατάρατος ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη εἴη σκότος. ταῦτα λέγει καὶ ὁ Ἱερεμίας. οἴμοι, ὦ μῆτερ, ὡς τίνα με ἔτεκες ἄνδρα κρινόμενον καὶ δικαζόμενον; ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην· ταῦτα δὲ πάντα ἐκτραγῳδοῦσιν οἱ ἅγιοι, ἵνα σὺ μετὰ ταῦτα μάθῃς ὅτι οὐ τρυφῶντες διῆλθον τὸν βίον, ἀλλὰ μυρία κακὰ ὑπομείναντες, τοὺς ἀγῶνας διεξῆλθον. ἀπεκλαύσατο οὖν καὶ Ἱερεμίας λέγων· οἴμοι, ὦ μῆτερ, ὡς τίνα με ἔτεκες; καὶ ἔπασχε μὲν ὡς ἄνθρωπος, ὑπέμενε δὲ ὡς φιλόθεος. Μωϋσῆς ὁμοίως ὁ μέγας καὶ θεῖος τοῦ Θεοῦ νομοθέτης, ὁ τὰς πλάκας τὰς ἱερὰς δεξάμενος, ὁ πρῶτος εἰσηγητὴς τῶν συμφερόντων τῷ βίῳ, καὶ αὐτός φησι τῷ Θεῷ, βαρούμενος τῷ πλήθει τῶν συμφορῶν· Κύριε, σὺ εἶπας, ὅτι „εὕρηκας χάριν παρ' ἐμοὶ, καὶ οἶδά σε παρὰ πάντας· καὶ εἰ εὕρηκα „χάριν ἐνώπιόν σου, ἄφελε τὴν ψυχήν μου ἀπ' ἐμοῦ· οὐ δύναμαι γὰρ „φέρειν τὸ βάρος τοῦ λαοῦ τούτου· μικρὸν, καὶ λιθοβολήσουσί με. μὴ ἐγὼ αὐτοὺς ὠδίνησα; μὴ ἐγὼ αὐτοὺς ἔτεκον; ὅτι λέγεις μοι, βάστασον αὐτοὺς ὃν τρόπον βαστάζει ἡ τιθηνοῦσα τὸ παιδίον; οὐ δύναμαι φέρειν τοῦ λαοῦ τὰ ἐλαττώματα. ὅμως καὶ ἀποδυρόμενος καὶ πενθῶν ὡς ἄνθρωπος, οὐκ ἐβλασφήμησεν ὡς ἄθεος, ἀλλ' ἐδείκνυε τὰ πάθη τῆς φύσεως, ὑπ' αὐτῶν τῶν παθῶν ἐλεγχόμενος. οὕτω δὲ ὁμοίως τῶν προφητῶν ἕκαστος ἀποδύρεται. καὶ ὁ Ἀμβακοὺμ φησίν. ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους ἐπιβλέπειν [ἐπὶ ταλαιπωρίας ἀνθρώπων] ἑώρα γὰρ τὴν ἀδικίαν ὁ προφητικὸς χορὸς, καὶ οὐκ ἔφερεν, ἀλλ' ἐβόα Ἀμβακοὺμ λέγων· ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους; ἐνώπιόν μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει, καὶ διὰ τοῦτο ἐξέρχεται τὸ κρίμα διεστραμμένον. ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς λαμβάνει, καὶ ἐξουδενοῦται ὁ νόμος. οὕτω πάντες ἔπασχον οἱ δίκαιοι, καὶ ἀπεδυσπέτουν πρὸς τὴν δυσκολίαν τοῦ κόσμου. ἀλλὰ μὴ ταῦτα λαβὼν ἐκλάβῃς εἰς συμφωνίαν τῆς σῆς προαιρέσεως· μὴ εἴπῃς, μὴ βελτίων ἐγώ εἰμι τοῦ Ἱερεμίου τοῦ καταβοήσαντος τοῦ κόσμου, μὴ τὰ ῥήματα τῆς ἰάσεως γένηταί σοι τραύματα; ταῦτα δὲ γέγραπται, ἵνα μάθῃς ὅσους ἀγῶνας διήθλησαν, ὅσων κινδύνων μεστὸν τὸν βίον διεξῆλθον. θέλεις μαθεῖν οἷος ὀφείλεις εἶναι. μάθε τὰ μετὰ τὴν χάριν ἔπαθον προφῆται, ἔπαθον δὲ καὶ οἱ ἀπόστολοι· ἀλλ' οἱ μὲν πάσχοντες ἤλγουν, οἱ δὲ πάσχοντες ἐκαυχῶντο. ἦλθε Παῦλος εἰς μέσον, πάσχων μὲν, οὐ κλαίων δὲ τυπτόμενος, ἀλλ' οὐκ ἀποδυρόμενος βασανιζόμενος, ἀλλὰ καυχώμενος. καὶ τί φησιν; οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδό„τες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκι„μὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. καὶ πάλιν, „τυφθέντες οἱ ἀπόστολοι, ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ „συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτι„μασθῆναι. μὴ τοίνυν τὰ πρὸ τῆς χάριτος ἐκλάβῃς εἰς ἀκολουθίαν τῆς χάριτος. εἴρηται γὰρ ἡμῖν ταῦτα, ἵνα μάθωμεν ἐκ τῶν πόνων τὴν ἐλπίδα. οὕτω καὶ ὁ Ἰὼβ καταρᾶται τὴν ἡμέραν, καὶ ταράσσει τὴν ψυχὴν, καὶ οὐ βασανίζει τὴν ψυχὴν τῇ ἀσεβείᾳ,

A & Beldad, tres reges ad unum regem. Rex enim erat ante hæc, qui dicebat: *Eram autem in eis ſicut rex in accinctis.* Et ſederunt, inquit, circa Job ſeptem diebus, ac ſeptem noctibus, & nemo loquebatur. Mediocres enim calamitates ſolamen recipiunt, magnitudo verò calamitatis ſilentio honoratur. Accidit enim aliquando, fratres, ut conſolatiu paſſione vincatur: & quemadmodum morbi in ſuo vigore non admittunt curationem, ſic ſupremæ calamitatis paſſiones omne ſulatium fomentúmque re- B pellunt: ſiluerunt taciturnitate paſſioni communicantes. Et quid facit? Cùm enim illos calamitas ſuperaſſet, nemoq; auſus fuiſſet in ſulatii vocem erumpere, primus ipſe verba incipit, januam aperit patiens non patientibus. Scimus enim, fratres, quoniam his qui paſſionibus, qui tribulationibus, aut alio mœſtitiæ malo laborant, priùs vocem mittere quiſque pudore tenetur, ne importunus aliquis virtutis aut conſilii magiſter videatur. Si autem viderit incipientem, ſine periculo & pudore ſequetur. hoc fra- C tres, & conſuetudo docet, & reipſa exercitatio ſuggerit. Ut vidit calamitatem ſuam amicorum ſulatium excludere, portam aperit calamitoſus, & quamprimum incipit veluti tragicè de calamitate dicere, prorſus ubique blaſphemiæ ſuſpicionem fugiens. Prima vox Job. *Maledicta dies illa in qua natus ſum, & nox illa ſit tenebra.* Non præ impietate hæc dicit, ſed præ dolore. Et vide quid facit. Quemadmodum ſi quis apoſtematis morbo circumventus, ferro recidatur à medico; non habens quomodo D recidenti adverſetur, circumſtantia tangit, atque aſtantes mordet, illis quidem inferre nihil habens, ad medicum autem extendere manum non valens. Sic & Job blaſphemiæ magnitudinem timens, facit inanimatis injuriam, atque ita dolorem ſuum explet, non contra Deum audens, ſed ſe & ſuum natalem accuſans. Maledicit autem non creatum, ſed ſui ipſius diem. Poteſtatem, enim, inquit, habeo diei mei, non maledico conditorem, mei ipſius diem maledico. Maledicta dies in qua natus ſum, & nox Hier. 15, 10 E illa ſit tenebræ, Hæc dicit & Hieremias: *Heu mihi mater, ut quid me talem peperiſti virum judicatum & damnatum?* maledicta dies in qua natus ſum. Hæc omnia quaſi mœſta quædam tragœdiiſque ſimillima ſancti exprimunt: ut tu poſtea diſcas, non in deliciis egiſſe vitam, ſed mala innumera tolerantes, in agone certaſſe. Flevit ergo Hieremias, dicens: Heu mihi mater, ut quid me peperiſti virum? Et patiebatur quidem veluti homo, Exod. 32. ſuſtinebat autem quaſi Dei amicus. Moſes pari modo magnus A & ſacer Dei legiſlator, qui tabulas ſacras ſuſcepit, qui eorum Num. 11, 12 quæ conducunt in vitam prior magiſter fuit, hac ipſa preſſus multitudine calamitatum Deo dicebat: Domine tu dixiſti, quoniam inveni gratiam apud te, & novi te ſuper omnes: *& ſi inveni gratiam in conſpectu tuo, tolle animam meam à me, non poſſum ferre onus populi hujus*: adhuc paululum, & lapidabunt me. Nunquid ego eos genui? nunquid ego eos peperi? quoniam dicis, porta eos quemadmodum nutrix portat puerum? non poſſum Ibid. B ferre populi defectus. Tamen ingemiſcens & flens ut homo, non ut infidelis blaſphemavit: ſed oſtendebat naturæ paſſiones, quaſi per ipſas argueretur. Sic ex Prophetis quiſque ingemiſcit. Si- Habac. 1, 3 militer Habacuc dicit: *Ut quid mihi labores oſtendiſti, & dolores ut inſpicerem miſerias hominum*, Videbat enim hominum iniquitatem cœtus propheticus, neque tolerabat, ſed clamabat Habacoc dicens: Ut quid mihi oſtendiſti labores & dolores? In conſpectu meo factum eſt judicium, & judex accipit propter- C ea egreditur judicium pravum: princeps poſtulat, & judex accipit, & contemnitur lex. Sic omnes paſſi ſunt juſti, atque impatienter tulerunt mundi difficultates: ſed hæc loquens, haud ad tuæ intentionis convenientiam trahas, neque dixeris: Nunquid ego ſum melior Hieremia contra mundum clamitante? ne ſanitatis verba, vulnera tibi fiant. Hæc autem ſcripta ſunt, ut diſcas qualem agonem pertranſiverunt, vitámque quibúſnam periculis plenam duxerunt. Vis diſcere qualis eſſe debes, diſce D quæ poſt gratiam fuere paſſi ſancti Prophetæ, paſſi & Apoſtoli. Sed illi quidem patientes dolebant, hi verò patientes gloriabantur. Venit Paulus in medium patiens quidem, ſed non ingemiſcens, verberatus, ſed non plorans: tormentis afflictus, ſed Rom. 5, 3. gaudens. Et quid dicit? *Non ſolùm autem, ſed & gloriamur in tribulationibus, ſcientes quoniam tribulatio patientiam operatur, patientia autem probationem, probatio verò ſpem, ſpes autem non* E *confundit.* Et iterum, Apoſtoli verberati. *Ibant gaudentes à* Act. 5, 41. *conſpectu concilii, quoniam digni habiti ſunt pro nomine Chriſti contumeliã pati.* Ne ergo, quæ ante gratiã fugere, ad gratiæ tempora trahas. Dicta verò ſũt nobis hæc ut diſcam' ex laborib' ſpẽ: ſic & Job maledicit diei, & anima patitur: neq; animã torquet impietate

ſed

ſed ſuffert vulnera: neque animam blaſphemiâ vulnerat. Et quoniam compendio dicendum eſt, Job vobis ſeriem breviùs repetendo perſtringam. Deo excepto, univerſi quò id certamen tenderet, ignorabant Job cujus rei gratia dimicaret, neſciebat, quoniam ei gymnaſium palæſtra fuerat propoſita. Amici ignorabant Dei intentionem, Diabolus ignorabat futurum. ſi enim ſciviſſet ſibi ſuccumbendum fore, nequaquam tentaſſet Job: neſciebat Job quónam agonis hujus finis tenderet, quòd quidem Deus permiſſione id concedebat, ſciebat Job non præſciens, ſed à Deo edoctus: diabolus autem neſciebat quem finem certamen reſpiceret. Non enim tentaſſet, ne majorem ſecum confuſionem traheret: ſed & quæ in ſanctis paſſus eſt martyribus, eadem in Job: trucidavit martyres, quò deleret Eccleſiam, neſciens quòd poſt martyres floreret Eccleſia. Omnes igitur ignorabant, Deo excepto. Amici Dei conſilium ignorantes, Jobque probationem, malebant in comparatione ignorantiæ damnare Job, quaſi digna patientem, quàm exiſtimare Deum injuſtè judicare. Attende diligenter malebant hominem damnare, veluti digna peccato ſuo patientem, quàm adverſus Deum dicere, quòd injuſtè judicaverit. Et parte quidem una pia intentione ducebantur, Deum ſcilicet ab injuſtitia vindicantes: parte autem una peccabant, innocentem damnantes. Iſta autem ignorantia ignorantes excuſat. Certè veniam merentur, qui tametſi per ignorantiam de divina juſtitia diſſerant, nihil tamen temere adverſus illam decernunt. ſed iniquum quidem ferunt calculum contra Jobi juſtitiam. Dei autem juſtitiam laudant. Hinc Job ab amicis reprehenditur, & dicunt ei: *Quando veraces radicitus perierunt? quando vidiſti juſtos funditus deletos.* Niſi peccaſſes, inquiunt, & peccato dignus fuiſſes, non te injuſtè judicaſſet juſtus. Multa tua ſunt peccata: ſi verò non peccaſti, unde tibi hoc, niſi filii tui peccaverint? ſæpenumero viduis injuſta, orphanis triſtia feciſti. Si autem hæc ita ſunt, juſtè te hac Deus plectit pœna. Job ſe quidem ſciebat nihil egiſſe tale, neque verò neſciebat Deum nihil injuſtè judicare. Ubi ergo vidit Job quoniam apud homines quidem damnatur, propria verò conſcientia ipſum non damnat, neque eum Deus condemnat: quoniam hominibus ſuadere non poſſet, ſermonem ad judicem vertit, animæque oculum ad alta dirigit, non blaſphemans, ſed rogans cum lacrymis, dicit ad eum: *Qui noviſti mentem hominum, ut quid me conſtituiſti, ut loquerer, adverſus te?* tu feciſti me compotem juſtitiæ tuæ, noviſti cor meum. Hinc magnum quiddam Job, non malitia, ſed puritate loquitur, atque, ut paucis multa complectar (multa enim eſt materia ſermonis juſtitiæ) dicit: *Quis mihi dabit judicem medium inter me & te*, ut cognoſcat quot ſunt peccata mea? quoniam ſic me judicaſti? Horrendum verbum, ſed abſque malitia: præveniens enim Deus dixit, quoniam non eſt ei ſimilis, ſine malitia, ei autem qui eſt ſine malitia nemo verbum ad malitiam reputabit. Semper enim, fratres, omnes nos homines nedum Deus, non modo rebus, ſed ipſo operantium propoſito judicamus. Injuriam facit filius patri, factum intolerabile & patienti, & audienti: qui erit hujuſmodi, parricida vocabitur, & matricida ſceleſtúſque, & impius, quòd patri contrariam in vocem eruperit, quòd auſus fuit vituperare ſuam radicem. Hoc iſte patitur & ita damnatur, qui jam per ætatem ſapit. Porrò infans, vel ſine malitia puer, tametſi patrem matremve offenderit, & malè affecerit, omni lætitia deſiderabilior. Sæpè matres irritant filios ad injuriam trahentes, non injuria, ſed innocentia, candore, & ſimplicitate morum delectatæ. Sic & Deus ſciens, quoniam non malitia, ſed puritate loquitur, teſtimonium ei reddit, dicens, *Et adhuc perſeverat in innocentia.* Suſcipit verba Job ab eo in judicium vocatus, tremendum verbum: Dominum ſervus in judicium trahit, homo Deum, factura factorem, lutum figulum. Sed quemadmodum paulò antè diximus, innocentiæ, non malitiæ verbum fuit: verumtamen fratres, innocentia non fuit ſine prudentia ſed omni ſapientia referta. Vis autem diligentiùs intueri? nihil petiit Job quod non fecerit: ſciebat ſeſe Dei famulum: ſciebat Deum ſui ipſius dominum. Sed quoniam Job ipſe ſæpenumero cum ſervis ſuis ex æquo diſceptans, in judicio permiſit eis paris ſermonis poteſtatem: atque ſi quando ſecum ſervus experiretur, non veluti ſervo obſtruebat os, ſed cauſæ defenſionem admittebat. Quod ipſe fecit, ab alio ſibi fieri petiit, verbo illo ſuaſus: *Quoniam eadem menſura qua menſi fueritis, remetietur vobis.* Et dixit, quis dabit judicem? Et quando ſervo paris ſermonis feciſti poteſtatem? audi eum cùm virtutes dinumerat, & eas non honoris cupiditate, ſed innocentia & ſimplicitate, dicentem: Non contempſi judicium ſubire cum ſervo meo & ancilla mea, cùm diſceptarent

Job. 4, 7. — Ibid. 7, 19. — Ibid. 10, 6. — Ibid. 9. — Job. 2, 3. — Matt. 7, 2.

ἀλλ' ἀνέχεται τῶν τραυμάτων, καὶ οὐ τραυματίζει τὴν ψυχὴν τῇ βλασφημίᾳ. εἶτα, ἐπειδὴ δεῖ συντεμεῖν, συντόμως ὑμῖν ἀνακεφαλαιωσόμεθα τὴν ὑπόθεσιν. ἐν τῷ ἀγῶνι τῷ κατὰ τὸν Ἰὼβ, πλὴν τοῦ Θεοῦ, πάντες ἠγνόουν τὸν σκοπὸν τοῦ ἀγῶνος. Ἰὼβ οὐκ ᾔδει διατί ἦν ἠγωνίζετο. οὐκ ᾔδει ὅτι εἰς γυμνασίαν αὐτοῦ προεβέβλητο τὰ παλαίσματα. οἱ φίλοι ἠγνόουν τὸν σκοπὸν τοῦ Θεοῦ, ὁ διάβολος ἠγνόει τὸ μέλλον. εἰ γὰρ ᾔδει ὅτι ἐνικᾶτο, οὐκ ἂν ἐπεχείρησεν Ἰώβ. ὁ Ἰὼβ οὐκ ᾔδει τὰ ἀποβησόμενα ἐκ τοῦ ἀγῶνος. ὅτι μὲν γὰρ ὁ Θεὸς κατὰ συγχώρησιν ἐνεδεδώκειν, ᾔδει ὁ Ἰὼβ, οὐ προγινώσκων, ἀλλὰ μαθὼν παρὰ Θεοῦ. ὁ δὲ διάβολος οὐκ ᾔδει εἰς ποῖον τέλος ἀπαντήσει τὰ παλαίσματα. εἰ γὰρ ᾔδει, οὐκ ἂν ἐπεχείρησεν, ἵνα μὴ χείρονα τὴν αἰσχύνην ἐφελκύσηται. ἀλλ' ὃ ἔπαθεν ἐπὶ τῶν μαρτύρων, τοῦτο ἔπαθε καὶ ἐπὶ τοῦ Ἰώβ. ἀνεῖλε μάρτυρας, ἵνα σβέσῃ τὴν ἐκκλησίαν, οὐκ εἰδὼς, ὅτι μετὰ τοὺς μάρτυρας ἀνθήσει ἡ ἐκκλησία. πάντες οὖν ἠγνόουν, πλὴν τοῦ Θεοῦ. οἱ φίλοι ἀγνοοῦντες τὸν σκοπὸν τοῦ Θεοῦ, ἀγνοοῦντες καὶ τοῦ Ἰὼβ τὴν δοκιμασίαν, εἵλοντο ὡς ἐν συγκρίσει ἀγνοίας μᾶλλον καταδικάσαι τὸν Ἰὼβ ὡς ἄξια πάσχοντα, ἢ καταγνῶναι τοῦ Θεοῦ ὡς ἀναξίως δικάσαντος. πρόσεχε ἀκριβῶς· εἵλοντο κατακρῖναι ἄνθρωπον ὡς ἄξια πάσχοντα τῆς ἑαυτοῦ ἁμαρτίας, ἢ εἰπεῖν κατὰ τοῦ Θεοῦ, ὅτι ἀναξίως ἐδίκασε. καὶ ἐν μὲν μέρει κατὰ σκοπὸν ἐφέροντο, τὸν Θεὸν ἀδικίας ἐκτὸς λογιζόμενοι· ἐν δὲ μέρει διημάρτανον, κατακρίνοντες τὸν ἀθῷον. ἡ δὲ ἄγνοια ἀπολογεῖται ὑπὲρ τῶν ἀγνοούντων. καὶ ἀποδεκτοὶ, ὅτι ἐν ἀγνοίᾳ φιλοσοφοῦσι. οὐ γὰρ κατεψηφίζοντο, βλέποντες τὴν τοῦ Θεοῦ δικαιοσύνην. τὴν μὲν τοῦ Ἰὼβ δικαιοσύνην παραχαράττονται, τὴν δὲ Θεοῦ ἀνυμνοῦσιν. εἶτα Ἰὼβ ἄρχεται παρὰ τῶν φίλων ἐλέγχεσθαι, καὶ φασι πρὸς αὐτὸν ἐκεῖνοι, πότε ἀληθινοὶ πρόῤῥιζοι ἀπώλοντο; πότε εἶδες δικαίους ὁλοῤῥίζους ἀπολλυμένους; εἰ μὴ ἥμαρτες, φησὶ, καὶ ἄξια ἁμαρτίας ἐποίησας, οὐκ ἂν ἀδίκως ἠδίκησέ σε ὁ δίκαιος. πολλαί σου εἰσὶν ἁμαρτίαι. εἰ δὲ σὺ οὐχ ἥμαρτες, πόθεν τοῦτο; εἰ μὴ οἱ υἱοί σου ἥμαρτον; πολλάκις δὲ χήρας ἠδίκησας, ὀρφανοὺς ἔθλιψας; εἰ δὲ ταῦτα γέγονε, καὶ ὁ Θεὸς δικαίως ταύτην τὴν ψῆφον ἐπήγαγεν. ὁ Ἰὼβ συνῄδει μὲν ἑαυτῷ μηδὲν τοιοῦτον πεποιηκότι, συνῄδει δὲ καὶ τῷ Θεῷ μὴ ἀδίκως κρίνοντι. ἐπειδὴ οὖν εἶδεν ὁ Ἰὼβ, ὅτι παρὰ τοῖς ἀνθρώποις μὲν κατακρίνεται, ἡ δὲ συνείδησις αὐτὸν οὐ κατακρίνει, καὶ ὁ Θεὸς αὐτοῦ οὐ καταγινώσκει· ἐπειδὴ οὐκ εἶχε πείθειν ἀνθρώπους, μεταφέρει τὸν λόγον ἐπὶ τὸν κριτὴν, καὶ στρέφει τὸ ὄμμα τῆς ψυχῆς πρὸς τὰ ἄνω, οὐ βλασφημῶν, ἀλλὰ δυσωπῶν, καί φησι πρὸς αὐτόν· ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ἵνα τί με ἔθου κατεντευκτήν σου; σὺ ἐποίησάς με κατεντυγχάνειν τῆς σῆς δικαιοσύνης· οἶδάς μου τὴν καρδίαν. εἶτα μέγα τι φθέγγεται Ἰὼβ, οὐκ ἀπὸ κακίας, ἀλλ' ἀπ' ἀκακίας. καὶ ἵνα τὰ πολλὰ εἰς ὀλίγα συντέμω [πολλὴ γὰρ ἡ ὕλη τῆς δικαιολογίας] λέγει· τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καί σου, ἵνα γνῶ [τὸ] πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου, ὅτι οὕτω με ἔκρινας; φοβερὸν τὸ ῥῆμα, ἀλλ' ἀπ' ἀκακίας. προλαβὼν γὰρ εἶπεν ὁ Θεὸς, ὅτι οὐκ ἔστι κατ' αὐτὸν ἄκακος· τῷ δὲ ἀκάκῳ οὐδεὶς τὸ ῥῆμα εἰς πονηρίαν λογίζεται. ἀεὶ γὰρ, ἀδελφοὶ, πάντες ἡμεῖς οἱ ἄνθρωποι, μήτι γε Θεὸς, οὐ τοῖς πράγμασι δικάζομεν, ἀλλὰ τῇ προθέσει τῶν ποιούντων. ὑβρίζει υἱὸς πατέρα· καὶ τὸ πρᾶγμα ἀφόρητον, καὶ τῷ πάσχοντι, καὶ τῷ ἀκούοντι. καὶ πατραλοίας ὁ τοιοῦτος καλεῖται, καὶ μητραλοίας, καὶ ἀνόσιος καὶ παράνομος, ὅτι φωνὴν ἐναντίαν ἔῤῥηξε πατρὶ, ὅτι ἐτόλμησε δυσφημῆσαι τὴν ἑαυτοῦ ῥίζαν· ταῦτα δὲ πάσχει καὶ κατακρίνεται ὁ ἐπὶ τῶν τελείων ὢν λογισμῶν· παιδίον δὲ ἄκακον, κἂν τύπτῃ τὸν πατέρα, ἢ τὴν μητέρα, ἢ καὶ ὑβρίσῃ, πάσης εὐφροσύνης ποθεινότερον. πολλάκις μητέρες ἐρεθίζουσι τὰ τέκνα εἰς ὕβριν φέρουσαι, οὐ τῇ ὕβρει, ἀλλὰ τῇ ἀκακίᾳ, καὶ τῷ ἀκεραίῳ, καὶ ἀφελεῖ τοῦ ἤθους ἐπαγαλλόμεναι. οὕτω καὶ ὁ Θεὸς εἰδὼς ὅτι οὐκ ἐκ κακίας, ἀλλ' ἐξ ἀκακίας φθέγγεται, μαρτυρεῖ γὰρ αὐτῷ λέγων, ὅτι ἔτι δὲ ἔχεται ἀκακίας, δέχεται τὰ [παρὰ] τοῦ Ἰὼβ, εἰς κρίσιν καλούμενος παρ' αὐτοῦ. φοβερὸν τὸ ῥῆμα, οἰκέτην, δεσπότην καλεῖν εἰς κρίσιν· ἄνθρωπον, Θεόν· τὸ πλάσμα, τὸν πλάσαντα· τὸν πηλὸν, τὸν κατασκευάσαντα. ἀλλ' ὅμως, ὡς ἔφθην εἰπὼν, ἀκακίας τὸ ῥῆμα, οὐ πονηρίας. πλὴν ὅμως, ἀδελφοὶ, ἡ ἀκακία οὐκ ἦν ἐκτὸς συνέσεως, ἀλλ' ἐκτὸς πάσης σοφίας. θέλεις γὰρ τὸ ἀκριβέστερον μαθεῖν; οὐδὲν ᾔτησεν ὁ Ἰὼβ ὃ μὴ ἐποίησεν. ᾔδει ἑαυτὸν οἰκέτην τοῦ Θεοῦ, ᾔδει τὸν Θεὸν ἑαυτοῦ δεσπότην. ἀλλ' ἐπειδὴ καὶ αὐτὸς πολλάκις κρινόμενος πρὸς τοὺς ἑαυτοῦ δούλους, ἔδωκεν αὐτοῖς ἰσηγορίας ἀξίαν, καὶ ὁπότε ἐδοκιμάζετο πρὸς αὐτὸν δοῦλος, οὐχ ὡς δοῦλον ἐπεστόμιζεν, ἀλλὰ τὴν δικαιολογίαν ἐλάμβανεν· ὃ ἐποίησεν, ᾔτησε, πειθόμενος τῷ λόγῳ· ὅτι ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. καί φησι, τίς δώσει κριτήν; καὶ τοῦτο δούλοις ἐφύλαξεν ἰσηγορίαν; ἄκουε αὐτοῦ ὅτε τὰς ἀρετὰς ἀπαριθμεῖται, καὶ ταῦτα οὐκ ἀπὸ φιλοτιμίας, ἀλλ' ἀπ' ἀκακίας, λέγοντος· οὐκ ἀπεποιησάμην κρίμα θεράποντός μου, καὶ θεραπαινίδος μου, κρινομένων αὐτῶν πρός

πρός με δώσω ἀπόκρισιν τῷ Θεῷ· μὴ οὐχὶ ὡς ἐγὼ ἐπλάσθη; ταῦτα ἐννοῶν, τῇ κοινῇ τῆς φύσεως παρεῖχε τὸ κοινὸν τῆς ἰσηγορίας. ἡμεῖς δὲ, ἀδελφοὶ, οὐ τοιοῦτοι. θαυμάζεις τὸν δίκαιον; σαυτοῦ καταγίνωσκε. ὅτι πολλάκις ἐάν τις ἐγκαλῇ, οὐ λέγω δοῦλον, ἀλλ' ὀλίγον ὑποβεβηκότα, ἐὰν ἀποκρίνηται τὰ δίκαια, ὡς ἀναισχυντοῦντα καὶ τολμῶντα ἐξ ἰσοτιμίας φθέγξασθαι ἐπιστομίζει. ὅλως, φησὶ, καὶ τολμᾷς ἰσοτιμίας φθέγξασθαι, ἀπαιτεῖς τὸ δίκαιον; δέχου τὴν δικαίαν ἰσηγορίαν. ἐγκαλεῖ ὁ ὑπερήφανος, καὶ οὔτε δικαιολογίαν δέχεται, οὔτε σιωπὴν δυσωπεῖται. ἐὰν σιωπήσῃ ὁ ἐγκαλούμενος, κατεγνώσθη, φησὶν, οὐκ οἶδε διᾶραι τὰ χείλη· ἐὰν λαλήσῃ, ἐτόλμησε, φησὶ, πρὸς τὸν δεσπότην ῥῆξαι φωνήν. ἕτερος ἄλλος ὑπερηφανίας μεστὸς, ἐὰν ὑπὲρ τοῦ δικαίου, ὑπὲρ εὐγενοῦς ἀνδρὸς πείθηται, παρακαλούμενος δοῦναι λόγον πρὸς τὸν ἕτερον, καὶ συμβῆναι εἰς εἰρήνην, καὶ τὴν κακίαν καταπαῦσαι τῇ ἀγάπῃ, εὐθέως τῇ ὑπερηφανίᾳ φερόμενος λέγει· ἐγὼ εἰς τοῦτο κατέρχομαι; ὦ τῆς ὑπερηφανίας. ποῦ γὰρ ἕστηκας, ἵνα κατέλθῃς; ἐγὼ εἰς τοῦτο κατέρχομαι; ὡς τὸν οὐρανὸν πατῶν καὶ τὰς νεφέλας, οὕτω φθέγγεται. τὴν αὐτὴν γῆν πατεῖς, ἀπὸ τῆς αὐτῆς τρέφῃ, εἰς αὐτὴν ὑποστρέφεις, ἐν αὐτῇ θάπτῃ· καὶ ποῦ κατέρχῃ; οὐκ αἰδεῖσαι, οὐ δυσωπεῖσαι τὸ πάθος τοῦ Κυρίου; οὐκ αἰδεῖσαι λέγων πρὸς τὸν ὁμόδουλον, ἐγὼ εἰς τοῦτο κατέρχομαι; οὐκ αἰδεῖσαι ταῦτα λέγων, ἐννοῶν ὅτι Ἰησοῦς διά σε κατῆλθε; πρὸς τὰς τοιαύτας γνώμας καὶ τὰς τοιαύτας ὑπερηφανίας πρέπει σὺν τῷ Ἡσαΐᾳ πάντοτε βοᾶν· τί ἀλαζονεύεται γῆ καὶ σποδός; ὅμως δὲ εἰς τὸ προκείμενον ἐπανέλθωμεν· τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; ἐπιφαίνεται ἐπὶ τέλει ὁ δίκαιος κριτὴς, καὶ φαίνεται αὐτῷ ἀπὸ λαίλαπος καὶ νεφῶν, φαίνεται τῷ Ἰὼβ ἀπὸ νεφῶν ὁ τὸν ὄμβρον τῆς εὐλογίας μέλλων χέειν. φαίνεται αὐτῷ ἐκ νεφῶν, ὁ μέλλων τὸν σπόρον τὸν κοπριζόμενον ἀρδεύειν, καὶ διεγείρει τὸν Ἰὼβ, καὶ νεύει μόνον, καὶ διασκορπίζει τὰ πάθη· νεύει μόνον, καὶ ἐγείρει τὸν πεπτωκότα· καὶ λέγει αὐτῷ· Ἀνάστηθι, καὶ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. ἐπειδὴ εἰς κρίσιν με ἐκάλεσας, καὶ εἶπας, τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; ἀνάστηθι ὁ γενναῖος ἀγωνιστὴς, ὁ μὴ πεσὼν τῇ πληγῇ τῆς συμφορᾶς, ἀνάστηθι. ἐὰν γάρ τις παιδευθεὶς, γενναίως ἐνέγκῃ τὴν συμφορὰν καὶ τὴν παιδείαν, ἀκούει παρὰ τοῦ Θεοῦ, τὸ ἀνάστηθι· ὡς ὅταν λέγῃ τῇ Ἱερουσαλὴμ, ἀνάστηθι Ἱερουσαλὴμ, ἡ πιοῦσα τὸ ποτήριον τοῦ θυμοῦ μου. περίζωσαι ὡς ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι· οὐκ εἶπε, κρινῶ σε, σὺ δέ μοι ἀποκρίθητι. οὐ γὰρ ἐκάλεσάς με, φησὶν, * εἰς τὸ συγκριθῆναί σοι. δικαστὴν ᾔτησας μεταξὺ ἐμοῦ καὶ σοῦ, σὺ γενοῦ δικαστής. οἴει ἄλλως σοι κεχρηματικέναι με, ἢ ἵνα ἀναφανῇς δίκαιος; νομίζεις, φησὶν, * δι' ἄλλο τι τὴν συμφορὰν ἐπήγαγόν ταύτην, ἢ ἵνα δίκαιόν σε ἀναφαίνω; καὶ βλέπε τῇ ἀκριβείᾳ τῶν τοιούτων ῥημάτων προσέχων. οὐκ εἶπεν, οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα γένῃ δίκαιος; οὐ γὰρ ἡ συμφορὰ αὐτὸν δίκαιον ἐποίησεν, ἀλλὰ δίκαιον ἐγνώρισεν. οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; ἐμοὶ μὲν γάρ, φησι, καὶ πρὸ τῶν ἀγώνων ἦσθα γνώριμος· τῷ δὲ κόσμῳ διὰ τῆς συμφορᾶς γνωρίζῃ, τῷ κόσμῳ διὰ τῆς πάλης κηρύττῃ. διὰ τοῦτό σοι ἐχρημάτισα, οὐχ ἵνα βλάψω, ἀλλ' ἵνα στέψω· οὐχ ἵνα καταισχύνω, ἀλλ' ἵνα λαμπρύνω. πλὴν ἐπειδὴ διὰ τὴν ἀκακίαν ἐξῆλθες τὸ μέτρον τῆς φύσεως, συγγινώσκω τῇ ἀκεραιότητι. κἂν γάρ τις ἀπὸ ἀκακίας ἁμάρτῃ, ὁ Θεὸς διορθοῦται τὰ ἀπὸ ἀκακίας γινόμενα. ἐπειδὴ ὅλως ἐκάλεσας Θεὸν εἰς κρίσιν, εἰπέ μοι, ποίαν ἔχων πρὸς ἐμὲ ὁμοτιμίαν ἐκάλεσάς με; ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; σύγχρονος ἐγένου τοῦ ποιητοῦ, ἵνα καλέσῃς αὐτὸν εἰς κρίσιν; ὁ μὲν πρὸ τῶν αἰώνων, σὺ δὲ μετὰ πολλοὺς αἰῶνας, ὅτε ἔπλαττον τὴν γῆν, οὐ παρῆς· ὅτε τὴν θάλατταν, οὐ παρῆς· ἢ ὅσα τοιαῦτα, οὐ παρῆς· πᾶσα ἡ κτίσις ἐγένετο, καὶ σὺ οὐδαμοῦ ἦσθα. τὸν οὖν ἀρχαιότερον τῶν αἰώνων τὸν κτίστην τῆς δημιουργίας εἰς κρίσιν ἐκάλεσας; ὅτε ἐξέτεινα σπαρτίον ἐπὶ τῆς γῆς, ὅτε τοὺς στύλους αὐτῆς ἥδρασα, ὅτε μετήγαγον ἐκ κοιλίας μητρὸς αὐτῆς, ὅτε ἐγεννᾶτο ἡ θάλασσα, ποῦ ἦς; ὅτε αὐτὴν ἐσκέπασα νεφέλῃ, ὁμίχλῃ δὲ αὐτὴν περιέβαλον, ποῦ ἦς; καθάπτεται αὐτοῦ ὡς ἀναξίως φθεγξαμένου, ἀπὸ ἀκακίας μὲν, πλὴν ἀπ' ἀγνοίας. καὶ τί ποιεῖ; οὐκ ἐπὶ πάντων αὐτὸν ἐλέγχει, ἀλλ' ὡς φίλον ἰδίᾳ διορθοῦται. ὡς οὖν εἶπε ταῦτα, καὶ τὰ τούτοις παραπλήσια [οὐ γὰρ καιρός ἐστι κατὰ μέρος πᾶσαν λέξιν ἑρμηνεῦσαι] καὶ ὁ Ἰὼβ ἐπιγνώμων ἑαυτοῦ γενόμενος [ὁ γὰρ δίκαιος ἐκ πρώτου ἐλέγχου διορθοῦται τὸ σφάλμα] λέγει· Κύριε, ἀκοῇ μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου εἶδέ σε, καὶ ἐξουδένωσα ἐμαυτόν. ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν, καὶ ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. βλέπε πῶς ἀνακαλεῖται τὸ σφάλμα ὁ καλῶς τὴν μέμψιν δεξάμενος· ἅπαξ ἐλάλησα, καὶ τοῦτο ἀπὸ ἀκακίας, οὐκ ἀπὸ πονηρίας· ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. τίς γάρ εἰμι ἐγὼ κρινόμενος ἐναντίον Κυρίου;

A adverſum me : Dabo reſponſum Deo : Nunquid & ſicut ego formatus eſt ? hoc cogitans, naturæ communi communem dicendi tribuit poteſtatem. Nos autem, fratres, non tales : admiraris juſtum ? & teipſum damna. Quoniam ſæpe cùm quis accuſat, non dico ſervum, ſed ſe paulò inferiorem : ſi reſpondeat juſta, tanquam impudentem, & quòd audeat ſibi parem honorem loquendo vindicare, ſilere jubet. Omnino, inquit, tanquam æqualis in honore loqui audes ? Exigis quod juſtum B eſt ? & tu juſtam accipe dicendi paritatem. Accuſat ſuperbus, & neque cauſæ defenſionem admittit, neque ſilentii veneratione movetur. Si tacuerit qui accuſatur, damnatus eſt, inquit : labia neſcivit aperire. Si loquetur, auſus eſt, inquit, adverſus dominum verba facere. Alius arrogantia tumens, ſi à juſto, ſi à nobili viro rogatur alteri ſermonem reddere, ad pacem conſentire, & charitate conculcare malitiam, illico ſuperbia abreptus dicit : Ego ad hoc condeſcendam ? O ſuperbia, ubi C ſtetiſti ut deſcendas ? Ego ad hoc condeſcendam ; veluti cœlum perambulans & nubes, ſic loquitur. Eandem perambulans terram, ex eadem nutriris, in eandem reverteris, in eadem tumulaberis, & quò deſcendis ? Non revereris, non erubeſcis paſſionem Domini ? Non pudore confunderis ad conſervum dicere, Ego in hoc condeſcendam ? Non erubeſcis eadem dicens, ſciens quoniam Jeſus propter te deſcenderit ? Ad tales ergo ſententias, ſimilemque ſuperbiam cum Sa-D lomone clamare licet : *Quid ſuperbis terra & cinis* ? Tamen Eccl. 10, 9. ad nobis ſubjectum opus revertamur. Quis dabit medium judicem inter te & me ? Apparet Job tandem juſtus judex, & apparet illi de turbine ei nubibusque ; apparet ex nubibus effuſurus imbrem benedictionis, apparet ei ex nubibus ſtercoratum ſemen irrigaturus, atque excitat Job, nutuque ſolo paſſiones diſſipat, nutuque ſolo eum erigit qui ceciderat, & dicit ei : *Exurge atque præcinge ſicut vir lumbos tuos* ; interrogabo te, tu verò reſpon- Job 40, 2. E de mihi. Quandoquidem in judicium vocaſti me, & dixiſti : Quis dabit judicem medium inter me & te ? Surge ô generoſe miles, qui adverſitatis ictu non cadis, ſurge. Si enim quis caſtigatus generoſè tulerit afflictionem & caſtigationem, audit à Deo, Exurge : veluti cùm ad Hieruſalem dicit, Exurge Hieruſalem, quæ bibiſti calicem iræ meæ. Accinge ſicut vir Eſai. 51, 17. lumbos tuos, interrogabo te, tu verò reſponde mihi. Non enim vocaſti, inquit, me ad judicium ut te judicarem : ſed vocaſti me, ut tecum judicarer : inter me & te judicium poſtu-A laſti, ipſe ſis judex. Putas me aliter viſitaſſe te, quàm ut appareas juſtus ? Putas à me, inquit, hanc adverſum te permiſſam eſſe calamitatem, niſi ut juſtum oſtendam ? Et inde eiſdem diligenter attende verbis, non dixit ſe viſitaſſe, uti fiat juſtus : non enim adverſitas juſtum eum effecit, ſed juſtum eſſe oſtendit. Exiſtimas me ſecus viſitaſſe te, quàm ut appareas juſtus ? Mihi quidem, inquit, & ante ipſum agonem notus eras, mundo autem per adverſitatem innoteſces, mundo per certamen prædica-B beris : propterea viſitavi te, non ut noceam, ſed ut coronem : ut illuſtrarem, non deturparem. Verùm quoniam ex ſimplicitate & innocentia ipſam naturæ menſuram egreſſus es, tuæ parco ſinceritati. Nam etſi quiſpiam ſimplicitate peccaverit, Deus ad rectum redigit ex ſimplicitate factum. Cùm verò prorſus Deum in judicium vocaveris, dic mihi, qualem habens apud me honoris paritatem vocaſti me ? ubi eras cùm ponebam fundamenta terræ ? Coætaneus factori fuiſti, ut eum in judicium voca-C res ? Hic quidem ante ſecula, tu autem poſt multa ſecula. Cùm formarem terram, non aderas : cùm mare, non aderas, aut cùm alia ejuſmodi, non aderas ? omnis creatura facta erat, & tu nuſquam eras. Antiquiorem ergo ſeculis creatorem univerſi in judicium vocaſti : cùm extenderem funiculum ſuper terram, cùm fundarem columnas ejus, cùm eduxi de ventre matris ejus, cùm pariebatur mare, ubi eras ? cùm idem nube operirem : caligine autem circumdarem, ubi eras. Reprehendit tanquam indignè fuerit locutus, D ex ſimplicitate quidem, verùm ex ignorantia. Et quid facit ? Non coram omnibus eundem increpat, ſed quaſi amicum inter ſe & illum corrigit. Ubi ergo hæc, hiſque ſimilia dixit (non enim nobis vacat totam orationem interpretari) & Job in ſui notitiam veniens (nam juſtus ad primam quamque reprehenſionem lapſum corrigit) dicit, *Domine auditu auris prius audivi te, nunc* Job 42, 6. *autem oculus meus vidit te, & exinanivi meipſum, puto me terram & cinerem* : ſemel locutus ſum, & ſecundum non addam. Vide E quomodo revocat peccatum vir bonus, correptionem ſuſcipiens ? Semel locutus ſum, & id non malitia, ſed ſimplicitate, ſecundò non addam. Quis enim ſum ego judicatus in conſpectu Domini ?

quæ non noverat Job per ſimplicitatem, poſt correptionem didiſcit: hinc quid Deus? non concedit ei recuſare judicium, ſed dicit: Modò accinge ut vir lumbos tuos, ſta, inquit, ſicut vir: ne putaveris quòd te propterea deterruerim, ponere judicium fugiens, ſed quò tuam ſimplicitatem in melius reformarem. Judicium quidem non effugi: juſtè me judica, rationemque geſtorum expoſtula. Judicatus es ut coroneris: judicatus es ut admiratione te proſequatur omnis regio ſub cœlo. Ante calamitatem unus te terræ angulus noverat; poſt calamitatem omnis te ſub cœlo regio cognoſcet. Sterquilinium tuum omni regali diademate fit illuſtrius; qui diademata ferunt, videre cupiunt & agonem tuum & laborem certaminis: paradiſum feci ſterquilinium tuum, colui ad pietatem, plantam cœleſtem reddidi: ſuſcepiſti cœleſtia, accipe & terrena, ſuſcipe omnia duplicia. Hic tuam, Chriſtiane, ſpem diſce, excellentiamque promiſſionis tuæ. Duplum quidem Job promiſit, & duplicia dat: Salvator autem ſuis diſcipulis

Mat. 19, 29. dicit, *Qui reliquerit patrem vel matrem, vel fratres, vel ſorores propter me, centuplum accipiet, & vitam æternam poſſidebit.* Sed illud diligenter attende, quomodo ſeorſum quidem, ac privatim corrigit amicum: Job verò amicos publicè redarguit. Dicit

Job. 42, 8. enim eiſdem Deus: *Ut quid non eſtis recta locuti adverſus ſervum meum Job?* Sed ô juſte judex, pro te ſermonem fecimus, tuam prædicavimus juſtitiam: condemnavimus hominem, ſed tuam juſtitiam innocuam oſtendimus. Hic ergo juſtum Dei judicium attende. Si enim pro ſe adverſus juſtum dicentem non recipit, eos qui injuſtè contra juſtum dicunt, recipiet? Ergo ejus amicos corripit, & dicit: Et nunc niſi propter ſervum meum Job morti vos fortaſſe tradiderim. Simul ergo & corripit, & ſervat. Servat quidem, eò quòd nihil mali contra Deum dicatur: corripit autem juſtum, ſimplicitatem in melius reformans. Et honorat quidem amicos per illum, honorat autem juſtum per certamen, datque ei duplum: atque de tenebris ei lumen & tunc illuxit, & nunc. Unum etiam addentes rei excellentiam oſtendemus. Suſcepit oves in duplum, boves, camelos, aſinos in decuplum, decem autem amittens liberos, viginti non recipit. Hic exquirendum eſt, quomodo jumenta quidem in duplum, in ſimplum verò reſtituuntur liberi. Beſtiæ quidem & jumenta, quoniam quidem ſemel amiſſa, prorſus perierant: homo autem mortuus, in vitam reſervatur, & ad reſurrectionem excitatur: Non ei liberos in duplum dat: ne per hoc eorum qui obierunt, ſpem tollat, ſed ut oſtendat, quoniam illi tametſi prærepti ſint, vivunt tamen: & illi quidem omnes ſancto Job donantur: Non dat tamen præter decem, quò Job inveniatur non à vita in mortem, ſed à domo in domum tranſiens. Nam cum decem filii vitæ terminum finientem ad tumulum uſq; duxerunt, decem eundem iterum in reſurrectionis die à tumulo in regnum ſuſcipient, atque ineffabilibus illis ſempiternisque bonis, ſimulque parili lætitia perfruentur. Quibus omnes nos dignos fieri contingat, gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria & imperium cum patre, & ſancto Spiritu, nunc & ſemper, & in ſecula. Amen.

A ἃ μὴ συνέγνω ὁ Ἰὼβ δι' ἀκακίαν, μανθάνει μετὰ τὸν ἔλεγχον. εἶτα τί ὁ Θεός; οὐ συγχωρεῖ αὐτῷ παραιτήσασθαι τὴν κρίσιν, ἀλλά φησιν· οὐχὶ, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. στῆθι, φησιν, ὡς ἀνήρ· μὴ νομίσῃς ὅτι διὰ τοῦτό σε κατέπληξα τῇ δυναστείᾳ, φυγεῖν τὸ δίκαιον, ἀλλὰ διορθωσάμενον σου τὴν ἀκακίαν. τὴν μέντοι κρίσιν οὐ παραιτοῦμαι· κρῖνόν με δικαίως, καὶ ἀπαίτει λόγον τῶν γινομένων.
B ἐκρίθης ἵνα στεφθῇς, ἐκρίθης ἵνα ἀγασθῇς ἐν πάσῃ τῇ ὑπ' οὐρανόν. πρὸ τοῦ πάθους μία σε γωνία ἐγνώριζε, μετὰ τὸ πάθος πᾶσα γνωρίσει ἡ ὑπ' οὐρανόν. ἡ κοπρία σου παντὸς βασιλικοῦ διαδήματος λαμπροτέρα γίνεται· οἱ τὸ διάδημα φέροντες ἐπιθυμοῦσιν ἰδεῖν σου καὶ τὸν ἀγῶνα καὶ τὸν πόνον τῶν ἀθλημάτων· παράδεισόν σου ἐποίησα τὴν κοπρίαν, ἐγεώργησα πρὸς εὐσέβειαν, φυτὸν ἐπουράνιον ἀνέδειξα. ἔλαβες τὰ ἐπουράνια, δέχου καὶ τὰ ἐπίγεια, λάμβανε τὰ πάντα εἰς τὸ διπλάσιον. ἐνταῦθα μάθε, πᾶς
C Χριστιανὲ, τὴν σὴν ἐλπίδα, τὴν ὑπεροχὴν τῆς σῆς ἐπαγγελίας. τῷ Ἰὼβ μὲν γὰρ διπλασίονα ἐπαγγέλλεται, καὶ διπλάσια δίδωσιν· ὁ δὲ Σωτὴρ τοῖς ἑαυτοῦ μαθηταῖς φησιν· ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. ἀλλ' ἐκεῖνο πρόσεχε ἀκριβῶς, ὅπως τὸν μὲν φίλον ἰδίᾳ διορθοῦται, τοὺς δὲ φίλους τοῦ Ἰὼβ ἐλέγχει παρρησίᾳ· καὶ λέγει αὐτοῖς ὁ Θεός, ἵνα τί οὐκ ἐλα-
D λήσατε ὀρθὰ κατὰ τοῦ θεράποντός μου Ἰώβ; ἀλλ', ὦ δικαιοκρίτα, ὑπέρ σου τὸν λόγον ἐθέμεθα· τὴν σὴν δικαιοσύνην ἐκηρύξαμεν, κατεψηφισάμεθα ἀνθρώπου, τὴν δὲ σὴν δικαιοσύνην ἀθῷαν ἐδείξαμεν. ἐνταῦθα οὖν πρόσεχε τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ. εἰ γὰρ τὸν ὑπὲρ αὐτοῦ λέγοντα κατὰ τοῦ δικαίου οὐ δέχεται, τοὺς κατὰ τοῦ δικαίου λέγοντας παρὰ τὸ δίκαιον δέξεται; ἐλέγχει οὖν τοὺς φίλους αὐτοῦ, καὶ λέγει· καὶ νῦν, εἰ μὴ διὰ τὸν δοῦλόν μου Ἰώβ, ἀπώλεσα ἂν ὑμᾶς·
E ὁμοῦ οὖν καὶ ἐλέγχει, καὶ διασώζει. σώζει μὲν διὰ τὸ μηδὲν πονηρὸν κατὰ τοῦ Θεοῦ λέγειν· ἐλέγχει δὲ τὸν δίκαιον, τὴν ἀκεραιότητα ἐπανορθούμενος. καὶ τιμᾷ μὲν τοὺς φίλους δι' ἐκεῖνον· τιμᾷ δὲ τὸν δίκαιον διὰ τὴν ἄθλησιν, καὶ δίδωσιν αὐτῷ διπλάσιον, καὶ ἀπὸ σκότους αὐτῷ τὸ φῶς ἔλαμψε καὶ τότε καὶ νῦν. ἓν δὲ ἔτι εἰρηκότες δείξωμεν τὴν ὑπεροχήν. ἔλαβε τὰ πρόβατα εἰς τὸ διπλάσιον, βόας, καμήλους, ὄνους εἰς τὸ δεκαπλάσιον· τὰ δὲ τέκνα ἀπολέσας δέκα, εἴκοσι οὐκ ἔλα-
A βεν. ἐνταῦθα ζητητέον, πῶς τὰ κτήνη μὲν εἰς τὸ διπλάσιον, τὰ δὲ τέκνα εἰς τὸ ἁπλοῦν. ἐπειδὴ τὰ κτήνη μὲν καὶ τὰ κτήματα ἀπολλύμενα τέλειον ἀπώλοντο, ἄνθρωπος δὲ ἀποθανὼν εἰς ζωὴν διαφυλάττεται, καὶ εἰς ἀνάστασιν ἐγείρεται. οὐ δίδωσιν αὐτῷ εἰς τὸ διπλάσιον τὰ τέκνα, ἵνα μὴ ἐκκόψῃ τὴν ἐλπίδα τῶν ἀπελθόντων, ἀλλὰ ἵνα δείξῃ αὐτῷ, ὅτι κἀκεῖνοι, εἰ καὶ προηρπάγησαν, ἀλλὰ ζῶσι. κἀκεῖνοι μὲν πάντες χορηγοῦνται αὐτῷ Ἰώβ. οὐ δίδωσι δὲ αὐτῷ
B πλὴν δέκα, ἵνα εὑρεθῇ Ἰώβ, οὐκ ἀπὸ ζωῆς εἰς θάνατον, ἀλλ' ἀπ' οἴκου εἰς οἶκον μεταβαίνων. δέκα γὰρ αὐτὸν τελέσαντα τὸν βίον μέχρι τάφου προέπεμψαν, δέκα πάλιν αὐτὸν ἐν τῇ τῆς ἀναστάσεως ἡμέρᾳ ἀπὸ τοῦ τάφου εἰς βασιλείαν παραδέξονται· καὶ τῶν ἀπορρήτων ἐκείνων καὶ αἰωνίων ἀγαθῶν ἀπολαύσουσιν ὁμοθυμαδόν· ὧν γένοιτο πάντας ἡμᾶς καταξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας, Ἀμήν.

Homilia v. de Patientia Job reperitur ordine XXII. inter Florilegia ex operibus Chryſoſtomi à Theodoro Magiſtro ſive quopiam alio collecta, & Moguntiæ edita An. 1603.

C

In illud Propheticum, veruntamen fruſtra conturbatur omnis homo vivens: & de eleemoſyna.

JOACHIMO PERIONIO Interprete.

Ex Edit. Perionii Pariſ. emend. ex mſ. Cæſario in edit. Angl.

Piſcatorem ſinus altus excitat, cùm jacto reti magnamque marinorum piſcium copiam nactus, laborans onere verriculum trahit: & venatorem ſylva ferarum altrix, cùm montes ſcrutatus, denſoque vertice aperto, cum præclara & opima præda revertitur. D Quòd ſi his qui in quæſtu & venatione occupati ſunt, voluptatem affert labor is qui his in rebus ſuſcipitur: quanto majorem afferre debent pericula Eccleſiaſticorum ſinuum piſcatoribus, quibus præmium non diurnum, nec terrenum, ſed ipſum cœlorum regnum proponitur? Agite, ergo dilecti, Davidicæ lyræ Pſalmorum cantum pulſemus, & cum Davide generis hominum obſcuritatem

Pſal. 38, 7. & abjectionem notemus his verbis, *Veruntamen fruſtra conturbatur omnis homo vivens*: perturbatur, & tandem interibit ac E peribit: perturbatur, & antè quàm confirmatus ſit, conculcatur: ut ignis incenditur, & inſtar ſtipulæ in cinerem redigitur: ut procella extollitur, & ut pulvis terræ adæquatur: ut flamma excitatur, & inſtar fumi diſſipatur: ut flos formâ eſt præſtanti, & ut fœnum exſiccatur: ut nubes conglobatur, & tanquam gutta imminuitur: ut denique bulla inflatur, & ſcintillæ inſtar extinguitur:

Εἰς τὸ προφητικὸν ῥητὸν τὸ λέγον, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν· καὶ περὶ ἐλεημοσύνης.

Προτρέπεται καὶ κόλπος βυθὸς ἁλιέα, ὅταν τὸ δίκτυον ῥίψας, καὶ πολλὴν τὴν ἐναλίων ἄγραν περιλαβὼν, κάμνοντα τῷ φόρτῳ τὴν σαγήνην ἐφέλκηται· καὶ θηρατὴν ὕλη θηροτρόφος, ὅταν ὄρη διερευνήσας, καὶ κορυφὴν κατάκομον D ἀναπτύξας, μετὰ λαμπρᾶς, καὶ πλουσίας ἐπανέλθῃ τῆς ἄγρας. εἰ δὲ τοῖς περὶ κέρδη καὶ θήραν ἐσπουδασμένοις γλυκὺς ὁ περὶ ταῦτα πόνος ὑπάρχει· πόσῳ μᾶλλον τοῖς τῶν ἐκκλησιαστικῶν ἁλιεῦσι κόλπων, οἷς τὸ κέρδος, οὐχ ἡμερινὸν, οὐδὲ πρόσγειον, ἀλλ' αὐτὴ τῶν οὐρανῶν ἡ βασιλεία καθέστηκε; φέρε οὖν, ἀγαπητοὶ, Δαβιδικῆς κιθάρας τὸ ψαλμικὸν ἀνακρούσωμεν μέλος, καὶ μετὰ τοῦ Δαβὶδ τὴν ἀνθρωπίνην εὐτέλειαν στηλιτεύσαντες, εἴπωμεν· Πλὴν μάτην ταράσσε-
E ται πᾶς ἄνθρωπος ζῶν· ταράσσεται, καὶ τὸ τέλος ἀπόλλυται· ταράσσεται, καὶ πρὶν καταστῆναι, καταπατεῖται· ὡς πῦρ ἀνακαίεται, ὡς καὶ καλάμη ἀποτεφροῦται· ὡς θύελλα ἐπαίρεται, καὶ ὡς κόνις ἐδαφίζεται· ὡς φλὸξ ἀναρριπίζεται, καὶ ὡς καπνὸς διαλύεται· ὡς ἄνθος ὡραΐζεται, καὶ ὡς χόρτος ξηραίνεται· ὡς νέφος ὑπεραπλοῦται, καὶ ὡς σταγὼν ἀπομειοῦται.

ὡς

ὡς πομφόλυξ διαλύεται, καὶ ὡς σπινθὴρ ἀποσβέννυται. ταράσσεται, καὶ τῇ ἀπληστίᾳ κερδαίνει τὴν δυσωδίαν· ταράσσεται, καὶ τὸ ἀπὸ τῆς ταραχῆς οὐδὲν λαμβάνων, ἀπέρχεται. αὐτοῦ αἱ ταραχαὶ, καὶ ἄλλων αἱ τρυφαί· αὐτοῦ οἱ πόνοι, καὶ ἄλλων οἱ θησαυροί· αὐτοῦ αἱ φροντίδες, καὶ ἄλλων αἱ εὐφροσύναι· αὐτοῦ αἱ θλίψεις, καὶ ἄλλων αἱ ἀπολαύσεις· αὐτοῦ αἱ κατάραι, καὶ ἄλλων αἱ θεραπεῖαι· αὐτοῦ αἱ ἁρπαγαὶ, καὶ ἄλλων αἱ ἡδοναί. παρ' αὐτῷ ὁ στεναγμὸς καὶ παρ' ἑτέροις οἱ πλεονασμοί. παρ' αὐτῷ τὰ δάκρυα, καὶ παρ' ἑτέροις τὰ χρήματα. αὐτὸς ἐν ᾅδῃ κολάζεται, καὶ ἄλλοι πάλιν ἐν τοῖς αὐτοῦ ἐντρυφῶσι ψάλλοντες. πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν· ἄνθρωπος, τὸ τῆς ζωῆς πρόσκαιρον δάνεισμα, τὸ τοῦ θανάτου ἀνυπέρθετον ὄφλημα, τὸ ἐκ προαιρέσεως ἀδάμαστον ζῶον, τὸ αὐτοδίδακτον πονήρευμα, τὸ αὐτομαθὲς ἐπιβούλευμα, τὸ εὔτεχνον εἰς κακουργίαν, τὸ εὐμήχανον εἰς ἀδικίαν, τὸ ἕτοιμον εἰς πλεονεξίαν, τὸ ἀκόρεστον εἰς ἀπληστίαν, τὸ εὐφυὲς εἰς ἀπιστίαν, τὸ ὑπερήφανον πνεῦμα, τὸ μεγαλόρρημον θράσος, τὸ εὐδιάλυτον φρύαγμα, τὸ εὐκαθαίρετον ὕψωμα, τὸ εὐάλωτον τόλμημα, ὁ πηλὸς ὁ αὐθάδης, ἡ τέφρα ἡ στασιώδης, ἡ κόνις ἡ μεγαλόφρων, ἡ σποδὸς ἡ πεφυσιωμένη, ὁ σπινθὴρ ὁ εὐκατάσβεστος, ἡ φλὸξ ἡ εὐμάραντος, ὁ εὐρίπιστος λύχνος, τὸ ἑτοιμόφθαρτον ξύλον, ὁ εὐξήραντος χόρτος, ἡ εὐνέκρωτος χλόη, ἡ εὐδαπάνητος φύσις· ὁ σήμερον ἀπειλῶν, καὶ αὔριον τελευτῶν· ὁ σήμερον ἐν πλούτῳ, καὶ αὔριον ἐν τάφῳ· ὁ σήμερον ἐν διαδήματι, καὶ αὔριον ἐν μνήματι· ὁ σήμερον ἐν πορφύρᾳ, καὶ αὔριον ἐν ἐκφορᾷ· ὁ σήμερον ἐν θησαυροῖς, καὶ αὔριον ἐν σοροῖς· ὁ σήμερον ἐν κόλαξι, καὶ αὔριον ἐν σκώληξιν· ὁ σήμερον ὢν, καὶ αὔριον μὴ ὤν· ὁ ἄρτι φρυαττόμενος, καὶ μετ' ὀλίγον θρηνούμενος· ὁ ἐν εὐπραγίαις ἀφόρητος, καὶ ἐν δυσπραγίαις ἀπαραμύθητος· ὁ ἑαυτὸν ἀγνοῶν, καὶ τὰ ὑπὲρ αὐτὸν πολυπραγμονῶν· ὁ τὸ παρὸν οὐκ εἰδὼς, καὶ περὶ τῶν μελλόντων φανταζόμενος· ὁ φύσει θνητὸς, καὶ τῇ ἐπάρσει, ὡς νομίζει, αἰώνιος· τὸ πάσης ἀρρωστίας προκείμενον πάρεργον· τὸ παντὸς πάθους εὐδιάβατον καταγώγιον· τὸ τῶν πυρετῶν ἀδιάφορον καθημερινὸν γυμνάσιον· τὸ πάσης λύπης εὐπαράδεκτον πανδοχεῖον. ὢ πόση τῆς ἡμετέρας εὐτελείας ἡ τραγῳδία· ὢ πόσος ὁ τῆς ἀνθρωπίνης εὐτελείας θρίαμβος· ὢ πόσα εἶπον, καὶ τῆς προφητικῆς φωνῆς οὐδὲν ἁρμοδιώτερον εὗρον, τῆς λεγούσης, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν; τέλος, ὅρα, ἀγαπητὲ, εἰ μὴ θάλατταν μιμεῖται τὰ τῶν ἀνθρώπων πράγματα, εἰ μὴ τῆς ἐκεῖθεν ταραχῆς ὁ βίος ἐμπέπλεκται, εἰ μὴ τῶν ὑγρῶν πλέον ἐπὶ τῆς ξηρᾶς χειμαζόμεθα, εἰ μὴ τῶν ἀνέμων σφοδρότερον ἀλλήλοις συμπίπτομεν, εἰ μὴ τὰ χρήματα, καθάπερ καταιγίδες, ἀλλήλοις ἡμᾶς συγκρούουσιν, εἰ μὴ, καθάπερ ἐν ζάλῃ θαλαττίῳ, ὧδε κἀκεῖσε περιφερόμεθα. οὗτος ἐκείνου τὸν ἀγρὸν παρεσπάσατο, ἄλλος τοῦ δεῖνα τοὺς οἰκέτας ἀφήρπασε· καὶ ὁ μὲν περὶ ὕδατος τῷ γείτονι κρίνεται· ὁ δὲ περὶ ἀέρος τῷ συνοικήτορι πολεμεῖ. οἱ μὲν διὰ μέτρα τῆς γῆς διαπληκτίζονται· οἱ δὲ περὶ οἰκοδομῆς ἀλλήλους διαθλίβουσιν. οὗτος, ἅπερ οὐκ ἔδωκε, λαβεῖν ἐπιζητεῖ· ἐκεῖνος, ἅπερ ἔλαβε, μὴ δοῦναι δικάζεται. ὁ μὲν περὶ τόκους ἀπληστεύεται· ὁ δὲ καὶ τὸ κεφάλαιον ἀποστερεῖν διαγωνίζεται. οὗτος ἀπορῶν ὀδυνᾶται, ἐκεῖνος εὐπορῶν θορυβεῖται. ὁ μὴ ἔχων, ὀνειδίζεται, καὶ ὁ ἔχων ἐπιβουλεύεται· ὁ ἐν ἀρχαῖς, ὑποβλέπεται· ὁ ἐν ἐξουσίαις, μισεῖται· ὁ ἐν δυναστείαις ὁπλίζεται· οἱ πόλεμοι συνέχουσιν, οἱ φθόνοι ἐπάλληλοι, ἡ ἀπληστία τυραννεῖ, ἡ πλεονεξία καταδυναστεύει, τὸ ψεῦδος ὑπεραίρεται, ἡ πρὸς ἀλλήλους πίστις ἀπέφυγεν, ἡ ἀλήθεια τὴν γῆν καταλέλοιπεν, ἡ φιλία μέχρι τραπέζης περιορίζεται. οἱ ἄλλοι τὴν ἰδίαν ἰσχὺν ἀπώλεσαν· ἡ γῆ λοιπὸν τὰ κακὰ βαστάζειν οὐ δύναται· ὁ ἀὴρ μέχρις αὐτοῦ τοῦ αἰθέρος μεμόλυνται, διὰ τὰ χρήματα ὁ βίος ἀβίωτος γέγονε. διὰ τὰ χρήματα ἐλεύθερα στοιχεῖα πεπράκαμεν. ὁδοὶ τελωνεύονται, ἡ γῆ ἀποκληροῦται, ὕδατα δεσπόζονται, ὁ ἀὴρ ὠναῖς ὑποβάλλεται· δεκατολόγοι καὶ φορολόγοι καὶ τελῶναι τὰς πόλεις συνέχουσιν· οἱ πλούσιοι τῶν φροντίδων ἐκτήκονται. οἱ δανεισταὶ ταῖς μερίμναις μαραίνονται· οἱ ἅρπαγες τὸν βίον ταράττουσιν· οἱ φιλοχρήματοι τὰ δικαστήρια κατατρίβουσιν· οἱ ἔμποροι τὰς συμφορὰς πραγματεύονται· οἱ συκοφάνται τὸ ψεῦδος πιπράσκουσιν· ἀλλήλοις ψευδόμενοι τοὺς ὅρκους ἀνηλώσαμεν· εἰς τὸ ὀμνύειν μόνον τὸν Θεὸν ἐπιστάμεθα. οὕτω πάντας ἐν κακοῖς συνεστραμμένους ὁρῶν ὁ προφήτης, καὶ τὸν βίον ταλανίζων, ἔλεγε· πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν. ἄνθρωπος μόνος, ὦ προφῆτα, ταράσσεται; ἡ λογικὴ μόνη διάπλασις κατηγορεῖται; οὐδὲν τῶν ἐν ζώοις ἢ στοιχείοις ταρασσόμενον εὗρον. ταράσσεται, φησι, τὰ ὕδατα, καὶ πάλιν ἀποκαθίσταται· σαλεύεται ἡ γῆ, καὶ πάλιν ἑδράζεται· κινοῦνται οἱ ἄνεμοι, καὶ πάλιν ἡσυχάζουσι· θορυβεῖται πᾶν θηρίον, καὶ κορεννύμενον παύεται. διεγείρεται φλὸξ, καὶ ὑποκειμένην ὕλην ἀναλίσκουσα σβέννυται· ἄνθρωπος δὲ ταρασσόμενος ἐπὶ χρήμασιν, οὐδέποτε παύεται.

A perturbatur, & inſatiabili cupiditate fœdum tetrumque odorem ſibi parit: perturbatur, & cum ei perturbatio nulli uſui fuit, extinguitur. Ejus ſunt motus & perturbationes, aliorum deliciæ: ejus labores, aliorum theſauri: ejus curæ, aliorum voluptates: ejus adverſæ res, aliorum ſecundæ: ejus execrationes, aliorum clientelæ: ejus rapinæ, aliorum voluptates: ejus gemitus, aliarum omnium rerum abundantia: ejus lacrymæ, apud alios pecuniæ: ipſe denique in inferis ſupplicüs afficitur: alii contra bonis ejus cum cantu perfruuntur. B *Verumtamen fruſtra conturbatur omnis homo vivens.* Homo, vitæ uſura quæ ad tempus durat, mortis debitum, quod differri nequit, conſultò indomitum animal, improbitas quæ per ſe docetur, inſidiæ quæ ſponte ſua docentur, id quod arte inſtructum eſt ad maleficium, quod ad injuriam induſtria præditum eſt, ad avaritiam compoſitum & paratum, ad expletionem inſatiabile, natum ad perfidiam, inſitus ſpiritus, gloria oſtentatrix: exultatio & ferocia, quæ facilè ſedatur: elatio quæ parvo negotio deletur: audacia quæ facilè C capitur: cœnum arrogantiæ plenum, cinis ſeditioſus, pulvis elato animo, cinis inflatus, ſcintilla quæ facilè extinguitur: flamma quæ facilè marceſcit, lucerna inſtabilis, lignum cujus interitus proclivis eſt, fœnum quod exaruit, herba quæ facilè ac citò moritur, natura quæ facilè conficitur & conſumitur: qui hodie minatur, & cras excedit è vita: qui hodie divitiis abundat, cras ſepulchro tegitur: qui hodie regia corona ornatur, & cras inhumatur: qui hodie purpura fulget, & cras effertur: qui hodie in theſauris verſatur, D & cras in buſtis: qui hodie cum aſſentatoribus vivit, cras cum vermibus: qui hodie eſt, & cras nullus eſt: qui nunc magnificè ſeſe effert, & paulò poſt lugetur: qui in ſecundis rebus tolerari non poteſt, & in adverſis nulla conſolatione levari poteſt: qui ſe ipſe ignorat, & in iis cognoſcendis quæ naturam ipſius longè multumque ſuperant, curioſè occupatur: quid quod adeſt & præſens eſt, neſcit, & de rebus futuris cogitat: qui natura ſua mortalis eſt, & animi elatione ductus, ut ſibi videtur, immortalis eſt: E omnium morborum propoſita acceſſio, facillimum omnis perturbationis domicilium, quotidianum febrium ſine ullo delectu gymnaſium: omnis denique doloris paratum diverſorium homo eſt. Quanta noſtræ abjectionis tragœdia? quantus noſtræ abjectionis & obſcuritatis triumphus? Quot quantaque protuli? cum interea nihil prophetica hac voce aptius invenerim, dicente, *verumtamen fruſtra conturbatur omnis homo vivens.* Sed ut finem faciam dicendi, vide dilecte, ut hominum res mare imitantur, ut tempeſtate illius vita hæc noſtra implicatur: ut diutius & ſæ-A pius quàm aqua in terra tempeſtate jactamur: ut vehementiùs inter nos quàm venti, collidimur: ut pecuniæ quaſi clypei nos inter nos committunt: & quaſi in tempeſtate maris huc atque illuc impellimur. Hic ex illo agro fruticem avellit: alius cujuſdam ſervos abduxit. Atque hic de aqua viciniam in judicium adducit: ille cum cive de aëre & cœlo contendit, hi propter terræ menſuram concertant, illi inter ſe de ædificandi ratione digladiantur: hic in ea quæ non dedit, ut accipiat, impetum facit: ille quæ accepit non B dediſſe in judicio agit; hic uſuris non ſatiatur, ille forte etiam privare nos contendit: hic cùm eſt inops, moleſtia afficitur, ille rerum omnium copia abundans tumultuatur: qui nihil habet, probris afficitur; qui habet, inſidiis appetitur: qui magiſtratus gerit, in ſuſpicionem venit: qui poteſtate præditus eſt, in odium omnium incurrit: qui in imperio eſt, armatur: bella ſempiterna quadam ſerie inter ſe connexa ſunt: invidia alia ex alia incidit, inſatiabilis cupiditas dominatur, avaritia regnat, mendacium ſummis laudibus effer-C tur, mutua fides exulat, veritas terram reliquit ac deſeruit, amicitia menſa definitur. Alii vim ſuam perdiderunt, terra jam mala ferre non poteſt, aër uſque ad ipſum æthera inquinatus & contaminatus eſt. Propter pecunias vita non eſt vitalis. Pecuniarum cupiditate elementa libera vendidimus; viæ vectigalia pendunt: terra ſorte dividitur: aquæ & flumina imperio tenentur: aër venditur: decumarum, tributorum & vectigalium coactores urbibus imperant: divites curis conficiuntur. Fœneratores ſollicitudine D tabeſcunt: direptores vitam perturbationibus implent, cupidi pecuniarum in judicio foroque verſantur: mercatores ex calamitatibus & jacturis lucra ſectantur: calumniatores mendacium vendunt: quoniam mentiri inter nos ſoliti ſumus, jurisjurandi religionem ſuſtulimus, ad jurandum tantùm Deum novimus. Cùm ita omnes malis ſceleribusque deditos Propheta cerneret, miſeramque hanc vitam eſſe duceret: hac ratione uſus eſt: *Verumtamen fruſtra conturbatur omnis homo vivens.* Homo ſolus ô Propheta, con-E turbatur? Creatura ea ſola quæ rationis eſt particeps, accuſatur? Nullum animans aut elementum quod commoveretur, inveni. Commoventur, inquit, aquæ, & iterum ſedantur: movetur terra, & rurſus confirmatur: venti impelluntur & iterum quieſcunt: omnia fera tumultuatur, & ſaciata deſinit: flamma excitatur, & materia ſubjecta cùm conſumpta eſt, extinguitur. At verò homo cùm ſemel pecuniæ cupiditate inflammatur, nunquam deſinit: cumque

hoc accepit, ad illud cupiditate rapitur, & cùm illud aſſecutus eſt, ad aliud aſpirat: centum duplo majora facere & augere ſtudet, & ad tot tantaſque opes tamen rurſus tantumdem addere conatur, nec unquam congerendi finem facit, quoad ipſius finis coacervatus ſit: ſitique avaritiæ confectus, auro pallidior volitat, propter divitias quæ magnopere expetuntur, quarum amicitia infirma & inſtabilis eſt, quarum cupiditas inſidiarum plena eſt: quæ derident ut dominæ multorum: quæ irrident, ut quæ vehementer amentur: quæ captivæ ſunt, & aliis inſtructæ: mortuæ ſunt, ſed quæ in mundo congeſtæ, venti vim obtinent: propter divitias, inquam, quæ ſunt omnis abſurditatis parentes, inventrices malorum omnium, luxus animi corruptoris adjutrices, hoſtes continentiæ, inimicæ temperantiæ, occultæque omnis virtutis fures. Sed quid divitias criminor, iis prætermiſſis qui poſſident? Injuria ipſis etiam divitiis infertur, cùm ab illis vinciuntur & colligantur, & compedibus arctantur. Videntur enim mihi ad eos hac uti oratione, Quid ſtudioſi pecuniæ, pedibus conſtringitis? Cur nos quaſi fugitivum aliquem innumerabilibus vinculis ligatis? quamobrem nos ut amicum complectimini & ut flagitioſum quempiam à metallis in veſtras manus mittentes in vincula conjicitis? Si vultis nos etiam ſomnis leviores quieſcere, nos ad pauperum manus venire patiamini. Sed dicet aliquis: Liberis divitias congero & paro, ut ne ſint paupertatis hæredes. Præclarè ſcilicet dives qui plurimùm viſis utitur: ea quæ adſunt, ignorat, & res curat futuras: ea quæ ad ſe attinent, ignorat, & de liberis cogitat: an ſepeliendus ſit, neſcit, & hæredibus conſuluit. Stulte, dic mihi finem tuum, & tum de liberis certus ac tutus eſto: expone res hodierni diei, & tum tibi res craſtini diei credo. Cur te etiam poſt mortem decipis & fallis? Cur & mortuus eſſe vis, & irrideri? cur Deo quid ſit agendum conſtituis? cur divinæ providentiæ leges dicis, quibus ea quæ tibi data ſunt, adminiſtret? Nihil ad te de iis ſtatuere, quæ tempus vitæ tuæ conſequuntur. Non & mortuus eſſe potes, & vivorum adminiſtrator: non & mortuorum judex, & juris cujuſque æſtimator. Cur igitur, o dives, fruſtra operam conſumis in eo, ut bona inopum tuis reponas, nec ſcis cui illa pares? cur res pupillorum tenes? cur acerbè fers cùm ea abs te repetunt, quaſi de tuo impendas? ſua illi petunt, non tua: ea quæ tibi ipſorum cauſa tradita ſunt & credita, non quæ tecum procreata ſunt. Eroga quæ accepiſti, & uſum lucrare: quoniam tibi ut dares, non ut acciperes, præſcriptum eſt. Præclarè tecum agitur, quòd tibi Deus propter inopem, dexteram porrigit, qui ex cœlo pluit, æris à te guttam repoſcit: qui tonitrua & fulgores jacit, ut miſericordia utare tibi dicit: qui nubibus cœlum obducit, pannũ abs te petit. Hoc tibi ſatis eſt, quod te pauperes tanquã Deum rogant. Da, cõmiſeratio & miſericordia te commoveant ad ſubveniendum, ut miſericordiæ locum invenias. Tu verò ne ſupercilia quidem vis diducere: & cum illi te ſupplices rogant, non flecteris ad miſericordiam. Da eis ſua antè quàm te rationis referendæ dies opprimat. Eis ſua largire, quæ non ita multò pòſt recepturus es. Patrem regem habent: da eis ſua, & ab eorum patre curarum vacuitatem & requiem accipe. Quamnam, inquies?

Mat. 25. 40. *Quod*, inquit, *uni horum fratrum meorum minimorum feciſtis, & mihi feciſtis.* Qui enim intelligit ſuper egenum & pauperem, is non ſolùm chirographum peccati delet, ſed etiam confeſſionem ac promiſſionem accipit: vocem eam quæ ait: *Qui dat egenti, Deo fœneratur.* (Proverb. 19. 17.) Deo fœneremur eleemoſynam, ut ab eo parem humanitatis gratiam accipiamus. Sed o verbum prudentiſſimum! Qui miſeretur pauperis, Deo fœneratur. Cur igitur non dixit, qui miſeretur pauperis, dat Deo, ſed fœneratur? Novit ſcriptura avaritiam noſtram: intellexit appetitum noſtrum inſatiabilem, qui ſibi majora ad habendum proponit, redundantiam ac plus ſemper quærere: ob eamque cauſam non dixit omnino, Qui miſeretur pauperis, dat Deo, ut ne ſimplicem largitionem & viciſſitudinẽ mercedis exiſtimes, Qui miſeretur pauperis, Deo fœneratur, ut avarus & lucri cupidus audito fœnoris nomine, ſe ipſe miſericordiæ dederet. Qui miſericordia cum paupere utitur, Deo dat fœnori. Si Deus à nobis fœnori accipit, ergo noſter eſt debitor. Utrum ergo eum habere vis judicem, an debitorem? Debitor creditorem veretur: judex verò eum qui in judicium adducitur, non veretur. Videndum eſt, fratres, neceſſariò alia ratione, cur Deus dixerit, Mihi fœneratur, qui miſeretur pauperis. Quoniam avaritiam noſtram vidit ad majora & plura propenſam, ut antè dixi, nec unquam eum qui pecunias & divitias habeat, velle ſine fide & quaſi ſecuritate credere: (petit enim creditor vel hypothecam, vel pignus vel fidejuſſorem, hiſque tribus quaſi ſecuritatibus fretus, pecunias ſuas credit: vel fidejuſſorem, ut antè dixi, accipiens, vel rerum hypothecam.) Quia igitur intelligit Deus neminem his non extantibus ſolitum credere, nec humanitatis habere rationem, ſed lucrum unum ſpectare: pauperem autem ab his omnibus deſertum & deſtitutum eſſe, cum nec hypothecam habeat, nihil enim poſſidet: nec pignus fecerat, nudus enim eſt: nec fidejuſſorem exhibeat: ſcit enim cum

ἔλαβεν, καὶ πρὸς ἐκεῖνο ἀποβλέπει· ἐκράτησεν ἐκείνου, καὶ πρὸς ἄλλο κέχηνε. τὰ ἑκατὸν διπλασιάζειν φιλονεικεῖ, ἐπὶ τοῖς τοσούτοις πάλιν τὰ τοσαῦτα σωρεύειν ἐπείγεται, καὶ οὐδέποτε τοῦ σωρεύειν παύεται, ἕως ἂν τὸ τέλος αὐτοῦ σωρευθῇ· καὶ τῇ δίψῃ τῆς φιλαργυρίας συνεχόμενος, ὠχρότερος χρυσίου περιέρχεται διὰ τὸν πολυπόθητον πλοῦτον, τὸν τάχει ἀβεβαιότερον φίλον, τὸν ἐπίβουλον πόθον, τὸν πολυδέσποτον ἐμπαίκτην, τὸν πολυέραστον χλευαστήν, τὸν ὑπόπτερον δέσμιον, τὸν πολέμιον νεκρόν, τὸν ἐν τῷ κόσμῳ ἀφεστάμενον ἄνεμον· πλοῦτον, τὸν πάσης ἀτοπίας γεννήτορα, τὸν πάσης κακίας εὑρετήν, τὸν συνεργὸν τῆς ψυχοφθόρου τρυφῆς, τὸν ἀντίπαλον τῆς ἐγκρατείας, τὸν πολέμιον τῆς σωφροσύνης, καὶ τὸν πάσης ἀρετῆς λανθάνοντα κλέπτην. ἀλλὰ τί διαβάλλω τὸν πλοῦτον, τοὺς κεκτημένους ἀφείς; ἀδικεῖται καὶ αὐτὸς δεσμούμενος ὑπ' αὐτῶν, καὶ πέδαις συνεχόμενος. ἔοικε γάρ μοι αὐτὸν πρὸς αὐτοὺς ἀφιέναι φωνήν· τί με τὸν πλοῦτον, ὦ φιλοχρήματοι, συμποδίζετε; τί με καθάπερ δραπέτην, μυρίοις δεσμοῖς περισφίγγετε; τί με ὡς φίλον περιπτύσσεσθε, καὶ ὡς κακοῦργον καταδεσμεῖτε, ἀπὸ μετάλλων εἰς τὰς ὑμῶν χεῖρας παραπέμποντες; εἰ θέλετε κἂν τῶν ὀνείρων κουφότερον ἀναπαύσασθαί με, ἐάσατέ με καὶ εἰς τὰς τῶν πενήτων δεξιὰς μεταπεμφθῆναι. ἀλλά τις φησί· τέκνοις συνάγω τὸν πλοῦτον, ἵνα μὴ πενίας γένωνται κληρονόμοι. καλῶς ὁ πολυφάνταστος πλούσιος. τὰ παρόντα οὐκ οἶδε, καὶ περὶ τῶν μελλόντων φροντίζει· τὰ καθ' ἑαυτὸν ἀγνοεῖ, καὶ περὶ τῶν παίδων φροντίζει. εἰ θαφθήσεται, οὐκ ἐπίσταται, καὶ περὶ τῶν κληρονόμων βουλεύεται. ὦ ἄφρον, εἰπέ μοι τὸ σὸν τέλος, καὶ τότε περὶ τῶν τέκνων ἀσφάλισαι. εἰπέ μοι τὰ τῆς σήμερον, καὶ τότε πιστεύω σοι καὶ τὰ τῆς αὔριον. τί σεαυτὸν καὶ μετὰ θάνατον ἀπατᾷς, τί θέλεις εἶναι καὶ νεκρὸς καὶ χλευαζόμενος; τί διορίζεις τῷ θεῷ τὸ πρακτέον; τί νομοθετεῖς τῇ τοῦ θεοῦ προνοίᾳ διοικεῖν τά σοι δεδομένα; οὐδὲν πρός σε περὶ τῶν μετὰ σέ. οὐ δύνασαι καὶ νεκρὸς εἶναι, καὶ διοικητὴς ζώντων· καὶ νεκρῶν κριτής, ζυγοστατῶν ἑκάστου τὸ δίκαιον. τί οὖν ματαιοπονεῖς, ὦ πλούσιε, τὰ τῶν πενήτων τοῖς σοῖς θησαυρίζων, οὐκ εἰδὼς τίνι συνάγεις αὐτά; τί τὰ τῶν ὀρφανῶν κατέχεις; τί αἰτούμενος παρ' αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων; τὰ ἴδια ζητοῦσιν, οὐ τὰ σά. τὰ ἐγχειρισθέντα σοι δι' αὐτούς, οὐ τὰ μετά σου γεννηθέντα. ἃ ἔλαβες, δός, καὶ τὴν χρῆσιν κέρδανον, ὅτι δοῦναι, οὐ λαβεῖν, προσετάχθης. ἀρκεῖ σοι, ὅτι διὰ τοῦ πτωχοῦ ὁ θεὸς τὴν δεξιάν σοι προτείνει· ὁ βρέχων ἐξ οὐρανοῦ, τὴν χαλκοῦ ψεκάδα σε προσαιτεῖ· ὁ βροντῶν καὶ ἀστράπτων, ἐλέησόν σοι λέγει· ὁ περιβάλλων τὸν οὐρανὸν νεφέλαις, ῥάκιον αἰτεῖ παρά σου. ἀρκεῖ σοι, ὅτι οἱ πένητες ὡς θεόν σε λιτανεύουσι. δός, οἴκτειρον, ἐλέησον, ἵνα ἐλεηθῇς. σὺ δὲ οὐδὲ τὰς ὀφρύας σου ἀνατεῖναι βούλει, καὶ λιτανευόμενος οὐκ ἐπικάμπτῃ. δὸς αὐτοῖς τὰ αὐτῶν, πρὶν ἐπιστῇ τὸ λογοθέσιον· δὸς αὐτοῖς τὰ αὐτῶν, ἃ μέλλεις μετ' οὐ πολὺ ἀπολαμβάνειν. πατέρα ἔχουσι βασιλέα, δὸς αὐτοῖς τὰ αὐτῶν, καὶ λάβε παρὰ τοῦ πατρὸς αὐτῶν τὴν ἀμεριμνίαν. ποίαν ταύτην; ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. ὁ γὰρ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, οὐ μόνον τὸ χειρόγραφον τῆς ἁμαρτίας ἐξαλείφει, ἀλλὰ καὶ ὁμολογίαν λαμβάνει, τὴν λέγουσαν φωνήν, ὁ διδοὺς πτωχῷ, θεῷ δανείζει. θεῷ δανείσωμεν τὴν ἐλεημοσύνην, ἵνα παρ' αὐτοῦ λάβωμεν φιλανθρωπίας ἀντίδοσιν. ἀλλ' ὢ τοῦ σοφωτάτου ῥήματος, ὁ ἐλεῶν πτωχόν, δανείζει θεῷ. διὰ τί οὖν οὐκ εἶπεν, ὁ ἐλεῶν πτωχόν, δίδωσι θεῷ, ἀλλὰ δανείζει; οἶδεν ἡ γραφὴ τὴν ἡμετέραν πλεονεξίαν. προσέσχεν ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ, καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, ὁ ἐλεῶν πτωχὸν δίδωσι θεῷ, ἵνα μὴ ἁπλοῦν τὴν δόσιν καὶ τὴν ἀντιμισθίαν νομίσῃς· ἀλλ', ὁ ἐλεῶν πτωχόν, δανείζει θεῷ, ἵνα τὸ ὄνομα τοῦ δανείσματος ὁ φιλοκερδὴς ἀκούσας, ἑαυτὸν ἐπιδῷ πρὸς ἔλεον. ὁ ἐλεῶν πτωχόν, δανείζει θεῷ. εἰ δανείζεται θεὸς παρ' ἡμῶν, ἄρα χρεώστης ἡμῶν ἐστι. τί οὖν θέλεις αὐτὸν κριτὴν ἔχειν, ἢ χρεώστην; ὁ χρεώστης αἰδεῖται τὸν δανείσαντα· ὁ κριτὴς δὲ οὐ δυσωπεῖται τὸν δικαζόμενον. ἀναγκαῖον δέ, ἀδελφοί, καὶ καθ' ἕτερον τρόπον ἰδεῖν, τίνος ἕνεκεν ὁ θεὸς εἶπεν, ὅτι ἐμοὶ δανείζει ὁ διδοὺς πτωχῷ. ἐπειδὴ οἶδεν ἡμῶν τὴν πλεονεξίαν ῥέπουσαν εἰς τὸν πλεονασμόν, ὡς ἔφθην εἰπών, καὶ μηδένα μὲν τῶν χρήματα ἐχόντων δανείζειν θέλοντα ἄνευ ἀσφαλείας [ἀπαιτεῖ γὰρ ὁ δανείζων ἢ ὑποθήκην, ἢ ἐνέχυρα, ἢ τὸν ἀντιφωνητήν· καὶ διὰ τῶν τριῶν τούτων ἀσφαλειῶν ἐμπιστεύει τὰ ἑαυτοῦ χρήματα, ἢ ἐγγύας δεχόμενος, ὡς ἔφθην εἰπών, ἢ ὑποθήκην πραγμάτων] ἐπεὶ οὖν οἶδεν ὁ θεός, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ· πάντων δὲ τούτων ἔρημος ὁ πτωχός, οὐχ ὑποθήκην ἔχων [οὐ κέκτηται γὰρ οὐδέν] οὐκ ἐνέχυρα φέρων [γεγύμνωται γὰρ] οὐ τὸν ἀντιφωνητὴν παρέχων [ἀπιστεῖται γὰρ

διὰ

A διὰ τὴν ἀπορίαν] ὡς ἄδεν αὐτὸν διαπιστούμενον τῇ ἀπορίᾳ, καὶ τὸν ἔχοντα χρήματα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρέθηκεν, ἔγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. ἀπιστεῖς τούτῳ, φησὶ, διὰ τὴν ἀπορίαν; ἐμοὶ πίστευσον διὰ τὴν ἀφθονίαν. εἶδε τὸν πτωχὸν, καὶ ἠλέησεν· εἶδε τὸν πτωχὸν, καὶ οὐ παρεῖδεν, ἀλλ' ἑαυτὸν ἔδωκεν ἐνέχυρον τῷ μηδὲν ἔχοντι, καὶ τῷ ἀπόρῳ προΐστη διὰ πολλὴν ἀγαθότητα. ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. θάρσει, φησὶν, ἐμοὶ δανείζεις. B καὶ τί τοσοῦτον κερδαίνω, σοὶ δανείζων; ἑκατονταπλασίονά σοι δίδωμι, καὶ ζωὴν αἰώνιον. ἵνα πότε μοι ταῦτα ἀποδῷς, ἀπαιτῶ τὰ σύμφωνα, στηρίξαι βουλόμενος τὸ συνάλλαγμα. δός μοι τὸν τῆς ἀνταποδόσεως καιρὸν, ὅρισον τὴν τῆς ἀπολήψεως προθεσμίαν. ἄκουε συνετῶς, πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωσιν ὁ διὰ τῶν πτωχῶν δανεισάμενος. ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν, C δεῦτε « οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ὑπὲρ τίνων; ὅτι ἐπείνα« σα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ ἐνεδύσατέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. εἶτα οἱ καλῶς ἐν καιρῷ διακονήσαντες εἰς τὴν οἰκείαν ἀσθένειαν ἀφορῶντες, καὶ εἰς τὴν ἀξίαν τοῦ δανεισαμένου, λέγουσι· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν, ἢ διψῶντα, καὶ ἐποτίσαμεν, D εἰς ὃν οἱ ὀφθαλμοὶ πάντων ἐλπίζουσιν; ἢ πότε σε εἴδομεν ἐν ἐνδείᾳ τοσαύτῃ; πότε δὲ ταῦτα πεποιήκαμεν; ἐφ' ὅσον, φησὶν, ἑνὶ τούτων τῶν ἐλαχίστων πεποιήκατε, ἐμοὶ ἐποιήσατε. μὴ οὐκ ἀληθὴς ὁ λόγος, ὅτι ὁ ἐλεῶν πτωχὸν Θεῷ δανείζει; ἀλλ' ὥσπερ τοῖς ἐκ δεξιῶν διὰ τὴν φιλανθρωπίαν ἔδειξε δεδωρημένην τὴν βασιλείαν, οὕτω καὶ τοῖς ἐξ ἀριστερῶν διὰ τὴν ἀκαρπίαν ἠπείλησε τὴν τιμωρίαν· πορεύεσθε ἀπ' E ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. διὰ τί; ὑπὲρ τίνος; ὅτι ἐπείνων, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. οὐκ εἶπεν, ὅτι ἐπορνεύσατε, ὅτι ἐμοιχεύσατε, ὅτι ἐκλέψατε, ὅτι ἐψευδομαρτυρήσατε, ὅτι ἐπιωρκήσατε. κἂν μὲν * ὁμολογουμένως καὶ ταῦτα, ἀλλὰ τῆς ἀπανθρωπίας κατώτερα καὶ τῆς ἀνελεημοσύνης. διὰ τί δὲ, ὦ Κύριε, οὐδὲν τῶν ἄλλων φέρεις εἰς μνήμην; οὐ κρίνω, φησὶ, τὴν ἁμαρτίαν, ἀλλὰ A τὴν ἀπανθρωπίαν· οὐ κρίνω τοὺς ἁμαρτήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας. ὑπὲρ ἀπανθρωπίας ὑμᾶς καταδικάζω, ὅτι ἔχοντες τοσοῦτον καὶ τηλικοῦτον φάρμακον σωτηρίας, τὴν ἐλεημοσύνην, παρήκατε τοσαύτην εὐεργεσίαν. ὀνειδίζω τοίνυν τὴν ἀπανθρωπίαν, ὡς ῥίζαν πάσης κακίας, καὶ πάσης ἀσεβείας· ἐπαινῶ δὲ τὴν φιλανθρωπίαν, ὡς ῥίζαν πάντων ἀγαθῶν· καὶ ἀπειλῶ τοῖς μὲν πῦρ αἰώνιον, τοῖς δὲ δίδωμι βασιλείαν οὐρανῶν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ B ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A propter inopiam non poſſe, & eum qui pecuniis abundet, nolle propter inhumanitatem : medium ſe & quaſi ſequeſtrem præſtitit, pauperi quidem ſponſorem, pignus autem creditori. Non habes, inquit, huic fidem propter inopiam ? mihi crede propter copiam. Vidit pauperem, & miſericordia motus eſt : vidit pauperem, neque contempſit, ſed ſe ipſe pro eo qui nihil habebat, oppigneravit, & pauperi in cauſa patronum ſe pro ſua benignitate præbuit. Qui miſeretur pauperis, fœneratur Deo. Ne time, B inquit, mihi fœneraris. Quidnam lucrifaciam cùm tibi fœneror ? centuplum tibi do & vitam ſempiternam. Ut quando mihi hæc reddas, ſciam, repeto pacta conventa ? contractum confirmare velim : da mihi referendæ gratiæ tempus, conſtitue mihi diem reddendi beneficii. Audi ſapienter quando & ubi debitum officium præſtiturus ſit is, cui inopum cauſa & nomine alii fœnerantur. Cùm ſederit filius hominis in ſolio majeſtatis ſuæ, oves quidem ad dexteram ſuam, hœdos autem ad ſiniſtram collocabit : di-C cetque iis qui ad dexteram ſuam erunt, *Venite benedicti patris mei, poſſidete paratum vobis regnum à mundi origine.* Quas tandem ob res ? *Quia eſurivi, & paviſtis : ſitivi, & mihi potum dediſtis : nudus eram, & me veſtiſtis : in carcere eram, & ad me veniſtis.* Deinde ii qui in tempore rectè adminiſtraverunt, ſuæ infirmitatis conſcii, & ejus cui fœnerati ſunt, dignitatis, reſpondebunt, *Domine quando te eſurientem vidimus, teque pavimus, & tibi ſitienti potum dedimus, in quem omnium oculi ſperant* : aut D indigentem te vidimus, quando hæc tibi fecimus ? Quod, inquit, uni ex his minimis feciſtis, mihi feciſtis. An non vera illa eſt oratio, Qui miſeretur pauperis, Deo fœneratur ? Sed quemadmodum iis qui ad dexteram erunt, regnum datum eſſe oſtendit, propter humanitatem, ſic iis qui ad ſiniſtram erunt propter ſterilitatem ſupplicium minatus eſt, *Diſcedite à me maledicti in tenebras exteriores, quæ parata ſunt diabolo ejuſque Angelis.* Quid ita ? pro qua re ? Quia eſuriebam, nec mihi cibum dediſtis. Non E dixit, quòd ſtupratores fuiſtis, quòd adulteri, quòd furtum feciſtis, quòd falſum teſtimonium dixiſti, quòd pejeraſtis : quanquam hæc quoque in confeſſo eſt mala eſſe, ſed inferiora ſunt inhumanitate, & vacuitate miſericordiæ. Sed cur, Domine, nihil aliud tibi in memoria verſatur ? Non condemno peccatum, ſed inhumanitatem : non condemno eos qui peccaverunt, ſed eos quos non pœnituit. Propter inhumanitatem vos condemno, quòd cùm tantum ac tale remedium ſalutis eleemoſynam haberetis, tam magnum beneficium prætermiſiſtis. Objicio ergo vobis ut probrum, inhumanitatem, radicem ſtirpemque malorum omnium, totiuſque impietatis matrem : laudo porro humanitatem, ut bonorum omnium radicem : & minitor illis quidem ignem æternum, his autem regnum cœlorum concedo : In Chriſto Jeſu Domino noſtro, cui gloria & potentia in ſecula ſeculorum, Amen.

Matt. 25. 34.

Λόγος εἰς τὴν τρυγόνα, ἤτοι, εἰς τὴν Ἐκκλησίαν.

Η Τρυγὼν ἡ φιλέρημος, ὅτε ἐν ὕλαις συνδιαζομένη καλεῖ τὸν ὁμόζυγον, γοεραῖς κολακείαις τὰς κοιλάδας δονήσασα, καὶ τὸν ἑαυτῆς ἄρρενα παρ' ὕδασι νεμόμενον θέλξασα, καὶ οὕτω * πείσασα τὸ ἀναπτῆναι ταχεῖαν τὴν πτῆσιν ποιήσασθαι· ὁμοφώνῳ δὲ C γνώμῃ ἐπὶ τῶν στερεμνίων πρημνῶν τὴν καλιὰν αὐτῶν πήξασαι, καὶ ἀφόβως τοὺς νεοττοὺς ἑαυτῶν ἐκεῖθεν πετάζουσι. Φασί τινες τὴν τρυγόνα φίλανδρον εἶναι καὶ φίλαγνον· ὥστε κἂν συμβῇ τὸν ταύτης ἄρρενα ὑπὸ ἀετοῦ ἀναλωθῆναι, ἢ ὑπὸ ἰξευτοῦ θηρευθῆναι, ταύτην ἑτέρῳ ἀνδρὶ μὴ ἐπιμίγνυσθαι, ἀλλ' αὐτὸν ποθεῖν, αὐτὸν ἀναμένειν, καὶ τῇ τούτου μνήμῃ συναποθνήσκειν. ἀκούσατε, γυναῖκες, οἵα σωφροσύνη ἐν ὀρνέοις εὑρίσκεται. ὅσαι τοίνυν τὴν μορφὴν τῆς τρυγό-D νος ἐν νῷ φέρετε, τὴν ταύτης σωφροσύνην μιμήσασθε. τοιαύτη ἐστὶν ἡ πάνσεμνος ἐκκλησία. τοῦ γὰρ ἀνδρὸς αὐτῆς Χριστοῦ σταυρωθέντος καὶ εἰς οὐρανοὺς ἀνελθόντος, ἑτέρῳ ἀνδρὶ οὐκ ἐπιμίγνυται, ἀλλ' αὐτὸν ποθεῖ, αὐτὸν ἀναμένει, καὶ τῇ τούτου μνήμῃ συναποθνήσκει. ἀλλ' ἵνα μὴ δόξωμεν, ἀγαπητοὶ, ἔξωθεν εἶναι τῶν γραφῶν, μνημονεύσαντες τρυγόνος, φέρε αὐτῶν τῶν γραφῶν μνημονεύσωμεν. μαρτυρεῖ ὁ Δαβὶδ ὁ μακάριος, καὶ κελαδεῖ λέγων· καὶ γὰρ στρουθίον εὗ-E « ρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. καὶ ποῖον λέγει στρουθίον; ἢ πάντως τὸν ἄνθρωπον. ἡ γὰρ ψυχὴ ἡμῶν, « ὡς στρουθίον, ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. ὃ δή γε Κύριος βουλόμενος δεῖξαι τοῖς ἑαυτοῦ μαθηταῖς, * πόσον ἄλλων ἐν ἁγιωσύνῃ διαφέρουσι, λέγει πρὸς αὐτούς· μὴ φοβεῖσθε· πολλῶν στρουθίων δια« φέρετε ὑμεῖς. διὰ τοῦτο καὶ ὁ Σολομὼν ἐβόα λέγων· ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. καὶ πάλιν ἡ θεία φωνή. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν

In Pſalm. LXXXIII. de turture, vel de Eccleſia, Sermo.

INCERTO Interprete.

TUrtur amatrix eremi, quando in ſylvis degit, delectabilibus blandimentis vocis ſuæ comparem arceſſit, convalles pene-C trans, & ſuum maſculum in amœna & nemoroſa paſcentem convocat, & hinc avolare provocans, hortatur aſcenſionem ſui celerem facere. Unanimi autem mente ad inculta & prærupta rupium cubile fundantes, exinde ſuos ſine timore volare provocant pullos. Aſſeverant quidam turturem caſtam, & amatricem comparis eſſe : ita ut ſi quando evenerit ejus maſculum ab aquila, ſive aucupe capi, non ſe commiſceat alteri, ſed ipſum cupiat, & ipſius præſtoletur adventum, & in ipſius recordatione interire. Idcir-D co audite mulieres, quæ caſtitas in volucribus reperiatur. Quotcumque igitur figuram turturis in veſtra mente portatis, hujus ſobriè imitamini caſtitatem : talis etenim eſt omnis caſta Eccleſia : viro quippe ejus Chriſto crucifixo, & in cœlis poſt aſcenſum regnante, alteri viro non commiſcetur : ſed ipſum expectat, & deſiderio ejus commori cupit. Sed ne fortè videamur chariſſimi, ſcripturæ authoritatem prætergredi, turturem nominantes, vera ipſius ſcripturæ verba texamus : teſtatur E namque beatus David, & dicit : *Etenim paſſer invenit ſibi domum, & turtur nidum ſibi, ubi reponat pullos ſuos.* Videamus ergo quem dicit paſſerem : ut ego arbitror hominem intelligi voluit : *Anima namque noſtra ſicut paſſer erepta eſt de laqueo venantium.* Quod & Dominus idipſum volens oſtendere diſcipulis ſuis, quantum alios ſanctitate præcellerent, dicit eis : *Nolite timere, multis paſſeribus meliores eſtis vos.* Propterea & Salomon proclamat, dicens : *Ut evadas ſicut damula ex caſſibus, & ſicut avis à laqueo.* Simile eſt regnum cœlorum grano ſinapis, quod

Ex Ms. Regio Luc. emend ex alio Ms. In illud Pſal. 83. 4. Et turtur nidum.

* [illegible]

Pſal. 83. 4.

Pſal. 123. 6.

* [illegible]

A accipiens homo ſeminavit in agro ſuo, quod quidem minimum eſt omnibus ſeminibus: quando autem creverit, majus efficitur univerſis oleribus, & fit arbor, ita ut veniant volatilia cœli, & ſedeant in ramis ejus; nam & hic innumerabile hominum genus volatilibus coæquavit. Etenim paſſer invenit ſibi domum, & turtur nidum ſibi ubi reponat pullos ſuos. Turturi comparavit omnem caſtam Eccleſiam propter multiplicem ſapientiæ gratiam. Porro variegatam eſſe Eccleſiam ut ſcias, audi David loquentem,
Pſal. 44, 15. B *Omnis gloria filiæ regis ab intus in fimbriis aureis circumamicta varietate.* Etenim paſſer invenit ſibi domum, & turtur nidum ſibi, ubi reponat pullos ſuos. Hoc eſt ſub ſolidis crucis ramis enutriens nuper illuminatos filios ſuos. Hujus turturis Hieremias mentionem facit, dicens, Turtur & hirundo & cicadæ, agri paſſeres, cognoverunt tempus adventus ſui. Turturem dicit omnem caſtam Eccleſiam, hirundinem verò Joannem, hominum amatorem, cicadam autem eloquentiſſimum Paulum, Eccleſiæ organum. C De iſta namque turture præcepit Abrahæ
Gen. 15, 9. Deus, dicens: *Accipe mihi vaccam trimam & arietem trimum, & capram trimam, turturem & columbam.* Hujus turturis
Cant. 2, 12. meminit Scriptura in Cantico canticorum, dicens, *Vox turturis audita eſt in terra noſtra.* Vox turturis hujus Chriſti nobis cœleſtis veris ſignificavit adventum. Vox turturis audita eſt hodie in terra noſtra. Audiamus igitur hujus turturis vocem, &
Cant. 1, 4. quam tandem cantet cantilenam: *Nigra ſum*, inquit, *& ſpecioſa filiæ Hieruſalem.* D *Nolite me aſpicere, quia ego denigrata ſum, quia deſpexit me ſol.* Nigra ſum, & ſpecioſa. Nigra ſum propter priorem prævaricationem, & ſpecioſa propter celebrem pœnitentiam: nigra propter luctum ruinæ, ſpecioſa propter ſplendorem baptiſmi glorioſum. Nigra ſum ſum & ſpecioſa, filiæ Hieruſalem. Filias Hieruſalem ſanctas patrum animas dicit. Nigra ſum, ne conſideretis me vos animæ ſanctæ, ne aſpiciatis me, quoniam ego denigrata ſum, quoniam
Eccl. 1, 5. E deſpexit me ſol juſtitiæ, propter propria mea delicta. Et quis eſt ſol qui eam deſpexit, videamus. Ille nimirum de quo Eccleſiaſtes dicit, Oritur ſol & occidit ſol, & ad locum ſuum revertitur. Ortus eſt nobis ſol juſtitiæ Chriſtus de ſancta Maria ſecundùm carnem genitus. Oriens quippe nomen eſt illi: occidit verò quando poſt crucem ad inferna deſcendit. Oritur ſol & occidit, & ad locum ſuum revertitur. Cum in Cælos aſcendit,
Joan. 12, 32. tum nos attraxit, ipſo dicente, Cùm exaltatus fuero, univerſos tra-
Malac. 4, 2. A ham ad me. De hoc ſole juſtitiæ & Eſaias pronuntiat, dicens. *In diebus illis orietur ſol juſtitiæ, & ſanitas erit in pennis ejus.* Veniente enim ſole juſtitiæ Chriſto, ad tactum fimbriæ veſtimenti ejus fons profluvii ſanguinis exſiccatus eſt. Nigra ſum & ſpecioſa filiæ Hieruſalem. Si qua hic peccatis anima denigrata eſt, ne timeat, tantummodo pœnitentiam agat, & dicat, Nigra ſum ego, & decora. Et ſi in noviſſimo ſpiritu eſt, & (ut ita dicam) ſi in extremo
Pſal. 29, 6. halitu poſitus, etſi ad veſperam ſit hora, ne formidet, tantùm cùm fletu pœniteat, & compuncto confiteatur corde. B *Ad veſperum enim demorabitur fletus, & ad matutinum lætitia.* Imitare
Iſa. 38, 1. itaq; Ezechiam regem, qui ægrotatione conſtrictus, & in lectulo decumbens, audivit ſanctum Eſaiam dicentem ſibi. *Diſpone domum tuam, quia morieris tu, & non vives.* Converſus ad parietem amarè flevit, ſolem cohibuit, & quindecim ad vitam annorum tempus illico à Deo promeruit. Si quis eſt hic catechumenus, pœniteat, accedat ad Deum, baptizetur: C lavacro aquæ regenerationis ablutus oculis illuminetur. Si quis eſt hic fidelis per negligentiam peccator effectus, naturali lacrymarum fonte abluat ſemetipſum, & oleo beneficentiæ animam illuſtrem reddat. Si ſic temetipſum adornaveris, ſi ſic animam tuam rectè factis exornaveris, & comptam reddideris: amplectetur te ſermo divinus, & alliciet mentem tuam, & ad deſiderium te attrahet Dei: & tunc dices & tu, Hei mihi vulnerata charitate ego ſum: Si quidem tanquam ſagitta, charitate vulnerantur animæ Sanctorum. D Vis ipſam ſagittam loquentem audire? Lege Eſaiam, & in ipſo invenies quomodo ipſa ſagitta loquatur, Poſuit, inquit, me ſicut ſagit-
Hier. 17, 16. tam electam, Deus verbum dicit, & in pharetra ſua abſcondit me. Iſta ſagitta vulneratus Hieremias dicebat ad eum, *Ego autem non*
Pſal. 62, 8. *laboravi ſequi poſt te, & diem humanum non concupivi.* Iſta ſagitta vulneratus mente David dicebat ad eum, *Adhæſit anima*
Joan. 21, 16. *mea poſt te, me autem ſuſcepit dextera tua.* Iſta ſagitta vulneratus Petrus, dicebat Chriſto, *Domine, tu noſti quoniam diligo* E *te.* Iſta ſagitta vulneratus Paulus, & cum Chriſto colligatus
Rom. 8, 35. dicebat, *Quis nos ſeparabit à charitate Chriſti?* Iſta ſagitta vulnerata omnis caſta Eccleſia dicebat: Hei mihi, vulnerata charitate ego ſum. O gemitus de medio cordis amabilis, bonitatis pullulans fontes, o gemitus cœleſtem ſponſum Chriſtum ad ſemetipſum adducens: propterea dicit, Oſculetur me ab

A λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἰδίῳ ἀγρῷ, ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, γίνεται μεῖζον πάντων τῶν λαχάνων, ὥστε ἐλθεῖν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ. καὶ γὰρ ἐνταῦθα τὰ πολυάριθμα γένη τῶν ἀνθρώπων ὀρνέοις παρείκασε. καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. τρυγόνι παρείκασε τὴν πάνσεμνον ἐκκλησίαν διὰ τὰ ποικίλα τῆς σοφίας B χαρίσματα. ὅτι δὲ πεποίκιλται ἡ ἐκκλησία, τοῦ Δαβὶδ ἄκουσον λέγοντος· πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς· τουτέστιν, ὑπὸ τοὺς στερεμνίους κλάδους τοῦ σταυροῦ ἐκτρέφουσα τὰ νεοφώτιστα τέκνα. ταύτης δὲ τῆς τρυγόνος μέμνηται καὶ Ἱερεμίας λέγων· τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία καὶ τέττιγες ἔγνω- C σαν καιρὸν εἰσόδου αὐτῶν. τρυγόνα λέγων τὴν πάνσεμνον ἐκκλησίαν, χελιδόνα τὸν φιλάνθρωπον Ἰωάννην, τέττιγα τὸν εὔλαλον Παῦλον, τὸν τῆς ἐκκλησίας αὐλόν. περὶ ταύτης τῆς τρυγόνος ἐντέλλεται ὁ Κύριος τῷ Ἀβραάμ· Λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ αἶγα τριετίζουσαν, καὶ περιστεράν, καὶ τρυγόνα. ταύτης τῆς τρυγόνος μέμνηται καὶ ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων ἡ γραφὴ λέγουσα· Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ D ἡμῶν. ἡ φωνὴ τῆς τρυγόνος ταύτης, τὸ οὐράνιον ἔαρ τοῦ Χριστοῦ οὐρανόθεν παραγίνεσθαι, ἡμῖν σημαίνει. ἡ φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν σήμερον. ἀλλ' ἀκούσωμεν τῆς φωνῆς τῆς τρυγόνος ταύτης, ποῖα μέλη κελαδεῖ. μέλαινά εἰμι, καὶ καλή, θυγατέρες Ἱερουσαλήμ. μὴ ἐμβλέψητέ με, ὅτι ἐγὼ μεμελανωμένη εἰμί, ὅτι παρέβλεψέ με ὁ ἥλιος. μέλαινά εἰμι καὶ καλή. μέλαινα, διὰ τὸ ἐν τῷ πταίσματι πένθος· καλή, διὰ τὸ ἐν βαπτίσματι φέγ- E γος. μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἱερουσαλήμ. θυγατέρας λέγει τῆς Ἱερουσαλήμ, τὰς ἁγίας τῶν πατέρων ψυχάς. μέλαινά εἰμι καὶ καλὴ ἡ ἐξ ἐθνῶν ἐκκλησία. μὴ βλέψητε ὑμεῖς αἱ ἅγιαι ψυχαί, μὴ ἐμβλέψητε εἰς ἐμέ, ὅτι ἐγώ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ ἥλιος τῆς δικαιοσύνης, διὰ τὴν προτέραν μου πλάνην. ποῖος ἥλιος παρέβλεψεν αὐτήν; οὐ πάντως περὶ οὗ λέγει ἐν τῷ ἐκκλησιαστῇ, ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον A αὐτοῦ ἕλκει; ἀνατέλλει γὰρ ἡμῖν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ἐκ Μαρίας, τὸ κατὰ σάρκα, ἀνατολὴ ὄνομα αὐτοῦ. ἔδυνε πάλιν, ὅτε ἐπὶ τοῦ σταυροῦ καὶ εἰς τὰ καταχθόνια κατῆλθεν. ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει. ὅτε εἰς οὐρανοὺς ἀνῆλθε, τότε ἡμᾶς εἵλκεν. ὅταν γὰρ ὑψωθῶ, τότε πάντας ἑλκύσω πρὸς ἐμαυτόν. περὶ τούτου τοῦ ἡλίου τῆς δικαιοσύνης καὶ Ἡσαΐας φθέγγεται λέγων· ἐν ταῖς ἡμέραις ἐκείναις ἀνατελεῖ ὁ ἥλιος τῆς δικαιο- B σύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. ἐλθόντος γὰρ τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ἡ αἱμοῤῥοοῦσα ἁψαμένη τοῦ πτερυγίου τοῦ ἱματίου αὐτοῦ τὰς πηγὰς τῶν αἱμάτων ἐξήρανε. μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἱερουσαλήμ. εἴ τις ἐστὶν ἐνθάδε ἑστηκυῖα ψυχὴ ἁμαρτίαις μεμελανωμένη, μὴ φοβείσθω· μόνον μετανοείτω, καὶ λεγέτω, μέλαινά εἰμι καὶ καλή. εἰ καὶ πρὸς ἐσχάτην ἀναπνοὴν τυγχάνεις, εἰ καὶ πρὸς ἑσπέραν ὥρα ἐστί, μὴ φοβείσθω· μετανοείτω μετὰ κλαυθμοῦ. τὸ γὰρ C ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. μίμησαι Ἐζεκίαν τὸν βασιλέα, ὃς ἀῤῥωστίᾳ ὑποπεσὼν κατέκειτο ἐπὶ κλίνης, ἀκούσας δὲ Ἡσαΐου λέγοντος πρὸς αὐτόν, τάξαι περὶ τοῦ οἴκου σου [μέλλεις γὰρ σὺ τελευτᾶν, καὶ οὐ ζήσῃ] στραφεὶς πρὸς τὸν τοῖχον, δάκρυσι μετανοίας τὴν κλίνην ἔβρεχε, τὸν ἥλιον ἐνεπόδιζε, καὶ πεντεκαιδεκαετῆ ζωῆς χρόνον παραχρῆμα ἐλάμβανεν. εἴ τις ἐστὶν ἐνταῦθα κατηχούμενος, μετανοείτω, προσερχέσθω τῷ Θεῷ, D τῷ ὕδατι βαπτιζέσθω, τῷ βλέμματι φωτιζέσθω. εἴ τις ἐστὶν ἐνθάδε πιστὸς ἁμαρτήσας, τῷ ὕδατι τῶν δακρύων τὸ σῶμα λουέτω, καὶ τῷ ἐλαίῳ τῆς εὐποιΐας τὴν ψυχὴν λαμπρυνέτω. ἐὰν οὕτω σεαυτὸν καλλωπίσῃς, ἐὰν τοῖς κατορθώμασιν αὐτὴν αἱρήσῃς, ἐρᾷ σου ὁ θεῖος λόγος, ἅπτεταί σου τῆς διανοίας, πρὸς πόθον Θεοῦ ἐξέλκει· λέγεις καὶ σύ, οἴμοι τετρωμένη ἀγάπης ἐγώ. καθάπερ γὰρ βέλει, τῇ ἀγάπῃ τιτρώσκονται αἱ τῶν ἁγίων ψυχαί. θέλεις ἀκοῦσαι αὐτοῦ E τοῦ βέλους λαλοῦντος; ἀνάγνωθι τὸν Ἡσαΐαν, καὶ ἐν αὐτῷ εὑρήσεις πῶς λαλεῖ τὸ βέλος. καὶ ἔθηκέ με, φησίν, ὡς βέλος ἐκλεκτόν, ὁ θεῖος λόγος λέγει, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με. τούτῳ τῷ βέλει τρωθεὶς Ἱερεμίας ἔλεγε πρὸς αὐτόν· ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα. τούτῳ τῷ βέλει τῆς διανοίας τρωθεὶς Δαβὶδ ἔλεγε πρὸς αὐτόν· ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. τούτῳ τῷ βέλει τρωθεὶς ὁ Πέτρος Χριστῷ ἔλεγε, Κύριε οἶδας ὅτι φιλῶ σε. τούτῳ τῷ βέλει τρωθεὶς ὁ Παῦλος καὶ συνδεθεὶς, Χριστῷ ἔλεγε, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; τούτῳ τῷ βέλει τρωθεῖσα ἡ πάνσεμνος ἐκκλησία ἔλεγεν, οἴμοι τετρωμένη ἀγάπης εἰμί. στεναγμὲ ἐκ μέσου τῆς καρδίας βλαστάνων φιλοχρηστίας νάματα. ὦ στεναγμὲ, τὸν οὐράνιον νυμφίον Χριστὸν πρὸς ἑαυτὴν ἐπισπωμένη. διὰ τοῦτο αὐτὴ λέγει· Φιλησάτω με ἀπὸ

φιλημά-

φιλημάτων στόματος αὐτοῦ. μεμνήστευμαι τῷ οὐρανίῳ νυμφίῳ διὰ νόμου καὶ τῶν προφητῶν. ἐγὼ ἡ ἐκκλησία ἡ ἐξ ἐθνῶν μεμνηστευμένη; οὐκ ἔτι βούλομαι διὰ Μωυσέως, ἢ διὰ Ἡσαΐου, ἢ διὰ Ἱερεμίου, καὶ τῶν λοιπῶν προφητῶν, ἀλλ' αὐτὸς ἐλθέτω. βούλομαι στόμα πρὸς στόμα λαλῆσαι αὐτοῦ. αὐτὸς ἡκέτω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. ἀκούω Ἱερεμίου λέγοντος περὶ αὐτοῦ, "βαθεῖα ἡ καρδία αὐτοῦ παρὰ πάντας, καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; αὐτὸν ποθῶ, αὐτὸν ἱκετεύω· φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. ἀκούω τοῦ Ἀμῶς λέγοντος· ἰδοὺ "ἄνθρωπος ἑστὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. αὐτὸν ζητῶ, ἡκέτω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. καὶ ὥσπερ γυνὴ φίλανδρος, ἀπόντος τοῦ ἀνδρὸς, παρακύπτουσα διὰ θυρίδων αὐτὸν περιβλέπεται, αὐτὸν περισκοποῦσα, καὶ κατὰ τὴν γῆν, καὶ κατὰ τὴν θάλασσαν. κἂν ἴδῃ πλοῖον ἐρχόμενον, ἐκεῖ τὸν ἑαυτῆς ἄνδρα φαντάζεται· κἂν ἴδῃ ὁδοιπόρους ἐρχομένους, πόρρωθεν, ἐκεῖ τὸν ἑαυτῆς ἄνδρα λογίζεται εἶναι· πολλάκις γὰρ αὐτοῖς συναντήσασα ἐπερωτᾷ περὶ τοῦ ἰδίου ἀνδρὸς, εἴπατέ μοι, ποῦ αὐτὸν εἰάσατε, ἐν ποίᾳ πόλει ἢ κώμῃ, τί λέγοντα, ἢ τί ποιοῦντα, ἢ πότε ἐρχόμενον; τὸν αὐτὸν τρόπον καὶ ἡ πάνσεμνος ἐκκλησία φιλήματι ἁγίῳ καὶ ἀγάπῃ συνεχομένη, πάντας τοὺς προφήτας ἐπερωτᾷ λέγουσα· ἴδετε αὐτόν; ἆρα ἔρχεται, ἆρα οὐκ ἔρχεται; ἆρα ἐν οὐρανῷ ἐστιν; ἆρα τὰ ἀπλάνητα πρόβατα τὰ ἐννενηκονταεννέα ἐν οὐρανῷ νέμει, καὶ οὐκ ἔρχεται πρὸς τὸ πεπλανημένον πρόβατον; "ἀπαγγείλατέ μοι ποῦ ποιμαίνει; ποῦ κοιτάζει ὃν ἠγάπησεν ἡ ψυχή μου; ἐπερωτώμενοι δὲ οἱ προφῆται, δι' ἑνὸς φθέγγονται Ἡσαΐου, καὶ λέ"γουσιν· εἴδομεν αὐτόν· ἀλλ' εἰ ἐκεῖνον ἐκδέχῃ, εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν οὔτε τὸ εἶδος αὐτοῦ, οὔτε τὸ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἀποκρίνεται ἡ πάνσεμνος νύμφη ἐκκλησία, ἐκεῖνος ἐστιν, αὐτὸν ποθῶ, αὐτὸν ζητῶ, ἱκετεύω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. ἀποκρίνεται πρὸς αὐτὴν Ἡσαΐας· εἰ αὐτός ἐστιν, ἔρχεται, καὶ μετὰ ἰσχύος πολλῆς ἔρχεται. Κύριος, Κύριος ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρίας. ἰδοὺ ὁ μισθὸς αὐτοῦ, καὶ τὸ ἔργον αὐτοῦ ἐναντίον αὐτοῦ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει. ἀκούει αὕτη, ὅτι ἀκριβῶς τὰ περὶ αὐτοῦ διηγεῖται Ἡσαΐας, καὶ λέγει αὐτὸν ποιμένα. ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει, καὶ λέγει αὐτῷ, ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις ὃν ἠγάπησεν ἡ ψυχή μου; πέμπει αὐτὴν Ἡσαΐας πρὸς Ἰωάννην, καὶ λέγει αὐτῇ Ἰωάννης, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ἀπέρχεται εἰς τὴν ἔρημον πρὸς Ἰωάννην, κρατεῖ αὐτὸν, ἐπερωτᾷ. εἰπέ μοι, εἰ σὺ εἶ ὁ Χριστός; "ἀποκρίνεται Ἰωάννης, οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός· ὀπίσω μου ἔρχεται, ἰσχυρότερός μου ἐστίν· οὗ οὐκ εἰμὶ ἄξιος τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ λῦσαι. ἔτι βραδύνοντος αὐτοῦ, ἔλεγεν αὐτή· οἴμοι τετρωμένη ἀγάπης ἐγώ. πάλιν πρὸς αὐτὴν Ἰωάννης· μὴ στέναζε, παῦσαι, μόνον ἐπίσχες ὀλίγον. θεωρεῖ Ἰωάννης προσερχόμενον τὸν Κύριον, καὶ λέγει αὐτῇ· παῦσαι, μηκέτι στέναζε, πόρρωθεν ὑποδεικνύει τὸν δάκτυλον ἐκτείνας, καὶ λέγει· ἴδε, ὃν ζητεῖς, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἀκούσασα αὕτη ἀμνὸν παρὰ Ἰωάννου, καὶ ποιμένα παρὰ Ἡσαΐου, ἀμφιβάλλει λέγουσα ἐν ἑαυτῇ· τίνι ἄρα πιστεύσω; ἆρα τούτῳ πιστεύσω, ἢ Ἡσαΐᾳ; θεωρεῖ ὁ δεσπότης, "ὅτι ἀμφιβάλλει· κράζει καὶ λέγει, ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. καὶ λύει αὐτῆς τὴν ἀμφιβολίαν ἐκ τοῦ ῥήματος. προσέρχεται ἐκείνη τῷ νυμφίῳ, περιπλέκεται αὐτὸν καὶ φιλεῖ αὐτόν. καὶ πληροῦται τὸ ἐν τῷ "Δαβὶδ γεγραμμένον, ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. ἵνα δὲ ἐντελέστερον μάθωμεν ὅτι νύμφη τῷ νυμφίῳ συνήφθη, γάμος ἐγένετο πνευματικός. καὶ αὐτὸς ἐπιθαλάμιος. ᾄδει αὐτὸν ὁ Ἰωάννης, καὶ λέγει· ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ἑστὼς καὶ ἀκούων τὴν φωνὴν αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. χρεία ἦν ὡς ἐν γάμῳ καὶ δωρεὰς γράφεσθαι τῇ νύμφῃ· ἔδει χάρτην ζητηθῆναι, καὶ γραφέα, καὶ κάλαμον. ὁ χάρτης παρὰ Ἡσαΐου εὑρίσκεται. ἐπιτάσσει τῷ γραφεῖ τὸ πνεῦμα τὸ ἅγιον καὶ λέγει, λάβε σεαυτῷ τόμον καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου. ἐζητεῖτο ὁ κάλαμος, εὑρέθη παρὰ τῷ Δαβίδ. λέγει "γὰρ περὶ αὐτοῦ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ταύτην τὴν ἐκκλησίαν ὁ Δαβὶδ νυμφοστολεῖ· αὐτὸς αὐτὴν καλλωπίζει, αὐτὸς αὐτὴν νουθετεῖ, καὶ διδάσκει ὡς νυμφοστόλος, ἤ, ὡς ἔθος ἐστὶν λέγειν τοὺς ἀνθρώπους παρανυμφίους. παραγγέλλει τῇ νύμφῃ. Βλέπε τέκνον, ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ὅτι αὐτός ἐστιν ὁ κύριός σου· καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις. ἐάν μου ἀκούσῃς, θύγατερ, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς,

A oſculis oris ſui, deſponſata ſum cœleſti ſponſo per legem & Pro-
phetas. Ego Eccleſia ex gentibus deſponſata, non jam volo
per Moſem & Eſaiam, aut Hieremiam, & cæteros vates: ſed
ipſe veniat, cum ipſo volo ore ad os loqui: ipſe veniat, & o-
ſculetur me ab oſculis oris ſui. Audio Hieremiam dicentem de
ipſo, *Grave cor ejus præ omnibus, & homo eſt, & quis cognoſcet eum?* Hier. 17, 9.
Ipſum deſidero, ipſum oro veniat, & oſculetur me ab oſculis oris
ſui. Audio Amos dicentem de eo, *Ecce homo ſtans ſuper murum* Amos 7, 7.
B *adamantinum, & in manu ejus adamas*: ipſum quæro, ve-
niat, & oſculetur me ab oſculis oris ſui. At ſicut conjunx a-
matrix viri abſente marito ſuo per feneſtras circumſpicit, ipſum
requirens, & ubique ſpeculans in mari, & in terra: & ſi vi-
derit navem venientem, ibi ſuum putat eſſe virum: & ſi vi-
derit viatores procul venientes, inter ipſos adeſſe exiſtimat, &
ſæpe occurrens eis, interrogat de viro ſuo, dicens, Dicite mi-
hi ubi eum dimiſeritis, in qua civitate, aut pago, quid dicen-
C tem, aut quod facientem, aut quando venientem? In hunc
modum omnis ſancta Eccleſia conſtricta oſculo & charitate
Chriſti interrogat omnes prophetas. Vidiſtis eum? putatis
venit? putatis non venit? putatis adhuc in cœlis eſt? po-
tatis adhuc nonaginta & novem oves, quæ non erraverunt, paſ-
cit in cœlis, & non venit ad erroneam ovem? *Dicite mihi*, Cant. 1, 7.
ubi paſcit, ubi cubat, quem diligit anima mea? Interrogati
Prophetæ per unum reſpondentes Eſaiam, dicunt, *Vidimus* Eſa. 53. 2.
D *eum*, ſi tamen ipſum expectas: ſi quidem *vidimus eum, &*
non habebat ſpeciem, neque decorem, ſed ſpecies ejus inhono-
rata, & deficiens, præ filiis hominum. Reſpondit omnis ca-
ſta ſponſa Eccleſia: Ipſe eſt, ipſum deſidero, ipſum quæro,
poſtulo oſculetur me ab oſculis oris ſui. Reſpondet ad eam
Eſaias, Si ipſe eſt, venit, & multa cum virtute venit. Domi-
nus, Dominus venit, & brachium ejus cum dominatione. Ec-
ce merces ejus cum eo, & opus ejus in conſpectu ejus, & in
E manu ſua congregabit agnos, & in utero habentes conſolabi-
tur. Audiens hæc omnis caſta Eccleſia, quod manifeſtè de eo
narraverit Eſajas, & paſtorem ipſum dicit: Sicut paſtor paſcet
gregem ſuum, & in manu ſua congregabit agnos, & in utero
habentes conſolabitur: & dicit ad eum, Ubi paſcit, & ubi
cubat quem diligit anima mea? Mittit eam Eſajas ad Joannem,
& dicit illi Joannes; vox clamantis in deſerto, parate viam
Domini, & dirigite ſemitas ejus. Pergit ad Joannem in deſer- Joan. 1, 20. ſeq.
A to. Dicito, inquit, mihi ſi tu es Chriſtus? Reſpondet Joan-
nes, Non ſum ego Chriſtus. Denuo interrogat, Si tu non es
Chriſtus, quare baptizas? Reſpondit illi; *Ego quidem Chri-*
ſtus non ſum, ſed poſt me veniet qui fortior me eſt, cujus non ſum
dignus corrigiam calceamenti ſolvere. Et adhuc tardante eo,
dicit illa, Hei mihi, vulnerata charitate ego ſum. Et iterum
dicit Joannes ad eam, Suſtine pauliſper, noli ingemiſcere, ex-
pecta, jamjamque veniet. Videt Joannes venientem Domi-
B num, & ad eam: Quieſce, noli amplius ingemiſcere, indi-
cat eminus intenſo digito, & dicit: Ecce quem quæris: *Ecce*
agnus Dei, ecce qui tollit peccata mundi. Et quum audiſſet a-
gnum ab Joanne, & paſtorem ab Eſaia, hæſitat, & putat, di-
cens ad ſemetipſam, Cui credam? putas huic, Eſaiæ? Vi-
det dominus quoniam dubitat; clamat & dicit, *Ego ſum paſtor* Joh. 10, 11.
bonus. Et uno ſermone ſolvit omnem hæſitationem ejus. Ac-
C cedit illa, ſponſum amplectitur, & oſculatur eum. Et com-
pletur quod in David ſcriptum eſt, *Miſericordia & veritas ob-* Pſal 84, 11.
viaverunt ſibi, juſtitia & pax oſculata ſunt ſe. Ut autem mani-
feſtius addiſcamus, quoniam ſponſo ſponſa conjuncta eſt, &
ſpirituales factæ ſunt nuptiæ: ipſe Joannes epithalamium dicit:
Qui habet ſponſam, ſponſus eſt: amicus autem ſponſi, qui Joan. 3, 29.
ſtat, & audit vocem ejus, gaudio gaudet propter vocem ſpon-
ſi. Illum oportet creſcere, me autem minui. Neceſſe, in-
D quit, erat, ſicut in nuptiis, dotalia ſcribi ſponſæ. charta quæ-
rebatur, & ſcriptor, & calamus. Apud Eſaiam charta repe- Eſa. 8. 1.
ritur: præcipit ſcriba Spiritus ſanctus, & ait: Accipe tu
chartam novam, & grandem, & ſcribe in ea. Quærebatur
calamus, inventus eſt apud David. Dicit enim de eo: *Lin-* Pſal. 44. 2.
gua mea calamus ſcribæ velociter ſcribentis. Specioſus forma
præ filiis hominum. Hanc Eccleſiam David deſponſat, ipſe
eam adornat, ipſe eam hortatur & docet, ſicut mos eſt doceri ho-
E mines à pronubis. Præcipit ſponſæ. Audi filia, & vide, & in-
clina aurem tuam, Et obliviſcere populi tui, & domum patris
tui. Et concupiſcet Rex decorem tuum; quoniam ipſe eſt Do-
minus Deus tuus, & adorabunt eum filiæ Tyri in muneribus. Si
me audieris filia, vultum tuum deprecabuntur divites plebis:
neceſſari

A neceſſarium quippe erat etiam quæ ab unoquoque offerebantur, ſcribi. ſervos videlicet & ancillas, & à Chriſto quidem ſervus veniet Paulus, & Sylvanus, & Timotheus ſervi Jeſu Chriſti & expetunt ancillas à ſponſa. Subjicit David, & dicit: Adducentur regi virgines poſt eam, proximæ ejus afferentur tibi. Fiunt igitur nuptiæ. Venit Dominus myſticè in Cana Galilææ. Cana interpretatur poſſeſſio Dei: poſſeſſio autem Dei totus mundus eſt. Hic jam ſpirituales celebrat nuptias, venit in Cana Galilææ. B Et conveniunt omnes ſancti, & unuſquiſque ſecundùm vires ſuas dona offerunt ſponſo. Abraham offert vitulum, Sara hujus uxor ſubcineritios panes, Iſaac ligna portat, Jacob hædos defert, Joſeph frumenta diſpergit, Moſes lampadem accendit, Eſajas canit, David chorum ducit. Et quia neceſſe erat ad tales nuptias & ſanctas intereſſe mulieres, & ipſas quoque congratulari & canere: Venit Eſther & Judith compoſita & ornata, & Maria ſoror Moſi tenens tympanum, & dicens: *Cantemus domino; glorioſè enim honorificatus eſt.* (Exod. 15, 1.) C Neceſſe etiam erat ut in talibus nuptiis laudes & præconia ſcriberentur. Paulus collaudans nuptias, dicit: *Honorabiles nuptiæ, & cubile immaculatum.* (Hebr. 13, 4.) Et quia myſticum erat quod dicebat, audi quemadmodum verba Adæ interpretatur, dicens: Quid enim, inquit, ſcriptum eſt? *Propter hoc relinquet homo patrem, & matrem, & adhærebit uxori ſuæ, & erunt duo in carnem unam.* (Gen. 2, 24.) Myſterium hoc grande eſt. Ego autem dico in Chriſto, & in Eccleſia. D Quod ergo ille interpretatus eſt, nos dubitare non convenit: ſed oremus Deum, ut & nos gloriam ipſius videre mereamur, in Chriſto Jeſu Domino noſtro: cum quo eſt Deo patri unà cum ſancto & vivifico ſpiritu honor, gloria, & poteſtas nunc & ſemper, & in ſecula ſeculorum. Amen.

A ἔδει λοιπὸν γραφῆναι καὶ τὰ παρ' ἑκάστου αὐτῶν διδόμενα, δούλους καὶ παιδίσκας. παρὰ μὲν τοῦ Χριστοῦ, δούλους· παρὰ δὲ τῆς νύμφης, παιδίσκας. τοὺς δούλους δίδωσιν ὁ Χριστός· ἔρχονται Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ. ἀπαιτοῦσι καὶ τὰς παρὰ τῆς νύμφης παιδίσκας. ὁ Δαβὶδ ὑπαγορεύει, καὶ λέγει· ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. γίνεται ὁ γάμος· ἄρχεται B ὁ Κύριος μυστικῶς ἐν Κανᾷ τῆς Γαλιλαίας. Κανᾶ δὲ ἑρμηνεύεται κτῆσις Θεοῦ. κτῆσις δὲ τοῦ Θεοῦ ὁ πᾶς κόσμος. ὥστε τοὺς γάμους τελεῖ τοὺς πνευματικούς, ἔρχεται ἐν Κανᾷ τῆς Γαλιλαίας. καὶ παραγίνεται ἐκεῖ πᾶς ὁ τῶν ἁγίων χορός. κατὰ τὴν οἰκείαν δύναμιν προσφέρουσι τῷ νυμφίῳ τὰ δῶρα ἕκαστος κατὰ τὴν οἰκείαν δύναμιν· ὡς ἐν γάμοις· Ἀβραὰμ τὸν μόσχον, ἡ τούτου γυνὴ Σάῤῥα, τοὺς ἐγκρυφίας, Ἰσαὰκ τὰ ξύλα, Ἰακὼβ τοὺς ἐρίφους, Ἰωσὴφ σιτοδοτεῖ, Μωυσῆς C λαμπαδουχεῖ, Ἡσαΐας ᾄδει, καὶ Δαβὶδ χορεύει· καὶ ἐπειδὴ ἔδει καὶ γυναῖκας ἁγίας παρεῖναι εἰς τὸν τοιοῦτον γάμον, κἀκείνας ᾄδειν· ἔρχεται Ἐσθὴρ, Ἰουδὴθ στολίζεται, καλλωπίζεται· καὶ Μαρία ἡ τοῦ Μωυσέως ἀδελφὴ, λαμβάνει τὸ τύμπανον· καὶ λέγει· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. καὶ ἐπειδὴ ἔδει ὡς ἐν γάμῳ τούτῳ καὶ ἐγγραφῆναι ἐπαίνους, Παῦλος ἐπαινῶν τὸν γάμον, λέγει· Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. D ὅτι δὲ περὶ Χριστοῦ λέγει καὶ τῆς ἐκκλησίας, αὐτὸς ἑαυτὸν ἑρμηνευσάτω. τί γάρ, φησι γέγραπται; ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. ὃ οὖν ἐκεῖνος ἑρμηνεύει, ἡμεῖς μὴ ἀμφιβάλλωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ πατρὶ, E καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

In Eliam Prophetam Sermo.

INCERTO Interprete.

Glorioſus olim prophetarum poſſeſſione, uti peculiaris quædam illorum agricultura, erat Judæorum populus: ſed plaudite, gloriatio hæc nunc ab eis in Eccleſiam tranſlata eſt. A Ecce enim apud nos & prophetarum corpora. Neque enim congruit, ut prophetas agricolas adhuc habeat ſterilis ille populus. Neque decet, ut apud illos ſerventur prophetæ, qui eum, quem iſti prædixerunt, crucifixere pro mortuis quos apud illos excitavit, pro cæcis quos apud illos viſu donavit, pro eſurientibus quos apud illos pavit, pro violentia quam beato Eliæ Deus omnium Dominus propter illos fecit, B & raris modis, ut dicemus, ad revocandam, quam contra illos tulerat ſententiam, coëgit. Quem precor, ut & nunc mihi in commemorandis prophetæ hujus factis dux ſit & doctor. Igitur Elias ille, zelo Dei inſignis, ut vidit Judæorum gentem, contempta Dei miſericordia, perpetuò in deliciis vivere, & idolorum cultui deditam: & à Deo quidem impietatem tolerari, ipſos autem longanimitate iſta, ad majorem vitæ impœnitentiam abuti: volens eos punitum iri, cogitabat quidnam adverſus eos divinæ bonitati opponeret: C quæ parvis lacrymis ſtatim movetur ut jam ponat: decernit tandem, ut ad conceptam contra eos pœnam, Deum juramento aſtringat, quo ligatus, ſententiam in eos non facilè ſolveret. Non ignorabat enim & juſtorum zelo Deum placari. Dicebat itaque, Bonus erga illos Deus eſt, paucisque eorum flectitur lacrymis: verùm bonitas illa populo malè cedit: longanimitate enim abutentes, perditè vivunt: & ſimulachra colunt, atque ita & Deus ipſe contemnitur. D *Vivit Dominus*, inquit, *& non erunt per annos illos ros & pluvia.* (3. Reg. 17, 1.) Deinde, cùm Deus ei reſponderet: Quid ergo, ſi pœnitentes illi mihi blandientur ſi lacrymas afferentes ſpectem, ſi à delictis, reſipiſcentes videam, ſtatimne dare debeo pluviam? Minimè, inquit, vivit Dominus, *niſi per os meum.* (Ibidem.) Non, vivit Dominus. Illi idolis ſe addixerunt, ego per deitatem tuam juro. Oſtende mihi, quòd juramentum hoc & contra te valeat: ut & per hoc idolorum infirmitas declaretur. Non, vivit Dominus, E non erunt tribus annis ros & pluvia, niſi per ſermonem oris mei. Non, quando tibi videbitur, pœnæ finem facias. Tibi enim pro clementia tua ſemper videtur miſericorditer agendum. Sed tunc, quando ego pro eis oravero & judicavero quod dignam animæ ſuæ curam gerant, probeque reſipiſcant. Igitur propheticam ſententiam reveritus eſt Deus, & honorem juramento illi dedit. Rem tamen moderatus Dominus ſic eſt, ut & Prophetam ſimul revereri videretur: & populi, quem fame puniebat, miſereretur. Et quid facit? Prophetam unà cum populo punit,

Εἰς τὸν προφήτην Ἠλίαν λόγος.

Πρότερον μὲν τῶν Ἰουδαίων ὁ δῆμος τῇ τῶν προφητῶν ἐκαλλωπίζετο κτήσει, καὶ προφητικὸν ὑπῆρχε γεώργιον. νυνὶ A δὲ καὶ ταύτην αὐτὴν παρὰ τῆς ἐκκλησίας ἀφῄρηται τὴν καύχησιν. ἰδοὺ γὰρ τῶν προφητῶν παρ' ἡμῖν καὶ τὰ σώματα· οὐ γὰρ ἔπρεπεν ἀκάρπῳ λαῷ προφητικοὶ γεωργοί. οὐχ ἥρμοσε παρακατέχειν προφήτας, τοῖς τὸν δι' αὐτῶν προφητευθέντα σταυρώσασιν, ἀντὶ νεκρῶν οὓς παρ' ἐκείνοις ἀνέστησεν, ἀντὶ τυφλῶν οὓς παρ' αὐτοῖς ὠμμάτωσεν, ἀντὶ πεινώντων οὓς παρ' ἐκείνοις διέθρεψεν, ἀντὶ τῆς βίας, ἣν δι' αὐτοὺς ὁ τῶν ὅλων δεσπότης Θεὸς τῷ μακαρίῳ προσή-B γαγεν Ἠλίᾳ, λῦσαι τὴν κατ' αὐτῶν ἀπόφασιν τὸν προφήτην βιαζόμενος. ἄγει γάρ με πρὸς Ἠλίαν ὁ προλαβὼν παιδευτής. ὁ μακάριος Ἠλίας ἰδὼν τὸν τῶν Ἰουδαίων λαὸν τῇ τοῦ Θεοῦ κατατρυφῶντα φιλανθρωπίᾳ, καὶ τὸν μὲν Θεὸν τὴν ἐκείνων θεομαχίας ἀνεχόμενον διηνεκῶς, ἐκείνους δὲ τῇ μακροθυμίᾳ πρὸς ῥᾳθυμίαν παιδοτριβουμένους ἀεί· * ἐπινοεῖ τι τοιοῦτον κατὰ τῆς τοῦ Θεοῦ περὶ αὐτοὺς ἀγαθότητος, ἀποφαίνεται κατ' αὐτῶν. εἶτα εἰδὼς ὅτι τὸν τῶν C δικαίων ζῆλον δυσωπεῖται Θεός. βουλόμενος τοὺς Ἰουδαίους κολάσαι, καὶ φοβούμενος τὴν θείαν χρηστότητα, μικροῖς δάκρυσιν εὐθὺς θεραπευομένην, ἀποφαίνεται κατ' αὐτῶν τιμωρίαν, καὶ ὅρκῳ τὴν τιμωρίαν δεσμεῖ, ἵνα τὸν ὅρκον Θεὸς δυσωπούμενος, μὴ λύσῃ τὴν κατ' ἐκείνων ἀπόφασιν· ἀγαθός φησι περὶ αὐτοὺς ὁ Θεὸς, καὶ μικροῖς παρ' αὐτῶν θεραπεύεται δάκρυσι. ταῦτα δὲ τούτοις εἰς εἰδωλολατρείαν παιδοτριβεῖ. Ζῇ Κύριος, φησιν, οὐκ ἔσται τὰ ἔτη D ταῦτα δρόσος καὶ ὑετός, εἶτα, ὡς τοῦ Θεοῦ πρὸς αὐτὸν ἀντιφθεγγομένου, τί οὖν; ἂν κολακευθῶ παρ' ἐκείνων διὰ μετανοίας, Ἠλία; ἂν δάκρυα προσφέροντας ἐκείνους θεάσωμαι; ἂν ἐπὶ τὰς πλημμελείας μεταμελήσαντας εὐθὺς μὴ δώσω ὑετόν; οὐ, ζῇ Κύριος, εἰ μὴ διὰ στόματός μου· οὐ ζῇ Κύριος· ἐκεῖνοί, φησιν, εἰδώλοις προσήλωνται, ἐγὼ δὲ κατὰ τῆς σῆς ὀμνύω θεότητος· δεῖξόν μου τὸν ὅρκον τὸν κατὰ σοῦ δυνατὸν, ἵνα καὶ διὰ τούτου μάθωσι τὴν τῶν εἰδώλων E ἀσθένειαν· οὐ, ζῇ Κύριος, οὐκ ἔσται, φησὶ, τὰ ἔτη ταῦτα, δρόσος καὶ ὑετὸς, εἰ μὴ διὰ λόγου στόματός μου. οὐχ, ὅτ' ἂν, φησὶ, σοὶ δόξῃ, λύσεις τὴν τιμωρίαν· σοὶ γὰρ ἀεὶ δοκεῖ τὸ φιλανθρωπεύεσθαι· ἀλλ' ὅτ' ἂν περὶ αὐτῶν ἱκετεύσω, ὅτ' ἂν ἐμοῦ κρίναντος, ὅτ' ἂν δοκοῦσαν ἐπιδείξωνται τὴν τῆς ψυχῆς μεταμέλειαν. ᾐδέσθη τὴν προφητικὴν ἀπόφασιν ὁ Θεὸς, ἐτίμησεν ὅρκον τὸν εἰς αὐτόν. συνείχετο τοίνυν ὁ τῶν ὅλων δεσπότης, καὶ τὸν προφήτην αἰδούμενος, καὶ τὸν λαὸν τῷ λιμῷ κολαζόμενον ἐλεῶν. τί οὖν ποιεῖ; συγκολάζει τῷ λαῷ τὸν προφήτην, ἵνα

ἵνα τῇ τοῦ λιμοῦ καὶ αὐτὸς συνεχόμενος τιμωρίᾳ. βουλεύεται δὲ περὶ τῆς ἀποφάσεως τοῦ ὅρκου φιλάνθρωπον, καὶ συγκολάζεται μὲν τῷ λαῷ τὸν προφήτην, ἐπικουφίζει δὲ τῷ προφήτῃ τὴν τιμωρίαν, ὁδὸν αὐτὴν τῆς φιλανθρωπίας ἰδεῖν ἀπὸ τῆς σοφίας ποιούμενος. τρέφει γὰρ τὸν προφήτην διὰ πετεινῶν μισοτέκνων. μισότεκνος γὰρ ὁ κόραξ γονεύς, καὶ ἃ τίκτει μὴ τρέφων. ὅπερ γ' οὖν ὁ προφήτης Δαβὶδ αἰνιττόμενος ἔλεγε, καὶ τοῖς νεοττοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. ἐπειδὴ γὰρ οἱ τῶν νεοττοὶ τῶν κοράκων, μᾶλλον δὲ πάντες νεοττοί, πρὸς τὴν τῆς τροφῆς τῆς οἰκείας συλλογὴν ἀσθενοῦσιν, ἔχουσι δὲ τοὺς γονέας παιδοτροφοῦντας· ἀπεστέρηνται δὲ τούτου οἱ νεοττοὶ τῶν κοράκων, ὅμως δὲ διαμένει τῶν κοράκων τὸ γένος παρὰ τῶν γονέων μὴ διατρεφόμενον· δεικνὺς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὁ Δαβίδ, ἀνατίθησι τὴν ἐκείνων διατροφὴν τῷ Θεῷ. κεχηνότες γὰρ εἰς ἀέρα τῶν κοράκων οἱ νεοττοὶ, καὶ παρὰ τῶν γονέων μὴ τρεφόμενοι, ἔχουσιν αὐτοὶ ζῶα μικρά τινα τὴν θείαν ἐπιστημοσύνην πρόνοιαν διακονούμενα. καὶ ταῦτα ἐκ τοῦ ἀέρος ἐκεῖνα δεχόμενοι, πρὸς αὔξησιν τρέφονται. διὰ τοῦτο, φησὶ, τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. ἐπειδὴ τοίνυν μισοτεκνῶν ὁ Ἠλίας κατὰ Ἰουδαίων οἷς τέκνων ἀχρήστων ἀνέλαβε, διὰ μισοτέκνων πατέρων πρεσβεύεται πρὸς αὐτὸν ὁ Θεὸς, μονονουχὶ τοῦτο πρὸς τὸν Ἠλίαν σεσιγημένως βοῶν, μὴ τοσαύτη παρά σοι κατὰ Ἰουδαίων μισοτεκνία, ὅση τοῖς κόραξι κατὰ τῶν νεοττῶν τῶν οἰκείων· ἀλλ' ὅρα νῦν μεταβεβλημένους τοὺς κόρακας. ὅρα τὴν ἐκείνων, ὦ Ἠλία, φιλανθρωπίαν· οἱ περὶ τοὺς οἰκείους ἀπάνθρωποι νεοττοὺς, σοὶ γίνονται ξενοδόχοι φιλότιμοι. ἄτοπον ἐστὶν, ὦ Ἠλία, τοὺς μὲν κόρακας μισθοὺς γίνεσθαι πρὸς σὲ τῆς παρ' ἐμοῦ φιλανθρωπίας, σὲ δὲ μεσίτην τοῖς Ἰουδαίοις μὴ γενέσθαι, τῆς παρ' ἐμοῦ κατ' αὐτῶν τιμωρίας. αἰδέσθητι τὴν τῶν κοράκων μεταβολήν, καὶ γενοῦ περὶ τοὺς Ἰουδαίους χρηστός. ἐγὼ γὰρ τιμῶ σου μὲν τὴν ἀπόφασιν, ἐκείνους δὲ κολαζομένους οἰκτείρω. ὡς δὲ οὐδὲν ὁ Θεὸς τὸν Ἠλίαν οὐκ ἐνδιδόντα, συστέλλει πάλιν τὴν διὰ τῶν κοράκων τροφὴν, πρὸς καταλλαγὰς αὐτὸν βιαζόμενος, ἵνα τῷ λιμῷ βιασθεὶς τὴν ἀπόφασιν κἂν δι' ἑαυτοῦ λύσῃ. ὁ δὲ καὶ τῶν κοράκων συσταλέντων ἠνείχετο. λιμωξέτω, φησὶ, μόνον τοὺς δυσσεβοῦντας ἴδω κολαζομένους· ἀπολέσθω μου τὸ σῶμα μετὰ τούτων λιμῷ κολαζόμενον. ἐκλειπούσης τοίνυν τῆς διὰ τῶν κοράκων τροφῆς, καὶ χρόνου διελθόντος πολλοῦ, πάλιν συσχεθεὶς ὁ Ἠλίας ἐφ' ἕτερον μεθίσταται τόπον, καὶ τῷ λιμῷ συνθλιβόμενος, ἄπεισι καὶ γίνεται ἱκέτης ἐθνικῆς καὶ ταύτης χήρας καὶ πεινωμένης. καὶ βουλόμενος δὲ αὐτὸν ὁ Θεὸς γενέσθαι φιλανθρωπότερον, ἐπειδὴ τότε τοῖς Ἰουδαίοις ἀπείρητο ἡ μετὰ ἐθνῶν συνουσία, προλαμβάνων προκαταγγέλλει τὸ γενησόμενον· ἀνάστηθι, φησὶν, ἐντεῦθεν, καὶ ἄπελθε εἰς Σαρεφθὰ τῆς Σιδωνίας, καὶ ἐντελοῦμαι ἐκεῖ χήρᾳ γυναικὶ ἐθνικῇ τοῦ διατρέφειν σε. ἵνα ἀκούσας τὸ, ἐθνικῇ, μυσάξηται τὴν τροφὴν, καὶ παρακαλέσῃ τὸν Θεὸν εἰς χορηγίαν τῶν ὄμβρων. ὁ δὲ οὐδὲ πρὸς ταύτην τὴν φωνὴν ἐχαυνοῦτο, ἀλλ' ἔτρεχε πρὸς τὴν τῆς ἐθνικῆς διατροφήν. καὶ τὸ δὴ μεῖζον, παρασκευάζει τὴν χήραν ὁ Θεὸς εὐθὺς αὐτῷ πεινῶντι λαλῆσαι ῥήματα σκληρά, πανταχόθεν αὐτὸν εἰς χρηστότητα συνελαύνων. τί οὖν ἡ ἐθνικὴ πρὸς αὐτόν; ζῇ Κύριος, φησὶν, ὁ Θεός σου. καὶ πόθεν τῇ ἐθνικῇ τὸ εἰπεῖν, ζῇ Κύριος ὁ Θεός σου. προλαβὼν ὁ Θεὸς δείκνυσι τὸν προφήτην τῇ χήρᾳ κατ' ὀπτασίαν. τοῦτο γὰρ ἔστιν ὃ τῷ προφήτῃ ὁ Θεὸς ἐπεβόα, ἐντελοῦμαι ἐκεῖ χήρᾳ γυναικὶ τοῦ διαθρέψαι σε. ἔδειξεν ὁ Θεὸς προλαβὼν τῇ γυναικὶ τοῦ προφήτου τὸ σχῆμα, τὴν μορφὴν, τὴν ἡλικίαν, τὴν μέλλουσαν αἴτησιν. ὅθεν μετὰ τὸ παραγενέσθαι τὸν προφήτην, ὑπεμνήσθη τῆς ὀπτασίας ἡ χήρα. εἶδεν αὐτὸν ταὐτὸν, οἷος αὐτῇ κατ' ὀπτασίαν ἐφάνη· ἐντεῦθεν γνοῦσα θείαν εἶναι τὴν ἀποκάλυψιν, εὐθὺς ἐλθόντι τῷ προφήτῃ βοᾷ, καὶ αἰτήσαντι τροφὴν βοᾷ, ζῇ Κύριος ὁ Θεός σου οὐκ ἔστι μοι ἐγκρυφίας ἀλλ' ἢ δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, καὶ εἰσελθοῦσα ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα καὶ ἀποθανούμεθα· εὐθὺς ἀπογνώσεως ἢ δόσεως ῥήματα. οὐδὲν ἡμῖν, φησὶ, τὸ περιλειπόμενον ἕτερον, τοῦ δρακὸς δαπανηθείσης, ἢ θάνατος. ἤρξατό τι πάσχειν πρὸς τὴν φωνὴν ὁ Ἠλίας· ἐμοῦ, φησὶ, πλείονι αὕτη παγκρατιάζει λιμῷ· ἐγὼ καὶ μόνος πεινῶ, αὕτη δὲ μετὰ τῶν τέκνων λιμώττει· μὴ γένωμαι πρόξενος τῇ ξενοδόχῳ θανάτου. τί οὖν; ἡ ὀργὴ τῷ ἀπειροῦντι χαυνοῦται πρὸς τὴν φωνὴν, ἄρχεται λοιπὸν φιλανθρωπίας ἐν ἑαυτῷ περιφέρειν μελέτην· οὐκ ἐκλείψει φησὶν ὁ καμψάκης τοῦ ἐλαίου, οὐδὲ ἡ ὑδρία τοῦ ἀλεύρου, ἕως τοῦ δοῦναι Κύριον ὑετὸν ἐπὶ τῆς γῆς· ἤδη μικρὸν τὴν τῶν ὄμβρων ὑποφθέγγεται δόσιν. πρὶν τοῦ λιμοῦ δαμασθῆναι, οὐκ ἐπέτρεπε Θεῷ τὴν περὶ τοὺς ὄμβρους φιλανθρωπίαν, ἀλλ' ἔλεγεν· οὐκ ἔσται τὰ ἔτη ταῦτα δρόσος ἢ ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ λόγου στόματός μου. νῦν δὲ ἐπιτρέπει, καὶ ἤδη τὸ τῆς λύσεως ὑπαγορεύειν προοίμιον, ἀλλ' ὑπηγόρευσε μὲν, ὅμως δὲ προσήγαγε τὴν αἴτησιν. τί οὖν ἡ τῆς φιλανθρωπίας πηγή; πάλιν αὐτῷ τρίτην μηχανὴν φιλανθρωπίας προσάγει κελεύει γὰρ τὴν ψυχὴν τοῦ τῆς χήρας παιδὸς μεταστῆναι τοῦ σώματος. λιμῷ μὲν γὰρ

A Aut dum etiam ipſe infamis ſupplicio comprehenditur, aliquid miſericordiæ in relaxando ſententiæ ſuæ juramento adducat. Et punit quidem Prophetam cum populo, leviori tamen pœna eum corripit, & mirabili ſapientia miſericordiæ opus complet. Prophetam enim per illas potiſſimum aves, quibus ſui fœtus inviſi, nutrit. Odit enim prolem ſuam corvus, & natam non educat. Id quod Propheta Regius inſinuans, dixit: *Et pullis corvorum invocantibus eum.* Quoniam enim pulli cor- Pſal. 146, 9.
B vorum, imò omnes avium pulli, recens nati, infirmiores ſunt, quàm ut ipſi cibum ſibi parent, unde adhuc implumes à parentibus ſuis enutriuntur. Sed ab ea parentum cura corvorum pulli deſtituti, attamen ab illis non curatum permanet corvorum genus. Unde David divinam nobis miſericordiam ſubinde commonſtrans, eorum educationem Deo aſcribit. Hiantibus enim in aërem, ut pote à parentibus neglectis, obvolitant animalcula quædam, divina providentia ſuppeditata, quæ captantes illi
C ex aëre, creſcunt & aluntur. Unde dicit, Et pullis corvorum invocantibus eum. Proinde per patres illos filiorum ſuorum oſores, apud Eliam, qui Judæis, ut filiis malæ frugis ſuccenſebat, Deus intercedit, quaſi ad eum ſilenter ita diceret: Ne tanto Judæorum filiorum tuorum odio teneare, quanto erga pullos ſuos corvi. Ecce illi nunc converſi ſunt, vide vel eorum miſericordiam. Qui natura pullis ſuis ſunt immiſericordes & inhumani, illi ipſi ut hoſpites tibi ſerviunt. Abſurdum
D eſt ô Elia, quòd apud te miſericordiæ meæ patrocinantur corvi: tu autem pro Judæis, in quos ſævio, non intercedis. Erubeſce, & vel corvorum exemplo Judæis eſto clementior. Ergo enim, ut tuæ ſententiæ honorem do, ita illorum qui affliguntur, miſereri velim. At Elias cùm Deo nondum cederet, revocatur alumni corvi beneficium, & alia reconciliandi via quæritur: nempe ut fame victus, ſententiam ipſe ſolvere cogatur. Verùm ille corvorum mini-
E ſterio deſtitutus, nihilo mitior inediam etiam ipſe ſuſtinuit, & inquit: Non ingratum eſt, quòd fame crucior, tantùm ut impios puniri videam, pereat etiam corpus meum cum his qui fame affliguntur. Itaque cùm deficiente per corvos alimonia, tranſiiſſet multum temporis, iterum corripitur Elias, & in alium tranſire locum jubetur; ut famelicus ipſe, famelicæ viduæ, quæ & ethnica erat, ſupplex eſſet: Quod hoc conſilio Dominus fecit. Nam cùm Judæis Joh. 4. 9.
A tum eſſet interdictum habere commercium cum Gentilibus, volens eum ad miſericordiam provocare, prædixit ei futurum, ut à muliere Gentili & vidua paſcatur. *Surge*, inquit, *hinc* 3. Reg. 17, 9.
& vade in Sarephtha Sidoniæ, & præcipiam illic mulieri viduæ ac Gentili ut te paſcat: ut audita voce Gentilis, alimentum exoſum haberet, & vel ſic Deum pro effundendo imbre imploraret. Ille autem neque ad hanc vocem mitior factus, cucurrit ad ethnicæ mulieris alimoniam. Jam quod majus eſt,
B excitat Deus viduam, ut eſurienti verba aſpera loquatur, undequaque ipſum ad benignitatem compellens. Et quidnam inquit mulier ethnica ad illum? Vivit, ait, Dominus Deus tuus: Et unde muliercula Gentili hæc vox, ut dicat? Prævenerat Deus, & ei per viſionem Prophetam oſtendit. Hoc enim eſt, quod Deus Prophetæ dicit? Præcipiam illic viduæ, ut te paſcat. Oſtenderat enim Deus mulieri figuram, Ibidem.
formam, ætatem, & futuram petitionem Prophetæ. Unde
C ipſa revelationis divinæ conſcia, ſtatim ut advenit Propheta, & cibum popoſcit, inde colligens divinam eſſe revelationem, ſtatim accedenti illi & petenti cibum abs ſe, clamabat: *Vivit Dominus Deus tuus*: non eſt mihi ſubcinericius panis niſi 3. Reg. 17, 9.
quantum pugillus farinæ in hydria, & parum olei in amphora, ut cùm intravero, faciam illum mihi, & pueris meis, ut comedamus & moriamur. En verba negantis potius quam dantis: Nihil enim nobis, inquit, reſiduum
D quàm mors, ubi pugillum hoc farinæ inſumpſerimus. Ad Ibidem.
hanc tandem vocem affici aliquo modo cœpit Elias. Et in majori anguſtia eſt hæc, inquit, quàm ego ſum. Ego ſolus eſurio, illa cum puero fame laborat: non ſim hoſpiti mortis author. Quid tum? Ad hanc vocem relaxatur ſeveritas ejus. Incipit miteſcere, & intra ſe miſericordiam exercere. Dicit: Non deficiet oleum cadi, neque farina hydriæ, do-
E nec det Dominus pluviam ſuper terram. Jam tandem ſubmeminit imbris dandi. Antequam fame domaretur, miſericordiam in danda pluvia Deo permittere nolebat, dicens: Ibidem.
Non erunt tribus annis pluvia vel ros ſuper terram, niſi juxta verba oris mei. Nunc autem permittit. & ſolvendo juramento præludit: & ſubmeminit quidem, petitionem tamen nondum adhibet. Quid igitur miſericordiæ fons ad hæc? Tertiam ei miſericordiæ machinam admovet, præcipiens animam pueri viduæ è corpore migrare. Salvus manet

 Prophetæ

Prophetæ honor, benedictio non ſolvitur, hydria & cadus non deficiunt. Atque adeò hunc magna miſericordiæ neceſſitate Propheta conſtringitur. Erat enim contumelia Prophetæ, ſi benedictio Gentilis viduæ, apud quam agebat, periret, & obfuiſſet viduæ fidei, ſi ex hac conſuetudine non majoris benedictionis ſenſiſſet commodum. Ea propter Deus benedictionem quidem non irritam reddidit, Prophetam autem tertia machina oppugnat. Faciem enim mori filium viduæ, in eam neceſſitatem induxit Prophetam, ut ſe orare cogeretur. Nam vidua mortui pueri mater, lacrymabunda ſtabat apud Prophetam, & dicebat: Utinam pridem fame mortua eſſem, & ante hanc benedictionem emigraſſem, & non eſſem miſera filii mortui ſpectatrix. Quo eventu confuſus Propheta: Hæ ſunt, inquit, viduæ hoſpitalitatis mercedes? Antequam me in domum ſuam ſuſciperet, erat ei proles: poſteaquam autem me ſuſcepit, dilectum filium mortuum plangit & lamentatur. Hoc eventu, ut dixi, confuſus Propheta, & apud ſeipſum expendens factum, ſenſit opus Domini, ſenſit technas divinas, & exclamat: Heu mihi, Domine, teſtis viduæ apud quam ego habito. Quid autem eſt quod hic vult dicere? Habeo, inquit, Domine, penes me teſtimonium tuum de muliere hac. Tu enim dixiſti: Præcipiam mulieri viduæ, ut te alat: teſtificans mulieris piam voluntatem. Ad hanc ex illis me locis huc tranſire feciſti, & quam priùs teſtimonii tui honore dignatus es proſequi, eam nunc filii morte punis? Heu mihi, Domine, teſtis viduæ apud quam ego habito, tu occidiſti filium ejus. Non eſt mors illa naturæ eventus: tuum opus eſt, tuæ technæ, quibus me in miſericordiæ neceſſitatem adigis: ut ſi dicere tibi voluero, Domine miſerere filio viduæ mortuo: tu mihi ex adverſo reſpondeas, miſerere filio meo Iſraël. Ad miſericordiam me compellis: Sentio artes tuas: Hoc agis, Domine, ut ſi dixero tibi, Salva filium viduæ mortuum, tu mihi ex adverſo reſpondeas, Filium meum Iſraël tu fame occiſum miſericordia dignare. Petis à me gratiam, petitur viciſſim & à te gratia. Solve famis ſententiam, & ſolvam mortis calculum. Poſtquam igitur vidit Deus Eliam bene domitum, & aliquanto miſericordiorem redditum, tandem & ipſe miſericordiores cum eo confert ſermones. Neque enim ſolviſſe ultionem, ultra injuria erat. Proficiſcere, inquit. Verba legationis Dei ſunt. Deus ipſe per ſemetipſum de miſericordia apud ſervum legationis munus obit, & intercedit. Proficiſcere, inquit, quia factus es miſericordior, declara quàm miſericordes ſint ſermones tui. Quia me cognoviſti, age & ego parturio miſericordiam, audias poſthac de ea re manifeſtius. Parturio vindictæ ſolutionem, urgeo ut reconcilientur, revereor lacrymas eorum qui puniuntur, omnes peccatores, o Propheta, miſericordiæ meæ chirographum habent. Ne mendacii apud illos me argui feceris, audi autem & ipſe chirographi voces, quas certè & ipſe noſti. *Nolo mortem peccatoris, ſed ut convertatur & vivat.* Arrigit ad hæc aures Elias, & animam his quæ à Deo dicebantur, accommodat. *Proficiſcere*, inquit, *& compare apud Achab.* Reconciliari eis volo, ſed abſque te non reconciliabor: tu gratiam illis præbe, qui nunc caſtigantur. Ego clàm apud te pro illis intercedo, tu autem manifeſtus amicitiæ reſarcitæ ſis author. Vade & compare apud Achab, & dabo pluviam ſuper terram: tu concilia, tu ſignifica, tu pluviam conceſſam pronuntia, & ede: ego autem tuis ſententiis ſubſcribam. Currit igitur volens & nolens, & imbres futuros prædicat. Verùm impietatem eorum adhuc videns, iterum triſtem quandam in eos meditabatur ſententiam. Et quid tunc ad ea Deus? Videns pertinacem Eliæ animum adhuc à miſericordia abhorrentem, à peccatoribus ipſum ſegregat. Ego, dicit, ſcio zelum tuum, grata eſt mihi converſatio tua. Verùm interim & peccatoribus miſericors ſum, cùm ſupra modum puniuntur: tu verò valde ſeverus es pietatis exquiſitor. At humanum genus perpetuò declinavit. Vos igitur à mutua cohabitatione ſejungo. Unde, quia peccatores ob zeli nimietatem ferre non vales, aſcende quaſi in cœlum, ego autem in terra peregrinus ero. Nam ſi diu tibi manendum in terris eſſet, propediem humanum genus, quod à te continuò plectitur, aboleretur. Quid igitur? tranſi velut in cœlos ò Elia. Non poteſt cohabitare ignis calamo. Impeccabiles contubernales poſthac habiturus es: inter Angelorum choros habitare te faciam: ego autem cum peccatoribus peregrinabor, qui humeris ovem erraticam bajulare poſſum, qui clamo peccatoribus omnibus: *Venite ad me omnes qui laboratis*, ego non puniam vos, *ſed requieſcere vos faciam.* Illi gloria in ſecula ſeculorum. Amen.

Ezech. 18, 24. & 33, 11. 3 Reg. 18, 1. Math. 11, 28.

τὴν προφήτην, τὴν εὐλογίαν οὐκ ἔλυεν, οὐδὲ ἐπιλεῖψαι τὴν καμψάκην εἴασεν, ὥστε πρὸς ἀνάγκην αὐτὸν συμπλακῆναι φιλανθρωπίας. ὕβρις γὰρ ἦν τῷ προφήτῃ, εἰ ταῦτ' εὐλογίας ἀνετράπη τῆς παρ' αὐτοῦ, καὶ τῆς ἐθνικῆς δὲ χήρας ἐκείνης τὴν πίστιν κατέβλαψεν, ὡς ἀπὸ συντυχίας τῆς εὐλογίας ἐπιτυχούσης μικρόν. διὰ τοῦτο ὁ θεὸς τὴν μὲν εὐλογίαν οὐκ ἀνατρέπει, τρίτην δὲ προσάγει μηχανὴν τῷ προφήτῃ. ποιεῖ γὰρ τὸ τῆς χήρας ἀποθανεῖν παιδίον, τὸν προφήτην εἰς ἀνάγκην ἀγαγὼν τῆς πρὸς αὐτὸν ἀξιώσεως. ἡ γὰρ χήρα τεθνηκότος τοῦ τέκνου, παρειστήκει τῷ προφήτῃ σὺν δάκρυσιν· εἴθε, φησί, λιμῷ προαπολώλειν, καὶ πρὸ τῆς σῆς εὐλογίας ἀποτεθνήκειν, ἵνα μὴ τοῦ υἱοῦ ἐγεγόνειν θεατὴς τεθνεῶτος. ᾐσχύνετο τὸ συμβὰν ὁ προφήτης· αὗται, φησί, τῇ χήρᾳ τῆς εἰς ἐμὲ ξενοδοχίας οἱ μισθοί; πρὸ τῆς ἐμῆς δεξιώσεως, εὔτεκνος ἦν· μετὰ τὴν δεξίωσιν τὴν ἐμὴν περὶ τέκνον τὸ φιλούμενον παρ' αὐτῇ θρηνῳδία. αἰσχυνόμενος τὸ συμβὰν ὁ Ἠλίας, καὶ καθ' ἑαυτὸν περιστρέφων τὸ πρᾶγμα, ᾔσθετο τεχνησάσης τοῦ πάντων δεσπότου τὸ γεγενημένον, ᾔσθετο τὴν τέχνην τὴν θείαν. καὶ τί φησιν; οἴμοι, Κύριε, ὁ μάρτυς τῆς χήρας μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς. τί δέ ἐστιν ὃ βούλεται λέγειν; ἔχω παρὰ σοῦ, φησίν, ἡ περὶ τῆς γυναικὸς πρός με μαρτυρία· σύ, φησίν, εἶπας, ἐντελοῦμαι γυναικὶ χήρᾳ τοῦ διαθρέψαι σε. πάντως τῇ τῆς γυναικὸς μαρτυρῶν ὡς εὐσεβεῖ προαιρέσει. πρὸς ταύτην ἐξ ἐκείνων με τῶν τόπων μετεστήσας, καὶ ἣν τετίμηκας τῇ παρὰ σοῦ μαρτυρίᾳ, ταύτην νῦν τῷ τοῦ τέκνου τιμωρεῖ θανάτῳ; οἴμοι, Κύριε, ὁ μάρτυς τῆς χήρας μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς. σὺ ἐθανάτωσας τὸν υἱὸν αὐτῆς. οὐκ ἔστι, φησί, τὸ συμβὰν τῆς φύσεως θάνατος, τῆς τέχνης τῆς σῆς τὸ γεγενημένον, μηχανᾶσαι κατ' ἐμοῦ φιλανθρωπίας ἀνάγκην, ἵν' ὅτ' εἴπω πρὸς σέ, Κύριε, τὸν υἱὸν τῆς χήρας τὸν νενεκρωμένον ἐλέησον, ἀντιφθέγξῃ καὶ σὺ πρός με, τὸν υἱόν μου τὸν Ἰσραὴλ ἐλέησον πρῶτον; φιλανθρωπίαν οὐθείς με· αἰσθάνομαί σου τῶν τεχνασμάτων, ὦ δέσποτα· ἵνα ὅτ' ἂν εἴπω σοι, τὸν υἱὸν τῆς χήρας τὸν τεθνεῶτα διάσωσον, ἀντιφθέγξῃ καὶ αὐτὸς πρός με, τὸν Ἰσραὴλ σὺ τὸν λιμῷ νενεκρωμένον κατοικτείρησον. αἰτεῖς με χάριν, ἀντιαιτήθητι χάριν· λῦσον τοῦ λιμοῦ τὴν ἀπόφασιν, καὶ λύσω τοῦ θανάτου τὴν ψῆφον. ὡς οὖν εἶδεν ὁ θεὸς Ἠλίαν πολλοῖς ἐκδαμασθέντα, καὶ γεγονότα [illegible] φιλανθρωπότερον, τότε λοιπὸν προσάγει φανερώτερον πρὸς αὐτὸν τῆς φιλανθρωπίας τοὺς λόγους, ὡς οὐκέτι λοιπὸν τὴν τῆς τιμωρίας λύσιν λογιζομένων [illegible]. πορεύθητι φησί. πρεσβείας τοῦ θεοῦ πρὸς τὸν δοῦλον ῥήματα· αὐτὸς δι' ἑαυτοῦ ὁ θεὸς περὶ φιλανθρωπίας πρὸς τὸν δοῦλον πρεσβεύει. πορεύθητι φησίν. ἐπειδὴ ἐγένου φησὶ φιλανθρωπότερος, δεῖξαί μοι καὶ τῆς φιλανθρωπίας τοὺς λόγους· ἐπειδή με τῆς φιλανθρωπίας ὠδῖσι συνεχόμενον ἔγνως, ἄκουέ μου λοιπὸν [illegible]τερον. ὠδίνω τῆς τιμωρίας τὴν λύσιν, ἐπείγομαι πρὸς [illegible] λαγῶν, αἰσχύνομαι τῶν κολαζομένων τὰ δάκρυα· [illegible] λοιποὶ, προφῆτα, κρατοῦσί μου φιλανθρωπίας [illegible] ποιήσῃς παρ' αὐτοῖς ψευδολόγον φανῆναι. [illegible] τοῖς φωνῶν, ὥσπερ οἶδας καὶ αὐτός· οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὑπέταξεν ὁ Ἠλίας τὰ ὦτα, ὑπέθηκε τὴν ψυχὴν τοῖς παρὰ τοῦ θεοῦ λαλουμένοις. πορεύθητι, φησί, καὶ ὄφθητι τῷ Ἀχαάβ. οὐ καταλλαττόμενος χωρὶς σοῦ καταλλάττομαι. σὺ παράσχου τοῖς κολαζομένοις τὴν χάριν. ἐγὼ λάθρα πρός σε ὑπὲρ ἐκείνων πρεσβεύομαι. σὺ δὲ γενοῦ τῆς καταλλαγῆς χορηγὸς φανερός. πορεύθητι καὶ ὄφθητι τῷ Ἀχαάβ, καὶ δώσω ὑετὸν ἐπὶ τῆς γῆς. σὺ τὰς καταλλαγὰς καταμήνυσον, σὺ τὴν τῶν ὄμβρων χορηγίαν ἀπόφηναι· ἐγὼ δὲ ταῖς σαῖς ἀποφάσεσιν ὑπογράφω. ἔτρεχεν οὖν καὶ ἄκων καὶ ἑκὼν ὁ Ἠλίας, καὶ τοὺς ὄμβρους εὐηγγελίζετο· ἀλλὰ πάλιν αὐτῶν ἀσέβειαν θεασάμενος, ἐμελέτα τινὰ τιμωρίας κατ' αὐτῶν ἀπόφασιν λυπηράν. τί οὖν ὁ θεός; ὁρῶν αὐτὸν μὴ χωροῦντα πρὸς φιλανθρωπίαν τῶν πταιόντων, χωρίζει τὸν Ἠλίαν τῆς μετὰ τῶν ἁμαρτωλῶν κατοικήσεως. ἐγώ, φησίν, ὦ Ἠλία, οἶδά σου τὸν ζῆλον, δυσωποῦμαί σου τὴν πολιτείαν. ἐλεῶ δὲ καὶ τοὺς ἁμαρτωλούς, ἡνίκα ἂν ὑπὲρ τὸ μέτρον κολάζωνται, σὺ δὲ δεινὸς εἶ ἐκδικητὴς τῆς εὐσεβείας. τὸ δὲ τῶν ἀνθρώπων γένος συνεχῶς πλημμελεῖ. χωρίζω τοίνυν ὑμᾶς τῆς μετ' ἀλλήλων κατοικήσεως· ἀνάβηθι ὡς εἰς οὐρανόν. φέρειν ἁμαρτωλοὺς μὴ δυνάμενος· ἐγὼ δὲ ἐπιδημήσω τῇ γῇ. ἂν ἐπὶ πολύ, φησί, συμμείνῃς ἁμαρτωλοῖς, ἐκτριβήσεται ἐκεῖνο τῶν ἀνθρώπων τὸ γένος παρά σου συνεχῶς κολαζόμενον. τί οὖν; μετάστηθι ὡς εἰς οὐρανούς, ὦ Ἠλία, οὐ δύναται γὰρ πῦρ συνοικεῖν καλάμῃ· δίδωμί σοι συνοικοῦντας ἀναμαρτήτους, τοὺς τῶν ἀγγέλων σε συγκατοικίζω χορούς· μετάστηθι σὺ πρὸς τὸν οὐρανόν. ἐγὼ δὲ ἁμαρτωλοῖς ἐνδημήσω, ὁ φέρειν ἐπὶ τῶν ὤμων τὸ πεπλανημένον δυνάμενος πρόβατον, ὁ λέγων πρὸς πάντας τοὺς ἁμαρτωλούς, δεῦτε πρός με πάντες οἱ κοπιῶντες, ἐγὼ οὐ κολάσω ὑμᾶς, ἀλλ' ἀναπαύσω ὑμᾶς. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς

A

Εἰς τὸ Ἰωσὴφ καὶ περὶ σωφροσύνης.

Οἱ ἐν πελάγει μεγάλῳ σαλεύοντες κυβερνῆται, οἷς οὐκ ἤπειρος, οὐκ ὄρος, οὐ βουνὸς, οὐ σκόπελοί τινες τὴν χέρσον σημαίνουσι, πρὸς τινας ἀστέρας ἀποβλέποντες, καὶ πρὸς ἐκείνους τὸ σκάφος ῥυθμίζοντες ἀκινδύνως τὰ ναυάγια διαφεύγουσιν. οἱ δέ γε τῆς ἐκκλησίας μαθηταὶ ἐν τῷ πελάγει τοῦ βίου τούτου τυγχάνοντες, οὐ πρὸς ἀστέρας τινὰς ἀποβλέποντες, ἀλλὰ πρὸς τοὺς πατέρας τὸ ὄμμα τῆς διανοίας τείνοντες, καὶ τοῖς ἐκείνων ἴχνεσι πόθῳ ψυχῆς ἀκολουθοῦντες, εἰς τὸν αὐτὸν λιμένα τῆς βασιλείας ἐλαύνουσι. διὰ τοῦτο γάρ τοι καὶ ὁ Κύριος ἡμῶν ἐν ταῖς ἱεραῖς βίβλοις τὸν βίον αὐτῶν ἀνεκήρυξεν· ἵνα μὴ μόνον ἀκούοντες ἐπαινῶμεν, ἀλλ' ἵνα καὶ ποθήσαντες τὴν αὐτῶν πολιτείαν ζηλώσωμεν. Φύσει γὰρ φιλόκαλον οὖσαν τὴν φύσιν τῶν ἀνθρώπων εἰδὼς ὁ Κύριος, καὶ ἀεὶ τῶν κρειττόνων διὰ φιλοτιμίαν ἐφιεμένην, ὥσπερ κοσμήματά τινα προέθηκε τοὺς τῶν πατέρων ἄθλους, ἵνα ἕκαστος ἡμῶν πρὸς ἣν ἂν βούληται ἄθλησιν, ἑαυτὸν μεταρρυθμίζῃ. ὑπομονῆς οὖν διδάσκαλος ἄριστος ὁ τοῦ μακαρίου Ἰὼβ βίος, ἀνεξικακίας ὁ τοῦ Μωϋσέως, πραότητος ὁ τοῦ Δαβὶδ, νηστείας καὶ προσευχῆς ὁ τοῦ Δανιὴλ, σωφροσύνης ὁ τοῦ Ἰωσὴφ καὶ τῆς μακαρίας Σωσάννης. πρέπων δὲ καὶ περισπούδαστος τοῖς νέοις ὁ τοῦ Ἰωσὴφ βίος, καὶ ταῖς νέαις, μάλιστα ταῖς ἐν γάμῳ βιούσαις, ἡ τῆς μακαρίας Σωσάννης ἐνάρετος ἄθλησις. ἰσοστάσιος γὰρ ἀμφοτέροις ὁ ἀγών. ὁ μὲν γὰρ δεσποίνης φόβον διὰ σωφροσύνην ἐπάτησεν· ἡ δὲ ἀρχόντων ἀπειλὰς θανατηφόρους διὰ σωφροσύνην παρελογίσατο. ἀλλὰ πρότερον ἡμῖν ὁ τοῦ μακαρίου Ἰωσὴφ βίος διαγεγράφθω· ἐπειδὴ καὶ ἀρχαιότερος ὁ πατήρ. εἶθ' οὕτως ὁ τῆς μακαρίας Σωσάννης. ὁ μακάριος τοίνυν Ἰωσὴφ ἐξ εὐγενῶν γονέων ὁρμώμενος, νέος ἔτι ὑπάρχων, ἄρτι τῶν ἰούλων τῶν τριχῶν ἐν ταῖς παρειαῖς ἀναθαλλόντων, ῥόδου δίκην ἀνθηρᾶς ἀνὰ μέσον τῆς ξανθῆς γενειάδος τὸ τῆς μορφῆς ἄνθος ποικίλων, ἴου ἐαρινοῦ πορφυρίζοντος ἐν ταῖς κόραις τῶν ὀφθαλμῶν ἀποπαίζων τὴν ὄψιν, λευκοὺς ἔχων ὀδόντας ὡς γάλα, πυρίζοντας τοῖς χείλεσιν, ὀφρύας ἔχων ἡπλωμένας ὑπὸ χιονοχρόῳ μετώπῳ δασύτητι τῶν τριχῶν ἀλλήλαις συνεζευγμένας. καὶ τί πειρῶμαι τὸν νέον τῷ κάλλει διαγράφειν, ὃν ἡ γραφὴ ὑπεράγαν ἐπῄνεσεν, εἰρηκυῖα, καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει σφόδρα; οὗτος πιπράσκεται διὰ βασκανίαν ἀδελφῶν· ὡς μὲν αὐτοῖς ἐδόκει, πρὸς δουλείαν· ὡς δὲ τῷ Θεῷ προώριστο, πρὸς βασιλείαν. καὶ ἤγετο εἰς Αἴγυπτον τὸ παιδάριον ὡς μειράκιον εὐτελές. οὔπω γὰρ ἑώρων αὐτοῦ οἱ πριάμενοι τὸν πλοῦτον τῶν ἀρετῶν, καὶ ἠγνόουν αὐτὸν μέλλειν διὰ σωφροσύνης κρα- [illegible] ὅλης Αἰγύπτου δεσπόζειν, καὶ ὅλην αὐτὴν ἐν λιμῷ λι- [illegible] ἄγεται οὖν εἰς Αἴγυπτον, καὶ πιπράσκεται δεύτερον, [illegible]. ὁ γὰρ τῇ γνώμῃ ἐλεύθερος, κἂν μυριάκις πρα- [illegible]. ὥσπερ πάλιν δοῦλος τοῖς τρόποις κἂν μυριάκις ἐλευθερω- [illegible] ἅπαξ ἐλευθεροῦται. ὃν γὰρ ὁ ἴδιος τρόπος οὐκ ἐλευθεροῖ, τοῦτον μυρία χάρται καὶ μέλανα γράμματα ἐλευθερῶσαι οὐ δύνανται. ἄγεται οὖν εἰς Αἴγυπτον· πιπράσκεται εἰς οἶκον Αἰγύπτιον· φιλεῖται ὑπὸ δεσπότου· φιλεῖται ὑπὸ δεσποίνης· ἀλλ' ὁ μὲν τοῦ δεσπότου πόθος ἀγαθὸς, ὁ δὲ τῆς δεσποίνης ἔρως πονηρός. ὁ μὲν γὰρ αὐτὸν ἐφίλει δι' εὐλάβειαν, ἡ δὲ δι' οἶστρον ἀκολασίας· καὶ ὅσον ἐμήκυνεν ὁ χρόνος, καὶ τὸ τῆς μορφῆς κάλλος ἐπήνθει, τοσοῦτον ἐκείνης ὁ περὶ αὐτὸν δεινὸς ἔρως ἐπηύξανε, καὶ ἔμφυτον τὸ πῦρ τοῦ φίλτρου τὴν καρδίαν αὐτῆς ἐνέμετο. καὶ δὴ ἀπατῆσαι τὸν νέον σκεπτομένη διὰ πάντων τῶν ἀπατώντων τὰς ὄψεις τῶν νέων ἐχώρει, τὴν μὲν ὄψιν ὥσπερ λειμῶνα διανθίζουσα, φύκει τὰς παρειὰς ἐρυθραίνουσα, ψιμμυθίῳ δὲ τὸ μέτωπον λευκαίνουσα, καὶ μέλανι τοὺς ὀφθαλμοὺς ὑπογράφουσα, χρυσέοις δὲ κόσμοις τὸν τράχηλον αὐτῆς, καὶ τὰς χεῖρας καλλωπίζουσα, καὶ τὴν μαλακὴν αὐτῆς ἐσθῆτα μυρίσμασι διαφόροις καπνίζουσα. καὶ ἦν ὡς ἁπλῶς παγὶς θανατηφόρος, διὰ πασῶν τῶν αἰσθήσεων, ὡς ἐνόμιζεν, ἀπατῆσαι τὸν νέον, τὴν μὲν ὄψιν ἐκ τοῦ φαινομένου καλλωπισμοῦ, τὴν δὲ ἀκοὴν ταῖς κολακείαις μαγεύουσα, τὴν δὲ ὄσφρησιν τοῖς μυρίσμασι γοητεύουσα. ἀλλ' ὅρα μοι γενναίου ἀθλητοῦ τὴν ἀνδρείαν· οἶμαι γὰρ ὅτι ὁ Θεὸς συνεχώρει κατὰ τοῦ παιδὸς φέρεσθαι τὸν πειρασμόν· ἵνα ὁμοῦ τε κρυπτομένην ἀρετὴν ἐν νέῳ φανερώσῃ, καὶ τῇ ἐκκλησίᾳ παιδευτήριον μέγιστον τὸν ἐκείνου βίον καταλείψῃ. οὐδὲν γάρ ἐστιν ὑπὸ τῶν πατέρων γεγονὸς ἀγαθὸν, ὃ μὴ ἐν τῇ ἐκκλησίᾳ ὥσπερ στήλην ὑπόμνημα φέρουσαν τοῦ βίου καθίδρυσεν ὁ Θεός. ὅρα οὖν μοι γενναίου ἀθλητοῦ τὴν ἀνδρείαν, ὅσα ἦν αὐτῷ τὰ μαχόμενα· ἡ ἰδία νεότης αὐτῷ ἐπολέμει· ἡ ἡδονὴ ἔσωθεν ἐγαργάριζε· καὶ ἡ γυνὴ ἔξωθεν προσεπάλαιεν τῇ ἐπαγγελίᾳ θωπεύουσα, καὶ τῇ θωπείᾳ κολακεύουσα. τὰ ἐπιτριμμένα γύναια ἠνώχλουν· καὶ ἡ κολακεία τὴν ἀκοὴν αὐτοῦ καὶ τὴν αἴσθησιν ἔκνιζεν. ἀλλ' οὐδὲν τού-

De Joſeph & de Caſtitate Oratio.

Interprete FRONT. DUCÆO, S. J. Th.

Ex edit. Burdigal. 161. Emend ex M S. Caſaico.

Qui mari in magno fluctuant gubernatores, quibus non continens, non mons, non collis, non ulli ſcopuli terram indicant, converſis ad ſtellas quaſdam oculis, ad eas cymbam dirigentes à naufragio ſeſe vindicant. Qui verò in hujus vitæ pelago verſantur Eccleſiæ diſcipuli, non ad ſtellas aliquas oculos convertentes, ſed ad Patres, mentis oculos intendentes, eorumque veſtigiis animæ ſtudio inſiſtentes, in ejuſdem regni portum feruntur. Propterea namque Dominus etiam noſter in ſacris literis vitam illorum promulgavit, ut non modò audientes laudemus, ſed etiam eorum converſationem adamantes imitemur. Cum enim ſua ſponte naturam hominum ſtudioſam honeſtatis eſſe ſciret Dominus, ſemperque propter honoris cupiditatem optima quæque appetere, tanquam ornamenta quædam propoſuit Patrum certamina, ut unuſquiſque noſtrûm ad quam voluerit certationem ſeipſum conformet. Itaque patientiæ magiſter eſt optimus beati Job vita; tolerantiæ, Moſis; manſuetudinis, Davidis; jejunii & orationis, Danielis; pudicitiæ, Joſeph ac beatæ Suſannæ vita: conveniens autem & expetenda juvenibus vita Joſeph; & juvenculis præcipue, quæ in matrimonio vivunt, beatæ Suſannæ ſuſceptum pro virtute certamen: par enim utriuſque certaminis laus eſt. Nam hic quidem dominæ timorem pudicitiæ cauſa calcavit: illa verò lethiferas magiſtratuum minas pudicitiæ cauſa contempſit. Veruntamen priùs beati Joſeph vitam deſcribamus; quandoquidem hic etiam antiquior eſt pater; ac deinde beatæ Suſannæ vitam explicabimus. Beatus igitur Joſeph ex nobilibus ortus parentibus, cùm juvenis adhuc eſſet, tum primùm pilorum lanugine in genis ejus effloreſcente floridæ roſæ in morem, flavæ barbæ in medio pulchritudinis florem effundens, in oculorum pupillis purpuraſcentis violæ vernæ ſpeciem præ ſe ferens, candidis inſtar lactis dentibus, labiis igneo colore rubentibus, tum expanſis lactea ſub fronte ſuperciliis pilorum inter ſe denſitate connexis. Sed quid ego juvenis pulchritudinem conor deſcribere, quem ſupra modum ſcriptura laudavit, cùm dixit, Pulcher ſpecie, & decorus aſpectu valde? Hic ob fratrum invidiam venditur; ut ipſis quidam videbatur, ad ſervitutem; ut autem Deus prædeſtinarat, ad regnum: & abducebatur puerulus in Ægyptum, ut vilis puſio: nondum enim virtutum ejus opes viderant emptores, eúmque propter caſtitatis decus Ægypto univerſæ dominaturum neſciebant, & eam totam fame pereuntem ſervaturum. Ducitur ergo in Ægyptum, turſúſque venditur, neque ſemel tamen ſit ſervus. Qui enim animo liber eſt, licet millies venditus fuerit, nec ſemel ſit ſervus: ut rurſus qui moribus, ſervus eſt, etſi millies libertate donetur, ne ſemel quidem ſit liber. Quem enim proprii mores liberum non efficiunt, hunc ſexcentæ chartæ nigræque literæ nequeunt liberum reddere. Ducitur ergo in Ægyptum, in Ægyptia domo venditur, amatur à Domino, amatur à domina: ſed Domini quidem bonus amor, dominæ verò pravus amor erat. Nam ille quidem eum propter modeſtiam amabat, hæc autem quòd œſtro libidinis eſſet percita. Tum verò quantum progreſſu temporis formæ quoque pulchritudo efflореſcebat, tantum illius in eum impotens amor augebatur, & intimus ignis cupidinis cor ejus depaſcebat. Enim verò juvenem perdere cum ſtuderet, omnia quibus oculi juvenum falli poſſunt, tentabat: dum vultum quaſi pratum quoddam multiplici varietate decorabat, fuco ruborem genis, ceruſſa fronti candorem oblinebat, oculos ſtibio pingebat; monilibus aureis collum & manus exornabat, molles ſuas veſtes variis ſuffumigabat unguentis; lethifer denique laqueus erat, ad juvenem per omnes ſenſus, ut exiſtimabat, fallendum: cùm oculos quidem, apparentis ornatus, aurem, adulationum præſtigiis irretiret, olfactum unguentis faſcinaret. Sed vide quæſo generoſi athletæ fortitudinem: ſic enim arbitror, permiſiſſe Deum ut tentatio puero inferretur, ut ſimul & latentem in juvene virtutem patefaceret, & vitam ejus Eccleſiæ tanquam maximam quandam ſcholam relinqueret. Nihil enim boni eſt à patribus geſtum, quod non in Eccleſia Deus velut columnam quandam vitæ monumentum ferentem erexerit. Conſidera ergo generoſi athletæ fortitudinem, quàm multa eſſent quæ eum oppugnarent: juvenilis ætas ei ſua bellum inferebat, interiùs libido titillabat, & mulier exteriùs oppugnabat promiſſis blandiens, & blanditiis aſſentans: immiſſæ mulierculæ commovebant, & adulatio aures ejus ſenſúſque ſolicitabat: ſed nihil horum

horum eum potuit ſuperare. nam neque adulationibus emollitus habenas remittebat, neque promiſſis inflatus caſtitatem negligebat, neque minis perterrefactus virtutum divitias prodebat: ſed omnes corporis partes pudica cogitatione frenabat. Cùm verò juvenem tot machinis, quas apud ſe habebat, minimè fallere potuiſſet, in domicilio quopiam furtim atque violentè ad nefarium concubitum pertrahens, eum tenuit. Itaque videre erat eximium ſpectaculum: non terrenum, ſed cœleſte: ſiquidem et ut Joſeph in ſcammate tentationis decertans, patefactum fuerat ſtadium, certamina conficiebantur, clangebat tuba, agonotheta de cœlo luctam intuebatur, & Angelorum turba cornua proſpectabat, inferius dæmones Ægyptiæ præmia proponebant, Angeli ſurſum coronas Joſepho nectebant: nam Ægyptiæ favebant dæmones, & cum Joſeph Angeli conſpirabant. Uter victoriam obtineret, multa contentione certabatur: multum de Joſeph ſoliciti erant Angeli, ne fortè mulierculæ unguenta juvenem emollirent, ne veſtimenta mollia, ne aſpectus, ne habitus, ne inceſſus, ne auditus, ne blanditiæ, ne adulatio juvenem enervarent. Multum ſoliciti erant Angeli, multum dæmones ſperabant. Joſeph pro corona certabat, Ægyptia pro ignominia pugnabat: ille quidem pro vita, hæc autem pro morte. Quænam porro erant quæ ab Ægyptia dicebantur? partim ut minaretur, partim ut blandiretur, dum minis juvenem terreret, & blanditiis deliniret. Ac minitans quidem ajebat: Domina tua ſum, pecunia mea coëmptus es: In hos mihi uſus venundatus es: quod ſi contradixeris, vincula & carceres te manebunt, & poſt hæc mors inevitabilis: ſin autem morem geſſeris, honores & ſtipatorum obſequia, totiuſque domus meæ dominatus in manu tua tradetur. At enim ne deprehendaris, times: atqui potes & virum meum & domeſticos omnes latere: tantum obſequere, tantùm in actum aſſentire; tum tu Dominus omnium eris. His auditis Ægyptiæ dixit Joſeph: Servus quidem, ô mulier nunquam fui, nobilibus enim ſum parentibus procreatus; Abraham nimirum & Iſaac, quos Deus colloquio dignatus eſt, avi mei fuerunt, Jacob autem qui cum Angelo luctatus eſt, meus pater: quapropter & tecum luctor audacter: cæterùm tibi ob fratrum invidiam venditus fui: veruntamen nihil animæ meæ nobilitatem ſervitutis nomen lædet. Nam & invida ſæpe nebula ſplendidos ſolis radios tantiſper obſcurat, ſed in perpetuum non obtenebrat; ſi quidem impetu ſolaris luminis confeſtim diſcutitur: pari ratione ſervitutis quoque nomen nobilitatis meæ ſplendorem non extinguet; paulò poſt enim radiis morum meorum diſſipabitur, & per Ægyptum univerſam meæ pulchritudo nobilitatis effulgebit. Venditus ſum tibi, fateor equidem, neque nego: conveniens ibi ſervitutis obſequium explevi, mendax non fui, noxius non fui; inculpatus, expers doli, ſine offendiculo, ſine crimine fui; nulla adverſum me inſolentiæ accuſatio delata eſt: & nunc conſulis, ut nefarium facinus admittam, ac furtim mihi quaſi ſerpens inſuſurras, ineſcare me poſſe exiſtimans, ac lethalibus minis ad expetitum tibi intemperantiæ actum inflectere? Ne fallaris, mulier, ne adoleſcentiam meam attendas: poteſt & novus uter vinum vetus ferre, nováque crumena uniones antiquos geſtare. Juvenilem meam vides ætatis viriditatem, at canos circumſpice mores meos: juniorem vultum natura præbuit, at canum cor meum lex reddidit. Ne fallaris, mulier, virtutem meam non vinces: Joſeph filium Jacob non vinces, illius Jacob, qui adhuc in ventre cùm eſſet, ſupplantavit, ac deinde cum Angelo potuit colluctari: ne fallaris, non minùs validè quàm pater, luctor. At enim promiſſis etiam demulceri poſſe putas: quid quæſo tantum potes polliceri, quanta res eſt pudicitia? quod regnum æqualis eſt illi dignitati? quis theſaurus paris eſt pretii? An neſcis cœleſtem eſſe poſſeſſionem, pudicitiam, rem Angelicam, Dei donum? Tibi habe tuos honores: tibi habe tua promiſſa: honores tui pariunt ignominiam: honores tui, quos promittis, opprobrii ſunt primitiæ: tuum aurum terræ fœtus eſt, & rubiginis eſca: meum verò aurum Dei fœtus eſt, germen æternum. Sed arbitraris facinus latere poſſe: an inſomnem Dei oculum ignoras, qui cuncta, quæ in tenebris patrantur, facta contuetur? quàm multos autem hic adſtare nunc Angelos cenſes? quàm multis teſtibus conſcius fieri, quæ geruntur? obverſetur animo tuo, mulier, maritus tuus, fratres tui, amici, vicini, cognati, qui pudicitia tua gloriantur: obverſentur præſentes Angeli, & vel ipſos erubeſce, vel abſentes homines reverere. Quibus autem oculis virum tuum intuebere, cui parare inſidias ſtatuiſti? quas illi tēnas expandes, quem interficere voluiſti? quibus ei verbis blandieris, cujus thorum quantum in te fuit, polluiſti? Recordare quàm multa ſis illi pollicita, quomodo te caſti-

A τῶν κατισχύσαι αὐτοῦ ἠδυνήθη. οὔτε γὰρ ταῖς κολακείαις χαυνούμενος τὰς ἡνίας ἀνεδίδου· οὔτε ταῖς ἐπαγγελίαις φυσώμενος κατεφρόνει τῆς σωφροσύνης· οὔτε ταῖς ἀπειλαῖς ἐμπτοούμενος προεδίδου τὸν πλοῦτον τῆς ἀρετῆς· ἀλλὰ πάντα τὰ τοῦ σώματος αὐτοῦ μέλη τῷ σώφρονι λογισμῷ ἐχαλίνου. καὶ ἐπεὶ οὐκ ἠδυνήθη τὸν νέον διὰ τοσούτων ὀργάνων ἀπατῆσαι τῷ ἐν αὐτῇ, δι' ἑαυτῆς ἐν οἰκίσκῳ τινὶ λαθραίως καὶ βιαίως κατέχει αὐτὸν πρὸς ἄτακτον εὐνήν. ἦν οὖν ἰδεῖν θέατρον μέγιστον οὐκ
B ἐπίγειον, ἀλλ' οὐράνιον. ἦν γὰρ ὁ Ἰωσὴφ ἐν τῷ σκάμματι τοῦ πειρασμοῦ μαχόμενος· τὸ στάδιον ἡπλοῦτο, οἱ ἀγῶνες ἐπετελοῦντο, ἡ σάλπιγξ ἐβόα, ὁ ἀγωνοθέτης ἄνωθεν ἑώρα τὴν πάλην, καὶ ὁ δῆμος τῶν ἀγγέλων ἐπικύφων· ἔθηκαν οἱ δαίμονες κάτω τὰ βραβεῖα προτιθέντες τῇ Αἰγυπτίᾳ· καὶ οἱ ἄγγελοι ἄνω ἔπλεκον τῷ Ἰωσὴφ τοὺς στεφάνους. τῇ γὰρ Αἰγυπτίᾳ συνετρεχον δαίμονες, καὶ τῷ Ἰωσὴφ συνέπνεον ἄγγελοι. πολὺς ἦν ὁ ἀγών, τίς ἂν νικήσοι· φροντὶς ἦν τοῖς ἀγγέλοις
C πολλὴ περὶ τοῦ Ἰωσὴφ, μή ποτε ἄρα τὰ μυρίσματα τῆς γυναικὸς χαυνώσῃ τὸν νέον, μὴ τὰ μαλακὰ ἱμάτια, μὴ τὸ βλέμμα, μὴ τὸ σχῆμα, μὴ τὸ βῆμα, μὴ ἡ ἀκοή, μὴ ἡ θωπεία, μὴ ἡ κολακεία ἐκνευρώσῃ τὸν νέον. πολλὴ ἦν φροντὶς τοῖς ἀγγέλοις, πολλὴ ἡ ἐλπὶς τῶν δαιμόνων. ὁ Ἰωσὴφ περὶ στεφάνου ἠγωνίζετο, ἡ Αἰγυπτία περὶ αἰσχύνης ἐμάχετο. ὁ μὲν περὶ ζωῆς, ἡ δὲ περὶ θανάτου. καὶ τίνα ἦν τὰ ὑπὸ Αἰγυπτίας λεγόμενα; τὰ μὲν ἐν ἀπειλαῖς, τὰ δὲ ἐν κολα-
D κείαις. ταῖς μὲν ἀπειλαῖς πτοοῦσα τὸν νέον, ταῖς δὲ κολακείαις μαγγανεύουσα. καὶ ταῖς μὲν ἀπειλαῖς λέγουσα· δέσποινά σου εἰμί, ἀργυρώνητός μου γέγονας· ταύτης ἕνεκα τῆς χρείας μοι πέπρασαι· κἂν ἀντείπῃς, δεσμὰ καὶ φυλακαί σε μένουσιν. καὶ μετὰ ταῦτα ἀπαραίτητος θάνατος· ἐὰν δὲ πεισθῇς, τιμαί, καὶ δορυφορίαι, καὶ παντὸς τοῦ οἴκου μου ἡ ἐξουσία ἐν τῇ χειρί σου δοθήσεται. ἀλλὰ φοβῇ τὸν ἔλεγχον· δύνασαι λαθεῖν τόν τε ἄνδρα τὸν ἐμόν, καὶ τοὺς ἐν τῷ οἴκῳ· μόνον
E πείσθητι, μόνον συνέλθε τῇ πράξει, καὶ πάντων ἔσῃ δεσπότης. ταῦτα ἀκούσας ὁ Ἰωσὴφ τῇ Αἰγυπτίᾳ εἶπεν· ὦ γύναι, δοῦλος μὲν γέγονα οὐδέποτε. εὐγενῶν γὰρ γονέων εἰμὶ ἀπόγονος· Ἀβραὰμ γὰρ καὶ Ἰσαάκ, οἱ τῷ Θεῷ ὁμιλήσαντες, ἐμοῦ πάπποι γεγόνασιν· Ἰακὼβ δὲ ὁ μετὰ ἀγγέλου παλαίσας, ἐμὸς πατήρ. διὸ καὶ θαρρῶν σοι παλαίω· πέπραμαι δέ σοι διὰ βασκανίαν ἀδελφῶν, ἀλλ' οὐδὲν βλάπτει τὴν τῆς ψυχῆς μου εὐγένειαν τὸ ὄνομα τῆς δουλείας. καὶ γὰρ ἀχλὺς πολλάκις
A βάσκανος ἐπελθοῦσα τὰς τοῦ ἡλίου σφοδρὰς ἀκτῖνας πρὸς ὀλίγον ἀμαυροῖ, ἀλλ' οὐκ εἰς τέλος σκοτίζει. τῇ γὰρ ῥύμῃ τοῦ ἡλιακοῦ φωτὸς εὐθὺς ἐξελαύνεται· ὡσαύτως καὶ τὸ ὄνομα τῆς δουλείας οὐ σβέσει τὴν τῆς εὐγενείας μου αἴγλην· μετ' οὐ πολὺ γὰρ ὑπὸ τῆς ἀκτῖνος τῶν τρόπων μου διαχυθήσεται, καὶ ἀνὰ πᾶσαν τὴν Αἴγυπτον ἐκλάμψει τὸ τῆς εὐγενείας μου κάλλος. πέπραμαί σοι, σύμφημι κἀγώ· οὐκ ἀρνοῦμαι· δουλείας τὴν πρέπουσάν σοι ὑπηρεσίαν ἐξεπλήρωσα· ἀψευδής σοι
B γέγονα, ἀβλαβής, ἄμεμπτος, ἄδολος, ἀπρόσκοπος, ἀκατήγορος· οὐδεμία σοι κατ' ἐμοῦ ἀταξίας κατηγορία γεγένηται· καὶ νῦν συμβουλεύεις μοι ποιῆσαι πρᾶγμα ἀνόσιον, καὶ λαθραίως μοι, ὡς ὄφις, ὑποψιθυρίζεις, οἰομένη με δελεάζειν, καὶ ἀπειλαῖς θανατηφόροις κατακάμπτειν πρὸς τὸ ποθούμενόν σοι τῆς ἀκολασίας δρᾶμα; μὴ ἀπατῶ, γύναι, μὴ πρόσεχέ μου τῇ νεότητι· δύναται καὶ νέος ἀσκὸς οἶνον φέρειν παλαιόν, καὶ βαλάντιον καινὸν μαργαρίτας
C ἀρχαίους βαστάζειν. νεαρὰν ὁρᾷς μου τὴν χλόην, ἀλλὰ πολιὸν περίβλεψαι τὸ ἦθος· νεωτέραν μου τὴν ὄψιν ἡ φύσις παρέσχετο, πολιὰν δέ μου τὴν καρδίαν ὁ νόμος εἰργάσατο. μὴ ἀπατῶ, γύναι, οὐ νικήσεις μου τὴν ἀρετήν· οὐ νικήσεις Ἰωσὴφ τὸν τοῦ Ἰακὼβ υἱόν, Ἰακὼβ ἐκείνου τοῦ ἔτι ἐν κοιλίᾳ ὄντος, καὶ πτερνίσαντος, καὶ μετὰ ταῦτα μετὰ ἀγγέλου ἰσχύσαντος παλαῖσαι· μὴ ἀπατῶ, τὰ αὐτὰ τῷ πατρί μου παλαίω. ἀλλὰ καὶ ἐπαγγελίαις θωπεύειν με νομίζεις. τί τοσοῦτον εἰπέ μοι δύνασαί
D μοι ἐπαγγείλασθαι ὅσον ἐστὶν ἡ σωφροσύνη; ποία βασιλεία ἰσόρροπος αὐτῇ ἐστι; ποῖος θησαυρὸς ἰσοστάσιος αὐτῇ ἐστιν; ἀγνοεῖς, ὅτι ἡ σωφροσύνη οὐράνιόν ἐστι κτῆμα, ἀγγελικὸν πρᾶγμα, Θεοῦ χάρισμα; ἔχε σου τὰς τιμάς, ἔχε σου τὰς ἐπαγγελίας· αἱ σαὶ τιμαὶ ἀτιμίας εἰσὶ πρόξενοι· αἱ σαὶ τιμαὶ ἃς ἐπαγγέλλῃ, αἰσχύνης εἰσὶν ἀπαρχαί. ὁ σὸς χρυσὸς γῆς ἐστι γέννημα, καὶ ἰοῦ δαπάνη· ὁ ἐμὸς οὖν χρυσὸς Θεοῦ ἐστι γέννημα, ἀΐδιον βλάστημα. ἀλλὰ λανθάνειν οἴει τὸ πρᾶγμα.
E ἀγνοεῖς τὸν τοῦ Θεοῦ ἀκοίμητον ὀφθαλμὸν τὸν πάντα τὰ ἐν τῷ σκότει γινόμενα ἐφορῶντα πράγματα; πόσους δὲ οἴει νῦν ἐνθάδε ἑστάναι ἀγγέλους; ὑπὸ πόσοις δὲ μάρτυσι γίνεται τὰ πραττόμενα; ἐννόησον, γύναι, τὸν ἄνδρα σου, τοὺς ἀδελφούς σου, τοὺς φίλους, τοὺς γείτονας, τοὺς συγγενεῖς, τοὺς ἐπὶ τῇ σεμνότητί σου καυχωμένους· ἐννόησον τοὺς παρόντας ἀγγέλους, καὶ ἢ αὐτοὺς αἰσχύνθητι, ἢ τοὺς ἀπόντας ἀνθρώπους αἰδέσθητι. ποίοις δὲ ὄμμασιν ἐπὶ τὸν ἄνδρα σου ὄψει, ᾧ ἐπιβουλεῦσαι προείλου; ποίας δὲ ἄρκυας ἁπλώσεις τούτῳ, ὃν θανατῶσαι ἠθέλησας; ποίοις ῥήμασιν αὐτὸν κολακεύσεις, οὗ τὴν εὐνήν, τὸ ὅσον ἐπὶ σοί, ἐμίανας; μνήσθητι, ὅσα αὐτῷ ὑπέσχου πρὸς τὴν σωφροσύ-

νης τὴν πίστιν φυλάττειν αὐτῷ· πῶς πλέον ἑαυτῆς ἐκεῖνον μεθ᾽ ὅρκων ἀγαπᾷν διεβεβαιοῦ. μίμησαι, γύναι, τὴν τρυγόνα· ἐκείνη γὰρ ἑνὶ ἀνδρὶ μιγεῖσα, ἑτέρῳ οὐκ ἔτι μίγνυται· κἂν συμβῇ τὸν ταύτης ἄρρενα ὑπὸ ἰξευτοῦ θηραθῆναι, ἢ ὑπὸ ἀετοῦ ἀναλωθῆναι, ἑτέρῳ ἄρρενι οὐκ ἐπιμίγνυται, ἀλλὰ μένει ἐκδεχομένη ἀεὶ τὸν ποθούμενον, καὶ τῇ ἐκείνου μνήμῃ ἐναποθνήσκει. παιδευσάτω σε, γύναι, ἢ ὁ τοῦ Θεοῦ φόβος, ἢ ὁ τῶν Ἑβραίων νόμος, ἢ ἡ τῶν ἀρχαίων σεμνὴ πολιτεία. Ταῦτα εἰρηκὼς ὁ Ἰωσήφ, καὶ ἰδὼν αὐτὴν ἔτι ἀναιδῶς κατέχουσαν αὐτοῦ τῶν ἱματίων καὶ καιομένην πλεῖον πρὸς τὸν οἶστρον· [οἱ γὰρ ἔρωτες τότε πλεῖον πρὸς τὸ ποθούμενον ἐξάπτονται, ὅταν αὐτοῦ ἐφικέσθαι μὴ δυνηθῶσιν] ὥσπερ γενναῖος ἀθλητὴς ἀποδυσάμενος τὰ ἱμάτια, καὶ ἔλειν αὐτὴν σὺν τοῖς ἱματίοις εἰς τὸ χαμαὶ κλίνας, γυμνὸς τοῦ μύσους ἐκ τοῦ σκάμματος ἐξήλατο, τῆς σωφροσύνης τὴν νίκην βαστάζων. καὶ ἡ μὲν Αἰγυπτία κατεῖχε τὰ φύλλα τῆς ἀταξίας· ὁ δὲ Ἰωσὴφ τὸν καρπὸν τῆς δικαιοσύνης ἐβάσταζε. χαρὰ ἦν ἐν τῷ οὐρανῷ ἐπὶ τῇ νίκῃ τοῦ Ἰωσήφ· ἔχαιρον ἄγγελοι· ἔκλαιον δαίμονες· ἐστεφανοῦτο Ἰωσήφ· ᾐσχύνετο ἡ Αἰγυπτία· ἥψατο αὐτῆς ἡ νίκη· τρέπεται πρὸς συκοφαντίαν, καὶ διαβάλλει τὸν Ἰωσὴφ πρὸς τὸν ἄνδρα τὸν ἴδιον, αἶσχος αὐτῷ ἐπιφημίσασα. τί, λέγουσα, εἰσήγαγες ὧδε παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν; ἀγανακτεῖ ὁ ἀνήρ, καὶ ἐμβάλλει αὐτὸν εἰς φυλακήν. ἀναγκαῖος γὰρ ἦν ὁ λύχνος τοῖς ἐν σκότει, ὁ σιτοδότης πρὸς τοὺς πεινῶντας, ὁ λιμὴν πρὸς τοὺς χειμαζομένους, ὁ ἰατρὸς πρὸς τοὺς ἀσθενοῦντας. ἐμβάλλονται καὶ δύο εὐνοῦχοι τοῦ Φαραὼ εἰς φυλακήν· ὁρῶσιν ἐνύπνια· οὐδεὶς ἦν ὁ συγκρίνων· ἀναφέρουσι τῷ Ἰωσήφ· σαφηνίζει τὸ ἐγκεκαλυμμένον· ἐκβάλλονται οἱ εὐνοῦχοι τῆς φυλακῆς· ἀποβαίνει αὐτοῖς καθ᾽ ἃ συνέκρινεν ὁ Ἰωσήφ. ὁρᾷ ὁ βασιλεὺς Φαραὼ ἐνύπνιον· οὐδεὶς ἦν ὁ σαφηνίζων· ἀναγγέλλει ὁ εὐνοῦχος περὶ τοῦ Ἰωσήφ. ἐκβάλλεται ἐκ τῆς φυλακῆς διὰ τὸ ἐνύπνιον· καὶ ὅρα μοι μυστήριον· δι᾽ ἐνύπνιον ἐπράθη· δι᾽ ἐνύπνιον ἠλευθερώθη. τί γάρ; συγκρίνει τοῦ Φαραὼ τὸ ἐνύπνιον, ὁρᾷ αὐτοῦ ἀγχίνοιαν ὁ βασιλεύς, καὶ ἐλευθερώσας αὐτὸν βασιλεύειν, πᾶσαν ἐξουσίαν αὐτῷ τῆς Αἰγύπτου ἐμπιστεύσας· λαβὼν τὴν ἐξουσίαν ὁ Ἰωσὴφ ἐν τῷ καιρῷ τοῦ λιμοῦ πάντας εὐεργέτει, ἀποδήμους, ἐνδήμους, φίλους, ἐχθρούς, ξένους· ἔρχεται ὁ πατὴρ αὐτοῦ εἰς Αἴγυπτον· προσκυνεῖ αὐτῷ καὶ ἡ μήτηρ σὺν τῷ πατρί. εἰ γὰρ καὶ κατὰ τὴν ὁδὸν ἐτελεύτησεν ἐρχομένη· ἀλλ᾽ οὖν γε ἐν τῷ ἀνδρὶ προσεκύνησεν· [ἀνὴρ γὰρ καὶ γυνὴ σὰρξ μία εἰσίν·] ἔρχονται καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἕνδεκα· προσκυνοῦσιν αὐτῷ· καὶ ἐπληρώθη τὸ ὅραμα, ὃ εἶδεν Ἰωσήφ· ᾤμην γάρ φησιν, ὅτι ὁ ἥλιος, καὶ σελήνη, καὶ ἕνδεκα ἀστέρες προσεκύνουν μοι. διὰ τί ἕνδεκα; ἐπεὶ ὁ Ἰούδας ἀπήγξατο. σύμβολον γὰρ ἦν ὁ πραθεὶς Ἰωσὴφ τοῦ πραθέντος ὑπὸ Ἰούδα Χριστοῦ. ὁρᾷς πῶς διὰ σωφροσύνην ἐδικαιώθη; διὰ σωφροσύνην ἐν οὐρανοῖς βασιλεύει; Ταῦτα δὲ ἡμῖν εἴρηται, ἵνα καὶ ὑμεῖς τὴν αὐτὴν πολιτείαν ζηλώσαντες, τὴν αὐτὴν δόξαν παρὰ Θεοῦ κομίσησθε. ἀλλ᾽ ἔδει ἡμᾶς καὶ περὶ τῆς μακαρίας Σωσάννης εἰπεῖν, μάλιστα ἐπαγγειλαμένους. ἀλλ᾽ ἐπειδὴ βέλτιόν ἐστι μᾶλλον διψῶντας ἀναχωρῆσαι, καὶ μὴ τοὺς κορεσθέντας καὶ ἃ ἐδέξαντο, ἐκπτύσαι· ἐν ἄλλῃ τηρήσαντες ἡμέρᾳ τὴν διήγησιν, Θεοῦ βουλήσει, νῦν ἐπὶ τὸν κρατῆρα τῆς μυσταγωγίας ἐκδράμωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A tatis fidem illi ſervaturam, quomodo te illum plus quã te ipſam dilecturam interpoſito jurejurando confirmaris. Imitare turturem, mulier: illa enim uni viro commixta, non ampliùs alteri commiſcetur: quòd ſi acciderit hujus marem à venatore intercipi, vel ab aquila devorari, nequaquam alteri mari commiſcetur: ſed perſeverat dilectum ſemper exſpectans, ac recordationi ejus immoritur. Exaudiat te ô mulier vel Dei timor, vel lex Hebræorum, vel caſta veterum converB ſatio. Hæc cùm dixiſſet Joſeph, & illam videret adhuc ipſius veſtes impodenter tenentem, majoriſque libidinis facibus inflammatam: (tum enim acriùs cupiditates exardeſcunt, & in rem cupitam feruntur, cùm eam non potuerint obtinere) tanquam athleta generoſus, veſtes exuens, illamque cum veſtibus totam abjiciens in terram, à ſcelere nudus, è ſcammate caſtitatis victoriam portans exiliit. Atque Ægyptia quidem petulantiæ folia tenebat, Joſeph autem juſtitiæ fructum geſtaC bat. In cœlo gaudium erat ob victoriam Joſeph: gaudebant Angeli, lugebant dæmones, coronabatur Joſeph, pudefiebat Ægyptia: urebat illam victoria: ad calumniandum ſe convertit, & apud maritum ſuum Joſeph accuſat, turpitudinem illi improperans: quid tandem, inquiens, introduxiſti hunc puerum Hebræum, ut illuderet nobis? Excandeſcit maritus, & in carcerem eum conjicit, quippe neceſſaria fuit iis, qui in tenebris verſabantur, lucerna, ad eſurientes frumenti D largitor, portus ad eos qui tempeſtate jactabantur, medicus ad æg[●]. venit. Conjiciuntur & eunuchi duo Pharaonis in carcerem: vident ſomnia; nullus erat qui conjectaret. referunt Joſeph: declarat quod occultum erat: eunuchi è carcere educuntur; quemadmodum Joſeph conjectârat, illis evenit. Somnium videt Rex Pharao, nullus erat qui declararet: Renuntiat Eunuchus de Joſeph: educitur è carcere propter ſomnium. Ac vide quæ ſo myſterium: propter ſomnium E venditus, propter ſomnium eſt libertate donatus. Itaque interpretatur ſomnium Pharaonis; ſagacitatem illius Rex videt, & libertate donato poteſtatem illi in totam Ægyptum dominandi committit. Hac accepta poteſtate Joſeph famis in tempore benè de omnibus merebatur, de inquilinis, de indigenis, de amicis, de inimicis, de peregrinis: Venit ejus pater in Ægyptum, adorat eum & cum patre mater. Licèt enim in itiA nere mortem abierit, eum veniret; at in viro tamen adoravit: Gen. 37. 9. (vir enim & uxor una ſunt caro.) Veniunt & undecim ejus fratres, ipſum adorant, & viſio eſt impleta, quam Joſeph viderat. Putabam enim, inquit, Solem & Lunam & undecim ſtellas adorare me. Cur tandem undecim? quoniam Judas ſuſpenſus fuerat, ſiquidem figura venditus Joſeph venditi à Juda Chriſti fuit. Vides ut propter caſtitatem juſtificatus ſit, propter caſtitatem in cœlis regnet? Hæc autem à nobis dicta ſunt, B ut vos eandem converſationem imitantes, eandem à Deo gloriam reporteтis. At enim oportebat, ut de beata etiam Suſanna verba faceremus, præſertim cùm id eſſemus polliciti: Verùm quoniam ſatius eſt ut ſitientes diſcedant auditores, quã ut exſatiati, quæ acceperunt etiam deſpuant, narrationem in alium diem reſervantes, Deo benè volente; nunc ad ſacrorum myſteriorum craterem accurramus, in Chriſto Jeſu Domino noſtro, cui gloria & poteſtas in ſecula ſeculorum. Amen. C

Εἰς τὴν Σωσάνναν.

ΗΚΟΜΕΝ ὑμῖν εὐγνώμονες ὀφειλέται τοῦ λόγου· οὐχ ὅσον ὀφείλομεν πληροῦντες, ἀλλ᾽ ὅσον ἔχομεν, ἀποδιδόντες. ἡ μὲν γὰρ προθυμία δαψιλὴς καὶ πλείω τῶν ὀφειλομένων ἕτοιμος διδόναι· ἡ δὲ τοῦ λόγου πενία ἐστένωται· διὸ ὀλίγα ὑμῖν ἀντὶ πολλῶν παρακαλοῦντες διδόαμεν· εἰ δέ τις ὑμῶν βουληθείη τὰ ὀλίγα τῶν λόγων ἡμῶν τῇ προθυμίᾳ τῆς καρδίας συμπαραμετρῆσαι, οὐδὲν ἐλλείψομεν πρὸς τὸ ὀφειλόμενον, τῆς προθυμίας ἡμῶν τὸ ἐλλεῖπον μέρος τοῦ λόγου ἀναπληρούσης. καὶ γὰρ ὁ Θεὸς ὅταν πένητος ἴδῃ βραχείας προσφορὰς καὶ πλουσίου δαψιλεῖς, οἶδεν ἐξ ἴσου δέχεσθαι τὰς τιμάς. πολλάκις δὲ μειζόνως τὰς τοῦ πένητος ὑποδέχεται. οὐ γὰρ τῷ ὄγκῳ τῶν χρημάτων, ἀλλὰ τῇ προθυμίᾳ τῆς καρδίας ἐμβλέπει. ἀπόδειξις δὲ τῶν λεγομένων ἡ περὶ τῆς πενιχρᾶς χήρας τῆς τὰ δύο λεπτὰ εἰς τὸ γαζοφυλάκιον βαλούσης. ὑπερεβάλλετο γὰρ παρὰ Κυρίῳ ταύτης βραχεῖα προσφορὰ τῶν τὸν χρυσὸν βεβληκότων πλουσίων· ἐπειδὴ οὐ χρημάτων χρῄζει ὁ Θεός, ἀλλ᾽ εἰλικρινοῦς καὶ αὐτοπροαιρέτου καρδίας. φέρε τοίνυν καὶ ἡμεῖς ἀπλώσαντες ἡμῶν ἐν εἰλικρινείᾳ τὰς καρδίας, οἷον παρὰ Θεοῦ κεκτήμεθα λόγον, ὥσπερ εἴς τινα γαζοφυλάκια Θεοῦ ἐμψύχους

De Suſanna Sermo.

EODEM Interprete.

ADveniemus vobis ſpontanei debitores ſermonis, non ut quantum debemus impleamus, ſed ut quantum in noſtra Ex edit. Burdigalenſi. ſitum eſt poteſtate, reddamus. Nam munifica quidem eſt animi D promptitudo, ac plura quàm debeantur, parata eſt dare, ſed penuria ſermonis in anguſtias eſt redacta. quocirca pauca pro multis cohortantes largimur. Sin autem voluerit quis veſtrûm exiguum ſermonem noſtrum ex animi noſtri promptitudine ac ſtudio metiri, nihil penitus eorum quæ debentur, omittemus: quandoquidem animi ſtudium defectum omnem noſtræ orationis ſupplebit. Nam & Deus cùm exigua pauperis oblationes, & divitis viderit copioſas, honores ex æquo ſolet ſuE ſcipere, ac ſæpenumero etiam dona pauperis propenſiùs admittit: quippe qui non pecuniarum vim, ſed promptitudinem cordis ac ſtudium reſpicit. Fidem autem iis quæ diximus, aſtruit, quod de paupere vidua memoratur, quæ minuta duo in gazophylacium miſit: nam hujus oblatio perexigua, illi divitum, qui aurum miſerant, præponderavit: quoniam pecuniis non indiget Deus, ſed ſincero & ſpõtaneo cordis affectu. Age ergo nos quoq; in ſinceritate corda noſtra reſerantes, qualis à Deo nobis obtigit, ſermonẽ, tanquã in animata quædã gazophylacia mittentes,

debitum vobis ſermonis exolvamus. Memini enim pridie me vobis beatæ Suſannæ caſtitatis certamen ad multorum utilitatem prædicaturum eſſe pollicitum: quo tempore Joſeph quoq; cum Ægyptia decertabat, & vobis omnibus caſtitatis luctas exhibebat. In hoc igitur publico ac celebri theatro etiam Suſanna decertet, ubi & Deus, & Angeli, & viri, & mulieres ſpectant; decertet, & doceat quo pacto juvenculas ad mortem uſque pro caſtitate oporteat decertare. Hæc itaque beata Suſanna cùm genere nobilis eſſet, & à teneris unguiculis in conclavi domi recondita, cumque eleganti forma eſſet, & caſtis moribus prædita, juvenili florens ætate legitimis matrimonii vinculis copulata eſt. Et verò cùm illæſum nuptiarum ſacramentum marito ſuo conſervaret, non oculos incompoſitos ad novam peregrinamque formam ſpectandam circumferebat: non patentibus auribus concinnos meretriciorum cantuum ſonos excipiebat: non ad odoratum ſinebat novorum veſtimentorum ſuffitus obrepere: nec ullum alium ſenſum temerè ferri permittebat: ne pudicitia, quæ in ejus corde conſervabatur, fallacibus illecebris labefactata in voluptates revolveretur: ſi quidem pleráque peccata ſenſuum opera noſtram animam vincunt. Eſt enim anima tanquam virgo in thalamo quodam in medio corde conquieſcens, & à ſenſibus quinque velut ab ancillis quibuſdam ſtipata, quibus tandem ſenſibus? viſu nimirum, guſtu, odoratu, auditu, & tactu. Si nullus igitur ſenſus labefactatus ſeducatur, anima integra & illæſa conſervatur: ſin autem contigerit aſpectum abſque regimine derelictum ad juvenilem formam ſpectandam vagari, ac vehementes libidinis fluctus per oculos in intimis partibus cordis exceperit, confeſtim turbine voluptatum raptata in peccati vortices delata ſubmergitur, & pudicitiæ facto naufragio patitur: id quod & David paſſus dicebat, *Veni in altitudinem maris, & tempeſtas demerſit me.* Pari ratione ſi auditus adapertus illecebras elegantis vocis admiſerit, ubi ad eas mentem intenderit, totam ſeipſam meretriciis cantibus delinitam pervertit. Guſtus autem voracitate, vinoque multo ſaturatus ad compotationes & ſtupra corruptam animam trahit. Olfactus demum exquiſitis juvenum unguentis illectus & devinctus animam etiam ſecum ſolet irretire. Sic igitur anima tanquam virgo quædam ab inſipientibus ancillis, à ſenſibus intercipitur, atque intemperantiæ peccato proditur. Peccatum enim ſenſibus omnibus conſopitis furis in morem clam conclave cordis ingreditur; tum ingreſſum totam pudicitiæ arcam deprædatur, & exhaurit. Itaque beata illa cuſtodiebat oculos, habitum, inceſſum, auditum, viſum, olfactum, guſtum & tactum, eratque verè juxta ſapientiæ dictum, *Hortus concluſus, fons ſignatus.* Quaſi hortus erat beata, quem nemo poterat deprædari, pudicitiæ ſuaves effundens odores; quaſi fons erat fide ſignatus, ex quo nemo petulans pudicitiæ pulchritudinem poterat haurire. Hujus in concupiſcentiam exarſerant duo populi ſeniores, qui populum regere videbantur, & eorum quiſque libidinis ardens flamma alter alteri occultum cordis ignem erubeſcebat aperire. Ac die quodam eorum uterq; clam ſocio ſuo Suſannam obſervatũ abibat: cumq; ſeinvicem offendiſſent, ac ſciſcitati eſſent, confeſſi ſunt mutuo cauſam, ob quam aderant: tum inita ſocietate ad peccatum patrandum commoditatem ſceleris indagabant, ac tempus obſervabant, quo ſolam poſſent offendere. Accidit autem die quodam, ut Suſanna de more in pomarium ingrederetur mariti, ut lavaretur, cùm æſtus eſſet: & cùm ancillas emiſiſſet illa, ut ſmigma deferrent, ad eam repentè ſeniores accurrentes tanquam lupi agnam tenuerunt, œſtro libidinis dilaniare cupientes: eratque ſola Suſanna duorum leonum in medio, nec ullus aderat qui ſuccurreret, non ancilla, non ſervus, non propinquus, non amicus, non vicinus, niſi ſolus, qui de cœlis attendebat, Deus; qui prohibere quidem poterat, ſed fieri luctam ſinebat, ut occultos animorum ſenſus patefaceret, & tum Suſannæ caſtitatem, tum ſeniorum impudicitiam divulgaret: ſimulque ut mulieribus maximam ſcholam Suſannæ ſuſceptum pro virtute certamen exhiberet. Magna erat pugna, certamen vehemens Suſannæ ingruebat, ac majus illo Joſephi. Nam ille quidem vir cùm eſſet, cum muliere una pugnabat: hæc verò mulier cùm eſſet, cum duobus viris luctabatur.

Pſ. 68, 3.

Cant. 4, 12.

καταβαλλόμενοι, τὸ χρέος τοῦ λόγου ὑμῖν ἀποτίσωμεν. μέμνημαι γὰρ τῇ προτεραίᾳ ἐπαγγειλάμενος ὑμῖν τὴν τῆς μακαρίας Συσάννης σωφροσύνης ἄθλησιν εἰς πολλῶν ὠφέλειαν κηρύττειν· ὅτε καὶ ὁ Ἰωσὴφ κατὰ τῆς Αἰγυπτίας ἠγωνίζετο, καὶ πᾶσιν ἡμῖν παλαίσματα σωφροσύνης ὑπεδείκνυεν. ἀγωνιζέσθω οὖν καὶ Συσάννα ἐν τῷδε τῷ πανδήμῳ θεάτρῳ· ὅπου καὶ Θεός, καὶ ἄγγελοι, καὶ ἄνδρες, καὶ γυναῖκες ὁρῶσιν· ἀγωνιζέσθω, καὶ διδασκέτω πῶς δεῖ νεάνιδας ἕως θανάτου ὑπὲρ σωφροσύνης ἀγωνίζεσθαι. αὕτη τοίνυν ἡ μακαρία Συσάννα εὐγενὴς τῷ γένει τυγχάνουσα, ἐξ ἁπαλῶν ὀνύχων ἐν οἰκίσκῳ θαλαμευομένη, εὐπρεπὴς τῷ κάλλει ὑπάρχουσα, καὶ σεμνῷ βίου τρόπῳ ἀσκηθεῖσα· ὅτε τὸ τῆς νεότητος αὐτῆς κάλλος ἐπήνθει, πρὸς νομίμου γάμου συζυγίαν ἡρμόσθη· καὶ δὴ τὸ τοῦ γάμου μυστήριον ἀβλαβὲς τῷ ἰδίῳ ἀνδρὶ φυλάττουσα, οὐκ ὄμμα ἄτακτον πρὸς νεωτερικοῦ καὶ ξένου κάλλους θέαν περιέφερεν· οὐκ ἀκοὴν ἀνοίγουσα τὴν τῶν πορνικῶν ᾀσμάτων καλλιφωνίαν ὑπεδέχετο. οὐ τὴν ὄσφρησιν ἐπέτρεψεν ἀνέρπειν ἐπὶ τὴν νεωτερικῶν ἱματίων καπνισμάτων, οὐδ' ἄλλην τινὰ αἴσθησιν ἁπλῶς φέρεσθαι συνεχώρει· ἵνα μὴ ἡ τῇ καρδίᾳ αὐτῆς φυλαττομένη σωφροσύνη ὑποφθαρεῖσα τοῖς ἀπατηλοῖς δελεάσμασι πρὸς ἡδονὰς ὀκλασθείη· τὰ γὰρ πλεῖστα τῶν ἁμαρτημάτων ἐκ τῶν αἰσθήσεων τῆς ψυχῆς ἡμῶν περιγίνεται. ἔστι γὰρ ἡ ψυχὴ καθάπερ παρθένος ἐν θαλάμῳ τινὶ ἐν μέσῃ τῇ καρδίᾳ ἡσυχάζουσα, καὶ ὑπὸ τῶν πέντε αἰσθήσεων ὥσπερ ὑπό τινων θεραπαινίδων δορυφορουμένη· ποίων αἰσθήσεων; ὁράσεως, γεύσεως, ὀσφρήσεως, ἀκοῆς, καὶ ἁφῆς. ἐὰν οὖν μηδεμία αἴσθησις ὑποφθαρεῖσα πλανηθείη, φυλάττεται ἀκεραία καὶ ἀβλαβὴς ἡ ψυχή. ἐὰν δὲ συμβῇ τὴν ὅρασιν ἀκυβέρνητον μείνασαν, πρὸς νεωτερικοῦ κάλλους θέαν ῥεμβευθῆναι, καὶ λάβρον τὸ κῦμα τῆς ἐπιθυμίας διὰ τῶν ὀφθαλμῶν εἰς τὸ βάθος τῆς καρδίας εἰσδέξασθαι, εὐθὺς λαίλαπι ἡδονῶν ῥιπισθεῖσα πρὸς τὴν ἁμαρτίαν ὑποβρυχίως φέρεται περὶ τὴν σωφροσύνην ναυαγήσασα· καὶ πάσχει λοιπὸν ἐκεῖνο, ὅπερ καὶ ὁ Δαβὶδ παθὼν ἔλεγεν, ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέν με. ὁμοίως δὲ καὶ ἡ ἀκοὴ ἐὰν ἀναπεπταμένη δέξηται τὰ τῆς καλλιφωνίας θέλγητρα, πρὸς ἐκεῖνα τὴν διάνοιαν τείνασα ὅλην ἑαυτὴν τοῖς πορνικοῖς ᾄσμασιν συνελκύσασα καταστρέφει. ἡ δὲ γεῦσις ἀδηφαγίᾳ, καὶ οἴνῳ πολλῷ ἐμφορηθεῖσα πρὸς μέθας καὶ κοίτας τὴν ψυχὴν καταφθείρει. ἡ δὲ ὄσφρησις τοῖς περιέργοις μυρίσμασι τῶν νέων ἀποδεχθεῖσα, καὶ τὴν ψυχὴν μεθ' ἑαυτῆς συναπέδησεν. οὕτως οὖν ὡς παρθένος τις ἡ ψυχὴ ὑπὸ ἀφρόνων θεραπαινίδων τῶν αἰσθήσεων ἁλίσκεται πρὸς τὴν τῆς ἀκολασίας ἁμαρτίαν προδιδομένη· ἡ γὰρ ἁμαρτία πάσας τὰς αἰσθήσεις καρώσασα δίκην κλέπτου λαθραίως εἰς τὸ ταμιεῖον τῆς καρδίας εἰσέρχεται· εἶτα συλήσασα ὅλην αὐτὴν γυμνοῖ τὴν ἐσθῆτα, τῆς σωφροσύνης ἀποσυλήσασα. ἠσφαλίζετο γοῦν ἡ μακαρία ἐκείνη τὸ βλέμμα, τὸ σχῆμα, τὸ βῆμα, τὴν ἀκοήν, τὴν ὅρασιν, τὴν ὄσφρησιν, τὴν γεῦσιν, τὴν ἁφήν. καὶ ἦν ἀληθῶς κατὰ τὴν σοφίαν τὴν λέγουσαν, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη. ὥσπερ γὰρ κῆπος μηδενὸς αὐτὴν συλαγωγῆσαι δυναμένου ἐτύγχανεν ἡ μακαρία πηγάζουσα τὰ τῆς σωφροσύνης ἀρώματα, καὶ ὥσπερ πηγὴ ἦν τῇ πίστει ἐσφραγισμένη· ἐξ ἧς οὐδεὶς τῶν ἀτάκτων τὸ τῆς σωφροσύνης κάλλος ἀντλῆσαι ἠδύνατο. ταύτης ἐν ἐπιθυμίᾳ γεγόνασι δύο πρεσβύτεροι τοῦ λαοῦ οἱ δοκοῦντες κυβερνᾶν τὸ ποίμνιον, καὶ ἕκαστος αὐτῶν φλογὶ τῆς ἐπιθυμίας καιόμενος, θάτερος θατέρῳ τὸ ἔγκρυφον τῆς καρδίας πῦρ φανερῶσαι ᾐσχύνετο. καὶ ἐν μιᾷ τῶν ἡμερῶν ἑκάτερος αὐτῶν λάθρα τοῦ ἑταίρου αὐτοῦ ἀπῄει κατασκοπεῦσαι τὴν Συσάνναν. καὶ εὑρηκότες ἀλλήλους, καὶ ἀνετάσαντες ὡμολόγησαν ἀλλήλοις, δι' ἣν παρῆσαν αἰτίαν· τότε κοινωνίαν θέμενοι ἐν τῇ τῆς ἁμαρτίας πράξει, τῆς κακίας ἐποιοῦντο ἔρευναν ἐκ μελέτης, καὶ παρετήρουν καιρόν, ὅπως αὐτῆς κατατύχωσι μόνης. συνέβη οὖν ἐν μιᾷ τῶν ἡμερῶν κατὰ τὸ εἰωθὸς τὴν Συσάνναν εἰσελθεῖν εἰς τὸν παράδεισον τοῦ ἀνδρὸς, λούσασθαι κατὰ τὸ καῦμα· καὶ ἐξαποστειλάσης αὐτῆς τὰς παιδίσκας ἐπὶ τὸ κομίσαι σμῆγμα, ἐπιδραμόντες αὐτῇ ἄφνω οἱ πρεσβύτεροι ὥσπερ λύκοι ἀμνάδα κατεῖχον τῷ οἴστρῳ τῆς ἀκολασίας σπαράξαι βουλόμενοι, καὶ ἦν μόνη Συσάννα ἀνὰ μέσον τῶν δύο λεόντων, καὶ οὐδεὶς ὁ βοηθῶν, οὐ παιδίσκη, οὐ δοῦλος, οὐ συγγενής, οὐ φίλος, οὐ γείτων· εἰ μὴ μόνος οὐρανόθεν προσέχων Θεὸς ὁ κωλύειν μὲν δυνάμενος, συγχωρῶν δὲ γίνεσθαι τὴν πάλην· ἵνα κρυπτομένας γνώμας ἐλέγξῃ, καὶ τὴν μὲν Συσάννης τὴν σωφροσύνην, τὴν δὲ πρεσβυτέρων τὴν ἀκολασίαν δημοσιεύσῃ· ὁμοῦ δὲ ταῖς γυναιξὶ παιδευτήριον μέγιστον τὴν Συσάννης ὑπὲρ ἀρετῆς ἄθλησιν ἐπιδείξῃ. μεγάλη ἦν ἡ μάχη, σφοδρὸς ἀγὼν τῇ Συσάννῃ ἀπέκειτο, μείζων τοῦ Ἰωσήφ· ἐκεῖνος μὲν γὰρ ἀνὴρ ὢν μετὰ μιᾶς ἐμάχετο γυναικός· αὕτη δὲ γυνὴ οὖσα μετὰ δύο ἀνδρῶν ἐπάλαιε

διὰ

θέατρον ἦν μέγιστον καὶ τερπνόν, γυνὴ μετὰ δύο ἀνδρῶν ἐπύκτευεν. καὶ τὸ θαυμαστόν, ἐὰν ἀκούσητέ που τὸ σκάμμα ἐκεῖνο· ἐν τῷ παραδείσῳ, ὅπου ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν. ὡς οὖν ἕτοιμος γέγονεν ἡ πάλη, ἠνοίχθησαν οἱ οὐρανοί, ἡ σάλπιγξ ἐβόα, ὁ ἀγὼν ἕτοιμος· ὁ ἀγωνοθέτης οὐρανόθεν προσεῖχε τῇ πάλῃ, καὶ ὁ δῆμος τῶν ἀγγέλων ἐπικεκυφὼς ἐθεώρει· ὁ ὄφις ἐν τοῖς παρανόμοις, ἡ δὲ πίστις ἐν τῇ σώφρονι· πολλὴ ἦν φροντὶς ἀμφοτέροις περὶ τῆς νίκης· τοῖς μὲν πρεσβυτέροις τὸ μὴ ὑπὸ γυναικὸς ἡττηθῆναι· τῇ δὲ Σωσάννῃ τὸ μὴ ἀπολέσαι τὴν σωφροσύνην. ἐκείνοις τὰ ὀψώνια τῆς νίκης οἱ δαίμονες ἡτοίμαζον, τῇ δὲ Σωσάννῃ τὰ ἔπαθλα τῆς σωφροσύνης ἡτοίμαζον ἄγγελοι. κατέχουσι τὴν Σωσάνναν οἱ παράνομοι· καὶ πρῶτον μὲν διὰ λόγων ἐπάλαιον αὐτῇ· τί λέγοντες; πρεσβύτεροί ἐσμεν τοῦ λαοῦ· ἡμῖν νόμος πεπίστευται. τοῦ λύειν καὶ δεσμεῖν ἐξουσίαν εἰλήφαμεν· οὐδείς ἐστιν ἐνταῦθα κατάσκοπος· γενοῦ μεθ᾽ ἡμῶν· ἐν ἐπιθυμίᾳ σου γάρ ἐσμεν· ἐὰν δὲ μὴ βουληθῇς, καταμαρτυρήσομέν σου, ὅτι ἦν μετά σου νεανίσκος, καὶ διὰ τοῦτο ἀπέστειλας τὰ κοράσια ἀπὸ σοῦ· καὶ ὅρα πόσα ἦν τὰ συνέχοντα τὴν Σωσάνναν· συκοφαντία ἀκολασίας, φόβος θανάτου, κατάγνωσις ἐπὶ τοσούτου λαοῦ, μῖσος ἀνδρός, μῖσος συγγενῶν, πένθος οἰκετῶν, καὶ ἁπαξαπλῶς παντὸς τοῦ οἴκου κατάλυσις. ἀλλ᾽ οὐδὲν τούτων τὸν λογισμὸν νικῆσαι ἴσχυσε τῆς σώφρονος· ἡ γὰρ ἐλπὶς τῆς καρδίας αὐτῆς ἦν εἰς Θεόν. στενάξασα γοῦν ἔλεγε, στενά μοι πάντοθεν· ἐάν τε γὰρ πράξω, θάνατός μοί ἐστιν· ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν. αἱρετόν μοί ἐστι μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου. οἴμοι, οὓς ἐδόκουν εἶναι ποιμένας, λύκους ὁρῶ· οὓς ἐδόκουν εἶναι τῶν χειμαζομένων λιμένας, οὗτοι ναυάγιον γεγόνασιν· οὐ μιανεῖτέ μου τὴν σωφροσύνην. οὐ καταισχύνω μου τοὺς γονεῖς· οὐκ ἀτιμάζω μου τὴν συγγένειαν· οὐ λυπῶ μου τὸν ἄνδρα· οὐ λύω μου τὴν πρὸς αὐτὸν συζυγίαν ἐκ τῆς πρὸς ὑμᾶς ἀτάκτου ὁμιλίας· αἱροῦμαι θάνατον ἄνομον ἤπερ θάλαμον ἄτακτον. ἐμοὶ δὲ καὶ πάρεστιν ὁ ἀνὴρ οὐ τῇ τοῦ σώματος παρουσίᾳ, ἀλλὰ τῇ τῆς ψυχῆς διαθέσει, καὶ τοὺς τῶν γονέων μου χαρακτῆρας μεθ᾽ ἑαυτῆς περιφέρω· φοβήθητε τὸν ὁρῶντα Θεόν· αἰσχύνθητε τοὺς παρόντας ἀγγέλους· νοήσατε ὅ ἐστε· γνῶτε ὃν ἀναγινώσκετε νόμον τὸν λέγοντα, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· ταῦτα εἰρηκυῖα ἀνεβόησεν μάρτυρας τῆς ἀταξίας αὐτῶν συγκαλέσαι· ἀνεβόησαν δὲ καὶ οἱ δύο πρεσβύτεροι· εἰσέδραμον οἱ τῆς Σωσάννης δοῦλοι καὶ παιδίσκαι· ὁρῶσι μετ᾽ αὐτῆς τοὺς δύο πρεσβυτέρους. ἡνίκα δὲ εἶπον οἱ πρεσβύτεροι τοὺς λόγους κατὰ Σωσάννης, κατῃσχύνθησαν οἱ δοῦλοι σφόδρα· ὅτι οὐκ ἐρρήθη λόγος τοιοῦτος περὶ Σωσάννης ποτέ. ἐγένετο δὲ τῇ ἐπαύριον συνέδριον μέγιστον· ἔτι γὰρ ἡ κρίσιμος πάλη, ἡ περὶ στεφάνου νίκη· συνήχθη πᾶς ὁ λαὸς ἀνδρῶν, γυναικῶν, νηπίων, πάλιν συνηθροίσθη τὸ θέατρον· οἱ κάτω ἄνθρωποι οὐκ ᾔδεισαν τί ἐθεώρουν· οἱ δὲ ἐν οὐρανῷ ἄγγελοι ἐπεγίνωσκον τὸ πρᾶγμα· ἦλθον οἱ πρεσβύτεροι γέμοντες τῆς ἀνομίας· καλοῦσι τὴν Σωσάνναν, ὡς μὲν ἐκεῖνοι ἐνόμιζον, πρὸς αἰσχύνην καὶ θάνατον· ὡς δὲ τῷ δικαίῳ κριτῇ προώριστο, πρὸς ζωὴν καὶ δόξαν αἰώνιον· καί φασι πρὸς τὸν λαόν· ἀποστείλατε πρὸς Σωσάνναν θυγατέρα Χελκίου· οἱ δὲ ἀπέστειλαν. ἦλθεν αὐτή, καὶ οἱ γονεῖς αὐτῆς, καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς· καὶ ἦλθεν ἡ Σωσάννα ὡς θανεῖν ὀφείλουσα διὰ σωφροσύνην, μετὰ πολλῆς εὐλαβείας στενάζουσα, θλιβομένη· οὐχ ὅτι ἤμελλεν ἀποθνήσκειν, ἀλλ᾽ ὅτι ὄνειδος κακὸν κατελίμπανεν τοῖς γονεῦσιν, ὅτι ἤμελλεν ὀνειδισμὸν τῷ γένει καταλιπεῖν. οὐδένα γὰρ εἶχε μάρτυρα τοῦ γεγονότος πράγματος ἐν τῷ παραδείσῳ. πολλοὶ ἦσαν οἱ δακρύοντες ὑπὲρ αὐτῆς, οἱ φίλοι, οἱ συγγενεῖς, οἱ γονεῖς, οἱ γείτονες· ὁ ἀνὴρ ἐπένθει· ὁ οἶκος αὐτῆς ἐθρήνει· κἀκείνη αὐτὴ κατώδυνος, συνθρηνοῦσα, δακρύουσα, θλιβομένη, ἐν πολλῇ ταπεινότητι καρδίας ἵσταται ἐν τῷ μέσῳ. πάνδημος ἦν ἡ θέα Θεοῦ, ἀγγέλων, ἀνθρώπων· ἀνίστανται δὲ οἱ δύο πρεσβύτεροι, οἱ ἐν σχήματι ποιμένων λύκοι ἐπιτιθέασιν αὐτῇ τὰς χεῖρας, καὶ ἐν αὐτοῖς ὁ συκοφάντης ὄφις ἐλάλει. τί ἐλάλει; περιπατούντων ἡμῶν χθὲς ἐν τῷ παραδείσῳ μόνων εἰσῆλθεν αὕτη, καὶ ἀπέλυσε τὰς παιδίσκας αὐτῆς, καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος, ὃς ἦν κεκρυμμένος, καὶ ἀνέπεσε μετ᾽ αὐτῆς· ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου, καὶ ἰδόντες τὴν ἀνομίαν γινομένην, ἐδράμομεν ἐπ᾽ αὐτούς. κἀκεῖνον μὲν ἐκράτησαι οὐκ ἠδυνήθημεν, διὰ τὸ ἰσχύειν αὐτὸν ὑπὲρ ἡμᾶς, καὶ ἀνοίξαντα τὰς θύρας, ἐκπεπηδηκέναι· ταύτης δὲ ἐπιλαβόμενοι ἠρωτῶμεν τίς ἦν ὁ νεανίσκος, καὶ οὐκ ἠθέλησεν ἀπαγγεῖλαι ἡμῖν· ταῦτα μαρτυροῦμεν. καὶ ἐπίστευσεν αὐτοῖς ἡ συναγωγὴ ὡς πρεσβυτέροις τοῦ λαοῦ, καὶ κριταῖς· καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν. καὶ ἀπήγετο ἡ Σωσάννα πρὸς θάνατον, καὶ οὐδεὶς ἦν ὁ ἐκδικητὴς τῆς ἀληθείας, καὶ μάρτυς, εἰ μὴ μόνος ὁ Θεός· καὶ συνεχώρει γενέσθαι τὰ γινόμενα, ἵν᾽ ἀμφοτέρων τελεία δειχθῇ ἡ πρᾶξις, τῶν μὲν παρανόμων ἡ τῆς ἀκολασίας κακία καὶ συκο-

A Maximum erat ſpectaculum ac jucundum; mulier cum viris duobus decertabat: atque hoc mirum videbitur; cùm audietitis, ubi eſſet ſcamma reſeratum: in pomario, ubi Evam ſerpens ſedux rat. Ut igitur parata fuit lucta, aperti ſunt cœli, ſonabat tuba, paratum erat certamen, agonotheta de cœlo luctam attendebat, & Angelorum turba prona ſpectabat: in iniquis ſerpens, in pudica fides figebat. multum utrique de victoria ſolliciti erant, ſeniores quidem ne à muliere vincerentur; Suſan- B na ne pudicitiam perderet. illis victoriæ ſtipendium dæmones præparabant, Suſannæ Angeli caſtitatis præmia præparabant. Corripiunt Suſannam nefarii: ac primum quidem cum ea verba luctabantur: quibus tandem verbis uſi? Seniores populi ſumus, creditæ ſunt nobis leges, ſolvendi ac ligandi accepimus poteſtatem: nullus hic adeſt ſpectator: commiſcêre nobiſcum, in concupiſcentia enim tui ſumus. Quòd ſi nolueris, dicemus contra te teſtimonium, quòd fuerit tecum juvenis, & ob hanc C cauſam emiſeris puellas à te. Ac vide, quàm multa eſſent, quæ Suſannam obſidebant: intemperantiæ calumnia, metus mortis, coram tanto populo condemnatio, mariti odium, cognatorum odium; luctus famulorum, & in univerſum totius domus everſio. At nihil horum pudicæ fœminæ propoſitum potuit ſuperare: quippe cujus ſpes cordis in Deo erat collocata. Ingemiſcens igitur dicebat: Anguſtiæ mihi ſunt undique: ſive enim hoc egero, mors mihi eſt: ſi autem non egero, nequaquam effugiam ma- D nus veſtras. Melius mihi eſt abſque opere incidere in manus veſtras, quàm peccare in conſpectu Domini. Hei mihi, quos paſtores arbitrabar, lupos video: quos arbitrabar eorum qui tempeſtate jactantur eſſe portus, hi naufragium excitarunt. Non inquinabitis pudicitiam meam: parentes meos probro non afficiam: generi meo labem infamiæ non aſpergam: marito meo dolorem non inuram: copulam cum illo meam inhoneſto congreſſu non dirimam: mortem potiùs injuſtam quàm thalamum E eligam inhoneſtum. Mihi verò maritus etiam adeſt, non præſentia corporis, ſed animi affectu, parentumque imaginem ipſa mecum circumfero. Timete Deum, qui hæc videt: præſentes Angelos reveremini: cogitate, quid ſitis: cognoſcite legem, quam legitis, cujus hæc verba ſunt, Non concupiſces uxorem proximi tui. Hæc cùm dixiſſet, exclamavit, ut illorum petulantiæ teſtes advocaret. exclamaverunt autem & duo ſeniores; accurrerunt Suſannæ ſervi & ancillæ; duos cum illa ſeniores cer- A nunt. Cùm autem verba illa ſeniores in Suſannam protuliſſent, erubuerunt ſervi vehementer: quia nunquam dictus fuerat ſermo hujuſmodi de Suſanna. Convocatum eſt autem poſtero die conſilium maximum: adhuc enim erat ſub judice lucta, & ad coronam obtinendam victoria. Convenit populus omnis virorum, mulierum, infantium, rurſus congregatum eſt theatrum. qui inferiùs erant homines, quid cernerent, neſciebant: Angeli verò in cœlis rem noverant. Venerunt ſceleribus co- B operti ſeniores: vocant Suſannam, ut illi quidem arbitrabantur, ad ignominiam & mortem: ut autem juſtus judex prædeſtinarat, ad vitam & gloriam immortalem. Tum populo inquiunt, Mittite ad Suſannam filiam Chelciæ: illi verò miſerunt. Venit ipſa & parentes ejus, & maritus ejus, & liberi ejus. Et venit Suſanna, ut mortem caſtitatis cauſa obitura, multa cum verecundia gemens, & afflicta, non quòd obitura C mortem eſſet, verùm quòd parentibus famam ſiniſtram relinqueret, quòd infamiæ notam generi ſuo eſſet inuſtura. Nullum enim rei in pomario geſtæ teſtem habebat: multi erant, qui ejus cauſa lachrymabantur, amici, cognati, parentes, vicini: maritus lugebat: domus ejus lamentabatur: tum illa ipſa mœrens, collachrymans, & afflicta in multa cordis humilitate in medio ſiſtitur. Publicum erat ſpectaculum, Dei, Angelorum, hominum. Exurgunt duo ſeniores, in habitu paſtorum lupi, D manus illi ſuas imponunt, & in illis calumniator ſerpens loquebatur. Quid loquebatur? Cùm deambularemus heri in pomario ſoli, ingreſſa eſt hæc, & dimiſit puellas ſuas, venitq; ad eam adoleſcens, qui erat abſconditus, & concubuit cum ea. Porrò nos cùm eſſemus in angulo pomarii, & videremus iniquitatem quæ fiebat, cucurrimus ad eos: & illum quidem nequivimus comprehendere, quia viribus nos vincebat, & apertis oſtiis, exilivit. Hanc autem cùm apprehendiſſemus, interrogavimus, quiſnam E eſſet adoleſcens, & noluit indicare nobis. Hæc teſtificamur. Et credidit eis multitudo quaſi ſenioribus populi, & judicibus, & condemnaverunt eam ad mortem. Et abducebatur Suſanna ad mortem, nec ullus erat veritatis defenſor ac teſtis, niſi ſolus Deus qui fieri ſinebat, quod fiebat, ut utrorumq; perfecta innoteſceret actio, tum improborum intemperantiæ ſcelus, & calumnia,

lumina, tum Beatæ Suſannæ intuenda ad mortem uſque pro caſtitate conſtantia. Vides quouſque Deus derelinquat? derelinquit autem, dum ut aurum in fornace juſtos in tentationibus probat: ſicut erga Abrahamum ſe geſſit: Abducebatur in holocauſtum Iſaac, jam conſtructum erat altare, impoſita ligna erant, nec uſpiam pecus apparebat: arripit gladium pater, nec uſpiam pecus apparet: jam cædem aggrediebatur, tum Deus manum ejus voce refrænavit. Hæc autem eo dixi, ut unuſquiſque veſtrûm cùm tentatus fuerit, licet ad mortem appropinquavit, de divino auxilio non deſperet, ſed ad finem uſque præſtoletur. Abducebatur igitur ad mortem Suſanna, nec ullus erat qui opem ferret: cùm nuſquam humanum occurrere videt auxilium, tum denum ad fidelem in cœlo teſtem recurrit, ad inſomnem illum oculum, & elata voce dixit, Deus æterne, qui abſconditorum es cognitor, qui noſti omnia antequam fiant, tu ſcis, quoniam falſum contra me tulerunt teſtimonium. Et ecce ego morior, cùm nihil horum fecerim, quæ iſti malitioſè compoſuerunt adverſum me. Et exaudivit eam, qui dixit, *Et adhuc loquente te, ecce adſum.* Cumque duceretur ad mortem, ſuſcitavit Deus ſpiritum pueri junioris cujus nomen erat Daniel: & exclamavit voce magna, Mundus ego ſum à ſanguine hujus. Converſus eſt autem omnis populus, & dixit. Quis eſt iſte ſermo, quem locutus es? qui cùm ſtaret in medio eorum ait: Sic fatui filii Iſraël, non judicantes, neque quod manifeſtum eſt cognoſcentes, condemnaſtis filiam Iſraël? Revertimini ad judicium: quia falſum teſtimonium loquuti ſunt iſti adverſus eam. Et reverſus eſt omnis populus cum feſtinatione, & dixit Daniel: ſeparate illos ab invicem, & interrogavit unum dicens: Inveterate dierum malorum, nunc venerunt peccata tua quæ operabaris. Dic igitur mihi, ſub quæ arbore videris eos congredientes inter ſe: qui ait, ſub ſchino. dixitque Daniel: Rectè mentitus es in caput tuum: Angelus enim Dei enſem gerens ſciſſurus eſt te medium. Et amoto eo, vocat alterum, & ait: Semen Chanaan, & non Juda: ſpecies decepit te, & concupiſcentia oculorum pervertit cor tuum: Dic ergo, ſub qua arbore videris eos coëuntes; qui ait, Sub ilice. Dixitque ad eum Daniel, Rectè mentitus es & tu in caput tuum. Angelus enim Domini gladium habens jam ſecabit te medium: & exclamavit omnis populus voce magna dicens, Benedictus Dominus, qui ſalvat omnes ſperantes in ſe. Et ſalvatus eſt ſangvis innoxius in die illa: & adimpletum eſt quod à Davide dictum erat ex perſona Suſannæ. *Me ſuſcepit dextera tua.* Ipſi verò in vanum quæſierunt animam meam, nefarii ſeniores: introibunt in inferiora terræ: tradentur in manus gladii: Angelus enim Dei gladium habens diſſecturus eſt eos: partes vulpium erunt. Rex autem lætabitur in Deo, Suſannæ maritus. laudabitur omnis, qui jurat in eo, hoc eſt, qui credit ipſi: quia obſtructum eſt os loquentium iniqua, nefariorum ſeniorum iniqua ſcilicet ora. Tum converſus eſt parentum ejus luctus in gaudium, maritus Deum collaudans exultabat, conſanguinei gaudebant, vicini lætabantur, domus ejus omnis hilaris erat, communis denique feſtivitas erat Dei, Angelorum, & hominum. Vidiſti in corpore muliebri virilem animum? vidiſti mulieris caſtitatem, cujus memoria cum victoria viget immortalis? Hæc ab hominibus collaudata eſt, ab Angelis celebrata eſt: à Deo coronata eſt. hanc imitamini mulieres, ut eodem vos etiam Deus honore dignetur in Chriſto Jeſu Domino noſtro, cui gloria & imperium in ſecula ſeculorum. Amen.

Eſa. 58, 9.

Pſal. 62, 9.

De tribus pueris, & de fornace Babylonica, Oratio.

EODEM Interprete.

NOvum planè, ac permagnum pietatis ſpectaculum trium puerorum nobis chorus exhibuit: qui Babylone quidem præclaro certamine decertavit, ſed in univerſo terrarum orbe martyrii miraculum excitavit. Non enim loco circumſcribitur ſanctorum gloria, nec temporibus juſtorum memoria terminatur: *In memoria ſiquidem æterna erit juſtus.* quamobrem licet antiquiſſimis temporibus martyrum fuerit conſummatum, præclarum tamen illud patientiæ facinus ſeculorum omnium laude celebratur. Cognovimus ex lectione rem geſtam, cognovimus ex commemoratione hiſtoriam, cognovimus tanquam in imagine, ita in oratione tyranni iniquitatem, ſanctorumque confeſſionem, & accenſam quidem igne fornacem, oppoſitam autem iracundiæ tyranni minisque flammarum inextinctam martyrum confeſſionem æmulo fulgore rutilantem. Immo verò quid obſtet, quominùs altius repetito ſermone Dei amantium verè, beatiſſimorumque

Dan. 3. V x edit. Burdigalen. 1602.

Pſal. 111, 7.

φωτία, τῆς δὲ μακαρίας Σωσάννης, ἡ ἕως θανάτου ἔνστασις τῆς σωφροσύνης. ὁρᾷς ἕως πότε ὁ Θεὸς ἐγκαταλιμπάνει; ἐγκαταλιμπάνει δὲ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ δοκιμάζων ἐν τοῖς πειρασμοῖς τοὺς δικαίους· ὥσπερ καὶ ἐπὶ τοῦ Ἀβραὰμ πεποίηκεν. ἀπήγετο ὁ Ἰσαὰκ εἰς ὁλοκάρπωσιν· τὸ θυσιαστήριον ᾠκοδόμητο, τὰ ξύλα ἐπετέθη, καὶ οὐδαμοῦ τὸ πρόβατον. λαμβάνει τὴν μάχαιραν ὁ πατὴρ, καὶ οὐδαμοῦ πρόβατον· ὥρμησεν τοῦ σφάξαι, καὶ τότε ὁ Θεὸς τῇ φωνῇ τὴν χεῖρα αὐτοῦ ἐχαλίνωσε. ταῦτα δὲ εἶπον, ἵνα ἕκαστος ὑμῶν ὅταν πειράζηται, κἂν ἐγγὺς τοῦ θανάτου γένηται, μὴ ἀπελπίσῃ τὴν ἀπὸ τοῦ Θεοῦ ἀντίληψιν, ἀλλ' ἕως τέλους ἀπεκδέξηται. ἀπήγετο γοῦν ἡ Σωσάννα θανεῖν· οὐδεὶς ἦν ὁ βοηθῶν· ὅτε λοιπὸν εἶδε τὴν ἀνθρώπων ἀντίληψιν μὴ ὑπάρχουσαν, ἀνατρέχει τῇ διανοίᾳ πρὸς τὸν ἐν οὐρανῷ πιστὸν μάρτυρα, πρὸς τὸν ἀκοίμητον ὀφθαλμὸν, καὶ λέγει μετὰ φωνῆς· ὁ Θεὸς ὁ αἰώνιος ὁ τῶν κρυπτῶν γνώστης, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ ἐπίστασαι, ὅτι ψευδῆ μου κατεμαρτύρησαν, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω μηδὲν πράξασα, ὧν οὗτοι κατ' ἐμοῦ ἐπονηρεύσαντο. καὶ εἰσήκουσεν αὐτῆς ὁ εἰρηκώς, ἔτι σοῦ λαλοῦντος ἐγὼ πάρειμι. καὶ ἀπαγομένης αὐτῆς ἀπολέσθαι, ἐξήγειρεν ὁ Θεὸς τὸ πνεῦμα παιδαρίου νεωτέρου, ᾧ ὄνομα Δανιήλ. καὶ ἐβόησε φωνῇ μεγάλῃ· καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης. ἐπέστρεψε δὲ πᾶς ὁ λαὸς, καὶ εἶπε, τίς ὁ λόγος οὗτος, ὃν λελάληκας; ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν ἔφη· οὕτως μωροὶ υἱοὶ Ἰσραὴλ οὐκ ἀνακρίναντες, οὐδὲ τὸ σαφὲς ἐπιγνόντες, κατεκρίνατε θυγατέρα Ἰσραήλ; ἀναστρέψατε εἰς τὸ κριτήριον· ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς· καὶ ἀνέστρεψε πᾶς ὁ λαὸς μετὰ σπουδῆς· καὶ εἶπε Δανιήλ, διαχωρίσατε αὐτοὺς ἀπ' ἀλλήλων, καὶ ἐπηρώτησε τὸν ἕνα λέγων, πεπαλαιωμένε ἡμερῶν κακῶν νῦν ἥκασιν αἱ ἁμαρτίαι σου, ἃς ἐποίεις. εἰπὲ οὖν μοι, ὑπὸ ποῖον δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις· ὁ δὲ εἶπεν, ὑπὸ σχῖνον. καὶ εἶπε Δανιήλ· ὀρθῶς ἐψεύσω εἰς τὴν ἑαυτοῦ κεφαλήν. μέλλει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ τὴν μάχαιραν ἔχων σχίσαι σε μέσον· καὶ μεταστήσας τοῦτον, καλεῖ τὸν ἕτερον. καὶ λέγει· σπέρμα Χαναὰν καὶ οὐχὶ Ἰούδα, τὸ κάλλος ἐξηπάτησέ σε, καὶ ἐπιθυμία τῶν ὀφθαλμῶν διέστρεψε τὴν καρδίαν σου. εἰπὲ τοίνυν ὑπὸ ποῖον δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας; ὁ δὲ εἶπεν, ὑπὸ πρῖνον. ὁ δὲ Δανιὴλ πρὸς αὐτόν· ὀρθῶς καὶ σὺ ἐψεύσω εἰς τὴν ἑαυτοῦ κεφαλήν· μέλλει γὰρ ἄγγελος τοῦ Θεοῦ ἔχων τὴν ῥομφαίαν πρίσαι σε μέσον. καὶ ἀνεβόησε πᾶς ὁ λαὸς φωνῇ μεγάλῃ, λέγων, εὐλογητὸς Κύριος ὁ σώζων πάντας τοὺς ἐλπίζοντας ἐπ' αὐτόν. καὶ ἐσώθη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ αἷμα δίκαιον· καὶ ἐπληρώθη τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, ἐκ προσώπου Σωσάννης· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου· αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, οἱ παρανομοῦντες πρεσβύτεροι· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας· μέλλει γὰρ ὁ ἄγγελος τοῦ Θεοῦ ἔχων τὴν ῥομφαίαν σπαράξαι αὐτούς· μερίδες ἀλωπέκων ἔσονται. ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ὁ ἀνὴρ τῆς Σωσάννης· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, τουτέστιν ὁ πιστεύων αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα· τὰ τῶν παρανόμων πρεσβυτέρων ἄδικα στόματα. τότε μετεστράφη τὸ πένθος τῶν γονέων αὐτῆς εἰς χαράν· ὁ ἀνὴρ ἠγαλλιᾶτο δοξάζων τὸν Θεόν· οἱ συγγενεῖς ἔχαιρον· οἱ γείτονες εὐθύμουν· πᾶς ὁ οἶκος αὐτῆς εὐφραίνετο, καὶ ἁπαξαπλῶς πάνδημος ἦν ἑορτὴ Θεοῦ, ἀγγέλων καὶ ἀνθρώπων. εἶδες ἐν γυναικείῳ σώματι ἀνδρείαν ψυχήν; εἶδες γυναικὸς σωφροσύνην, ἧς ἡ μνήμη μένει ἀθάνατος μετὰ νίκης; αὕτη παρὰ ἀνθρώπων ἐδοξάσθη· παρὰ ἀγγέλων ἐμεγαλύνθη· παρὰ Θεοῦ ἐστεφανώθη· ταύτην ζηλώσατε γυναῖκες· ἵνα τῆς αὐτῆς καὶ ὑμεῖς τιμῆς ἀξιωθῆτε παρὰ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τοὺς τρεῖς παῖδας καὶ εἰς τὴν Βαβυλωνίαν κάμινον, λόγος.

ΚΑΙΝΟΝ, ὡς ἀληθῶς, καὶ μέγιστον εὐσεβείας θέατρον ἡ τῶν τριῶν παίδων συνεστήσατο χορεία· ἐν Βαβυλῶνι μὲν τὸν ἀγῶνα τὸν καλὸν ἠγωνισμένη· κατὰ πᾶσαν δὲ τὴν οἰκουμένην συγκροτοῦσα τὸ θαῦμα τοῦ μαρτυρίου. οὐ γὰρ περιγράφεται τόπῳ ἡ τῶν ἁγίων δόξα, οὐδὲ περιορίζεται χρόνοις ἡ τῶν δικαίων μνήμη. εἰς μνημόσυνον γὰρ αἰώνιον ἔσται δίκαιος. ὅθεν εἰ καὶ ἐν τοῖς παλαιοτάτοις χρόνοις ἐτελειώθη τὸ μαρτύριον, ἀλλ' εἰς πάντα τὸν αἰῶνα τὸ ὑπομονῆς ᾄδεται στρατήγημα. οἴδαμεν διὰ τῶν ἀναγνωσμάτων τὰ πράγματα· οἴδαμεν διὰ τῆς μνήμης τὴν ἱστορίαν· οἴδαμεν ὡς ἐν εἰκόνι τῷ λόγῳ καὶ τοῦ τυράννου τὴν παρανομίαν, καὶ τῶν ἁγίων τὴν ὁμολογίαν, καὶ φλεγομένην μὲν τῷ πυρὶ τὴν κάμινον, ἀντιλάμπουσαν δὲ τῷ θυμῷ τοῦ τυράννου, καὶ τῇ ἀπειλῇ τοῦ πυρὸς ἄσβεστον τὴν τῶν μαρτύρων ὁμολογίαν ἐπιδεικνυμένην. μᾶλλον δὲ τί τὸ κωλῦον ἄνωθεν ἀναλαβόντας τῶν θεοφιλῶν ὡς ἀληθῶς καὶ τρισμακαρίων τοὺς ἀγῶνας

ἀγῶνας εἴπω; Ναβουχοδονόσορ ὁ βασιλεύς, μᾶλλον δὲ ὁ τύραννος [τοῦτο γὰρ οἰκεῖον ὄνομα τῷ παρανόμῳ.] ἐκράτει μὲν τῆς Βαβυλωνίας· ἦν δὲ καὶ τῇ ψυχῇ βάρβαρος, καὶ τὸν τρόπον ἀνήμερος· οὗτος ἀδικίᾳ πολλῇ καὶ πλούτῳ καὶ ἀσεβείᾳ μεθύων ἠγνόησε μὲν τὴν ἑαυτοῦ φύσιν, καὶ οὐδὲ ἄνθρωπον ἑαυτὸν ὑπονοήσας, ὡς Θεὸς προσκυνεῖσθαι προσεδόκησεν. ἔθρεψαν δὲ αὐτοῦ τὴν ὑπέρογκον ἀλαζονείαν ἥ τε σύντροφος αὐτοῦ μανία, καὶ ἡ τοῦ Θεοῦ μακροθυμία φέρουσα μὲν ἀνεξικάκως τοὺς ἀσεβοῦντας, συγχωροῦσα δὲ πάντα γίνεσθαι πρὸς γυμνασίαν τῶν εὐσεβούντων. ἐποίησε δὲ ὁ παράνομος εἰκόνα χρυσῆν, τουτέστιν ἀνδριάντα χρυσοῦν, καὶ τοὺς κατ' εἰκόνα Θεοῦ γενομένους προσκυνεῖν ἠνάγκαζεν, ἣν ἐποίησεν εἰκόνα. πολλῇ δὲ τῇ φιλοτιμίᾳ χρησάμενος, ὕψος μὲν αὐτῇ δίδωσι πηχῶν ἑξήκοντα, εὖρος δὲ πηχῶν ἕξ· εὐάρμοστον δὲ καὶ εὔρυθμον τὸ ἄγαλμα κατασκευάζει· ἵνα ἢ τῷ μεγέθει, ἢ τῷ κάλλει τῆς συνθέσεως ἐκνικήσῃ τὸ ψεῦδος βιασάμενον τὴν ἀλήθειαν. ἔστιλβε μὲν οὖν ἡ τέχνη, ἔλαμπεν ὁ χρυσός, ὁ κῆρυξ ἐβόα, ὁ τύραννος ἠπείλει, ἡ κάμινος ἐφλέγετο, καὶ πρὸς τούτοις πᾶσιν τὰ λεγόμενα τῆς μουσικῆς ὄργανα τοὺς ἄφρονας δεινῶς εἰς ἀθεΐαν ἐξεβάκχευε, καὶ ὅλως πάντων ἔκλεπτε τῶν ὁρώντων τὴν ἔννοιαν ἡ φαντασία τῶν ὁρωμένων· ἀλλ' οὐκ ἔμελλον καὶ τῶν ἁγίων ἐπικρατέστερον εἶναι τὸ τῆς ἀσεβείας πρόσταγμα· πάντων δέ, ὡς εἰπεῖν, ὥσπερ ὑπό τινος χειμάῤῥου τοῦ σφοδροῦ τῆς ἀπάτης ῥεύματος, εἰς τὸν τῆς εἰδωλολατρείας κρημνὸν κατασυρομένων, οἱ τρεῖς οὗτοι καὶ καλοὶ νεανίαι ὥσπερ ἐπί τινα πέτραν τὴν εὐσέβειαν πιστῶς ἑαυτοὺς ἐπερείσαντες, οὐχ ὑπεσύρησαν * τῷ ῥεύματι τῆς ἀδικίας. ἔπρεπε γὰρ λέγειν αὐτοῖς· εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον· ἀλλ' οὔτε τῷ ῥεύματι κατεποντίσθησαν, οὔτε τοῖς βρόχοις ἑάλωσαν. ἀλλὰ καλῶς δραμόντες εἰς εὐσέβειαν, καὶ ὑψηλῷ τῷ πτερῷ τῆς πίστεως κεχρημένοι διεσώζοντο, κατὰ τὸν παροιμιαστήν, ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. καὶ μονονουχὶ τὰ τοῦ διαβόλου δίκτυα κατὰ πάσης ἡπλωμένα τῆς ἀνθρωπότητος ὁρῶντες, τὴν εὐσεβῆ φωνὴν ἐβόων μετὰ τοῦ ὑμνογράφου λέγοντες, πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί. καὶ οὐκ ἀπέβλεψαν εἰς τὴν ἑαυτῶν βραχύτητα οἱ τρεῖς αἰχμάλωτοι, καὶ ὑπὸ τοσούτων ἐλαυνόμενοι· ἀλλ' ᾔδεισαν ἀκριβῶς, ὅτι καὶ ὁ βραχύτατος τῆς εὐσεβείας σπινθὴρ ἱκανός ἐστιν ἅπασαν τὴν ἀσέβειαν καταφλέξαι καὶ ἀφανίσαι. διὰ τοῦτο καίτοι τρεῖς ὄντες ἀλλήλοις ἐστερροῦντο καὶ συνεσφίγγοντο. ᾔδεισαν γὰρ ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. ἐμέμνηντο τοῦ πατριάρχου Ἀβραάμ, ὅτι μόνος ὢν ἐν πάσῃ τῇ γῇ προσκυνητὴς τοῦ Θεοῦ, οὐκ ἠκολούθησε τῷ πλήθει τῶν ἀσεβούντων· ἀλλὰ νόμος ἦν αὐτῷ εὐσεβείας καὶ δικαιοσύνης ἔπαθλον. ὅθεν εἰκότως ἐξ αὐτοῦ τε οἷον ἔκ τινος ῥίζης ἀγαθῆς ἐβλάστησαν οὗτοι οἱ τῆς εὐσεβείας καρποί. ἐξ αὐτοῦ γὰρ καὶ πατριάρχαι καὶ ὁ νομοθέτης Μωϋσῆς, καὶ οἱ προφῆται, καὶ πάντες οἱ θεολόγοι. ἐξ αὐτοῦ δὲ προηγουμένως καὶ τὸ σωτήριον ἐκεῖνο καὶ ἀθάνατον τῆς δικαιοσύνης ἄνθος ἡ τοῦ Σωτῆρος ἐνανθρώπησις. ἐξ ἐκείνης καὶ οἱ τρεῖς παῖδες οὗτοι οὐκ ἠρνήσαντο τὴν εὐγένειαν· ἐμέμνηντο καὶ τοῦ Λὼτ παροικοῦντος μὲν ἐν Σοδόμοις, μακρὰν δὲ τοῖς τρόποις ἀπῳκισμένου. ἐλάμβανον ἐν νῷ καὶ τὸν Ἰωσὴφ μόνον ἐν Αἰγύπτῳ σωφροσύνης ἀντιποιούμενον, καὶ εὐσεβείας ὄντα φροντιστήριον. ὅθεν καὶ οὗτοι ἐν τοσαύταις μυριάσιν ἀπειλημμένοι τοὺς πολλοὺς μὲν ὁρῶντες ἐλογίζοντο, ὅτι πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εὑρίσκοντες αὐτήν. πρὸς ἑαυτοὺς δὲ πάλιν βλέποντες καὶ τῆς καμίνου ἀπεμέμνηντο, καὶ τῆς σοφίας οὐδέ πω λεγούσης, ὅτι ὥσπερ δοκιμάζεται ἐν καμίνῳ χρυσός, οὕτως ἐκλέγεται καρδίας ὁ Θεός. διὰ τοῦτο οὔτε σάλπιγξ αὐτοὺς τὸ πολεμικὸν ἠχοῦσα μέλος ἐφόβησεν, οὔτε λύρα τὰς ἀκοὰς θέλγουσα τοὺς τόνους τῆς εὐσεβείας διέλυσεν, οὔτε μὴν ἡ λοιπὴ πᾶσα συμφωνία τῆς μουσικῆς τὴν καλλίστην ἐναρμόνιον τῆς εὐσεβείας συμφωνίαν διέλυσεν· ἀλλ' ἀντέστησαν τῇ καλῇ συμφωνίᾳ τὴν καλὴν ὁμολογίαν. ὁ δὲ κακόφρων ἐκεῖνος καὶ δυσσεβὴς τύραννος ὡς προσηγγέλθησαν οἱ περὶ τὸν Ἀνανίαν ἀπειθοῦντες τῷ προστάγματι τῆς ἀνομίας διαβολικῷ τύφῳ τὴν ψυχὴν πεπιεσμένος, καὶ αὐτὴν ὡς εἰπεῖν τοῦ ἄρχοντος τῆς κακίας τὴν ὄψιν ἀναλαβών, προσκαλεσάμενος αὐτούς, φησίν· εἰ ἀληθῶς Σιδράχ, Μισάχ, καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησα, οὐ προσκυνεῖτε; ἐνόμισεν σχῆμα εἶναι τὴν εὐσέβειαν, καὶ ἐρωτᾷ εἰ ἀληθῶς βασιλικοῖς προστάγμασιν ἀνθιστάναι τολμῶσιν οἱ τὴν εὐσέβειαν ἐπαγγελλόμενοι. ἔμελλε δὲ παρ' αὐτῆς τῆς πείρας διδάσκεσθαι, ὅτι οἱ τοῦ Θεοῦ ἄνθρωποι οὐ μόνον τοῦ τυράννου τὰς ἀπειλὰς διαπτύουσιν, ἀλλὰ καὶ αὐτὴν τοῦ πυρὸς τὴν ἀτμίδα τῇ δυνάμει τῆς εὐσεβείας καταγωνίζονται. νῦν οὖν ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφω-

agones enarremus? Nabuchodonoſor Rex, vel potius tyrannus; (hoc enim iniquo illi nomen eſt proprium:) Babyloniæ quidem imperabat, porro & animo barbarus erat, & moribus inhumanus, hic nimia improbitate, divitiis, & impietate temulentus, cùm naturam ſuam ignoraret, neque ſe hominem eſſe arbitraretur, tanquam Deus voluit adorari. Hanc autem ejus tumidam arrogantiam cùm innata illi fovit inſania, tum Dei longanimitas, quæ patienter impios tolerat, & ad exercendos pios fieri cuncta permittit. Auream porro imaginem iniquus ille conflavit, hóc eſt, ſtatuam auream, & eos, qui ad imaginem Dei formati erant, effictam à ſe imaginem adorare cogebat. Multam verò magnificentiam ut oſtentaret, altitudinem ei tribuit ſexaginta cubitorum, latitudinem ſex cubitorum: & concinnam elegantemque imaginem conficit, ut vel figuræ magnitudine, vel compoſitionis pulchritudine mendacium ſuperaret, ac veritati vim afferret. Splendebat igitur artificium, fulgebat aurum, clamabat præco, tyrannus minabatur, incendebatur fornax. tum præter hæc omnia, muſica quæ vocantur inſtrumenta, vi magna inſipientibus impietatis furorem immittebant, omnium denique ſpectatorum mentes, eorum quæ oculis obverſabantur, pompa rapiebat. At impietatis mandato nequaquam erant ſancti quoque ceſſuri: ſed cùm omnes propemodum velut à torrente quodam vehementique impoſturæ fluctu, in idololatriæ præcipitium devolverentur, tres iſti præclari juvenes cùm tanquam petra quadam, pietate fideliter inniterentur, ab iniquitatis fluctu minimè ſunt abrepti. Conveniebat enim illis ut dicerent, *Niſi quia Dominus erat in nobis, forte vivos deglutiſſent nos.* Cùm iraſceretur furor eorum in nos, forſan aqua abſorbuiſſet nos. Torrentem pertranſivit anima noſtra. forſitan pertranſiſſet anima noſtra aquam intolerabilem, at neque fluctu ſunt abſorpti, neque laqueis capti; ſed cùm ad pietatem optimè excurriſſent, altiſque fidei pennis ſubvecti eſſent, incolumes evaſerunt: juxta illud proverbiorum auctoris, Qua caprea de caſſibus, & quaſi avis de laqueo. Cumque Diaboli retia adverſus humanum genus univerſum expanſa propemodum cernerent, piam illam vocem cum auctore pſalmorum iterabant, cadent in reticulo ſuo peccatores, neque ſuam paucitatem tres reſpexère captivi, quanquam à tam multis vexati, ſed probe noverant vel minimam pietatis ſcintillam ad omnem impietatem exurendam ac delendam ſufficere. Quapropter licet tres tantum eſſent, ſeſe mutuò corroborabant ac firmabant. Sciebant enim anguſtam & arctam eſſe viam, quæ ducit ad vitam, & paucos eſſe, qui inveniunt eam. Recordabantur Abrahæ patriarchæ, qui cum ſolus in toto terrarum orbe Dei cultor eſſet, impiorum turbam ſequutus non eſt; ſed ſibi ipſi lex pietatis ac juſtitiæ præmium fuit: undè merito ex ipſo tanquam ex optima quadam radice hi pietatis fructus pullularunt. Ex ipſo namque Patriarchæ, legiſlator Moyſes, & Prophetæ, omneſque Theologi prognati ſunt, præcipue verò ex ipſo ſalutaris illa immortaliſque flos juſtitiæ Salvatoris noſtri humanitas: ex ipſo etiam orti tres iſti pueri nobilitatem non abnegarunt: recordabantur & Lot, qui apud Sodomitas habitabat, ſed moribus ab eis longè diſſidebat: obverſabatur eorum animis Joſeph, qui ſolus in Ægypto continentiam amplectebatur, ac pietatis exemplar erat. Quapropter hi quoque tot millibus circumſeſſi cùm multos cernerent, cogitabant latam eſſe atque ſpatioſam viam, quæ ducit ad perditionem, & multos eſſe qui inveniunt eam. Cum autem rurſus in ſeipſos converterent oculos, & in fornacem ſapientiæ recordabantur ſic quiſpiam dicentis, Sicut probatur aurum in fornace, ſic corda ſeligit Deus. Idcirco neque bellicum ſonans carmen, eos tuba terruit, neque demulcens aures lyra pietatis robur infregit, neque adeo reliqua omnis muſicæ ſymphonia præclarum & concinnum pietatis concentum diſſoluit, ſed præclaræ ſymphoniæ præclaram confeſſionem oppoſuerunt. At malignus & impius ille tyrannus, ut Ananiæ ſocios renuntiatum eſt iniquitatis mandato non parere, urgente diaboli faſtu mentem ejus, ipſumque prope dixerim vultum nequitiæ principis induens, accerſitis illis ait, Verène Sidrach, Miſach & Abdenago, Deos meos non colitis, & imaginem auream, quam erexi, non adoratis? Arbitrabatur ſimulationem quandam & larvam eſſe pietatem ac ſciſcitatur, verène regiis mandatis reſiſtere audeant, qui pietatem profitentur. Porro ab ipſa experientia docendus erat, Dei homines non tyranni tantùm minas contemnere, ſed ipſum etiam vaporem ignis pietatis virtute ſuperare. Nunc igitur cùm audieritis ſonitum tubæ, fiſtulæque & citharæ, ſambucæque, & pſalterii, ac ſymphoniæ: & omnis generis muſicorum, ca-

Pſal. 123, 3.

Matt. 7, 13.

dentes adorate ſtatuam auream, quam erexi. Præclare dæmonum adorationem deſcripſit, Cadentes adorate: fieri nequit, ut qui dæmones adorant, in interitum non cadant, & excidant à veritate. Quòd ſi non adoraveritis, inquit, eadem hora mittemini in fornacem ignis ardentem. Planè ſi fornax eſt, ignem etiam eſſe liquet: quod lignis fit, liquet etiam ardentem eſſe: verum amplificat & exaggerat minas, ut propoſitum pietatis inflectat: Eadem hora mittemini in fornacem ignis ardentem. Ac tolerabilis quidem huc usq; foret arrogantia, ſed vide, quid poſt hæc ſubjiciat: Et quis eſt Deus, qui eripiet vos de manibus meis: Alter Pharao eſt iſte; nam & ille
Exod. 5. 2. ad Moyſem ait. Quis eſt Deus, quem audiam? *Non novi*, inquit impius *Dominum, & populum non dimittam.* O ingentem hominum arrogantiam! ô magnam Dei longanimitatem! Vociferatur homo, & ſuſtinet Deus: loquitur lutum, & patienter fert figulus; verba facit lingua carnea, & miſeretur incorporeorum dominus Ange-
Pſal. 103. 4. lorum, *Qui facit Angelos ſuos ſpiritus, & miniſtros ſuos flammam ignis.* Opportunum jam fuerit hoc loco recordari Eſaiæ dicentis, Quid ſuperbit terra & cinis? Vis longanimitatem Dei mirari? illatam tibi contumeliam cogita: quomodo intolerabilis tibi ſoleat videri. Sæpenumero quis à famulo contumelia afficitur, & continuò ſe hominem liberum affectum eſſe contumelia objiciens pœnas facinoris repetit perpetrati, atque inevitabili mortis ſupplicio contumeliæ auctorem punit. Affectus eſt rurſus contumelia quiſpiam à vilis ac privatæ conditionis homine, cùm ipſe unus ex eorum ſit numero, qui in reipublicæ adminiſtratione verſantur: is repente contumelia irritatus ad vindictam præceps fertur, neque communem naturã, aut parem omnium conditionem ſpectat, ſed eam qua præditus eſt, reſpicit dignitatem, qua ſublata unam & eandem eſſe generis conditionem videre poſſumus: quoniam omnes ex terra formati ſumus, & in terram diſſolvemur: una verò eſt ad vitam via, & egreſſus æqualis. Ex luto, inquit, compactus es ut & ego: veruntamen lutum quidem tantam ab iis qui æquali conditione ſunt, exigit prærogativam honoris: Deus autem, qui omnibus antecellit, & natura, & lege, quique tanto ſuperior eſt, quanto creaturis creatorem ſublimiorem cenſeri par eſt blaſphemus offenſus ac deſpectus ab ingratis, non excandeſcit ille quidem: quippe in quem perturbatio non cadat: Sed paulo pòſt tamen eos, qui in inſipientia perſeverant, caſtigat: propterea quòd diſceptator veritatis eſt & inexorabilis judex, ne confeſtim omnes qui peccant, deleantur, ſupplicium differt, & patientiam offert, ut alliciat ad pœnitentiam. Sed ad propoſitum redeamus. Auſus eſt dicere carne circundatus homo, Quis eſt Deus, qui eripiet vos de manibus meis? beatiſſimi pueri his auditis ob blaſphemiã non exarſerunt: familiares quippe erant & ipſi longanimitatis divinæ? ſed adverſus verba perfidiæ uſurpata fidei voce, tyranno reſponderunt, iniquitatem lege diſſolverunt, & juſtitiæ libertate, injuſtitiæ minas ſuperarunt. Notum ſit tibi Rex, inquiunt, quia Deos tuos non colimus, & ſtatuam auream, quam erexiſti, non adoramus. Deſine ab hac inſipientia ò homo, pudeat te ignominioſè adorationis imaginis iſtius. Si enim tu imaginem erexiſti, quomodo ea, quæ feciſti, adoras? quinam aliorum opifices eſſe debent, hominesne Dei, an hominum Deus? Si enim verè Dii ſunt, illis opificis ac creationis dignitas convenit ſed, ut ſæpenumero diximus antea niſi artem homines adinveniſſent, Deos Gentiles non habuiſſent: immo vero illud etiam attendamus: ſi quis idolis ſenſus ineſſet, ipſa homines quia ea fabricati ſunt, adorare conveniret. Hoc enim leges naturæ jubent, ut opificem ſuum opus adoret, non ut artifex rem a ſe confectam veneretur. Idcirco nos alumni pietatis, divinæ legi obſequentes, Deos tuos non colimus, & ſtatuam aureã, quam erexiſti, non adoramus: ſed eſt Deus in cælo, qui eripiet nos de manibus tuis. Deinde ne Deum tentare viderentur, aut quòd ſe liberatum iri ſperarent, audacter ignem ſubire, continuò adjungit: Et ſi non, hoc eſt, etſi non liberaverit, ſed corpora noſtra permiſerit igne comburi, ne hoc quidem pacto à pietate diſcedemus: non enim mercede conducti Deum colimus, ſed æquitatis ſtudio veritatem confitemur. Ut autem hãc fidei profeſſionem audivit, inflammatur acrius tyrannus, & fornacem ſeptuplo ſuccendi jubet, oportebat enim probatiſſimum argentum purgari ſeptuplum: *Eloquia namq; Domini eloquia caſta, argentum igne examinatum, probatum terra, & purgatum ſeptuplum*: Idcirco ſeptuplo ſuccenſa eſt fornax,
Pſal. 11. 7. ut ſeptuplo ſancti purgarentur. Cæterum argentum appellatos eſſe
Prov. 10. 20. Dei homines ut intelligas, Sapientiæ recordare, dicentis, *Argentum igne examinatum lingua juſti*, & Prophetam Hieremiam dicentem audi, de iis qui à pietate reprobati ſunt.
Hier. 6. 30. *Argentum reprobum vocate eos, quia reprobavit eos*

A νίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι χρυσῇ ᾗ ἔστησα. καλῶς ἐμελέτησε τὴν τῶν δαιμόνων προσκύνησιν. πεσόντες προσκυνεῖτε· ἀμήχανον τοὺς δαίμονας προσκυνοῦντας μὴ πεσεῖν μὲν εἰς ὄλεθρον, ἐκπεσεῖν δὲ τῆς ἀληθείας. ἐὰν δὲ μή, φησί, προσκυνήσητε· αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· πάντως εἰ κάμινός ἐστι, δῆλον ὅτι πῦρ ἐστιν. εἰ δὲ πῦρ ἐστιν, δῆλον καὶ καιομένη· ἀλλὰ μεγαλύνει καὶ πλατύνει τὰ ἀπειλὰς,
B ἵνα κάμψῃ τὴν γνώμην τῆς εὐσεβείας· αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ φορητὰ μὲν μέχρι τούτου τὰ τῆς ἀλαζονείας. ὅρα δὲ τί μετὰ ταῦτα προστίθησιν. καὶ τίς ἐστιν Θεὸς, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; ἄλλος οὗτος Φαραώ· καὶ γὰρ ἐκεῖνος πρὸς τὸν Μωσέα φησί, τίς ἐστι Θεὸς, οὗ ἐπακούσομαι; οὐκ οἶδα, φησὶν ὁ δυσσεβὴς, τὸν Κύριον, καὶ τὸν λαὸν οὐκ ἐξαποστελῶ. ὢ τῆς πολλῆς τῶν ἀνθρώπων ἀλαζονείας· ὢ τῆς μεγάλης τοῦ Θεοῦ μακροθυ-
C μίας· φθέγγεται ἄνθρωπος, καὶ ἀνέχεται Θεός. λαλεῖ ὁ πηλὸς, καὶ μακροθυμεῖ ὁ πλαστουργός· φθέγγεται γλῶσσα σαρκικὴ, καὶ σπλαγχνίζεται ὁ τῶν ἀσωμάτων ἀγγέλων δεσπότης· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. εὔκαιρον ἐπὶ τούτῳ μνησθῆναι τοῦ Ἡσαΐου λέγοντος, τί ἀλαζονεύεται γῆ καὶ σποδός; θέλεις θαυμάσαι Θεοῦ μακροθυμίαν; ἐννόησον τὴν εἰς σὲ γινομένην ὕβριν· πῶς ἀφόρητός σοι εἶναι νενόμισται· ὑβρίζεταί τις
D πολλάκις ὑπὸ οἰκέτου καὶ εὐθέως τῆς ἐλευθερίας τὴν ὕβριν προβαλλόμενος δίκην ἀπαιτεῖ τοῦ πλημμελήματος, ἀπαραιτήτῳ θανάτῳ κολάζων τὸν ὑβρίζοντα· ὑβρίζεται πάλιν τις ὑπὸ εὐτελοῦς καὶ ἰδιώτου, αὐτὸς ἐν τῇ τοῦ κόσμου πολιτείᾳ ἐξεταζόμενος· καὶ εὐθέως ὑπὸ τῆς ὕβρεως δαπανώμενος ἐπὶ τιμωρίαν σπεύδει, εἰς μὲν τὴν κοινὴν φύσιν καὶ τὸ πάντων ἰσότιμον οὐκ ἀφορῶν· εἰς δὲ τὴν προσκειμένην ἀξίαν ἀποβλέπων· ἧς περιαιρεθείσης μίαν ἐστὶν ἰδεῖν τὴν τοῦ γένους ἰσοτιμίαν,
E ὅτι πάντες ἐκ γῆς ἐπλάσθημεν, καὶ εἰς γῆν διαλυόμεθα· μία δὲ ἡ εἴσοδος ἡ εἰς τὸν βίον ἔξοδός τε ἴση· ἐκ πηλοῦ, φησίν, διήρτησαι σὺ ὡς καὶ ἐγώ. ἀλλ' ὁ μὲν πηλὸς τοιαύτην ἀπαιτεῖ παρὰ τῶν ὁμοτίμων τὴν ὑπεροχήν. ὁ δὲ Θεὸς πάντων ὑπερέχων καὶ φύσει, καὶ νόμῳ, καὶ τοσοῦτον ἀνώτερος ὢν, ὅσον ὑψηλότερον δεῖ νοεῖν τὸν ποιητὴν τῶν ποιημάτων. βλασφημούμενος καὶ ἐξουθενούμενος παρὰ τῶν ἀγνωμόνων, οὐ παροξύνεται μέν· ἀπαθὴς γάρ. τιμωρεῖται δὲ μικρὸν ὕστερον τοὺς
A ἐπιμένοντας τῇ ἀφροσύνῃ. διότι δικαστής ἐστιν ἀληθείας καὶ κριτὴς ἀδυσώπητος. ἵνα μὴ ἀθρόως ἅπαντες οἱ ἁμαρτάνοντες ἐξολοθρεύωνται, ὑπερτίθεται τὴν τιμωρίαν, καὶ προσφέρει τὴν ἀνεξικακίαν ἵνα ἐφελκύσηται πρὸς μετάνοιαν. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἐτόλμησεν εἰπεῖν ἄνθρωπος σάρκα περικείμενος, τίς ἐστιν Θεὸς ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῶν χειρῶν μου; οἱ δὲ τρισμακάριοι παῖδες, τοῦτον
B ἀκούσαντες οὐκ ἐξανέστησαν ἐν τῇ βλασφημίᾳ· σύντροφοι γὰρ ἦσαν καὶ αὐτοὶ τῆς Θεοῦ μακροθυμίας. ἀλλὰ πρὸς τὰ τῆς ἀπιστίας ῥήματα πίστεως φωνὴν ἀναλαβόντες ἀντεφθέγγοντο τῷ τυράννῳ, νόμῳ τὴν ἀνομίαν ἐκλύοντες, καὶ ἐλευθερίᾳ δικαιοσύνης τὴν ἀπειλὴν τῆς ἀδικίας ἐκνικῶντες. γνωστὸν ἔστω σοι βασιλεῦ, λέγοντες, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν. καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦμεν.
C παῦσαι τῆς ἀνοίας, ἄνθρωπε. αἰδέσθητι τὴν ἐπονείδιστον τῆς εἰκόνος προσκύνησιν. εἰ γὰρ σὺ τὴν εἰκόνα ἔστησας, πῶς προσκυνεῖς, οἷς ἐποίησας; τίνες τίνων ὀφείλουσιν εἶναι δημιουργοὶ, ἄνθρωποι Θεοῦ, ἢ Θεὸς ἀνθρώπων; εἰ γὰρ ἀληθῶς θεοὶ, αὐτοῖς ἁρμόττει τὸ τῆς δημιουργίας ἀξίωμα. ἀλλ' ὅπερ πολλάκις ἔφθημεν εἰπόντες, εἰ τέχνη μὴ προσῆν τοῖς ἀνθρώποις, Ἕλληνες θεοὺς οὐκ ἂν εἶχον. μᾶλλον δὲ κἀκεῖνο προσχῶμεν. εἰ τις αἴσθησις ἦν τοῖς εἰδώλοις, αὐτοῖς ἔπρεπεν προσκυνεῖν τοὺς
D ἀνθρώπους τοὺς ἐργαζομένους αὐτά. νόμοι γὰρ φύσεως τὸ ποίημα προσκυνεῖν τὸν πεποιηκότα, οὐ τὸν δημιουργὸν ὑποκύπτειν τῇ ἑαυτοῦ δημιουργίᾳ. διὰ τοῦτο ἡμεῖς οἱ σύντροφοι τῆς εὐσεβείας θείῳ νόμῳ ἑπόμενοι, τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. ἀλλ' ἔστιν ὁ Θεὸς ἐν οὐρανῷ, ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῶν χειρῶν σου· εἶτα ἵνα μὴ δόξωσιν ἢ τὸν Θεὸν πειράζειν, ἢ ἐλπίδι τοῦ ῥυσθήσεσθαι καταθαρρεῖν τοῦ πυρὸς, εὐθέως ἐπάγουσι, καὶ ἐὰν μή, τοῦτ' ἔστιν,
E κἂν μὴ ῥύσηται, ἀλλὰ συγχωρήσῃ κατακαῦσαι τὰ σώματα ἡμῶν τῷ πυρὶ, οὐδὲ οὕτως ἀφιστάμεθα τῆς εὐσεβείας· οὐ γὰρ ἐπὶ μισθῷ θεοσεβοῦμεν, ἀλλ' εὐγνωμόνως τὴν ἀλήθειαν ὁμολογοῦμεν. ὡς δὲ ταύτης ἤκουσε τῆς πίστεως τὴν ἐπαγγελίαν, πυροῦται μᾶλλον ὁ τύραννος, καὶ κελεύει τὴν κάμινον ἑπταπλασίως ἐξαφθῆναι. ἔδει γὰρ τὸ δοκιμώτατον ἀργύριον ἑπταπλασίως καθαρθῆναι· τὰ γὰρ λόγια Κυρίου λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ καὶ κεκαθαρισμένον ἑπταπλασίως. διὸ ἑπταπλασίως ἡ κάμινος ἐξεκαύθη, ἵνα ἑπταπλασίως οἱ ἅγιοι καθαρθῶσιν. ὅτι δὲ ἀργύριον καλοῦνται οἱ τοῦ Θεοῦ ἄνθρωποι, μνημόνευε τῆς Σοφίας λεγούσης, ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου· καὶ τοῦ προφήτου Ἱερεμίου ἄκουσον, λέγοντος περὶ τῶν ἀποδοκιμαζομένων ἀπὸ τῆς εὐσεβείας, ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς ὁ Θεός.

A Θεός. εἰ δὲ οἱ ἀτελεῖς ἀργύριον ἀδόκιμον, οἱ δὲ τετελειωμένοι δηλονότι ἀργύριόν εἰσι δοκιμώτατον· ὅσον γὰρ ἡ κάμινος ἐξήπτετο, τοσοῦτον ὁ τοῦ μαρτυρίου πόθος ἐλαμπρύνετο. εἰσελθόντες γὰρ οἱ ἅγιοι τρεῖς οὗτοι παῖδες μετὰ πίστεως κατεπάτουν τὴν φλόγα, λεπτὸν ἀέρα καὶ ἔνδροσον ἐν αὐταῖς μέσαις ταῖς ἀκμαῖς τοῦ πυρὸς ἀναπνέοντες. ὁ γὰρ πάντα ποιῶν καὶ μετασκευάζων ἤμβλυνε τοῦ πυρὸς τὴν θερμότητα, καὶ τὴν καυστικὴν αὐτοῦ ἐνέργειαν περιέκοψεν, ἐπαληθευούσης τῷ θαύματι τῆς ὑμνῳδίας ἐκείνης· Φωνὴ Κυρίου διακόπτοντος φλόγα B πυρός. κεκοίμιστο μὲν τὸ πῦρ ἔνδον ἠρεμοῦν, οἱ δὲ ἅγιοι παῖδες ἐχόρευον, μονονουχὶ τῆς ἐπαγγελίας ἐκείνης ἀπολαύοντες, ἣν διὰ τοῦ προφήτου ὁ θεῖος Ἡσαΐας ἐπαγγέλλεται πάσῃ ψυχῇ εὐσεβείας γεμούσῃ καὶ πίστεως· ὅτι κἂν διαβαίνῃς, φησί, διὰ πυρός, μετὰ σοῦ εἰμι, καὶ φλὸξ οὐ κατακαύσει σε. καὶ ἦν ἰδεῖν τὴν ἐπαγγελίαν δι' ἔργων προχωροῦσαν. οὐ γὰρ ἥψατο τῶν μελῶν τῶν ἁγίων τὸ πῦρ· οὐκ ἐφλεξεν ὀφθαλμοὺς, τοὺς ὀρθῶς βλέποντας πρὸς εὐσέβειαν, καὶ διὰ C τῆς εὐκοσμίας τῶν ὁρωμένων τὸν κοσμοποιὸν ἐπιγνόντας, οὐκ ἠδίκησεν ἀκοὰς τὰς θείου νόμου πεπληρωμένας· οὐ προσῆλθε τῷ στόματι, οὐδὲ τῶν χειλέων ἥψατο, τὰς ὑμνῳδοὺς αὐτῶν καὶ ὑμνογράφους γλώσσας δυσωπούμενον. ἕκαστον τῶν ἁγίων μέλος εἶχε τὸ ἑαυτοῦ φυλακτήριον· αἱ χεῖρες τὴν τῶν εὐχῶν ἔκτασιν, καὶ τὴν τῆς ἐλεημοσύνης μετάδοσιν· τὰ στήθη τὴν ἐνοικοῦσαν αὐτοῖς δύναμιν τῆς εὐσεβείας· κοιλία καὶ τὰ ὑπογάστρια μέλη τὴν τῆς σωφροσύνης ἄσκησιν· οἱ πόδες τὸν τῆς ἀρετῆς D δρόμον. καὶ τί δεῖ τὰ καθ' ἕκαστον λέγοντα διατρίβειν; οὐδὲ γὰρ τριχῶν κατετόλμησεν τὸ πῦρ διὰ τὸ μᾶλλον αὐτὰς εὐσεβείᾳ κεκαλύφθαι ἢ τιάραις. ἐφείσατο δὲ ἄρα καὶ τῆς ἐσθῆτος διὰ τὴν τῶν ἁγίων εὐσχημοσύνην. τί οὖν; ἐπὶ τούτοις προσκελεύεται ὁ Θεὸς τῶν Χαλδαίων ἐπιλαβέσθαι τὸ πῦρ, καὶ ἵνα μὴ μαγείαν νομίσαντες ἀμαυροῦσθαι τοῦ πυρὸς τὴν ἐνέργειαν, ἀμβλύνωσι τὴν δόξαν τῶν μαρτύρων, καὶ συκοφαντήσωσι τὸ θαῦμα τῆς ἀληθείας· διὰ τοῦτο οἱ μὲν ἔνδον ἠρέ- E μουν· τὸ δὲ πῦρ ἔξω τοὺς Χαλδαίους περιενέμετο, ἵνα ἀσφαλῶς πείσῃ τοὺς ὁρῶντας, ὅτι ἐπὶ τῶν ἁγίων οὐ τὴν ἑαυτοῦ φύσιν ἠγνόησεν, ἀλλὰ τὴν εὐσέβειαν ἐτίμησεν· ὥσπερ οἱ λέοντες ἐπὶ τοῦ λάκκου τὸν Δανιήλ. οὕτως ἐντεῦθεν ἀγγελικὴν χορείαν ἀληθῶς συνεστήσαντο, καὶ τὸν Θεὸν ὕμνουν οἱ τρισμακάριοι παῖδες, καὶ πᾶσαν τὴν κτίσιν τήν τε ὑπερκόσμιον καὶ τὴν ἐν ὀφθαλμοῖς θεωρουμένην, εἰς ἕνα χορὸν ὑμνῳδίας συνήγαγον. ἀναγκαῖον δὲ μηδὲ ἐκεῖνο παραλιπεῖν A ἀνεξέταστον, τίνος ἕνεκεν μὴ πᾶσαν ὁμοίως ἐμνημόνευσαν τὴν κτίσιν, ἀλλὰ κατὰ μέρος ἐξέθεντο τὴν δημιουργίαν. ἤρκει γοῦν εἰπεῖν ὅσον εἰς ἀλήθειαν, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Θεόν· ἀλλ' ἐπειδὴ ἐν χώρᾳ τῶν ἀσεβῶν τὸ μέγα τοῦτο θέατρον τῆς εὐσεβείας συνεκροτεῖτο, ἔδει παιδευθῆναι τοὺς Βαβυλωνίους, τίνα μέν εἰσι τὰ ποιήματα, τίς δὲ ὁ ποιητὴς τῶν ἁπάντων. καὶ ἄρχονται μὲν ἀπὸ ἀγγέλων, καταλήγουσι δὲ εἰς ἀνθρώπους. ἐνομίσθησαν ἄγγελοι θεοί· καὶ παρ' Ἕλ- B λησι μυθεύονται, ὅτι τούτους, φησίν, οὓς προσκυνοῦμεν θεούς, ἄγγελοι εἰσὶ τοῦ μεγάλου Θεοῦ. ἵνα γὰρ παιδευθῶσιν οἱ ἄφρονες, ὅτι οὐ τῶν προσκυνουμένων, ἀλλὰ τῶν προσκυνούντων εἰσὶν οἱ ἄγγελοι, διὰ τοῦτο βοῶσιν, εὐλογεῖτε ἄγγελοι Κυρίου τὸν Κύριον. προσεκυνήθη ἥλιος καὶ σελήνη καὶ πᾶς ὁ τῶν ἀστέρων χορός. διὰ τοῦτο καὶ τούτους παραλαμβάνουσιν εἰς τὴν τῶν ὕμνων προσκύνησιν. εὐλογεῖτε, φησὶν, ἥλιος, καὶ σελήνη· εὐλογεῖτε ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον· εἶτα μετὰ ταῦτα C πᾶς ὄμβρος καὶ δρόσος, τὸν Κύριον. τί οὖν βούλεται τό, πᾶς ὄμβρος καὶ δρόσος καὶ πάντα τὰ πνεύματα, καλὸν ἂν εἴη συνιστῆσαι· γίνονται πολλάκις ἀνομβρίαι καὶ πνευμάτων βίαι ἄκαιροι. φιλοῦσι δὲ ἀεὶ οἱ τοῦ ψεύδους εὑρεταὶ καὶ τῇ ματαιότητι χαίροντες, ὕλῃ τινὶ καὶ κακίᾳ ἀταξίας πάντα ἐπιγράφειν· οὐκ εἰδότες ὅτι οὐδὲν ἀδέσποτον, οὐδὲ ματαίως γεγενημένον. ἀλλ' ὅτι ταῦτα πάντα οἰκονομεῖ ὁ Θεός, καὶ πρὸς παιδείαν ἀνθρώπων καὶ πρὸς ἀποφυγὴν ἀσεβείας. ἡ μὲν D γὰρ εὐταξία τῶν ποιημάτων τὸν δημιουργὸν εἴωθε κηρύττειν, ἡ δὲ ἀταξία τὴν προσκύνησιν τῶν κτισμάτων ἀπαιτεῖ. εἰ γὰρ ἦν θεῖόν τι καὶ σεβάσμιον ὁ ὄμβρος, ἢ τὰ πνεύματα, οὐκ ἂν ἠτάκτει. τὸ γὰρ θεῖον ἀταξίαν οὐκ ἐπιδέχεται. διὰ τοῦτο λέγουσι, πᾶς ὄμβρος, καὶ δρόσος, καὶ πάντα τὰ πνεύματα τὸν Κύριον. προσεκυνήθησαν καὶ ὄμβροι, καὶ ἄνεμοι, οἱ μὲν ὡς τροφεῖς, οἱ δὲ ὡς γεωργοὶ τῆς γῆς τῶν καρπῶν. προσεκυνήθη δὲ ἡ γῆ καὶ οἱ ταύτης καρποὶ διαφόροις δαί- E μοσιν προσκληρωθεῖσα. τὴν μὲν ἄμπελον εἰπόντες δῶρον Διονύσου, τὴν ἐλαίαν τῆς Ἀθηνᾶς· καὶ ἄλλου ἄλλοι καρποί. καὶ τοῦτο ὁ αὐτὸς λόγος τῆς ἀληθείας ἀσφαλιζόμενος, φησίν, εὐλογεῖτε πάντα τὰ φυόμενα ἐν τῇ γῇ τὸν Κύριον. αὐτὸς γάρ ἐστι πάντων τῶν φυέντων καὶ τῶν φυομένων δημιουργὸς καὶ δεσπότης· εἶτα μετὰ τοῦτο ὄρη καὶ βουνοί. ἆρ' οὖν ἐκτός εἰσι τὰ ὄρη καὶ οἱ βουνοί; οὐδαμῶς· ἀλλ' ἐπειδὴ ἐν τοῖς βουνοῖς τὰ τῶν δαιμόνων μιαρὰ κατεσκεύαζον· κἀκεῖ τὰ ἀγάλματα προσεκύνουν.

Deus. Quod ſi imperfecti argentum ſunt reprobum, haud dubium quin perfecti argentum ſint probatiſſimum: quantum enim fornax ſuccendebatur, tantum martyrii deſiderium exardeſcebat. Ingreſſi enim tres hi pueri cum fide flammam calcabant, ac tenuem roſcidumque aërem in mediis ipſis vaporibus ignis reſpirabant. Etenim is qui cuncta condit, & immutat, calorem ignis retundebat, ejusque vim urendi frangebat, ut veram illam eſſe Pſalmi vocem miraculum declararet, *Vox Domini intercidentis flammam ignis.* Pſal. 28. 7. Atque ignis quidem intus ſopitus erat & quietus, ſancti vero pueri choreas agebant, illam propemodum promiſſionem adepti, quam per Eſaiam Prophetam omni animæ pietate fideque plenæ promittit: *Et ſi tranſieris,* inquit, *per ignem, tecum ſum, & flamma non exuret te.* Eſa. 43. 2. Ac videre erat ad effectum perductam promiſſionem: non enim ſanctorum membra tangebat ignis, non oculos qui ad pietatem recta Prov. 4. 25. videbant, incendebat, quique ex eorum quæ cernebant, ornatu mundi opificem agnoſcebant: non aures divina lege completas violavit: non ad os acceſſit, neque labra contigit, quod eorum linguas hymnos concinentes hymnosque componentes revereretur. Singula membra ſanctorum, ſuo præſidio munita erant: manus inter orandum, extenſione & eleemoſynarum diſtributione; pectora, inſidente illis pietatis virtute; venter & ea quæ ſub ventre ſunt membra, exercitatione continentiæ; pedes, curſu virtutis. Et quid ſingulis commemorandis opus eſt immorari? ne capillos quidem auſus eſt ignis contingere: quòd illi pietate magis quàm tiara tecti eſſent: veſtibus demum ob ſanctorum honeſtatem pepercit. Itaque poſt hæc igni jubet Deus ut Chaldæos invadat: & ne magicas præſtigias arbitrantes efficacitatem ignis debilitaſſe, martyrum gloriam obſcurarent, & veritatis miraculum calumniando traducerent, idcirco illi quidem intus quieſcebant, ignis autem foris Chaldæos abſumebat, ut cernentibus certè perſuaderet ſe in ſanctis non ſuam ignoraſſe naturam, ſed religionem eſſe veneratum: quemadmodum in lacu Danielem leones. Sic Angelicam inde choream inſtituerunt, Deumque beatiſſimi pueri collaudarunt, & omnem creaturam tum eam quæ ſupra mundum ſita eſt, tum eam quæ oculis cernitur ad unius hymni chorique conſortium invitarunt. Sed ne illud quidem indiſcuſſum prætermitti par eſt, qua de cauſa non univerſam ſimul creaturam expreſſerint, ſed per partes res creatas indicarint. Sufficiebat ſanè, quantum attinet, dixiſſe, Benedicite omnia opera Domini Domino: ſed quoniam in regione impiorum magnum hoc pietatis theatrum erat congregatum, edoceri Babylonios oportebat, quænam creaturæ ſint, & quis univerſorum creator. Atque ab Angelis quidem incipiunt, in homines autem deſinunt. Æſtimati ſunt Dii Angeli: & fabulis proditum eſt apud Græcos: hos quos adoramus, inquiunt, Deos, Angelos eſſe magni Dei. Ut enim docerentur inſipientes, non inter eos qui adorantur, ſed inter eos qui adorant, Angelos eſſe numerandos, propterea clamant, Benedicite Angeli Domini Domino. Adoratus eſt Sol, & Luna, & omnis turba ſtellarum, propterea illas quoque ad hymnorum adorationem aſſumunt. Benedicite, inquit, Sol, & Luna, benedicite ſtellæ cæli Domino, Deinde poſt hæc, omnis imber & ros, Domino. Quid ergo ſibi velit illud, omnis imber & ros, & omnis ſpiritus, operæ pretium fuerit expendiſſe. Sæpenumero accidunt ſiccitates, ac ventorum impetus intempeſtivi: ſolent autem auctores mendacii, & qui vanitate delectantur, materiæ cuipiam, & confuſionis vitio cuncta aſcribere, neſcientes nihil abſque certa cauſa vel temere fieri: ſed hæc omnia Deum moderari, tum ut homines erudiantur, tum ut impietatem evitent. Nam creaturarum quidem aptus ordo creatorem ſolet prædicare, confuſio verò adorationem creaturarum ſecum trahit. Si enim imber aut ſpiritus divinum quid ac veneratione dignum eſſent, inordinata non eſſent: numen quippe ordinis perturbationem non admittit; propterea dicunt, Omnis imber & ros, & omnes ſpiritus Domino. Adorati ſunt etiam imbres, & venti, illi quidem ut alumni, hi verò ut terræ fructuum cultores: adorata eſt terra, ipſiusque fructus diverſis dæmonibus ſunt attributi: ac vitem quidem Bacchi donum, oleam autem Minervæ, & alios fructus alterius eſſe dicebant. Et hoc ipſum idem ſermo veritatis confirmans ait, Benedicite omnia germinantia in terra Domino. Ipſe enim omnium quæ producta ſunt, quæque germinant, creator eſt & Dominus. Deinde poſt iſtud, montes & colles. Num igitur extra terram ſunt montes & colles? Minimè verò; ſed quoniam in montibus collibusque dæmonum abominationes perpetrabantur, ibique ſimulacra colebantur,

propterea dicit, Benedicite montes & colles Domino. Veruntamen A facta collium mentione, fontium quoque ac fluviorum, & maris meminit: nam & ipſi Deorum in numerum ſunt relati, & Nymphas appellarunt, hoc eſt fontes, Neptunum mare, Sirenas quaſdam & Nereidas. Fluvios autem adoratos eſſe res Ægyptiorum in hunc usque diem teſtantur: aſcenſui Nili ſacrificabant, non quòd Deum ipſum propter rem creatam laudarent, ſed quòd aquam ipſam tanquam Deum venerarentur: idcirco & fluvios, & fontes, & mare, ad canendum invitant. Deinde poſt illa, volucres B cœli, & feras, & jumenta; nam ne hæc quidem extra numerũ fuerunt eorum quæ in Deos relata ſunt. Siquidem aquila colebatur & accipiter; & feras ac jumenta Ægyptii Deorum etiam appellatione decorarunt: tantumque invaluit error ac ſuperſtitio, ut ab animalibus etiam, quæ colebantur, civitatibus nomen imponerent: & nominatur apud ipſos Cynon, Probaton, Lycon, & Leonton. Verùm poſt hæc omnia, profertur in medium deinceps genus humanum. Benedicite, inquit, filii hominum Domino. Po- C ſtremo loco ponitur humanum genus, non dignitatis ordine, ſed creationis. Benedicite Iſrael Domino, quod erat hominum genus peculiare, qui in terris verſabantur; hoc igitur profert in medium, tamque multas in hac natione ſubjicit hominum varietates. Et Domini ſacerdotes profert, ad eorum qui falſo Dei appellantur, arguendos ſacerdotes; deinde ait, Servi Domini: tum ne illi qui antè deceſſerant, ab hoc alieni eſſe choro viderentur, cum vivis eos enumerant apud Deum, dum inquiunt, Benedicite ſpiritus & ani- D mæ juſtorum Domino; deinde, Sancti & humiles corde Domino. Quid, ita ſanctorum & humilium meminit? ut ſuperbis reſiſtere Deum oſtendat, humilibus autem gratiam dare, atque arrogantes extra fornacem exuſſiſſe, ſanctos & humiles ignis in medio conſervaſſe. Quapropter cum ſanctis ignis exultavit: nam ipſe quoq; cum omnibus creatorem juſſus eſt collaudare, Benedicite ignis, & æſtus Domino: ut doceantur Babylonis magi, apud quos colitur ignis, non eum ex numero eorum eſſe, quæ adorantur, ſed quæ adorant. E Verum enim vero ad extremum gradu facto finem dicendi faciamus. Benedicite, inquit, Anania, Azaria, Miſaël, Domino. quid igitur prodeſt, quòd tot ordinibus enumeratis in poſtremum ipſi nomine proprio ſint relati? Num enim inter filios Iſrael erant, qui Benedicerent? num inter Domini ſervos numerati erant, cum dicerent, Benedicite ſervi Domini Domino? vel cùm ſancti & humiles corde, nonne inter ſanctos recenſiti? quid ergo ſibi vult illud additamenti. Benedicite Anania, Azaria Miſael, Domino? At A enim quia ſupra naturam erat res illa, quia naturam humanam excedebat; (ſiquidem in corpore fornacem ingreſſi calcaverant;) ne quis eorum, qui ſeducti erant, propter miraculi novitatem appellare Deos ipſos auderet, & adorare multo juſtiùs, utpote à quibus ſuperatus ignis fuiſſet; ut ne quid tale ſpectatoribus eveniret, idcirco ſuam indicant ſervitutem, ſeque adorare confitentur dicentes, Benedicite Anania, Azaria, Miſael, Domino. Fertur etiam Danielem propterea minimè ſiviſſe Deum ad hoc mar- B tyrium aſſumi. Nam quia ſomnium Regi expoſuerat, & ab ipſo Rege divinis honoribus affectus erat, ac Baltaſar Dei nomine appellatus, qui apud Perſas colebatur, ne propter impoſitum illi Baltaſaris nomen repreſſa vis ignis cenſeretur, providit Deus, ut ne Daniel in medium produceretur, ut ſincerum eſſet miraculum pietatis. Atque hæc quidem hactenus; nobis autem contingat, precibus ac patrociniis eorum qui martyrium ſunt paſſi, ut eodem zelo ſuccenſi iiſdem laudibus affici mereamur, idemque regnum C conſequamur gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria & imperium in ſecula ſeculorum, Amen.

A διὰ τοῦτό φησιν, εὐλογεῖτε ὄρη καὶ βουνοὶ τὸν Κύριον. ἀλλ' ὅμως μνημονεύσας τῶν βουνῶν, μέμνηται καὶ τῶν πηγῶν, καὶ ποταμῶν, καὶ θαλάσσης· καὶ γὰρ αὗται ἐθεοποιήθησαν καὶ νύμφας ἐκάλεσαν, τὰς πηγάς· Ποσειδῶνα τὴν θάλασσαν, Σειρῆνάς τινας καὶ Νηρηίδας. ὅτι δὲ καὶ ποταμοὶ προσεκυνήθησαν, μαρτυρεῖ τὰ ἐν Αἰγύπτῳ μέχρι τοῦ δεῦρο· ἔθυον τῇ ἀναβάσει τοῦ Νείλου, οὐ θεὸν αὐτὸν ἐπὶ τῇ φύσει θαυμάζοντες, ἀλλ' αὐτὸ τὸ ὕδωρ ὡς θεὸν θεραπεύοντες. διὰ τοῦτο B καὶ ποταμοὺς, καὶ πηγὰς, καὶ θάλασσαν εἰς τὴν ὑμνῳδίαν καλοῦσιν. εἶτα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ κτήνη· οὐδὲ γὰρ ταῦτα θεοποιίας ἐκτός· καὶ γὰρ ἀετὸς προσεκυνεῖτο, καὶ ἱέραξ· καὶ τὰ θηρία καὶ τὰ κτήνη καὶ τῇ τῶν θεῶν προσηγορίᾳ τετιμήκασιν Αἰγύπτιοι· καὶ τοσοῦτον ἴσχυσεν ἡ πλάνη, ὅτι καὶ ἀπὸ τῶν προσκυνουμένων ζώων καὶ τὰς πόλεις ὠνόμασαν· καὶ λέγεται παρ' αὐτοῖς Κυνῶν καὶ Προβάτων καὶ Λύκων, καὶ Λεόντων. ἀλλὰ μετὰ ταῦτα πάντα παράγεται λοιπὸν τὸ ἀνθρώπινον C γένος, εὐλογεῖτέ φησιν υἱοὶ τῶν ἀνθρώπων τὸν Κύριον. τελευταῖον τάσσεται τὸ ἀνθρώπινον γένος, οὐ κατὰ τὴν ἀξίαν, ἀλλὰ διὰ τὴν δημιουργίαν. εὐλογεῖτε Ἰσραὴλ τὸν Κύριον· ὅπερ ἦν τὸ ἐπὶ τῆς γῆς ἀνθρώπων ἐξαίρετον γένος. τοῦτο τοίνυν παράγει, καὶ τὸ κτίσμα ταῦτα ἐν τῷ ἔθνει πολλὰς ἐκτίθεται διαφορὰς, καὶ παράγει τοὺς ἱερέας τοῦ Κυρίου εἰς ἔλεγχον τῶν ἱερέων τῶν ψευδωνύμων θεῶν. εἶτά φησι δοῦλοι Κυρίου. εἶτα ἵνα μὴ δόξωσιν οἱ προελθόντες ταύτης τῆς χορείας ἀλλό- D τριοι εἶναι, μετὰ τῶν ζώντων αὐτοὺς ἀριθμοῦσιν παρὰ τῷ θεῷ, λέγοντες· εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ τῶν δικαίων τὸν Κύριον· εἶτα, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον. διὰ τί ὁσίων καὶ ταπεινῶν μέμνηται; ἵνα δείξῃ, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάττεται, τοῖς δὲ ταπεινοῖς, χάριν δίδωσι· τοὺς ἀλαζόνας ἔξω τῆς καμίνου κατέφλεγε, τοὺς ὁσίους καὶ ταπεινοὺς ἐν μέσῳ τοῦ πυρὸς διεφύλαξεν. διὸ καὶ συνεχόρευσεν τοῖς ἁγίοις τὸ πῦρ. μετὰ γὰρ πάντων καὶ αὐτὸν ὑμνεῖν προσετάχθη τὸν δημι- E ουργὸν, εὐλογεῖτε πῦρ καὶ καῦμα τὸν Κύριον. ἵνα παιδευθῶσιν οἱ Βαβυλώνιοι μάγοι, παρ' οἷς τιμᾶται τὸ πῦρ, ὅτι τοῦτο οὐκ ἔστι τῶν προσκυνουμένων, ἀλλὰ τῶν προσκυνούντων. ἀλλ' ὅμως ἐπὶ τὸ τελευταῖον ἐλθόντες καταπαυσώμεθα τὸν λόγον. εὐλογεῖτέ φησιν Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν Κύριον. τίς ἡ χρεία τούτων ταγμάτων ἠριθμημένων τῷ τελευταίῳ αὐτοὺς ὀνόματι προστεθεῖσθαι; αὐτοὶ γὰρ οὐκ ἦσαν ἐν τοῖς υἱοῖς Ἰσραὴλ εὐλογήσαντες; αὐτοὶ οὐκ ἦσαν τοῖς δούλοις A τοῦ Κυρίου συνηριθμημένοι ὅτε ἔλεγον, εὐλογεῖτε δοῦλοι Κυρίου τὸν Κύριον; ἢ ὅτε ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ. οὐκ ἦσαν ἐν τοῖς ὁσίοις ἠριθμημένοι; τί οὖν βούλεται τὸ ἐκ προσθήκης, εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν Κύριον; ἀλλ' ἐπειδὴ ὑπερφυὲς ἦν θαῦμα, ἐπειδὴ παρὰ φύσιν ἀνθρωπίνην [ἐν σώματι γὰρ τὴν κάμινον εἰσελθόντες κατεπάτησαν] ἵνα μή τις τῶν πεπλανημένων διὰ τὸ ξένον τοῦ θαύματος θεοὺς αὐτοὺς προσειπεῖν τολμήσειε, καὶ προσκυνεῖν B οὕτω μᾶλλον δικαίως ἢ τὸ πῦρ, τοὺς τοῦ πυρὸς περιγενομένους. ἵνα μηδὲν τοιοῦτο πάθωσιν οἱ βλέποντες, διὰ τοῦτο μηνύουσι τὴν ἑαυτῶν δουλείαν, καὶ ὁμολογοῦσι τὴν προσκύνησιν, λέγοντες, εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν Κύριον. λέγεται δὲ, ὅτι τὸν Δανιὴλ ὁ Θεὸς διὰ τοῦτο οὐ συνεχώρησεν εἰς τὸ μαρτύριον τοῦτο παραληφθῆναι. ἐπειδὴ γὰρ τὸ ὄναρ τοῦ βασιλέως ἡρμήνευσε, καὶ ὡς Θεὸς ὑπ' αὐτοῦ τοῦ βασιλέως προσεκυνήθη, καὶ ἐκλήθη Βαλτασὰρ τῷ ὀνόματι τοῦ Θεοῦ C τοῦ παρὰ Πέρσαις, ἵνα μὴ νομισθῇ διὰ τὸ ἐπικείμενον αὐτῷ ὄνομα τοῦ Βαλτασὰρ πεπαῦσθαι τοῦ πυρὸς τὴν ἐνέργειαν, οἰκονομεῖ Θεὸς μὴ παραχθῆναι τὸν Δανιὴλ εἰς μέσον, ἵνα ἀκέραιον ᾖ τῆς εὐσεβείας τὸ θαῦμα. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. εἴη δὲ ἡμᾶς εὐχαῖς καὶ πρεσβείαις τῶν μαρτυρησάντων τὸν αὐτὸν ζῆλον ἀναλαβόντας τῶν αὐτῶν ἐπαίνων ἀξιωθῆναι, καὶ τῆς αὐτῆς βασιλείας τυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

De Sigillis librorum: deinde quomodo filius offerat Patri, & Pater Filio: tum verò de Servatoris œconomia: ORATIO. D

JOAN. JACOBO BEURERO Interprete.

SAcræ literæ magnum quoddam viaticum ad animi ſalutem ſunt. Ferrum quidem ferro acuitur, ſed ex divinis literis petita doctrina animum acriorem reddit: & pane quidem corpus E alitur: ſed animus divina doctrina fulcitur: non aliter atque beatus Moſes, quum quanta vis ſacris literis ineſſet, ad alendum animos noſtros oſtendere vellet: *Non in ſolo pane*, inquit, *vivit homo, ſed ex omni verbo quod exit de ore Dei.* Itaque animi cibus verbum Dei eſt. Nam quid ei, qui ad exemplar verbi, per quod mundus factus & conditus eſt: &, qui ſumma ratione ornatus, & rationis libertate

Deut. 8, 3

Εἰς τὰς σφραγῖδας τῶν βιβλίων, καὶ ὅπως προσφέρει ὁ υἱὸς τῷ πατρὶ, καὶ ὁ πατὴρ τῷ υἱῷ, καὶ εἰς τὴν τοῦ Σωτῆρος οἰκονομίαν.

ΜΕγα τὸ ψυχῆς ἐφόδιον εἰς σωτηρίαν τὰ ἱερὰ μαθήματα. σίδηρος μὲν γὰρ σίδηρον ὀξύνει, λόγος δὲ θεῖος ψυχὴν ἀκονᾷ· καὶ ἄρτῳ μὲν σῶμα τρέφεται, λόγῳ δὲ θείῳ ψυχὴ στηρίζεται· καθὼς ὁ μακάριος Μωϋσῆς τρόφιμον τῆς θείας διδασκαλίας ὑποδεικνύμενός φησιν, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. τροφὴ τοίνυν ψυχῆς λόγος Θεοῦ. τῇ γὰρ κατ' εἰκόνα τοῦ κοσμοποιοῦ γενομένῃ λόγου, καὶ λόγῳ τετιμημένῃ, καὶ λογικῆς ἐλευθερίας ἠξι-

ἠξιωμένη, ἢ ἐν οἰκειότερον γένοιτο λόγου τρέφοντος αὐτὴν, καὶ παιδεύοντος, καὶ πρὸς τὸ οἰκεῖον ἀξίωμα ταχέως ἐπανάγοντος; λόγον δὲ, ἀδελφοί, φαμὲν ἡμεῖς οὐ τὸν σοφιστικῇ δεινότητι κεκομψευμένον εἰς πιθανότητα· ἀλλὰ τὸν ἁπλότατον πίστεως, μεμαρτυρημένον εἰς ἀλήθειαν. νόθον γὰρ ἡγεῖσθαι δεῖ πᾶσαν ἀρετὴν, καὶ βίου, καὶ λόγου, ἥτις μὴ παρὰ τοῦ θείου διδασκάλου τὰς ἀπαρχὰς ὑπεδέξατο, καὶ καθ᾽ ὅσον σκιὰ σώματος, καὶ ὄναρ τῆς ἀληθείας ἀπέχουσι, τοσοῦτον διέστηκε τῆς ἀληθινῆς τοῦ Θεοῦ σοφίας ἡ νομιζομένη τοῦ κόσμου σοφία. ὅθεν καὶ ὁ μακάριος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁπότε μὲν ἐξῆλθεν κακῶς ἐπὶ θήρᾳ τῶν ἁγίων, θηραθεὶς δὲ καλῶς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, διαρρήδην περὶ τὸ νόθον τὶ σιδῶν καὶ ἀληθῆ λόγον ἀντεισάγων ἔλεγε· Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, ἀλλὰ Θεοῦ σοφίαν ἐν μυστηρίῳ. Σοφία τοίνυν ἡμῶν ἡ προφητικὴ γλῶττα, καὶ ἀποστολικὴ διδασκαλία, καὶ τὸ εὐαγγέλιον τῆς βασιλείας ἡ κορυφὴ τῆς λογικῆς ἐξουσίας. εὐαγγέλιον δὲ, ἀδελφοί, ὅταν ἀκούσωμεν, ἀξίαν τῆς προσηγορίας τὴν ἔννοιαν ἀναλάβωμεν. πολλοὶ γὰρ πολλάκις τῇ συνηθείᾳ τῶν ὀνομάτων ἐμμελετήσαντες, τὴν δύναμιν αὐτὴν τῶν πραγμάτων ἠγνόησαν. ἔστι δὲ εὐαγγέλιον ἑρμηνεία τοῦ πράγματος. εὐαγγελίζεται γὰρ ἡμᾶς τὴν πολυύμνητον τοῦ Σωτῆρος οἰκονομίαν, ὅτι Θεὸς ἐν ἀνθρώποις ἐγένετο διὰ φιλανθρωπίαν, οὐ τὴν προαιώνιον ἀξίαν προαποθέμενος, ἀλλὰ τὴν σωτήριον οἰκονομίαν ἐνδυσάμενος. εὐαγγελίζεται ἡμᾶς τὸ εὐαγγέλιον, ὅτι τοῖς κάμνουσιν ἰατρὸς ἐπεδήμησεν, οὐ φαρμάκοις θεραπεύων, ἀλλὰ νεύματι φιλανθρωπίας ἰώμενος. εὐαγγελίζεται ἡμᾶς, ὅτι τοῖς πεπλανημένοις ὁδὸς ἀνεδείχθη, τοῖς ἐσκοτισμένοις τὸ φῶς ἔλαμψε, τοῖς ἀπεγνωσμένοις ἡ σωτηρία. ἐπειδὴ γὰρ νόμῳ παιδευθέντες οὐκ ἐπεστράφημεν, καὶ προφητείαις ὁδηγηθέντες οὐκ ἀνεκλήθημεν πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἐκινδύνευε τῇ ἡμετέρᾳ ἀγνωμοσύνῃ φθαρῆναι τὰ πάντα, καὶ λυθῆναι τὰ ἀνθρώπινα, ὡς εἶδεν ἡμᾶς ἡ τοῦ Θεοῦ φιλανθρωπία, καὶ πρὸς τὴν τοῦ νόμου παιδείαν ἀπειρηκότας, καὶ πρὸς τὴν τῶν προφητῶν ὁδηγίαν ἐκλάσαντας, ἀγαθότητι πολλῇ καὶ ἀμέτρῳ τὴν ἀγνωμοσύνην ἐνίκησε, καὶ τὸ εὐαγγέλιον τῆς βασιλείας, οἷόν τινα βασιλικὴν δωρεὰν εἰς πᾶσαν προθεὶς τὴν οἰκουμένην, πάντα τοῖς ἀναξίοις ἐχαρίσατο διὰ φιλανθρωπίαν. προῆλθε γοῦν ἡ Σωτῆρος χάρις διαφόρως πάντας εὐεργετοῦσα, τοὺς δούλους ἐλευθεροῦσα, τοὺς πτωχοὺς πλουτίζουσα, τοὺς ἐξορίστους ἀνακαλουμένη, τοὺς αἰχμαλώτους ἐξαγοράζουσα, πάντα τοῖς πᾶσι γενομένη. οὐ διὰ τὴν ἡμετέραν ἀξίαν, ἀλλὰ διὰ τὴν αὐτῷ τῷ εὐεργέτῃ πρέπουσαν ἀγαθότητα. ὡς ἁπλοῦς ὢν τὴν φύσιν, καὶ ἀμερὴς, καὶ ἀσχημάτιστος, αὐτὸς Θεὸς ἐκ Θεοῦ, εἰκὼν τοῦ ἀοράτου, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, διαφόρους ἐνδύεται προσηγορίας, οὐ πρὸς τὴν φύσιν ἁρμοζούσας, ἀλλὰ τῇ εὐεργεσίᾳ πρεπούσας. ἐπειδὴ γὰρ πάντα διέπεσε τὰ ἀνθρώπινα, εἰς ἑαυτὸν ἀναλαμβάνει τὰ πάντα οἰκειότητι, τῇ τὰ πάντα ἀνακαινιζούσῃ χάριτι τὰς προσηγορίας [illegible]. λιμὸς ἦν πολὺς, λιμὸς θείου λόγου, λιμὸς ὃν ἠπείλησεν ὁ Θεὸς τῇ συναγωγῇ, λέγων· ἀποστελῶ αὐτοῖς οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγου Κυρίου. ἐπεὶ οὖν ἤδει πεινῶσαν τὴν οἰκουμένην, καὶ λιμῷ φθειρομένην· [ὃ γάρ ἐστιν ἀτροφία τῷ σώματι, τοῦτο ἀπαιδευσία τῇ ψυχῇ.] βοᾷ διὰ τῶν εὐαγγελίων ἡ πηγὴ τῶν ἀγαθῶν· ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. ὁ μὲν γὰρ αἰσθητὸς ἀπὸ γῆς προέρχεται, κατὰ τὸ εἰρημένον, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. ὁ δὲ οὐράνιος ἐξ οὐρανῶν πηγάζει. ἐγὼ γάρ εἰμι ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβάς. ἔρημος ἦν ἡ γῆ διψῶσα, καὶ ἐστερημένη τοῦ θείου λόγου, καὶ οὐκ ἔχουσα τῆς πνευματικῆς ἀρδείας τὴν ἀπόλαυσιν. ἡ οὖν ἡ αὐτὴ πάλιν χάρις βοᾷ τὴν εὐεργεσίαν πηγάζουσα, εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ἐπειδὴ γὰρ διαφόρως ἐβόησαν οἱ προφῆται, καὶ πᾶς ὁ τῶν ἁγίων χορὸς ἐδίψα αὐτοῦ τὴν παρουσίαν, λέγων, ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· βουλόμενος δεῖξαι ὅτι αὐτός ἐστιν ὃν ἐδίψων οἱ προφῆται, βοᾷ διὰ τῶν εὐαγγελίων, εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. εἴ τις ἐστὶ κατὰ τὸν λέγοντα· ἐδίψησέ σε ἡ ψυχή μου, ἐρχέσθω πρός με. εἶδε πάλιν τὴν οἰκουμένην γυμνὴν οὐ τῷ σώματι γυμνὴν, ἀλλ᾽ ἀρετῆς γεγυμνωμένην. εἶδε τὸ πλάσμα ὃ ἔπλασεν, καὶ ἠλέησεν ὃ ἐποίησε, καὶ δίδωσιν ἔνδυμα τοῖς γυμνοῖς, αὐτὸς ἑαυτόν. καθὼς καὶ ἤδη πρότερον ἔφθημεν εἰπόντες ποτέ· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. πεπλάνητο ἡ γῆ ὁδὸν ζητοῦσα, καὶ μὴ εὑρίσκουσα. πᾶσα γὰρ ψυχὴ ἔχει ἐν ἑαυτῇ τὸ σπέρμα τῆς θεολογίας, καὶ ἔχουσα οὐκ ᾔδει πῶς θηρᾶται τὸ ποθούμενον. ἐπειδὴ οὖν οὐχ εὕρισκον ὁδὸν οἱ πεπλανημένοι· ἐγώ εἰμι, φησὶν, ἡ ὁδός· ἀλλὰ νεκρὸς εἶ· ἐγώ εἰμι ἡ ἀνάστασις· ἀλλ᾽ ἀσθενὴς εἶ χειραγωγίας

A præditus eſt, magis conveniat, quàm ea doctrina, quæ ipſum alit, & inſtituit, quæque ad verum & germanum dignitatis gradum quàm primum reducit? Orationem autem, fratres, nos dicimus, non quæ Sophiſtico quodam artificio compta fucataque ſit, ſed ſimpliciſſimam, fide & veritate conteſtatam, orationem intelligimus. Spuria enim, & adulterina omnis & vitæ & orationis, virtus exiſtimanda eſt, quæ non à divino quodā magiſtro primitias acceperit: & quantum umbra à corpore, & ſomnium à rei veritate differt, tantum in B vera Dei ſapientia, & quæ putatur mundi ſapientia. Hinc etiam (Act. 9, 15.) beatus Paulus, vas illud electionis, qui aliquando quidem, ut ſanctos perſequeretur, profectus fuerat; ipſe autem ob hominum ſalutem præclarè captus eſt; veritatis doctrinam, in locum ſpuriæ & impiæ introducens dixit: *Sapientiam autem loquimur inter perfectos: ſapientiam non hujus ſeculi, ſed Dei ſapientiam in myſterio.* (1. Cor. 2, 26.) Ergo noſtra ſapientia prophetica ſunt oracula, doctrina Apoſtolica: Et Evangelium regni, excellentia, & faſtigium illud orationa- C lis noſtræ facultatis. Evangelium verò cùm nominari audimus, fratres, dignum etiam hac voce ſenſum animo concipiamus. Permulti enim frequenti uſu & aſſiduitate, ejuſmodi vocabulis aſſueti, vim rerum ipſarum non intellexerunt. Evangelium verò nobis rem quandam & factum notat & interpretatur. Prædicat enim nobis œconomiam Servatoris, omnibus celebrandam: quòd Deus inter homines, hominum gratia ſit verſatus: nequaquam ea dignitate quam ab æterno habuit à ſeſe abdicata, ſed ſalutis noſtræ D œconomia ſuſcepta. Evangelium nobis annuntiat, quod ille morbo laborantibus medicus extiterit, non qui pharmacis ipſos curaret, ſed nutu humanitatis perſanaret. Evangelium nobis prædicat, errantibus ipſam viam demonſtratam eſſe: occæcatis enim lux affulſit, & deſperatis ſalus. Poſteaquam enim lege eruditi non reſipuimus; & Propheticis oraculis inſtituti & confirmati, ad cognitionem veritatis revocati non ſumus: & periculum eſſet, ne noſtra obſtinatione, & præfractis animis omnia peſſum irent, omniaq; E humana everterentur: ubi amor hominum, humanitas Dei, nos ad divinas leges animum deſpondiſſe, & Prophetarum inſtitutione fractos debilitatóſque eſſe animadvertit: magna ſua bonitate, & tantum non immenſa, ingratitudinem iniquitatemque animorum noſtrorū vicit: Evangelium regni, ceu regium quoddam munus, toti terrarū orbi promulgavit: omniaque ob ſuam benignitatem, etiam indignis largitus eſt. Itaque Servatoris illa gratia promulgata eſt, qua omnes aliis atque aliis beneficiis afficit, ſervos quidem liber- A tate donat, pauperes ditat, exules reducit, captivos redimit, omnibus omnia facta eſt. Non certè, quia nos digni eſſemus, ſed propter eam bonitatem quæ beneficum Deum decebat. Qui cùm (Heb. 1, 3.) ſimplex ſit natura & impartibilis, quique figura nulla conformari poſſit: Deus de Deo, imago inviſibilis, *ſplendor gloriæ, & character ſubſtantiæ*, diverſis tamen appellationibus notatus: non quæ ipſius naturæ conveniant, ſed quæ beneficentiam deceant. Cùm enim humana omnia jam collapſa eſſent, ipſe in ſeſe omnia pro- B prietate quadam ſuſcepit: & ea gratia, qua omnia inſtaurabat, diverſas illas appellationes ſortiebatur. Fames erat magna, fames verbi divini: fames, quam Deus ſynagogæ comminatus, dum ait: *Mittam ipſis non famem panis, neque ſitim aquæ ſed famem audiendi verbum Domini.* (Amos 8, 11.) Cùm totum terrarum orbem fame laborare, conſpexit, & fame intabeſcere (quod enim eſt tabes in corpore, hoc inſcitia & ruditas in animo.) Fons ille bonorum in Evangelio exclamat: *Ego ſum panis vivus qui de cælo deſcendi: & dans* (Pſal. 103, 16.) C *vitam mundo.* Panis enim ille, qui ſenſu percipitur, ex terra prodit, ut eſt apud Prophetam: Ut educas panem de terra. (Ioan. 6, 33.) Cœleſtis autem ille è cœlis, ceu fonte manat. *Ego enim ſum panis, qui de cælo deſcendi.* Solitaria erat terra & ſiccitate laborabat, deſtituta verbo divino: nec ſpirituali illa irrigatione lætè fruebantur. Itaque eadem illa gratia rurſus exclamat, beneficentiam uberrimè aperiens: *Siquis ſitit, veniat ad me & bibat.* (Ioan. 7, 37.) Diſſimiliter ſiquidem & Prophetæ, & totus Apoſtolorum chorus clamabant, D & ipſius adventum maximo cum deſiderio expetebant: *Deus, Deus meus ad te de luce vigilo.* (Pſal. 62, 1.) Sitivit anima mea ad Deum vivum. Ergo cùm vellet demonſtrare ſe illum eſſe, quem Prophetæ ſummopere exoptabant, Evangelica voce exclamat: *Siquis ſitit, ad me veniat, & bibat.* (Ioan. 7, 37.) Si quis eſt ea cupiditate, quam ille exprimit, cum ait: Sitivit in te anima, veniat ad me. Rurſus orbem ille terrarū nudū conſpexit, nō quidem corpore nudū, ſed virtute deſtitutū: vidit figmentum, quod ille finxit, & quod fecit, miſeratus eſt: & nu- E dis veſtem, nempe ſeipſū impertit: Quandoquidem jā antea à nobis aliquando dictū fuit: *Quicunque in Chriſtum baptizati eſtis, Chriſtum induiſtis.* (Gal. 3, 27.) Erraverat totus terrarum orbis, viam inveſtigabat, nec tamen reperiebat. Omnis enim anima ipſa in ſe ſemina doctrinæ de Deo complectitur: & licet in ſeſe contineret, neſciebat tamen quomodo quod tantopere expetebat, inveſtigaret. Ergo cum hinc (Eſa. 7.) inde aberrarent, nec unquam viæ inſiſterent: Ego ſum, inquit, via. At enim mortuus es? Ego, inquit, ſum reſurrectio: ſed imbecil-

I 3 lis

Pſal.22, 4. lis es, & aliquo qui te ducat, indiges. Ego, inquit, virga de radice A
Jeſſæ quæ fulciat, & ſuſtentet imbecilles. De qua David: *Virga*
tua & baculus tuus ipſa me conſolata ſunt. Quare virga? quare bacu-
lus? Quia omni ætati inſerviunt: juvenes quidem caſtigat, ſenes
fulcit. Sed ô Domine, famelicum me paviſti: ſitientem potaſti:
nudum veſtiſti, errantem deduxiſti: imbecillum baculo firmaſti:
ad te viam, te duce: cum perveniſſem, veſtigia pietatis deprehendi.
Joh.10, 9. Veritatis januam quæro: quis eſt qui monſtret? *Ego ſum oſtium,*
per me quisque ad Patrem ingreditur. Per te. Quid ita? Porta B
enim ſum ſalutis aperta, quam beatus David quærit:
quum autem de compluribus cogitaſſet, tandem unica inventa,
Pſ.117, 19. primum quidem dicit: *Aperite mihi portas juſtitiæ, ingreſſus in*
ipſas, confitebor Domino. Poſtquam verò voti compos eſt factus,
& quod minimè expectaſſet, non multas, ſed unam tantùm inve-
nit, ſuam ipſius vocem correxit, dum inquit: *Hæc eſt porta Do-*
mini, juſti per eam intrabunt. Deinceps prophetica viſione &
animi deſiderio totus ingreſſus, & quaſi in regia ipſa conſtitutus: C
Confitebor tibi, inquit, quod exaudiſti me. Dic ô Propheta &
Theologe, confiteris & gratias agis Deo? quid igitur dignum tua
expectatione tibi obtigit? qui enim expetunt regiam ingredi, illi
putant fore, ut oculos ſuos illius apparatus & auri reſplendeſcentis
conſpectu exſatient: item marmoris nitidi, variorum florum, di-
vitiarum, ſatellitii, quod circa regem ſit, ſolio regio, muneribus
regum. Hæc cum unusquisque libenter & cupidè ſpectet, regiam
luſtrare cupit, a omnique impetu eò fertur. Tu verò quid deſide- D
ras eorum quæ ingreſſus per portam, inveniſti? Pro qua tandem re
ei gratias agis? Quid tanti momenti deprehendiſti? Quid tanta
cupiditate dignum inveniſti? Explica nobis deſiderium tuum: ne
quando Judaica impudentia veritatem ſugillet & carpat: quid
inveniſti? quid prædicas nobis, quid admiraris & ſuſpicis?
Chriſtum, inquit, inveni, Chriſti œconomiam vidi, illam
novam gratiam, inuſitatum illud beneficium, glorioſum
ſupplicium, ineffabilia & arcana ſacra: hæc video, hæc admiror, E
pro iſtis gratias ago: Confiteor tibi quoniam exaudiſti me, & fa-
ctus es mihi in ſalutem. Non celo beneficium, non recondo ſa-
lutem: ſed œconomiam cunctis prædico. Lapidem, quem re-
probaverunt ædificantes, hic factus eſt in caput anguli. Nonne
vides quomodò gratiarum actio hiſtoriam hanc nobis aperuit, &
explicavit? Confiteor tibi, quoniam exaudiſti me, & factus
es mihi in ſalutem. Lapidem, quem reprobarunt ædificantes, hic
factus eſt in caput anguli. Animadvertisne, omnes Prophetas ad œ- A
conomiam in carne ſpectaſſe? & Chriſtum à Synagoga quidem pro
nihilo habitum, à gentibus omni gloria & honore celebratum? Itaq;
ut ad rem redeamus: ſi portam quæſiveris, Chriſtum invenies. Ereſt
ille ſanè janua, ob ſuum in genus humanum amorem. Verùm, quia
omnino ei qui regnum cœlorum ingrediatur, & templum Dei, opus
eſt duce, à quo, quaſi manu, eò quò animus fert, perducatur: (neque
enim quisquam per ſe altari aſtare auſit, cui non ſit aliquis, qui rem
divinam faciat.) Cum ergo per portam ingreſſus fueris, ipſum ſa- B
Pſ.109, 4. cerdotem invenis, qui te adducat: *Tu enim ſacerdos es in æternum*
Gen 14, 8. *ſecundum ordinem Melchiſedec.* Atqui ſacerdos etiam opus habet
Joan. 1, 9. hoſtia vel victima, ut Deum placet: ipſe etiam tibi hoſtia eſt: *Ecce*
agnus Dei, qui tollit peccata mundi. Atque hæc quidem omnia ad te
pertinent. jam attende, quæ de ipſo dicantur. Neque enim in ipſius
ſacerdotio animus & mens defigenda eſt, neque ipſum velut ſacer-
dotem tantùm contempleris. ſed ipſum conſidera, qui ob ſuam di-
gnitatem Patri à dextris aſſideat: veruntamen ne quis hoſtis verita- C
tis exiſtat, qui alia quidem eidem adimat, alia verò celet. Novi enim
hæreticos ſæpenumero dictitare: Videſne fas non eſſe ad Patrem ſi-
ne filio accedere? Mediatoris enim vel ſequeſtri & miniſtri locum
obtinet: & eos, qui conſervandi ſunt, ad Patrem adducit. Quum e-
nim, inquiunt, ſapientia hæc ſit nova, etiam veritatem innovat. Cùm
naturæ humanæ fas non eſſet, ipſam per ſe ad Deum accedere, ipſe
quaſi medium & confinium conditæ & inconditæ naturæ exiſtens,
orbem terrarum ad Deum adducit. O inſaniam novam! ô novam D
fabulam! Excellens Dei bonitas apud hæreticos videtur dignitatem
divinitatis imminuere. Atqui exultat quidem hæreticorum inſania:
poteſtati verò Servatoris nihil decedit, nihil detrahitur, neque glo-
ria extinguitur, nec gratia evertitur. Etiamſi enim nos negemus, ipſe
tamen fidelis permanet. Negare enim ſeipſum non poteſt: Aſſidet
autem ille patri, propria ſua dignitate refulgens, aſtat autem, velut
ſacerdos, ob amorem ſuum erga genus humanū ipſi convenientem.
Et rem miram adverte, frater: quando iſti hæc verba: *Nemo venit ad* E
patrem, niſi per me: de munere & ordine miniſtri, aut famuli ſpecie
accipiunt: neceſſe eſt crimen impietatis in hæreticorum caput re-
torquere. Siquidem, ut iſti dictitant, quia Filius nos ad Patrem ad-
ducit, ipſius dignitatem imminuit. Quid igitur, ſi Patrem ad filium
adducentem perſpicias, ecquid ibidem impietatem objicis? Ergo
cùm in Filium contumelioſus exiſtas, vel ſumma Patrem contume-
lia afficis. Itaque fratres, ut pia & vera doctrina malitiam

A διόμενος· ἐγώ εἰμι ἡ ῥάβδος ἡ ἐκ τῆς ῥίζης Ἰεσσαὶ στηρίζουσα τοὺς
ἀσθενοῦντας, περὶ ἧς ἔλεγεν ὁ προφήτης, ἡ ῥάβδος σου, καὶ ἡ βακτη-
ρία σου αὐταί με παρεκάλεσαν. Διὰ τί ῥάβδος, διὰ τί βακτη-
ρία; ἐπειδὴ πρὸς πᾶσαν ἡλικίαν ἁρμόττει· νέους παιδαγωγεῖ, γέ-
ροντας στηρίζει. ἀλλ' ὦ δέσποτα, πεινῶντά με ἔθρεψας, διψῶντά
με ἐπότισας, γυμνὸν ἐνέδυσας, πεπλανημένον ὡδήγησας. ἀσθε-
νοῦντα ἐβακτηρίασας, φθάσας ἐπὶ τὴν ὁδὸν κατέλαβον τὰ ἴχνη τῆς
B εὐσεβείας. Ζητῶ τὴν θύραν τῆς ἀληθείας· τίς ὁ δεικνύς; ἐγώ εἰμι ἡ
θύρα, δι' ἐμοῦ πᾶς εἰσέρχεται πρὸς τὸν πατέρα. Διά σου. Διὰ τί; πύ-
λη γάρ εἰμι σωτηρίας ἀνεῳγμένη, ἣν ἐπιζητεῖ ὁ μακάριος Δα-
βίδ. πολλὰς μὲν ἐπινοήσας, μίαν δὲ εὑρών. τὰ μὲν γὰρ πρῶτα λέγει,
ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολο-
γήσομαι τῷ Κυρίῳ. ἐπεὶ γὰρ ἔτυχε τῆς αἰτήσεως, καὶ εὗρεν ὃ μὴ
προσεδόκησεν, οὐ πολλὰς ἀλλὰ μίαν, ἀνακαλεσάμενος τὴν ἑαυτοῦ
C φωνήν, λέγει, αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐ-
τῇ· εἶτα τῇ προφητικῇ ὄψει, καὶ τῷ πόθῳ τῆς ψυχῆς ἔσω παρελθών,
καὶ ὥσπερ ἐντὸς τῶν βασιλείων γενόμενος, ἐξομολογήσομαί σοι,
φησὶν, ὅτι ἐπήκουσάς μου. εἰπὲ ὦ προφῆτα, καὶ θεολόγε, ἐξομο-
λογῇ, καὶ εὐχαριστεῖς τῷ Θεῷ; τί ἄξιον τῆς προσδοκίας εὑρών; οἱ γὰρ
ἐπιθυμοῦντες παρελθεῖν εἰς οἶκον βασιλείας, ἀναμένουσιν ἑστιάσαι
τὰς ὄψεις τοῖς φαινομένοις χρυσῷ πολλῷ, μαρμάροις ἀπαστρά-
D πτουσι, τοῖς ποικίλοις ἄνθεσι τοῦ πλούτου, τῇ δορυφορίᾳ τῇ περὶ τὸν
βασιλέα, τῷ θρόνῳ τῷ βασιλικῷ, ταῖς δωρεαῖς τῶν βασιλέων. ταῦτα
προσδοκῶν ἕκαστος ἰδεῖν, διψᾷ τὰ βασίλεια, καὶ πρὸς τὸν πόθον ἐπ-
είγεται. σὺ δὲ τί ποθεῖς ὃν εὗρες εἰσελθὼν ἔσω τῆς πύλης; ὑπὲρ τίνος
εὐχαριστεῖς; τί μέγα κατέλαβες, τί εὑρὼν τῆς ἐπιθυμίας ἄξιον; ἑρ-
μήνευσον τὸν πόθον, ἵνα μή ποτε ἡ Ἰουδαϊκὴ ἀναισχυντία συκοφαν-
τήσῃ τὴν ἀλήθειαν. τί εὗρες; τί κηρύττεις; τί θαυμάζεις; Χριστόν φη-
σιν εὗρον, Χριστοῦ τὴν οἰκονομίαν ἴδον, τὴν καινὴν χάριν, τὴν ξένην εὐερ-
E γεσίαν, τὸ ἔνδοξον πάθος, τὴν ἀπόρρητον μυσταγωγίαν· ταῦτα βλέ-
πω, ταῦτα θαυμάζω, ὑπὲρ τούτων εὐχαριστῶν λέγω· ἐξομολο-
γήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. οὐ κρύ-
πτω τὴν εὐεργεσίαν, οὐ ταμιεύομαι τὴν σωτηρίαν, ἀλλ' εὐαγγελίζομαι
τὴν οἰκονομίαν. λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενή-
θη εἰς κεφαλὴν γωνίας. ὁρᾷς ὅπως ἡ εὐχαριστία τὴν ἱστορίαν ἐξύ-
μνησεν, ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς
A σωτηρίαν. λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη
εἰς κεφαλὴν γωνίας. ὁρᾷς ὅπως ἅπασα τῶν προφητῶν ἡ προσδο-
κία πρὸς αὐτὴν ἔβλεπε τὴν οἰκονομίαν, καὶ Χριστὸν ὑπέθει τὸν ἐν τῇ
συναγωγῇ ἐξουθενημένον, ἐν δὲ τοῖς ἔθνεσι δοξαζόμενον. οὐκοῦν, ἵνα εἰς
τὸ προκείμενον ἐπανέλθωμεν, κἂν τὴν πύλην ζητήσῃς, Χριστὸν εὑρή-
σεις, καὶ ναί φησι θύρα διὰ φιλανθρωπίαν. ἀλλ' ἐπειδὴ δεῖ πάν-
τως τῷ εἰσελθόντι εἰς βασιλείαν, καὶ ναὸν Θεοῦ ἔχειν τὸν ὁδηγοῦντα
B πρὸς τὴν ἐπιθυμίαν, [οὐδεὶς γὰρ καθ' ἑαυτὸν παραστῆναι τολμᾷ τῷ
θυσιαστηρίῳ μὴ ἔχων τὸν ἱερατεύοντα.] ἐπ' ἂν ἔλθῃς ἔσω τῆς πύλης,
εὑρίσκεις αὐτὸν ἱερέα προσάγοντά σε. σὺ γὰρ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα
κατὰ τὴν τάξιν Μελχισεδέκ, ἀλλὰ χρεία τῷ ἱερεῖ, καὶ θύματος, καὶ ἱε-
ρείου πρὸς τὸ τὸν Θεὸν ἐξιλεώσασθαι· ὁ αὐτός σοι πάλιν γίνεται· ἴδε
ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἤκουσας ταῦτα πάντα
διὰ σέ; ἄκουσον τὰ δι' αὐτόν. μὴ γὰρ ἐν τῇ τοῦ ἱερέως τάξει στήσῃς τὴν
C θεωρίαν· μὴ ἴδῃς αὐτὸν, ὡς ἱερέα παρεστηκότα, ἀλλὰ βλέπε αὐ-
τὸν διὰ τὴν ἑαυτοῦ ἀξίαν τῷ πατρὶ συγκαθήμενον· ἀλλὰ μή τις ἐχθρὸς
ἔστω τῆς ἀληθείας, τὰ μὲν ἁρπάζων, τὰ δὲ κρύπτων. οἶδα ὅτι πολλά-
κις αἱρετικός τις ἐχθρὸς τῆς ἀληθείας ἔστη λέγων· ὁρᾷς, ὡς οὐκ ἔστι
προσελθεῖν τῷ πατρὶ ἄνευ τοῦ υἱοῦ; μεσίτου γάρ φησιν ἐπέχει τά-
ξιν, καὶ ὑπηρέτου, προσάγων τῷ πατρὶ τοὺς σωζομένους. ἐπειδὴ γάρ,
φησιν, ὅτι καινὴ σοφία, καινοῖ τὴν ἀλήθειαν. ἐπειδὴ μὴ ἐχώρει ἡ ἀν-
D θρωπίνη φύσις δι' ἑαυτῆς προσελθεῖν τῷ Θεῷ, μεθόριον γίνεται
τῆς κτίσεως, καὶ τῆς ἀκτίστου φύσεως ὁ υἱὸς προσάγων τὴν οἰκουμένην. ὢ τῆς
καινῆς μανίας, ὢ τοῦ καινοῦ δράματος. ἡ ὑπερβολὴ τῆς τοῦ πατρὸς ἀγα-
θότητος κινδυνεύει παρὰ τοῖς αἱρετικοῖς, ἀμβλύνειν τὴν ἀξίαν τῆς θεό-
τητος. ἀλλ' ἡ μὲν αἱρετικὴ μανία θρασύνεται, ἡ δὲ τοῦ σωτῆρος δύ-
ναμις οὐκ ἀμβλύνεται, ἡ δόξα οὐ σβέννυται, ἡ χάρις οὐ καθαιρεῖται·
ἐὰν φησὶν ἡμεῖς ἀρνησώμεθα, ἐκεῖνος πιστὸς μένει. ἀρνήσασθαι γὰρ
E ἑαυτὸν οὐ δύναται. συγκάθηται διὰ τὴν οἰκείαν ἀξίαν. ἕστηκε δὲ ὡς ἱερεὺς
διὰ τὴν πρέπουσαν αὐτῷ φιλανθρωπίαν. καὶ ὅρα τὸ θαυμαστὸν, ἀ-
δελφέ. ἐπειδὴ ἐν ὑπηρέτου τάξει, καὶ σχήματι διακονοῦντος ἐκλαμ-
βάνουσι τὸ ῥῆμα, ὅτι οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ·
ἀναγκαῖον πρὸς τοὺς αἱρετικοὺς ἀποτεῖναι τὸν ἔλεγχον τῆς ἀσεβείας. εἰ τὸ
προσάγειν τῷ πατρὶ τὸν υἱὸν, καθαιρεῖ τὴν ἀξίαν τοῦ προσάγοντος· ἐὰν
ἴδῃς τὸν πατέρα τῷ υἱῷ προσάγοντα, ἐκείνοις ἐπεῖ τὴν ἀσέβειαν μά-
λιστα μὲν οὖν εἰς υἱὸν ἀσεβῶν, τὸν πατέρα βλασφημεῖς. ἵνα τοίνυν, ἀδελφοί, ἐν τῷ λόγῳ τῆς εὐσεβείας, καὶ τῆς ἀληθείας, καὶ τὴν κακίαν

ἐπιστο-

ἐπιστομίσωμεν, καὶ τὴν εὐσεβῆ δόξαν γνωρίσωμεν· ζῶν γὰρ ὁ λόγος A τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. δίστομον δὲ καλεῖ τὴν μάχαιραν, ἐπειδὴ διπλῷ χρῆται τῷ λόγῳ· τῷ μὲν στηρίζοντι, τῷ δὲ καθαιροῦντι· καθαιροῦντι μὲν τοὺς ἐναντίους, στηρίζοντι δὲ τοὺς οἰκείους τῆς πίστεως. ἄκουε αὐτοῦ τοῦ Κυρίου λέγοντος· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατήρ μου ὁ οὐράνιος ἑλκύσῃ αὐτόν. ἀναγκαῖον δὲ, ἀδελφοὶ, τὰ εἰκότα πρὸς τοὺς αἱρετικοὺς εἰπεῖν, καὶ τὰ περὶ τούτου τοῦ νοήματος τοὺς υἱοὺς τῆς πίστεως πληροφορῆσαι. B οὗ ἕνεκεν καὶ [illegible] ὁ μονογενὴς τοῦ Θεοῦ λόγος τὸ προσαγωγεῖον, πῆ μὲν παρ' αὐτοῦ λέγων προσάγεσθαι τῷ πατρὶ, πῆ δὲ ὑπὸ τοῦ πατρὸς πρὸς αὐτόν. οὐ γὰρ συγκέχυται τὰ τῆς θείας φύσεως· ἀλλ' εὐκρινής ἐστι καὶ διωρισμένος ὁ λόγος τῆς ἀληθείας, οὐδὲν σκολιὸν ἔχων, οὐδὲν στραγγαλιῶδες· πᾶσαι γὰρ αἱ ὁδοὶ Κυρίου εὐθεῖαι. ἆρα γὰρ, ἀδελφοὶ, ὁ πατὴρ, ποτὲ μὲν τὴν βασιλικὴν προεδρείαν ἐπέχων δέχεται τοὺς προσαγομένους· ποτὲ δὲ τῷ υἱῷ ἐν βασιλικῷ σχήματι C προκαθίσαντι δίδωσι τὸ [illegible], καὶ ἐν ὑπηρέτου τάξει παριστάμενος προσάγει τῷ υἱῷ; μὴ γένοιτο. οὔτε γὰρ Θεοῦ, εἰ καθέδραν εἴποι τις, ἐστὶ τὸ ἀνθρώπινον ἐννοῆσαι, οὐδὲ στάσιν ἀκούσαντα πάλιν ἐστὶ νοῆσαι τὰ καθ' ἡμᾶς. ἐὰν ἀκούσῃς περὶ Θεοῦ, ὅτι ἕστηκεν, τὸ ἀκλινὲς καὶ τὸ ὄρθιον νόει τῆς θείας οὐσίας. κἂν πάλιν ἀναγνῷς, καὶ ἀκούσῃς, ὅτι κάθηται, τὸ ἑδραῖον καὶ ἀσάλευτον ἐκλάμβανε τῆς μακαρίας φύσεως· αὐτὸς λέγει ἑαυτὸν ἑστάναι, καὶ καθῆσθαι. τῷ Μωυσεῖ λέγει, σὺ στῆθι D ὧδε μετ' ἐμοῦ. καὶ ἦν ὁ τόπος οὗ εἱστήκει ὁ Θεὸς Ἰσραὴλ, ὡς λίθος σαπφείρου. πρόσεχε ἀκριβῶς. ὁ Μωϋσῆς ἑστῶτα λέγει, καὶ ὁ Θεὸς τῷ Μωυσεῖ, ὡς ἱστάμενός φησι, στῆθι μετ' ἐμοῦ. τί οὖν ποιήσομεν Ἱερεμίου λέγοντος, σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα. καθέδρα, καὶ στάσις ἀνθρώπινα ῥήματα, ἀλλὰ θεῖα νοήματα. διὰ τὸ ἄστατον καὶ [illegible] τὸν ἀνθρώπινον βίον, Θεὸς λέγεται ἑστάναι· καὶ διὰ τὸ ἀστήρικτον, καὶ πανταχόσε E περιτρεπομένην τὴν καθ' ἡμᾶς κατάστασιν, λέγεται καθῆσθαι διὰ τὸ ἑδραῖον. τὸ γὰρ καθήμενον ἥδρασται. φύγε τὰ ἀπὸ τῆς λέξεως ὑποβαλλόμενα, καὶ νόει τὰ διὰ τῆς πίστεως θεωρούμενα. πῶς οὖν προσάγει τῷ πατρὶ υἱός; πῶς πατὴρ τῷ υἱῷ; [illegible] τὸν λόγον ἀνεξέταστον. ὁ πατὴρ φανερούς τινας, καὶ ὁμολογουμένους προσάγει τῷ υἱῷ, ὁ υἱὸς πάλιν φανερούς τινας, καὶ ὁμολογουμένους προσάγει τῷ πατρί. μὴ προλαβὼν ἁρπάξῃς τὸ ῥῆμα ὡς διαβολεύς, ἀλλ' ἀνάμενον τὸ τέλος, καὶ κρῖνε τὸ λεγόμενον, μὴ γίνου δικαστὴς δυσμενὴς, ἀλλὰ συναγωνιστὴς εὐμενής. ἐν τῷ Ἰσραὴλ ἐγνώσθη μὲν ὁ Θεὸς, καὶ πατὴρ, ἠγνοεῖτο δὲ ὁ υἱός· ἐν δὲ τοῖς ἔθνεσι, καὶ ὁ πατὴρ ἠγνοεῖτο, καὶ ὁ υἱός. τῇ γὰρ πολυθέῳ πλάνῃ δεδούλωτο τὰ ἔθνη. ὅπου οὖν πατὴρ μὲν γνωρίζεται, υἱὸς δὲ οὐ γνωρίζεται, ἑρμηνευτὴς γίνεται τοῦ ἀγνοουμένου υἱοῦ ὁ πατήρ. ἐπαναλήψομαι τὸν λόγον, ἵνα στήσω τὸ νόημα. ὅπου ὁ πατὴρ γνωρίζεται, καὶ υἱὸς ἀμφιβάλλεται, ἑρμηνευτὴς γίνεται ὁ γνωριζόμενος τοῦ ἀγνοουμένου· ὅπου πατὴρ ἠγνόηται, κῆρυξ τοῦ ἀγνοουμένου ὁ υἱὸς γίνεται. διὰ τοῦτο, ἵνα λάβῃς ἀκριβῆ τῶν εἰρημένων τὴν ἐξέτασιν, ἔγγυόν σοι παρέχω τὸ εὐαγγέλιον. λέγει ὁ Σωτὴρ περὶ τῶν ἐθνῶν, τὸ ὄνομά σου ἐφανέρωσα τῷ κόσμῳ· μᾶλλον δὲ τῷ ἀγνοοῦντι ἐφανέρωσά σου τὸ ὄνομα τῷ κόσμῳ. ποῖον ὄνομα ἐφανέρωσεν; ὅτι Θεός; ἀλλὰ προείληφεν ἡ γνῶσις τὸ ὄνομα· καὶ οἱ πλανώμενοι γὰρ λέγουσι Θεὸν, καὶ οἱ ἀπηλλοτριωμένοι τῆς εὐσεβείας, οὐκ ἀρνοῦνται τὴν προσηγορίαν· ποῖον οὖν ὄνομα ἐγνώρισεν; ὅτι πατὴρ καλεῖται· ἐφανέρωσά σου τὸ ὄνομα τῷ κόσμῳ. ὁρᾷς, ὅτι ὅπου ἠγνόηται πατὴρ, ἑρμηνευτὴς γίνεται ὁ υἱὸς τοῖς εὐαγγελικοῖς κηρύγμασι, σαφηνίζων τὴν ἀλήθειαν· ὅπου δὲ ὁ πατὴρ ἐνομίζετο γνωρίζεσθαι, ὁ δὲ υἱὸς μὴ γνωρίζεσθαι, ἑρμηνευτὴς γίνεται αὐτὸς τοῦ ἀγνοουμένου. [illegible], ἵνα ἐπ' αὐτῶν δείξω τῶν πραγμάτων τὴν ἀλήθειαν· Παῦλος ᾔδει τὸν Θεὸν, οὐκ ᾔδει τὸν υἱόν· ᾔδει Θεὸν, οὐκ ᾔδει δὲ πατέρα ὄντα τοῦ Χριστοῦ τὸν Θεόν· καὶ ἦν ζηλωτὴς εὐσεβείας ὑπὲρ τοῦ νόμου μαχόμενος. ὁ Θεὸς ἀπέβλεπεν εἰς τὸν ζῆλον, D ἀγνοίας μὲν πεπληρωμένον, πόθου δὲ γέμοντα. καὶ τί ποιεῖ; γνωρίζει τῷ ἀγνοοῦντι τὸν ἀγνοούμενον. τίς ἡμῖν ταῦτα σαφηνίζει; αὐτὸς ὁ ποτὲ ἀγνοήσας, καὶ ὕστερον γνωρίσας, αὐτὸς ὁ ποτὲ διώξας, καὶ ὕστερον εὐαγγελισάμενος. τί γάρ φησι; καὶ ἤμην ζηλωτὴς τοῦ πατρῴου νόμου καθ' ὑπερβολὴν διώκων τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ὅτε δὲ ηὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί· καὶ τὰ ἑξῆς. ἡ E γὰρ μαρτυρία τὸ δεῖξαι τὸ ζητούμενον, οὐχ ἡ θεωρία τοῦ νοήματος. πάλιν ἐρωτᾷ ὁ Σωτὴρ τοὺς ἀποστόλους, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; ἐρωτᾷ οὐχ ἵνα μάθῃ, ἀλλ' ἵνα τὴν ὑπόνοιαν ἐξορίσας, τὴν ἀλήθειαν στηρίζῃ· τίνα με λέγουσιν οἱ ἄνθρωποι; οἱ ἀπόστολοι πρῶτον τὰς τῶν πολλῶν ὑπονοίας ἀντιβάλλουσιν. οἱ μὲν γάρ φασιν, Ἠλίαν, οἱ δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν. τί οὖν ὁ Σωτήρ; πρὸς μὲν τὰς ψευδεῖς δόξας οὐδεμίαν ἀπόκρισιν ποιεῖται, ἀναξίας ἀποκρίσεως κρίνων

A hominum obmuteſcere faciamus, & gloriam piè illuſtremus: *Vivus eſt enim Dei ſermo, & efficax: penetrabilior, & quovis gladio ancipiti acutior*: [Heb. 4. 12.] Ancipitem autem vocat, quia duplicem rationem ſacræ literæ ſequuntur: aut enim confirmant & fulciunt bonos, aut refutant, & ſubvertunt adverſarios, & domeſticos quidem fidei illi confirmant & corroborant. Audi igitur Dominum dicentem: [Ioan. 6. 44.] *Nemo poteſt venire ad me, niſi pater meus cæleſtis eum traxerit.* Neceſſarium eſt, fratres, hæreticos pro merito refellere & filios fidei B de ſenſu hujus loci certiùs eſt verius edocere, quam ob cauſam unigenitus Dei filius verbum, munùs illud adducendi & offerendi diſtinxerit, quia alibi quidem à ſe Patri offerri, alibi verò à Patre ad ſeipſum adduci affirmat. Neque enim natura illa divina confuſa eſt, [Pſal. 144.] ſed doctrina veritatis plana & diſtinctiſſima eſt, nihil in ea pravum aut contortum. *Omnes enim viæ Domini rectæ*, [Pſal. 144. 17.] An ne igitur fratres, Pater interdum quidem in illo regio ſolio ſedens, eos, qui ipſi adducuntur, ſuſcipit: interdum verò filio, omni regio faſtigio per vi- C ces quaſi conceſſo, ipſe quaſi miniſter aſtat, & ad ipſum adducit? minimè verò. Neque enim ſi quis ſedem Dei nominet, fas eſt, quicquam humanum in animum inducere: neque ſi ſtatus de ipſo dicatur, licet quicquam eorum, quæ apud nos ſunt cogitare. Si igitur de Deo audias, quod ſtetit divinæ illius naturæ erectum illud & inflexibile accipias. Sin turſus legas & audias quòd ſedeat: beatam illam naturam ſtabilem & permanentem intellige. Deus enim de ſeipſo dicit, ſeipſum ſtare & ſedere. Et Moſi quidem dicit: Tu ve- [Exod. 24. 10.] D rò conſiſte hic mecum. Et erat locus, ubi ſteterat Deus Iſraël, velut lapis Sapphiri. Attentè auſculta: Moſes Deū ſtare dicit: & Deus Moſi, velut ſtans ait. Conſiſte mecum. Quid ergo de illo Hieremiæ fiet: Tu ſedens in æternum, & nos in æternum pereuntes? Cathedra & ſtatus, vocabula ſunt hominibus in uſu, ſed ſenſū habent, qui de Deo intelligi queat. Propter humanæ vitæ inconſtantiam & mutabilitatem, Deus ſtare dicitur: item quia inſtabili conditione, & quæ omnis generis mutationibus obnoxia eſt, nos ſumus. Deus autem ſedere, E ob conſtantem & permanentem ſuam naturā, dicitur. Quod enim ſedet, firmum & conſtitutum eſt. Quæ tibi vocabula ſuggerunt, averſare & reſpue: quæ fidei autem conſideratione occurrunt, intelligentia complectere. Quomodo ergo Filius ad Patrem, & Pater ad Filiū adducit? Locus enim explicandus eſt. Pater manifeſtos quoſdam, & de quibus nemo ambigat, Filium adducit: & viciſſim Filius certos quoſdam ad Patrem adducit. Ne tu præoccupatione quadam voculam ad calumniandum arripias: ſed finem expecta, A & quod dicitur certo animi judicio expende: neque judex ſis hoſtilis, ſed advocatus benevolus eſto: In Iſrael quidem Deus & Pater cognitus fuit: Filius autem ignotus. In gentibus verò Pater incognitus fuit, & Filius, Gentes enim, in errore illo, de multitudine Deorum detinebantur. Ubi igitur Pater quidem cognoſcitur, Filius non item: Pater interpres Filii incogniti exiſtit. Sermonem hūc denuò repetam, ut intelligentiam loci firmè conſtituā. Ubi Pater quidē cognoſcitur, & de filio controvertitur, notus incogniti, interpres B eſt, ubi vero Pater ignotus, Filius ignoti præco eſt. Propterea ut [Ioan. 17. 6.] exactam eorum, quæ dixi, explicationem habeas, Evangelium ſponſoris loco tibi præbeo. Ait enim Servator de gentibus: Nomen tuum manifeſtavi mundo imò verò ignoranti mundo nomen tuum manifeſtavi. Sed quale nomen manifeſtavit? quod Deus eſſet. Atqui cognitio nomen præoccupaverat. Nam qui in errore verſantur, Deum nominant, & qui à vera pietate alieni ſunt, hanc appellationem non inficiantur. Quodnam igitur nomen manifeſta- C vit? quòd Pater diceretur: manifeſtavi nomen tuum mundo. Videſne, quòd, ubi Pater ignotus eſt, Filius ipſum Evangelicis concionibus prædicat, veritatemque perſpicuè declarat? Ubi vero Pater exiſtimabatur cognoſci, non item Filius: ipſe incogniti præco exiſtit. Exempli gratia, ut ipſis rebus huic rei fidem faciam. Paulus noverat quidem Deum, non noverat autem Filium: noverat, inquam Deum: non noverat autem, illum Deum Patrem ipſum eſſe Chriſti: & pietatem quidem magno ille ſtudio conſectabatur, & pro lege D pugnabat, Deus verò zelum & fervens ipſius ſtudium, à ſcopo quidem aberrans, ſed deſiderio tamen plenum, intuebatur. Quid igitur? demonſtrat ignoranti incognitum. Sed quis hæc nobis declarat? Ille ipſe, qui aliquando ignorabat, poſtea cognovit: ipſe, qui aliquando perſecutus eſt, & poſtea Evangelium annun- [Gal. 1. 13.] ciavit. Quid enim inquit? *Et eram æmulus paternæ legis ſuprà modum perſequens Eccleſiam Dei: quum autem Deo placuiſſet, qui me ex utero matris ſegregavit, & vocavit per gratiam ſuam, ut re-* E *velaret filium ſuum in me*: & quæ inſequuntur. Teſtimonium ſiquidem refertur ad quæſtionem propoſitam demonſtrandam: nec eſt conſideratio & ſpeculatio ſenſus, quem ille locus habeat. Rurſus alio in loco Servator ex Apoſtolis quærit: Quemnam homines me eſſe dicunt Filium hominis? quærit ille quidem, non ut novi quippiam addiſceret, ſed ut exempta opinione, veritatem ſtabiliret. [Matth. 16. 13.] *Quemnam me dicunt homines.* Apoſtoli quidem [Luc. 9. 18.] primum vulgi opiniones reſpondebant: Alii quidem ajunt Eliam: alii Hieremiam, aut unum è Prophetis. Quid igitur Servator? ad opiniones illas falſas nihil ille reſpondet utpote quas indignas reſpon-

reſponſione duceret. Vos verò quemnam me dicitis? neque enim A
ullam imperitæ multitudinis vel ſectæ rationem, ſed veſtri, meorũ
præconem, habeo. Vos ſiquidem lucernam veritatis doctrinam pie-
tatis promulgaturi eſtis, & in omnes orbis partes, quàm latè patet,
divulgaturi: in vobis res humanæ nutant: in vobis veritas pericli-
tatur. Et quemadmodum veſtra cognitio publicum mortalium be-
neficium: ſic veſtra inſcitia totius Orbis detrimentum: idcirco. vos
quemnam me dicitis? reſpondens Petrus, dixit: Tu es Chriſtus filius
Dei vivi: Hic fidei terminus, hæc veritatis doctrina: hæc veræ & B
rectæ ſententiæ confeſſio. Verum tamen quia fieri poterat, ut etiam
hæc vox aliter fortè intelligeretur, alias opiniones ille quidem nul-
la reſponſione dignatus eſt: huic verò ſuffragatus eſt. Et quid ait?
ne etiam hæc confeſſio ex ingenio humano profecta videretur, ve-
ritatis ſigno impreſſo, eam conſignavit, cùm ait: Beatus es Simon
Barjona. Hic recordare, quòd Pater ei, cui ipſe cognitus eſt, etiã pla-
nè incognitũ revelat, Beatus es Simon Barjona, quoniã caro & ſan-
guis tibi nõ revelavit, ſed Pater meus, qui in cælis eſt. Vidéſne, Filiũ, C
univerſo mundo nulla patris cognitione imbuto, ejus cognoſcendi
magiſtrũ fuiſſe: Verum Judæorũ quidem ſynagogæ, quæ Deũ qui-
dem novit, ſed Dei Filium, verbũ illud Patris, non agnoſcit, ipſe Pa-
ter hujus dubii doctor & explicator exiſtit. Noli igitur ſummo illo
Dei amore erga genus humanum ad impietatem abuti: neque di-
gnitati propter œconomiam quicquam detrahas, neque immen-
ſam illam naturam curioſius inveſtiges: eſſentiam illam, quæ capi
comprehendique nequit, noli ſcrutari. Eſaias tibi hoc perſuadet, D
Eſa. 53. 8. ejuſmodi curioſius non eſſe indaganda, & ſcribendo pertractanda:
Generationem ejus, exclamat, *quis enarrabit?* O impudentem au-
daciam eorũ, qui quidvis temerè & ſentire & effutire audent! Neq;
enim impio homini religio eſt, etiam Dei naturam perſcrutari &
quæ fas non eſt proloqui, divulgare, omninoque res ſacras profa-
nare. Merito id quidem: quum enim verum neſciat, ſeſe ſcire etiã
profitetur, ut ita, quæ palam prædicans ut, occultet. Neque enim ſa-
cras ille literas audit, quæ monent: Quæ tibi mandata ſunt, de iſtis E
cogita: neq; enim arcanis tibi opus eſt. Beatus enim Deus ſolus re-
rũ admirabilium compos eſt, ſolus res admirabiles in ſua poteſtate
Job, 38, 4 habet. Qui, cũ Job patientia illuſtrem hiſtoria creationis & opificii
hujus mundi obſtupefacere vellet, ait illi: *Ubi eras, quando funda-
menta terræ jaciebam? cùm mare fiebat*: Et ne longum faciam, cùm
montes formarentur? *Tune partum Tragelaphorum noſti?* Expo-
ne, enarra mihi mundi conformationem, ferarum dolores in pa-
riendo, alimenta jumentorum, & conſtitutionem illam variam A
omnium, quæ in hoc mundo cernuntur. Hæc igitur ille ad Job:
quibus etiam illa, quæ in hac rerum univerſitate cernuntur, ab ho-
minibus intelligi perſpiciq; non poſſe, docet. Quibus beatus ille Job
Job. 39, 37. perculſus, inquit. *Domine, ſemel locutus ſum: ſecundò non adjiciã,
ut iterum loquar*, Deniq; inquiſitio rerum in hac univerſitate aſpe-
ctabilium, Job quidem obmuteſcere fecit: & tuã audaciam ineffa-
bilis illa unigeniti generatio non compeſcuit: Verũ enim vero poſt-
ea quã quæ ignoras, profiteris; ex te rei explicationem, quæ nemini B
Gen. 18. non nota eſt quæro. Dic mihi, quomodo terra ita ſolidè & firmiter
in aquis conſtituta ſit: dic quomodo Adam è terra formatus: dic
quomodo manna cœlitus delapſũ: quomodo mare diviſum, & reli-
qua miracula, ne ſim prolixior, nobis explica. Dic quomodo Ange-
li, appoſitum ſibi vitulum ab Abrahamo, comederint: quibus
neque venter, neq; ullũ aliud cibi receptaculũ à natura tributũ eſt?
Pſal. 103. 4. *Qui facit Angelos ſuos ſpiritus, & miniſtros ſuos ignem urentem*, quo-
Heb. 1. 14. modo abſumptus eſt? ſubjicit ſtatim hæreticus. cur ea quæ fieri ne- C
queunt, requiris? vi quadam & poteſtate Angelorum abſumptus
eſt. Tu igitur Angelorũ poteſtati fidem adhibes, nec eam examinas?
Dei verò generationem ita curioſè indagas? Quomodo Deus cœlũ
& terram condidit? reſpondet: Ut ille novit, ut voluit. Itáne divina
quidem poteſtas, humanis cogitationibus propoſita nõ eſt, ſed fidei
commiſſa: divina verò generatio neceſſariis humanæ rationis ad-
dicitur & ſtipatur ratiociniis? An non Davidicũ illud oraculũ audi-
Pſal. 135. 6. viſti? *Omnia quæcunq; voluit, Dominus fecit*: voluntatem quidem D
illius non ita curioſè perveſtigas, & in natura ipſius intelligenda
tantopere occuparis? Quid ergo, fratres? quæcunque ille ſua vo-
luntate effecit, illa cernuntur: quem verò ille ex propria ſua eſſentia
genuit, non cernitur. Namq; res, quæcunque in hac rerum univerſi-
tate conſpiciuntur, inviſibilis Dei imago ſunt: Jam vero inviſibilis
illa generatio humanis illis cogitationibus ſubjecta eſt? Quæ vo-
lens fecit, non dijudicantur, quod verò ſecundum illam divinam &
puram naturam perpeſſus eſt, curioſius inquiris? O inauditam au- E
daciam! ô novum inceptum! ô conſilium quod mulctã meretur! ô
naturã contumelioſè tractatã! Præclare beatus David dixit Filii ho-
minum uſq; quo gravi corde, ut quid diligitis vanitatem, & quæri-
tis mendacium? Quicquid enim alienum à Chriſti doctrina eſt, va-
Joan. 14, 6. num eſt & mendacium. Nam ſi verum dicit, cum ait: *Ego
ſum veritas*: quæcunque extra Chriſti doctrinam ſunt, ad
mendacium deducunt Avoca animum tuum à terrenis il-
lis quæſtiunculis & humanis illis cogitationibus, ad ſublimiorem quampiam theologiam: miſſam fac miſeram illam

A τὰς ψευδεῖς ὑπονοίας. ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; οὐ τῶν πολλῶν
μοι λόγος τῶν πεπλανημένων, ἀλλ' ὑμῶν τῶν κηρυττόντων. ἐπειδὴ γὰρ
ὑμεῖς ἐστε οἱ μέλλοντες διαγγέλλειν τὸν λαμπτῆρα τῆς ἀληθείας, τὸ
κήρυγμα τῆς εὐσεβείας εἰς πᾶσαν φέρειν τὴν ὑπ' οὐρανόν· ἐν ὑμῖν
σαλεύεται τὰ ἀνθρώπινα, ἐν ὑμῖν κινδυνεύει τὰ τῆς ἀληθείας. καὶ ὥσπερ ἡ
ὑμετέρα γνῶσις κοινὴ τῶν ἀνθρώπων εὐεργεσία, οὕτως ἡ ὑμετέρα
ἄγνοια κοινὴ τῆς οἰκουμένης ζημία· διὰ τοῦτο, ὑμεῖς τίνα με λέγετε;
B τότε ἀποκριθεὶς Πέτρος εἶπε. σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶν-
τος. οὗτος πίστεως ὅρος, οὗτος ἀληθείας λόγος, αὕτη τῆς ὀρθῆς
δόξης ἡ ὁμολογία· ἀλλ' ἐπειδὴ ἐνεδέχετο καὶ ταύτην τὴν φωνὴν εἰς
τὰς ἄλλας ἰσορροπῆσαι, τὰς μὲν ἀποκρίσεως οὐκ ἠξίου, τῇ δὲ τὴν ψῆ-
φον φέρει· καὶ τί φησιν; ἵνα μὴ καὶ αὐτὸ ἐξ ἀνθρωπίνης νομισθῇ ὑπο-
νοίας εἶναι τὸ ῥῆμα, ἐπισφραγίζεται, καὶ σημαίνει μὲν αὐτὸ ἐπιθεὶς τῆς
ἀληθείας. φησί· μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ. ἐνταῦθα μνη-
C μόνευσον, ὅτι πατὴρ καὶ τῷ γινώσκοντι αὐτὸν ἀποκαλύπτει τὸν ἀγνο-
ούμενον. μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπ-
εκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς. ὁρᾷς, ὅτι τοῦ μὲν
κόσμου παντὸς ἀγνοοῦντος τὸν πατέρα, ὁ υἱὸς ἑρμηνευτὴς γίνεται τοῦ ἀγνοου-
μένου· τῇ δὲ συναγωγῇ, καὶ τοῖς Ἰουδαίοις Θεὸν μὲν ὑπονοοῦσιν εἰδέ-
ναι, τὸν δὲ τοῦ Θεοῦ Θεὸν λόγον οὐκ ἐπιγινώσκουσιν, αὐτὸς ὁ πατὴρ ἑρ-
μηνευτὴς γίνεται τοῦ ἀμφιβαλλομένου; μὴ τοίνυν τὴν ὑπερβάλλουσαν φι-
D λανθρωπίαν εἰς ἐφόδιον τάξῃς ἀσεβείας, μὴ ἐλαττώσῃς τὴν ἀξίαν
διὰ τὴν οἰκονομίαν, μὴ πολυπραγμόνει φύσιν ἀμέτρητον, μὴ ἐρεύνα
οὐσίαν ἀκατάληπτον. Ἠσαΐας σε πειθέτω ταῦτα μὴ διερευνᾶν,
μηδὲ τὰ τοιαῦτα περιεργάζεσθαι· τὴν γενεὰν γὰρ αὐτοῦ τίς διηγήσεται;
ἀλλ' ὢ τῆς ἀναισχυντοτάτης τόλμης τῶν πάντα ῥᾳδίως φρονεῖν καὶ λέγειν
τολμώντων. καὶ οὐ φοβεῖται ὁ ἄνομος ὡς Θεοῦ φύσιν διερευνώ-
μενος, καὶ τολμῶν λέγειν τὰ ἄρρητα, καὶ δημοσιεύειν τὰ ἅγια. καὶ
E εἰκότως· ἐπειδὴ γὰρ ἀγνοεῖ τὴν ἀλήθειαν, ἐπαγγέλλεται ἀγνοεῖν, ἵνα
κρύψῃ τὰ κηρυττόμενα. οὐκ ἤκουσε τῆς ἁγίας γραφῆς παραινούσης,
ἃ προσετάχθη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστι χρεία σοι τῶν κρυπτῶν. ὁ μα-
κάριος Θεὸς, καὶ μόνος δυνάστης τῶν θαυμασίων. Ἰὼβ τὸν ἀπὸ τῆς
ὑπομονῆς λάμψαντα, βουληθεὶς ποτὲ τῇ ἱστορίᾳ τῆς δημιουργίας
ἐκπλῆξαι, λέγει αὐτῷ, ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; ὅτε ἡ θά-
λασσα ἐγένετο; ἵνα συντέμω, ὅτε τὰ ὄρη ἐπλάττετο; σὺ ἐφύλαξας
τοκετὸν τραγελάφων; ἀπάγγειλόν μοί φησι τοῦ κόσμου τὴν διατύ-
A πωσιν, τὰς τῶν θηρίων ὠδῖνας, καὶ τὰς τροφὰς τῶν κτηνῶν, τὴν κατάστασιν
πάντων τῶν ἐν τῷ κόσμῳ, τὴν ποικιλίαν. ταῦτα δὲ πρὸς αὐτὸν ἔλεγεν,
ὅμως παιδεύων αὐτὸν, ὅτι καὶ τὰ ἐν αὐτῇ τῇ κτίσει φαινόμενα τοῖς
ἀνθρώποις ἀκατάληπτα. εἶτα ὁ μακάριος ἐκπλαγεὶς φησί·
Κύριε ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. εἶτα ἡ
ζήτησις τῶν φαινομένων ἐνίκησε τὸν Ἰὼβ, σοῦ δὲ τὴν τόλμαν οὐδὲ ἡ ἄρρη-
B τος τοῦ μονογενοῦς ἐνίκησε γέννησις; ἀλλ' ἐπεὶ διαγγέλλεις ἃ μὴ οἶ-
δας, ἀπαιτῶ λόγον ὃν πάντες ἴσμεν· εἰπέ μοι πῶς ἡ γῆ ἐστηρίχθη
ἐπὶ τῶν ὑδάτων· εἰπὲ πῶς ὁ Ἀδὰμ ἐπλάσθη ἀπὸ γῆς. εἰπὲ πῶς τὸ
μάννα ἐχορηγήθη· πῶς ἡ θάλασσα διῃρέθη· καὶ τὰ λοιπὰ θαύ-
ματα, ἵνα μὴ μηκύνω. εἰπέ μοι πῶς οἱ ἄγγελοι παρατεθέντα αὐ-
τοῖς τὸν μόσχον ὑπὸ τοῦ Ἀβραὰμ ἔφαγον; γαστὴρ οὐκ ἦν, δοχεῖα τρο-
φῆς οὐχ ὑπῆρχεν ἀγγέλων φύσει. ὁ ποιῶν γὰρ τοὺς ἀγγέλους αὐτοῦ
πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. πῶς ἀνηλώθη;
C εὐθέως ὁ αἱρετικὸς, καὶ τί φησιν ἀδύνατα ζητεῖς; δυνάμει τῶν ἀγγέ-
λων ἠφανίσθη. καὶ τῇ μὲν δυνάμει τῶν ἀγγέλων πιστεύεις, καὶ οὐκ
ἐξετάζεις, Θεοῦ δὲ γέννησιν πολυπραγμονεῖς; πῶς ἐποίησεν ὁ Θεὸς τὸν
οὐρανὸν, καὶ τὴν γῆν; ἀποκρίνεται, ὡς οἶδεν, ὡς ἠθέλησεν. εἶτα ἡ μὲν
δύναμις τοῦ Θεοῦ λογισμοῖς οὐχ ὑποβάλλεται, ἀλλὰ πίστει παραδί-
δοται· θεία δὲ γέννησις τῶν λογισμῶν ἀνάγκαις περιτειχίζεται; οὐκ ἤ-
κουσας τοῦ Δαβὶδ λέγοντος, πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐ-
D ποίησε; τὸ θέλημα οὐ πολυπραγμονεῖς, καὶ τὴν φύσιν περιεργάζῃ;
καὶ τί, ἀδελφοί; ἃ μὲν ἐποίησεν ὁ Θεὸς θέλων, ὁρᾶται, ὃν δὲ ἐγέννησεν
ἐκ τῆς ἰδίας οὐσίας, ἀόρατος. εἰκὼν γὰρ Θεοῦ ἀοράτου τὰ φαινόμενα
ποιήματα. νῦν ἐν τῷ λογισμῷ ἡ ἀόρατος γέννησις τοῖς λογισμοῖς
δουλεύει; ἃ θελήσας ἐποίησεν, οὐκ ἀνακρίνεται. ὃ κατὰ τὴν θείαν καὶ ἄ-
χραντον φύσιν ὑπέμεινε, πολυπραγμονεῖς; ὢ καινῆς τόλμης, ὢ ξέ-
νης ἐπιχειρήσεως, ὢ βουλήματος ζημιουμένου, καὶ φύσεως ὑβρι-
E ζομένης. καλῶς ὁ μακάριος Δαβὶδ ἔλεγεν· υἱοὶ ἀνθρώπων, ἕως
πότε βαρυκάρδιοι, ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;
πᾶν γὰρ ἀλλότριον τῆς Χριστοῦ διδασκαλίας, καὶ ψεῦσμα, καὶ μάταιον.
εἰ γὰρ ἀληθεύει λέγων, ἐγώ εἰμι ἡ ἀλήθεια, ὅσα ἐκτὸς τῆς Χριστοῦ διδα-
σκαλίας, εἰς ψεῦδος φέρει. ἀνάγαγέ σου τὴν ψυχὴν
ἀπὸ τῶν χαμαὶ κειμένων ζητημάτων, καὶ τῶν ματαίων λογι-
σμῶν ἐπὶ τὸ ὕψος τῆς θεολογίας, καὶ κατάλειπε τὴν πλοκὴν

τῶν

τῶν λογισμῶν ἔρευναν· λάβε τὸν θησαυρὸν τῆς ἀληθείας. ὁμοία ἐστὶν ἡ
βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ. διὰ τί δὲ θησαυρὸς ὀνο-
μάζεται ὁ Σωτήρ; ἐνταῦθα πρόσεχε ἀκριβῶς. ὥσπερ ὁ θησαυρὸς
οὐχ ὅτε εὑρίσκεται, τότε γίνεται, ἀλλ' ἔστι μὲν παλαιὸς τῇ θέσει,
νέος δὲ τῇ εὑρέσει· οὕτω καὶ ὁ σωτήριος λόγος παλαιὸς μέν ἐστι τῇ
ἀξίᾳ, καὶ ἀρχὴ τῶν ἁπάντων. [ἐπειδὴ ἐν ἀρχῇ ἦν ὁ λόγος] νέον δὲ
τὸ κήρυγμα διὰ τὴν τῆς σαρκὸς οἰκονομίαν. ἀμέλει οὖν, ἀδελφέ, ἵνα
μάθῃς, ὅτι δίκην θησαυροῦ τοῖς ποθοῦσιν ἐκλάμπει, καὶ οἱ εὑρίσκον-
τες, οὕτως ἐπιτρέχουσιν ὡς θησαυροῦ εὑρημένου· ὁ Ἀνδρέας τῷ Πέ-
τρῳ τὴν εὐεργεσίαν κηρύττων φησίν, ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ,
καὶ οἱ προφῆται, εὑρήκαμεν τὸν Χριστόν· Μωϋσῆς γὰρ καὶ οἱ προφῆται,
ἐν ταῖς ἁγίαις βίβλοις ὡς ἐν θησαυροῖς ἀπέθεντο τὸ κήρυγμα. ἀλλ'
ὥσπερ οἱ κρύπτοντες θησαυρὸν ἀποτιθέμενοι, αὐτοὶ μὲν ὁρῶσιν, ὃ κατα-
βάλλονται· σκέπουσι δὲ τῇ ὄψει, μὴ διαρπαγεὶς γένηται τῆς ἀλ-
λοτρίας· οὕτως καὶ οἱ προφῆται Χριστὸν κηρύξαντες τῇ ἀσαφείᾳ τῆς
λέξεως ἔκρυψαν τὸν θησαυρόν. διατί; εἰ γὰρ σαφῶς εἶπον, οὐκ ἦν
προφητεία, ἀλλὰ κήρυγμα, καὶ προελάμβανεν ἡ ἀωρία τῆς ἐκ-
φράσεως τὴν εὐκαιρίαν τοῦ κηρύγματος. τί οὖν ποιοῦσι; καὶ ἑρμηνεύου-
σι, καὶ κρύπτουσι. τίς ταῦτα λέγει; Ἡσαΐας· καὶ ἔσται οὗτος τὸ βιβλίον,
ὡς ἐσφραγισμένον· ὃ ἐὰν δοθῇ ἀνθρώπῳ ἐπισταμένῳ γράμμα-
τα, ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι· ἐσφράγισται γάρ. καὶ ἐὰν δοθῇ
τῷ μὴ εἰδότι γράμματα, ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι, οὐ γὰρ ἔμα-
θον γράμματα. τί βούλεται οὖν τοῦτο τὸ αἴνιγμα; ἡ περὶ Χριστοῦ
προφητεία φησί, καὶ Ἰουδαίοις, καὶ Ἕλλησιν ἠγνοεῖτο, Ἰουδαίοις μὲν τοῖς
εἰδόσι γράμματα, νόμον, καὶ προφήτας. ἐπειδὴ ἐσφράγιστο, Ἰου-
δαῖοι γράμματα ᾔδεισαν, καὶ ἐπαιδεύθησαν. διὰ τοῦτο λέγει αὐ-
τοῖς ὁ Θεός, οἱ βασταζόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι, ἕως γή-
ρως ἦσαν παιδευόμενοι, ἀλλ' οὐκ ᾔδεισαν· ἐπειδὴ τῇ ἀσαφείᾳ
ἐκρύπτετο. τοῖς δὲ Ἕλλησιν ἠγνοεῖτο, οὐ διὰ τὴν ἀσάφειαν, ἀλλὰ διὰ
τὸ ὅλως μὴ εἰδέναι γράμματα. διὰ τοῦτο Παῦλος Τιμοθέῳ τῷ ἐν-
τραφέντι τῷ νόμῳ, λέγει· ὅτι ἐκ βρέφους τὰ ἱερὰ γράμματα
οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν. ἦν οὖν ἡ προ-
φητεία τεθησαυρισμένη, καὶ ἐν ταῖς ἁγίαις βίβλοις ἐγκεκρυμμένη.
δεῖ γὰρ μὴ ἀποστῆναι τοῦ κεκρυμμένου· οὐχ Ἡσαΐας δὲ μόνον δείκνυσι
τὰς προφητείας ἐσφραγισμένας, ἀλλὰ Δανιήλ. λέγει γὰρ αὐτῷ ὁ
ἄγγελος μετὰ τὸ μηνῦσαι αὐτῷ τὴν ἀποκάλυψιν τῶν μελλόντων. καὶ
σὺ Δανιὴλ σφράγισον τὸ βιβλίον τοῦτο τῆς ὁράσεως, ὅτι ἡ δήλωσις
αὐτοῦ εἰς μακράν. διὰ τοῦτο ὁ μακάριος Δαβὶδ ἀναγινώσκων τὸν
νόμον, καὶ ἀναγινώσκων τοὺς προφήτας ἐκ προσώπου τοῦ λαοῦ, [οὐ γὰρ
αὐτὸς ἠγνόει ὁ προφητεύων.] βουλόμενος δεῖξαι, ὅτι ἔμφασιν μὲν
τινα δέχεται τῆς τοῦ Χριστοῦ οἰκονομίας, οὐ δύναται δὲ νοῆσαι διὰ τὴν ἀ-
σάφειαν τῆς λέξεως, ὑπάρχει δὲ παραπλήσιον τοῖς ὁρῶσι βαλάντιο-
ον ἐσφραγισμένον. τί οὖν ποιεῖ βλέπων τὰ γράμματα, καὶ μὴ
καταλαμβάνων αὐτῶν τὰ νοήματα, λέγει, ἀποκάλυψον τοὺς ὀ-
φθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. καὶ πά-
λιν ὁ αὐτός, εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.
οὐ γὰρ ἀνέγνως παρὰ τοῦ νόμου. οὐκ ἐπαίδευσέ σε ὁ Μωϋσῆς τὸν δεκά-
λογον; ἀλλὰ τὰ σὰ βούλομαι μαθεῖν, καὶ τὰ παρά σου τοῦ νομοθέτου,
παρὰ τῆς πηγῆς τοῦ νόμου, βούλομαι μαθεῖν τοῦ νόμου τὴν ἀλήθειαν. ἀλλ'
ἐζήτει μὲν μαθεῖν· ἡ δὲ χάρις ἐταμιεύετο τοῖς μέλλουσι λαμβάνειν τὴν
εὐεργεσίαν. διὰ τοῦτο ἔλεγεν ὁ Σωτὴρ τοῖς μαθηταῖς· πολλοὶ βασι-
λεῖς, καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον,
καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλ-
μοί, ὅτι βλέπουσι. ἀλλὰ ζητοῦμεν πότε ὅλως ἡ σφραγὶς ἀπε-
σφραγίσθη· πότε ὁ δεσμὸς τῆς ἀγνοίας ἐλύθη· πότε τὰ κεκλεισμέ-
να ἀνεῴγει. ἀπαιτεῖ παρ' ἡμῶν ὁ ἀκροατής. καὶ παρὰ τὸν λόγον τὸν
τρόπον μοι, φησί, ἑρμηνεύσας τοῦ σφραγίσματος, τὸν καιρόν μοι τῆς
ἐπιλύσεως τῶν ἐσφραγισμένων οὐ λέγεις; κεκλεισμένας ἔδειξας
τὰς πύλας, ἀνεῳγμένας οὐκ ἀποδείξεις; τί οὖν; ἀπὸ ἑνὸς ῥήματος
τὰ πολλὰ παραστάμενος, παραστήσω τὸ ζητούμενον. τί οὖν; μετὰ τὴν τοῦ
Σωτῆρος ἀνάστασιν, ἀγνοουμένης τοῖς πολλοῖς τῆς θείας χάριτος, Λου-
κᾶς, φησί, τῶν μαθητῶν δύο ἔξω εἰς κώμην ἀπῄεσαν. καὶ πρὸς ἀλλήλους
οἷα φίλοι ἐν ὁδῷ ἀντέβαλλον περὶ τῆς οἰκονομίας. ὁ Σωτὴρ ἀμείψας τὸ
σχῆμα, καὶ τὸ ἐκφώνημα, [ὃ γάρ ἐστι πρόσωπον τοῖς ὁρῶσι, τοῦτο φω-
νὴ τοῖς τὸ πρόσωπον οὐχ ὁρῶσι] κρύπτει καὶ τὴν φωνήν, καὶ τὴν μορφήν, καὶ
λέγει αὐτοῖς ὁ τὰ πάντα εἰδώς, τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε
πρὸς ἀλλήλους; λέγει αὐτῷ τῷ τὰ πάντα εἰδότι ὁ παρ' αὐτοῦ τὰ πάντα
μανθάνων, σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενό-
μενα ἐν αὐτῇ; λέγει· ποῖα; οὗτος ὁ Θεὸς ὁ εἰδὼς τὰ πάντα, καὶ ἐρωτᾷ,
ὁ υἱός ἐστιν ἐκείνου τοῦ λέγοντος τῷ Κάϊν, ποῦ Ἄβελ ὁ ἀδελφός σου; λέ-
γουσι τὰ περὶ Ἰησοῦ τοῦ Ναζαραίου, ὃς ἐγένετο ἀνὴρ δυνατὸς λόγῳ, καὶ

A humanarum cogitationum diſquiſitionem: Theſaurum verita-
tis amplectere. *Simile eſt regnum cœlorum theſauro abſcondito.* Matth.13,44
Quam ob cauſam verò Servator theſaurus appellatur? hic qui-
dem attentè auſculta. Quemadmodum enim theſaurus non qui-
dem tum demum, cum invenitur, exiſtit: ſed dudum eo in loco
repoſitus eſt: recens autem eſt, ipſa inventione: ita ſalutaris illa
doctrina dignitate quidem ſua pervetus eſt: imò initium rerum
omnium: (Si quidem *In principio erat verbum*:) promulgatio Joh.1,1.
B verò ejuſdem propter œconomiam in carne recens eſt. Omnino
igitur ut hoc ſatis intelligas, frater, Chriſtum inſtar theſauri ſui
amantibus reſplendeſcere: & quippiam inveniunt, non aliter ad
ipſum accurrere, ac ſi theſaurum inveniſſent: Andreas ille Petro
beneficium prædicans, ait: *Quem Moſes in lege ſcripſit, & Pro-* Joh.1,45.
phetæ, invenimus Chriſtum. Moſes enim, cæterique Prophetæ in
ſacris literis, velut in theſauris, prædicationem Chriſti repoſue-
runt. Verùm quemadmodum, qui occultum theſaurum repo-
C nunt, ipſi quidem cernunt, quid deponant, ſed occultant viſui ne
ſi conſpiciatur, ab aliis diripiatur: ita etiam Prophetæ, qui Chri-
ſtum prædicarunt, obſcuritate vocabulorum theſaurum illum
contexerunt. Quid ita? Si enim clarè & perſpicuè pronuntiaſ-
ſent, non prophetiam, vel oracula, ſed prædicationem inſtituiſ-
ſent: & intempeſtiva illa rerum futurarum enuntiatio, opportu-
nitatem muneris prædicandi occupaſſet. Quid ergo illi faciunt?
interpretantur, & tamen occultant. Et quis hac de re teſtificatur?
D Eſaias: *Et erit liber hic, velut liber obſignatus, qui ſi detur homini* Eſa. 29,
literas ſcienti, dicet: Non poſſum legere: eſt enim obſignatus: &, ſi ei 11. 12.
detur, qui literas ignoret, dicet: Non poſſum legere: literas enim non
didici. Quid igitur hoc ſibi vult ænigma? Prophetia de Chriſto,
ait, & à Judæis & Græcis ignorabatur: à Judæis quidem, qui li-
teras, legem nempe & Prophetas, tenebant: verùm quia liber ob-
ſignatus erat. Judæi quidem literas ſciebant, & eruditi erant. Ita-
que & Deus ipſis dicit: *Vos qui geſtamini ex utero*, & ad ſenectu-
E tem uſque erudimini: eruditi fuerant, non tamen intellexerunt;
ſiquidem involucris quibuſdam occultabatur. A Græcis verò
ignorabatur: non, quia aliquid obſcuritatis ineſſet, ſed quia lite-
ras omnino non callebant. Itaque Paulus Timotheo qui in lege
educatus fuerat, ſcribit: *Sacras literas à puero noſti, quæ poſſunt ſa-* 2.Tim.3,15
pientem te reddere ad ſalutem. Erat itaque prophetia illo in theſau-
ris abſcondita & repoſita, & in illis ſacris literis occultata. Semper
enim illud occultatum tenendum eſt. Neque verò Eſaias tantum
A prophetias obſignatas proponit, ſed & Daniel. Dicit enim ipſi An-
gelus, poſtquam ipſi revelationem rerum futurarum commòn-
ſtraſſet: Et tu Daniel, obſigna librum hunc viſionis: quoniam
ſignificatio ejuſdem multò poſt aperietur. Hanc ob cauſam bea-
tus etiam David, quum legem & Prophetas in populi perſona le- Dan.12,4
geret (neque enim ipſe prophetico munere fungens, hæc igno-
rabat) cùm propoſitum eſſet demonſtrare, ſignificationem qui-
dem aliquam œconomiæ Chriſti ſeſe capere: verùm propter vo-
B cum obſcuritatem non poſſe exactè intelligere: perſimile quid-
dam et accidit, quod illis qui crumenam aliquam, ſed obſigna-
tam cernunt. Quid ergo facit, quum literas ille quidem intuetur,
& vim atque ſenſum earundem non percipit? Dicit *Revela ocu-*
los meos, & intelligam mirabilia de lege tua. Et rurſus idem: *Bene-* Pſal. 118, 18
dictus es, Domine, doce me juſtificationes tuas. An non in lege legiſti?
an non Moſes te Decalogum docuit? Atqui abs te ipſo tuam di-
ſciplinam edoceri, ab ipſo ſcilicet legumlatore, & legum fonte,
C earundem veritatem cognoſcere cupio. Et certè cupiebat ille qui-
dem diſcere: ſed gratia illa reponebatur iis qui tandem benefi-
cium accepturi erant. Ergo & Servator diſcipulis dixit: *Multi* Luc.10,24.
reges & juſti exoptaverunt videre, quæ videtis, & non viderunt: &
audire, quæ auditis, & non audiverunt. Veſtri verò beati oculi,
quia videtis. Sed nos hoc quærimus: quónam tempore omnino
ſigillum illud ſcripturarum fuerit reſignatum: quandónam vin-
culum hoc ignorantiæ ſolutum fuerit: quando, quæ occluſa
D fuerunt, ſint aperta. Poſtulat à nobis auditor: Præter doctrinam
etiam modum mihi, inquit, ejuſdem obſignatæ commonſtraſti,
& tempus ſolutionis me celabis? Portas mihi occluſas oſtendiſti,
eaſdem apertas non monſtrabis? Itaque unico verbo omnem dif-
ficultatem expediam, perſpicuéque quæſtionem explicabo. Cùm
igitur poſt Domini reſurrectionem, divina gratia illa vulgo mor-
talium incognita eſſet. Duo quidam, inquit Lucas, diſcipuli vi-
cum quendam profecti, inter ſeſe, velut amici, in itinere de œco-
E nomia Servatoris in carne conferebant. Servator & habitu &
charactere ſermonis mutato (quod enim videntibus facies, hoc
vox iis qui faciem non vident) occultat & vocem & ſpeciem il-
lam externam, & ait illis is qui omnia noverat: Quinam ſunt iſti
ſermones, quos confertis ad invicem? Reſpondet ei qui omnia
noverat, quique ab eodem omnia diſcebat: Tu ſolus peregrinus es
Hieruſolymis, neq; ſcis quæ ibidē ſunt facta? Quiſquis ille: Quæ-
nam? Hic Deus, qui omnia noverat, & tamen interrogabat, Filius

eſt illius, qui Caino dicebat: Ubi eſt *Abel frater tuus?* Dicunt illi eaque de Jeſu Nazareno facta ſunt. qui fuit vir potens verbo & opere. Gen.4,9.

A Reipſa vir ille fuit, poſt tot miracula, poſt tot beneficia, poſt tan-
tam divinæ ſuæ poteſtatis demonſtrationem. Nos verò, habet
textus (ne omnia excutiendo nimis prolixi ſimus) nos, ait, ſpera-
bamos, ipſum eſſe qui redempturus eſſet Iſraël. Adverte fidem in
ipſis propemodum extinctam fuiſſe: & porrò etiam illa ſpe œco-
nomiæ Servatoris in carne fruſtrabantur. Nos expectabamus, in-
quit textus: non autem dicit: Nos expectamus, ſed nos expecta-
bamus. Perſpectum ille habuerat, fidem illorum porrò labefa-
Pſal. 145, 8. B ctatam, & ingenio eos eſſe hebetiori affectos: Aſtitit ergo, qui la-
pſos ſuffulcit, quique erigit omnes eliſos. & quomodo ipſos af-
Luc. 24, 18. fatur? ô *ſtulti & tardi corde!* ſcripturas non intelligitis? *Nonne
hæc oportebat Chriſtum pati, & intrare in gloriam ſuam? & inci-
piens à lege & Prophetis, aperiebat illis ſcripturas.* Ecquid vides
quamdiu quidem Chriſtus abfuit, porta veritatis aperta non fuit,
neq; vinculum ignorantiæ ſolutum? Aperiebat illis ſcripturas,
veluti januam quandam occluſam: at quámnam? De qua Pau-
C lus: ut Deus aperiat januam gentibus. Et iterum de Cornelio,
An ne igitur Deus etiam gentibus januam pœnitentiæ aperuit?
Conſidera porrò, quid ille fons bonorum, cùm ad vicum Emaüs
perventum eſſet, quò quidem duo illi tendebant, inſtituat: cùm
ille nondũ noſceretur ab ipſis, apparuit ea re, de quâ dubitabant.
Nam ubi humaniter ab ipſis invitatus eſſet, primum, & velut pe-
regrinus, benevolè ab ipſis & humaniter habitus. (Mane nobi-
ſcum, habent ſacræ literæ, quoniam inclinatus eſt dies.) Ne pror-
D ſus omnino ignorantia dignitatem ipſius obtegeret, Accepto pa-
ne, eundem benedixit fregit & diſtribuit, & apertis ipſorum ocu-
lis, ipſum cognoverunt. Cur illis panem primum porrexit, & tunc
demum oculi illorum aperti ſunt? Quoniam cibus ille Adami
oculos pernicioſè aperuit, nunc illius loco alius cibus inſtitutus,
qui novo quodam & admirabili modo viſum reſtituit. Utinam
verò etiam hæreticorum ſoboles reſpiciat, & lucem illam verita-
tis aſpiciat, cognoſcentque eum qui in principio fuit Deus, qui
E Deus eſt, & Dei verbum exiſtit: rursúmque illud erat, audiant,
deſinántque dictitare illud, non Erat. In principio erat verbum.
Hæc doctrina non confeſtim fuit promulgata. Neque enim mun-
dus hoc capiebat. Itaque Evangeliſtæ, Matthæus, Marcus, Lucas,
Joannes, eminus nobiſcum agunt. Et cùm Evangelicæ doctrinæ
initium feciſſent, non illi ſtatim, quæ divinæ ipſius naturæ con-
ſentanea erant: ſed quæ auditoribus accommodata erant, pro-
Matt. 1, 1. loquebantur. Matthæus cum Evangelium auſpicatur, ait: *Liber
A generationis Jeſu Chriſti, filii David filii Abraham.* At cur non ais,
Filii Dei: Quid ita miſera illa vocula dignitatem occultas? Cur
hominibus res divinas occultas? Apud Judæos, inquit, Evange-
lium prædico, eos, inquam, qui Chriſtum non verum hominem
eſſe, perſuaſum habent: qui filium Abrahæ nondum amplexi
ſint: quomodo ergo Filium Dei ſibi annunciari ſuſtinebunt?
Unde verò hoc: Quoniam ipſum eſſe de ſtirpe Abrahami, non
concedebant. An non audiviſti, cum ipſi ſæpiùs convitia facerent,
Joh. 8, 48 B eidem objicere: *Samaritanus es tu, & dæmonium habes?* Qui igi-
tur ſanctorum ſuorum genere ipſum privabant: quomodo illi
Matt. 1, 1. divinam illius naturam comprehenderent? Quid ergo ait? *Liber
generationis Jeſu Chriſti, filii David, filii Abraham.* Primùm ergo
ipſos benevolis, & ad ipſorum gentem cognationémque perti-
nentibus vocibus allicit: ut ita iiſdem capti & deliniti paulatim
verum cognoſcant: illam nempe impatibilem, puram & dignam
Deo generationem: quæ doctrina prædicabatur, & omnibus tra-
C debatur. Rurſus verò beatus Marcus, cùm ſeſe Evangelio ſcri-
bendo dediſſet, fretus ea, quam præmiſerat, exercitatione, nomi-
nat quidem Dei filium: ſed ſtatim oratione ſuppreſſa, ſententiam
mutilavit, ut præmolliret & demulceret auditorem. Statim itaq;
Matt. 1, 2. aliqua de Joanne Baptiſta ſubjungit, & ait: *Principium Evange-
Eſa. 40, 3. lii Jeſu Chriſti: quemadmodum in Eſaia propheta ſcriptum eſt: Ec-
Malac. 3, 1. ce ego mitto angelum meum ante faciem tuam, qui præparabit viam
tuam ante te.* Lucem nam veritatis ille quidem oſtenderat, ſed ſta-
tim occultavit: & producit primò quidem miniſtrum, ut auditor
D huic voci aſſuetus, deinceps perfectam doctrinam rerum divina-
rum ſincerè amplecteretur. Hos quidem Lucas in ordine tertius
inſequitur, & medium tenet. Attingit ille quidem doctrinam de
Deo, neque tamen interpretatur, neq; dignitatem illam divinam
Luc. 1, 1. explicat: ſed ait: *Quoniam quidem multi conati ſunt ordinare nar-
rationem, quæ in nobis completa ſunt, rerum: viſum eſt & mihi aſſe-
cuto omnia à principio ſcribere, ſicut tradiderunt nobis, qui ab initio
ipſi viderunt, & miniſtri fuerunt ſermonis.* Et Sermonem ille qui-
E dem nominavit, ſed quòd Deus erat verbum, non dixit. Quid igi-
tur ille facit? qui rem quidem nonnihil attigerat: ſed cùm intel-
lexiſſet, ſurdis ſeſe aliquid narrare: dignitatem ille occultat, &
œconomiam in apertum profert: Fuit ſacerdos Zacharias, &
quæ deinceps in Evangelio inſequuntur. Omnes igitur ad
œconomiam in carne primò ſe contulerunt, & ſenſim poſtea expoſitis miraculis, dignitatem naturæ divinæ declararunt. Et qui-
dem dignitas illa divina de Deo verbo prædicabatur: tela verò adverſus hæreticos occultabantur, nec rectæ ſententiæ pro-
Joh. 1. pugnaculum, pietatis prædicatione adhuc conſtitutum fuerat. Joannes verò, filius tonitrui, extremus ad Theologiam ex-

A ἀκμὴν ἀνήρ, μετὰ τοσαῦτα θαύματα ἀνήρ, μετὰ τοσαύτας εὐεργεσίας, μετὰ
τοσαύτην θείας δυνάμεως ἀπόδειξιν. ἡμεῖς δὲ φησιν [ἵνα μὴ
πάντα ἐξετάζων ὁ λόγος μηκύνη] ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστι
ὁ λυτρούμενος τὸν Ἰσραήλ. ὅρα πῶς ἔσβεστο ἐν αὐτοῖς σχεδὸν ἡ πίστις, καὶ
καθῄρητο λοιπὸν ἡ ἐλπὶς τῆς οἰκονομίας. ἡμεῖς προσεδοκῶμεν. οὐ λέ-
γει προσδοκῶμεν, ἀλλὰ προσεδοκῶμεν. ᾔδει οὖν λοιπὸν ἀσθενοῦσαν
αὐτῶν τὴν πίστιν, καὶ κλινάσαν αὐτῶν τὴν διάνοιαν. καὶ ἐπέστη ὁ στηρί-
B ζων τοὺς καταπίπτοντας, καὶ ἀνορθῶν πάντας τοὺς κατερραγμένους. καὶ
τί πρὸς αὐτοὺς ὁ εὐεργέτης; ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ, οὐ συν-
ίετε τὰς γραφάς; οὐ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς "
τὴν δόξαν αὐτοῦ. καὶ ἀρξάμενος ἀπὸ τοῦ νόμου, καὶ τῶν προφητῶν, διήνοι- "
γεν αὐτοῖς τὰς γραφάς. ὁρᾷς, ὅτι ἕως ἀπῆν ὁ Χριστὸς, οὐκ ἀνέῳ- "
κτο τῆς ἀληθείας ἡ πύλη· οὔτε ἐλύθη ὁ δεσμὸς τῆς ἀγνοίας; διήνοιγε
τὰς γραφάς, οἷά τινας θύρας κεκλεισμένας. ποίας θύρας; περὶ ὧν
C φησιν ὁ Παῦλος, ἵνα ὁ Θεὸς ἀνοίξῃ θύραν τοῖς ἔθνεσι. καὶ πάλιν ἐπὶ
Κορνηλίου, ἄρα γε, καὶ τοῖς ἔθνεσιν ἤνοιξεν ὁ Θεὸς θύραν μετανοίας. καὶ
ὅρα τί οἰκονομεῖ ἡ πηγὴ τῶν ἀγαθῶν; ἔτι γὰρ ἐπέστη τῇ κώμῃ τῇ Ἐμ-
μαοῦς, καθ᾽ ἣν καὶ τὴν ὁρμὴν εἶχον οἱ ὁδεύοντες, ἔτι ἀγνοούμενος ὑπ᾽ αὐ-
τῶν, ἐφάνη τῷ ἀμφιβαλλομένῳ. ὡς γὰρ κατεκλήθη αὐτοῖς τὸ πρῶ-
τον, ὡς ξένος φιλοφροσύνης ἀξιούμενος, [μεῖνον γάρ, φησι, παρ᾽
ἡμῖν, ὅτι κέκλικεν ἡ ἡμέρα,] ἵνα μὴ πάντῃ ἡ ἄγνοια κατακαλύψῃ
D τὴν ἀξίαν· λαβὼν ἄρτον ηὐλόγησε, καὶ κλάσας ἐπέδωκε, καὶ ἠνοίχθη-
σαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν. διατί πρῶτον ἔδω-
κε τὸν ἄρτον, καὶ τότε ἠνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί; ἐπειδὴ βρῶσις τοῦ
Ἀδὰμ τοὺς ὀφθαλμοὺς κακῶς ἤνοιξεν, ἀντεισήχθη νῦν βρῶσις τὴν ξέ-
νην ἀνάβλεψιν ἐργαζομένη. ἀναβλέψωσι καὶ οἱ τῶν αἱρετικῶν παῖ-
δες, καὶ ἴδωσι τὸ φῶς τῆς ἀληθείας· ἴδωσι τὸν ἐν ἀρχῇ ὄντα Θεόν· Θεὸν
ὄντα, καὶ Θεοῦ λόγον ὑπάρχοντα. ἀκούσωσι πολλάκις τὸ ἦν, καὶ παύ-
E σωνται λέγοντες τὸ, οὐκ ἦν. ἐν ἀρχῇ ἦν ὁ λόγος. οὐκ εὐθὺς δὲ τοῦτο ἐκη-
ρύχθη· οὐ γὰρ ἐχώρει ὁ κόσμος. μακρὰν ἡμῶν οἱ εὐαγγελισταὶ Ματ-
θαῖος, Μάρκος, Λουκᾶς, καὶ Ἰωάννης. ἀπήρξαντο τοῦ κηρύγματος,
οὐκ εὐθὺς ἐλάλησαν τὰ πρέποντα τῇ ἀξίᾳ, ἀλλὰ τὰ ἁρμόζοντα τοῖς
ἀκροωμένοις. ὁ Ματθαῖος ἀρχὴν ποιησάμενος τοῦ εὐαγγελίου, λέγει·
βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. διατί, "
μὴ υἱοῦ Θεοῦ; διατί πτωχῇ λέξει κρύπτεις τὴν ἀξίαν; διατί τοῖς ἀνθρώ-
ποις τὰ θεῖα καλύπτεις; παρὰ Ἰουδαίοις φησὶ κηρύττω. τοῖς μὴ ἄν-
A θρωπον δίκαιον εἶναι πιστεύουσι τὸν Χριστὸν υἱὸν Ἀβραὰμ οὔπω ἐδέξαν-
το, καὶ υἱὸν Θεοῦ καταγγελλόμενον ἀνέξονται; καὶ πόθεν τοῦτο; ὅτι οὐδὲ τοῦ
γένους αὐτὸν ὡμολόγουν Ἀβραάμ. οὐκ ἤκουσας, ὡς πολλάκις βλα-
σφημοῦντες αὐτὸν, ἔλεγον, Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις; "
οἱ τοῦ γένους αὐτὸν τῶν ἁγίων ἐκβάλλοντες, τὴν ἀξίαν τῆς θεότητος κατελάμβα-
νον; τί οὖν φησι; βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀ-
βραάμ. πρῶτον αὐτοὺς ἐπάγει τοῖς ὀνόμασι τοῖς φίλοις, τοῖς πρὸς
B συγγένειαν ᾠκειωμένοις, ἵν᾽ ἐξ ἐκείνων θηραθέντες κατὰ μικρὸν εὕρωσι τὴν
ἀλήθειαν, τὴν ἀπαθῆ γέννησιν, τὴν ἄχραντον, τὴν θεοπρεπῆ λόγῳ
κηρυττομένην, καὶ πᾶσι παραδιδομένην. πάλιν ὁ μακάριος Μάρ-
κος καθεὶς ἑαυτὸν εἰς τὸ εὐαγγέλιον, καὶ θαρσήσας τοῖς προγεγυμνα-
σμένοις, λέγει μὲν υἱὸν Θεοῦ· ἀλλ᾽ εὐθέως συνέστειλε τὸν λόγον, καὶ ἐκο-
λόβωσε τὴν ἔννοιαν, ἵνα μαλάξῃ τὸν ἀκροατήν. ἐπάγει οὖν εὐθέως τὰ κατὰ
τὸν Βαπτιστὴν λόγον, ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, καθὼς γέ- "
C γραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ· ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ "
προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. ἔδειξε "
τὴν λαμπάδα τῆς ἀληθείας, καὶ εὐθέως ἀπέκρυψε. καὶ προφέρει πρῶτον
τὸν ὑπηρέτην, ἵνα τῇ φωνῇ προσηχηθεὶς ὁ ἀκροατὴς, δέξηται λοιπὸν
ὑγιῶς τὸν παντελῆ τῆς θεογνωσίας λόγον. ὁ Λουκᾶς ἀκολουθεῖ τρίτος,
καὶ μέσος χωρεῖ μετὰ τούτων, καὶ ἅπτεται μὲν τοῦ θείου λόγου, οὐ μὴν ἑρμη-
νεύει, καὶ ἀναπτύσσει τὴν ἀξίαν· ἀλλά φησιν, ἐπειδήπερ πολλοὶ ἐπε- "
χείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡ- "
D μῖν πραγμάτων, ἔδοξε κἀμοὶ παρηκολουθηκότι τοῖς πᾶσιν ἀπ᾽ "
ἀρχῆς γράψαι, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται, καὶ
ὑπηρέται γενόμενοι τοῦ λόγου. ἀλλὰ λόγον μὲν εἶπεν, οὐκ εἶπε δὲ ὅτι καὶ
Θεὸς ἦν ὁ λόγος. τί οὖν καὶ αὐτὸς ποιεῖ; ἁψάμενος τοῦ εἶναι, καὶ ἐννοή-
σας, ὅτι κωφαῖς ἀκοαῖς ἐνηχεῖ, κρύπτει τὴν ἀξίαν, καὶ προφέρει τὴν οἰκο-
νομίαν· ἐγένετο ἱερεὺς Ζαχαρίας· καὶ τὰ ἑξῆς τοῦ εὐαγγελίου. πάντες οὖν
E ἐχώρησαν εἰς τὴν τῆς σαρκὸς οἰκονομίαν καὶ ἠρέμα πως διὰ τῶν θαυμά-
των ἐγνώριζον τὴν ἀξίαν. ἐκηρύττετο δὲ ἐπὶ τοῦ Θεοῦ λόγου τὸ ἀξίωμα.
ἐκρύπτετο δὲ τὰ κατὰ τῶν αἱρετικῶν βέλη, καὶ τὸ τῆς ὀρθῆς δόξης ἐπι-
τείχισμα, οὐδέπω τῷ κηρύγματι τῆς εὐσεβείας ἐγήγερτο. Ἰωάν-
νης τοίνυν ὁ υἱὸς τῆς βροντῆς τελευταῖος παρῆλθεν ἐπὶ τὴν θεολογίαν.

καὶ

μετὰ τοὺς τρεῖς ἐκείνους κήρυκας, καὶ εἰκότως ὁ μὲν ἠκολούθησεν, οἱ δὲ προέλαβον, τὰ μικρά τινα ἀστράψαντες. ὥσπερ γὰρ τῆς βροντῆς προηγεῖται ἀστραπή, ἵνα μὴ ἀθρόον ἐκείνη ἐκ τῶν νεφῶν ῥαγεῖσα πλήξῃ τὸν ἀκούοντα· οὕτως ἐπειδὴ ἔμελλε βροντᾷν ὁ Ἰωάννης, προέλαβον οἱ τρεῖς εὐαγγελισταὶ δίκην ἀστραπῶν, καὶ οἱ μὲν ἤστραψαν τὴν οἰκονομίαν, ὁ δὲ βροντᾷ τὴν θεολογίαν. βροντὴ δέ, ἀδελφοί, μετὰ ὄμβρων, βροντὴ φοβερωτέρα τῶν πονηρῶν· καὶ ὥσπερ ἂν σάλπιγγί τινι κεχρημένος τῇ βροντῇ ὁ οὐρανὸς καλεῖ τὸν ὄμβρον, ἀλλὰ πρῶτον ταῖς ἀστραπαῖς προσκαλεῖ τὸν ὑετόν. ἀστραπὰς γὰρ ὁ Θεὸς εἰς ὑετὸν ἐποίησεν· ἔπειτα τῇ βροντῇ κινεῖ τὰς νεφέλας. τί οὖν; ἐπειδὴ προηγήσαντο αἱ τοσαῦται ἀστραπαὶ τοῦ λόγου, ἀκολουθεῖ τὸ λοιπόν, ὡς ἔφθην εἰπών, ἡ βροντὴ τῆς θεολογίας καταπλήττουσα μὲν πολλοὺς τῇ ὑπερβολῇ τῆς θεολογίας, φέρουσα δὲ τοὺς ὄμβρους τῆς εὐλογίας· καὶ ἡμῖν μὲν βροντὴ γίνεται θεολογίας· τοῖς δὲ αἱρετικοῖς βροντὴ τοὺς κακοὺς θῆρας τῇ ὑπερβολῇ τῆς μεγαλοφωνίας ἐλαύνουσα· ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἀναδράμωμεν οὖν πρὸς τὸν ἐν ἀρχῇ Θεόν, ἀναδράμωμεν πρὸς τὸ ἀΐδιον φῶς, ἀναδράμωμεν πρὸς τὸν λόγον διὰ σὲ γενόμενον ἄνθρωπον. γενόμενον δὲ ὅταν εἴπω, οὐ μεταβληθεῖσαν λέγω φύσιν, ἀλλὰ τὴν ἀνθρώπων ἀξίαν ἀναλαβοῦσαν τὴν ἡμετέραν. τὸ γάρ, ὁ λόγος σὰρξ ἐγένετο, οὐ μετάπλωσιν τῆς φύσεως μηνύει, ἀλλὰ τὴν ἀνάληψιν τῆς ἡμετέρας ἀσθενείας· εἰ γὰρ τὸ ἐγένετο, μεταβολὴν νομίζεις, ἐὰν ἀκούσῃς τοῦ Παύλου λέγοντος, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, κατάραν εἰς φύσιν καὶ μεταστροφὴν κατάρας ἐκλαμβάνεις τὴν λέξιν; ὥσπερ γοῦν τό, γεγονὼς κατάρα, οὐδὲν ἕτερον σημαίνει ἢ ὅτι τὴν καθ' ἡμῶν κατάραν εἰς ἑαυτὸν ἀνέλαβεν· οὕτως καί, καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, οὐδὲν ἄλλο παρίστησιν ἢ τὴν σαρκὸς ἀνάληψιν. ἔχεις εἰκόνα παρὰ σαυτοῦ, ὁ λόγος ὁ σὸς παιδεύσει σε περὶ τοῦ Θείου λόγου· οὐχ ὡς παντελῆ φέρων τὴν ὁμοιότητα, ἀλλ' ὡς ἔχων ἴχνος καὶ ἔμφασιν τῆς θείας ἀξίας ὁ λόγος· ἐνταῦθα δέ μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς, ἵνα μὴ διὰ κενῆς λέγηται τὰ ῥήματα, καὶ ἀφανίζηται τὰ θεῖα νοήματα. ὁ λόγος ὁ τῶν ἀνθρώπων, ἀμυδρὰ μέν ἐστιν ἡ εἰκών, οὐχ ὅλον παριστῶσα τὸ ἀξίωμα, ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς διδάσκουσα. ὁ λόγος ὁ ἡμέτερος ἀσώματός ἐστιν, ἀόρατος, ἀκατάληπτος, ἀκοῇ μόνῃ παραδεδομένος· οὐδεὶς οἶδεν ὄψει λόγον, οὐδεὶς κατέσχε χειρί. ἀλλ' ἔστιν ἀόρατος, ἀκράτητος. ὑπὸ μιᾶς αἰσθήσεως κρατούμενος τῆς ἀκοῆς, καὶ τοῦτο ἀοράτως. οὐ γὰρ χεῖρας ἐκτείνασα ἡ ἀκοὴ κατέχει, ἀλλ' αὐτὸς ὁ λόγος εἰσελθὼν κρατεῖται. ὁ λόγος αὐτὸς γέννημα μέν ἐστι τοῦ νοῦ, γεννᾶται δὲ οὐ πάθει, οὐ τομῇ, οὐ διαιρέσει, οὐ μερίζεται τοῦ νοῦ τοῦ γεννήσαντος, οὐ χωρίζεται, οὐκ ἀποσχίζεται. ἐνταῦθά μοι χρῆσον τὴν ἀκοήν, αἱρετικέ, νόησον πρῶτον τὰ σά, καὶ τότε φαντάζου τὰ ὑπὲρ σέ. γεννᾷ ὁ νοῦς, προέρχεται ὁ λόγος, προέρχεται ἐκ τοῦ γεννήσαντος, καὶ πάντας πληροῖ τοὺς ἀκούοντας, καὶ τοῦ γεννήσαντος αὐτὸν οὐκ ἀφίσταται. προέρχεται λόγος εἰς πάντας μεριζόμενος, καὶ οὐδαμοῦ σχιζόμενος. ἕκαστος γὰρ δέχεται ὁλόκληρον τὸν λόγον, καὶ ἔστιν ἐν ἑκάστῳ, καὶ ἐν τοσούτοις μεριζόμενος ἀλλ' ὁλόκληρος εἰσχεόμενος, ὁ οὖν ἡμέτερος λόγος δείκνυσιν ἐν ἑαυτῷ τὸν γεννήσαντα νοῦν. ἀπὸ γὰρ τοῦ λόγου καταλαμβάνεται ἡ διάνοια. σκόπει δέ μοι κἀκεῖνο, τούτῳ τῷ λόγῳ τῷ ἡμετέρῳ προαναζωγραφῶν τὴν οἰκονομίαν τοῦ Θεοῦ λόγου, εἰκόνα τινὰ θαυμαστὴν προσανέλαβεν γηΐνοις μὲν ἄνθεσιν ἀγλαϊζομένην, περιττοτέρᾳ δὲ τῇ τοῦ λόγου προθυμίᾳ. τί οὖν, τὸν λόγον ἡμέτερον ἀόρατον ὄντα, καὶ σῶμα μὴ ἔχοντα, καὶ κρατεῖσθαι μὴ δυνάμενον, ἑτέρᾳ τινὶ σοφίᾳ ὁ Θεὸς μεταρρυθμίσας, καὶ ὁρατὸν πεποίηκε, καὶ κρατητόν. τί γὰρ ποιεῖ; ἐπειδὴ οὐκ ἦν ὑπὸ τὴν ὄψιν, ἐνέδυσεν αὐτὸν σώματι τὸ γράμμα· καὶ ὥσπερ τινὰ σάρκα αὐτῷ περιέθηκε τὴν τῶν γραμμάτων ὄψιν· καὶ ὅν ποτε ἀκούων οὐχ ἑώρακας, ἀναγινώσκων ὁρᾷς· ὃν ἐντυχεῖν οὐκ ἠδύνω, διὰ τοῦ βιβλίου βαστάζεις· ἀλλὰ σωματοῦται μὲν ὁ λόγος διὰ τοῦ γράμματος, οὐ περικλείεται δὲ τῷ γράμματι, ἀλλ' ἐστὶ παρὰ τῷ λέγοντι, καὶ παρὰ τῷ ἀναγινώσκοντι. κἄν τις λαβών, ἀδελφοί, βιβλίον σχίσῃ, τὸ σῶμα τοῦ λόγου ἔσχισεν, οὐ τὸν λόγον ἔτεμε· καὶ ἵνα μάθῃς, ὅτι οὐ συναναλίσκεται γράμματι λόγος, λέγει ὁ Θεὸς τῷ Ἱερεμίᾳ, καθίσας γράψον ἐπὶ βιβλίου πάντας τοὺς λόγους, καὶ ἐπίδος Ἰωακεὶμ τῷ βασιλεῖ. ἦν δὲ ὁ λόγος μεστὸς ἐλέγχου. ἐπεὶ οὖν οἱ δυνάσται τοὺς ἐλέγχους οὐ φέρουσι· [ἡ γὰρ ἀξία οὐ ῥᾳδίως ὑποτάσσεται τῷ δικαίῳ, ἀλλ' ἀμβλύνει τὴν ἀλήθειαν] πληγεὶς τοῖς ἐλέγχοις διαρρήγνυσι τὸ βιβλίον, καὶ τὴν συμβουλὴν τοῦ γράμματος διακόψας, ἔβαλε, φησί, παρὰ τὴν ἐσχάραν τοῦ πυρός. τί οὖν ὁ Θεὸς πρὸς Ἱερεμίαν καθίσας γράψον τοὺς αὐτοὺς λόγους, καὶ δὸς τῷ βασιλεῖ, ἵνα μάθῃ,

A plicandam poſt illos tres præcones acceſſit: & meritò ſanè ille quidem ſecutus eſt, illi præceſſerunt, qui hactenus paululum fulguris de ſeſe edidiſſent. Quemadmodum fulgur tonitru antecedit, ne, ſi illud ſubitò & confertim è nubibus erumpat, eum, qui audit, planè conterreat: ſic cùm futurum eſſet, ut Joannes tonaret, tres Evangeliſtæ inſtar fulguris præceſſere: & illi quidem œconomiam ejus in carne palàm inſtar fulguris edidêre, hic doctrinam de divina ipſius natura detonat. Tonitru verò, fratres, B cum pluvia conjunctum eſt: tonitru terriculamentum eſt improborum: & cœlum, velut tubâ, tonitru utitur, ut pluviam eliciat, ſed tamen primùm pluviam fulgure evocat. Deus enim *fulgura in pluviam fecit: dehinc tonitru nubes concutit.* (Pſal. 134, 7.) Itaque, ut paulò antè dixi, poſtquam tot fulgura doctrinæ præceſſerunt, ſequitur tandem tonitru Theologiæ, quod perterrefacit multos excellentia Theologiæ, & affert pluvias benedictionis; ſed nobis quidem tonitru Theologiæ, hæreticis autem tonitru, quod C magnitudine ſonitus malas illas feras profligat. *Ab increpatione tua fugient, à voce tonitrui tui formidabunt.* (Pſal. 103, 7.) Recurramus itaque ad Deum, qui in principio fuit, recurramus ad illam lucem æternam, recurramus ad Verbum, quod propter te homo factum eſt. Cùm dico, factum eſt, non naturam illam immutatam fuiſſe dico, ſed dignitatem illam noſtram naturam aſſumpſiſſe. Illud enim, Et verbum caro factum eſt: non illam immutationem declarat, ſed aſſumptionē noſtræ imbecillitatis denotat. Sin verò illud, Fa D ctum eſt, mutationem quandam arbitraris, quid de Paulo fiet, quem audis dicere: *Chriſtus nos redemit à maledictione legis, factus pro nobis maledictio?* (Gal. 3, 13.) Si voculam Maledictionis de natura & converſione in eandem intelligas? Quemadmodum ergo illud, factus maledictio, aliud nihil ſignificat, quàm quòd maledictionem in nos ipſe in ſeſe ſuſcepit: ſic etiam hoc: *Et verbum caro factum eſt, & habitavit in nobis*: (Joh. 1, 14.) aliud nihil ſecum affert, quàm carnis aſſumptionem. Licet verò exemplum de te ipſo capere. Sermo E tuus de divino illo ſermone edocebit: non quòd per omnia eidem ſit ſimilis: ſed tamen quòd veſtigia & illuſtrem ſignificationem divinæ illius dignitatis obtineat. Hic te omnino attente auſcultare velim, ne vel ego fruſtra verba faciam, & divini illi ſenſus pereant. Sermo igitur humanus obſcurior quædam & tenuior imago eſt, quæ nobis divinam illam dignitatem non omnino repræſentat, ſed tamen noſtri conſideratione, ea quæ captum noſtrum excedunt, aliquo modo docet. Sermo noſter incorporeus A & inviſibilis eſt, neque comprehendi poteſt, tantùm audiendi facultate percipitur. Neque enim quiſquam aſpectu ſermonem cognovit, nemo manu tenuit, cùm neque ſub aſpectum cadat, neq; teneri poſſit: tantùm audiendi ſenſu percipiatur, & quidem inviſibili quadam ratione. Non enim audiendi facultas manus extendit, ut teneat: ſed ille ſermo in aures ſeſe inſinuans, ibidem percipitur & tenetur. Idem ille ſermo partus quidam mentis eſt: gignitur autem non perpeſſione aliqua: vel ſciſſura, vel diviſione, B nec ſicut pars de mente, quæ ipſum generat, reciditur: non ſeparatur, non præciditur. Hic arrige aures, hæretice: intellige primùm res tuas, & tum, quæ te altiora ſunt, contemplare. Mens gignit, & ſermo prodit: & quidem ab eo prodit, qui genuit, & omnium aures qui audiunt, complet, nec ab eo, qui ipſum genuit, abſiſtit. Prodit ſermo, qui in omnes diſtribuitur, nec uſpiam finditur. Unuſquiſque enim orationem capit integram, & eſt illa in unoquoque, & in tot diſtributa: tamen integra & perfecta in C funditur. Noſter itaq; ſermo mentem quæ ipſam genuit, demonſtrat. Ex ſermone enim mentis cogitata comprehendimus. Sed & hoc conſidera: hoc noſtro ſermone cum Deus multò antè adumbraret & depingeret œconomiam divini verbi, imaginem quampiam admirabilem floribus, quos terra ex ſeſe fundit, pulchrè reſplendeſcentem, antecedente quadam conſideratione ſermonis, adhibuit. Itaque ſermonem quidem noſtrum, qui & inviſibilis & incorporeus eſt neque teneri poteſt, Deus alio quodam mo D do ſapienter ita conformavit, ut & aſpici poſſet, & teneri. Quid enim ille facit? Cùm igitur ille oculis quidem cerni poſſet, Deus ipſum literis, velut corpore veſtivit: eique, ceu carnem, literas aſpectabiles appoſuit: & quem tu aliquando audiens, non cernebas, eum dum legis, conſpicis: in quem incidere non poteras, in libro circumfers. Verùm ſermo quidem literarum beneficio quaſi corporeus evadit: non autem literis includitur, ſed cum legente & cum dicente conjunctus eſt. Nam licet aliquis arrepto E libro eum diſcerpat, fratres, corpus ille quidem ſermonis diſcerpſit, non autem orationem diſcuſſit. Ut perſpicias literis conſumpeis, non propterea orationem perire, Deus Hieremiæ dicit: *Sedens ſcribe in libro omnes ſermones, & trade Joachim regi.* (Hier. 36, 2.) Plena autem illa oratio reprehenſione fuit. Quoniam verò principes reprehenſiones non facilè ferunt: (Neq; enim dignitas facilè juſtitiæ ſubjicitur: ſed verum obtundit & contorquet) reprehenſionibus illis graviter petitus, librum diſrumpit; & ſic conſilium literarum cum diſcidiſſet, in focum ignis abjecit. Quid igitur Deus denuo ad Hieremiam? Sedens, ſcribe eoſdem ſermones, & da Regi, ut intelligat, ſeſe literas quidem diſcidiſſe, orationem verò non diſſecuiſſe.

imaginem igitur intellexiſti: porro verò animum tuum ad res ſubliniores & altiores erige. Unigenitus ille Dei, ipſe Deus carnem induit, ut qui antè non apparebat, nunc appareat: qui antea non contrectabatur, nunc contrectari poſſit. Joannes ergo exoptato illo oraculo invento: quod quidem fando aliquando à nobis percipiebatur: poſtea verò his oculis aſpe-
Joh. 1, 1. ximus, ait: *Quod fuit ab initio, quod vidimus, quod audivimus & manus noſtræ contrectaverunt.* Carnem igitur velut veſtem di-
Pſal. 92, 4. gnitatis circumferebat: ſed veſtem decentem. *Dominus enim regnavit: decorem indutus eſt.* Judæi certant cum eo qui apparebat: enim, qui non apparebat, non noſcebant: & carnem illi quidem crucifigunt, divinam autem illius naturam non tollunt. Nam ſi meus ſermo cum litera quæ veſtis eſt ſermonis, non perit & evaneſcit: Deus verbum, fons ille vitæ non unà cum carne obiit: ſupplicium illud ad corpus pertinebat, ſed vacuitas omnis perpeſ-
1. Cor. 2, 8. ſionis erat circa dignitatem. Itaque Paulus ait: *Si enim cognoviſſent, Dominum gloriæ non crucifixiſſent.* Quoniam qui carnem induit, carnis paſſionem ſibi propriè vendicat. Quòd ſi veſtem regiam aliqua contumelia afficias, non eum, qui ea indutus ſit, contumelia afficis? an neſcis, ſi quis regis imaginem contumelioſè tractat, hanc contumeliam in ipſum regem redundare? an neſcis tu, ſi quis imaginem, quæ ex ligno facta ſit, vel æream dejiciat ſtatuam, de hoc non ita judicium fieri, velut qui in inanimatum quoddam peccavit: ſed eum, velut qui regi manus inferre auſus ſit, è medio tollit? Ergo materies inanimata, quæ regis imaginem præferat, contumeliam, ſi qua fiat, in regem transfert: forma vero viva, quam Deus Verbum induit, ſi contumelioſè habeatur, non transferet ignominiam in eum qui induit? Quare intellige dignitatem, noli contumelia afficere œconomiam. Atque hæc quidem ſatis ſint: quæ reliqua ſunt in hac quæſtione de Deo Verbo, alteri orationi reſervantes, ordine quodam & moderatione adhibita, Deo gloriam tribuamus Patri, & Filio & Spiritui ſancto, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

S. JOANNIS CHRYSOSTOMI de fide, & lege naturæ, & ſancto Spiritu, Sermo

INCERTO Interprete.

OMnis Scriptura, quæ divinitus inſpirata, & utilis, originem & fontem pietatis à ſpiritu veritatis ducit. Omnia enim profunda flumina à ſancto adorandoque ſpiritu, quaſi à fertili & fœcundo fonte ſcaturiunt. Omnia igitur quæcunque vel lex dicit, vel Prophetæ vaticinantur, vel Apoſtoli prædicant,
1 Cor 12, 11. ſancto ſpiritui verè tribuuntur & aſcribuntur. *Omnia enim operatur unus & idem ſpiritus, diſtribuens peculiariter unicuique ſicuti vult.* Hinc fulgurant omnigenæ pietatis pulchritudines, prælucent veritatis ſermones, manant divinæ ſapientiæ theſauri. Theſauri non qui in terra deliteſcunt, ſed qui in profundo pietatis ſpectantur. Theſauri qui animas lætificant, mentes illuſtrant, orbem totum convertunt, omnem Adæ paupertatem ditant. Quia ſicut primitivam pulcherrimámq; pietatem exuens, in magnam deductus eſt humilitatem: Ita per Salvatoris noſtri Dei verbi condeſcenſionem ditatus eſt. Id quod teſtatur alicubi Paulus,
Ibid. 1, 5. dicens: *Gratias ago Deo, quia in omnibus locupletati eſtis in illo, omni ſermone & omni ſcientia.* Etenim qui Dei ſermonem accipit, dives fit: qui non accipit Dei ſermonem, fit inops. Hujus teſtis
Hier. 5, 4. eſt Hieremias, dicens: Et dixit, *Fortè pauperes ſunt*, propter hoc non poſſunt audire ſermonem Domini. Et pauper quidem malè audit, dives autem exultat. Dives inquam ſermone veritatis, & florens virtutibus fructuoſæ Philoſophiæ. Qualis erat David,
Pſa. 51, 10. dicens: *Ego autem quaſi oliva fructifera in domo Dei.* Oliva fructifera non foliis tantùm germinans, ſed & fructibus pietatis abondans. Sæpe enim fit, ut anima ramis & foliis ſit decora, fructum autem ferat nullum. Sicut de Iſraël Hieremias dicebat: *Vi-*
Jer. 8, 51. *tis pampinoſa Iſrael, non autem frugifera.* Et illa quidem talis fuit: at Propheta exultat, dicens: Ego autem quaſi oliva fructifera non ſolùm foris frondoſa, ſed intus fœcunda. In domo Dei fructifera. Non eſt enim bonum extra domum Dei verſari. Offendes equidem multos, qui quamvis ſermonem veritatis non acceperint, & foris ſint, operibus tamen pietatis, ut apparet, ſunt conſpicui. Invenies viros miſericordes, compatientes, juſtitiæ vacantes: ſed nullos facientes fructus operum, quia neſcierunt opus veritatis. Nam & hæc ſunt opera bona. Atqui neceſſarium eſt, ut præcedat opus ſummum. Enimverò cùm olim Judæi dicerent
Joh. 6, 28. Domino: *Quid faciemus, ut operemur opera Dei?* Reſpondit eis: *Hoc eſt opus Dei, ut credatis in eum quem miſit ille.* Vide quomodo fidem opus vocavit? Igitur quamprimum credideris, ſimul & operibus ornatus eris. Non quòd deſint opera, ſed quòd per ſeipſam fides plena eſt operibus bonis. Opera quidem erga homines, & ex

A ὅλον τὸ γράμμα δέδεξαι, τὸν δὲ λόγον οὐκ ἐτίμησας. εἶδες τὴν εἰκόνα, ἀνάγαγέ σου τὸν λογισμὸν ἐπὶ τὸ ὕψος τῆς διανοίας. ὁ τοῦ Θεοῦ αὐτὸς Θεὸς λόγος ὁ μονογενὴς ἐνδύεται σῶμα, ἵνα φανῇ ὁ μὴ φαινόμενος· ἐνδύεται σάρκα, ἵνα κρατηθῇ ὁ μὴ κρατούμενος. διὰ τοῦτο ὁ Ἰωάννης εὑρὼν τὸ ποθεινὸν ἐκεῖνο, τὸ ποτὲ μὲν ἀκοῇ κρατούμενον, ὕστερον δὲ ὄψει κατεχόμενον, λέγει· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν, καὶ ἀκηκόαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. ἐφόρεσε τοίνυν τὴν σάρκα ἔνδυμα τῆς ἀξίας, ἔνδυμα εὐπρεπές. B ὁ Κύριος γὰρ ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἰουδαῖοι μάχονται τῷ φαινομένῳ, ἀγνοοῦντες τὸν μὴ φαινόμενον, καὶ σταυροῦσι μὲν τὴν σάρκα, οὐκ ἀναιροῦσι δὲ τὴν θεότητα. εἰ γὰρ τῷ γράμματι, ὅ ἐστιν ἔνδυμα λόγου, ὁ ἐμὸς λόγος οὐ συναφανίζεται, ὁ Θεὸς λόγος, ἡ πηγὴ τῆς ζωῆς, τῇ σαρκὶ συναπέθανε; τὸ πάθος περὶ τὸ σῶμα, ἡ δὲ ἀπάθεια περὶ τὴν ἀξίαν. διὰ τοῦτο οὖν ὁ Παῦλος λέγει· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον C τῆς δόξης ἐσταύρωσαν· ἐπειδὴ οἰκειοῦται τὸ πάθος τῆς σαρκὸς ὁ τὴν σάρκα ἐνδυσάμενος. ἔνδυμα βασιλικὸν ἐὰν ὑβρίσῃς, οὐ τὸν ἐνδεδυμένον ὑβρίζεις; οὐκ οἶδας ὅτι εἰ εἰκόνα βασιλέως τις ὑβρίσει, εἰς τὸ πρωτότυπον τῆς ἀξίας φέρει τὴν ὕβριν; οὐκ οἶδας, ὅτι ἐάν τις εἰκόνα τὴν ἀπὸ ξύλου ἢ ἀνδριάντα χαλκοῦν καταστρέψῃ, οὐχ ὡς εἰς ἄψυχον ὕλην τολμήσας κρίνεται, ἀλλ' ὡς κατὰ βασιλέως χεῖρας ἐκτείνας ἀφανίζεται; ὕλη ἄψυχος τοῦ βασιλέως εἰκόνα φέρουσα τὴν D ἑαυτῆς ὕβριν εἰς βασιλέα ἀνάγει· μορφὴ δὲ ζῶσα, ἣν ἐνεδύσατο ὁ Θεὸς λόγος, ὑβριζομένη οὐκ ἐπὶ τὸν ἐνδυσάμενον τὴν ὕβριν ἀνήγαγε; νόησον τὴν ἀξίαν, καὶ μὴ ὕβριζε τὴν οἰκονομίαν. ἀλλὰ ταῦτα μὲν ἱκανά. τὰ δὲ λοιπὰ τῇ θεωρίᾳ τοῦ Θεοῦ λόγου, ἑτέρῳ ταμιευσάμενοι λόγῳ, τάξει τὴν συμμετρίαν μετρησάμενοι, καὶ Θεῷ δόξαν ἀναπέμψωμεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

E

Χρυσοστόμου λόγος πάνυ ὠφέλιμος, περὶ πίστεως, καὶ εἰς τὸν περὶ φύσεως νόμον, καὶ περὶ τοῦ ἁγίου Πνεύματος.

ΠΑΣΑ γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, ἀρχὴν ἔχουσα καὶ πηγὴν τῆς εὐσεβείας, τὸ πνεῦμα τῆς ἀληθείας. ἀπὸ γὰρ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος, ὥσπερ ἀπὸ ἑνὸς εὐθηνοῦς καὶ γονίμου πηγῆς πάντα πηγάζει τὰ θεῖα νάματα. καὶ ὅσα ὁ νόμος A διηγεῖται, ὅσα προφῆται θεσπίζουσιν, ὅσα ἀπόστολοι κηρύττουσι, πάντα ταῦτα τῷ ἁγίῳ πνεύματι ἀληθινῶς ἀπονέμεται καὶ ἐπιγράφεται. πάντα γὰρ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. διὰ τοῦτο πάντα ἀπαστράπτει τὰ κάλλη τῆς εὐσεβείας, καὶ λάμπουσιν οἱ λόγοι τῆς ἀληθείας, καὶ βρύουσι θησαυροὶ τῆς θείας σοφίας· θησαυροὶ οὐκ ἐν γῇ κατακεκρυμμένοι, ἀλλ' ἐν τῷ βάθει τῆς εὐσεβείας θεωρούμενοι· θησαυροὶ ψυχὰς εὐφραίνοντες, B ἐννοίας φωτίζοντες, τὴν οἰκουμένην ἐπιστρέφοντες, πᾶσαν τοῦ Ἀδὰμ τὴν πτωχείαν πλουτίζοντες. ὥσπερ γὰρ εἰς πολλὴν κατῆλθε ταπείνωσιν τὸ πρωτότυπον κάλλος τῆς εὐσεβείας ἀποδυσάμενος, οὕτω διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν τοῦ Θεοῦ λόγου συγκαταβάσεως ἐπλουτίσθη. καὶ μαρτυρεῖ Παῦλος ὥς φησι λέγων· εὐχαριστῶ τῷ Θεῷ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει. ὁ γὰρ Θεοῦ λόγον δεχόμενος πλουτεῖ· ὁ δὲ μὴ δεχόμενος Θεοῦ λόγον, C πτωχεύει. καὶ μαρτυρεῖ Ἱερεμίας λέγων· καὶ εἶπον, ἴσως πτωχοί εἰσι, διὰ τοῦτο οὐ δύνανται ἀκούειν λόγον Κυρίου. ἀλλ' ὁ μὲν πτωχεύων ὀνειδίζεται, ὁ δὲ πλουτῶν ἀγάλλεται, ὁ πλουτῶν τῷ λόγῳ τῆς ἀληθείας, ὁ κομῶν ταῖς ἀρεταῖς τῆς ἐγκάρπου φιλοσοφίας· οἷος ἦν ὁ Δαβὶδ λέγων· ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ἐλαία κατάκαρπος, οὐ φύλλοις κομῶσα, ἀλλὰ καρποῖς εὐσεβείας βρίθουσα. ἔστι γὰρ ψυχὴ πολλάκις κομῶσα μὲν τοῖς κλά-D δοις καὶ τοῖς φύλλοις, καρπὸν δὲ μὴ φέρουσα, ὡς * Ἱερεμίας ἔλεγε περὶ τοῦ Ἰσραήλ· ἄμπελος εὐκληματοῦσα ὁ Ἰσραήλ· εὐκληματοῦσα, οὐκ εὐκαρποῦσα. ἀλλ' ἐκείνη μὲν τοιαύτη· ὁ δὲ προφήτης ἀγάλλεται λέγων· ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος, οὐκ ἐν τοῖς ἔξω κομῶσα, ἀλλὰ τοῖς ἔσω βρύουσα. ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐλαία κατάκαρπος. οὐδὲ γάρ ἐστι καλὸν τὸ ἔξω τοῦ οἴκου τοῦ Θεοῦ πολιτεύεσθαι. εὑρήσεις γοῦν πολλοὺς καὶ ἐκτὸς τοῦ λόγου τῆς ἀληθείας ἔργοις ἀγαθοῖς κατὰ τὸ φαινόμενον E διαλάμποντας· εὑρήσεις ἄνδρας συμπαθεῖς, ἐλεήμονας, δικαιοσύνῃ προσέχοντας. ἀλλ' οὐδεὶς καρπὸς τοῖς ἔργοις, ἐπειδὴ ἠγνόησαν τὸ ἔργον τῆς ἀληθείας. καλὰ μὲν γὰρ καὶ τὰ ἔργα. ἀλλὰ δεῖ προηγεῖσθαι τὸ ἔργον τὸ ἀνώτατον. καὶ γὰρ Ἰουδαίων ποτὲ λεγόντων πρὸς τὸν Κύριον, τί ποιοῦμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; ἀπεκρίνατο πρὸς αὐτούς· τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. ὁρᾷς πῶς τὴν πίστιν ἔργον ἐκάλεσεν. οὐκοῦν ἅμα ἐπίστευσας, ἅμα καὶ τοῖς ἔργοις ἐκοσμήθης. οὐχ ὅτι δὲ ἐλλείπει πρὸς τὰ ἔργα, ἀλλ' ὅτι καθ' ἑαυτὴν πίστις πλήρης ἐστὶν ἀγαθῶν ἔργων. τὰ μὲν γὰρ ἔργα εἰς ἀνθρώπους καὶ ἐξ

ἀνθρώ-

ἀνθρώπων· ἡ δὲ πίστις ἐξ ἀνθρώπων πρὸς Θεόν. ἡ πίστις τὸν ἐπιστρεφόμενον πολίτην οὐρανῶν ἀποδείκνυσιν, ἡ πίστις τὸν ἀπὸ γῆς ἄνθρωπον Θεοῦ συνόμιλον ἀπεργάζεται, οὐδέν ἐστιν ἔξω πίστεως ἀγαθόν. ἐοίκασι δέ μοι, ἀδελφοί, ἵνα οἰκείῳ ἐναγχρήσωμαι τῷ λόγῳ, ἐν ἑκάστῳ οἱ ἔργοις κομῶντες ἀγαθοῖς, καὶ τὸν Θεὸν τῆς εὐσεβείας ἀγνοοῦντες, λειψάνοις νεκρῶν, καλὰ μὲν ἐνδεδυμένοις, αἴσθησιν δὲ τῶν καλῶν οὐκ ἔχουσι. τί γὰρ ὄφελος ψυχῆς νεκρᾶς, τῷ μὲν Θεῷ λόγῳ νενεκρωμένης, τοῖς δὲ ἀγαθοῖς ἔργοις περιβεβλημένης; τὰ ἔργα ἐπ' ἐλπίσι γίνεται B ἀμοιβῆς καὶ στεφάνων. εἰ δὲ τὸν ἀγωνοθέτην ἀγνοεῖς, ὑπὲρ τίνος ἀθλεῖς; οὐ δεῖ μὲν τὴν πίστιν γυμνὴν εἶναι τῶν ἔργων, ἵνα μὴ ὑβρίζηται· πλὴν ἀνωτέρα τῶν ἔργων ἡ πίστις. ὥσπερ γὰρ ἐν τιμῇ τοῖς ἀνθρώποις ἐστὶ πρῶτον προηγεῖσθαι τὸ ζῆν, καὶ οὕτω τὸ τρέφεσθαι [τὸ γὰρ συνέχον τὴν ζωὴν ἡμῶν ἐστιν ἡ τροφή] οὕτω δεῖ προηγεῖσθαι ἡμῶν τῆς ζωῆς τὴν εἰς Χριστὸν ἐλπίδα, τρέφεσθαι δὲ καὶ τοῖς ἔργοις τοῖς ἀγαθοῖς. τὸ μὴ τρεφόμενον ἐγχωρεῖ ζῆν πολλάκις. τὸν δὲ μὴ ζῶντα οὐκ ἐγχωρεῖ τρέφεσθαι. C ἐνήστευσε Μωυσῆς ἡμέρας τεσσαράκοντα· ἀλλ' ἐπειδὴ εἶχεν ἐν ἑαυτῷ τὸν ζῶντα λόγον, οὐδὲν αὐτὸν ἐζημίωσεν ἡ τῶν γηΐνων ἔνδεια. οὕτω καὶ ἐπὶ τῆς κατὰ τὴν ψυχὴν καταστάσεως· δεῖ μὲν τοῖς ἔργοις τρέφεσθαι, δεῖ δὲ πρὸ τῶν ἔργων τὴν πίστιν ἐνδύσασθαι. ἄνευ πίστεως τὸν ἐργαζόμενον ἔργα δικαιοσύνης οὐ δύνῃ παραστῆσαι ζήσαντα, ἄνευ δὲ ἔργων τὸν πιστὸν δύναμαι δεῖξαι καὶ ζήσαντα καὶ βασιλείας ἀξιωθέντα. οὐδεὶς ἄνευ πίστεως ἔζησεν. ὁ δὲ λῃστὴς πιστεύσας μόνον ἐδικαιώθη. καὶ μή μοι λέγε, οὐκ εἶχε καιρὸν πολιτεύεσθαι· οὐδὲ γὰρ ἐγὼ ὑπὲρ τούτου φιλονεικῶ, ἀλλ' ἐκεῖνο D παρέστησα, ὅτι ἡ πίστις καθ' ἑαυτὴν ἔσωσεν. εἰ γὰρ ἐπέζησε τῇ πίστει, καὶ ἔργων ἠμέλησεν, ἐξέπιπτε τῆς σωτηρίας. τὸ δὲ σκοπούμενον νῦν καὶ ζητούμενον, ὅτι καὶ ἡ πίστις καθ' ἑαυτὴν ἔσωσεν, ἔργα δὲ καθ' ἑαυτὰ οὐδαμοῦ τοὺς ἐργάτας ἐδικαίωσε. καὶ θέλεις ἰδεῖν ἀκριβῶς, ὅτι ἔργα ἄνευ πίστεως οὐ ζωοποιεῖ; μεμαρτύρηται Κορνήλιος ἐπὶ ἐλεημοσύναις καὶ προσευχαῖς. ἀλλὰ Χριστὸν ἠγνόει, Θεῷ μὲν πιστεύων, τὸν δὲ τοῦ Θεοῦ λόγον οὐδέπω μεμαθηκώς. καὶ ἐπειδὴ ἔργα ἦν καλὰ καὶ θαυμα- E στά, ἤρεσκε μὲν τῷ τῶν ἀγαθῶν βραβευτῇ καὶ ἐραστῇ Θεῷ. ἀλλ' ἐπειδὴ εἶδεν ὁ τῆς δικαιοσύνης καὶ τῆς ἀληθείας μέγας ὀφθαλμός, ὁ ἀπροσωπόληπτος καὶ δίκαιος κριτής, ὅτι καλὰ μὲν τὰ ἔργα, νεκρὰ δέ ἐστιν οὐκ ἔχοντα πίστιν, ἀποστέλλει ἄγγελον θεῖον βραβεύοντα τοῖς ἔργοις, ὥστε τὸν „καλῶς ἀθλοῦντα στεφανοῦσθαι τῇ πίστει. ὅς φησι πρὸς αὐτόν. Κορνήλιε, „αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον, „ἐνώπιον τοῦ Θεοῦ. εἰ τοίνυν εἰσηκούσθη ἡ δέησις, φησί, καὶ αἱ ἐλεη- A μοσύναι ἐδέχθησαν, τί μοι τὸ λοιπὸν εἰς δικαιοσύνην; πέμψον οὖν εἰς Ἰόππην, φησί, καὶ μετακάλεσαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, ὃς ἐλθὼν λαλήσει σοι ῥήματα, ἐν οἷς σωθήσῃ σὺ καὶ ὅλος ὁ οἶκός σου. οὐκοῦν οὐκ εἶχε τὰ ἔργα σωτηρίαν. εἰ γὰρ ἐξ ὧν κηρύττει Πέτρος, σώζεται καὶ αὐτὸς καὶ οἶκος αὐτοῦ, οὐκ εἶχεν οὐδέπω ὁ Κορνήλιος ἐκ τῶν ἔργων τὴν σωτηρίαν, ἕως αὐτοῦ τοῖς ἔργοις ἐβράβευσεν ἡ πίστις. διὰ τοῦτο καὶ B Πέτρος, ὁ μακάριος καὶ τίμιος Χριστοῦ ἀπόστολος, ἐλθὼν ἐκ τῆς Ἰόππης, καὶ θεασάμενος τοῦ Θεοῦ τὴν χάριν ἐκχυθεῖσαν ἐν τοῖς τότε νομιζομένοις ἀλλοφύλοις, ἐπιγνώμων γενόμενος τῆς τοῦ Θεοῦ κρίσεως, λέγει· ἐπ' „ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ ποιῶν δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν. οὐκ εἶπεν, ἐν παντὶ ἔθνει ὁ ποιῶν δικαιοσύνην σώζεται, ἀλλά, δεκτός ἐστι, τουτέστιν, ἄξιος γίνεται τοῦ δεχθῆναι. δεῖ τοίνυν προλάμπειν τῶν ἔργων τὴν πί- C στιν, καὶ ἀκολουθεῖν τῇ πίστει τὰ ἔργα. καὶ μήτις τὴν πίστιν ὑβριζέτω δι' ἀκαρπίαν, μήτε τὰ ἔργα ὑβριζέτω τῇ ἀπιστίᾳ. γενοῦ ἐλαία κατάκαρπος, ἀλλ' ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τὸ μὲν γὰρ ἐλαίαν εἶναι κατάκαρπον, ἑρμηνεύει κατὰ τὰ ἔργα· τὸ δὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, τὴν πίστιν δείκνυσι. τίνα δὲ τὰ ἔργα τοῦ Θεοῦ; ἅπαντες ἴσμεν, ἐὰν ἐργάζεσθαι θέλωμεν. οὐδὲν γάρ ἐστι κρυπτόν. τὰ μὲν γὰρ τῶν δογμάτων ἀμφιβάλλεται, τὰ δὲ τῶν ἔργων οὐ κέκρυπται. ἡ γὰρ φύσις ὑπαγορεύει τοὺς νόμους. οἴδαμεν ἐξ ἑαυτῶν τί καλὸν καὶ τί πονηρόν. ἔθηκεν ὁ Θεὸς νόμον ἐν τῇ φύσει ἄγραφον, τὸν D φωτίζοντα ἡμῶν τὰς διανοίας. μηδεὶς λεγέτω, οὐκ ἀνέγνων νόμον, οὐκ οἶδα τὰ τοῦ νόμου. ἐὰν γὰρ ἀρνήσῃ τὸν κοινὸν νόμον, ἐλέγχει σε ὁ τῆς φύσεως νόμος. θέλεις μαθεῖν, ὅτι ἐν τῇ φύσει ἔπηξεν ὁ Θεὸς τοὺς νόμους τοὺς διακρίνοντας τί καλὸν καὶ τί πονηρόν; αὐτὴν ἡμῶν τὴν ἀναστροφὴν ἐρώτησον, πῶς ἅπαντες οἱ ποιοῦντες τὰ κακά, φεύγουσι τὴν κακῶν τὴν προσηγορίαν. καὶ ὅπως, ἄκουε. ὁ μοιχὸς μοιχεύει· μοιχὸς δὲ ἀκούων E αἰσχύνεται. εἰπὲ τῷ ὁμολογουμένῳ μοιχῷ, μοιχέ· καὶ ὁ ποιῶν ἥδεται ἀκούων αἰσχύνεται. καίτοι εἰ καλὸν ἡγῇ τὴν ἁμαρτίαν, τί φεύγεις τὴν προσηγορίαν; εἰπὲ τῷ ἐπιόρκῳ, ἐπίορκε· καὶ εἰς ὕβριν λαμβάνει τὴν προσηγορίαν τῶν ἰδίων ἔργων. οὕτως αὐτὴ ἡ φύσις κράζει, ὅτι τὸ φαῦλον ἀλλότριον τοῦ ἔργου τοῦ Θεοῦ. καὶ ὃ ἐποίησεν ὁ Θεὸς καλόν, καὶ καλὸν λίαν, καὶ οὕτω καλόν, ὅτι καὶ τοῖς κακοῖς ἐμφύεται, καὶ τὴν κακίαν αἰσχύνεται. εἰπὲ τῷ σώφρονι, σῶφρον· καὶ ὁ τῷ ἔργῳ ἥδεται, οὐδὲ τὴν προσηγορίαν αἰσχύνεται. κάλεσον τὸν δίκαιον, δίκαιε· καὶ τῷ ἔργῳ στεφανοῦται, καὶ τῇ προσηγορίᾳ σεμνύνεται. κἂν γὰρ δι' εὐλάβειαν παραιτήσηται τὸ ὄνομα, ἀλλ' ἐν

A hominibus ſunt: Fides autem ex hominibus erga Deum. Fides eum qui convertitur, civem cœlorum efficit. Fides hominem, qui terrenus eſt, Deo familiarem reddit. Nihil enim extra fidem bonum. Et ut quadam verbi ſimilitudine utar. Fratres, ſimiles mihi videntur qui operibus bonis florent, & Deum pietatis ignorant, reliquiis mortuorum pulchrè quidem indutis, ſenſum autē pulchrorum non habentib᷒. Quæ enim utilitas animæ mortuæ, Deo quidem mortuæ, fide & ratione, bonis autem operibus veſtitæ? B Opera in ſpe fiunt retributionis & coronarũ. Quòd ſi agonothetam ignoras, pro quo certas? Non oportet quidē nudam ab operibus eſſe fidem, ut ne vituperetur. Veruntamen ſublimior eſt fides, quàm opera. Sicut enim hominibus, qui hominis nomen merentur, opus eſt primum, ut præcedat vita, & ſic enutriantur: conſervat enim vitam noſtram alimentum: Ita neceſſarium, ut præcedat vitam noſtram ſpes in Chriſtum, quæ poſtea paſcenda bonis operibus. Conceditur vivere quempiam qui non nutritur: non C conceditur autem nutriri aliquem non viventem. Jejunavit Moſes diebus quadraginta: ſed quia habuit in ſe animam viventem, Exod. 34, 28 nihil detrimenti ex terrenorum penuria accidit ei. Ita & opus quidem habet anima, ut operibus alatur. Ante opera tamen fides primum induenda eſt. Eum qui operatur opera juſtitiæ, ſine fide non potes probare vivum fuiſſe. Fidelem autem abſq; operibus poſſum monſtrare & vixiſſe, & regnum cœlorum aſſecutum. Luc. 23, 43 Nullus ſine fide vitam habuit. Latro autem credidit duntaxat & juſtificatus eſt à miſericordiſſimo Deo. Atq; hic ne mihi dixeris, D defuiſſe ei tempus quo juſtè viveret & honeſta faceret opera. Neque enim de hoc contenderim ego, ſed illud unum aſſeveraverim, quòd ſola fides per ſe ſalvum fecerit. Nam ſi ſuper vixiſſet, fideiq; & operum fuiſſet negligens, à ſalute excidiſſet. Hoc autem nunc quæritur & agitur, quod & fides per ſeipſam ſalvum fecerit: opera autem per ſe nullos unquam operatos juſtificarunt. Et vis planè videre quòd opera ſine fide non vivificant? Teſtimonium bonum habuit Cornelius de eleemoſyna & precibus: ſed Chriſtum E ignorabat. Deum quidem credens: Dei autem ſermonem nondum edoctus. Et quia opera erant bona & admirabilia; placebant quidem bonorum remuneratori & amatori Deo: Sed quia magnus ille juſtitiæ & veritatis oculus, juſtus, inquam, ille judex, perſonarum reſpectum neſciens, vidit bona quidem opera, ſed mortua, eo quod fidem non habebant: mittit divinum angelum qui operib᷒ præmia proponeret, ita ut bene certando ob fidem coronari poſſet. Qui dicit ei: *Corneli, preces tuæ & eleemoſynæ tuæ aſcenderunt* A *in memoriam coram Deo.* Si igitur exaudita eſt petitio, inquit, & Act. 10, 4. eleemoſynæ meæ acceptæ ſunt, quid mihi deeſt ad juſtitiam? Mitte igitur in Joppem, dicit, & accerſe Simonem, qui agnominatur Petrus: Qui ubi venerit, loquetur tibi verba, in quibus ſalvaberis tu, & tota domus tua. Itaque non poterant opera ſalvare. Nam ſi his quæ Petrus prædicat, ſalvatur & ipſe, & domus ejus: nondum habuit Cornelius ex operibus ſalutem, donec operibus B ſuis fides acquirendum præmium offerret. Atq; hanc ob cauſam beatus Petrus, venerandus Dei Apoſtolus, poſtquam ex Joppe venit, & vidit Dei gratiam in eos qui tunc habebantur alienigenæ, effuſam, factus divini judicii admirator, dicit: *In veritate comperi quòd non eſt perſonarum acceptor Deus:* ſed in omni gente, qui facit Ibidem. 34. juſtitiam, ei acceptus eſt: hoc eſt, dignus fit ut aſſumatur. Oportet igitur & ante opera lucere fidem, & fidei pediſſequa eſſe opera: & ne quis fidem propter ſterilitatem, neque opera propter incredu- C litatem vituperet. Eſto igitur oliva fructifera, ſed in domo Dei. Interpretandum eſt de operibus, eſſe olivam fructiferam, de fide autem, eſſe in domo Dei. Quæ autem Dei ſunt opera? Omnes ſcimus, ſi operari volumus. Nullum enim eſt occultum. Nam in dogmatis quidem ambiguitas eſt & diſceptatio, opera autem non ſunt occulta. Natura enim leges ſuggerit. Scimus ex nobiſipſis quid bonum & quid malum. Poſuit Deus in natura noſtra legem non ſcriptam, quæ illuſtret mentes noſtras. Nullus dicat, legem D non legeram, neſciebam quæ ad legem pertinent. Nam ſi negaveris communem legem, arguit te naturæ lex. Vis diſcere quod Deus naturæ inſeverit leges, quæ diſcernant quid bonum, & quid malum? Interroga noſtram ipſorum converſationem, quomodo omnes qui faciunt mala, fugiunt, ne mali appellentur? Et quomodo, audi: Adulter adulterium committit, et ubeſcit autem ſi adulter vocetur. Dic manifeſtario adultero, Adulter: confundetur tamen, licet dum facit delectetur. Quòd ſi bonum putas peccatum, E quare appellari talis tantopere fugis? Dic perjuro, Perjure: & pro contumelia dictum habebit ſuorum operum appellationem. Sic natura ipſa clamat quod malum ſit, & alienum ab opere Dei. Et quod fecit Deus, bonum eſt, & bonum valde, atque ita bonum, quòd & malis immiſcetur, & maliciā erubeſcit. Dic caſto, Caſte: & qui opere delectatur, de appellatione non erubeſcit. Voca juſtum, juſtum: & opere coronatur, & appellatione honeſtatur. Et licet modeſtiæ gratia nomen fugiat, laudem tamen

men in anima ſua accipit. Cogita quantum malorum committatur in mundo; & perſonā caret malum, & quomodo perſonam non habet? Si particulatim inquiras, nullam invenies malitiam in ſua apparentem perſona. Non enim, niſi perſonam aſſumat virtutis, apparet. Et quomodo, audi: Qui mentitur, non fatetur ſe mentiri, mentitur, ſed veritatem ſimulans decipit. Qui injuſtè agit, non prædicat quod eſt, ſed quod non eſt, ſimulat, & tunc injuſtitiam operatur. Similiter doloſus non oſtendit dolum, ſed aſſumit amicitiæ perſonam, & ſic rem facit malam. Adulter non illegitimum adulterium confeſſus, in ædes impetum facit: ſed figmentum continentiæ prætexens, divina violat. Vides quòd propriam perſonam non habet malitia? Similiter & calumniator, quando ingreditur in judicium, non hoc confitetur quod eſt, ſed larvam aſſumit veritatis, quaſi ei patrocinari velit, eámque facit malitiæ teſtem propter mendacia. Sic malitia perſona propria caret, niſi perſonam veritatis aſſumat. Et idcirco Salvator dicebat: *Venient ad vos in veſtimentis ovium, intrinſecus autem ſunt lupi rapaces.* Sed ad inſtitutum redeamus. Vis videre, frater, quantum valeat innata lex? Et anima noſtra, quamvis tota malis fermentata ſit, nomen tamen bonum amet & amplexatur. Sæpenumerò potentes qui avaritiam ſpirant, & nihil præterquam rapinam & injuſtitiam cogitant, vincuntur aliquorum precibus: ut valde imminentem pauperi neceſſitatem remittant, vel debitum dimittant, vel non ulciſcantur eos, qui ſe læſerūt, vel læſiſſe cenſentur. Et qui legatione fungitur apud virum potentem, & malum, non ſtatim à veritate exorditur: non dicit ei, quod eſt, ſed tribuit ei nomen virtutis. An neſcis qualibus ſemper inſignes legati coloribus utantur? Vir es, inquiunt, bonus, celebratum ubique eſt nomen tuum. Omnes tua bona opera decantant: multáque talia exhortationi inſerunt, ut flectant laudibus, & malitiam effugiant. Vides quomodo malitia virtutis laude vincatur? Nullus malus, malus dici vult. Natura enim quod ſuum eſt amplexatur, etiamſi voluntas diverſum eligat. Simus ergo, dilecti, oliva fructifera, & operibus, fructibus, & foliis ornati. Folia enim noſtra ſunt ſermones, fructus autem converſatio: ſit igitur & honeſtus ſermo, & bonæ frugis converſatio. Apud pium enim neque folium decidit. *Folium enim ejus*, inquit David, *non defluet, & omnia quæcunque faciet, proſperabuntur.* Sed ô miraculum? Cogita quomodo Adam nudus exivit de Paradiſo, & quomodo David floret in domo Dei. Ille quidem exivit nudus propter prævaricationem: ille autem indutus virtutibus, clamat: *Ego autem quaſi oliva fructifera.* Nihil nos ita ſpoliat, ut fructuum privatio. Nihil ita veſtit, ut bonorum operum fertilitas. Formatus eſt Adam. (Operæ pretium enim fuerit repetere quæ antè ſunt dicta.) Bonorum enim repetitio, doctrinam in animabus benè ſtabilit. Sicut lanas, quæ ſubinde in tincturas immerguntur, crebra tinctio profundiùs operationem recipere facit, ita opus eſt ut & animæ noſtræ continuò in divinos ſermones intingantur, ut abluamur quidem à veteri opprobrio, induamur autem nova pulchritudine. Enimvero lanæ illæ cùm tinguntur, naturæ ſuæ nomen amittunt, & tincturæ nomen accipiunt. Et non ultrà vocas lanam, ſed vel purpuram, vel coccinum, vel praſinum, vel tale aliquid, prout colorem tinctæ præbuerit tinctura. Si igitur tinctio naturæ nomen transformat: cur Dei natura non transformat hominem, ita ut is qui antè terrenam gerebat imaginem, poſt tincturam imaginem gerat fulgidam, & plus quàm cœleſtem? Formatus eſt igitur Adam pauper de terra. Pulvere enim accepto, Deus eum formavit. Sed neſcivit Adam quomodo formatus eſt, ut antè dixi. Non enim oportebat eum teſtem adeſſe eorum quæ fiebant, ut ne contra Deum extolleretur, & ignoraret eum qui ſe creaverat. Si enim tanta circumdatus humilitate, ignorat eum qui ſe creavit, & ſuum contemnit conditorem: ſi accepiſſet quid ſuper naturam, quis remiſiſſet ei immodicam ſuperbiam? Propterea Deus cùm finxit hominem figmento magnam virtutem & variam humilitatem impoſuit, ut per virtutem inſitam gratia Dei in admiratione eſſet: propter humiliationem autem humanus faſtus deprimeretur, ac modeſtior fieret. Dedit ei linguam, quæ loqueretur, Deum laudaret, divina caneret, pulchritudinem naturæ interpretaretur. Diſſerit de cœlo & terra parva linguæ caruncula; neque duorum digitorum habens latitudinem. & quid inquam digitorum? neque extremitatis unguis; ſed ſummum illud parvum, & vile, de cœlo & terra loquitur. Et ut ne putet ſe magnam aliquam eſſe, & extollat ſe ſuper naturam, ſæpe tumores & ulcera in ea fiunt, ut diſcat quò mortalis exiſtens, de externis & immortalibus loquatur, & ſciat quæ virt' ejus, quod prædicatur; & infirmitas ejus qui prædicat. Dedit ei oculum parvum nihil

Matt. 7. 15.

Psal. 1. 3.

Ib. 51. 8.

τῇ ψυχῇ δέχεται τὴν εὐφημίαν. ἐννόησον ὅση κακία ἐν κόσμῳ πολιτεύεται, καὶ πρόσωπον οὐκ ἔχει. καὶ πῶς οὐκ ἔχει πρόσωπον; ἐὰν λεπτομερῶς ἐρευνήσῃς, οὐδεμίαν εὑρήσεις κακίαν ἐξ οἰκείου προσώπου φαινομένην· ἀλλ' ἐὰν μὴ δανείσηται πρόσωπον ἀρετῆς, οὐ φαίνεται. καὶ ὅπως, ἄκουε. ὁ ψευδόμενος, οὐχ ὁμολογῶν τὸ ψεῦδος, ψεύδεται, ἀλλ' ἀλήθειαν ὑποκρινόμενος, ἀπατᾷ. ὁ ἀδικῶν οὐ κηρύττει ὅ ἐστιν, ἀλλὰ σχηματίζεται ὃ μή ἐστι, καὶ τότε τὴν ἀδικίαν ἐργάζεται. ὁμοίως ὁ δόλιος οὐ δείκνυσι τὸν δόλον, ἀλλὰ σχηματίζεται τὴν φιλίαν, καὶ πραγματεύεται τὴν πονηρίαν· ὁ μοιχὸς οὐχ ὁμολογήσας τὴν ἄθεσμον μοιχείαν, ἐπιπηδᾷ τῷ οἴκῳ, ἀλλὰ πλάσμα σωφροσύνης ἐνδυόμενος, εἰς τὸ σῶμα ἐνυβρίζει τὰ θεῖα. ὁρᾷς ὅτι οἰκεῖον οὐκ ἔχει πρόσωπον ἡ κακία; ὁμοίως καὶ ὁ συκοφάντης, ὅταν εἰσέλθῃ εἰς δικαστήριον, οὐ τοῦτο ὁμολογήσας, ὅπερ ἐστὶν, εἰσέρχεται, ἀλλὰ μάρτυρα ἀληθείας προστησάμενος τῷ σχήματι, διὰ τοῦ ψεύδους τὴν μάρτυρα τῆς κακίας ἐνδείκνυται. οὕτω κακία πρόσωπον ἴδιον οὐκ ἔχει, ἐὰν μὴ δανείσηται πρόσωπον ἀρετῆς. διὰ τοῦτο ὁ Σωτὴρ ἔλεγεν, ἐλεύσονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. θέλεις ἰδεῖν, ἀδελφὲ, ὅσον δύναται ὁ ἔμφυτος νόμος; καὶ ἡ ψυχὴ ἡ ἡμετέρα, κἂν ἐν κακίαις ἐμφύρηται, τὸ ὄνομα τὸ ἀγαθὸν ἀσπάζεται. πολλοὶ πολλάκις δυνάσται πλεονεξίαν πνέοντες, καὶ μηδὲν ἕτερον ἐννοοῦντες, ἢ ἁρπαγὴν καὶ ἀδικίαν, δυσωποῦνται παρά τινων ἢ ἀνιέναι τῷ πένητι τὴν ἐπικειμένην ἀνάγκην, ἢ συγχωρῆσαι τὸ χρέος, ἢ μὴ ἀμύνασθαι τοὺς λυπήσαντας, ἢ λυπεῖν νομισθέντας. καὶ ὁ ἐλθὼν καλῶς πρεσβεῦσαι παρὰ ἀνδρὶ δυνάστῃ καὶ πονηρῷ, οὐκ εὐθέως ἀπὸ τῆς ἀληθείας ἄρχεται· οὐ λέγει αὐτῷ, ὅ ἐστιν, ἀλλὰ περιτίθησιν αὐτῷ ὄνομα ἀρετῆς. ἢ οὐκ οἶδας πῶς ἀεὶ σχηματίζονται οἱ καλῶς πρεσβεύοντες; ἀνὴρ εἶ, φησὶν, ἀγαθὸς, διαβεβόηταί σου τὸ ὄνομα, πάντες σου τὰς εὐπραγίας ᾄδουσι· καὶ πολλὰ τοιαῦτα συμπλέκει τῇ παρακλήσει, ἵνα καμφθῇ τῇ εὐφημίᾳ, καὶ φύγῃ τὴν πονηρίαν. ὁρᾷς πῶς ἡ κακία νικᾶται ὑπὸ τῆς εὐφημίας τῆς ἀρετῆς. οὐδεὶς κακὸς, κακὸς ἀκούειν βούλεται· ἡ γὰρ φύσις τὸ ἴδιον ἀσπάζεται, εἰ καὶ ἡ προαίρεσις τὸ ἐναντίον αἱρεῖται. γενώμεθα οὖν, ἀγαπητοὶ, ἐλαία κατάκαρπος, καὶ ἔργοις καὶ καρποῖς καὶ φύλλοις κομῶντες. φύλλα ἡμῶν οἱ λόγοι, καρπὸς ἡ πολιτεία. γινέσθω σου καὶ ὁ λόγος σεμνὸς, καὶ ἡ πολιτεία εὔκαρπος· παρὰ γὰρ τῷ εὐσεβεῖ οὐδὲ τὸ φύλλον ἀποβλητόν· τὸ γὰρ φύλλον αὐτοῦ, φησὶν ὁ Δαβὶδ, οὐκ ἀποῤῥυήσεται, καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται. ἀλλ' ὢ τοῦ θαύματος· ἐννόησον πῶς ὁ Ἀδὰμ γυμνὸς ἐξῆλθε τοῦ παραδείσου, καὶ πῶς Δαβὶδ κομᾷ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ὁ μὲν ἐξῆλθε γυμνὸς διὰ τὴν παράβασιν, ὁ δὲ ἐνδυσάμενος ἀρετὰς, βοᾷ, ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος. οὐδὲν ἡμᾶς οὕτως ἀποδύει, ὡς ἀκαρπία· καὶ οὐδὲν ἡμᾶς οὕτως ἐνδύει, ὡς καρποφορία δι' ἔργων χρηστῶν. ὁ Ἀδὰμ ἐπλάσθη [δεῖ γὰρ καὶ νῦν ἐπαναλαβεῖν τὰ εἰρημένα] ἐπειδήπερ ἡ τῶν ἀγαθῶν ἐπανάληψις βεβαιοῖ ταῖς ψυχαῖς τὴν διδασκαλίαν. ὥσπερ γὰρ βαπτόμενα ἔρια συνεχῶς ταῖς βαφαῖς ἐμβάλλεται, ἵνα εἰς βάθος δέξηται τὴν οἰκείαν ἐνέργειαν ἡ βαφή· οὕτω δεῖ καὶ τὰς ἡμετέρας ψυχὰς συνεχῶς τοῖς θείοις λόγοις ἐμβάπτεσθαι, ἵνα ἀποπλυθῶμεν μὲν τὸ ἀρχαῖον ὄνειδος, ἐνδυσώμεθα δὲ τὸ νέον κάλλος. καὶ γὰρ ἐκεῖνα τὰ ἔρια, ἐπειδὰν δέξηται τὴν βαφὴν, ἀποτίθεται τῆς φύσεως τὸ ὄνομα, καὶ δέχεται τῆς βαφῆς τὴν προσηγορίαν· καὶ οὐκ ἔτι καλεῖς ἔριον, ἀλλὰ πορφύραν, ἢ κόκκινον, ἢ πράσινον, ἢ τι τοιοῦτον, οἷον ἡ βαφὴ παρέσχε τῷ βαφέντι τὸ κάλλος. εἰ οὖν ἡ βαφὴ μεταβάλλει φύσεως ὄνομα, Θεοῦ φύσις οὐ μεταβάλλει τὸν ἄνθρωπον· ὥστε τὸν αὐτὸν πρὸ μὲν τῆς βαφῆς εἶναι εἰκόνα χοϊκὴν, μετὰ δὲ τὴν βαφὴν εἰκόνα λαμπρὰν ἐπιτυγχάνειν;] ἐπλάσθη τοίνυν ὁ Ἀδὰμ πτωχὸς ἀπὸ γῆς. χοῦν γὰρ λαβὼν ὁ Θεὸς ἔπλασεν αὐτόν. ἀλλ' οὐκ εἶδεν ὁ Ἀδὰμ πῶς ἐπλάσθη, ὡς ἔφθην εἰπών. οὐ γὰρ ἐχρῆν αὐτὸν μάρτυρα παρεῖναι τῶν γινομένων, ἵνα μὴ ἐπαίρηται κατὰ τοῦ Θεοῦ. εἰ γὰρ τοσαύτῃ ταπεινώσει περιβεβλημένος ἐπαίρεται, καὶ ἀγνοεῖ τὸν κτίσαντα, καὶ ἀθετεῖ τὸν πλάσαντα, εἰ ἔλαβε τὸ ὑπὲρ τὴν φύσιν, τίς ἂν ἐχώρησεν αὐτοῦ τῆς ὑπερηφανίας τὸ ἀμέτρητον; διὰ τοῦτο ὁ Θεὸς πλάσας τὸν ἄνθρωπον, καὶ δυνάμεις μεγάλας ἐνέθηκε τῷ πλάσματι, καὶ ταπεινώσεις πολλὰς, ἵνα διὰ μὲν τῆς ἐγκειμένης δυνάμεως, ἡ χάρις τοῦ τεχνίτου θαυμάζηται, διὰ δὲ τῆς ταπεινώσεως τὸ φρόνημα τὸ ἀνθρώπινον καταστέλληται. ἔδωκεν αὐτῷ γλῶτταν φθεγγομένην, Θεὸν ὑμνοῦσαν, τὰ θεῖα ᾄδουσαν, ἑρμηνεύουσαν τὰ κάλλη τῆς κτίσεως. διαλέγεται περὶ οὐρανοῦ καὶ γῆς, μικρὸν σαρκίον, ἡ γλῶσσα, οὐδὲ δύο δακτύλων ἔχουσα μέτρον. καὶ τί λέγω δακτύλων; οὐδὲ ἄκρου ὄνυχος. ἀλλὰ τὸ ἄκρον ἐκεῖνο τὸ μικρὸν, καὶ εὐτελὲς φθέγγεται περὶ οὐρανοῦ καὶ γῆς. καὶ ἵνα μὴ νομίσῃ ὅτι μεγάλη τίς ἐστι, καὶ ὑπὲρ τὴν ἑαυτῆς φύσιν ἐπαίρηται, πολλάκις καὶ φύματα καὶ τραύματα αὐτῇ περιπλέκεται, ἵνα μάθῃ ὅτι θνητὴ οὖσα περὶ τῶν ἀιδίων καὶ ἀθανάτων λαλεῖ, καὶ ὀφείλει γνωρίζειν τίς μὲν ἡ τοῦ κηρυττομένου δύναμις, καὶ τίς ἡ ἀσθένεια τοῦ κηρύττοντος. ἔδωκεν αὐτῷ ὀφθαλμὸν, τὸν μικρὸν ἐκεῖνον

κύκλον

ἑλίξεω. τὸ μέσον γάρ ἐστι τὸ βλέπον, τὸ κόρης τὸ μεσαίτατον. καὶ A
διὰ τῆς μικρᾶς ἐκείνης κόρης καθορᾷ πᾶσαν τὴν κτίσιν. καὶ
ἵνα μὴ περιλαμβάνων τῇ ὄψει πᾶσαν τὴν κτίσιν ἐπαίρηται, πολλάκις
καὶ ὀφθαλμίαι καὶ λῆμαι καὶ δάκρυα, καὶ ὅσα θολοῖ τὴν ὄψιν, ἐπιγίνονται,
ἵνα ἀπὸ μὲν τῆς ἀσθενείας ἑαυτὸν γνωρίσῃ· ἀπὸ δὲ τῆς δημιουργίας τὸν
τεχνίτην ἐκθειάσῃ. ἔδωκεν αὐτῷ καρδίαν λογιζομένην, ῥίζαν ἐπι-
θυμημάτων, πηγὴν λογισμῶν. ἀλλ' ἐν αὐτοῖς τοῖς τόποις ἐποίησε
καὶ τὴν ἐντέρων διάπλασιν, ἅτινα καὶ κόπρων, καὶ πάσης ἄλλης ἀη- B
δίας πληροῦται, δι' ὧν ὁ ἄνθρωπος ἐσθίει, ἵνα, ὅταν ἐπαίρηται ἡ καρ-
δία, καταστέλλῃ αὐτὴν ἡ γαστήρ. οὕτω καὶ ἡ γαστὴρ καὶ ἡ κόπρος ἀναγ-
καία πρὸς παιδαγωγίαν. εἰ γὰρ κόπρον περιφέρων ἄνθρωπος τολ-
μᾷ θρασύνεσθαι· καὶ οὐχ ἁπλῶς θρασύνεσθαι, ἀλλὰ καὶ κατὰ τοῦ Θεοῦ,
ὡς ἐτόλμησέ τις βάρβαρος βασιλεὺς εἰπεῖν, ἐπάνω τῶν ἄστρων θή-
σω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· εἰ τοσαύτην κόπρον
καὶ ἀηδίαν περιφέρων οὕτω λαλεῖ, εἰ ταύτης παντελῶς ἀπήλλακτο C
τῆς ἀσθενείας καὶ εὐτελείας, τίς ἂν αὐτὸν ἤνεγκεν ἐπαιρόμενον; διὰ τοῦτο
ὁ μέγας Ἠσαΐας πρὸς τοὺς ὑπερηφάνους φησί· τί ἀλαζονεύεται
γῆ καὶ σποδός; ἀλλὰ πάλιν εἰς τὸ προκείμενον ἐπανέλθωμεν· ὁ Θεὸς
ἔπλασε τὸν ἄνθρωπον ἀπὸ χοός· ἀλλ' οὐκ οἶδεν ὁ ἄνθρωπος, ὅπως ἐγένετο.
διὰ τοῦτο καὶ ἠγνόησεν αὐτοῦ τὴν εὐτέλειαν. ὁ Θεὸς γάρ, ὡς ἔφθην εἰπών,
οὐ προτέραν ἐποίησε τὴν ψυχὴν τοῦ σώματος, ἵνα μὴ βλέπῃ τὴν δη-
μιουργίαν· πλὴν, ἐπειδήπερ ὅλως οὐκ οἶδεν ἐξ οἵας ταπεινώσεως D
ἀνέστη. καὶ ὅτι αὐτὸν ὁ δημιουργὸς ἀπὸ γῆς ἔπλασεν, ἀποστρέφει αὐτὸν
εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη· ἵνα πάλιν τῆς ἑαυτοῦ ἀσθενείας πειραθείς,
ἐπιγνῷ καὶ τὴν ἀρχαίαν εὐεργεσίαν, καὶ τὴν μέλλουσαν φιλανθρωπίαν.
ὅτε μὲν γὰρ ἐπλάσθη, οὐκ οἶδεν ὅτι ἀπὸ τῆς γῆς ἐγένετο. πρόσεχε ἀκρι-
βῶς, μή σε παραδράμῃ τὸ νόημα. ὅτε ἐπλάττετο ὁ Ἀδάμ, οὐκ οἶδεν
ὅτι ἀπὸ γῆς ἀνέστη· ὅτε μέντοι ἐγείρεται ἐν τῇ ἀναστάσει, οἶδεν ὅτι
χοῦν ἀποδυσάμενος ἐγείρεται· εἰ γὰρ καὶ ἑαυτὸν μὴ βλέπει ὁ νεκρός,
ἀλλὰ τὸν πρὸ ἑαυτοῦ ὁρᾷ. βλέπομεν ἡμεῖς τοὺς τεθνηκότας καὶ εἰς χοῦν E
ἀναλυθέντας, καὶ δι' ὧν ὁρῶμεν παιδευόμεθα. οὐκ εἶδες πολλάκις
θρασεῖς ἄνδρας καὶ ὑπερηφάνους, πῶς ταπεινοὶ καὶ κατεσταλμένοι
εἰσὶν ἐν τοῖς θανάτοις; ἀπαγγέλλεται θάνατος, καὶ πάντων ἡ καρδία
σείεται, πάντων ὑποπίπτει τὸ φρόνημα· καὶ φιλοσοφοῦμεν περὶ τὰ
μνήματα, ὅταν ἴδωμεν ὀστέα γυμνά, καὶ τὴν ἀνθρωπίνην φύσιν δια-
βεβρωμένην καὶ διαλελυμένην κατανοήσωμεν, εὐθέως πρὸς ἀλλή-
λους φιλοσοφοῦμεν, ἰδοὺ τί γινόμεθα; καὶ ποῦ ἀπερχόμεθα; καὶ φλυα- A
ροῦμεν. ἐξήλθομεν τῶν τάφων, καὶ ἐπιλανθανόμεθα τῆς ταπεινώσεως. ἐν
τῷ τάφῳ πρὸς τὸν πλησίον ἕκαστος οὕτως φθέγγεται· ὢ τῆς ταλαιπω-
ρίας, ὢ τῆς οἰκτρᾶς ἡμῶν ζωῆς. ὅρα τί γινόμεθα. καὶ ὅμως πάν-
τα φθεγγόμεθα, καὶ ἁρπάζομέν τι, καὶ βοῶμεν, καὶ μνησικακοῦμεν. καὶ
ἕκαστος ἁπλῶς οὕτω φιλοσοφεῖ, ὡς μέλλων πάσῃ τῇ κακίᾳ ἀπο-
τάττεσθαι. καὶ ἔσω μὲν λόγοις φιλοσοφεῖ, ἔξω δὲ τοῖς ἔργοις θεομαχεῖ.
διὰ τοῦτο ὁ Θεὸς πανταχοῦ παγῆναι τὰ μνήματα παρεσκεύασε. ἵνα B
ὑπομιμνήσκοντα ἡμᾶς τῆς ἑαυτῶν ἀσθενείας. διὸ πᾶσα πόλις, πᾶ-
σα κώμη πρὸ τῆς εἰσόδου τάφους ἔχει. ἐπάγεται ὡς εἰσελθὼν εἰς
πόλιν βασιλεύουσαν, καὶ κομῶσαν πλούτῳ καὶ δυναστείᾳ τοῖς ἄλλοις
ἀξιώμασι· καὶ πρὶν ἴδῃ ὃ φαντάζεται, βλέπει πρῶτον ὃ γίνεται. τά-
φοι πρὸ τῶν πόλεων, τάφοι πρὸ τῶν ἀγρῶν. πανταχοῦ τὸ διδασκάλιον
τῆς ταπεινώσεως ἡμῶν πρόκειται, καὶ παιδευόμεθα πρῶτον εἰς τί κα-
ταλήγομεν, καὶ τότε ὁρῶν τὰ ἔσω φαντάσματα. καὶ οὐ τοῦτο μόνον, ἀλ- C
λὰ καὶ μέλλοντες εἰσέρχεσθαι πολλάκις εἰς βίου κοινωνίαν, τῆς φύσεως τὴν
ἀσθένειαν παιδευόμεθα ὑποτείνουσιν. ἀνὴρ πολλάκις ἐπελθὼν γυναῖκα
φίλην λαβεῖν, ὑπαγορεύει τῷ νομογράφῳ τὰ προικῷα. οὐδέπω συν-
ήφθη, καὶ θάνατος εὐθὺς ἀναγράφεται· οὐδέπω τὸ συμβόλαιον
ἀπήλαυσε καὶ τοῦ γάμου, καὶ τὸν θάνατον εὐθέως ὁρίζεται· οὐδέπω εἶδε τὴν
γαμετήν, καὶ θανάτου ψήφους κατ' αὐτῆς καὶ κατ' ἐκείνης προτίθε- D
ται· καὶ γράφει τοιαῦτα· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ πρὸ τῆς γυναικός,
ἐὰν ἡ γυνὴ πρὸ τοῦ ἀνδρός, τὸ καὶ τὸ διατυποῦται. οὕτως ἔπηξαν οἱ
ἀρχαῖοι νόμοι. πανταχοῦ τοῖς πᾶσι τῆς φύσεως τὰ ὑπομνήματα.
καὶ οὐ μόνον περὶ τῶν ὄντων καὶ ζώντων, αἱ τοῦ θανάτου τίθενται ψῆφοι, ἀλ-
λὰ καὶ κατὰ τῶν οὐδέπω γεγονότων. τί γάρ φησιν; ἐὰν δὲ τὸ τεχθησόμε-
νον παιδίον ἀποθάνῃ· οὔπω ὁ καρπός, καὶ ἡ ἀπόφασις ἔδραμεν. αὐτὰ
μὲν τοῖς γραμματείοις ἐπιγινώσκει τὴν φύσιν· ἐὰν δέ τι τῶν κατ' ἄνθρω-
πον πάθῃ, ἢ τὸ γύναιον ἀποθάνῃ, ἐπιλανθάνεται ὧν ἔγραψε, καὶ ἑτέρας E
τραγῳδίας προφέρει ῥήματα. καὶ ταῦτα, φησίν, ἔδει με παθεῖν;
ταῦτα ἐγὼ προσεδόκησα πάσχειν, καὶ ἀποστερηθῆναι τῆς συζυγίας; τί οὖν
ἐπελάθου ὧν ἔγραψας; καὶ ὅτε μὲν ἔξω εἶ τῶν πραγμάτων, ἐπιγινώ-
σκεις τοὺς ὅρους τῆς φύσεως· ὅτε δὲ περιέπεσες τοῖς πάθεσιν, ἐπιλα-
θῇ τῶν νόμων τῆς φύσεως; ταῦτα λέγεται εἰς σωφρονισμὸν ἁπάντων;
εἰς τὸ πάντας πάντα φέρειν γενναίως τὰ προσπίπτοντα, εἰς τὸ μὴ ζημίαν ἡγεῖσθαι τὰ τοῦ Θεοῦ κρίματα. μὴ φιλοσόφει ἔξω τῶν παθῶν.

A milium. Ut milium enim eſt id quod videt, & ipſiſſimum pupillæ medium, illud milium, videt omnem creaturam. Et ut neque viſu ſuo omnem creaturam accipiat, & extollatur: ſæpe innaſcuntur in oculis lenæ, & lacrymæ, & alia quæ dolere faciunt, & turbant oculos, ut ob infirmitate ſeipſam agnoſcat, ab formatione autem opificem. Dedit ei cor ratiocinans, radicem cupiditatum; fontem cogitationum, ſed in iiſdem locis fecit viſcera, quæ ſtercoribus aliiſque ſordibus opplentur, per B quæ homo & comedit, ut ſi quando cor extollatur, humiliet ipſum venter. Atque ita venter & ſtercus noſtræ eruditioni ſerviunt. Nam ſi cùm homo eſt, & ſtercus circumfert, audet temeritatem oſtentare, & non ſolùm oſtentare temeritatem, ſed & contra Deum, ſicut Barbarus quidam rex auſus fuit dicere: *Supra ſtellas ponam ſedem meam, & ſimilis ero Altiſſimo.* Eſa. 14.13. Si tantùm, inquam, ſtercoris & inſuavitatis circumferens ſic loquitur, ſi hujus imbecillitatis expers eſſet, quis eum ferret ex- C altatum? Hac de cauſa magnus Eſaias ſuperbis dicit: *Quid ſuperbit terra & cinis?* Eccl. 10.9. Verùm iterum ad inſtitutum redeamus. Deus creavit hominem de pulvere, ſed non vidit homo quomodo fieret, & propterea ignoravit & ſuam vilitatem. Deus enim (ut dicebam dudum) animam noluit eſſe priorem, ut ne videret formationem. Veruntamen, quoniam omnino neſcivit, ex qua humilitate ſubſtiterit, & quòd eum opifex de terra finxerit, convertit eum in terram, à qua ſumptus eſt: ut iterum de ſua D infirmitate edoctus agnoſcat & primævam beneficentiam, & futuram miſericordiam. Quia enim quando formatus eſt, neſcivit quòd de terra factus eſſet. Attende diligenter, ne te fugiat latens ſenſus. Quia Adam dum formaretur, ignorabat quòd de pulvere ſurgeret: quando in reſurrectione ſurget, ſciet quòd exuat pulverem & excitetur. Nam etſi mortuus ſemetipſum non videat, videt tamen eum qui ante ſe eſt. Videmus nos mortuos, & in pulverem reſolutos: & per quæ videmus, docemur. Non vidiſti ſæpe audaces viros & ſuperbos, quomo- E do ſæpe conſternati & humiliati ſunt in mortibus? Nunciatur mors, & toto corde tremiſcunt, mentéque eorum nihil eſt abjectius. Ita ſanè & circa ſepulchra philoſophamur, videntes oſſa nuda, & humanam naturam corroſam, & diſſolutam, cogitamus ſtatim, & inter nos philoſophamur, dicentes: Ecce, quid tandem ex nobis fit? Et quò abimus? Confabulamur, egredimur de ſepulchris: & humilitatis noſtræ obliviſcimur. Apud ſepulchra ita unuſquiſque proximo loquitur: O miſeriam, A ò miſeram noſtram vitam! Vide quid tandem ex nobis fiat? Quamvis autem ſic loquamur, rapimus tamen ipſi & clamamus, & injuriam noſtram ulciſcimur. Omnes enim planè ita philoſophamur, quaſi malitiæ renunciaturi. Et intus quidem tam pios ſermones tractamus: egreſſi autem, operibus ipſi Deo adverſarii ſumus. Ea propter Deus ubiq; ſepulchra fieri voluit, ut illis noſtræ ipſorum infirmitatis memores fieremus. Ideò omnis ci- B vitas, omne caſtellum ante ingreſſum ſepulchra habet, ut contendens intrare in civitatem quæ imperat & floret divitiis & potentatu, aliiſque dignitatibus, priuſquam videt, quod ſecum concepit, videat primum quod fit. Ante civitates ſunt ſepulchra, ante agros ſunt ſepulchra. Ubique ante oculos eſt noſtræ humilitatis ſchola: & docemur in quid deſinamus tandem, & tunc videmus, quæ intus ſunt ſpectacula: neque hic ſolùm, ſed ingreſſuri ad communionē vitæ, docemur vilitatem ſummam C naturæ. Sæpe vir quando uxorem ducere vult, ſcribæ contractus ſuggerit dotalia munera. Nondum introducta eſt, & mors ſtatim deſcribitur: nondum convixerunt, neque nuptiæ habitæ, & mortem ſtatim definit. Nondum nuptam vidit, & mortis adverſus illam calculos proponit. Scribit in hunc modum: Si mortuus fuerit vir ante mulierem, ſi mulier ante virum, hoc & hoc diſponatur. Sic formatæ ſunt patriæ leges. Ubique omnibus naturæ ſunt monumenta: & non ſolùm eorum qui ſunt D & vivunt, mortis feruntur ſententiæ: ſed & eorum qui nondum nati. Quid enim ultra dicit? Quòd ſi natus fuerit filius, & mortuus fuerit: nondum fructus, & ſententia lata eſt. Deinde in inſtrumentis quidem agnoſcit naturam, ſic cavens: Si autem quid humanum patiatur, vel mulier moriatur, obliviſcitur eorum quæ ſcripſit, & alterius naturæ tragœdiam profert: & hæc dicit: Méne oportebat hæc ferre? Hunc tantum potui ſperare dolorem? Conjugio fraudandos olim? Quid igitur? E obliviſceris eorum quæ ſcripſiſti? & cùm extra negotiū es, agnoſcis naturæ limites: quādo autē in affectiones incidiſti, obliviſceris legum naturæ? Hæc dicuntur in caſtigationem omnium ut omnes omnia, quæ ſibi eveniunt, fortiter ferant. & ne quis dānoſa putet Dei judicia. Extra affectiones ne ſis diſputator magnus conſtitutus, ſed

ſed cùm illæ invadunt, magnanimitatem declara. Quando A
mœres, recordare verborum, quibus mœſtum conſolaris.
Quibus autem ſermonibus utimur apud lugentes? Núnne ita
apud eos Philoſophamur? Humanæ ſunt hæ calamitates. Non
fers ſolus has calamitates. Non ſolus mortis vim ſuſtinuiſti.
Et reges ſimilia ferunt. Damnum hoc ſæpe & principes faciunt,
atque alii potentes. Agnoſce tuam ipſius naturam. Homo
es, per omnes communes leges habes, quas alii. Hæc & his
plura loqueris, cùm alium ſolaris. Num aliorum magnificus B
es doctor, tibi autem neque miſer es diſcipulus? Magnæ & ge-
neroſæ animæ fuerit, Philoſophum agere, cùm affectiones fer-
veut. Si poſſit aliquis in quavis calamitate, vel triſtitia, vel dam-
Pſal. 118. 136. no dicere: *Juſtus es Domine, & recta judicia tua*: damnum fert
ut homo, coronatur autem uti Deum amans. Vita fratres mul-
ta difficultate plena eſt, & oportet omnino juſtum & injuſtum,
& pium & impium affligi: ſed magna eſt varietas. Aliud enim
eſt corripi ut domeſticum: aliud, flagellari ut alienum. Ver- C
beratur filius, verberatur & famulus: ſed hic quidem ut ſervus
qui peccavit, ille verò ut liber, & ut filius, diſciplina indigens.
Plagæ illæ non faciunt æqualem honorem. Non ideò ſi patia-
tur pius quæ patitur impius, ejuſdem conditionis erit cum im-
pio: ſed congruit correptio huic in afflictionem & probationem,
impio autem in flagella & pœnas. Propterea David ſciens has
Ibid. 33, 19. difficultates, de juſtis quidem dicit: *Multæ tribulationes juſto-
rum*: ſed vide quid ſubdit, Et ex omnibus illis liberabit eos Do- D
minus. Nondum dixit afflictionem, & monſtravit curatio-
Ibid. 31, 10. nem. De adverſariis autem dicit: *Multa flagella peccatoris*:
& nihil tale ſubdit, quod de juſtis dicebat: Multæ afflictiones
juſtorum: de his autem omnibus liberabit eos Dominus.
Hæc autem quis audiens, ne de ſeipſo deſperet, neque dicat:
Si igitur ut peccator, flagellor, & ſpem non habeo, infructuo-
ſa mea eſt correptio. Peccatorem enim vocavit nunc
ſcriptura, non omnino à pietate alienum, ſed qui affligitur, & E
aliqua parte pius eſt: labitur tamen in rebus humanis. Quòd
peccatoribus Deus miſeretur, plena omnis ſcriptura pignoribus
Ezech. 18. 32. divinæ miſericordiæ: inquit enim: *Vivo ego dicit Dominus:
Nolo mortem peccatoris, ſed ut magis convertatur & vivat.* Ju-
ravit Deus, non quaſi ſibiipſi non credens, ſed noſtram infide-
litatem ad finem urgens. Dicat igitur omnis homo, qui affli-
ctionibus examinatur, Juſtus es Domine, & recta judicia tua:
& ſimul fortem declarat animam ſuam, pietatémque non ſolvit. A
Qualis erat beatus Job, qui adverſus omnes afflictiones aciem
inſtruxit, qui diaboli terriculamenta vicit, qui omnem ejus ra-
biem preſſit, qui conſtantia mentis fluctus diaboli ſtravit, qui
omnibus ſimul privatus, attamen omnium dominum non ne-
gavit. Verùm illius ſtratagemata proprium habebunt li-
brum: nam verè opus habent propriè ſibi deſtinato tempore ut
exquirantur. Non ſermone breviore & perfunctorio ſuggil-
lentur illius certamina. At præ oculis habeamus quæ dixit for- B
tis ille, & magnus pugil. Quoniam enim ſigillum dictis infert,
nudatus omnibus, ſeipſum pietate non nudavit, ſed dixit:
Job. 1, 21. *Dominus dedit, Dominus abſtulit, ſicut Domino viſum eſt, ita &
factum eſt.* Benè dicit, viſum eſt: Concedit authoritati, non
curioſè diſpenſationem explorat: non dixit ſicut nos, Quare
juvenes moriuntur, & ſenes manent? Qualis eſt iſta diſpenſatio?
Deſiderat ſenex mortem, ſolutus carnibus, opum indigus, &
aliis conſolationibus deſtitutus, fruſtratúrque voto. Et puer C
amabilis formæ, gratus parentibus, intempeſtivus rapitur.
Pſal. 35, 7. Diſce ne talia quæras: diſce ut dicas: *Judicia tua abyſſus multa.*
Diſce ut dicas: *Juſtus es Domine, & recta judicia tua.* Diſce
Ibid. 118. 136. ut dicas: *Sicut Domino viſum eſt, ita & factum eſt.* Agnoſce
authoritatem, ut agnoſcas & pietatem. Verùm quoniam in-
cidit ſermo de gloria ſpiritus ſancti, dicamus aliquid ex dogma-
tibus in noſtram utilitatem & ſecuritatem. Nam ſicut Job,
cùm dixit, Sicut Domino viſum eſt, authoritatem monſtravit D
& dominationem: Sic & Apoſtoli berilem authoritatem ſancti
Act. 15, 28. Spiritus oſtendentes, dicunt: *Viſum eſt ſancto Spiritui nihil im-
ponere vobis.* Viſum eſt ſancto Spiritui. Si ſubditus eſt, qua-
re ei viſum eſt? ſi ſub lege eſt Spiritus, & ſervit, quomodo vi-
ſum fuit ſubdito? quomodo decrevit? Nónne quæ regi viden-
tur, ea & fiunt, an potiùs quæ ſubditis placent? Sicut Domi-
no viſum eſt, dicunt Apoſtoli. Ejuſdem authoritatis & hono-
ris dictio utrobique, quoniam indiviſa eſt gloria regni. At E
malitia hæreticorum iterum invenit effugium. Num enim
quia dixerunt Apoſtoli, inquiunt: Viſum eſt Spiritui ſancto,
ſubdiderunt autem, & nobis: juxta illud habebunt & Apoſto-
li divinitatis authoritatem? Hæc bene examinentur,

A ἀλλ' ὅταν ἐντὸς ᾖς τῶν παθῶν, τὴν μεγαλοψυχίαν ἐπίδειξαι· ὅταν
λυπῇ, μνήσθητι τῶν λόγων, δι' ὧν παραμυθῇ τὸν λυπούμενον. τίσι κε-
χρήμεθα λόγοις πρὸς τοὺς λυπουμένους; οὐ ταῦτα πρὸς αὐτοὺς φιλο-
σοφοῦμεν; ἀνθρώπινα ταῦτα τὰ τῶν συμφορῶν· οὐ μόνος ὑπέστης τὴν
συμφοράν. οὐ μόνος τοῦ θανάτου τὴν βίαν ὑπέμεινας· ταῦτα καὶ βασι-
λεῖς φέρουσιν. ἐζημιώθησαν πολλάκις ἄρχοντες, ζημιοῦνται καὶ δυ-
νάσται. ἐπίγνωθι σεαυτοῦ τὴν φύσιν. ἄνθρωπος εἶ. μετὰ πάντων καὶ
B αὐτὸς τῆς κοινῆς τῆς φύσεως ἀπολαύεις νόμων. ταῦτα καὶ τούτων πλείονα
φθέγγῃ, ὅταν ἄλλον παραμυθῇς. ἢ γὰρ ἄλλων μὲν διδάσκαλος γεν-
ναῖος εἶ, σεαυτοῦ δὲ οὐδὲ οἰκτρὸς μαθητής; μεγάλης ἐστὶ καὶ γενναίας
ψυχῆς, τὸ ἐν τῇ ἀκμῇ τῶν παθῶν φιλοσοφεῖν. εἴ τις δύναται ἐφ'
ἑκάστης συμφορᾶς, ἢ λύπης, ἢ ζημίας λέγειν, δίκαιος εἶ, Κύριε, "
καὶ εὐθεῖς αἱ κρίσεις σου, ζημιοῦται μὲν ὡς ἄνθρωπος, στεφανοῦται δὲ "
ὡς φιλόθεος. ὁ βίος, ἀδελφοί, πολλῆς γέμει δυσκολίας, καὶ δεῖ πάν-
C τως καὶ δίκαιον, καὶ ἄδικον, καὶ εὐσεβῆ, καὶ ἀσεβῆ θλίβεσθαι. ἀλλὰ πολλὴ
ἡ διαφορά. ἄλλο γάρ ἐστιν ὡς οἰκεῖον παιδεύεσθαι, καὶ ἄλλο ὡς ἀλλό-
τριον μαστίζεσθαι. τύπτεται υἱός, τύπτεται καὶ οἰκέτης· ἀλλ' ὁ μὲν ὡς
δοῦλος ἁμαρτήσας· ὁ δὲ ὡς ἐλεύθερος, καὶ ὡς υἱὸς ἐπιστροφῆς δεόμενος.
οὐ ποιοῦσιν αἱ πληγαὶ τὴν ὁμοτιμίαν. οὐκ ἐὰν πάθῃ εὐσεβής, ἃ πάσχει
ἀσεβής, ὁμότιμος γίνεται τῷ ἀσεβεῖ· ἀλλὰ λογίζεται τούτῳ ἡ παι-
δεία εἰς θλῖψιν καὶ δοκιμασίαν, τῷ δὲ ἀσεβεῖ εἰς μάστιγας καὶ τιμω-
D ρίαν. διὰ τοῦτο ταύτας τὰς δυσκολίας εἰδὼς ὁ μακάριος Δαβίδ,
περὶ μὲν τῶν δικαίων λέγει· Πολλαὶ αἱ θλίψεις τῶν δικαίων. ἀλλ' ὅρα
τὸ ἐπαγόμενον· καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. οὔπω
εἶπε τὴν θλῖψιν, καὶ ἀπέδειξε τὴν ἴασιν. περὶ δὲ τῶν ἐναντίων, πολλαὶ αἱ
μάστιγες τοῦ ἁμαρτωλοῦ· καὶ οὐδὲν τὸ ἐπαγόμενον. τῶν δὲ δικαίων πολλαὶ
μὲν αἱ θλίψεις, ἐκ δὲ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. ταῦ-
τα δέ τις ἀκούων μὴ ἑαυτοῦ ἀπογινωσκέτω, μηδὲ λεγέτω· εἰ τοίνυν
ὡς ἁμαρτωλὸς μαστίζομαι ἐλπίδα μὴ ἔχων, ἄκαρπός μοί ἐστιν ἡ
E παιδεία. ἁμαρτωλὸν γὰρ ἐκάλεσε νῦν ἡ γραφή, οὐ τὸν πάντη τῆς εὐσε-
βείας ἀλλότριον, ἀλλὰ τὸν θλιβόμενον· τῆς εὐσεβείας μετέχοντα,
πράγμασι δὲ ἀνθρωπίνοις ὀλισθαίνοντα. ὅτι δὲ ἁμαρτωλοὺς ἐλεεῖ
ὁ Θεός, μεστὴ πᾶσα γραφὴ τῶν ἐνεχύρων τῆς τοῦ Θεοῦ φιλανθρωπίας.
φησὶ γάρ· Ζῶ ἐγώ, λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ
ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὤμοσεν ὁ Θεός, οὐχ ὡς
ἑαυτῷ ἀπιστῶν, ἀλλὰ τὴν ἡμετέραν ἀπιστίαν εἰς πίστιν ἐκβιαζόμενος.
A λεγέτω τοίνυν πᾶς ἄνθρωπος, ὡς θλίψεσιν ἐξεταζόμενος, δίκαιος
εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου· καὶ ὁμοῦ καὶ τὴν γενναίαν ἔδειξε ψυ-
χήν, καὶ τὴν εὐσέβειαν οὐκ ἔλυσεν· οἷος ἦν ὁ μακάριος Ἰὼβ ὁ στρατη-
γήσας κατὰ πάντων τῶν παθῶν, ὁ πάντα νικήσας τοῦ διαβόλου τὰ φό-
βητρα, ὁ πᾶσαν αὐτοῦ τὴν μανίαν ἐκλύσας, ὁ τῇ στερρότητι τῆς γνώ-
μης τὰ κύματα τοῦ διαβόλου διαλύσας, ὁ πάντων ὁμοῦ στερηθείς,
καὶ τὸν πάντων κύριον οὐκ ἀρνηθείς. ἀλλὰ τὰ ἐκείνου στρατηγήμα-
B τα ἴδιον λήψεται λόγον. καὶ γὰρ ἀληθῶς ἰδίου δεῖται καιροῦ πρὸς ἐξέ-
τασιν· μὴ τῇ παραδρομῇ τοῦ λόγου ὑβρίσωμεν τὰ ἐκείνου πα-
λαίσματα· ἐκεῖνα δὲ πρὸ ὀφθαλμῶν ἔχωμεν, ἅπερ εἶπεν ὁ γεν-
ναῖος ἐκεῖνος καὶ μέγας ἀγωνιστής. ἐπειδὴ γὰρ σφραγῖδα τοῖς εἰρημέ-
νοις ἐπάγει, πάντων γυμνωθείς, ἑαυτὸν εὐσεβείας οὐκ ἐγύμνωσεν.
ἀλλά φησιν, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ὡς τῷ Κυ- "
ρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· καλὸν τό, ἔδοξε· παραχωρεῖ τῇ αὐ- "
C θεντίᾳ, οὐ περιεργάζεται τὴν διοίκησιν. οὐκ εἶπεν ὡς ἡμεῖς, διὰ
τί νέοι ἀποθνήσκουσι, καὶ γέροντες μένουσι; ποία διοίκησις αὕτη;
ἐπιθυμεῖ γέρων θανάτου, λελυμένος τὰς σάρκας, ἐνδεὴς τῶν χρημά-
των, καὶ πάσης ἄλλης παραμυθίας, καὶ οὐ τυγχάνει τῆς ἐπιθυμίας· καὶ
παῖς ὡραῖον ἔχων κάλλος, ποθεινὸς τοῖς γονεῦσιν, ἄωρος ἁρ-
πάζεται. μάθε μὴ τοιαῦτα ζητεῖν, μάθε λέγειν, τὰ κρίματά
σου ἄβυσσος πολλή. μάθε λέγειν, δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ
D κρίσεις σου· μάθε λέγειν, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο.
γνώριζε τὴν αὐθεντίαν, ἵνα γνωρίσῃς τὴν εὐσέβειαν. ἀλλ' ἐπειδὴ
παρενέπεσεν ὁ λόγος εἰς δόξαν τοῦ ἁγίου πνεύματος, εἴπωμέν τι καὶ
τῶν δογματικῶν εἰς ἀσφάλειαν ἡμετέραν καὶ βεβαίωσιν. ὥσπερ γὰρ
ὁ Ἰὼβ εἰρηκώς, ὡς τῷ Κυρίῳ ἔδοξε, τὴν αὐθεντίαν ἔδειξε καὶ τὴν κυριό-
τητα. οὕτω καὶ οἱ ἀπόστολοι τὴν δεσποτικὴν αὐθεντίαν τοῦ ἁγίου πνεύ-
ματος ἐνδεικνύμενοι, φασίν· ἔδοξε τῷ ἁγίῳ πνεύματι μηδὲν "
E ἐπιτίθεσθαι ὑμῖν. πλὴν τῶν ἐπάναγκες. ἔδοξε τῷ ἁγίῳ πνεύματι. "
εἰ ὑπόκειται, διὰ τί αὐτῷ ἔδοξεν; εἰ ὑπὸ νόμον ἐστὶ τὸ πνεῦμα καὶ δουλεύει,
πῶς ἔδοξε τῷ ὑποκειμένῳ; οὐχ ἃ τῷ βασιλεῖ δοκεῖ, ταῦτα καὶ γίνεται,
μὴ τὰ τοῖς ἀρχομένοις παριστάμενα; ὡς τῷ Κυρίῳ ἔδοξε, φησὶν ὁ
Ἰώβ. ἔδοξε τῷ ἁγίῳ πνεύματι φασὶν οἱ ἀπόστολοι. ὁμότιμος ἡ λέξις
τῆς αὐθεντίας, ἐπειδὴ ἀμέριστος ἡ δόξα τῆς βασιλείας. ἀλλ' εὑρίσκει πάλιν ἡ κακία τῶν αἱρετικῶν παραδύσεις. ἆρα γὰρ ἐπειδὴ εἶπον, φασὶν
οἱ ἀπόστολοι, ἔδοξε τῷ ἁγίῳ πνεύματι, ἐπήγαγον δὲ, ἡμῖν, ἆρα διὰ τοῦτο αὐθεντίαν ἔχουσι θεότητος οἱ ἀπόστολοι; ταῦτα μελετάσθω.

ἵνα

ἵνα μὴ ἀγυμνάστοις ψυχαῖς ἐμβάλωσι τὸν ἰὸν αὐτῶν τῆς ἀπιστίας, ἵνα μὴ ταῖς ἀκοαῖς τῶν ἀκεραίων αἱρετικὴν ἀσέβειαν ἐκχέωσι. τοιαῦτα γὰρ πολλάκις σεμνολογοῦσι, μηδὲν σέ, φησιν, ἀδελφέ, ξενίσῃ τὰ εἰρημένα, ὡς ἀδελφὸν καλεῖ, καὶ ὡς πολέμιον ἀναιρεῖ. μὴ θαυμάσῃς, φησίν, εἰ περὶ τοῦ ἁγίου πνεύματος εἶπον οἱ ἀπόστολοι, ἔδοξε τῷ ἁγίῳ πνεύματι. ἀλλ' ὅρα καὶ τὸ ἐπαγόμενον, ἔδοξε τῷ ἁγίῳ πνεύματι, καὶ ἡμῖν ἔδοξε τοῖς ἀποστόλοις. ἆρα θεοὶ οἱ ἀπόστολοι; ἆρα θεοῦ ἔχουσι τὴν αὐθεντίαν; ὅταν ταῦτα λέγῃ ὁ αἱρετικός, ἡμεῖς ἀπὸ τῆς ἁγίας γραφῆς τὰ βέλη προφέρωμεν. τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως πεμπόμενα. τί οὖν ἐστι πρὸς αὐτὸν εἰπεῖν; εἰ τὸ συνῆφθαι τοὺς ἀποστόλους τῷ ἁγίῳ πνεύματι, ἐλαττοῖ τοῦ πνεύματος τὴν ἀξίαν, οὐκοῦν καὶ τὸ συνῆφθαι Μωϋσέα τῷ Θεῷ, ἐλαττοῖ τοῦ Θεοῦ τὴν ἀξίαν. οἷόν τι λέγω· ἐὰν μὴ μέγα νομίσῃς τὸ, ἔδοξε τῷ ἁγίῳ πνεύματι, διὰ τὸ συνῆφθαι τοὺς ἀποστόλους, οὐκ ἄρα μεγάλην δυνήσῃ λέγειν οὐδὲ τὴν εἰς Θεὸν πίστιν διὰ τὸ συνῆφθαι καὶ Μωϋσῆν τῷ Θεῷ. λέγει γὰρ ἡ γραφή· ἐπίστευσεν ὁ λαὸς εἰς τὸν Θεὸν καὶ εἰς τὸν Μωϋσῆν. ἀλλὰ καὶ ἕτερον προενέγκωμεν βέλος. εἰ καθαιρεῖ τοῦ πνεύματος τὴν ἀξίαν συνημμένη ἡ δόξα τῶν ἀποστόλων, ὑβρίζει τὸν Θεὸν καὶ ἐλαττοῖ αὐτοῦ τὴν ἀξίαν Σαμουὴλ προσκείμενος. γέγραπται γάρ, καὶ ἐφοβήθη πᾶς ὁ λαὸς τὸν Κύριον καὶ τὸν Σαμουήλ. πάλιν καὶ τρίτον ἄλλο προσενέγκωμεν βέλος κατὰ τῆς ἀσεβείας. εἰ ἐλαττοῖ τοῦ πνεύματος τοῦ ἁγίου τὴν ἀξίαν καὶ τὴν θείαν αὐθεντίαν τὸ συνῆφθαι τῷ πνεύματι τοὺς ἀποστόλους; ἐλαττοῖ τοῦ Θεοῦ τὴν ἀξίαν καὶ Γεδεὼν προσκείμενος αὐτῷ τῇ προσηγορίᾳ. ἐβόησε γὰρ πᾶς ὁ λαὸς πολεμῶν, Ῥομφαία τῷ Κυρίῳ καὶ τῷ Γεδεών. ὥσπερ οὖν συνῆπται Μωϋσῆς τῷ Θεῷ, οὐχ ὡς ὁμότιμος τοῦ Θεοῦ, ἀλλ' ὡς ὑπηρέτης Θεοῦ· καὶ Σαμουὴλ τῷ Θεῷ, οὐχ ὡς ὁμότιμος, ἀλλ' ὡς προφήτης· καὶ Γεδεὼν οὐχ ὡς ὁμότιμος, ἀλλ' ὡς στρατηγὸς τοῦ πολέμου· οὕτω καὶ οἱ ἀπόστολοι τῷ πνεύματι, ὡς κήρυκες τοῦ εὐαγγελίου. γνώριζε τοίνυν τὴν αὐθεντίαν, καὶ μὴ ὕβριζε τοῦ πνεύματος τὴν ἀξίαν. γνώριζε τῆς ἁγίας τριάδος τὴν ἔνθεον θεολογίαν, πατρός, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. αὕτη ἐστὶν ἡ ἄκτιστος φύσις, ἡ ἀληθινὴ ἀξία, ἡ ἀμέριστος βασιλεία, ἡ ἄσχιστος τιμή, ἡ ἀδιαίρετος ἐλπίς, ἡ ἀκατάληπτος δόξα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A ne inexercitatis ſuæ infidelitatis venenum injiciant, nec ſimplicium auribus impietatis hæreſim infundant. Talia enim ſæpe magnificè loquuntur, Nihil inquit, admireris dicta. Fratrem te vocat, & quaſi hoſtem te occidit. Ne mireris, inquit, ſi de Spiritu ſancto dicunt Apoſtoli, viſum eſt Spiritui ſancto: ſed vide quid addatur, viſum eſt Spiritui ſancto, & nobis viſum eſt Apoſtolis. Num dii Apoſtoli? Num divinam habent authoritatem? Quando hæc dicit hæreticus, nos a ſancta ſcriptura tela B proferamus. *Sagitta enim potentis acuta in cor inimicorum regis mittenda.* (Pſal. 44. 6.) Quid igitur ad hæc dicendum? Si hoc Spiritus ſancti dignitatem imminuit, quòd ei juncti ſunt Apoſtoli, itaque & Moſem conjunctum eſſe Deo, Dei imminuit dignitatem. Exempli gratia dico: Si non magnum putas, cum dicitur, viſum fuit, eo quòd & Apoſtolis ſit conjunctum, utique neque magna tibi videri poteſt fides, quia & Deus Moſi junctus eſt. Dicit enim ſcriptura: *Credidit populus in Deum & Moſen.* (Exod. 14. 31.) C Cæterùm & aliud telum proferamus: Si Spiritus ſancti dignitatem deſtruit adjuncta gloria Apoſtolorum, contumelia & ex Samuele erit Deo. Scriptum eſt enim, *Et timuit omnis populus Deum & Samuelem.* (1. Reg. 12. 18.) Denuo & tertium promamus jaculum contra impietatem. Si dignitatem Spiritus ſancti, & divinam authoritatem hoc imminuit, quòd ei junguntur Apoſtoli, minuit & dignitatem Dei Gideon adjunctus eadem appellatione. Clamavit enim omnis populus militans, Gladius Deo & Ge- D deoni. Sicut igitur conjunctus eſt Moſes Deo, non ut honore par Deo, ſed ut miniſter Dei: Et Samuel Deo, non ut æqualis dignitate, ſed ut Propheta Dei: Et Gideon Deo, non ut ejuſdem honoris, ſed ut belli dux: Sic & Apoſtoli juncti ſunt Spiritui, ut prædicatores Evangelii. Agnoſce igitur authoritatem, & ne ſuggilles ſpiritus divinitatem. Agnoſcito divinæ trinitatis Theologiam: patris, & filii, & Spiritus ſancti. Iſta eſt increata natura, vera dignitas, indiviſum imperium, im- E partibilis honor, indiſcreta ſpes, incomprehenſibilis gloria Patris, & Filii, & Spiritus ſancti: quam decet omnis gloria, honor, & adoratio in ſecula ſeculorum. Amen.

Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος.

ΟΙ κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος τὰς γλώσσας ἀκονῶντες, καὶ λυττῶντες, καὶ τὸ τοῦ μονογενοῦς υἱοῦ καὶ τὸ τοῦ ἁγίου πνεύματος ἀξίωμα καθαιρεῖν ἐπιχειροῦντες, ἐλέγχονται μὲν ὑπ' αὐτοῦ τοῦ ἁγίου πνεύματος τοῦ λαλήσαντος διὰ τῶν ἁγίων προφητῶν, καὶ ὑπὸ τοῦ λόγου τοῦ κηρύξαντος τὴν ἑαυτοῦ ἔνσαρκον παρουσίαν, τὴν δι' ἡμᾶς ἐκ παρθένου ἁγίας γενομένην, ἄφραστόν τε καὶ ἀναλλοίωτον, διὰ τὴν ἑαυτοῦ ἀξίαν· ἐλεγχθήσονται δὲ ἐν ἡμέρᾳ τῆς δικαιοκρισίας αὐτοῦ τελευταῖον, ὅταν πάλιν ἔρχηται ἐξ οὐρανοῦ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν τοῖς φυλάξασιν ἀτρέπτως αὐτοῦ τὴν πίστιν. ἐτόλμησαν δέ, ἀγαπητοί, Ἀρειανῶν παῖδες καὶ Μακεδονιανῶν μανίαν κατεχόμενοι, λέγειν Θεὸν μέγαν καὶ μικρόν, καὶ κτιστὸν Θεόν, Ἑλληνισμὸν παρεισφέροντες ἡμῖν. ἐκείνων γάρ ἐστι κτίσματι προσκυνεῖν, καὶ * τὸν τῶν θεῶν αὐτῶν μεγαλύνειν, τὸν δὲ σμικρύνειν. εἰ γὰρ λείπεταί τι ὁ υἱός, ἢ τὸ πνεῦμα, οὐ Θεός. Παῦλος γὰρ μεμφόμενος αὐτοὺς ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, λέγει· Ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν ἐπὶ πάντων Θεὸς εὐλογητός. εἰ δὲ κτίσματι προσκυνοῦσι, λέγοντες τὸν υἱὸν καὶ τὸ πνεῦμα κτίσμα, ἐπικατάρατοί εἰσι κατὰ τὸν Μωϋσῆν τὸν λέγοντα· ἐπικατάρατος πᾶς ὁ προσκυνῶν κτίσματι καὶ ποιήματι. ἡμεῖς δὲ οὐ * κτίσματι προσκυνοῦμεν, ἀλλὰ τριάδα ἄκτιστον, ἄτρεπτόν τε, καὶ ἀναλλοίωτον, καὶ ὁμοούσιον, μηδὲν ἐπείσακτον ἔχουσαν, ἢ δοῦλον, ἢ ἐκ προκοπῆς εἰς τὸ εἶναι ἐπεισελθόν, ὡς πρότερον μὲν οὐκ ὄν, ὕστερον δὲ ἐπιγενόμενον. βλέπε γάρ μοι τὰς μαρτυρίας τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ σέβου ταύτην ὀρθῶς, ἵνα μὴ ἀπόλῃ. καὶ εἶπε, φησίν, ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. εἰπέ μοι οὖν, μετὰ τίνος συμβουλεύεται ὁ Θεός; μετὰ τῶν ἀγγέλων, φησίν. ἀλλ' οὐκ ἔχουσιν οἱ ἄγγελοι τὴν εἰκόνα τοῦ Θεοῦ. λέγει δὲ πρὸς τὸν συνδημιουργὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα. καὶ ἵνα πεισθῇς ὅτι ἀληθὲς εἶναι, ἄκουσον τοῦ ψαλμῳδοῦ λέγοντος· τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. οὐκ ἀγνοεῖς δὲ τὸν λόγον εἶναι τὸν υἱόν. φησὶ γὰρ ὁ θεολόγος Ἰωάννης· καὶ Θεὸς ἦν ὁ λόγος. καὶ περὶ τοῦ

A *S. Joannis Chryſoſtomi ſermo de ſancta & conſubſtantiali, vivificaque ac inſeparabili Trinitate.*

INCERTO Interprete.

QUI adverſus ſanctam & conſubſtantialem, inſeparabiléſque Trinitatem linguas acuunt & blaſphemant, nituntùrque unigeniti, & Spiritus ſancti dignitatem deſtruere, B arguuntur quidem ab ipſo Spiritu ſancto, qui locutus eſt per Prophetas, & à verbo quod prædicavit ſui ipſius proprium in carne adventum, propter nos ex ſancta virgine factum, ineffabilem & alterationis expertem propter ſuas dignitates: arguentur autem & poſtremum in die juſti judicii, quando iterum veniet de cœlo ut glorificetur in ſanctis ſuis, & admirabilis appareat in his qui fidem in ſe cuſtodierunt immutabiliter. Auſi autem ſunt Arianorum diſcipuli, & inſania Macedonianorum la- C borantes, dicere Deum magnum & parvum, & creatum Deum, gentilitatem nobis ſubintroducentes. Gentilium enim eſt creaturam adorare, & alium ex diis ſuis majorem, alium minorem facere. (a. τῶν μὲν θεῶν.) Enimverò ſi in aliquo deficit filius vel Spiritus ſanctus, non eſt Deus. Paulus enim reprehendens illos in Epiſtola ad Romanos, dicit: (Rom. 1. 25.) *Venerati ſunt, & coluerunt creaturam ſupra eum qui condidit*, qui eſt in omnibus Deus benedictus. Quod ſi adorant creaturam, dicentes, Filium & Spiritum ſan- D ctum creaturam, maledicti ſunt, juxta Moſem dicentem: Maledictus omnis qui adorat creaturam & facturam: (Deut. 27. 15.) nos autem non creaturam adoramus, ſed Trinitatem increatam, mutationis expertem & conſubſtantialem, nihilque habentem adventitium vel ſervile, (ἴσ. ἐπίσημά τι.) vel quod per productionem in eſſe venerit, quaſi priùs quidem non exiſtens, poſtea autem adveniens. Vide, oro, teſtimonia ſanctæ & conſubſtantialis Trinitatis, E & venerare illam rectè, ne pereas. Et dixit, inquit, Deus: *Faciamus hominem ſecundùm imaginem noſtram, & ſecundùm ſimilitudinem.* (Gen. 1. 26.) Dic mihi ergo, Cum quo conſilium init Deus? Cum Angelis, inquit. At non habent Angeli imaginem Dei: loquitur autem ad coopificem filium, & ſanctum Spiritum. Et ut veritas hæc tibi perſuadeatur, audi Pſaltem dicentē: Verbo Domini cœli firmati ſunt, & ſpiritu oris ejus omnis virtus eorum. (Pſal. 32. 6.) Non ignoras autem verbum eſſe filium. Dicit enim Joannes Theologus: *Et Deus erat verbum*: & de (Joh. 1. 1.)

Joh. 4, 24. ſpiritu, *Spiritus eſt Deus.* Dicit igitur Deus & pater Deo filio A
& Deo ſpiritui ſancto: Faciamus hominem ſecundùm imaginem noſtram. Et non dixit, meam & veſtram, neque meam & tuam. Significans autem ſcriptura eſſe unam imaginem ſanctæ Trinitatis, dicit: Et fecit Deus hominem, ſecundum imaginem
Heb. 1, 3. Dei fecit illum. Sicut & Paulus clamat de filio: *Qui cum ſit*
Col. 1, 15. *ſplendor gloriæ & figura ſubſtantiæ.* Et iterum: *Qui eſt imago Dei*
Gen. 11, 7. *inviſibilis.* Iterum & alio loco dicit Scriptura: *Venite & deſcendamus, & confundamus illorum linguas*, dicendo, Venite: pares B honore exhortando, Ite. Vide autem obſecro, quomodo patris vox filium & ſpiritum vocet. Nam ſi ad unum ſolum hoc dictum eſſet, debebat dicere, Veni & deſcendamus & confundamus illorum linguas: quia autem dixit: Venite, unius eſt vox ad duos honore æquales. Audi quoque & beatum Job, qui manifeſtè declarat inſeparabilem Trinitatem. Dicit enim: *Vivit*
Job. 27, 3. *Dominus, qui ſic me judicavit, & omnipotens, qui amaritudine affecit animam meam, & ſpiritus divinus qui tenetur in naribus meis.* C Dicendo Dominum & omnipotentem & ſpiritum divinum, conſubſtantialem Trinitatem prædicat. Diſce & hymnum Seraphim clamantium tertiò, Sanctus, Sanctus, Sanctus, non enim dicunt ſemel tantùm Sanctus, neque bis Sanctus, Sanctus, neque quater, neque dicunt, Sancti, ſancti, ſancti, ut ne multis nominibus multos deos nobis inducerent, ſed unum ſo-
Eſa. 6, 3. lum. Ter autem dicunt, *Sanctus, Sanctus, Sanctus*: his enim manifeſtant unam & æqualem gloriam Patris, & Filii, & Spiritus D
2. Reg. 23, 2. Sancti. Audi item & Prophetam dicentem: *Spiritus Domini locutus eſt in me, & ſermo illius in ore meo prænuntiatus eſt*, quia
Gr. πνεῦμα ἐστι Deus erat ſermo. Ecce dicendo ſpiritum Domini, & ſermonem, & Dominum, prædicat inſeparabilem Trinitatem. Vide autem & tres pueros in camino, omnes creaturas & facturas, ut glorificent Deum, vocantes, Solem, lunam, ſtellas, cœlos, Angelos, virtutes, homines, ſpiritus, omnem creaturam viſibilem & inviſibilem & mente præditam, & nuſquam connumerant E filium vel ſpiritum ſanctum inter facturas. Quòd ſi contendis quòd cùm Judæi eſſent, ignorarint ſpiritum ſanctum,
Dan. 3, 26. reprehenderis mox ab eadem ſcriptura: *Erat enim quartus*,
Ibid. 13. inquit, *quaſi ſimilitudo filii Dei.* De ſancto autem ſpiritu dicit: Excitavit Deus ſpiritu ſancto puerum juniorem, cui nomen Daniel. Et in aliis multis locis præmonſtratus eſt ſpiritus in veteri teſtamento. Itaque ſciverunt quidem patrem & fi- A lium & ſpiritum unius eſſe Deitatis & potentiæ; ſciverunt autem & quæ illi ſerviebant, provocare ad glorificandam Deitatem. Ut autem ſcias quòd nihil adventitium vel creatum Tri-
Eph. 4, 6. nitati accedat, Paulus præponendo patrem, dicit ſic: *Unus Deus pater ex quo omnia, & nos ex illo: & unus Dominus Jeſus Chriſtus per quem omnia, & nos per illum: & unus Spiritus*
1. Cor. 12, 5. *ſanctus.* Iterum autem dicit: *Diviſiones donorum ſunt, idem verò Spiritus: & diviſiones miniſtrationum, idem autem Do-* B *minus: & diviſiones efficaciarum ſunt, idem autem Deus qui operatur omnia in omnibus. Hæc utique omnia operatur unus & idem ſpiritus, dividens ſingulis prout vult*, & non ſicut ju-
Matth. 3, 16. betur. Jam cùm baptizaretur filius, pater de cœlo teſtificatus eſt, ſpiritus autem ſanctus in ſpecie columbæ deſcendit ſuper illum, qui pari honore præditus eſt. Per hæc omnia unum regnum indiviſibilis Trinitatis intelligere poſſumus.
Gr. βασίλειον ἀξίωμα νοεῖν. Ipſe autem Deus ſermo, qui propter nos verè incarnatus, re- C diturus eò unde ſeparatus non fuerat, dicit ſanctis Apoſtolis ſuis: *Ite & docete omnes gentes, baptizantes illos in nomine Patris, & Filii, & Spiritus ſancti.* Obſignati ſumus, ſed
Ibid. 28, 19. unum ſignaculum eſt ſanctæ Trinitatis, unum baptiſma. Quomodo igitur audes à paterna ſubſtantia alienare filium vel Spiritum ſanctum? Neque enim ſi alieni ſunt, cum patre & Spiritu ſancto debebant connumerari. Quinam enim ratione juxta tuum ſermonem, ó adverſarie, Deo in baptiſmo D debuerunt annumerari? ſi creatus eſt filius vel Spiritus ſanctus, quare cum patre ſimul coaſſumuntur? Enimveró ſi nomen patris ſolum eum qui baptizatur poteſt ſalvare, quare coaſſumuntur & creaturæ, quaſi pater non poſſit ſolus ſalvare? Ab-
Gr. ἀσθένειαν. ſit. Igitur ſi patris infirmitatem negas, & conſubſtantialia non admittis, cogeris nobiſcum fateri Trinitatem increatam & conſubſtantialem & omnipotentem. Jam ſi dixeris mihi
Joh 17, 3. de patre, ſcriptum eſt: *Te ſolum verum Deum.* Sed & hoc E
Ibid. 1, 1. ſcriptum, *Et Deus erat ſermo.* Et quomodo igitur æqualis patri? Dicendo enim de patre, quòd ipſe ſit ſolus verus Deus: monſtravit filium non naturalem, ſed adoptatum filium. At quid propriæ ſalutis inimice? num quia ſcriptum, ſicut
1 Joh. 1, 5. dicit Joannes de patre, Deus lux eſt: de filio autem, *Erat lux*
Joh. 1. 9. *vera*: ideo audes propter hoc dicere minorem patrem, eó quòd non adjecit, quòd ſit lux vera: ſed de filio ſolo dicit, quòd fuit lux vera? Sicut igitur non audes minorem facere

A πνεύματος, Πνεῦμα ὁ Θεός. λέγει οὖν ὁ Θεὸς καὶ πατὴρ πρὸς τὸν Θεὸν τὸν υἱὸν, καὶ Θεὸν τὸ πνεῦμα τὸ ἅγιον· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. καὶ οὐκ εἶπεν, ἐμὴν καὶ ὑμῶν, οὔτε ἐμὴν καὶ σήν. σημαίνουσα δὲ ἡ γραφὴ μίαν εἰκόνα τῆς ἁγίας τριάδος εἶναι, λέγει· καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. καθὼς καὶ Παῦλος βοᾷ περὶ τοῦ υἱοῦ· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως. καὶ πάλιν ἀλλαχοῦ ἡ γραφή· B δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. τῷ εἰπεῖν δεῦτε, τοὺς ὁμοτίμους καλεῖ. οὔτε γὰρ ὡς ἀγγέλοις ἐπέταξεν, εἶχεν εἰπεῖν, δεῦτε· ἀλλ' ἐπιτακτικῶς, πορεύεσθε. βλέπε δέ μοι πατρὸς φωνὴν, υἱὸν καὶ πνεῦμα καλοῦσαν. εἰ γὰρ πρὸς ἕνα μόνον τοῦτο ἐρρέθη, εἶχεν εἰπεῖν· δεῦρο, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. τὸ δὲ εἰπεῖν, δεῦτε, ὡς ἐστι φωνὴ πρὸς δύο τινὰς ὁμοτίμους. ἄκουε δὲ καὶ τοῦ μακαρίου Ἰὼβ σαφῶς δηλοῦντος τὴν ἀχώριστον τριάδα. Φη- C σὶ γάρ· ζῇ Κύριος, ὃς οὕτω με κέκρικε, καὶ ὁ παντοκράτωρ, ὁ πικράνας μου τὴν ψυχὴν, καὶ πνεῦμα θεῖον τὸ περιὸν ἐν ῥισί μου. Κύριον καὶ παντοκράτορα καὶ θεῖον πνεῦμα εἰπὼν, τὴν ὁμοούσιον τριάδα ἀνεκήρυξε. μάνθανε καὶ τῶν Σεραφὶμ τὸν ὕμνον, κραζόντων τρίτον. ἅγιος, ἅγιος, ἅγιος· οὐ γὰρ λέγουσιν ἅπαξ μόνον, ἅγιος, οὔτε δεύτερον, ἅγιος, ἅγιος, οὔτε τέταρτον οὐδὲ λέγουσιν, ἅγιοι, ἅγιοι, ἅγιοι· ἵνα μὴ τὸ πολυώνυμον εἰς πολυθεΐαν ἡμᾶς ἐξαγάγῃ· ἀλλ' ἓν μόνον, D τρίτον δέ· ἅγιος, ἅγιος, ἅγιος· δηλοῦσι γὰρ διὰ τούτων μίαν καὶ ἴσην δοξολογίαν πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. ἄκουε δὲ καὶ τοῦ προφήτου λέγοντος πάλιν· πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοὶ, καὶ ὁ λόγος αὐτοῦ ἐν τῷ στόματί μου. προδιδάσκει δὲ ὅτι Θεὸς ἦν ὁ λόγος. πνεῦμα γὰρ Κυρίου καὶ λόγον καὶ Κύριον εἰπὼν, κηρύττει ἀδιαίρετον τριάδα. ὅρα δὲ καὶ τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ πάντα τὰ κτίσματα καὶ τὰ ποιήματα εἰς δοξολογίαν Θεοῦ καλοῦντας· ἥλιον, σελή- E νην, ἄστρα, οὐρανοὺς, ἀγγέλους, δυνάμεις, ἀνθρώπους, πνεύματα, πᾶσαν κτίσιν ὁρατὴν, καὶ ἀόρατον, καὶ νοητήν. καὶ οὐδαμοῦ ἀπηριθμήσαντο υἱὸν ἢ πνεῦμα ἅγιον ἐν τοῖς ποιήμασιν. ἀλλ' ἐρεῖς· πάντως οὐκ ᾔδεισαν πνεῦμα, ἢ υἱόν· Ἰουδαῖοι γὰρ ἦσαν. ἐλέγχῃ δὲ εὐθὺς ἀπ' αὐτῆς τῆς γραφῆς. ἦν γὰρ ὁ τέταρτος, φησὶν, ὡς ὁμοίωμα υἱοῦ Θεοῦ. περὶ δὲ τοῦ ἁγίου πνεύματος λέγει, ἐξήγειρεν ὁ Θεὸς τῷ ἁγίῳ πνεύματι παιδάριον νεώτερον, ᾧ ὄνομα Δανιήλ. καὶ ἐν ἄλλοις δὲ A πολλοῖς τόποις προκεκήρυκται τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ παλαιᾷ. ἀλλ' ᾔδεισαν μὲν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τῆς μιᾶς θεότητος καὶ δυνάμεως ὄντας· ᾔδεισαν δὲ τὰ δοῦλα καλεῖν εἰς δοξολογίαν τῆς θεότητος. ἵνα δὲ γνῷς ὅτι οὐδὲν κτιστὸν ἐν τῇ τριάδι ἢ ἐπεισακτὸν ὑπάρχει, προτάξας ὁ Παῦλος τὸν πατέρα, ἐν ἄλλῳ τόπῳ προτάττει τὸ ἅγιον πνεῦμα. λέγει γὰρ οὕτως· εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν· καὶ εἷς Κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐ- B τοῦ· καὶ ἓν πνεῦμα ἅγιον. ἀνάπαλιν δέ· διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται, καὶ οὐ καθὼς ἐπιτάσσεται. βαπτιζομένου δὲ τοῦ υἱοῦ, ὁ πατὴρ οὐρανόθεν μαρτυρεῖ, πνεῦμα δὲ τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατέρχεται ἐπὶ τὸν ὁμότιμον. διὰ τούτων πάντων ἓν * βασί- C λειον νοεῖν διδασκόμεθα τῆς ἀδιαιρέτου τριάδος. αὐτὸς δὲ ὁ Θεὸς λόγος, ὁ δι' ἡμᾶς ἐν ἀληθείᾳ σαρκωθεὶς, μέλλων ἀνέρχεσθαι ὅθεν οὐκ ἐχωρίσθη, λέγει τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ἐσφραγίσθημεν μὲν, ἀλλὰ μία σφραγὶς τῆς ἁγίας τριάδος, ἓν βάπτισμα. πῶς οὖν τολμᾷς ἀλλοτριῶσαι τῆς πατρῴας οὐσίας τὸν υἱὸν, ἢ τὸ ἅγιον πνεῦμα; οὔτε γὰρ εἰ ἀλ- D λότρια ὑπῆρχον, μετὰ τοῦ πατρὸς ἐν τῷ βαπτίσματι εἶχον ἀπαριθμεῖσθαι. τίνι γὰρ λόγῳ κατὰ τὸν σὸν λόγον, ὦ θεομάχε, ἄκτιστος ὁ υἱὸς, ἢ τὸ πνεῦμα, μετὰ τοῦ πατρὸς συμπαραλαμβάνεται; εἰ γὰρ ἠδύνατο τὸ ὄνομα τοῦ πατρὸς μόνον σῶσαι τὸν βαπτιζόμενον, διατί τὰ κτίσματα μετ' αὐτοῦ συμπαραλαμβάνεται, ὡς ἀδυνατοῦντος τοῦ πατρὸς μόνου σῶσαι; μὴ γένοιτο. εἰ οὖν ἀσθένειαν * καταγγέλλει πατρὸς, τὰ ὁμοούσια φεύγων, ἀναγκασθήσῃ ἐκ τῆς ἀληθείας σὺν ἡμῖν ὁμολογεῖν τριάδα ἄκτιστον καὶ E ὁμοούσιον καὶ παντοδύναμον. ἀλλ' ἐρεῖς μοι περὶ τοῦ πατρὸς, ὅτι γέγραπται, σὲ τὸν μόνον ἀληθινὸν Θεόν. ἀλλὰ καὶ Θεὸς ἦν ὁ λόγος. καὶ πῶς οὖν ἴσος τῷ πατρί; τὸ γὰρ εἰπεῖν περὶ πατρὸς, σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, ἔδειξε τὸν υἱὸν οὐ φυσικὸν, ἀλλὰ θετὸν Θεόν. τί οὖν ὁ πολεμῶν τὴν ἑαυτοῦ σωτηρίαν; ἐπειδὴ γέγραπται, καθὼς λέγει Ἰωάννης, περὶ τοῦ πατρὸς, ὅτι ὁ Θεὸς φῶς ἐστι, περὶ δὲ τοῦ υἱοῦ, ὅτι ἦν τὸ φῶς τὸ ἀληθινὸν, παρὰ τοῦτο τολμᾷς ἐλάττω λέγειν τὸν πατέρα, διὰ τὸ μὴ προσκεῖσθαι τὸ φῶς τὸ ἀληθινὸν, ἀλλὰ περὶ υἱοῦ μόνον, ἦν τὸ φῶς τὸ ἀληθινόν; ὥσπερ οὖν οὐ τολμᾷς σμικρῦναι τὸν

πατέ-

πατέρα διὰ τὸ μὴ προσκεῖσθαι* τὸ ἀληθινόν. οὕτως ἀκούων περὶ πατρός, σὲ τὸν μόνον ἀληθινὸν Θεόν, περὶ δὲ τοῦ υἱοῦ, τὸ Θεός, μόνον, μὴ τολμήσῃς σμικρῦναι τὸν υἱόν, ἀντιπαραλαμβάνονται ἀλλήλοις τῶν ὀνομάτων, τῷ πατρὶ τό, Θεὸς ἀληθινός, τῷ υἱῷ, τό Θεός. ἀνάπαλιν δέ, ἦν τὸ φῶς τὸ ἀληθινόν, τῷ υἱῷ, τῷ δὲ πατρί, τὸ φῶς μόνον. ὡς οὖν οὐ τολμητέον εἰπεῖν περὶ πατρός, ὅτι οὐκ ἔστι φῶς ἀληθινόν, καὶ περὶ τοῦ υἱοῦ, Θεὸς ἀληθινός. [αὐτὸς γὰρ εἶπεν, ἐγώ εἰμι ἡ ἀλήθεια·] οὕτω καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου, ὅτι πνεῦμα τῆς ἀληθείας. διὰ τούτων τῶν μαρτυριῶν μάνθανε εὐσεβεῖν ἀδιαίρετον τριάδα. πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν, εἶπεν ὁ* μονογενὴς Θεός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. Μωυσῆς λέγει· ὁ ὢν ἀπέσταλκέ με. ὁ ὢν ἐστὶν ὁ πατήρ· ὁ ὢν ἐστιν ὁ υἱός· ὁ ὢν πρὸς τὸν ὄντα ἀνάρχως καὶ ἀχρόνως* γεγεννημένος. πάντα ἔχει ὁ πατήρ, ἀληθῶς ζωή, καὶ ἀθανασία, καὶ φῶς, καὶ παντοδύναμος, καὶ Θεός, καὶ Κύριος· ἅπερ ἔχει καὶ ὁ υἱός. ἐγὼ γάρ εἰμι, φησίν, ἡ ἀλήθεια καὶ ἡ ζωή· καί, ἦν τὸ φῶς τὸ ἀληθινόν· καί, Θεὸς ἦν ὁ λόγος· καὶ Θωμᾶς φησιν ὁ ἀπόστολος· ὁ Κύριός μου καὶ ὁ Θεός μου· καθὼς καὶ ὁ ψαλμῳδὸς λέγει· ταῖς χερσί μου τὸν Θεὸν ἐξεζήτησα, καὶ οὐκ ἠπατήθην. ἐψηλάφησεν ὁ Θωμᾶς τὸν λόγον ἐν ἀπιστίᾳ, καὶ οὐκ ἠπατήθη. Κύριον καὶ Θεὸν ὁμολογήσας αὐτὸν ἐν πίστει. ναί, φησί, λέγω τὸν υἱὸν τοῦ Θεοῦ Θεόν, οὐκ ἄναρχον δέ, ἀλλὰ κτιστὸν ὑμῖν καὶ δοῦλον. καὶ πῶς, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών; εἰ οὖν δοῦλός ἐστι [πᾶν γὰρ κτίσμα δοῦλον] πῶς δοῦλος ὢν, μορφὴν δούλου ἔλαβε; πῶς δὲ ἑαυτὸν ἐκένωσεν, εἰ οὐκ ἦν Θεὸς τέλειος; ὃ γὰρ οὐκ εἶχεν, ἔλαβε, μείνας ὃ ἦν. οὐχ ὃ ἦν, γέγονεν· ἀλλ' ἐν μορφῇ Θεοῦ ὑπάρχων, διὰ φιλανθρωπίαν ἀτρέπτως ἔλαβε μορφὴν δούλου. εἰ δὲ οὐ θέλεις αὐτὸν ὁμολογεῖν ἄναρχον, ἔστιν ἦν καιρὸς ὅτε οὐκ ἦν υἱός; ναί, φησιν. ἰδὲ οὖν, κατὰ τὸν σὸν λόγον λέγω· ἦν καιρὸς ὅτε οὐκ ἦν πατήρ. ὁ γὰρ μὴ ἔχων υἱόν, πατὴρ οὐ καλεῖται. καὶ ὁ πατὴρ ἀρχὴν ἔσχε τοῦ εἶναι πατήρ. ἐκ γὰρ τοῦ υἱοῦ πατὴρ γινώσκεται. ἄρα οὖν καὶ ὁ πατήρ, ἦν καιρὸς ὅτε καὶ αὐτὸς ἦν υἱὸς ἑτέρου πατρός. φεῦ τῆς τοιαύτης βλασφημίας. δοκῶν γὰρ τὸν πατέρα σέβειν τελείως, εἰς αὐτὸν ἀσεβεῖς. εἰ οὖν ὁ υἱὸς αὐτὸς ἐποίησε τοὺς χρόνους καὶ καιρούς [πάντα γὰρ δι' αὐτοῦ ἐγένετο] πῶς τολμᾷς λέγειν, ὅτι ἦν καιρὸς ὅτε οὐκ ἦν ὁ υἱός; οὐκοῦν κατὰ τὸν σὸν λόγον, μείζων ὁ χρόνος τοῦ Θεοῦ λόγου. τὸ γὰρ πρῶτον ἀνάγκη καὶ μεῖζον. θέλεις δὲ γνῶναι ὅτι συναΐδιος τῷ πατρὶ υἱός; λέγει Ἡσαΐας· ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ εἰς τὰ μετὰ ταῦτα. πρὸ ἐμοῦ οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. εἰ οὖν ὕστερον τοῦ πατρὸς λέγεις τὸν υἱόν, πῶς λέγει ὁ πατήρ, ὅτι μετ' ἐμὲ οὐκ ἔσται ἄλλος Θεός; εἰ δὲ εἰς τὸν υἱὸν ἐκλάβῃς τοῦτο, πῶς λέγει, πρὸ ἐμοῦ οὐκ ἐγένετο ἄλλος Θεός; βλέπε οὖν διὰ τούτων συναΐδιον εἶναι τὸν υἱὸν τῷ πατρί. ἄκουε δὲ τὰς μαρτυρίας τὰς περὶ τοῦ υἱοῦ, καὶ φεῦγε* τοὺς δυσφημοῦντας αὐτόν. Ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου, καὶ πῦρ ἐπὶ Σόδομα. Κύριον καλεῖ τὸν πατέρα, Κύριον τὸν υἱόν, Κύριον τὸ πνεῦμα τὸ ἅγιον· ὥς φησιν, ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι· καὶ οὐκ εἶπεν, ὁ Κύριος ὁ μικρότερος παρὰ Κυρίου τοῦ μεγάλου. καὶ ὁ Μωυσῆς φησι, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· ἄγγελος δὲ κτίσματι οὐ προσκυνεῖ. καὶ ἵνα μάθῃς περὶ τοῦ υἱοῦ τοῦτο λελέχθαι, ἄκουε Παύλου λέγοντος. ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ Δαβὶδ δὲ βοᾷ· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καὶ οὐκ εἶπε, Κύριος τοῦ Κυρίου μου· ἀλλ' εἶπε, Κύριος τῷ Κυρίῳ μου. ἰδού, φησὶν Ἡσαΐας, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. ναί, λέγω αὐτὸν υἱόν, ὑποτακτικὸν μέντοι, καὶ μικρότερον τοῦ πατρός. ἐλέγχει σε πάλιν Ἡσαΐας λέγων. ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, θαυμαστός, σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὁ προφήτης, ἐξουσιαστήν, Θεὸν ἰσχυρὸν ἀνακηρύττει· καὶ σὺ λέγεις αὐτὸν ὑποτακτικόν; ἐκεῖνος μεγάλης βουλῆς ἄγγελον καλεῖ· καὶ σὺ λέγεις μικρόν; βλέπε δέ μοι καὶ Ἱερεμίαν βοῶντα περὶ αὐτοῦ. οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. περὶ τοῦ πατρὸς λέγει, ἢ περὶ τοῦ υἱοῦ; περὶ τοῦ πατρός, φησιν. ὁ πατὴρ ἐσαρκώθη, ἢ ὁ υἱός; ὁ υἱός. οὐκοῦν κατὰ τὸν λόγον ὁ πατὴρ ἐσαρκώθη. ἀλλὰ νῦν βλέπω κατὰ τὸν τοῦ προφήτου λόγον, ὅτι ὁ υἱὸς ὁ συναναστραφεὶς τοῖς ἀνθρώποις. ναί, * ὁ Κύριος ἐσαρκώθη, ὁ δὲ πατὴρ ἄσαρκος διέμεινεν. ἐλέγχθητι οὖν, ὦ ἀνόητε, ὅτι περὶ υἱοῦ λέγει, διὰ τῶν ἑξῆς· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ὁρᾷς αὐτὸν καὶ νομοθέτην; εἰ γὰρ

A patrem, eò quòd non oppoſitum eſt, quòd ſit vera lux: ita cùm audis de patre, Te ſolum verum Deum: de filio autem, ſolùm quòd ſit Deus; ne audeas minorem facere filium: quoniam nomina diverſo modo nunc illi, nunc huic adhærent, ut de patre dicatur, Deus verus: de filio autem, Deus: & contrà, Erat lux vera, tribuitur filio: patri autem, lux tantùm. Porrò ſicut non licet dicere de patre quòd non ſit lux vera: & de filio, quòd non ſit Deus verus: Ipſe enim dixit, *Ego ſum veritas:* ita & de Spiritu ſancto, Ibid. 14. 6.
B quoniam *Spiritus eſt veritatis.* Atque ita per hæc teſtimonia diſce, ut venereris inſeparabilem Trinitatem. Omnia quæcunq; habet pater, mea ſunt, dicit unigenitus Deus, exiſtens in ſinu patris. Moſes dicit: *Qui eſt, miſit me.* Qui eſt, eſt Pater: qui eſt, eſt filius, & habet ſe qui eſt, ad eum qui eſt abſque principio, & non in tempore genitus eſt. Omnia quæ habet pater, qui verè vita, & immortalitas, & lux, & omnipotens, & Deus, & Dominus, ea utique habet & filius. Ego enim, inquit, veritas, & vita:
C &, erat lux vera, & Deus erat verbum. Et Thomas inquit Apoſtolus, *Dominus meus & Deus meus,* quemadmodum & Pſaltes dicit. *Manibus meis Deum exquiſivi, & non ſum deceptus.* Palpavit enim Thomas verbum in incredulitate, & non eſt deceptus, Chriſtum Deum illum confeſſus in fide. Profectò, inquit, dico filium Dei Deum. Sed dicis: Non ſine principio autem, ſed creatum, proinde & ſervum. Et quomodo hoc? *Quaſi in forma Dei exiſtens, non rapinam arbitratus eſt æqualem ſe Deo, ſed ſemetipſum*
D *exinanivit forma ſervi accepta.* Si igitur ſervus eſt, (omnis enim creatura ſerva eſt) quomodo ſervus exiſtens formam ſervi accepit? Quomodo autem ſeipſum exinanivit, ſi perfectus Deus non erat? Accepit enim quod non habuit, & manſit quod erat. Non factus eſt id quod erat, ſed cùm in forma Dei eſſet, per miſericordiam, abſq; ſui verſione accepit formam ſervi. Si autem non vis illum confiteri abſque principio, ſequitur quòd fuerit tempus, quonõ fuerit filius. Etiam, dicit. Ecce igitur inquam, juxta tuum
E ſermonem erat tempus quo non fuit pater. Qui enim filium non habet, pater non vocatur. Et pater habuit principium, quo cœpit eſſe pater. Ex filio enim pater cognoſcitur. Nunquid & pater tempore aliquo alterius patris erat filius? Proh quanta blaſphemia! Itaque dum videris venerari patrem, ſumma illum contumelia afficis. Jam ſi filius ipſe tempora fecit & momenta (omnia enim per ipſum facta ſunt) quo pacto dicere audes quòd fuerit tempus quo non fuerit filius? Proinde juxta ſermonem tuum,
A majus erit tempus, quam Deus ſermo. Nam quod prius id neceſſariò & majus. Vis autem ſcire quòd filius coæternus ſit patri? Dicit Eſaias, *Ego Deus primus, & ego poſt hæc, & ante me non fuit alius Deus, & poſt me non erit.* Itaque ſi poſteriorem patre dicis filium: quomodo dicit pater, quòd poſt me non erit alius Deus? Sin exponis hoc de filio: quomodo dicit, ante me non fuit alius Deus? Quapropter ex his collige filium coæternum eſſe patri: Audi autem & teſtimonia de filio, & fuge cùm blaſphematur:
B *Pluit Dominus à Domino ignem & ſulphur ſuper Sodoma.* Dominum vocat patrem, Dominum filium, Dominum ſpiritum ſanctum, Sicut dicit, *Dominus autem ſpiritus eſt:* & non dicit, Dominus minor, à Domino magno. Et Moſes dicit: *Et adorent illum omnes Angeli Dei.* Angelus autem creaturam non adorat. Et ut diſcas de filio hoc dictum eſſe, audi Paulum dicentem: Quando autem inducit primogenitum in orbem terrarum, di-
C cit: *Et adorent illum omnes Angeli Dei.* Et David quoque clamat: *Dixit Dominus Domino meo, ſede a dextris meis, donec ponam inimicos tuos ſcabellum pedum tuorum.* Et non dixit: Dixit Dominus Domini mei: ſed, Dominus Domino meo. *Ecce* (dicit Eſaias) *virgo uterum geret, & pariet filium, & vocabunt nomen ejus Emmanuel: quod eſt interpretatum, nobiſcum Deus.* Utique dico ipſum filium, ſubjectum planè & inferiorem patre. Arguit te denuò Eſaias, dicens: *Puer natus eſt nobis, filius & datus eſt no-*
D *bis, & vocabitur nomen ejus, magni conſilii Angelus, admirabilis, conſiliarius, Deus fortis, poteſtatem habens, princeps pacis, pater futuri ſeculi.* Propheta poteſtate præditum, & Deum fortem prædicat, & tu dicis illum ſubditum? Ille magni conſilii Angelum vocat, & tu dicis parvum? Vide autem obſecro, quid Hieremias de eo clamet: Hic Deus noſter, non æſtimabitur alius ad illum. De patrène dicit, an de filio? De patre dicit. Paterne incarnatus eſt, an filius? filius.
E Itaque ſecundùm ſermonem tuum pater eſt incarnatus. Verùm nunc video juxta ſermonem Prophetæ, quòd filius, qui & converſatus eſt cum hominibus. Etiam filius incarnatus eſt, pater autem non incarnatus permanſit. Reprehenderis igitur inſipiens, quòd de filio hoc dicit per ſequentia: Hic Deus noſter, non æſtimabitur ad illum alius, invenit omnem viam ſcientiæ, & dedit eam Jacob puero ſuo, & Iſrael dilecto ſuo: poſtea ſuper terram viſus eſt, & cum hominibus converſatus eſt. Vides illum & legiſlatorem? Nam ſi ipſe

Marginal notes: ſo. τὸ ἀλ. — Ibid. 14. 6. — Ibid. 16. 13. — Exod. 3. 14. — σ. μονογενὴς υἱὸς Θεοῦ ὁ — Joh. 20. 28. — Pſal. 77. 2. — ſo. γεγεννημένος. — Philipp. 2. 6. — Joh. 1. 3. — Eſa. 43. 10. — ſo. τὸ ἀνωτέρω. — Gen. 19. 24. — 2. Cor. 3. 17. — Pſal. 96. 7. — Heb. 1. 6. — Pſal. 109. 1. — Eſa. 7. 14. — Ibid. 9. 6. — Baruch. 3. 22. — ſo. ὁ υἱὸς ἐσ.

invenit omnem viam ſcientiæ, & dedit eam Jacob puero ſuo, A
& Iſraël dilecto ſuo, ipſe eſt qui & Moſi apparuit, & legem de-
dit. Et unde hoc manifeſtum? audi Prophetam dicentem: *Diſ-*
Hier. 31, 31. *ponam vobis teſtamentum quod diſpoſui cum patribus veſtris,*
quando apprehendi manum eorum, ut educerem eos ex Ægypto.
Dans leges meas in corda eorum, & in mentes eorum inſcribam
illas, & erunt mihi in populum, & ego ero eis in Deum. Vides
quòd ipſe eſt legiſlator tam veteris quàm novi teſtamenti? nam
Mich. 5, 2. quòd novam legem ipſe tulerit, neque tu inficias ieris. *Et tu* B
Matth. 2, 6. *Bethleem domus Ephrata non minima es, ut ſis in millibus Juda:*
ex te enim mihi egredietur dux, & egreſſiones ejus ab initio dierum,
& ipſe reget populum patris & filii? Filius dicit: Ero eis in Deum,
& ipſi mihi in populum. Pater de Chriſto dicit: Et reget popu-
lum meum Iſraël. Diſce unum regnum patris & filii. Quæcun-
que autem quæ poſt hæc audis humilia, quòd incarnatus ſit, &
ſe humiliarit, ipſo dicente, propter ſalutem hominum, ſenti
2. Cor 3, 6. de illis ut dignum eſt Deo. *Nam litera occidit, ſpiritus autem* C
Joh. 16, 12. *vivificat.* Nam ſi Apoſtolis qui viderant ſua miracula & in no-
Ibid. 8, 28. mine ipſius omnes morbos curaverant, dicebat: Multa vobis
habeo dicere, ſed non poteſtis portare modò: quid ergo ad
multo craſſiorem Judæum? etenim ſi cùm diceret, priuſquam
Abraham fieret, ego ſum, tulerunt lapides, ut lapidarent
ipſum: quomodo quid ſublimius ſibi dici ſuſtinuiſſent? Sic
& in veteri, multa inveniet quis de patre dici pro craſſitate au-
ditorum: ut, Septem oculi Domini reſpicientes orbem terra- D
Pſal. 16, 10. rum: &, *In velamento alarum tuarum proteges me*: &, *Exci-*
Ibid. 43, 24. *tare, ut quid obdormis Domine?* &, *Niſi converſi fueritis, gla-*
Ibid. 7, 13. 14. *dium ſuum vibrabit: arcum ſuum intendit, & paravit illum,*
ſagittas ſuas ardentibus elaboravit. Et quomodo? neque enim
volatilis eſt Deus, neque ſomno gravatur, neque vel gladius
apud Deum, vel arcus, vel ſagittæ. Incorporeus enim Deus eſt.
Verùm hæc interminatur Propheta, attemperans ſe auditorum
craſſitudini: ita & Deus verbum propter nos incarnatus imi- E
tans patrem ſuum humilia loquitur, ad noſtram ſalutem reſpi-
ciens. Quoniam enim ipſum adverſarium Deo putabant, di-
Joh. 9, 16. centes: *Non eſt hic à Deo*: &, *De bono opere non lapidamus te,*
ſed propter blaſphemiam, quia tu cùm homo ſis, facis teipſum
Joh. 5, 18. Deum: Et propter hoc quærebant eum lapidare, quòd non
ſolùm ſolvebat ſabbatum, ſed quòd & Patrem ſuum dicebat
Deum, æqualem ſeipſum faciens Deo: & ideo quia non capie-
bant ſublimia, & ſua Deitate digna, incipit humilia dicere: per A
Ibid. 14, 28. omnia declarans quòd non ſit Deo contrarius. *Si diligeretis me,*
gauderetis utique quod ego vado ad eum qui miſit me Patrem, quo-
niam Pater meus major me eſt: quando enim ſeipſum æqualem
Patri faciebat, lapidare ipſum conabantur. Quòd ſi hæc non ſic
ſe haberent, cogereris laudare Judæos, quòd juſtè crucifixiſſent
Chriſtum, ut adverſarium Dei. Nam qui ſemetipſum æqualem
Deo & Patri facit, cum non ſit talis, is Deo adverſarius eſt. Cæ-
Phil. 2, 6. terùm mendax erit & Paulus, dicens: *Non rapinam arbitratus* B
eſt ſe eſſe æqualem Deo. Quid igitur eſt Salvator, ſecundum quod
Ἰω. ἀδηλ. incarnatus non eſt? Sic dicens, Vado ad Patrem meum, & Pa-
αὐτῷ εἰς. trem veſtrum, & Deum meum, & Deum veſtrum: aliter vocat
Joh. 20, 17. ſuum ſecundum naturam: & aliter noſtrum ſecundum gratiam
& adoptionem: aliter ſuum, propter bonam voluntatem, &
propter creatam aſſumptionem: & aliter noſtrum, ut creatura-
rum. Quòd ſi in his ambigis, potuit dicere patrem noſtrum &
veſtrum, non Patrem meum & veſtrum. Cujus ergo gratia divi- C
ſit ſe? nonne ut hanc nos Deo dignam ſententiam doceret? Vi-
des, inquit, quomodo indiguerit paterno auxilio, dicens, Nunc
anima mea turbata eſt. Et quid dicam? Pater ſalva me ex hora
hac. Indignè legis, Dixit, nunc anima mea turbata eſt: Et cùm di-
Joh. 12, 27. ſtinctionē ibi feciſſet, ſubdit: Et quid dicā? *Pater ſalva me ex ho-*
ra hac, ſed propterea veni in horam hanc. Enimvero per hoc quod
Luc. 22, 15. dixit, *Propterea veni in horam hanc*, præmonſtravit quod ſaluta-
Matth. 26. 39. rem mortem non fugeret. Deſiderio enim deſideravi hoc Paſcha D
manducare vobiſcum, inquit: *Si poſſibile eſt, tranſeat à me calix*
iſte: veruntamen non voluntas mea, ſed tua fiat. Nunquid mor-
tem formidat, vel involuntarius ad paſſionem accedit, qui di-
Marc. 8, 31. xit: *Oportet filium hominis multa pati, & occidi, & ſepeliri, &*
tertia die reſurgere? qui dixit, Solvite templum hoc, & in tribus
Joh. 2, 19. diebus excitabo illud. Qui dixit: *Poteſtatem habeo ponendi ani-*
Ibid. 10, 18. *mam meam, & poteſtatem habeo iterum recipiendi illam*: &,
Nullus tollit illam à me, ego à memetipſo pono illam: & ego iterum E
accipio illam. Qui increpavit Petrum, quem paulo antea bea-
tum prædicaverat, eo quòd dixiſſet, *Tu es Chriſtus filius Dei*
Matth. 16, 16. *viventis*: ſed deinde cum indignum illi videretur quod pate-
Ibid. v. 23. retur, dixit illi: *Vade poſt me Satana, offendiculum mihi es,*
quia non ſapis quæ Dei ſunt, ſed quæ hominum. Qui confirmavit

A ἐξεῦρεν αὐτὸς πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ
παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ αὐτοῦ· αὐτός ἐστιν ὁ καὶ τῷ Μωϋ-
σῇ φανεὶς, καὶ νομοθετήσας. καὶ πόθεν τοῦτο δῆλον; ἄκουε τοῦ προφήτου
λέγοντος· Διαθήσομαι ὑμῖν διαθήκην καινήν. οὐ κατὰ τὴν διαθή-
κην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χει-
ρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· διδοὺς νόμους μου ἐν
ταῖς καρδίαις αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς.
B καὶ ἔσονταί μοι εἰς λαὸν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν. βλέπεις ὅτι
αὐτός ἐστιν ὁ νομοθέτης παλαιᾶς καὶ καινῆς; ὅτι γὰρ τὴν καινὴν αὐτὸς
νομοθετεῖ, οὔτε σὺ ἀμφιβάλλεις. καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ,
μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναί σε ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξε-
λεύσεται ἡγούμενος· καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς ἐξ ἡμερῶν, καὶ αὐτὸς
ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. βλέπεις ἕνα λαὸν πατρὸς καὶ υἱοῦ.
ὁ υἱὸς λέγει· Ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοί μοι εἰς λαόν. ὁ πατὴρ
C περὶ Χριστοῦ λέγει· καὶ ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. μάνθανε * ὡς
βασιλείαν τοῦ πατρὸς καὶ υἱοῦ. ὅσα δὲ μετὰ ταῦτα ἀκούσῃς αὐτοῦ λέγοντος
ταπεινὰ, μετὰ τὸ ἰδίᾳ εὐδοκίᾳ σαρκωθῆναι, καὶ ἑαυτὸν ταπεινῶσαι
διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν, νόει ταῦτα θεοπρεπῶς. τὸ γράμ-
μα γὰρ ἀποκτείνει· τὸ δὲ πνεῦμα ζωοποιεῖ. εἰ γὰρ τοῖς ἀποστόλοις τοῖς
ἑωρακόσιν αὐτοῦ τὰ θαύματα, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ πάσας νόσους
θεραπεύσασιν, ἔλεγε, πολλὰ ὑμῖν ἔχω εἰπεῖν, ἀλλ᾽ οὐ δύνασθε
D βαστάζειν ἄρτι· τί πρὸς Ἰουδαίους τοὺς παχυτέρους πολλῷ; εἰ * γὰρ εἰπ-
όντι, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι, ἐβάστασαν λίθους λιθάσαι
αὐτόν· πῶς ἄν τι τῶν ὑψηλῶν εἰπεῖν αὐτοῖς, ὅλως κἂν ἠνέσχοντο ἀκοῦσαι;
οὕτω καὶ ἐν τῇ παλαιᾷ πολλὰ εὕροι τις ἂν περὶ πατρὸς λεγόμενα πρὸς
τὴν παχύτητα τῶν ἀκουόντων· ὥσπερ, Ἑπτὰ ὀφθαλμοὶ Κυρίου ἐπιβλέ-
ποντες τὴν οἰκουμένην· καὶ, ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με· καὶ,
ἐξεγέρθητι ἵνα τί ὑπνοῖς, Κύριε; καὶ, ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομ-
E φαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό· τὰ
βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. καὶ πῶς; οὔτε γὰρ πτηνὸν τὸ
θεῖον, οὔτε ὕπνῳ κατεχόμενον, οὔτε ῥομφαία περὶ Θεὸν, ἢ τόξον, ἢ βέ-
λη· ἀσώματον γὰρ τὸ θεῖον. ἀλλὰ ταῦτα ἀπειλεῖ ὁ προφήτης, καθυ-
ψεῖσθαι βουλόμενος τῆς παχύτητος τῶν ἀκροατῶν· οὕτω καὶ ὁ Θεὸς λόγος δι᾽
ἡμᾶς σαρκωθεὶς, μιμούμενος τὸν ἑαυτοῦ πατέρα, ταπεινὰ φθέγγεται,
πρὸς τὴν ἡμῶν σωτηρίαν ἀποβλέπων. ἐπειδὴ γὰρ ἀντίθεον αὐτὸν ἐνόμι-
A ζον, λέγοντες, ὅτι Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ· καὶ, περὶ καλοῦ ἔργου οὐ
λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν, ποι-
εῖς σεαυτὸν Θεόν· καὶ, διὰ τοῦτο ἐζήτουν αὐτὸν λιθάσαι, ὅτι οὐ μόνον ἔλυε
τὸ σάββατον, ἀλλ᾽ ὅτι πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον ἑαυτὸν ποιῶν
τῷ Θεῷ. διὰ δὲ τὸ μὴ χωρεῖν αὐτοὺς τὰ ὑψηλὰ, καὶ τῆς αὐτοῦ θεότητος
ἄξια, ἄρχεται ταπεινὰ λέγειν, διὰ πάντων δεικνὺς μὴ εἶναι ἀντίθεος.
εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν, ὅτι ἐγὼ πορεύομαι πρὸς τὸν πέμ-
B ψαντά με πατέρα. ὁ πατήρ μου μείζων μου ἐστί. ὅτε γὰρ ἑαυτὸν ἴσον
ἐποίει τοῦ πατρὸς, λιθάζειν αὐτὸν ἐπεχείρουν. εἰ δὲ ταῦτα οὕτω μὴ ἔχει,
ἀναγκασθήσῃ ἐπαινεῖν Ἰουδαίους, ὅτι δικαίως ἐσταύρωσαν αὐτὸν, ὡς
ἀντίθεον. ὁ γὰρ ἑαυτὸν ἴσον τῷ Θεῷ καὶ πατρὶ ποιῶν, μὴ ὢν δὲ, ἀντίθεος.
ψεύδεται οὖν λοιπὸν Παῦλος, λέγων· οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι
ἴσα Θεῷ. τί οὖν ἐστιν ὁ Σωτὴρ, καθ᾽ ὃ οὐκ ἐσαρκώθη; οὕτω τὸ, πορεύο-
μαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν·
C ἄλλως αὐτοῦ κατὰ φύσιν, καὶ ἄλλως ἡμῶν κατὰ χάριν καὶ θέσιν· * ἄλλως ὡς
διὰ τὴν ἰδίαν εὐδοκίαν, καὶ διὰ τὴν κτιστὴν πρόσληψιν· καὶ ἄλλως ἡμῶν, ὡς
δημιουργημάτων· εἰ δὲ ἀμφιβάλλεις ἐν τούτοις, εἶχεν εἰπεῖν πατέρα
ἡμῶν καὶ ὑμῶν. τίνος ἕνεκεν διεῖλεν ἑαυτὸν, ἀλλ᾽ ἢ ταύτην ἡμᾶς τὴν θεο-
πρεπῆ ἔννοιαν διδάσκων; βλέπεις, φησὶ, πῶς ἐπιδεῖται τῆς τοῦ πατρὸς
βοηθείας, λέγων· Νῦν ἡ ψυχή μου τετάρακται. καὶ τί εἴπω; πάτερ,
σῶσόν με ἐκ τῆς ὥρας ταύτης. κακῶς ἀναγινώσκεις. εἶπε, νῦν ἡ ψυ-
χή μου τετάρακται· καὶ ἀποδιαστείλας ὧδε, ἐπήγαγε τὸ, τί εἴπω; πά-
D τερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἐλήλυθα εἰς τὴν
ὥραν ταύτην. διὰ γὰρ τοῦ εἰπεῖν, διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην, ἔδει-
ξεν, ὅτι οὐ τὸν θάνατον ἀναδύεται τὸν σωτήριον. ἐπιθυμίᾳ γὰρ ἐπεθύμησα
τὸ πάσχα τοῦτο φαγεῖν μεθ᾽ ὑμῶν, φησίν. εἰ δυνατὸν, παρελθέ-
τω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ
σὸν γενέσθω. ἆρα τὸν θάνατον δειλιᾷ; ἢ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται; ὁ
εἰπών· Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποκτανθῆναι, καὶ ταφῆ-
E ναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· ὁ εἰπών· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν
τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὁ εἰπὼν ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν
μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ·
ἐγὼ ἀπ᾽ ἐμαυτοῦ τίθημι αὐτὴν, καὶ ἐγὼ πάλιν λαμβάνω αὐτήν. ὁ
ἐπιτιμήσας τῷ πρὸ βραχέως μακαρισθέντι Πέτρῳ, ἐπὶ τῷ λέγειν,
σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ * ζῶντος, ἐπειδὴ ἀνάξιον αὐτοῦ τὸ πά-
θος ἐνόμισεν, ἀκούσας, ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· ὁ στηρίξας τὸ πρόσωπον

αὐτοῦ ἀναβῆναι εἰς Ἱερουσαλήμ, ἵνα σωτηρίαν διὰ τοῦ πάθους αὐτοῦ A
πᾶσι χορηγήσῃ· ὁ διὰ τῶν προφητῶν καὶ τὸ εἶδος τοῦ πάθους αὐτοῦ προ-
„ ανηρύξας· διὰ μὲν Ἱερεμίου· ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν,
λέγοντες· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψω-
μεν αὐτὸν ἀπὸ γῆς· τὸν σταυρὸν σημαίνων· διὰ δὲ Δαβὶδ ἔδωκαν εἰς
„ τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· καὶ,
„ ὤρυξαν χεῖράς μου καὶ πόδας μου· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυ-
„ τοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· καὶ διὰ Ἡσαΐου· τὸν B
νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα,
τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. οἶ-
δας οὖν ταῦτα πάντα τελεσθέντα ἐν τῷ σταυρῷ. ὑπὸ γὰρ Πιλάτου
ἐφραγελλώθη, ὑπὸ δούλου ἐρραπίσθη, ὑπὸ ἀνόμων ἐνεπτύσθη, ὑπὸ
στρατιωτῶν ἥλοις ἐν σταυρῷ ἐπάγη, διαμεριζομένων αὐτοῦ τὰ ἱμάτια,
καὶ κλῆρον βαλλόντων. ὁ διὰ πολλῶν τὸ πάθος σημάνας, πῶς ἀνα-
„ δύεται νῦν; διὰ τί οὖν λέγει, Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ C
„ τὸ ποτήριον τοῦτο; ἠγνόει ὁ διάβολος τίς ἦν· βλέπων γὰρ αὐτὸν δι-
ψῶντα, πεινῶντα, κοπιῶντα, καὶ τὰς ἄλλας αὐτοῦ οἰκονομίας, ἐνόμι-
σεν αὐτὸν ἄνθρωπον εἶναι ψιλόν· ὁρῶν δὲ αὐτοῦ τὰ θεϊκὰ θαύματα,
Θεὸν ὑπενόει. ἀμφέβαλεν οὖν περὶ αὐτοῦ, ἀγνοῶν αὐτόν. εἰ γὰρ ᾔδει
ἀκριβῶς, ὅτι Θεὸς ἦν, οὐκ ἂν ἐτόλμησεν αὐτῷ προσελθεῖν· ὡς καὶ Παῦ-
„ λος λέγει· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.
προεβάλλετο οὖν ὁ δεσπότης δειλίαν, ἐκεῖνον ἐπισπώμενος, ἵνα ἐπελ- D
θὼν ὡς ἀνθρώπῳ, προσπαθῇ παρ' αὐτοῦ, καὶ λυτρωθῶσι πάντες οἱ
αἰχμάλωτοι, ὅσοι κατείχοντο ὑπ' αὐτοῦ. ὥσπερ ἂν εἴ τις βασιλεὺς
μέλλων τυράννῳ ἀθρόως τινὶ συμβαλεῖν, ἐπίσταται δὲ ὅτι φεύξεται
αὐτὸν, σοφίζεται δειλίαν, λέγων τῇ δυνάμει αὐτοῦ, φυγωμεν ἐν-
θεν ἀπὸ προσώπου αὐτοῦ, ὅπως μὴ ἀποδράσῃ ἡμᾶς, ἀλλὰ καταδιώ-
ξῃ, καὶ οὕτω στραφέντες συλλάβωμεν αὐτόν. οὕτω καὶ ὁ δεσπότης προε-
βάλλετο δειλίαν, ἵνα ἐπέλθῃ ὁ διάβολος ὡς ἀνθρώπῳ, καὶ εὕρῃ * δια- E
ῥείσοντα αὐτὸν, καὶ ῥυόμενον πάντας τοὺς ὑπὸ τοῦ ᾅδου κρατουμένους.
„ οὕτω γάρ φησιν, ὤφθη ἄγγελος ἐνισχύων αὐτόν. ὁ ὑπὸ ἀγγέλων
„ προσκυνούμενος, καὶ ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ
καταχθονίων, πῶς ἰσχὺν παρὰ ἀγγέλου ἐλάμβανεν; οὐκ ἰσχὺν,
ἀλλὰ δοξολογίαν· λέγοντος ἀγγέλου· σοῦ ἐστιν ἡ βασιλεία καὶ τὸ
κράτος, δέσποτα. οὐδεὶς ἐπίσταται τὴν ἡμέραν ἐκείνην, ἢ τὴν ὥραν, οὔτε
οἱ ἄγγελοι, οὔτε ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ. καὶ πῶς, φησὶν, ἴσος τῷ πατρὶ A
ὁ μὴ εἰδὼς τὴν ἡμέραν ἐκείνην; ὁ ποιήσας αὐτὴν, οὐκ οἶδεν αὐτήν; καὶ διὰ
τί οὖν λέγει, οὔτε ὁ υἱός; βλέπε * τὴν θεωρίαν. δύο γνώσεις καὶ εἰδήσεις
ἐν τῇ γραφῇ εὕροι τις ἄν· μίαν μὲν, τὴν κατὰ πρᾶξιν· ἑτέραν δὲ, τὴν κατὰ γνῶ-
σιν· ἔγνω γάρ, φησιν, Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ· οὐχ ὡς πρότε-
„ ρον ἀγνοῶν· πῶς γὰρ ὁ εἰπών, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ
„ ἐκ τῆς σαρκός μου; καὶ ἔγνω Ἀβραὰμ Σάρραν τὴν γυναῖκα αὐτοῦ. καὶ ὁ
Ἰακὼβ Λείαν καὶ Ῥαχήλ. ἆρα οὖν ἠγνόει αὐτὰς, ὁ δι' αὐτὰς δεκατέσσα- B
ρα ἔτη δουλεύσας; ᾔδει μὲν αὐτὰς κατὰ γνῶσιν· ἐπὶ τέλει δὲ, καὶ κατὰ πρᾶ-
„ ξιν. ὁ οὖν πατὴρ μὴ κρίνων τινὰ, ἀλλὰ τὴν κρίσιν ἅπασαν δεδωκὼς
„ τῷ υἱῷ, οἶδε τὴν ἡμέραν καὶ γνώσει, καὶ πράξει. ὁ δὲ υἱὸς ἐλθὼν σῶσαι
τὸν κόσμον, καὶ οὐ κρῖναι, οἶδεν αὐτὴν κατὰ γνῶσιν· ἐπειδὴ δὲ οὐδέπω ἔκρι-
νεν, ἀγνοεῖ τὴν ἡμέραν, τὴν κατὰ πρᾶξιν γνῶσιν σημαίνων· ἀλλὰ λέγει Παῦ-
„ λος· κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν,
„ πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν· καὶ ἀλλαχοῦ· Κύριον καὶ Χριστὸν ὁ
„ Θεὸς αὐτὸν ἐποίησε· καὶ Σολομών· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ C
„ εἰς ἔργα αὐτοῦ. ὁρᾷς πῶς κτίσμα καὶ ποίημα ἡ γραφὴ αὐτὸν σημαίνει.
„ ἀλλ' ἐλέγχει σε ἡ ἀκολουθία, ὦ θεομάχε. πᾶς γάρ, φησιν, ἱερεὺς
„ ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται, εἰς τὸ
„ προσφέρειν δῶρά τε καὶ θυσίας. ἔλαβε γὰρ ἐξ ἡμῶν τὴν * ποιηθεῖσαν
σάρκα ἀναμάρτητον, ἣν ὑπὲρ ἡμῶν τῷ πατρὶ προσήνεγκε θυσίαν·
κατὰ σάρκα οὖν, τῷ ποιήσαντι αὐτὸν, νόει, καὶ μὴ κατὰ τὴν θεότητα. οὕτω καὶ τὸν
Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε. πρὸ γὰρ οἰκονομίας ἁπανταχοῦ D
Θεὸς κηρύσσεται, καθὼς προδέδεικται· καὶ οὐδαμοῦ ὡς ποίημα αὐτὸν λέγει·
ἀλλὰ διὰ τὴν ἕνωσιν τῆς κτισθείσης σαρκὸς λέγει, Κύριον καὶ Χριστὸν ὁ Θεὸς αὐτὸν
ἐποίησε· πρὸς τὴν παχύτητα τῶν ἀκροατῶν. Κύριος ἀρχὴν ὁδῶν αὐτοῦ ἔκτισέ
με, φησίν. ὁρᾷς ὅτι κτίσμα λέγει; ἀλλ' ἐπὶ τὴν ἀκολουθίαν τῶν ἑξῆς ἴω-
μεν· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.
πρῶτον μὲν, ὦ κενόδοξε, μάνθανε, ὅτι Παροιμία ἡ βίβλος λέγεται· πᾶν
δὲ τὸ παροιμιαζόμενον οὐ ταὐτόν ἐστι τῇ τοῦ λόγου δυνάμει. καὶ γὰρ ὁ Κύριος τὴν E
βασιλείαν τῶν οὐρανῶν σαγήνῃ καὶ ζύμῃ καὶ κόκκῳ σινάπεως παρείκασε,
καὶ ἄλλοις πολλοῖς τοιούτοις· καὶ οὐ πάντως φαμὲν τὴν βασι-
λείαν τι τούτων εἶναι. ἀλλ' οὐ περιφερόμενος λέξω· Κύριος ἀρχὴν
ὁδῶν αὐτοῦ ἔκτισέ με, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, πρὸ δὲ
πάντων βουνῶν γεννᾷ με. πῶς οὖν τὸ γεννώμενον κτίζεται, ἢ θε-
μελιοῦται; ἢ πῶς τὸ κτιζόμενον γεννᾶται; εἰ γὰρ κτιστὸς, οὐ γεννη-
τός. ἡμεῖς οὐ κτίζομεν ἃ γεννῶμεν, οὐδὲ γεννῶμεν ἃ κτίζομεν.

A faciem ſuam cùm aſcenderet in Hieruſalem: ut ſalutem per paſſionem ſuam omnibus ſuppeditaret. Qui per Prophetas ipſã paſſionis ſuæ ſpeciẽ prædixit. Per Hieremiam enim dicit: *Super me cogitaverũt cogitationem malã*, dicentes, Venite, & immittamus lignum in panem illius, & exteramus illum de terra: crucem ſignificans. Per David autem, *Dederunt in cibum meũ fel, & in ſiti mea potaverunt me aceto*: & *Foderunt manus meas & pedes meos. Partiti ſunt ſibi ipſis veſtimenta mea & ſuper veſtimenta mea miſerunt* B *ſortem*. Et per Eſaiam: Tergum meum dedi ad flagella, genas meas ad alapas, faciem meam non averti à confuſione ſputorum. Vidiſti ſanè hæc omnia perfecta in cruce: Nam à Pilato flagellatus eſt, & à ſervo alapa cæſus, ab impiis conſputus, à militibus clavis in cruce fixus, qui diviſerunt ipſius veſtimenta, & ſortem miſerunt. Qui per tam multa paſſionem ſignificavit, quomodo nunc detrectat? Quare igitur dicit, *Pater ſi poſſibile eſt, tranſeat à me calix iſte*? Ignorabat diabolus quis eſſet: Videns e- C nim ipſum ſitientem, eſurientem, laſſum, & alias ejus diſpenſationes, reputavit eum hominem eſſe purum: Videns autem ejus divina miracula, Deum ſuſpicabatur. Dubitabat igitur de eo, ignorans illum. Nam ſi evidenter ſciſſent quòd Deus eſſet, non auſi fuiſſent ad eum accedere: ſicut & Paulus dicit: *Si enim cognoviſſent, utique Dominum gloriæ non crucifixiſſent*. Prætendit igitur Dominus formidinem, quò ille illiceretur, ut cùm accederet ad hominem, ab ipſo in fugam verteretur, & redimerentur D omnes captivi qui ab illo detenti erant. Quemadmodum Rex aliquis invaſurus tyrannum, cùm illum fugiturum ſe ſciat, fingit metum, dicens exercitibus ſuis: Fugiamus hinc à facie illius, ut ne à nobis fugiat, ſed perſequatur nos: & ſic converſi comprehendamus illum: Ita & Dominus prætexebat formidinem, ut cùm diabolus ipſum quaſi hominem aggrederetur, inveniret Deum qui illum interimeret, & liberaret omnes qui ab illo detinebãtur in inferno. Sic enim dicit: *Apparuit Angelus confortans* E *eũ* qui ab Angelis adoratur, & cui flectitur omne genu cœleſtiũ & terreſtriũ & ſubterraneorũ quo pacto ab Angelo robur accipiebat? Nõ robur accepit, ſed glorificationẽ Angeli dicentis: Tuũ eſt Regnũ & Imperium, Domine. Nullus ſcit diem illam, vel horam, neq; Angelus, neq; Filius niſi Pater. Et quomodo ergo, inquit, æqualis eſt Patri, qui neſcit diem illã? Qui fecit illã, ignorabit ne illã? Et quare igitur dicit, neq; filius? Vide theoriã exquiſitiorem. Duas quis ſcientias & notitias in ſcriptura inveniet: Unã A quidẽ, quæ ex opere ſumitur, alterã verò ex cognitione. Cognovit inquit, enim, Adam Evã uxorem ſuam, non quòd priùs ignoraverit. Aut quomodo ignoraſſet, qui dixerat. *Hoc nunc os ex oſſibus meis, & caro ex carne mea*? Et cognovit Abrahã Sarrã uxorẽ ſuam. Et Jacob Liam & Rachel Num ignorabat illas, qui propter illas annos quatuordecim ſervierat? Sciebat quidem illas agnoſcendo, opere autem poſtea cognovit. Itaque *Pater qui non judicat quemquam, ſed omne judicium dedit Filio*, ſcit diem tam B cognitione, quàm opere. Filius autem qui venit ut ſalvet mundũ, & non ut judicet, ſcit eam ſpeculativa notitia: quia autem nondum judicavit, ideo dixit: Ignorat diem, notitiam operativam ſignificans. At Paulus dicit: *Conſiderate Apoſtolum & Pontificem confeſſionis noſtræ Chriſtum Jeſum, quòd fidelis ſit ei qui fecit ipſum*. Et alio loco: Dominum & Chriſtum illum Deus fecit: Et Salomon dicit: *Dominus creavit me initiũ viarum ſuarum ad opera ſua*. Vides quomodo creaturã & facturam ſuam eum ſcriptura C ſignificat? Verùm arguentte, adverſarie Dei, ea quæ ſequuntur: *Omnis enim*, inquit, *ſacerdos, qui ex hominibus aſſumitur, pro hominibus conſtituitur, ut offerat dona & ſacrificia*. Accepit enim ex nobis creatam carnem abſque peccato, quam pro nobis Patri obtulit ſacrificium. Itaque intellige quòd ſecundùm carnem fecerit eum, & non ſecundùm divinitatem. Sic & Dominum & Chriſtum eum Deus fecit. Nam ante diſpenſationẽ, ubiq; Deus prædicatur, ſicut præmonſtratum eſt, & nunquam aliquis factu- D ram eum dicit, ſed propter unionem carnis creatæ dicit, Dominum & Chriſtum Deus eum fecit: propter auditorum craſſitatẽ. *Dominus initium viarum ſuarum creavit me*. Vides quòd creaturam dicit? Verum procedamus ad ea quæ ibi deinceps ſequuntur. Ante ſeculum fundavit me, ante omnes colles generat me. Primum quidem ô vanæ gloriæ ſectator, diſce, quòd liber, Parœmiæ vel Parabolæ inſcribitur. Quidquid autem per parabolam dicitur, non idem eſt quod verbi vis ac litera. Nam Domi- E nus regnum cœlorum ſagenæ & fermento, & grano ſinapis aſſimilavit, & aliis multis. Et non omninò dicimus Regnum cœlorum aliquid tale eſſe. Sed non dicam multis ambagibus. *Dominus initium viarum ſuarum creavit me*, ante ſeculum fundavit me, ante omnes colles generat me. Quomodo igitur quod gignitur, creatur vel fundatur? vel quomodo quod creatur, gignitur? Nam ſi creatus eſt, non eſt genitus. Nos non condimus ea quæ gignimus, neque gignimus, quæ condimus.

ἴσ. ζῶντας. ἰσοδυνάμως ἀναξίων τὸ ποίημα ὀνομάζειν αὐτόν.
Hier 11,19
Ps. 68,26.
Ib 21,18.
Eſa. 50, 6.
Mat.26,39
1.Cor.2,8.
ἴσ. ἀγρεύσοντα.
Luc.22,43.
Philip.2,10
Mat.24,42
Marc.13,16
Gen.4,1.
Ib 2,23.
Gen 29.
Jo.5, 22
Hebr.3,1.
Ibid. 2.
Prov.8,22.
Heb.5,1.
Act.2,36.
Prov.8,22.
Matth.13.
Prov.8,25.

Et quomodo poſſibile eſt, increato Patri natum eſſe Filium
creatum? Nos enim qui creati ſumus gignimus creata: Pater
Pſ. 21, 18 autem qui increatus eſt, Filium genuit increatum. Aquila au-
tem interpretatus, poſſedit me, dicit: Igitur cùm dicit, creavit
me, prædicit futurum, quaſi jam eſſet factum. Etenim hic mos
eſt ſcripturæ, ſicut cùm dicit: *Foderunt manus meas & pedes*
Joan. 1, 1. *meos*: quaſi diceret, Ego, quem videtis creatam carnem pro-
Ibid. 8. 48. pria voluntate mihi adunaſſe, ab initio ſum, non à Maria habeo
Ἐν. ὁμο- initium. *In principio enim erat verbum*: &, *priuſquam Abra-*
λογεῖς, ὅν. *ham fieret, ego ſum.* Confitetur igitur Filium increatum, & cum
Ἐν. ἀντι- Patre principio carentem, ut ne dea & Patri principium quo cœ-
λέγουσιν. perit eſſe Pater. Quòd ſi dicis Filium cum Patre principio carere:
ἐκεῖ ἦν. dic quomodo genuit Pater Filium, volens vel non volens? Si di-
xerimus volens, contradicunt: Jam erat voluntas ante verbum:
priuſquam enim vellet, dicunt, non erat Filius. Si autem dixe-
rimus, non volens, dicunt: Vim patitur ergo Deus. Omne au-
tem quod vim patitur, non eſt Deus. Nos autem dicimus, quod
Ἐν. γὰρ ἡ ſicut ſol radios & lumen coæterna habet, ita Pater Filium, &
ὑπὸ ἀρχ. Spiritum ſanctum: ut ne dicamus & Patrem ſub principio. Si
enim diceretur ſub principio, priuſquam inciperet, eſſet Fi-
lius, non erat Pater, ſecundùm ſermonem tuum: Erat enim
tempus, quo Pater non erat Pater. Itaque & ipſe incepit, ut
eſſet Pater. Itaque ſi dixeris, non volens, vim paſſus eſt: Deus
autem vim non patitur. Quod enim vim patitur, Deus non eſt.
Vides in quantam incidis impietatem, ſi non confiteris Filium
cum Patre carere principio & coopificem eſſe. Et quomodo coo-
pificem dicam? Scriptum eſt enim, quoniam omnia per ipſum
Joan. 1. facta ſunt. Non audis Prophetam dicentem de Filio: *Ex ore*
Pſal. 8, 3. *parvulorum & lactantium perfeciſti laudem, & cætera.* Quo-
niam videbo cœlos opera digitorum tuorum, lunam, & ſtellas
Jo. 5, 17, 21. quæ tu fundaſti. Non vides Chriſti authoritatem dicentis: *Pa-*
Ibidem. *ter meus uſque modo operatur, & ego operor?* &, *Quomodo Pa-*
Luc. 7, 14. *ter ſuſcitat mortuos & vivificat, ſic & filius quos vult vivificat?*
Ibid. 4, 35. &, *Adoleſcens tibi dico ſurge*, Et ſpiritui immundo: *Ego tibi*
Matt. 9, 2. *impero, obmuteſce, & egredere ex illo* &, *Bono animo ſis fili, re-*
Luc. 5, 21. *mittuntur tibi peccata tua.* Quoniam enim illi dicebant: *Nul-*
lus poteſt dimittere peccata, niſi ſolus Deus: ex ore ipſorum ar-
guit illos, dicens: Vos dixiſtis quòd Dei ſolius eſt dimittere
peccata: ecce igitur dimitto peccata, ut confiteamini Deitatem
meam. Si autem non creditis, ex ſanitate corporis videte, &
Luc. 5, 24. diſcite animæ bonam valetudinem. Tunc dixit ei: *Surge &*
Marc. 12, 13. *tolle grabatum tuum, & vade in domum tuam.* Et iterum al-
Luc. 8, 54 teri: *Extende manum tuam.* Et mari: *Sile, obmuteſce. Pu-*
Joan. 11, 43 *ella, ſurge. Lazare, veni foras. Volo, mundare.* Et cæte-
ra omnia, per quæ manifeſtat, quòd cùm Patre æqualem
habeat dignitatem. Quæ cùm omnia rectè didiceris, cre-
de quòd Patri conſubſtantialis ſit, & quòd conſubſtan-
tialis & Spiritus. Nam ſi ex Patre procedit, & à Fi-
lio ſumit, non alterius ſubſtantiæ eſt Spiritus. Spiritus Dei, Spi-
ritus Chriſti, Spiritus veritatis, Spiritus conſolator, non ha-
2. Cor. 3, bens alium oppoſitum. Spiritus Deus: *Dominus autem Spiritus*
17. *eſt*, ſicut & Petrus ad Ananiam, Cur conſpiraſtis inter vos, ut
Act. 5, 3. 9. tentaretis Spiritum ſanctum? & manifeſtans quòd Deus ſit, in-
quit, *Non mentitus es hominibus, ſed Deo.* Vides quòd Deus Spi-
2 Cor. 6, 16 ritus, cui mentitus eſt? Et Paulus dicit: *Vos templum Dei eſtis,*
Act. 17, 28. *& Spiritus Dei habitat in vobis.* Manifeſtum quòd Deus eſt Spi-
1. Cor. 3, 16 ritus qui habitat in nobis. *In ipſo enim vivimus, & movemur,*
Jo. 6, 63. *& ſumus*: &, *Secundus homo, in Spiritum vivificantem.* Et
alio loco dicit: *Caro non prodeſt quicquam: Spiritus eſt qui vi-*
vificat. Ne auſis igitur aliquid loqui contra conſubſtantialem &
1 Cor. 2, 11. omnipotentē Trinitatem. Et iterum: *Nullus ſcit quæ homi-*
nis, niſi ſpiritus hominis, qui in eo: ſic & quæ Dei nullus ſcit, niſi
Spiritus Dei: non jam qui in illo, ut ne quis compoſitum Spi-
Ibid v. 10. ritum putet. Spiritus enim omnia ſcrutatur, etiam profunda
Dei. Profectò ſcrutatur, ſed non comprehendit. Non
Eccl. 3. 20. enim ſcriptum eſt, quòd comprehendat: quomodo igitur ſcru-
Ἐν. γὰρ οὐ tatur? ut extraneus? ut alienus? ut ignorans? An non eſt ſcri-
γέγραπ- ptum: *Profundiora te ne quæras, & robuſtiora te ne exquiras?*
ται. *quæ præcepta tibi ſunt, ea & cogita.* Non eſt enim tibi opus ab-
Pſ. 7, 10. ſconditis: Si alienus eſt, juxta tuum ſermonem: quomodo au-
Hier 17, 10 det ergo abſcondita Dei ſcrutari? De Patre ſcriptum eſt: *Quo-*
Act. 13, 2. *niam ego ſum Deus, probans renes, & ſcrutans penetralia cordis.*
Ἐν. οἱ ἄν- Num quia non additur hoc verbum, Comprehendo, ignorare
θρωπο- patrem dices? Num ignorans ſcrutatur & probat? & de ado-
ρος. rando Spiritu hoc dicere auſis? Quomodo dixit, *Segregate mihi*
Ἐν. δοκι- *Paulum & Barnabam, in opus ad quod vocavi eos?* Vides pote-
μάζει ſtatem, intelligite Deitatem. Et Agabus: *Hæc dicit Spiri-*
Ἐν. πῶς ὁ *tus ſanctus*: *Virum cujus eſt zona hæc, ſic ligabunt in Hieruſa-*
ἄν. *lem.* Et Apoſtoli: *Viſum eſt Spiritui ſancto, nihil ultra ſervan-*
Ibid. 21. 11. *dum.* Et iterum: *Tranſeuntes Phrygiam & Galatiæ regionem,*
Ibid. 15, 28.
Ibid. 16, 6.

A καὶ πῶς ἐνδέχεται τὸν ἄκτιστον πατέρα γεγεννηκέναι υἱὸν κτιστόν; ἡμεῖς
γὰρ κτιστοὶ ὄντες κτιστὰ γεννῶμεν· ὁ δὲ πατὴρ ἄκτιστος ὢν, ἄκτιστον
υἱὸν ἐγέννησεν. Ἀκύλας δὲ διερμηνεύων· ἐκτήσατό με, εἶπε· τὸ
οὖν, ἔκτισέ με, τὸ μέλλον γενέσθαι, ὡς ἤδη γεγονὸς προαναφωνεῖ.
καὶ γὰρ ἔθος ἐστὶ τῇ γραφῇ· ὥσπερ τό, ὤρυξαν χεῖράς μου καὶ πόδας
μου· ἐμέ, φησιν, ὃν βλέπετε κτιστὴν σάρκα ἰδίᾳ εὐδοκίᾳ ἑνώσαντα
ἑαυτῷ, ἀπ' ἀρχῆς εἰμι. οὐκ ἀπὸ Μαρίας ἔχω τὴν ἀρχήν. ἐν ἀρ-
B χῇ γὰρ ἦν ὁ λόγος· καί, πρὸ Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. * ὁμολο-
γεῖ οὖν υἱὸν ἄκτιστον, καὶ συνάναρχον πατρί, ἵνα μὴ δῷς καὶ τῷ
πατρὶ ἀρχὴν τοῦ γενέσθαι πατήρ. εἰ λέγεις συνάναρχον τῷ πατρὶ
τὸν υἱόν, πῶς ἐγέννησεν ὁ πατὴρ τὸν υἱόν; θέλων, ἢ μὴ θέλων; ἐὰν εἴ-
πωμεν, θέλων, * ἀντιλέγουσιν· ἤδη ἦν τὸ θέλημα πρὸ τοῦ λόγου.
πρὶν γὰρ θελῆσαι, φησιν, οὐκ ἦν ὁ υἱός. ἐὰν δὲ εἴπωμεν, μὴ θέλων,
λέγουσι, τυραννεῖται τὸ θεῖον· πᾶν δὲ τὸ τυραννούμενον, οὐ θεός. ἡμεῖς
C δὲ λέγομεν, ὅτι ὥσπερ ὁ ἥλιος τὰς ἀκτῖνας καὶ τὸ φέγγος συναΐδια
ἔχει· οὕτως ὁ πατὴρ υἱόν, καὶ ἅγιον πνεῦμα. ἵνα μὴ εἴπωμεν καὶ τὸν
πατέρα ὑπὸ ἀρχήν. εἰ * γὰρ λέγεται ὑπὸ ἀρχήν· πρὶν ἄρξασθαι
τὸν υἱόν, οὐκ ἦν ὁ πατήρ, πατήρ, κατὰ τὸν σὸν λόγον· καὶ ἀναδειχθήσεται
τὸν πατέρα ὑπ' ἀρχὴν ποιῶν ἀσεβῶς· εἰ δὲ μὴ γε· ἀντερῶ γὰρ σοι
κἀγώ· θέλων ὁ πατὴρ ἐγένετο πατήρ, ἢ μὴ θέλων· ἐὰν εἴπῃς,
θέλων· ἰδὲ οὖν, πρὶν θελῆσαι, οὐκ ἦν πατήρ. ἦν οὖν καιρὸς ὅτε οὐκ
D ἦν πατὴρ ὁ πατήρ. καὶ αὐτὸς οὖν ἤρξατο τοῦ εἶναι πατήρ. ἐὰν εἴπῃς,
μὴ θέλων· τετυράννηται. Θεὸς δὲ οὐ τυραννεῖται· τὸ γὰρ τυραννούμενον
οὐ Θεός. ὁρᾷς εἰς πόσην ἐμπίπτεις ἀσέβειαν, ἐὰν μὴ ὁμολογήσῃς
συνάναρχον καὶ συναΐδιον καὶ συνδημιουργὸν πρὸς τὸν υἱόν; καὶ πῶς
εἴπω συνδημιουργόν; γέγραπται γάρ, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο.
οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος περὶ τοῦ υἱοῦ· ἐκ στόματος νηπίων
καὶ θηλαζόντων κατηρτίσω αἶνον· καὶ τὰ ἑξῆς· ὅτι ὄψομαι τοὺς
E οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμε-
λίωσας· οὐχ ὁρᾷς τοῦ Χριστοῦ τὴν αὐθεντίαν λέγοντος· ὁ πατήρ μου
ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· καί, ὥσπερ ὁ πατὴρ ἐγείρει
τοὺς νεκροὺς καὶ ζωοποιεῖ· οὕτω καὶ ὁ υἱὸς οὓς θέλει, ζωοποιεῖ· Νεανί-
σκε, σοὶ λέγω, ἐγέρθητι, καὶ τῷ πνεύματι τῷ ἀκαθάρτῳ· ἐγώ
σοι ἐπιτάσσω, φιμώθητι, καὶ ἔξελθε ἀπ' αὐτοῦ· καί, θάρσει τέκνον,
ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἐπειδὴ γὰρ ἐκεῖνοι ἔλεγον, οὐδεὶς
A δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός· ἐκ τοῦ στόματος
αὐτῶν ἐλέγχων αὐτούς, φησιν· ὑμεῖς εἴπατε ὅτι Θεοῦ μόνου ἐστὶν
ἀφιέναι ἁμαρτίας· ἰδὲ οὖν ἀφίημι ἁμαρτίας, καὶ ὁμολογήσατε
μου τὴν θεότητα. εἰ δὲ ἀπιστεῖτε, ἐκ τῆς τοῦ σώματος ῥώσεως βλέπε-
τε, καὶ μάθετε καὶ τὴν τῆς ψυχῆς ὑγίειαν. τότε λέγει αὐτῷ· ἐγερθεὶς ἆρόν
σου τὸν κράβαττον, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου· καὶ πάλιν ἄλλῳ· ἔκτει-
νον τὴν χεῖρά σου. καὶ τῇ θαλάσσῃ· σιώπα, πεφίμωσο. ἡ παῖς ἐγεί-
B ρου· Λάζαρε, δεῦρο ἔξω· θέλω, καθαρίσθητι· καὶ τὰ ἑξῆς ἅπαντα,
δι' ὧν δηλοῖ τὸ πρὸς τὸν πατέρα ὁμότιμον. ἅπερ ἅπαντα κατα-
μαθών, πίστευε ὅτι ὁμοούσιός ἐστι τῷ πατρί, ὁμοούσιον δὲ καὶ τὸ
πνεῦμα. εἰ γὰρ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ ἐκ τοῦ υἱοῦ λαμβάνει,
οὐκ ἀλλότριον τῆς οὐσίας τοῦ Θεοῦ τὸ πνεῦμα. πνεῦμα Θεοῦ, πνεῦμα
Χριστοῦ, πνεῦμα ἀληθείας, πνεῦμα παράκλητον, ἀντιπαράθετον.
Πνεῦμα ὁ Θεός, ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι. καθὼς καὶ ὁ Πέτρος πρὸς
C τὸν Ἀνανίαν· τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα τὸ ἅγιον;
καὶ δηλῶν ὅτι Θεός ἐστι, φησιν· οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ
Θεῷ. ὁρᾷς ὅτι Θεὸς τὸ πνεῦμα, ᾧ ἐψεύσατο; καὶ ὁ Παῦλος λέγει·
ὑμεῖς ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν. δηλονότι
Θεός ἐστι τὸ πνεῦμα τὸ οἰκοῦν ἐν ἡμῖν. ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμε-
θα καί, ἐσμεν· καί, ὁ δεύτερος ἄνθρωπος εἰς πνεῦμα ζωοποιοῦν· καὶ
ἀλλαχοῦ λέγει· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν, τὸ πνεῦμά ἐστι τὸ ζωο-
D ποιοῦν. μὴ τολμήσῃς οὖν φθέγξασθαί τι κατὰ τῆς ὁμοουσίου καὶ παντοδυνά-
μου τριάδος. καὶ πάλιν. οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ
ἀνθρώπου τὸ ἐν αὐτῷ. οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα
τοῦ Θεοῦ· οὐκ ἔτι τὸ ἐν αὐτῷ, ἵνα μή τις σύνθετον τὸ πνεῦμα νομί-
σῃ. τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· ναί, ἐρευνᾷ
μέν, οὐ καταλαμβάνει δέ. οὐ γὰρ γέγραπται, ὅτι καταλαμβάνει.
πῶς οὖν ἐρευνᾷ; ὡς περίεργον, ὡς ἀλλότριον, ὡς ἀγνοοῦν; εἰ * γὰρ
E μὴ γέγραπται, βαθύτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ
προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστι χρεία τῶν κρυπτῶν· εἰ ἀλλό-
τριόν ἐστι, κατὰ τὸν σὸν λόγον, πῶς ἐτόλμα τὰ βάθη τοῦ Θεοῦ ἐρευνᾶν; περὶ
τοῦ πατρὸς γέγραπται· ἐγὼ Θεὸς δοκιμάζων νεφρούς, καὶ ἐρευνῶν τα-
μεῖα κοιλίας. ἄρα διὰ τὸ μὴ προσκεῖσθαι τό, καταλαμβάνειν, ἀγνοεῖν
τὸν πατέρα φήσεις; * ὡς ἀγνοῶν ἐρευνᾷ καὶ * δοκιμάζει· ὅπου καὶ περὶ τοῦ
προσκυνητοῦ πνεύματος τοῦτο τολμήσῃς λέγειν; * πῶς εἶπεν, ἀφορίσα-
τε δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐ-
τούς; ὁρᾷς τὴν ἐξουσίαν νόει τὴν θεότητα. καὶ ὁ Ἄγαβος· τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν ἐν Ἱερουσα-
λήμ. καὶ οἱ ἀπόστολοι· ἔδοξε τῷ ἁγίῳ πνεύματι μηδὲν πλέον τηρεῖν· καὶ πάλιν· διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν,

κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ. ἐλθόντες δὲ εἰς Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορεύεσθαι· καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον. καὶ πάλιν· ὅτι τὸ πνεῦμα [* μου] τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον· καὶ τὰ ἑξῆς. καὶ ὁ προφήτης, τὸ πνεῦμά μου, φησὶν, ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. ὁ δὲ Κύριος· ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν· καὶ, Κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους καὶ διακόνους. ὅρα τὴν δύναμιν τοῦ ἁγίου πνεύματος, καὶ τὴν αὐθεντίαν, καὶ τὴν ἐξουσίαν. οὐκ ἄρα ἀλλότριον τοῦ Θεοῦ τὸ πνεῦμα. Εἶδον, φησὶν Ἡσαΐας, τὸν Θεὸν ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ ἐν κύκλῳ αὐτοῦ· καὶ τὰ ἑξῆς. καὶ εἶπον, ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν Βασιλέα Κύριον σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου· καὶ εἶπε, τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπον· ἰδοὺ ἐγώ· ἀπόστειλόν με. καὶ εἶπε πρός με [δηλονότι ὁ καθήμενος ἐν τῷ θρόνῳ] πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπὲ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. τίς ἐστιν ὁ καθήμενος ἐπὶ θρόνου, ὁ πατὴρ, φησίν. ἐὰν δὲ μάθῃς παρὰ τοῦ Παύλου, ὅτι τὸ πνεῦμά ἐστιν· ὁμολογεῖς * αὐτὸν Θεόν. δεῖξον, φησὶ, καὶ πιστεύω. ἄκουε λοιπὸν αὐτοῦ λέγοντος· καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον διὰ Ἡσαΐου τοῦ προφήτου. πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ· ἀκοῇ ἀκούσετε· καὶ τὰ ἑξῆς. Παῦλος λέγει, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· Ἡσαΐας λέγει Κύριος σαβαώθ· ὅτι ἀδιάφορόν ἐστι τῇ γραφῇ, περὶ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος λέγειν. μηκέτι οὖν λέγε μέγαν καὶ μικρὸν Θεὸν, ἐμπίπτων εἰς Ἑλληνισμόν. εἰ γὰρ μικρὸς Θεὸς ὁ υἱὸς, ψεύδεται Παῦλος λέγων· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὃν οὖν Παῦλος καλεῖ μέγαν Θεὸν, σὺ μὴ καλεῖ μικρόν. ἐν γὰρ Θεῷ πάντα τέλεια. καὶ πάλιν· ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. μήτε κτιστὸν Θεὸν ὀνομάσῃς ποτέ. ἀσεβεῖς γὰρ κτίσματι προσκυνῶν. τί οὖν; οὐ λέγεις τὸ σῶμα τοῦ Κυρίου κτιστόν; ἴδε οὖν, καὶ σὺ κτίσμα προσκυνεῖς, ἀνόητε. οὐδεὶς λέγει βασιλεῖ, ἔκδυσαι τὴν πορφυρίδα σου, ἢ, ἐγέρθητι ἐκ τοῦ θρόνου σου, ἵνα σοι ψιλῷ προσκυνήσω· ἀλλὰ προσκυνεῖ βασιλεῖ ἐπὶ θρόνου καθημένῳ, καὶ ἐν πορφυρίδι ὄντι. ηὐδόκησε γὰρ ὁ Θεὸς λόγος τὴν κτιστὴν σάρκα τὴν ἐξ ἡμῶν ἀσπιλώτως ἑνῶσαι ἑαυτῷ· προσκυνητὴ οὖν ἐστι σὺν τῷ Θεῷ λόγῳ, καθὼς ἀπεθέωσεν αὐτήν. καὶ τοῦτο σημαίνων ὁ θεσπέσιος Δαβὶδ βοᾷ· ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός * ἐστιν. ἐν ἄλλῳ ῥητῷ λέγων· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. τῇ γῇ ἡμᾶς κελεύεις προσκυνεῖν, ὦ μακάριε Δαβίδ; καὶ πῶς Μωϋσῆς νομοθετεῖ, μήτε τῷ οὐρανῷ, μήτε τῇ γῇ, μήτε τοῖς ἐν αὐτοῖς προσκυνεῖν; ὁρᾶτε μυστήριον. ἐπειδὴ ἤμελλε χωρὶς ἁμαρτίας τὴν ἡμετέραν σάρκα ἑνοῦν ἑαυτῷ εἰς μίαν προσκύνησιν, ἡ δὲ σὰρξ ἡμῶν ἐκ τοῦ Ἀδὰμ, ἐκ τῆς γῆς· κατὰ τοῦτο λέγει, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. ἡμεῖς τῇ γῇ οὐ προσκυνοῦμεν, ἀλλὰ τῷ Θεῷ λόγῳ τῷ ἑνώσαντι ἑαυτῷ χωρὶς ἁμαρτίας τὴν ἐκ τῆς γῆς πλασθεῖσαν τοῦ Ἀδὰμ σάρκα. μηκέτι οὖν λέγε κτιστὸν Θεὸν τὸν υἱόν. εἰπὲ γὰρ, ποῦ εἶπεν ὁ πατὴρ, ἔκτισά μοι υἱόν· ἢ ὁ υἱὸς, ἔκτισέ με ὁ πατήρ; μηδὲ τὰς ἀνθρωπίνας φωνὰς τοῦ Χριστοῦ εἰς ἐλάττωσιν αὐτοῦ λάμβανε. εἰ γὰρ τούτων λεχθέντων, καὶ τῶν ἀνθρωπίνων ἐπ᾽ αὐτοῦ δειχθέντων, ἐτόλμησάν τινες λέγειν δοκήσει καὶ φαντασίᾳ αὐτὸν σεσαρκῶσθαι· εἰ μὴ ταῦτα ἐγεγόνει, ποῦ οὐκ εἶχον ἐξοκεῖλαι ἀσεβείας; πᾶς οὖν ὁ ταῖς ἁγίαις γραφαῖς πιστεύων, προσκυνείτω τριάδα ἄκτιστον, ἄτρεπτον, ἀναλλοίωτον, παντοδύναμον, συνάναρχον, συναΐδιον καὶ ὁμοούσιον, πατέρα, καὶ υἱὸν, τὸν πρώην μὲν ἄσαρκον, ἐπὶ τέλει δὲ βουλήσει ἰδίᾳ ἐνανθρωπήσαντα τελείως, χωρὶς ἁμαρτίας, ἀτρέπτως καὶ ἀναλλοιώτως [γεγονὼς γὰρ ἄνθρωπος, * ἔμεινε τὸ εἶναι Θεός. οὐ γὰρ * ἐτράπη τῆς αὐτοῦ δόξης καὶ ἀξίας] καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα τὸ λαλῆσαν διὰ τῶν προφητῶν. τοὺς δὲ λέγοντας τρεπτὸν τὸν υἱὸν, ἢ τὸ πνεῦμα, ἢ ἀλλοιωτὸν, ἢ ἐξ ἑτέρας οὐσίας, ἢ ἐξ οὐκ ὄντων γεγονότα, ἢ ὅτι ἦν καιρὸς ὅτε οὐκ ἦν, ἀναθεματίζει αὐτοὺς ἡ καθολικὴ ἐκκλησία. ἐπαρκεῖ δὲ ταῦτα τῷ βουλομένῳ, κἂν ὀλίγα ὦσιν. ἅπαντα γὰρ διεξελθεῖν ἀδύνατον. ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος. οὐδὲ αὐτὸν γὰρ οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. ἡμεῖς δὲ οἱ ἀνάξιοι, οἱ καταξιωθέντες ὠφεληθῆναι ἐκ τῶν θείων γραφῶν, προσκυνῶμεν πατρὶ καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A *prohibiti á Spiritu ſancto loqui ſermonem in Aſia.* Ut venerunt autem in Myſiam, attentârunt in Bithyniam proficiſci: non ſinebat eos Spiritus ſanctus. Et iterum: *Verumtamen Spiritus ſanctus per ſingulas civitates teſtificatur, mihi dicens*: & cætera. Et Propheta, *Et Spiritus meus*, inquit, *aſtitit in medio veſtri.* Dominus vero; *Ubicunque fuerint duo vel tres congregati in nomine meo, illic ſum in medio eorum*, &c. *Dominus miſit me, ac Spiritus ejus. Attendite vobis ipſis & toti* B *gregi, in quo vos poſuit Spiritus ſanctus Epiſcopos & diaconos.* Vide virtutem Spiritus ſancti, & authoritatem, & poteſtatem, num alienus à Deo ſit Spiritus. *Vidi*, inquit Eſaias, *Deum ſuper thronum excelſum & elevatum, & Seraphim in circuitu ejus*: & quæ ſequuntur. Et dixit: O miſerum me, quoniam compunctus ſum, quoniam immunda labia habens, in medio populi immunda labia habentis ego habito, & Regem Dominum Sabaoth vidi oculis meis. Et dixit: Quis ibit ad populum hunc? C Et dixi: Ecce ego, mitte me. Manifeſtum, quòd qui ſedebat in throno, & dixit: *Vade ad populum hunc, & dic: Auditu audietis: & minime intelligetis: & videntes videbitis, & minimè perſpicietis.* Quis eſt qui ſedebat ſuper thronum? Pater, inquit: Si autem didiceris à Paulo, quòd Spiritus eſt, confiteris illum Deum? Oſtende, inquit, & credo. Audi illum dicentem: *Benè dixit Spiritus ſanctus per Eſaiam Prophetam: Vade ad populum hunc, & dic: Auribus audietis*: & quæ ſequuntur. Paulus inquit, dixit Spiritus ſanctus. Eſaias inquit, D dixit Dominus Sabaoth. Propterea quod indifferens eſt Scripturæ loqui de Patre & Filio & Spiritu ſancto. Igitur ne dic poſthac, magnum & parvum Deum: incidens in Gentilium errorem. Nam ſi parvus Deus eſt filius, mentitur Paulus dicens: *Expectantes beatam ſpem gloriæ magni Dei & Salvatoris noſtri JESU Chriſti.* Quem igitur Paulus vocat magnum Deum, tu ne dixeris parvum. Nam in Deo perfecta ſunt omnia, *ex quibus Chriſtus quantum ad carnem, qui tamen* E *ſuper omnia Deus eſt in ſecula.* Neque creatum Deum nominabis unquam. Impius enim eſt, qui creaturam adorat. Quid igitur? Non dices corpus Domini creatum? Vide ergo quod & tu creaturam adoras inſipiens. Nullus dicit regi, exue purpuram quam indutus es, vel ſurge à throno tuo, ut te nudum adorem: ſed adorat regem ſuper thronum ſedentem, & purpura veſtitum. Complacitum enim fuit Deo verbo, ut creatam carnem noſtram ſibi abſque macula adunaret. Eſt igitur A adoranda cum Deo verbo, quatenus Deitas adeſt. Et hoc ſignificans divinus David, clamat. *Exaltate Dominum Deum noſtrum, & adorate ſcabellum pedum ejus, quoniam ſanctus eſt.* In alio eloquio dicit: *Cœlum mihi ſedes, terra autem ſcabellum pedum meorum.* Terram nos jubes adorare ó beate David? Et quomodo Moſes legem ponit, neque cœlum, neque terram, neque quæ in eis ſunt, adoranda. Videte ſacramentum. Quoniam adunaturus erat noſtram carnem abſque peccato ad unam adoB rationem: Caro autem noſtra ex Adam, ex terra eſt: Juxta hoc dicit: *Et adorate ſcabellum pedum ejus.* Nos enim terram non adoramus, ſed Deum verbum, qui univit ſibi abſque peccato carnem quæ ex terra formata eſt Adæ. Ne igitur ultra dicas, creatum Deum Filium. Aut dic, ubi dixit Pater? Creavi mihi filium: vel filius, Creavit me Pater? Neque humanas voces Chriſti in ejus diminutionem accipe. Nam ſi his dictis, & humanitate eo demonſtratis, auſi ſunt quidam dicere phantaſiam C & apparentiam fuiſſe, quòd fuit incarnatus: ſi hæc non eſſent facta, in quam non excidérent impietatem? Proinde omnis qui ſanctis ſcripturis credit, adoret Trinitatem increatam, incommutabilem, verſionis expertem, omnipotentem, principio carentem, coæternam & conſubſtantialem: Patrem, & Filium priùs quidem abſque carne, deinde autem voluntate propria in fine ſeculorum perfectum hominem factum, abſque peccato, abſque verſione & mutatione ſui:) Homo enim factus, manſit D id quod erat, nempe Deus: non enim excidit à gloria & dignitate ſua: Et Spiritum ſanctum, Spiritum, qui locutus eſt per Prophetas. Eos autem qui dicunt Filium, aut Spiritum ſanctum, verſum, vel mutatum, vel alterius ſubſtantiæ, vel ex nihilo factum, vel quod fuerit tempus quando non erat, anathemate puniat Eccleſia. Sufficiunt iſta cuivis, tametſi pauca ſint: omnia enim tractare, impoſſibile. Docentem enim me defice- E ret tempus. Neque ipſum mundum opinor capere libros, qui ſcribuntur: nos autem indigni qui tantam ex ſacris ſcripturis utilitatem aſſequamur, adoremus Patrem & Filium & Spiritum ſanctum, cui ſit gloria & imperium in ſecula ſeculorum. Amen.

Ibid. 20, 23. Ezech. 11, 5. Matt. 18, 20. Eſa. 48, 16. Act. 20, 28. Eſa. 6, 1. Ibid. 9. Act. 28, 25. Tit. 2, 13. Rom. 9, 5. Pſ. 98, 5. Eſa. 66, 1. Exod. 20, 4. [illegible] [illegible]

S. Joan.

Sancti Joannis Chryſoſtomi Sermo de ſancto & adorando Spiritu.

INCERTO Interprete.

HEri à nobis, amatores Chriſti, ſancti & adorandi Spiritus celebratur adventus: non humanarũ cogitationum honore exceptus, ſed paternæ virtutis teſtimonio comprobatus. Non enim ex his quæ cogitamus vel loquimur, Deus commendatur: ſed per ea quibus illuſtramur, & pietas commendatur, & veritas prædicatur. Unus Dei ſermo eſt, una ſancti Spiritus doctrina, pietatiſque lampas eſt, & divinæ agnitionis prædicatio, ac doctrinæ Dei illuſtratio. Operæ pretium autem eſt, ut perſeveremus diutius in ſancti adorandique Spiritus enarratione, & manifeſtius aliquid de ſancta glorioſaque poteſtate dicamus. Iterum ut iiſdem utamur verbis, non per ea quæ cogitamus, ſed per quæ docemur, Spiritus ſanctus ex iis quæ divini docent ſermones, imò quæ ipſe de ſeipſo prædicat, dum per Prophetas loquitur, perque Apoſtolos, fert radium ſuum, Natura inſeparabilis eſt, utpote qui ex inſeparabili & indiviſibili natura progreſſus eſt. Nomen autem ejus Spiritus ſanctus, Spiritus veritatis, Spiritus Dei, Spiritus Domini, Spiritus Patris, Spiritus Filii, Spiritus Christi: & ſic vocat eum ſcriptura, immò ipſe ſeipſum, & Spiritum Dei, & Spiritum qui ex Deo eſt. Et ut nunquam, cùm audimus Spiritum Dei, putemus quòd per familiaritatem dicatur Spiritus Dei; introducit ſcriptura Spiritum ſanctum, & apponit, qui ex Deo eſt. Aliud enim eſt dicere Dei, & qui ex Deo eſt. Dei enim ſunt cœlum & terra, utpote ab eo facta. Ex Deo autem nihil dicitur, niſi quod ex ſubſtantia ejus. Itaque dicitur Spiritus ſanctus. Iſta enim eſt prima & propria appellatio: & ut evidentiorem habens intelligentiam, Spiritus ſancti naturam demonſtrat. Spiritus ſanctus, Spiritus Dei. Quis eum vocat Spiritum Dei? audi Salvatorem: *Quòd ſi ego in Spiritu Dei ejicio dæmonia.* Spiri-
Matt. 12. 28. tus Dei. Ut igitur ſicut dicebam, ne quis audiens, Spiritum Dei, putet familiaritatem quandam ſignificari, & non communitatem naturæ, Paulus dicit: *Nobis autem non datus eſt Spiri-*
1. Cor. 2. 12. *tus mundi, ſed Spiritus qui ex Deo eſt:* Iterum dicitur Spiritus Patris, ſicut Salvator Apoſtolis dicit: *Ne ſolliciti ſitis quomo-*
Matt. 10. 19. 20. *do, vel quid loquamini: non enim vos eſtis qui loquimini, ſed*
Luc. 12. 12. *Spiritus Patris veſtri qui loquitur in vobis.* Sicut autem dixit, Spiritus Dei ſubdit ſcriptura: Qui ex Deo eſt: ſic iterum dictus eſt Spiritus Patris. Et ut ne putetis hoc ſecundùm familiaritatem dici, Salvator confirmat. *Quando venerit paracle-*
Jo. 15. 26. *tus Spiritus veritatis, qui à Patre procedit.* Illic ex Deo, hic à Patre dicitur. Id quod ſibiipſi tribuerat, dicens, *Ego à Patre exivi* hoc & Spiritui ſancto aſcribit: dicens: *Qui à Pa-*
Ibid. 16. 27. *tre procedit.* Quid eſt, procedit? Non dixit, gignitur. Quod enim non eſt ſcriptum, non dixit eſſe ſentiendum. Filius à Patre genitus eſt, Spiritus à Patre procedit. Quæris à me omnem differentiam, quomodo genitus ille, & quomodo proceſſit iſte? Cùm didiceris quòd genitus eſt, didiciſti & modum, & comprehendiſti utique. Itaque cùm audiens prædicari filium, comprehendiſti nativitatis modum. Nomina ſunt, quæ fide honorantur, & pia cogitatione conſervantur. Quæ autem vis nominis, procedit? audi: ut nomen nativitatis prætereat ſcriptura, ne filium ipſum dicat, dicit Spiritus ſanctus qui à Patre procedit. inducit eum procedentem, ut aquam de fonte ſcaturientem, ſicut & de Paradiſo dictum eſt: *Fluvius autem procedit*
Gen. 2. 10. *ex Edem*, procedit & ſcaturit. Pater fons aquæ viventis dicitur, juxta Prophetam Hieremiam, dicentem: *Obſtupuit*
Hier. 2. 12. *cœlum ſuper hoc, & horruit valde terra: quoniam duo & mala fecit populus meus: me dereliquerunt fontem aquæ viventis.* Divinus ſermo definiens patrem fontem aquæ, inducit ex fonte vitæ aquam vivam quæ procedit: *Qui à Patre procedit.* Quid
Jo. 7. 38. procedit? Spiritus ſanctus. Quonam pacto? ſicut à fonte aqua. Unde hoc quòd Spiritus ſanctus aqua vocetur? dicit Sal-
Ibid. vator: *Qui credit in me*, ſicut dixit ſcriptura, *flumina ex ventre ejus fluent aquæ vivæ.* Et interpretans Evangeliſta hanc aquam, ſubdit: Hoc autem dicebat de Spiritu, quem accepturi erant credentes in eum. Si igitur Evangeliſta Joannes declarans Spiritum ſanctum, dixit aquam vivam, Pater autem dicit, *Me dereliquerunt fontem aquæ vivæ*: Fons Spiritus, Pater, propterea etiam ex Patre procedit. Dicitur igitur (repetere liceat) Spiritus Dei, & Spiritus qui ex Deo, Spiritus Patris, & Spiritus qui à Patre procedit. Spiritum Dominum teſtatur Eſaias in per-
Eſa. 61. 1. 2. Cor. 3. 17 ſona Chriſti: *Spiritus Domini ſuper me, eo quod unxerit*

ΧΡΥΣΟΣΤΟΜΟΥ ΟΜΙΛΙΑ περὶ τοῦ ἁγίου πνεύματος.

Χθὲς ἡμῖν, ὦ φιλόχριστοι, ἡ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος ἐπιφοίτησις ἀνυμνεῖτο, οὐκ ἀνθρωπίναις ἐννοίαις τιμωμένη, ἀλλὰ τῇ πατρικῇ δυνάμει μαρτυρουμένη. οὐ γὰρ ἐξ ὧν λογιζόμεθα ἢ φθεγγόμεθα, ὁ τοῦ Θεοῦ συνίσταται λόγος, ἀλλ' ἐξ ὧν φωτιζόμεθα, καὶ ἡ εὐσέβεια συνίσταται, καὶ ἡ ἀλήθεια κηρύττεται. μόνος ὁ τοῦ Θεοῦ λόγος, μόνη ἡ τοῦ ἁγίου πνεύματος διδασκαλία, καὶ λαμπάς ἐστιν εὐσεβείας, καὶ κήρυγμα θεογνωσίας, καὶ φωτισμὸς τῆς ἐνθέου διδασκαλίας. ἀναγκαῖον δέ ἐστιν ἐπιμεῖναι τῇ τοῦ ἁγίου καὶ προσκυνητοῦ πνεύματος ἐξηγήσει, καὶ σαφέστερόν τι περὶ τῆς ἁγίας καὶ ἐνδόξου δυνάμεως εἰπεῖν. πάλιν ἵνα τοῖς αὐτοῖς χρησώμεθα, οὐκ ἐξ ὧν λογιζόμεθα, ἀλλ' ἐξ ὧν διδασκόμεθα, τὸ πνεῦμα τὸ ἅγιον [ἐξ ὧν οἱ θεῖοι διδάσκουσι λόγοι, μᾶλλον δὲ ἐξ ὧν αὐτὸ περὶ ἑαυτοῦ κηρύττει, καὶ διὰ τῶν προφητῶν φθέγγεται, καὶ διὰ τῶν ἀποστόλων τὴν ἑαυτοῦ ἀκτῖνα φέρει] τὴν μὲν φύσιν ἐστὶν ἀδιαίρετον [ἅτε δὴ ἐκ τῆς ἀδιαιρέτου καὶ ἀμερίστου φύσεως προελθόν] ὄνομα δὲ αὐτῷ, πνεῦμα ἅγιον, πνεῦμα ἀληθείας, πνεῦμα τοῦ Θεοῦ, πνεῦμα Κυρίου, πνεῦμα τοῦ πατρὸς, πνεῦμα τοῦ υἱοῦ, πνεῦμα Χριστοῦ· καὶ οὕτω καλεῖ αὐτὸν ἡ γραφή. μᾶλλον δὲ αὐτὸ ἑαυτὸ καὶ πνεῦμα Θεοῦ, καὶ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. καὶ ἵνα μή ποτε ἀκούσαντες ἡμεῖς πνεῦμα Θεοῦ, νομίσωμεν δι' οἰκειότητα λέγεσθαι πνεῦμα Θεοῦ, εἰσάγει ἡ γραφὴ τὸ πνεῦμα τὸ ἅγιον, καὶ προστίθησι * τῷ Θεῷ τὸ ἐκ Θεοῦ. ἄλλο γὰρ τὸ τοῦ Θεοῦ, καὶ ἄλλο τὸ ἐκ Θεοῦ. Θεοῦ μὲν γὰρ οὐρανὸς καὶ γῆ, ὡς παρ' αὐτοῦ πεποιημένα· ἐκ Θεοῦ δὲ οὐδὲν λέγεται, εἰ μὴ ὃ ἐκ τῆς οὐσίας ἐστί. λέγεται τοίνυν πνεῦμα ἅγιον. αὕτη γάρ ἐστιν ἡ κυρία καὶ πρώτη προσηγορία, ἡ ἐμφανεστέραν ἔχουσα τὴν διάνοιαν, καὶ παριστᾶσα τοῦ ἁγίου πνεύματος τὴν φύσιν. πνεῦμα ἅγιον, πνεῦμα τοῦ Θεοῦ. τίς αὐτὸ καλεῖ πνεῦμα Θεοῦ; ἄκουε τοῦ Σωτῆρος· „εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. πνεῦμα Θεοῦ. ἵνα τοίνυν, ὡς ἔφθην εἰπών, μή τις ἀκούσας πνεῦμα Θεοῦ, νομίσῃ οἰκειότητα σημαίνεσθαι, καὶ μὴ φύσεως κοινωνίαν, ὁ Παῦλος λέγει· „ἡμῖν δὲ οὐκ ἐδόθη τὸ πνεῦμα τοῦ κόσμου, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ Θεοῦ. πάλιν λέγεται πνεῦμα πατρὸς, ὡς ὁ Σωτὴρ τοῖς ἁγίοις ἀποστόλοις λέγει· „μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε. οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. ὥσπερ δὲ εἶπε πνεῦμα Θεοῦ, καὶ ἐπήγαγεν ἡ γραφὴ τὸ ἐκ Θεοῦ, οὕτω πάλιν εἴρηται πνεῦμα πατρός. καὶ ἵνα μὴ νομίσῃς τοῦτο κατ' οἰκείωσιν λέγεσθαι, ὁ Σωτὴρ βεβαιοῖ. ὅταν ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἐκεῖ ἐκ Θεοῦ, ὧδε παρὰ τοῦ πατρός. ὅπερ ἐπήγαγεν ἑαυτῷ, ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον, τοῦτο καὶ τῷ ἁγίῳ πνεύματι, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ἔστιν οὖν πνεῦμα καὶ ἐκ Θεοῦ, καὶ πατρὸς πνεῦμα, καὶ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. τί ἐστιν, ἐκπορεύεται; οὐκ εἶπε, γεννᾶται. ἃ γὰρ οὐ γέγραπται, οὐ δεῖ φρονεῖν. υἱὸς ἐκ πατρὸς γεννηθεὶς, πνεῦμα ἐκ πατρὸς ἐκπορευόμενον. ζητεῖς παρ' ἐμοῦ τὴν διαφορὰν πάντως, πῶς ἐγεννήθη οὗτος, πῶς ἐξεπορεύθη ἐκεῖνο; τί γάρ; ὅτι ἐγεννήθη μαθὼν, καὶ τὸν τρόπον κατέλαβες. ἆρα οὖν, ἐπειδὴ τὸν κηρυττόμενον υἱὸν ἀκούεις, καὶ γεννήσεως τὸν τρόπον κατέλαβες. ὀνόματά ἐστι πίστει τιμώμενα, καὶ εὐσεβεῖ λογισμῷ τηρούμενα. τίς δὲ ἡ δύναμις τοῦ ἐκπορεύεται; ἵνα τὸ τῆς γεννήσεως ὄνομα παρέλθῃ ἡ γραφὴ, ἵνα μὴ υἱὸν αὐτὸ καλέσῃ, λέγει πνεῦμα ἅγιον, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. εἰσάγει αὐτὸ ἐκπορευόμενον, ὡς ὕδωρ ἀπὸ γῆς βρύον· κατὰ τὸ εἰρημένον περὶ τοῦ παραδείσου. Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδέμ· ἐκπορεύεται, καὶ πηγάζει. ὁ πατὴρ πηγὴ ὕδατος ζῶντος λέγεται, κατὰ τὸν προφήτην Ἱερεμίαν τὸν λέγοντα· „ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον „ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. ἐμὲ ἐγκατέλιπον „πηγὴν ὕδατος ζῶντος. ὁριζόμενος πηγὴν ὕδατος ζῶντος, τὸν πατέρα ὁ θεῖος λόγος εἰσήγαγεν, ἐκ τῆς πηγῆς τῆς ζωῆς τὸ ὕδωρ τὸ ζῶν ἐκπορευόμενον· ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. τί ἐκπορεύεται; τὸ πνεῦμα τὸ ἅγιον. πῶς; ὡς ἀπὸ πηγῆς ὕδωρ. πόθεν τοῦτο; ὅτι τὸ πνεῦμα τὸ ἅγιον ὕδωρ καλεῖται. λέγει ὁ Σωτήρ, ὁ πιστεύων εἰς „ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν „ὕδατος ζῶντος· καὶ ἑρμηνεύων ὁ εὐαγγελιστὴς τοῦτο τὸ ὕδωρ, ἐπάγει· „τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. εἰ τοίνυν ὁ εὐαγγελιστὴς Ἰωάννης σαφηνίζων τὸ πνεῦμα τὸ ἅγιον, εἶπε τὸ ὕδωρ τὸ ζῶν, ὁ δὲ πατὴρ λέγει, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, πηγὴ τοῦ πνεύματος ὁ πατήρ, „διὰ τοῦτο καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεται. λέγεται τοίνυν [ἐπαναλαμβάνω γὰρ] πνεῦμα Θεοῦ, καὶ πνεῦμα τὸ ἐκ Θεοῦ, πνεῦμα πατρὸς, καὶ πνεῦμα τὸ παρὰ τοῦ πατρός. πνεῦμα Κυρίου μαρτυρεῖ Ἡσαΐας ἐκ προσώπου τοῦ Χριστοῦ, Πνεῦμα Κυρίου ἐπ' ἐμέ· οὗ εἵνεκεν ἔχρισέ „

με

μι. καὶ Παῦλος, ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. εἰ ὅπου παραγίνεται τὸ πνεῦμα ἐκεῖ ἐλευθερία, αὐτὸ * δοῦλον; εἰ οἷς ἐπιφοιτᾷ τὸ πνεῦμα τὸ ἅγιον, λύει τὸ τῆς δουλείας ζυγὸν, καὶ χαρίζεται τὸ τῆς ἐλευθερίας πρόσωπον, πῶς αὐτὸ δοῦλον; πῶς χαρίζεται ὃ μὴ ἔχει; πῶς αὐτὸ δοῦλον, ὁ ἐλευθεροῖ; οὐκ ἤκουσας „Παύλου λέγοντος, ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με; ἐλευθεροῖ τὸ πνεῦμα τοὺς δούλους, τὸ μὴ ἔχον ἐν τῇ φύσει τὴν ἐλευθερίαν; εἰ γὰρ ἐκτίσθη καὶ ἐδουλώθη, οὐκ ἐλευθεροῖ. μὴ κατασοφιζέσθωσαν ὑμᾶς αἱρετικοί. οὐ λέγω αὐτὸ δοῦλον, οὐδὲ κτίσμα. καὶ μὴν τοῦτο αἵρεσις. κινδυνεύουσι τρεῖς ἀρχὰς εἰσάγοντες, ἄκτιστον, κτιστὴν, καὶ ἄλλην, ἣν οὐκ οἶδα πῶς καλέσαι. πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, πνεῦμα πατρὸς, πνεῦμα ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, πνεῦμα Κυρίου, πνεῦμα υἱοῦ λέγει ὁ ἀπόστολος· ὅτι δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς „τὰς καρδίας ὑμῶν κρᾶζον, ἀββᾶ ὁ πατήρ. ἰδοὺ αὐτὸ τὸ πνεῦμα τοῦ υἱοῦ. ἀλλαχοῦ πάλιν πνεῦμα Χριστοῦ λέγει Παῦλος. Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι εἴπερ πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν. παρακαλῶ, πρόσεχε τῇ πλοκῇ ταύτῃ τῇ ἁγίᾳ, πῶς ὥσπερ σειράν τινα ἁγίαν καὶ ζῶσαν ἐκ τριπλοκῆς δυνάμεως εἰσήγαγεν ὁ Παῦλος, τὴν φύσιν συνάπτων τὴν ἀδιαίρετον, καὶ ἐν διαφόροις ὀνόμασι μίαν τὴν δύναμιν ἐνδεικνύμενος· ὑμεῖς δὲ, φησὶν, οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι. ἰδοὺ πνεῦμα. εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. ἰδοὺ πνεῦμα Θεοῦ. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει. καὶ μὴν ἐχρῆν εἰπεῖν, εἰ δέ τις πνεῦμα Θεοῦ οὐκ ἔχει, ἀλλ' εἶπε, πνεῦμα „Χριστοῦ. εἶπε Θεοῦ πνεῦμα, καὶ ἐπήγαγε τὸ πνεῦμα τοῦ Χριστοῦ. εἰ δέ „τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ἀλλὰ τοῦτο εἶπεν, ἵνα δείξῃ ὅτι οὗ πνεῦμα, καὶ Χριστός. καὶ ἴσον ἐστὶ Χριστὸν παρεῖναι, καὶ πνεῦμα παρεῖναι· καὶ ἴσον ἐστὶν εἰπεῖν πνεῦμα Θεοῦ, καὶ πνεῦμα Χριστοῦ. ἔστι τοίνυν πνεῦμα ἅγιον, πνεῦμα τὸ τῆς ἀληθείας, ὡς ἄν τις εἴποι πνεῦμα τοῦ υἱοῦ. ἐπειδὴ λέγει ὁ Σωτὴρ, ἐγώ εἰμι ἡ ἀλήθεια, λέγεται τὸ πνεῦμα τῆς ἀληθείας, ὅ ἐστι τὸ πνεῦμα τοῦ υἱοῦ, ὥς φησιν ὁ Παῦλος· ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ. ἔστιν οὖν καὶ πνεῦμα τοῦ υἱοῦ, καὶ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστόν. „καὶ ἄκουε αὐτοῦ τοῦ Παύλου. εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν „οἰκεῖ ἐν ὑμῖν. Ταῦτα τὰ ὀνόματα τῆς ἁγίας καὶ ἀχράντου δυνάμεως, τοῦ ἁγίου ἐστὶ καὶ προσκυνητοῦ πνεύματος. ἔστι δὲ καὶ ἄλλα ὀνόματα, οὐ τῇ φύσει προσήκοντα, ἀλλὰ τῇ ἐνεργείᾳ· βαθὺς ὁ λόγος, καὶ χρῄζει ἀκοῆς προσεχοῦς καὶ ἀσφαλοῦς καὶ πιστῆς. λέγεται δὲ πάλιν τὸ πνεῦμα, ζωῆς πνεῦμα· ἐπειδὴ ὁ Σωτὴρ λέγει, ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. λέγεται δὲ πνεῦμα ζωῆς, καθὼς καὶ ὁ Παῦλος λέγει· ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς. ταῦτα τὰ ὀνόματα αὐτῆς τῆς αὐθεντίας, αὐτῆς τῆς φύσεως. ἔστι δὲ ἄλλα ὀνόματα, ἃ οὐ προσγράφεται τῷ ἁγίῳ πνεύματι, ἀλλὰ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ αὐτοῦ, οἷον αἱ δωρεαὶ αὐτοῦ. λέγω δὲ καὶ προδιασαφηνίζω τὴν ἔννοιαν, καὶ ἐπάγω τὴν μαρτυρίαν. ἐπειδὰν χαρίσηται τὸ πνεῦμα τὸ ἅγιον εὐχαῖς τῶν ἁγίων ἢ ἐμοὶ, ἢ ἑτέρῳ Χριστιανῷ ἁγιασμὸν, καὶ λάβω δῶρον, ὥστε ἅγιον ἔχειν τὸ σῶμα καὶ τὴν ψυχὴν, ἡ δωρεὰ ἡ δοθεῖσά μοι καλεῖται πνεῦμα ἁγιωσύνης, τουτέστι, χάρισμα. ἐὰν δῷ τὸ πνεῦμα τὸ ἅγιον δωρεάν τινι μὴ ἔχοντι σοφίαν, μὴ ἔχοντι γνῶσιν, ἀλλὰ δῷ αὐτῷ μόνην πίστιν, οἷοί εἰσι πολλοὶ χάρισμα ἔχοντες τοῦ πιστεύειν γραφαῖς, οὐκ εἰδότες γραφὰς, καὶ ταῖς γραφαῖς πιστεύοντες, καλεῖται ἡ δωρεὰ ἐκείνη πνεῦμα πίστεως. ἐάν τις λάβῃ δύναμιν καὶ δωρεὰν παρὰ τοῦ ἁγίου πνεύματος, πιστεύειν τῇ ἐπαγγελίᾳ τῶν διδομένων ἀγαθῶν ἐν τῷ μέλλοντι αἰῶνι, ἔλαβε πνεῦμα ἐπαγγελίας. ἐάν τις λάβῃ σοφίας δῶρον, καλεῖται ἡ δωρεὰ πνεῦμα σοφίας. καὶ πανταχοῦ τὰ χαρίσματα τοῦ πνεύματος, καλεῖται πνεύματα. καὶ πρόσεχε ἀκριβῶς ἐν τύπῳ διασαφηνίζοντος ἡμῶν ἐκ μέρους τὰς θεωρίας. ἔλθωμεν οὖν ἐπὶ τὰς ἀποδείξεις. ὅταν τις ἔχῃ χάρισμα ἀγάπης, λέγεται ὅτι πνεῦμα ἀγάπης ἔχει· ὅταν λάβῃ τις χάρισμα μαρτυρίου, λέγεται πνεῦμα δυνάμεως ἔχειν, τουτέστι, χάρισμα. ἐπειδήπερ τὸ δωρούμενον τὸ πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρίσματι. διὰ τοῦτο λέγει Παῦλος· „οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε „πνεῦμα υἱοθεσίας. καὶ πάλιν. οὐ γὰρ ἔδωκεν ἡμῖν πνεῦμα δειλίας, „ἀλλὰ πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. πνεῦμα δὲ λέγει ἐνταῦθα τὸ χάρισμα, ὡς ὅταν λέγῃ· Ὑμεῖς δὲ ἐσφραγίσθητε τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ. ἐπαγγελίας πνεῦμα ποῦ γέγραπται; λέγει Παῦλος· Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως καὶ τῆς ἐπαγγελίας, τουτέστι, τὸ χάρισμα τοῦ πνεύματος. ἰδοὺ οὖν πνεῦμα πίστεως ἐπαγγελίας. ἐὰν ᾖς πρᾶος, ταπεινὸς τὴν καρδίαν, δῶρον ἔλαβε πρᾳότητος. ἔστι δὲ Θεοῦ χάρισμα, καὶ τοῦτο λέγει Παῦλος· ἐὰν δὲ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, τουτέστιν, ἐν τῷ χαρίσματι τῆς δωρεᾶς τῆς πρᾳότητος. σκοπῶν, φησι, σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. ἰδοὺ πνεῦμα πρᾳότητος.

A me. Et Paulus: Dominus autem ſpiritus eſt. Ubi autem ſpiritus Domini, ibi libertas, num ipſe eſt ſervus? Si eorum ad quos accedit Spiritus ſanctus, ſolvit ſervitutis jugum, & præſtat eis libertatis perſonam: quomodo ipſe ſervus? quomodo largitur quod non habet? quomodo cum ipſe ſit ſervus, libertate donat? Non audiſti Paulum dicentem? *Lex Spiritus* Rom. 8, 2.
vitæ in Chriſto Jeſu liberum me reddidit à lege peccati? Liberúſne reddit Spiritus ſervos, qui natura ſua non habet libertatem?
B Nam ſi creatus eſt, & ſervus factus, non reddit liberum. Ne vos ſophiſmatis circumveniant hæretici. Non dico eum ſervum, non creaturam: neque hoc eſt hæreſis. Videntur tria principia inducere, increatum, creatum, & aliud neſcio quomodo vocem. Spiritus patris, ſpiritus qui ex patre: Spiritus patris, ſpiritus qui à patre procedit: Spiritus Domini, ſpiritus filii. Quòd autem ſitis filii, dicit Apoſtolus: *Emiſit Deus ſpi-* Galat. 4. 6.
ritum filii ſui in corda noſtra, clamantem, Abba pater. Ecce
C ipſe ſpiritus filii. Alio loco iterum ſpiritum Chriſti dicit Paulus: *Vos autem non eſtis in carne, ſed in ſpiritu, ſiquidem ſpiri-* Rom. 8, 9.
tus Dei habitat in vobis. Obſecro animadvertite ſanctam hanc connexionem. Quaſi catenam quandam ſanctam & vivam ex triplici potentia inducit Paulus, naturam conjungens inſeparabilem, & in diverſis nominibus unam virtutem indicans. Vos autem, inquit, non eſtis in carne, ſed in Spiritu. Ecce ſpiritum, ſiquidem ſpiritus Dei habitat in vobis. Vide ſpiritum
D Dei. Si autem quis ſpiritum Chriſti non habet. Et ſanè oportebat dicere, ſi autem quis ſpiritum Dei non habet: ſed dixit Ibidem.
Spiritum Chriſti: dixit Spiritum Dei, & ſubdit Spiritum Chriſti. *Si autem quis ſpiritum Chriſti non habet, hic non eſt ejus.* Verùm hoc dixit, ut oſtendat, ſi Spiritus, & Chriſtus; & idem eſt, Chriſtum adeſſe, & Spiritum adeſſe; & idem eſt ſpiritum Dei dicere & Spiritum Chriſti: eſt igitur Spiritus ſanctus, ſpiritus veritatis: quaſi quis dicat ſpiritum filii: quia dicit Salva-
E tor, *Ego ſum veritas:* Dicitur ſpiritus veritatis qui eſt ſpiritus Joh. 14. 6.
filii, ſicut dicit Paulus: *Emiſit Deus ſpiritum filii ſui.* Eſt igitur Galat. 4. 6.
& ſpiritus filii, & ſpiritus ejus qui excitavit Jeſum Chriſtum. Et audi Paulum ipſum dicentem: *Si autem ſpiritus ejus qui ex-* 1. Cor. 3. 16
citavit Jeſum Chriſtum, habitat in vobis. Hæc nomina ſanctæ & immaculatæ virtutis ſancti & admirabilis Spiritus, ſunt & Coloſſ. 1. 12.
alia nomina, non naturæ convenientia, ſed operationi. Profundus ſermo, & opus habet auribus attentis, munitis & fidelibus:
A Dicitur autem iterum ſpiritus, ſpiritus vitæ: quia Salvator dicit, *Ego ſum veritas & vita.* Dicitur Spiritus vitæ, ſicut & Paulus di- Joh. 14. 6
cit: *Lex ſpiritus vitæ.* Hæc nomina ejuſdem ſunt authoritatis, Rom 8, 2.
& ejuſdem naturæ. Sunt autem alia nomina, quæ non adſcribuntur ſancto Spiritui, ſed virtuti & operationi ejus: ut ſunt dona ejus: Dico itaque, & antè declaro ſententiam, poſtea teſtimonium ſubinducturus. Quando dat Spiritus ſanctus precibus
B Sanctorum vel mihi, vel alicui Chriſtianorum ſanctificationem, accipio donum, ita ut ſanctum habeam & corpus & animam: donum datum mihi vocatur ſpiritus ſanctificationis: hoc eſt, beneficium. Si dederit Spiritus ſanctus cuipiam donum, non habenti intelligentiam: ſed ſolam fidem det illi; quales ſunt multi habentes dona, ut credant ſcripturis, ignorantes ſcripturas, vocatur donum illud, ſpiritus fidei. Si autem quis accipiat virtutem & donum à Spiritu ſancto, ut credat promiſſioni honorum quæ dantur in futuro ſeculo, ille ſpiritum promiſſionis accipit. Si au-
C tem quis accipit & Sapientiæ donum, vocatur donum ſpiritus ſapientiæ: & ubique dona ſpiritus, vocantur ſpiritus, & attende diligenter, dum nos in figura ex parte ſpeculationes tibi declaramus. Veniamus ergo ad demonſtrationes. Quando quis habet donum charitatis, dicitur quòd habeat ſpiritum charitatis. Quando quis acceperit donum martyrii, dicitur quòd habeat ſpiritum virtutis, hoc eſt, donum. Jam quia donans Spiritus ſanctus eſt, vocatur & donum eodem nomine quo is qui donat.
D Idcirco dicit Paulus: *Non enim accepiſtis ſpiritum ſervitutis ite-* Rom. 8, 15.
rum ad timorem, ſed accepiſtis ſpiritum adoptionis filiorum. Et ite- 2. Tim. 1, 7.
rum: *Non enim dedit nobis ſpiritum formidinis, ſed ſpiritum virtutis & dilectionis & temperantiæ.* Spiritum autem dicit hic donum, ſicut quando dicit: *Vos autem obſignati eſtis ſpiritu promiſſionis ſancto.* Promiſſionis ſpiritus ubi ſcriptus eſt? Eph. 1, 13.
Dicit Paulus: Habentes autem eundem ſpiritum fidei & pro- 2. Cor. 4. 13.
E miſſionis, hoc eſt, gratiam ſpiritus. Ecce igitur ſpiritum fidei, & ſpiritum promiſſionis. Si fuerit quis manſuetus & humilis corde, donum accepit manſuetudinis: Eſt autem donum Dei, & hoc dicit Paulus: *Si & præoccupatus fuerit homo in aliquo* Gal. 6, 1.
delicto, vos qui ſpirituales, inſtruite hujuſmodi in ſpiritu manſuetudinis, hoc eſt, in beneficio doni manſuetudinis. Conſiderans, in- Ibidem.
quit, temetipſum ne & tu tenteris. Ecce ſpiritum manſuetudinis.

Alii datur ſanctificatio animæ & corporis, & vocatur ſpiritus
Rom. 1. 1. ſanctificationis. Sicut dicit Paulus, *Servus Jeſu Chriſti, vocatus*
Apoſtolus, ſegregatus in Evangelium Dei, quod antea promiſit per
Prophetas ſuos, ſecundùm ſpiritum ſanctificationis: obverſo or-
dine hoc dixit, ſenſus autem ſic habet: Paulus qui factus eſt
Apoſtolus ſecundùm Spiritum ſanctificationis. Ubi multi puta-
verunt, quòd adhæreant primo verbo, qui declaratus fuit filius
Dei ſecundùm ſpiritum ſanctificationis. Non eſt autem ſic, ſed
Paulus ordinatus ſecundùm ſpiritum ſanctificationis: & quan-
do ordinatus eſt? ex reſurrectione Jeſu Chriſti. Quoniam alii
quidem Apoſtoli ante paſſionem, hic autem poſt reſurrectio-
nem: & propterea dicitur ſecundùm Spiritum ſanctificationis.
Et aliud dico, quando incipimus omnes tempore ſacrorum my-
Matth. 6. ſteriorum dicere, *Pater noſter qui es in cælis*: donum accepimus
9. Spiritum adoptionis, hoc eſt beneficium & donum ſancti Spiri-
1. Cor. 14. tus. Spiritum vocat æmulationis, ſicut dicit Paulus: *Quoniam*
12. *& vos æmulatores eſtis ſpirituum*, hoc eſt, æmulationem habetis
ad ſpiritualia dona. Quoniam æmulatores eſtis ſpirituum, hoc
eſt, donorum: Et adhuc excellentiorem vobis viam monſtro,
Ibid. 13. 1. *Si linguis hominum loquar, & Angelorum, charitatem autem non*
habeo, nihil ſum: hoc eſt, omni dono major eſt charitas. Ve-
rùm ad propoſitum redeamus. Redit Eſaias. Idem enim ſpiri-
tus per omnes loquitur. Itaque ſicut Paulus dixit: ſpiritum vi-
tæ, ſpiritum charitatis, ſpiritum virtutis, ſpiritum temperan-
tiæ, Spiritum promiſſionis, ſpiritum fidei, ſpiritum manſuetu-
Eſa. 11. 1. dinis, ſpiritum adoptionis filiorum: ita & beatus Eſaias, *Egre-*
dietur, inquit, *de radice Jeſſe virga*, hoc eſt, regia dignitas Chri-
ſti. Virga enim regis ſymbolum eſt, ut dicit David: Virga æqui-
tatis, virga regni tui. *Egredietur virga de radice Jeſſe, & flos de*
ea aſcendet, & requieſcet ſuper eum ſpiritus Dei. Hic eſt nomen
Pſal. 44. ipſius naturæ ſpiritus: deinceps ſequuntur dona: *ſpiritus ſa-*
7. *pientiæ & intellectus, Spiritus conſilii & fortitudinis, ſpiritus*
ſcientiæ, ſpiritus pietatis, ſpiritus timoris Domini. Sicut ſi quis
explicet ſcripturam, ſive tu, ſive alius fidelis & Chriſtianus, etſi
abſconditus ſit ſenſus & obſcurus, det autem ſpiritus ſanctus
alicui abſcondita ſenſuum revelare: is accepit ſpiritum revela-
tionis: hoc eſt qui revelat profunda. Unde & Apoſtolus volens
Eph. 1. 18. diſcipulos pios intelligere ſcripturas, dicit: *Precor Deum, ut det*
vobis ſpiritum ſapientiæ & revelationis, in agnitione illuminatos
oculos mentis veſtræ. Vidiſti ſpiritum revelationis? ſed ad propo-
ſitum redeamus. Vobis opus eſt dicere profunda, vocatur ſpiri-
tus revelationis: ubi oportet habere charitatem, vocatur ſpiri-
tus charitatis: ubi decet manifeſtè loqui doctorem, vocatur ſpi-
ritus ſapientiæ: ubi opus eſt auditore ut cum intelligentia ca-
piat, nominatur ſpiritus intellectus. Spiritus ſapientiæ datur do-
centibus, ſpiritus intellectus auditoribus. Ego prædico, tu in-
telligis, & dictorum mentem capis, docere autem neſcis. Spiri-
tus itaque ille donum eſt ſapientiæ, propter doctrinam. Volens
autem Deus monſtrare, quòd ſicut mittit docenti ſermonem
ſapientiæ, ita mittit & diſcenti donum intellectus, ut capiat quæ
Dei ſunt: inquit, Sapientiæ gratiam habet os prædicans, intelle-
ctus gratiam habet cor diſcens. Sapientia armatura oris eſt, in-
Pſal. 48. 3. tellectus verò cordis. Propterea dicit David, *Os meum loquetur*
ſapientiam & meditatio cordis mei intelligentiam. Alius non acce-
pit doctrinæ gratiam, ſed accepit donum, ut det conſilium, con-
ſiliúmque bonum & admirabile. Aliquando qui docet, conſi-
lium dare neſcit, non enim accepit. Non enim omnia quis acci-
pit, ut ne donum naturam putet. Accepit quis doctrinæ gratiam,
& ut ne quis extollatur, in operum conſilio invenitur infirmus:
& alius non valens docere, bene conſulit. Et invenies aliquem
qui mutuum nunc aliis dat, nunc ab aliis recipit. Unde hoc?
Nunc demonſtrationem adjiciam, quòd qui accipit gratiam
doctrinæ, indigeat alterius conſilio. Moſes acceperat Spiritum
Exod. 18, ſapientiæ, legiſlationis & doctrinæ. Permittebat ſibiipſi toto die
18. jus dicere: accedit Jethro ſocer ejus, & conſulit ei, ac dicit: Non
potes ſufficere tanto populo ſolus tu, ut ei jus dicas: ſed ſi hoc fe-
ceris, totum teipſum perdes. At quid? Conſtitue inquit, decanos,
& quinquagenarios, & centuriones, & tribunos, ut ea quæ exce-
dunt decanum, referat ad quinquagenarium: & quæ excedunt
quinquagenarium, referat ad centurionem: & quæ centurionem
excedunt, referat ad tribunum: & quæ excedunt tribunum, re-
Ib. ἀνοί-ſεις. ferat ad te: & quæ excedunt te, referas ad Deum. Si quòd, inquit,
grave negotium, referent ad te: ſi autem tibi quid grave, referes
ad Deum. Ecce legiſlator cùm ſapiens eſſet, accepit conſilium
privati, & factum eſt conſilium lex, & figura futurorum. Quo-
niam Jethro ſocer Moſi, ſacerdos erat idolorum: poſtea au-
tem cognito errore, didicit veritatem, factúſque eſt figura

A ἄλλῳ δίδοται ἁγιασμὸς ψυχῆς καὶ σώματος, καὶ καλεῖται πνεῦμα ἁγιωσύνης· καθὼς φησὶ Παῦλος· δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ, κατὰ πνεῦμα ἁγιωσύνης. ἀντιστροφὸν αὐτὸ εἶπεν. ἡ δὲ ἔννοια οὕτως ἔχει· Παῦλος γενόμενος ἀπόστολος κατὰ πνεῦμα ἁγιωσύνης. πολλοὶ γὰρ ἐνόμισαν ἀκολουθήσαντες τῷ ῥήματι τῷ πρώτῳ, τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ κατὰ πνεῦμα ἁγιωσύνης· καὶ οὐκ ἔστι δὲ οὕτως.
B ἀλλὰ Παῦλος ἀπόστολος χειροτονηθεὶς κατὰ πνεῦμα ἁγιωσύνης. καὶ πότε ἐχειροτονήθη; ἐξ ἀναστάσεως Ἰησοῦ Χριστοῦ. ἐπειδὴ οἱ μὲν ἄλλοι ἀπόστολοι πρὸ τοῦ πάθους, οὗτος δὲ μετὰ τὴν ἀνάστασιν· διὰ τοῦτο κατὰ πνεῦμα ἁγιωσύνης. καὶ ἄλλο δὲ λέγω. ὅταν ἀρξώμεθα πάντες τῇ ὥρᾳ τῆς μυσταγωγίας λέγειν, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, δῶρον ἐλάβομεν πνεῦμα υἱοθεσίας, τουτέστι, τὸ χάρισμα τοῦ ἁγίου πνεύματος. πνεῦμα καλεῖται ζήλου, ὥς φησιν ὁ Παῦλος. ἐπεὶ καὶ ὑμεῖς
C ζηλωταί ἐστε πνευμάτων, τουτέστι, ζῆλον ἔχετε εἰς τὰ πνευματικὰ χαρίσματα. ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, τουτέστι, τῶν χαρισμάτων. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι· ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· τουτέστι, παντὸς χαρίσματος μείζων ἡ ἀγάπη. ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. ἔρχεται Ἡσαΐας πάλιν. τὸ γὰρ αὐτὸ πνεῦμα διὰ πάντων λαλεῖ. ὥσπερ οὖν εἶπε Παῦλος, πνεῦμα ζωῆς,
D πνεῦμα ἀγάπης, πνεῦμα δυνάμεως, πνεῦμα σωφρονισμοῦ, πνεῦμα ἐπαγγελίας, πνεῦμα πίστεως, πνεῦμα πραότητος, πνεῦμα υἱοθεσίας· οὕτω καὶ ὁ μακάριος Ἡσαΐας, ἐξελεύσεται, φησὶν, ἐκ τῆς ῥίζης Ἰεσσαὶ ῥάβδος, τουτέστιν, ἡ βασιλικὴ τοῦ Χριστοῦ. ῥάβδον γὰρ καλεῖ βασιλικὸν σύνθημα, ὥς φησιν ὁ Δαβίδ. ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐ-
E τὸν πνεῦμα Θεοῦ. οὗτος τὸ ὄνομα τῆς φύσεως αὐτοῦ τοῦ πνεύματος· λοιπὸν τὰ χαρίσματα· πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. οἷον ἀναπτύσσων γραφὴν, ἢ σὺ ὁ πιστὸς, ἢ ἄλλος Χριστιανὸς, ἐὰν ᾖ ἀπόκρυφον νόημα καὶ ἀσαφὲς, δῷ δὲ τὸ πνεῦμα τὸ ἅγιον, ὥστε τὰ κεκρυμμένα τῶν νοημάτων ἀποκαλυφθῆναι, ἔλαβε πνεῦμα ἀποκαλύψεως, τουτέστι, χάρισμα ἀποκαλύπτον τὰ βά-
A θη. ὅθεν ὁ ἀπόστολος βουλόμενος τοὺς μαθητὰς τῆς εὐσεβείας νοεῖν τὰς γραφὰς, λέγει· εὔχομαι τῷ Θεῷ, ἵνα δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν. εἶδες πνεῦμα ἀποκαλύψεως; ἀλλὰ πρὸς τὸ προκείμενον ἐπανέλθωμεν. ὅπου δεῖ μαθεῖν τὰ βάθη, καλεῖται πνεῦμα ἀποκαλύψεως· ὅπου δεῖ ἀγάπην ἔχειν, καλεῖται πνεῦμα ἀγάπης· ὅπου δεῖ σαφῶς λαλῆσαι τὸν διδάσκαλον, καλεῖται πνεῦμα
B σοφίας· ὅπου δεῖ νοῆσαι τὸν ἀκροατὴν συνετῶς, καλεῖται πνεῦμα συνέσεως. τὸ πνεῦμα τῆς σοφίας δίδοται τοῖς διδάσκουσι, τὸ πνεῦμα τῆς συνέσεως τοῖς ἀκροαταῖς. κηρύττω ἐγώ. ἀλλὰ σὺ νοῆσαι οἶδας, οὐ διδάξαι· ὁ λεγόμενός ἐστι χάρισμα σοφίας διὰ τὸ διδάσκειν. βουλόμενος δὲ ὁ Θεὸς δεῖξαι ὅτι ὥσπερ πέμπει τῷ διδάσκοντι λόγον σοφίας, οὕτω πέμπει καὶ τῷ μανθάνοντι δῶρον συνέσεως, ἵνα νοήσῃ τὰ τοῦ Θεοῦ, φησί· σοφίας χάριν ἔχει στόμα κηρύττον, συνέ-
C σεως χάριν ἔχει καρδία μανθάνουσα. ἡ σοφία ὅπλον ἐστὶ τοῦ στόματος, ἡ σύνεσις ὅπλον τῆς καρδίας. διὰ τοῦτο ὁ Δαβὶδ λέγει· τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. ἄλλος οὐκ ἔλαβε διδασκαλίας χάριν, ἀλλ' ἔλαβε χάριν διδόναι γνώμην καὶ βουλὴν ἀγαθὴν καὶ θαυμαστήν. ἐνίοτε ὁ διδάσκων γνώμην οὐκ οἶδε δοῦναι· οὐ γὰρ ἔλαβεν· οὐ πάντα γὰρ λαμβάνει τις, ἵνα μή τις φύσιν εἶναι τὴν χάριν νομίσῃ. λαμβάνει τις διδασκαλίας χάριν· καὶ ἵνα
D μὴ ἐπαίρηται, ἐν πραγμάτων βουλῇ εὑρίσκεται ἀτονῶν. καὶ ἄλλος διδάσκειν μὴ δυνάμενος, συμβουλεύει καλῶς· καὶ εὑρίσκεται ὁ δανείζων ἄλλοις, ἀλλαχοῦ δανειζόμενος. πόθεν τοῦτο; νῦν ἀπόδειξιν προσθήσω, ὅτι ὁ λαβὼν χάριν διδασκαλίας, ἐπιδεῖται γνώμης ἑτέρου. Μωυσῆς ἔλαβε πνεῦμα σοφίας, νομοθεσίας, διδασκαλίας· ἐπέτρεψεν ἑαυτῷ δικάζειν πᾶσαν ἡμέραν. ἐπέρχεται Ἰοθὸρ ὁ πενθερὸς αὐτοῦ συμβουλεύων αὐτῷ, καὶ λέγει· οὐ δύνῃ ἀρκέσαι πρὸς τοσοῦτον λα-
E ὸν μόνος σὺ, ὥστε δικάζειν· ἀλλὰ φθορᾷ καταφθαρήσῃ, ἐὰν τοῦτο ποιήσῃς. ἀλλὰ τί; Κατάστησον, φησὶ, δεκάρχους καὶ πεντηκοντάρχους καὶ ἑκατοντάρχους καὶ χιλιάρχους, ἵνα τὰ ὑπερβαίνοντα τὸν δέκαρχον ἀνοίσῃ ἐπὶ τὸν πεντηκόνταρχον· τὰ δὲ ὑπερβαίνοντα τὸν πεντηκόνταρχον, ἀνοίσῃ ἐπὶ τὸν ἑκατόνταρχον, καὶ τὰ ὑπερβαίνοντα τὸν ἑκατόνταρχον ἀνοίσῃ ἐπὶ τὸν χιλίαρχον, καὶ τὰ ὑπερβαίνοντα τὸν χιλίαρχον, ἀνοίσῃ σοι, καὶ τὰ ὑπερβαίνοντά σε, ἀνοίσῃς τῷ Θεῷ. εἴ τι, φησὶ, βαρὺ ῥῆμα, ἀνοίσουσιν ἐπὶ σέ· εἰ δέ τί σοι βαρὺ, ἀνοίσεις πρὸς τὸν Θεόν. καὶ ὁ νομοθέτης σοφὸς ὢν, ἐδέξατο γνώμην ἰδιώτου. καὶ ἐγένετο ἡ γνώμη νόμος, καὶ εἰκὼν τῶν μελλόντων. ἐπειδὴ ὁ Ἰοθὸρ ὁ πενθερὸς Μωυσέως ἱερεὺς ἦν τῶν εἰδώλων, μετὰ δὲ ταῦτα κατέγνω τῆς πλάνης, καὶ ἔμαθε τὴν ἀλήθειαν, καὶ εἰκὼν
ἐγένε-

ἐξῆλθε τῆς τῶν ἐθνῶν ἐκκλησίας, ὅτι τὴν σοφίαν τοῦ νόμου ὑπερβαίνει ἡ τῶν ἐθνῶν σύνεσις, οὐκ ἐν τῷ εἶναι ἐθνική, ἀλλ' ἐν τῷ μετανοῆσαι. πότε γὰρ ἐδέχθη ἡ γνώμη Ἰοθόρ; οὐκ ἐν ὅσῳ ἦν ἱερεύς, ἀλλὰ μετὰ τὸ ἐπιγνῶναι τὸν Θεόν. ὅτι γὰρ εἶδε τοῦ Θεοῦ τὰ ἔργα, καὶ διηγήσατο αὐτῷ Μωσῆς τὰ ἐν Αἰγύπτῳ θαύματα, λέγει· Νῦν ἔγνων (ἴδε μετάνοιαν) ὅτι μέγας Κύριος ὁ Θεὸς ὑμῶν παρὰ πάντας τοὺς θεούς. ἀφ' οὗ ἔγνω τὴν ἀλήθειαν, ἔλαβε χάρισμα γνώμης ἀγαθῆς. ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. ἔλαβεν ὁ διδάσκων πνεῦμα σοφίας, ὁ διδασκόμενος πνεῦμα συνέσεως, ἵνα συνιῇ. διὰ τοῦτο Ἡσαΐας τὴν σοφίαν ἐπιγράφει τῷ λέγοντι, τὴν σύνεσιν τῷ ἀκούοντι. καί φησι, Σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. πνεῦμα βουλῆς δίδοται τῷ γνωμοδοτοῦντι, πνεῦμα ἰσχύος τῷ τὴν γνώμην δεχομένῳ. λαμβάνει χάριν ὁ γνωμοδότης, εἰπεῖν τι χρήσιμον· λαμβάνει χάριν ὁ τὴν γνώμην δεχόμενος, ἐπιτελέσαι τὸ συμφέρον. πνεῦμα φόβου Θεοῦ. ἕκαστον τούτων τῶν χαρισμάτων πρὸς τὴν προκειμένην χρείαν ἐδίδοτο. ἡνίκα ὅτε κατεσκευάζετο ἡ σκηνὴ ἐπὶ Μωϋσέως ἐν τῇ ἐρήμῳ, οὐ χρεία ἦν ἐκεῖ δωρεᾶς διδασκαλικῆς, ἀλλὰ δωρεᾶς ἀρχιτεκτονικῆς, πῶς ὑφάνωσι τὴν βύσσον, τὴν ὑάκινθον, τὸ κόκκινον, τὴν πορφύραν. ἔδωκεν ὁ Θεὸς χάρισμα δωρεᾶς ἀρχιτεκτονικῆς, ὑφαντικῆς, ἐργατικῆς, χρυσοχοϊκῆς, λιθουργικῆς, ῥαφιδευτικῆς. καὶ διὰ τί τὰς τέχνας ἔδωκεν; ἐπειδὴ τὴν σκηνὴν ἐποίει ὁ Θεὸς ἐπὶ τῆς γῆς· εἰκὼν οὐρανοῦ καὶ γῆς ἡ σκηνή· ἐν ἓξ ἡμέραις ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. κατεσκευάζετο ἡ σκηνὴ τύπον ἔχουσα οὐρανοῦ καὶ γῆς, καὶ χρεία δωρεᾶς τοῦ ἁγίου πνεύματος ἦν πρὸς τὸ πρᾶγμα ἁρμοζούσης. οὐ γὰρ ἦν καιρὸς διδασκαλικῆς, ἀλλ' ὑφαντικῆς καὶ τῶν ἄλλων. καὶ λέγει ὁ Θεός, ἰδοὺ κέκληκα ἐξ ὀνόματος τὸν Βεσελεὴλ ἐκ φυλῆς Ἰούδα, καὶ ἐνέπλησα αὐτὸν πνεύματος θείου, πνεύματος σοφίας καὶ ἐπιστήμης καὶ αἰσθήσεως. σοφίας, πρὸς τὸ ὑποτίθεσθαι τοῖς ἐργαζομένοις τοίως δεῖ ἐργάζεσθαι ἢ τόδε ποιῆσαι· ἐπιστήμης, παραρμόσαι· αἰσθήσεως, ἵνα νοήσῃ τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα ποίαν ἔχει δύναμιν. ἀλλαχοῦ ἐπαγγέλλεται διδόναι χάριν φιλανθρωπίας. καὶ λέγει· ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαβὶδ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ, τουτέστι, δωρεὰν φιλανθρωπίας. πάλιν δωρεῖται χάρισμα ταπεινοφροσύνης. πόθεν τοῦτο; οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ, ἐπειδὴ ὡς δίκαιοι τὴν φλόγα ἐπάτησαν, ὡς δὲ ταπεινόφρονες ἁμαρτωλοὺς ἑαυτοὺς ἐκάλεσαν, διὰ τὴν ὑπερβάλλουσαν δικαιοσύνην ἐπάτησαν τὴν φλόγα, καὶ τὴν κάμινον δρόσον ἐποίησαν. οὐκ ἐπήρθησαν δέ, οὐδὲ εἶπον· ὢ, πῶς ἡ δικαιοσύνη μεθ' ἡμῶν. ἐνικήσαμεν φύσιν, ὑπερέβημεν νόμον· ἀλλὰ πράττουσιν ὡς δίκαιοι, καὶ λαλοῦσιν ὡς ἁμαρτωλοί. ἐνόησον γάρ. ἐπάτουν τὴν φλόγα, καὶ ἐχόρευον ὡς ἅγιοι, καὶ ἐξωμολογοῦντο ὡς ἁμαρτωλοί· Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν. πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· ὅτι ἡμάρτομεν ἀποστάντες ἀπὸ σοῦ, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, ἵνα εὖ γένηται. ἐπεὶ οὖν δίκαιοι ὄντες ἑαυτοὺς ἐταπείνουν, ἔλαβον πνεῦμα ταπεινώσεως, χάρισμα ταπεινοφροσύνης. διὰ τοῦτο ἰδόντες τὴν χάριν, λέγουσιν· οὐκ ἔστιν ἡμῖν ἐν τῷ καιρῷ τούτῳ προφήτης, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι καὶ εὑρεῖν ἔλεος. ἐπεὶ οὖν οὐκ ἔχομεν πόλιν, οὐ ναόν, οὐ θυσιαστήριον, οὐ θυμίαμα, ἀντὶ πάντων ἡ ταπεινοφροσύνη ἡμῶν ἀρκέσει. διὰ τοῦτο λέγουσιν, ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. ἄλλος, ὅταν πλήρης ᾖ τῆς χάριτος, λαβὼν ὁλόκληρον τὸ δῶρον, λέγει· πνεῦμα ἔλαβε πληρώσεως. πόθεν τοῦτο; λέγει ὁ Ἱερεμίας· ἡ ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου οὐκ εἰς ἅγιον, οὐδὲ εἰς καθαρὸν πνεῦμα πληρώσεως. οὐκ ἔχουσι, φησί, πνεῦμα τὸ πληροῦν αὐτούς. οὕτως εἶχον πνεῦμα πληρώσεως οἱ ἀπόστολοι, καθὼς γέγραπται· τότε, φησίν, ὁ Παῦλος πλησθεὶς πνεύματος ἁγίου, ὅτε ἤλεγχεν Ἐλύμαν τὸν μάγον. ὁρᾷς τὰ χαρίσματα; ἐπαναλαμβάνομεν τὰ ὀνόματα τῆς ἀφράστου φύσεως· πνεῦμα Θεοῦ, πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. πνεῦμα Κυρίου, πνεῦμα πατρός, πνεῦμα υἱοῦ, πνεῦμα Χριστοῦ, πνεῦμα τοῦ ἐγείραντος τὸν Χριστόν, πνεῦμα ζωῆς, πνεῦμα ἀληθείας. λοιπὸν τὰ χαρίσματα· πνεῦμα δυνάμεως, πνεῦμα ἀγάπης, πνεῦμα σωφρονισμοῦ, πνεῦμα ἐπαγγελίας, πνεῦμα πίστεως, πνεῦμα ἀποκαλύψεως, πνεῦμα υἱοθεσίας. ὅταν λάβῃ τις χάρισμα τοῦ δικάζειν, ἔλαβε πνεῦμα κρίσεως, ὡς λέγει Ἡσαΐας· καὶ καθαριεῖ αὐτοὺς ὁ Κύριος πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. τὴν τιμωρητικὴν καὶ καθαρτικὴν δύναμιν καλεῖ πνεῦμα κρίσεως καὶ πνεῦμα καύσεως. ὁ δὲ Δαβὶδ αἰτεῖ πνεῦμα εὐθές, τὸ εἰς εὐθύτητα φέρον. καὶ πάλιν αἰτεῖ χάρισμα ἡγεμονικὸν τῶν παθῶν, καὶ ποιοῦν τὴν ψυχὴν μὴ δουλεύειν τοῖς πάθεσιν. ἐπειδὴ γὰρ διεστράφη ἡ καρδία τοῦ Δαβίδ, καὶ ἀπὸ σωφροσύνης ἦλθεν εἰς κακίαν παθῶν καὶ ἡδονῆς· καὶ ἐπειδὴ οὐ δικαίως ἔκρινε φονευθῆναι τὸν ἄνδρα, καὶ δοῦλος ἐγένετο ἐπιθυμίας, καὶ εἰς μοιχείαν ἐτράπη, αἰτεῖ πνεῦμα εὐθές, λέγων· ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

A gentium Eccleſiæ: quia ſapientiam legis tranſcendit gentium intelligentia: non quia Gentilis eſt, ſed quia reſipuerunt. Quando enim receptum eſt conſilium Jethro, non erat ſacerdos idolorum, ſed agnoverat Deum. Quia poſtquam cognovit opera Dei, & mirabilia quæ narravit ei Moſes in Ægypto facta, dicit: Nunc ego cognovi (Vide reſipiſcentiam,) quod magnus ſit Dominus Deus noſter ſupra omnes Deos. Nam ubi veritatem agnovit, accepit boni conſilii donum. At nos ad propoſitum redeamus. B Accipit docens ſpiritum ſapientiæ, diſcens ſpiritum intelligentiæ ut intelligat. Propterea Eſaias ſapientiam adſcribit docenti, intellectum audienti, & inquit, *Sapientem architectum, & intelligentem auditorem.* Eſa. 3, 2. Spiritus conſilii datur conſiliario: ſpiritus fortitudinis, conſilium accipienti: accipit donum conſiliarius, ut dicat utile quippiam: accipit gratiam, qui conſilium accipit dum perficit quod utile eſt. *Spiritus timoris Domini.* Singula dona illa ad propoſitum uſum concedebant. verbi gratia: C Quando extruebatur tabernaculum à Moſe in ſolitudine, non opus erat illi dono doctrinæ, ſed dono architectonices, quomodo conſuerent byſſum, hyacinthum, purpuram, coccinum, deditque Deus donum architectonices, & artem conſuendi, texendi, fundendi aurum, poliendi lapides, & conſtruendi. Et quare omnes artes illas dedit? quia tabernaculum faciebat Deus ſuper terram. Erat autem figura cœli & terræ tabernaculum. In ſex autem diebus fecit Deus cœlum & terram. Extruebatur taD bernaculum figuram gerens cœli & terræ, & opus habebant gratia Spiritus ſuo operi congrua. Non enim erat tempus doctrinæ, ſed textoriæ, & aliarum artium. Et dicit Dominus, *Ecce vocavi ex nomine Beſeleel de tribu Juda, & implevi eum Spiritu divino, Spiritu ſapientiæ & ſcientiæ, & ſenſus.* Exod. 31, 2. Sapientiæ Spiritu, ut ſuggereret iis qui operabantur, hoc modo eſſe operandum, aut hoc faciendum: Scientiæ autem, ut benè quadrarent: ſenſus verò, ut intelligeret quæ dicebantur à Deo qualem haberent virE tutem. Alio loco promittit Deus ſe daturum gratiam miſericordiæ, & dicit: *Effundam ſuper domum David Spiritum gratiæ & miſerationis.* Zach. 12, 10. hoc eſt, donum miſericordiæ. Iterum largitur donum humilitatis. Unde hoc liquet? Tres pueri in camino, quoniam ut juſti flammam calcaverunt: ut humiles autem, peccatores ſe vocaverunt, propter excellentem juſtitiam flammam calcaverunt, & caminum rorem fecerunt, non inflati ſunt, neque dixerunt, o quanta noſtra juſtitia! vicimus enim naturam, tranſA greſſi ſumus legem, ſed operantur ut juſti, loquuntur ut peccatores. Conſidera enim, Calcabant flammam, exultabant ut juſti, & confitebantur ut peccatores. *Peccavimus, inique egimus, injuſtitiam fecimus.* Dan. 3, 29. Omnia quæ induxiſti ſuper nos, judicio juſto feciſti: quia iniquè egimus, & diſceſſimus à te, & mandata tua non audivimus, ut bene eſſet nobis. Quoniam igitur cùm juſti eſſent, ſeipſos humiliabant, acceperunt Spiritum humilitatis, donum humilitatis. Et propterea cum viderunt gratiam, dicunt: B Non eſt nobis in tempore hoc princeps & Propheta, neque oblatio, neque thymiama, neque locus ut offerantur primitiæ, & inveniatur miſericordia. Dan. 3, 38. Quia igitur non habemus civitatem, neque templum, neque altare, pro omnibus humilitas noſtra ſufficiet. Propterea dicunt, ſed in anima contrita & ſpiritu humilitatis ſuſcipiamur. Ibidem. Alius cùm plenus eſſet gratia, accepto integro dono dicit: Spiritum accepit impletionis. Unde hoc? dicit C Hieremias? *Vaſtita populi mei, non in ſancto, neque in puro ſpiritu impletionis.* Non habent, inquit, Spiritum qui impleat eos. Sic habebant ſpiritum impletionis Apoſtoli, ut ſcriptum eſt: *Tunc, inquit, Paulus impletus Spiritu ſancto,* quando arguit Elymam magum. Act. 13, 9. Vides dona? Repetam igitur nomina ineffabilis naturæ. Spiritus Dei, ſpiritus qui ex Deo, Spiritus Domini, Spiritus Patris, Spiritus Filii, Spiritus Chriſti, Spiritus ejus qui excitavit Chriſtum, Spiritus vitæ, Spiritus veritatis. Deinde dona, D Spiritus virtutis, ſpiritus charitatis, ſpiritus temperantiæ, Spiritus promiſſionis, Spiritus fidei, Spiritus revelationis, Spiritus adoptionis filiorum. Quando aliquis accipit gratiam ut judicet, accipit ſpiritum judicii, ſicut dicit Eſaias, *Expurgabit eos Dominus ſpiritu judicii, & ſpiritu adustionis:* Eſa. 4, 4. punitricem & purgatricem vim vocat Spiritum judicii, & ſpiritum aduſtionis. David autem petit ſpiritum rectum, qui dirigat, & in rectam viam ferat. Et iterum petit donum principale, quod dominetur & ſit E princeps affectionum, faciatque animam non ſervire ſuis affectionibus. Quoniam enim perverſum fuerat cor Davidis, & à continentia venerat in nequitiam affectionum & voluptatis, & quia non juſtè judicarat interficiendum virum: & ſervus factus erat concupiſcentiæ, in adulterium prolapſus, petit ſpiritum rectum, inquiens: *Innova in viſceribus meis:* Pſal. 50, 12.

& ut projicias me, inquit, *à facie tua: & redde mihi lætitiam ſalutaris tui, & ſpiritu principali confirma me*: hoc eſt, dono quo dominer affectionibus, & cohibeam voluptates. Hæc à nobis dicta ſunt de ſpiritus ſancti divina majeſtate, & diverſitate in operationibus ejus. Hæretici autem qui ignoraverunt, quòd quando dicit Spiritum ſanctificationis, vel promiſſionis, donorum memor ſit: ipſi ad naturam referunt, dicentes, quod Deus dedit, & Spiritum ſanctum donavit. Vidiſti, inquit, quòd donum Dei eſt? legerunt dona, & ea ad naturam referunt miſeri. Oportebat intelligere, quæ nomina ad naturam pertineant, & quæ dona, & quæ gratiam ſignificant: caupones fuerunt adulteratæ veritatis, confuderunt omnia, ſubverterunt ſeipſos, exciderunt à veritate, *obtenebratum eſt inſipiens cor eorum: dicentes ſe eſſe* Rom. 1, 21. *ſapientes, infatuati ſunt.* Eapropter inferunt: Quoniam, inquit, de Spiritu moves, & à ſcriptura doces & vis teſtes habere ſcripturas: ab ipſis ſcripturis moti dicimus, ea ipſa quæ de Spiritu Joh. 15, 26. ſancto Salvator dixit. Quid igitur dicit ille? *Quando venerit*, inquit, *paracletus qui à Patre procedit: Spiritus veritatis deducet vos in omnem veritatem: non enim loquetur à ſeipſo, ſed quæcunque audierit, loquetur. & quæ ventura ſunt annunciabit vobis: Ille me glorificabit: quia ex meo accipiet. & annunciabit vobis.* Vidiſti quomodo, inquit, à ſemetipſo non loquitur, ſed ex illo accipit? Non poteſt demonſtrari Spiritus authoritas? An non demonſtravit, inquit, eum ſubjacere poteſtati filii, & mutuari ab eo & aliis ſuppeditare? Attende diligenter. Quoties tibi dictum aliquod apparet obſcurum, ne ſtatim addicas te dictioni, ſed expecta finem ſententiæ. Non vides quando extruuntur domus, quomodo omnia confuſa ſint, calx, lapides, ligna & in oculis tuis omnia ſint confuſa, artifici autem omnia benè quadraverunt? Scit enim ſuo tempore, quomodo hoc confuſum in hoc loco, illud in alio congruat: & quæ nunc diſperſa in harmoniam quandam convenientia ædificii pulchritudinem perficiant. Igitur cùm videris dicentem ab hoc in illud, & ab illo in hoc tranſilire, crede quòd materias præparet: quando conjungo materias, tunc oſtendo quàm benè conveniant. Una natura filii eſt & ſpiritus, una virtus, una veritas, una vita, una ſapientia: at ab eo tempore quo Salvator dignatus eſt aſſumere creaturam noſtram, impletur ſpiritu ſancto: non quod inferior Spiritu ſancto, ſed quòd caro opus habeat humano modo, ut accipiat adventum ſpiritus, non quòd non poſſit Deus verbum ſanctificare creaturam quam aſſumpſit. Nam ſi hunc conceſſeris ſermonem, ſupervacuus filius. Sufficiebat enim pater ad ſanctificandam carnem. Non igitur pater quaſi infirmus coaſſumit filium: Non quaſi infirmus, filius aſſumit ſpiritum. Sed quia una natura eſt, quæ omnia in omnibus operatur; alia quidem pater operatur, & in omni natura ſuſcipitur: alia autem filius, & in omnem tranſit naturam: alia verò ſpiritus, & in omni natura ſuſcipitur. Quando igitur natura ſecundùm ſeipſam conſideratur, par eſt & æqualis, plena herilis poteſtatis & authoritatis, admirabilis, neque indiga, neque imperfecta, non proficit, non minuitur, non augmenta ſuſcipit, non attenuatur. Cùm autem accepit Deus verbum carnem noſtram, fecit eam humano more, quaſi unum Apoſtolorum vel Prophetarum ſuſciperet ſpiritum ſanctum. Dixi priùs, non quòd non ſufficiat divinitas filii, ſed ut perfecta ſit Trinitatis ſcientia, in creatura illa oſtendatur. Aſſecuta igitur eſt caro Domini Spiritum ſanctum, & conſequenter voluit Salvator carnem, quam accepit, Spiritui ſancto propriam reddere: ut id quod faciebat Chriſtus ſecundùm carnem, aſcriberetur Spiritui ſancto, qui habitavit in eo, ſicut in ſancto templo humano. Homo enim propter nos, Deus autem propter ſeipſum. Deus propter ſeipſum, homo autem propter miſericordiam. Ejecit dæmones, & voluit fugationem dæmonum aſcribi ſancto Spiritui, & dicit: *Si autem* Math. 12, 28. *ego in Spiritu ſancto ejicio dæmonia*: & non dixit in Deo Verbo, ſed aſcribit ſpiritui, ſicut vir ſanctus Spiritum ſanctum aſſecutus. Denique quando intravit in templum, ſumit Prophetam Eſaiam, & legit. Legit autem quæ de ſeipſo erant ſcripta, & ut revolvit librum, dicit: Eſa 10. 1. *Spiritus Domini ſuper me.* Num igitur hæc Deo verbo conveniunt? Luc. 4, 17. Deus dicit, Spiritus Domini ſuper me. Non contradici poteſt quin perſona hominis loquatur: Spiritus Domini ſuper me, eo quod unxit me. Per ſpiritum, inquit, ſanctum unctus ſum. Propterea dicit Petrus, Act. 10, 38. *Jeſum à Nazareth, quod unxit eum Deus Spiritu ſancto & virtute.* Hic animadvertamus obſecro. Hæc enim omnia in apparatum illius ſermonis inſumuntur. De meo accipiet: non enim ab aliis in alia efferimur,

καὶ μὴ ἀποῤῥίψῃς με, φησὶν, ἀπὸ τοῦ προσώπου σου· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με, τουτέστι, χαρίσματι ἡγεμονεύοντι τῶν παθῶν, καὶ κρατοῦντι τῶν ἡδονῶν. Ταῦτα ἡμῖν εἴρηται περὶ τῆς τοῦ ἁγίου πνεύματος θεϊκῆς αὐθεντίας, καὶ τῆς κατὰ τὰ πράγματα διαφορᾶς. οἱ δὲ αἱρετικοὶ ἀγνοήσαντες ὅτι, ὅταν λέγῃ πνεῦμα ἁγιωσύνης ἢ ἐπαγγελίας, τῶν δωρεῶν μέμνηται, αὐτοὶ ἐπὶ τὴν φύσιν ἀνάγουσι, λέγοντες, ὅτι ὁ Θεὸς ἔδωκε, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐδωρήσατο. οἶδας, φασὶν, ὅτι δῶρόν ἐστι Θεοῦ; ἀνέγνωσαν τὰ τῶν δωρεῶν, καὶ εἰς τὴν φύσιν ἀνήγαγον. ἔδει νοῆσαι ἴδια τὰ ὀνόματα τὴν φύσιν δηλοῦντα, καὶ ἴδια τὰ ὀνόματα τὰ τὴν χάριν ἑρμηνεύοντα· ἐκαπήλευσαν τὴν ἀλήθειαν, συνέχεον τὰ πάντα, ἀνέστρεψαν ἑαυτοὺς, ἐξώκειλαν τῆς ἀληθείας, ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν. διὸ ἐπάγουσιν· ἐπειδὴ, φησὶ, περὶ πνεύματος κινεῖς, καὶ ἀπὸ γραφῶν διδάσκεις, καὶ βούλει μάρτυρας ἔχειν τὰς γραφὰς, ἀπ' αὐτῶν τῶν γραφῶν κινούμενοι λέγομεν, ἅπερ ὁ Σωτὴρ περὶ τοῦ πνεύματος εἶπε τοῦ ἁγίου. τί οὖν λέγει; ὅταν δὲ ἔλθῃ, φησὶν, ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος ὑμᾶς ὁδηγήσει πρὸς πᾶσαν τὴν ἀλήθειαν. οὐ γὰρ ἀφ' ἑαυτοῦ λαλήσει, ἀλλ' ὅσα ἂν ἀκούσῃ, ἀναγγελεῖ ὑμῖν, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. οἶδας πῶς φησιν, ἀφ' ἑαυτοῦ οὐ λαλεῖ, ἀλλ' ἐξ αὐτοῦ λαμβάνει; μὴ δύναται ἡ αὐθεντία δειχθῆναι τοῦ πνεύματος; οὐκ ἔδειξε, φησὶν, ἡ γραφὴ ὑποκείμενον αὐτὸ τῇ ἐξουσίᾳ τοῦ υἱοῦ, καὶ δανειζόμενον παρ' αὐτοῦ, καὶ ἄλλοις χορηγοῦν; πρόσεχε ἀκριβῶς. ὅταν τι τῶν λεγομένων ἀσαφές σοι φανῇ, μὴ εὐθέως ἐπιπηδήσῃς τῇ λέξει, ἀλλ' ἀνάμενε τὸ τέλος τοῦ νοήματος. οὐκ οἶδας ἐν ταῖς κατασκευαῖς τῶν οἰκοδομῶν, πῶς πάντα συγκεχυμένα, ἄσβεστος, λίθοι, ξύλα; καὶ τῇ μὲν σῇ ὄψει πάντα συγκέχυται, τῷ δὲ τεχνίτῃ πάντα ἥρμοσται· καὶ οἶδε τὸν καιρὸν, καθ' ὃν τοῦτο τὸ συγκεχυμένον ἁρμόσει ἐκείνῳ, κἀκεῖνο τούτῳ· καὶ τὰ νῦν διεσκορπισμένα τὴν πρέπουσαν ἁρμονίαν λαμβάνοντα ἀποτελεῖ τὸ τῆς οἰκοδομῆς κάλλος. ὅταν τοίνυν ἴδῃς τὸν λέγοντα ἀπὸ τούτου εἰς τοῦτο, καὶ ἀπ' ἐκείνου εἰς ἄλλο μεταβαίνοντα, νόει τὰς ὕλας αὐτὸν παρασκευάζειν. ὅταν δὲ παραθῶ τὰς ὕλας, τότε δείκνυμι τὴν ἁρμονίαν. μία φύσις υἱοῦ καὶ πνεύματος, μία δύναμις, μία ἀλήθεια, μία ζωὴ, μία σοφία. ἀφ' οὗ δὲ ὁ Σωτὴρ κατηξίωσε τὸ πλάσμα λαβεῖν τὸ ἡμέτερον, πληροῦται πνεύματος ἁγίου, οὐχ ὡς κατώτερος ἁγίου πνεύματος, ἀλλ' ὡς τῆς σαρκὸς ὀφειλούσης ἀνθρωπίνῳ τύπῳ λαβεῖν τοῦ πνεύματος τὴν ἐπιφοίτησιν· οὐχ ὅτι οὐκ ἠδύνατο ὁ θεὸς λόγος ἁγιάσαι τὸ πλάσμα ὃ ἀνέλαβεν. ἐὰν γὰρ εἰς τοῦτο χωρήσῃς τὸν λόγον, καὶ ὁ υἱὸς περιττός. ἤρκει γὰρ ὁ πατὴρ ἁγιάσαι τὸ πλάσμα. μὴ γὰρ ὡς ἀτονῶν ὁ πατὴρ προσλαμβάνει τὸν υἱόν; μὴ γὰρ ὡς ἀτονῶν ὁ υἱὸς προσλαμβάνει τὸ πνεῦμα; ἀλλ' ἐπειδὴ μία φύσις ἐστὶ τὰ πάντα ἐν πᾶσιν ἐνεργοῦσα. τὰ μὲν ὁ πατὴρ ἐργάζεται, καὶ εἰς πᾶσαν τὴν φύσιν ἐκλαμβάνεται· τὰ δὲ ὁ υἱὸς, καὶ εἰς πᾶσαν διαβαίνει τὴν φύσιν· τὰ δὲ τὸ πνεῦμα, καὶ εἰς πᾶσαν τὴν φύσιν ἀναλαμβάνεται. ὅτε οὖν ἐστιν ἡ φύσις καθ' ἑαυτὴν θεωρουμένη, ἴση καὶ ὁμαλὴ, δεσποτικῆς αὐθεντίας πλήρης, θαυμαστὴ, οὔτε ἐνδεὴς, οὔτε ἀτελὴς, οὐ προκόπτουσα, οὐ μειουμένη, οὐκ ἐλαττουμένη, οὐ προσθήκας λαμβάνουσα· ὅταν δὲ ἀναλάβῃ ὁ θεὸς λόγος τὴν σάρκα τὴν ἐξ ἡμῶν, ποιεῖ αὐτὴν κατὰ τὸν ἀνθρώπινον τύπον, ὡς ἕνα τῶν προφητῶν, ἢ ὡς ἕνα τῶν ἀποστόλων, δεχόμενον πνεῦμα ἅγιον. εἶπον προλαβὼν, οὐχ ὡς μὴ ἀρκούσης τῆς θεότητος τοῦ υἱοῦ, ἀλλ' ἵνα ἐντελὴς τῆς τριάδος ἡ γνῶσις ἐν τῷ πλάσματι τούτῳ δειχθῇ. κατηξιώθη οὖν ἡ σὰρξ ἡ δεσποτικὴ πνεύματος ἁγίου, καὶ λοιπὸν ἐβούλετο ὁ σωτὴρ τὸ πλάσμα, ὃ ἀνέλαβεν, οἰκεῖον τῷ ἁγίῳ πνεύματι, ἵν', ὅπερ ἂν ποιῇ ὁ Χριστὸς κατὰ σάρκα, ἐπιγράφηται τῷ ἁγίῳ πνεύματι τῷ οἰκοῦντι ἐν αὐτῷ, ὡς ἐν ἁγίῳ ναῷ τῷ ἀνθρωπίνῳ. ἄνθρωπος γὰρ δι' ἡμᾶς, θεὸς δὲ δι' ἑαυτόν· θεὸς δι' ἑαυτὸν, ἄνθρωπος δὲ διὰ φιλανθρωπίαν. ἐξέβαλε δαιμόνια, καὶ ἠθέλησε τὴν ἀπέλασιν τῶν δαιμονίων ἐπιγράφειν τῷ ἁγίῳ πνεύματι. καὶ λέγει· εἰ δὲ ἐγὼ ἐν πνεύματι ἁγίῳ ἐκβάλλω τὰ δαιμόνια· καὶ οὐκ εἶπεν, ἐν τῷ θεῷ λόγῳ, ἀλλ' ἐπιγράφει τῷ ἁγίῳ πνεύματι, ὡς ἀνὴρ ἅγιος πνεύματος ἁγίου κατηξιωμένος. ἀμέλει ὅτε εἰσῆλθεν εἰς τὸ ἱερὸν, λαμβάνει τὸν προφήτην Ἡσαΐαν, καὶ ἀναγινώσκει· ἀναγινώσκει δὲ τὰ περὶ ἑαυτοῦ γεγραμμένα. καὶ ἀναπτύξας, φησὶ, τὸ βιβλίον, λέγει, πνεῦμα Κυρίου ἐπ' ἐμέ. ταῦτα ἄρα τῷ θεῷ λόγῳ ἁρμόζει; θεὸς λέγει, πνεῦμα Κυρίου ἐπ' ἐμέ; οὐκ ἀναντίῤῥητόν ἐστιν, ὅτι τὸ πρόσωπον τοῦ ἀνθρώπου λαλεῖ; πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με. διὰ τοῦ πνεύματος, φησὶ, τοῦ ἁγίου ἐχρίσθην. διὰ τοῦτο Πέτρος φησίν· Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ, ὃν ἔχρισεν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει. ὧδε δὲ τὸν νοῦν, παρακαλῶ, ἔχωμεν. ταῦτα γὰρ ὅλα παρασκευὴ τοῦ, ἐκ τοῦ ἐμοῦ λήψεται. οὐ γὰρ ἀπ' ἄλλων εἰς ἄλλα ἐξηνέχθημεν,

ἀλλ'

Google

ἀλλ', ὡς ἔφθην εἰπὼν τὰς ὕλας εὐτρεπίζω, ἵνα σὺ τὴν ἕνωσιν ἁρμόσῃς. κατηξιώθη πνεύματος ἁγίου, ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ· καὶ λέγει Ἰωάννης· εἶδον τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτόν. εἶδες πῶς τοῦτο ἀνθρωπίνως λαμβάνει πνεῦμα ἅγιον; οὐδεὶς οὕτως ἀσεβὴς, ἵνα νομίσῃ ὅτι ἡ θεότης ἔλαβε πνεῦμα. λέγει Ἰωάννης ὁ Βαπτιστής, μέσος ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε, κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα τὸ ἅγιον καταβαῖνον, ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ υἱός μου. κατῆλθε τὸ πνεῦμα τὸ ἅγιον, ἵνα πληρωθῇ τὸ τοῦ Ἡσαΐου, Πνεῦμα Κυρίου ἐπ' ἐμέ. ἐβαπτίσθη ἡ σάρξ, καὶ εὐθὺς βαπτισθεὶς ἀνέβη τοῦ ὕδατος, καὶ ἀνήχθη ὑπὸ τοῦ πνεύματος εἰς τὴν ἔρημον. ἀνήχθη· καὶ ὡς παιδαγωγὸν εἶχεν ἡ σὰρξ τὸ πνεῦμα τὸ ἅγιον. διὰ τί οὖν; ἵνα ἡμῖν τύπον δῷ, ὅτι ὥσπερ ἡ σὰρξ ἡ ἐμὴ οὐκ ἄγεται ἐπιθυμίαις, ἀλλ' ἄγεται πνεύματι, οὕτω καὶ ὑμεῖς ὀφείλετε. διὰ τοῦτο καὶ ὁ Παῦλος· εἰ δὲ πνεύματι Θεοῦ ἄγεσθε, οὐκ ἔτι ἐστὲ ἐν σαρκί· καὶ, ὅσοι πνεύματι Θεοῦ ἄγονται, οὐκ εἰσὶ ὑπὸ νόμον. ἄγεται ἡ σὰρξ τοῦ Χριστοῦ, ἀγώμεθα καὶ ἡμεῖς. διὰ τοῦτο γὰρ καὶ πάντα εἰς αὐτὸν ἀναλαμβάνει, ἵνα τύπον ἡμῖν καταλίπῃ. ἀνήχθη ὑπὸ τοῦ πνεύματος πειρασθῆναι, καὶ ἐνίκησε τὸν διάβολον· οὐχ ἡ θεότης· ὕβρις γὰρ τῇ θεότητι τὸ εἰπεῖν, ἐνίκησα. Θεὸς γὰρ οὔτε ἡττᾶται ποτε, οὔτε νικᾷ, ἀλλὰ ἀεὶ κρατεῖ. εἰ νίκην δέχεται, πάντως οἷόν τε αὐτὸν ἡττηθῆναι· ὁ δὲ ἀεὶ κρατῶν, παντοκράτωρ, καὶ οὔτε στασιάζεται ὑπὸ κρατουμένων, οὔτε πράγματα παρέχει τῶν ἀρχομένων. ἡ τοίνυν σὰρξ ἡ δεσποτικὴ, τὸ κυριακὸν πλάσμα, ὁ ξένος ἄνθρωπος, τὸ νέον βλάστημα, τὸ ἀπὸ τῆς ξένης ὠδῖνος ἀνθῆσαν, λαμβάνει πνεῦμα ἅγιον, ἔχεις τὰς μαρτυρίας ὅτι ἐπεδήμησε πνεῦμα ἐξ οὐρανοῦ, ὅτι ἀνήγαγεν αὐτὸν τὸ πνεῦμα εἰς τὸ περιεργάσασθαι τὸν διάβολον. ἡ τοῦ Ἀδὰμ εἰκὼν ἡ ἐν τῇ ἀρχῇ πλανηθεῖσα, ἵνα νικήσῃ λοιπὸν, ὁ ἄνθρωπος ὁ ξένος εἰσήρχετο, δορυφορούμενος τῇ δυνάμει τοῦ πνεύματος. διὰ τοῦτο, ὥσπερ εἶπον, ἀνήχθη ὑπὸ τοῦ πνεύματος ἐν τῇ ἐρήμῳ πειρασθῆναι· οὕτως ὅτε ὡς νικητὴς ὑπέστρεψε, λέγει, Ἰησοῦς δὲ ὑπέστρεψεν ἐν τῇ δυνάμει τοῦ πνεύματος. εἶχεν οὖν ἡ σὰρξ πνεῦμα ἅγιον, οὐ μέρος χαρισμάτων, ὡς ἡμεῖς, τῷ μὲν σοφία, τῷ δὲ γνῶσις, ἀλλὰ πάντα εἶχε. ἐπ' ἀληθείας ἀγωνιῶ καὶ τρέμω, μὴ τὸ ἀσθενὲς τῆς γλώττης ἀμαυρώσῃ τὸ μέγεθος τοῦ κηρυττομένου. τὸ τοίνυν σῶμα τὸ δεσποτικὸν, καὶ ἡ σὰρξ ἡ ἁγία λαβοῦσα τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν, οὐκ ἔλαβεν, ὡς ἐπὶ τῶν ἀποστόλων καὶ τῶν προφητῶν μίαν χάριν ἢ δευτέραν. ἄνθρωπος γὰρ πάντα χωρῆσαι οὐ δύναται. διὸ λέγει Παῦλος, μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; ἐφ' ἡμῶν γὰρ μερίζεται τὰ δῶρα· ἐν δὲ τῇ σαρκὶ τοῦ Χριστοῦ ὅλα τὰ χαρίσματα; ὅλαι αἱ δωρεαὶ ἦσαν κατὰ τὴν τῆς σαρκὸς οὐσίαν. καὶ πρόσεχε, ἐπλήρωσε πρῶτον τὸν ἴδιον ναὸν πάσης χάριτος. εἶχε χάρισμα νόσους ἰᾶσθαι, δαίμονας ἐκβάλλειν, νεκροὺς ἐγείρειν, προφητεύειν, τὰ τῆς ἀληθείας ἐργάζεσθαι· πάντα ἠδύνατο, καὶ εἶχε τῶν χαρισμάτων τὸ πλήρωμα. ἀφ' οὗ ἐπληρώθη ἡ σὰρξ ἡ δεσποτικὴ πάντων τῶν χαρισμάτων, χρεία δὲ ἦν πάντας ἡμᾶς λαμβάνειν ἐκ μέρους, ὡς ἀπὸ δεξαμενῆς, ἀπὸ τοῦ κυριακοῦ σώματος, χορηγεῖται καὶ ἀποστόλοις καὶ προφήταις ἐξ αὐτοῦ. Ἰωάννης μαρτυρεῖ, ὅτι ἐν αὐτῷ ὅλον τὸ πλήρωμα τῆς θεότητος· καὶ ὁ Παῦλος, ἐν ᾧ κατῴκησε τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. οὐκ εἶπεν ἁπλῶς, ἐν ᾧ κατῴκησεν ἡ θεότης, ἀλλὰ, τὸ πλήρωμα τῆς θεότητος· τουτέστι, πᾶσα ἡ δωρεὰ τῆς θεότητος. καὶ ἵνα μή τις νομίσῃ, ὅτι ἐν τῷ Θεῷ λόγῳ κατῴκησε, λέγει· ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, ἐν τῇ σαρκὶ αὐτοῦ πᾶν τὸ πλήρωμα σοφίας, συνέσεως, δυνάμεως, σημείων, πάσης ἐνεργείας. λοιπὸν ἀπὸ τοῦ πληρώματος διανειζόμεθα πάντες. μαρτυρεῖ Ἰωάννης ὁ Βαπτιστὴς, κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον [οὐκ εἶπε, χαριζόμενον αὐτῷ δῶρον ἓν, ἀλλὰ μένον ὅλον] οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ, καὶ πυρί. εἶτα βουλόμενος δεῖξαι ὁ Ἰωάννης, ὅτι οὐχ ὡς ἄνθρωπος ἔλαβε χάριν ὁ Σωτὴρ, λέγει· οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα· ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. ἡμεῖς οὖν πόθεν λαμβάνομεν; ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν· ἐκεῖνος τὸ πλήρωμα, ἡμεῖς ἐκ τοῦ πληρώματος. πῶς; ἀφ' οὗ ἐπλήρωσε τὴν δεσποτικὴν σάρκα, ἀπ' αὐτοῦ ἤντλει ὡς ἀπὸ πηγῆς, καὶ ἐδάνειζε τοῖς ἀνθρώποις τὴν δωρεάν, προσέχετε, παρακαλῶ. λέγει οὖν· ὅταν ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν τὴν ἀλήθειαν, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται. πρόσεχε τῇ ἀκριβείᾳ. οὐκ εἶπεν, ἐξ ἐμοῦ, ἀλλ', ἐκ τοῦ ἐμοῦ. ἐξ ἐμοῦ, τίνος; ἐκ τοῦ ἐμοῦ δώσει ὑμῖν, ἀλλὰ λήψεται. λαμβάνει, οὐ δανείζεται· ἀλλ' ἐπειδὴ ἐπλήρωσε τὴν πηγὴν ὡς ἀρχὴν χαρισμάτων, ἀπὸ τῆς δεξαμενῆς ἀντλεῖ, καὶ παρέχει πᾶσιν ἐκ τῶν ἰδίων.

A ſed (ut dixi) materias diſpono, ut tu unionem coaptes. Aſſecutus eſt Spiritum ſanctum, baptizatus eſt in Jordane: & dicit Joannes: *Vidi cælos apertos, & Spiritum Dei deſcendentem ſicut columbam, & manentem ſuper eum.* Vidiſti quomodo humano modo accipit Spiritum ſanctum? Nullus ſic impius, ut credat quod Divinitas accipiat Spiritum. Dicit Joannes Baptiſta: *Medius veſtrûm ſtetit, quem vos ignoratis, & ego neſciebam eum: ſed qui miſit me, ut baptizarem in aqua, ille mihi dixit: Super quem* B *videris Spiritum ſanctum deſcendentem ſicut columbam, & manentem ſuper eum, hic eſt Filius meus.* Deſcendit Spiritus ſanctus, ut impleatur hoc Eſaiæ: *Spiritus Domini ſuper me*, Baptizata eſt caro, & ſtatim baptizatus aſcendit de aqua, & ductus eſt à Spiritu in deſertum. Ducta eſt, & quaſi pædagogum habuit caro Spiritum ſanctum. Quare ductus eſt ut nobis figuram daret, quòd ſicut caro mea non ducitur concupiſcentiis, ſed ducitur ſpiritu: ſic & vos debetis. Propterea & Paulus: *Si autem Spiritu Dei* C *ducimini, non jam eſtis in carne, & quicunque Spiritu Dei ducuntur, non ſunt ſub lege.* Ducitur caro Chriſti, ducamur & nos. Propterea enim omnia in ſe ipſum aſſumit, ut nobis exemplum relinquat, *Ductus eſt à ſpiritu ut tentaretur*, & vicit diabolum: non Deitas. Contumelia enim fuerit Deitati dicere, Vici. Deus enim nunquam vincitur, neque vincit, ſed ſemper prævalet, & dominatur. Nam ſi omninò vinceret, poſſibile eſſet, & ipſū vinci. At qui ſemper dominatur, & non prævalet in omnibus, eſt o- D mnipotens, & neq; obtumultuantur ei ſubditi, neq; ei negotiū faceſſunt, ut vincantur. Si igitur caro dominica, & dominicum figmentum, novus homo cæleſtis, novum germen, quod novo partu floruit accepit Spiritum ſanctum, habes teſtimonia quòd advenit Spiritus de cælo: & duxit eum Spiritus, ut vinceret diabolum. Imago Adam quæ in principio ſeducta, ut poſtea vinceret, homo novus ingreditur, comitatus virtute Spiritus. Propterea ſicut dixit, *Ductus eſt à ſpiritu in deſertum, ut tentaretur*, E ſic quando revertitur ut victor, dicit: *Jeſus autem reverſus eſt in virtute Spiritus à deſerto.* Habuit igitur caro Spiritū S. non partē donorum, ſicut nos, cùm uni ſapientia, alteri ſcientia datur: ſed omnia habuit dona. In veritate anxius ſum & tremo, ne infirmitas linguæ obſcuret magnitudinem ejus, quod prædicatur. Igitur corpus Domini & caro ſancta, ut accepit Spiritus S. efficaciam; non accepit, ſicut de aliquo Apoſtolorum dicitur & Prophetarum, gratiam unam, vel alteram, homo enim non eſt capax omnium: ideò dicit Paulus: Num omnes Apoſtoli? num omnes Prophetæ? num omnes dona habent ſanationum? In nobis enim dividuntur dona, in carne autem Chriſti omnia dona fuerunt, ſecundùm ſubſtantiam carnis. Et attende, implevit primò proprium templum omni gratia. Habuit donum curandi morbos, effugandi dæmones, ſuſcitandi mortuos, prædicendi futura, operandi ea quæ veritatis ſunt: omnia potuit, & habuit donorum plenitudinem, quatenus impleta eſt caro ejus omnibus B chariſmatibus. Unde opus fuit, ut inde omnes acciperemus, ex parte tanquam à receptaculo quodam à corpore dominico: & inde Apoſtolis & Prophetis ex eo ſuppeditaretur. Joannes teſtatur, quòd in eo tota Deitatis plenitudo. Et Paulus: *In quo habitat Divinitatis plenitudo corporaliter.* Non dixit ſimpliciter, In quo habitavit Deitas, ſed plenitudo Deitatis: hoc eſt, omne Deitatis donum. Et ut ne quis potet, quòd in Deo verbo habi- C taverit, dicit: In quo habitavit omnis plenitudo Deitatis corporaliter. In carne ejus omnis plenitudo ſapientiæ, intellectus, virtutis, ſignorum, omnis operationis. Deinde à plenitudine ejus mutuamur omnes. Teſtatur Joannes baptizans, *Et ego neſciebam eum: ſed qui miſit me ut baptizarem, ille mihi dixit, Super quem videris Spiritum deſcendentem, & manentem ſuper eum* (Non dixit largientem ei donum unum: ſed manentem totum) *hic eſt qui baptizat in Spiritu ſancto & igni.* Deinde volens oſten- D dere Joannes, quòd non ſicut homo acceperit gratiam Salvator, dicit quòd non ad menſuram dedit Deus Spiritum, ſed Pater diligit Filium, & omnia dedit in manu ejus. Nos igitur unde accipimus? De plenitudine ejus nos omnes accepimus, ille plenitudinem, nos de plenitudine. Quomodo? Ex quo implevit dominicam carnem, ab ea hauſit ſicut à fonte, & largitus eſt hominibus gratiam. Attende, obſecro, dicit igitur: *Quando venerit Paracletus Spiritus veritatis, ducet vos in omnem veritatem,* E *quia de meo accipiet.* Attende magna diligentia; non dixit de me, ſed de meo. Ex meo, cujus? de meo dabit vobis, ſed accipiet, accipit non mutuatū. At quoniā implevit fontē ut originē donorum, ab aquarum receptaculo haurit, & præbet omnibus de propriis.

Matt. 3, 16. Marc. 1, 10. Jo. 1, 32. — Jo. 1, 26. — Eſa. 61, 1. — Gal. 5, 18. Rom. 8, 14. — Matt. 4, 1. — Ibid. Luc. 4, 14. — 1. Cor. 12, 8. — 1 Cor. 12, 29. — Jo. 1, 16. Col. 2, 9. — Jo. 1, 33. — Ib. 3, 34, 35. — Jo. 16, 13.

Num. 11, 14
Exod. 18, 25.
Deut. 1, 9.

Et unde hoc, quòd accipere, de propriis eſt accipere? audi: Implevit Deus Moſen Spiritu, & dicit Moſes: *Non poſſum ſolus ferre pondus hujus populi, ordina alium tibi ipſi.* Dicit ei Deus: *Elige ſeptuaginta ſeniores, & accipiam de Spiritu qui in te, & dabo ſuper eos.* Non dixit accipiam tuum: ſed, de Spiritu qui in te, de meo accipiam. Dicit Deus in diebus illis: *Effundam de Spiritu meo ſuper omnem carnem, & prophetabunt.* Si Deus à Moſe accipiens mutuatus eſt, & Spiritus à filio accipiens mutuatus eſt. Etenim Moſes figura erat Chriſti. Quia ſicut à Moſe ſeptuaginta fuerunt impleti, ita à Chriſto orbis terrarum accipit Spiritum S. De meo accipiet: ex his quæ mihi ſuppeditavit ſoli homini dominico, ſumet ſibi qui dedit, qui venit ſuper me, & manſit in me, qui unxit me, qui ſanctificavit me, qui duxit me in deſertum, qui reduxit me victorem, de meo accipiet, & annuntiabit vobis. Et ut oſtendat, quod non ſancti Spiritus mentionem fecerit, ſed donorum ejus, poſtquam dixit, de meo accipiet, adjicit ſtatim: *Omnia quæcunque habet Pater, mea ſunt:* accepi ea de Spiritu ſancto: propterea dixi, de meo ſumet: Quoniam Deus carnem ſanctificavit Spiritu ſancto, & emiſit donum Spiritus Pater in carnem Chriſti. Venit gratia, & omnia dona indidit Chriſto, dicit: De meo accipiet, & annuntiabit vobis. Quid igitur eſt, quòd à ſeipſo non loquetur, ſed quæcunque audierit, nota faciet vobis? Dictum eſt ante hoc, quòd aliud eſt Spiritus ſanctus, & aliud donum: aliud rex, & aliud donum regis. Quando quis contra multas & varias Barbarorum gentes bellum gerit, dubitat ubi præliari incipiat: Si in hanc impreſſionem facit, & occupatur, mox aliam proſpectat erumpere aciem: ſi in duas partes dividat, dividuntur virtutes. In medio ſumus Arianorum, qui reprobant Chriſti gloriam, & Macedonianorum, qui divinam Spiritus gloriam contumeliis afficiunt. Si igitur confeſſa de Filio loquar ad Macedonianos, Arianus ſtatim pugnat: De Filio enim dicit, non perſuaſiſti, & de Spiritu mihi loqueris? Verùm quia hodie propoſitum eſt de Spiritu ſancto, (ſæpè enim juxta gratiam nobis à Chriſto datam de Filio victoriam reportavimus, teſteſque dictorum vos eſtis, quòd non fuerint deceptiones Rhetoricæ, ſed ſcripturarum demonſtrationes) volebam autem & nunc probare de Filio ſermonem (Semper enim in illo virtutem fulgentem habet) Sed quia de hoc ſatis pluribus argumentis perſuaſi ſunt qui circa Spiritum S. claudicãt, nunc taceo. Impoſſibile autem eſt, eos qui circa Spiritum S. aberrant & claudicant, recto pede ambulare circa Filium. Uſque hodie non invenis Macedonianum ullum conſubſtantialis verbo ſubſcribere juxta Nicenum decretum, quamvis ſemper dicant: Nos illam fidem ſectamur. Quoniam de Spiritu S. non eſt manifeſtatum. Neque enim de hoc pugna vel labor erat: attamen ut pluribus argumentis illis perſuadeatur, dico, Scriptum eſt à ſeipſo non loquetur. Dic Macedoniano, ſcriptũ eſt hoc de Filio, imò ipſe dicis de ſeipſo, ego à meipſo non loquor. Attende obſecro, affero teſtimonium apud te confeſſum: (apud Arianum enim certamine hic opus eſſet, in hoc quod dicis, *Ego à meipſo non loquor*, & de Spiritu S. apud te autem qui profiteris te hoc ſanctè colere, nulla opus concertatione.) De Chriſto ſermonem inſtituens, dicis æqualem Deo, ſimilem Patri per omnia. Coram his qui confitentur gloriam, quæſtionem induxi. Dicis de Spiritu, à ſeipſo nõ loquetur. dicit Filius de ſeipſo, *Ego à meipſo non loquor, ſed quæcunq; audivi à Patre meo, hæc loquor:* attamen eſt æqualis honor. Hæc ad te dico. Arianus enim & ille etiam de hoc dubitat. Idem evenit incredulis, quod & naufragis accidit, ſicut dicit Paulus, qui circa fidem naufragium fecerunt. Ariani naufragio facto perdiderunt & Chriſti gloriam, & Spiritus S. virtutem: Macedoniani contendunt quidem emergere, ſed dimidiam ſarcinam amittunt, ut ait Paulus. *Si autem quis Spiritum Chriſti non habet, hic non eſt ejus.* Attende igitur, ut ne videamur more certantium illudere, & contumelioſè demonſtrationem facere. Ego à meipſo non loquor. Interpretare mihi quid eſt hoc quod dicit, Ego à meipſo non loquor? quomodo dixit Salvator. Si enim adduxerit ſolutionem de Filio, hanc intelliget & Spiritui ſancto congruere. Duo ſtatuit æqualis ponderis: Neq; Spiritus à ſeipſo neq; Filius à ſeipſo: ſed opus habet Filius Patre, opus habet & Spiritus S. Patre, & tamen æqualis eſt honor. Attende igitur: Scio quod in profundum meipſum dedi, ſicut novit virtus Chriſti quæ omnia perſcrutatur: imò tremo potiùs quam dico, ne in immenſam abyſſum abeat navicula, & deſit ſpiritus. Da enim eſſe navim paratã, gubernatorem, nautas, funes, anchoras, omnia diſpoſita, & nuſquam eſſe ſpiritum venti: nonne tardat omnis quantuſcunque eſt apparatus, ſi deſit operatio ſpiritus? Ita fieri ſolet, licet ſit ſermonis ampla ſuppellex, & mens profunda, & eloquentia, & intelligentia, & non adſit Spiritus

Joel. 2, 28.
Jo. 16, 15.
ἴσ. τ̃ πολέμου.
ἴσ. λαῖοις ἐπ.
ἴσ. τὸ.
Jo. 14, 10
Rom. 8, 9.

A καὶ πόθεν τοῦτο, ὅτι τὸ λαβεῖν, ἐκ τῶν ἰδίων ἐστὶ λαβεῖν; ἄκουε. ἐπλήρωσεν ὁ Θεὸς τὸν Μωυσῆν πνεύματος, καὶ λέγει Μωυσῆς· οὐ δύναμαι μόνος φέρειν τὸ βάρος τοῦ λαοῦ τούτου· προχείρισαι ἄλλον σεαυτῷ. λέγει αὐτῷ ὁ Θεός· ἐπίλεξαι ἑβδομήκοντα πρεσβυτέρους, καὶ λήψομαι ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοὶ, καὶ δώσω ἐπ᾽ αὐτούς. οὐκ εἶπε, λήψομαι τὸ σὸν, ἀλλὰ, ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοὶ, ἐκ τοῦ ἐμοῦ λήψομαι. λέγει ὁ Θεὸς, ἐν ταῖς ἡμέραις ἐκείναις. ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν. εἰ ὁ Θεὸς παρὰ Μωυσέως λαμβάνων ἐδανείσατο, τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ λαμβάνον ἐδανείσατο. καὶ γὰρ Μωυσῆς τύπος ἦν τοῦ Χριστοῦ· ὅτι ὥσπερ ἀπὸ Μωυσέως ἑβδομήκοντα ἐγέμοντο, οὕτως ἀπὸ τοῦ Χριστοῦ ἡ οἰκουμένη ἐδέξατο τὸ πνεῦμα τὸ ἅγιον. ἐκ τοῦ ἐμοῦ λήψεται· ἐξ ὧν ἐχορήγησέ μοι μόνῳ τῷ κυριακῷ ἀνθρώπῳ, λήψεται αὐτὸ τὸ δεδωκὸς, τὸ ἐλθὸν καὶ μεῖναν ἐν ἐμοὶ, τὸ χρίσαν με, τὸ ἁγιάσαν, τὸ ἀναγαγὸν εἰς τὴν ἔρημον, τὸ ἐπιστρέψαν με νικητὴν, ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. καὶ ἵνα δείξῃ ὅτι οὐ τοῦ ἁγίου πνεύματος ἐμνημόνευσεν, ἀλλὰ τῶν δωρεῶν, ἐπάγει, μετὰ τὸ εἰπεῖν, ἐκ τοῦ ἐμοῦ λήψεται, εὐθὺς, πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν· ἔλαβον αὐτὰ ἐκ τοῦ ἁγίου πνεύματος. διὰ τοῦτο εἶπον, ἐκ τοῦ ἐμοῦ λήψεται. ἐπειδὴ ὁ Θεὸς τὴν σάρκα ἡγίασε πνεύματι ἁγίῳ, καὶ ἀπέστειλε τὴν δωρεὰν τοῦ πνεύματος ὁ πατὴρ εἰς τὴν σάρκα τοῦ Χριστοῦ, ἐλθοῦσα δὲ ἡ χάρις ὅλα τὰ δῶρα ἐνέθηκε τῷ Χριστῷ, λέγει. ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. τί οὖν ἐστι τὸ, ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει, ἀλλ᾽ ὅσα ἂν ἀκούσῃ, γνωρίσει ὑμῖν; εἴρηται περὶ τούτου, ὅτι ἄλλο ἐστὶ πνεῦμα ἅγιον καὶ ἄλλο χάρισμα· ἄλλο βασιλεὺς, καὶ ἄλλο τὸ δῶρον τοῦ βασιλέως. ὅταν τις πρὸς πολλὰ καὶ διάφορα ἔθνη βαρβάρων ἔχῃ, ἀπορεῖ πόθεν ἄρξηται τοῦ πολέμου. ἐὰν περὶ τούτους ἀσχοληθῇ, * τὸν πόλεμον ἕτερον ἀνακινεῖ κέρας. ἐὰν διέλῃ ἑαυτὸν εἰς δύο μέρη, σχίζονται αἱ δυνάμεις. ἐν μέσῳ ἐσμὲν Ἀρειανῶν τῶν ἀθετούντων τοῦ Χριστοῦ τὴν δόξαν, καὶ τῶν Μακεδονιανῶν τῶν ὑβριζόντων τὴν θεϊκὴν τοῦ πνεύματος δόξαν. ἐὰν τὰ ὡμολογημένα εἴπω τοῦ υἱοῦ, ὡς πρὸς Μακεδονιανοὺς, ὁ Ἀρειανὸς εὐθέως μάχεται. περὶ γὰρ υἱοῦ * ἔπεισας, * ὅτι περὶ πνεύματος μοι λαλεῖς; ἀλλ᾽ ἐπειδὴ πρόκειται σήμερον περὶ πνεύματος ἁγίου [πολλάκις γὰρ κατὰ τὴν δοθεῖσαν χάριν παρὰ Χριστοῦ, περὶ τοῦ υἱοῦ ἐνικήσαμεν· καὶ μάρτυρες τῶν εἰρημένων ὑμεῖς, ὡς οὐκ ἦν σοφίσματα A τέχνης, ἀλλ᾽ ἀποδείξεις γραφῶν] ἐβουλόμην δὲ καὶ νῦν κατασκευάσαι τὰ περὶ τοῦ υἱοῦ λόγου [ἀεὶ γὰρ ἐν ἑαυτῷ τὴν δύναμιν ἐκλάμπουσαν ἔχει] ἀλλὰ διὰ τὸ τῶν ἀρκετικῶν πληροφορίαν τῶν περὶ τὸ πνεῦμα σκαζόντων τέως παρασιωπῶ. ἀμήχανον δέ ἐστι τὸ περὶ τὸ πνεῦμα σκάζοντα ὀρθοποδῆσαι περὶ τὸν υἱόν. ἕως σήμερον οὐ πείθεις τινὰ Μακεδονιανὸν ὑπογράψαι τῷ ὁμοουσίῳ τῷ κατὰ Νικαίαν, καίτοι λέγοντες ἀεὶ, ἡμεῖς ἐκείνῃ στοιχοῦμεν τῇ πίστει· ἐπειδὴ περὶ πνεύματος οὐ διεσαφηνίσθη. οὐδὲ γὰρ ἦν ἀγὼν, οὐδὲ πόλεμος. ὅμως πρὸς τὴν B ἐκείνων πληροφορίαν λέγω, γέγραπται, ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει. εἰπὲ τῷ Μακεδονιανῷ, γέγραπται τοῦτο καὶ περὶ τοῦ υἱοῦ. μᾶλλον δὲ αὐτὸς λέγει περὶ ἑαυτοῦ, ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ. πρόσεχε, παρακαλῶ. παράγω τὴν μαρτυρίαν ἀπὸ τοῦ ὡμολογημένου παρὰ σοί. πρὸς μὲν γὰρ τὸν Ἀρειανὸν ἀγῶνος χρεία εἰς τὸ, ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, καὶ περὶ τοῦ πνεύματος· πρὸς δὲ σὲ τὸν ἐπαγγελλόμενον εὐσεβεῖν, οὐ χρεία ἀγῶνος. περὶ Χριστοῦ γυμνάζων λέγεις, ἴσον Θεῷ, ὅμοιον C τῷ πατρὶ κατὰ πάντα. ὡς πρὸς ὁμολογοῦντα τὴν δόξαν εἰσήγαγον τὸ ζήτημα. λέγεις περὶ τοῦ πνεύματος, ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει· λέγει ὁ Σωτὴρ περὶ ἑαυτοῦ, ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ᾽ ὅσα ἤκουσα παρὰ τοῦ πατρός μου, ταῦτα λαλῶ. ἰδοὺ καὶ ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ οὐ λαλεῖ. τέως ὁμοτιμία. ταῦτα πρὸς σὲ λέγω. ὁ γὰρ Ἀρειανὸς κἀκεῖνο καὶ τοῦτο ἀπορεῖ. ὃ πάσχουσιν οἱ ναυαγοῦντες, τοῦτο πάσχουσιν οἱ ἀπιστοῦντες, ὡς λέγει Παῦλος· οἵτινες περὶ τὴν πίστιν ἐναυάγησαν. οἱ Ἀρειανοὶ ναυαγήσαντες, ἀπώλεσαν D καὶ Χριστοῦ δόξαν, καὶ ἁγίου πνεύματος δύναμιν· Μακεδονιανοὶ φιλονεικοῦσι μὲν ἀναβῆναι, τὸ δὲ ἥμισυ τοῦ φορτίου ἀπώλεσαν, ὡς λέγει Παῦλος· εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. πρόσεχε τοίνυν, ἵνα μὴ δόξωμεν ἀγωνιστικῶς ἐπεμβαίνειν, καὶ ὑβριστικῶς τὴν ἀπόδειξιν ποιεῖσθαι. ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ. ἑρμήνευσόν μοι τί ἐστι τὸ, ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, πῶς εἶπεν ὁ Σωτήρ. ἣν γὰρ ἂν ἑλκύσῃ λύσιν ὁ Μακεδονιανὸς περὶ τοῦ υἱοῦ, ταύτην ἐπινοεῖ καὶ τῷ ἁγίῳ πνεύματι. τὰ δύο E ἔστησεν ἰσόρροπα· οὔτε τὸ πνεῦμα ἀφ᾽ ἑαυτοῦ, οὔτε ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ. ἀλλὰ χρήζει ὁ υἱὸς τοῦ πατρὸς, χρήζει καὶ τὸ πνεῦμα τοῦ πατρός. τέως ὁμοτιμία. πρόσεχε τοίνυν. οἶδα εἰς βάθος ἐμαυτὸν δεδωκὼς, ὡς οἶδεν ἡ τοῦ Χριστοῦ δύναμις ἡ πάντα ἐρευνῶσα. μᾶλλον τρέμω, ἢ λέγω, μὴ εἰς ἄπειρον ἄβυσσον δράμῃ τὸ σκάφος, καὶ πνεῦμα μὴ ᾖ. δίδου γὰρ εἶναι τὸ σκάφος ἕτοιμον, τὸν κυβερνήτην, τοὺς ναύτας, τὰς σχοίνους, τὰς ἀγκύρας, πάντα εὐτρεπισμένα, καὶ μηδαμοῦ πνεῦμα ἀνέμου· οὐχὶ ἀργεῖ τὰ τῆς παρασκευῆς, μὴ παρούσης τῆς ἐνεργείας τοῦ πνεύματος; οὕτως ἴδοις· κἂν λόγου πλάτος, κἂν διανοίας βάθος, κἂν φράσις, κἂν σύνεσις, καὶ μὴ παρῇ τὸ πνεῦμα

τὸ

τὸ ἅγιον χορηγῶν, ἀργεῖ τὰ πάντα. Διὰ τί οὖν περὶ ἑαυτοῦ, ὡς καὶ περὶ τοῦ πνεύματος εἶπεν, ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ; ἀγωνιστικῶς ἀνατρέψαμεν τὸν ἀντιλέγοντα, λοιπὸν πληροφορήσωμεν καὶ ἑαυτοὺς, κἀκείνους, εἴγε πείθονται· οὐκ ἂν πάντως ἀνάγκην αὐτοῖς ἐπάγομεν, ἀλλὰ * λέγομεν, εἰ ἄρα πεισθῶσι· καὶ μὴ θαυμάσῃς, εἰ ἐγὼ ὁ ἄνθρωπος οὕτω λέγω. λέγει ὁ Θεὸς τῷ Ἰεζεκιὴλ, Ἄπελθε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, καὶ εἰπὲ αὐτοῖς· ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα πεισθῶσι. Λέγομεν ταῦτα, ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα πιστεύσωσιν, ἐὰν ἄρα συνθῶνται. ἐὰν δὲ τούτων λεγομένων μὴ συνθῶνται, ἀθῷοί B ἐσμεν ἡμεῖς. οὕτω Παῦλος ἐδίδασκε, καὶ μετὰ τὸ διδάξαι λέγει· „Διαμαρτύρομαι πάντας, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάν„των ὑμῶν. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν τὴν ὁδὸν τοῦ Θεοῦ. καὶ νῦν λέγω, διὰ τί ὁ Σωτὴρ εἶπεν, ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ· καὶ περὶ τοῦ πνεύματος, ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει; δέομαι τῆς ὑμετέρας ἀγάπης, ἐνταῦθα τὸν νοῦν ἔχωμεν. ἑνὸς ὄντος Χριστοῦ, πολλοὶ προῆλθον ψευδόχριστοι, ὡς ὁ Σωτὴρ εἶπε· πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί C μου ψευδόχριστοι, καὶ ψευδοπροφῆται. ἑνὸς οὖν ὄντος Χριστοῦ καὶ ἐπαγγελθέντος διὰ τῶν προφητῶν ὅτι ἔρχεται, πρὸ τῆς παρουσίας αὐτοῦ ἐφάνησάν τινες πλάνοι, λέγοντες, ἡμεῖς ἐσμεν. Θευδᾶς λέγει, ἐγώ εἰμι· Ἰούδας ὁ Γαλιλαῖος, ἐγώ εἰμι. καὶ ἐπλάνων πολλούς. ὁ „Σωτὴρ ἐλθὼν λέγει, ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἦσαν καὶ λῃσταί. ἐπεὶ οὖν οἱ μὲν πρῶτοι πλάνοι ὄντες, ἐνδυσάμενοι τὸ ὄνομα τοῦ Χριστοῦ ἐσπούδαζον πεῖσαι τὸν λαὸν, ὅτι αὐτοί εἰσιν ὁ Χριστὸς, οὐχ ὁμοῦ φαν- D έντες, ἀλλ᾽ ἕκαστος καθ᾽ ἑαυτόν· ὁ μὲν νῦν φαινόμενος, ἄλλος δὲ ἐπ᾽ „ἄλλου καιροῦ· λέγει ὁ Χριστὸς, ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἦσαν „καὶ λῃσταί, ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα· τὰ πρόβατα τὰ „ἐμὰ τῆς ἐμῆς φωνῆς ἀκούει, καὶ γνωρίζει τὴν φωνήν μου, καὶ ἀκολουθεῖ μοι. ἦλθον οὖν ἐκεῖνοι οἱ ψευδόχριστοι, καὶ οὐκ ἐδίδαξαν ἀπὸ νόμου, οὐκ ἀπὸ προφητῶν, ἀλλ᾽ ἐξ ἑαυτῶν ἐλάλουν καὶ ἀπὸ τῆς ἰδίας γνώμης. ὁ Σωτὴρ ἐλθὼν οὐκ ἀπέστη τοῦ νόμου, οὐκ ἀπέστη προφη- E τῶν, ἀλλ᾽ ἔλεγεν, ὡς ἐν ὑποδείγματι· καλῶς εἶπεν Ἡσαΐας· καὶ πάλιν, οὐ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν; καὶ ὅτε προσῆλθεν „αὐτῷ ὁ διάβολος, λέγει αὐτῷ, γέγραπται· Κύριον τὸν Θεόν „σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ἐλθὼν οὖν ὁ Χριστὸς κατὰ σάρκα οὐκ ἐλάλησεν ἀφ᾽ ἑαυτοῦ, ἀλλ᾽ ἀπὸ προφητῶν. ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ τοῦ Χριστοῦ, ἐν ὀνόματι Χριστοῦ οὐκ ἐλάλησαν, οὐκ ἀπὸ νόμου, οὐκ ἀπὸ προφητῶν, ἀλλ᾽ ἀπὸ ἰδίας γνώμης, τὰ τῆς A πλάνης ἐλάλουν· λέγει ὁ Σωτήρ· ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ὡς ἐκεῖνοι. τὸ γὰρ ἀφ᾽ ἑαυτοῦ λαλεῖν, τὸ ἔξω νόμου λαλεῖν ἐστιν. οὕτως οὖν δεῖ καὶ ἡμᾶς λαλεῖν. ὅταν ἴδῃς αἱρετικοὺς Ἀριστοτελικὰ κινοῦντας ἢ Πλατωνικὰ, εἰπὲ, ἡμεῖς ἀφ᾽ ἑαυτῶν οὐ λαλοῦμεν· ὅσα ἠκούσαμεν παρὰ Χριστοῦ, ταῦτα φθεγγόμεθα. καὶ πόθεν τοῦτο, ὅτι ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν, ψευδοπροφήτης ἐστὶν, ἢ τὸ λαλεῖν ἀφ᾽ ἑαυτοῦ ψευδοπρο„φήτην χαρακτηρίζει; λέγει ὁ προφήτης Ἰεζεκιήλ· Ζῶ ἐγὼ, λέγει B „Κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου, οὐκ „ἀπέστειλα αὐτούς, ἀφ᾽ ἑαυτῶν ἐλάλησαν, καὶ ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται. ἐπεὶ οὖν οἱ ψευδοπροφῆται ἀφ᾽ ἑαυτῶν ἐκήρυττον, ὁ Σωτὴρ ἀποδυόμενος τὴν ὑπόνοιαν, λέγει· ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ. πόθεν τοῦτο; ὅτι ὁ Σωτὴρ πλάνος ὑπενοήθη. τοῦτο πρῶτον στήσωμεν. „Ἐν τῇ ἑορτῇ τῆς σκηνοπηγίας ἐζήτουν οἱ ὄχλοι τὸν Ἰησοῦν λέγοντες, ποῦ „ἐστι; καὶ ἦν περὶ αὐτοῦ διαφωνία· ἄλλοι ἔλεγον, ἀγαθός ἐστιν· ἄλλοι C „ἔλεγον, οὔ· ἀλλὰ πλανᾷ τὸν ὄχλον. εἶδες πῶς πλάνος ὑπενοήθη; πάλιν μετὰ τὸν θάνατον τοῦ Σωτῆρος τὸν ἅγιον, λέγουσιν οἱ ἀρχι„ερεῖς τῷ Πιλάτῳ· οἴδαμεν, Κύριε, ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι „ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. ταῦτά μοι εἴρηται εἰς τὸ δεῖξαι, ὅτι πλάνος ἐνομίσθη. ἐπεὶ οὖν πλάνος ἐνομίζετο, λέγει, ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ᾽ ἀπὸ νόμου, ἀπὸ προφητῶν, ὅσα ἤκουσα παρὰ τοῦ πατρός· οὐ κατὰ τὴν θεότητα ἤκουσα παρὰ τοῦ πατρὸς, ἐν νόμῳ, ἐν D προφήταις. ἐκ προσώπου τῆς σαρκὸς λαλῶ εἰς ἔκλυσιν τῆς πλάνης. ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ᾽ ὅσα ἤκουσα παρὰ τοῦ πατρός. ὑμεῖς δὲ, ὅσα ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου, λαλεῖτε. καὶ ἵνα δείξῃ ὅτι ὁ διάβολος, ὅταν λαλῇ ἔν τισι, ψεῦδος ἐργάζεται, λέγει ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. ἐγὼ ἐξ ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ᾽ ἀπὸ προφητῶν, καὶ ἀπὸ νόμου. τοῦτο γάρ ἐστιν ἀλήθεια. ὥσπερ οὖν ὁ Σωτὴρ ἐκλύων τὴν ὑπόνοιαν καὶ ἀποδυόμενος τὴν κακὴν ὑποψίαν, λέγει, E ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ ὡς οἱ πλάνοι· οὕτω καὶ περὶ τοῦ πνεύματος. λοιπὸν δὲ τὸν νοῦν, παρακαλῶ, ἔχωμεν. κατὰ μὲν οὖν τὸ μέρος Σωτῆρος φαίνονται πολλοὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται· καὶ ἔλεγεν ὁ δεῖνα, ἐγώ εἰμι, καὶ ἄλλος, ἐγώ εἰμι, καθὼς γέγραπται, ὅτι πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστὸς, καὶ πολλοὺς πλανήσουσιν, ἀλλὰ μὴ πλανᾶσθε. ὥσπερ οὖν ὑπενοήθη τὸ ὄνομα τοῦ Χριστοῦ εἰς τοὺς πλάνους, οὕτως ἔμελλον πολλοὶ σχηματίζεσθαι ἔχειν πνεῦμα ἅγιον ὃ μὴ εἶχον, καὶ λαλεῖν. ἀλλ᾽ ἐκεῖ μὲν ὁ ἄνθρωπος ἐφαίνετο, καὶ ἔλεγεν, ἐγώ εἰμι ὁ Χριστός· ἐνταῦθα δὲ οὐκ ἐτόλμα εἰπεῖν τις· ἐγώ εἰμι τὸ πνεῦμα τὸ ἅγιον· οὐ γὰρ ἦλθεν ἐν σώματι. ἀλλ᾽

A ſanctus, qui vim ſuppeditat, otioſa ſunt omnia. Quare igitur de Spiritu ſancto dixit, A meipſo non loquor? Quaſi agoniſtæ eſſemus, ſubvertemus contradicentem, ſufficientibus conſequenter argumentis perſuaſuri, his & illis, ſiquidem parêre voluerint. Non enim omninò neceſſitate eos adducemus, ſed dico, ſi fortè quidam perſuadeantur: & ne admireris ſi ego homo dicam hoc. Dicit Deus Ezechieli: *Abi ad domum Iſrael*, & dic eis ſi fortè credant. Dicimus hæc, ſi fortè audiant, ſi fortè credant, ſi fortè aſſentiantur. Quòd ſi hæc nobis dicentiB bus non aſſentiantur, innoxii ſumus nos. Sic Paulus docebat, & poſtquã docuit, dicit: *Teſtificor omnes quod mundus ſum à ſanguine omniũ veſtrûm. Non enim reverſus ſum quominus annuntiarẽ vobis viam Dei.* Et nunc dico, quare Salvator dixit, A meipſo non loquor: & de Spiritu ſancto: A ſeipſo non loquetur? Oro charitatem veſtram, hic animadvertamus. Cùm unus ſit Chriſtus, multi prodierunt falſi Chriſti, ſicut Salvator dixit: Multi venient in nomine meo falſi Chriſti, & falſi Prophetæ: C cùm unus ſit Chriſtus, & promiſſus per Prophetas, quod veniat: ante adventum ejus apparuerunt quidam impoſtores, dicentes: Nos ſumus. Theudas dixit: Ego ſum. Judas Galilæus dixit: Ego ſum & ſeducebant multos. Salvator venit, & dixit: *Quotquot venerunt ante me, fures fuerunt & latrones.* Quoniam igitur primi eũ impoſtores eſſent, Chriſti nomẽ induentes populo perſuadere conati ſunt non ſimul in lucem prodeuntes, ſed ſinguli ſeorſim, unus quidem nunc apparens, alius autem alio tempore, dicit D Chriſtus: *Quotquot venerũt ante me fures fuerunt & latrones, ſed non audiverunt eos oves. Oves meæ meam vocem audiunt, & cognoſcunt vocem meam, & ſequuntur me.* Venerunt igitur illi falſi Chriſti, & non docuerunt ex lege & Prophetis, ſed ex ſeipſis locuti ſunt, & ex propria ſententia. Salvator venit, & non diſceſſit à lege, non diſceſſit à Prophetis, ſed dicebat quaſi in exemplo: *Bene dixit Eſaias*: & iterum: *Nonne ſcriptum eſt in lege veſtra?* Et cùm accederet ad eum diabolus, dicit ei: ſcriptum E eſt quòd *Dominum Deum tuum adorabis, & illi ſoli ſervies.* Venit igitur Chriſtus ſecundum carnem: non locutus eſt ex ſeipſo, ſed ex Prophetis. Igitur quia illi qui ante Chriſtum venerunt, in nomine Chriſti non ſunt locuti, neque ex lege, neque ex Prophetis, ſed ex propria ſententia, errores locuti ſunt: dicit Salvator. Ego à meipſo non loquor, ſicut illi. A ſeipſo enim loqui, extra legem loqui eſt. Sic igitur oportet etiam nos loqui. Cùm videris hæreticos Ariſtotelica vel Platonica moveA re: dic, Nos à nobis ipſis non loquimur, quæcunque audivimus à Chriſto, hæc loquimur. Et unde hoc, quòd is qui à ſeipſo loquitur, pſeudopropheta eſt, vel loqui à ſeipſo pſeudoprophetam nobis indicat: Dicit Ezechiel Propheta: *Vivo ego dicit Dominus ad Prophetas, qui ſeducunt populum meum, non miſi eos: à ſeipſis locuti ſunt, & ex corde ſuo loquuntur.* Proinde quia pſeudoprophetæ à ſeipſis prædicaverunt, Salvator à ſuſpicione hac ſe purgans dicit: Ego à meipſo non loquor. Unde hoc quòd SalB vator habitus eſt deceptor? Hoc primum confirmabimus. *In feſto ſcenopegiæ quærebant turbæ Jeſum, dicentes: Ubi eſt? Et erat de eo diverſa vox, alii dicebant, bonus eſt: alii dicebant, Non, ſed ſeducit populum.* Vidiſti quomodo habitus eſt ſeductor? Item poſt ſanctam Salvatoris mortem dicunt Pontifices Pilato: *Scimus, Domine, quòd dixit ſeductor ille adhuc vivens, Poſt tres dies reſurgam.* Hæc ideo dixi, ut demonſtrarem eum habitum fuiſſe C ſeductorem. Quia igitur ſeductor habitus eſt, dicit: *Ego à meipſo non loquor*, ſed de lege, de Prophetis, quæcunque audivi de Patre, non ſecundũ divinitatem audivi à Patre, & in Prophetis. Ex perſona carnis loquitur, ut ſolveret ſuſpicionem erroris. Ego à meipſo non loquor, ſed quæcunque audivi à Patre: Vos autem quæcunque audiviſtis à patre veſtro diabolo, loquimini. Et ut monſtret quòd diabolus quando in aliquibus loquitur, mendacium operatur, dicit: *Quando loquitur mendacium, ex propriis D loquitur.* Ego ex meipſo non loquor, ſed ex Prophetis & lege: hoc enim eſt veritas. Sicut igitur Salvator purgans ſe à ſuſpicione, dicit: Ego à meipſo non loquor, ſicut deceptores, ſic & de Spiritu ſancto. Cæterùm obſecro hic animadvertamus. Juxta dictum Salvatoris: multi apparẽt pſeudprophetæ & pſeudochriſti, & dicent quidam, ego ſum: & alius, ego ſum, ſicut ſcriptum eſt, quòd multi venient in nomine meo, dicentes: Ego ſum Chriſtus, & multos ſeducẽt, ſed ne ſeducamini. Sicut igitur aliqui ſuE ſpicabantur ſeductores eſſe Chriſtos, ſic & venturi multi, qui & ficturi ſe habere Spiritum ſanctum quem non habebant, & loqui: ſed illic quidem homo apparebat, & dicebat, Ego ſum Chriſtus: hic autem non audebat aliquis dicere, Ego ſum Spiritus ſanctus. Non enim corporeus factus eſt, ſed

Ier. Αἰγυπτ. — Ezech. 2, 7. — Act. 20, 26. — Matt. 24. 24. & Marc. 13, 22. — Act. 5, 36. — Jo. 10, 8. — Ibid. — Deut. 17, 6. — Ibid. 19, 16. — Matt. 4, 10. — Jo. 14, 10. — Ezec. 13, 3. — Jo. 7, 12. — Matt. 27, 63 — Jo. 14, 10. — Ib. 8, 44. — Matt. 24, 24 Marc. 13, 22. — Luc. 21, 8.

invi-

inviſibilis advenit. Venit ad Petrum, venit ad Paulum, & erat ex
conſeſſo quòd ſpiritu Domini præditi erant. Prodit Simon, & di-
cit: Spiritum habeo. A facie nullus videt quis habeat, vel quis nõ
habeat: vel quis habeat ſpiritum im̃undum, vel quis habeat Spi-
ritum ſanctum. Nam ſi viſibilis eſſet, non decepiſſet; nam agni-
tione fuiſſet redargutus. Venit Montanus, dicens: Spiritum
ſanctum habeo. Venit Manichæus, dicens: Spiritum ſanctum
habeo: non fuit autem manifeſtum. Ut igitur ne plures nomi-
ne ſeducerentur, quoniam inviſibiliter donum venturum
Joan.16,13. erat, dicit: *Quando venerit Paracletus Spiritus veritatis, qui à
Patre procedit, ille vos memores faciet verborum meorum, & in-
ducet vos in omnem veritatem: non enim à ſemetipſo loquetur.*
Nam ſi quem videritis dicentem, Spiritum ſanctum habeo:
& non loquentem Evangelica, ſed propria, is à ſeipſo loquitur,
& non eſt Spiritus ſanctus in ipſo. Sicut enim dicit de ſeipſo: E-
go à meipſo non loquor: ut ſolvat ſuſpicionem deceptionis,
immò errorem à veritate ſeparat: Ita, ut oſtendat, quinam ha-
beant Spiritum ſanctum, & qui non habeant, ſed ſimulent ſe ha-
bere: dicit, A ſeipſo non loquetur. A me audiſtis quid tradidi.
Quando veniet inviſibilis Spiritus, mea loquetur. Si videritis a-
liquem Evangelica repetentem, profectò Spiritum ſanctum ha-
bet. Veniet enim Spiritus ſanctus, ut in memoriam vobis revo-
cet ea quæ docui. Si quis igitur eorum, qui dicuntur habere
Spiritum ſanctum, dicat aliquid à ſeipſo, & non ex Evangelis,
non credite, meam doctrinam ſequamini. A ſeipſo non loque-
tur, ſed propter hoc factus eſt adventus, qui indicet quis accepe-
rit Spiritum, & quis non acceperit. Si quis ſequitur dicta Chri-
1.Cor.12,3 ſti Spiritum S. habet, *Nullus enim poteſt dicere Dominum Jeſum
Chriſtum, niſi in Spiritu ſancto.* Venit Manes? verè *μανεὶς*, hoc
eſt inſaniens, alludens ſuæ ſeductioni nomen habens: & dicit:
Ego ſum Paracletus, quem promiſit Salvator Apoſtolis: Ego
ſum Filius Dei. Ubi audiſti in Evangelio Jeſu Chriſti, quòd ſol
& luna opifices ſunt? Ubi dixit Chriſtus quòd hæc hauriant a-
nimas, & reducant eas? Ubi legiſti hæc? Ex eo quod non dicat ea
quæ ſcripta ſunt, ſed à ſeipſo loquitur: manifeſtum eſt quòd nõ
habet Spiritum ſanctum. A ſeipſo non loquetur, ſed quæcunq;
audierit, annunciabit vobis: hoc eſt, quæ dixi, ea con-
firmabit. Et vide miraculum. Quemadmodum Salvator venit, &
factus eſt impletio legis & Prophetarum: impletio Evangelii eſt
Spiritus ſanctus. Chriſtus venit & implevit quæ à Patre in lege
Rom.10,4. & Prophetis ſunt dicta: propter quod dicit Paulus: *Impletio
legis Chriſtus*: Spiritus ſanctus venit, & implevit Evangelica.
Quæcunque ſunt in lege, Chriſtus implevit: quæcunque ſunt in
doctrina Chriſti, Spiritus implet: non quòd imperfectus ſit Pa-
ter, ſed apparuit Chriſtus confirmans quæ ſunt Patris: ſic appa-
ruit Spiritus ſanctus, confirmans quæ ſunt Filii. Unde hoc? Dicit
Jo.16,12. Salvator diſcipulis: *Multa habeo dicere vobis, ſed non poteſtis por-
tare modo: quando autem venerit Spiritus ſanctus, inducet vos in
omnem veritatem, quia à ſeipſo non loquetur*: Nam mea implet
Filius implet ea quæ ſunt Patris, & à ſeipſo non loquitur, Spiritus
ſanctus implet quæ ſunt Filii, & à ſeipſo non loquitur. Si autem
audieris dicentem, Mittam vobis Spiritum ſanctum, non ſecun-
dùm Deitatem accipias, Deus enim non mittitur. Nomina ſunt
hæc operationem ſignificantia, nomina occulta ſimul &
lucida: occulta ſi dignitatem ſpectes, lucida ſi contemplationẽ,
eò quòd omnis qui dimittit, in illa mittit loca, in quibus non eſt.
Finge quòd ego loquar alicui in hac ſede. Nõ poſſum dicere cui-
piam, Veni mittam te huc: hoc non eſt mittere ſed colloca-
Hier.23,24 re vel adſtituere. Quòd ſi Deus ubique eſt (*Cœlum enim*, inquit,
Pſ.138,7. *& terram ego impleo, dicit Dominus*) quò mittit qui ubique eſt? *Si
aſcendero in cœlum, tu illic es: ſi deſcendero in infernum, ades: ſi
ſumpſero pennas meas diluculo, & habitavero in extremis maris: et-
enim illuc manus tua deducet me.* Quorſum igitur Deus mittet?
An fortè quod ipſe quidem ubique, is autem qui mittitur, non u-
bique? Miſit Deus Filium ſuum in mundũ: num ut non præſen-
tem in mundo? Proptereàne venit in mundum quia antea nõ fu-
Joan.1,3. erat in mundo? Quomodo igitur Joannes Evangeliſta dicit *O-
mnia per ipſum facta ſunt: In mundo erat, & mundus per ipſum fa-
ctus eſt*? Quomodo igitur iterũ in mundum miſſus eſt? Num miſ-
ſus eſt, qui miſſus: & manſit, qui miſit ſuprà, & qui miſſus eſt infrà?
Ibid.8,29. quomodo dicebat, *Et qui miſit me, mecũ eſt*? Obſecro diligenter
attendas, ſecurè ſerva ſermonem. Poteſt enim dicere hæreticus:
Mecũ eſt, mihi eſt auxilio, ſicut & dico, Deus mecũ eſt. Non dixit
Ib.14,10. ſimpliciter: ſed quid? *Pater in me manens.* Si cũ ipſo erat, & in ipſo
manſit, quomodo ille miſit, vel quomodo hic miſſus eſt. Sive enim
venerunt, duo venerũt, & nullus eſt miſſus: aut rurſus, duo man-
ſerũt, manſit pater ſuprà qui miſit, & qui miſſus eſt venit deorſũ,
quomodo dicit Filius: Pater mecum eſt: Si ſuprà manſit qui miſit,

A ἀοράτως ἐπεδήμει. ἦλθεν ἐπὶ Πέτρον, ἦλθεν ἐπὶ Παῦλον, καὶ ὡμολογημένον, ὅτι πνεῦμα Κυρίου εἶχον. ἀνέκυψε Σίμων καὶ λέγει, πνεῦμα ἔχω. ἀπὸ τῆς ὄψεως οὐδεὶς οἶδε, τίς οὐκ ἔχει, ἢ τίς ἔχει πνεῦμα ἀκάθαρτον, ἢ τίς ἔχει πνεῦμα ἅγιον. εἰ μὲν γὰρ ὁρατὸς ἦν, οὐκ ἂν ἐπλάνησεν· ἀπὸ γὰρ τῆς διαγνώσεως εἶχε τὸν ἔλεγχον. ἦλθε Μοντανὸς λέγων, πνεῦμα ἅγιον ἔχω· ἦλθε Μανιχαῖος λέγων, πνεῦμα ἅγιον ἔχω· οὐκ ἦν δὲ δῆλον. ἵνα οὖν μὴ πλανῶνται τῷ ὀνόματι,
B ἐπειδὴ ἀοράτως ἔμελλε τὸ χάρισμα ἔρχεσθαι, λέγει· Ὅταν ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος ὑμᾶς ἀναμνήσει τὰ ῥήματά μου, καὶ ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν τὴν ἀλήθειαν. οὐ γὰρ ἀφ᾽ ἑαυτοῦ λαλήσει. ἐὰν ἴδητέ τινα λέγοντα, πνεῦμα ἅγιον ἔχω, καὶ μὴ λαλοῦντα τὰ εὐαγγελικὰ, ἀλλὰ τὰ ἴδια, ἀφ᾽ ἑαυτοῦ λαλεῖ, καὶ οὐκ ἔστι πνεῦμα ἅγιον ἐν αὐτῷ. ὥσπερ γὰρ λέγει περὶ ἑαυτοῦ, ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ἵνα
C ἐκλύσῃ τὴν ὑπόνοιαν τῆς πλάνης· μᾶλλον δὲ τὴν πλάνην ἀπὸ τῆς ἀληθείας ἵνα διέλῃ, καὶ δείξῃ τίνες ἔχουσι πνεῦμα ἅγιον, τίνες οὐκ ἔχουσιν, ἀλλὰ προσποιοῦνται ἔχειν, λέγει, ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει. παρ᾽ ἐμοῦ ἠκούσατε, τί παρέδωκα. ὅταν ἔλθῃ τὸ ἀόρατον πνεῦμα, τὰ ἐμὰ λαλήσει· ἐὰν ἴδητέ τινα τὰ τοῦ εὐαγγελίου ἐπιτηροῦντα, οὗτος πνεῦμα ἔχει ἅγιον. ἔρχεται γὰρ τὸ πνεῦμα ἀναμνῆσαι ὑμᾶς, ἃ ἐδίδαξα· ἐάν τις οὖν τῶν ὀνομαζόντων ἔχειν πνεῦμα, λέγῃ τι ἀφ᾽ ἑαυτοῦ, καὶ μὴ ἀπὸ τοῦ εὐαγγελίου, μὴ πιστεύσητε· τῇ ἐμῇ διδασκαλίᾳ
D στοιχήσατε. ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει. ἀλλ᾽ ἀντὶ τούτου ἡ ἐπιφοίτησις ἡ γινομένη δείκνυσι, τίς ἔλαβε πνεῦμα ἅγιον, τίς οὐκ ἔλαβεν. ὁ ἑπόμενος τοῖς ῥήμασι τοῦ Χριστοῦ, πνεῦμα ἅγιον ἔχει. οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. ἦλθε Μάνης, ὁ ἀληθῶς μανεὶς, ὁ φερώνυμος τῇ πλάνῃ τὸ ὄνομα ἔχων· καὶ λέγει· ἐγώ εἰμι ὁ παράκλητος, ὃν ἐπηγγείλατο ὁ Σωτὴρ τοῖς ἀποστόλοις· ἐγώ εἰμι ὁ υἱὸς τοῦ Θεοῦ. ποῦ ἤκουσας ἐν τῷ εὐαγγελίῳ Ἰησοῦ Χριστοῦ, ὅτι
E ἥλιος καὶ ἡ σελήνη δημιουργοί εἰσι; ποῦ εἶπεν ὁ Χριστὸς, ὅτι ταῦτα ἀντλοῦσι τὰς ψυχὰς, καὶ ἀνάγουσιν αὐτάς; ποῦ ἀνέγνωκας τοῦτο; ἐκ τοῦ μὴ λέγειν τὰ γεγραμμένα, ἀλλὰ τὰ ἀφ᾽ ἑαυτοῦ λαλεῖν, δῆλόν ἐστιν ὅτι οὐκ ἔχει πνεῦμα ἅγιον. τὸ πνεῦμα τὸ ἅγιον ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει, ἀλλ᾽ ὅσα ἀκούσει, ἀναγγελεῖ ὑμῖν. ἀντὶ τοῦ, ἃ ἐλάλησα, ταῦτα βεβαιώσει. καὶ ἴδε τὸ θαυμαστόν. ὥσπερ ὁ Σωτὴρ ἐλθὼν ἐγένετο πλήρωμα νόμου καὶ προφητῶν, οὕτω πλήρωμα τοῦ εὐαγ-
A γελίου τὸ πνεῦμα. ὁ Χριστὸς ἐλθὼν, ἐβεβαίωσε τὰ παρὰ τοῦ πατρὸς, τὰ ἐν τῷ νόμῳ εἰρημένα καὶ προφήταις. διὰ τοῦτο λέγει Παῦλος, πλήρωμα νόμου Χριστός. τὸ πνεῦμα τὸ ἅγιον ἐλθὸν ἐπλήρωσε τὰ τοῦ εὐαγγελίου. ὅσα ἐστὶν ἐν τῷ νόμῳ, ὁ Χριστὸς πληροῖ. ὅσα ἐστὶν ἐν τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, τὸ πνεῦμα πληροῖ· οὐχ ὡς ἀτελοῦς ὄντος τοῦ πατρὸς, ἀλλ᾽ ὡς ἐφάνη Χριστὸς βεβαιῶν τὰ τοῦ πατρὸς. οὕτως ἐφάνη τὸ πνεῦμα ἅγιον βεβαιοῦν τὰ τοῦ υἱοῦ. πόθεν τοῦτο; λέγει ὁ Σωτὴρ τοῖς μα-
B θηταῖς· πολλὰ ἔχω λαλεῖν ὑμῖν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, ὅτι ἀφ᾽ ἑαυτοῦ οὐ λαλήσει. τὰ γὰρ ἐμὰ πληροῖ. ἀναπληροῖ ὁ υἱὸς τὰ τοῦ πατρὸς, καὶ ἀφ᾽ ἑαυτοῦ οὐ λαλεῖ. ἀναπληροῖ τὸ πνεῦμα τὰ τοῦ υἱοῦ, καὶ ἀφ᾽ ἑαυτοῦ οὐ λαλεῖ. ἐὰν δὲ ἀκούσῃς λέγοντος, ἀποστελῶ ὑμῖν τὸ πνεῦμα τὸ ἅγιον, μὴ κατὰ τὴν θεότητα ἐκλάβῃς [Θεὸς γὰρ οὐκ ἀποστέλλεται] ὀνόματά ἐστι ταῦτα τὴν ἐνέργειαν σημαίνοντα, ὀνόματα
C κρυπτόμενα καὶ λάμποντα· κρυπτόμενα τῇ ἀξίᾳ, λάμποντα τῇ θεωρίᾳ. οἷον, πᾶς ἀποστέλλων εἰς ἐκείνους ἀποστέλλει τοὺς τόπους, ἐν οἷς μὴ πάρεστιν. ὑπόθου ἐμὲ εἶναι τὸν λαλοῦντα, ἐν τῷ καθίσματι τούτῳ· οὐ δύναμαι εἰπεῖν τινι, δεῦρο, ἀποστελῶ σε ὧδε. τοῦτο οὐκ ἔστι πέμψαι, ἀλλὰ συγκαθίσαι, ἢ παραστῆσαι. εἰ δὲ ὁ Θεὸς πανταχοῦ [τὸν οὐρανὸν γάρ, φησι, καὶ τὴν γῆν ἐγὼ πληρῶ] ποῦ οὖν πέμπει ὁ πανταχοῦ ὤν; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ
D εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ᾽ ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με. ποῦ οὖν ὁ Θεὸς ἀποστέλλει; ἀλλ᾽ ἆρα μὴ αὐτὸς μὲν πανταχοῦ, ὁ δὲ ἀποστελλόμενος οὐ πανταχοῦ; ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον· ἆρα ὡς μὴ παρόντα ἐν τῷ κόσμῳ; καὶ μὴν ὁ κόσμος ἐκ τοῦ υἱοῦ. διὰ τοῦτο οὖν ἦλθεν εἰς τὸν κόσμον, ὡς πρὸ τούτου μὴ ὢν ἐν τῷ κόσμῳ; πῶς οὖν Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει, πάντα δι᾽
E αὐτοῦ ἐγένετο; ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο; πῶς οὖν ἀπεστάλη εἰς τὸν κόσμον; πάλιν, εἰ ἀπεστάλη ὁ ἀποσταλεὶς, καὶ ἔμεινεν ὁ ἀποστείλας ἄνω, καὶ ὁ ἀποσταλεὶς κάτω, πῶς ἔλεγε, καὶ ὁ πέμψας με μετ᾽ ἐμοῦ ἐστι; παρακαλῶ, προσέχετε μετ᾽ ἀσφαλείας. ἀσφαλίσασθε τὸν λόγον· δύναται γὰρ εἰπεῖν ὁ αἱρετικὸς, μετ᾽ ἐμοῦ ἐστι, τῇ βοηθείᾳ, ὡς λέγω κἀγὼ, ὁ Θεὸς μετ᾽ ἐμοῦ ἐστιν· οὐκ εἶπεν ἁπλῶς, ἀλλὰ τί; Ὁ πατὴρ ὁ ἐν ἐμοὶ μένων. εἰ μετ᾽ αὐτοῦ ἦν, καὶ ἐν αὐτῷ ἔμεινε, πῶς ἐκεῖνος ἀπέστειλεν, ἢ πῶς οὗτος ἀπεστάλη; εἴτε γὰρ ἦλθον, οἱ δύο ἦλθον, καὶ οὐδεὶς ἀπεστάλη πάλιν, ἀλλ᾽ οἱ δύο ἔμειναν; εἰ ἔμεινεν ὁ πατὴρ ἄνω, πῶς λέγει ὁ υἱὸς, ὁ πατὴρ μετ᾽ ἐμοῦ ἐστι; εἰ ἄνω ἔμεινεν ὁ ἀποστείλας,

πῶς μετ' αὐτοῦ ἔχει ὁ ἀποσταλεὶς τὸν ἀποστείλαντα; Ἐγὼ γὰρ, εἶπεν, ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ μετ' ἐμοῦ ἐστι. πῶς οὖν ἀπεστάλη ὁ λέγων, ὁ πατὴρ ἐν ἐμοί ἐστι; πῶς δὲ πάλιν ἀπέστειλεν; ὅταν οὖν λέγῃ, πέμψω ὑμῖν τὸ πνεῦμα τὸ ἅγιον, τουτέστι, τὴν δωρεὰν τοῦ πνεύματος, καὶ ἵνα μάθητε ὅτι ἡ δωρεὰ πέμπεται, τὸ δὲ πνεῦμα οὐκ ἀποστέλλεται, " ὁ Σωτὴρ λέγει τοῖς ἀποστόλοις· Μένετε εἰς Ἱερουσαλὴμ, ἕως ἂν ἐν- " δύσησθε δύναμιν ἐξ ὕψους, καὶ λήψεσθε δύναμιν ἐπελθόντος " τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ἄλλη ἡ δύναμις ἡ χορηγουμένη, καὶ ἄλλο τὸ πνεῦμα τὸ χορηγοῦν. πάντα γὰρ ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. σὺ μὲν οὖν οὐ δύνῃ δεῖξαι πεμπόμενον τὸ πνεῦμα τὸ ἅγιον ὑπὸ γυμνῆς τῆς θεότητος. ἐὰν δέ σοι δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, τί ποιεῖς; ἢ ἀρνῆσαι τὸν Χριστὸν, καὶ ἀπαλεῖψαι τὰς γραφὰς, ἢ δοῦλος ὢν τῶν γραφῶν ὑποτάττου ταῖς γραφαῖς. καὶ ποῦ, φησιν, εἴρηται τοῦτο; ἄκουε τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου Ἠσαΐου τοῦ κήρυκος τῆς εὐσεβείας. ἄκουέ μου, φησιν, Ἰακὼβ " καὶ Ἰσραὴλ, ὃν ἐγὼ καλῶ· ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, " καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστι. πρόσεχε. λοιπὸν γὰρ ἐνταῦθα τὸ ζητούμενον. ἀκριβῶς ὁ εἰπὼν ταῦτα; ὁ πατὴρ, ἢ ὁ υἱός; ὅρα πῶς ἐν μοναρχίας τύπῳ τὴν τριάδα κηρύττει συγκεκαλυμμένως. ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστι. τίς ὁ ταῦτα λέγων; ὁ δημιουργός. ἐπάγει γὰρ, ἐγὼ τῇ χειρί μου ἐθεμελίωσα τὴν γῆν [βλέπε πῶς ὁ δημιουργὸς λαλεῖ] καὶ τὸ πνεῦμά μου ἐστερέωσε τὸν οὐρανόν· ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην· ἐγὼ ἤγειρα μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοί μου εὐθεῖαι. εἰπὼν ἑαυτὸν δημιουργὸν καὶ ποιητὴν οὐρανοῦ καὶ γῆς, λέγει λοιπὸν ταῦτα· οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ ἐλάλησα ὑμῖν ταῦτα, οὐδὲ ἐν τόπῳ σκοτεινῷ. εἶπον, ὅτε ἐθεμελίωσα τὴν γῆν, καὶ ἐποίησα τὸν οὐρανόν· ὅτε ἐγίνοντο, ἐκεῖ ἤμην· καὶ νῦν, Κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. σὲ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸν εἰπόντα τοῖς ἄστροις, Κύριος ἀπέστειλε καὶ τὸ πνεῦμα αὐτοῦ· ἐγέννησε κατὰ τὴν θεότητα, ἀπέστειλε κατὰ τὴν σάρκα. ὁ ποιητὴς οὐρανοῦ λέγει, Κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. τὴν ἀποστολὴν ὁ αἱρετικὸς τοῦ πνεύματος εἰς ὕβριν λαμβάνει. ἀπέστειλεν ὁ πατὴρ, οὐ μεταστὰς, οὐ μεταστήσας· ἀπέστειλεν ὁ υἱὸς τὸ πνεῦμα, οὐ διαιρῶν, οὐ διαιρεθείς. διὰ τοῦτο ἡ γραφὴ, Ὁ Θεὸς, φησιν, ἐξέχεε τὸ πνεῦμα αὐτοῦ, τουτέστι τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. θεότης οὐκ ἐκχεῖται, ἀλλ' ἡ δωρεά. διὰ τοῦτο, ἵνα δειχθῇ ὅτι τὸ ἐκχεόμενον οὐ πνεῦμα ἅγιον, ἀλλὰ πνεύματος θείου χάρις, λέγει Δαβὶδ τῷ Χριστῷ. ἐξεχύθη χάρις ἐν χείλεσί σου· χάρις ἐκχεῖται, οὐχ ὁ δωρούμενος τὴν χάριν. εἰ οὖν ὁμοτιμία κηρύττεται, καὶ τὸ ἀφ' ἑαυτοῦ σαφηνίσαι, καὶ τὸ ἀπὸ τοῦ ἐμοῦ λήψεται, ὡς ἀπὸ δεξαμενῆς ἑρμηνεύεται, μὴ ἐχέτωσαν χώραν ἢ παρείσδυσιν ἀσεβείας οἱ αἱρετικοί. τίμησον τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔλαβες. εἶπον πολλάκις, ὅτι ἀνταπόδοσιν ἔσχες· ἔλαβε Χριστὸς παρά σου τὸ πλάσμα τὸ σὸν, ἔδωκέ σοι αὐτὸς τὸ πνεῦμα τὸ ἑαυτοῦ. ἐτίμησε τὸ πλάσμα τὸ σὸν, ἐν δεξιᾷ τοῦ πατρὸς καθίσας· καὶ σὺ τὸ πνεῦμα αὐτοῦ ἐν τάξει δούλου ἔστησας; ταῦτα ὁ σωτήριος νόμος ὑπαγορεύει, προφῆται φθέγγονται, ἀπόστολοι θεσπίζουσι, μάρτυρες ὁμολογοῦσιν, εὐσεβεῖς πιστεύουσιν, ἡ ἐκκλησία συντίθεται, ἡ ἀγνωμοσύνη μάχεται, ὁ πιστὸς πεπληροφόρηται, ὁ Χριστὸς δοξάζεται. αὐτῷ γάρ ἐστιν ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, ἅμα τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

quomodo ſecum habet mittentem miſſus? *Ego enim*, dixit *in patre, & pater mecum eſt.* Quomodo igitur miſſus eſt, qui dicit: pater in me eſt? Et quomodo iterum miſit? Igitur cùm dicit, Mitto vobis ſpiritum ſanctum: donum dicit ſancti Spiritus, Et ut diſcatis quòd donum mittitur, Spiritus autem non mittitur, Salvator dicit Apoſtolis: *Manete in Hieruſalem, donec induamini virtute ex alto, & accipiatis virtutem ſupervenientis Spiritus ſancti in vos.* Alia eſt virtus quæ conceditur, & alius eſt ſpiritus qui concedit. *Omnia enim operatur unus & idem Spiritus, dividens ſingulis prout vult.* Igitur tu non potes oſtendere mitti ſpiritum ſanctum è pura Deitate. Si autem oſtendam tibi factorem cœli & terræ mitti à ſpiritu ſancto, quid facies? Vel nega Chriſtum, vel expunge ſcripturas, vel ſervus ſcripturarum obedi ſcripturis. Et ubi inquit, dictum eſt hoc? Audi Deum dicentem per Prophetam Eſaiam præconem pietatis, Audi me, dicit, Jacob & Iſraël, quid ego loquar: *Ego Deus primus, & ego poſt hæc, & præter me Deus non eſt.* Attende. Reſtat enim hic quod quæritur. Quis igitur, qui dicit hæc, pater vel filius? Vide quomodo in figura monarchiæ Trinitatem rectè prædicat. Ego Deus primus, & ego poſt hæc, & præter me non eſt Deus. Quis eſt qui hæc dicit? mundi conditor. Subdit enim, *ego mea manu fundavi terram.* Vide quomodo opifex loquitur. Et ſpiritus meus firmavit cœlum. Ego omnibus ſtellis mandavi, ego excitavi eum juſtitia regem, & omnes viæ meæ rectæ. Dixit ſeipſum opificem & factorem cœli ac terræ. Dicit poſtea hæc. Non ab initio in occulto locutus ſum vobis hæc, neque in loco tenebroſo. Dixit, Fundavi terram, & feci cœlum: quando facta ſunt illic aderam: Et nunc Dominus miſit me & ſpiritus ejus. Te, qui feciſti cœlum & terram, qui dixiſti aſtris, Dominus miſit & ſpiritus ejus, genuit ſecundùm Deitatem, miſit ſecundùm carnem. Factor cœli & terræ dicit: Dominus miſit me & ſpiritus ejus. Miſſionem Spiritus hæreticus in contumeliam capit. Miſit pater qui non migrat, nec transfertur loco. Miſit filius qui non diſcedere facit, & à quo non ſeceditur. Et idcirco ſcriptura dicit: Deus effudit Spiritum ſuum, hoc eſt donum Spiritus ſancti. Divinitas non effuſa eſt, ſed donum: propter hoc ut demonſtraretur, quod hoc quod effunditur, non ſit Spiritus ſanctus, ſed ſpiritus Dei gratia, dicit David Chriſto: *Effuſa eſt gratia in labiis tuis.* Gratia effunditur, non qui donat gratiam. Si igitur æqualis honor prædicatur, & quod à ſeipſo manifeſtatus eſt, & quòd de meo accipiet, quaſi à fonte, interpretari quis poteſt; ne habeant locum vel ſuffugium impietatis hæretici. Venerare ſpiritum ſanctum, quem accepiſti. Dic ſæpe quòd retributionem acceperis. Aſſum, ſit à te Chriſtus figmentum tuum; dedit tibi ipſe ſpiritum ſuum. Honore proſecutus eſt creaturam tuam, ipſa ad dexteram patris collocata: & tu ſpiritum ſanctum ejus in ordine ſervitutis conſtituiſti. Hæc ſalutaris lex ſuggerit, Prophetæ loquuntur, Apoſtoli divinis oraculis annunciant, martyres confitentur, pii credunt, Eccleſia conſentit, inſcitia oppugnat, fidelis pluribus argumentis perſuaſum habet: ſic & Chriſtus glorificatur. Ejus enim eſt gloria, & honor, & adoratio ſimul cum patre, & ſanctiſſimo & bono & vivifico ſpiritu, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

Ibidem. — Luc. 24. 49 — 1. Cor. 12, 11. — Eſ. 48, 12. — Ibidem. — Ibidem. — Ibidem. — Pſ. 44. 2.

Εἰς τὴν Πεντηκοστήν.

Οὐρανὸς ἡμῖν γέγονε σήμερον ἡ γῆ, οὐκ ἀστέρων ἐξ οὐρανοῦ εἰς γῆν καταβάντων, ἀλλ' ἀποστόλων ὑπὲρ τοὺς οὐρανοὺς ἀναβάντων, ἐπειδὴ περιεξεχύθη ἡ χάρις τοῦ πνεύματος. οὐρανὸν τὴν οἰκουμένην * ἐποίησεν, οὐ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τὴν προαίρεσιν διορθωσάμενος. εὗρε τελώνην, καὶ εὐαγγελιστὴν κατεσκεύασεν· εὗρε βλάσφημον, καὶ ἐποίησεν ἀπόστολον· εὗρε λῃστὴν, καὶ εἰς παράδεισον εἰσήγαγεν· εὗρε πόρνην, καὶ παρθένων ἐποίησε σεμνοτέραν· εὗρε μάγους καὶ εὐαγγελιστὰς εἰργάσατο· ἐξέβαλε τὴν κακίαν, καὶ ἐπανήγαγε τὴν ἀρετήν· τὴν τοῦ Θεοῦ χάριν ἐκόμισεν. οὐρανὸς γέγονεν ἡ γῆ, τί γὰρ τοιοῦτον ἀστέρες, οἷον ἀπόστολοι; ἀστέρες ἐν οὐρανῷ, ἀπόστολοι ὑ- " πὲρ τὸν οὐρανόν. τὰ ἄνω γὰρ * φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ " Θεοῦ καθήμενος. ἀστέρες ἀπὸ πυρὸς αἰσθητοῦ, ἀπόστολοι ἀπὸ πυρὸς πνευματικοῦ. ἀστέρες ἐν νυκτὶ φαίνουσιν, ἐν δὲ ἡμέρᾳ κρύπτονται· ἀπόστολοι δὲ ἐν νυκτὶ καὶ ἡμέρᾳ τὰς ἑαυτῶν ἀκτῖνας λάμπουσιν. ἀστέρες ἡλίου φαίνοντος οὐ φαίνουσιν· ἀπόστολοι δὲ τοῦ ἡλίου δικαιοσύνης λάμποντος, τὰς ἑαυτῶν λαμπηδόνας ἀπαστράπτουσιν. ἀστέρες ἐν τῇ ἀναστάσει ὡς φύλλα πίπτουσιν·

S. Joannis Chryſoſtomi Sermo de Penteceſte.

Incerto Interprete.

Hodie nobis terra facta eſt cœlum, non ſtellis de cœlo in terram deſcendentibus, ſed Apoſtolis ſupra cœlos aſcendentibus, quia effuſa eſt copioſa gratia ſpiritus ſancti, & univerſum orbem reddidit cœlum Chriſtus, non immutans naturam, ſed voluntatem emendans. Invenit namque publicanum, & Evangeliſtam effecit: invenit blaſphemum, & Apoſtolum reddidit: invenit latronem & in paradiſum induxit: invenit meretricem, & virginibus caſtiorem effecit: invenit magos, & Evangeliſtas reddidit: fugavit malitiam, & induxit virtutem: exterminavit ſervitutem, & induxit libertatem: conceſſit debitum, & intulit gratiam Dei. Ideò cœlum factum eſt terra, & hoc ſæpiùs dicens, non ceſſabo. Quid enim tales ſtellæ ſicut Apoſtoli? Stellæ in cœlo, Apoſtoli ſuper cœlos. *Quæ enim ſurſum ſunt ſapite, ubi Chriſtus eſt in dextera patris ſedens.* Stellæ de igne inſenſibili, Apoſtoli de igne intelligibili: ſtellæ noctu lucent, in die obſcurantur: Apoſtoli in die & in nocte ſuis radiis, hoc eſt virtutibus, effulgent. Stellæ orto Sole obſcurantur, Apoſtoli Sole juſtitiæ reſplendente, ſua claritate luceſcunt: ſtellæ in reſurrectione cadent, ſicut folia:

ἴσ. ἐποίησεν ὁ Χριστός, οὐ — ἴσ. τὰ ἄνω γὰρ φρονεῖτε, οὗ — Coloſſ. 3. 1.

Apoſtoli in reſurrectione rapientur in aëra nubibus. Et in illis qui- A
dem ſyderibus alius Heſperus, alius Lucifer appellatur: in Apoſtolis
autem nullus Heſperus eſt. omnes Luciferi, & ideò ſtellis majores
Apoſtoli. Et quicunque eos luminaria vocaverit mundi, non pec-
cabit: non ſolùm dum eſſent in corpore, ſed etiam magis nunc,
ἐν. ἔζων μόνον, ἀλλά. quando de hac vita migrârunt. Gratia enim & merita ſanctorum
non minuuntur morte, non retardantur die, non diſſolvuntur in ter-
ram, nec nocte obſcurantur, nec tenebris obumbrantur: & hoc res
ἐν. ἀμπελουργοὶ ἦσαν, & ipſa demonſtrat. Piſcatores quippe erant, & piſcatores mortui ſunt, B
et illorum retia operantur. Teſtatur multitudo eorum qui quoti-
die ſalvi fiunt. Vinitores erant, & illis abſentibus corpore vinea flo-
reſcit, & botros affert. Etenim vinitores erant & piſcatores, & tur-
res, & medici & duces, & doctores. Turres quidem quoniam cul-
men fidei ſuſtinent. Gubernatores quoniam orbem terrarum viam
rectam ad cœlum docuerunt: Paſtores, quoniam lupos abegerunt,
& oves conſervarunt. Aratores, quoniam ſpinas eradicaverunt.
Vinitores, quoniam labruſcas eradicaverunt, & ſemina pietatis C
ἐν. Θεῦ. plantaverunt. Medici, quoniam vulnera noſtra curaverunt. Et ut
βούλει ἰδεῖν diſcas me non incaſſum hæc dixiſſe, adducam Paulum in medium
αὐτὸν hæc omnia facientem. Vis eum plantatorem videre? audi: *Ego*
στρατηγόν; *plantavi, Apollo rigavit, ſed Deus incrementum dedit*. Vis eum ſtru-
ἐν. ctorem videre? *Sicut ſapiens*, inquit, *architectus fundamentum po-*
1. Cor. 3, 6. *ſui*. Vis eum dimicantem videre? *Sic pugno, non ut aërem cædens.*
Ibidem. Vis eum videre curſorem? *Ita ut ab Hieroſolyma & in circuitu uſq;*
1 Cor. 9. 26. *ad Illyricum, & uſque ad Hiſpanias, & in ultimas partes repleverim* D
Evangelium Chriſti. Vis eum videre athletam? *Non eſt nobis collu-*
Rom. 15, 19 *ctatio adverſus carnem & ſanguinem*. Vis eum videre ducem? *Aſ-*
Epheſ. 6, 12. *ſumite arma Dei, & induite loricam fidei*, & galeam ſalutis & gla-
Ibidem. dium ſpiritus ſancti. Vis eum videre certantem? *Certamen bonum*
2. Tim. 4. 7. *certavi, fidem ſervavi*. Vis videre coronatum? *De cætero repoſita*
eſt mihi corona juſtitiæ. Et cùm eſſet unus, omnia fiebat, Dominum
ſuum imitans: etenim cùm ſit divinitas unius ſubſtantiæ, & immu-
tabilis, pro noſtra ſalute omnibus omnia fit. Tu palmes factus es, & E
Joan. 15, 1. ipſe tibi vitis: ſicut ipſe dicit: *Ego ſum vitis, vos autem palmites*. Pro-
Ibid. 14, 6 movere greſſum voluiſti? factus eſt tibi via: dicens: *Ego ſum via:*
per me ſi quis intraverit, & exierit, paſcua inveniet. Ovis factus es?
Ibid. 10, 9. ille tibi factus eſt paſtor. *Ego ſum paſtor bonus: paſtor namque bo-*
nus ponit animam ſuam pro ovibus. Peccator effectus es? factus eſt
Joan 1, 29. tibi agnus: *Ecce agnus Dei qui tollit peccatum mundi*. Manduca-
39. re voluiſti? factus eſt tibi menſa. Bibere voluiſti? factus eſt tibi po-
Ibidem 6, culum. Qui manducat carnem meam, & bibit ſanguinem meum, A
56. in me manet, & ego in eo. Veſtiri voluiſti? factus eſt tibi indumen-
Galat. 3, 27 tum. *Quicunque enim in Chriſto baptizati eſtis, Chriſtum induiſtis.*
Joan 3, 29. Sponſa fieri voluiſti, factus eſt ſponſus: *Qui habet ſponſam, ſponſus*
eſt, ſicut dixit Joannes Baptiſta. Nubere voluiſti? factus eſt tibi vir.
2. Cor. 11, 2 *Deſpondi enim vos uni viro virginem caſtam exhibere Chriſto*. Me-
ἐν. ἠθέλησας γενέσθαι γενέσθαι νυμφίος. ἐγέν. retrix eras, & facta es virgo. O nova & admiranda rerum commu-
tatio! Apud ſeculi homines nuptiæ virginitatem diſſolvunt. apud
ſpiritales autem nuptias, meretricem ex gentibus accepit Eccle- B
ſiam, & virginibus caſtiorem effecit. Interpretare mihi ò hæretice,
quomodo meretrix effecta ſit virgo. Curioſè inquirere non queo, fi-
de verò ſuſcipio. Hæc autem omnia operatur Spiritus ſancti gratia,
Act 2, 3. quæ largè effuſa eſt ſuper Apoſtolos Dei. *Et apparuerunt illis diſper-*
titæ linguæ tanquam ignis: non ignis, ſed tanquam ignis. Si ignis, in-
Exod. 4. quit, quomodo non ardebant? interrogat Judæus. Interrogabo &
ego Judæum: Si ignis erat, quomodo non comburebat rubum fra-
gile lignum? Quid igne vehementius? quid rubo vilius? & neque li- C
Dan. 3. gnum exurebatur, neque ignis extinguebatur. Et quomodo corpo-
ra trium puerorum ignis non exuſſit, ſed caminus in rorem verſus
eſt, & carbones tanquam roſas arbitrabantur? Certamen erat ignis
& corporis, & tamen corporum fiebat victoria: & quod cera erat
ſolubilius, ferro factum eſt firmius. Interpretare mihi vetera: etenim
illa præceſſerunt, ut credatur veritati. Quam ob cauſam ſpiritus
ſanctus in igne apparuit? propter velocem mentis ſuſceptionem: E
non autem propter hoc ſolùm, ſed & ſicut ignis ſpinas comburit, ſic
Dan. 14. & ſpiritus peccata diſperdit. Miſſus eſt Daniel in lacum leonum,
& immanem rabiem illorum divina virtus repreſſit. Peragrarunt
piſcatores orbem terrarum, & infirmum eum invenientes, ad ſani-
tatem reduxerunt: & in ruina poſitum ad ſtabilitatem revocave-
runt, non ſcuta moventes non arcus tendentes, non ſagittas mitten-
tes, non pecunias largientes, non eloquentia confidentes. Et erant
nudi quidem veſtibus, ſed induti Chriſtum: pauperes, ſed divites: pe- D
cunia indigentes, ſed regnum cœlorum poſſidentes: Soli & non ſo-
li. Non habentes humana ſolatia, habentes autem Dominum ſuum.
Matt. ult. v. 20. *Ego* enim, inquit, *vobiſcum ſum omnibus diebus uſque ad conſum-*
mationem ſeculi. Peragrarunt univerſum orbem terrarum oves
Ibid. 10, 16. ſimul cum lupis. Quis vidit? quis audivit. Dicit, *Mitto vos ut*
oves in medio luporum. Quis unquam paſtor oves mittit in medio
luporum? ſed potiùs ſi viderit lupos, congregat oves.

A ἀπόστολοι δὲ ἐν τῇ ἀναστάσει ἐν νεφέλαις ἁρπάζονται. ἐν τοῖς ἄστροις ὁ μὲν ἐστιν ἕσπερος, ὁ δὲ φωσφόρος. ἐν δὲ τοῖς ἀποστόλοις ἕσπερος οὐδείς, ἀλλὰ φωσφόροι πάντες. διὰ δὴ τοῦτο τῶν ἀστέρων οἱ ἀπόστολοι φαιδρότεροι· καὶ οὐκ ἄν τις αὐτοὺς ἁμάρτοι φωστῆρας τῆς οἰκουμένης προσειπών, οὐχ ὅτε * ἔζων, ἀλλὰ καὶ νῦν ὅτε ἐτελεύτησαν. ἡ γὰρ τῶν ἁγίων χάρις οὐ διακόπτεται θανάτῳ, οὐκ ἀμβλύνεται τελευτῇ, οὐ διαλύεται εἰς τὴν γῆν. καὶ μαρτυρεῖ τὰ πράγματα· ἁλιεῖς ἦσαν, καὶ B οἱ ἁλιεῖς ἀπέθανον· αἱ δὲ σαγῆναι αὐτῶν ἐργάζονται. καὶ μαρτυρεῖ τὸ πλῆθος τῶν καθ᾽ ἡμέραν σωζομένων. ἀμπελουργοὶ ἦσαν, καὶ ἀπῆλθον ἐκεῖνοι, καὶ ἡ ἄμπελος τοῖς φύλλοις κομᾷ, καὶ τῷ καρπῷ βρίθεται. καὶ γὰρ * ἀμπελουργοί, καὶ ἁλιεῖς, καὶ στῦλοι, καὶ ἰατροί, καὶ στρατηγοί, καὶ διδάσκαλοι. στῦλοι μέν, ὅτι τὸν ὄροφον τῆς πίστεως ἐβάστασαν. λιμένες δέ, ὅτι τὰ κύματα τῆς ἀσεβείας κατέστειλαν· κυβερνῆται δέ, ὅτι τὴν οἰκουμένην ἀπὸ γῆς εἰς οὐρανὸν ἐχειραγώ- C γησαν· ποιμένες δέ, ὅτι τοὺς λύκους ἀπήλασαν, καὶ τὰ θρέμματα διέσωσαν· ἀμπελουργοί, ὅτι τὰς ἀκάνθας ἀνέσπασαν. ἰατροί, ὅτι τὰ τραύματα ὑμῶν διωρθώσαντο. καὶ ἵνα μάθῃς ὅτι οὐ κόμπος τὰ ῥήματα, παράγω Παῦλον ἅπαντα ταῦτα ποιήσαντα. βούλει ἰδεῖν αὐτὸν φυτουργόν; ἐγὼ ἐφύτευσα, Ἀπολλὼ ἐπότισε. βούλει ἰδεῖν οἰκοδόμον; ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα. βούλει ἰδεῖν αὐτὸν παγκρατιαστήν; οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. βούλει D ἰδεῖν αὐτὸν ἀθλητήν; οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. βούλει ἰδεῖν αὐτὸν δρομέα; ὥστε με ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ * Θεοῦ. ἐνδυσάμενοι τὸν θώρακα τῆς πίστεως. βούλει ἰδεῖν αὐτὸν ἀγωνιστήν; τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι. βούλει ἰδεῖν αὐτὸν στεφανίτην; λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. εἷς ὤν, πάντα ἐγένετο, τὸν δεσπότην τὸν ἑαυτοῦ μιμούμενος. καὶ γὰρ ὁ δεσπότης ὁ ἡμέτερος εἷς ὢν E τὴν οὐσίαν, πρὸς ἅπαντα ἐσχηματίζετο. πῶς πρὸς πάντα; διὰ τὴν ἡμετέραν σωτηρίαν. κλῆμα ἐγένου, καὶ ἐγένετο ῥίζα. ἐγὼ γάρ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. βαδίσαι ἠθέλησας· ἐγένετό σοι ὁδός. δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ καὶ ἐξέλθῃ, νομὴν εὑρήσει. πρόβατον ἐγένου· ἐγένετό σοι ποιμήν· ἐγὼ γάρ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ἁμαρτωλὸς ἐγένου· ἐγένετό σοι ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. A φαγεῖν ἠθέλησας· ἐγένετο σοι τράπεζα. πιεῖν ἠθέλησας; ἐγένετό σοι ποτήριον. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ἐνδύσασθαι ἠθέλησας· ἐγένετό σοι ἱμάτιον. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. νύμφη ἠθέλησας γενέσθαι· ἐγένετό σοι νυμφίος. ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστιν. * ἠθέλησας· ἐγένετό σοι ἀνήρ. ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. πόρνη ἦς, καὶ ἐγένου παρθένος. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ἐπὶ τῶν B ἔξωθεν ὁ γάμος τὴν παρθενίαν διαλύει· ἐπὶ δὲ τῶν πνευματικῶν, πόρνην ἔλαβε, καὶ παρθένον ἐποίησε σεμνοτέραν. ἑρμήνευσόν μοι, ὦ αἱρετικέ, πῶς ἡ πόρνη παρθένος. περιεργάσασθαι οὐ δύναμαι· πίστει δὲ κατέχομαι. ταῦτα δὲ πάντα ἡ τοῦ πνεύματος ἐποίησε χάρις. ἐξεχύθη ἡ χάρις, καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι αἱ γλῶσσαι ὡσεὶ πυρός· οὐχὶ πυρός, ἀλλ᾽ ὡσεὶ πυρός. εἰ πῦρ, πῶς οὐκ ἐκαίοντο; ἐρωτᾷ ὁ Ἰουδαῖος· μᾶλλον δὲ ἐγὼ τὸν Ἰουδαῖον ἐρωτῶ, πῶς οὐκ C ἔκαιε τὴν βάτον φρυγανώδες ξύλον; τί πυρὸς σφοδρότερον; τί βάτου εὐτελέστερον; καὶ οὔτε τὸ ξύλον ἐκαίετο, οὔτε τὸ πῦρ ἐσβέννυτο. καὶ πάλιν, πῶς τὰ σώματα τῶν τριῶν παίδων οὐ κατέκαυσεν, ἀλλ᾽ ἡ κάμινος εἰς δρόσον μετεβάλλετο, καὶ τοὺς ἄνθρακας ῥοδωνιὰ ἐνόμιζον; μάχη ἦν πυρὸς καὶ σωμάτων, καὶ ἡ νίκη τῶν σωμάτων ἐγίνετο. κηροῦ γὰρ ὄντα μαλακώτερα, σιδήρου ἐγένετο στερρότερα. ἑρμήνευσόν μοι τὰ τῶν παλαιῶν. ἀλλ᾽ ἐκεῖνα προέλαβεν, ἵνα πιστευθῇ ἡ ἀλήθεια. E διὰ τί ἐν πυρὶ τὸ πνεῦμα τὸ ἅγιον; διὰ τὸ γοργὸν τῆς διανοίας τῶν δεχομένων. οὐ διὰ τοῦτο δὲ μόνον· ἀλλὰ καὶ ὥσπερ τὸ πῦρ τὰς ἀκάνθας ἀναλίσκει, οὕτω τὸ πνεῦμα τὰ ἁμαρτήματα δαπανᾷ. ἐνεβλήθη ὁ ἅγιος Δανιὴλ εἰς λάκκον, καὶ τοὺς λέοντας ἐφίμωσε. περιῆλθον οἱ ἁλιεῖς τὴν οἰκουμένην, νοσοῦσαν αὐτὴν παραλαβόντες, καὶ πρὸς ὑγίειαν ἐπανήγαγον· στασιάζουσαν παραλαβόντες, πρὸς εὐταξίαν D ἐχειραγώγησαν, οὐ δόρατα κινοῦντες, οὐ τόξα βάλλοντες, οὐ βέλος ἀφιέντες, οὐ χρημάτων ἔχοντες περιουσίαν, οὐ λόγων ῥητορικῶν· ἀλλ᾽ ἦσαν γυμνοὶ ἀπὸ ἱματίων, καὶ ἐνδεδυμένοι τὸν Χριστόν· πένητες καὶ πλούσιοι, χρημάτων ἀπεστερημένοι, τὴν δὲ βασιλείαν κεκτημένοι· μόνοι καὶ οὐ μόνοι· μόνοι ἀνθρώπων, ἔχοντες δὲ τὸν ἑαυτῶν δεσπότην. ἰδοὺ γάρ εἰμι, φησί, μεθ᾽ ὑμῶν, ἕως τῆς συντελείας τοῦ αἰῶνος. περιῆλθον τὴν οἰκουμένην πᾶσαν τὰ πρόβατα μεταξὺ τῶν λύκων. τίς εἶδε; τίς ἤκουσε; λέγει· ἀποστέλλω ὑμᾶς ὥσπερ πρόβατα ἐν μέσῳ λύκων. ποῖος ποιμὴν πρόβατα ἐν μέσῳ λύκων πέμπει; ἀλλ᾽ ὅταν ἴδῃ τὸν λύκον ὁ ποιμήν, συνελαύνει τὰ πρόβατα·

ὁ δὲ Χριστὸς τὸ ἐναντίον ἐποίησε· τὰ πρόβατα εἰς τοὺς λύκους ἀπέστειλε, καὶ οὐκ ἐγένετο θηριάλωτα τὰ πρόβατα, ἀλλ᾽ οἱ λύκοι εἰς τὴν τῶν προβάτων ἡμερότητα μετέστησαν. καὶ ἵνα μὴ λέγωσιν ἐκεῖνοι, πρόβατά ἐσμεν, καὶ πέμπεις ἡμᾶς καταβρώματα τοῖς λύκοις, καὶ τράπεζαν τοῖς θηρίοις; μιᾷ λέξει περιεῖλεν αὐτῶν τὴν διάνοιαν. οὐκ εἶπεν, ἀπέλθετε [οὐδὲ γὰρ τῇ ἑαυτῶν δυνάμει ἔπεμπεν αὐτούς] ἀλλ᾽, ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς. ἀσθενεῖς ὑμεῖς· ἀλλὰ δυνατὸς ὁ ἀποστέλλων ὑμᾶς. τίς δὲ σύ; ἐγώ εἰμι ὁ τὸν οὐρανὸν πήξας, ὁ τὴν γῆν θεμελιώσας, ὁ τὴν θάλασσαν διαλύσας, ὁ τὸ καθ᾽ ὑμῶν χειρόγραφον τῷ σταυρῷ προσηλώσας, ὁ τὸν παλαιὸν νόμον ἀνατρέψας, ὁ εἰς τὴν ἀρχαίαν ἐπαναγαγὼν ὑμᾶς πατρίδα, ὁ τὰ ἰσχυρὰ παραλύων, καὶ τὰ παραλελυμένα ἐνισχύων. τί τῆς θαλάσσης ἰσχυρότερον; ἀλλὰ ἡ μικρὰ ψάμμος τὴν ἀφόρητον βίαν ἐκείνην κατέχει. ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· τεῖχος τὰ θηρία τοῖς προβάτοις γίνεται, ἵνα μηδὲ φυγῇ τὴν σωτηρίαν πορίσωνται. ὢ δύναμις τοῦ ἀποστείλαντος· ἐν μέσῳ λύκων τὰ πρόβατα, καὶ ἐν κύκλῳ οἱ λύκοι· ἀλλὰ μετεβλήθησαν, καὶ ἐγένοντο πρόβατα. οὐ γὰρ ἦσαν φύσει λύκοι, ἀλλὰ προαιρέσει. ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς. τί οὖν κελεύεις; γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. τί λέγεις, φρόνιμοι ὡς οἱ ὄφεις; ὁ ὄφις κἂν μυρία λάβῃ τραύματα, τὴν δὲ κεφαλὴν διασώσῃ, ὅλος ἐστὶν ὑγιής· οὕτω καὶ σύ, κἂν χρήματα θέλῃ λαβεῖν ὁ ἐναντίος, δός· κἂν κτήματα, κἂν αὐτὴν τὴν ζωήν· μόνον τὴν πίστιν σου διατήρησον. γίνεσθε φρόνιμοι· ἐκείνης μενούσης, πάντα μέτρια καὶ εὐχερῆ. γυμνὸς ἐξῆλθες ἐκ κοιλίας μητρός σου, γυμνὸς καὶ ἀπελεύσῃ. ἀλλ᾽ ἐξορίζεις με; τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλ᾽ ἀποθνήσκεις; ἀλλ᾽ ὁ θάνατός σοι ἀποδημία· μόνον τὴν πίστιν μὴ ἀπολέσῃς, τὸν θησαυρὸν τὸν ἀνάλωτον, τὴν πίστιν, τὸν ἀδαπάνητον. μάρτυρες τούτων οἱ μάρτυρες οὗτοι. ἐπειδὴ τὴν πίστιν οὐκ ἀπώλεσαν, καὶ μετὰ τελευτὴν τῶν ζώντων εἰσὶ δυνατώτεροι. διὰ τοῦτο ἄνθρωπος ἐγενόμην, διὰ τοῦτο σάρκα ἀνέλαβον, ἵνα τὴν οἰκουμένην ἐκκλησίαν ἐργάσωμαι. πολὺ γὰρ περισπούδαστος τῷ Θεῷ ἐκκλησία, οὐ τοίχοις ἀσφαλιζομένη, ἀλλὰ πίστει τειχιζομένη. διὰ τὴν ἐκκλησίαν οὐρανὸς ἐτάθη, καὶ ἡ θάλασσα ἐξεχύθη, καὶ ἀὴρ ἡπλώθη, καὶ γῆ ἐθεμελιώθη, παράδεισος ἐφυτεύθη, νόμος ἐδόθη, προφῆται ἀπεστάλησαν, θαύματα ἐγένετο, πέλαγος ἐσχίζετο καὶ ἐρράπτετο, πέτρα ἐρρήγνυτο, καὶ πάλιν συνήπτετο, μάννα κατεφέρετο, καὶ αὐτοσχεδιαζομένη παρεσκευάζετο τράπεζα. διὰ τὴν ἐκκλησίαν προφῆται, διὰ τὴν ἐκκλησίαν ἀπόστολοι· καὶ τί πολλὰ λέγω; διὰ τὴν ἐκκλησίαν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἄνθρωπος ἐγένετο, ὥς φησιν ὁ Παῦλος. ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο. τοῦ υἱοῦ οὐκ ἐφείσατο, ἵνα τῆς ἐκκλησίας φείσηται. τὸ αἷμα τοῦ υἱοῦ ἐξέχεε διὰ τὴν ἐκκλησίαν. τοῦτο ἀρδεύει αὐτὴν τὸ αἷμα· διὰ τοῦτο τὰ φυτὰ μαρανθῆναι οὐ δύναται, οὐδὲ φυλλορροεῖ. οὐχ ὑπόκειται καιρῶν ἀνάγκαις, οὐδὲ δουλεύει χρόνοις, ἐν θέρει μὲν κομῶσα τὰ φύλλα, ἐν δὲ χειμῶνι γυμνουμένη. οὐ γὰρ καιρῶν ἀνάγκη, ἀλλ᾽ ἡ τοῦ πνεύματος χάρις αὐτὴν γεωργεῖ. διὰ τοῦτο οὐκ ἀνασπᾶται, ἀλλ᾽ οὐκ ἔστι θαυμαστὸν ὅτι οὐκ ἀνασπᾶται, ἀλλ᾽ ὅτι καὶ πολεμούντων πολλῶν οὐκ ἀνασπᾶται. πόσοι ἐξ ἀρχῆς ἐπολέμησαν τὴν ἐκκλησίαν, ὅτε νεόφυτος ἦν, πολλὰ κατ᾽ αὐτῆς ἐκινήθη. νῦν μὲν γὰρ διὰ τὴν τοῦ Θεοῦ χάριν, καὶ τὴν τοῦ πνεύματος δύναμιν, καὶ βασιλεῖς εὐσεβεῖς, καὶ στρατηλάται, καὶ ἡ οἰκουμένη πᾶσα τῆς πίστεως ἐμπέπλησται· τὸ δὲ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις, βασιλεῖς ἐν ἀσεβείᾳ, στρατηλάται ἀσεβεῖς, διατάγματα ἀρχόντων, βωμοὶ ἀναπτόμενοι, καπνὸς πανταχοῦ καὶ κνίσσα· ὁ ἀὴρ ἐμολύνετο, ἡ γῆ ἐμιαίνετο, δαίμονες ἐβάκχευον, διάβολος ἐχόρευε, πατὴρ ἀπέκτεινεν υἱόν, υἱὸς * ἠτίμαζεν· ἡ φύσις ἐσχίζετο, καὶ ἡ εὐσέβεια οὐκ ἐμερίζετο. ποῦ νῦν οἱ τολμήσαντες τῇ ἐκκλησίᾳ ἀντιπαρατάττεσθαι; ὅτε νεόφυτος ἦν, οὐκ ἠδικήθη· ὅτε τοῦ οὐρανοῦ ὕψατο, προσδοκᾷς αὐτῆς περιγενέσθαι; ὅτε ἕνδεκα οἱ ἀπόστολοι, οὐδεὶς αὐτῶν ἐκράτησεν, ἀλλὰ οἱ ἕνδεκα τοσαύτας μυριάδας ἐσαγήνευσαν· νῦν ὅτε ἡ θάλαττα, καὶ ἡ οἰκουμένη, καὶ ἡ ἀοίκητος χώρα, καὶ πόλεις καὶ πάντα τὰ πέρατα τῆς εὐσεβείας ἐμπέπλησται, τότε ἐλπίζεις αὐτῆς κρατῆσαι; ἀλλ᾽ οὐ δύνασαι· ὁ Χριστὸς γὰρ ἀπεφήνατο· πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. εὐκολώτερον τὸν οὐρανὸν ἀφανισθῆναι, καὶ τὴν γῆν ἀπολέσθαι, ἢ τὴν ἐκκλησίαν τι παθεῖν. αὐτὸς ὁ * Χριστός· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. καὶ καλῶς· ὁ γὰρ λόγος τοῦ Θεοῦ αὐτοῦ τοῦ οὐρανοῦ δυνατώτερος. ὁ γὰρ οὐρανὸς ἔργον τοῦ λόγου. εἶπεν ὁ Θεός, γενηθήτω οὐρανός· καὶ ὁ λόγος ἔργον ἐγένετο. ἔτρεχεν ἡ φύσις, καὶ τὸ κωλῦον οὐδέν· καὶ γὰρ δεσπότης ἦν τῆς φύσεως, καὶ τοιαύτην ποιῆσαι, καὶ τοιαύτην μεταβαλεῖν. ἐγὼ αὐτὴν ᾠκοδόμησα ὁ τὸν οὐρανὸν στήσας· ἀλλ᾽ ὑπὲρ οὐρανοῦ σῶμα οὐκ ἂν ἔλαβον, ἵνα μάθῃς ὅτι καὶ οὐρανοῦ καὶ ἀγγέλων καὶ πάσης τῆς κτίσεως ἡ ἐκκλησία τιμιωτέρα. διὰ τοῦτο ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. παρέστω ὁ Ἰουδαῖος, παρέστω ὁ Ἕλλην. εἰ κόμποι τὰ ῥήματα, ἐλεγχέσθω· εἰ δὲ ἀλήθεια τὰ

At verò Christus è contrario fecit. Oves ad lupos direxit, & vulneratæ à bestiis non sunt, sed potiùs lupi ad ovium mansuetudinem sunt conversi. Et ut non dicerent illi, oves sumus, & mittis nos in escam luporum, timorem illorum uno sermone abstulit. Non dixit, ite (nec enim virtute eorum mittebat illos) sed ecce, inquit, ego mitto vos. Infirmi quidem vos, sed qui mittit vos, potens est. Quis et tu? ego sum qui cœlum extendi, qui terram fundavi, qui mare infrænavi, qui mortem dissolvi, qui chirographum quod contra vos erat, cruci affixi, qui veterem legem immutavi, qui vos ad pristinam patriam revocavi, qui fortia dissolvo, & dissoluta conforto. Quid mari fortius? Sed parva arena intolerabilem illius impetum retundit & continet. Ecce ego mitto vos, ut oves in medio luporum: tanquam murus quidam bestiæ fiebant ovibus, ut nec fugâ conservarent salutem circumvallati undique. O virtus mittentis! in medio luporum oves. Nec enim natura, sed voluntate lupi erant. Ecce ego mitto vos. Quid ergo nobis præcipis? *Estote prudentes sicut serpentes, & simplices sicut columbæ*: cum dicis, prudentes sicut serpentes? Serpens etsi millies vulneretur, caput autem suum salvet, totus est sanus: sic & tu, si pecuniam adversarius tollere vult, libens cede: & si omnes facultates auferre conatur, dimitte; & si ipsam temporalem vitam extorquere cupit, ne resistas: tantummodo fidem tuam custodi: illa illæsa manente, universa ingruentia facillima erunt. Nudus existi de ventre matris tuæ, nudus & reverteris. Sed forsitan in exilium mitteris? dicito, *Domini est terra & plenitudo ejus.* Forsitan mors occupabit? non est timenda, quia peregrinatio est. Tantummodo fidem serva, thesaurum indeficientem, divitias sempiternas: horum quæ dico beati martyres testes sunt: quia fidem non perdiderunt, & post excessum de corpore, fortiores sunt vivis. Propterea, inquit, homo factus sum, propterea carnem indui, ut orbem universum Ecclesiam efficerem: multùm enim Deo Ecclesia chara est, non muris circundata, sed fide circunsepta: propter Ecclesiam namque extensum est cœlum, diffusum est mare, extensus aër, terra fundata est, paradisus plantatus est, mirabilia multa facta sunt, pelagus scindebatur, & iterum suebatur: petra findebatur, & iterum pluebat manna de cœlo, & tanquam extemporanea ponebatur mensa. Propter Ecclesiam prophetæ, propter Ecclesiam Apostoli: & quid plura dico? propter Ecclesiam unigenitus filius Dei homo factus est, sicut dicit Paulus: *Qui proprio filio non pepercit.* Proprio filio non pepercit, ut Ecclesiæ parceret: sanguinem filii effudit propter Ecclesiam. Hic sanguis irrigat Ecclesiam & ideò plantaria ejus marcescere non possunt, nec amittunt folia arbusta ejus: non subjacet necessitati temporis, nec est conditioni mensium obnoxia, ut per æstatem coma foliorum tegatur, hyeme amittatur. Non tenetur temporum qualitate, sed spiritus eam sancti gubernat gratia, & ideò non senescit, nec contrahitur, & multis impugnantibus non opprimitur. Quanti ab initio impugnarunt Ecclesiam, cùm fidei semina jacerentur, & arma contra eam commota sunt? Sed nunc quidem propter Dei gratiam & Spiritus sancti vim reges pii sunt, & duces, & milites, & universus orbis fide repletus est. Nam in principio, & (ut ita dicam) in cunabulis Ecclesiæ reges fuêre impietati addicti, duces impii. Et edicta judicum ubique dabantur, aræ incendebantur dæmonibus, fumus & odor pessimus ipsum maculabat aërem. Terra coinquinabatur sanguine, dæmones debacchabantur, diabolus dominabatur, pater abdicabat filium, filius inhonorabat patrem. Natura quidem scindebatur, sed pietas non dividebatur. Ubi sunt nunc qui audeant Ecclesiæ contraire? Quando novella erat, in nullo potuit lædi: & nunc quando usque ad cœlum pervenit, existimas eam posse superari? Et tunc quidem cùm undecim essent Apostoli, nullus eos superare potuit, sed pauci homines totum ceperunt mundum: & nunc quando terra & mare, & orbis terrarum, & inhabitabiles regiones, & civitates, & omnes fines terræ pietate repleti sunt, putas eam te posse lædere? sed non poteris. Christus enim pronuntiavit, *Portæ inferi non prævalebunt adversus eam.* Faciliùs cœlum exterminari potest, & terra perire, quàm aliquid mali pati Ecclesia. Quis est qui hæc dicit? ipse Christus loquitur: *Cœlum & terra transibunt, verba autem mea non præteribunt.* Benè: siquidem verbum Dei ipso cœlo validius est, quia cœlum opus Dei ipso cœlo validius est, quia cœlum opus verbi est. Dixit quippe Deus, fiat cœlum: & verbum in opus apparuit. Currebat natura, & nemo impediebat, quia naturæ Dominus imperabat, qui & facere & immutare potest. Ego eam ædificavi qui cœlum statui. Sed propter cœlum non fudi sanguinem, propter cœlum crucifixus non sum, nec propter cœlum cœleste corpus accepi. Et quid dicam cœli? Angelorum corpus non assumpsi, ut dicas, quoniam cœlo & Angelis, & omni creaturâ honorabilior Ecclesia est. Ideò cœlum & terra transibunt, verba autem mea non præteribunt. Adsit Gentilis, adsit Judæus, si hæc inania sunt verba, redarguar, si autem veritas est

Ibid. 16.
Eccl. 5.
Psal. 23. 1.
Rom. 8, 32.
ἴσ. ἠτίμαζε τὸν πατέρα, ἴσ.
Matt. 16, 18
Ibid. 24. 35
ἴσ. Χριστὸς εἶπεν, ὁ
Gen. 1.

eſt quæ dicta ſunt, adoret virtutem Dei. Dixit Chriſtus: Cœlum & A terra tranſibunt, verba autem mea non præteribunt. Quæ autem ſunt verba ejus? Adducamus in medium, videamus ne fortè interci-

ἴσ. διὰ τί derint, non dubitans dico, ſed hæretico os occludo. Quæ ergo ſunt
τοῦτο; ὁ ἡ. verba? cœlum & terra tranſibunt, verba autem mea non præteri-
κ. ἡ. γ. π. bunt. Qui ſermones? quæ verba? *Tu es Petrus, & ſuper hanc petram*
ἐδ. λ. μ. *ædificabo Eccleſiam meam, & portæ inferi non prævalebunt adverſus*
ἐμ. παρ- *eam.* Super hanc petram, non dixit ſuper Petrum; non enim ſuper ho-
έλθωσι; minem, ſed ſuper fidem ædificavit Eccleſiam ſuam. Quid autem e- B
Matt. 16, 18. rat fides? *Tu es Chriſtus filius Dei vivi.* Petram vocavit Eccleſiam,

fluctus ſuſcipientem, & non titubantem. Etenim Eccleſia tot ſuſcipit tentationes, non tamen vincitur. Quid eſt ſuper petram? hoc eſt, ſuper confeſſionem, ſuper ſermones pietatis. Si forſitan interrogabis utrum hæc ædificatio ſuſcipiat lapides, aut ligna, aut ferrum: non, inquit; nec enim ſenſibilis eſt ædificatio: quod ſi talis eſſet, ſolveretur tempore: confeſſionem autem pietatis neque dæmones,

ἐν Ἐπιό- neque ulla creatura vincere poteſt. Teſtantur martyres, quorum C
τι. Ἐπιδ- latera radebantur, ſed fides non frangebatur. O nova rerum mate-
τη χωλεία. ries! Paries effoditur, & theſaurus non aufertur: caro ſcinditur, &

fides non rumpitur: talis quippe martyrum virtus. Etenim ſuper hanc petram ædificabo Eccleſiam meam, & portæ inferi non prævalebunt adverſus eam: attendite diligentiùs verba. Portas inferi pericula vocat quæ mortem pariunt. Quid ergo? In infernum intrabit quiſque, quando periclitabitur? Etiam. Sicut enim portæ introitus civitatum ſunt: ſic pericula introitus D mortis ſunt. Et cur, inquis, non prohibet tentationes? ut oſtendat virtutem ejus. Si nemo eam impugnare poſſet, dicere poterant, quoniam ſi impugnaretur, utique vinceretur.

ἐν ἠρεμία. Propterea permittit eam impugnari, ut non defectui impugnantium, laus & gloria victoriæ imputetur. Et portæ inferi. Non dixit, non impreſſionem facient in eam, ſed non prævalebunt adverſus eam. Quid ergo? Impugnabitur quidem, non tamen vinci poterit. Tempeſtates ſuſcipit Eccleſia, ſed non demergitur: fluctuat, ſed flu- E ctibus non obruitur; jacula in eam mittuntur, ſed non perforatur: machinamenta præparantur, ſed turris non eliditur. Et quid dico Eccleſiam? unum ſermonem locutus eſt paſtor, & ſicut turris immobilis perſeverat. Quanti tyranni verbum hoc delere conati ſunt? ſed non potuerunt. Supra petram enim fundatum erat. Conſidera tyrannos, reges, gladios acutos, beſtiarum dentes mortem minantes, caminos, ſartagines, manus ferreas, & uncos, & omnia machinamenta parata: Et pharetram quidem ſuam evacuavit Diabolus ſed A nihil læſit eccleſiam. Portæ inferi non prævalebunt adverſus eam. Teſtatur res ipſa, teſtatur horum quæ fiunt, adſtipulatio. Quanti impugnaverunt, & nemo prævaluit? Et impugnatores quidem taciturnitati & oblivioni dati ſunt: Eccleſia autem quotidie virtutibus augmentatur. Ubi nunc Claudius, ubi Auguſtus, ubi Nero, ubi Tiberius? Nomina ſunt nuda: horum autem meminit nemo, nec ulla horum mentio. Et quia Eccleſiam impugnaverunt, ideo & memoriam perdiderunt. Eccleſia autem ſole clarior reſplendet. Ubi- B cunque ieris, ad Indos, ad Mauros, ad Britannos, ad Hiſpanos, uſque

Joan. 1, 1. ad ultimum finem terrarum, invenies: *In principio erat verbum, & verbum erat apud Deum, & Deus erat verbum.* Et univerſa religione plena: Ante hoc enim univerſa repleta erant impietate: nunc autem non ſolùm civitates religione florent, & fide Chriſti, ſed etiam eremus in nomine Chriſti gloriatur. Antea namque & reginæ

Matt. 6, 22. in convivijs virorum ſaltabant, ſicut filiam Herodiadis feciſſe legimus: nunc verò vix famula dignatur hoc facere. Antiquitus gen- C tis Perſarum filii parentibus ſociabantur connubio, & ſoror fratri jungebatur impunè, nunc verò virginitatem appetunt. Ante hoc

ἐν. ἀλλη- autem quoties in Britannia humanis veſcebantur carnibus, nunc je-
γόρευον, juniis reficiunt animam ſuam. Maſſagetæ & Derbices, miſeros pu-
φυλάξ- tant, qui ægrotatione moriuntur; & parentes, cognatos, propin-
ξαι. quos, cùm ad ſenectam venerint, jugulatos devorant: rectius eſſe dicentes, ut à ſe potiùs quàm à vermibus conſumantur: nunc verò poſt paſſionem Chriſti & reſurrectionem ejus, abſtinentia & caſtitate devotè militant Chriſto, & prope omnes gentes paratæ ſunt pro nomine Domini fundere ſanguinem ſuum. Ante hac etiam privati erant impii, hodie pii ſunt etiam Imperatores & populi: Adeſt Imperator, & depoſito diademate crucem accipit, ætate immatura, ſed canitie dignam exhibens ſapientiam. Foris arma, hic myſteria: foris ſcuta, hic ſacramentorum celebratio. Theodoſii filius & pater Theodoſii. Ideóque pro his omnibus gratias agamus Domino per Chriſtum Dominum noſtrum, cui eſt gloria & poteſtas cum Spiritu ſancto, per immortalia ſæcula ſæculorum. Amen.

A εἰρημένα, προσκυνείτω τὴν δύναμιν. εἶπεν ὁ Χριστός· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. τίνες εἰσὶν οἱ λόγοι αὐτοῦ; προχειρισώμεθα ἐν μέσῳ· ἴδωμεν μὴ διέπεσον. οὐκ ἀμφιβάλλων λέγω, ἀλλὰ τὸν αἱρετικὸν ἐπιστομίζων. *διὰ τοῦτο ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται. οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. ποίους λόγους; σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐπὶ ταύτῃ τῇ B πέτρᾳ. οὐκ εἶπεν, ἐπὶ τῷ Πέτρῳ. οὔτε γὰρ ἐπὶ τῷ ἀνθρώπῳ, ἀλλ' ἐπὶ τὴν πίστιν τὴν ἑαυτοῦ ἐκκλησίαν ᾠκοδόμησε. τί δὲ ἦν ἡ πίστις; σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. πέτραν τὴν ἐκκλησίαν ἐκάλεσε, δεχομένην κύματα, καὶ μὴ σαλευομένην. καὶ γὰρ ἡ ἐκκλησία δέχεται πειρασμοὺς, ἀλλ' οὐ νικᾶται. τί οὖν ἐστιν, ἐπὶ τῇ πέτρᾳ; ὁμολογίᾳ ἐπὶ τοῖς ῥήμασιν. οὐ λίθους βάλλεις; οὐ ξύλα; οὐ σίδηρον; οὐχί, φησιν. οὐ γάρ ἐστιν οἰκοδομὴ *τοιαύτη. οἵα ἂν ᾖ, τῷ χρόνῳ C λύεται· ὁμολογίαν δὲ οὔτε δαίμονες νικῆσαι δύνανται. καὶ μαρτυροῦσιν οἱ μάρτυρες. οἱ τὰς πλευρὰς ξεόμενοι, καὶ τὴν πίστιν οὐκ ἀποβαλλόντες. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ὁ τοῖχος διορύττεται, καὶ ὁ θησαυρὸς οὐ συλᾶται· ἡ σὰρξ δαπανᾶται, καὶ ἡ πίστις οὐκ ἀναλίσκεται· τοιαύτη τῶν μαρτύρων ἡ δύναμις. ἐπὶ γὰρ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. προσέχετε τῇ ἀκριβείᾳ τοῦ ῥήματος. πύλαι ᾅδου οὐ κατ- D ισχύσουσιν αὐτῆς. διὰ τί γάρ, φησι, μὴ κωλύει τοὺς πειρασμοὺς τῇ ἐκκλησίᾳ προσέρχεσθαι; οὐχ ἵνα δείξω μου τὴν δύναμιν; ἂν μή τις αὐτὴν πολεμήσῃ, ἔχουσιν εἰπεῖν· εἰ ἐπολεμήθη, ἐνικᾶτο. διὰ τοῦτο ἀφίησιν αὐτὴν πολεμηθῆναι, ἵνα μὴ τῇ *ἠρεμίᾳ τῶν πολεμούντων τὰ τῆς νίκης ἐπιγράφηται· καὶ πύλαι ᾅδου, οὐκ εἶπεν, οὐ προσβάλλουσιν αὐτῇ· ἀλλ', οὐ κατισχύσουσιν αὐτῆς. πολεμηθήσεται μὲν, οὐ νικηθήσεται δέ. χειμάζεται ἡ ἐκκλησία, ἀλλ' οὐ καταποντίζεται· κλυδωνίζεται, ἀλλ' οὐ γίνεται ὑποβρύχιος· δέχεται βέ- E λη, ἀλλ' οὐ δέχεται τραύματα. δέχεται μηχανήματα, ἀλλ' ὁ πύργος οὐ σαλεύεται· καὶ τί λέγω, ἡ ἐκκλησία; ἕνα λόγον ἐφθέγξατο ὁ ποιμὴν, καὶ ἕστηκεν ὡς πύργος ἄσειστος. πόσοι τύραννοι ἐφιλονείκησαν ἀφανίσαι τὸ ῥῆμα τοῦτο; ἀλλ' οὐκ ἴσχυσαν· ἐπὶ γὰρ τῇ πέτρᾳ τεθεμελίωτο. ἐννόησον· τύραννοι, βασιλεῖς, διαδήματα, ξίφη ἠκονημένα, θηρίων ὀδόντες, θάνατον ἀπειλοῦ- A μενοι, τήγανα, κάμινοι. καὶ μὲν τὴν βελοθήκην αὐτοῦ ἐξεκένωσεν ὁ διάβολος, τὴν δὲ ἐκκλησίαν οὐκ ἔβλαψε. διὰ τί; πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. πόσοι ἐξ ἀρχῆς ἐπολέμησαν τὴν ἐκκλησίαν; ποῦ οἱ πολεμήσαντες; σεσίγηνται, καὶ λήθῃ παραδίδονται. ἡ ἐκκλησία ἀνθεῖ. ποῦ Κλαύδιος; ποῦ Αὔγουστος; ποῦ Νέρων; ποῦ Τιβέριος; ὀνόματά εἰσι ψιλά· τούτων δὲ οὐδεὶς μέμνηται. ἐπειδὴ τὴν ἐκκλησίαν ἐπολέμησαν, καὶ τὴν μνήμην ἀπώλεσαν· ἡ δὲ ἐκκλησία ὑπὲρ τὸν ἥ- B λιον λάμπει· ὅπου δ' ἂν ἀπέλθῃς, εἰς Ἰνδοὺς, εἰς Μαύρους, εἰς Βρεττανοὺς, εἰς τὴν οἰκουμένην, εὑρήσεις, ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ βίον ἐνάρετον. πρὸ γὰρ τούτου, καὶ πόλεις ἐν ἀσεβείᾳ πεπληρωμέναι· νῦν δὲ καὶ ἡ ἔρημος εὐσεβείας ἐμπέπλησται· πρὸ τούτου καὶ βασιλίδες ὠρχοῦντο [γενεσίων δὲ γενομένων Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ Ἡρωδιάδος] σήμερον δὲ θεράπαινα οὐ καταξιοῖ τοῦτο ποιῆσαι. πρὸ τούτου Πέρσαι μητέρας ἐγάμουν· σήμερον παρθενίαν ἀσκοῦσι. πρὸ C τούτου Γέτθοι πατέρας ἀπέκτειναν· σήμερον τὸ αἷμα αὐτῶν ὑπὲρ εὐσεβείας ἐκχέειν σπουδάζουσι. πρὸ τούτου καὶ ἰδιῶται ἀσεβεῖς· σήμερον καὶ βασιλεῖς εὐσεβεῖς, καὶ δῆμοι. ὁ παρὼν βασιλεὺς διάδημα ἀποθέμενος, καὶ λαβὼν σταυρὸν, ἐν ἀώρῳ ἡλικίᾳ, πεπολιωμένην δὲ σοφίαν ἐνδεικνύμενος, ἐν ἐκκλησίᾳ βασιλείαν. οὐκ *ἐπιδεικνύμενος· ἔξω δόρατα, καὶ ἐνταῦθα μυστήρια· ἔξω ἀσπίδες, καὶ ἐνταῦθα μυσταγωγίαι. Θεοδοσίου υἱὸς, καὶ ὁ πατὴρ Θεοδοσίου. ὑπὲρ δὲ τούτων εὐχαριστήσωμεν τῷ Θεῷ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τό, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ τὰ ἑξῆς· καὶ, ὅτι τὸ πνεῦμα ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ· καὶ περὶ τῶν πνευματομάχων, καὶ κατὰ αἱρετικῶν.

De illo Evangelico Oraculo, In principio erat Verbum, &c. Itemque de illo Apoſtoli, Spiritus ſcrutatur profunda Dei. Joan. 1. 1.Cor. 2. 10.

Ubi adverſus Arianos præcipuè, & Pneumatomachos, acriter diſputatur: & complures loci utriuſque Teſtamenti piè & doctè explicantur.

JOAN. JAC. BEURERO Interprete.

Χθὲς ἡμῖν ὁ λόγος εἰς τὴν τοῦ μεγάλου ἀετοῦ θεωρίαν κατέληξεν, ἀετοῦ τοῦ ὄντως μεγάλου καὶ πνεύματι τὸν οὐρανὸν καὶ τὰς ὑπερκοσμίους δυνάμεις ὑπερβάντος, καὶ ἀπ' αὐτῆς τῆς κορυφῆς τῶν πάντων ἀρξαμένου. Ἰωάννης γὰρ ἡμῖν περικήρυξε τό, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ περὶ τῆς ἀκτίστου φύσεως ἐφιλοσόφησεν, ὃς ὑπερέβη μὲν τὴν κτίσιν ἅπασαν ὑπὲρ πᾶσαν ἀετοῦ φύσιν· ὑπερέβη δὲ καὶ πάσης βροντῆς ἦχον, μόνος τὴν αἰώνιον καὶ ὑπερκόσμιον φιλοσοφίαν κηρύξας. ἡ γὰρ βροντή, ἀγαπητοί, καὶ φοβεῖ καὶ ἀρδεύει. ἀρδεύει μὲν διὰ τῶν νεφῶν· φοβεῖ δὲ καὶ καταπλήττει διὰ τῆς φωνῆς. μερίζεται τοίνυν καὶ ἡ Ἰωάννου φωνή, ἀρδεύουσα μὲν τὴν ἐκκλησίαν, καταπλήττουσα δὲ τῶν αἱρετικῶν τὸ σύστημα. ὅταν γὰρ τὰ μάταια εἴπωσιν, ὅταν γνόντες τὰ ὄντα, μὴ ὡς ὄντα εἰπεῖν τολμήσωσιν· ὅταν τὴν ἀνθρωπίνην διάλεκτον κατὰ τῆς θείας γραφῆς στρατεύσωσι· τότε βοᾷ Ἰωάννης τό, ἦν, πρὸ τοῦ, οὐκ ἦν. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. τῇ φωνῇ καταπλήττων τοὺς ἐναντίους, ἐπιμαρτυροῦντος τοῦ Δαβίδ, καὶ λέγοντος· ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. ἐπειδὴ γὰρ ἀπαθὴς ἡ τοῦ λόγου γέννησις, λόγον λέγει, ἵνα ἀπὸ τῶν κατὰ σὲ τὰ ὑπὲρ σὲ παιδεύσῃ. ὥσπερ ὁ νοῦς γεννῶν τὸν λόγον, οὐ πάθει γεννᾷ, οὐ τέμνεται, οὐ ῥεῖ, οὐδὲ ἄλλο τι τῶν σωματικῶν ὑφίσταται· οὕτω καὶ ἡ θεία καὶ ἀπαθὴς γέννησις ἄφραστος, καὶ ἀκατάληπτος, οὐ τεμνομένη, οὐ μεριζομένη, ἀλλ' ὑπὸ μὲν τῶν ἀσεβῶν καὶ ἀπίστων αἱρετικῶν τεμνομένη κακῶς, ὑπὸ δὲ τῆς εὐσεβείας ἑνουμένη καλῶς. διὰ τί τοῦτο παρῃτήσατο ὁ εὐαγγελιστής, καὶ οὐκ εἶπεν, ἐν ἀρχῇ ἦν ὁ υἱός; ἵνα μὴ ἡ τοῦ υἱοῦ προσηγορία τὴν τοῦ πάθους γέννησιν εἰσαγάγῃ. ἀλλὰ λέγει αὐτὸν λόγον, ἵνα τὸ ἀπαθὲς παραστήσῃ τῆς γεννήσεως. καὶ ἵνα μὴ προφορικὸν λόγον νομίσῃς, ἐπήγαγε· καὶ Θεὸς ἦν ὁ λόγος· ἵνα ἀπὸ τοῦ μὲν λόγου τὸ ἀπαθές, ἀπὸ δὲ τοῦ Θεοῦ τὴν ἀξίαν νοήσῃς. εἶτα εἰσηγησάμενος αὐτοῦ τὰ τῆς γεννήσεως, εἰσάγει καὶ τὸ δυνατὸν τῆς δημιουργίας ἀξίωμα· πάντα δι' αὐτοῦ ἐγένετο. πάντα τὰ γενόμενα· οὐχ ὡς οἱ τῶν αἱρετικῶν παῖδες καὶ τὸ πνεῦμα τὸ προσκυνητὸν τολμῶσι τῇ λέξει ταύτῃ συμπεριλαβεῖν λέγοντες. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν ἐν αὐτῷ. εἰ δὲ ἓν γέγονεν ἐν αὐτῷ, οὐχ ἡ ἄκτιστος φύσις τοῦ πνεύματος. ἀλλ' εἴρηται, φησί, πάντα. ἀλλ' ἡ, τὰ πάντα, φωνὴ οὐ περιλαμβάνει τὴν ἄκτιστον φύσιν μετὰ τῆς κτίσεως. εἰ δὲ τῇ, πάντα, φωνῇ προσέχων, κατετόλμησας τῆς ἁγίας φύσεως, ἐὰν ἀκούσῃς τοῦ Κυρίου λέγοντος· πάντες, ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἂν ἦσαν καὶ λῃσταί, τί ἐρεῖς; Μωυσέα λῃστὴν ὀνομάζεις, καὶ τοὺς προφήτας κλέπτας προσαγορεύσεις; πάντες γάρ, ὅσοι πρὸ ἐμοῦ ἦλθον, κλέπται ἦσαν καὶ λῃσταί, φησίν. ἡ δὲ ἔννοια μηνύει, καὶ περὶ τίνων ὁ λόγος, καὶ πρὸς τίνας. καὶ νῦν περὶ δημιουργίας ὁ λόγος. καὶ τὴν δημιουργίαν λέγει δι' αὐτοῦ γεγενῆσθαι, οὐ τὴν τοῦ πνεύματος οὐσίαν, τὴν οὕτω γνωρίζουσαν τὰ τοῦ Θεοῦ, ὡς τὸ τοῦ ἀνθρώπου πνεῦμα, τὰ ἐν αὐτῷ, καθώς λέγει Παῦλος· οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ κατοικοῦν. εἰ οὖν τὸ πνεῦμα τὸ ἐμὸν ἀλλότριον τῆς ἐμῆς φύσεως, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ ἀλλότριον τῆς τοῦ Θεοῦ φύσεως. τὸ γὰρ πνεῦμα φησί, πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. ἀλλ' ὁ αἱρετικὸς μὲν τό, ἐρευνᾷ, ἀκούει, τὴν δὲ ἔννοιαν κακῶς ἐκλαμβάνει. εἰ γὰρ ᾔδει, φησί, τὸ πνεῦμα τὰ τοῦ Θεοῦ, οὐκ ἂν ἠρεύνα. μαρτυρεῖ γὰρ αὐτοῦ τῇ ἀγνοίᾳ ἡ ἔρευνα. εἰ τοίνυν τὸ ἐρευνᾶν τὸ πνεῦμα τὰ ἅγια τὰ βάθη τοῦ Θεοῦ, ἀγνοίας κατηγορίαν αὐτῷ ἐπάγει, ὅταν εἴδῃς τὸν Θεὸν ἐρευνῶντα τὰς καρδίας τῶν ἀνθρώπων, ἀγνοίας αὐτοῦ καταψηφίζῃ; ἄκουε γοῦν τοῦ Παύλου λέγοντος· ὡς περὶ τοῦ πνεύματος εἶπε, τὸ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. οὕτω καὶ περὶ τοῦ Θεοῦ φιλοσοφῶν ὁ Παῦλος, φησίν, ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος· εἰ οὖν Θεὸς ἐρευνᾷ ἀγνοῶν, καὶ τὸ πνεῦμα ἀγνοῶν ἐρευνᾷ. ἀλλ' ἵνα μάθῃς

A Heſterna quidem oratio noſtra conſideratione magnæ illius aquilæ finita eſt. Aquilæ, inquam, illius magnæ, quæ ſupra cœlum, & ſupra mundanas illas poteſtates, transvolavit, initio ab omnium rerum apice facto. Joañes ſiquidem nobis prædicavit illud, *In principio erat Verbum*: aquilam ſeipſum omni re creata altiorem ſublimioremque demonſtrans: quippe qui de increata natura ſit philoſophatus. Qui ſupergreſſus eſt res creatas longè ſupra omnem aquilæ naturam: qui ſolus cœleſti ſapientia promulganda B quovis tonitru vehementiùs detonuit. Tonitru enim, dilectiſſimi, & perterret & irrigat. Irrigat quidem per nubes: terret verò, & conſternatos reddit ſonitu. Itaque & vox Joannis aliud atque aliud efficit. Irrigat illa quidem Eccleſiam: perterrefacit autem hæreticorum catervam. Quum enim falſa & nihili differant, ſuum ſcientes & prudentes, ea quæ non ſunt, tanquam eſſent, aſſerere auſint: quum humana ſermonis facultate adverſus ſacras literas pugnent: tum verò Joannes clamat illud ſuum. Illud, C erat, ante illud, non erat. *In principio erat verbum, & verbum erat apud Deum, & Deus erat verbum*, vel voce conterrens adverſarios, quemadmodum & David teſtatur, cùm ait: *Ab increpatione tua fugient, à voce tonitru tui formidabunt.* In Principio erat verbum, & verbum erat apud Deum, & Deus erat verbum. Quum enim verbi generatio omnis perpeſſionis ſit expers; Verbum Chriſtum appellat, ut ex iis quæ in te cernuntur, ea quæ longè à ſenſu tuo remota ſunt percipias. Nam quemadmodum mens noſtra ſermonem, D vel verbum procreans, nulla id perpeſſione facit: non enim ſecatur, neque fluit, neque quicquam earum rerum, quæ corporeis rebus eveniunt, ſuſtinet: ſic etiam omni perpeſſione vacua eſt illa quæ neque dicendo explanari, neque mente comprehendi poteſt, divina generatio: non ſecatur, non in partes diſtribuitur. Ab impiis quidem & infidelibus illa ſanè improbè diſcerpitur: à piis verò integra & tota præclarè conſervatur. Quare verò eam loquendi rationem repudiavit, nec dixit, In principio erat Filius? Ne Filii appel- E latio cum perpeſſione quadam conjunctam generationem ſecum afferret: ideóque Verbum appellat, ut vacuitatem omnis perpeſſionis in illa generatione divina conſtitueret. Ne verò verbum ore prolatum exiſtimares, ſubjecit: Et Deus erat verbum, ut ex vi Verbi perpeſſionis vacuitatem, ex Deo verò dignitatem ejuſdem cognoſceres. Hæc cùm de illius generatione inſtituiſſet, tum verò dignitatem illius cum ſumma potentia, quæ è rebus creatis elucet, declarat: *Omnia*, inquit, *per ipſum facta ſunt. omnia, quæ facta ſunt.* Non A ſanè hæc ita accipienda ſunt, quemadmodum hæreticorum ſoboles etiam Spiritum illum adorandum in hoc rerum creatarum genere ponere audet: cùm ait: *Omnia per ipſum facta ſunt, & ſine ipſo factum eſt nihil, quod factum eſt in ipſo.* Si quid igitur in ipſo factum eſt, non certè increata natura illa Spiritus. Sed dictum eſt, ait hæreticus, Omnia. Atque hæc vox Omnia, non comprehendit increatam naturam cum creata & condita. Quòd ſi huic voci, Omnia, adhæreſcens audacius adverſus ſanctam illam naturam efferaris: ſi B porrò Dominum dicentem audias: *Omnes quotquot ante me venerunt, fures erant & latrones*: qua ratione tum ea defendas? ſi Moſen latronem criminaris, & Prophetas fures appellas? Omnes enim quotquot ante me venerunt, inquit. Atque ſententia illius loci diſtinctè oſtendit, de quibus & ad quos ei tum fuerit oratio. Sic in præſentia omnis de opificio creationis inſtituta eſt oratio. Opus, inquam, creationis dicit per ipſum factum eſſe: non autem ſpiritus eſſentiam, quæ ita res divinas patefacit: ſicut hominis Spiritus, quæ C in homine ſunt, declarat: ut eſt apud Paulum: *Nemo novit, quæ in homine ſunt, niſi Spiritus hominis, qui in homine eſt.* Si itaque meus ſpiritus aliud quippiam à mea natura eſt: utique Dei quoque Spiritus aliud quippiam à Dei natura fuerit. *Spiritus enim omnia ſcrutatur, etiam profunda Dei.* Verùm hæreticus verbum ſcrutatur, audit quidem: ſenſum verò perversè interpretatur. Si enim noſter Spiritus quæ in Deo ſunt, ſanè non inveſtigarat, inquit. Inſcitiæ autem ejus teſtimonium præbet vel illa ipſa inquiſitio & perſcrutatio. Si D itaque, quia Spiritus ſanctus profunda Dei perſcrutari dicitur, hoc inſcitiæ eum accuſat: cùm perſpectum habueris Deum corda hominum perſcrutari: anne etiam propterea Deum ignorantiæ condemnabis? Audi igitur Paulum, qui de Spiritu differens, ait: Spiritus omnia ſcrutatur, etiam profunda Dei. ſic & de Deo differens, ait: *Qui verò ſcrutatur corda hominum, novit ſenſum ſpiritus.* Si ergo Deus ſcrutatur igno-

Vide proœmium homiliæ 1 eundem.
Tranſitio. Joan. Aquila.
Tonitrua Joan. Vide homiliam ultimam ſuo fine.
Joan. 1. 1.
Pſ. 103. 8.
Propoſitio totius orationis. Verb. 1.
Generatio τοῦ λόγου comparationa τοῦ λόγου ἀναφορικοῦ declaratur.
Ex eadem pâta. ſe mili. 2. Proteſis. Vide homiliam 10. in fine.
Omnia per ipſum facta ſunt. Joan. 1. 2.
Adverſus pneumatomachos.
Joan. 10. 8.
1. Cor. 2. 11.
1. Cor. 2. 10.
Ibidem.
Rom. 8. 27.

rans & Spiritus ignorans ſcrutatur. Sed ut perſpicias, quòd ſcrutari non ſit ejus, qui in ignorantia verſatur: ſed ejus, qui rem cognitam
1. Cor. 2, 11 perſpectámque habeat, ſubjecit: Sic & quæ Dei ſunt, nemo cognovit, niſi Spiritus Dei, ſicque cognitionem Spiritui attribuit: non comprehenſionem quandam ex natura, ſed ex natura agnitionem.
Compleſio. Quamobrem noli in partes diſtribuere naturam, quæ in partes diſtribui nequit: noli dividere eſſentiam, quæ dividi non poteſt. Co-
Matt. 26, 64. gnoſce potiùs exactè virtutem. Unus eſt, qui Pater, & Filius, & Spiritus ſanctus eſt vocatus. Et de Patre quidem Filius ait: *Cùm videritis Filium hominis ſedentem à dextris virtutis.* Virtutem cùm di-
Marc. 14, 62. Luc. 22, 69 xit, etiam gloriam conſtituit, ut ſententiam admireris. Deum ergo ipſum & Patrem Virtutem appellavit in eo ſermone quem cũ Caipha habuit. Cùm videritis Filium hominis ſedentem à dextris virtutis. Virtus ergo Pater, virtus Filius, ſicut ait Paulus, *Chriſtus,* inquam,
1. Cor. 1, 24 *virtus & Dei ſapientia,* virtus & Spiritus ſanctus. Itaque & Serva-
Luc. 24, 49 tor diſcipulis ait: *In Hieruſalem manete quouſque induamini virtute ex alto.* Hac igitur virtute omnibus peræque communi perſpecta, dilectiſſime, fidem firmam & inconcuſſam tene, nec in partes diſtribuas gloriam, quæ abs te capi comprehendique non poteſt. Recognoſce conditiones illuſtrationis & baptiſmi. Aſpice filios gratiæ, qui per magnum illum pontificem effloruerunt. Aſpice filios lucis, qui cucurrerũt ad præcones & doctores lucis. Enimverò oportet eos qui ex illuſtratione ſunt renati, ad eos recurrere, qui univerſum orbem quaſi regenerarunt. Dicamus & nos cum
Eſa. 49, 18. & 60, 4. Propheta & Apoſtolis, *Reſpice, & vide filios tuos congregatos:* & rurſus: *Vivo ego, dicit Dominus, quia omnibus his, velut ornamento veſtieris, & circumdabis tibi omnes quaſi ſponſa.* Stetit igitur Eſaias hodie ad cœtus eorum, qui illuminati ſunt, perorans ad eos, qui ex ſpiritu nati ſunt, qui confertim inſtaurati & renovati ſunt, qui in momento converſi & mutati, qui ex terrena conditione & compage in cœleſtem imaginem reformati ſunt: & quidem conterrens, dicit,
Eſa. 66, 8. *Quis vidit? quis audivit talia? quia peperit terra filios ſuos in die una, & nata eſt gens ſimul.* Etenim Spiritus regeneratio velox eſt, nec tempus expectat: non ſervit temporibus nec generationibus, verùm ſimul atque vult, renaſcitur quod regeneratur. Decebat filios lucis ubique in foro pompam deducere, & prædicare, & annuntiare eum qui propter ipſos in hæc inferiora venit, ut univerſum orbem ſurſum ad ſeſe deduceret. Chriſtus è cœlis deſcendit, deſcendit, inquam, non tamen cœlis intervallo quodam disjunctus eſt.
Sic infra Oratione ſecunda. Aſcendit item, non tamen terris relictis. Neque enim cùm è cœlis deſcenderet, eoſdem vacuos, neque cùm aſcenderet, terram ſua adminiſtratione deſtitutam reliquit. Decebat filios lucis lucernam verbi publicè ac palàm circumferre. Non enim ſic divina ſacráque myſteria contumelioſè tractabantur: neque character veritatis recens illuſtratis impreſſus, ignominis ulla afficiebatur. De-
Prov. 1, 20. cebat etiam eoſdem in plateis hymnos canere. *Sapientia enim foris prædicatur, in plateis cum libertate agit, quin & in ſummis tectis prædicatur.* Purgemus igitur aërem, quem cantilenæ meretriciæ inquinarunt, & quem infecerunt olim vociferationes impiorum & ululatus eorum qui dæmonibus nefanda ſacrificia & piacularia faciebant: ſiquidem verbi luce, & aër, & terra & cœli ipſi purgati ſunt, quemadmodum enim ingemiſcit & cœlum & terra ob ſcelera hominum: ſic rurſus lætatur juſtitia eorum, qui omni officio rectè piéque perfunguntur. Cùm enim homo peccat, indignatur cœlum,
Hier. 2, 12. indignatur terra, ut ait Hieremias. *Obſtupuit cœlum ſuper hoc, & inhorruit terra, quia duo & mala fecit populus.* Ecce quomodo cœlum exhorreſcit & terra, quoties homines ſeſe ſceleribus contaminant. Cùm verò ſeſe transmutant in pietatem, audi Pro-
Eſa. 49, 13. phetam dicentem: *Lætentur cæli, & exultet terra, erumpant montes lætitiam, & colles exultationem; quia miſertus eſt Deus populi ſui.* Quinetiam Eccleſia, quæ tanto cœtu & populo redundat & floret,
Ibidem. Prophetæ vocem uſurpet Ego quondam derelicta ſum ſola, iſti verò mihi ubi erant? ego abſque liberis, & vidua, iſtos verò quis mihi genuit? Sed & filii Eccleſiæ, qui in hac multitudine continentur,
Eſa. 49, 24. cum Propheta dicant: *Locus mihi anguſtus: fac ſpatium mihi, ubi habitem.* Cùm enim vigeret horror, cùm ſerpens ulcus hæreſeos omnem hanc urbem depaſceretur: omnes Eccleſiæ filii erant abſumpti. Et ſicut locuſta ei quæ ſub cœlo eſt terræ ſuperveniens, fructus ejuſdem conſumit: ſic pernicioſa illa doctrina fructus veræ doctrinæ & pietatis perimebat. Verumtamen hodie dilectiſſimi pernicioſa illa doctrina exploſa; ſalutaris illa, quæ populum regenerat, recepta eſt: quæ in hunc modum populum alloquitur: Nunc retribuam pro fœtibus, quos tibi eruca & locuſta, rubigóque abſumpſit. Quid contendis hæretice cum Judæis gloriam unigeniti occultare? Occultarunt illi quidem quantum in ſe fuit, reſurrectionem ejus: tu verò, quantum in te eſt, divinam ipſius naturam occultas. Verùm nec illi veritatem ſibi jure vindicant, neque tu pietatem perſpectam habes. Audi igitur Prophetam dicentem, Contexit cœlos virtus ejus, & laude ejus plena eſt terra. Laude, inquam, non comprehenſione & perceptione: Fide, non

A οὐκ τοῦ ἐρευνῶντος οὐκ ἀγνοοῦντός ἐστιν, ἀλλ' εἰδότος, ἐπήγαγεν· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ, καὶ γνῶσιν ἐπιγράφει τῷ πνεύματι, οὐ τὴν ἐκ τῆς φύσεως κατάληψιν, ἀλλὰ τὴν ἐκ τῆς φύσεως ἐπίγνωσιν. τοιγαροῦν μὴ μέριζε τὴν ἀμέριστον φύσιν, μὴ τέμνε τὴν ἀδιαίρετον οὐσίαν· γνώριζε δὲ μᾶλλον τὴν δύναμιν ἀκριβῶς. εἷς καλεῖται ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. περὶ μὲν γὰρ τοῦ πατρὸς λέγει ὁ υἱὸς, ὅταν ἴδητε τὸν υἱὸν ἀνθρώπου καθήμε- B νον ἐκ δεξιῶν τῆς δυνάμεως. καὶ δύναμιν εἰρηκὼς, ἔστησε τὴν δόξαν, ἵνα θαυμάσῃς τὴν ἔννοιαν. αὐτὸν τὸν πατέρα καὶ Θεὸν καλῶν δύναμιν πρὸς Καϊάφαν διαλεγόμενος, ἔφη, ὅταν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως. δύναμις οὖν ὁ πατὴρ, δύναμις δὲ καὶ ὁ υἱὸς, ὡς λέγει Παῦλος· Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· δύναμις καὶ τὸ πνεῦμα τὸ ἅγιον. λέγει οὖν ὁ Σωτὴρ τοῖς μαθηταῖς, μείνατε ἐν Ἱε- C ρουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. εἰδὼς οὖν, ἀγαπητὲ, ἐν πατρὶ, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι τὴν ὁμοίαν ταύτην δύναμιν, ἔχε τὴν πίστιν ἀσάλευτον. μὴ μερίσῃς τὴν δόξαν τὴν ἀκατάληπτον, ἀλλ' ἐπίγνωθι τὰς συνθήκας τοῦ φωτίσματος. βλέπε τοὺς υἱοὺς τῆς χάριτος διὰ τοῦ μεγάλου ἀρχιερέως ἀνθήσαντας. βλέπε τὰ τέκνα τοῦ φωτὸς δραμόντα πρὸς τοὺς κήρυκας τοῦ φωτός. δεῖ γὰρ τοὺς ἀπὸ τοῦ φωτίσματος ἀναγεννηθέντας δραμεῖν πρὸς D τοὺς τὴν οἰκουμένην ἀναγεννήσαντας. εἴπωμεν καὶ ἡμεῖς μετὰ τοῦ προφήτου καὶ τῶν ἀποστόλων· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. καὶ πάλιν, ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι πάντας αὐτοὺς ἐνδύσῃ ὡς κόσμον νύμφης. ἕστηκε τοίνυν Ἡσαΐας σήμερον λέγων πρὸς τὰ τῶν φωτισθέντων πλήθη, τοὺς γεννηθέντας ἐν πνεύματι, ἀθρόον ἀνακαινισθέντας, τοὺς ἐν μιᾷ ῥοπῇ μεταβληθέντας, τοὺς ἀπὸ γηΐνης καταστάσεως οὐρανίων εἰκόνα E μεταποιηθέντας. ἐκπλήττεται γὰρ Ἡσαΐας λέγων· τίς εἶδε, τίς ἤκουσε τοιαῦτα, ὅτι ἔτεκεν ἡ γῆ τὰ τέκνα αὐτῆς ἐν ἡμέρᾳ μιᾷ, καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ; ταχεῖα γὰρ τοῦ πνεύματος ἡ ἀναγέννησις, οὐκ ἀναμένει χρόνους, οὐ δουλεύει καιροῖς καὶ γενεαῖς. ἀλλ' ἅμα βούλεται, ἅμα ὑφίσταται τὸ ἀναγεννώμενον. ἔπρεπε τοῖς υἱοῖς τοῦ φωτὸς ἅπασαν τὴν ἀγορὰν πομπεύειν καὶ δοξάζειν, καὶ ἀναφωνεῖν ἐκεῖνον τὸν δι' αὐτοὺς ἐλθόντα κάτω, ἵνα ἅπασαν τὴν οἰκουμένην ἀναγάγῃ πρὸς ἑαυτὸν ἄνω. Χριστὸς κατῆλθεν ἐκ τῶν οὐρανῶν· κατῆλθεν οὐ A μεταστὰς τῶν οὐρανῶν· ἀνῆλθεν οὐ μεταστὰς τῆς γῆς. οὔτε γὰρ κατελθὼν, τοὺς οὐρανοὺς ἐρήμους κατέλιπεν· οὔτε ἀνελθὼν, ἔρημον τὴν γῆν τῆς αὐτοῦ ἐπιστασίας ἀπέλιπεν. οὕτως ἔπρεπε τοῖς υἱοῖς τοῦ φωτὸς τὴν λαμπάδα τοῦ λόγου περιφέρειν ἐν ταῖς ἀγοραῖς· οὐχ ὑβρίζετο τὰ μυστήρια, οὐκ ἠτιμάζετο τῶν νεοφωτίστων ὁ χαρακτὴρ τῆς ἀληθείας. ἔπρεπε καὶ αὐτοῖς ἐν πλατείαις ὑμνεῖν, Σοφία γὰρ ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων B κηρύττεται. καθάρωμεν τὸν ἀέρα, ὃν ἐμίαναν τὰ πορνικὰ ᾄσματα, καὶ ἐχραίναν ποτὲ βοαὶ ἀσεβῶν, καὶ ὀλολυγμοὶ τῶν ἐπιτελούντων τὰ τῶν δαιμονίων μιάσματα. ἐκαθαρίσθησαν τῷ λόγῳ τοῦ φωτὸς καὶ ὁ ἀὴρ, καὶ ἡ γῆ, καὶ ὁ οὐρανός. ὥσπερ γὰρ στενάζει καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ ἐπὶ τῇ κακίᾳ τῶν ἀσεβῶν, οὕτως εὐφραίνεται πάλιν ἐπὶ τῇ δικαιοσύνῃ τῶν κατορθούντων. ὅταν μὲν γὰρ ἁμαρτάνῃ ἄνθρωπος, ἀγανακτεῖ ὁ οὐρανὸς, ἀγανακτεῖ δὲ καὶ ἡ γῆ, ὡς φησιν Ἱερεμίας· ἐξέστη C ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός. ὁρᾷς πῶς φρίττει ὁ οὐρανὸς καὶ ἡ γῆ, ἁμαρτανόντων τῶν ἀνθρώπων; μεταποιούντων δὲ ἑαυτοὺς εἰς εὐσέβειαν, ἄκουε τοῦ προφήτου λέγοντος, εὐφρανθήτωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτω τὰ ὄρη εὐφροσύνην, καὶ οἱ βουνοὶ ἀγαλλίασιν· ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. λεγέτω καὶ ἡ ἐκκλησία ἡ τοσούτῳ ὄχλῳ καὶ λαῷ κομῶσα· ἰδοὺ κατελείφθην ποτὲ μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν; ἰδοὺ ἄ- D τεκνος καὶ χήρα, τούτους δέ μοι τίς ἐγέννησε; λεγέτω καὶ τὰ τέκνα τῆς ἐκκλησίας τὰ συνεχόμενα τῷ πλήθει, πρὸς τὸν Θεὸν, τὴν φωνὴν τῶν προφητῶν· Στενός μοι ὁ τόπος· ποίησόν μοι τόπον, ἵνα κατοικήσω. ὅτε γὰρ ἤκμαζε τὰ τῆς πλάνης, ὅτε ἐπενέμετο τὴν πόλιν ταύτην ἡ νομὴ τῆς αἱρέσεως, ἀπήλαυτο τὰ τέκνα τῆς ἐκκλησίας. καὶ ὥσπερ ἀκρὶς ἐπελθοῦσα τῇ ὑπ' οὐρανὸν, ἀναλίσκει τοὺς καρποὺς αὐτῆς, οὕτως ἡ φθοροποιὸς διδασκαλία τοὺς καρποὺς τῆς ὄντως διδασκαλίας ἀνήλισκε καὶ τῆς εὐσεβείας. ἀλλὰ σήμερον, ἀγαπητοὶ, E ἐξεβλήθη ἡ φθοροποιὸς διδασκαλία, καὶ εἰσῆλθεν ἡ σωτήριος χάρις ἀναγεννῶσα τὸν λαὸν, καὶ λέγουσα πρὸς αὐτόν. Νῦν ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ κάμπη καὶ ἡ ἀκρὶς καὶ ἡ ἐρυσίβη. τί φιλονεικεῖς, αἱρετικὲ, μετὰ Ἰουδαίων κρύψαι τὴν δόξαν τοῦ μονογενοῦς; ἐκεῖνοι μὲν ἔκρυψαν τὴν ἀνάστασιν, ὅσον ἐπ' αὐτοῖς· σὺ δὲ κρύπτεις τὴν θεότητα, ὅσον ἐπὶ σοί. ἀλλ' οὔτε ἐκεῖνοι ἐπεγράψαντο τὴν ἀλήθειαν, οὔτε σὺ συνῆκας τὴν εὐσέβειαν. ἄκουε γοῦν τοῦ προφήτου λέγοντος· ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ· τῆς αἰνέσεως, οὐ τῆς καταλήψεως· πίστεως, οὐκ ἐξετα-

ἐξετάσεως· ἀγάπης, οὐ ζητήσεως. οὐ ζητεῖν ἐδιδάχθημεν, ἀλλὰ πιστεύειν ἐπαιδεύθημεν. πιστεύοντες φωτιζόμεθα, οὐ πολυπραγμονοῦντες βαπτιζόμεθα. μὴ ἀπατάτω σε τὰ τῶν αἱρετικῶν συστήματα. βάπτισμα γὰρ ἔχουσιν, οὐ φώτισμα· καὶ βαπτίζονται μὲν σώματι, ψυχῇ δὲ οὐ φωτίζονται. ὥσπερ γὰρ καὶ Σίμων ἐβαπτίσθη, ἀλλ' οὐκ ἐφωτίσθη· οὕτω καὶ αὐτοὶ ἀκολούθως εὑρίσκονται. ἀγαλλιάσθω τοίνυν τὰ πνεύματα τῶν ἀποστόλων τὰ τῇ πνευματικῇ σαγήνῃ τὸν πολὺν τοῦτον λαὸν σαγηνεύσαντα διὰ τοῦ ἁγίου πνεύματος. B νῦν πεπλήρωται ἐν ὀφθαλμοῖς ἡμῶν ἡ προφητικὴ φωνή. ἐν ταῖς ἐσχάταις ἡμέραις λέγει ὁ Θεὸς, οὐκέτι μὴ εἴπωσιν, ἰδοὺ ἡ κιβωτὸς διαθήκης ἁγίου Ἰσραὴλ [ἀντὶ τοῦ, ἡ παλαιὰ λατρεία] οὐδὲ μὴ ἀναβήσεται εἰς τὴν καρδίαν αὐτῶν ἡ διαθήκη τῆς κιβωτοῦ. διὰ τί; ὅτι ἰδοὺ ἐγὼ ἀποστέλλω πολλοὺς θηρευτὰς καὶ ἁλιεῖς. περιέγραψε τὴν κιβωτὸν τὴν παλαιὰν, καὶ εἰσήγαγε τὴν κιβωτὸν τῆς ἐκκλησίας τὴν μὴ ἀπολλυμένην. ἀποστέλλω πολλοὺς θηρευτὰς καὶ ἁλιεῖς. C ὢ ξένης ἁλιείας. ὁ χθὲς ἁλιευθεὶς, σήμερον ἁλιεύει. ἐπληρώθη γὰρ ἡ γῆ τῆς δόξης τοῦ Χριστοῦ, καὶ πεπλήρωται τῆς πίστεως τῆς οἰκουμένης τὰ πέρατα. Μὴ οὖν ὑβρίζετε τὴν ἀξίαν διὰ τὴν οἰκονομίαν. παρὰ Ἰουδαίοις ἐξῆλθεν ὁ λόγος, ὅτι ἐψεύσθη ἡ ἀνάστασις· καὶ ἐξῆλθεν ὁ λόγος, ὅτι ἐψεύσθη ἡ ἀνάστασις· καὶ ἐξῆλθεν ὁ λόγος, ὅτι οἱ μαθηταὶ αὐτοῦ ἔκλεψαν αὐτόν. ἐκεῖνοι μὲν οὖν ἀπεφήναντο θάνατον κατὰ τοῦ σώματος, οἱ δὲ τὴν θεολογίαν, ὅσον ἐπ' αὐτοῖς, ἐκχέουσιν. ἀλλὰ παρ' ἐκείνοις D μὲν ἡ πλάνη πολιτεύεται σήμερον, παρὰ δὲ τῇ ἐκκλησίᾳ ζωὴ αἰώνιος κηρύττεται. καὶ εἰ βούλει, ἔχεις καὶ εἰκόνα παλαιάν. ὥσπερ γὰρ ὅτε ἐπεβούλευσαν τῷ Ἰωσὴφ οἱ ἀδελφοὶ, Ἰακὼβ καὶ ὁ οἶκος αὐτοῦ ἐπένθει αὐτὸν σφοδρῶς, ἀλλ' ἡ Αἴγυπτος εἶχεν αὐτὸν ζῶντα καὶ βασιλεύοντα· οὗτος παρὰ τῷ Ἰακὼβ νεκρὸς ἐπενθεῖτο, ἐν δὲ τῇ Αἰγύπτῳ ζῶν ἐβασίλευεν· οὕτω καὶ νῦν παρὰ μὲν τῇ συναγωγῇ καὶ τῇ τῶν αἱρετικῶν μανίᾳ νεκρὸς νομίζεται [νεκροῦσι γὰρ τὴν θεολογίαν οἱ E πίστιν ἀναιροῦντες καὶ ζήτησιν εἰσάγοντες] παρ' ἡμῖν δὲ βασιλεύει ζῶν καὶ ἀξίως προσκυνούμενος. ἀλλ' ὄντως ἰσχυρὸς ὁ τοῦ Θεοῦ λόγος, ἀήττητος ἡ τῶν ἀποστόλων διδασκαλία. ὥστε οὐκ εἰκῆ κάμνει Παύλου ἡ φωνὴ συνηγορήσαντος τῇ ἀληθείᾳ· ἀλλ' οὖν εἰπὲ, ὦ μακάριε Παῦλε, ὑπὲρ τῆς ἀληθείας κινούμενος, ἀγανάκτησον ὑπὲρ τῆς πίστεως, ἀγανακτῶν εἰπὲ τοῖς αἱρετικοῖς· πόθεν ἐδιδάχθητε τὰ Ἀριστοτελικά; τίς τὸν Πλάτωνα προετίμησε τῶν εὐαγγελικῶν; τίς ἐξέβαλε A τὸ κήρυγμα τῆς πίστεως, καὶ εἰσήγαγε τὴν ἄπιστον ζήτησιν; ποῦ ἔμαθες τὸ, ἀγέννητος καὶ τὸ, γεννητός; κατέλιπες * πατέρα, διέπτυσας τοῦ υἱοῦ τὴν προσηγορίαν, ἀναξίαν ἐνόμισας τοῦ πνεύματος ἀξίαν, εἰς ἀνθρώπινα ῥήματα τρέπῃ. καλῶς ἔλεγεν Ἱερεμίας· Ἀπώλετο πίστις ἐκ τοῦ στόματος αὐτῶν. τί εἶπε Πέτρος, καὶ ἐμακαρίσθη; σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. οὐκ εἶπε, σὺ εἶ τὸ γέννημα τοῦ ἀγεννήτου. ἀλλὰ, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. [ὅτε ἀπεκάλυψεν αὐτῷ ὁ πατὴρ τὴν B σοφίαν, οὐκ ἤδει καταλαβεῖν;] μὴ γὰρ οὐκ ἠδύνατο εἰπεῖν ὁ Χριστὸς τοῖς ἀποστόλοις, ὅτε ἐκέλευσεν αὐτοὺς βαπτίζειν, πορευθέντες βαπτίσατε τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ ἀγεννήτου καὶ γεννητοῦ; ἀλλὰ ὄνομα εὗρε σοφώτερον τῶν μυστικῶν παραδόσεων. περιγράφεις τὰ θεῖα, ἀναιρεῖς τὴν πίστιν, καὶ εἰσάγεις ζήτησιν. ἀλλὰ φοβήθητι, ἐχθρέ. Πέτρος κατέχει τὰς κλεῖς· ἐπειδὴ εἶπε, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, κλεῖς ἔλαβεν. οὓς δ' ἂν βλέπῃ Πέτρος C υἱὸν λέγοντας, τούτοις ἀνοίγει τὴν θύραν τῆς βασιλείας· ὅσους δὲ ἐὰν εὕρῃ κτίσμα λέγοντας καὶ βλασφημοῦντας, τούτοις ἀποκλείει τὴν θύραν τῆς ἐκκλησίας. οὐ πρότερον γὰρ ἔλαβε τὰς κλεῖς, ἕως εἶπε, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ· τότε καὶ αὐτὸς ἀκούει παρ' αὐτοῦ· "μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ· σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. μετὰ τὴν πίστιν ἡ παράδοσις τῆς ἐκκλησίας, καὶ τῆς βασιλείας. ἀλλ' οἱ μὲν κατὰ τοῦ υἱοῦ στρατεύονται, οἱ δὲ κατὰ τοῦ ἁγίου D πνεύματος παρατάττονται. οὐδὲν δὲ ὄφελος τὸν Χριστὸν μὲν ὁμολογούντων, καὶ πνεῦμα ἅγιον ἀθετούντων· ὥσπερ οὐδὲν ὄφελος τῶν τὸν πατέρα ὁμολογούντων, καὶ υἱὸν ἀθετούντων· ὁμολογοῦσι γὰρ καὶ Ἰουδαῖοι τὸν πατέρα, τὸν υἱὸν ἀρνούμενοι, καὶ οὐκ ἔχουσι ζωὴν αἰώνιον· ὁ παρορῶν τοῦ υἱοῦ τὴν δόξαν, οὐ δεκτός ἐστι παρὰ τῷ πατρί. πρόσεχε ἀκριβῶς· καὶ γὰρ οἱ φίλοι τοῦ Ἰὼβ τῷ Θεῷ μὲν συνῆλθον, τὸν E δὲ Ἰὼβ κατέκριναν. ὁ δὲ Θεὸς οὐδὲ τοὺς συνηγορήσαντας αὐτῷ ἀπεδέξατο· ἀλλὰ λέγει· διὰ τί κατελαλήσατε κατὰ τοῦ θεράποντός μου Ἰώβ; εἰ κατὰ τοῦ Ἰὼβ εἰρηκότας τοὺς φίλους καὶ αὐτὸν δοξάσαντας οὐκ ἐδέξατο, τοὺς τὸν υἱὸν ἀθετοῦντας καὶ αὐτὸν ὁμολογοῦντας * δέξηταί ποτε; οὐδαμῶς· ὁ γάρ, φησι, μισῶν ἐμὲ, καὶ τὸν πατέρα μου μισεῖ.

A indagatione: Charitate non diſputatione. Equidem non diſputare, & quærere edocti, ſed ad credendum inſtituti ſumus. Credentes illuminamur: non curioſè inquirentes baptizamur. Neque verò tibi hæreticorum cœtus imponant. Baptiſmum illi quidem habent: non autem illuminationem: & corpore quidem baptizantur, animo verò non illuminantur. Et veluti Simon ille baptizatus eſt, non autem illuminatus: ſic & iſti ſimiliter deprehenduntur. Quare exultent Apoſtolorum ſpiritus, qui ſpirituali ſagena hunc multum poB pulum per Spiritum ſanctum ceperunt. Hodie ſiquidem illud (Hier. 3. 16) Prophetæ oraculum in oculis noſtris ad finem deductum eſt: *In ultimis diebus, ait Deus, nequaquam ampliùs dicant, Ecce arca fœderis ſanctis Iſrael*: (quaſi diceret, cultus antiquus & religio) *neque aſcendet ſuper cor eorum fœdus arca.* Quid ita? *Quoniam ecce ego mitto multos venatores piſcatores.* Et veterem illam quidem arcam antiquavit, arcámque Eccleſiæ permanentem & non pereuntem introduxit: Mitto multos venatores & piſcatores. O novam piſcatioC nem! qui heri piſcando captus eſt, hodie piſcatur. Etenim orbis terræ gloria Chriſti, & fines ejuſdem fide in Chriſtum referti ſunt. Nuli igitur dignitatem Dei propter œconomiam in carne contumelia afficere. Etenim à Judæis hæc profecta eſt oratio: reſurrectionem eſſe venditam: quin & illud inde percrebuit, diſcipulos eum ſuſtuliſſe. Illi igitur mortem de dominico corpore prædicant: hi verò quantum licet & poſſunt, doctrinam de divina ipſius natura divulgant & annuntiant. Verum apud iſtos omnis error ſibi quodD dam quaſi domicilium hodie conſtituit: In Eccleſia autem vita omnibus æterna annuntiatur. Nec deſunt, quibus eum ex veterum monumentis iſti comparari queant. Quemadmodum enim cum (Gen. 37) fratres Joſepho inſidiarentur, Jacobus & ejus familia eundem valde lugebat: ille nihilominus in Ægypto ſuperſtes regiis muneribus perfungebatur. Hic inquam, velut demortuus lugebatur, & tamen vivus Ægypti regnum moderabatur: ſic etiam hodie in ſynagoga & in hæreticorum inſanis conventiculis & conciliabulis ChriE ſtus mortuus (omnem ſiquidem de Deo doctrinam evertunt, qui fide abrogata diſputationes & quæſtiones adferunt) apud nos verò & regnum obtinet, vivitque & merito divinis honoribus atque ſumma veneratione & cultu colitur. At divina oracula firma & conſtantia ſunt: invicta eſt etiam Apoſtolorum doctrina. Itaque non fruſtra laborat Pauli vox cum veritatis cauſam agit. Age Paule pro veritate etiam concitatiùs pugna, indignare pro fidei defenſione, commotuſque hæreticis dicito: undenam Ariſtotelica edocti eſtis? Quis PlaA tonem Evangelicis oraculis antepoſuit? Quis fidei doctrina exploſa, impias ejuſmodi quæſtiones movit? Ubinam ingenitum & genitum illud didiciſti? Defeciſti à patre, filii appellationem fœdè conſpuiſti: ([illegible]) Spiritum ſanctum ignominia affeciſti, in humanas nugas & commenta defixus: Præclarè dicebat Hieremias: *Periit fides ex ore ipſorum.* (Hier. 7, 28) Quod verò illud proloquium beati Petri fuit, propter quod ille à Domino beatus eſt pronuntiatus? Tu es Chriſtus filius Dei: non dixit ille, Tu es proles genita ingeniti, ſed, *Tu es Chriſtus filius Dei.* (Matt. 16, 16) B Quid? cum cœleſtis pater illi Sapientiam divinitatis patefaceret, non capere poterat? Quid quum Jeſus ſuis ut irent & baptizarent, (Matt. ult.) imperaret, annon potuit dicere. *Abeuntes baptizate ipſos in nomine ingeniti & geniti?* Sed excogitavit ille Hæreticus ſcilicet ſapientius vocabulum multò, quàm ſint ea quæ in divinis arcaniſque traditionibus continentur. Sed Hæretice calumniaris & evertis ſcripturas è medio omnem fidem tollis, & quæſtiones introducis. Atqui, inimice, metue. Petrus ſiquidem claves obtinet & quia dixit: Tu es C Chriſtus filius Dei, claves accepit. Quos ergo Petrus Filii appellationem uſurpantes obſervat, illis regni cœlorum januam recludit: (Matt. 16) quoſcunque verò calumniari filium & rem creatam atque conditam appellare cognoverit, iis Eccleſiæ fores occludit. Neque verò priùs quàm dixiſſet, Tu es filius Dei, claves accepit: & ſimul ac dixit, ex Domino audit: *Beatus es Simon Bar-Jona, tibi dabo claves regni cælorum.* (Matt. 16, 17) Poſtquam confeſſus eſt, poteſtas ei conceſſa, & poſt fidei profeſſionem Eccleſia ejuſque moderatio commiſſa & tradita eſt. D Verùm alii quidem adverſus Filium pugnant, alii adverſus ſpiritum ſanctum moventur. Atqui nihil illis prodeſt Filium confiteri, ſpiritum ſanctum verò pernegare. Quemadmodum & contra nihil utilitatis iis adfert, qui Patrem quidem confitentur: Filium inficiantur. (Pneumatomachi.) Equidem & Judæi Patrem illi quidem aſſerunt, Filium verò non agnoſcunt, nec tamen propterea vita æterna potiuntur. Qui enim Filii gloriam deſpicit, næ ille Patri haud quaquam gratus acceptuſque fuerit. Attende itaque ſtudioſè: Amicis quidem Jobi cum Deo conE veniebat, illi vero Jobum condemnabant. Atqui Deus eoſdem licet præclara quædam de ſe dixiſſent, non idcirco probavit: ſed objicit, *Cur vos adverſus famulum meum Job loquuti eſtis?* (Job 42, 7) Si itaque Deus amicos, qui cum Jobo expoſtulaverant, licet de ſe ipſo laudabiliter in illis ſermonibus quædam attuliſſent, non probavit: an putamus illum, eos, qui ſeſe confitentur, filio autem detrahunt, amplexurum eſſe unquam? Minimè id quidem. *Qui enim,* inquit, *me odio proſequitur, etiam patrem odio habet.* (Joan. 15, 23)

Jam

Jam verò, quemadmodum pater honorem, qui ipſi habetur, repudiato filio, non agnoſcit, ita neque Patri neque Filio quicquam honoris deferri poteſt, repudiato Spiritu ſancto. Divus quidem Paulus adverſus ejuſmodi hæreticorum zizania, quæ uti initium quoddam ſumpſerunt ita liberè & apertè nunquam agere ſuſtinuerunt, aliquid præclarè & liberè enuntiavit. Quum enim Epheſi in Aſia incidiſſet in Baptizatos quoſdam, ex ipſis quærit, num Spiritum ſanctum ſimul ac credidiſſent, accepiſſent: at illi, ſe verò neque an Spiritus ſanctus ſit, ne fando quidem audiviſſe, reſponderunt. Hinc præclara illa vox, In quid igitur baptizati eſtis? Petrus Eccleſiam inſtituat: & Paulus ullas ejuſmodi hæreticas quæſtiones nectere prohibeat. Unde enim illa ignominioſa Eunomii appellatio? unde hæretica illa ſemina? Veritatis doctrina apud impios illos tota ſubverſa eſt: invaluitque & recepta eſt doctrina Ariſtotelica. Quid? tùne humanæ naturæ terminis divinam ingenitámque naturam metiris? tu ne genitam aſſeris? quid inquit, quomodo tu patrem appellas? ingenitum inquam, ſed ſecus atque tu Patrem appello ingenitum, quandoquidem genitus non eſt. Sed & Adamum ingenitum appello: quippe quòd non genitus eſt, ſed è limo formatus. Noli tu auditores his novis commentis abalienare. Figmenta hæc ſunt. Ingenitus Pater: atqui multi etiam alia ingenita ſunt. Enimverò quidquid nondum gignitur, ingenitum dicitur. Quin etiam ingenitum appellatur, quod quidem fit, nondum verò factum eſt: velut eorum, qui vita functi ſunt, reſurrectio; nunc quidem ingenita eſt: fit autem, ſed nondum genita eſt: & eſt incondita cum nondum ſit in lucem edita. Dicitur & ingenitum quod factum eſt ſive extitit nunquam: neque verò fas eſt unquam exiſtere aut fieri. Cujus generis ſanè permulta ſunt ingenita, cum apud alios Prophetas, tum verò Danielem, cum ait: Aſpiciebam quatuor beſtias egredientes è mari, & erat prima beſtia quaſi leæna, & alæ ejus ſicut aquilæ. At ubinam locorum leænam feram ejuſmodi ſpecie & habitu conſpexiſti? Ubinam animal ferreis unguibus, æreiſque dentibus præditum vidiſti? Atqui hæc contemplationis gratia à Propheta adhibentur: nequaquam verò vel extiterunt unquam, vel etiam exiſtunt: ſed eſt illud animal ingenitum, nec unquam fuit, & duntaxat eſt nominatum, quæ nam verò mulieres pennis præditæ extiterunt, cujuſmodi Zacharias alis inſtructas novit? Ubi verò pardalim alatam conſpexiſti? Hæc verò omnia beatus Daniel explicat. Ubi verò ſtatuam, quæ ex auro, argento, ære, ferro & teſta conflata eſſet, vidiſti, cujuſmodi illa eſt apud Danielem? Unumquodq; eorum, quæ expoſui, ingenitum eſt. Neque enim extiterunt, literis autem prodita ſunt: & velut artificioſè ad contemplandum excogitata. Ne igitur arbitreris, te Patri magnum quippiam, & præcellens tribuere: cùm illum ingenitum appellas: eo quòd plura etiam alia, nondum exiſtentia, tamen ingenita dicantur. Non ſum inſcius, quantos quámque altos ſenſus hæc oratio in ſeſe contineat. Verùm ut hæreticorum pravitatem manifeſtò convincam, ac teneam, huc omnis ſeſe mea convertit oratio. An non etiam homo ingenitus appellatur, qui nempe nondum ſit genitus? Atqui qui nondum genitus ſit, quo ille pacto genitus dici queat, ais? Ego verò tibi hominem necdum genitum demonſtrabo. Dicit igitur Servator, de Juda proditore: *Væ homini illi per quem Filius hominis traditur.* Equidem bonum erat ei, ſi natus non fuiſſet homo ille. At quanam ratione præſtabilius ei fuiſſet, ſi enim quod in rerum natura non eſt, neque profuerit quicquam, neq; etiam obfuerit. Sed & Salomon hominem beatum pronuntiat, qui nondum natus ſit: his verbis Beatus ille eſt potius, an, qui ſuo fato functus eſt, quam qui in vivis eſt: atq; adeò his duobus beatior ille eſt, qui nondum genitus eſt. At ſi nec dum natus eſt, quomodo beatus? Conſidera voces de natura, nec dum genita. Hominem nec dum in lucem editum, nec dum formatum, beatum dixit. Quare ingeniti notatio divinam naturam non interpretatur: neque adeò, ut tu contendis, ingenitam eſſentiam declarat: neque honorem Patri tribuit: cum apud Prophetam alia nomina & ingenitarum & genitarum rerum extent, uti demonſtravimus: Verum quod factum non eſt, vel quod non fuit, tantum declarat. Sed quid multis opus? cum Davide illis reſpondeamus: *Narraverunt mihi iniqui fabulationes, ſed non ut lex tua Domine.* Amplectere vocem Petri: Pauli doctrinam: *Chriſtus ſecundum carnem qui eſt ſuper omnia Deus benedictus in ſecula.* Spiritus ſanctus omni cultu adoretur, celebretur, glorificetur. Equidem è divinis oraculis de Deo diſſerimus: ſive nolint, ſive velint adverſarii. Sed & divus Paulus à nobis ſtat, cum dicit: *An non ſcitis, quòd templum Dei eſtis vos?* Et quis in hoc templo habitat? Et, Spiritus Dei habitat in vobis? Aliud eſt itaque templum, aliud, qui inhabitat. An non audiviſti Petrum dicentem: *Anania, cur tentavit Satanas cor tuum, mentiri te Spiritui ſancto?* tumque ſubjicit: *non mentitus es hominibus, ſed Deo.* Sed urgent Hæretici: Non ille Spiritum appellavit Deum. Quia verò Spiritus à Deo miſſus eſt: qui contumelioſe de Spiritu ſentit, Deum contumelia afficit,

Act. 19.

Locus non caret menda, vertitaque ut potius.

Zach. 5.

Dan. 7, 3.

Matt. 26, 24.

Salomon.

Psal. 118, 85.

Rom. 9, 5

1. Cor. 3, 16

Act. 5.

ὁμοίως ὥσπερ οὐ δέχεται πατὴρ τὴν εἰς αὐτὸν τιμὴν, τοῦ υἱοῦ ἀθετουμένου, οὕτως οὐδὲ πατὴρ καὶ υἱὸς, ἀθετουμένου τοῦ ἁγίου πνεύματος. Παῦλος γοῦν εὗρε πρὸς τὰ αἱρετικὰ ζιζάνια ἀρχὴν μὲν λαβόντα, οὐδέ ποτε δὲ παῤῥησίαν δεξάμενα. ἐν Ἐφέσῳ γὰρ τῆς Ἀσίας εὑρίσκει τινὰς βαπτισθέντας, καὶ λέγει αὐτοῖς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ ἔφησαν, οὐδὲ εἰ ἔστι πνεῦμα ἅγιον, ἠκούσαμεν· εἶτα ἡ γενναία φωνή· εἰς τί οὖν ἐβαπτίσθητε; παιδευσάτω Πέτρος τὴν ἐκκλησίαν, καὶ Παῦλος μὴ αἱρετικὰ πλέκειν ζητήματα. πόθεν ἡ δυσώνυμος Εὐνομίου προσηγορία; πόθεν τὰ αἱρετικὰ σπέρματα; οὕτως ἀπώλετο ἡ ἀλήθεια παρὰ τοῖς ἀσεβέσι, καὶ ἐκράτησεν Ἀριστοτελικὴ διδασκαλία. τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως λαμβάνεις ἐπὶ τῆς θείας καὶ ἀγεννήτου, καὶ γεννητὸν λέγεις; σὺ δέ, φησι, τί λέγεις τὸν πατέρα; ἀγέννητον λέγω, ἀλλ᾽ οὐχ ὡς σύ. λέγω ἀγέννητον τὸν πατέρα, ἐπεὶ μὴ ἐγεννήθη. ἀλλὰ καὶ τὸν Ἀδὰμ λέγω ἀγέννητον, ἐπειδὴ μὴ ἐγεννήθη, ἀλλ᾽ ἐπλάσθη. μὴ ξένιζε τοὺς ἀκροατάς. ταῦτα πλάσματα· ἀγέννητος ὁ πατὴρ, καὶ πολλὰ ἕτερα ἀγέννητα. λέγεται μὲν οὖν ἀγέννητον πᾶν μὴ τὸ γεννώμενον· λέγεται ἀγέννητον καὶ πᾶν τὸ γιγνόμενον, μηδέπω γενόμενον· ἡ ἀνάστασις τῶν νεκρῶν ἀγέννητός ἐστιν. γίνεται γὰρ, ἀλλ᾽ οὔπω γέγονεν· καὶ ἔστιν ἀκατασκεύαστος, μηδέπω γενομένη· λέγεται ἀγέννητον καὶ τὸ μηδέποτε μήτε γενόμενον, μήτε γενέσθαι ὀφεῖλον, οἷον πολλὰ ἀγέννητα· ἐπεὶ οὖν οἱ προφῆται, καὶ Δανιὴλ μὲν λέγει· ἐθεώρουν τέσσαρα θηρία ἐξερχόμενα ἐκ τῆς θαλάσσης, καὶ ἦν τὸ πρῶτον θηρίον ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῇ ὡς ἀετοῦ. καὶ ποῦ, εἰπέ μοι, ἐθεάσω θηρίον λεαίνης οὕτω διεσκευασμένην ἔχον τὴν κατάστασιν; ποῦ εἶδες θηρίον ἔχον ὄνυχας σιδηροῦς καὶ ὀδόντας χαλκοῦς; ταῦτα δὲ εἰς θεωρίαν ἀνέπλαττεν ὁ προφήτης· οὐ μὴν ἐγένετο, οὐδὲ γίνεται. ἀλλ᾽ ἔστι τὸ θηρίον ἐκεῖνο ἀγέννητον, μηδέπωποτε γενόμενον, ἀλλ᾽ ὀνομασθὲν μόνον. ποῖαι γυναῖκες ἐγένοντο πτερὰ ἔχουσαι, οἵας οἶδε Ζαχαρίας πτερὰ φερούσας; ποῦ ἐθεάσω πάρδαλιν ἔχουσαν πτερά; ταῦτα δὲ πάντα ἐξηγεῖται ὁ μακάριος Δανιήλ. ἢ ποῦ ἐθεάσω ἀνδριάντα ἀπὸ χρυσοῦ, καὶ ἀργύρου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ ὀστράκου τὴν κατασκευὴν ἔχοντα, οἷον οἶδε Δανιήλ; ἕκαστον δὲ τούτων, ἀγέννητον. οὐ γὰρ ἐγένετο. ἀνεγράφη δὲ ὡς πλάσμα καὶ θεωρία. μὴ τοίνυν νομίσῃς μέγα, ἢ τῷ πατρὶ χαρίζεσθαι τῷ λέγειν αὐτὸν ἀγέννητον, διὰ τὸ πολλὰ καὶ ἕτερα μὴ γεγεννημένα, λέγεσθαι ἀγέννητα. οἶδα ὅτι βαθὺς ὁ λόγος· ἀλλ᾽ ἵνα ἐλέγξω τὴν αἱρετικὴν κακίαν, εἰς τούσδε τοὺς τόπους ἐλήλυθα. λέγεται καὶ ἄνθρωπος ἀγέννητος, ὁ μὴ γεννηθείς. καὶ εἰ μὴ ἐγεννήθη, φησὶ, πῶς λέγεται; δείκνυμί σοι ἄνθρωπον μὴ γεννηθέντα. λέγει οὖν ὁ Σωτὴρ περὶ Ἰούδα τοῦ προδότου· οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽ οὗ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου· συνέφερεν αὐτῷ, εἰ μὴ ἐγεννήθη. καὶ πῶς αὐτῷ συνέφερε; τῷ γὰρ μὴ ὄντι οὐδὲν οὔτε συμφέρει, οὔτε ζημίαν φέρει. καὶ Σολομὼν δὲ μακαρίζει ἄνθρωπον τὸν μὴ γεννηθέντα, τάδε λέγων· μακάριος ὁ τεθνηκὼς μᾶλλον ἢ ζῶν, καὶ ὑπὲρ τοὺς δύο ὁ μὴ γεννηθείς. καὶ εἰ μὴ ἐγεννήθη, πῶς μακάριος; βλέπε ὀνόματα ἀγεννήτου φύσεως. εἶπεν ἄνθρωπον τὸν μὴ γεννηθέντα μηδὲ πλασθέντα, μακάριον. ὥστε ἡ τοῦ ἀγεννήτου προσηγορία οὐ φύσιν θείαν ἑρμηνεύει, οὐδὲ, ὡς σὺ λέγεις, ἀγέννητον οὐσίαν σημαίνει, οὐ τιμὴν τῷ πατρὶ φέρει· ὄντων καὶ ἑτέρων παρὰ τῷ προφήτῃ ὀνομάτων ἀγεννήτων τε καὶ γεννητῶν, καθὰ προαποδέδεικται· ἀλλὰ τὸ μὴ γενόμενον δείκνυσι μόνον. ἀλλ᾽ εἴπωμεν πρὸς αὐτοὺς μετὰ τοῦ Δαβίδ, διηγήσαντό μοι παράνομοι, ἀδολεσχίας, ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου Κύριε. τὴν Πέτρου δέξαι φωνὴν, τὴν Παύλου διδασκαλίαν· Χριστὸς κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. τὸ πνεῦμα τὸ ἅγιον προσκυνείσθω, ἀνυμνείσθω, δοξαζέσθω. ἐκ τῶν θείων γραφῶν θεολογοῦμεν, κἂν θέλωσιν οἱ ἐχθροὶ, κἂν μή. μαρτυρήσει δέ μοι καὶ Παῦλος λέγων· οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε; καὶ τίς ὁ κατοικῶν; καὶ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν; ἄλλο οὖν ναὸς, καὶ ἄλλος ὁ ἐνοικῶν. οὐκ ἤκουσας Πέτρου λέγοντος· Ἀνανία, ἵνα τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; καὶ ἐπήγαγεν, οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. ἀλλά φασιν οἱ αἱρετικοὶ, οὐ τὸ πνεῦμα ἐκάλεσε Θεὸν, ἐπειδὴ τὸ πνεῦμα ἐκ τοῦ Θεοῦ ἀπεστάλη. ὁ ὑβρίζων, φησὶ, τὸ πνεῦμα, τὸν Θεὸν ὑβρίζει τὸν ἀποστείλαντα τὸ πνεῦμα. ἀλλ᾽ ἄφρον καὶ ἀλόγιστε [οὐδεμία γὰρ ἄλλη πρέπουσα τῷ ἀθέῳ προσηγορία, εἰ μὴ ἡ τοῦ ἄφρονος. εἶπε γὰρ ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεὸς] οὐκ εἶπεν, ὡς σὺ ἐνόησας.

qui nempe Spiritum ſanctum miſit. Sed ò ſtulte inconſideratéque homo (neque enim alia appellatio impio ſceleſtóque magis

Psal. 14, 1

convenerit quàm ſtulti: *Dixit enim ſtultus in corde ſuo non eſt DEUS:*) non locutus eſt Petrus, ut tu accipis.

εἶπε

A εἰ γὰρ ἡ τοῦ πνεύματος ὕβρις εἰς Θεὸν ἀνέτρεχεν ὡς ἀποστείλαντα, ἐχρῆν εἰπεῖν· οὐκ ἐψεύσω τῷ πνεύματι, ἀλλὰ τῷ Θεῷ. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. δεῖ γὰρ τῇ ἀποστολικῇ χορείᾳ παραχωρῆσαι τὴν ἁγίαν τριάδα ἣν ὁ πατὴρ καταγγέλλει. τριὰς ἀποστόλων, μάρτυς τῆς οὐρανίου τριάδος. χορεύσωμεν οὖν εἰλικρινῶς, καὶ εἴπωμεν, πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα· ἤγουν, ἡ πᾶσα αἵρεσις ἡ ἄνθρωπον ἔχουσα διδάσκαλον, καὶ οὐ Θεόν. γένοιτο δὲ εὐχαῖς B καὶ πρεσβείαις τοῦ κοινοῦ πατρὸς καὶ διδασκάλου, ἀποστόλοις πάντας ἡμᾶς καὶ μάρτυσιν ἐν ὀρθοδόξῳ πίστει συναυλίζεσθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Si enim contumelia in ſpiritum, in Deum redundaret, tanquam qui miſiſſet, dicendum fuiſſet: non mentitus es Spiritui, ſed Deo. Sed hæc quidem hactenus. Fas enim eſt Apoſtolico choro ſanctam Trinitatem concedere quam ipſe pater annuntiat. Trinitatis enim Apoſtolorum, teſtis cœleſtis Trinitatis exiſtit. Chorum ergo ſin- Eſa. 54. 1. cere pureque celebremus: dicamusque plures liberi deſertæ, quàm quæ virum habet: quàm omnis hæreſis, quæ hominem, non autem Deum Doctorem Magiſtrumque habet. Utinam verò orationibus, & precibus communis noſtri Patris & doctoris eveniat, nos cum ſanctis Apoſtolis, & teſtibus in Orthodoxa fide convenire & conjungi in Chriſto Jeſu. Cui ſit gloria in ſecula ſeculorum, Amen.

Εἰς τὴν ὑπαπάντην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὴν Θεοτόκον καὶ εἰς τὸν Συμεῶνα λόγος.

C Οὐ μόνον φορεῖ σάρκα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀλλὰ καὶ κατὰ νόμον περιτέμνεται, ἵνα περιέλῃ τῆς Ἰουδαϊκῆς ἀπιστίας τὴν πρόφασιν. ἔρχεται γὰρ πρὸς τὸν νόμον ὑπὲρ νόμου, ἵνα τοὺς μαθητὰς ἐλευθερώσῃ διὰ τῆς πίστεως τοῦ νόμου· καὶ λαμβάνει σάρκα, καὶ περιτέμνεται μετὰ Ἰουδαίων. ἐκοινώνησε σαρκὸς, ἐκοινώνησε καὶ περιτομῆς· ἐβεβαίωσε τὴν συγγένειαν, ἵνα μὴ ἀρνήσωνται τὸν ἐρχόμενον ἐκ σπέρματος Δαβὶδ Χριστὸν, ὃν καὶ προσεδόκων. ἔδειξε τὸ τεκμήριον τῆς συγγενείας. D εἰ γὰρ περιτεμνομένου αὐτοῦ, ἔλεγον· οὐκ οἴδαμεν πόθεν ἐστίν· εἰ μὴ περιετμήθη κατὰ σάρκα, εἶχεν ἂν πρόφασιν εὔλογον αὐτῶν ἡ ἄρνησις αὐτῶν. ὅτε τοίνυν ἐπληρώθησαν αἱ ἡμέραι ὀκτὼ, τοῦ περιτεμεῖν τὸ παιδίον, ἦν Ἰησοῦς ἐκδεχόμενος τὴν αὔξησιν τοῦ ὀργάνου. ὅτε ἐπληρώθησαν αἱ ἡμέραι ὀκτώ. κελεύει γὰρ ὁ νόμος, τῇ ὀγδόῃ περιτέμνειν, καὶ ἐὰν ἀπαντήσῃ ἡ ὀγδόη, παρέρχεται εἰς μέσον ἰατρὸς καὶ μεταχειρίζεται τὸ σιδήριον, καὶ ἐργάζεται τὴν τέχνην. καὶ ἀργεῖ τὸ σάββατον E διὰ τὴν περιτομήν. ἐρωτήσωμεν τοίνυν Ἰουδαίους· ἄνεσις τὸ σάββατον, ἀργία τελεία ἡ ἡμέρα· τίνος ἕνεκεν ἐκβάλλει ἡ ὀγδόη τὴν ἑβδόμην; διὰ τί ἡ ὀγδόη γίνεται ἐπάνω τῆς ἑβδόμης; ἀλλὰ Ἰουδαῖοι μὲν τὰ Ἰουδαϊκὰ οὐκ οἴδασιν· ἡ δὲ ἐκκλησία τοῦ Χριστοῦ τὸν Χριστὸν οἶδεν, καὶ τὰ Ἰουδαϊκὰ μαθήματα. περιτέμνεται γὰρ τὸ παιδίον τῇ ὀγδόῃ, ἐπειδὴ ἔμελλεν τῇ ὀγδόῃ ἡ ἀνάστασις, ἤγουν ἡ κυριακὴ περιτομὴ εἶναι παντὸς τοῦ κόσμου. διὰ τί γὰρ μὴ προσέταξε Μωϋσῆς περιτέμνειν τῇ A ἕκτῃ; διὰ τί μὴ ἐννάτῃ ἢ τῇ δεκάτῃ; φανερὰ τοίνυν ἡ ὀγδόη, καθ' ἣν ἀνίσταται ὁ Κύριος. εἴ τις οὖν μὴ πιστεύει τῇ ἀναστάσει, ἀπερίτμητός ἐστι τῇ καρδίᾳ διὰ τῆς ἀπιστίας ἀλλοτριούμενος τοῦ Θεοῦ. ἡ δὲ περιτομὴ τῆς πίστεως ἀληθής ἐστι γνῶσις καὶ αἴσθησις. διὰ τοῦτο, ἀγαπητὲ, ἡ περιτομὴ τοῖς πιστοῖς λόγῳ ἁγίου βαπτίσματος παραδέδοται· τὸ δὲ ἅγιον βάπτισμα τύπος ἐστὶ τῆς Χριστοῦ ἀναστάσεως. μετάβα τοίνυν ἀπὸ σαρκὸς εἰς πνεῦμα, καὶ ἀπὸ τοῦ σωματικοῦ εἰς τὴν ἀναγωγὴν τοῦ πνεύματος, καὶ εὑρήσεις ἐκεῖ μὲν σαρκικὴν περιτο- B μὴν, ἐνταῦθα δὲ πνευματικὴν καὶ τῶν ἁμαρτημάτων κάθαρσιν. ὀγδόη δέ ἐστιν ἡ περιτομή. ἡ δὲ ὀγδόη ἐστὶ καὶ ἀνάστασις· τῆς δὲ ἀναστάσεως τύπος τὸ βάπτισμα· ἀπὸ τῶν μικρῶν εἰς τὰ μείζονα, ἀπὸ τῶν σωματικῶν εἰς τὰ πνευματικώτερα. ἐλθοῦσι τοίνυν οἱ Ἰουδαῖοι καὶ προκόψωσιν· δεῖ γὰρ προκόψαι ἀπὸ τῶν σαρκικῶν, καὶ μὴ ἐν αὐτοῖς ἐναπομεῖναι. ὁ μὲν οὖν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μὴ ἐλθὼν καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι, μετὰ Ἰουδαίων περιετμήθη. φη- C σὶν οὖν ὁ εὐαγγελιστής· ἐπληρώθησαν αὐτοῦ ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. ἡμεῖς μὲν γὰρ καλούμεθα μετὰ τὸ τεχθῆναι, Ἰησοῦς δὲ καλεῖται πρὸ τοῦ τεχθῆναι. ἦν γὰρ πρὸ τοῦ συλληφθῆναι. Ἰησοῦς δὲ ἐκλήθη, ἐπειδὴ σωτῆρος εἶχεν τὸ ἔργον. καὶ ὅτε ἐπληρώθησαν, φησὶν, αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, κατὰ τὸν D νόμον Μωϋσέως. τίνος καθαρισμοῦ; τῆς Μαρίας καὶ τοῦ Ἰωσήφ. ἐκέλευε γὰρ ὁ νόμος τὴν νεοτόκον γυναῖκα καθαρίζεσθαι, καὶ τηρεῖν τὰς ἡμέρας, καὶ ἀπρόϊτον εἶναι. ὅτε τοίνυν ἐπληρώθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ κατὰ τὸν νόμον Μωϋσέως. καίτοι οὐκ ἀνάγκην εἶχεν ἡ παρθένος· ἀλλ' ὅμως ὁ νόμος ἐπληροῦτο· ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου. ὅπου καθαρισμὸς σωματικὸς, κατὰ τὸν νόμον, φησὶν, Μωϋσέως. ὅπου παράστασις τοῦ ἁγίου, καθὼς γέγραπται, φησὶν, ἐν νόμῳ Κυρίου· E οὐχ ὅτι ὁ νόμος Μωϋσέως οὐκ ἦν νόμος Κυρίου. ὅσα γὰρ λαλεῖ προφήτης πνεύματι ἁγίῳ διαλεγόμενος, οὐκ αὐτὸς λαλεῖ, ἀλλ' ὁ Κύριος ὑποβάλλει. ὅμως δὲ καὶ ὁ καθαρισμὸς, ἐπειδὴ τύπον εἶχε σωματικὸν, λέγει Μωϋσέως νόμον· ἐπειδὴ δὲ τὸ πρωτότοκον παρίστατο, λέγει κατὰ τὸν νόμον Κυρίου, τιμῶν γινόμενον· καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται· ὁ λόγος οὖν οὗτος καὶ ὁ νόμος ὅλος, καὶ ἡ αἰτία τοῦ νόμου διὰ τὸν μέλλοντα διαιρεῖ-

De occurſu Domini noſtri Jeſu Chriſti deque Deipara & Symeone oratio.

FRONTONE DUCÆO, Interprete.

NOn modò carne ſe veſtit Dominus noſter Jeſus Chriſtus, verum etiam ex legis præſcripto circunciditur, ut omnem Judaicæ incredulitati occaſionem adimat. Venit enim ad legem pro lege, ut per fidem à lege diſcipulos liberet. Et carnem ſuſcipit, & circunciditur cum Judæis. In communionem venit carnis, in communionem venit & circunciſionis: cognationem confirmavit, ne Chriſtum ex ſemine David ortum negarent, quem expectabant: oſtendit indicium cognitionis. Si enim cùm is circuncisus eſſet, dicebant, *Neſcimus, unde ſit*; ſi ſecundùm carnem circuncisus non Joan 6.29 eſſet, ſpecioſam negandi occaſionem habuiſſent. *Poſtquam igi-* Luc. 2. 2. *tur conſummati ſunt dies octo: ut circunciderentur puer*, expectabat Jeſus incrementum inſtrumenti. Poſtquam conſummati ſunt dies octo: lex enim octava die circunciſionem fieri jubet: cumque octava dies venerit, procedit in medium medicus, ac ferrum capeſſit, & artem ſuam exercet, ceſſatq. ſabbatum propter circunciſionem. Interrogemus ergo Judæos: Sabbatum requies eſt, vacatio perfecta eſt dies; qua de cauſa ſeptimam expellit octava? cur ſeptima ſuperior evadit octava? Verum Judæi quidem res Judaicas minimè norunt; at Eccleſia Chriſti Chriſtum novit, & Judaica documenta. Circunciditur enim puer octavo die; quia Dominica reſurrectio die octavo futura erat totius mũdi circunciſio. Cur enim Moyſes, ut die ſexto circunciderent, non imperavit? cur non die nono, vel decimo? Illuſtris igitur & clarus eſt dies octavus, quo die Dominus reſurrexit. Si quis ergo reſurrectioni non credit, incircunciſus eſt corde, ac per incredulitatem alienus à Deo. Ipſa verò circunciſio fidei eſt vera cognitio atque intelligentia. Idcirco, chariſſime, circunciſio fidelibus ſacri baptiſmatis loco traditur: Sanctum verò baptiſma, Chriſti reſurrectionis eſt figura. Tranſi ergo à carne ad ſpiritum, & à corporeo ad myſticam ſpiritus anagogen, illicque carnalem circunciſionem reperies, hic verò ſpiritualem & peccatorum purgationem. Octava porro eſt circunciſio, octava item reſurrectio eſt: reſurrectionis vero figura, baptiſma. Itaque à rebus parvis ad majores, à rebus corporeis ad eas quæ magis ſunt ſpiritales, progreſſus fit. Accedant itaque Judæi, & progreſſum faciant, nam à carnalibus faciendus eſt progreſſus, nec in illis conſiſtendum eſt. Ac Dominus quidem noſter Jeſus Chriſtus non venit ſolvere legem, Matt. 5. 17. ſed adimplere: Cum Judæis circunciſus eſt. Ait igitur Evangeliſta: *Conſummati ſunt illi dies octo ut circunciderentur, & vocatum* Luc. 2. 21. *eſt nomen ejus Jeſus: quod vocatum eſt ab Angelo prius quàm in utero conciperetur.* Nam nos quidem poſtquam partu editus eſt infans, nomen accipimus: Jeſu vero nomen impoſitum eſt, prius quàm pareretur: erat enim antequam conciperetur. Porro Jeſus appellatus eſt, quia Salvatoris opus ſuſceperat. Et poſtquam impleti ſunt inquit, dies purgationis eorum ſecundùm legem Moyſi: cujusnam purgationis? Mariæ ſcilicet & Joſeph. Præcepit enim lex, ut mulier quæ recens peperiſſet, domi ſe contineret, & obſervaret dies, nec foras prodiret: poſt quam igitur impleti ſunt dies purgationis ſecundum legem Moyſi, tametſi neceſſe non erat hoc virgini; veruntamen lex adimplebatur: tulerunt eum in Hieruſalem, ut ſiſterent eum Domino, ſicut ſcriptum eſt in lege Domini. Ubi de purificatione corporis ſit mentio; Secundum legem, inquit, Moyſi; ubi de ſiſtendo ſancto, Sicut ſcriptum eſt in lege Domini. Non quòd lex Moyſi Dei lex non eſſet: nam quæcunque Propheta loquitur ex Spiritu ſancto verba faciens, non ipſe loquitur, ſed Dominus ſuggerit: veruntamen & ipſa purgatio figuram habuit corporalem, quia legem Moyſi dicit: quia verò primogenitum ſiſtebatur, ſecundum legem Domini dicit, ut honorem deferat ei, quod genitum eſt. Sicut ſcriptum eſt in lege Domini, Omne maſculinum adaperiens vulvam, ſanctum Domino vocabitur. Hic igitur ſermo: & hæc ſanctio tota ejusque ratio ferebatur, pro-

propter eum qui vulvam erat aperturus: nunquam enim ulli fœtus animalium hominumve primogeniti vulvam aperuerunt, ſed ſunt tantùm primogenita. Quem autem virgo peperit, is ſolus vulvam aperuit. Conſidera ergo quæſo totius legis conſtitutionem, quæ ad eum referebatur, qui ſolus ex virgine naſciturus erat. Unde verò poterant eam intelligere Judæi? Cùm enim carnales ſint, à ſpiritualis conſequentiæ ſenſibus abſunt quàm longiſſimè. Aſcendunt deinde, ut dent hoſtiam, ſecundùm quod dictum eſt in lege Domini, par turturum, aut duos pullos columbarum. Hæc autem & figuratè ſecundùm legem fiebant, ut ad legem adimplendam nihil deeſſet. Hæ legales ſunt figuræ, veniamus ad Evangelicam narrationem. Et ecce vir in Hieruſalem, cui nomen Symeon, & homo ille juſtus, & timoratus, & Spiritus ſanctus in eo. Hic reſponſum acceperat à Spiritu ſancto non priùs ſe vitam finiturum, quàm videret Chriſtum Domini. Senex erat Symeon, & promiſſionem expectabat in templo, intra illud ſic apud ſe dicens: Ubicunque natus fuerit, huc omnino veniet. Hic venit in Spiritu in templum illa hora, qua parentes puerum inducebant. Sæpe namque venerat, ſed occaſione rerum ſuarum; tum verò à Spiritu ſancto peropportunè deductus advenit, ut promiſſum impleretur. Hic in ulnis ſuis Jeſum accepit, & benedixit Deum, & dixit, Nunc dimittis ſervum tuum, Domine, ſecundùm verbum tuum in pace. Unde dimittis? è ſcammate vitæ hujus. Triſtia namque mera ſunt negotia, & carcer hæc vita. Ille quidem dimitti volebat: ac ſi quis jacturam fieri arbitratur, cùm ex hac vita diſceditur, hic nondum in fide perfectus eſt. Veruntamen dicebat, Nunc dimittis ſervum tuum, Domine, ſecundum verbum tuum in pace. Qui enim pacem facturus eſt mundo, adeſt: conciliator pacis venit, qui cœlum cum terra conjungit, ad ... is qui terram cœlum per Evangelicam doctrinam efficit. Clamat Simeon, Nunc dimittis ſervum tuum Domine ſecundùm verbum tuum in pace: Quia viderunt oculi mei ſalutare tuum, inquit. Quid eſt, quod ait? Antea quidem credebam mente, ac ratione cognoſcebam: jam verò viderunt etiam oculi mei & quod expectavi corde, ecce viderunt oculi mei conſummatum; quid tandem? viderunt, inquit ſalutare tuum. Qualenam illud, quod paraſti ante faciem omnium populorum: non unius populi, neque Iſraëlis ſolùm, ſed ante faciem omnium populorum. Nam qui natus eſt in univerſum magiſter eſt. Lumen ad revelationem gentium; & gloriam plebis tuæ Iſraël. Quare lumen? quoniam in tenebris erant gentes: quoniam tenebris obductas gentes illuminavit. Lumen ad revelationem gentium, & gloriam plebis tuæ Iſraël. Hîc gloria, & illic revelatio: in uno principium magiſterii, in altero conſequens diſciplina. Gloriam plebis tuæ Iſraël. Sed omnino dicet aliquis: Ubinam autem ſunt Iſraëlitæ? habes Petrum, ha-
Act.2,41. & 4,4 bes Paulum, habes Joannem, habes illa tria millia, habes illa quinq; millia, habes Eccleſiam Hieruſalem, habes eos qui ex Judæis crediderunt: ſi quidem in iis qui crediderunt, natio fuit. *Niſi enim Do-*
Eſ.1,9. Rom.11,4. *minus reliquiſſet nobis ſemen, quaſi Sodoma facti eſſemus, & quaſi Go-*
3.Reg.19,18. *morrha ſimiles eſſemus.* Siquidem, inquit Deus, *Dereliqui mihi ſeptem millia virorum*; ſic in populo fidei ſemen conſervabatur, neque populus totus periit. Abſit; neque in interitum ierunt omnes Judæi: quandoquidem & in hoc fœlici ſtatu ac vocatione: multi quidem vocati ſunt, pauci verò electi. Totum enim orbem terrarum vocavit Chriſtus, & ſacrum epulum Evangelii paravit: ſed cùm venerit, ingreditur, & delectum habet: in eoſque, qui recumbunt, inquirit: quòd ſi quem repererit recumbentium, qui nuptialem ve-
Matt.22,11 ſtem non habeat, ait illi: *Amice, quomodo huc intraſti non habens veſtem nuptialem?* tum illum ejicit ut audivimus in Evangeliis. Itaque illic etiam delectus habitus eſt & hîc habebitur: num enim, quia vocati ſumus, ex hoc tempore vim facere debemus, quaſi jam ad perfectionem pervenerimus? nam priorum lapſus, noſtra ſecuritas ut fiat opus eſt. Ita, dilectiſſime, neque totus populus ſemel periit, neque in univerſum interiit, neque in univerſum incredulus
Act.2,41. & 4,4 fuit, neque in univerſum Apoſtolos eſt perſequutus, ſed Apoſtolorum opera ſimul tria millia crediderunt abſque mulieribus & puerulis, & in Hieruſalem multorum millium collecta eſt Eccleſia nondum everſo templo, nondum ejectis Judæis, nondum Hieruſalem
Joan.3,30. ſolo adæquata. Ædificata eſt Eccleſia, & quæ dixerat Joañes, revera contigerunt: *Illum oportet creſcere, me autem minui.* Cùm igitur propheta ſit Symeon ait, Gloriam plebis tuæ Iſraël! Fuit enim expectantium gloria ejus, qui expectabatur, adventus. Et glorificant cùm Joſeph, tum Maria, quæ dicuntur: angelus nuntiũ attulit, Magi agnoverunt, paſtores audierunt, Angelorũ agmina choreas duxerunt, ſtella deſuper indicavit, Aña filia Phanuel Propheta, Symeon Prophetat,

A γονὴν μήτραν ἐξέθετο. ὅλα γὰρ τὰ πρωτότοκα τῶν ζώων καὶ τῶν ἀνθρώπων οὐδέποτε διήνοιξαν μήτραν· ἀλλ' ἦν πρωτότοκα μόνον· ὃν δὲ παρθένος ἐγέννησεν, αὐτὸς μόνος διήνοιξε μήτραν. ὅρα μοι τοίνυν ὅλην τοῦ νόμου τὴν διατύπωσιν διὰ τὸν μέλλοντα μόνον ἐκ παρθένου γεννᾶσθαι. πόθεν δὲ Ἰουδαίοις ταύτην νοῆσαι δυνατὸν ἦν; σαρκικοὶ γὰρ ὑπάρχοντες τὰ νοήματα τῆς πνευματικῆς παρακολουθήσεως πλεῖστον ὅσον ἀπέχουσι νοῆσαι. εἶτα ἀνέρχονται τοῦ δοῦναι θυσίαν B κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. ἐγίνετο δὲ καὶ ταῦτα τυπικῶς κατὰ τὸν νόμον· ἵνα μηδὲν ἐλλείψῃ εἰς συμπλήρωσιν τοῦ νόμου. ταῦτα αἰνίγματά εἰσι νομικά· ἔλθωμεν δὲ εἰς τὴν εὐαγγελικὴν ἐξήγησιν· καὶ ἰδοὺ ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος ἐκεῖνος δίκαιος καὶ εὐλαβής· καὶ ἦν πνεῦμα Θεοῦ ἐπ' αὐτόν. οὗτος ἦν κεχρηματισμένος ὑπὸ τοῦ ἁγίου πνεύματος μὴ πρότερον τελέσαι τὸν βίον, ἕως C ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου. πρεσβύτης ἦν ὁ Συμεών, καὶ ἐξεδέχετο τὴν ἐπαγγελίαν· ἔμενεν ἐν τῷ ναῷ ἔσω ἐκεῖνο λέγων παρ' ἑαυτῷ· ὅπου ἐὰν γεννηθῇ, πάντως ἐνταῦθα ἀπαντᾷ. οὗτος ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερὸν κατ' ἐκείνην τὴν ὥραν, ὅτε οἱ γονεῖς τὸν παῖδα προσῆγον. πολλάκις μὲν γὰρ ἤρχετο· ἀλλὰ κατ' ἰδίαν πρόφασιν· τότε δὲ ὑπὸ τοῦ ἁγίου πνεύματος χειραγωγηθεὶς εὐκαίρως ἔρχεται πρὸς τὴν ἀποπλήρωσιν τῆς ἐπαγγελίας. οὗτος ἐδέξατο ἐν ταῖς ἀγκάλαις αὐτοῦ D τὸν Ἰησοῦν, καὶ εὐλόγησε τὸν Θεόν· καὶ εἶπε· νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. πόθεν ἀπολύεις; ἐκ τοῦ βιωτικοῦ σκάμματος. λυπηρὰ γὰρ τὰ πράγματα, δεσμωτήριον ὁ βίος. ἐκεῖνος μὲν οὖν ἀπολυθῆναι ἤθελεν. εἰ καὶ ζημίαν ἡγεῖται τὴν ἐντεῦθεν ἀναχώρησιν, οὗτος οὐδέπω τέλειός ἐστι τὴν πίστιν. ὅμως ἔλεγεν· νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. ὁ γὰρ μέλλων ποιεῖν εἰρήνην τῷ κόσμῳ, παραγέγονε· ὁ εἰρηνοποιὸς ἐ- E λήλυθεν, ὁ συνάπτων τὸν οὐρανὸν τῇ γῇ, καὶ κατασκευάζων τὴν γῆν οὐρανὸν, διὰ τῆς εὐαγγελικῆς διδασκαλίας, παραγέγονε· Συμεὼν βοᾷ· νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου φησί· τί ἐστιν ὃ λέγει; πρότερον μὲν γὰρ ἐπίστευον τῇ διανοίᾳ, καὶ τῷ λογισμῷ ἐγίνωσκον· νῦν δὲ εἶδον καὶ οἱ ὀφθαλμοί μου, καὶ ὃ τῇ καρδίᾳ προσεδόκησα. ἰδοὺ εἶδον οἱ ὀφθαλμοί μου τὸ τετελεσμένον. τί δέ; εἶδον, φησὶ, τὸ σωτήριόν σου. A ποῖον; ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, οὐ τοῦ λαοῦ τοῦ ἑνὸς, οὐδὲ τοῦ Ἰσραὴλ μόνον, ἀλλὰ κατὰ πρόσωπον πάντων τῶν λαῶν· καθολικὸς γὰρ ὁ τεχθεὶς διδάσκαλος. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. διὰ τί φῶς; ἐπειδὴ πρὸ τὰ ἔθνη ἐν σκότει ὑπῆρχον· ἐπειδὴ τὰ ἐσκοτισμένα ἔθνη ἐφωτίζετο. φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ τοῦ Ἰσραήλ. ὧδε δόξα, κἀκεῖ ἀποκάλυψις· ἐκεῖ διδασκαλίας ἀρχή· ἐνταῦθα ἀκόλουθος μάθησις. δόξαν λαοῦ B σου Ἰσραήλ. ἀλλὰ πάντως ἐρεῖ τις· καὶ ποῦ εἰσιν οἱ Ἰσραηλῖται; ἔχεις Πέτρον· ἔχεις Παῦλον· ἔχεις Ἰωάννην· ἔχεις τοὺς τρισχιλίους· ἔχεις τοὺς πεντακισχιλίους· ἔχεις τὴν τῆς Ἱερουσαλὴμ ἐκκλησίαν· ἔχεις τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας. ἐν γὰρ τοῖς πεπιστευκόσιν ἦν τὸ ἔθνος. εἰ μὴ γὰρ ὁ Κύριος κατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. καὶ γὰρ λέγει ὁ Θεός· εἶτα κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ· οὕτως ἐν τῷ λαῷ ἐφυλάττετο τὸ σπέρμα τῆς πίστεως, καὶ οὐκ ἀπώ- C λετο ὅλος ὁ λαός. μὴ γένοιτο· οὐδὲ διεφθάρησαν πάντες οἱ Ἰουδαῖοι· ἐπειδὴ καὶ ἐν ταύτῃ νῦν τῇ μακαρίᾳ καταστάσει καὶ κλήσει. πολλοὶ μὲν κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. ἐκάλεσε μὲν γὰρ ὁ Χριστὸς πᾶσαν τὴν οἰκουμένην, καὶ παρεσκεύασε τὴν ἁγίαν εὐαγγελικὴν ἑστίασιν. ἀλλ' ὅταν ἔλθῃ ἐν τῇ δευτέρᾳ παρουσίᾳ, εἰσέρχεται, καὶ ποιεῖ ἐκλογὴν, καὶ περιεργάζεται τοὺς ἀνακειμένους· κἂν εὕρῃ τῶν ἀνακειμένων τινὰ μὴ ἔχοντα ἔνδυμα γάμου, λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυ- D μα γάμου; καὶ ἀποβαλεῖ αὐτὸν, καθὼς ἠκούσαμεν ἐν τοῖς εὐαγγελίοις. ὥστε κἀκεῖ γέγονεν ἐκλογὴ, καὶ ἐνταῦθα γενήσεται ἐκλογή. μὴ γὰρ ἐπειδὴ ἐκλήθημεν, ὀφείλομεν ἀπ' ἐντεῦθεν ἤδη βιάζεσθαι ὡς δὴ τὸ τέλειον κατειληφότες; τὸ γὰρ πρώτων τὸ πτῶμα, ἡμῶν ἀσφάλεια γενέσθω. οὕτως, ἀγαπητέ, καὶ ὁ λαὸς οὐχ ἅπαξ ἀπώλετο, οὐδ' ὅλος διεφθάρη, οὐδ' ὅλος ἠπίστησεν, οὐδ' ὅλος ἐδίωξε τοὺς ἀποστόλους· ἀλλ' E ἐπίστευσαν διὰ τῶν ἀποστόλων ἅμα τρισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων· καὶ ἐγένετο ἐν Ἱερουσαλὴμ μυριάνδρος ἐκκλησία μηδέπω τοῦ ναοῦ καταστραφέντος· μηδέπω τῶν Ἰουδαίων ἐκβληθέντων· μηδέπω τῆς Ἱερουσαλὴμ καθαιρεθείσης· ᾠκοδομήθη ἐκκλησία καὶ ἐγένετο τὰ Ἰωάννου τὰ ῥήματα ἀληθῆ ἐναργῶς· ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ὁ τοίνυν Συμεὼν προφήτης ὑπάρχων λέγει, δόξαν λαοῦ σου Ἰσραήλ. δόξα γὰρ τῶν προσδοκώντων ἡ ἀπάντησις τοῦ προσδοκωμένου καὶ δοξάζουσιν ὅ, τε Ἰωσὴφ καὶ Μαρία, τὰ λεγόμενα· ἄγγελος εὐηγγελίσατο· μάγοι ἐπέγνωσαν· ποιμένες ἤκουον· στρατιαὶ ἀγγέλων ἐχόρευον· ἀστὴρ ἐμήνυσεν ἄνωθεν· Συμεὼν προφητεύει· Ἄννα θυγάτηρ Φανουὴλ προφῆτις·

gricola, vel agricola à vite. Ut dicis, pater à filio habet eſſe: non
ἄλ. τοῦ υἱοῦ. eſt igitur agricola, qui non ex operibus ſuis paſcitur. Quid ergo?
filius paſcit patrem? Non, abſit. Deſine inſipientiſſima hæc
loqui. Satius eſt dicere: ſicut agricola gaudet de vite, ita &
Matt. 17, 5. pater in filio: Non enim dixit, Pater meus operatus eſt me: ſed, pa-
2 Petr. 1, 18 ter meus agricola eſt. Gaviſus eſt enim pater in filio. Non audiſti
ipſum dicentem, *Ipſe eſt filius meus dilectus in quo mihi complacui,
ipſum audite?* Quando ſtetit in Jordanis fluentis, non dixit, Ille eſt
quem creavi, quem feci, ſed dixit, in quo mihi bene placitum.
Num & vocem illam rejicis? Et iterum dicit, Deſcendi è cœlo, non
ut voluntatem meam facerem, ſed ejus qui miſit me patris. Qui-
Joan. 6, 42 bus dicebat? Omnino Judæis, qui dicebant ipſum eſſe fabri filium:
& quaſi inimico Dei contrarii erant, & propter hoc dixit, deſcendi.
Et quia Deo contrarium dicebant, reſpondebat. Non veni ut fa-
Matt. 13, 55. ciam voluntatem meam, ſed ejus qui miſit me patris. Nam licet vi-
derentur colere patrem, ipſum tamen negabant: & ob hoc infirmi-
tati eorum conſuluit, ſic loquendo. Alioqui quomodo is qui

A τύπτειν, καὶ θύσειν, καὶ τὸ αἷμα αὐτοῦ χρίζειν ἕκαστος εἰς τὴν θύραν· ἵν'
ὅταν ἔλθῃ ὁ ἄγγελος ἔχων ἐσπασμένην τὴν ῥομφαίαν, καὶ ἴδῃ ὅτι
τὸ αἷμα κέχρισται εἰς τὸν οἶκον ἐκεῖνον, ἀναχωρήσῃ· ἐὰν δὲ ἴδῃ ὅτι οὐκ ἔστιν,
εἰσέρχηται καὶ πάντας ἐξολοθρεύσῃ. ἐποίησεν οὖν ὁ Μωϋσῆς οὕτως,
καὶ ἔδωκε τῷ λαῷ, καὶ λαβόντες ἐκεῖνοι, ἕκαστος ἔχρισε τὰς θύρας
αὐτῶν. καὶ ἤρχετο ὁ ἄγγελος ἔχων ἐσπασμένην τὴν ῥομφαίαν αὐτοῦ,
καὶ ἔβλεπε τὸ αἷμα ἐν ταῖς θύραις, καὶ ἀνεχώρει. ὅπου δὲ οὐκ ἔβλεπεν,
B εἰσήρχετο, καὶ πάντας ἀνεῖλε. ταῦτα δὲ πάντα οὐχ ἁπλῶς
ἐγένετο· ἀλλ' ἐπειδὴ ἐμέλλομεν δι' αἵματος καὶ ξύλου σώζεσθαι,
διὰ τοῦτο εἶπεν ὁ Θεὸς, ὅτι χρίσει ἕκαστος τὸ αἷμα εἰς τὰς θύρας·
διὰ τί οὐκ εἶπε, χρῖσον τὸ αἷμα εἰς τὸν τοῖχον; ὅτι οὐκ
ἠμέλλομεν σώζεσθαι διὰ λίθων, ἀλλὰ διὰ ξύλου. * ἐξέβαλεν οὖν αὐτοὺς ὁ Μωϋσῆς
ἐκ τῆς Αἰγύπτου, καὶ ἤνεγκεν αὐτοὺς εἰς τὴν ἔρημον, καὶ λέγουσι τῷ Μωϋ-
σῇ. διὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, ἤνεγκεν ἡμᾶς εἰς τὴν ἔρη-
C μον θανατῶσαι; οὐ καλῶς ἡμῖν ἦν ἐν Αἰγύπτῳ, ὅτε ἐτρώγομεν τοὺς
σικύας, καὶ πέπονας, καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα; εἶδες ἀγνω-
μοσύνην; αὐτοὶ ἔλεγον τῷ Θεῷ, αὐτοὶ ἠξίουν, ὅτι ἐξάγαγε ἡμᾶς ἐκ
γῆς Αἰγύπτου· καὶ ἐλθόντες εἰς τὴν ἔρημον ηὐχαρίστουν. εἶδες ἀγνωμοσύ-
νην αὐτῶν; ἀλλὰ μάθετε τὸ μεῖζον καὶ ἐξαίρετον πρᾶγμα. τεσσα-
ράκοντα ἔτη ἐποίησαν ἐν τῇ ἐρήμῳ. θρὶξ αὐτῶν οὐκ ηὔξησεν, οὔτε
ὄνυξ· ἱμάτιον αὐτῶν οὐκ ἐρρυπώθη· ὑπόδημα αὐτῶν οὐκ ἀπετρί-
βη· οὐκ ἔκαμον, οὐκ ἔσκαψαν· βόας οὐκ ἔζευξαν, ἄροτρον οὐχ εἵλ-
D κυσαν, αὔλακας οὐκ ἀνέτεμον, ἀκάνθας οὐκ ἀνέσπασαν, σπέρ-
ματα οὐ κατεβάλλοντο, καὶ ὄμβρον οὐκ ἀνέμειναν, ἡλίου θερμὰς
ἀκτῖνας οὐ προσεδόκησαν, καιρὸν θερισμοῦ οὐ προσεδέξαντο, δρε-
πάνην οὐκ ἠκόνησαν· οὔτε ἐθέρισαν, οὐκ ἔδησαν στάχυας καὶ ἐβά-
στασαν, οὔτε ἤνεγκαν εἰς ἅλωνα καὶ ἐμόχθησαν, οὔτε ἠλόησαν οὔτε
ἐκάθαραν, οὔτε ἐφύρασαν ἄλευρα, οὔτε ὤπτησαν καὶ ἐποίησαν
ἄρτους, ἀλλ' οὐδὲ τῶν τοιούτων οὐδέν· ἀλλὰ ἄρτον ἀχειροποίητον ἔτρω-
E γον· αὐτοσχεδία τράπεζα παρετίθετο αὐτοῖς· τῇ ἀπαθείᾳ τοὺς
ἀγγέλους ἐμιμοῦντο· ἡ φύσις τῆς οἰκείας ἀσθενείας ἐπελάθετο. καὶ
μετὰ τοσαύτας εὐεργεσίας ἔλεγον τῷ Ἀαρὼν, δὸς ἡμῖν θεοὺς, οἵτινες
προπορεύσονται ἡμῶν· Μωϋσῆς γὰρ οὗτος, ὅστις ἐξήγαγεν ἡμᾶς ἐκ τῆς
Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ· καὶ ἐποίησαν βίαν μεγά-
λην τῷ Ἀαρών. ἐκεῖνος ἰδὼν ὅτι σκληροκάρδιοι εἰσὶ καὶ ἀπερί-
τμητοι, λέγει αὐτοῖς, περιέλετε τὰ χρυσάφια ὑμῶν, καὶ βάλετε ἐν
A πυρί· καὶ ὅτι ἂν ἀναβῇ, οὗτος Θεός. καὶ ἀνέβη τὸ βουκέφαλον. ἐνταῦθά
μοι τὸν αἱρετικὸν τὸν ἀγνώμονα, τὸν παράσιτον Ἰουδαῖον τὸν λέγοντα, ὅτι ἐ-
γέννησεν ὁ Θεὸς, καὶ ῥύσιν ὑπέμεινεν. ἐφθαρμένε, ἄθλιε, καὶ ταλαίπω-
ρε, ταῦτα ἐπὶ Θεοῦ ὑπολαμβάνεις; ἀλλ' ἡμεῖς οὐχ οὕτω [μὴ γένοιτο]
ἀλλ' ὅτι ἐγέννησε πατὴρ υἱὸν, μόνος μόνον, Θεὸς Θεὸν, τέλειος τέ-
λειον, ταῦτα γὰρ φρονήματα Χριστιανῶν. ἐπειδὴ οὖν δοκεῖς τὰ ἄνω
περιεργάζεσθαι, τὰ σαυτοῦ οὐ δοκεῖς εἰδέναι, εἰπέ μοι πῶς, βληθέντων
B τῶν χρυσαφίων εἰς τὸ πῦρ, ἀνέβη τὸ βουκέφαλον; χαλκότυπος
οὐκ εἰργάσατο, χωνευτὴς οὐκ ἦν. πῶς ἀνέβη τὸ βουκέφαλον, τολ-
μᾷς εἰπεῖν; εἰ τὰ κάτω οὐκ οἶδας, πῶς τὰ ἄνω περιεργάζῃ; ὁ τὰ ἴ-
δια μὴ ἐπιστάμενος, πῶς τὰ ἀλλότρια περιεργάζῃ; καὶ προσάγου-
σιν ἡμῖν εὐαγγελικὴν φωνὴν αὐτοῦ τοῦ υἱοῦ λέγοντος τοῖς μαθηταῖς·
ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς ἐστε τὰ κλήματα, ὁ πατήρ μου γεωρ-
γός ἐστιν· ὁρᾷς, φησὶν, ὅτι εἰργάσατο τὸν υἱόν; ἐὰν γὰρ μὴ ἐργάσηται
C γεωργὸς ἄμπελον, οὐ δύναται χρήσιμος εἶναι· καὶ νομίζουσιν, ὅτι
μέγα τι καὶ ἐνάρετον λέγουσιν. ἀλλὰ συντείνατέ μοι, ἑαυτοὺς παρα-
καλῶ. εἶπον πρὸς τοὺς ἀγνώμονας Ἰουδαίους· ἄφες, εἴπω καὶ πρὸς
τοὺς ἀναισχύντους αἱρετικούς, δύνασαί μοι εἰπεῖν, ἀγνῶμον
καὶ ἀναίσχυντε αἱρετικέ, ὅτι ὁ γεωργὸς οὐ τρέφεται ἀπὸ τῆς ἀμπέλου;
ἀπὸ τῶν ὅπλων σου χειροῦμαί σε. ὥσπερ οὖν ἐστι γεωργὸς ἐργαζόμενος
ἄμπελον, οὕτω καὶ ὁ πατὴρ εἰργάσατο τὸν ἴδιον υἱόν. ἴδωμεν οὖν, τίς ἐκ
D τίνος τρέφεται, ἡ ἄμπελος ἐκ τοῦ γεωργοῦ, ἢ ὁ γεωργὸς ἐκ τῆς ἀμ-
πέλου; κατὰ σὲ ὁ πατὴρ ἀπὸ τοῦ υἱοῦ ἔχει τὸ εἶναι. οὐκ ἔστι γὰρ γεωργὸς
μὴ τρεφόμενος ἐκ τῶν ἔργων αὐτοῦ. τί οὖν; ὁ υἱὸς τρέφει τὸν πατέρα;
οὐχὶ, μὴ γένοιτο· ταῦτα γὰρ ἐσχάτης ἀνοίας. ἄμεινον λέγειν, ὥσπερ γε-
ωργὸς χαίρει ἐπ' ἀμπέλῳ, οὕτω καὶ ὁ πατὴρ χαίρει ἐπὶ * τὸν υἱόν.
οὐ γὰρ εἶπεν ὅτι ὁ πατήρ μου ὁ ἐργασάμενός με· ἀλλ' ὁ πατήρ μου ὁ
γεωργός· ἔχαιρε γὰρ πατὴρ ἐπὶ τῷ υἱῷ. οὐκ ἤκουσας αὐτοῦ λέγοντος,
E ὅτι οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα, ὅτε ἔστηκεν εἰς τὰ
Ἰορδάνια ῥεῖθρα; μὴ εἶπεν, ὅτι οὗτός ἐστιν ὁ υἱός μου, ὃν ἔκτισα, ἢ ὃν ἐ-
ποίησα, ἀλλ' εἶπεν, ἐν ᾧ ηὐδόκησα. μὴ καὶ τὴν φωνὴν παραγράφεις;
καὶ πάλιν λέγει, καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα τὸ ἐμὸν θέλημα
ποιήσω, ἀλλὰ τοῦ πέμψαντός με πατρός. τίσιν ἔλεγε; πάντως τοῖς
Ἰουδαίοις· ἐπειδὴ ἔλεγον αὐτὸν, οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱὸς, καὶ ὡς ἀντίθεον αὐτὸν προσεῖχον. διὰ τοῦτο εἶπεν, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ.
καὶ ἐπειδὴ ἀντίθεον αὐτὸν ἔλεγον, διὰ τοῦτο ἔλεγεν αὐτοῖς, ὅτι οὐκ ἦλθον τὸ ἐμὸν θέλημα ποιῆσαι, ἀλλὰ τοῦ πέμψαντός με πατρός.
ἐπειδὴ ἐδόκουν τὸν πατέρα ἡμῶν, αὐτὸν δὲ ἠρνοῦντο, διὰ τοῦτο συγκατέβαινε τῇ ἀσθενείᾳ αὐτῶν, ἐπεὶ πῶς ὁ ἀποστείλας ὁ

πανταχοῦ

περιέχων ἐν, ὁ πάντα πληρῶν; ὁρᾷς ὅτι διὰ τοὺς Ἰουδαίους εἶπεν, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ. μὴ τί δι᾽ ἑαυτὸν εἶπε; μὴ ἔχεις ἀπολογίαν; ἀλλὰ καὶ ἐπάγουσιν ἡμῖν ἄλλην μαρτυρίαν τοῦ ἀποστόλου λέγοντος, εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. λέγεις, ὅτι ἄλλος Θεὸς μετὰ τὸν πατέρα οὐκ ἔστι· κἀγώ σοι λέγω, ὅτι ἄλλος Κύριος μετὰ τὸν υἱὸν τοῦτον οὐκ ἔστι. τί οὖν φιλονεικοῦμεν; οὐχί. μὴ γένοιτο. ἴδωμεν οὖν τίσι διαλέγεται ὁ Παῦλος, καὶ διὰ τίνας ταῦτα εἴρηται. ἀλλὰ προσέχετέ μοι μετὰ ἀκριβείας τοῦ λόγου. ἐπειδὴ Ἕλληνες πολυθεΐαν ἐσέβοντο, οἱ Ἰουδαῖοι δὲ μοναρχίαν, ἵνα δὲ καὶ τὴν πολυθεΐαν ἀνέλῃ καὶ τὴν μοναρχίαν, διὰ τοῦτο ἔλεγεν. εἴτε γάρ εἰσι θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς· ἀλλ᾽ ἡμῖν εἷς Θεὸς ὁ πατήρ. καὶ εἰπὼν τὸ, εἷς, ἀνεῖλε τὴν πολυθεΐαν. ὅπου γὰρ εἷς, οὐκ εἰσὶ πολλοί. καὶ εἰπὼν πατέρα, ἀνεῖλε τὴν μοναρχίαν. ὅπου γὰρ πατὴρ, δῆλον ὅτι καὶ υἱός. διὰ τοῦτο γοῦν εἶπεν, εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. ὁρᾷς ὅτι πρὸς Ἕλληνας καὶ Ἰουδαίους ἀποδιδύσκεται ὁ Παῦλος. διὰ τοῦτο εἶπεν, εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. ἐπειδὴ τὰ πάντα διὰ τοῦ υἱοῦ γεγόνασιν, ὁρατὰ, καὶ τὰ ἀόρατα. καὶ ἄκουε Ἰωάννου λέγοντος· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν· καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. ὁρᾷς ὅτι οὗτός ἐστιν ὁ τῶν ἁπάντων δημιουργός. μὴ τολμᾷς μοι δεῖξαι ὅτι ὁ υἱὸς σὺν τῷ πατρὶ συναριθμεῖται; ἀλλ᾽ ἀγνώμονες, ἕως πότε ἀντιλέγοντες τὰς γραφὰς ἀντιλογοῦντες, ἵνα πως τὸν υἱὸν εἴπητε κτίσμα καὶ ποίημα; θέλετε μαθεῖν; ἐὰν ἀκούσωσι περὶ τοῦ υἱοῦ ὑψηλὸν ῥῆμα, ἢ θεοπρεπὲς, μαίνονται· νομίζουσιν ὅτι πικρίαν τις βάλλει εἰς τὸ στόμα αὐτῶν. βούλομαι ὑμῖν ὑπόδειγμα εἰπεῖν. ὥσπερ ἐὰν τις ἀρρωστίᾳ καὶ πυρετοῖς πολλοῖς φλέγηται, ὀλίγον δὲ αὐτοῦ ἐν ἀνέσει ἐλθόντος, ἵνα περιάλειψωσιν οἱ ἰατροὶ μέλιτος περιχρίοντες τὸ στόμα αὐτοῦ· ποιοῦσι δὲ οὕτω καθὼς προστάττουσιν οἱ ἰατροί· ἐπιμελουμένων δὲ τοῦ ἀρρωστοῦντος ὑπὸ τῶν ὑπηρετῶν, νομίζει ὁ ἀρρωστῶν, ὅτι πικρόν ἐστι τὸ μέλι· καὶ λοιπὸν λέγουσιν οἱ παρεστῶτες, μέλι ἐστὶ, κύριε, καλόν ἐστι, προτρεπόμενοι τὸν ἀρρωστοῦντα. πικρὸν δὲ φαίνεται τὸ μέλι εἰς τὸ στόμα τοῦ ἀσθενοῦντος, οὐχ ὅτι πικρόν ἐστι τὸ μέλι. τί γὰρ γλυκύτερον μέλιτος; οὐκοῦν οὐ παρὰ τὴν φύσιν τοῦ μέλιτος, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τοῦ μὴ ὑποδεχομένου. οὕτω καὶ ἐπὶ τούτων γίνεται. ἐὰν ἀκούσωσιν ὁμοούσιον, νομίζουσι πικρίαν ποιεῖσθαι, καὶ οὐ παρὰ τὸν λόγον τοῦ λέγοντος, ἀλλὰ παρὰ τὴν ἀσθενῆ ἀκοὴν τοῦ μὴ ὑποδεχομένου. ὁ πατὴρ υἱὸν καλεῖ, οἱ ἀπόστολοι ὁμοίως, καὶ οὗτοι κτίσμα καὶ ποίημα. πῶς κτίσμα; τὸ γεννᾶν καὶ τὸ κτίζειν τὸ αὐτό ἐστιν. εἰ πᾶς ὁ γεννῶν κτίζει, καὶ πᾶς ὁ κτίζων γεννᾷ, εὑρίσκομεν πάντα τὰ κτίσματα ἔγγονα τυγχάνοντα τοῦ Θεοῦ. ἐπειδὴ γὰρ πάντα διὰ τοῦ υἱοῦ γεγόνασιν, οὐκοῦν ὁ κτίσας αὐτὰ καὶ ἐγέννησεν; ὁρᾷς ὅτι ἔγγονα τυγχάνουσι τοῦ Θεοῦ, καθὼς σὺ λέγεις. ἕως πότε ἀγνώμονες; εἴπατέ μοι, κατὰ τίνα προσκυνεῖται ὁ υἱός; ἐπειδὴ υἱὸς λέγεται· καὶ σύ. ἀλλὰ τί; ἐπειδὴ Θεός; καὶ σύ. ἀλλ᾽ ἔχεις μοι εἰπεῖν, ἐκεῖνος πράγματι, σὺ δὲ ὀνόματι. εἰ πράγματι, οὐκοῦν υἱός. ὁρᾷς, ὅτι τὸ στόμα σου ἐλέγχει σε, μήτε κτίσμα, μήτε ποίημα. ἐκεῖνος γὰρ φύσει υἱός ἐστι, σὺ δὲ προσηγορίᾳ· ἐκεῖνος ἐξ ἀϊδίου πατρὸς ἐγεννήθη, σὺ δὲ ἐξ ὑποκειμένης ὕλης ἐποιήθης. ταῦτα δέ μοι εἴρηται πρὸς Ἰουδαίους καὶ Ἕλληνας καὶ αἱρετικούς. ἀλλ᾽ ἡμεῖς δοξάσωμεν πατέρα, καὶ υἱὸν, καὶ ἅγιον πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς μνήμην μαρτύρων καὶ ὅτι ποιμὴν καὶ πρόβατον ὁ Χριστὸς ὀνομάζεται, καὶ εἰς τὸ καταπέτασμα, καὶ εἰς τὸ ἱλαστήριον.

ΠΑΛΙΝ μαρτύρων μνήμη, πάλιν εὐσεβῶν ἑορταὶ, πάλιν ἀγγέλων ὑπόθεσις, πάλιν ἐκκλησίας πανήγυρις, ἡ μνήμη τῶν μαρτυρησάντων. τιμὴ δὲ μαρτύρων ἡ δόξα τοῦ μαρτυρηθέντος. τιμῶνται μάρτυρες ὑπὲρ Χριστοῦ παθόντες, προσκυνεῖται δὲ Χριστὸς ὑπὲρ πάντων παθών. οἱ μὲν γὰρ διὰ τοῦ πάθους ἑαυτοὺς ἀπὸ ταπεινώσεως εἰς ὕψος ἀνήγαγον· ὁ δὲ Σωτὴρ ἀπὸ ὕψους τῆς θεότητος εἰς ταπείνωσιν ἀνθρωπότητος ἐλήλυθεν, οὐ τῆς ἀξίας ἐξερχόμενος, τὴν δὲ οἰκονομίαν πραγματευόμενος. ἠκούσαμεν γὰρ αὐτοῦ λέγοντος, ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων· καὶ τὴν φιλανθρωπίαν ἔδειξε τοῦτο εἰρηκὼς, καὶ τὴν ἐξουσίαν ἐκήρυξε. τὸ μὲν γὰρ παθεῖν ὑπὲρ τῶν προβάτων, φιλανθρωπίας· τὸ δὲ ἀφ᾽ ἑαυτοῦ θεῖναι τὴν ψυχὴν, ἐξουσίας. οὐ γὰρ βίαν ὑφίσταται, ἀλλ᾽ οἰκονομίαν ἐργάζεται· κἂν λέγῃ ὁ ἀπόστολος, ὅτι ὁ Πατὴρ παρέδωκεν αὐτὸν ὑπὲρ ἡμῶν, οὐκ ἠναγκασμένον εἰσάγει τὸν

ubique eſt, vel qui omnia adimplet, demittitur, vel deſcendit? Vides igitur quod propter Judæus dixit, deſcendi de cœlu, nun propter ſeipſum. Ao ullam habes excuſationem? Afferunt autem hic nobis & aliud teſtimonium Apoſtuli dicentis, *Unus Deus pater, ex quo omnia: & unus dominus Jeſus Chriſtus, per quem omnia.* *Dicis* quòd alius Deus præter patrem non ſit: & ego dico quòd præter filium alius talis Dominus non ſit. Quid igitur? contendemus? Minimè, abſit. Scimus enim propter quos, & quibus hæc Paulus dixerit, ſed audite diligenter ſermonem. Quia Gentiles multos Deos colebant, Judæi verò unum principatum. Ut ergo & multitudinem Deorum, & principatum unius ſimul auferret, dicebat: Sive enim ſint Dii multi & domini multi, ſive in cœlu, ſive in terra: ſed nobis unus Deus pater. Et dicendo unus, ſuſtulit Deorum multitudinem. Ubi enim unus, ibi non ſunt multi: dicendu verò, pater, ſuſtulit principatum unius. Ubi enim pater, manifeſtum quòd ibi & filius. Et propterea dixit: Unus Deus pater, ex quo omnia, & unus Dominus Jeſus Chriſtus, per quem omnia. Vides quòd Gentiles & Judæos oppugnat Paulus: ob hoc dixit, Unus Dominus noſter Jeſus Chriſtus, per quem omnia. Quia omnia per Filium tam viſibilia quàm inviſibilia, de quu audi Joannem dicentem. *In principio erat verbum, & verbum erat apud Deum, & Deus erat verbum: hoc erat in principio apud Deum. Omnia per ipſum facta ſunt, & ſine ipſo factum eſt nihil, quod factum eſt.* Vides quòd ipſe omnium eſt opifex. Num audebis, inquit, mihi oſtendere, quòd filius cum patre numeretur? Increduli quouſque non ceſſatis contradicere, pervertentes ſcripturas ut filium ſimplicem dicamus creaturam vel facturam? Vultis cognoſcere? cùm de filiu verbum aliquod ſublime & Deu dignum audiunt, inſanire incipiunt, & putant in ora ſua amaritudinem immitti: Ejus rei vobis exemplum dicam: Cùm quis morbis & febribus laborat, & paululum relinquitur ab eis, ſi ordinant medici, ut os ejus melle oblinatur, faciántque id ſervi ut præcipitur: exiſtimat infirmus quòd amarum ſit mel; licet circumſtantes infirmum moneant dulciſſimum eſſe mel, videtur tamen infirmantis ori amarum, non quòd amarum ſit mel natura ſua, (quid enim dulcius melle?) ſed quòd ille qui mel accipit, infirmus eſt. Sic & illis contingit; cùm audiunt conſubſtantialem, opinantur offundi ſibi amaritudinem, non quòd ſermo ejus naturæ ſit, ſed quòd infirmæ illorum ſint aures. Pater filium vocat, ſimiliter Apoſtoli: ipſi autem creaturam & facturam. Et quomodo filius creatura & factura? Idem eſt gignere, & creare. Si omnis qui gignit, creat, & omnis qui creat, gignit; colligemus omnes creaturas filios & genitos eſſe Dei: quia omnia per filium facta ſunt. Igitur qui creavit, idem etiam genuit. Vides quòd nati ſunt Dei, ſicut tu dicis? Quamdiu eritis increduli? Dicite mihi, quomodo colatur filius, quandoquidem filius dicitur? Nónne & tu filius? ſed quid, quod Deus dicitur, nónne & tu? Sed potes mihi dicere, Ille re filius, tu nomine. Si re ipſa, Ergo filius. Ecce os tuum te redarguit. Ille enim nec factura, nec creatura, ille natura filius, tu appellatione. Ille ab æterno patre genitus eſt, tu autem ex præjacente materia formatus. Hæc contra Judæos, Gentiles, & hæreticos dicta ſint. Nos autem glorificemus patrem, & filium, & Spiritum ſanctum, cui gloria in ſecula ſeculorum. Amen.

In memoriam martyrum, & quod Paſtor & ovis ſit Chriſtus: nec non de velo, & propitiatorio.

JOAN. JACOBO BEVRERO Interprete.

MEmoria quidem martyrum iterum nobis, iterum piorum feſti dies, iterum argumentum Angelicum, & Eccleſiæ cœtus nobis celebranda veniunt. Ac memoria quidem & honor iis qui teſtificati ſunt, & martyribus: gloria verò ei cui teſtimonium perhibuerunt, tribuenda eſt: Honore ſiquidem afficiuntur martyres, qui pro Chriſto ſupplicio ſunt affecti: Chriſtus verò, qui pro omnibus paſſus eſt, adoratur. Illi enim hoc ſuo ſupplicio ex humili gradu in ſublimiorem alium ſeſe exerunt: Servator verò è ſumma divináque natura ad humanam humilemq; naturæ conditionem ſeſe demiſit: minimè quidem primæva illa ſua dignitate relicta, ſed œconomiæ in carne adminiſtratione ſuſcepta. Siquidem ex ipſo audivimus: *Ego ſum paſtor bonus, qui ponit animam ſuam pro ovibus ſuis*: qua ille oratione, & benignitatem ſuam demonſtravit, & potentiam prædicavit. Nam ſupplicium ſuſtinere pro ovibus, benignitatis: ponere verò à ſeipſo animam ſuam, poteſtatis. Nullam enim vim hiſce verbis ſubjicit: ſed œconomiam inſtituit. Et quemadmodum Apoſtolus dicit: Patrem, ipſum pro nobis tradidiſſe; nequaquam propterea Filium non ſponte ſuppliciũ illud perpeſſum eſſe, ſequitur: ſed

1.Cor. 8.6. Joh. 1.2. In evangelio ... Joh. 10.11. Rom. 8.32.

ſed voluntatem Filii Patri congruentem oſtendit. Tradidit autem A ſeipſum Filius, nulla ad id neceſſitate impulſus: ſed patris ſententiam velut perficiens & exequens. Siquidem longè aliud eſt, ſervilem in modum alii operam ſuam præſtare: aliud item, divinitus cooperari & coöficere. Nam unigenitus ille Dei filius cooperatur patri, etiam invitis hæreticorum filiis. Qui malitioſè indiviſibilem illam naturam dividunt: & Patrem quidem creatorem, Filium verò adminiſtrum creationis, Spiritum ſanctum autem quaſi communem & publicum miniſtrum prædicant. Quos ni- B hil pudet, ne quidem Paulo hac diſtinctione adverſari: qui miniſtros prædicationis, non obſecundantes miniſtros, ſed Dei coo-
1. Cor. 3,9. perantes miniſtros appellavit: dicens: *Dei ſumus adjutores*: Paulus ergo adjutor: Filius Dei, miniſter? Ne igitur curioſè inquiras
Act. 8,32. quid Chriſtus per Eſaiam, ſed quid per ſe ipſum ſit prolocutus:
Joh. 10,11. ac propter ſe ipſum quidem Paſtor eſt, propter te verò ovis. Utrumq; enim lectio hodierna habuit. Eſaias enim ipſius Eunu-
Eſa. 53,8. cho legenti ſubjiciebat, *velut ovis ad mactationem ductus eſt*. Ser- C vator verò: *ego ſum Paſtor bonus*. Tu igitur mihi differentiam ovis inter paſtorem explica? & quânam in re ovis, in qua verò Paſtoris vocabulum ponamus. Nam niſi nominum exactè differentiam noveris, neququam excellentiæ dignitatem cognoſces. Hoc ergo manifeſtum: velut ovem ductum eſſe ob ſupplicii œconomiam: Paſtor verò fuit, propter potentiam illam benignitatis. Neque enim erubeſcit Deus appellari Paſtor. Æquum quidem fuerat nos Deum etiam ipſum & regem agnoſcere: ve- D rùm poſteaquam Deum, velut homines ratione præditi, non cognovimus, ſaltem velut oves brutas paſtorem nos vult agnoſcere. Si enim quum Deus in hunc mundum venit, te ratione præditum inveniſſet, neceſſe fuiſſet illum, velut Deum, tibi apparere: Verùm poſtquam ille hominem reperit nullum: ſed tanquam ovem jam à priſcis uſque temporibus errantem, & per Prophetas Domi-
Pſ. 118,176 num invocantem: *erravi, ſicut ovis quæ periit, quære ſervum tuum*: idcirco regiam illam dignitatem celat, & paſtoris curam officiúmque profert. Eam ob rem etiam ab initio inſtituit in præſepi E ſuum corpuſculum collocari, matre quoque & Joſepho, œconomiæ & divinæ diſpenſationis miniſterio, in arctum & anguſtias adductis. Neque enim illum Servatoris patrem appellavero neque maritum Mariæ, ſed conſortem & myſterii hujus mediatorem. Siquidem ſponſus ille erat Mariæ: non autem maritus. Et maritus quidem erat appellatione: re ipſa autem miniſter œconomiæ. Hic igitur in Bethleem cum Maria ita coarctatur, ut pro- A pter hoſpitii anguſtias infantem in præſepi collocare neceſſe haberent. Atqui Deus illis eum anguſtum arctùmque locum procuravit, ut benignus ille, ibidem neceſſitate compellente, deponeretur: deponeretur, inquam, Salvatoris in carne œconomia hoc ita poſtulante. At cur tandem hoc inſtituit? Quia Præſepe, brutorum menſa eſt: humanitas verò tum ipſa in brutorum natu-
Pſal. 48,12 ram degeneraverat. (*Homo enim cum in honore eſſet, non intellexit*, & comparatus eſt jumentis inſipientibus, & ſimilis factus eſt B illis.) Cœleſtem illum cibum in brutorum menſa apponit: ut quorum animi ſenſuſque bruti eſſent, ad præſepe tanquam ſuam menſam accedentes, non ampliùs gramen, quo bruta animalia
Joh. 6,35. paſcuntur, inveniant, ſed eum qui pronuntiavit, *Ego ſum panis*,
41. *qui de cœlo deſcendi, & dans vitam mundo*. Ovis igitur Chriſtus, diſpenſatione divina ita exigente, fuit: Deus verò ob ſuam ipſius
Joh. 10,14. gloriam. *Ponit ergo animam ſuam pro ovibus*, non quia neceſſitate aliqua eo adigeretur, quemadmodum paulò antè dixi: ſed divino- C rum negotiorum ordinem ſuſcipiens. Quæcunque enim in veteri priſcorum religione facta commemorantur, ad Chriſtum, ceu ſummam quandam tendunt: ſive prophetia, ſive ſacerdotium, ſive regnum, ſive templum, ſive thuribulum, ſive velum, ſive arca, ſive propitiatorium, ſive manna, ſive virga, ſive urna: omnia inquam ad ipſum referuntur. Jam enim antiquitus Deus Judæis religionem ſacrificiorum conceſſit: non quòd ea oblectaretur, D & in ea requieſceret: ſed quòd à Græcorum cultibus ipſos ſummovere cuperet. Ita eum ipſe hac quadam moderatione ipſos ad ea perducat, quæ ipſe velit: quæ non vult, velut ſibi grata, præſcribit. Cùm enim, ut erat captus Judæorum, nondum efficacem illam vim Spiritus intelligere poſſent: ſed conſuetudine gentium in ſervitutem redacti eſſent, & circa aras, & ſacrificia occuparentur: Deus dies illos feſtos etiam idolis colendis dicatos, hoc modo, ad pietatem ordine quodam inſtituendam, immutat, eáque ſuſtinet, quæ ipſi non placebant. Et quemadmodum bonus pater, E cùm filium ſuum ludicris rebus occupatum conſpiciat, à foro
In. regi v. quidem ipſum arcet: domi verò omnia illi, quæcumque velit, permittit: & dum ipſum in omni officio & decoro continet, luſus inſolentiam licentiámq; coërcet: Sic etiam Deus, cùm conſtituiſſet ipſos, his publicis dierum feſtorum conventibus ad pietatem conformare, permittebat etiam illis ſacra facere. Sed & altare illis tribuit jubetque oves ſacrificare & capram & bovem, omniáque alia facere, quæ ipſis voluptati eſſent. Neq; enim Deum hæc oblectabant. Et hæc quidem omnia diſpenſatione quadam divina facta eſſe, ex eo cognoſcere licet: quòd is qui per Moſem varia ſa-

A υἱὸς τὸ πάθος, ἀλλὰ συνδρομον τῷ πατρὶ τὸ υἱοῦ θέλημα. παραδίδωσι δὲ ἑαυτὸν ὁ υἱὸς, οὐκ ἀνάγκη δουλεύων, ἀλλὰ γνώμην πατρὸς συνεργῶν. ἄλλο γὰρ ὑπουργῆσαι δουλοπρεπῶς, ἕτερον δὲ συνεργῆσαι θεϊκῶς. συνεργὸς γὰρ τοῦ πατρὸς ὁ μονογενὴς, κἂν μὴ θέλωσιν αἱρετικῶν παῖδες· οἱ τῇ ἰδίᾳ κακίᾳ τὴν ἄτμητον φύσιν τέμνοντες, οἱ τὸν μὲν πατέρα δημιουργὸν, τὸν δὲ υἱὸν ὑπουργὸν, τὸ δὲ πνεῦμα τὸ ἅγιον λειτουργὸν κηρύττοντες· οἱ οὐκ αἰσχύνονται οὐδὲ τὰς τοῦ Παύλου φω- B νὰς, ὃς τοὺς ὑπηρέτας τοῦ κηρύγματος οὐχ ὑπουργοὺς ἐκάλεσεν, ἀλλὰ συνεργοὺς θεοῦ· εἰρηκὼς, θεοῦ ἐσμὲν συνεργοί. Παῦλος συνεργὸς, καὶ ὁ υἱὸς ὑπουργός; μὴ οὖν ζήτει τί εἴρηκε Χριστὸς διὰ Ἡσαΐου, ἀλλὰ τί δι' ἑαυτοῦ. δι' ἑαυτὸν μὲν γὰρ ποιμήν ἐστι· διὰ δὲ σὲ, πρόβατον. τὰ γὰρ δύο ταῦτα συνέδραμεν σήμερον ἀναγνώσματα. Ἡσαΐας γὰρ περὶ αὐτοῦ τῷ εὐνούχῳ ὑπηγόρευσεν, ὡς πρόβατον "
ἐπὶ σφαγὴν ἤχθη· ὁ δὲ Σωτὴρ, ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· δεῖ- "
C ξόν μοι τοίνυν τὴν διαφορὰν προβάτου πρὸς ποιμένα. ἐν τίνι πρόβατον, ἐν τίνι ποιμήν. ἐὰν γὰρ μὴ εἰδῇς τῶν ὀνομάτων τὴν διαφορὰν, πόθεν γνωρίσεις τῆς ὑπεροχῆς τὴν ἀξίαν; δῆλον μὲν οὖν ὡς πρόβατον, διὰ τὸ πάθος τῆς οἰκονομίας· ὡς ποιμὴν δὲ, διὰ τὴν ἐξουσίαν τῆς φιλανθρωπίας. οὐ γὰρ ἐπαισχύνεται θεὸς ὢν καλεῖσθαι ποιμήν. ἐχρῆν μὲν γὰρ ἡμᾶς θεὸν αὐτὸν γνῶναι καὶ βασιλέα. ἀλλ' ἐπειδὴ ὡς ἄνθρωποι λογικοὶ θεὸν οὐκ ἐπέγνωμεν, βούλεται ἡμᾶς, κἂν ὡς πρόβατα
D ἄλογα, τὸν ποιμένα γνωρίσαι. εἰ γὰρ ἐλθὼν ὁ Σωτὴρ εἰς τὸν κόσμον εὗρέ σε ἄνθρωπον λογικὸν, ἀναγκαίως σοι ὡς θεὸς ἐπεφαίνετο· ἀλλ' ἐπειδὴ ἄνθρωπον μὲν οὐχ εὗρεν, ὡς πρόβατον δὲ πλανώμενον ἐξ ἀρχαίων χρόνων, καὶ παρακαλοῦντα διὰ τῶν προφητῶν τὸν δεσπότην [ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου,] "
διὸ κρύπτει τὴν βασιλικὴν ἀξίαν, καὶ προφέρει τὴν ποιμαντικὴν κηδεμονίαν. διὰ τοῦτο καὶ ἀπ' ἀρχῆς οἰκονομεῖ ἐν φάτνῃ τεθῆναι τὸ σῶμα τὸ ἑαυτοῦ, καὶ συνάγει εἰς ἀνάγκην τὴν μητέρα, καὶ τὸν τῆς οἰκονο-
E μίας ὑπηρέτην Ἰωσήφ. οὐ γὰρ ἐπονομάζω πατέρα ἐκεῖνον τοῦ Σωτῆρος, οὐδὲ ἄνδρα Μαρίας, ἀλλὰ κοινωνὸν καὶ μεσίτην τοῦ μυστηρίου. μνηστὴρ γὰρ ἦν τῆς παρθένου, καὶ οὐκ ἀνήρ· ἀλλ' ἀνὴρ μὲν τῇ προσηγορίᾳ, ὑπηρέτης δὲ τῆς οἰκονομίας. συστέλλεται οὖν οὗτος μετὰ τῆς Μαρίας ἐν Βηθλεὲμ, ὥστε διὰ τὸ στενὸν τοῦ καταλύματος ἀναγκασθῆναι τὸ βρέφος ἐν φάτνῃ τεθῆναι. θεοῦ δὲ ἦν ἔργον ἡ στένωσις· ἵν' ἐξ ἀνάγκης εἰς ἐκεῖνο τὸ χωρίον ἀποτεθῇ ὁ φιλάνθρωπος· ἀποτεθῇ δὲ, φημὶ,
A διὰ τὴν ἔνσαρκον οἰκονομίαν. διὰ τί δὲ τοῦτο οἰκονομεῖ; ἐπειδὴ ἡ φάτνη ἀλόγων ἐστὶ τράπεζα, ἡ δὲ ἀνθρωπότης εἰς ἀλογίαν ἐτράπη [ἄνθρωπος γὰρ ἐν τιμῇ ὢν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς] ἥκει τὴν τροφὴν τὴν οὐράνιον τῇ τραπέζῃ τῶν κτηνῶν, ἵνα οἱ κτηνώδεις τὴν ψυχὴν, προσελθόντες, ὡς οἰκείᾳ τραπέζῃ, τῇ φάτνῃ, εὕρωσι μηκέτι κτηνώδη χόρτον, ἀλλὰ τὸν φάσκοντα, ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν δι-
B δοὺς τῷ κόσμῳ. πρόβατον μὲν οὖν διὰ τὴν οἰκονομίαν, θεὸς δὲ διὰ τὴν ἑαυτοῦ δόξαν. τίθησιν οὖν τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν προβάτων, οὐκ ἀνάγκην ὑπομένων, ὡς ἔφθην εἰπὼν, ἀλλὰ πραγματείαν ἀναδεχόμενος. πάντα γὰρ ὅσα ἐν τῇ παλαιᾷ λατρείᾳ γεγένηται, εἰς τὸν Σωτῆρα τὴν ἀνακεφαλαίωσιν φέρει, εἴτε προφητεία, εἴτε ἱερωσύνη, εἴτε βασιλεία, εἴτε ναὸς, εἴτε θυσιαστήριον, εἴτε καταπέτασμα, εἴτε κιβωτὸς, εἴτε ἱλαστήριον, εἴτε μάννα, εἴτε ῥάβδος,
C εἴτε στάμνος, εἴτε τὶ ἄλλο, πάντα εἰς αὐτὸν τὴν ἀναφορὰν ἔχει. συνεχώρησε γὰρ ὁ θεὸς Ἰουδαίων παισὶν ἀπ' ἀρχῆς τὴν τῶν θυσιῶν λειτουργίαν, οὐκ ἀναπαυόμενος ταῖς θυσίαις, ἀλλὰ βουλόμενος αὐτοὺς ἀπὸ τοῦ Ἑλληνισμοῦ ἀποσπάσαι. καὶ ἐξ ἐκείνου συγχωρήσας αὐτοὺς πρὸς ἃ βούλεται, παρέθηκεν ἑαυτῷ ὃ μὴ βούλεται. ἐπειδὴ γὰρ οὐδέπω ἐχώρει Ἰουδαίων διάνοια δέξασθαι πνευματικὴν ἐνέργειαν, ἀλλὰ τῇ τῶν ἐθνῶν συνηθείᾳ δεδούλωντο, καὶ περὶ βωμοὺς ἐνεχηνότες καὶ θυσίας, λα-
D βὼν ὁ θεὸς τὰς εἰδωλικὰς ἑορτὰς μεταβάλλει τῷ ῥυθμῷ τῆς εὐσεβείας, καὶ ἀνέχεται ὧν μὴ βούλεται. καὶ ὥσπερ πατὴρ ἀγαθὸς, ἐπειδὰν ἴδῃ τὸν ἑαυτοῦ παῖδα * περὶ παίγνια ἔχοντα, τῆς μὲν ἀγορᾶς αὐτὸν ἀφέλκει, κατ' οἶκον δὲ ἐπιτρέπει πάντα ποιεῖν ἃ βούλεται, καὶ τὴν εὐσχημοσύνην αὐτῷ φυλάττων, καὶ τὴν ἀναισθησίαν τῆς παιδιᾶς ἀνασκευάζων· οὕτω καὶ ὁ θεὸς βουλόμενος αὐτοὺς τῇ φαινομένῃ ταύτῃ πανηγύρει τῶν ἑορτῶν εἰς εὐσέβειαν μεταρρυθμίσαι,
E συγχωρεῖ καὶ θυσιάζειν, δίδωσι καὶ θυσιαστήριον· καὶ πρόβατα θύεσθαι κελεύει, καὶ αἶγα καὶ βοῦν, καὶ πάντα ποιεῖν ὅσα ὁμοίως ἔτερπον. οὐ γὰρ θεὸν ἀνέπαυσεν. ὅτι δὲ ταῦτα οἰκονομικῶς ἐγίνετο, ἄκουε πῶς ὁ διὰ Μωϋσέως ἐπιτρέψας τὰς θυσίας, καὶ προστάξας διαφόρους γίνεσθαι θυσιῶν ἰδέας, διὰ

τῶν προ-

τῶν προφητῶν ἀνατρέπει τὰ κατὰ συγχώρησιν γινόμενα, δεικνὺς ὅτι ὡς νηπίοις γάλα συνεχώρησεν, οὐ τροφὴν ἔδωκε· καί φησι διὰ τοῦ Δαβίδ· ἄκουσον λαός μου, λαλήσω σοι, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι, ὅτι ὁ Θεὸς, ὁ Θεός σου εἰμὶ ἐγώ· οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διὰ παντός. οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. καὶ ἵνα μή τις νομίσῃ, ὅτι ἀποστρεφόμενος οὐ δέχεται, ἑρμηνεύει τὸν τρόπον, ὅτι δι᾽ ἀνενδεής ἐστι τούτων, οὐ διὰ τὸ τούτων προσφορᾶς. » καὶ ἐπάγει· μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου· δεικνὺς ὅτι οὐκ ἀποστρεφόμενος ἀποποιεῖται, ἀλλ᾽ εἰς τὴν κρείττονα αὐτοὺς καὶ νοερὰν θυσίαν προσκαλεῖται. συνεχώρησε μὲν οὖν ἀπ᾽ ἀρχῆς τὰς θυσίας, οὐκ αὐταῖς ἀρεσκόμενος, ἀλλὰ τοὺς οὕτως ἠργμένους μεταρρυθμίζων εἰς εὐσέβειαν. ἐνδιέθηκε δὲ τῇ προθέσει τῇ Ἰουδαϊκῇ, ὡς σοφὸς καὶ μέγας, ἐν αὐτῇ τῇ συγχωρήσει τῶν θυσιῶν προσκατασκευάζων εἰκόνα τῶν μελλόντων. ἵνα κἂν ἡ θυσία δι᾽ ἑαυτὴν ἄχρηστος ᾖ, διὰ τὴν εἰκόνα χρήσιμος εὑρεθῇ. πρόσεχε ἀκριβῶς· λεπτὸν γὰρ τὸ νόημα· αἱ μὲν οὖν θυσίαι οὐκ ἦσαν ἀρεσταὶ τῷ Θεῷ, οὐδὲ κατὰ γνώμην γινόμεναι, ἀλλὰ κατὰ συγχώρησιν· καὶ γινομέναις ἐπέθηκε τύπον κατ᾽ εἰκόνα τῆς μελλούσης οἰκονομίας τοῦ Χριστοῦ· ἵνα κἂν μὴ δι᾽ ἑαυτὰς ὦσι δεκταὶ, κἂν γοῦν διὰ τὴν εἰκόνα ὦσιν εὐπρόσδεκτοι· καὶ ἔθηκε διὰ πάντων εἰκόνα Χριστοῦ, καὶ σκιαγραφεῖ τὰ μέλλοντα· κἂν πρόβατον ἦν θυόμενον, εἰκὼν τοῦ Σωτῆρος· κἂν βοῦς, εἰκὼν τοῦ Κυρίου· κἂν μόσχος, κἂν δάμαλις, κἂν ἄλλο τι τῶν προσφερομένων, κἂν περιστερὰ καὶ τρυγὼν, πάντα εἰς τὸν Σωτῆρα τὴν ἀναφορὰν εἶχε. διὰ τοῦτο καὶ ναὸς, ἵνα ἡ εἰκὼν προκαταγραφῇ τοῦ Κυριακοῦ ναοῦ· διὰ τοῦτο πρόβατον, διὰ τοῦτο ἱερεὺς, διὰ τοῦτο καταπέτασμα. καὶ ἵνα μὴ κατὰ μέρος πλατύνω τὸν λόγον, ὑπέχει τῶν εἰρημένων ἑρμηνείαν τὸν Παῦλον, μὴ συγχωροῦντα ὅτι μηδὲν ἔξω Χριστοῦ νοεῖσθαι, ἀλλὰ πάντα εἰς Χριστὸν ἀναλαμβάνοντα. οὗτος γὰρ ὁ αὐτὸς πρὸς Ἑβραίους βουλόμενος ἐνδείξασθαι τῶν μυστηρίων τὰς διαφορὰς, τί ἐβούλετο ἡ τράπεζα, τί ἐβούλετο τὸ θυσιαστήριον, τί ἐβούλετο τὸ καταπέτασμα, τί ὁ ναὸς, τί ὁ ἱερεὺς, ἐν κεφαλαίῳ εἰς Χριστὸν τὰ πάντα ἀναφέρει, καὶ δείκνυσι σκηνὴν εἶναι δι᾽ ὅλου τὸν παντὸς βίον· ἀλλὰ τὴν πρώτην σκηνὴν τύπον τῆς ἀρχαίας διαθήκης, τὰ δὲ ἅγια τῶν ἁγίων τύπον τῆς νέας διαθήκης. πρόσεχε ἀκριβῶς, παρακαλῶ. εἷς μὲν γὰρ ὁ ναὸς εἰς δι᾽ ὅλου, εἰς ἄλλα δὲ καὶ ἄλλα ἐμεμέριστο· εἰς τὸ ἅγιον, καὶ εἰς τὸ ἅγιον τῶν ἁγίων. τύπος ὁ ναὸς τοῦ Κυριακοῦ σώματος· καὶ ἄκουε τοῦ Κυρίου λέγοντος, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὥσπερ οὖν ἐν τῷ ναῷ ἐκείνῳ τὰ μὲν πᾶσιν ἑωρᾶτο, τὰ δὲ μόνῳ τῷ ἀρχιερεῖ· οὕτω καὶ ἐν τῇ τοῦ Σωτῆρος οἰκονομίᾳ ἡ θεότης, καὶ ἡ ἐνέργεια τῆς θεότητος, ἦν μὲν ἐν κρυφῇ, ἐργαζομένη δὲ ἐν τῷ φανερῷ. ἔχεις τοῦ ναοῦ τὴν εἰκόνα· ζήτησόν μοι τὸ καταπέτασμα τὸ μέσον, τὸ διεῖργον τὰ ἅγια ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων, ὁποῖον τὸ καταπέτασμα. πάλιν τὸ καταπέτασμα εἰκὼν τοῦ σώματος. ὥσπερ γὰρ τὸ καταπέτασμα μεσολαβεῖ τῷ τόπῳ, καὶ διεῖργε τὴν ἔξωθεν ὄψιν τῆς ἔσωθεν μυσταγωγίας, οὕτω τὸ σῶμα τοῦ Κυρίου καταπέτασμα ἦν τῆς θεότητος, μὴ συγχωροῦν τὰς ὄψεις τὰς θνητὰς ἐνατενίζειν τῇ ὄψει τοῦ ἀθανάτου. οὐκ ἐμὸς ὁ λόγος, ἀλλ᾽ ἄκουε τοῦ Παύλου λέγοντος· » Ἔχοντες δὲ, ἀδελφοὶ, ὁδὸν πρόσφατον καὶ ζῶσαν, ἣν ἐνεκαίνισεν ἡμῖν διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ, προσερχώμεθα. πρόσεχε ἀκριβῶς. καὶ ναὸν εἶπε τὴν σάρκα, καὶ τὸ καταπέτασμα τύπον τῆς σαρκός. πάλιν ὁ ἱερεὺς εἰσῄει διὰ τοῦ καταπετάσματος ἅπαξ τοῦ ἐνιαυτοῦ. οὐ δὲ τοῦτο παρέλιπεν ὁ Παῦλος, ἀλλὰ λαμβάνει αὐτὸ εἰς » τύπον τοῦ Σωτῆρος· καί φησιν· οὐκ εἰς χειροποίητα ἅγια εἰσ» ῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανὸν, » νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. ὁρᾷς τὸν ἀρχιερέα; ὁρᾷ τὸν τύπον. πάλιν ἐθύετο πρόβατον, καὶ ἦν εἰκὼν τοῦ Σωτῆρος. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· ἐθύετο μόσχος, ταῦρος, τὰ ἄλλα πάντα. καὶ ἀπὸ τοῦ αἵματος τῶν θυομένων ἐλάμβανεν ὁ ἀρχιερεὺς τῷ δακτύλῳ, καὶ εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων· καὶ ἐρράντιζεν ἐνώπιον τοῦ ἱλαστηρίου ἑπτάκις. καὶ νῦν καὶ αὐτὸ τὸ ἱλαστήριον τύπος τοῦ Σωτῆρος, καὶ τὸ αἷμα τὸ ῥαινόμενον τύπος αὐτοῦ, ἵνα καὶ ὁ προσκυνούμενος, καὶ τὸ δῶρον τὸ προσφερόμενον τῷ προσκυνουμένῳ, εἷς καὶ αὐτὸς ᾖ. τούτων δὲ τῶν ζώων, ὧν τὸ αἷμα προσεφέρετο εἰς τὰ ἅγια, τὰ σώματα κατεκαίοντο ἔξω τῆς παρεμβολῆς, καὶ ἡ τέφρα αὐτῶν ἡγίαζε τοὺς ἀνθρώπους, καὶ τοὺς κεκοινωμένους ἡγίαζε τὰ τῶν νεκρωθέντων ζώων λεί-

A crificiorum genera & concedit & mandat, per prophetas ea quæ ejuſcemodi conceſſione fiebant, abroget; idq; argumentum eſt, illum tanquam infantibus lac conceſſiſſe, non cibum dediſſe. Et quidem per Davidem ait: Audi populus meus & loquar Iſraël, & teſtificabor tibi: Deus, Deus tuus ego ſum. Nō in ſacrificiis tuis arguā te: & holocauſta tua in conſpectu meo ſunt ſemper. Non ſuſcipiam de domo tua vitulos, neq; ex gregibus tuis hircos. Ne quiſquā arbitretur, quia averſetur & reſpuat, ejuſmodi grata non B habere, ille ſeipſum explicat, quòd ſcilicet iſtis opus non habeat: non quòd nolit hæc offerri. Itaque ſubjicit: *Nunquid manducabo carnes taurorum: & ſanguinem hircorum potabo? Immola Deo ſacrificium laudis, & redde altiſſimo vota tua.* Cum docere voluiſſet nō adverſari ſeſe, neque aliena à ſeſe illa putare: ſed ad præſtantius quoddam, & quod intelligentia tantū comprehenderetur, ſacrificium invitare. Conceſſit itaq; jam olim ſacrificia, non quia placerent, ſed quia hoc modo initiatos quaſi refingere, & veriori pieta- C te imbuere vellet. Sic ergo cum propoſito Judæorum pluſculū indulgeret, in illa ipſa conceſſione imaginem quandam rerum futurarum præfigurabat: ut, licèt ſacrificiū illud per ſe quidē inutile eſſet, ſaltem ſignificatione ſua & notatione utilitatem aliquā afferret. Equidem locus hic plurimum ſubtilitatis acuminiſque habet: itaque accuratè diligentérque advertite. Sacrificia igitur illa Deo grata non erant, neque ex ſententia animi ipſius offerebantur: ſed conceſſione quadam & permiſſione. Quibus quidem D omnibus Deus ſignum quoddam, & imaginem rerum futurarum impreſſit, œconomiæ ſcilicet Chriſti, & diſpenſationis rerum futurarum; ut licet per ſeſe grata non eſſent, ſaltem propter eam rem quam præ ſe ferebant, placerent. Et quidem in omnibus illis figuram Chriſti proponebat, futuráque multò ante in illis adumbrabat: ſive enim ovis eſſet, quæ mactabatur, imaginem Servatoris referebat: ſive bos, imago erat Chriſti: ſive vitulus, ſive vacca, ſive quippiam aliud eorum quæ ſolebant offerri, ſive co- E lumba, ſive turtur, omnia hæc ad Servatorem nobis præſignificandum pertinebant. Huc templum illud in Moſe, ut ſcilicet templi Dominici imago multò ante præfiguraretur. Huc ovis illa, huc ſacerdos, huc velum ſpectat. Et ne minutiſſima quæque longiùs perſequar: eorum, quæ hucuſq; diximus, Paulum interpretem attendite: qui nihil horum extra Chriſtum intelligere permittit, qui hæc omnia de Chriſto accipit, & interpretatur. Qui cùm in Epiſtola ad Hebræos perſcripta, differentias horum my- Heb. 8. 10.
A ſteriorum explicare vellet, (verbi gratia: quid menſa illa, quid altare, quid velum, quid templum, quid pontifex arcanæ ſignificationis haberet) omnia hæc generatim, & in ſumma ad Chriſtum refert, & apertè oſtendit, univerſam hanc vitam eſſe tabernaculum: verum primum quidem tabernaculum, figuram eſſe antiqui fœderis: Sancta ſanctorum autem figuram eſſe teſtamenti novi. Quæſo advertite ſtudiosè: templum quidem unum illud omninò erat, ſed in alias atque alias partes diſtributum: nempe B in Sanctum, & in Sanctum ſanctorum: Templum illud figura erat corporis Dominici. Itaque auſculta Dominum dicentem: *Solvite templum hoc, & in tribus diebus excitabo illud.* Quemadmodum igitur in illo templo quædam ab omnibus, quædam verò à ſolo ſummo pontifice cerni conſpicique poterant: ſic & in œconomia Chriſti, divina quidem ipſius natura, ejúſque vis & efficacia minimè illa quidem cernitur: ſed tamen agendo ſeſe palàm exerit. Habes templi imaginem. Jam mihi velum illud intermedium C quære, quod Sancta à Sanctis ſanctorum dirimebat. Sed quale erat illud velum? Velum illud rurſus imago erat corporis. Quemadmodum enim velum illud loco quidem medium intercedebat: aſpectúmque eorum, qui extra conſiſtebant, ne rem divinam, quæ ibi fiebat, conſpicere poſſent, interſepiebat: ita ſanè corpus Domini velum erat divinæ ipſius naturæ, quod prohibebat, ne quis mortalibus oculis faciem illam immortalis conſtanter intueri poſſet. Atque hæc explicatio mea non eſt: ſed Paulum differen- D tem auſculta: *Habentes autem fratres, novam viam & viventem, quam in nobis initiavit per velamen, hoc eſt, per carnem ſuam, accedamus.* Attende diligenter, templum appellavit ſuam carnem, velum verò figuram carnis. Rurſus in ſacris literis eſt: Sacerdos ingrediebatur per velamen ſemel in anno: Neque verò hoc Paulus prætermiſit. Accipit hoc Paulus de figura Servatoris, & ait: *Non enim in manu facta ſancta Jeſus introivit, exemplaria verorum: ſed in ipſum cœlum, ut appareat nunc vultui Dei pro nobis.* Vides il- E lum Pontificem, vide etiam figuram. Sed & ovis mactabatur, quæ & ipſa Servatoris imago erat. Namque velut ovis ad mactationē ductus eſt. Quin etiam vitulus, taurus, ſacrificabatur, aliáq; omnia: in quorum ſanguine pontifex intincto digito, in Sancta ſanctorum intrabat, & coram propitiatorio ſeptem vicib⁹ conſpergebat. Hoc ipſum propitiatorium, & præterea ille ſanguis, qui aſpergebatur, figura Domini erat: ut ſic & ille ipſe, qui adorabatur, & donum quod eidem offerebatur, unus & idem eſſet. Animalium verò, quorum ſanguis inferebatur in ſancta, corpora extra caſtra comburebantur: quorum etiam cinis homines ſanctos reddebat, & quidem reliquiæ illæ mortuorum animalium etiam inquinatos ſancti-

Pſal. 49. Templum. Hebr. 9. Exod. 20. Levit. 16. Joh. 2. 19. Heb. 10. 19. Pontifex. Eſ. 53. 7. Exod. 29. Lev. 16. Propitiatorium. Lev. 4. 12. 16. 16.

ſanctificabant. Itaque adverte: animalia illa viva ſanctum neminem reddebant: in cinerem verò redacta, & ad ſacrificium comparata, ſanctimoniam pollutis comparabant: & erant ſanè eadem, & quæ extra caſtra comburebantur, & quæ intus offere-
Heb. 13, 11. bantur. Hinc Apoſtolus: Quorum, inquit, *animalium ſanguis in ſancta ſanctorum inferebatur, eorum corpora extra caſtra cremabantur:* Typo propoſito, veritatem deinceps explicat, & ait: Ideoque & Jeſus, ut ſanctificaret per ſuum ſanguinem populum, extra portam paſſus eſt. Et quid addit? Exeamus igitur ad eum improperia portantes. Hæc quidem figura eſt: tu veritatem con-
Sanguinis conſperſio. ſidera. Quære porrò ſanguinem, & propitiatorium. Sanguis qui reſpergebatur, & propitiatorium capiebat, propitiatio incumbebat. Quid igitur propitiatorium? Paulum denuò audi in Epiſtola
Rom. 3, 23. ad Romanos: *omnes enim peccarunt & egent gloria Dei: juſtificati gratis per gratiam ipſius, per redemptionem ipſius, quæ eſt in Chriſto Jeſu: quem Deus propoſuit propitiatorem per fidem in ſanguine ipſius.* Itaque & ſanguis ipſius, & propitiatorium ipſius. Hæc omnia à me eo dicta ſunt, quia noſtra cauſa, non autem ſua ipſius
ἕν. δι' αὐτὸν. cauſa factus eſt Servator Deus, Dei unigenitus Filius. Aliud autem illud erat, quod noſtra cauſa agebatur: aliud quod ob divinam ſuam naturam adorabatur: aliud atque aliud erat: non partibus tributum, ſed ipſo rerum ordine & œconomia conjunctum, atque connexum: ratione verò diviſum, atque diſtinctum. Cùm itaque audieris, vel ſummum Pontificem, vel paſtorem, vel ovem, vel templum, velum, propitiatorium, vel ſanguinem qui aſpergebatur, vel quæcunque ejuſcemodi ſunt, è ſingulis œconomiam in carne, quæ tua cauſa eſt inſtituta, percipe. Cùm verò audieris, unigenitum Dei Filium æqualem Patri gloria, & majeſtate: (hunc enim nobis Eccleſia prædicabat, hunc in pompa
Supra oratione prima. oſtendebat, ne divinorum oraculorum te pudeat: *Sapientia ſiquidem in viis celebratur; & in plateis liberam vocem emittit, in ſum-*
Prov. 1, 20. *mis tectis prædicatur:* cum audias inquam, Dei ſapientiam & potentiam prædicari, præcellentem illam gloriam intellige, dignitatem illam, quam ante ſecula obtinuit, illæſam, immutabilem, nul-
Joh. 1, 1. li mutationi obnoxiam. *In principio erat verbum, & verbum erat apud Deum.* Ubique (erat) occurrit: (non erat,) autem nuſpiam. Cùm, inquam, intellexeris excellentiam gloriæ, non offenderis
Joh. 14, 28 œconomia carnis. Verbi gratia: hæretico objiciente illud: *Pater qui miſit me, major me eſt,* dic illi: mirũ non eſſe, ſi propter œco-
Pſal. 8, 5. nomiam patre ſit inferior: cùm Angelorum poteſtate minorem inferioremque ſit conſecutus. Tu quidem das operam malitioſè, ut eum patre minorem inferioremque oſtendas: Ego ipſum etiam Angelis minorem inferioremque propter incarnationem demonſtro. Et quidem, quum velis confirmare differentiam eſ-
Joh. 14, 28. ſentiæ Patris & Filii, teſtimonium illud adducis: *Pater qui miſit me, major me eſt:* ego verò, ſi dictio ſpectetur, non ſolum Patre minorem, & inferiorem eum demonſtro, ſed & Angelis. Etenim beatus Paulus, Davidis illo teſtimonio in medium allato: *Quid*
Pſal. 8, 5. *eſt homo, quod memor es ejus; aut filius hominis quoniam viſitas eum? Minuiſti ipſum paulominus ab Angelis*: explicavit in ea
Heb. 2, 9. quam ad Hebræos ſcripſit Epiſtola: *Eum autem, qui parumper inferior Angelis factus eſt, videmus, Jeſum, ob ſupplicium mortis.* Quid igitur te inani labore conficis, dum docere conniteris, Filium minorem eſſe Patre: quum & Angelis minor & inferior ſit: non dignitatis, ſed œconomiæ ratione? Deinde illud quidem at-
ἐν. τοῦ δ' εὐαγγελ. tendis, qui miſit me pater, major me eſt: hanc verò Evangelicam vocem, quam hodie omnes audivimus, ſurda aure prætereis: *Ego*
Joh. 17, 10. *& pater unum ſumus.* Differentiam hanc ſeriò perpende: ubi unitas ſignificatur, non dicit, qui miſit me, ſed pater: ubicunque unionem voluit commonſtrare, & identitatem, ut ita dicam, nunquam dixit: ego, & qui miſit me, unum ſumus: ſed ego, & pater. Neque enim quicquam medium inter Filium & Patrem. Quotieſcunque verò dicit, major, addit, qui miſit me. Nam mittere, ad œconomiam, in carne refertur: mitti verò divinam naturam interpretatur nullam, ſed œconomiæ in carne notatio eſt. Deus neminem mittit corporeo quodam modo, neque mittitur. Quod quomodo fiat, adverte: quiſquis aliquem mittit, iis in locis, quò ipſum mittit, præſens non adeſt. At tu mihi locum Patre vacuum monſtra: oſtende ubi Filius præſens non adſit: locumve Spiritu deſtitutum. Quòd ſi juxta literam verba illa accipiantur, ſanè perſiſtit tua objectio: quòd ille quidem miſit, hic verò miſſus eſt. Itaque verbum illud, miſſus eſt, nullam migrationem quæ de loco in locum fiat, ſed corporeum aſpectum declarat. Neq; cùm Evan-
Joh. 1, 6. gelicæ literæ tradunt: *Erat homo miſſus à Deo, cui nomen erat Joannes:* idcirco Joannem è cœlis ad nos uſque veniſſe arbitramur. Cùm autem in hoc orbe ageret, quomodo miſſ' eſt, dicat aliquis? Poſteaquam illi œconomia illa commiſſa fuit: eam ipſam miſſionem appellavit. Eſaias quidem Hieroſolymis in ipſo templo Dominum conſpicatus eſt ſedentem in excelſo throno, & in altũ ſublato, cùm quidem in ipſo oppido & templo verſaretur: contemplatúſq; viſionẽ illam, & dignus exiſtimatus, qui Deum conſpiceret, prout fas eſt homini, audivit Deum dicentem: Quem ad iſtũ populũ mittam? at cum ille in populo eſſet, quomodo mittitur ad populũ?

ψαντα. βλέπε τὸν τύπον. ζῶντα μὲν οὐκ ἡγίαζεν, ἀποτεφρωθέντα δὲ καὶ εἰς θυσίαν ἀπαρτισθέντα, ἁγιασμὸν ἔφερον τοῖς κεκοινωμένοις. καὶ ἦν τὰ αὐτὰ ζῶα, καὶ ἔξω καιόμενα, καὶ ἔσω προσφερόμενα. ὅθεν ὁ ἀπόστολος· ὧν γάρ, φησιν, εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια τῶν ἁγίων, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. εἶπε τὸν τύπον· καθερμηνεύει τὴν ἀλήθειαν. καί φησι· διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. καὶ τί ἐπάγει; ἐξερχώμεθα δὴ πρὸς αὐτόν, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. ἔχεις τὸν τύπον, ἴδε τὴν ἀλήθειαν· ζήτησον πάλιν τὸ αἷμα καὶ τὸ ἱλαστήριον. τὸ αἷμα ἐρραίνετο, καὶ τὸ ἱλαστήριον ἐδέχετο, ὁ ἱλασμὸς ἐπέκειτο. τί τὸ ἱλαστήριον; Παύλου πάλιν ἄκουε λέγοντος ἐν τῇ πρὸς Ῥωμαίους· πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τοῦ αἵματος αὐτοῦ διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως αὐτοῦ ἐν τῷ αἵματι αὐτοῦ. καὶ τὸ αἷμα αὐτοῦ, καὶ τὸ ἱλαστήριον αὐτοῦ. ταῦτά μοι εἴρηται πάντα, ὅτι πάντα δι' ἡμᾶς γέγονεν ὁ Σωτὴρ Θεός, καὶ Θεοῦ μονογενὴς υἱός, οὐ δι' ἑαυτόν. ἄλλο δὲ τὸ δι' ἡμᾶς πραγματευόμενον, ἄλλο τὸ * δι' ἑαυτὸν κατὰ τὴν θεότητα προσκυνούμενον· ἄλλο καὶ ἄλλο, οὐ νῦν μεμερισμένον, ἀλλὰ τῇ οἰκονομίᾳ μὲν συνημμένον, τῇ δὲ ἐννοίᾳ τεμνόμενον. ὅταν τοίνυν ἀκούσῃς ἢ ἀρχιερέα, ἢ ποιμένα, ἢ πρόβατον, ἢ ναόν, ἢ καταπέτασμα, ἢ ἱλαστήριον, ἢ αἷμα ῥαντισμοῦ, ἢ ὅσα τοιαῦτα, διὰ πάντων γνώριζε τὴν διὰ σὲ γενομένην οἰκονομίαν. ὅταν δὲ ἴδῃς σύνθρονον τὸν μονογενῆ [τοῦτον γὰρ ἐκήρυττεν ἡ ἐκκλησία, καὶ ἐπόμπευεν] οὐκ ἐπαισχυνθήσῃ τὰ θεῖα λόγια. Σοφία γὰρ ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων κηρύττεται. ὅταν δὲ ἴδῃς κηρυττομένην Θεοῦ σοφίαν καὶ δύναμιν, νόει τὴν ὑπεροχὴν τῆς δόξης, τὴν προαιώνιον ἀξίαν, τὴν ἄτρεπτον, τὴν ἀμετάβλητον, τὴν ἀναλλοίωτον. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. πανταχοῦ τό, ἦν, τὸ δέ, οὐκ ἦν, οὐδαμοῦ. ἐὰν νοήσῃς τὴν ὑπεροχὴν τῆς δόξης, οὐ σκανδαλισθήσῃ πρὸς τὴν τῆς σαρκὸς οἰκονομίαν. οἷον τὶ λέγω· ἐὰν ἀκούσῃς λέγοντος αἱρετικοῦ, ὅτι ὁ πατὴρ ὁ πέμψας με μείζων μου ἐστί, λέγε αὐτῷ· ὅτι οὐδὲν θαυμαστόν, εἰ τοῦ πατρὸς ἐλάττων διὰ τὴν οἰκονομίαν, ὅπου γε καὶ ἀγγέλων ἠλαττώθη. σὺ σπουδάζεις δεῖξαι διὰ τὴν κακίαν, ὅτι τοῦ πατρὸς ἐλάττων· ἐγὼ δὲ αὐτὸν δείκνυμι διὰ τὴν οἰκονομίαν καὶ ἀγγέλων ἐλάττονα. καὶ σὺ μὲν εἰ βουλόμενος κατασκευάσαι διαφορὰν οὐσίας πατρὸς καὶ υἱοῦ, προφέρεις τὸ ῥῆμα, ὅτι ὁ πατὴρ ὁ πέμψας με, μείζων μου ἐστίν· ἐγὼ δὲ δείκνυμι, ὅτι οὐ μόνον τοῦ πατρὸς ἐλάττων κατὰ τὴν λέξιν, ἀλλὰ καὶ ἀγγέλων. ὁ γὰρ μακάριος Παῦλος προάγων τοῦ Δαβὶδ τὴν μαρτυρίαν, τό, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν, ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· ἡρμήνευσε διὰ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς. τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου. τί τοίνυν κάμνεις [illegible], καὶ κατασκευάζεις δεῖξαι υἱὸν ἐλάττονα πατρός, ὅπου καὶ [illegible] ἐλάττων, οὐ διὰ τὴν ἀξίαν, ἀλλὰ διὰ τὴν οἰκονομίαν; εἶτα τὸ [illegible] ὁ πατὴρ μείζων μου ἐστίν, ἀκούεις· τῆς δὲ εὐαγγελικῆς [illegible] οὐκ ἀκούεις φωνῆς, ἣ σήμερον ἐπήχησε πᾶσιν, ἐγὼ καὶ ὁ πατὴρ [illegible]; καὶ πρόσεχε τῇ διαφορᾷ· ὅπου τὸ ἕν, οὐκ εἶπε τό, ὁ πέμψας με, ἀλλ', ὁ πατήρ· ὅπου τὴν ἕνωσιν ἐβουλήθη δεῖξαι καὶ τὴν ταυτότητα, οὐκ εἶπεν, ἐγὼ καὶ ὁ πέμψας με ἕν ἐσμεν, ἀλλ', ἐγὼ καὶ ὁ πατήρ. πατρὸς καὶ υἱοῦ οὐδὲν τὸ μέσον. ὅπου δὲ τό, μείζων, προστίθησι τό, ὁ πέμψας με. τὸ γὰρ πέμψαι, ἔργον οἰκονομίας· τὸ δὲ πεμφθῆναι, οὐχ ἑρμηνεία θεότητος, ἀλλ' ἑρμηνεία τῆς οἰκονομίας· Θεὸς γὰρ οὔτε ἀποστέλλει σωματικῶς, οὔτε ἀποστέλλεται. καὶ ὅπως, ἄκουε. ὁ γὰρ ἀποστέλλων, ἐν ἐκείνοις ἀποστέλλει τοῖς τόποις, ἐν οἷς μὴ πάρεστι. δεῖξον τοίνυν ἔρημον τόπον πατρός, δεῖξον τόπον γυμνὸν τοῦ υἱοῦ, δεῖξον τόπον ἀφεστηκότα τοῦ πνεύματος, καὶ ἔχεις χώραν, εἰ κατὰ τὴν λέξιν ἐνόησας, ὅτι ὁ μὲν ἀπέστειλεν, ὁ δὲ ἀπεστάλη. τὸ γοῦν ἀπεστάλη, οὐ τοπικὴν μετάβασιν δείκνυσιν, ἀλλὰ σωματικὴν ὄψιν. οὐδὲ γάρ, ὅταν λέγῃ ἡ γραφή, ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης, ἤδη τὸν Ἰωάννην ἐξ οὐρανῶν ἀφῖχθαι νομίζομεν· ἐπεὶ εἰ ἦν, φησί, πῶς ἀπεστάλη; ἀλλ' ἐπειδὴ οἰκονομίαν ἐνεχειρίσθη, τὴν οἰκονομίαν ἀποστολὴν ἐκάλεσεν. Ἡσαΐας ἐν Ἱεροσολύμοις ἐν αὐτῷ τῷ ναῷ εἶδε τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ὢν ἐν τῇ πόλει καὶ ἐν τῷ ναῷ, καὶ θεασάμενος τὴν ὀπτασίαν, καὶ ἰδεῖν καταξιωθεὶς Θεόν, ὡς δυνατὸν ἀνθρώπῳ, ἤκουε τοῦ Θεοῦ λέγοντος· τίνα ἀποστείλω πρὸς τὸν λαὸν τοῦτον; ἐν τῷ λαῷ ἦν, καὶ πῶς ἀποστέλλεται πρὸς τὸν λαόν;

οὕτως

οὕτως ἡ ἀποστολὴ οὐ τοπικὴν ἐμφαίνει μετάβασιν, οὔτε ὑπουργίαν A δουλικήν, ἀλλ᾽ ἀνθρωπίνην οἰκονομίαν. ἄλλως δὲ εἰ τῇ λέξει δουλεύεις, τὴν λέξιν αἰδέσθητι· εἰ ἀπεστάλη, πῶς λέγει, καὶ ὁ πέμψας με, μετ᾽ ἐμοῦ ἐστιν; οὐδεὶς γὰρ ἀποστέλλων συναπέρχεται τῷ ἀποσταλέντι. τοῦτο γὰρ οὐκ ἔστιν ἀποστεῖλαι, ἀλλὰ συνοδεῦσαι. ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί. ποῦ ἡ ἀποστολή; καὶ ἵνα μή τις τὸ, ὁ πέμψας με πατὴρ μετ᾽ ἐμοῦ ἐστι, κατ᾽ ἐνέργειαν εἰρῆσθαι νομίσῃ καὶ κατὰ βοήθειαν, φησίν· Ὁ πατὴρ ὁ ἐν ἐμοὶ μένων, καὶ τὸ, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πα- B τὴρ ἐν ἐμοί. ταύτην γὰρ τὴν φωνὴν καὶ Ἡσαΐας προκεκήρυχε, λέγων· „Ἐκοπίασεν Αἴγυπτος, καὶ ἡ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ ἐξακολουθήσουσί σοι χειροπέδαις δεδεμένοι, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται· ὅτι ἐν σοὶ ὁ Θεός, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. πῶς ἐνδέχεται; εἰ ἄλλος ἐστὶν ἐν αὐτῷ, πῶς πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος; ὅτι ἐν σοὶ ὁ Θεός, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. ἆρα οὐχ ἑρμηνεία ἐστὶ τοῦ εὐαγ- C γελίου τούτου τοῦ λέγοντος, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί, καὶ οἱ δύο ἕν ἐσμεν; τὸ γάρ, οὐκ ἔστι Θεὸς πλὴν σοῦ, ἑρμηνεία ἐστὶ τοῦ ἕν ἐσμεν· καὶ ὅρα τὸ σοφὸν τῆς λέξεως, καὶ πεπληρωμένον δυνάμεως. τό, ἕν ἐσμεν, δίστομος μάχαιρα αἱρετικοὺς τέμνουσα. τὸ μὲν γὰρ ἕν, ἐλέγχει τὴν τῶν Ἀρειανῶν μανίαν· τὸ δὲ ἕν ἐσμεν, τὴν Σαβελλίου σύγχυσιν. ὅτι ὁ Θεὸς ἐν σοί ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. καὶ ἵνα δείξῃ ὁ προφήτης τὸν αὐτὸν ὄντα Θεὸν ἐν Θεῷ, D ἐπάγει· σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν. οὐκ ᾔδεις σύ, ὅτι αὐτός ἐστι Θεός; Μωϋσῆς οὐ πρὸ σοῦ προκεκήρυχεν; οὐ μετ᾽ εἴκοσι καὶ μίαν γενεὰν ἐγένου τοῦ Μωϋσέως; ἀπὸ γὰρ Μωϋσέως ἕως Δαβὶδ γενεαὶ ἑπτά· ἀπὸ δὲ τοῦ Δαβὶδ μέχρι Ἡσαΐου γενεαὶ δώδεκα. πρὸ γὰρ δύο γενεῶν Βαβυλῶνός ἐστιν Ἡσαΐας. ἐν τοσαύτῃ πρὸ εἰκοσιπέντε γενεῶν ἐκήρυξαν οἱ προφῆται, ὅτι Θεός ἐστι· καὶ Μωϋσῆς ἔλεγεν, ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ Σαμουὴλ μὲν ἐπεβόα τὰ αὐτά· E ἀλλὰ μὴν καὶ Δαβὶδ τὰ αὐτὰ ἐκήρυττε, καὶ πᾶς δὲ προφήτης τὰ αὐτὰ ἐθέσπιζε· πῶς φησιν ὁ προφήτης Ἡσαΐας, σὺ γὰρ Θεός, καὶ οὐκ ᾔδειμεν, εἰ μὴ ἀληθῶς τὸν Σωτῆρα αἰνίττεσθαι, τὸν ὄντα μέν, οὐ γνωριζόμενον δέ; * τὸ γάρ, σὺ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν, οὐχ ἑαυτοῦ ἀγνοίας κατηγορεῖ, ἀλλὰ τοῦ λαοῦ τὸ πρόσωπον ἀναδέχεται. συντείνει δὲ ἡ διδασκαλία, σὺ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν, τῷ φάσκοντι, „Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν. καὶ ἵνα ὅμως εἴπῃ· A σὺ γὰρ εἶ ὁ Θεός, καὶ οὐκ ᾔδειμεν, Θεὸς τοῦ Ἰσραὴλ πάντων Σωτήρ, ἄκουε τῶν ἀγγέλων λεγόντων, καὶ εὐαγγελιζομένων τοὺς ποιμένας· μὴ φοβεῖσθε, εὐαγγελιζόμεθα ὑμῖν χαρὰν μεγάλην· ὅτι ἐτέχθη σήμερον ὑμῖν Σωτήρ. ὅς ἐστι Χριστὸς τοῦ Ἰσραὴλ πάντων Σωτήρ. ἰδοὺ αἰσχυνθήσονται πάντες οἱ ἀντικείμενοί σοι, καὶ πορευθήσονται ἐν αἰσχύνῃ. ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ ὡς ἱμάτιον παλαιωθήσονται· ἀντικειμένους καλῶν, τοὺς τῷ λόγῳ ἀντιπίπτοντας. ἐπειδὴ ἐὰν μὲν B εἴπῃς Ἕλληνι, ἢ ἑτέρῳ τινὶ νῦν τῆς εὐσεβείας ἀπεξενωμένῳ, ὅτι ἐστὶ Θεός, οὐ μάχεται· λέξῃς δὲ ὅτι ἐστὶ Χριστός, δαιμονίζεται· ὥσπερ φησὶ καὶ ὁ μακάριος Δαβίδ· ὁ Κύριος ἐβασίλευσεν· ὀργιζέσθωσαν λαοί. ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ· σαλευθήτω ἡ γῆ. καὶ τίς ὁ καθήμενος; ἢ δῆλον ἐκεῖνος, πρὸς ὃν φησιν ὁ αὐτὸς προφήτης, „ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι, καὶ ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς· ὁρᾷς ὅτι οὐκ ἔχει χώραν ἀπὸ τῶν λέ- C ξεων ἡ κατασκευαζομένη τοῖς αἱρετικοῖς κακουργία· ἀλλ᾽ ὅπου μὲν τὸ ἰσότιμον, ἐγὼ καὶ ὁ πατήρ· ὅπου δὲ τὸ οἰκονομικόν, ὁ πέμψας με μείζων μού ἐστι· διὰ τὸ σχῆμα τῆς ἀποστολῆς μείζων, οὐ διὰ τὴν τῆς θεότητος ἕνωσιν. οὕτως οὖν δεῖ προσέχειν ταῖς γραφαῖς, καὶ μὴ παρέρχεσθαι τὰ θεῖα λόγια· νῦν μὲν σὺ ὁλόκληρα εὐαγγέλια καταγινώσκεις, ὁ δὲ Σωτὴρ οὐδενὸς γράμματος. τοσοῦτον γοῦν ἐβουλήθη εὐλαβεῖς εἶναι „ἡμᾶς περὶ τὴν γραφήν, ὡς εἰπεῖν, Ἀμήν, ἀμὴν λέγω ὑμῖν, εὐκο- D „πώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου ἰῶτα ἕν, ἢ „μίαν κεραίαν πεσεῖν. ὁ μὲν οὖν Σωτὴρ οὐδὲ τοῦ ἰῶτα καταφρονεῖ, σὺ δὲ ὁλόκληρον γραφὴν διασπᾷς. σαφῶς δὲ ἡμῖν ὁ λόγος δεικνύσιν, ὅτι ἡ περὶ τῶν γραφῶν γνῶσις, καὶ τῆς τῶν νεκρῶν ἀναστάσεως ἰσχυροτέρα τυγχάνει. οὐ γὰρ τοσοῦτον δύναται νεκρῶν ἀνάστασις, ὅσον ἡ τῶν γραφῶν ἀνάγνωσις. καὶ ἄκουε τοῦ Πατριάρχου Ἀβραάμ, „ὃς ἤκουε λέγοντος τοῦ πλουσίου αὐτῷ· πάτερ Ἀβραάμ, ἐλέη- E „σόν με, καὶ πέμψον Λάζαρον, ἵνα εἴπῃ τοῖς ἀδελφοῖς μου „μὴ ἐλθεῖν εἰς τὴν κρίσιν ταύτην. καὶ τί φησιν, ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν· ὁ δὲ λέγει, οὐχί, πάτερ Ἀβραάμ· ἐὰν μή τις ἐκ νεκρῶν ἀναστῇ, οὐ πιστεύσουσιν. ὁ δέ φησι πρὸς αὐτόν, ἀμὴν λέγω σοι, εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδέ, ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πιστεύσουσι. πρόσεχε ἀκριβῶς. ἆρα οὖν εἰ ἀνέστη τις ἐκ νεκρῶν, οὐκ ἂν ἐπίστευσαν;

ἐδήδεσμα, οὐκ ἄλλα δὲ τῶν γηρῶν πρὸς τὴν τῆς πενίας παραμυθίαν. οὐ χώρα αὐτῇ σιτοφόρος σπέρμα ἄρτου προσέφερεν· οὐκ ἄμπελος αὐτῇ γλυκύρρυτον βότρυον ἐγεώργει· οὐ δένδρον αὐτῇ ὀπώρας καρπὸν ἥδιστον προσέφερε. πῶς γάρ; ᾗ οὔτε σπιθαμὴ γῆς ἀρόσιμος τόπος ὑπῆρχεν, οὔτε πηχυαῖον ἔδαφος πρὸς ἀμπέλου φυτείαν· ἀλλ᾽ ἀεὶ ἐν τῷ καιρῷ τοῦ θέρους ἐν τοῖς ἀγροῖς κυρτουμένη, τοὺς ἀποπεσόντας τῶν δρεπανιστῶν παλάμαις ἀστάχυας ἐρανιζομένη, συμμεμετρημένην τῷ ἐνιαυσιαίῳ κύκλῳ τοῦ χρόνου τὴν τροφὴν ἀπετίθετο. πρὸς ταύτην ἀπῆλθεν Ἡλίας ἐν τῷ καιρῷ τοῦ λιμοῦ, ὅτε πᾶσα ἡ γῆ ἐκ τῆς ἀβροχίας σχεδὸν διεθρύπτετο· ὅτε οὐρανὸς ἐπεπύρωτο, καὶ ὁ ἀὴρ ἐχάλκωτο, καὶ αἱ νεφέλαι ἐχαλινοῦντο, ὅτε οὐ βοτάνη, οὐκ ἄνθος, οὐκ ἀκροδρύων βλαστός, οὐκ αὔρα ἔνδροσος, οὐ στάχυς ἀκμὴν ἐσαλεύετο, ὅτε ποταμοὶ ἐλαττώθησαν, καὶ πηγαὶ τοὺς μαζοὺς τῶν ὑδάτων τῷ καύσωνι ἔσφιγξαν, καὶ θάλασσα ἐζημιώθη, μὴ ἐπεισερχομένων αὐτῇ γλυκέων ὑδάτων καὶ ὄμβρων ἀνασταλέντων. τότε ἀπῆλθεν Ἡλίας πρὸς τὴν πενιχράν, πρὸς τὴν χήραν· οἷα δὲ πᾶσα χήρα καὶ ἐν καιρῷ εὐθηνίας, οἴδατε. καὶ ἀφεὶς τοὺς πλουσίους ὁ προφήτης, τοὺς ἔχοντας δαψιλῶς ἄρτους, καὶ καταβὰς ἀπὸ τοῦ ὄρους, ἦλθε πρὸς αὐτήν. διὰ τί γὰρ μᾶλλον ὁ πῦρ οὐρανόθεν ῥήματι κατενέγκας, ἄρτους ἑαυτῷ οὐ κατήνεγκε; μὴ οὐκ ἠδύνατο; ναί, ἠδύνατο· ἀλλὰ τοῦτο οὐκ ἐποίησε. διὰ τί δέ; ἵνα μὴ τῆς φιλοξενίας τοὺς καρποὺς στερήσῃ τὴν χήραν· ἀλλά, ἵνα καὶ τὸ δράγμα τοῦ ἀλεύρου καὶ τὸ ὀλίγον τοῦ ἐλαίου διὰ τῆς εὐλογίας πληθύνῃ. οὐ γὰρ τοσοῦτον ἀπῆλθεν ὁ προφήτης τραφῆναι, ὅσον θρέψαι τὴν πενιχράν, καὶ ἐλέγξαι κεκρυμμένην καρδίαν καὶ εὐπροαίρετον. τοῦτο ποιεῖ ὁ Θεὸς δυνάμενος πάντας τοὺς ἁγίους, τοὺς ὄντας ἐν κόσμῳ, δι᾽ ἑαυτοῦ θρέψαι· ἐπέχει τὴν δόσιν, ἵνα τὰς εὐπροαιρέτους καρδίας ἐν τῷ τῆς φιλοξενίας καιρῷ ἀπὸ τῶν καρπῶν διακρίνῃ. ἐπειδὰν δὲ μὴ ὦσί τινες οἱ θέλοντες αὐτοὺς ὑποδέξασθαι, ἢ δι᾽ ὀρνίθων τρέφει, ὡς τὸν Ἡλίαν ἐν τῷ ὄρει, ἢ διὰ προφήτου ξένου, ὡς τὸν Δανιὴλ ἐν τῷ λάκκῳ, ἢ διὰ θαλαττίου ζώου, ὡς τὸν Ἰωνᾶν διὰ τοῦ κήτους, ἢ αὐτὸς δι᾽ ἑαυτοῦ τὴν τροφὴν ἐπιμετρεῖ, ὡς τοῖς πατράσιν ἡμῶν ἐν ἐρήμῳ. οὐκ ὄντων γὰρ τῶν ὀφειλόντων αὐτοὺς ὑποδέξασθαι, οὐρανόθεν τὸ μάννα ἐπόμβρισε, καὶ ἐκ πέτρας ὕδωρ ἐπήγαζεν· ὅταν δὲ ὦσιν οἱ ἅγιοι ἐν κόσμῳ συναναστρεφόμενοι τοῖς ἄλλοις, ἀναστέλλει αὐτοῦ τὴν δεξιὰν χεῖρα· καὶ ὁρᾷ αὐτοὺς θλιβομένους, ἀφίησιν, ἵνα δῷ χάριν διὰ τῆς εἰς αὐτοὺς γινομένης εὐποιΐας πολλοῖς τοῖς βουλομένοις τὸν σωτήριον καρπώσασθαι. ἀπῆλθεν οὖν Ἡλίας πρὸς τὴν χήραν, ἣν ᾔδειν παρ᾽ ἑαυτῷ, οὐ μὴ δρὰξ ἀλεύρου, ὅπερ μετὰ καμάτου αὐτῇ καὶ τοῖς τέκνοις αὐτῆς ἐν τῷ καιρῷ ἀμήτου ἐπήρκει. καὶ λέγει πρὸς αὐτήν· Λάβε μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι. αὐτῆς δὲ πορευομένης, ἐβόησεν ὀπίσω αὐτῆς· Λήψη δή μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου. ἡ δέ, ὃ μὲν οὐκ εἶχεν, εἶπεν· ὃ δὲ εἶχεν, ὡμολόγησε. ἔφη γάρ· Ζῇ Κύριος, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ᾽ ἢ ὅσον δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ. θαυμαστόν, εἰ ἐν τοσαύτῃ σπάνει τροφῶν τὸ παρὸν αὐτῇ τῆς πενίας λείψανον οὐκ ἠρνήσατο. πόσοι νῦν χρυσὸν καὶ ἄργυρον, ὡς πηλόν, ἔχοντες, παρακαλούμενοι τὰς εὐεργεσίας τῷ φίλῳ ἀπονέμειν, καὶ κολακευόμενοι ἀρνοῦνται τὸ ἔχειν; κἂν παρακληθῶσι καμφθῶσι πρὸς τὴν ἐπίδοσιν, γράμματα συντάττουσι σιδήρου ἰσχυρότερα, καὶ τοῦ δεχομένου χεῖρα πρῶτον τοῖς γραμματείοις δεσμεύουσιν, ἱκανοδότας καὶ μεσίτας τοῦ χρυσίου λαμβάνοντες. ἐκείνη δὲ ἀπὸ μιᾶς φωνῆς οὐκ ἠρνήσατο τὸ δράγμα τοῦ ἀλεύρου. καὶ λέγει πρὸς αὐτὴν ὁ προφήτης· Σπεῦσον, καὶ ποίησόν μοι ἐγκρυφίας, ἐν πρώτοις ἐμοί, ἐπ᾽ ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου. πειρασμὸς ἦν τὸ ῥῆμα τοῦ προφήτου, δοκιμὴ καρδίας, προαιρέσεως βάσανος· καὶ ἦν ὥσπερ ὑπὸ ζυγοῦ κειμένη ἡ καρδία τῆς μακαρίας ἐκείνης, καὶ δοκιμαζομένη. ποῦ ἄρα ῥέψει; πρὸς τὴν τῶν τέκνων ἑαυτῆς εὔνοιαν, ἢ πρὸς τὴν τοῦ προφήτου φιλοξενίαν; ἡ δὲ εἵλετο μᾶλλον αὐτὴν καὶ τὰ τέκνα αὐτῆς στενοχωρῆσαι, καὶ τὸν προφήτην ὑποδέξασθαι. ᾔδει γάρ, ὅτι Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· καὶ ὁ ποτίζων ποτήριον ψυχροῦ εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. τί δέ ἐστιν ὃ εἶπεν ὁ προφήτης, Σπεῦσον; ἆρά γε τοσοῦτον ἐπείνα, ὡς δεῖσθαι σπουδῆς; οὐ πάντως. ἀλλά

ἀλλὰ τὸ τῆς εὐποιΐας σπουδαῖον καὶ ἱλαρὸν καὶ θερμὸν, μὴ μετὰ λύπης ἢ μετὰ ἀνάγκης. Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Σπεῦσον, καὶ ποίησον ἐν πρώτοις ἐμοὶ, ἐπ᾽ ἐσχάτου δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου. σπεῦσον, ὡς Ἀβραὰμ ἐν τῇ τῶν ἀγγέλων ἐπιδημίᾳ ἔσπευσεν ἐπὶ τὰς βόας, ἐπὶ τὸν μόσχον, ἵνα λάβῃ τὸν ἀμνόν. καὶ ὡς Σάῤῥα ἔσπευσεν ἐπὶ τοὺς ἐγκρυφίας, ἵνα λάβῃ τὸν ἐν οὐρανοῖς κρυπτόμενον ἄρτον. σπεῦσον, καὶ ποίησον, ὡς Ἀβραὰμ τὰς θυσίας τῷ Θεῷ· μὴ πρότερον σαυτῇ, καὶ τότε ἐμοί. ὡς Κάϊν, καὶ Ὀφνὶ, καὶ Φινεὲς, υἱοὶ Ἠλὶ τοῦ ἱερέως, οἵτινες τὸν Θεὸν παρέβλεψαν, πρῶτοι τὰς ἀπαρχὰς λαμβάνοντες τῶν τῷ Θεῷ προσφερομένων δώρων. ἡ δὲ τὸ προσταχθὲν γενόμενον σπουδαίως ἐποίει· ὁ δὲ τὸν ἄρτον ἐγκρυφίαν πλούσιον θεασάμενος ἐγεύσατο, ἐφθέγξατο, καὶ τὸν οἶκον αὐτῆς ἐνέπλησεν ἀγαθῶν. οὐκ ἐκλείψει γάρ, φησιν, ἡ δρὰξ τοῦ ἀλεύρου ἐκ τῆς ὑδρίας, καὶ τὸ ἔλαιον ἐκ τοῦ καμψάκου, ἕως τοῦ δοῦναι τὸν Κύριον ὑετὸν ἐπὶ τῆς γῆς. Διὰ τί ἕως τότε; καὶ ἀναγκαίως. ἔδει γὰρ, τῆς καινῆς χάριτος ὡς ὑετοῦ ἐλθόντος, τὸν παλαιὸν νόμον λαβεῖν τέλος. καὶ ἠκολούθει τὸ ἔργον τῷ λόγῳ. ὁρᾷς πῶς τῆς φιλοξενίας τοὺς καρποὺς ἐτρύγησαν αἱ ἀγαθαί; ἀγαθῶν γὰρ πόνων καρπὸς εὐκλεὴς, καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως. ἠκούσατε γυναῖκες τὰς τῶν πονηρῶν γυναικῶν πράξεις· καὶ τὰς τῶν ἀγαθῶν ἀριστείας. τὰς μὲν οὖν ἀγαπήσατε, τὰς δὲ μὴ ποιήσατε· καὶ τὰς μὲν μιμήσασθε, τὰς δὲ μισήσατε, ἵνα τὸν αὐτὸν δρόμον, τῶν καλῶν λέγω, ἐχνηλατήσαντες, εἰς τὸν αὐτὸν τῶν ἁγίων χορὸν ἀριθμηθῆτε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A Sed doceri illam voluit prompto animo, & ferventi ſpiritu, & hilarem, & manu paratam ad boni operis effectum, non ex triſtitia, & tanquam ex neceſſitate præbentem. Hilarem enim datorem diligit Deus. Feſtina, inquit, & fac primùm mihi: poſtremò verò tibi ipſi & filiis tuis: feſtina, ſicut Abraham in Angelorum adventu ad boves feſtinavit, & vitulum ad eorum prandium detulit; ut acciperet agnum: & ſicut Sara feſtinavit ad panes ſubcineticios faciendos, ut acciperet illum in cœlis abſconditum pa-
B nem: feſtina, & fac ſicut Abraham hoſtias Deo. Non primùm tibi & poſtea mihi: non ſicut Cain, & Ophni & Phinees, filii Heli ſacerdotes: qui deſpiciebant honorem Dei, primum ſibi ſacrificiorum primitias eligentes ex omnibus donis, quæ Deo offerebantur. Illa ergo vidua quod imperatum eſt ei à Propheta, feſtinanter effecit, & fructum ſuum feſtinanter implevit, providens locupletem eſſe fructum operantibus in Deo repoſitum. Propheta verò ſubcinericium panem ſuſcepit, guſtavit, locutus eſt, &
C domum ejus omnibus bonis replevit. *Hæc* inquit, *dicit Spiritus ſanctus. Non deficit farina hydriæ, & oleum de lecytho, donec det Dominus pluviam ſuper terram.* Et quare uſque illud temporis finem benedictionis dedit? Convenienter utique. Oportebat enim novam gratiam ſicut pluviam ſupervenire in terram, & veterem legem accipere terminum: & conſequens eſt opus verbo. Videtis ergo quomodo hoſpitalitatis mercedes bonæ mulieres receperunt? Bonorum enim laborum fructus glorioſus eſt apud Deum,
D & inconcuſſa radix prudentiæ. Audiſtis o mulieres malarum mulierum peſſimos actus, & bonarum glorioſos triumphos: illarum ergo facinora calcate, harum verò exempla ſectamini: illas execramini, has vero imitamini: ut cùm ſanctarum fœminarum curſum & veſtigia conſecutæ fueritis, in earum choro atque conſortio pari gratia annumerari mereamini, gaudentes & lætantes ſemper cum Chriſto Jeſus, cui honor & gloria in ſecula ſeculorum.
E

Gen. 18, 6.
Ibidem.
3. Reg. 17, 14.

Εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν, καὶ περὶ τῆς τῶν πρώτων ἀνθρώπων παραβάσεως.

ΤΙ εἴπω, ἢ τί λαλήσω; ἢ τίνας ὑμᾶς καλέσω; πρόβατα, ἢ ποιμένας; ναύτας, ἢ κυβερνήτας; μαθητὰς, ἢ διδασκάλους; πῶς ὑμῶν θαυμάσω τὸν ζῆλον τοῦ πυρὸς λαβρότερον; πρόβατα ὑμᾶς καλέσω; καὶ γάρ ἐστε πρᾶοι καὶ ἥσυχοι. ποιμένας ὑμᾶς καλέσω; καὶ γάρ ἐστε μεμιμημένοι τὸν ἑαυτῶν δεσπότην. ναύτας ὑμᾶς καλέσω; καὶ γάρ ἐστε τῇ πείρᾳ τὸν κλυδώνιον χειμῶνα ὑπομείναντες. κυβερνήτας ὑμᾶς καλέσω; καὶ γάρ ἐστε. καθάπερ γάρ τις ἄριστος κυβερνήτης καθήμενος ἐπὶ τοῦ οἴακος, τῇ τέχνῃ τὰς τρικυμίας διαφεύγων, καὶ σῶον διασώζων τὸ σκάφος, ἐπὶ εὔδιον λιμένα χειραγωγεῖ· οὕτω δὴ καὶ ὑμεῖς. ἀλλὰ μαθητὰς ὑμᾶς καλέσω; καὶ γάρ ἐστε ἕτοιμοι πρὸς τὴν ὑπακοήν. ἀλλὰ διδασκάλους ὑμᾶς καλέσω; πάλιν ἐρῶ, ἐστέ. ἁπάσης γὰρ τῆς οἰκουμένης διδάσκαλοι ἐγένεσθε. τί οὖν ἐροῦμεν; βούλομαι σήμερον ὑμῖν τράπεζαν παραθεῖναι πνευματικὴν, οὐ σῶμα τρέφουσαν, ἀλλὰ πνεῦμα τειχίζουσαν, μᾶλλον δὲ καὶ σῶμα τρέφουσαν, καὶ ψυχὴν ἀποσμήχουσαν. τοιαύτη γάρ ἐστιν ἡ τράπεζα πνευματικὴ, οὐ καθὼς ἡ τράπεζα τῶν γαστριμάργων κόρον ἐμποιοῦσα. λόγος γάρ ἐστι πνευματικός· ὑπομιμνησκόμενος γὰρ αὐτοῦ ἄνθρωπος, καθάπερ μύρον μασσώμενος, εὐωδίαν ἵνα ἐκπέμπει· οὐ μόνον ἑαυτὸν τῇ εὐωδίᾳ παραμυθούμενος, ἀλλὰ καὶ τοὺς παρεστῶτας αὐτῷ πληροῦν ἐκ τῆς εὐωδίας ἐκείνης παρασκευάζων. συντείνατε δὴ ἑαυτούς. λόγον γὰρ ἐξαγαγεῖν βούλομαι. καὶ γὰρ τινές εἰσι τῶν κολυμβητῶν ῥίπτοντες ἑαυτοὺς ἀπὸ τοῦ σκάφους ἐπὶ τὴν θάλασσαν, περιερχόμενοι τὸν βυθὸν, βουλόμενοι μαργαρίτην ἀνιμήσασθαι· ἡμεῖς δὲ ἔχοντες ἀντὶ σκάφους τὴν παλαιὰν καὶ καινὴν διαθήκην, ἀντὶ πηδαλίου τὸν σταυρὸν, ἀντὶ κυβερνήτου τὸν Χριστὸν, ἀντὶ πρωρέως τὸν πατέρα, ἀντὶ ζεφύρου τὸ πνεῦμα τὸ ἅγιον, ἀντὶ ἱστίου τὴν χάριν, ἀντὶ ναυτῶν τοὺς μαθητὰς, ἀντὶ ἐπιβατῶν τοὺς προφήτας· κἄν τε ἡμεῖς ῥίψωμεν ἑαυτοὺς ἀπὸ τοῦ σκάφους ἐπὶ τὸ πέλαγος τῶν νοημάτων, οὐχ ἵνα μαργαρίτην ἀνιμησώμεθα, ἀλλὰ μαργαρίτου τιμιώτερον. συντείνατέ μοι ἑαυτοὺς, παρακαλῶ, παρέχοντές μοι τὴν ὑπακοήν. καθὼς γὰρ προλαβὼν εἶπον, ὅτι μαργαρίτου τιμιώτερον μέλλω ἀνιμᾶσθαι ἐκ τοῦ βάθους τῶν νοημάτων. μὴ οὖν παραμελήσητε, καὶ ὡς ἀλογίστοις χρήσησθε ἑαυτοῖς. γέγραπται γὰρ, μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, καὶ μὴ ῥίπτετε τὰ ἅγια τοῖς κυσί. χοίρους δὲ ἐὰν ἀκούσῃς, μὴ τὰ ἄλογα ζῶα ταῦτα νομίσῃς· καὶ κύνας ἐὰν ἀκούσῃς, μὴ τοὺς κύνας τούτους νομίσῃς. χοίρους γὰρ λέγει τοὺς ἐν ἀσωτίᾳ ζῶντας. κύνας δὲ λέγει τοὺς εἰκῇ λυττῶντας κατὰ τοῦ δεσπότου. ποιήσατε οὖν ἀξίους ἑαυτοὺς εἶναι τοῦ μαργαρίτου τοῦ μέλλοντος ὑμῖν σήμερον παρατεθῆναι. καὶ γὰρ οἱ γεωπόνοι οὐκ ἀπ-

In venerabilem atque vivificam crucem & de primorum hominum tranſgreſſione, homilia.

Incerto Interprete.

A QUid dicam, aut quid loquar? aut quo nomine vos appellabo? oves an paſtores? nautas an gubernatores? diſcipulos? an magiſtros? quo pacto zelum veſtrum igne vehementiorem laudabo? oves vos vocabo? etenim mites eſtis & quieti, paſtores vos dicam? etenim veſtrum dominum eſtis imitati? nautas appellabo? tales enim eſtis, cùm experimento ipſo procellam fluctuum ſuſtineatis. Gubernatores vos dicam? etenim
B eſtis ſicut peritiſſimus gubernator, qui ad clavum ſedens artis peritia tempeſtatem evitat, & incolumem ſervatam navem ad tranquillum portum deducit. Sed & diſcipulos vos vocabo? parati enim eſtis ad obedientiam. Ad magiſtros vos dicam? Rurſus dicam, eſtis: totius enim orbis magiſtri eſtis futuri. Quid ergo dicemus? hodie vobis opponere ſpiritualem menſam volo, quæ non corpus reficit, ſed Spiritum confirmat: immo verò, quæ & corpus reficit, & animam purgat. Talis enim eſt menſa ſpiritua-
C lis, non ſicut illa guloſorum, quæ ſatietatem parit. Sermo quippe ſpiritualis eſt: quem qui revocat in memoriam, non aliter atque is qui unguentum comedit, odorem ſuavitatis eructat, & non ſolùm odore ſuavi ſeipſum recreat, ſed & proximos ſibi ſuaveolentia replet. Attendite quæſo: verbum enim proferre volo; nam ſunt quidam ex urinatoribus, qui ſe è navi in mare dejiciunt, ut profundum percurrant, & extrahant margaritam: nos verò navis loco vetus ac novum teſtamentum habentes, pro
D gubernaculo crucem, pro gubernatore Chriſtum, loco proretæ Patrem, pro zephyro Spiritum ſanctum, pro velo gratiam, pro nautis diſcipulos, pro vectoribus Prophetas, projiciamus noſmetipſos de navi in pelagus ſententiarum, non ut margaritam, ſed ut quod margarita eſt pretioſius, extrahamus. Parate animos veſtros, quæſo, & tota intentatione mentis, quæ dicuntur, audite: ſicut enim antè dixi, margarita pretioſius quiddam ex profundo ſententiarum ſum extracturus: Ne igitur voſmet negli-
E gatis, nec brutorum inſtar vos geratis: ſcriptum eſt enim: Nolite mittere margaritas ante porcos, & nolite projicere ſancta canibus. Cùm autem porcos audis, non de brutis animalibus æſtimes dici; & canes cùm audis, non de canibus iſtis dici putes: porcos enim vocat eos qui luxurioſè vivunt; canes vocat eos, qui temerè in Dominum rabie perciti inſurrexerunt. Facite ergo vos dignos ad ſuſcipiendam margaritam quam vobis hodie ſum oblaturus. Siquidem agricolæ non incaſſum ſeminant:

Ex mſ. Cæſareo emendato ex edit. Graſſeri.

niſi boves priùs junxerint, & aratrum duxerint, ſpinas eradicarint, ſulcos proſciderint: & ſic demum ſemina ſua terræ committunt, ut cùm deſcenderit pluvia, in terræ viſcera ea deferat; & mox terra ſpicam producit. Veruntamen illa ſemina hyemem expectant, & æſtatem & imbrem cœleſtem, & ſolis radios, & meſſis tempus, & illa tunc in horrea convehunt. At ego non hyemem, non æſtatem, nec radios ſolis expecto, non imbrem, neque boves jungo, neque aratrum duco, neque ſulcos proſcindo, neque ſpinas evello: ſiquidem hodie ſemino, hodie meto: non excolo rationis expertem terram, ſed ratione præditam terram, non ſenſus expertem, ſed ſenſu præditam; non anima carentem, ſed animatam: & fœlix ego qualis terræ ſum agricola conſtitutus.

Eccl.25,12. Tunc enim beatus ſum, quum in aures loquor eorum qui audiunt, & iterum dicit: Inobedientia mortem operatur. Beatus igitur ego, beati & vos. Nam Jeſus in Evangelio dixit ad diſcipulos ſuos: Beati eſtis, ſi ſermonem meum ſervaveritis. Attendite igitur, & arrectis auribus, quæ dicuntur, excipite, volo enim quadam comparatione vobis quid ſit Deus, oſtendere. Fingamus enim Deum quaſi hominem in ſcopulo, & exinde proſpicientem in univerſum mare, & naves in eo tranſeuntes: quod ob ventorum violentiam fluctus exciret, ac procellas. Sed peritiſſimus gubernator aliquis contendens cum fluctibus, navim ad tranquillum portum deducere ſtudet, quòd ſerotinum tempus eos urgeat, timens ne fortè navigium undis obruatur, cum aliæ naves proſpero curſu rectam viam teneant, aliæ ventorum impetu ſubmergantur, & diſſolvantur, dum quidam moriuntur, quidam ſuperſtites fiunt, & miſero temone correpto evadunt, fluctibus decumanis in terram ejecti, aliorum corpora jam mortuorum projecta cernuntur: hæc autem qui ſedet in ſcopolo con-

Ἰε. ὅρα tuetur: ita ſe habet Deus, &, ut antè dixi hæc in oratione ficta propono. Quando autem dixero Deum ſedentem in excelſis, noli exiſtimare in excelſis tantum eſſe illum, ſed etiam ubique: neque enim locorum diſtantia ſeparatur, cùm ipſe ſibi ſit locus, & ipſe omnia capiat, nihil autem illum capiat. Quid enim incorpoream naturam capere poteſt, expertem materiæ, interminatam, & inveſtigabilem, expertem interitus, immortalem & incomprehenſibilem? Sic enim apud pios concipere oportet Deum. Hæc enim eſt ſpes noſtra, ſicut ſcriptum eſt, *Hæc eſt vita*

Joh.17,3. *æterna, ut cognoſcant te ſolum verum Deum, & quem miſiſti Jeſum Chriſtum.* In hoc capitulo nos reprehendunt hæretici, & ut imperiti ſunt, legúnique, ſed non intelligunt. Chriſtum verò cùm audis, non ſolummodo Deum putes, neque ſolam diſpenſationem in carne, ſed utrumque ſimul, & Deum verbum, & diſpenſationem in carne. Siquidem eſuriiſſe Chriſtum ſcio, & ſcio Chriſtum de quinque panibus & duobus piſcibus ſatiaſſe quinque hominum millia, exceptis mulieribus & parvulis. Scio Chriſtum ſitim paſſum eſſe, & ſcio Chriſtum aquam in vinum mutaſſe. Scio Chriſtum navigaſſe, & ſcio Chriſtum ſuper aquas ambulaſſe. Scio Chriſtum eſſe mortuum, ſcio & Chriſtum mortuos ſuſcitaſſe; Scio Chriſtum Pilato adſtitiſſe: & ſcio Chriſtum ad Patris dexteram conſediſſe. Scio Chriſtum à Judæis ſputis fuiſſe conſperſum & ſcio Chriſtum ab Angelis adorari: & hoc quidem ad deitatem refero, illud verò aſſigno humanitati. Propterea namque utrumque diximus: quoniam ſcio Chriſtum de Maria natum, & ſcio Chriſtum, qui eſt ante ſecula. Glorificemus ergo Chriſtum Jeſum murum inexpugnabilem, fundamentum, quod ſupra pe-

Matt.16,18. tram fundatum eſt. Dixit ipſe Petro, *Tu es Petrus, & ſuper hanc Petram ædificabo Eccleſiam meam, & portæ inferni non prævalebunt adverſus eam.* Similiter autem & Paulus dicit, Fundamentum aliud nemo poteſt ponere, præter id quod poſitum eſt, quod eſt Jeſus Chriſtus. Rogo ergo vos ut cum omni manſuetudine nobis mutuò attendamus. Nam in hac quidem vita eſca & potus: & variis voluptatibus ineſcamur: in futura verò judicium & ſup-

Eph.6,12. plicium. Ne igitur locum demus Diabolo. *Non enim eſt nobis colluctatio adverſus carnem & ſanguinem, ſed adverſus principatus, adverſus poteſtates, adverſus mundi rectores tenebrarum ſeculi hujus.* Studeamus igitur æternam pœnam effugere. Non enim pœnam condidit Deus, ut in eam mittamur, ſed ut te in eam prolapſum eripiat. Talem enim clementem habemus Deum, ac miſericordem. Teſtificatur namque David dicens, *Deus judex juſtus,*

Pſ.7,12. *& fortis, & patiens, & non infert iram per ſingulos dies.* Niſi converſi fueritis, gladium ſuum vibrabit, & arcum ſuum tetendit, & paravit illum, & in eo paravit vaſa mortis. Hæc dicit Deus non ut nos judicet, ſed ne deſides ſimus. Si enim nos perdere voluiſſet, non utique proprium pro nobis ſanguinem fudiſſet. Mortem igitur obiit, ut te immortalitate donaret: eſuriit, ut te ſua carne ſaturaret: ſitivit, ut te proprio ſanguine potaret: in navi conſedit, ut te

A γοὶ τὰ σπέρματα καταβάλλονται, ἐὰν μὴ πρῶτον βόας ζεύξωσι, καὶ ἄροτρον ἑλκύσωσι, καὶ ἀκάνθας ἀνασπάσωσι, καὶ αὔλακας ἀνατέμωσι, καὶ τότε τὰ σπέρματα καταβάλλονται ἐπὶ τὴν γῆν, ἵνα ὥραν αὐτῷ ὁ ὑετὸς κατενέγκῃ εἰς τὰς λαγόνας τῆς γῆς· καὶ τότε λαβοῦσα ἡ γῆ, τίκτει τὸν ἀστάχυν. ἀλλὰ μὲν ἐκεῖνα ἐκδέχονται καὶ χειμῶνα, καὶ θέρος, καὶ ὄμβρον οὐράνιον, καὶ ἡλίου ἀκτῖνας καὶ καιρὸν θερισμοῦ, καὶ τότε συνάγουσιν αὐτὰ ἐπὶ τὰς ἀποθήκας. ἐγὼ δὲ χειμῶνα οὐκ B ἐκδέχομαι, οὐδὲ θέρος, οὐδὲ ἡλίου ἀκτῖνας, οὐδὲ ὄμβρον, οὐδὲ βόας ζευγνύω, οὐδὲ ἄροτρον ἑλκύω, οὐδὲ αὔλακας ἀνατέμνω, οὔτε ἀκάνθας ἀνασπῶ· σήμερον γὰρ σπείρω, σήμερον καὶ θερίζω. οὐκ ἐργάζομαι γὰρ γῆν ἄλογον, ἀλλὰ γῆν λογικήν, οὐκ ἀναίσθητον, ἀλλ' αἰσθητικήν, οὐκ ἄψυχον, ἀλλ' ἐμψυχωμένην. καὶ μακάριος ἐγὼ τοιαύτης γῆς γεωργὸς ἐκληρώθην. τότε γὰρ μακάριός εἰμι, ὅταν λαλῶ εἰς ὦτα ἀκουόντων. καὶ πάλιν λέγει· ἀνηκοΐα θάνατον κατερ- C γάζεται. μακάριος οὖν ἐγώ· μακάριοι καὶ ὑμεῖς. καὶ γὰρ Ἰησοῦς ἐν τῷ εὐαγγελίῳ λέγει τοῖς μαθηταῖς, Μακάριοί ἐστε, ἐὰν τὸν ἐμὸν λόγον τηρήσητε. συντείναντες οὖν ἑαυτοὺς προσέχετε τοῖς λεγομένοις. βούλομαι δὲ ὑμῖν ἐν ὑποδείγματι δεῖξαι τί ἐστι Θεός· λόγῳ χρησάμενος λέγω. ἔοικεν ὁ Θεὸς ἀνδρὶ καθημένῳ ἐπὶ σκοπέλῳ, καὶ θεωροῦντι πᾶσαν τὴν θάλασσαν, πλοῖα δὲ βαδίζοντα ἐν αὐτῇ, ἃ τὰ μὲν ἐπιστάλοι ἦσαν, τρικυμίας δὲ ἐγείρουσαν ἑαυτῇ, διὰ τὸ σφοδρῶς D ἐν αὐτῇ πνεῖν ἀνέμους· ἄριστος δέ τις κυβερνήτης φιλονεικῶν τοῖς κύμασιν ἐπ' εὔδιον λιμένα τὸ σκάφος ὁρμίσαι, διὰ τὸ ὀψίαν αὐτοὺς καταλαμβάνειν, δεδοικὼς μήποτε ὑποβρύχιον γένηται τὸ πλοῖον, ἄλλων πλοίων τὴν ὀρθὴν ὁδὸν βαδιζόντων, ἑτέρων δὲ τῇ ῥύμῃ τῶν ἀνέμων ὑποβρυχίων γινομένων καὶ διαλυθέντων, τεθνηκότων δέ τινων, ἄλλων δὲ περιγινομένων καὶ ἀπολαυομένων ἐκ τρίτου τινὸς πηδαλίου, καὶ τῶν τρικυμίαις ἀπὸ τῶν κυμάτων ἐξελκομένων, καὶ τῶν ἤδη τεθνη- E κότων τὰ σώματα ἐξερριμμένα, ταῦτα δὲ πάντα θεωρεῖ ὁ καθήμενος ἐπὶ τῷ σκοπέλῳ· οὕτως ἐστὶν ὁ Θεός. καί, καθὼς προέλαβον εἰπεῖν, οἷα λόγῳ χρησάμενος λέγω· ὅταν δὲ εἴπω Θεὸν καθήμενον ἐν ὑψηλοῖς, μὴ νομίσῃς αὐτὸν ἐν τοῖς ὑψηλοῖς εἶναι μόνον, ἀλλὰ καὶ πανταχοῦ. οὐ γὰρ τόπων διαστάσεις ἔχει, αὐτὸς ἑαυτοῦ τόπος ὤν, αὐτὸς τὰ πάντα χωρῶν, χωρεῖ δὲ αὐτὸν οὐδέν. τί γὰρ δύναται χωρῆσαι τὴν ἀσώματον φύσιν καὶ ἄϋλον καὶ ἀπέραντον καὶ ἀνεξιχνίαστον, καὶ A ἀνώλεθρον καὶ ἄφθαρτον καὶ ἀκατάληπτον; οὕτω γὰρ τοὺς εὐσεβοῦντας δεῖ νοεῖν Θεόν. αὕτη γὰρ ἡμῶν ἡ ἐλπίς, καθὼς γέγραπται· αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. ἐντεῦθεν ἡμῶν ἐπιλαμβάνονται οἱ αἱρετικοί, οἱ ὄντες ἀγνώμονες, οἱ ἀναγινώσκοντες καὶ μὴ ἐπιγινώσκοντες. Χριστὸν δὲ συνετῶς ἀκούσῃς, μὴ τὸν Θεὸν λογίζου μόνον, μήτε τὴν ἔνσαρκον οἰκονομίαν μόνην, ἀλλ' αὐτὸν συναμφότερον, καὶ τὸν Θεὸν B λόγον καὶ τὴν ἔνσαρκον οἰκονομίαν. ἐπεὶ οἶδα Χριστὸν πεινάσαντα, καὶ οἶδα Χριστὸν ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων θρέψαντα πεντάκις χιλίους χωρὶς γυναικῶν καὶ παιδίων· οἶδα Χριστὸν διψήσαντα, καὶ οἶδα Χριστὸν τὸ ὕδωρ εἰς οἶνον μεταβαλόντα. οἶδα Χριστὸν πλεύσαντα, καὶ οἶδα Χριστὸν ἐπὶ τῶν ὑδάτων περιπατήσαντα· οἶδα Χριστὸν ἀποθανόντα, καὶ οἶδα Χριστὸν νεκροὺς ἐγείραντα· οἶδα Χριστὸν Πιλάτῳ παρεστῶτα, καὶ οἶδα Χριστὸν τῷ πατρὶ συγκαθεζόμενον· οἶδα C Χριστὸν ὑπὸ Ἰουδαίων ἐμπτυόμενον, καὶ οἶδα Χριστὸν ὑπὸ ἀγγέλων προσκυνούμενον· καὶ τὸ μὲν ἐπανάγω τῇ θεότητι, τὸ δὲ τῇ ἀνθρωπότητι. διὰ γὰρ τοῦτο συναμφότερον εἴρηται. ἐπεὶ οἶδα Χριστὸν ἐκ Μαρίας γεννηθέντα, καὶ οἶδα Χριστὸν πρὸ τῶν αἰώνων ὄντα. δοξάσωμεν οὖν Ἰησοῦν τὸν Χριστόν, τὸ τεῖχος τὸ ἄρρηκτον, τὸν θεμέλιον τὸν ἐπὶ τῆς πέτρας τεθεμελιωμένον. αὐτὸς λέγει τῷ Πέτρῳ, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ὁμοίως δὲ καὶ Παῦλος λέγει, θεμέλιον ἄλλον οὐδεὶς δύναται D θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. παρακαλῶ οὖν ἵνα πάσῃ πρᾳότητι προσέχωμεν ἀλλήλοις. ἐν μὲν γὰρ τῷ παρόντι βίῳ βρῶσις καὶ πόσις, καὶ ποικίλαις ἡδοναῖς δελεαζόμεθα, ἐν δὲ τῷ μέλλοντι, κρίσις καὶ δίκη· μὴ δώσωμεν οὖν τόπον τῷ διαβόλῳ. οὐ γὰρ ἡμῖν ἐστιν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. σπουδάσω- E μεν οὖν φυγεῖν τὴν αἰώνιον κόλασιν. οὐ γὰρ ἐποίησεν ὁ Θεὸς τὴν κόλασιν, ἵνα ἡμᾶς ἐμβάλῃ, ἀλλ' ἵνα ἐμπεσόντα σε ἐκβάλῃ. τοιοῦτον γὰρ ἔχομεν φιλάνθρωπον Θεὸν καὶ ἐλεήμονα. μαρτυρεῖ γὰρ Δαβὶδ λέγων· ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρὸς καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, καὶ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. ταῦτα λέγει ὁ Θεός· οὐχ ἵνα ἡμᾶς κρίνῃ, ἀλλ' ἵνα μὴ ῥᾳθυμότεροι γινώμεθα. εἰ γὰρ ἐβούλετο ἡμᾶς ἀπολέσαι, οὐκ ἂν τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ ἡμῶν. ἀπέθανεν οὖν, ἵνα σε ἀθανασίαν χαρίσηται· ἐπείνασεν, ἵνα σε τῇ ἑαυτοῦ σαρκὶ χορτάσῃ. ἐδίψησεν, ἵνα σε τὸ ἑαυτοῦ αἷμα ποτίσῃ· ἐν πλοίῳ ἐκάθισεν, ἵνα σε

σώ-

ὑπεράνω τῶν Χερουβὶμ καθίσῃ. ἐβαπτίσθη, ἵνα σε φωτίσῃ· ἐρραπίσθη, ἵνα σε ἐλευθερώσῃ· ὁδοιπόρησεν, ἵνα σε ἀκάματον ποιήσῃ· ἔπλευσεν, ἵνα σε ἄφοβον καταστήσῃ· ἐκοιμήθη, ἵνα σε ἀμέριμνον ποιήσῃ· ἐκ γυναικὸς προσῆλθεν, ἵνα τὴν παράβασιν τὴν ἐν τῷ παραδείσῳ οἰκτειρήσῃ· ἐκλήθη ἄνθρωπος, ἵνα σε Θεὸν καλέσῃ· ἐκλήθη υἱὸς ἀνθρώπου, ἵνα σε υἱὸν Θεοῦ καλέσῃ· ἔλαβε τὰ ἡμέτερα, καὶ ἔδωκεν ἡμῖν τὰ ἑαυτοῦ· προσηύξατο, ἵνα σε πιστὸν ποιήσῃ, καθὼς λέγει ἐπὶ τοῦ Λαζάρου· Πάτερ, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. καὶ ἦλθε φωνὴ ἐκ τοῦ οὐρανοῦ, λέγουσα· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω· οἶδα ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν παρεστῶτα ὄχλον εἶπον, ἵνα πάντες πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. ὅτι οὖν ὑπέστη, οὐ δι' ἑαυτὸν, οὐδὲ διὰ τὸν πατέρα τὸν ἑαυτοῦ, ἀλλ' ἵνα σώσῃ τὸ ἀνθρώπινον γένος διὰ τοῦ σταυροῦ. καὶ εἰ θέλεις γνῶναι, ἀγαπητὲ, τὴν δύναμιν τοῦ σταυροῦ, καὶ ὅσα δεῖ ἐγκώμια περὶ τοῦ σταυροῦ, ἄκουε, σταυρὸς Χριστιανῶν ἐλπὶς, σταυρὸς νεκρῶν ἀνάστασις, σταυρὸς τυφλῶν ὁδηγὸς, σταυρὸς ἀπηλπισμένων ἐλπὶς, σταυρὸς πεπλανημένων ὁδὸς, σταυρὸς ἀδικουμένων ἔκδικος, σταυρὸς χωλῶν βακτηρία, σταυρὸς πενήτων παραμυθία, σταυρὸς πλουσίων χαλινὸς, σταυρὸς ὑπερηφάνων καθαίρεσις, σταυρὸς ἀσελγῶν μετάνοια, σταυρὸς τρόπαιον κατὰ δαιμόνων, σταυρὸς διαβόλου νῖκος, σταυρὸς νηπίων παιδαγωγὸς, σταυρὸς ἀπόρων εὐπορία, σταυρὸς πλεόντων κυβερνήτης, σταυρὸς πολεμουμένων τεῖχος, σταυρὸς πατὴρ ὀρφανῶν, σταυρὸς προστάτης χηρῶν, σταυρὸς ἀδίκων κριτὴς, σταυρὸς δικαίων στύλος, σταυρὸς θλιβομένων ἄνεσις, σταυρὸς νηπίων φύλαξ, σταυρὸς ἀνδρῶν κεφαλὴ, σταυρὸς πρεσβυτέρων τέλος, σταυρὸς φῶς τοῖς ἐν σκότει καθημένοις, σταυρὸς βασιλέων μεγαλοπρέπεια, σταυρὸς βαρβάρων φιλανθρωπία, σταυρὸς δούλων ἐλευθερία, σταυρὸς ἀπαιδεύτων σοφία, σταυρὸς ἀνόμων νόμος, σταυρὸς προφητῶν κήρυγμα, σταυρὸς ἀποστόλων καταγγελμα, σταυρὸς μαρτύρων καύχημα, σταυρὸς μοναζόντων ἄσκησις, σταυρὸς παρθένων σωφροσύνη, σταυρὸς ἱερέων χαρὰ, σταυρὸς ἐκκλησίας θεμέλιος, σταυρὸς οἰκουμένης ἀσφάλεια, σταυρὸς ναῶν καθαίρεσις, σταυρὸς βωμῶν ἀνατροπὴ, σταυρὸς κνίσσης ἀφανισμὸς, σταυρὸς Ἰουδαίων σκάνδαλον, σταυρὸς ἀσεβῶν ἀπώλεια, σταυρὸς ἀδυνάμων δύναμις, σταυρὸς νοσούντων ἰατρὸς, σταυρὸς λεπρῶν καθαρισμὸς, σταυρὸς παραλυτικῶν σφίγξις, σταυρὸς πεινώντων ἄρτος, σταυρὸς διψώντων πηγὴ, σταυρὸς γυμνῶν σκέπη. γυμνότητα δὲ ὅταν εἴπω, οὐ τὴν τοῦ σώματος λέγω, ἀλλὰ τὴν τῆς πίστεως. ὅταν δὲ πιστεύσας βαπτισθῇς, τότε ἀκούσῃς ἐνδεδυμένος. καὶ ἄκουε Παύλου λέγοντος· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Χριστὸν δὲ ὅταν ἀκούσῃς, μὴ τὸν Θεὸν λογίσῃ μόνον, μηδὲ τὴν ἔνσαρκον οἰκονομίαν μόνην, ἀλλὰ τὸ συναμφότερον. πολλάκις γὰρ εἶπον, καὶ νῦν λέγων οὐ παύσομαι. ἐμοὶ μὲν γὰρ τὸ λέγειν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. βούλομαι γὰρ πάντας διδασκάλους εἶναι. Χριστὸς οὖν εἴρηται, ἐπειδὴ σάρκα ἐνεδύσατο· Ἰησοῦς Χριστὸς εἴρηται, τὸ ὄνομα τῆς σαρκὸς αὐτοῦ. λόγος εἴρηται, ἐπειδὴ ἔκ τινος· υἱὸς, ἐπειδὴ ἐκ πατρός. μονογενὴς, ἐπειδὴ μόνος ἐκ μόνου Θεοῦ· Θεὸς, ἐπειδὴ ποιητής. καὶ ἄκουε Ἰωάννου λέγοντος· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν. ὁρᾷς ὅτι οὗτός ἐστιν ὁ λόγῳ τὸν οὐρανὸν ἐκτείνας, καὶ τὸ ποικίλον χορὸν τῶν ἄστρων κοσμήσας, καὶ δείξας καθάπερ λειμῶνα τὸν οὐρανόν; οὗτός ἐστιν ὁ τὸν ἥλιον ἀνάψας, καὶ τοὺς αὐτοῦ τάξας δρόμους· οὗτός ἐστιν ὁ τὴν σελήνην ὁρίσας εἰς δυσμάς· οὗτός ἐστιν ὁ τὴν γῆν θεμελιώσας ἐπὶ τῶν ὑδάτων· οὗτός ἐστιν ὁ τῇ γῇ ἐπιτάξας ἀνατεῖλαι βοτάνην χόρτου, καὶ ταῖς πηγαῖς βρύειν ὕδατα, καὶ ποταμοῖς ῥεῖν, καὶ λίμναις συναχθῆναι· καὶ τῇ θαλάσσῃ ὅρια θεὶς διὰ ψάμμου, καὶ τοῖς ὕδασιν ἐπιτάξας ἐκβαλεῖν ψυχὰς ζώσας, καὶ τοῖς ἀνέμοις πνεῖν, καὶ τὰ ὄρη σταθμήσας ζυγῷ καὶ φάλαγγι κινεῖσθαι, κτήνεσι, τετράποσιν, ἑρπετοῖς, πετεινοῖς διατρέχειν ἐπὶ τῆς γῆς. τί δὲ λέγω ἀγγέλους, ἀρχαγγέλους, θρόνους, τὰ Χερουβὶμ, τὰ Σεραφὶμ, ἀρχὰς, ἐξουσίας, τάξεις, χρόνους, καὶ ἐνιαυτοὺς, καὶ μῆνας, καὶ ἑβδομάδας, καὶ ἡμέρας, καὶ ὥρας, καὶ νύκτας, καὶ φῶς, καὶ σκότος, καὶ τὰς τῶν πραγμάτων οὐσίας; ἔσχατον δὲ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, ἐν τῷ παραδείσῳ ἔθετο αὐτόν. ἰδὼν δὲ τὸ ἀνθρώπινον γένος νικώμενον ὑπὸ τῆς τοῦ διαβόλου κακίας, ἐβουλήθη τὴν ἀπαρχὴν τὴν ἡμετέραν ἐνδύσασθαι καὶ προσηλῶσαι αὐτὴν ἐν τῷ ξύλῳ, ἵν', ὥσπερ διὰ τοῦ ξύλου ἡ παράβασις, οὕτω πάλιν διὰ τοῦ ξύλου ἡ σωτηρία. ζηλώσας οὖν ὁ διάβολος ὅτι αὐτὸς μὲν ἐκ τοῦ οὐρανοῦ ἐρρίφη, ὁ δὲ Ἀδὰμ ἐν τῷ παραδείσῳ ἦν, καθάπερ ὅπλῳ χρησάμενος τῷ ὄφει ἐνήργησεν εἰς αὐτόν· καὶ οὕτω προσδιελέχθη αὐτοῖς οὖσιν ἐν τῷ παραδείσῳ [ἀσώματος γὰρ σωματικοῖς διαλεχθῆναι οὐκ ἠδύνατο] καί φησι πρὸς τὴν Εὔαν, ὅτι καλὸν τὸ ξύλον ἐστὶ καὶ ὡραῖον εἰς βρῶσιν· καὶ ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, ἔσεσθε ὡς θεοὶ πάντα γινώσκοντες. πείσας οὖν τὴν Εὔαν, ἠπάτησεν· εἶτα ἐκείνη συνέπεισε τὸν ἑαυτῆς ἄνδρα, καὶ ἔφαγον ἀπὸ

ſupra Cherubim collocaret: baptizatus eſt, ut te illuminaret: alapis cæſus eſt, ut te in libertatem vindicaret: viator factus eſt, ut te omni labore liberaret: navigavit, ut tibi metum eximeret: dormivit, ut omnem à te curam abigeret: ex muliere prodiit, ut tranſgreſſionis Evæ in paradiſo misereretur: homo appellatus eſt, ut te Deum vocaret: filius hominis dictus eſt, ut te in filium adoptaret Dei: accepit quæ noſtra erant, & dedit nobis ſua. Oravit, ut fidelem te faceret: ſicut dicit ſuper Lazarum: Pater glorifica filium tuum, ut & filius tuus glorificet te. Et venit vox de cœlo dicens, *Et glorificavi, & iterum glorificabo*: ſcio, quia ſem- Joh. 12, 28.
per me audis: ſed propter turbam adſtantem dixi, ut omnes credant, quia tu me miſiſti. Si quid igitur ſuſtinuit, non propter ſeipſum, neque propter patrem ſuum, ſed ut per crucem genus humanum ſalvum faceret. Et ſi noſſe deſideras, chariſſime, virtutem crucis, & quanta poſſim ad ejus laudem dicere: audi, Crux Chriſtianorum ſpes, crux reſurrectio mortuorum, crux cæcorum dux, crux deſperatorum ſpes, crux errantium via, crux injuria affectorum vindex, crux claudorum baculus, crux conſolatio pauperum, crux divitum frænum, crux ſuperborum depreſſio, crux malè viventium pœnitentia, crux adverſus dæmones trophæum, crux diaboli clades, crux infantium pædagogus, crux inopum ſuſtentatio, crux navigantium gubernator, crux tempeſtate jactatorum portus, crux obſeſſorum murus, crux pater orphanorum, crux viduarum defenſor, crux iniquorum judex, crux juſtorum columna, crux requies afflictorum, crux infantium cuſtos, crux virorum caput, crux ſeniorum finis, crux lumen ſedentium in tenebris, crux Regum magnificentia, crux barbarorum humanitas, crux ſervorum libertas, crux imperitorum ſapientia, crux iniquorum lex, crux Prophetarum prædicatio, crux Apoſtolorum annuntiatio, crux martyrum gloriatio, crux monachorum exercitatio, crux virginum caſtitas, crux gaudium ſacerdotum, crux Eccleſiæ fundamentum, crux orbis terrarum ſecuritas, crux altarium deſtructio, crux nidoris ſacrificiorum depulſio, crux ſcandalum Judæorum, crux interitus impiorum, crux infirmorum virtus, crux ægrotantium medicus, crux mundatio leproſorum, crux paralyticorum corroboratio, crux eſurientium panis, crux ſitientium fons, crux nudorum amictus. Nuditatem autem cum dico, non corpoream æſtimes, ſed fidei nuditatem, cùm verò credens fueris baptizatus, tunc indutus vocaberis: atque
audi Paulum dicentem: *Quicunque in Chriſto baptizati eſtis*, Gal. 3, 27.
Chriſtum induiſtis. Chriſtum autem cùm audieris, non Deum ſolum intelligas, neque ſolam ejus diſpenſationem in carne, ſed utrumque. Sæpe enim dixi, & dicere non ceſſabo. Mihi enim non Phil. 3, 1.
pigrum eſt dicere, vobis autem tutum. Volo enim omnes eſſe doctores. Chriſtus igitur dictus eſt, quia carnem induit: Jeſus Chriſtus eſt dictus, quod nomen eſt carnis ejus. Verbum dicitur, quia de Deo eſt Dei verbum: filius, quoniam de patre: unigenitus, quoniam ſolus ex ſolo Deo: Deus, quoniam creator. Audi namque Joannem dicentem: *In principio erat verbum, & verbum erat* Joh. 1, 1.
apud Deum, & Deus erat verbum: hoc erat in principio apud Deum: omnia per ipſum facta ſunt, & ſine ipſo factum eſt nihil, quod factum eſt. Vides quoniam hic eſt, qui verbo cœlum extendit & variam ſyderum multitudinem adornavit, & cœlum ad prati ſimilitudinem decoravit? Hic eſt, qui ſoli tantum lumen dedit, & curſum ejus definivit: hic eſt qui Lunam ad occaſum determinavit: hic eſt qui fundavit terram ſuper aquas: hic eſt, qui terræ præcepit, ut herbam fœni produceret; & fontibus, ut aquis ſcaturirent, fluminibus ut fluerent, lacubus ut congregarentur, & mari terminum impoſuit ex arena, & aquis imperavit ut animas viventes educerent, ventis ut ſpirarent: qui montes appendit ſtatera, nubibus ut moverentur præcepit, jumentis, quadrupedibus, reptilibus, volucribus ut ſuper terram diſcurrerent. Quid autem de Angelis dicam, de Archangelis, Thronis, Cherubim & Seraphim, Principatibus ac Poteſtatibus, Ordinibus, temporibus, annis, menſibus, hebdomadibus, diebus, & horis & noctibus? de lumine, de tenebris, & de rerum ſubſtantia? Noviſſimè autem creavit hominem ad imaginem & ſimilitudinem ſuam, & in paradiſo poſuit illum. Videns autem humanum genus à diaboli malitia ſuperatum, voluit primitias noſtras induere, & illas cruci affigere, ut ſicut per lignum tranſgreſſio, ita rurſus per lignum ſalus eſſet. Æmulatione autem incitatus Diabolus, quòd ipſe quidem de cœlo projectus fuerat, Adam autem in paradiſo verſabatur, tanquam telo quodam ſerpente uſus per illum egit: atque ita primum illos in paradiſo verſantes alloquutus eſt. Incorporeus enim cùm eſſet, cum corporeis loqui non poterat: & Evæ dixit, *Bonum hoc lignum & pulchrum ad veſcendum*: & quocunque die Gen. 3, 5.
comederitis ex ipſo, eritis ſicut Dii, cuncta ſcientes. Cùm ergo perſuaſiſſet Evæ, decepit illam; tum illa viro ſuo perſuaſit, &

ex ligno comederunt. Cùm autem comediſſent, apparuerunt A nudi: tum ait Deus Adamo, Ubi es? Cùm audis, Ubi es? ne ignorantiam Deo tribuas; Dixit autem, Ubi es, quia dixerat illis Diabolus, Qua die comederis, ſicut Dii eritis: quaſi putarent illi ſe Deos futuros, propterea dixit illi Deus, Adam ubi es? hoceſt, comediſti, & homo permanſiſti. Nonne tibi præcepi, ne de hoc ligno comederes? Tu verò comediſti, & transgreſſus es: hoc ſibi vult illud, ubi es? Foliis autem ficus erant cooperti, peccati faciem obvelantes. Et quid dicit Adam? Audi- B vi vocem tuam deambolantis in paradiſo, & abſconditus ſum. Et dixit, Quid hoc feciſti? Tum ad Deum dixit Adam: *Mulier, quam dediſti mihi, ipſa me ſeduxit.* Deinde ad Evam, Quis te? Quid verò illa dixit? Serpens ſeduxit me. O Eva, eſto, te viro tradidi. num & ſerpenti te tradidi? His autem ſeſe excuſabant, quod vellent pœnam evadere: Tum ad Adam dixit Deus: Maledicta terra in operibus tuis, ſpinas & tribulos germinabit tibi: in ſudore vultus tui veſceris pane tuo. Deinde ad mulierem: C In doloribus paries liberos, & multiplicans dolores tuos; & ad virum tuum converſio tua, & ipſe tui dominabitur. Tum ad ſerpentem: Super pectus tuum & ventrem tuum gradieris, & terrã comedes omnibus diebus vitæ tuæ, & homo tibi dominabitur. & ipſe obſervabit caput tuum, & tu calcaneum ejus. Cur autem ſerpenti maledixit ut ſuper pectus & ventrem graderetur, & terram manducaret omnibus diebus vitæ ſuæ? Pectori maledixit, quòd in ipſo conſiſtat cor, quod malum excogita- D vit: Ventri, quia per cibum ſeduxit. Terram autem manducare juſſit omnibus diebus vitæ ſuæ. quoniam Adam erat de terra terrenus. Tres ergo ſententiam exceperunt, quandoquidem tres propterea quoque tranſgreſſi fuerant quoniam à ligno tranſgreſſio fuerat orta, ſicut antè dixi, propterea primitias iſtas ligno voluit affigere: ut quemadmodum per lignum tranſgreſſio, ſic per lignum ſalus eſſet. Pro his autem omnibus Patri & Filio & Spiritui ſancto gloriam offera- E mus nunc & ſemper & in ſecula ſeculorum, Amen.

Gen. 3, 9.

Gen. 3, 26.

A τοῦ ξύλου. Φαγόντων δὲ αὐτῶν ὤφθησαν γυμνοί. καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἀδάμ, ποῦ εἶ; ὅταν ἀκούσῃς, ποῦ εἶ, μὴ ἄγνοιαν λογίσῃ τῷ Θεῷ· ἔλεγε δὲ, ποῦ εἶ, ἐπειδὴ ἔλεγεν αὐτοῖς ὁ διάβολος, ᾗ ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοί. ὡς ὑπολαμβανόντων αὐτῶν, ὅτι μέλλουσι γίνεσθαι θεοὶ, διὰ τοῦτο ἔλεγεν ὁ Θεὸς αὐτῷ, Ἀδὰμ, ποῦ εἶ; ἀνθ' ὧν, ὅτι ἔφαγες καὶ ἔμεινας ἄνθρωπος. οὐ παρηγγειλά σοι ἐκ τοῦ ξύλου τούτου μὴ φαγεῖν; ἔφαγες δὲ, καὶ παρέβης. τοῦτό ἐστι τὸ, ποῦ εἶ; B φύλλα δὲ συκῆς ἦσαν περιβεβλημένοι, σκέποντες τὸ εἶδος τῆς ἁμαρτίας. καὶ τί φησιν ὁ Ἀδάμ; ἤκουσά σου τῆς φωνῆς περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐκρύβην. καὶ φησὶ, τί τοῦτο ἐποίησας; καί φησι πρὸς τὸν Θεόν· ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὐτή με ἠπάτησεν. εἶτα πρὸς τὴν Εὔαν, τίς σύ; καὶ τί φησιν ἐκείνη; ὁ ὄφις ἠπάτησέ με. ὦ Εὔα, ἔστω, σὲ τῷ ἀνδρί σου ἔδωκα, μὴ καὶ τῷ ὄφει σε ἔδωκα; ταῦτα δὲ προεφασίζοντο, ὡς βουλόμενοι ἑαυτοὺς ὑπεξαιρεῖν τῆς τιμωρίας. C καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἀδὰμ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου. εἶτα πρὸς τὴν γυναῖκα. ἐν λύπαις τέξῃ τέκνα. καὶ πληθύνων πληθυνῶ τὰς λύπας σου· καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. εἶτα πρὸς τὸν ὄφιν· ἐν τῷ στήθει καὶ τῇ κοιλίᾳ σου πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ ὁ ἄνθρωπος σου κυριεύσει· αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ αὐτοῦ πτέρναν. D διὰ τί δὲ τῷ ὄφει ἐπικατηράσατο ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεσθαι, καὶ γῆν τρώγειν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ; τὸ στῆθος κατηράσατο, ἐπειδὴ ἐν αὐτῷ ἐγκάθηται ἡ καρδία ἡ ἐνθυμηθεῖσα τὸ κακόν· τὴν κοιλίαν, ἐπειδὴ διὰ βρώσεως ἠπάτησε· γῆν δὲ ἐκέλευσε φαγεῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐπειδὴ ὁ Ἀδὰμ ἐκ γῆς χοϊκὸς ἦν. ἔλαβον οὖν οἱ τρεῖς τὴν ἀπόφασιν, ἐπειδὴ καὶ οἱ τρεῖς τὴν παράβασιν ἐποιήσαντο. ἐπειδὴ ἀπὸ ξύλου ἡ παράβασις ἐγένετο, E καθὼς προλαβὼν εἶπον, διὰ τοῦτο ὡς ξύλον ἠβουλήθη τὴν ἀπαρχὴν ταύτην προσηλῶσαι. ἵν' ὥσπερ διὰ ξύλου ἡ παράβασις, οὕτω διὰ ξύλου ἡ σωτηρία. ὑπὲρ δὲ τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

In dimiſſionem Chananææ. Habita eſt autem poſt ejus reditum ab exilio,

A

Incerto Interprete.

Multæ quidem ſæviunt procellæ, ſed eorum qui convenerunt, alacritatem non remorantur. multæ vos obſident tentationes, ſed amorem veſtrum non opprimunt. Eccleſia non ceſſat oppugnari, & vincere: inſidiis appetitur, & ſuperior evadit. Quantum ab aliis illi tenduntur inſidiæ, tantum augetur: & fluctus quidem diſſipantur, rupes autem perſtat immota: interdiu docemus, noctu vigiliæ fiunt: dies cum nocte B certat: illic collectæ, & hic collectæ: nox forum convertit in Eccleſiam: alacritas autem animi veſtri vehementior igne cernitur: cohortatione non indigetis, tantum ſtudium præ vobis fertis. Quis non obſtupeſcat? quis non miretur? non modò qui noſtri ſunt, non abfuerunt, ſed & qui noſtri non ſunt, advenerunt, tantum profecit tentatio in utilitatis augmentum. Nam ſicut pluvia deſcendens progenerat ſemina, ſic & animam invadens tentatio progenerat alacritatem. Verbum Dei eſt im- C mobile. *Porta namque inferi non prævalebunt adverſus eam.* Qui impugnat illam, ſeipſum interimit & Eccleſiam potentiorem reddit. Qui impugnat illam vires ſuas elidit, noſtrum verò tropæum reddit illuſtrius. Bonus erat & antea Job, poſtea verò melior apparuit: quando corpore ſanus erat, non ita bonus erat, ut non ſanie vulnerum decorabatur. Noli tentationem unquam reformidare, ſi præparatam habeas animam. Tribulatio nihil officit, ſed patientiam operatur. Nam quemad- D modum nihil officit auro fornax, ſic neque nocet tribulatio generoſo. Quid facit fornax cùm aurum excipit? purum illud reddit. Quid facit tribulatio cùm quis eam tolerat? patientiam ingenerat ſublimiorem: deſidiam repellit, excitat animam, ſapientiorem mentem reddit. Invexerunt tentationem, ut oves abigerent, & contrarium evenit. illa enim paſtorem introduxit. Quo in ſtatu ſunt res noſtræ laudem & bonam exiſtimationem conciliant, quo in ſtatu ſunt res illorum, ignominia & dedeco- E re cumulantur. Ubi ſunt res illorum? ne apparent quidem: forum peccurro, & neminem video. Frondes erant, & flante vento ceciderunt: paleæ erant & flando diſperſæ ſunt, & frumentum maturum apparuit: plumbum erat, & liquefactum eſt, atque ita purum remanſit aurum. Quis eos fugavit? nemo: ſed domeſticum habent hoſtem conſcientiam poſt peccatum. Sciunt, quid fecerunt. Nam & Cain volebat fratrem ſuum occidere: ſed cùm

Matt. 16, 18.

Rom. 5, 3. 18.

Εἰς τὴν ἐπίλυσιν τῆς Χαναναίας. Ἐρρέθη δὲ μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἐκ τῆς ἐξορίας.

A ΠΟΛΥΣ ὁ χειμὼν, ἀλλὰ τὴν προθυμίαν τῶν συνερχομένων οὐ διεκώλυσε· πολλοὶ οἱ πειρασμοὶ, ἀλλὰ τὸν πόθον ὑμῶν οὐκ ἐξέλυσαν. οὐ παύεται ἡ ἐκκλησία πολεμουμένη καὶ νικῶσα, ἐπιβουλευομένη καὶ περιγινομένη. ὅσον ἄλλοι ἐπιβουλεύουσι, τοσοῦτον αὕτη αὔξεται. καὶ τὰ μὲν κύματα διαλύεται, ἡ δὲ πέτρα ἕστηκεν ἀκίνητος. ἐν ἡμέρᾳ διδασκαλία, ἐν νυκτὶ παννυχίδες. ἡ ἡμέρα πρὸς τὴν νύκτα B ἁμιλλᾶται· ἐκεῖ σύναξις, καὶ ἐνταῦθα σύναξις. ἡ νὺξ τὴν ἀγορὰν ἐκκλησίαν ἐργάζεται· ἡ δὲ προθυμία πυρὸς σφοδροτέρα. οὐ δεῖσθε παραινέσεως, καὶ ἐπιδείκνυσθε τὴν σπουδήν. τίς οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειεν; οὐ μόνον οἱ ὄντες οὐκ ἀπελείφθησαν, ἀλλὰ καὶ οἱ μὴ ὄντες προσεγένοντο. τοῦτο τῶν πειρασμῶν τὸ κέρδος. καθάπερ γὰρ ὑετὸς εἰς τὴν γῆν κατιὼν διεγείρει τὰ σπέρματα, οὕτω καὶ ὁ πειρασμὸς εἰς τὴν ψυχὴν εἰσιὼν διεγείρει τὴν προθυμίαν. λόγος ἐστὶ τοῦ C Θεοῦ ἀκίνητος· πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ὁ πολεμῶν, ἑαυτὸν καταλύει, τὴν δὲ ἐκκλησίαν ἰσχυροτέραν δείκνυσιν· ὁ πολεμῶν, τὴν ἰσχὺν ἑαυτοῦ καταβάλλει, ἡμῶν δὲ λαμπρότερον ἐργάζεται τὸ τρόπαιον. ὁ Ἰὼβ ἦν καλὸς καὶ πρὸ τούτου· μετὰ δὲ ταῦτα βελτίων ἐφάνη. οὐχ οὕτω καλὸς ἦν ὅτε ὑγιὲς ἦν τὸ σῶμα, ὡς καλὸς ἦν ὅτε τοῖς ἰχῶρσι τῶν τραυμάτων ἐστεφανοῦτο. μηδέποτε φοβηθῇς πειρασμὸν, ἐὰν ψυχὴν παρεσκευασμένην ἔχῃς. οὐ βλάπτει ἡ θλῖψις, D ἀλλ' ὑπομονὴν κατεργάζεται. ὥσπερ γὰρ τὸ χρυσίον οὐ βλάπτει ἡ κάμινος, οὕτως οὐδὲ τὸν γενναῖον διαφθείρει ἡ θλῖψις. τί ποιεῖ ἡ κάμινος τῷ χρυσίῳ; καθαρὸν ἀποτελεῖ. τί ἐργάζεται ἡ θλῖψις τῷ φέροντι τὴν ὑπομονήν; ὑψηλότερον κατασκευάζει. ῥᾳθυμίαν περικόπτει, συνάγει τὴν ψυχὴν, σωφρονέστερον ποιεῖ τὸν λογισμόν. ἐπήγαγον πειρασμὸν, ἵνα τὰ πρόβατα ἀπελάσωσι, καὶ τὸ ἐναντίον ἐξέβη· εἰσήγαγε γὰρ τὸν ποιμένα. ἐν τίσι τὰ ἡμέτερα; ἐν εὐδοκιμήσει. ἐν τίσι E τὰ ἐκείνων; ἐν αἰσχύνῃ. ποῦ εἰσι τὰ ἐκείνων; οὐδὲ φαίνεται. τὴν ἀγορὰν περιέρχομαι, καὶ οὐδένα βλέπω. φύλλα ἦν, καὶ ἀνέμου φυσήσαντος ἐξέπεσεν· ἄχυρα ἦν, καὶ ἀνερριπίσθη, καὶ ὁ σῖτος ἐφάνη ὡραῖος· μόλυβδος ἦν, καὶ ἐτάκη, καὶ τὸ χρυσίον ἔμεινε καθαρόν. τίς αὐτοὺς ἐλαύνει; οὐδείς. ἀλλὰ τὸ συνειδὸς πολέμιον ἔχουσι συνοικοῦντα μετὰ τὴν ἁμαρτίαν. ἴσασι τί ἔπραξαν. ἐπεὶ καὶ ὁ Κάϊν ἐβούλετο σφάξαι τὸν ἀδελφὸν αὐτοῦ. ἀλλ' ὅτε ἐβούλετο σφάξαι, ἡ ἐπιθυμία ἤνθει· ἐπειδὴ

δὲ

ἐπὶ τὴν ἁμαρτίαν εἰργάσατο, στένων καὶ τρέμων πανταχοῦ τῆς οἰκουμένης περιήρχετο· οὗτοι δὲ, εἰ καὶ μὴ ἔσφαξαν τῇ χειρὶ, ἀλλ᾽ ἔσφαξαν τῇ γνώμῃ. ἡ σφαγὴ προεχώρησεν ὅσον κατὰ τὴν ἐκείνων πονηρίαν· ἡ δὲ ζωὴ συνεχωρήθη διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. ταῦτα λέγω, τὴν προθυμίαν τὴν ὑμετέραν ἐπαλείφων, ἵνα μηδέποτε φοβηθῆτε πειρασμόν. πέτρα εἶ, μὴ φοβοῦ τὰ κύματα. ἐπὶ γὰρ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, φησι. ποτὲ ἔξωθεν οἱ πόλεμοι, ποτὲ ἔνδοθεν, ἀλλὰ οὐδεὶς καταποντίζει τὸ σκάφος. ἀλλ᾽ ἵνα μὴ τὸν ἅπαντα καιρὸν εἰς τὰ ἐκείνων ἐγκλήματα ἀναλώσωμεν, παραδόντες * αὐτοὺς τῷ φόβῳ τοῦ συνειδότος, καὶ τὸν δήμιον ἀφέντες βασανίζειν αὐτῶν τὴν διάνοιαν, καὶ τὸν λογισμὸν τῶν ἀκαίρων ἐπιθυμιῶν, ἀφέντες εἶναι φυγάδας, μηδενὸς ἐλαύνοντος, ἀφέντες εἶναι ἀτίμους, μηδενὸς αὐτοῖς πολεμοῦντος· ἡμεῖς τὴν συνήθη παραθήσωμεν τράπεζαν. οὐδὲ γὰρ δίκαιον τὸν καιρὸν ἀναλῶσαι εἰς τὰ ἐγκλήματα τῶν ἐχθρῶν, καὶ τὰ παιδία λιμῷ τηκόμενα παριδεῖν. χθὲς τοίνυν ὁ Παῦλος τὴν τράπεζαν ἡμῖν παρέθηκε, σήμερον ὁ Ματθαῖος· χθὲς ὁ σκηνοποιὸς, σήμερον ὁ τελώνης· χθὲς ὁ βλάσφημος, σήμερον ὁ ἅρπαξ· χθὲς ὁ διώκτης, σήμερον ὁ πλεονέκτης· ἀλλ᾽ ὁ βλάσφημος οὐκ ἔμεινε βλάσφημος, ἀλλ᾽ ἐγένετο ἀπόστολος· καὶ ὁ ἅρπαξ οὐκ ἔμεινεν ἅρπαξ, ἀλλ᾽ ἐγένετο εὐαγγελιστής. λέγω καὶ τὴν προτέραν κακίαν, καὶ τὴν μετὰ ταῦτα ἀρετὴν, ἵνα μάθῃς ὅση τῆς μετανοίας ἡ ὠφέλεια, ἵνα μηδέποτε σὺ τῆς σωτηρίας ἀπογνῷς. οἱ διδάσκαλοι ἡμῶν ἀπὸ ἁμαρτίας ἔλαμπον πρὸ τούτου, ἀλλ᾽ ὕστερον ἔλαμψαν ἀπὸ δικαιοσύνης τελώνης καὶ βλάσφημος, τὰ ἀκροθίνια τῆς πονηρίας. τί γάρ ἐστι τελώνιον; ἁρπαγὴ ἔννομος, βία πεπαρρησιασμένη, ἀδικία νόμον ἔχουσα συνήγορον. λῃστῶν χαλεπώτερος ὁ τελώνης. τί ἐστι τελώνιον; βία νόμον εἰς συνηγορίαν προβαλλομένη, τὸν ἰατρὸν ἔχουσα δήμιον. συνήκατε ὃ εἶπον; οἱ νόμοι ἰατροί εἰσιν, ἔπειτα καὶ δήμιοι γίνονται. οὐ γὰρ λύουσι τὸ ἕλκος, ἀλλὰ αὔξουσι· τί ἐστι τελώνιον; ἀναίσχυντος ἁμαρτία. ἁρπαγὴ πρόφασιν οὐκ ἔχουσα, λῃστείας χαλεπώτερον. ὁ λῃστὴς, κἂν αἰσχύνεται κλέπτων· οὗτος δὲ παρρησιάζεται ἁρπάζων. ἀλλ᾽ οὗτος ὁ τελώνης ἀθρόον εὐαγγελιστὴς ἐγένετο. πῶς καὶ τίνι τρόπῳ; παράγων, φησὶν, ὁ Ἰησοῦς, εἶδε Ματθαῖον ἐπὶ τὸ τελώνιον καθήμενον, καὶ λέγει αὐτῷ, ἀκολούθει μοι. ὦ λόγου δύναμις, εἰσῆλθε, εἰσῆλθε τὸ ἄγκιστρον, καὶ τὸν αἰχμάλωτον στρατιώτην ἐποίησε, τὸν πηλὸν χρυσὸν εἰργάσατο· εἰσῆλθε τὸ ἄγκιστρον, καὶ εὐθέως ἀναστὰς ἠκολούθησεν αὐτῷ. εἰς τὸ βάθος ἦν τῆς πονηρίας, καὶ εἰς τὴν ἁψῖδα ἀνέβη τῆς ἀρετῆς. μηδεὶς τοίνυν, ἀγαπητοὶ, ἀπογινωσκέτω τῆς ἑαυτοῦ σωτηρίας. οὐκ ἔστι φύσεως τὰ τῆς πονηρίας. προαιρέσει τετιμήμεθα καὶ ἐλευθερίᾳ. τελώνης εἶ; δύνασαι γενέσθαι εὐαγγελιστής. βλάσφημος εἶ; δύνασαι γενέσθαι ἀπόστολος. λῃστὴς εἶ; δύνασαι παράδεισον συλῆσαι· μάγος εἶ; δύνασαι προσκυνῆσαι τὸν δεσπότην· οὐκ ἔστιν οὐδεμία κακία μετανοίᾳ μὴ λυομένη. διὰ τοῦτο τὰ ἀκροθίνια τῆς πονηρίας ἐξελέξατο ὁ Χριστὸς, ἵνα μηδεὶς πρὸς τὸ τέλος ἀποφυγεῖν ἔχοι. μή μοι λέγε, ἀπόλωλα, καὶ τί λοιπόν; μή μοι λέγε, ἡμάρτηκα, καὶ τί ποιήσω; ἰατρὸν ἔχεις ἀνώτερον τῆς ἀρρωστίας, ἰατρὸν ἔχεις νικῶντα τοῖς νοσήμασι τὴν φύσιν, ἰατρὸν ἔχεις νεύματι θεραπεύοντα, ἰατρὸν ἔχεις θελήματι διορθούμενον, καὶ δυνάμενον βουλόμενον. οὐκ ὄντα σε παρήγαγεν, ὄντα σε καὶ διαστραφέντα πολλῷ μᾶλλον διορθῶσαι δυνήσεται. οὐκ ἤκουσας, ὡς τὸ πρότερον ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον; πῶς τὴν γῆν σάρκα ἐποίησε; πῶς νεῦρα; πῶς ὀστέα; πῶς δέρμα; πῶς φλέβας; πῶς ῥῖνα; πῶς ὀφθαλμούς; πῶς βλέφαρα; πῶς ὀφρῦν; πῶς γλῶτταν; πῶς θώρακα; πῶς χεῖρας; πῶς πόδας; πῶς τὰ ἄλλα πάντα; γῆ ἦν τὸ ὑποκείμενον, μία οὐσία, καὶ εἰσῆλθεν ἡ τέχνη, καὶ ποικίλην εἰργάσατο τὴν δημιουργίαν. μὴ δυνάσαι τὸν τρόπον εἰπεῖν καθ᾽ ὅντινα ἐδημιουργήθης; οὕτως οὐδὲ τὸν τρόπον δύνασαι εἰπεῖν καθ᾽ ὃν καθαίρονται τὰ ἁμαρτήματα. εἰ γὰρ τὸ πῦρ ἐμπίπτον εἰς τὰς ἀκάνθας, ἀναλίσκει αὐτὰς, πολλῷ μᾶλλον τὸ βούλημα τοῦ Θεοῦ τὰ πλημμελήματα ἡμῶν δαπανᾷ καὶ πρόρριζα ἀνασπᾷ, καὶ τὸν μὴ ἡμαρτηκότα τῷ ἡμαρτηκότι ὅμοιον κατασκευάζει. μὴ ζήτει τὸν τρόπον, μὴ περιεργάζου τὸ γινόμενον, ἀλλὰ πίστευε τῷ θαύματι. ἡμάρτηκα, λέγεις, πολλὰ καὶ μεγάλα· καὶ τίς ἐστιν ἀναμάρτητος; ἀλλὰ ἐγὼ χαλεπὰ, φησὶ, καὶ μεγάλα καὶ ὑπὲρ πάντα ἄνθρωπον. ἀρκεῖ σοι εἰς θυσίαν τοῦτο. λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· ἐπίγνωθι ὅτι ἥμαρτες, καὶ ἀρχή σοι διορθώσεως τοῦτο γενήσεται. στύγνασον, γενοῦ κατηφὴς, ἔκχεε δάκρυα. μὴ γὰρ ἄλλο τι ἐξέχεεν ἡ πόρνη; οὐδὲν ἕτερον, ἢ δάκρυα καὶ μετάνοιαν· ἔλαβε χορηγὸν τὴν μετάνοιαν, καὶ προσῆλθε τῇ πηγῇ. τί δέ φησιν ὁ τελώνης καὶ ὁ εὐαγγελιστής, ἀκούσωμεν. καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐκεῖθεν, ἦλθεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ γυνή. θαυμάζει ὁ εὐαγγελιστὴς, ἰδοὺ γυνὴ τὸ παλαιὸν ὅπλον τοῦ διαβόλου, ἡ τοῦ παραδείσου με ἐκβαλοῦσα, ἡ μήτηρ

A volebat occidere, cupiditas ardebat: postquam autem peccatum perpetravit, gemens ac tremens ubique terrarum vagabatur. Isti verò licet reipſa non occiderint, at voluntate tamen occiderunt. Perpetrata eſt cædes, quantum in illorum malignitate ſitum fuit, at vita conceſſa eſt unius Dei benignitate. Hæc à me eo conſilio dicuntur, ut animi veſtri alacritatem excitem, ut nunquam tentationes reformidetis. Petra es, ne fluctus vereare: *Super hanc enim petram ædificabo Eccleſiam meam, & portæ inferi non prævalebunt adverſus eam*, inquit. Matt. 16, 18
B Aliquando extranea ſunt, aliquando inteſtina ſunt bella, ſed nemo poteſt navim ſubmergere. Sed ne totum tempus accuſandis illorum criminibus impendamus, conſcientiæ timori committamus eos, & ſinamus mentem illorum ac nefariæ cupidinis impetum à domeſtico carnifice divexari: ſinamus eos fugere nemine perſequente, ſinamus eos ignominia obrui, licet à nullis oppugnentur inimicis: nos autem conſuetam menſam vobis opponamus. Non enim æquum eſt, Ἐν. αὐτοῖς
C ut exaggerandis inimicorum criminibus tempus impendamus, & filios ſinamus fame cruciari. Igitur heſterno die nobis Paulus convivium adornavit, hodie Matthæus: heri tentoriorum opifex, hodie publicanus: heri blaſphemus, hodie raptor: heri perſequutor, hodie avarus: ſed blaſphemos in blaſphemiis non permanſit, ſed Apoſtolus factus eſt; & raptor in rapinis non permanſit, ſed factus eſt Evangeliſta. Commemoro priſtina peccata, & virtutes deinde, ut intelligas quanta ſit utilitas pœnitentiæ, ot ne unquam de tua ſalute deſperes. Doctores noſtri
D priùs illuſtres fuere peccatis, ſed deinde juſtitia illuſtres fuerunt publicanus & blaſphemus duo vertices improbitatis. Quid enim eſt telonium? rapina legitima, violentia fiduciæ plena, iniquitas legis patrocinio fulta: latronibus ſævior eſt publicanus. Quid eſt telonium? violentia, quæ patrocinium legis obtendit, quæ carnificem pro medico habet. Advertite quid dixerim. Leges ſunt medici, deinde fiunt & carnifices: non enim ulcus ſanant, ſed augent. Quid eſt telonium: peccatum im-
E pudens, rapina occaſione deſtituta, latrocinio pejor. Latro dum furatur, ſaltem erubeſcit: hic verò cùm fiducia prædatur: veruntamen hic publicanus Evangeliſta confeſtim evaſit. Qua tandem pacto? qua via? *Tranſiens*, inquit, *Jeſus vidit Matthæum ſedentem in telonio, dixitque illi: Sequere me.* O virtus ſermonis. Matth. 9, 9
Intravit rete, & ſtatim fecit militem de captivo, & lutum protinus in aurum convertit. Intravit rete, & ſtatim ſurgens ſequutus eſt eum. In fundo erat iniquitatis, & ad cul-
A men virtutis aſcendit. Nemo igitur, dilectiſſimi, de ſua ſalute deſperet: Non eſt enim improbitas malum à natura nobis inſitum, libero arbitrio & libertate decorati ſumus. Publicanus es? potes fieri Evangeliſta. blaſphemus es? potes Apoſtolus fieri. Latro es? potes deprædari paradiſum. Magus es? potes Dominum adorare. Non eſt vitium ullum quod non pœnitentia reſolvatur. Idcirco Dominus nequitiæ delegit faſtigia, ut nullus
B ad finem confugere debeat: Noli mihi dicere: Perii, quid mihi reſtat? noli dicere, Peccavi, quid faciam? Medicum habes, qui morbum poteſt vincere: medicum habes, qui ſanat omnem languorem: medicum habes, qui voluntate corrigit, qui poteſt & vult ſanare. Cùm non eſſes, te produxit: cùm jam ſis, & perverſus ſis, multo magis corrigere poterit. Non audiſti, quomodo quondam pulverem de terra ſumpſerit, & hominem finxerit? Quomodo terram convertit in carnem? quomodo
C nervos condidit? quomodo oſſa? quomodo pellem? quomodo venas? quomodo naſum? quomodo oculos? quomodo palpebras? quomodo ſupercilia? quomodo linguam? quomodo pectus? quomodo manus? quomodo pedes? quomodo cætera omnia? Terra erat ſubjecta, una ſubſtantia: & intravit ars, atque varium opificium produxit. Nunquid modum potes exponere, quo creatus es? Sic neque modum potes effari, quo peccata tolluntur. Si enim incidens in ſpinas ignis, eas abſumit, multo magis volun-
D tas divina delicta noſtra conſumit, radicitus evellit, & peccatorem ei qui non peccavit ſimilem reddit. Noli quærere modum: ne curioſiùs, qui fiat, inquiras, ſed miraculo crede. Multa & magna peccavi, inquis. Et quis eſt peccato immunis? At mea gravia ſunt, & quorumvis hominum peccata ſuperant. Hoc tibi ſufficit ad ſacrificium. Dic tu iniquitates tuas primus, ut juſtificeris. Agnoſce te peccaſſe. & initium tibi correctionis hoc fiet. Mœſtus ac triſtis eſto, lacrymas funde. Nunquid aliud aliquid meretrix effudit? Esa. 43.
E nihil aliud, niſi lacrymas & pœnitentiam. Ducem aſſumpſit pœnitentiam, & ad fontem acceſſit. Quid verò publicanus & Evangeliſta dicat, audiamus. Et egreſſus inde Jeſus venit in partes Tyri & Sidonis, & ecce mulier. Miratur Evangeliſta: Ecce mulier, vetuſta armatura Diaboli, quæ hominem de paradiſo expulit, mater peccati.

peccati, initium iniquitatis, prævaricationis materia, ipſa illa mulier venit, ipſa natura. Nova res & miranda. Judæi fugiunt, & mulier ſequitur. Ecce mulier à finibus illis egreſſa, rogabat eum, dicens: Miſerere mei Domine fili David. O præclara confeſſio! Evangeliſta fit mulier, deitatem ejus & diſpenſationem annuntians. Confitetur enim & dominationem & incarnationem ejus: Domine, dominationem: Fili David, incarnationem. Miſerere mei. Vide philoſophicam mulieris animam, dicentis: Miſerere mei. Non inquit, habeo conſcientiam bonorum operum, nec rectæ vitæ fiduciam: ad miſericordiam confugio, ad tranquillum portum peccantium: ad miſericordiam confugio, ubi ceſſat judicium: ad miſericordiam confugio, ubi infallibilis ſalus eſt. Dic mihi mulier, quemadmodum auſa es, cum ſis peccatrix & iniqua, accedere ad eum? Ego, inquit, novi quid agam. Vide prudentiam mulieris. Non rogat Jacobum, non obſecrat Joannem, neq; pergit ad Petrum, ſed diviſit apoſtolorum chorum. Non indigeo mediatore: ſed pro omnibus illis pœnitentiam accipio comitem, quæ advocati locum implevit: & ſic ad ſummum fontem pergo. Propterea deſcendit, propterea carnem aſſumpſit, & homo factus eſt, ut & ego ei audeam loqui. Surſum in cœlis Cherubim eum tremunt, & Seraphim metuunt: & deorſum meretrix loquitur cum eo. Miſerere mei. Nudus quidem ſermo, ſed immenſitatem ſalutis continens: Miſerere mei: propterea, inquit, veniſti, propterea carnem aſſumſiſti, propterea factus es quod ego ſum. O admiranda res! ſurſum tremor, & deorſum fiducia. Miſerere mei. Non opus habeo mediatore: Miſerere mei: habes opus? miſericordiam, inquit, quæro. Quid pateris? Filia, inquit, mea malè à dæmonio vexatur. Natura torquetur, & compaſſio declaratur. Egreſſa eſt advocatrix filiæ, non affert infirmam puellam, ſed defert fidem devotam: Hæc intra ſemetipſam conferens, & dicens: Deus eſt ad quē vado. Abſentia videt, occulta inſpicit, omnia novit. Miſerere mei, filia mea malè à dæmonio vexatur. Gravis luctus: ſtimulus naturæ uterum meum diſrumpit: in viſceribus mihi ſæva tempeſtas. Quid faciam miſera? Vide prudentiam. Non dixit, miſerere filiæ meæ: ſed, miſerere mei. Illa enim inſenſibili paſſione tenetur, neſcit quid habet, non ſentit dolorem, velatum cor habet, nequiſſimo ſpiritu obducente. Miſerere mei, ſpectatricis diuturnorū malorum: quotidie cruciatus meos video. Quò vadam? quò pergam? In eremum ire non audeo, nec illam ſolam relinquere: in domo ſedere non poſſum, quia intrinſecus eſt inimicus. Fluctus in portu ſunt, in tranquillitate tempeſtas eſt. Ex quo nomine eam vocabo invenire non poſſum: Mortuam eam dicam, ſed movetur: vivam appellem, ſed neſcit quid faciat. Invenire non poſſum, quo eam nomine appellem. Miſerere mei. Si mortua eſſet filia mea, non talia pateret. Tradidiſſem utique corpus in ſinum terræ, & tempore evoluto oblivionem malorum habuiſſem, & dolor conquieviſſet: nunc autem mortuum habeo pertinax corpus, ſine ſenſu vivum, ſpectaculum lamentabile, increſcentia per momenta vulnera paſſionum multiplicata doloribus. Quomodo enim cernam oculos ejus tranſverſos, aſpectum ſanguineum, manus intortas, crinem diſſolutum, contortum collum, ora ſpumantia, inimicum inſidentem & non apparentem, tortorem clauſum, & flagella reſonantia, neminem interrogantem, & illam cum clamore loquentem? Adſum ſpectatrix malorum meorum, præſtò ſum ſtimulante natura. Miſerere mei. Peſſima tempeſtas, paſſio, & timor: paſſio naturæ, timor dæmonis. Accedere non poſſum, neq; contingere. Abigit me paſſio, explodit timor. Miſerere mei. Conſidera mulieris Philoſophiam, inſpice animam generoſam. Non perrexit ad divinos, non vocavit magos, non alligaturas quæſivit, non maleficas mulieres adduxit illas, quæ ſolent dæmones provocare, & incantationibus ſuis vulnus augere. Reliquit illa omnia, dimiſit diaboli falſitates, omnia purgamenta contempſit, & venit ad ſalutarem animarum noſtrarum portum. Miſerere mei Domine fili David, filia mea malè à dæmonio vexatur. Noſtis paſſionem, quanticumq; fuiſtis patres: adjuvate ſermonem meum, quantæcunque matres vocatæ eſtis: Non poſſumus interpretari tempeſtates, quas ſuſtinuit mulier illa. Miſerere mei, filia mea malè à dæmonio vexatur. Vidiſti inſtantiam mulieris, vidiſti virilitatem, vidiſti longanimitatem, vidiſti fidem. Ipſe autem non reſpondit ei ſermonem. O nova rerum materies. Rogat mulier, obſecrat, deprecatur, deflet caſum ſuum, auget tragœdiam, enarrat paſſionem: & amator hominum non reſpondit, ſermo tacet, fons clauſus eſt, medicus medicamenta retinuit. Quid novum? quid admirabile? Ad alias accurris, & hanc miſerabilem accurrentem abigis? Sed conſidera medici ſapientiam: qui non reſpondit ei verbum. Cur non reſpondit? Quia non verba examinabat, ſed arcana mentis conſiderabat. Ille autem non reſpondit ei ſermonem Quid verò diſcipuli? Quoniam reſponſum mulier non obtinuit, accedentes ad eum, dicunt: Dimitte eam, quia clamat poſt nos. Vos, inquit, deforis clamare auditis, ego autem intrinſecus video: grandis quidem vox ex ore procedit, ſed major eſt ment[is]. Dimitte eam, quia clamat poſt nos. Alius Evangeliſta dicit, ante nos. Diverſi ſiquidem ſermones, ſed una ſententia eſt: nec eſt mendacium in utriſq;: utrumq; enim faciebat mulier in cauſa doloris.

τῆς ἁμαρτίας, ἡ ἀρχηγὸς τῆς παραβάσεως, αὕτη ἐκείνη ἡ γυνὴ ἔρχεται, αὐτὴ ἡ φύσις. καινὸν θαῦμα καὶ παράδοξον· Ἰουδαῖοι φεύγουσι, καὶ ἡ γυνὴ καταδιώκει. καὶ ἰδοὺ γυνὴ ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, παρεκάλει αὐτὸν λέγουσα· Κύριε, υἱὲ Δαβὶδ, ἐλέησόν με. εὐαγγελίστρια γίνεται ἡ γυνὴ, καὶ τὴν θεότητα καὶ τὴν οἰκονομίαν ὁμολογεῖ. Κύριε, τὴν δεσποτείαν· υἱὲ Δαβὶδ, τῆς σαρκὸς τὴν ἀνάληψιν. ἐλέησόν με. ὅρα φιλόσοφον ψυχήν. ἐλέησόν με, οὐκ ἔχω κατορθώματα βίου, οὐκ ἔχω παῤῥησίαν πολιτείας· ἐπὶ τὸν ἔλεον καταφεύγω, ἐπὶ τὸν κοινὸν τῶν ἡμαρτηκότων λιμένα· ἐπὶ ἔλεον καταφεύγω, ὅπου δικαστήριον οὐκ ἔστιν, ὅπου ἀνεξέταστος ἡ σωτηρία. καίτοι οὕτω πονηρὰ οὖσα καὶ παράνομος, ἐτόλμησε προσελθεῖν. καὶ ὅρα γυναικὸς φιλοσοφίαν, οὐ παρακαλεῖ Ἰάκωβον, οὐ δεῖται Ἰωάννου, οὐδὲ προσέρχεται Πέτρῳ. ἀλλὰ διέτεμε τὸν χορόν. οὐκ ἔχω μεσίτου χρείαν. ἀλλὰ λαβοῦσα τὴν μετάνοιαν συνήγορον, αὐτῇ τῇ πηγῇ προσέρχομαι. διὰ τοῦτο κατέβη, διὰ τοῦτο σάρκα ἀνέλαβεν, ἵνα κἀγὼ αὐτῷ διαλεχθῶ. ἄνω τὰ Χερουβὶμ αὐτὸν τρέμει, καὶ κάτω πόρνη αὐτῷ διαλέγεται. ἐλέησόν με. ψιλὸν τὸ ῥῆμα, καὶ πέλαγος ἄπειρον σωτηρίας εὑρίσκει. ἐλέησόν με· διὰ τοῦτο παρεγένου, διὰ τοῦτο σάρκα ἀνέλαβες, διὰ τοῦτο ἐγένου ὅπερ ἐγώ εἰμι. ἄνω τρόμος, καὶ κάτω παῤῥησία. ἐλέησόν με. οὐ χρείαν ἔχω μεσίτου, ἐλέησόν με. τί ἔχεις; ἔλεον ζητῶ. τί πάσχεις; ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται, ἡ φύσις βασανίζεται, ἡ συμπάθεια γυμνάζεται. ἐξῆλθε συνήγορος τῆς θυγατρὸς· οὐ φέρει τὴν νοσοῦσαν, ἀλλὰ φέρει τὴν πίστιν. Θεός ἐστι, καὶ τὰ πάντα βλέπει. ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. πένθος χαλεπόν. τὸ κέντρον τῆς φύσεως τὴν μήτραν διέῤῥηξε, τὸ κλυδώνιον ἐν τοῖς σπλάγχνοις. τί ποιήσω; ἀπόλλυμαι. καὶ διὰ τί μὴ λέγεις, ἐλέησον τὴν θυγατέρα μου, ἀλλὰ, ἐλέησόν με; ἐκείνη ἐν ἀναισθησίᾳ ἔχει τὸ πάθος. οὐκ οἶδε τί πάσχει, οὐκ αἰσθάνεται τῆς ὀδύνης, παραπέτασμα τῆς συμφορᾶς ἔχουσα τὸ ἀνώδυνον, μᾶλλον δὲ τὸ ἀναίσθητον. ἐμὲ δὲ ἐλέησον τὴν θεωρὸν τῶν καθημερινῶν κακῶν, θέατρον ἔχω συμφορᾶς ἐν τῇ οἰκίᾳ. ποῦ ἀπέλθω; εἰς τὴν ἔρημον; ἀλλ' οὐ τολμῶ αὐτὴν καταλιπεῖν μόνην. ἀλλ' εἰς τὴν οἰκίαν; ἀλλ' εὑρίσκω τὸν πολέμιον ἔνδον, τὰ κύματα ἐν τῷ λιμένι, θέατρον συμφορᾶς. τί αὐτὴν καλέσω; νεκράν; ἀλλὰ κινεῖται. ἀλλὰ ζῶσαν; ἀλλ' οὐκ οἶδε τί ποιεῖ. οὐκ οἶδα εὑρεῖν ὄνομα ἑρμηνεῦον τὸ πάθος. ἐλέησόν με. εἰ ἐτεθνήκει τὸ θυγάτριον, οὐκ ἂν τοιαῦτα ἔπασχε· παρέδωκα ἂν τοῖς κόλποις τῆς γῆς τὸ σῶμα, καὶ τῷ χρόνῳ τὴν λήθην ἂν εἰσήγαγον, καὶ διεφόρησα ἂν τὸ ἕλκος· νῦν δὲ νεκρὸν ἔχω διηνεκῆ θεωρίαν μοι ἐργαζόμενον, ὑφαίνοντά μοι τὸ τραῦμα, πλεονάζοντά μου τὸ πάθος. πῶς ἴδω ὀφθαλμοὺς διαστρεφομένους; χεῖρας στραγγαλωμένας; πλοκάμους λυομένους; ἀφρὸν προϊέμενον; τὸν δήμιον ἔνδον ὄντα καὶ μὴ φαινόμενον; τὸν μαστίζοντα μὴ ὁρώμενον, τὰς δὲ μάστιγας φαινομένας; ἕστηκα θεωρὸς τῶν ἀλλοτρίων κακῶν, ἕστηκα τῆς φύσεώς με κεντριζούσης. ἐλέησόν με· χαλεπὸν τὸ κλυδώνιον, πάθος καὶ φόβος. πάθος φύσεως, καὶ φόβος δαίμονος. προσελθεῖν οὐ δύναμαι, οὐδὲ κατασχεῖν. ὠθεῖ με τὸ πάθος, καὶ διακρούεταί με ὁ φόβος. ἐλέησόν με. ἐννόησον γυναικὸς φιλοσοφίαν. οὐκ ἀπῆλθε πρὸς μάγους, οὐκ ἐκάλεσε μάντεις, οὐ περίαπτα ἐποίησεν, οὐ μαγγανευτρίας γυναῖκας ἐμισθώσατο, ταύτας τὰς γοητευούσας δαίμονας καὶ αὐξούσας τὸ ἕλκος· ἀλλ' ἀφῆκε τοῦ διαβόλου τὸ ἐργαστήριον, καὶ ἔρχεται ἐπὶ τὸν σωτῆρα τῶν ψυχῶν τῶν ἡμετέρων. ἐλέησόν με. ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ἴστε τὸ πάθος, ὅσοι πατέρες ἐγένεσθε· βοηθήσατέ μου τῷ λόγῳ, ὅσαι μητέρες ἐγένεσθε. οὐ δυνάμεθα ἑρμηνεῦσαι τὸν χειμῶνα, ὃν ὑπέμεινεν ἡ γυνή. ἐλέησόν με, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. εἶδες τὴν φιλοσοφίαν τῆς γυναικός, εἶδες τὴν καρτερίαν; τὴν ἀνδρείαν; τὴν ὑπομονήν; ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. καινὰ πράγματα. παρακαλεῖ, δεῖται, κλαίει τὴν συμφορὰν, αὔξει τὴν τραγῳδίαν, διηγεῖται τὸ πάθος· καὶ ὁ φιλάνθρωπος οὐκ ἀποκρίνεται. ὁ λόγος σιωπᾷ, ἡ πηγὴ κλείεται, ὁ ἰατρὸς τὰ φάρμακα συστέλλει. τί τὸ καινόν; τί τὸ παράδοξον; ἄλλοις ἐπιτρέχεις, καὶ ταύτην ἐπιτρέχουσαν ἐλαύνεις; ἀλλ' ἐννόησον τοῦ ἰατροῦ τὴν φιλοσοφίαν. ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. τίνος ἕνεκα; ὅτι οὐ τὰ ῥήματα ἐξήταζεν, ἀλλὰ τὰ ἀπόῤῥητα τῆς διανοίας κατεμάνθανεν. ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. τί δὲ οἱ μαθηταί; ἐπειδὴ οὐκ ἔτυχεν ἡ γυνὴ ἀποκρίσεως, προσελθόντες αὐτῷ λέγουσιν· ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ἀλλὰ σὺ τῆς ἔξωθεν ἀκούεις κραυγῆς, ἐγὼ δὲ τῆς ἔνδοθεν, μεγάλη ἡ φωνὴ τοῦ στόματος, ἀλλὰ μείζων ἡ τῆς διανοίας. ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ἄλλος δὲ λέγει εὐαγγελιστὴς ἔμπροσθεν ἡμῶν. ἐναντία τὰ εἰρημένα, ἀλλ' οὐ ψευδῆ· ἀμφότερα γὰρ ἐποίει. πρότερον γὰρ ὄπισθεν ἔκραζε,

ὅτι δὲ οὐκ ἀπεκρίθη, ἦλθεν ἔμπροσθεν, καθάπερ κύων λείχων τοὺς πόδας τοῦ κυρίου αὐτοῦ. Ἀπόλυσον αὐτήν. θέατρον πεποίηκε, δῆμον συνήγαγε. τὴν ὀδύνην καὶ ἐθεώρουν τὴν ἀνθρωπίνην ἐκεῖνοι. ὁ δὲ δεσπότης τὴν φιλανθρωπίαν, καὶ τὴν σωτηρίαν τῆς γυναικός. Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ Χριστός, Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ὅτε ἀπεκρίνατο, χεῖρον αὐτῆς ἐποίησε τὸ ἕλκος. ἰατρὸς γὰρ ἦν τέμνων, οὐχ ἵνα διέλῃ, ἀλλ' ἵνα συνάψῃ. ἐνταῦθα προσέχετέ μοι μετ' ἀκριβείας, καὶ συντείνατέ μοι τὴν διάνοιαν· ζήτημα γὰρ βαθὺ ἀνορύξαι βούλομαι. Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. τοῦτο ὅλον; διὰ τοῦτο ἄνθρωπος ἐγένου, σάρκα ἀνέλαβες, οἰκονομίας τοσαύτας εἰργάσω, ἵνα μίαν γωνίαν σώσῃς, καὶ ταύτην ἀπολλυμένην; ἡ δὲ οἰκουμένη πᾶσα ἔρημος, Σκύθαι, Θρᾷκες, Ἰνδοί, Μαῦροι, Κίλικες, Καππάδοκες, Σύροι, Φοίνικες, ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν, διὰ Ἰουδαίους μόνους ἦλθες, τὰ δὲ ἔθνη ἐν ἐρημίᾳ ὑπερορᾷς, καὶ περιορᾷς κνίσσαν, περιορᾷς καπνόν, περιορᾷς τὸν πατέρα σου ὑβριζόμενον, εἴδωλα προσκυνούμενα, δαίμονας θεραπευομένους; καίτοι οἱ προφῆται οὐ ταῦτα λέγουσιν, ἀλλ' ὁ πρόγονός σου ὁ κατὰ σάρκα, Αἴτησαι, φησί, παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ἡσαΐας δὲ ὁ τῶν Σεραφὶμ θεωρός, καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτὸν ἔθνη ἐλπιοῦσι. καὶ Ἰακώβ, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν. καὶ Μαλαχίας, Διότι ἐν ὑμῖν συγκλεισθήσονται πύλαι χαλκαῖ, καὶ οὐκ ἀλλάξονται τὸ προκείμενον· ὅτι ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν ἡλίου τὸ ὄνομά μου δοξάζεται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ Κυρίῳ, καὶ θυσία καθαρά. καὶ ὁ Δαβὶδ πάλιν, Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. καὶ ἄλλος, Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ σὺ αὐτὸς ἐλθὼν τοὺς μάγους εὐθέως ἐκάλεσας, τὴν ἀκρόπολιν τῶν ἐθνῶν, τὴν τυραννίδα τοῦ διαβόλου, τὴν δύναμιν τῶν δαιμόνων· καὶ καταβὰς προφήτας αὐτοὺς ἐποίησας; σὺ μάγους καλεῖς, οἱ προφῆται περὶ ἐθνῶν λέγουσιν. ἀναστὰς ἀπὸ τοῦ ᾅδου λέγεις τοῖς μαθηταῖς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· καὶ ὅτε ἦλθεν ἡ ἀθλία, ἡ ταλαίπωρος, ὑπὲρ θυγατρὸς παρακαλοῦσα, συμφορὰν δεομένη λῦσαι, τότε λέγεις, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ; καὶ ὅτε μὲν ἑκατόνταρχος προσῆλθε, λέγεις· Ἐγὼ ἐλθὼν ἰάσομαι αὐτόν· ὅτε ὁ λῃστής, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· ὅτε ὁ παραλυτικός, Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε· ὅτε ὁ Λάζαρος, Λάζαρε δεῦρο ἔξω. καὶ ἐξῆλθε τετραήμερος. Λεπροὺς καθαίρεις, νεκροὺς ἐγείρεις, παραλυτικοὺς σφίγγεις, τυφλοὺς θεραπεύεις, λῃστὰς σώζεις, πόρνην παρθένου σωφρονεστέραν ποιεῖς, καὶ ταύτῃ οὐδὲν ἀποκρίνῃ; ὢ τοῦ καινοῦ, ὢ τοῦ ξένου, ὢ τοῦ παραδόξου. προσέχετε ἀκριβῶς, ἵνα μάθητε γυναικὸς ἀνδρείαν καὶ δεσπότου σοφίαν καὶ κηδεμονίαν, ἵνα μάθητε μέλλησιν κέρδος ἔχουσαν, ἵνα μάθητε παραίτησιν πλοῦτον παρεχομένην· ἵνα κἂν εὔξῃ καὶ σύ, καὶ μὴ λάβῃς, μηδέ ποτε ἀποστῇς. πρόσεχε καὶ σύντεινον σεαυτόν· ὅτε τῆς Αἰγυπτιακῆς ἀπηλλάγησαν Ἰουδαῖοι τυραννίδος, καὶ τοῦ Φαραὼ τὰς χεῖρας ἀποφυγόντες, ἐπὶ τὴν ἔρημον ἦσαν, καὶ ἔμελλον εἰσιέναι τὴν Χαναναίων γῆν, τῶν εἰδωλομανῶν καὶ ἀσεβῶν ἀνθρώπων, προσκυνούντων λίθους, θεραπευόντων ξύλα, πολλὴν ἀσέβειαν ἐπιδεικνυμένων, δέδωκεν αὐτοῖς ὁ Θεὸς τὸν νόμον οὕτω λέγων, Μὴ λάβῃς παρὰ τῶν υἱῶν αὐτῶν εἰς γαμβρούς, μηδὲ δῷς τὴν θυγατέρα σου νύμφην αὐτοῖς· μὴ μεταδῷς αὐτοῖς χρυσίον, μήτε τραπέζης κοινωνίαν, μηδὲ συνουσίαν, μηδὲ ἄλλου μηδενὸς τῶν τοιούτων, ὅτι παράνομα τὰ ἔθνη, εἰς ἃ εἰσάγω σε κληρονομῆσαι αὐτά. τοῦτο οὖν αὐτοῖς ὁ νόμος μονονουχὶ ἐντέλλεται· μὴ ἀγοράσῃς, μὴ πωλήσῃς, μὴ γάμον ἐπιτελέσῃς, μηδὲ συμβόλαια, ἀλλ' ἔσο, εἰ καὶ τῷ τόπῳ ἐγγύς, ἀλλὰ τῷ τρόπῳ κεχωρισμένος. μηδέν σοι κοινὸν πρὸς αὐτούς, μὴ συναλλάγματα, μὴ πράσεις, μὴ ἀγορασίαι, μὴ ἐπιγαμίαι, μὴ ἐπιγαμβρίαι, ἵνα μὴ τῆς συγγενείας ἡ ἀνάγκη εἰς ἀσέβειάν σε ἐξολισθῆναι παρασκευάσῃ, ἵνα μὴ τὸ δοῦναι καὶ τὸ λαβεῖν ποιήσῃ σε φίλον αὐτῶν· ἀλλ' ἐχθρὸς ἀεὶ ἔσο αὐτοῖς. μηδέν σοι καὶ Χαναναίοις, μὴ χρυσίον αὐτῶν λάβῃς, μηδὲ ἀργύριον, μὴ ἱματισμόν, μὴ θυγατέρα, μὴ υἱόν, μὴ ἄλλο τι τῶν τοιούτων μηδέν· ἀλλ' αὐτὸς καθ' ἑαυτὸν ἔσο, γλῶτταν ἔχεις χωρίζουσάν σε καὶ νόμον σοι ἔδωκα. Διὰ τοῦτο καὶ ὁ νόμος φραγμὸς λέγεται· ὥσπερ γὰρ ἀμπελῶνι φραγμὸς περίκειται, οὕτω καὶ τοῖς Ἰουδαίοις ὁ νόμος, ἵνα μὴ ὑπερβάντες ἀναμιγῶσι τοῖς Χαναναίοις·

Priùs poſt tergum clamabat, & cùm vidiſſet, quia non reſpondit, ante cucurrit, quaſi canis domini veſtigia lambens. Dimitte, inquit, eam: theatrum nobis clamoribus excitavit, omne convocavit vulgus. Et illi quidem, quaſi homines, dolorem humanum ſpectabant: ſed Dominus mulieris humanitatem & ſalutem. Dimitte eam, quoniam clamat poſt nos. Ipſe autem reſpondens, ait: Non ſum miſſus niſi ad oves quæ perierunt domus Iſraël. Et cùm hoc dixiſſet, pejus ejus ulcus effecit. Medicus enim erat, ſecans non ut divideret, ſed ut conjungeret. Hic paululum chariſſimi accommodate mentem veſtram, theſaurum enim inveſtigare volo abſconditum. Non ſum inquit, miſſus, niſi ad oves quæ perierunt domus Iſraël. O Domine, hoc eſt totum? ideo homo factus es, ideo carnem aſſumpſiſti, diſpenſationes tantas operatus es, ut unum ſalvares angulum, & hunc pereuntem: orbis verò terrarum univerſus deſertus eſt: & Scythæ, Thraces, Indi, Mauri, Cilices, Cappadoces, Syri, Phœnices quantamcumque ſol reſpicit terram tranſiſti & propter Judæos ſolos veniſti? Gentes autem in deſolatione conſtituras deſpicis, & nidorem deſpicis & fumum, & illos quidem contemnentes patrem tuum, & idola adorantes, & incenſa illis offerentes, inſuper & filios ſuos dæmonibus conſecrantes: hæc omnia diſſimulas, & nos miſeros expectantes te deſpicis, et certè omnes Prophetæ hæc dicunt. Sed & ipſe proavus tuus David ſecundum carnem dicit: *Poſtula à me, & dabo tibi gentes hæreditatem tuam, & poſſeſſionem tuam, terminos terræ.* Pſal. 2. 8. Et Eſaias, qui te in ſede majeſtatis tuæ cum Seraphim Eſa. 11. 10. contemplatus eſt, dicit: *Et erit radix Ieſſe, & qui exurget imperare Gentibus: in ipſum gentes ſperabunt.* Gen. 49. Et Jacob Patriarcha dicit: *Non deficiet princeps ex Juda, neque dux de femoribus ejus, donec veniat cui repoſitum eſt, & ipſe erit expectatio Gentium.* Malachias quoque Propheta dicit: *Quoniam claudentur in vobis æreæ portæ, & non mutabunt quod propoſitum eſt, Quoniam ab ortu ſolis uſque ad occaſum glorificatur nomen meum in Gentibus & in omni loco incenſum offertur Domino, & ſacrificium mundum.* Mala. 1. 11. Et ipſe David ita dicit: *Omnes gentes plaudite manibus, jubilate Deo in voce exultationis: quia Deus excelſus, terribilis, Rex magnus ſuper omnem terram. Aſcendit Deus in jubilatione, & Dominus in voce tubæ.* Pſal. 46. 1. Et alter dicit: *Lætamini gentes cum populo ejus:* & reliqui omnes adventum tuum ſalutare gentibus annuntiarunt. Num & ipſe in adventu tuo magos ab Oriente vocaſti, arcem gentium, Diaboli tyrannidem, virtutem dæmonum: nonne deſcendens Prophetas eos reddidiſti? Et tu quidem per ſtellam magos convocaſti, Prophetæ autē de Gentibus annuntiant. Exorgens ab inferis dicis diſcipulis tuis: *Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, & Filii, & Spiritus ſancti.* Mat. 28. 19. Et nunc cum veniſſet miſeranda & infelix mulier pro filiæ ſuæ infirmitate obſecrans, & caſus ſuos deplorans, dicis: Non ſum miſſus ad oves quæ perierunt domus Iſraël: Num & cum acceſſiſſet Centurio rogans pro famulo ſuo, dicis: *Ego veniam & curabo eum.* Ibid. 8. Et latroni obſecranti reſpondes: *Hodie mecum eris in Paradiſo.* Luc. 23. 43. Et paralytico dicis: *Surge, tolle grabatum tuum & vade in domum tuam.* Marc. 2. 11. Et Lazaro quadriduano mortuo, & jam fœtenti, dicis: *Lazare veni foras,* Joan. 11. 43. & quatriduanus exivit. Et qui leproſos mundas, mortuos ſuſcitas, paralyticos ſtringis, cæcos illuminas, latrones ſalvas, meretricem virgine caſtiorem reddis, huic miſeræ nihil reſpondes? O nova res, & admiranda! Conſiderate chariſſimi conſtantiam & virilitatem mulieris, Domini benignam ſapientiam, pariter & clementiam, quomodo dilatio & recuſatio ejus divitias contulit obſecranti: ut & tu, ſi oraveris, & ſtatim non acceperis quod rogaſti, non deſinas deprecari. Conſidera enim diligentius, chariſſime, legis divinæ ſecretum. Quando Judæi de Ægyptiorum dominatione & tyrannide ſunt liberati: & effugientes manus Pharaonis, ad eremum perrexerunt, intraturi terram Chananæorum, repletam idolorum cultibus, adorantium ligna & lapides, & multam impietatem præ ſe ferentium, legem acceperunt à Deo, in hæc verba: Non accipias ex filiis eorum in generos, neque des filiam tuam nurum ipſis: Ne impertias illis aurum, neque menſam communices, neque congreſſum, neque aliud quicquam ejuſmodi, quia iniquæ ſunt gentes, ad quas te introduco, ut poſſideas eas. Hoc igitur illis propemodum præcipiebat: Ne coëmas, ne vendas, ne connubia jungas, neque contractus: ſed eſto quamvis loco propinquus, moribus tamen ſeparatus. Nihil tibi ſit commune cum illis, non pacta conventa, non venditiones, non emptiones, non matrimonia, non affinitates, ne fortè cognationis neceſſitas efficiat, ut in impietatem prolabaris: ne dum illis das & ab illis accipis amicus eorum fias: ſed illorum ſemper hoſtis eſto. Nihil tibi, inquit, & Chananæis: ſed eſto in finibus tuis, & in gente tua negotia exerce, & connubia junge: quia linguam tuam habes & legem, quæ tibi per Moſem data eſt, quam ſicut maceriam & ſepem quandam inter vos & illos poſui. Sicut enim vinea, aut hortus, maceria circumdatur: ſic Judæis lex, ut tranſgredi non liceret: neque cum Chananæis miſceri:

Erant enim iniqua apud eos commercia, depravatæ naturæ leges, adorabantur idola, ligna colebantur: Deus injuria afficiebatur, liberi mactabantur, patres deſpiciebantur, matres contemnebantur: omnia immutata erant, omnia ſubverſa, dæmonum more vivebant. Propterea nunquam commercia inibant, non pacta, non venditiones cum illis, ſed lege lata magniſque pœnis propoſitis, contrahendis mutuo nuptiis, & contractibus & affinitatibus arcebantur: nihil commune cum illis habebant. Prohibitum itaque erat à lege, ut non miſcerentur Chananæis, nec ullam communionem haberent cum illis, ne amicitiæ cauſa impietatis occaſio fieret. Lege fuerunt, ſepis loco, circumdati: Vineam, inquit, plantavi, & ſepem circumpoſui, hoc eſt, legem, non è ſpinis, ſed ex mandatis, quæ muniret & ſejungeret illos. Cum ergo abominabiles Judæis eſſent Chananæi tanquam idololatræ & immundi, cum quibus nec fabulari fas erat: Et quia iſta mulier de finibus erat Chananæorum egreſſa, & acceſſit ad Chriſtum, Chriſtus Judæis dicebat inſidiantibus ſibi: Quis ex vobis arguet me de peccato, eò quòd tranſgreſſus ſim legem? Quo modo ergo homo erat, & omnia quæ legis ſunt implebat. Deinceps attendite diligenter: quandoquidem Chananæa mulier erat, & ex finibus illis, ubi rabies & inſania, & impietas, ubi diaboli tyrannis, & dæmonum bacchationes, & natura conculcata, & ad brutorum brutas libidines devoluti erant, ad dæmonum furores; præcipiebat autem lex, Ne filium accipias, ne contractus ineas, ne commercia, &, ſicut jam dixi, abominabiles erant Chananæi Judæis; qui ſub lege mandante tanquam ſepe erant vallati: veniens autem Chriſtus, hoc eſt, natus ex virgine, octava circumciſus die, pro quo in templo oblatio celebrata eſt, & omnes ceremoniæ impletæ ſunt legis: & ideo implevit legem, ne dicerent Judæi, non potuit implere legem, propterea ſolvit: prius eam complet, & poſtea ſolvit, ut omnem illis querimoniæ auferret occaſionem. Clamabat enim, & dicebat: *Quis ex vobis arguet me de peccato?* Ne ergo occaſione accepta dicerent Judæi: Non credimus tibi, inique feciſti, ſolvens legem, quia perrexiſti ad fines Chananæorum, & confabulatus es cum illis: quod ne fieret, lege prohibitum eſt. Ideo nihil interim loquitur mulieri, ſed legem cuſtodiens, retardat ſalutem, & Judæos refrænat, & hanc recreat. Qui non reſpondit ei verbum. Nolo mihi occaſiones querimoniarum invenias, ò Judæe, ecce nō loquor, ecce non reſpondeo, adeſt occaſio benefaciendi, & pietatem meam interim differo: Ecce naufragium imminet, & gubernator quieſcit, & increſcente calamitate differtur ſanitas propter vos, qui ingrati extitiſtis: ut omnis vobis auferatur occaſio detrahendi. Ecce mulier multitudinem mihi clamoribus ſuis congregavit, & nondū accepit reſponſum, ne fortè dicatis, Ecce Chananæis teipſum expoſuiſti, & legem tranſgreſſus es, & hic nobis occaſio tibi non credendi. Vide quo pacto mulieri non reſponderit, ut reſponderet Judæis: & ſilentium erga mulierem, vox erat quæ Judæorum ingratum animum arguebat. Hæc autem omnia pro ineffabili clementia ſua faciebat Deus, ut illos paulatim ab infidelitate erigeret, & omnem cavillationem de animis illorum tolleret. Nam cùm leproſum curaſſet, dicebat: *Vade, oſtende te ſacerdotibus, & offer munus, quod præcepit Moſes pro emundatione tua.* O inauditam rem. Dominus mundat & mittit eam ad legem Moſi. Et cur hæc facit, conſidera: ne Judæi videl. redarguerent eum, tanquam prævaricatorem legis. Nam quomodo curaverit leproſum, eloqui curationis modum non invanio. Ecce, inquit, leproſus accedens rogabat eum, dicens: *Domine, ſi vis, potes me mundare. Et extendens Jeſus manum ſuam, tetigit eum, dicens: Volo, mundare.* Imperativo modo legendum eſt, non interrogativo: quia dixerat ille, ſi vis: reſpondit Dominus, volo. Potes, inquit, me mundare: & ipſe ait, mundare. In lege non licebat tangi leproſum, quia quicunque tetigiſſet, immundus tota die fiebat. Nā & beatus Heliſæus hoc ſciens, cùm ad eum Naaman princeps militiæ veniſſet leproſus, alienigena, miſſus à Rege ſuo, dixit illi diſcipulus, Ecce leproſus princeps militiæ foris eſt: tum ille mandat per diſcipulum ſuum, dicens: *Vade ad Jordanem fluvium, lavare ſepties, & mundaberis à lepra tua.* Ipſe verò non fuit auſus ire, & videre lepram, vel tangere illum. Et Heliſæus quidem mundavit leproſum, & Chriſtus mundavit leproſum. Ne ergo dicerent Judæi, quid magnum fecit Chriſtus? hoc fecit quod fecerat Heliſæus. Sed ille quidem tangere auſus non fuit leproſum, ne contaminaretur: iſte autē tetigit & mundavit. Et ideo tetigit, ut oſtenderet quoniam qui ſervus eſt, ſubditus eſt legi: Dominus autē eſt, qui imperat legi. Quomodo ergo legem ſervavit? quia dixit, volo, mundare: neque ſtatim illum tetigit immundum, & dixit, Volo, mundare. Et ſtatim mundatus eſt. Non invenit Evangeliſta verbis dicere velocitatem curationis: ſtatim enim dicendo aliud quod diceret, non invenit. Tanta enim fuit operantis authoritas, vel in ingreſſu

Joan. 8, 46 — Matt. 8, 4. — Levit. 14, 4. — 4. Reg. 5. 10.

ἦσαν καὶ παρ' αὐτοῖς παράνομοι ἐπιμιξίαι, διεφθαρμένοι τῆς φύσεως οἱ νόμοι, εἴδωλα προσκυνούμενα, ξύλα θεραπευόμενα, Θεὸς ὑβριζόμενος, τέκνα σφαττόμενα, πατέρες ἐμπτυόμενοι, μητέρες ἀτιμαζόμεναι, πάντα ἠλλοίωτο, πάντα ἀνατέτραπτο, δαιμόνων ζωὴν ἔζων. διὰ τοῦτο οὐδέ ποτε συναλλάγματα ἐποίουν, οὐ συμβόλαια, οὐ πράσεις μετ' ἐκείνων. ἀλλ' ὁ νόμος ἐπὶ τοῖς μεγίστοις κείμενος, εἶργε μετ' ἀλλήλων τοὺς γάμους, τὰ συμβόλαια, τὰς ἐπιγαμβρίας. οὐδὲν κοινὸν πρὸς ἐκείνους εἶχον. ἀπειρημένον οὖν ἦν ἐν τῷ νόμῳ τὸ συναλλάξαι Χαναναίοις, τὸ χρυσίον μεταδοῦναι, ἢ ἕτερόν τι, ἵνα μὴ τῆς φιλίας ἡ ὑπόθεσις ἀσεβείας ἀφορμὴ γένηται. ὁ νόμος περιέκειτο αὐτοῖς φραγμοῦ. Ἀμπελῶνα, φησὶν, ἐφύτευσα, καὶ φραγμὸν περιέθηκα, τουτέστι, νόμον, οὐχὶ ἀπὸ ἀκανθῶν, ἀλλ' ἀπὸ ἐντολῶν, τειχίζοντα καὶ ἀπείργοντα αὐτούς. ἀπειρημένοι οὖν οἱ Χαναναῖοι, βδελυκτοί, ἀσεβεῖς, ἐναγεῖς, μιαροί, ἀκάθαρτοι. διὸ καὶ οὐδὲ ἀκοῦσαι αὐτῶν ἠνείχοντο οἱ Ἰουδαῖοι τὸν νόμον πληροῦντες αὐτὸν λοιπόν. ἐπεὶ οὖν αὕτη ἡ γυνὴ ἀπὸ τῶν Χαναναίων ἦν [ἰδοὺ γὰρ γυνή, φησίν, ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα] ἐπεὶ οὖν αὕτη ἡ γυνὴ ἀπὸ τῶν Χαναναίων ἦν, προσῆλθε δὲ τῷ Χριστῷ· διὰ τοῦτο ἔλεγε, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας, εἰ παρέβην τὸν νόμον; ἐπειδὴ γὰρ ἄνθρωπος ἦν, καὶ τὰ ἀνθρώπινα ἐπεδείκνυτο. λοιπὸν προσέχετε μετ' ἀκριβείας τῷ λόγῳ. ἐπειδὴ ἡ γυνὴ Χαναναία ἦν, καὶ τῶν ὁρίων ἐκείνων, ἔνθα καὶ λύσσα, καὶ μανία, καὶ ἀσέβεια, ἔνθα διαβόλου τυραννὶς, καὶ δαιμόνων βακχεῖαι, καὶ φύσις πατουμένη, καὶ εἰς ἀλόγων ἀλογίας κατηνέχθησαν, εἰς δαιμόνων μανίας, ἐπέταττε δὲ καὶ ὁ νόμος, μηδέν σοι καὶ Χαναναίοις, μὴ δῷς, μὴ λάβῃς παρ' ἐκείνων, μὴ γυναῖκα λάβῃς, μὴ υἱὸν λάβῃς, μὴ συμβόλαια ποιήσῃς, μὴ συναλλάγματα [διὰ τοῦτο γὰρ φραγμὸν περιέθηκα] ἐλθὼν δὲ ὁ Χριστὸς, καὶ τὰ τῶν ἀνθρώπων ἀναλαβὼν ὅπλα, αὐθωρὸν περιετμήθη, θυσίας προσήνεγκε, προσφορὰς, τὰ ἄλλα πάντα, ἔμελλε δὲ λύειν τὸν νόμον· ἵνα μὴ λέγωσιν, ὅτι ἀτονήσας πληρῶσαι αὐτὸν, διὰ τοῦτο ἔλυσε. πρότερον αὐτὸν πληροῖ, καὶ τότε λύει, ἵνα μὴ νομίσῃς ὅτι ἀτονεῖ, ἀλλὰ πληροῖ πάντα κατὰ τὸ ἔθος. διὰ τοῦτο βοᾷ καὶ λέγει, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; ἐπεὶ οὖν καὶ τοῦτο νόμιμον ἦν, τὸ μηδὲν κοινὸν ἔχειν μετὰ Χαναναίων, ἵνα μὴ ἄρξωνται ἐγκαλεῖν αὐτῷ οἱ Ἰουδαῖοι καὶ λέγειν, διὰ τοῦτο οὐκ ἐπιστεύσαμέν σοι· παράνομος γὰρ εἶ, ἔλυσας τὸν νόμον, ἀπῆλθες εἰς τὴν Χαναναίων χώραν. Χαναναίοις ἀνεμίγης· τοῦ νόμου λέγοντος, μὴ ἀναμιγῇς· διὰ τοῦτο αὐτῇ οὐδὲν λαλεῖ τέως, προσέχει πῶς πληροῖ τὸν νόμον, καὶ οὐ προδίδωσι τὴν σωτηρίαν· καὶ Ἰουδαίους ἐπιστομίζει, καὶ ταύτην ἀνακτᾶται. ὁ δὲ οὐκ ἀπεκρίνατο, φησὶν, αὐτῇ λόγον· μή μοι προφάσεις εὕρῃς. ἰδοὺ οὐ λαλῶ· ἰδοὺ οὐ διαλέγομαι· ἰδοὺ συμφορὰ, καὶ τὸ ἐμαυτοῦ οὐκ ἐπιδείκνυμι· ἰδοὺ ναυάγιον καὶ ὁ κυβερνήτης. οὐκ ἀναλύω τὸν χειμῶνα διὰ τὴν ὑμετέραν ἀγνωμοσύνην, ἵνα μὴ ἔχητε πρόφασιν. ἰδοὺ, γυνὴ θέατρόν μοι περιέστησε. καὶ οὔπω λαμβάνει ἀπόκρισιν, ἵνα μὴ λέγητε, ὅτι ἐπέδωκας σεαυτὸν Χαναναίοις, καὶ παρέβης τὸν νόμον, καὶ ταύτην πρόφασιν ἔχομεν τοῦ μὴ πιστεῦσαί σοι. σκόπει πῶς διὰ τοῦτο οὐκ ἀπεκρίνατο τῇ γυναικὶ, ἵνα ἀποκριθῇ Ἰουδαίοις· ἡ πρὸς τὴν γυναῖκα σιγὴ, φωνὴ ἀγνωμοσύνης τοῖς Ἰουδαίοις ἐγίνετο. ταῦτα δὲ ἐποίει οὐ πρὸς τὴν οἰκείαν ἀξίαν, ἀλλὰ πρὸς τὴν ἐκείνων συγκαταβαίνων ἀσθένειαν. καὶ γὰρ ὅτε τὸν λεπρὸν ἐκαθάρισε, λέγει. ἄπελθε, προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς. σὺ ἐκάθαρας, καὶ πέμπεις αὐτὸν εἰς τὸν νόμον Μωϋσέως; ναί. διὰ τί; διὰ τοὺς Ἰουδαίους, ἵνα μὴ ἄρξωνται ἐγκαλεῖν, ὅτι παρέβην τὸν νόμον. διὰ τοῦτο καὶ ὅτε ἐθεράπευσε τὸν λεπρὸν, ξένως ἐθεράπευσεν αὐτόν. καὶ ἄκουε πῶς. καὶ ἰδοὺ λεπρὸς προσελθὼν παρεκάλει αὐτὸν λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἥψατο αὐτοῦ λέγων· θέλω, καθαρίσθητι. ἐν τῷ νόμῳ οὐκ ἐξῆν ἅπτεσθαι λεπροῦ. ὅτε οὖν ἦλθε Νεεμὰν ὁ στρατηλάτης πρὸς Ἐλισσαῖον τὸν προφήτην λέπρᾳ κατεχόμενος, λέγει αὐτῷ ὁ μαθητὴς, Ἰδοὺ λεπρὸς στρατηλάτης ἔξω. ὁ δὲ πέμπει τὸν μαθητὴν ἐξελθεῖν καὶ εἰπεῖν αὐτῷ, ἄπελθε λοῦσαι εἰς τὸν Ἰορδάνην, καὶ οὐκ ἐτόλμησεν ἐξελθεῖν αὐτὸς καὶ ἰδεῖν τὸν λεπρὸν, καὶ ἅψασθαι αὐτοῦ. ἐπεὶ οὖν ἐκαθάρισεν ὁ Ἐλισσαῖος λεπρὸν, ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι ὁμοίως Ἐλισσαίῳ ἐκάθαρε, διὰ τοῦτο ἐκεῖνος μὲν οὐ τολμᾷ ἅψασθαι, οὗτος δὲ ἅπτεται, καὶ λέγει, θέλω, καθαρίσθητι. καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἥψατο τοῦ λεπροῦ. διὰ τί ἥψατο; ἵνα σε διδάξῃ ὅτι οὐκ ἔστι δοῦλος ὑποκείμενος νόμῳ, ἀλλὰ δεσπότης ἐπικείμενος τῷ νόμῳ. πῶς οὖν ἐτήρησε τὸν νόμον; τῷ εἰπεῖν, θέλω, καθαρίσθητι, καὶ μὴ εὐθέως αὐτοῦ ἅψασθαι· περιέλαβεν ὁ λόγος, ἐθεράπευσε τὸ νόσημα, εἶτα ἥψατο τοῦ ἀκαθάρτου, καὶ εἶπε, θέλω, καθαρίσθητι. πῶς; εὐθέως ἐκαθαρίσθη. οὐχ εὗρεν ὁ εὐαγγελιστὴς εἰπεῖν [καὶ γὰρ τὸ εὐθέως βραδύ ἐστιν] οὐχ εὕρισκε λόγον ἰσόρροπον τῷ τάχει τῆς ἐνεργείας, εὐθέως, πῶς; ἅμα ἐξέβη ὁ λόγος, καὶ ἐθεράπευσε τὸ νό-

στημα, ἐφυγαδεύθη ἡ λέπρα, λοιπὸν καθαρὸς ὁ λεπρός. Διὰ τοῦτο λέγει· Ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς. Τίσι; τοῖς Ἰουδαίοις· ἵνα μὴ λέγωσιν ὅτι παραβαίνει τὸν νόμον. Ἐγὼ ἐθεράπευσα, καὶ λέγω, προσένεγκε τὸ δῶρον τοῦ νόμου, ἵνα ἐκείνῃ τῇ ἡμέρᾳ ὁ λεπρὸς αὐτῶν κατηγορήσῃ λέγων· Ἐμοὶ προσέταξε δῶρον κατὰ νόμον προσενεγκεῖν. Καὶ ὥσπερ πολλὰ ἕνεκεν Ἰουδαίων ἐποίει ὁ Χριστὸς, ἀναπολογήτους αὐτοὺς εἰς πάντα ποιῶν, οὕτω καὶ ἐνταῦθα. Ἐλέησόν με, ὅτι ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ λόγον. Προσελθόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, λέγουσιν, Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Τί οὖν αὐτός; Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ἵνα μὴ λέγωσιν Ἰουδαῖοι, ὅτι ἀφῆκας ἡμᾶς, καὶ ἀπῆλθες ἔξω, καὶ διὰ τοῦτό σοι οὐκ ἐπιστεύσαμεν· ἰδοὺ, φησὶ, καὶ ἀπὸ ἐθνῶν ἔρχονται, καὶ οὐ δέχομαι αὐτούς. Ὑμᾶς δὲ καὶ φεύγοντας καλῶ, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ οὐκ ἔρχεσθε. Ταύτην ἀπορρίπτω, καὶ παραμένει. Λαὸς, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, φησίν· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. Καὶ ἀλλαχοῦ, Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσι, καὶ εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ἴδωμεν οὖν τί φησιν ὁ Χριστός. Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Οὐκ ἦν τὰ ῥήματα ἀποτρεπτικά; μονονουχὶ γὰρ λέγει, ἀπόστηθι, ὅτι οὐδὲν κοινὸν ἔχεις πρὸς ἐμέ. Οὐκ ἦλθον διὰ σὲ, ἀλλ' ἦλθον διὰ Ἰουδαίους. Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἀκούσασα εἶπε· Ναὶ, Κύριε, βοήθει μοι, καὶ προσεκύνει, λέγουσα. Ὁ δὲ οὐκ ἀπεκρίνατο αὐτῇ. Ἀλλὰ ὅρα ἀπόκρισιν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ὢ κηδεμονία ἰατροῦ· ἐν ἀπαγορεύσει ἐπιτείνεται αὐτήν. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων. Τίνων; τῶν Ἰουδαίων· καὶ δοῦναι τοῖς κυναρίοις, τουτέστιν, ὑμῖν. Ὄντως εἰς αἰσχύνην Ἰουδαίων ταῦτα εἴρηκεν ὁ Κύριος. Τέκνα γὰρ καλούμενοι, κύνες ἐγένοντο. Διὰ τοῦτο καὶ Παῦλος λέγει· Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν. Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή. Οἱ ἐθνικοὶ κύνες ἐκλήθησαν, καὶ ἐγένοντο τέκνα. Τέκνα μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. Τὸ ἐγκώμιον τοῦτο, Ἰουδαίων κατηγορία ἐστίν. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. Τί οὖν ἡ γυνή; Ναὶ, Κύριε. Ὢ βία γυναικὸς, ὢ φιλονεικία ψυχῆς. Ὁ ἰατρὸς λέγει, οὐχί· καὶ αὐτὴ λέγει, ναί. Ὁ δεσπότης λέγει, οὐκ· αὐτὴ λέγει, ναί. Οὐ κατηγοροῦσα, οὐδὲ ἀναισχυντοῦσα, ἀλλὰ σωτηρίαν ἐκδεχομένη. Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις· ναὶ, Κύριε· κύνα με καλεῖς, ἐγὼ δέ σε ὑμνῶ· ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Ὢ σοφία γυναικός· ἀπὸ τοῦ ὑποδείγματος εὗρε λόγον πρέποντα. Κύνα με καλεῖς; ὡς κύων τρέφομαι. Οὐ παραιτοῦμαι τὸ ὄνειδος· οὐ φεύγω τὴν κλῆσιν. Λάβω οὖν τὴν τροφὴν τοῦ κυνός. Καὶ λέγει πρᾶγμα ἐν συνηθείᾳ συμβαῖνον· σὺ τὰ σὰ ποίησον· κύνα με ἐκάλεσας, δός μοι ψιχίον. Συνήγορος ἐγένου μοι τῇ αἰτήσει· ἐν τῇ παραιτήσει τὴν συγκατάθεσιν ἐπιδείξον· ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τί οὖν ὁ παραιτούμενος, ὁ διώκων, ὁ ἐλαύνων, ὁ λέγων, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις· ὁ λέγων, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ; Ὦ γύναι, μεγάλη σου ἡ πίστις. Ἐπαινέτης ἀθρόον ἐγένου; ἀνακηρύττεις τὴν γυναῖκα, οὐκ ἤλαυνες, οὐκ ἐδίωκες; Θάρσει. Διὰ τοῦτο ἀνεβαλόμην. Εἰ γὰρ ἐξ ἀρχῆς αὐτὴν ἀπέλυσα, οὐκ ἂν ἔμαθες αὐτῆς τὴν πίστιν. Εἰ ἐκ προοιμίων ἔλαβεν, ἀνεχώρει ἂν ταχὺ, καὶ τὸν θησαυρὸν αὐτῆς οὐκ ἂν ἠπίστατό τις. Διὰ τοῦτο ἀνεβαλόμην τὴν δόσιν, ἵνα ἅπασι δείξω τὴν πίστιν. Ὦ γύναι. Θεὸς λέγει, ὦ γύναι. Ἀκουέτωσαν οἱ εὐχόμενοι μετὰ βαναυσίας. Ὅταν εἴπω τινὶ, παρακάλεσον τὸν Θεὸν, δεήθητι αὐτοῦ, ἱκέτευσον αὐτὸν, λέγει· Παρεκάλεσα ἅπαξ, δεύτερον, τρίτον, δέκατον, εἰκοστὸν, καὶ οὐδέποτε οὐκ ἔλαβον. Μὴ ἀποστῇς, ἀδελφὲ, ἕως ἂν λάβῃς· τέλος αἰτήσεως, ἡ δόσις τοῦ αἰτουμένου. Τότε ἀπόστηθι, ὅταν λάβῃς, μᾶλλον δὲ μηδὲ τότε, ἀλλὰ καὶ τότε παράμενε. Κἂν μὴ λάβῃς, αἴτει ἵνα λάβῃς· ὅταν δὲ λάβῃς, εὐχαρίστησον, ὅτι ἔλαβες. Εἰσέρχονται πολλοὶ ἐν τῇ ἐκκλησίᾳ, ἀπαριθμοῦσι μυρίους στίχους εὐχῆς, καὶ ἐξέρχονται, καὶ οὐκ οἴδασι τί εἶπον· τὰ χείλη κινεῖται, ἡ δὲ ἀκοὴ οὐκ ἀκούει. Σὺ οὐκ ἀκούεις τῆς εὐχῆς σου, καὶ τὸν Θεὸν θέλεις εἰσακοῦσαι τῆς εὐχῆς σου; Ἔκλινα, λέγεις, τὰ γόνατα, ἀλλ' ἡ διάνοιά σου ἔξω ἐπέτετο· τὸ σῶμά σου ἔνδον τῆς ἐκκλησίας, καὶ ἡ γνώμη σου ἔξω· τὸ στόμα ἔλεγε τὴν εὐχὴν, καὶ ἡ διάνοια ἠρίθμει τόκους, συμβόλαια, συναλλάγ-

A ſermonis fugaretur infirmitas. Et ideo dicit: *Vade, oſtende te ſacerdoti, & offer munus tuum pro emundatione tua: quod præcepit Moſes in teſtimonium illis.* Quibus? Judæis, ne dicant prævaricaſſe me legem. Nam & occultè divinitatem ſuam manifeſtabat illis, ut ex operibus crederent, quia filius ſit Dei: & in illa die veniens leproſus coarguat eos, cui præceptum fuerat ſecundùm legem offerre. Et ideo multa propter Judæos faciebat, ut inexcuſabiles illos redderet, ſicut & nunc reſponſionem ſuam ad preces mulieris temperat & Matt. 8, 4.
B retardat, *Miſerere,* inquit, *mihi, quia filia mea male à dæmonio vexatur. Qui non reſpondit ei verbum. Accedentes autem diſcipuli ejus, dicunt: Dimitte eam, quia clamat poſt nos. Reſpondit Dominus: Non ſum miſſus niſi ad oves quæ perierunt domus Iſrael.* Ne forte dicerent Judæi: Dimiſiſti nos, & ad extraneos perrexiſti, & ideo non credimus tibi. Ecce de gentibus veniunt, & non ſuſcipio, vos fugientes convoco, dicens: *Venite ad me omnes qui laboratis, & onerati eſtis,* & venire non vultis. Hanc repello, & recedere non vult. Ibid. 15, 22 Matt. 11, 28
C Verè impletur illud quod ſcriptum eſt: *Populus quem non cognovi, ſervivit mihi: in auditu auris obedivit mihi.* Et alibi: *Apparui his qui me non quærebant: inventus ſum his qui me non interrogabant:* ex quibus & Chananæa erat. *Dimitte,* inquiunt, *eam, quia clamat poſt nos.* Videamus ergo quid dicit Dominus: *Non ſum,* inquit, *miſſus, niſi ad oves quæ perierunt domus Iſrael.* Conſiderate clementiam Domini. Nonne hæc erant verba repellentis? Sic enim propemodum dicit: Recede, quia nihil tibi rei mecum. Non veni propter Pſal. 17, 44. Eſ. 65, 1.
D Judæos, oves perditas domus Iſraël. Quæ cùm audiſſet, acceſſit, & adoravit eum, dicens: *Domine, adjuva me.* Qui reſpondens ait: *Non eſt bonum ſumere panem filiorum, & mittere canibus.* Conſidera precantis inſtantiam, & Domini temperantiam. O clementia medici! In deſperationem adducebat eam, ut amplius rogaret, & augmentum fidei faceret. Non eſt bonum, inquit, ſumere panem filiorum. Quorum filiorum? Judæorum videlicet. Et mittere canibus, Quibus? Sine dubio vobis. Hæc ad opprobrium dicebantur
E Judæorum, qui filii vocati, canes effecti ſunt: dicente Paulo: *Videte canes, videte malos operarios, videte circumciſionem. Nos enim ſumus circumciſio,* Gentiles verò canes appellati, facti ſunt filii. *Filioli mei, quos iterum parturio, donec Chriſtus formetur in vobis.* Laus iſta, Judæorum eſt accuſatio. *Non eſt bonum ſumere panem filiorum, & mittere canibus.* At illa dixit: *Etiam Domine.* O violentia mulieris, ô intentio animi, ô profectus fidei! Medicus dicit, non: hæc dicit, etiam. Dominus dicit, non: iſta dicit, etiam. Non Philipp. 3, 2 Galat. 4, 19
A quaſi procax, aut impudens reputanda eſt: ſed laudanda magis, quia expectat ſalutem. Non eſt, inquit, bonum ſumere panem filiorum, & mittere canibus. Etiam Domine, tu canem me vocas, ego te Dominum voco: tu mihi injurias, ego te glorifico. Etiam Domine, nam & catelli edunt de micis, quæ cadunt de menſa dominorum ſuorum. O ſapientiam mulieris! ex ipſo exemplo conveniens verbum eduxit. Canem me vocas, ut canis alor. Non reſpuo opprobrium, tantùm accipiam vel eſcam canis. Dicit rem quæ in con-
B ſuetudine eſt. Tu fac, quod debetur cani: quia canem me vocas, da mihi micas. O Domine advocatus meæ factus expoſtulationis, abnegando promittis. *Etiam Domine, nam & catelli edunt de micis quæ cadunt de menſa dominorum ſuorum.* Quid ergo? Qui abnegabat, qui repellebat, qui non reſpondebat, qui dicebat: Non eſt bonum ſumere panem filiorum, & mittere canibus: qui dicebat, Non ſum miſſus, niſi ad oves quæ perierunt domus Iſraël: in laudes mulieris ſubitò erumpit, dicens: O mulier magna eſt fides tua. Pro-
C pterea, inquit, laudo conſtantiam ejus, laudo fidem, quia injuriata permanſit, & ratione extorſit. Si enim ab initio dimiſiſſem illam nec illa paulatim erudita fuiſſet, nec tu ſciſſes virtutem animi ejus, nec latentem fidei theſaurum: & ideo ſuſpendi donationem, ut tu agnoſceres fidem. O mulier. Deus dicit, ô mulier. Audiant hæc qui jactant, & orant, & faſtidiosè precantur. Quando dico alicui, roga Deum, obſecra eum, famulare illi, dicit: Rogavi ſemel, ſecun-
D do, & tertiò, & decies, & vigeſies, & nequaquam accepi, inquis. Ne recedas quouſque accipias: finis poſtulati, acceptio deprecantis eſt. Tunc ceſſa quando acceperis, imò magis nec tunc ceſſes, ſed tunc perſevera, licet non ceperis: cùm autem acceperis, age gratias pro eo quod accepiſti, ut perſeveret tibi quod acceperis. Multi introeuntes Eccleſiam in mille verſus extendunt orationem ſuam, quaſi apud Dominum multitudo ſermonum opus ſit, tanquam ignoranti quid poſtules, qui antequam cogites novit. Nam & illi quidem
E quid dicunt, neſciunt. Labia moventur ſolummodo, mens autem ſine fructu eſt, & aures ejus ſurdæ ſunt. Tu non audis orationem tuam, & dominum vis audire precem tuam? Flexi, inquis, genua. Curvaſti quidem genua intus, ſed mens tua foris vagabatur: Corpus tuum intra Eccleſiam, ſed ſenſus foris: os quidem loquebatur, ſed mens uſuras cogitabat, poſſeſſionem reditus ſupputabat, deſcriptiones domorum videbat, amicorum verba volvebat, negligentias intuebatur famulorum, paraſitorum urbanitates ridebat,

mulierum ſpeciem conſiderabat. Diabolus enim cùm ſit aſtutus, ſcit A
quoniam in tempore orationis grandia poſtulemus. & ſæpius impe-
tremus impedire feſtinat improvidas mentes. Nam aliquoties cùm
reſupini jacemus in lectulo, nihil tale cogitamus: ſed cùm venimus
ad orationem, cogitationum nos opprimunt nubes, ut nos avocent,
& ſine fructu efficiant. Hæc igitur ſciens, chariſſime, in orationibus
fieri, imitare Chananæam, vir mulierem alienigenam, infirmam, ab-
jectam, contemptibilem, quæ vigilanter, & cum ſumma ſapientia ro-
gabat dominum & ideo meruit impetrare. Sed forſitan dices, non B
habeo filiam, quæ dæmone plena ſit. ſed habes animam peccatis re-
fertam. Et quid dixit Chananæa? Miſerere mei Domine, quia filia
mea male à dæmonio vexatur. Dicito & tu, Miſerere mei, Domi-
ne, quia anima mea malè à dæmonio vexatur: grandis enim dæmon,
peccatum eſt: & ille quidem in propatulo habens, velociùs curari
poteſt: qui autem occultat peccata ſua hominibus, & pœnitere non
vult, ſed contemnens ſecurus delinquit, odibilis eſt. Et ille quidem
pro ipſa vexatione veniam habebit. iſte verò defenſione privabi- C
tur. Miſerere mei. Modicus quidem ſermo, ſed immenſum beni-
gnitatis obtinuit pelagus. Ubi enim miſericordia poſtulatur, ibi u-
niverſa comprehenſa ſunt bona: Quòd ſi foris Eccleſiam es, dicito.
Miſerere mei Domine, non ſolùm labia movens ſed mente ingemi-
ſcens: quia & tacentes audit Deus. Non quæritur locus, ſed devo-
Hier. 38. tio mentis. Hieremias in lacu cœni demerſus erat: fideliter orans,
Dan. 6. Deum promeruit. Daniel in lacum leonum miſſus, ad ſe Dei mi-
Ibid. 3. ſericordiam inclinavit. Tres pueri in camino ardenti orant, & lau- D
Luc. 23. dantes Deu placuerunt. Latro in cruce erat, & exauditus eſt, fideliter
Job. 2. poſtulando. Et nihil obfuit crux. ſed confeſſio fidei paradiſũ aperuit.
Job in ſterquilinio erat, & per patientiam ſuã Deum propitiabatur.
Jonas in ventre ceti, & Deum obſequentem habuit. Quòd ſi & in
1. Cor. 3, 16 balneis es, ora: & ſi in via, & ſi in lecto; ubicunque fueris, ora. *Tem-
plum Dei eſtis, & Spiritus ſanctus habitat in vobis.* Voluntas ſolum-
modo devotæ mentis opus. Quòd ſi in judicio aſſiſtis, ora. Et cum
iraſcitur judex, ora. Ubique Deus præſens eſt, non clauditur loco: E
Exod. 14, 15 invocanti dicit, aſſum. Nam cum eduxiſſet Moſes populum de Æ-
gypto, & per deſertum ad mare rubrum veniſſet, Ægyptii poſt ter-
gum inſequebantur populum. Antè mare, fremebant fluctus, Mo-
ſes in anguſtiis erat, tacebat quidem, ſed mente grandia cogitabat.
In medio tribulationis erat. inde Ægyptii inſequentes. hinc mare in-
tumeſcens. Ad Dominum igitur mente clamabat, & vox penitus
Ibidem. non audiebatur, ideo Dominus dicit ad eum: Quid clamas ad me?
cum ore quidem non clamaret, ſed corde. Et tu igitur, dilectiſſime, A
quando adſtiteris furenti judici, ac rabido tyranno, & aliis carnifi-
cibus, quibus mos eſt eadem agere, ora Deum tuũ, & orante te, fluctꝰ
mitigabuntur. Judex ad te: tu ad Deum confugito: judex prope, tu
Deum invoca, qui prope eſt. Nunquid homo eſt, & longè à te, ut
vadas ad locum aliquem? Deus non includitur loco, ſed ſemper in
proximo eſt: & qui in loco non clauditur. fide tenetur. Nam ſi ho-
minem rogare volueris, interrogas quid facit, & audiens dormit,
aut non vacat, aut certè non dignabitur reſpondere miniſter tibi. Ad B
Deum autem nihil horum opus eſt, ſed ubicunque fueris, aut invo-
caveris, audit te. Non occupatio detinet, non mediator, non mini-
ſter intercludit, ſed dic tu, Miſerere mei, Deus, & illico aderit adhuc
loquente te, dicet, aſſum. O ſermo manſuetudine & benignitate
plenus! non expectat conſummari orationem, ſed, ſtatim tribuit pe-
titionem, Miſerere mei. Hanc imitemur Chananæam quæſo. Mi-
ſerere mei Domine, filia mea malè à dæmonio vexatur. O mulier,
magna eſt fides tua, fiat tibi ſicut vis. Ubi ſunt hæretici? nunquid di- C
xit, rogabo patrem meum; obſecrabo genitorem meum? Nunquid
oratione eguit? non utique: quia author ſalutis eſt, & univerſalis
creator, & verbum Deus, ideo dixit: O mulier, magna eſt fides tua.
Quamvis & pro diſpenſatione carnis oraverit, & quia magna eſt fi-
des, copioſa effuſa eſt gratia. Ubi autem oratio neceſſaria eſt, ibi
infirmum eſt vas. O mulier, magna eſt fides tua. Non vidiſti mor-
tuum ſuſcitatum, nec leproſum mundatum, nec Prophetas audiſti,
nec legem meditata es, neque mare in diviſionibus ſcindi vidiſti: D
nullum aliud editum à me miraculum contemplata es, inſuper &
deſpecta, & contempta à me es, & non receſſiſti, ſed perſeveraſti pe-
tendo, jam convenientem à me recipe comendationem ac laudem.
O mulier, magna eſt fides tua. Mortua eſt mulier, & præconium ejus
viget. Ubicumque ieris, audis Chriſtum dicentem: O mulier, ma-
gna eſt fides tua. Ingredere in Eccleſiam Perſarum, audies Chriſtum
dicentem, ô mulier magna eſt fides tua. In Gottis, in India, in Mau-
ritania, quantamcunque ſol reſpicit terram, clamat Chriſtus, & non E
tacet verbum: O mulier, magna eſt fides tua, fiat tibi ſicut vis.
Non dixit, ſanetur filia tua: ſed fiat ſicut vis. Tu, inquit,
eam cura, eſto medicus, tibi committo medicamentum, ut
imponas ei; fiat tibi ſicut vis: Voluntas tua curet eam. Cha-
nanæa voluntate curavit, & filius Dei, ſicut dicunt hic à
ſemetipſo non curat? fiat tibi ſicut vis, neque juſſit mulier,
neque imperavit dæmoni, ſed ſola mulieris voluntas curavit filiam.

ματα, χρυσία, κτήματα, φίλων συνουσίας. ὁ διάβολος
πονηρὸς ὤν, καὶ εἰδὼς ὅτι ἐν καιρῷ εὐχῆς μεγάλα αἰτούμεθα, τότε
ἐπέρχεται. πολλάκις κείμεθα ὕπτιοι ἐν κλίνῃ, καὶ οὐδὲν λογι-
ζόμεθα· ἤλθομεν εὔξασθαι, καὶ μυρίοι λογισμοὶ, ἵνα ἐκβάλ-
λῃ ἡμᾶς κενούς. Ταῦτα τοίνυν εἰδὼς ἐν ταῖς εὐχαῖς, ἀγαπητὲ,
γίνεσθαι, τὴν Χαναναίαν μίμησαι, ὁ ἀνὴρ τὴν γυναῖκα τὴν ἀλλόφυ-
λον, τὴν ἀσθενῆ, τὴν ἀπερριμμένην καὶ εὐκαταφρόνητον. ἀλλ' οὐκ
ἔχεις θυγατέρα δαιμονιζομένην; ἀλλ' ἔχεις ψυχὴν ἁμαρτά-
νουσαν. τί εἶπεν ἡ Χαναναία; ἐλέησόν με, ἡ θυγάτηρ μου κα-
κῶς δαιμονίζεται. εἰπὲ καὶ σὺ, ἐλέησόν με, ἡ ψυχή μου κακῶς
δαιμονίζεται· μέγας γὰρ δαίμων ἡ ἁμαρτία. ὁ δαιμονῶν ἐλεεῖται,
ὁ ἁμαρτάνων μισεῖται. ἐκεῖνος συγγνώμην ἔχει, οὗτος ἀπο-
λογίας ἐστέρηται· ἐλέησόν με· βραχὺ τὸ ῥῆμα, καὶ πέλαγος εὕ-
ρε φιλανθρωπίας· ὅπου γὰρ ἔλεος, πάντα τὰ ἀγαθά· κἂν ἔξω
ἧς, κράζε καὶ λέγε, ἐλέησόν με, μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ
διανοίᾳ βοῶν. καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός. οὐ ζητεῖται τό-
πος, ἀλλ' ἀρχὴ τρόπου. ὁ Ἱερεμίας ἐν βορβόρῳ ἦν, καὶ τὸν
Θεὸν ἐπεσπάσατο· ὁ Δανιὴλ ἐν λάκκῳ λεόντων, καὶ τὸν Θεὸν ἐξευ-
μενίσατο· οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ ἦσαν, καὶ Θεὸν ὑμνοῦντες
ἐδυσώπησαν. ὁ λῃστὴς ἐσταυρώθη, καὶ οὐκ ἐκώλυσεν ὁ σταυρὸς, ἀλλὰ
παράδεισον ἤνοιξεν. ὁ Ἰὼβ ἐν κοπρίᾳ ἦν, καὶ τὸν Θεὸν ἵλεων
κατεσκεύασεν· ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, καὶ τὸν Θεὸν
ὑπήκοον εἶχε. κἂν ἐν βαλανείῳ ἧς, εὔχου, κἂν ἐν ὁδῷ, κἂν
ἐπὶ κλίνης· ὅπου ἐὰν ἧς, εὔχου· ναὸς εἶ τοῦ Θεοῦ, μὴ ζήτει τό-
πον· γνώμης χρεία μόνον. κἂν δικαστῇ παραστῇς, εὔχου· ὅταν
ὀργίζηται ὁ δικαστὴς, εὔχου. θάλαττα ἦν ἔμπροσθεν, ὄπισθεν
Αἰγύπτιοι, μέσος ὁ Μωϋσῆς. πολλὴ ἐν τῇ εὐχῇ στενοχωρία,
ἀλλὰ μέγα τὸ πλάτος τῆς εὐχῆς ἦν. ὄπισθεν οἱ Αἰγύπτιοι ἐ-
δίωκον, ἔμπροσθεν ἡ θάλασσα, μέση ἡ εὐχή. καὶ οὐδὲν ἐλά-
λει ὁ Μωϋσῆς· καὶ λέγει αὐτῷ ὁ Θεός· τί βοᾷς πρός με; τὸ
μὲν στόμα οὐ λαλεῖ, ἡ δὲ διάνοια βοᾷ. καὶ σὺ τοίνυν, ἀγαπητὲ,
ὅταν παραστῇς δικαστῇ μαινομένῳ, τυράννῳ, τὰ μέγιστα ἀπει-
λοῦντι, καὶ ἄλλοις δημίοις τὰ αὐτὰ ποιοῦσιν, εὖξαι σὺ τῷ Θεῷ, καὶ εὐχο-
μένου σου, τὰ κύματα καταστέλλεται. ὁ δικαστὴς ἐπὶ σέ; σὺ ἐπὶ τὸν
Θεὸν κατάφευγε. ὁ ἄρχων πλησίον σου; σὺ τὸν δεσπότην κάλεσον.
μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπέλθῃς εἰς τόπον; Θεὸς ἀεὶ ἐγγύς ἐστιν.
ἐὰν θέλῃς παρακαλέσαι ἄνθρωπον, ἐρωτᾷς τί ποιεῖ, καθεύδει,
ἀσχολεῖται, διακονῶν οὐκ ἀποκρίνεταί σοι· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τού-
των· ὅπου ἐὰν ἀπέλθῃς καὶ καλέσῃς, ἀκούει. οὐκ ἀσχολία, οὐ με-
σίτης, οὐ διάκονος διατειχίζει. εἰπὲ, ἐλέησόν με, καὶ παρευθὺς
Θεὸς παραγίνεται. ἔτι γάρ, φησι, λαλοῦντός σου, ἐρῶ, ἰδοὺ ἐγὼ πάρει-
μι. ὢ ῥῆμα ἡμερότητος γέμον. οὐδὲ ἀναμένει τελέσαι τὴν εὐχήν.
οὔπω τελεῖ τὴν εὐχὴν, καὶ λαμβάνει τὴν δόσιν. ἐλέησόν με. ταύτην
μιμησώμεθα τὴν Χαναναίαν, παρακαλῶ, ἐλέησόν με, ἡ θυγάτηρ
μου κακῶς δαιμονίζεται. ὁ δὲ Κύριος λέγει πρὸς αὐτήν· ὦ γύναι
μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς θέλεις. ποῦ ὁ αἱρετικός; μὴ εἶ-
πε, παρακαλέσω μου τὸν πατέρα; μὴ εἶπεν, ἱκετεύσω τὸν γεννήσαν-
τά με; μὴ εὐχῆς χρεία ἐνταῦθα; οὐδαμῶς. διὰ τί; ἐπειδὴ μεγά-
λη ἦν ἡ πίστις· μέγα ἦν τὸ σκεῦος, μεγάλη καὶ ἡ χάρις ἐξεχύθη.
ὅπου δεῖ εὐχῆς, ἀσθενὲς τὸ σκεῦος. ὦ γύναι, μεγάλη σου ἡ πίστις.
οὐ νεκρὸν εἶδες ἐγειρόμενον, οὐ λεπρὸν καθαριζόμενον, οὐ προφητῶν
ἤκουσας, οὐ νόμον ἐμελέτησας, οὐ θάλατταν εἶδες σχιζομένην, οὐχ ἕ-
τερόν τι σημεῖον ἑώρακας παρ' ἐμοῦ γινόμενον· ὑβρίσθης δὲ μᾶλλον
παρ' ἐμοῦ, καὶ ἐξηπορήθης. ἀπηγόρευσά σου τὸ πάθος, καὶ οὐκ
ἀνεχώρησας, ἀλλὰ παρέμεινας. λοιπὸν ἀπόλαβε καὶ σὺ παρ' ἐ-
μοῦ ἀξίαν καὶ πρέπουσαν εὐφημίαν. ὦ γύναι, μεγάλη σου ἡ πίστις.
ἀπέθανεν ἡ γυνὴ, καὶ τὸ ἐγκώμιον αὐτῆς μένει διαδήματος ὂν
λαμπρότερον. ὅπου ἐὰν ἀπέλθῃς, ἀκούεις τοῦ Χριστοῦ λέγοντος, ὦ
γύναι, μεγάλη σου ἡ πίστις. εἰσελθὼν εἰς Περσῶν τὴν ἐκκλησίαν, καὶ
ἀκούσῃς τοῦ Χριστοῦ λέγοντος, ὦ γύναι, μεγάλη σου ἡ πίστις· εἰς τὴν
Γότθων, εἰς τὴν βαρβάρων, εἰς τὴν Ἰνδῶν, εἰς τὴν Μαύρων, ὅσην ἥλιος
ἐφορᾷ γῆν· ἕνα λόγον ὁ Χριστὸς ἐφθέγξατο, καὶ οὐ σιωπᾷ ὁ λόγος,
ἀλλὰ μεγάλῃ τῇ φωνῇ ἀνακηρύττει τὴν πίστιν αὐτῆς, λέγων, ὦ γύναι,
μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. οὐκ εἶπε, θεραπευθή-
τω τὸ θυγάτριόν σου· ἀλλ' ὡς θέλεις, σὺ αὐτὴν θεράπευσον. σὺ γε-
νοῦ ἰατρός. σοὶ ἐγχειρίζω τὸ φάρμακον ὑπαλεῖψαι, ἐπίθες, γενηθήτω σοι
ὡς θέλεις. τὸ θέλημά σου θεραπευσάτω αὐτήν. ἡ Χαναναία θελήματι
ἐθεράπευσε, καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἀφ' ἑαυτοῦ οὐ θεραπεύει; γενηθήτω σοι ὡς
θέλεις· οὐδὲ ἐκέλευσεν ἡ γυνὴ, οὐδὲ ἐπέταξε τῷ δαιμονίῳ, ἀλλ' ἠθέ-
λησε μόνον. καὶ τὸ θέλημα τῆς γυναικὸς ἐθεράπευσε, καὶ δαίμονας ἐξέ-
βαλε

Digitized by Google

βάλε. ποῦ εἰσιν οἱ τολμῶντες λέγειν, ὅτι δι' εὐχῆς ὁ υἱὸς ἔλυσε; γενηθήτω σοι ὡς θέλεις. βλέπε καὶ τῆς λέξεως τὴν συγγένειαν. τὸν πατέρα τὸν ἑαυτοῦ μιμεῖται. ὅτε γὰρ ἐποίει τὸν οὐρανὸν ὁ Θεὸς, εἶπε, γενηθήτω ὁ οὐρανὸς, καὶ ἐγένετο ὁ οὐρανός. γενηθήτω ἥλιος, καὶ ἐγένετο ἥλιος· γενηθήτω γῆ, καὶ ἐγένετο γῆ. ἐπίταγμα τὴν οὐσίαν ἤγαγεν. οὕτω καὶ αὐτὸς, γενηθήτω σοι, ὡς θέλεις. ἡ συγγένεια τῆς λέξεως τὴν κοινωνίαν τῆς φύσεως ἔδειξε. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς. πότε, ἀπὸ τῆς ὥρας ἐκείνης· οὐκ ἐξ ὅτε ἦλθεν ἡ μήτηρ αὐτῆς ἐν τῷ οἴκῳ, ἀλλὰ πρὶν ἐλθεῖν· B ἐξῆλθεν εὑρεῖν δαιμονιῶσαν, καὶ εὗρεν ὑγιαίνουσαν, τῷ θελήματι αὐτῆς θεραπευθεῖσαν. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸν πρόδρομον.

Οἱ ἀνθηρότατοι λειμῶνες ἄνθεσι χρυσοκόμοις πεποικιλμένοι, δένδρεσι καλλιπνόοις κοσμούμενοι, ὄρνεσι καλλιφώνοις κελαδούμενοι, καὶ τὴν ἀκοὴν τῶν ἀνθρώπων θέλγουσι, καὶ τὴν ὅρασιν θάλπουσι. C τοῦ γὰρ ἡλίου τὰς χρυσᾶς αὐγὰς κυκλοτερῶς περιλάμποντος, ἀνακλώμεναι αἱ αἴγλαι πυραυγεῖς ἀντιστράπτουσι λαμπηδόνας. ἐκεῖ τερετίζουσι λάλων ὀρνίθων, συριγγώδεσι κλαγγαῖς λιγυρὸν ἀποπέμπουσι μέλος. ἐκεῖ ἀνέμων εὐήχων ζέφυροι ἐν τῇ κυκλότητι τῶν ὀρνίων ἐριζούσαις, τῶν κρημνῶν κοιλάδας σαλεύοντες, ἐν εἰκόνι κιθάρας ὁμοφώνως ᾄδουσιν· ὡς καὶ τοὺς ἐν ταῖς καλύβαις οἰκοῦντας ποιμένας τε καὶ βουνόμους, ἔναυλα ἔχοντας τὰ τῶν μουσικῶν ὀρνίθων λυ- D ρικὰ μελῳδήματα, δόναξι πολυφθόγγοις ἀντιμιμεῖσθαι κελαδοῦντας, κατὰ πάντα τερπνὸν τόπον καὶ πάσης βοτάνης τὰς ἀγέλας πρᾳέως φέρειν. ἀλλ' ἐκεῖ μὲν πηγὴ ἀθλοφόρα νάματα βρύει· ἐνταῦθα δὲ μελίσακτον σοφίας Θεοῦ δίδαγμα λάμπει. ἐκεῖ μουσικῶν ὀρνίθων λιγυρίσματα· ἐνταῦθα ψαλμῶν ἁγίων μελῳδήματα. ἐκεῖ τρυγὼν ἡ φιλέρημος δενδροβατοῦσα, γοεροῖς μέλεσι τὸ καλλίχροον ἔαρ σημαίνει· ἐνταῦθα ὁ ἐν ἀκρίσι καὶ μέλιτι τραφεὶς Ἰωάννης, τοῖς E ἐρημικοῖς κηρύγμασι, μᾶλλον δὲ πνευματικοῖς, τὰς ἐκκλησίας κινήσας, τὸ οὐράνιον ἔαρ ἐπιφανὲν τῷ κόσμῳ σαλπίζει. ἐν γὰρ ταῖς ἡμέραις ἐκείναις, φησὶ, παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ, καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. ἐν ταῖς ἡμέραις ἐκείναις. ἐν ταῖς Ἰησοῦ τοῦ Θεοῦ ἀποδείξεσιν, ἐν ταῖς τοῦ οὐρανίου βασιλέως ἀποδημίαις, ἐν ταῖς τοῦ ἀϊδίου φωτὸς ἀναλάμψεσιν, ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς κηρύσσων ἐν τῇ A ἐρήμῳ. οὐχὶ ἐν τῇ οἰκουμένῃ· ἀλλ' ἔρημος ἦν ἡ τῶν ἀνθρώπων κατάστασις, μήπω οἰκουμένη ὑπὸ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. τί τὸ ἐκήρυσσε; μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. ὦ μετάνοια ἐν αὐτοῖς τοῖς δάκρυσι τὴν ζωὴν πορίζουσα, καὶ ἐν τῷ νυμφικῷ πέπλῳ τὸ νυμφικὸν φέγγος στολιζομένη. ὦ μετάνοια, διαβόλου κατήγορε, ἐπιστραφέντων συνήγορε. εἶχε δὲ ὁ Ἰωάννης τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. B περιβλεψώμεθα, ἀγαπητοὶ, τὸ ἔνδυμα Ἰωάννου. ἴσως τὸ ἐκείνου ἔνδυμα αἴνιγμα ἡμῖν σωτηρίας γέγονεν, ἐκεῖνο ἔχει τὴν εἰκόνα τῶν ἐξ ἐθνῶν ἐπιστρεφόντων λαῶν. εἶχε, φησὶ, τὸ ἔνδυμα ἀπὸ τριχῶν καμήλου. καμήλῳ πολλάκις παρεικάζει ἡ γραφὴ τὸν διάβολον, διὰ τὸ πολύογκον καὶ πολύστροφον καὶ βαρυμήνιον. ὁ τὴν σκοπιὰν θεωρήσας ἐν τῷ Ἡσαΐᾳ λέγει· εἶδον ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. ἀναβάτην ὄνου λέγει τὸν Χριστὸν, ἐπειδήπερ ὄνῳ καθεσθεὶς εἰσῆλθεν εἰς C Ἱεροσόλυμα· ἀναβάτην καμήλου, τὸν ἐπ' ἐσχάτου τῶν ἡμερῶν κατ' ἐνέργειαν τοῦ διαβόλου ἐπιφανοῦντα τῷ κόσμῳ ἀντίχριστον. εἶχε δὲ τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου ὁ Ἰωάννης. ἤδη γὰρ τῷ κηρύγματι τῆς εὐσεβείας τοὺς δίκην τριχῶν * καλύπτοντας ἐθνικοὺς πρὸς ἑαυτὸν καταστρέψας, κἀκεῖνον γυμνώσας, καὶ τὴν ἐκκλησίαν πυκνώσας, τῇ ἑνότητι τῆς πίστεως τὸ σῶμα τῆς ἐκκλησίας ἐξυφάνας, ὁ αὐτῷ περιβόλαιον σωτηρίας ἐξειργάσατο. εἶχε δὲ ζώνην δερματί- D νην περὶ τὴν ὀσφὺν αὐτοῦ. ὀσφύος μνημονεύει καὶ ζώνης δερματίνης ἡ γραφὴ, ἵνα γεννητικὸν πάθος * τῆς ἁγνείας διὰ τῆς ἔξωθεν ἐκ νεκροῦ δέρματος περικειμένης ζώνης νενεκρωμένον εἶναι σημαίνῃ. ἐκείνη γὰρ τῆς ἔνδοθεν κρυπτομένης παρθενίας ἦν ἀψευδὴς κατήγορος. ἤσθιε, φησὶν, ἀκρίδας, καὶ μέλι ἄγριον. τοὺς ἀποπηδῶντας Ἰουδαίους τοῦ νόμου καὶ τῶν ἐντολῶν λέγει, ὥς φησιν ἡ γραφή. ἐξήλατο ὡς ἀττέλαβος ὁ σύμμικτός σου, ἢ ὡς ἀκρὶς ἐπὶ φραγμοῦ ἐν ἡμέρᾳ πάγους. E ἀνέτειλεν ὁ ἥλιος, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω ὅτι τὸν τόπον αὐτοῦ. μέλι δὲ ἄγριον, διὰ τὸ τοὺς Ἰουδαίους τὴν γλυκύτητα τοῦ νόμου τῇ παραβάσει τῶν ἐντολῶν ἐξαγριῶσαι. τότε παραγίνεται πρὸς αὐτὸν ὁ Ἰησοῦς, φησὶν, ἐπὶ τὸν Ἰορδάνην, ἐπὶ τὸ βαπτισθῆναι ὑπ' αὐτοῦ. ὁ δὲ διεκώλυεν αὐτὸν, λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· ἄφες ἄρτι, δεῖ σε μάρτυρα γενέσθαι τῆς εἰς ἐμὲ πεμψομένης φωνῆς ἄρτι.

A dæmonemque fugavit. Ubi ſunt qui audent Chriſtum dicere per orationem virtutes feciſſe? Vide quid dicat: fiat tibi ſicut vis. Conſidera ſermonis germanitatem, patrem ſuum imitatur. Quando enim faciebat Deus cœlum, dixit: Fiat cœlum, & factum eſt cœlum: fiat terra: & facta eſt terra: fiat ſol, fiant aſtra cœli: & facta ſunt univerſa. Juſſio produxit ſubſtantiam: cognatio ſermonis communionem oſtendit naturæ. Et ſanata eſt, inquit, filia ejus ex illa hora. Ex qua hora? Non ex qua venit mater ejus domum, ſed ex qua Domini B ſermo proceſſit. Et cùm rediiſſet domum; invenit eam ſanæ mentis, & voluntate, imò fide ejus curatam. Pro his autem omnibus gratias agamus Deo, per Chriſtum Dominum noſtrum, cum quo eſt Deo Patri, una cum ſancto Spiritu honor gloria & poteſtas, per immortalia ſecula ſæculorum. Amen. — Gen. 1.

In Præcurſorem Domini, Sermo.

PETRO PANTINO interprete.

Floridiſſima prata floribus auricomis variegata, arboribus ſuave ſpirantibus exornata, avibus dulce cantantibus perſtrepentia, hominum aures demulcent, viſumque oblectant. Sole porrò C aureo ſuo ſplendore in orbem circumquaque refulgente reflexi ejuſdem radii ignitum contra fulgorem effulminant. Ibi blæſæ & loquaces aviculæ, velut ad fiſtulam efformatis minuritionibus, argutum carmen emittunt, ibi ventorum lene murmurantium auræ, D inter circulos avium mutuo cantu contendentium, concavitates montium abruptorum concutientes, ad inſtar citharæ concorditer recinunt. Quo fit ut paſtores quoque ac bubulci in tuguriis ſuis habitantes, hujuſmodi vocalium avicularum tinnulo melicoque cantu fruentes, ipſi quoque multiſonis calamis ad illarum imitationem modulantes, per amœniorem quemque locum & herbam pecus ſuum placidè agant. Verùm ibi quidem fons latices excellentiſſimos ebullit: hîc melliflua divinæ ſapientiæ doctrina elucet. Ibi E muſicarum avium arguti cantus hîc ſacrorum pſalmorum dulcis modulatio. Ibi turtur ſolitudinis amans, arbori inambulans, querulis vocibus ver amœnum ſignificat: hîc Joannes melle & locuſtis nutritus, præconiis ſolitariis, ſeu potiùs ſpiritualibus, hominum ad ſe cœtum incitans, cœleſte illud ver jam mundo apparens, velut tuba denuntiat. In diebus autem illis, inquit, [Evangeliſta] venit Joannes Baptiſta prædicans in deſerto, & dicens: Pœnitentiam agite: appropinquavit enim regnum cœlorum. In diebus illis. Sub hiſce A de Jeſu [vero] Deo tam manifeſtis indiciis, in hac cœleſtis Regis ad nos peregrinatione, in his ſempiterni luminis ſplendoribus. *In diebus illis venit Joannes Baptiſta prædicans in deſerto.* In deſerto, inquam; non terra habitata: eo quòd deſolatum adhuc eſſet humanum genus, ac necdum à Patre & Filio & Spiritu ſancto inhabitaretur. Quid porro prædicabat? Pœnitentiam agite: appropinquavit enim regnum cœlorũ. O pœnitentia, quæ inter ipſas lacrymas nobis vitã ſuppeditas; & cum nuptiali peplo nuptialem etiam claritatem B induceris! O pœnitentia, diaboli accuſatrix; converſorum patrona! *Joannes autem habebat veſtimentum de pilis cameli, & zonam pelliceam circa lumbos ſuos.* Circumſpiciamus, dilecti, veſtimentum Joannis, fortaſſis illud ipſum veſtimentum ænigma nobis ſalutis fuerit, gerit enim illud ſignum atque imaginem populorum ex gentibus ſe convertentium. Habebat, inquit, veſtimentum de pilis cameli. Camelo frequenter Scriptura diabolum adſimilat, propter plurimum tumorem, calliditatem, & furorem. Qui è ſpecula apud C Eſaiam proſpexerat, dicit: *Videbam aſcenſorem aſini, & aſcenſorem cameli.* Aſcenſorem enim aſini dicit Chriſtum; propterea quòd aſino inſidens Hieroſolyma fuit ingreſſus: aſcenſorem autem cameli illum, qui in ultimo dierum, efficiente diabolo, in mundum venturus eſt Antichriſtus. Habebat autem Joannes veſtimentum ſuum de pilis cameli. Quum enim jam pietatis præconio, Ethnicos, pilorum inſtar [diabolum] cooperientes, ad ſe convertiſſet, illoque denudato & Eccleſia condenſata, ejuſdem Eccleſiæ corpus per D fidei unitatem velut contexuiſſet, ſalutis [ſimul] ipſe ſibi veſtimentum confecerat. Habebat autem zonam pelliceam circa lumbos ſuos. Lumborum & zonæ pelliceæ Scriptura meminit: ut per zonam ex mortuis pellibus confectam, foris cingentem, omnem in ipſo libidinis affectum caſtitatis ſtudio edomitum mortuumq; fuiſſe oſtendat. Hoc enim virginitatis, quæ intus occulebatur, minimè mendax argumentum. *Veſcebatur autem*, inquit Evangeliſta, *locuſtis & melle ſilveſtri.* Hîc Judæos à lege & præceptis reſilientes de- E notat, ut alibi Scriptura: *Exiliebat ut bruchus tibi commixtus; ut locuſta in ſepe, in die glaciei, exortus eſt ſol, & abſiliebat; & non cognovit ampliùs locum ſuum.* Mel autem ſylveſtre Judæi; propterea quòd legis dulcedinem transgreſſione præceptorum exacerbaſſent. Tunc, inquit, venit ad ipſum Jeſus in Jordanem, ut baptizaretur ab eo. ipſe autem prohibebat eum, dicens: Ego à te debeo baptizari, & tu venis ad me? Reſpondens autem Jeſus dixit ei: Sine modò: te oportet eſſe teſtem ejus, quæ de me mox emittetur, vocis.

Margin notes: Matt. 3, 1. — Eſa. 21, 9. — ἴσ. λείψας αὐτόν. — ἴσ. [illegible] — Nah. 3, 17.

Sic enim decet impleri omnem juſtitiam. Me oportet docere, quòd
Joan. 3, 5. *niſi quis renatus fuerit ex aqua & ſpiritu, non poſſit intrare in regnum
cælorum.* Par eſt igitur, me primùm facere, & tunc docere: ne Judæi occaſionem hoc mihi improperandi habeant, Alios docens, te ipſum non doces. Sine modò: Oportet enim dictum patientis Job
Job 14, 4. ſecund. Septuag. adſtrui: *Nemo mundus à ſorde*, ne ſi unius diei ipſius ſit vita. Oportet me detergere antiquum corporis peccatum: oportet me ſpiritu renovare animam, & aqua corpus. Sine modò: Oportet me aperire aquæ & Spiritus vulvam, ut fiam *primogenitus multis fratribus.*
Rom. 8, 29
Ab illa enim vulva, qui aberraverant, Judæos Propheta accuſans
Pſ. 57, 4. convincit, dum ait: *Alienati ſunt peccatores à vulva.* Tunc dimiſit eum. Quum autem Jeſus deſcendiſſet in Jordanem, dilecti, videre erat magnum miraculum, fontem in flumine lotum, & flumen in
Hier. 2, 13. flumine baptizatum. Fons enim Chriſtus, ut ipſe ait: *Me dereli-*
Cant. 4, 12. *querunt fontem aquæ viventis.* Et ſponſa, quæ eſt Eccleſia: *Fons ſi-*
Pſ. 64, 10. *gnatus, emittens.* Ipſe quoque flumen, ut ait Propheta: *Flumen Dei repletum eſt aquis.* Venit in aquam, & ſanctificatæ ſunt; & ſanavit eas. Si quis veſtrûm eſt, dilecti, nondum baptiſmo initiatus, veniat & videat, quomodo Pater de cœlo clamet: Hic eſt Filius meus dilectus, in quo mihi bene complacui: ipſum audite. Jordanes clamat; Spiritus aëra emundat: Filium vocat Pater: cœlum purgat Filius: terram exornat Spiritus, aëremque illuſtrat. Nunc impletur, quòd olim à Propheta dictum fuerat: Dies diei eructat verbum. Dies Pater, dies Filius. Pater Filio eructat verbum, ſicut Paulus ait: Sumite gladium Spiritus, quod eſt verbum Dei, quo quidem verbo omnes nos ſtabiliet in Chriſto Jeſu Domino noſtro, cui gloria & imperium in ſæcula ſæculorum. Amen.

οὕτω γὰρ πρέπον ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. δεῖ με διδάξαι, ὅτι ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. δεῖ με οὖν πρῶτον ποιῆσαι, καὶ τότε διδάξαι, ἵνα μὴ ἔχωσι πρόφασιν οἱ Ἰουδαῖοι· ὁ διδάσκων ἑτέρους, σεαυτὸν οὐ διδάσκεις, ἄφες ἄρτι. δεῖ γὰρ τὸ ῥῆμα τοῦ καρτεροψύχου Ἰὼβ στῆναι, τὸ, οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ᾽ ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ᾖ. δεῖ με ἀποσμῆξαι τὴν παλαιὰν τοῦ σώματος ἁμαρτίαν· δεῖ με τῷ πνεύματι καινίσαι τὴν ψυχὴν, καὶ ὕδατι τὸ σῶμα. ἄφες ἄρτι. δεῖ με ἀνοῖξαι τὴν τοῦ ὕδατος καὶ πνεύματος μήτραν, ἵνα γένωμαι πρωτότοκος πολλοῖς ἀδελφοῖς. ἐκ ταύτης γὰρ τῆς μήτρας τοὺς ἀποσφαλέντας Ἰουδαίους ἐλέγχει ὁ προφήτης κατηγορῶν. ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. τότε ἀφίησιν αὐτόν. καταβάντος δὲ τοῦ Ἰησοῦ ἐν τῷ Ἰορδάνῃ, ἦν ἰδεῖν, ἀγαπητοὶ, θαῦμα μέγα, πηγὴν ἐν τῷ ποταμῷ λουομένην, καὶ ποταμὸν ἐν τῷ ποταμῷ βαπτιζόμενον. πηγὴ γὰρ ὁ Χριστὸς, καθὼς λέγει αὐτός. ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. καὶ ἡ νύμφη ἡ ἐκκλησία πρὸς αὐτὸν πηγὴ ἐσφραγισμένη ἡ ἀποστέλλουσα. ὁ αὐτὸς ποταμὸς, καθώς φησιν ὁ προφήτης· ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. κατῆλθεν ἐπὶ τὰ ὕδατα, καὶ ἡγιάσθησαν, καὶ ὑγίασεν αὐτά. εἴ τις ἐστὶν ὑμῶν ἀμύητος, ἀγαπητοὶ, τοῦ βαπτίσματος, ἐλθέτω καὶ θεωρησάτω πῶς ὁ πατὴρ οὐρανόθεν κράζει· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε. Ἰορδάνης κράζει· τὸ πνεῦμα τὸν ἀέρα καθαρίζει· τὸν υἱὸν καλεῖ ὁ πατήρ· τὸν οὐρανὸν καθαρίζει ὁ υἱός. τὴν γῆν καλλωπίζει τὸ πνεῦμα, τὸν ἀέρα λαμπρύνει. νῦν πληροῦται τὸ πάλαι ὑπὸ τοῦ προφήτου εἰρημένον· ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα· ἡμέρα ὁ πατὴρ, ἡμέρα ὁ υἱός. ὁ πατὴρ τῷ υἱῷ ἐρεύγεται ῥῆμα, καθὼς ὁ Παῦλος λέγει· λάβετε τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ· ᾧ ῥήματι τοὺς πάντας ἡμᾶς συστήσει ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Oratio Encomiaſtica, in Principes Apoſtolorum, Petrum & Paulum, eorundemque glorioſiſſimum martyrium.

GERARDO VOSSIO interprete.

Hæ duæ orationes ſequentes primum editæ ſunt Romæ. Græce & Latinè, anno 1580. induſtria & interpretatione Gerardi. Voſſii.

CErtare inter ſe cœlum terramque conſpicio, de ſolemni Apoſtolorum memoria celebranda. Nam & cœleſtium agmina collaudant honeſtis vocibus eorum laboris doctrinam: quippe quorum opera diſpenſationis ipſis myſterium innotuit: quemadmodum ſua voce perſonat Paulus: *Ut innoteſcat nunc principatibus & poteſtatibus in cœleſtibus per Eccleſiam, multiformis ſapientia Dei.*
Epheſ. 3, 10.
Et in orbe terrarum, homines dignam, Apoſtolorum principes exornando, laudationem proferre totis nervis ac viribus conantur, ut qui per eos ſalutem adepti ſint. Quid enim Petro majus, quid par Paulo? qui opere atque ſermone, creatam omnem naturam cœleſtem ſimul ac terreſtrem ſuperarunt: ac homines corporis luto complicati, Angelis ipſis meliores extiterunt. Quid igitur de utriusque naturæ doctoribus dicemus? Neque enim dignam Orationem invenio, qua laudes eas compenſem. quibus hi genus noſtrum tantopere honeſtarunt: qui terram omnem & mare colluſtrarunt, ſcelerum radices evulſerunt, pietatiſque ſemina infidelium cordibus injecerunt. Petrus Apoſtolorum dux: Paulus, ordinis ſupernarum virtutum cognitor atque inſpector: Petrus, inſanorum Judæorum frænum: Paulus, gentium cohortatio. Cerne mihi ſublimem Domini ſapientiam, qua quidem Petrum è piſcatoribus, Paulum verò è pellionibus elegit: idque ad utilitatem fecit: nam Judæorum gloria deprimebatur. Quapropter huic tanquam piſcatori rectè Dominus
Matt. 17, 27. fidit, cùm diceret: *Vade ad mare, & mitte hamum: & eum piſcem qui prius aſcenderit, tolle: & aperto ore ejus, invenies ſtaterem.* Sceleratorum Judæorum mentem, mare vocans. Hamus artificioſum doctrinæ ſermonem, piſcis legem ſignificat. Os denique aperire, interpretari. Paulò verò tanquam ſutori, gentes commiſit univerſas: ut tam eos qui à lege, quàm qui à gratia nudi erant, pelle coccinea indueret, Domini aqua & ſanguine intincta. Sic ad eum clamat
Act. 22, 21 Dominus: *Vade, quoniam ego in nationes longè mittam te.* O par beatum, cujus fidei totius mundi animæ ſunt concreditæ! Petrus orthodoxæ fidei principium, magnus atque illuſtris Eccleſiæ Sacerdos, neceſſarius Chriſtianorum conſiliarius, ſupernarum poteſtatum theſaurus, honoratus à Domino Apoſtolus: Paulus magnus præco veritatis, univerſi terrarum orbis gloria, in cœlis homo, & in terra Angelus, decus Eccleſiæ, in ſublimibus volens aquila, lyra Spiritus, hirundo atque cicada: organum dominicum: Vigilans Chriſti miniſter.

Χρυσοστόμου πανηγυρ. ἀμφιβαλλ.

Οὐρανοῦ καὶ γῆς ἅμιλλαν ὁρῶ διὰ τὴν παροῦσαν πανήγυριν τῆς μνήμης τῶν ἀποστόλων· τῶν μὲν ἐπουρανίων δυνάμεων εὐφημουσῶν ἐντίμοις φωναῖς τοῦ πόνου αὐτῶν τὸ διδασκάλιον, ὡς δι᾽ αὐτῶν γνωρισθὲν αὐταῖς τὸ τῆς οἰκονομίας μυστήριον· καθὼς ὁ Παῦλος βοᾷ· ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ· τῶν δὲ ἐπὶ γῆς ἀνθρώπων ἐκβιαζομένων ἀξίαν εὐφημίαν διὰ τῆς τιμῆς πρὸς τοὺς κορυφαίους δεῖξαι, ὡς δι᾽ αὐτῶν εἰς σωτηρίαν ἐπανελθόντων. τί γὰρ Πέτρου μεῖζον; τί δὲ Παύλου ἴσον; οἵτινες τῷ ἔργῳ, καὶ τῷ λόγῳ πᾶσαν τὴν ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς κτίσιν ἐνίκησαν. οἱ τῷ πηλῷ τοῦ σώματος συμπεπλεγμένοι, καὶ ἀμείνους ἀγγέλων εὑρεθέντες. τί οὖν ἐροῦμεν πρὸς τοὺς διδασκάλους τῆς ἄνω καὶ τῆς κάτω κτίσεως; οὐχ εὑρίσκω γὰρ λόγον ἐπάξιον ἐγκωμιάσαι τοὺς ἐγκωμιάσαντας τὸ γένος ἡμῶν· τοὺς τὴν ἅπασαν γῆν καὶ θάλασσαν περιελθόντας, καὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἀνασπάσαντας, καὶ τὰ σπέρματα τῆς εὐσεβείας καταβαλόντας ἐν ταῖς καρδίαις τῶν ἀπειθούντων ἀνθρώπων. Πέτρος ὁ καθηγητὴς τῶν ἀποστόλων· Παῦλος ὁ γνωριστὴς τῆς οἰκουμένης, καὶ τῶν ἄνω δυνάμεων συμμέτοχος· Πέτρος τῶν ἀγνωμόνων Ἰουδαίων ὁ χαλινός· Παῦλος τῶν ἐθνῶν ἡ παράκλησις. καὶ βλέπε μοι τοῦ δεσπότου τὴν ὑπερέχουσαν σοφίαν. τὸν γὰρ Πέτρον ἀπὸ ἁλιέων ἐξελέξατο, τὸν δὲ Παῦλον ἀπὸ σκηνορράφων· καὶ τοῦτο δὲ πρὸς ὠφέλειαν πεποίηκεν. ἐξουθενίζετο γὰρ ἡ δόξα τῶν Ἰουδαίων. διὰ τοῦτο τούτῳ τῷ ἁλιεῖ ἐπίστευσεν ὁ Κύριος, φήσας πρὸς αὐτόν. Ἄπελθε εἰς τὴν θάλασσαν, καὶ βάλλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, ἄνοιξον τὸ στόμα αὐτοῦ, καὶ εὑρήσεις στατῆρα. θάλασσαν λέγων, τὴν ἄστατον τῶν ἀνόμων Ἰουδαίων γνώμην, ἄγκιστρον, τὸν ἔντεχνον λόγον τῆς διδασκαλίας· ἰχθὺς τὸν νόμον σημαίνει. τὸ δὲ ἀνοῖξαι τὸ στόμα αὐτοῦ, τὸ ἑρμηνεῦσαι αὐτὸν λέγει· τὸ δὲ εὑρεῖν ἐν αὐτῷ στατῆρα, τὸ πνευματικῶς αὐτὸν ἀνακρίνειν σημαίνει. τῷ δὲ Παύλῳ ὡς σκηνορράφῳ τὰ ἔθνη ἐνεχείρισεν, ἵνα ἐνδύσῃ διὰ νόμου καὶ τῆς χάριτος γυμνοὺς, τὸ κόκκινον ἔνδυμα, τὸ ἐξ ὕδατος καὶ αἵματος δεσποτικοῦ βαφέν. οὕτως αὐτῷ ὁ δεσπότης βοῶν, ἄπελθε, φησὶν, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. ὦ μακαρία δυὰς ἡ πιστευθεῖσα ὅλου τοῦ κόσμου τὰς ψυχάς. Πέτρος ἡ ἀρχὴ τῆς ὀρθοδοξίας, ὁ μέγας τῆς ἐκκλησίας ἱεροφάντης, ὁ ἀναγκαῖος σύμβουλος τῶν Χριστιανῶν, τὸ κειμήλιον τῶν ἄνω δυνάμεων, ὁ τετιμημένος ὑπὸ τοῦ δεσπότου ἀπόστολος. Παῦλος ὁ μέγας τῆς ἀληθείας κῆρυξ, τὸ καύχημα τῆς οἰκουμένης, ὁ ἐν οὐρανοῖς ἄνθρωπος, καὶ ἐπὶ γῆς ἄγγελος, ἡ δόξα τῆς ἐκκλησίας, ὁ ἐν ὑψηλοῖς πετόμενος ἀετὸς, ἡ λύρα τοῦ πνεύματος, ἡ χελιδὼν καὶ τέττιξ, τὸ ὄργανον τὸ δεσποτικὸν, ὁ γρήγορος τοῦ Χριστοῦ ὑπηρέ-

της

zed by Google

...της. Παῦλος καὶ Πέτρος, οἱ ζευκτὰ βόες τῆς ἐκκλησίας, οἱ καλὴν πραγματείαν τῇ οἰκουμένῃ ἐμπορευσάμενοι, οἱ τὸν σταυρὸν ἀντὶ ζυγοῦ ἄραντες, ἀντὶ δὲ ἐπιβάτου τὸν Σωτῆρα, ἀντὶ δὲ ζεύγλων τὰς γραφὰς διαθήκας, ἀντὶ δὲ κέντρου τὴν χάριν τοῦ ἁγίου πνεύματος. Παῦλος καὶ Πέτρος, οἱ τὴν ἐκκλησίαν καθ' ἡμέραν φαιδρύνοντες, τὰ ταμεῖα τὰ δεσποτικά, τὰ πανδοχεῖα τῆς οἰκουμένης, τὰ δοχεῖα τοῦ πνεύματος, τῆς ἁγίας τριάδος τὰ ἑρμηνευτήρια, τῆς οἰκονομίας τοῦ θείου λόγου οἱ ὑφηγηταί. Πέτρος, ὁ ἐμὸς πνευματικὸς ἔρως· Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ἡ ἐμὴ βακτηρία. Πέτρος, ὁ ναὸς τοῦ Θεοῦ· Παῦλος, τὸ στόμα τοῦ Χριστοῦ, ἡ λύρα τοῦ πνεύματος, ὁ τρίπηχυς ἄνθρωπος, καὶ τῶν οὐρανῶν ἁπτόμενος· ὁ ἐν τόπῳ περιγραφόμενος, καὶ τὸν κόσμον ἅπαντα τῷ δεσπότῃ περιγράφων· ὁ ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκὼς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· ὁ ὀξύδρομος δρομεύς· ὁ εἰς οὐρανὸν ἀνιπτάμενος ἀετός, ὁ θείας χάριτος πεπληρωμένος, ὁ μαρτυρούμενος ὑπὸ τοῦ Κυρίου βαστάζειν τὸ ὄνομα αὐτοῦ ἐνώπιον πάσης τῆς οἰκουμένης, ὁ τρίτον οὐρανὸν διελθών, καὶ εἰς τὸν παράδεισον εἰσελθών, καὶ μέχρι τῆς δεσποτικῆς καὶ ἀπερινοήτου καθέδρας ἀναβάς, καὶ ἀκούσας τῶν ἀπορρήτων μυστηρίων ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Τί δὲ καὶ περὶ Πέτρου ἐροῦμεν; τὸ γλυκὺ τῆς ἐκκλησίας θέαμα, ἡ λαμπηδὼν τῆς οἰκουμένης, ἡ περιαγνὴς περιστερά, ὁ καθηγητὴς τῶν ἀποστόλων, ὁ θερμὸς ἀπόστολος, ὁ ζέων τῷ πνεύματι, ὁ ἄγγελος καὶ ἄνθρωπος, ὁ χάριτος μεμεστωμένος, ἡ στερεὰ τῆς πίστεως πέτρα, τὸ γηραλέον τῆς ἐκκλησίας φρόνημα, ὁ μακάριος καὶ υἱὸς περιστερᾶς ἀκούσας διὰ τὴν ἁγνείαν, ἐκ τοῦ δεσποτικοῦ στόματος, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν ἐξ αὐτοῦ τοῦ Κυρίου εἰληφώς. Τῶν ἀγγέλων τὰ τάγματα ὑμεῖς ἐσυλήσατε. καὶ τί πολλὰ λέγω; αὐτὸς ὁ Κύριος ἐγκωμιάζει ὑμᾶς, λέγων· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, οἱ βασιλέων εὐπορώτεροι, οἱ πλουσίων δυνατώτεροι, οἱ στρατιωτῶν ἰσχυρότεροι, οἱ σοφῶν καὶ φιλοσόφων σοφώτεροι, οἱ ῥητόρων εὐγλωττότεροι, οἱ μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. ὑμεῖς ἐστε τῶν μαρτύρων ὑπομονή, τῶν πατριαρχῶν τὸ ὀρθόδοξον, τῶν μοναζόντων ἡ ἄσκησις, τῶν παρθένων οἱ στεφανωταί, τῶν ἐν ὁμοζυγίαις οἱ εἰρηνοποιοί, τῶν ἁρπακτῶν πλουσίων οἱ χαλινοί, τῶν ἀκολάστων οἱ σωφρονισταί, ἡ σκέπη τῶν βασιλέων, τὰ τείχη τῶν Χριστιανῶν, τῶν βαρβάρων οἱ ἀντίπαλοι, οἱ φιμοῦντες αἱρετικοὺς ἐπιθέντες, οἱ νικῶντες τὰ ἄλογα πάθη τῶν σωμάτων, οἱ τοὺς λεγεῶνας τῶν δαιμόνων ἀπελάσαντες, οἱ τοὺς βωμοὺς τῶν Ἑλλήνων καθελόντες, οἱ τὰ ἄνω καὶ τὰ κάτω κληρονομήσαντες, τῶν μὲν ἄνω τὰς κλεῖς εἰληφότες, τῶν δὲ κάτω λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας ἐξουσίαν ἔχοντες. ὢ τοῦ ἰδιώτου τὸ θαῦμα, ὢ τοῦ ἀγραμμάτου ἡ σοφία. Πέτρος, ὁ ἐν τῇ σκιᾷ αὐτοῦ τοὺς παραλυτικοὺς σφίγγων, καὶ θάνατον λύων· Παῦλος, ὁ ἐν τοῖς ἱματίοις αὐτοῦ νοσήματα ἐκδιώκων, καὶ δαίμονας φυγαδεύων· οἱ εἰς μέσον τὴν μητέρα τοῦ Κυρίου ἔχοντες, καὶ κρείττους πνεύματος δικαίου ὑπάρχοντες. Παῦλος ἡ ἄπαυστος χελιδὼν τῆς ἐκκλησίας· Πέτρος ὁ διηνεκῶς τῇ οἰκουμένῃ, καθάπερ ἀηδών, λυρίζων ἀπαύστως· οἱ στῦλοι τῆς ἐκκλησίας, οἱ μεγάλοι τῆς οἰκουμένης φωστῆρες, οἱ κρείττους ἀλλήλων, καὶ ἀμείνους πάσης ὁμοῦ τῆς κτίσεως. χαίροις Πέτρε, τῆς πίστεως ἡ πέτρα· χαίροις Παῦλε, τῆς ἐκκλησίας τὸ καύχημα· χαίροις Πέτρε, ἡ κρηπὶς τῆς ὀρθοδοξίας· χαίροις Παῦλε, ἡ μέριμνα τῶν ἐκκλησιῶν· χαίροις Πέτρε, τὸ ἐγκαλλώπισμα τῆς οἰκουμένης· χαίροις Παῦλε, ἡ εἴσοδος τοῦ παραδείσου· χαίροις Πέτρε, ὁ χειραγωγὸς τῆς βασιλείας τῶν οὐρανῶν· χαίροις Παῦλε, εὔδιος λιμὴν τῶν χειμαζομένων· χαίροις Πέτρε, ὁ πολλῶν ἐπαίνων ἀξιωθεὶς ὑπὸ τοῦ Κυρίου· χαίροις Παῦλε, ὁ τῶν πολλῶν χαρισμάτων κυβερνήτης ὑπάρχων· χαίροις Πέτρε, ὁ θερμὸς καὶ ζέων τῷ πνεύματι τῷ ἁγίῳ· χαίροις Παῦλε, ὁ εὔτονος δρομεύς· οἱ τὴν ὑφήλιον ἅπασαν τῷ κηρύγματι τῷ ἁγίῳ φωτίσαντες, οἱ μυρία δεινὰ διὰ τὴν ἐκκλησίαν ὑπομείναντες, ἐν φυλακαῖς κατακλειόμενοι, ὑπὸ Ἰουδαίων βδελυττόμενοι, ὑπὸ βαρβάρων συρόμενοι, ὑπὸ βασιλέων αἰκιζόμενοι, οἱ ἀναπνεῖν [εὐχερῶς] μὴ συγχωρούμενοι, καὶ παύσασθαι μὴ ἀνεχόμενοι τῆς διδασκαλίας· οἱ μέρος τοῦ σώματος κινῆσαι μὴ δυνάμενοι, διὰ τὸ βάρος τῶν δεσμῶν, καὶ πᾶσαν τὴν οἰκουμένην δεδεσμένην τῇ ἁμαρτίᾳ δι' ἐπιστολῶν λύοντες. τῶν δαιμόνων τὰς φάλαγγας ὑμεῖς κατετροπώσατε· δι' ὑμῶν ἡ τοῦ ἁγίου πνεύματος χάρις εἰς τὴν οἰκουμένην ἐφήπλωται· τὴν ἀχλὺν τῆς πλάνης ὑμεῖς συνεστείλατε, τῶν δαιμόνων τὰ θράση ὑμεῖς κατεβάλετε, τοὺς βωμοὺς τῶν Ἑλλήνων ὑμεῖς κατελύσατε· πᾶσαν ψευδώνυμον λατρείαν ὑμεῖς σποδὸν ἐποιήσατε· ἐκ τοῦ σίτου τὰ ζιζάνια ὑμεῖς σκυβαλίσαντες ἐρρίψατε. καὶ καθαρὸν τῆς ἐκκλησίας τὸ γέννημα ἡ καθημερινὴ ὑμῶν διδασκαλία ἔδειξε. ποίας ἂν εὐχαριστίας ἀνταποδῶμεν ὑμῖν τοῖς τοσαῦτα κοπιακόσι δι' ἡμᾶς; μιμνήσκομαί σε, Πέτρε, καὶ ἐκπλήττομαι· ἀναμιμνήσκομαί σε, Παῦλε, καὶ ἐξιστάμενος δάκρυσι συνέχομαι. Τί γὰρ εἴπω, ἢ τί λαλήσω, ἀναθεωρῶν ὑμῶν τὰς θλίψεις, οὐκ οἶδα. πόσας φυλακὰς ἡγιάσατε; πόσα δεσμωτήρια ἐφωτίσατε; πόσας εἱρκτὰς διδασκαλίας ὑμῶν ἐνεπλήσατε; πόσας ἁλύσεις ἐλαμπρύνατε; πόσας βασάνους ὑπεμείνατε; πόσους τόπους τοῖς βήμασιν ὑμῶν ἡγιάσατε; πόσας λοιδορίας παρεποιήσασθε; πῶς τὸν Χριστὸν

A Petrus & Paulus jugati boves Eccleſiæ: Qui orbi terrarum inſignem operam negotiantes navarunt: qui pro jugo, Crucem ſuſtulerunt. At pro ſeſſore, Salvatorem; pro jugi nexu, Scripturarum utrumque teſtamentum: pro ſtimulo, Spiritus ſancti gratiam. Petrus & Paulus Eccleſiæ luminaria, quibus ipſa quotidie illuminatur: Penuaria dominica, publica totius mundi hoſpitia, Spiritus receptacula, apta ſanctæ Trinitatis interpretandæ inſtrumenta, divini verbi œconomiæ Doctores. Petrus ſpiritualis meus amor: B Paulus *vas electionis*, meus baculus (Act. Apoſt. 9, 15): Petrus templum Dei: Paulus os Chriſti, lyra Spiritus, qui tricubitalis eſt, & cœlum attingit, qui loco circumſcribitur, & univerſum mundum Domino circumſcribit, qui ab Hieruſalem per circuitum uſque ad Illyricum replevit Evangelium Chriſti (Rom. 15, 19): curſor velociſſimus, in cœlum aquila volitans, divina repletus gratia, quem teſtatur Dominus ſuum nomen per univerſum terrarum orbem ferre; Qui tertium cœlum pervaſit, & Paradiſum ingreſſus eſt, & uſque ad dominicam in- C comprehenſibilemque cathedram aſcendit, & audivit arcana myſteria (2. Cor. 12, 4), quæ non licet homini loqui. Sed de Petro quid dicemus? qui dulce ſpectaculum eſt Eccleſiæ, ſplendor totius mundi, columba caſtiſſima, Apoſtolorum doctor, Apoſtolus ardens, Spiritu fervens, Angelus & homo, gratia plenus, firma fidei petra, ſenilis Eccleſiæ ſapientia. qui ob puritatem beatus & filius columbæ, ex Dominico ore audivit. Qui claves Regni cœlorum ab ipſo Domino accepit (Matt. 16, 19). Angelorum ordines vos expoliaſtis. Et quid multis? Ipſe D vos Dominus laudibus ornat, inquiens: *Vos eſtis lux mundi.* Qui Regibus eſtis copioſiores, divitibus potentiores, militibus robuſtiores (Matt. 5. 14.), ſapientibus & Philoſophis ſapientiores, oratoribus eloquentiores, *nihil habentes, & omnia poſsidentes* (2. Cor. 6, 10). Vos eſtis Martyrum patientia; Patriarcharum fides, Solitariorum exercitatio, Virginum coronatores, pacificatores conjugum, rapacium divitum fræna, intemperantium impudicorumque caſtigatores ac moderatores, Regum protectio, Chriſtianorum muri, Barbarorum adverſarii: Vos E hæreticorum audaciam refrænatis, animi perturbationes comprimitis, dæmonum legiones exegiſtis, Græcorum aras evertiſtis: Inferiorum ſupernarumque rerum hæredes conſtituti, illarum ſiquidem claves, iſtarum ligandi atque ſolvendi crimina, poteſtatem accepiſtis. O idiotæ miraculum! O illiterati ſapientiam! Petrus ſua ipſius umbra paralyticos ſolidavit, & mortem deſtruxit: Paulus veſtimentis ſuis morbos propulit, & dæmonas fugavit. Qui in medio habetis matrem Domini, & juſto ſpiritu eſtis potentiores: A Paulus quidem indefeſſa Eccleſiæ hirundo: Petrus verò orbi terrarum continuus, quemadmodum luſcinia aſſiduè canens. Eccleſiæ columnæ, magna mundi lumina, vobis inter vos præſtantiores, & quavis ſimul creata natura excellentiores. Gaudeas Petre fidei petra: gaudeas Paule Eccleſiæ gloriatio: gaudeas Petre rectæ fidei fundamentum: gaudeas Paule ſollicitudo Eccleſiarum: gaudeas Petre gloria & decus orbis terrarum: gaudeas Paule introitus Paradiſi: gaudeas Petre introductor in Regnum cœlorum: gaudeas B Paule qui tranquillus portus es tempeſtate jactatis. Gaudeas Petre qui multis laudibus a Domino cumulatus es: gaudeas Paule qui multorum es chariſmatum rector: gaudeas Petre, qui ſancto Spiritu ferves: gaudeas Paule ſtrenuus curſor: Qui ſancta prædicatione veſtra totum orbem terrarum illuminaſtis, qui infinita propter ipſam ſuſtinuiſtis mala. carceribus incluſi, à Judæis abominationi habiti. à Barbaris indignè tractati, à Regibus ignominioſis verberibus affecti: quibus nec commodè reſpirandi, nec à docendo con- C ſiſtendi facultas eſt conceſſa: nec tamen docere ceſſaſtis; qui ne membrum quidem corporis prægraviorum rerum pondere movere potuiſtis: totumque terrarum orbem ſceleribus devinctum, veſtris ſalutaribus Epiſtolis ſolviſtis: Vos dæmonum phalangas præcipites egiſtis. Vos ubique terrarum Spiritus ſancti munera diffudiſtis, Vos erroris caliginem telluri compreſſiſtis. Vos dæmonum audaciam depreſſiſtis; Altaria Gentilium vos diruiſtis; vos falſum omnem cultum in cinerem redegiſtis! vos ſejunctas à D frumento zizaniorum ſordes ejeciſtis: & Eccleſiæ fruges quotidiana veſtra doctrina puras reddidit? Quanam igitur gratiarum actione, tot tantosq; labores compenſabimus, quos noſtri cauſa pertuliſtis: Memini tui Petre, & obſtupeſco. Recordor tui Paule, & quaſi extra me poſitus, non niſi lachrymis perfundor. Quid enim dicam, aut quid loquar, dum veſtras contemplor anguſtias, non intelligo. Quot carceres ſanctificaſtis? Quot catenas illuſtraſtis? Quot tormenta ſuſtinuiſtis? quot loca E veſtris greſſibus ſanctificaſtis? quot convitiis immeritò laceſſiti

ἐσ·

eſtis: Ut Chriſtum geſſiſtis? ut Eccleſias prædicatione exhilaraſtis? A Benedictum inſtrumentum lingua veſtra: membra veſtra ſanguine perfuſa ſunt propter Eccleſiam. Vos in omnibus ſemper Chriſtum imitati eſtis. Pſal. 18, 5. Rom. 10, 18. *In omnem terram exivit ſonus veſter, & in fines Orbis terræ veſtra verba.* Indivulſam ſuam ſponſam Eccleſiam à vobis deſponſatam, conſervabit Chriſtus: Nemo ante vos, neque poſt vos, talis apparuit. Quis enim magiſtri officio fungens, dicere quidquam citra veſtram traditionem auſus fuerit? Cunctos Doctores vos perfeciſtis, cunctos Theologos reddidiſtis, cunctos B tenebris oppreſſos illuminaſtis. Vicit noſtri cordis duritiem veſtra tolerantia. Rom. 9, 3. 1. Cor. 9, 22. Anathema ipſi eſſe optantes, ut mundum lucrifaceretis. Quid igitur vobis retribuemus, pro omnibus bonis quæ retribuiſtis nobis: Hodie certaminis veſtri celebratur memoria, hodie feſtivitas teſtimonii veſtri, quod Chriſto dixiſtis, hodie læti nos omnes ſanctas veſtras reliquias veneramur. Gaudeas Petre, qui Martyrium S. Petri. ligni crucis fruitus es, & ad magiſtri ſimilitudinem, recta quidem figura; ſicut Dominus noſter, crucifigi noluiſti, ſed magis C inverſo capite, veluti ex terra ad cœlum iter parans. O clavos illos beatos, qui membra illa ſanctiſſima pertranſierunt, membra mihi optabilia, ipſaque cœleſti gloria longè meliora: qui cum fiducia ſpiritum in manus Domini tradidiſti, qui continuè Domino, ipſique deſponſatæ Eccleſiæ ſumma cum animi alacritate inſerviſti, Domini amans, rectèque Domino ſerviens, Spiritu fervens, tu omnium Domini fidus Apoſtolus. Beatus autem Paulus, cui caput enſe præciſum eſt, vir cujus laudes verbis exprimi D nequeunt. At cujuſmodi enſis illius guttur, dominicum, inquam, inſtrumentum cœlo ſuſpiciendum & terræ tremendum pervaſit? Miraculũ inſigne Converſio Barbarorum. Qualis locus tuum Paule ſanguinem excepit, qui lacteus apparuit in ejus veſte qui te percuſſit? qui quidem ſanguis barbaricum illius animum reddens melle dulciorem, ut ipſe unà cum ſociis ad fidem traduceretur, ita affecit? Sit mihi inſtar coronæ gladius ille, qui triginta & quinque viros, ſumma ad ſerviendum alacritate, Domino mancipavit. Perfecto denique octo & E Ætas D. Pauli. ſexaginta annorum vitæ curſu, quem pro pietate inſtitutum tenuerat, quievit. Vobis beatas veſtras voces, viciſſim reddimus. Phil. 4, 4. *Gaudete in Domino ſemper*: abſque intermiſſione pro nobis orate: repromiſſiones veſtras explete. Succlamas enim beate Petre, ſic dicens: Studebo poſt meum adventum memoriam veſtri facere. 2. Petr. Eſt ergo beatus Petrus Apoſtolus Chriſti à Bethſaida Galilææ: ubi Dominus noſter Jeſus Chriſtus plurima miracula operatus eſt: unde & Philippus prodiit: Beatus verò Paulus ex urbe Ciliciæ A Tarſo. Obdormiere autem in magna urbe Roma veteri, vigeſimo nono die menſis Junii, Patria principum Apoſtolorum. ſub iniquiſſimo Imperatore Nerone è medio ſublati, & ad omnium Dominum atque magiſtrum plurimis rebus præclariſſimè geſtis profecti. Omne itaque ſtudium, chariſſimi, adhibeamus, Dies martyrii Petri & Pauli. precantes omnium Regem Chriſtum Deum noſtrum, ut nos pro ſuo in humanum genus amore dignos reddat, quò poſſimus illorum traditionibus atque doctrinis feliciter inſiſtere, ut conſequamur miſericordiam coram Tribunali ipſius: Per quem, & cum quo, Deo & Patri honor, cum ſanctiſſimo & optimo, & vivifico Spiritu, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

ἐβαστάσατε; πῶς τὰς ἐκκλησίας ἐφαιδρύνατε τῷ κηρύγματι; εὐλογημένον τὸ ὄργανον τῆς γλώττης ὑμῶν· αἵματι συμπεφυρμένα διὰ τὴν ἐκκλησίαν τὰ μέλη ὑμῶν τυγχάνει· ἀνελλειπῶς ἐν πᾶσι τὸν Χριστὸν ὑμεῖς ἐμιμήσασθε. εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος ὑμῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα ὑμῶν. ἀδιάρρηκτον τὴν ὑφ' ὑμῶν νυμφευθεῖσαν ἐκκλησίαν διαφυλάξει ὁ Χριστός. οὐδεὶς πρὸ ὑμῶν, οὐδὲ μεθ' ὑμᾶς ἐφάνη τοιοῦτος. τίς γὰρ τὸ διδασκαλικὸν ἐπέχων ἀξίωμα, ἀπετόλμησε λέγειν τι ἄνευ τῆς ὑμῶν παραδόσεως; πάντας διδασκάλους ὑμεῖς ἀπετελέσατε· πάντας θεολόγους ἀπειργάσασθε· πάντας ἐσκοτισμένους ἐφωτίσατε· ἐνίκησε τὰς ἡμετέρας πηρώσεις ἡ ὑμετέρα ὑπομονή· οἱ ἀνάθεμα εἶναι αὐτοὶ εὐχόμενοι, ἵνα τὸν κόσμον κερδήσητε. τί οὖν ἀνταποδώσομεν ὑμῖν περὶ πάντων, ὧν ἀνταπεδώκατε ἡμῖν ἀγαθῶν; σήμερον ὑμῶν τῆς ἀθλήσεως τὰ μνημόσυνα· σήμερον ἡ πανήγυρις τῆς [περὶ Χριστοῦ] μαρτυρίας ὑμῶν· σήμερον πάντες ἡμεῖς ἀγαλλόμενοι τιμῶμεν τὰ ἅγια ὑμῶν λείψανα. χαίροις Πέτρε, ὁ τοῦ ξύλου τοῦ σταυροῦ ἀπολαύσας, καὶ καθ' ὁμοιότητα τοῦ διδασκάλου σταυρωθῆναι μὴ θελήσας ἐν ὀρθίῳ τῷ σχήματι, καθὼς ὁ δεσπότης ἡμῶν, ἀλλὰ μᾶλλον ἐπὶ κεφαλήν, ὡς εἰς οὐρανὸν τὴν πορείαν ἐπὶ γῆς ποιούμενος. ὦ εὐλογημένοι ἧλοι, οἵτινες τὰ ἅγια ἐκεῖνα μέλη διῆλθον, τὰ ἐμοὶ ποθεινά, καὶ κρείττω οὐρανίου δόξης μοι ὄντα. ὁ μετὰ παρρησίας ταῖς χερσὶ τοῦ δεσπότου τὴν ψυχὴν παραθείς, ὁ δουλεύσας τῷ Κυρίῳ ἀπερισπάστως, καὶ τῇ νυμφευθείσῃ αὐτῷ ἐκκλησίᾳ μετὰ πάσης προθυμίας. ὁ φιλοδέσποτος καὶ εὐδούλευτος τοῦ Κυρίου, ὁ ζέων τῷ πνεύματι, ὁ πιστὸς τοῦ δεσπότου τῶν ὅλων ἀπόστολος. Παῦλος δὲ ὁ τρισμακάριος τὴν κεφαλὴν ξίφει ἀποτμηθείς, ὁ ἀνεκδιήγητος ἄνθρωπος. ποῖον ξίφος διῆλθεν ἐκεῖνον τὸν λάρυγγα, τὸ δεσποτικὸν ὄργανον, τὸ ὑπ' οὐρανοῦ θαυμαζόμενον, καὶ ὑπὸ γῆς φριττόμενον; ποῖος τόπος τὸ σὸν ἐδέξατο αἷμα; [τὸ γαλακτοειδὲς ὀφθὲν ἐν τῷ χιτῶνι τοῦ σε ἀνασκολοπίσαντος; ὅπερ τὴν βάρβαρον αὐτοῦ ψυχὴν ὑπὲρ μέλι γλυκεῖαν, πιστὸν παρεσκεύασε γενέσθαι μετὰ τῶν συνεταίρων;] ἐμοὶ ξίφος ἐκεῖνο γένοιτο ἀντὶ στεφάνου, ὃ τριάκοντα πέντε ἐδούλωσε τῷ Κυρίῳ μετὰ πάσης προθυμίας· τελέσας δὲ τὸν ὑπὲρ τῆς εὐσεβείας δρόμον, ἀνεπαύσατο ὡς ἐτῶν ἑξήκοντα ὀκτώ. ἀντιφθεγγόμεθα ἡμῶν τῆς ἁμαρτίας τὰς μακαρίους ὑμῶν φωνάς. χαίρετε ἐν Κυρίῳ πάντοτε· ἀδιαλείπτως ὑπὲρ ἡμῶν προσεύχεσθε· τὰς ὑποσχέσεις ὑμῶν ἐκπληρώσατε· ἀνακράζεις γὰρ μακάριε Πέτρε, οὕτω φάσκων, ὅτι σπουδάσω μετὰ τὴν ἐμὴν ἄφιξιν τὴν ὑμετέραν μνήμην ποιεῖσθαι. ἔστιν οὖν ὁ μακάριος Πέτρος ὁ τοῦ Χριστοῦ ἀπόστολος ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, [ἔνθα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰς πλείστας θαυματουργίας εἰργάσατο, ἐξ ἧς καὶ ὁ Φίλιππος ὡρμᾶτο πόλεως.] ὁ δὲ μακάριος Παῦλος ἀπὸ Ταρσοῦ τῆς Κιλικίας. κεκοίμηνται δὲ ἀμφότεροι ἐν τῇ μεγαλοπόλει Ῥώμῃ τῇ ἀρχαίᾳ, μηνὶ Ἰουνίῳ, εἰκάδι ἐνάτῃ ἐπὶ Νέρωνος τοῦ ἀνομωτάτου βασιλέως ἀναιρεθέντες· καὶ πρὸς τὸν διδάσκαλον καὶ κύριον τῶν ἁπάντων μετὰ πλείστας πραγματείας ἀφικόμενοι. πᾶσαν οὖν σπουδὴν ἐπιδειξώμεθα, ἀγαπητοί, δεόμενοι τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἵνα ἡμᾶς ἀξιώσῃ τῇ αὐτοῦ φιλανθρωπίᾳ τῶν αὐτῶν παραδόσεσι καὶ διδασκαλίαις ἐμμένειν, ἵνα λάβωμεν ἔλεος ἔμπροσθεν τοῦ βήματος αὐτοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ πατρὶ ἡ δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Sermo in Sanctos duodecim Apoſtolos,
Eodem Interprete.

MErito etiam hodie in adventu Spiritus ſancti, ſagena hæc Luc. 5. piſcatorum impleta eſt, dum nos in eam piſces rationis compotes ultro inſilimus. Nam verbum verbi illiteratos erudiens, Act. 2, 4. & linguis igneis tardiloquos corroborans, artem eorum in divinius quoddam tranſtulit, cùm diceret: *Venite poſt me, & faciam vos piſcatores hominum.* Dixit, venite poſt me, & cuncta è veſtigio in melius fuere traducta. Duodecim erant electi Athletæ, & horum D Matt. 4, 19. Marc. 1, 17. nemo remanſit incoronatus. Una enim gratia cum omnibus ſimul certabat, & currebat, quæ uniuſcujuſque victoriam reddidit illuſtriorem: Unus infelix Judas ab hujuſmodi anchora ſe divulſit, oſculo lupus prodens ovem, triginta argenteis vendens Dominum: ſanguis autem venditi mercatus eſt mundum. Sed ô felicem illam & præclaram, Apoſtoli, veſtram & morum & animorum cum omni hominum genere conjunctionem, qua omnibus omnia facti eſtis gratiâ, non arundine, ſed ſermone hominum greges ſapienter expiſcati. E Vos enim rectæ fidei immobiles eſtis columnæ, Eccleſiæ petra, regni ſceptrum, & hujus maximè gregis vigiles præfecti, infirmitatis humanæ gratis medici, noſtræque verſus Deum pœnitentiæ, compatientes fidejuſſores. Tanquam enim incudes quædam animatæ, dum feri-

Εἰς τοὺς ἁγίους Δώδεκα ἀποστόλους.

ΕΙκότως καὶ σήμερον ἐπὶ φοιτήσει τοῦ ἁγίου πνεύματος ἡ τῶν ἁλιέων αὕτη πεπλήρωται σαγήνη, αὐτοκελεύστως ἐν αὐτῇ τῶν λογικῶν ἰχθύων ἡμῶν εἰσπηδώντων. ὁ γὰρ λόγος τοῦ λόγου τοὺς ἀγραμμάτους σοφίζων, καὶ γλώσσαις πυρίναις τοὺς βραδυγλώσσους στομώσας, τὴν τέχνην αὐτῶν μετέθηκεν ἐπὶ τὸ θειότερον, λέγων, δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. εἶπε, δεῦτε ὀπίσω μου, καὶ πάντα πρὸς τὸ κρεῖττον εὐθὺς μετεβλήθη. δώδεκα ἐπιλεχθέντες ἐτύγχανον ἀθληταί, καὶ τούτων οὐδαμῶς οὐδεὶς ἔμεινεν ἀστεφάνωτος. ἡ γὰρ μία χάρις τοῖς ἅπασι συνῆλθε καὶ συνέτρεχε, καὶ τὴν ἑκάστου νίκην δοκιμωτέραν ἐδείκνυε. μόνος ὁ τάλας Ἰούδας τῆς τοιαύτης ἀγκύρας ἑαυτὸν ἀπεσχοίνισε, φιλήματι τοῖς λύκοις ὑποδείξας τὸ πρόβατον, καὶ τριάκοντα ἀργυρίων πωλήσας τὸν Κύριον· οὗ τὸ αἷμα τὸν κόσμον ἠγόρασεν· ἀλλ' ὦ τῆς ὑμῶν, ἀπόστολοι, μακαρίας καὶ λαμπρᾶς ξυνωρίδος, ὅτι τὰ πάντα τοῖς πᾶσι γεγόνατε χάριτι, οὐ καλάμῳ, ἀλλὰ λόγῳ τὰς τῶν ἀνθρώπων ἀγέλας ἐμπείρως ζωγρήσαντες· ὑμεῖς γάρ ἐστε τῆς ὀρθοδοξίας ἀμετάθετοι στῦλοι, τῆς ἐκκλησίας πέτρα, τῆς βασιλείας σκῆπτρα, καὶ τοῦ ποιμνίου μάλιστα τούτου ἄγρυπνοι προστάται, τῆς νοσούσης ἀνθρωπότητος ἄμισθοι ἰατροί, καὶ τῆς ἡμῶν μετανοίας πρὸς Θεὸν ἀνάδοχοι συμπαθεῖς. ὡς γὰρ ἄκμονες τινὲς ἔμψυχοι τυγχάνοντες, ἐν τῷ

τυπτι

τὴν πίστιν ὑμῶν τοὺς τύπτοντας ἐχαλκεύσατε πρὸς ἐπίγνωσιν. Πέτρος ἐντεῦθεν μαθητεύει τὴν Ῥώμην. Παῦλος ἐκεῖθεν εὐαγγελίζεται κόσμον· Ἀνδρέας τῆς Ἑλλάδος σοφοὺς διορθοῦται· Σίμων διδάσκει τὸν Θεὸν τοὺς βαρβάρους· Θωμᾶς διὰ βαπτίσματος λευκαίνει τοὺς Αἰθίοπας· Ἰακώβου τὴν καθέδραν ἡ Ἰουδαία τιμᾷ, Μάρκου τὸν θρόνον Ἀλεξάνδρεια ἡ παρὰ Νεῖλον ἀσπάζεται· Λουκᾶς καὶ Ματθαῖος γράφουσι τὰ εὐαγγέλια· Ἰωάννης ἔτι θεολογῶν, μετὰ τέλος ὡς ζῶν, θεραπεύει τὴν Ἔφεσον· Βαρθολομαῖος παιδαγωγεῖ σωφρονεῖν τοὺς Λυκάονας· Φίλιππος θαυματουργῶν σώζει τὴν Ἱεράπολιν. Ἅπαντες ἁπανταχοῦ πάντας εὐεργετοῦντες οὐ παύονται· κόνιν ἀθάνατον ἐν τάφοις καταλελοίπασι, νῦν μὲν θεραπευταὶ, μετ' ὀλίγον δὲ δικασταὶ τοῦ κόσμου προκαθήμενοι. Τούτῳ προσπελάσας χωλὸς, ἀρτίπους ἀνέλυσεν· ἐκείνῳ συντυχὼν παραλυτικὸς, κλινοφορεῖν ἐκελεύετο· ἄλλος ἐκάλει νεκροὺς, καὶ τούτους εἶχεν εὐθὺς ὑπακούοντας· ἑτέρου καὶ σκιὰ μόνη τὰς νόσους ἐδίωκεν· ἄλλου τὴν ἐπίκλησιν οἱ δαίμονες ἔφριττον, καὶ τὰ σουδάρια τούτων ἀπέσταζον ἰάσεις. Μαθηταὶ γὰρ ὑπῆρχον ἐκείνου, οὗπερ τὸ κράσπεδον κλαπὲν τῆς αἱμοῤῥοούσης ἁφῇ, τὴν ἐρυθρὰν τῶν αἱμάτων ἀπεξήρανε θάλασσαν. Ἀλλ' ἐγὼ πρὸς τοὺς κορυφαίους τῶν ἀποστόλων ἐπάνειμι τῷ λόγῳ, καὶ „τῆς προφητικῆς ἐκείνης ἐπιμέμνημαι φωνῆς· Ἰδοὺ δὴ τί καλὸν, ἢ „τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν τοὺς ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ἡγείσθω τοίνυν τοῦ λόγου Πέτρος, ἐπειδὴ καὶ πρότερος εἰς τὸν ἀμπελῶνα τοῦ Κυρίου μεμίσθωται. Πέτρος τῆς τοῦ καλοῦ ποιμένος ἀγέλης τὸ πρωτότοκον πρόβατον. Πέτρος ὁ ἀπὸ λίμνης εἰς οὐρανὸν ἀναβὰς, ὁ τοὺς ναύτας ἀφεὶς, καὶ συλλαλεῖν ἀγγέλοις ἀξιωθεὶς, ὁ τὴν ὁλκάδα καταλιπὼν, καὶ τὴν ἐκκλησίαν παραλαβὼν εἰς κυβέρνησιν, ὁ κλειδοῦχος τῶν οὐρανῶν προσκληθεὶς, καὶ τὸ δεσμεῖν καὶ λύειν ἐπὶ γῆς ἐν ἐξουσίᾳ δεξάμενος. ὁ πρὸς τὴν κλῆσιν ταχὺς, καὶ πρὸς τὴν πίστιν ἀνενδοίαστος, καὶ πρὸς „πάντα θερμὸς τοῦ διδασκάλου συνήγορος· Σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ „τοῦ ζῶντος, φθεγξάμενος· ὁ συναποθνήσκειν τῷ δεσπότῃ προθέμενος, καὶ μέχρι τῆς αὐλῆς τοῦ Καϊάφα τῷ δεδεμένῳ λυτρωτῇ συνεισερχόμενος· ὁ καὶ ἀρνούμενος συγγνωστὸς, καὶ μεταμελόμενος θαυμαστός. Οὐδὲ γὰρ μέμψεως τοσοῦτον διὰ τὴν ἄρνησιν, ὅσον μακαρισμοῦ διὰ τὴν μετάνοιαν ἄξιος. Ἡμῖν γε καὶ σφαλλόμενος ὠφέλιμος, ὅτι ταχὺ δακρύσας τὰ πταίσματα κατέκλυσε, καὶ πρὸς μικρὸν σαλευθεὶς, εἰς αἰῶνα τῶν πιστῶν εὑρέθη θεμέλιος. Ἂν γὰρ σκοπήσῃς, ἀγαπητὲ, τὸν τότε καιρὸν τῆς εὐκαίρου δειλίας, οὐκ ἂν εὕροις πολὺ τὸν Πέτρον πρὸς τὴν μέμψιν ὑπεύθυνον. Ὅτε γὰρ ἥλιος ἔφυγεν, οὐρανὸς ἐκρύπτετο, γῆ ἐσαλεύετο, πέτραι διεθρύπτοντο, οὐ δυνάμεναι φέρειν τὴν ὕβριν τοῦ κτίσαντος· τότε Πέτρος ὤκλασε, τότε ὁ κορυφαῖος ἠρνήσατο, καὶ τὸν ἄλογον τῆς ἡμέρας ἄγγελον, ἔλεγχον εὐθὺς εὗρε τῆς προῤῥηθείσης ἀρνήσεως· Πρὶν ἀλέ„κτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς. Ἀλλὰ πρῶτος ἀρνησάμενος, πρῶτος ἐπὶ τὸν τάφον ἔδραμε, πρῶτος εἶδεν ἀναστάντα τὸν ζωοδότην τῶν νεκρῶν, παρὰ Μαρίας μαθὼν ὅπερ αὐτῇ οὐκ ἐθάῤῥησεν ὁ ἐπάνω τοῦ λίθου καθήμενος * ἄγγελος. Ἀλλ' ἐλθέτω μετ' αὐτὸν εἰς μέσον Παῦλος ὁ πάνσοφος τῆς οἰκουμένης ῥήτωρ, ὁ ἀπὸ λύκου * ἀμνὸς, ὁ ἐξ ἀκανθῶν βότρυς, ὁ ἐκ ζιζανίων σῖτος, ὁ ἀπὸ ἐχθροῦ φίλος, ὁ ἀπὸ Ἑβραίων μένων Ἑβραῖος, ὁ παρ' ἐκείνοις Σαῦλος ἐμπνέων ἀπειλῆς καὶ φόνου, παρ' * ὑμῖν δὲ Παῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος, ὁ ἀπὸ βλασφήμου θεολόγος, ὁ ἀπὸ διώκτου εὐαγγελιστὴς, ὁ ἀπὸ πειρατοῦ κυβερνήτης, ὁ ἀπὸ προδότου στρατιώτης· ὁ μετὰ Πέτρου τὴν Ῥώμην λαχὼν εἰς ταφὴν, καὶ μετ' αὐτοῦ καὶ ταύτην καὶ παρορῶν τὴν Συχέμ· ὁ κατὰ τὸν Βενιαμὶν τοῦ Ἰωσὴφ ἀδελφὸς, καὶ κατὰ τὴν Θέκλαν καὶ τῶν παίδων πατὴρ καὶ διδάσκαλος· ὁ πρὸ τῆς Δαμασκοῦ τυφλὸς, καὶ καθ' ἑκάστην πόλιν τοῦ κηρύγματος ὀφθαλμός· ὁ ἐξ οὐρανοῦ κληθεὶς, καὶ εἰς οὐρανὸν ἁρπαγείς· ὁ θεωρήσας τὸν παράδεισον πρὸ τῆς ἐντεῦθεν ἀφίξεως, καὶ τὸν στέφανον τῆς νίκης ἔτι παλαίων λαβὼν, καὶ πάλιν [ὡς λέγει] χρεωστούμενον. Ὃν γάρ φησιν, „ὃν ἀποδώσει μοι Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Παῦλος ὁ ἐξ ἐσχάτων πρῶτος, ὁ ἀπὸ ἐκτρωμάτων τέλειος ἀνὴρ, ὁ καὶ διώκων ἡδὺς, καὶ διωκόμενος γλυκύς· ὁ Ῥωμαῖος καὶ Φαρισαῖος, καὶ πάντα τοῖς πᾶσι διὰ πίστιν γινόμενος. Ὁ Χριστὸς γὰρ ὁ εἰπὼν Πέτρῳ, Δεῖ σε παθεῖν· εἶπε καὶ περὶ „Παύλου, ὅσα αὐτὸν δεῖ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ παθεῖν, ἵνα ὁ μὲν σταυρούμενος, ὁ δὲ τὴν κεφαλὴν τεμνόμενος, μίαν πίστιν κηρύξαντες, ἕνα δρόμον τελέσαντες, μάρτυρες ἀληθεῖς τῆς ἀναστάσεως ὦσι τοῦ παθόντος καὶ ταφέντος καὶ ἀναστάντος, ὡς οἶδε, καὶ εἰς τὸν κόλπον τοῦ πατρὸς φθάσαντος, ὃν οὐδέποτε καταλέλοιπε· πρὸς οὓς αὐτὸς ὁ δεσπότης προφητικῶς διαλέγεται· Κυκλώσατε τὴν νέαν ταύτην Σιὼν, καὶ περιλάβετε αὐτήν· τουτέστι, φυλάξατε, τειχίσατε, ταῖς εὐχαῖς ὀχυρώσατε, ἵν', ὅταν ἐν καιρῷ ὀργίζωμαι, καὶ σαλεύω τὴν σύμπασαν, βλέπων τὸν ὑμῶν ἀτελεύτητον τάφον, καὶ ἅπερ ἑκουσίως δι' ἐμὲ βαστάζετε στίγματα, νικῶ τὸν θυμὸν εὐσπλαγχνίᾳ, καὶ προλαμβάνω τὴν ὑμῶν δι' αὐτῶν πρεσβείαν. Ἱερωσύνην γὰρ καὶ βασιλείαν ὅταν ἴδω δακρύουσαν,

remini, qui vos feriebant, eos ad intelligentiam fabrefeciſtis. Petrus hinc Romam erudit. Paulus inde mundo Evangelium annuntiat. Andreas Græciæ ſapientes corrigit. Simon Deum docet Barbaros. Thomas baptiſmate Æthiopas dealbat: Jacobi cathedram Judæa honorat. Marci thronum Alexandria ad Nilum complectitur. Lucas & Matthæus conſcribunt Evangelia. Joannes autem divina tractans myſteria, etiam poſt mortem tanquam vivus Epheſum curat. Bartholomæus Lycaonas ad temperantiam inſtituit. Philippus miraculis conſervat Hierapolim. Omnes ubique omnibus beneficia conferre non deſiſtunt. Pulverem immortalem in ſepulchris reliquerunt: nunc quidem cultores, non multo poſt, ſublimes mundi judices conſeſſuri. Huic cùm claudus adhæſiſſet, rectis pedibus receſſit. In illum paralyticus incidens lectum portare juſſus eſt. Alius mortuos excitabat, & hos ſtatim ſibi audientes habuit. Alterius vel ſola umbra morbos propulit. Alterius invocationem perhorreſcebant dæmones, illorùmque ſudaria diſtillabant medelam. Nam diſcipuli illius erant, cujus veſtimenti fimbria furtivo contactu arrepta, ſanguinis fluxum patienti, rubeum ſanguinis exſiccavit mare: Sed jam ad principes Apoſtolorum converto ſermonem, illius propheticæ vocis memor: *Ecce quàm bonum, & quam jucundum habitare fratres in unum.* Præeat igitur oratione Petrus, quandoquidem & prior in vineam Domini conductus fuit: Petrus boni paſtoris gregis, primogenita ejus: Petrus è lacu in cœlum aſcendit, nautas dimiſit, & cum Angelis colloqui meritus eſt. Qui navem reliquit, & Eccleſiæ regimen aſſumpſit. Qui claviger regni cœlorum vocatus eſt, & ligandi atque ſolvendi in terra poteſtatem accepit; ad vocationem celer, & in fide non ambiguus, & in omnibus fervens magiſtro cooperatur: qui dixit: *Tu es Chriſtus filius Dei vivi:* Qui ſimul cum Domino mori propoſuerat, & uſque ad Caiphæ atrium, unà cum tradito Redemptore ingreſſus eſt. Qui etiam negans, dignus fuit venia, & pœnitens admirabilis. Neque enim tam propterea quòd negarit reprehendendus, quàm, quòd ſe pœnituerit, eſt felix prædicandus. Nobis ſiquidem & errans utilis fuit, quia citò flens delictum inundatione abluit, & ad modicum fluctuans, in perpetuum inventus eſt fundamentum fidelium. Etenim ſi conſideres, o dilecte, opportunum illius temporis metum, Petrum magnæ reprehenſioni profectò non reperies obnoxium. Nam cum Sol fugiebat, cœlum abſcondebatur, terra commovebatur, petræ ſcindebantur, ut quæ ferre nequirent tantam Creatoris contumeliam: tunc Petrus lapſus eſt: tunc Coryphæus negavit, & rationis expertem diei nuntium, reperit ſtatim probationem eſſe prædictæ negationis: *Priuſquam gallus cantet, ter me negabis.* Verùm cùm primus negaſſet, primus ad ſepulchrum cucurrit, primus vitæ datorem à mortuis reſurrexiſſe vidit, id à Maria edoctus, quod et Angelus ſuper lapidem ſedens, dicere non erat auſus. Cæterùm poſt eum, prodeat in medium Paulus, totius orbis terrarum ſapientiſſimus Orator: qui ex lupo factus eſt agnus, ex vepribus racemus, ex zizaniis frumentum, ex inimico amicus, ex Hebræis firmus ac ſtabilis permanens: Qui apud illos Saulus ſpirans necem & cædem, apud nos autem Paulus Jeſu Chriſti vocatus Apoſtolus, ex blaſphemo Theologus, ex perſecutore Evangelii prædicator, ex pirata gubernator, ex proditore miles. Qui Romam una cum Petro ſortitus eſt ſepulchrum: quorum neuter tamen hanc Sychem contempsêre: Qui ratione Benjamin, Joſeph frater, & ratione Theclæ, filiorum pater atque magiſter fuiſti: Qui ante Damaſcum cæcus, & in unoquaque civitate prædicationis oculus, ex cœlo vocatus, & in cœlum raptus es: Qui priuſquam hinc diſcederet, paradiſum contemplatus, victoriæque coronam adhuc certans accepit, eámque ſibi debitam affirmat. Quid enim ait? *quam reddet mihi Dominus in illo die.* Paulus ex noviſſimis primus, ex abortivis perfectus vir, perſecutor ſuavis, & dum perſecutiones patitur, dulcis. Qui Romanus & Phariſæus, & omnia omnibus propter fidem factus. Chriſtus enim qui dixit Petro: Oportet te pati: etiam de Paulo dixit, *quam multa oporteret eum pro nomine ipſius pati:* ut ille quidem cruci affixus, hic verò truncatus capite, una fide propagata, unóque etiam curſu terminato, veri teſtes Reſurrectionis ejus eſſent, qui paſſus & ſepultus eſt, & reſurrexit, uti novit: & prævenit in ſinum patris, quem nunquam reliquit. Ad quos ipſe Dominus propheticè loquitur: *Circumdate hanc novam Sion, & complectimini eam,* hoc eſt: Conſervate, muris cingite, precibus munite, ut quando in tempore iratus fuero, univerſamque mundi machinam concuſſero, conſiderans immortale veſtrum ſepulchrum, quæq; mei cauſa geritis æquo animo ſtigmata, iram miſericordia vincam: quo quidem ductus, en præmaturè veſtrā admitto ſupplicationē. Sacerdotium enim & Regnum cùm videro

Apoſtolorum diviſio.
Matt. 9.
Pſal. 132, 1
Matth. 16, 16.
Matth. 26, 34.
Iσ. ἀγγέλους.
Iσ. ἀμνός.
Iσ. παρ' ἡμῖν.
2. Tim. 4, 8.
Act. 9. 16.
Periphraſis Reſurrectionis Chriſti.
Pſal. 47. 12.

quaſi dolorum conſors, ſtatim ad commiſerationem flectar, A meæque illius vocis recordabor: Protegam civitatem hanc propter David ſervum meum, & Aaron ſanctum meum. Qui ſicut vos una fide contenientes, voluntaria animi ſubmiſſione æternis digna muneribus occultantes, veſtitu denique ipſo ſummam animi moderationem præ ſe ferentes, multa ad me diſcipulorum millia traduxerunt, me tanquam inſigne ferentium, & mundo placare ſtudentium. Dixi enim: Petite & dabitur vobis: Quærite, & invenietis. Ipſi honor & fortitudo, nunc, B & ſemper, & in ſecula ſeculorum. Amen.

Sermo in Sanctum Thomam Apoſtolum, & contra Arianos, deque eo qui tyrannidem in Thracia occupavit, & è medio ſublatus eſt, cum ipſe Arianus eſſet.

FRONTONE DUCÆO, Interprete.

Ex Edit. Burdigal. an. 1601. LEgi quidem Eccleſiæ obtemperans, ut licuit, in hoc tribu- C nal aſcendi: verum argumenti magnitudine ſuperatus hæreo, & undiquaque conſtrictus, quo pacto rem illam exequi, & quo genere orationis expedire poſſim, ignoro. Anne tanquam vivum Thomam prædicabo? atqui mortem ejus prædicat tumulus, anne mortuum narrabo? atqui à rebus ipſis redarguor. Et mortuus eſt, & immortalis. Et mortuus eſt ut homo, & mundum percurrit ut Angelus: & paſſionem excepit, & cum paſſionibus pugnat: & deorſum jacet, & ſurſum lætatur. Nihil D enim eum celare potuit; nullus eum locus occultavit, totum orbem terrarum illuminavit. Tumulum ſubiit, ſed undecunque tanquam ſol exoritur. Vicerunt terram juſti reliquiæ, rebus omnibus creatis amplior apparuit: per univerſum mundum gratia ipſum diſperſit. Omnis angulus partem aliquam habet Thomæ: omnem mundum implevit, & in ſingulis locis integer

Pſal. 18, 5. manet. *In omnem terram exivit gloria ejus, & in fines orbis terræ tropæa ejus.* Quo igitur eum nomine appellabo? Solemne dicam? atqui à nocte non vincitur, an ſtellam? at hunc dies nunquam abſcondit: omni tempore creaturas illuminat: omnem caliginem ab orbe terrarum exterminat. Non cum ipſo nox permanet: non eum tenebræ obſcurant: non flumen impedit: mare continere non poteſt: Oceanus virum novit: barbari Thomam honore afficiunt: omnes gentes feſtum hodie celebrant, ejúſque dictum Domino tanquam donum offerunt, Dominus A meus, & Deus meus: conſanguineus meus, & creator meus; redemptor meus, & Rex meus. Hæc enim docuit Thomas: hanc nobis tanquam filiis hæreditatem reliquit: tanquam theſaurum hunc ſermonem natura retinet: univerſum genus hoc dicto firmatur: hoc verbum ad Angelos uſque protenditur: Angeli tanquam anchoram confeſſionem hanc tenent: omnis creatura doctrinam hanc velut diadema circumfert. Solus Arius hac oratione privatur: ſolus ille ab hæreditate excidit: ſolus B Chriſtum cum Thoma, Dominum non confitetur: non eum cum ipſo Deum agnoſcit: ſervum appellat Dominum; creaturam, ſplendorem; ſpurium, legitimum; figmentum, opificem, non dicit Dominum & Deum herum: non favet veritati: non conjungit ſe cum Thoma: non ſequitur juſtum, idque cum ejus diem colat, cum univerſo terrarum orbe feſtum celebret, & amicis Thomæ ſeipſum aggreget. Verùm improbitas virtutem non fallit, neque cum duce veritatis ſeductor aptè copulatur, C novit feram paſtor; novit lupum venator, novit fluctum gubernator, novit tempeſtatem portus: novit hoſtem Imperator; novit Thomas Arium, novit & ipſum repellit. Blaſphemi cultum non admittit: in homicidarum ſpeluncam non intrat: non cum illis verſatur: impiorum conſilium averſatur. Vocem cum ipſo pugnantem deteſtatur: os quod contra Deum loquitur ini-

Pſal. 140, 4. quitatem, odit: linguam quæ Dominum ac Deum non appellat, averſatur, & ad eos ex toto terrarum orbe clamat, Ari, D quid mihi blandiris? quid oleo caput meum impinguas? cur diem meum feſtum celebras o nefarie? blaſphemum tuum hymnum non admitto: vanæ fidei tuæ non aſſentior: iniquam doctrinam tuam non agnoſco, ne me honores, qui conditorem probro afficis: non ſuſcipio honorem ignominiam parientem. Si Dominum probris oneras, quomodo ſervum coles? Si meam fidem non tenes, quomodo memoriam feſto celebrabis? ſi mecum non ſentis, quomodo ſepulchro meo E communicas? Ego Chriſtum Dominum & Deum eſſe ſum edoctus: palpavi manu, & veritatem inveni: propriis digitis ſum certior factus, non alius mihi doctrinam inſeruit, non miraculum auribus accepi, non iis credidi, qui mihi dicebant, Vidimus Dominum: repugnavi Apoſtolis, reſtiti Petro, cùm docere me conaretur: dixi illi, ô homo, quid me perturbas? quid mihi verba pro rebus offers? quid mihi imperas ut verbis adductus credam? niſi videro, non credam. Ut vidiſſem

A εὐθὺς πρὸς οἶκτον ὡς συμπαθὴς ἐπικάμπτομαι, καὶ τῆς ἐμῆς ἐκείνης φωνῆς ἐπιμέμνημαι. ὑπερασπιῶ τῆς πόλεως ταύτης διὰ Δαβὶδ τὸν δοῦλόν μου καὶ Ἀαρὼν τὸν ἅγιόν μου· οἵ τινες ὡς ὑμεῖς ὁμονοήσαντες τῇ πίστει, καὶ τὰς ἀξίας αὐθαιρέτῳ ταπεινοφροσύνῃ καλύψαντες, καὶ τῇ στολῇ δείξαντες τῆς ψυχῆς τὴν ἐπιείκειαν, πολλὰς μοι τῶν μαθητῶν μυριάδας προσενηνόχασιν, ἐμὲ φερούσας, καὶ παρ' ἐμοῦ τῷ κόσμῳ τὸν ἱλασμὸν αἰτούσας. εἶπον γὰρ, αἰτεῖτε, B καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τὸν ἅγιον Θωμᾶν τὸν ἀπόστολον, καὶ κατὰ Ἀρειανῶν, καὶ εἰς τὸν ἐν τῇ Θρᾴκῃ τυραννήσαντα καὶ ἀναιρεθέντα, καὶ αὐτὸν Ἀρειανόν.

C Τῷ μὲν νόμῳ τῆς ἐκκλησίας πειθόμενος ἐπέβην, ὡς ἴστε, τοῦ βήματος· τῷ δὲ μεγέθει τῆς ὑποθέσεως ἐνικώμενος ἰλιγγιῶ, καὶ πανταχόθεν στενοχωροῦμαι, πῶς ἀπαντήσω τῷ πράγματι, ποίαν εὕρω τοῦ λόγου διέξοδον. ὡς ζῶντα κηρύξω τὸν Θωμᾶν; ἀλλ' ὁ τάφος ἀνακηρύττει τὸν θάνατον· ὡς νεκρὸν διηγήσομαι; ἀλλ' ὑπὸ τῶν πραγμάτων ἐλέγχομαι. καὶ νεκρός ἐστι, καὶ ἀθάνατος· καὶ τέθνηκεν ὡς ἄνθρωπος, καὶ διατρέχει τὸν κόσμον ὡς ἄγγελος· καὶ πάθος ἐδέξατο, καὶ πάθεσι μάχεται· καὶ κάτω κεῖται, καὶ ἄνω D εὐφραίνεται. οὐδὲν γὰρ αὐτὸν ἴσχυσεν ἀποκρύψαι· οὐδεὶς αὐτὸν ἠφάνισε τόπος· ὅλην τὴν οἰκουμένην ἐφώτισεν. ἔλαβε τάφον, ἀλλ' ἐκ πανταχόθεν ὡς ἥλιος ἀνατέλλει. ἐνίκησε τὴν γῆν τὰ λείψανα τοῦ δικαίου, καὶ πλατύτερος ἐφάνη τῆς κτίσεως ὅλης· ἔσπειρεν αὐτὸν ἡ χάρις εἰς ὅλον τὸν κόσμον. πᾶσα γωνία μέρος ἔχει τοῦ Θωμᾶ· πάντα τὸν κόσμον ἐπλήρωσε, καὶ μένει καθ' ἕκαστον τόπον ὁλόκληρος· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ἡ δόξα αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ τρό- E παια αὐτοῦ. πῶς ἂν αὐτὸν ὀνομάσω; ἥλιον; ἀλλ' ὑπὸ νυκτὸς οὐκ ἐλέγχεται· ἀστέρα; ἀλλ' ἡμέρα οὐκ ἐγκρύπτει. ἐν παντὶ καιρῷ καταυγάζει τὴν κτίσιν· πάντα ζόφον ἀπελαύνει τῆς οἰκουμένης. οὐκ ἔτι νὺξ μετ' αὐτοῦ· σκότος αὐτὸν οὐκ ἀμαυροῖ· ποταμὸς οὐ κωλύει· θάλασσα κατέχειν οὐ δύναται· ὠκεανὸς ἐπιγινώσκει τὸν ἄνδρα· βάρβαροι τιμῶσι τὸν Θωμᾶν· πάντα τὰ ἔθνη σήμερον ἑορτάζει, καὶ τὴν τούτου φωνὴν, καθάπερ τι δῶρον, τῷ δεσπότῃ προσφέρει· ὁ Κύριός A μου, καὶ ὁ Θεός μου· ὁ συγγενής μου, καὶ ποιητής μου, ὁ λυτρωτής μου, καὶ ὁ βασιλεύς μου. ταῦτα γὰρ ἐδίδαξεν ὁ Θωμᾶς· τοῦτον ἡμῖν ὡς τέκνοις ἀφῆκε τὸν κλῆρον· ὡς θησαυρὸν ἡ φύσις κατέχει τὸν λόγον· ὅλον τὸ γένος διὰ ταύτης τῆς φωνῆς ὀχυροῦται. μέχρι τῶν ἀγγέλων ἐξετάθη τὸ ῥῆμα· ἄγγελοι ταύτην ὡς ἄγκυραν τὴν ὁμολογίαν κατέχουσι· πᾶσα ἡ κτίσις ὡς διάδημα περιφέρει τὸ δόγμα· μόνος ὁ Ἄρειος ἀποστερεῖται τοῦ λόγου. μόνος ἐκεῖνος ἐκπίπτει τοῦ κλήρου. μόνος οὐχ ὁμολογεῖ B Κύριον τὸν Χριστὸν, μετὰ Θωμᾶ· οὐ γνωρίζει αὐτὸν Θεὸν μετ' αὐτοῦ· δοῦλον ἀποκαλεῖ τὸν δεσπότην, κτίσμα τὸ ἀπαύγασμα, νόθον τὸν γνήσιον, πλάσμα τὸν πλάστην· οὐ λέγει Κύριον καὶ Θεὸν τὸν δεσπότην· οὐκ ἀντέχεται τῆς ἀληθείας· οὐ συνάπτεται τῷ Θωμᾷ· οὐκ ἀκολουθεῖ τῷ δικαίῳ. καὶ ταῦτα τιμῶν αὐτοῦ τὴν ἡμέραν, καὶ πανηγυρίζων μετὰ πάσης τῆς οἰκουμένης, καὶ συντάττων ἑαυτὸν τοῖς φίλοις τοῦ Θωμᾶ. ἀλλ' οὐ κλέπτει τὴν ἀρετὴν ἡ κακία· οὐ συναρμόζει τῷ ὁδη- C γῷ τῆς ἀληθείας ὁ πλάνος. οἶδεν ὁ ποιμὴν τὸ θηρίον· οἶδεν ὁ σφενδονήτης τὸν λύκον· οἶδεν ὁ κυβερνήτης τὸ κῦμα· οἶδεν ὁ λιμὴν τὸν χειμῶνα· οἶδεν ὁ στρατηγὸς τὸν πολέμιον· οἶδεν ὁ Θωμᾶς τὸν Ἄρειον, οἶδε καὶ διώκει αὐτόν. οὐ δέχεται τὴν τιμὴν τοῦ βλασφήμου· οὐκ εἰσέρχεται παρὰ τὸ σπήλαιον τῶν φονέων· οὐ συναυλίζεται μετ' ἐκείνων· ἀποστρέφεται συνέδριον ἀσεβούντων· βδελύσσεται φωνὴν αὐτῷ μαχομένην· μισεῖ στόμα κατὰ τοῦ Θεοῦ λαλοῦν ἀδικίαν· ἐκτρέπεται γλῶτταν Κύ- D ριον καὶ Θεὸν τὸν Χριστὸν μὴ καλοῦσαν· καὶ βοᾷ πρὸς ἐκείνους ἀπὸ πάσης τῆς οἰκουμένης, Ἄρειε, τί με κολακεύεις; τί λιπαίνεις ἐλαίῳ τὴν κεφαλήν μου; τί μου τὴν ἡμέραν ἑορτάζεις, παράνομε; οὐ δέχομαί σου τὸν βλασφημούμενον· οὐ συμφωνῶ τῇ ματαίᾳ σου πίστει· οὐ γνωρίζω σου τὸ παράνομον δόγμα. μή με τιμήσῃς ἀτιμάζων τὸν πλάστην. οὐ δέχομαι τιμὴν ἀτιμίας μητέρα. εἰ τὸν δεσπότην ὑβρίζεις, ἐμὲ τὸν δοῦλον πῶς θεραπεύσεις; εἰ μὴ κρατεῖς μου τὴν πίστιν, E πῶς ἑορτάσεις τὸ μνῆμα; εἰ μὴ συμφωνεῖς μοι, πῶς κοινωνεῖς μου τῷ τάφῳ; ἐγὼ Χριστὸν Κύριον καὶ Θεὸν ἐδιδάχθην· ἐψηλάφησα τῇ χειρὶ, καὶ τὴν ἀλήθειαν εὗρον· οἰκείοις ἐπίστευσα τοῖς δακτύλοις. οὐκ ἄλλος ὑπέθετό μοι τὸ δόγμα· οὐκ ἐξ ἀκοῆς ἔχω τὸ θαῦμα· οὐκ ἐπίστευσα τοῖς εἰποῦσί μοι, Ἑωράκαμεν τὸν Κύριον· ἐμαχεσάμην τοῖς ἀποστόλοις· ἀντέκρουσα Πέτρῳ διδάσκειν με πειρωμένῳ· εἶπον πρὸς αὐτὸν, ἄνθρωπε, τί με ταράττεις; τί μοι λόγους ἀντὶ πραγμάτων χαρίζῃ; τί με κελεύεις ἀπὸ ῥημάτων πιστεύειν; ἐὰν μὴ ἴδω, οὐ μὴ πιστεύσω. ὡς εἶδον

καὶ

καὶ σύ, ἵνα κἀγὼ ὡς ἐδιδάχθης, διδαχθῶ· ὡς ἔμαθες, μάθω. A ὃ κηρύττειν μέλλω, θεάσωμαι, καὶ κηρύττω. οὐδεὶς ἀκοὴν ἀπαγγέλλει· οὐδεὶς ἀπὸ φήμης δόγμα προφέρει· οὐδεὶς ἀποδέχεταί με τὰ σὰ διαγγέλλοντα. ἂν ἐρωτηθῶ, πῶς ἀνέστη ὁ Χριστός, οὐκ οἶδα τί λέξω. ἐὰν εἴπω, Πέτρος μοι εἶπε, τίς ὡς ἀξιοπίστῳ πιστεύσει; ἴδω, καὶ κηρύττω· μάθω, καὶ διδάσκω· πεισθῶ, καὶ πείσομαι. εἴπω κἀγώ, Θωμᾶς ἀπόστολος οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου. Ταῦτα μου λέγοντος Κύριος ἐπεφάνη, καὶ τὴν μάχην ἔλυσε παραχρῆ- B μα· καί φησι πρός με· Τί σοι γέγονε, Θωμᾶ; τί μάχῃ τῷ Πέτρῳ; τί φιλονεικεῖς τοῖς ἑταίροις; δεῦρο, λάβε τὸ θαῦμα τῇ πείρᾳ· μάθε τὴν ἀνάστασιν ἔργῳ· φέρε τὴν χεῖρα, καὶ βλέπε τὸ σῶμα. εἰ χωρεῖς, κράτει· εἰ καθαροὺς ἔχεις δακτύλους, ἅψαι τῶν τύπων· εἰ πιστεύεις, καὶ φθάσεις· εἰ δὲ φιλονεικεῖς, οὐχ εὑρίσκεις· εἰ ἀπιστεῖς, οὐ γνωρίζεις· εἰ ἀμφιβάλλεις, τὸ παθητὸν οὐ κατέχεις· εἰ πάθος * ἔχεις, τὰ ἀπαθῆ οὐ μανθάνεις. Ταῦτα ἀκούσας ἐκάθηρα τὴν ψυχὴν ἀπιστίας· C ἀπεδυσάμην τὴν ἀμφίβολον γνώμην· ἀνέλαβον τὸν νοῦν πεπεισμένον· ἡψάμην τοῦ σώματος χαίρων, καὶ τρέμων· ἐξήπλωσα μετὰ τῶν δακτύλων καὶ τὸ τῆς ψυχῆς ὄμμα, καὶ δύο λοιπὸν ἐνεργειῶν ᾐσθόμην, ἐκράτουν, καὶ ἑώρων· καὶ τῇ μὲν χειρὶ σῶμα κατεῖχον, τῇ δὲ ψυχῇ Θεὸν κατενόουν. καὶ τὸ ἔξωθεν εὑρίσκον θαυμαστόν, καὶ τὰ ἔσωθεν φοβερόν· καὶ τὸ φαινόμενον, μέγα· καὶ τὸ κρατούμενον, θαῦμα. Βοήσας τοίνυν ἐκπλαγεὶς ὃ κατέλαβον· ὁ Κύριός μου, καὶ ὁ Θεός μου. οὐ- D δαμοῦ γὰρ ἔβλεπον δοῦλον, οὐδαμοῦ ταπεινὸν ἐφαίνετο σχῆμα, καὶ τὸ συγγενὲς ἐξέλαμπε, καὶ τὸ θεῖον ἐξήστραπτε· καὶ τὸ φορούμενον ὕψωτο, καὶ τὸ φοροῦν ἐδεδόξαστο· καὶ δύο νοουμένων πραγμάτων ἓν ἦν τὸ προσκυνούμενον πρόσωπον. Ταῦτα ἐγὼ πείρᾳ παρέλαβον, ταῦτα δακτύλοις ἐκράτησα, ταῦτα ψυχῇ κατενόησα. σὺ δέ, Ἄρειε, πόθεν τὸ βλάσφημον ἐδιδάχθης; πόθεν ἔμαθες, ἃ κηρύττεις; Χριστὸν ἐψηλάφησας ὡς ἐγώ; τὴν χεῖρα προσήνεγκας; τοὺς τύπους E ἠρεύνησας; οἱ δάκτυλοι μαρτυροῦσί σοι; κατέσχες τὸν Κύριον σύ; εἰς ποίαν χεῖρα; εἰς ἣν ἥρπασας τὰ κειμήλια; εἰς ἣν τοὺς ἀποστόλους ἐσύλησας; εἰς ἣν ὑπεδέξω τῶν βαρβάρων τὰ λάφυρα; εἰς ἣν ἐκράτεις τὸν μισθὸν τῆς ἀσεβείας; εἰς ἣν ἐχώνευσας τὰ σκεύη τοῦ αἵματος; εἰς ταύτην Χριστὸν ἐψηλάφησας; μὴ γένοιτο. οὐχ οὕτως ἄδικος ὁ δεσπότης, οὐχ οὕτως ἀσφαλὴς ὁ Χριστός, ἵνα σοι τὴν ἰδίαν ἐμπιστεύσῃ σάρκα. οὐκ ἐκράτησας, ὃν ἠθέτησας· οὐκ ἐψηλάφη- A σας, ὃν ἐμίσησας· οὐκ ἠρεύνησας, ὃν ἐσμίκρυνας. εἰ γὰρ ἠρεύνησας, οὐκ ἂν ἐταπείνωσας· εἰ καλῶς ἐξεζήτησας, οὐκ ἂν οὕτω κακῶς παρηρμήνευσας. ἄπαγε, ἀπόλαυε τῆς κακίας, πῖπτε μετὰ τῶν οἰκείων συμμαχουμένων. τέως ἕνα σου κατέβαλον πύργον· τέως τὴν Θρᾴκην ἠλευθέρωσα τῆς σῆς τυραννίδος· ἔτι μικρὸν καὶ πανταχόθεν σε καταλύω· ἔτι μικρὸν καὶ διώκω σε τῆς οἰκουμένης· ἄρτι σου τὴν κεφαλὴν ἀφαιροῦμαι· ἄρτι καὶ τὴν δύσιν ἀπαλλάττω τῆς σῆς ἀπονοίας. ναί, B μακάριε Θωμᾶ, πλήρωσον ἔργῳ τὸν λόγον· ἀκολούθησον τῇ φωνῇ· σου καλὴν τὴν ἀρχὴν βεβαίωσον καὶ τῷ τέλει. ὡς τὴν Θρᾴκην ἠλευθέρωσας, ἐλευθέρωσον καὶ τὴν δύσιν. ἀκούσαιμι καὶ τὸν λῃστὴν ὡς τὸν τύραννον ἐκκοπέντα· στεφάνωσον τὸν βασιλέα τῇ νίκῃ· βράβευσον εἰρήνην τῷ κόσμῳ· δέξαι τοὺς ἱδρῶτας τῶν συνελθόντων· δέξαι τὴν πόλιν ἱκετεύουσάν σου· τὴν κοινὴν πᾶσαν ἡλικίαν ἀπέστειλέ σοι πρεσβείαν. γέροντες καὶ νέοι προσπίπτομέν σου τῷ τάφῳ· παρθένοι C καὶ νεανίσκοι περιπλεκόμεθά σου τῷ σώματι· νήπια σπαργάνων ἄνωθεν ἀτενίζουσι πρὸς σὲ κεχηνότα· μὴ παρίδῃς σχῆμα τοιοῦτον· μὴ κενοὺς ἡμῶν ἀποπέμψῃς τοὺς πόνους· δὸς ἡμῖν ἄξιον μισθὸν τῶν ἱδρώτων. οὐδὲν ἀπαιτοῦμέν σε μέγα· ἅπερ ἔχεις, αἰτοῦμεν· ἃ δίδως, ζητοῦμεν· ἃ θέλεις ἰδεῖν, ἐπιθυμοῦμεν· τὸν βάρβαρον ἡττηθέντα, τὸν Ἄρειον ἐλαθέντα, τὸν βασιλέα στεφανωθέντα, τὸν κόσμον ἐπιστραφέντα, τὸν Χριστὸν ὑψωθέντα, καὶ παρὰ πάσης ὁμοῦ τῆς οἰκουμένης ἀκούοντα, ὁ Κύριός μου καὶ ὁ Θεός μου· ᾧ ἡ δόξα, τιμή, καὶ D κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα.

ΣΤΕΨΩΜΕΝ ἄνθεσιν ἐγκωμίων τὸν Στέφανον, καὶ τοῖς τῶν ἐπαίνων αὐτὸν περιρράνωμεν ῥόδοις. ἤδη γὰρ αὐτὸς ἑαυτὸν τοῖς τῆς πίστεως προεστεφάνωσεν ἄθλοις. ἔκειτο μὲν γὰρ ἐν γράμμασι· μὴ φοβεῖσθε ἀπὸ τῶν E ἀποκτεινόντων τὸ σῶμα· ἀλλ' ἡ περὶ τὸ σῶμα συνάφεια τὴν δυσχέρειαν εἰσῆγε. τούτου δὲ τοῦ νεανίου βουληθέντος μαρτυρικὰς ἀναδέξασθαι νίκας, πᾶσα ἀπελήλαται δυσχέρεια· δειλία δὲ καὶ φόβος ἀργὸν ἐμελέτησεν. οὔτε γὰρ ἀρχιερέων ἐφοβήθη μανίαν, οὐχ ἱερέων ἐδειλίασε θρασύτητα, οὔτε πρεσβυτέρων αὐτὸν κατέπληξαν λόγοι, οὐ γραμματέων αὐτὸν ἀπειλὴ διετάραξεν, οὐ λόγοι συκοφαντῶν τὴν αὐτοῦ προθυμίαν ἐνέκρυψαν· γενναίῳ δέ τινι φρονήματι εἰς τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας κατέ-

tu, videam & ego: ut edoctus es, edocear: ut didiciſti, diſcam, quod prædicandum mihi eſt, intuear, ac deinde prædicabo. Nemo fando audita annuntiat; nemo doctrinam à rumore manantem proponit, nemo me res tuas divulgantem recipiet. Si interroget, quo pacto reſurrexerit Chriſtus, quid dicam neſcio. Si dicam, Petrus mihi dixit, quis ut ſide digno aſſentietur? videam & prædicabo; diſcam & docebo; perſuadear, & perſuadebo. Dicam ego quoque, Thomas Apoſtolus *non ab hominibus, neque per homines.* (Gal. 1, 1.) Hæc ego cum dicerem, apparuit Dominus, & continuò pugnam diremit, aitque ad me: Quid tibi accidit Thoma? quid cum Petro pugnas? quid cum cæteris contendis? Ades, & miraculum experimento cognoſce, diſce reipſa reſurrectionẽ: affer manum tuam, & corpus vide. Si potes, tene: ſi mundos digitos habes, veſtigia clavorum tange: ſi credas, aſſequeris etiam: ſi verò contendas, non invenies; ſi ſis incredulus, non cognoſces: ſi dubites, quod paſſione tenearis, quod paſſioni obnoxium non eſt, non percipies. Hæc audiens purgavi animam ab incredulitate, & ambiguam ſententiam exui, credulum ſenſum aſſumpſi, tetigi corpus gaudens & tremens: expandi cum digitis & animæ oculum, & duas de cætero operationes cognovi, prehendi & aſpexi, ac manu quidem corpus tenui, anima verò Deum percepi, & quòd exterius mirabile erat, inveni: quod interius, formidabile: quod apparebat, ingens: quodque tenebatur, admirandum. (* Ϛ. ἐκ ἔχ. Hæc citantur in Synodo VI. vide notas interpretis.) Exclamavi ergo, & quod comprehenderam, obſtupeſcens: *Dominus meus, & Deus meus,* (Joh. 20, 28.) nuſquam enim ſervum intuebar, nuſquam ſpecies humilis apparebat; Et quod ejuſdem mecum erat naturæ, elucebat, divinitas effulgebat: Et quod ferebatur, exaltatum erat, & quod ferebat, glorificatum apparebat: cùmque res diverſæ intelligerentur, una erat perſona, quæ adorabatur. Hæc ego experimento percepi, hæc digitis tractavi: hæc animo intellexi: tu verò, Ari, unde blaſphemiam es edoctus? unde quæ prædicas, didiciſti? Num Chriſtum ut ego palpaſti? num manum admoviſti? num veſtigia clavorum ſcrutatus es? num digiti teſtimonium ferunt? Túne Dominum tenuiſti? qua verò manu? an ea qua pretioſam ſuppellectilem rapuiſti? qua Apoſtolos compilaſti? qua barbari ſpolia excepiſti? qua mercedem impietatis tenuiſti: qua ſanguinis vaſa conflaſti? hac ipſa Chriſtum contrectaſti? abſit, non adeo iniquus eſt Dominus, non adeo imprudens ut ſuam tibi carnem credat, non prehendiſti, quem repudiaſti: non attrectaſti, quem odiſti: non ſcrutatus es, quem depreſſiſti. Si enim ſcrutatus eſſes, non humiliaſſes, ſi rectè perquiſiviſſes, non adeò perverſè interpretatus eſſes. Apage, recipe mercedem nequitiæ, cade cum commilitonibus tuis. Interim jam unam ex turribus tuis dejeci, jam Thraciam tua tyrannide liberavi, adhuc modicum, & te funditus undiquaque perdam: adhuc modicum, & te ex orbe terrarum exterminabo! Modò tibi caput abſcindam, modò ſuperbiâ tua Occidentem quoque liberabo. Ità fac beate Thoma, ſermonem opere comple; exequere quæ dixiſti: præclarum principium fine confirma: ut Thraciam liberaſti, ſic & Occidentem liberato. Audiam & latronem ſicut & tyrannum exciſum: Imperatorem victoria coronato; pacem mundo largire; ſudores eorum qui convenerunt, ſuſcipe. Suſcipe urbem cineri tuo ſupplicantem; ætatem omnem ad legationem obeundam miſit, ſenes ac juvenes tumulo advolvimur; virgines & adoleſcentes tuum corpus amplectimur; infantes pallerum in moteos hianti ore proſpiciunt; noli talem ſpeciem aſpernari; ne vacuos labores noſtros dimittas: da competentem ſudoribus noſtris mercedem, nihil à te magnum poſtulamus: quæ poſſides petimus; quæ das, quærimus; quæ videre vis, deſideramus, barbarum ſubactum, Arium proſtratum, Imperatorem coronatum, mundum converſum, Chriſtum exaltatum, & ab univerſo ſimul orbe terrarum audientem, Dominus meus & Deus meus: cui gloria, honor, & imperium in ſecula ſeculorum, Amen.

Laudatio Sancti Stephani Protomartyris.

Eodem interprete.

COronemus Stephanum laudum floribus, eúmque roſis præconiorum conſpergamus: jam enim ſe ipſe fidei præmiis antè coronavit. (Ex Edit. Burdig. 1601. Menl. Decemb. 27.) Scriptum quidem erat, Nolite timere eos qui occidunt corpus: (Matt. 10. 28.) at connexio cum corpore difficultatem afferebat: verùm ubi juvenis iſte victorias martyrum voluit obtinere, difficultas omnis ſubmota eſt, timiditas autem metúſque ceſſavit. Nam neque Pontificum inſaniam eſt veritus, neque ſacerdotum audaciam reformidavit, neque terruerunt eum verba ſeniorum: non ſcribarum ipſum minæ perturbarunt, neque ſycophantarum ſermones ejus ardorem animi reſtinxerunt, ſed ad obeunda pro Chriſto certamina generoſa mente properabat.

Quis ergo mortalium dignas athletæ laudes offerat? quis hominum convenientem ejus vitæ actionibus laudationem contexet? quæ lingua poterit decora præſtantiſſimi bellatoris effari? quodnam os ad Stephani agones prædicandos aperietur? quæ tandem labia ſtrenui protomartyris ſufficient facinoribus enarrandis? Etenim luctabatur in terris, & quæ ſunt in cœlis contemplabatur: in hac vita verſabatur: & quæ ſunt in excelſis, percurrebat: cum mortalibus colloquebatur, & immortalium ordinibus jungebatur: cum hominibus depugnabat, cum Angelis choreas ducebat. Omnis ætas deinceps bono animo eſto: Stephanus enim luctatus eſt, & auctor mali collapſus eſt, bono animo deinceps eſto, etiam is qui in canitie decertat, & qui in ſenecta præclarè ſe gerit, corona donatur: & qui adoleſcens pugnaverit, coronatur: & puer qui luctatus fuerit, refert præmia, & infantes qui in agone contendunt, coronas reportant: & mulieres quæ in acie ſteterint, gloria coronantur, & virgines quæ luctatæ ſint, victorias cõſequuntur. Poſtquam igitur martyrii portas Stephanus reſeravit, omnis jam poſterum ætas ad martyrium currat: primus enim Stephanus tyranno reſtitit: primus de illo victoriã obtinuit: primus illos glorioſos agones inchoavit: primus propter Chriſtũ Chriſti paſſiones excepit, quo pacto mors ludatur, mortalibus indixit: quo pacto interitus ſit riſus futurus, hominibus demõſtravit: his qui in hac vita verſantur, vias, quæ in cælum ferunt, patefecit.

Act. 6, 8. *Stephanus enim plenus gratia & fortitudine faciebat ſigna & prodigia in populo*: ad majorem profectum Stephanum Spiritus gratia provehebat: ejus quippe fidei immenſitas conſtantiã pollicebatur. Diaconus enim conſtitutus, martyr effectus eſt: viduarũ neceſſitati præpoſitus, ad miraculorum gratiam profecit: diaconus menſis præfectus eſt, & prodigiorũ effector eſt redditus. Stephanus autem plenus fide & fortitudine. Habeat, inquit, in nomine coronã victoriæ Stephanus: Stephanus qui bellum in quo ſe nemo exercuerat, hominum vitæ manifeſtavit: qui pugnam, quam nemo docuerat, mundo patefecit. Non erat hoc poſitum in more naturæ, & Stephanus adverſus militiã incorpoream ſolus in acie ſtabat: fides quippe feliciter ei certamina conficiebat, ſpes incitabat, ut ad finem uſq; depugnaret. Stephanus plenus fide & fortitudine: Stephanus qui mali auctorem captivum oſtendit, qui generoſo mentis arbitrio tropæum adverſus ipſum erexit: qui, dæmones ut lugerent, & homines ſaltarent, effecit: Stephanus primus martyrum tropæum tenens, pro Chriſto decertantium dux copiarum! quiſquis enim cœperit propter Chriſtũ pugnare, Stephanum doctorem nanciſcitur: quiſquis certamina martyrũ aggreſſus fuerit, Stephanum imitatur. Stephanus primitiæ propter Chriſtum decertantium, fundamentum propter ipſum morientium. Stephanus plenus fide & fortitudine, undiq; munitus armis erat Chriſti miles: ex utraque parte loricatus erat pius imperator, plenus fide & fortitudine. Sufficiebant, inquit, hæc ad victoriam: poterant hæc tropæum acquirere: fides enim ac fortitudo & mali auctorẽ vincebat, & Judæos perterrefaciebat: plenus fide & fortitudine faciebat ſigna & prodigia magna in populo: miraculorum turbam vir fortiſſimus edebat, portentorum magnam vim Chriſti miles operabatur. Faciebat ſigna & prodigia in populo, tum claudis curſum largiens, tum paralyticis ſanitatem effundens, ut Pontifices ad invidiam concitaret: adeo Chriſti cauſa mortem oppetere deſiderabat. Tum adverſus ipſum hominum maximè impium evocat Pentapolim. Surrexerunt enim, inquit, quidam de ſynagoga, quæ appellatur Libertinorum & Cyrenenſium, & Alexandrinorum, & eorum qui erant à Cilicia & Aſia, diſputantes cum Stephano. O quantam turbam improbitas congregavit! ô quantam invidia multitudinem convocavit! Libertinos, Cyrenenſes, Alexandrinos, & qui erant à Cilicia & Aſia: infinita, inquit, turba, contra unum militem aciem inſtruxit: innumerabiles copiæ adverſus unum fortiſſimum bellatorem impetum fecerunt: quinq; civitatum viri in unum juvenem incurrerunt. O malitiam Judæorum inſanabilem! ex ipſo aſpectu fortiſſimum bellatorem terrere voluerunt, ut multitudinis copia nervi debilitarentur. deinde ordinem adhibent pugnæ ſceleratiſſimi homines, atque initio quæſtionum nodos ſermonibus nectunt. Surrexerunt enim, inquit, quidam de ſynagoga, quæ appellatur Libertinorum, & Cyrenenſium, & Alexandrinorum, & eorum qui erant à Cilicia & Aſia, diſputantes cum Stephano. Quid, inquiunt, adoleſcens inconſiderate contumeliis numẽ inceſſis? Quid meditatis verbis populo perſuades? Quid miraculorum fallacia gentẽ diſſipas? hic terminus quæſtionum. Deuſne eſt qui ex Maria natus eſt, creator ne eſt fabri filius? nonne Bethleem caſtellum illius, & nutrix Nazareth fuit? Deum confingis eum eſſe, qui in terris partu eſt editus? qui propter tenuitatem in præſepio faſciis eſt obvolutus: qui Herodem fugit iratum: qui lavacro Jordanis ad emundationem eſt uſus; qui fami ſubditus fuit & ſiti, qui fatigationem ſenſit & ſomnum?

Gr. συνέδριον

συνωδ. Τίς τοίνυν θνητῶν ἀξίως ἐπαίνους τῷ ἀγωνιστῇ προσαγάγῃ; τίς ἀνθρώπων ἀνάλογον τῆς αὐτοῦ πολιτείας ἐγκώμιον διαπλέξῃ; ποία γλῶσσα τὰς τοῦ ἀριστέως ἐξειπεῖν δυνήσεται δόξας; ποῖον στόμα πρὸς ἔπαινον τῶν τοῦ Στεφάνου ἀγωνισμάτων ἀνοιγήσεται; ποῖα χείλη ἐπαρκέσει τὰς ἀνδραγαθίας εἰπεῖν τοῦ πρωτομάρτυρος; ἐπὶ τῆς γῆς γὰρ ἐπάλαιε, καὶ τὰ ἐν οὐρανοῖς περιεσκόπει· ἐν τῷ βίῳ παρῆν, καὶ τὰ ἐν ὑψίστοις περιῄει· μετὰ τῶν θνητῶν διελέγετο, καὶ ἀθανάτοις συνετάττετο· ἀνθρώποις ἀπεμάχετο, καὶ συνεχόρευσεν ἀγγέλοις. πᾶσα λοιπὸν ἡλικία τὸ βέβαιον ἐχέτω. Στέφανος γὰρ ἐπάλαισε, καὶ ὁ ἀρχέκακος ἔπεσεν. ἐχέτω λοιπὸν καὶ ὁ ἐν πολιᾷ ἀγωνιζόμενος τὸ βέβαιον, καὶ ὁ ἐν γήρᾳ κατορθῶν τοὺς στεφάνους λαμβάνει, καὶ ὁ νεανίας ἀθλήσας στεφανοῦται, καὶ μειράκιον παλαῖσαν κομίζεται γέρα, καὶ νήπια ἀγωνιζόμενα κομίζονται στεφάνους, καὶ γυναῖκα παραταξαμένη στεφανοῦται δόξῃ, καὶ παρθένοι παλαίσασαι κομίζονται νίκας. Στεφάνου τοίνυν ἀνοίξαντος τοῦ μαρτυρίου τὰς πύλας, πᾶσα λοιπὸν ἡλικία ἐπὶ τὸ μαρτύριον τρεχέτω· πρῶτος γὰρ Στέφανος τῷ τυραννῷ ἀντέστη· πρῶτος τὰς κατ' αὐτοῦ ἀνεδήσατο νίκας· πρῶτος τῶν καλλινίκων ἐκείνων ἀπήρξατο ἀγώνων. πρῶτος διὰ Χριστὸν τὰ τοῦ Χριστοῦ ἀνεδέξατο πάθη· ὑπέδειξε θνητοῖς, πῶς παίζεται θάνατος· ἔδειξεν ἀνθρώποις, πῶς ὁ θάνατος γέλως ἔσται. ἐγνώρισε τοῖς ἐν τῷ βίῳ τὰς οὐρανίους ἀνόδους. Στέφανος γὰρ πλήρης χάριτος καὶ δυνάμεως ἐποίει σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ. εἰς μείζονα προκοπὴν τὸν Στέφανον ἡ τοῦ πνεύματος προεβίβαζε χάρις. τὸ γὰρ ἄμετρον τῆς αὐτοῦ πίστεως παρηγγυᾶτο τὸ βέβαιον. διάκονος γὰρ ταχθεὶς, μάρτυς ἀνεδείχθη· εἰς χηρῶν καταστάθεὶς χρείαν, εἰς θαυμάτων προέκοψε χάριν. τραπεζῶν ἐτάγη διάκονος, καὶ τεράστιων ἀνεδείχθη ἐργάτης. Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως. ἐχέτω, φησὶν, ἐν προσηγορίᾳ τὸν τῆς νίκης στέφανον ὁ Στέφανος· Στέφανος, ὁ ἀμελέτητον πόλεμον γνωρίσας τῷ βίῳ, ὁ ἀδίδακτον μάχην ἐμφανίσας τῷ κόσμῳ. οὐκ εἶχεν ἐν ἔθει τοῦτο ἡ φύσις, καὶ Στέφανος κατὰ ἀσωμάτου στρατιᾶς παρετάξατο μόνος. πίστις γὰρ αὐτῷ τοὺς ἀγῶνας κατώρθου· ἐλπὶς μέχρι τέλους προετρέπετο παλαίειν. Στέφανος πλήρης πίστεως καὶ δυνάμεως· Στέφανος, ὁ αἰχμάλωτον τὸν ἀρχέκακον δείξας, ὁ προαιρέσει γενναίᾳ κατ' αὐτοῦ τρόπαιον ἐγείρας, ὁ δαίμονας παρασκευάσας θρηνεῖν, καὶ ἀνθρώπους χορεύειν. Στέφανος ὁ πρῶτος τῶν μαρτύρων τροπαιοῦχος, ὁ στρατηγὸς τῶν διὰ Χριστὸν ἀγωνιζομένων. ὅστις γὰρ ἂν διὰ Χριστὸν ἄρξηται παλαίειν, Στέφανον εὑρίσκει διδάσκαλον· ὅστις μαρτυρικῶν ἅψηται ἀγώνων, Στέφανον μιμεῖται. Στέφανος ἡ ἀπαρχὴ τῶν διὰ Χριστὸν ἀγωνιζομένων, ἡ κρηπὶς τῶν δι' αὐτὸν ἀποθνησκόντων. Στέφανος πλήρης πίστεως καὶ δυνάμεως, πανταχόθεν περιπεφραγμένος ὁ τοῦ Χριστοῦ στρατιώτης· ἑκατέρωθεν ἐτεθωράκιστο ὁ εὐσεβὴς πολέμαρχος, πλήρης πίστεως καὶ δυνάμεως. ἐπήρκεσαν, φησὶ, ταῦτα πρὸς νίκην, ἐξίσχυσαν ταῦτα παρασχεῖν τὸ τρόπαιον. πίστις γὰρ καὶ δύναμις καὶ τὸν ἀρχέκακον ἐνίκα, καὶ Ἰουδαίους κατέπληττε. πλήρης πίστεως καὶ δυνάμεως ἐποίει σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ. θαυμάτων ὁ ἀριστεὺς ἐνεδείκνυτο πλήθη, τερασίων πλῆθος ὁ Χριστοῦ εἰργάζετο στρατιώτης· ἐποίει σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ. χωλοῖς μὲν χαριζόμενος δρόμους, παρειμένοις δὲ ὑγίειαν ἐκπέμπων, ἵνα πρὸς φθόνον τοὺς ἀρχιερεῖς διεγείρῃ· οὕτως ἐπεθύμει διὰ Χριστὸν γεύσασθαι θανάτου. εἶτα ἐκκαλεῖται κατ' αὐτοῦ ἀνδρῶν ἀσεβεστάτων πεντάπολιν. ἀνέστησαν γάρ, φησί, τινες τῶν ἀπὸ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ. ὢ πόσον ὄχλον ἡ κακία συνήγαγεν· ὢ πόσον δῆμον ὁ φθόνος * συνέτρεψε· Λιβερτίνους, Κυρηναίους, Ἀλεξανδρεῖς, καὶ τοὺς ἀπὸ Κιλικίας καὶ Ἀσίας. ἄπειρος, φησὶν, ὄχλος καθ' ἑνὸς παρετάξατο στρατιώτου· ἄμετρα πλήθη καθ' ἑνὸς ὥρμησαν ἀριστέως· πέντε πόλεων ἄνδρες ἐφ' ἕνα κατέδραμον νεανίαν. ὢ τῆς ἀνιατρεύτου τῶν Ἰουδαίων κακίας. ἐξ αὐτῆς τῆς θέας ἠθέλησαν τὸν ἀριστέα ἐκφοβῆσαι, ἵνα τῇ ὑπερβολῇ τοῦ πλήθους ὑπεκλυθῇ τὰ νεῦρα. εἶτα καὶ τάξιν οἱ παμπόνηροι ἐπιτιθέασι τῇ μάχῃ, καὶ ζητημάτων τῷ Στεφάνῳ ἐν προοιμίοις πλέκουσι λόγους. ἀνέστησαν γάρ, φησί, τινες ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ. τί φασιν, ὦ νεανία, ἀπερισκέπτως ὑβρίζεις τὸ θεῖον; τί μεμελετημένοις λόγοις πείθεις τοὺς ὄχλους; τί θαυμάτων ἀπάτῃ διασκευάζεις τὸ ἔθνος; ὧδε τῶν ζητημάτων τὸ πέρας· Θεός ἐστιν ὁ ἐκ Μαρίας τεχθείς; δημιουργὸς ὁ τοῦ τέκτονος υἱός; οὐ Βηθλεὲμ τούτου κώμη, καὶ τροφὸς ἡ Ναζαρέθ; Θεὸν φαντάζῃ τὸν ἐπὶ γῆς τεχθέντα; Θεὸς, ὁ δι' εὐτέλειαν σπαργανωθεὶς ἐν τῇ φάτνῃ; ὁ ἀποδράσας ὀργισθέντα τὸν Ἡρώδην; ὁ πρὸς κάθαρσιν λουτρὸν δεξάμενος Ἰορδάνην; ὁ πείνῃ δουλεύσας καὶ δίψῃ; ὁ κόπου αἰσθόμενος καὶ ὕπνου; ὁ κρα-

Digitized by Google

ὁ κρατηθεὶς, καὶ μὴ ἰσχύσας διαδρᾶσαι; ὁ ῥαπισθεὶς, καὶ ἑαυτὸν μὴ ἐκδικήσας; ὁ ἀναρτηθεὶς, καὶ κατελθεῖν μὴ ἰσχύσας; ὁ παρὰ πάντα ἐπονείδιστον ὑπομείνας τέλος; τὸν ἐν τάφῳ τεθέντα, ἐν οὐρανοῖς εἶναι φαντάζῃ; τὸν παραπλήσιον θνητοῖς, νεκρῶν ζωὴν εἶναι κηρύττεις; κατεδέχετο ἂν Θεὸς ταῦτα παθεῖν; οὐκ ἐκέλευσε, καὶ τοὺς ἐπελθόντας ἀνεῖλεν; οὐχὶ προστάττων αἰφνίδιον ἐπήγαγε τὸν θάνατον; ἢ παῦσαι τοίνυν τῆς πλάνης, ἢ τὸν ἴσον αὐτῷ δέχου καὶ σὺ θάνατον. Τοιαῦτά τινα λέγοντες ἦσαν συζητοῦντες τῷ Στεφάνῳ. εἶτα ὁ Στέφανος· οὐ παρ' ὑμῖν φυλάττεται τῶν προφητῶν τὰ συγγράμματα; οὐχ ὑμεῖς τὰς τῶν „παλαιὰς ἀναπτύσσετε βίβλους; οὐκ ἐλέγετε ἀλλήλους, ἡμεῖς οἴδα„μεν ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν; „ἡμεῖς τοῦ Μωϋσέως μαθηταί ἐσμεν. οὐχὶ Μωϋσῆς ἔλεγε, προφή„την ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, „αὐτοῦ ἀκούσεσθε; οὐ προέγραψε πόρρωθεν Μιχαίας, καὶ σὺ Βηθλεὲμ „γῆ Ἰούδα οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξε„λεύσεται ἡγούμενος; οὐ τὸν ἀπειρόγαμον ὁ Ἡσαΐας προεπήγγειλε τὸν „τόκον, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει; οὐ τὴν ἐν τῇ φάτνῃ ζώων τὴν παρα„στασιν ὁ Ἀμβακοὺμ προεῖπεν, ἐν μέσῳ δύο ζώων γνωσθήσῃ; οὐ τὴν „ἐν Αἰγύπτῳ φυγὴν διὰ Ἡρώδην εἶπεν ὁ Ἡσαΐας, ἰδοὺ Κύριος ἔρχεται „ἐπὶ νεφέλης κούφης εἰς Αἴγυπτον; οὐ τὸν ὑδάτων τοῦ Ἰορδάνου τὸν δρα„σμὸν ὁ Δαβὶδ προεμήνυσεν· εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν „σε ὕδατα, καὶ ἐφοβήθησαν; οὐ τὴν κόπων καὶ πόνων τὴν ἔκβασιν ὁ Ἡσαΐας „προέγραψεν; αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. οὐ τὴν ἥλων τὴν βίαν Δαβὶδ προεῖπεν ὁ προφήτης, ὤρυ„ξαν χεῖράς μου καὶ πόδας μου; οὐ τὴν ἐν τῷ ξύλῳ ἀνάρτησιν ὁ Μωϋσῆς „προανεκήρυξεν, ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἐπὶ ξύλου; οὐ „τὴν ταφὴν τὴν ἐν μνημείῳ ὁ Ἰακὼβ προέγραψεν, ἀναπεσὼν ἐκοιμή„θη ὡς λέων; οὐ τὰ τῆς ἀναστάσεως προανεφώνησεν ὁ Δαβίδ, ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν; οὐ τὰ τῆς ἀναλήψεως ὁ αὐτὸς προεῖπεν, ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. ἢ δείξατε τοίνυν ἐν ἄλλῳ τὴν τῶν προφητειῶν τὴν ἔκβασιν, ἢ ὡς Θεῷ τῷ ἐσταυρωμένῳ προσκυνήσατε. ὑμεῖς γάρ, ὦ ἀνόητοι, μὴ γινώσκοντες τὴν προφητείαν Μωϋσέως, ἐνομίζετε ψιλὸν ἄνθρωπον σταυροῦν· ἀλλ' ὁ ἐξ ὑμῶν, καθ' ὑμῶν δὲ μᾶλλον, τὸ σκεῦος τῆς ἐκλογῆς, „Παῦλος κέκραγε. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. περὶ αὐτοῦ ἐλέγχων ὑμᾶς ὁ κορυφαῖος τῶν ἀποστόλων ἔλεγεν. ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε. ταύτην ὑμῶν „τὴν φωνὴν πόρρωθεν εἰδὼς Ἡσαΐας ἔλεγεν, οὐαὶ τοῖς λέγουσι τὸ πικρὸν „γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. οὕτω τοίνυν διαλεγομένου τοῦ Στεφάνου, οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. καὶ καλῶς εἴρηται τό, ἀντιστῆναι. ἐπειδὴ γὰρ ἀνωτέρω εἶπεν, ἀνέστησάν τινες τῶν ἐκ τῆς συναγωγῆς, ὧδε λέγει, οὐκ ἴσχυον ἀντιστῆναι. εἰς σιωπὴν οὖν ὠθοῦντο τὴν γλῶσσαν· συνέκλεισαν ἅπαντες τὰ οἰκεῖα χείλη· ἀνέστειλαν τῶν λόγων τὰ βέλη· ἀπεκόσμησαν τῶν ῥημάτων τὰ τόξα· ὑπὸ τὴν γλῶσσαν ἔκρυψαν τῆς κακίας τὸ δόρυ. οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. ὢ τῶν καινῶν πραγμάτων· πῶς καλῶς συγγέγραφεν ὁ ἀοίδιμος Λουκᾶς; πῶς τὰς ἐπαγγελίας τοῦ Χριστοῦ εἰς „πέρας ἦγεν; εἶπε γὰρ ὁ Χριστός, ὅτι δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ „οὐ δυνήσονται ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. καλῶς οὖν λέγει, οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι ᾧ ἐλάλει. ποίᾳ σοφίᾳ; τῷ Χριστῷ τῷ ἐν αὐτῷ φθεγγομένῳ. καὶ ὅτι ὁ Χριστὸς σοφία, ἡκέτω Παῦλος λέγων, Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. ὅτι δὲ λαλεῖ ἐν τοῖς εὐχαριστοῦσι, γράφων ἐν ἄλλοις ἔλεγεν, εἰ δοκι„μὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, „ἀλλὰ δυνατεῖ ἐν ὑμῖν· καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ. τουτέστι, τῷ Χριστῷ. τίς γὰρ ἀντιστήσεται αὐτῷ, καὶ ὑπομενεῖ; καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. ποίῳ πνεύματι; τῷ „παρακλήτῳ, περὶ οὗ ἐν πρώτοις ἔλεγε· Στέφανος δὲ πλήρης πί„στεως καὶ δυνάμεως· καὶ αὖθις, ὑπάρχων δὲ πνεύματος ἁγίου πλήρης, „ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ. τότε οὖν ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ τὸν Θεόν. διεδέξατο ψευδομαρτυρία τὸν φθόνον· ὑπέβαλον ἄνδρας, ἀργυρίῳ ἠγόρασαν τὸ ψεῦδος. δεῦτε, λέγοντες, ὦ τίμιοι ἄνδρες, τοῖς ἡμετέροις τὰ ὑμέτερα διακονήσατε· ἐν τοῖς ἡμῶν σκέμμασιν ἡ ὑμῶν ὑπουργησάτω γλῶσσα· τοῖς ἡμετέροις βουλεύμασιν ὑπηρετησάτω τὸ ὑμέτερον στόμα. ἔκδικος γὰρ τοῦ Γαλιλαίου ἀνέστη, ὑπέρμαχος ἐκείνου ἠγέρθη καὶ ἀντίμαχος. Θεὸν ἐν τάφῳ κείμενον γεραίρει· δημιουργὸν τὸν ἐν τύμβῳ συγκλεισθέντα κηρύττει· τὸν ἐν μνημείῳ τεθέντα ἐν τοῖς οὐρανοῖς φαντάζεται εἶναι· τὸν ὑπὸ στρατιωτῶν ἐμπαιχθέντα, σὺν τῇ στρατιᾷ τῇ οὐρανίῳ φησὶ διάγειν· τὸν μήτε ἑαυτὸν ἐκδικῆσαι ἰσχύσαντα, κριτὴν ἐπαγγέλλεται τῆς κτίσεως. Ἰωσὴφ ἀπέθετο τὸ τούτου σῶμα ἐν μνημείῳ, καὶ οὗτος αὐτὸν ἐκ δεξιῶν τοῦ Θεοῦ φαντάζεται ὑπάρχειν· οἱ μαθηταὶ αὐτοῦ

A qui tentus eſt, nec aufugere valuit? qui alapis cæſus eſt, neque
ſeipſum eſt ultus? qui ſuſpenſus eſt nec deſcendere potuit? qui
execrandum & ignominioſum finem ſortitus eſt? eum qui po-
ſitus eſt in ſepulchro, in cœlo eſſe confingis? qui mortalibus eſt
æqualis, eum mortuorum eſſe prædicas vitam? Num igitur Deus
iſta pati ſuſtinuiſſet? nonne ſolo mandato ſuo ſeſe invadentes
necaſſet? nonne imperans ſubito mortem intuliſſet? Aut ergo
ceſſa ab hac impoſtura, aut parem tu quoq; mortem excipe. Ta-
B lia quædam dicebant dum cum Stephano diſputarent. Tum Ste-
phanus, Nonne Prophetarum apud vos ſcripta ſervantur? nonne
vos libros veteris Teſtamenti pervolutatis? nonne invicem di-
cebatis, *Nos ſcimus quia Moyſi locutus eſt Deus, hunc autem neſci-* Jo. 9. 29.
mus unde ſit? nos Moyſis diſcipuli ſumus. Nonne Moyſes dixit,
Prophetam ſuſcitabit vobis Dominus Deus de fratribus veſtris, Act. 6. 37.
tanquam me ipſum audietis? nonne ante multos annos ſcripſit
Michæas, *Et tu Bethleem terra Juda nequaquam minima es in* Matt. 2, 6.
C *principibus Juda: ex te enim exiet dux.* Nonne partum innuptæ Mich. 5, 2.
prænuntiavit Eſaias? *Ecce virgo in utero habebit.* Nonne aſſiſtora Eſa. 7, 14.
in præſepio, duo animalia prædixit Abacuc, *In medio duorum* Abac. 3, 2.
animalium cognoſceris? nonne fugam in Ægyptū propter Hero-
dem dixit Eſaias, *Ecce Dominus venit ſuper nubem levē in Ægy-* Eſa. 19, 1.
ptum? nonne Jordanis aquarum fugam David præſignificavit?
Viderunt te aquæ Deus, viderunt te aquæ: & timuerunt? nonne Pſal. 76, 17.
moleſtiarum & laborum ejus eventum ante ſcripſit Eſaias? *Ipſe* Eſa. 53, 4.
D *peccata noſtra accepit & ægrotationes portavit:* nonne clavorum
violentiam David Propheta prædixit, *Foderunt manus meas &* Pſ. 21, 17.
pedes meos? nonne ſuſpenſionem in ligno Moyſes ante prædica- Deu. 28, 66
vit, *Videbitis vitam veſtram pendentem in ligno?* nonne ſepultu-
ram in monumento Jacob ante ſcripſit, *Recumbens dormivit, ut* Gen. 49. 9.
leo: nonne reſurrectionem David prænunciavit, *Surge Deus, ju-* Pſal. 81, 8.
dica terram? nonne quæ ad aſcenſionem ſpectant idem prædixit,
Aſcendit Deus in jubilo? Aut igitur in alio quopiam oſtendite Pſal. 46, 6.
E prophetias eſſe completas, aut tanquam Deum crucifixum ado-
rate. Nam vos quidem ô ſtulti Moyſis prophetiam ignorantes,
nudum vos hominem crucifigere putatis, verum is qui ex vo-
bis eſt, vel contra vos potius, vas electionis Paulus clamat: *Si
enim cognoviſſent, nunquam Dominum gloriæ crucifixiſſent.* De ip-
ſo redarguens vos Princeps Apoſtolorum dicebat; Vos autem
ſanctum & juſtum negaſtis, & petiſtis virum homicidam dona-
ri vobis: auctorem vero vitæ interfeciſtis. Veſtram hanc vocem
A cùm multo antè noviſſet Eſaias dicebat, *Væ iis qui dicunt ama-* Eſa. 5, 20.
rum dulce, & dulce amarum. Cùm igitur Stephanus ita diſſere-
ret, non poterant reſiſtere ſapientiæ & ſpiritui qui loquebatur:
recteque dictum eſt illud reſiſtere; nam quia ſuperius dixerat:
Surrexerunt quidam de ſynagoga, hic dicit: Non poterant reſi-
ſtere, itaq; ſilentio lingua eorum compreſſa erat, ſua omnes labia
concludebant, ſermonum ſagittas inhibebant, verborum arcus
compeſcebant: ſub lingua lanceam improbitatis occultabant,
B non poterant reſiſtere ſapientiæ & ſpiritui qui loquebatur. O
res novas & inuſitatas! quàm rectè ſcripſit Lucas, quàm certò
effecit, ut promiſſa Chriſti apparerent. Dixit enim Chriſtus;
Dabo vobis os & ſapientiam: cui non poterunt reſiſtere omnes ad- Luc. 21, 15.
verſarii veſtri. rectè igitur, inquit, Non poterant reſiſtere ſapi-
entiæ & ſpiritui, qui loquebatur. cui tandem ſapientiæ? Chri-
ſto qui in ipſo loquebatur. Chriſtum autem ſapientiam eſſe,
prodeat qui dicit Paulus, Chriſtus Dei virtus, & Dei ſapientia.
C Ipſum autem loqui in iis qui ſe gratos præbent, ut ſcias, alio lo-
co ſcribens ajebat: *An experimentum quæritis ejus qui in me lo-* 1. Cor. 5, 24
quitur Chriſtus: qui in vos non infirmatur, ſed potens eſt in vobis? 2. Cor. 3, 3
Et non poterant reſiſtere ſapientiæ, hoc eſt Chriſto: Quis enim
reſiſtet ei, & ſuſtinebit? Et non poterant reſiſtere ſapientiæ &
ſpiritui, cuinam ſpiritui? Paracleto, de quo in præcedentibus di-
cebat, *Stephanus autem plenus fide & fortitudine:* ac rurſus, *Cum* Act. 6, 8 & 7, 55.
autem eſſet plenus Spiritu ſancto, intendens in cœlum, vidit gloriam
D *Dei.* Tunc itaq; ſummiſerunt viros, qui dicerent ſe audiviſſe eū
dicentem verba blaſphemiæ in Moyſen & Deum. Succeſſit in-
vidiæ falſum teſtimonium: ſummiſerunt viros, pecunia menda-
cium coëmerunt. Venite, ajebant ô venerabiles viri, rebus no-
ſtris ſtudia veſtra ſubminiſtrare: cogitatis noſtris operam lin-
gua veſtra navet: conſiliis noſtris os veſtrum inſerviat. novus
enim Galilæi defenſor exortus eſt: propognator illius ſurrexit
ac vindex. Deum in ſepulchro jacentem colit: creatorem ſepul-
E chro concluſum prædicat: eum qui poſitus eſt in monumento, in
cœlis eſſe contendit: eum cui milites illuſerunt, autumat cū mili-
tia cœleſti verſari: eum qui ne ſeipſum quidem vindicare potuit,
creaturæ judicē fore pollicetur. Hujus corpus Joſephus in monu-
mento repoſuit: & hic eum à dextris Dei ſedere contingit: cujus

dici-

diſcipuli tanquam deceptorem ipſum negarunt, & hic ait fore A omnis ut ei lingua confiteatur: de cruce deſcendere minimè potuit, & hic ejus ſecundùm adventum è cœlis pollicetur, ei malefici convitiabantur, quod neq; ſeipsũ neq; illos ſalvare poſſet, & hic cõtenta voce Salvatorẽ hunc mundi eſſe proclamat. an tale facinus unquam vidiſtis? an verò omninò tantæ dementiæ ac blaſphemiæ verba audiſtis? vos itaque prætextui operam navate, & celebrem apud eos qui nunc vivunt, gloriam vobis

[illegible] comparabitis. Tum verò poſteri calumniatorum, qui Nabuthe B quondam oppreſſerunt, ejuſmodi verbis ſunt uſi: Audivimus eum loquentem verba blaſphemiæ in Moyſen & Deum. Adverſus ipſum, inquiunt, legiſlatorem auſus eſt dicere, denuntiabat ille vobis dicens, *Attendite popule meus legem meam*: & hic

Pſ. 77, 1. clamat fore, ut traditiones mutet Jeſus, quas tradidit nobis Moyſes, in Moyſen apud univerſam gentem venerabilem blaſphemavit: in eum qui auxilium ſibi creaturã omnem aſcivit, qui à gravi ſervitute gentem liberavit, qui virga maris undas in C murum convertit, qui oratione copias Ægyptiorum in profundum demerſit, qui oratione cœleſtem de nocte columnam accendit, qui cœleſtem panem nullaque agriculturæ ope confectum comparavit, qui virga fluenta ex ſterili ſaxo hauſit. In Moyſen. Quid autem de hoc, in Moyſen, ſermonem protraho, adverſus ipſum conditorem linguam extendit: mortuum Deo creatorique oppoſitum prædicat, in Moyſen & in Deum. Commoverunt itaque plebem & ſeniores, & ſcribas: & concurrentes rapuerunt eum, & adduxerunt in concilium: populũ D in iram concitarunt, & enim rapuerunt: ovem rapuerunt feræ, & adduxerũt in conciliũ hypocriſis atq; invidiæ plenum: à veritate alienũ & expers æquitatis: & adduxerunt eum in conciliũ, de quo Hieremias multo antè clamavit, Non ſedi in concilio ipſorum vanitatis. Et ſtatuerunt falſos teſtes dicentes, Homo iſte non ceſſat loqui verba blaſphemiæ adverſus locum ſanctum, & legem: Templum, inquiunt, locum iſtum non eruboit afficere contumeliis, ubi eloquia divina recitantur: ubi Prophe- E tarum ſcripta buccinantur: ubi tabulæ ac manna cœleſte: ubi arca & virga Aaronis; ubi canities Pontificum & dignitas ſeniorum, honorque Scribarum: ſed ludibrium exiſtimat locum: templum vile eſſe pronuntiat, neque contra locum tantum verba facere, ſed & contra legem eſt auſus. Umbram eſſe legem fingit: figuram vetus teſtamentum eſſe audacter prædicat. Galilæum dicit Moyſe eſſe majorem: Mariæ Filium legiſlatore prædicat potentiorem: non ſeniorum eſt reveritus dignitatem: non A Scribarum turbas reformidavit, ſed blaſphemiam in locum legemq; jactavit. Ac verborum ejus ſpecimen iſtud cognoſcite; *audivimus enim eum dicentem, quoniam Jeſus Nazarenus deſtruet locum iſtum & mutabit traditiones, quas tradidit nobis Moyſes.* Mortuum nobis herum comminatur, defunctum dominum nobis denuntiat: Jeſus Nazarenus reſurget, ac locum iſtum deſtruet, ſpectris deluſus eſt hic adoleſcens: celebris templi amœnitatem ignorat: latent eũ labores eorum quæ in ipſo perfecta ſunt: B hanc domum ſapientia Salomonis deſcripſit: cœleſtem gratiam auxiliatricem habuit ſapiens: multas difficultates in hujus operis conſtructione toleravit: atq; octoginta quidem millia lapides in monte cædebant, ſeptuaginta verò millia ligna ſcindebant, triginta millia lapides attrahebãt, ter mille ſexcenti operi præſidebant: liberalem & magnificam in templum manum extendit, ac vix quadraginta & ſex annorum ſpatio potuit opus perficere: & hic dicit fore ut Jeſus Nazarenus locum deſtruat: neq; hoc C tantùm, ſed etiam ut mutet traditiones quas tradidit nobis Moſes: fore ait ut ſanctiſſimum ab illo Sabbatum deſtruatur: circumciſionẽ legis everſum iri à Nazareno pronuntiavit: neomenias noſtras ut viles rejiciendas affirmat: jucunditatem feſti tabernaculorum Mariæ Filium non admittere prædicat: minimè accepta Deo ſacrificia noſtra eſſe confingit: aſperſiones, & ſolitas purgationes mortuum evertiſſe declarat. Quis porrò exitũ Nazareni non novit? ecquando autem mortalis viventes poteſt D ulciſci? Eſaias ſectus eſt, nec uſpiam qui exigeret pœnas comparuit: Hieremias ſuffocatus eſt, & ſe non potuit vindicare: lapidibus è medio ſublatus eſt Nabuthes, nec uſpiam ultor iſtius exoritur: Zacharias mactatus eſt, & ad hunc uſq; diem impuniti permanemus, & Nazareni defuncti vindex iſte conſurgit: mortuũ nobis tanquam judicẽ comminatus: tanquã diſceptatorẽ eum qui ſepulchro conditus eſt ſeductor annuntiat. Poſtea E verò cũ iſti ſic falſas accuſationes proferrent, intuentes eum omnes qui ſedebant in concilio, truculentos in eũ oculos defigentes, ira repleta ſupercilia in eum vibrãtes, ipſo aſpectu perterrefacere athletam conantes, in improbitate ſua Propheticũ oraculum adimplentes: Cõſiderat peccator juſtum, & quærit morti-

A ἠρνήσαντο, ὡς ἀπατεῶνα. καὶ οὗτος λέγει, ὅτι πᾶσα γλῶσσα αὐτὸν ἐξομολογήσεται· ἐκ τοῦ σταυροῦ οὐκ ἴσχυσε καταβῆναι, καὶ δευτέραν αὐτοῦ παρουσίαν οὗτος ἐκ τῶν οὐρανῶν ἐπαγγέλλεται· οἱ κακοῦργοι αὐτὸν ἐβλασφήμουν μὴ δυνάμενον μήτε ἑαυτὸν σῶσαι, μήτε ἐκείνους· καὶ οὗτος τρανοτάτῃ κράζει, ὅτι αὐτός ἐστιν ὁ σωτὴρ τοῦ κόσμου. εἴδετέ ποτε τοιοῦτον τόλμημα, ἠκούσατε δὲ ὅλως τοιαύτης ἀπονοίας καὶ βλασφημίας ῥήματα; ὑπεργήσατε τοίνυν τῇ * σκήψει, καὶ ἐπίκοινον παρὰ τοῖς νῦν B κομίσασθε κλέος. εἶτα οἱ ἀπόγονοι τῶν ἐπὶ Ναβουθὲ συκοφαντῶν τούτοις ἐχρήσαντο λόγοις· ἀκηκόαμεν λαλοῦντος αὐτοῦ ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ τὸν Θεόν. κατ' αὐτοῦ, φησὶ, τοῦ νομοθέτου ἀπετόλμησε λέγειν· αὐτὸς παρήγγειλεν ἡμῖν λέγων, προσέχετε λαός μου τὸν νόμον μου· καὶ οὗτος κράζει, ὅτι Ἰησοῦς ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. εἰς Μωϋσῆν ἐβλασφήμησε, τὸν σεβάσμιον παρ' ὅλον τῷ ἔθνει, τὸν εἰς συμμαχίαν ὅλην λαβόντα τὴν κτίσιν, τὸν δουλείας C χαλεπῆς ἐλευθερώσαντα τὸ ἔθνος, τὸν ῥάβδῳ τὰ τῆς θαλάττης τειχίσαντα ὕδατα, τὸν βυθίσαντα προσευχῇ τὰ τῶν Αἰγυπτίων στρατεύματα, τὸν ἐν νυκτὶ προσευχῇ οὐράνιον ἀνάψαντα στῦλον, τὸν μεθοδεύσαντα οὐράνιον ἀγεώργητον ἄρτον, τὸν ἐξαντλήσαντα τῇ ῥάβδῳ τῆς ἀγόνου τὰ ῥεῖθρα. εἰς Μωϋσῆν. καὶ τί τοῦτο, εἰς Μωϋσῆν, παρεκτείνω τὸν λόγον; καὶ τὸν Θεόν· εἰς αὐτὸν τὸν οὐρανὸν ἠκόντισε τὰ βέλη· κατ' αὐτοῦ τοῦ δημιουργοῦ ἐξέτεινε τὴν γλῶσσαν· νεκρὸν ἀντίθεον κηρύττει τοῦ κτίστου, εἰς Μωϋσῆν, καὶ εἰς τὸν Θεόν. συνεκίνησάν τε τὸν λαὸν, καὶ D τοὺς πρεσβυτέρους, καὶ τοὺς γραμματεῖς· καὶ ἐπιστάντες ἥρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον· εἰς ὀργὴν τὸν λαὸν συνεκίνησαν, καὶ ἥρπασαν αὐτόν· ἥρπασαν οἱ θῆρες τὸ πρόβατον, καὶ ἤγαγον εἰς τὸ συνέδριον, τὸ ὑποκρίσεως ἀνάμεστον καὶ φθόνου· εἰς τὸ συνέδριον τὸ ἀλλότριον ἀληθείας, καὶ χηρεῦον δικαίου· καὶ ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον, περὶ οὗ πόρρωθεν κέκραγεν Ἱερεμίας, οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν ματαιότητος. καὶ ἔστησαν μάρτυρας ψευδεῖς λέγοντας, ὁ ἄνθρωπος οὗτος οὐ παύεται E λαλῶν ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ ἁγίου, καὶ τοῦ νόμου. τὸ ἱερὸν, φησὶ, τὸν τόπον τοῦτον οὐκ ἠρυθρίασεν ἐνυβρίσαι, ὅπου τὰ θεῖα ἀναγινώσκονται ῥήματα· ὅπου τῶν προφητῶν σαλπίζονται συγγράμματα· ἔνθα αἱ πλάκες, καὶ τὸ οὐράνιον μάννα· ὅπου ἡ κιβωτὸς καὶ ἡ τοῦ Ἀαρὼν ῥάβδος· ὅπου ἀρχιερέων πολιὰ, καὶ πρεσβυτέρων ἀξίωμα, καὶ γραμματέων τιμή· ἀλλὰ παίγνιον ἡγεῖται τὸν τόπον, εὐτελὲς τὸ ἱερὸν ἀποφαίνεται· καὶ οὐ μόνον κατὰ τοῦ τόπου ἐτόλμησε φθέγξασθαι, ἀλλὰ A καὶ κατὰ τοῦ νόμου· σκιὰν τὸν νόμον εἶναι φαντάζεται· τύπον τὴν παλαιὰν ἀνυποστόλως κηρύττει· μείζονα τὸν Γαλιλαῖον εἶναι λέγει Μωϋσέως· ἰσχυρότερον τὸν ἐκ Μαρίας τοῦ νομοθέτου κηρύττει· οὐκ ἠρυθρίασε τῶν πρεσβυτέρων τὴν ἀξίαν· οὐκ ἐδειλάσθη τῶν γραμματέων τὰ πλήθη, ἀλλ' ἐβλασφήμησε κατὰ τοῦ τόπου καὶ τοῦ νόμου· καὶ μάθετε αὐτοῦ τῶν λόγων τὴν πεῖραν· ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. νεκρὸν ἡμῖν ἐπαπειλεῖται δεσπότην, τεθνεῶτα ἡμῖν B ἐπαγγέλλεται κύριον· Ἰησοῦς ὁ Ναζωραῖος ἀναστήσεται, καὶ καταλύσει τὸν τόπον τοῦτον. ἐφαντάσθη, φησὶν, οὗτος ὁ νεανίας· ἠγνόησε τοῦ περιβοήτου ναοῦ τὴν τέρψιν· διέλαθεν αὐτὸν τῶν ἐν αὐτῷ τελεσθέντων οἱ πόνοι· ἡ Σολομῶντος σοφία τοῦτον διέγραψε τὸν οἶκον· σύμμαχον εἶχεν ὁ σοφὸς τὴν ἄνωθεν χάριν· πολλοὺς ἀγῶνας ἐν τῇ κτίσει ὑπέμεινε τοῦ ἔργου· καὶ ὀγδοήκοντα μὲν χιλιάδες ἐλατόμουν ἐν τῷ ὄρει· ἑβδομήκοντα δὲ C χιλιάδες ἐξέτεμνον τὰ ξύλα· τριάκοντα χιλιάδες παρεκόμιζον τοὺς λίθους· τρισχίλιοι ἑξακόσιοι ἐπεστάτουν τῷ ἔργῳ· φιλότιμον χεῖρα τῷ ἱερῷ ἐπεξέτεινε, καὶ ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσι μόλις ἠδυνήθη κατασκευάσαι τὸ ἔργον· καὶ οὗτος λέγει, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος καταλύσει τὸν τόπον· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. τὸ πανάγιον σάββατον ὑπ' ἐκείνου καταλυθήσεσθαι λέγει· τὴν ἔννομον περιτομὴν ὑπὸ τοῦ Ναζωραίου ἀνατραπήσεσθαι ἀπεφήνατο. τὰς νεομηνίας ἡμῶν ὡς εὐτελεῖς παραγράφεσθαι D λέγει· τὴν σκηνοπηγιῶν τὴν τέρψιν τὸν ἐκ Μαρίας οὐ παραδέχεσθαι κηρύττει· τὰς θυσίας ἡμῶν ἀπροσδέκτους παρὰ τῷ Θεῷ εἶναι φαντάζεται· τοὺς ῥαντισμοὺς καὶ τὰ συνήθη καθάρσια τὸν θανόντα ἀνατρέψαι ἀποφαίνεται. τίς τοιγαροῦν οὐκ οἶδε τοῦ Ναζωραίου τὸ τέλος; πότε δὲ θνητὸς τοὺς ζῶντας ἀμύνασθαι δύναται; Ἡσαΐας ἐπρίσθη, καὶ οὐδαμοῦ ὁ τὰς δίκας εἰσπράττων· Ἱερεμίας ἐπνίγη, καὶ ἐπεξελθεῖν οὐκ ἠδυνήθη. ὁ Ναβουθὲ λίθοις ἀνῃρέθη, καὶ οὐδαμοῦ ὁ ἔκδικος τούτου· Ζαχα- E ρίας ἐσφάγη, καὶ μένομεν ἕως τοῦ δεῦρο ἀνέγκλητοι· καὶ τοῦ Ναζωραίου θανόντος ὑπέρμαχος ἵσταται οὗτος· ὡς κριτὴν ἡμῖν τὸν νεκρὸν ἐπανατείνεται· ὡς δικαστὴν τὸν ἐν τύμβῳ καταγγέλλει πλανώμενος. εἶτα τούτων οὕτω ψευδῆ κατηγορούντων, ἀτενίσαντες εἰς αὐτὸν πάντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, βλοσυρὸν ὄμμα κατ' αὐτοῦ ἐκτείναντες, ὀφρῦς ὀργῇ μεμεστωμένας κατ' αὐτοῦ ἀκοντίσαντες, ἐξ αὐτῆς τῆς θέας βουλόμενοι ἐκπλῆξαι τὸν ἀγωνιστὴν, ἐν τῇ ἑαυτῶν κακίᾳ τὸ προφητικὸν πληροῦντες λόγιον, Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι

αὐτὸν

αὐτόν· ἀτενίσαντες εἰς αὐτὸν πάντες, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου. ἡ γὰρ περὶ τὸ μαρτύριον χαρὰ προεκπηδῶσα τὰς ὄψεις ἀγγελικὰς τῷ νεανίᾳ περιέστραπτε χάριτας. καὶ διὰ τί τὸ πρόσωπον ἀγγέλου; ἵνα πληρωθῇ ὁ λόγος τοῦ Χριστοῦ, ὃν εἶπεν· „ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· ἀλλ' εἰσὶν ὡς ἄγ„γελοι οἱ ἐν τοῖς οὐρανοῖς. οὕτως ἔλαμψαν Μωυσῆς καὶ Ἠλίας ἐν τῷ ὄρει, ὅτε συνελάλουν τῷ Ἰησοῦ, ὥστε ἰδόντας τοὺς μαθητὰς πεσεῖν ἐπὶ πρόσωπον· οὕτω μέλλουσιν ἐκλάμπειν πάντες οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ τοῦ πατρός. εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. εἶπε δὲ ὁ ἀρχιερεὺς, εἰ ἄρα ταῦτα οὕτως ἔχει; ὢ λόγοι ὑποκρίσεως ἀνάμεστοι· ὢ ῥήματα ἐστολισμένα ἐπιβουλῇ καὶ φθόνῳ. εἰ ἄρα ταῦτα οὕτως ἔχει; ἐτόλμησας, φησὶν, ὦ ἄνερ, τὸν νομοθέτην ἐνυβρίσαι Μωυσέα; ὡς ἄρα τῷ Θεῷ ἀντεστρατεύσας ἀντίθεον; εἰ κατὰ τοῦ παναγίου ἀνερυθριάσας ἐλάλησας τόπου; εἰ τὸν ἐκ Θεοῦ δοθέντα νόμον ἄκυρον εἶναι ἐφαντάσθης; εἰ τὸν Ναζωραῖον ἐναλλάττειν τὰ Μωυσέως ἐνόμισας; μεγάλων κακῶν ἑαυτῷ πρόξενος ἐγένου. εἶτα πρὸς ταῦτα ὁ πρωτομάρτυς· ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε. ἐχέτω, φησὶ, πᾶσα τέως ἡλικία τὴν προσήκουσαν ἑκάστῳ τιμήν. ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε. ἀκούσατε, οὐ λέγω, πείσθητε [τὸ γὰρ ἄπιστον τῆς ὑμετέρας ἐπίσταμαι γνώμης] ἀλλ' ἀκούσατε, ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ἐν τῇ Μεσοποταμίᾳ· οὐκ ἐν τῇ Ἱερουσαλὴμ, οὐκ ἐν τῷ περιβοήτῳ ναῷ, ἀλλ' ἐν τῇ Μεσοποταμίᾳ, ὅπου κατείδωλος ὑπῆρχεν ὁ χῶρος, ὅπου ἀθέοις ἡ πατρὶς συνεπνίγετο. ἐν τῇ Μεσοποταμίᾳ, ὅπου ξοάνοις ἀνεπέμπετο σέβας· ὅπου ξύλοις καὶ λίθοις τὸ παναγίον ἐπετίθετο ὄνομα, ἐκεῖ αὐτῷ ὤφθη. ᾔδει γὰρ ὅτι ἐν ἀκάνθαις γίνεται ῥόδον, καὶ μέσον ζιζανίων εὐγενὴς ἀνατέλλει σῖτος· ὥσπερ ὁ πολύαθλος Ἰὼβ ἐν τῇ ἀσώτῳ χώρᾳ τῇ Αὐσίτιδι ὡς ῥόδον ἐν ἀκάνθαις ὤφθη, καὶ ὡς κρίνον ἐν τριβόλοις, καὶ ὡς φωστὴρ ἐν τῷ σκότει τῆς ἀγνοίας ἔλαμπε ταῖς ἀρεταῖς, καὶ ὡς πύργος ἐν καταστροφῇ ἦν πάσαις ταῖς ἄνω δυνάμεσιν ὑψηλὸς, ἀπὸ γῆς εἰς οὐρανὸν τὰ κατορθώματα ἐπαύξων, ἀπὸ βάθους εἰς ὕψος τῆς δικαιοσύνης τοὺς καρποὺς ἐκπέμπων. ὅθεν ὀσφρανθεὶς * αὐτῶν ὁ Θεὸς τῶν καρπῶν, ὡς καὶ τοῦ „Νῶε μετὰ τὸν κατακλυσμὸν [ὠσφράνθη γὰρ Κύριος ὀσμὴν εὐωδίας] „ἐμαρτύρει τῷ ἰδίῳ θεράποντι· ἰδοὺ ἄνθρωπος δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ, πρὸ τοῦ νόμου τὰ τοῦ νόμου πληρῶν. ἔχων γὰρ τὸν ἔμφυτον νόμον, οὐκ ἐδεήθη τοῦ γραπτοῦ. γνωστὰ γὰρ τῷ Θεῷ ἀπ' αἰῶνός ἐστι πάντα τὰ ἔργα αὐτοῦ. εἶτα λέγει πρὸς τὸν „Ἀβραὰμ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. ἔξελθε ἐκ τῆς γῆς σου. τί, φησὶ, πολύθεος χώρα τὸν τῶν ἐθνῶν περιέχει πατέρα; τί κατείδωλος πατρὶς περιέχει τὸν προπάτορα τοῦ ἔθνους; ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου. δυσχερῆ, ὡς ἐν ἀνθρώποις, τὰ προστεταγμένα τῷ πατριάρχῃ. κατάλιπε, φησὶ, πατρίδα· ἄφες ὅλον τὸ γένος· ἀπόταξαι τῇ γῇ ἐν ᾗ ἐγεννήθης· χωρίσθητι πατρὸς καὶ τεκούσης. ἀλλ' οὐδὲν τούτων τὸν πατριάρχην περιεσάλευσεν· οὐκ ἐλογίσατο καθ' ἑαυτὸν, οἷα γε θνητὸς, ἄδηλά μοι, φησὶν, ὁ ὀφθεὶς ὑπισχνεῖται· ἀβέβαια ἐπαγγέλλεται οὗτος. καταλείπω τοίνυν τὰ ἐν χερσὶ, καὶ τὰ ἀόρατα μεταδιώξω; ἀφίω τὰ ἐν ποσὶ, καὶ τὰ ἄδηλα ποθήσω; ἀλλ' οὐδὲν τούτων ὁ πατὴρ τῶν ἐθνῶν ἐλογίσατο· ἀλλὰ τῇ προσταγῇ, καὶ τῷ χωρισμῷ συνετίθετο· ἐντολὰς ἐλάμβανε, καὶ τὰ ἄδηλα ζητεῖν ἐπεπόθει. πίστις γὰρ αὐτῷ τοῦτον ἀνέκαιε τὸν ἔρωτα. τὰ γὰρ ἐπαγγελθέντα τελείως καταvοήσας, πλέον πρὸς τὴν ἔξοδον τῆς πατρίδος ἐσπούδαζεν. ἔξελθε γὰρ, φησὶν, ἐκ τῆς γῆς σου· ἐκ τῶν μηρῶν σου μέλλω ἐκ σοῦ κατὰ σάρκα γεννᾶσθαι. οὐδέν σοι τοιγαροῦν ὑπισχνοῦμαι· ἀρκεῖ σοι γὰρ μόνον, ἵνα „πατήρ μου χρηματίσῃς. βίβλος γενέσεως Ἰησοῦ υἱοῦ Δαβὶδ, υἱοῦ „Ἀβραάμ. εἶτα τὰ κατὰ τὸν Ἀβραὰμ διηγησάμενος, ὅτι μιᾷ φωνῇ Θεοῦ ὑπήκουσε καλοῦντος· ὅτι προεῖπε τοῦ σπέρματος αὐτοῦ δουλείαν· καὶ ὅτι τετρακοσίοις ἐν Αἰγύπτῳ δουλεύσουσιν ἔτεσι· καὶ ὅτι τῇ δεξιᾷ τοῦ Θεοῦ λυτρωθῶσι τῆς ἀνάγκης· καὶ ὅτι ἔδωκεν αὐτῷ περιτομῆς διαθήκην. λέγει λοιπὸν τὸν τοῦ Ἰσαὰκ παράδοξον τόκον, καὶ ὅτι τῇ ὀγδόῃ αὐτὸν περιέτεμε, καθὼς προσετάχθη. ἔτι λέγει καὶ τὴν τοῦ Ἰακὼβ ἐκ τοῦ Ἰσαὰκ γένεσιν, καὶ ὅτι ὁ Ἰακὼβ δώδεκα Πατριαρχῶν πατὴρ ἀνεδείχθη. λέγει καὶ τὸν φθόνον πρὸς τὸν Ἰωσὴφ τῶν συγγενῶν, καὶ τὴν πρᾶσιν αὐτοῦ τὴν ὑπὸ τῶν ἀδελφῶν ἐν Αἰγύπτῳ· καὶ ὅτι εὗρε χάριν καὶ σοφίαν ἐνώπιον τοῦ βασιλέως τῆς Αἰγύπτου. καὶ ὅτι μετὰ τὴν δουλείαν κύριος καὶ σοφὸς ἀνεδείχθη· λέγει καὶ ὅτι λιμὸς καθ' ὅλου, ὡς εἰπεῖν, ἀνεδείχθη τοῦ κόσμου. καὶ ὅτι Χαναὰν τῇ ἀπορίᾳ τῶν βρωμάτων τὰ οἰκεῖα φίλτατα προέδωκε· καὶ ὅτι ἐν δόξῃ ἐνεφάνισεν ἑαυτὸν Ἰωσὴφ τοῖς ἰδίοις συγγενέσι· καὶ ὅτι μετεκαλέσατο Ἰωσὴφ ἐν Αἰγύπτῳ Ἰακὼβ τὸν πατριάρχην· καὶ ὅτι ἐν ἑβδομήκοντα πέντε ψυχαῖς ὁ Ἰακὼβ ἐκεῖσε κατῆλθε· καὶ ὅτι ἐπληθύνθη Ἰσραὴλ εἰς ἄμετρον ἐν Αἰγύπτῳ· καὶ ὅτι ἕτερος ἀνέστη βασιλεὺς, τὸν Ἰωσὴφ ἀγνοήσας· καὶ ὅτι κατασοφισάμενος τὸ τοῦ Ἰσραὴλ ἐκάκωσεν ἔθνος· καὶ ὅτι τὰ ἄρρενα βρέφη ἔκθετα παρέπεμπε τῷ Νειλῴῳ ποταμῷ. λέγει δὲ καὶ τὴν γέννησιν Μωυσέως τοῦ νο-

A πένωσις ἡ παρὰ τῶν ἐχθρῶν γινομένη· εἴτε διὰ δεσμωτηρίου, εἴτε δι᾽ ἀπαγωγῆς, εἴτε διὰ δικαστηρίου, εἴτε διὰ λιμοῦ, εἴτε διὰ οὑδήποτε πράγματος. τί οὖν ἐστιν; ἐν τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη σκόλοψ τῇ σαρκί μου, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ· ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται· πρόσεχε τίς ἐστιν οὗτος ὁ ἄγγελος τοῦ Σατᾶν. B οὐ γὰρ εἶπεν, ἐδόθη μοι Σατανᾶς ἄγγελος, ἀλλ᾽ ἄγγελος Σατᾶν. ἔθος τῇ γραφῇ, ὃ πολλάκις μὲν εἴρηται, λεχθήσεται δὲ καὶ νῦν. τὰ γὰρ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. διδάσκω γάρ, οὐκ ἐπίδειξιν παρέχομαι λόγων· φυτεύω, οὐχ ἁπλῶς παρέρχομαι. οὐκ εἰμὶ ὁδοιπόρος, ἀλλὰ σπόρον καταβάλλω. ὁ μὲν γὰρ ὁδοιπόρος τρέχει, ἵνα τὴν ὁδὸν ἀνύσῃ. ὁ δὲ σπόρον καταβάλλων σκάπτει, εἶτα καταβάλλει τὸν κόκκον, εἶτα ἐπάγει τὴν γῆν, καὶ ἐν τῷ βάθει τίθησιν, C ἵνα μὴ γυμνὸν προκείμενον τὸ σπέρμα γένηται προβολὴ τοῖς ἄνωθεν ὀρνέοις. ὅπερ οὖν ὁ γεωργὸς ἐπὶ τῶν σπερμάτων, τοῦτο ἐγὼ ἐπὶ τῶν νοημάτων. ὥσπερ γὰρ ἐπὶ τῶν σπερμάτων εἰσὶ κόρακες, οὕτως ἐπὶ τῶν νοημάτων εἰσὶ δαίμονες καὶ διάβολοι, καὶ φροντίδες βιωτικαί. διὰ τοῦτο αὐτὸ περιστέλλω, ἵνα ἐξελθὼν τῇ φροντίδι τῇ βιωτικῇ μὴ λάβῃ τοῦ διαβόλου. ἐὰν μὲν γὰρ ἁπλώσω αὐτό, ἁρπάζεται. ἐὰν δὲ ἐν τῷ βάθει θῶ, διαφυλάττεται. οὐ γὰρ χρεία καιροῦ, ἀλλὰ γνώμης· οὐ χρεία ὑετοῦ, D ἀλλὰ προθυμίας. μετὰ προθυμίας ἄκουσον, μετὰ σπουδῆς περίστειλον· καὶ οὐδεὶς αὐτὸ ἁρπάσαι δύναται. τί οὖν ἔλεγον ἔθος τῇ γραφῇ; τὰ ὀνόματα πολλαχοῦ ἀπὸ τῶν τρόπων τιθέναι, καὶ μὴ ἀπὸ τῆς προσηγορίας ἐκείνης καλεῖν τὸν ἄνθρωπον, ἀφ᾽ ἧς ἐτίμησαν οἱ γονεῖς ἀπ᾽ ἀρχῆς· ἀλλὰ ἀπὸ τῆς προσηγορίας ἐκείνης, ἀφ᾽ ἧς ἡ κακία ἢ ἡ ἀρετὴ δίδωσιν. οἷον τί λέγω· ἐὰν ἴδῃ τινὰ ἀναίσχυντον, κύνα αὐτὸν καλεῖ, οὐ τῷ ἰδίῳ ὀνόματι, ἀλλὰ τῷ ὀνόματι τῆς κακίας· ἐὰν ἴδῃ τινὰ ἅρπαγα, E λύκον αὐτὸν καλεῖ, οὐ τῷ ὀνόματι τῶν γονέων, ἀλλὰ * τῇ πονηρίᾳ τῆς προσηγορίας· ἐὰν ἴδῃ ἑτέρου πονηροῦ ἀνθρώπου ἔργα πράττοντα, ἀπ᾽ ἐκείνου τοῦ ὀνόματος αὐτὸν καλεῖ. ἀλλ᾽ ἵνα μὴ ἁπλῶς αὐτὸ ἀποφαίνωμαι, καὶ ἀπόδειξιν παράσχω τῶν λεγομένων, μάρτυρας ὑμῖν εἰσαγαγεῖν βούλομαι. ὅρασις, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς, κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ τῆς Ἱερουσαλήμ· ἐνταῦθα πρόσεχετε. ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐ- A τοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. οὐαὶ ἔθνος ἁμαρτωλόν. τίσι ταῦτα; τοῖς Ἰουδαίοις. λαὸς πλήρης ἁμαρτιῶν. λέγει αὐτῶν τὰς παρανομίας, τὰς ἁμαρτίας, τὴν διαστροφήν, τὴν τυραννίδα, τὴν τιμωρίαν. ἀρχόμενος εἶπε, κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἱερουσαλήμ· καὶ πάλιν λέγει, ἀκούσατε λόγον Κυρίου ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ ὁ λαὸς Γομόρρας. τί μοι πλῆθος τῶν θυσιῶν B ὑμῶν; λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν· καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. ἐὰν προσφέρητέ μοι σεμίδαλιν μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι. τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου· ποῖα σάββατα μεμίσηκε; ποίας νεομηνίας; ποῖα θυμιάματα; ποίους ταύρους; ποῖα πρόβατα; Σοδομῖται οὐδὲν τούτων ᾔδεισαν· οἱ ἐν Σοδόμοις πρὸ Μωυσέως ἐγένοντο· Σοδομῖται πρὸ τοῦ Ἀβραὰμ ἦσαν· Σοδομῖται ἀπὸ Λὼτ ἦσαν· Σοδομῖται ἀπώλοντο· Σοδομίταις δια- C λέγεται τοῖς καυθεῖσι, τοῖς ἀπολωλόσιν; ἐνταῦθα εἶπε, κατὰ Ἰουδαίας, καὶ κατὰ Ἱερουσαλήμ· ἦλθεν ἐπὶ Σόδομα· ἔδωκε δίκην. τίνι διαλέγεται; ἀνακόλουθα τὰ εἰρημένα, ἐὰν μὴ ἴδῃς τὴν ἑρμηνείαν τῶν λέξεων· ἐὰν δὲ μάθῃς, εὑρίσκεις τὴν ἀκολουθίαν. οὐ γὰρ Σοδομίταις διαλέγεται, ἀλλὰ Ἰουδαίοις, Σοδομίτας αὐτοὺς καλῶν, ἐπειδὴ τὸν τρόπον αὐτῶν ἐκληρονόμησαν, καὶ τὸ ὄνομα αὐτοῖς ἐπιτίθησι, Σοδομῖται, οἱ τὰ ἐκείνων * ἀκούοντες· πάλιν ἀλλαχοῦ· κύνες ἐνεοὶ οἱ Ἰουδαῖοι, οὐ δυνά- D μενοι ὑλακτεῖν· οὐκ ἐπειδὴ εἰς * κύνας μετέπεσαν τὴν φύσιν, ἀλλ᾽ ἐπειδὴ εἰς κύνας τὴν προαίρεσιν. Ἰωάννης ὁ τῆς ἐρήμου πολίτης, τὸ φρόνημα τὸ ὑψηλόν, ἡ γνώμη ἡ ἀχείρωτος, ὁ κάτω βαδίζων, καὶ τῆς οὐρανίας ἁψῖδος ἁπτόμενος, ὁ τῆς στείρας καρπός, ἡ τοῦ ἀφώνου τοῦ πατρὸς λύσις, ἡ φωνὴ τοῦ ἀφώνου, ὁ ἐν τῇ ἐρήμῳ βοῶν, ἐν τῇ μήτρᾳ [ἡ γὰρ μήτρα ἔρημος, στεῖρα γὰρ ἦν] ὁ διπλοῦς κῆρυξ, καταφρονῶν παιδίων, κατεξανιστάμενος τῶν ὁρωμένων, E ἦλθε πρὸς Ἰουδαίους, καὶ λέγει αὐτοῖς, ὄφεις, γεννήματα ἐχιδνῶν· οὐκ ἐπειδὴ ὄφεις ἦσαν τὴν φύσιν, ἀλλ᾽ ἐπειδὴ δόλιοι τὴν προαίρεσιν. ἄλλος πάλιν προφήτης· ἵπποι θηλυμανεῖς ἐγένοντο· ἕκαστος πρὸς τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν. ἵπποις οὖν διαλέγεται; οὐχί, ἀλλὰ τοῖς ἀσελγέσι, τοῖς ἀκολάστοις ἀνθρώποις. αὐτὸς ὁ Χριστὸς τοῖς Ἰουδαίοις· ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστέ. τέκνα οὖν τοῦ

διαβόλου, καὶ τὴν φύσιν εἶχον τοῦ διαβόλου; οὐχὶ, ἀλλὰ τὴν προαίρεσιν ἐμιμήσαντο, καὶ τὸ ὄνομα αὐτοῦ ἔλαβον. καὶ λέγει ἑρμηνεύων αὐτό· ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἐστὶν ἀπ᾽ ἀρχῆς. κατέχετε τὸν κανόνα, ὅτι κύνες οἱ ἀναίσχυντοι, ὅτι λύκοι οἱ ἅρπαγες, ὅτι ὄφεις οἱ δολεροὶ, ὅτι ἀσπίδες οἱ ὕπουλοι, ὄνοι οἱ ἀνόητοι, ἵπποι θηλυμανεῖς οἱ ἀσελγεῖς καὶ ἀκόλαστοι, κορῶναι οἱ ἀκάθαρτοι, Σοδομῖται οἱ τὰ ἐκείνων ζηλοῦντες, οἱ τὰς πράξεις ἐκείνων μιμούμενοι. ἡ ταύτῃ φύσις οὐκ ἐστι πονηρὰ, ἀλλ᾽ ἡ γνώμη ἐστὶν ἡ διεφθαρμένη. κατέχετε μετ᾽ ἀκριβείας· προσέχετε ὅτι τὰ ὀνόματα ἀπὸ τῶν τρόπων τίθενται, καὶ αἱ προσηγορίαι ἀπὸ τῆς γνώμης. καὶ τοῦτο οὐκ ἐν τῇ γραφῇ, ἀλλὰ καὶ ἐν τῇ συνηθείᾳ τῇ κοινῇ. ἐὰν ἴδωμεν σήμερον ἄνθρωπον ἥμερον, λέγομεν, πρόβατον ὁ ἄνθρωπος· ἐὰν ἴδωμέν τινα ἀναισχυντοῦντα, λέγομεν, μὴ γὰρ ἄνθρωπος κύων ἐστίν· ἐὰν ἴδωμεν δολερὸν, ὄφις ὁ ἄνθρωπος. ὁρᾷς ὅτι καὶ ἡ κοινὴ συνήθεια τοῦτον οἶδε τὸν νόμον; ἐὰν ἴδωμεν πολλαῖς πονηρίαις γέμοντα ἄνθρωπον, λέγομεν, Σατανᾶς· οὐκ ἐπειδὴ Σατανᾶς, οὐδὲ κατὰ τὴν φύσιν κοινωνὸς αὐτοῦ ἐστιν, ἀλλὰ τῇ γνώμῃ, ἐπειδὴ ζηλοῖ κατὰ ἀνθρωπίνην δύναμιν τὰ ἐκείνου. οὐκοῦν τὰ ὀνόματα ἀπὸ τῶν τρόπων. ὅταν οὖν ἀκούσῃς καὶ Παύλου λέγοντος, ἐδόθη σκόλοψ τῇ σαρκί μου, ἄγγελος Σατᾶν, μὴ τὸν διάβολον νόμιζε, ἀλλὰ τοὺς τὰ διαβόλου ἐργαζομένους, τοὺς Ἕλληνας, τοὺς Ἰουδαίους, τοὺς δαίμονας· οἷος τότε δαίμων ἄγγελος Σατᾶν. Ἀλέξανδρος ὁ χαλκεὺς, πολλά μοι κακὰ ἐνεδείξατο. ἄγγελος Σατᾶν· τὰ γὰρ τοῦ Σατανᾶ ἔπραττεν· οἷοι ἦσαν οἱ ἐμβαλόντες αὐτὸν εἰς τὸ δεσμωτήριον, οἷοι ἦσαν οἱ μαστίζοντες αὐτόν. ἀνθρώπους οὖν ἀγγέλους τοῦ Σατανᾶ, τοὺς τὰ τοῦ Σατανᾶ ἐργαζομένους, τοὺς * ἐκκόπτοντας τὸ εὐαγγέλιον, τοὺς ἐμποδίζοντας τὸ κήρυγμα, τοὺς μαστίζοντας αὐτὸν, τοὺς ἐλαύνοντας προσέχε· ὅλον ἐλύθη τὸ νόημα. προσέχετε μετ᾽ ἀκριβείας, ἵνα εἰδῆτε καὶ τὸν λέγοντα κάμνοντα, καὶ Παῦλον ἀνθρώπινα πάσχοντα. ἐπειδὴ γὰρ ὁ Χριστὸς ἀνέβη, καὶ τὸ κήρυγμα αὐτοῖς ἐνεχείρισε καὶ τὴν πρεσβείαν τὴν καλήν. ὁ γὰρ Χριστὸς πρεσβευτὴς ἦλθε πρὸς ἡμᾶς παρὰ τοῦ πατρὸς ἀποσταλεὶς πρεσβεῦσαι εἰρήνην. πόλεμος γὰρ ἦν ἀνθρώποις πρὸς τὸν Θεὸν, καὶ ἔπεμψε πρεσβευτὴν, οὐ δοῦλον, ἀλλὰ υἱόν. ὢ κηδεμονία τοῦ ἀποστείλαντος· ὢ φιλανθρωπία τοῦ ἀποσταλέντος. ἀποστείλαντος καὶ ἀποσταλέντος ὅταν ἀκούσῃς, μὴ τοπικὴν νόμιζε μετάβασιν, ἀλλ᾽ οἰκονομίας συγκατάβασιν. ὁ γὰρ καὶ μεθ᾽ ἡμῶν ἦν, ἀλλὰ καὶ παρὰ τῷ πατρὶ ἦν· καὶ Παῦλος λέγει, ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν, καταλλάγητε τῷ Θεῷ. ὑπὲρ Χριστοῦ πρεσβεύεις; πάνυ. καὶ ποῦ ὁ πρεσβευτής; ἀπῆλθε. ποῦ ἀπῆλθε; πρὸς τὸν πατέρα. διὰ τί; βλέπε πράγματα καινότερα ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων. ὅταν ἔθνος πρὸς ἔθνος πρεσβεύῃ, ὁ πρεσβευτὴς ἀδείας ἀπολαύει, τῷ νόμῳ τῆς πρεσβείας· ἐὰν δὲ πάθῃ τι ὁ πρεσβευτὴς, πόλεμος κινεῖται μέγας μεταξὺ τῶν ἐθνῶν. ἐπὶ δὲ τοῦ Θεοῦ τὸ ἐναντίον γέγονεν. ἦλθε παρὰ τοῦ πατρὸς πρὸς ἀνθρώπους, ἐσφάγη ὁ πρεσβευτὴς, καὶ τότε γέγονεν εἰρήνη. ἀλλ᾽ οἱ πρέσβεις ἐρχόμενοι δῶρα φέρουσι, καὶ δῶρα λαμβάνουσι. τί οὖν; ποῖον ἦλθε φέρων δῶρον ἡμῖν, καὶ τὸ δῶρον παράδοξον; ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος, καὶ τὸ δῶρον παράδοξον. τὸ αἷμα αὐτοῦ ἦλθε φέρων δῶρον, τὸ σῶμα αὐτοῦ ἦλθε φέρων δῶρον. καὶ τί παρ᾽ ἡμῶν ἔλαβε δῶρον; πίστιν. καὶ τίς ταύτης μοι ἔδωκε χάριν; ἐπίστευσα ἐγὼ, ἐχαρίσατο ἐκεῖνος, ἐλύθη ἡ ἔχθρα. εἶδες πραγμάτων εὐκολίαν; εἶδες καταλλαγῆς τάχος, ὁ πρεσβευτὴς ἐπειδὰν ἔλθῃ πρὸς ἔθνος, οὐ καταξιοῖ ἀγοραίῳ, ἢ τινὶ τῶν πολιτῶν διαλεχθῆναι, ἀλλ᾽ εὐθὺς ὄρθριος πρὸς βασιλέα εἰσέρχεται. οὗτος ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθέως πόρνῃ διελέχθη, λῃστῇ, καὶ μάγῳ, καὶ τελώνῃ. εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα, καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε τὸ ἱμάτιον τὸ ἐμὸν περιβεβλημένος, ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγενόμενος σοβήσῃ τὴν θήραν· ἀλλ᾽ ἦλθε πρὸς ἄνθρωπον ὡς ἄνθρωπος. ἐπειδὴ τοίνυν ἦλθεν, ἀνήγαγεν ἡμῶν τὴν ἀπαρχήν. καὶ καλέσας τοὺς ἀποστόλους, τὴν πρεσβείαν αὐτοῖς ἐνεχείρισε· λάβετε τὴν πρεσβείαν. ἡμεῖς πῶς δυνάμεθα, δέομαί σου; λάβετε πνεῦμα ἅγιον. σὺ ἐσφάγης, καὶ ἡμεῖς τί ἔχομεν παθεῖν; λάβετε πνεῦμα ἅγιον, καὶ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι· μεθ᾽ ὑμῶν, ὅτι πρεσβεύω· οὐ γὰρ ἐγκατέλιπον ὑμᾶς. ἐπειδὴ τοίνυν ἀνέβη, καὶ τὴν πρεσβείαν αὐτοῖς ἐνεχείρισε, καὶ τί θαυμάζεις, εἰ καὶ αὐτὸς ὁ βασιλεὺς ὁ πατὴρ πρεσβεύει; ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. ὁ ὑβρισθεὶς παρακαλεῖ· ἵνα τί; καταλλάγητε τῷ Θεῷ. ὢ φιλανθρωπία· ὢ ἀγαθότης ἄφατος. ἐπειδὴ τοίνυν ἀνέβη, καὶ τὴν πρεσβείαν τοῖς ἀποστόλοις ἐνεχείρισε· τὰ δὲ πράγματα ἦν ἀδιόρθωτα, καὶ ἡ οἰκουμένη ἀκανθῶν ἔγεμε, καὶ ἀσέβεια ἐτυράννει, καὶ ἡ κακία ἐκράτει, καὶ βωμοὶ ἀνήπτοντο, καὶ

diaboli eſſent, anne etiam eadem natura erant? minimè quidem. Sed quia illius inſtitutum amplecterentur & ingenium referrent, ideóq; & nomen ejus acceperunt. Pergit verò Dominus, & ipſum interpretatur: *Vos filii diaboli eſtis, & cupiditates patris veſtri vultis perficere: ille ab initio homicida fuit.* (Joh. 8, 44.) Hanc igitur regulam teneatis: impudentes, ſunt canes: rapaces, ſunt lupi: malitioſi & fallaces, ſerpentes: ſubdoli, ſunt aſpides: ſtupidi, ſunt aſini: laſcivi & incontinentes, ſunt furentes in fœminas equi: impuri, ſunt cornices: Sodomæi ſunt, qui ſcilicet illorum ſtudia æmulantur, qui actiones illorum imitantur. Et natura quidem ipſa per ſe mala non eſt: ſed animi ſenſa ſunt depravata. Accuratè quidem hoc tenete & advertite: quòd nomina ex moribus imponantur, & appellationes ipſæ, ex animi ſenſu atq; habitu. Neq; verò in ſacris literis ſolùm hoc fieri ſolet: verùm etiam in conſuetudine communi. Nam, ſi hodie videamus ſimplicem aliquem, miniméque malum, dicimus, Homo ovicula: ſin impudentem aliquem, ſtatim hoc in promptu eſt: an non ille homo canis eſt? ſin verò verſipellem & fallacem: Serpens homo, ſtatim occinimus. Vides ergo & vulgò etiam in ſermone leges obſervari? Nam ſi ſceleribus compluribus coopertum aliquem aſpiciamus, ſtatim, Satanas eſt clamamus. Non quidem ideo quòd Satanas ſit, aut naturæ illius particeps: ſed quia ſtudio & ſententiis illum pro virili imitetur, & ſequatur. Hoc igitur confectum eſt: appellationem ex morum ſimilitudine peti. Cùm ergo etiam Paulum dicentem audias: *Datus eſt ſtimulus carni meæ Angelus Satan:* (2. Cor. 12, 7.) noli diabolum intelligere, ſed eos, qui diaboli facta æmulantur: Græcos, Judæos dæmones: qualis fuit dæmon *Alexander ille faber ærarius*, de quo Paulus: *Multa mihi mala oſtendit.* (2. Tim. 4. 14.) Ille quidem certè Angelus erat Satanæ: nam eadem faciebat. Tales erant etiam illi, qui in carcerem illum conjecerant: qui ipſum flagellabant. Ergo homines, Angelos Satanæ, qui illius adminiſtri ſunt, qui Evangelii (In. hyn.) doctrinam extirpant, qui ejus prædicationem impediunt, qui ipſum flagellant, qui profligant, accipe: & omnis illa dubitatio exempta eſt. Hic verò attendite accuratè: ut & Paulum morbo laborantem, & humanitus affectum ſciatis. Poſtquam enim Chriſtus aſcendit, munus Evangelii prædicandi, atq; adeò legationem illam præclaram, diſcipulis commiſit. Chriſtus enim legatus à Patre miſſus ad nos pervenit, ut pacem nobis annuntiaret. Homines enim cum Deo bellum gerebant, qui legatum miſit, non quidem ſervum aliquem, ſed filium, ô curam providentiámq; legantis! ô humanitatem ejus, qui legavit! Cùm audis legantem & legatum, ne tibi migratio de loco in locum in mentem veniat: ſed incarnationis condeſcenſionem cogita. Enimverò & apud Patrem erat, licet etiam nobiſcum eſſet. Et Paulus ait: *Pro Chriſto legatione fungimur:* (2. Cor. 5. 20.) tanquam Deo deprecante per nos, reconciliamini Deo. Legatione fungeris? omnino pro Chriſto. At ubinam eſt legatus ille miſſus? abiit: at quò? ad Patrem. Quid ita verò? Conſidera hic res omnibus humanis rebus admirabiliores. Cùm enim gentes inter ſe legatos mittunt, legatus ille ſanctus inviolatúſque jure legationis habetur: cui, ſi vis aliqua afferatur, bellum magnum inter illas gentes exoritur. Deus autem contrà. Venit enim Dominus à Patre ad genus hominum, & interfectus eſt legatus: túncq; pax inter illos coiit. Verùm cùm legati adveniunt, munera illi & afferunt & viciſſim accipiunt. Quid ergo? quódnam ille nobis donum attulit tam admirandum? Quemadmodũ ille legatus erat admirabilis, ſic etiam munus illius: ſanguinẽ ille ſuum nobis, corpus ſuum ille nobis dono dedit. At quódnam viciſſim accepit? fidem, & quiſnam hujus mihi gratiam dedit? ego credidi, ille largitus eſt: inimicitiæ ſublatæ & abolitæ ſunt. An nondum quàm promptè hæc ſint geſta & confecta, an nondum celeritatem initæ gratiæ animadvertiſti? Cùm legatus aliquis ad gentem aliquam pervenit, non dignatur facilè, aliquem ex imperita multitudine, ex vulgo, aut tenuiorem aliquem, alloqui: ſed rectà manè ad regem ingreditur. Hic noſter legatus cùm adveniſſet, cum meretricula, latrone, mago & publicano collocutus eſt: Num tu legati humanitatem perſpexiſti? Neq; enim ille ad unum, atq; alterum, ſed ad univerſum genus humanum pervenit. Et ſanè mea veſte indutus venit: ne ille, nuda divina natura præſens, adveniens prædam abigeret. Itáq; ad hominem ille, ut homo, venit. Ubi verò legatione ille defunctus eſſet, primitias noſtras ſecum in altum evexit: & vocatis Apoſtolis, legationem illis his verbis commiſit: Suſcipite legationem. At qua ratione nos queamus quæſo. Tu quidem pro nobis hoſtia factus es: nos verò quidnam ſimile perpeti queamus? *Accipite Spiritum ſanctum:* (Joh. 20. 22.) & ego vobiſcum ſum, & vobiſcum legatione fungor: neq; enim (2. Cor. 5. 20. Matth. ult.) vos dereliqui. Ergo cùm aſcenderit, & illis legationem illam commiſerit, quid miraris, quum ipſemet Rex & Pater legatione fungatur? pro Chriſto legatione fungimur, tanquam Deo deprecante per nos. Qui à nobis contumeliis affectus eſt, deprecatur? Quare? Conciliemini Deo. O humanitatem! ô bonitatem, quæ dicendo explicari nequeat! Ergo cùm Dominus cœlos aſcenderet (Rom. 8. 6.) & Apoſtolis legationem illã committeret, omnes quidem res everſæ erant, totúſq; adeò orbis ſpinis refertus erat. Et impietas quidẽ

principatũ obtinebat, malitia invaleſcebat, aræ incendebantur, & nidor inficiebat, ſanguis effundebatur, natura calcabatur, & parentum affectus negligebantur: leges & conſtitutiones violabentur: filias atq; filios dæmonibus immolabant cæteráq; omnia ſolennes cœtus erant, & Rhetorum chori, & Philoſophorum ſcholæ, & dæmonum Bacchanalia, & diaboli poteſtas, & gladii acuti: ubiq; præcipitia, ubiq; ſcopuli, & conſuetudo valentiſſima patrum effectus: majorum impietas, viam quandem voluptatis habens: regum leges corruptæ: & ſervi, & domini: & imperantes, & clientes: divites & tenues, omnes impietate irretiti, & multis artificiis inſtructi. Apoſtoli verò omnino erant duodecim, imò verò undecim. Unus enim ex illis diaboli captivus fuit. Itaq; undecim fuerunt. Paulus itaq; qui neq: eloquentia præſtaret neque divitiis atque opibus afflueret: neque acumine excelleret: neque patriam illuſtrem obtineret: nec corporis robore valeret: nudus, ſolitarius, magis mutus quàm piſcis, obſcurus & ignobilis, ex obſcuris procreatus, idiuta indoctus, oberrabat toto orbe terrarum, ſemen pietatis diſſeminans: cui quidem omnes reſiſtebant: ille quidem ſementem faciebat, & flagellis cædebatur: hic ipſum prehendebat, & in carcerem pertrahebat: hic prehendebat & ad ſartaginem rapiebat: alius offendiculum parabat, & infinita bella erant: foris bella, intus terrores. *Miniſtri ſunt Chriſti? & ego, (ſicut minùs ſapiens dico) plus ego, in laboribus plurimis in plagis abundantius, in carceribus ſupra modum, in mortibus frequenter; à Judæis quinquies quadragenas, una minus accepi, ter virgis cæſus ſum: ſemel lapidatus: naufragium feci: noctе & die in profundo fui, in itineribus ſæpe, periculis fluminum, periculis latronum, periculis ex genere, periculis ex gentibus, periculis in civitate, periculis in ſolitudine, periculis in mari, periculis in falſis fratribus, in labore & moleſtia, in vigiliis ſæpe, in fame & ſiti, in jejuniis ſæpe, in frigore & nuditate:* ut taceam accidentia externa, inſtantia mea quotidiana, ſollicitudo omnium Eccleſiarum. *Quis infirmatur, & ego nõ debilitor? quis ſcandalizatur, & ego non uror?* lapſus eſt frater: hic dolebat: inimicus inſidiatus eſt: hic patiebatur: Scis hoc, quòd averſi ſunt à me omnes Aſiani. Iterum, *Filioli, quos rurſus pario, donec formetur in vobis Chriſtus.* Quomodo verò ſufficere poterat hoſtibus externis, internis, flagellis, doloribus, mari, periculis, carceribus, deportationibus, ſartaginibus, inſidiis, gentibus, regibus, domeſticis, abalienatis, falſis fratribus, inſidiantibus fratribus, infirmis, alienis, deſertoribus, domeſticis, ſupplantantibus? Quomodo, inquem, his malis corpus: quomodo animus ſufficiebat? Catenis vinctus erat, in carcere detinebatur, & ſcribebat litteras: & illinc quidem ejiciebatur, illinc autem inſidiæ ſtruebantur. Hinc quidem Angeli Satanæ, illinc Angelus ipſe Satan. Multi verò Angeli Satanæ: alii quidem in carcere: alii in judiciis. Non ſufficiebat, peſſum ibat, animus illius diſcerpebatur: & canes quidem, à quibus mordebatur, non conſpiciebat: undique illi inſidiæ fiebant. Ad Deum accedit, & ait illi: Te rogo paululum reſpirem: qui enim tot malis ſuffecero? Angelus Satan me petit: inimici, inſidiatores, Græci, Judæi, falſi fratres, imbecilles fratres: inſtar parturientis dolore afficior, & abortum facio: non genero, & alii quidem mihi inſidiantur: hodie quidem in carcere, cras in mari, deinde in pelago & profundo: tum verò fame, ſiti, nuditate, fuſtuario, caminis, itineribus: ubinam ſuffecero? animus mihi eſt unicus, corpus eſt unum. Te rogo, requiẽ mihi concede, ne perpetuò afflicter. Nihil illi Deus reſpondit. Accedit ad ipſum ſecundò. Requiem mihi tribue, te rogo, reſpirabo aliquantulum: homo unicus ſum, & orbem mihi commiſiſti? homo, inquam, unicus ſum, & undiq; telis obruor. Acceſſit ad ipſum denuò, & ait: Te rogo, requiem mihi concede: ne perpetuò afflicter, cui Deus nihil reſpondit. Acceſſit ad ipſum, faſtidio ſummo affectus: velut quinquertio, vel pentathlus eſt quis, qui infinitos, qui ipſũ mordeant, & caput ipſius petant, obtineat. Secundò quidem nihil ei reſpondit, itaque tertio ad ipſum acceſſit: tum verò ei reſpondit: Sed quid ſibi vult iſta dilatio? ut inde edocearis, non eſſe ſtudium precandi orandique remittendum: ut inde diſcas, ſi quid, quod obeſſe poſſit, petas, ſi contra, quàm tu velis, eveniat, non angaris neq; doleas. Sæpenumero ſiquidem petis, quod prodeſſe quidem tibi exiſtimas, quod tamen obeſt. Deus autem non lacrymas, ſed miſeriam tuam conſiderat. Etenim & puer perſæpe à matre panem petit: at ſi quid, quod noxã afferre queat, petat, mater eidem non gratificatur. Non enim quid ægro moleſtum ſit, ſed quid è re noſtra ſit, ſpectare ſolet. Qui febri laborat, continenter medico negotium faceſſit, ut frigidam concedat: et medicus non largitur. Neque enim ille præſentem ægroti cupiditatem perpendit: ſed quibus præſidiis valetudo deinceps reſtitui poſſit, conſiderat. Sic etiam Paulus id quod utile eſſet, petere non noverat. Quam igitur nobis veniam concedimus? ſiquidem omni ſpe abjecta, ille ad ipſum acceſſit, & illi dixit: Reſpirem pauliſper, tot periculis ſublever: rogo, concede mihi vel parvam ab his malis immunitatem: ſolus ſum, & tu mihi orbẽ terrarũ tradidiſti.

Margin notes: ἴσ. κοινοὶ — *Magis mutus quàm piſcis.* — 2. Tim. 1, 18. — 2. Cor. 4, 11 — Gal. 4. 19. — Eſa. 56, 15. — ἴσ. λυπηθῇς.

A κνίσσαι ἐμόλυνον, καὶ αἵματα ἐξεχεῖτο, καὶ φύσις ἐπατεῖτο, καὶ αἰδῶς καταφρονεῖτο, καὶ νόμοι καὶ θεσμοὶ * καινοὶ παρελύοντο· καὶ θυγατέρας αὐτῶν καὶ υἱοὺς αὐτῶν τοῖς δαιμονίοις ἔθυον· καὶ τὰ ἄλλα πάντα ἦσαν πανηγύρεις, καὶ ῥητόρων χοροὶ, καὶ φιλοσόφων σύλλογοι, καὶ δαιμόνων βακχεῖαι, καὶ διαβόλου δυνάμεις, καὶ ξίφη ἠκονημένα, καὶ πανταχοῦ κρημνοὶ, καὶ πανταχοῦ σκόπελοι, καὶ συνήθεια ἡ κρατοῦσα, καὶ αἰδῶς πατέρων, καὶ ἡ προγόνων ἀσέβεια, ὁδὸν ἡδονῆς ἔχουσα, καὶ νόμοι βασιλέων διεφθαρμένοι, καὶ δοῦλοι καὶ δεσπόται, καὶ ἄρχοντες καὶ

B ἰδιῶται, καὶ πλούσιοι καὶ πένητες πάντες ἀσεβείᾳ συμπεπλεγμένοι, καὶ πολλὰς ἔχοντες τὰς μηχανήματα· οἱ δὲ ἀπόστολοι πάντες ἦσαν δώδεκα, μᾶλλον δὲ ἕνδεκα· ὁ γὰρ εἷς αἰχμάλωτος γέγονεν. ἦσαν οὖν ἕνδεκα. ὁ τοίνυν Παῦλος οὐ λόγων δύναμιν κεκτημένος, οὐ χρημάτων περιουσίαν ἔχων, οὐ γλῶτταν ἠκονημένην, οὐ πατρίδος μέγεθος, οὐ γένος περιφανὲς, οὐ σώματος ἰσχὺν, γυμνὸς, μεμονωμένος, ἰχθύων ἀφωνότερος, ἄσημος ἐξ ἀσήμων, ἰδιώτης, ἀμαθής· καὶ

C περιῄρχετο σπείρων κατὰ τὴν οἰκουμένην τὰ σπέρματα τῆς εὐσεβείας, καὶ πάντες ἀντέπιπτον. καὶ ὁ μὲν ἐνέβαλλε, καὶ ἐμάστιζεν· ὁ δὲ ἐλάμβανε, καὶ εἰς δεσμωτήριον εἷλκεν· ὁ δὲ ἐλάμβανε, καὶ εἰς τήγανα ἐνέβαλλεν· ὁ δὲ ἐσκανδάλιζε, καὶ μυρίοι πόλεμοι. ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. Διάκονοι Χριστοῦ εἰσι; [παραφρονῶν λαλῶ] ὑπὲρ ἐγώ. ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις·

D τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς ἀσθενεῖ, καὶ οὐκ

E ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὁ ἀδελφὸς ἔπεσεν, οὗτος ἤλγει· ἐχθρὸς ἐπεβούλευσεν, οὗτος ἔπασχεν· οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ; πάλιν· τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. πῶς ἤμελλεν ἀρκεῖν τοῖς ἔξω, τοῖς ἔσω, ταῖς μάστιξι, ταῖς λύπαις, τῇ θαλάσσῃ, τοῖς κινδύνοις, τοῖς δεσμωτηρίοις, ταῖς ἀπαγωγαῖς, τηγάνοις, ἐπιβουλαῖς, δήμοις, βασιλεῦσιν, οἰκείοις, ἀλλοτρίοις, ψευδαδέλφοις

A ἐπιβουλεύουσιν, ἀδελφοῖς ἀσθενοῦσιν, ἀλλοτρίοις, ἀποτρεχομένοις, τοῖς οἰκείοις, τοῖς σκελιζομένοις; πῶς ἤρκει τὸ σῶμα; πῶς ἤρκει ἡ ψυχή; ἅλυσιν περιέκειτο, δεσμωτήριον ᾤκει, ἐπιστολὰς ἔγραφεν· ἔνθεν ἐξεβάλλετο, ἐκεῖθεν ἐπεβουλεύετο· ἔνθεν ἄγγελοι Σατᾶν, ἐκεῖθεν ἄγγελος Σατᾶν. πολλοὶ ἄγγελοι τοῦ Σατᾶν, οἱ μὲν εἰς δεσμωτήριον, οἱ δὲ εἰς δικαστήριον. οὐκ ἤρκει, ἀπώλλυτο, ἡ ψυχὴ διεσπᾶτο, τοὺς κύνας οὐχ ἑώρα, καὶ ἐδάκνετο, ἐπεβουλεύετο πανταχόθεν·

B προσέρχεται τῷ Θεῷ, καὶ λέγει αὐτῷ· δέομαί σου, ἀναπνεύσω μικρόν. πῶς ἀρκέσω; ὁ ἄγγελος τοῦ Σατᾶν βάλλει με, οἱ ἐχθροὶ, οἱ ἐπίβουλοι, οἱ Ἕλληνες, οἱ Ἰουδαῖοι, ψευδάδελφοι, ἀσθενεῖς ἀδελφοί. ὠδίνω, καὶ γίνομαι ἔκτρωμα. οὐ γεννῶ, καὶ ἄλλοι ἐπιβουλεύουσι· σήμερον εἰς δεσμωτήριον, εἰς θάλασσαν αὔριον, μετ' αὐτὰ εἰς πέλαγος· εἶτα εἰς λιμὸν, εἰς δίψαν, εἰς γυμνότητα, εἰς τήγανα, εἰς καμίνους, εἰς ὁδούς. πῶς ἀρκέσω; μία ψυχὴ, ἓν σῶμα· δέομαί σου, ἄνες

C μοι, ἵνα μὴ κολαφίζωμαι. οὐδὲν αὐτῷ ὁ Θεὸς ἀπεκρίνατο. προσῆλθεν αὐτῷ δεύτερον· ἄνες μοι, δέομαί σου, ἀναπνεύσω μικρόν. ἄνθρωπός εἰμι εἷς, καὶ τὴν οἰκουμένην μοι ἐνεχείρισας. ἄνθρωπός εἰμι εἷς, καὶ πάντες πανταχόθεν βάλλουσι βέλη. προσῆλθεν αὐτῷ ἅπαξ, καὶ λέγει αὐτῷ· δέομαί σου, ἄνες μοι, ἵνα μὴ κολαφίζωμαι. οὐδὲν αὐτῷ ἀπεκρίνατο ὁ Θεός. προσῆλθεν αὐτῷ δεύτερον ναυτιῶν· καθάπερ γὰρ παγκρατιαστὴς μυρίους ἔχων δάκνοντας καὶ βάλλοντας τὴν κεφαλήν. οὐκ ἀπεκρίνατο αὐτῷ τὸ δεύτερον. προσῆλθεν αὐτῷ

D τὸ τρίτον. τότε αὐτῷ ἀπεκρίνατο· διὰ τί ἡ ἀναβολή; ἵνα σὺ παιδευθῇς ἐν προσευχῇ μὴ ἀναχωρεῖν· ἵνα σὺ παιδευθῇς, κἂν αἰτήσῃς τι τὸ ἀσυμφέρον, καὶ τὸ ἐναντίον λάβῃς, μὴ * λυπηθῇς· αἰτεῖς πολλάκις, ὃ νομίζεις συμφέρον, οὐ συμφέρει δέ. ὁ Θεὸς οὐ τοῖς δάκρυσί σου προσέχει, ἀλλὰ τῇ δυστυχίᾳ. ἐπεὶ καὶ παιδίον πολλάκις αἰτεῖ παρὰ τῆς μητρὸς ἄρτον· ἀλλ' εἴ τι βλαβερὸν, ὃ οὐ δεῖ αἰτῆσαι, οὐ δίδωσιν ἡ μήτηρ, οὐ τῇ ὀδύνῃ προσ-

E έχει, ἀλλὰ τῇ ὠφελείᾳ. καὶ ἰατρῷ παρενοχλεῖ συνεχῶς ὁ πυρέττων προσδοθῆναι αὐτῷ ψυχρὸν, καὶ οὐ δίδωσιν ὁ ἰατρός. οὐ γὰρ τῇ πρὸς τὸ παρὸν βλαπτούσῃ ἐπιθυμίᾳ προσέχει, ἀλλὰ τῇ πρὸς τὸ μέλλον λυσιτελούσῃ ὑγείᾳ. οὕτω καὶ ὁ Παῦλος συμφέρον οὐκ ᾔδει αἰτῆσαι. ποίαν ἡμεῖς συγγνώμην ἔχομεν; [οἱ μὲν] ἀπονοηθεὶς προσῆλθεν αὐτῷ, λέγει [αὐτῷ] ἀναπνεύσω μικρὸν, ἄνες τῶν κινδύνων, δός μοι ἄδειαν μικράν. μόνος εἰμὶ, καὶ τὴν οἰκουμένην μοι

ἐγκείμενος. ἅπαξ προσῆλθεν αὐτῷ, καὶ οὐδὲν εἶπε· δεύτερον προσῆλθε, τρίτον προσῆλθεν. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα. ἵνα τί; ἵνα ἀποστῇ ἀπ' ἐμοῦ ὁ ἄγγελος τοῦ Σατᾶν, ὁ ἀντικείμενος. τί ἐστιν; ἵνα ἀπερισπάστως τὸ κήρυγμα κηρύξω, ἵνα μὴ ἔχω ἐπίβουλον, ἵνα μὴ ἔχω ἐχθρόν, ἵνα μὴ μάστιγες, ἵνα μὴ κίνδυνοι, ἵνα μὴ δεσμωτήρια, ἵνα μὴ ἀπαγωγαί, ἵνα μὴ γυμνότης. τοῦτο προσέρχομαι, τοῦτο παρακαλῶ. ἔκαμνον, ἐπόνησα, ἐταλαιπωρήθην, πανταχόθεν ἐθλίβην. τί οὖν αὐτῷ λέγει ὁ Θεός, εἰπέ μοι; ὁ Θεὸς οὐκ ἐπένευσε τῇ αἰτήσει αὐτοῦ, οὐκ ἔδωκεν ὑπὲρ ᾔτει· ἀλλ' εἶπεν, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἀρκεῖ σοι ἡ χάρις μου. ταῦτα βλέπεις, ἃ πάσχεις· ἃ ποιεῖς, οὐ βλέπεις. ἃ ποιοῦσιν εἰς σὲ οἱ ἐχθροί, βλέπεις· ἃ ποιῶ ἐγὼ εἰς σέ, οὐ βλέπεις. μαστίζουσί σε ἐκεῖνοι· ἐγὼ χάριν δίδωμι. εἰσῆλθες εἰς τὸ δεσμωτήριον, ἢ οὐκ εἰσῆλθες; εἰσῆλθον. δέομαί σου, εἶδες ἐκεῖ ἄγγελον Σατᾶν, ἢ οὐκ εἶδες; εἶδον τὸν ἐμβάλλοντά με. ἔδησέ σε, ἢ οὐκ ἔδησε, τί ἐποίησα ἐγώ; οὐκ ἔσεισα τοὺς τοίχους; οὐκ ἤνοιξα τὰς θύρας; οὐκ ἔλυσα τὰ δεσμά; οὐκ ἤγαγόν σοι αἰχμάλωτον τὸν δεσμοφύλακα; μή τι σε ἔβλαψεν ἄγγελος τοῦ Σατᾶν; οὐκ ὠφέλησέ σε ἡ παρ' ἐμοῦ χάρις; οὐ λαμπρότερον τὸ σημεῖον ἐποίησεν; ἀρκεῖ σοι ἡ χάρις μου. καὶ ταῦτα, καὶ ἐκεῖνα ζητεῖς; οὐ θέλεις μάστιγας· πῶς ζητεῖς σημεῖα; οὐ θέλεις κινδύνους· πῶς ζητεῖς θαύματα; ὅτε μαστίζῃ, βλέπεις· ὅτε νεκρὸν ἐγείρεις, οὐ βλέπεις; ὅτε ἐρράγη σου τὰ ἱμάτια, εἶδες· ὅτε τὰ ῥήματά σου νοσήματα δραπετεῦσαι ἐποίησεν, οὐκ εἶδες; ὅτε ἦλθες εἰς τὸ δικαστήριον δεδεμένος, εἶδες· ὅτε εἶπέ σοι ὁ Φῆστος, ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι, οὐκ εἶδες; ἀρκεῖ σοι ἡ χάρις μου. μέγα ὅπλον ἔλαβες, πνεύματος δύναμιν, νικῶσαν τὰς ἐπιβουλάς, λαμπρότερόν σε ἐργαζομένην. τί θέλεις; μηδὲν πάσχειν; καὶ πῶς ἐδείκνυτό μου ἡ δύναμις; ἐδείκνυτο μέν, οὐχ οὕτω δὲ ὡς νῦν. πῶς; ἐπειδὴ γὰρ ὁ Παῦλος καὶ διὰ τοῦτο ἤλγει· οὐαί μοι· βασιλείας κῆρυξ εἰμί, τοῦ Χριστοῦ μαθητής εἰμι, ἀθάνατα ἐπαγγέλλομαι πράγματα· καὶ μαστίζομαι, ὑβρίζομαι, ἄγομαι· μὴ ἀθύμει διὰ τοῦτο. ταῦτά σε λαμπρότερον ποιεῖ. εἰ μὴ ἔπασχες ταῦτα, οὐκ ἦς οὕτω περιφανής. εἰσῆλθες εἰς τὴν φυλακήν. εἰ μὴ ἐδέθης, ἀλλ' εἰσῆλθες ἁπλῶς, κατεῖχέ σε καὶ ἐξήγαγε. νῦν δὲ ἦς δεδεμένος, καὶ ἔλυσέ σε δεθέντα. οἱ πόδες ἐν τῷ ξύλῳ, καὶ ἡ χάρις τοὺς τοίχους ἐσάλευσε. ταῦτα δὲ λέγω, ἵνα μηδεὶς μηδὲ τὰς περὶ ἡμᾶς ἐπιβουλὰς ξενίζηται. ταῦτα λέγομεν, οὐ Παύλῳ ἑαυτοὺς παραβάλλοντες [οὐχ οὕτω μαινόμεθα] ἀλλ' ἵνα δείξωμεν, ὅτι καὶ εἰς ταπεινοὺς ὁ Θεὸς τὸ αὐτὸ ἐμβάλλει· ἀρκεῖ σοι ἡ χάρις μου. οὐκ ἐξεβλήθημεν. ποῦ ἡ χάρις; πλείων ὁ ἔπαινος γέγονεν, * οὗ μυρίοι ἐχθροὶ ἐπεβούλευσαν. ποῦ ἡ χάρις; πλείονες ἐρασταὶ κατέστησαν, οὐχ ὑμῶν με ἐξῆτουν χωρῆσαι. ποῦ ἡ χάρις; καὶ Ἰουδαίους μοι προσέθηκαν· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. μηδέποτε ξενίζου θλῖψιν· συγκεκλήρωται τῷ εὐαγγελίῳ θλῖψις. ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. πῶς μαστίζῃ, καὶ ἀπαλλάττεις τοὺς μαστίζοντας; ἐπιβουλεύῃ, καὶ περιγίνῃ τῶν ἐπιβουλευόντων; ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὃ οὖν ὁ Παῦλος ἤκουσε, τοῦτο θέλεις; τοῦτο ἀρκεῖ σοι; ἵνα μαστίζωμαι, ἀτιμάζωμαι, ὑβρίζωμαι, τοῦτο θέλω· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς. ὢ εὐγνωμοσύνη οἰκέτου· προσῆλθεν αὐτῷ ἀξιῶν ἀπαλλαγῆναι τῶν θλίψεων. ἐπειδὴ δὲ ἤκουσεν, ὅτι ὁ δεσπότης αὐτοῦ οὐ θέλει μόνον, ἀλλὰ καὶ βούλεται τὸ ἐναντίον, τοῦτό σοι δοκεῖ, ἵνα θλίβωμαι, καὶ ἐγὼ τοῦτο βούλομαι, καὶ ὑπὲρ τούτου χάριν ἔχω. οὐκ εἶπε, θέλω, μόνον, ἀλλ' ἀρέσκομαι, βούλομαι, ἐπιθυμῶ μαστίζεσθαι, ἐλαύνεσθαι, στενοχωρεῖσθαι· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις. διὰ τί; ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A Acceſſit ſemel, neque quicquam reſpondit: iterum acceſſit: & tandem tertiò. *Propter hoc Dominum terrogavi:* quam ob cauſam? *ut diſcederet à me* Angelus Satan: id eſt, adverſarii. Quid hoc ſibi vult? ut otioſè & quietè prædicandi munere defungar, ne quem inimicum habeam, ne ſint flagella, ne pericula, ne carceres, deportationes, non nuditas, non inopia. Ob id te convenio, te rogo: laboravi, afflictus ſui, undique dejectus atque proſtratus ſum. Quid ergo quæſo illi Deus reſpondit? Deus non annuit pe- 2.Cor.12,7

B titioni ejus: non dedit, quod petebat, ſed dixit; *Sufficit tibi gratia mea: Virtus enim mea in infirmitate perficitur.* Sufficit tibi gratia mea. Ea quidem quæ tibi dura atque acerba eveniunt, cernis: quæ verò tu facis, non animadvertis: quæ inimici tui inferunt, cernis: & quæ ego in te confero, non conſideras. Illi quidem te flagellis cædunt: ego gratiam largior. Intraſtine carcerem, an non intraſti? Intravi veru. Te rogo, vidiſti ne ibi Angelum Satan: annon? Ego verò vidi, qui me in carcerem conjicie-

C bat, qui me vinculis conſtringebat, Annon conſtringebat? Sed quid ego feci? nonne muros concuſſi? nonne fores aperui? nonne vincula ſolvi? nonne cuſtodem carceris captivum ad te adduxi? Nunquid te Angelus Satan læſit? annon gratia mea tibi plurimum profuit? annon miraculum illud admodum illuſtravit? Sufficit tibi gratia. Tu verò hæc & illa curioſè expetis. Non vis flagellis cædi: quomodo ergo miracula quæris? Nulla pericula vis ſubire: quomodo ergo res admirabiles expetis? Cùm

D flagellis cæderis, vides: cum mortuum excitas, non animadvertis? Cùm veſtes tuæ ruptæ ſunt, obſervaſti: cùm verba tua morbos profligarunt, non animadvertiſti: Cùm vinctus te judicio ſiſteres, obſervaſti: cùm tibi dixit Agrippa: *Fermè, ut Chriſtianus fierem, mihi perſuaſiſti*, non attendiſti? Sufficit tibi gratia mea. Solida & firma arma cepiſti, Spiritus virtutem quæ omnes inſidias ſuperat, & quæ clariorē te efficit. Quid igitur vis? nihil perpeti? Quo igitur modo virtus mea oſtenderetur? oſtenderetur Act.26,28. Agrippa, in Græco eſt Φῆστος, malè.

E illa quidem, ſed aliter atque nunc: quomodo? Poſteaquam enim Paulus etiam ideo dolebat & angebatur: Væ mihi, qui regni Chriſti præco, qui diſcipulus ſum, qui res imortales profiteor, & cædor flagellis, contumeliis afficior, quia abducor: ne idcirco animum abjeceris: hæc enim te clariorem & illuſtriorem reddunt. Quòd ſi hæc non eſſes perpeſſus, non tam clarus eſſes. In carcerem ingreſſus es: ſed niſi vinctus eſſes, & tantùm ſimpliciter introiſſes, detinuiſſet te, & te eduxiſſet, & verò vinctus

A fuiſti, & te conſtrictum vinculis liberavit. Pedes tui ligno illi innexi fuerant & gratia muros illos concuſſit. Hæc à me dicuntur, ne quis etiam illis inſidiis, quæ nobis tenduntur, abalienetur & offendatur: hæc, inquam, dicimus, non quòd nos Paulo ex æquo comparemus (nec enim ita inſanimus) ſed ut planum faciamus: ib. id. Deum humilibus illud ipſum reponere; *Sufficit tibi gratia mea.* 2.Cor.12,7 Non ſumus ejecti, ubi gratia? Laus inde multo clarior & illuſtrior exit, ubi innumerabiles nobis hoſtes inſidiati fuerint. Ubi

B eſt illa gratia? Complures amatores extiterunt, qui me vobis cedere noluerunt, verbi gratia? & mihi Judæos appoſuerunt. *Sufficit tibi gratia mea: Virtus enim mea in infirmitate perficitur.* Nunquam ergo miſeriam averſeris: nam afflictio cum Evangelio quaſi ſorte conjuncta eſt: Sufficit tibi gratia mea: Virtus enim mea in infirmitate perficitur. Quomodo flagellaris, & flagellantes ſubmoves? Quomodo inſidiæ tibi tenduntur, & inſidiantes ſuperas? Virtus enim mea in tua infirmitate perficitur. Quod

C ergo Paulus audivit, hoc idem vis, hoc tibi ſatis eſt? ut flagellis cædar, ignominia & contumeliis afficiar, hoc volo, ait ille. Idcirco glorior in infirmitatibus, in contumeliis, in perſecutionibus. O æquitatem animi hujus ſervi! Equidem ad Deum venerat, ut ab afflictione liberaretur. Ubi verò audivit, Dominum ſuum hoc non modò velle, ſed & contrarium ſibi placere: hoc ita tibi videtur, ut affligar: ergo idipſum & ego volo, & pro eo gratias ago. Non dixit, volò, tantùm: ſed placet, volo, cupio fla-

D gellis cædi, agitari, premi. Idcirco in hoc mihi placeo, in infirmitate, contumeliis, perſecutionibus, naufragiis, neceſſitatibus, anguſtiis. Quid ita? ut virtus Chriſti in me habitet cui gloria ſit in ſecula ſeculorum, Amen.

Εἰς τὸν εὐαγγελισμὸν ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου.

ΠΑΛΙΝ χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα, πάλιν ἀνάκλησις, πάλιν ἐπάνοδος, πάλιν εὐφροσύνης φωνή, πάλιν δουλείας ἀπαλλαγή. ἄγγελος μετὰ παρθένου λαλεῖ, „ἐπειδὴ καὶ γυναικὶ ὡμίλησεν ὁ ὄφις. τῷ μηνὶ τῷ ἕκτῳ, φησίν, „ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ πρὸς παρθένον μεμνηστευμένην ἀνδρί· ἀπεστάλη Γαβριὴλ τὸ παγκόσμιον μηνῦσαι σωτήριον· ἀπεστάλη Γαβριήλ, φέρων τῷ Ἀδὰμ ὑπογραφὴν ἀνακλήσεως· ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον, ἵνα τὴν ἀτιμίαν τοῦ θήλεος εἰς τιμὴν μεταβάλλῃ· ἀπεστάλη Γαβριήλ, ἄξιον εὐτρεπίσαι τῷ καθαρῷ νυμφίῳ τὸν θάλαμον· ἀπεστάλη Γαβριὴλ νυμφεύσασθαι τὸ πλάσμα τῷ πλάσαντι· ἀπεστάλη Γαβριὴλ πρὸς τὸ ἔμψυχον τοῦ βασιλέως τῶν ἀγγέλων παλάτιον·

In annuntiationem glorioſiſſimæ Dominæ noſtræ Dei genitricis.

RUrſus lætitiæ fœlix nuntius, rurſus indicia libertatis, rurſus revocatio, rurſus reditus, rurſus lætitiæ denuntiatio, rurſus à ſervitute liberatio. Colloquitur cum virgine Angelus, Ex edit. Auguſtana 1587. emend. ex miſſ. Bavariæ.

E quandoquidem & cum muliere ſermonem contulit ſerpens. *In menſe*, inquit, *ſexto miſſus eſt angelus Gabriel ad virginem deſponſatam viro.* Miſſus eſt Gabriel, ut totius mundi ſalutem indicaret. Luc. 1, 26. Miſſus eſt Gabriel, qui Adamo ſubſcriptionem revocationis ferebat; miſſus eſt Gabriel ad virginem, ut muliebris ſexus infamiam in honorē tranſmutaret: miſſus eſt Gabriel ut ſponſo puro dignū thalamū præpararet: miſſ' eſt Gabriel ut creatori creaturā deſponſaret: miſſ' eſt Gabriel ad animatū regis Angelorū palatiū: miſſus

miſſus eſt Gabriel ad virginem, deſponſatam quidem Joſeph, ſed Dei filio reſervatam: miſſus eſt incorporeus ſervus ad intemeratam virginem: miſſus eſt immunis à peccato ad eam quæ corruptionis omnis expers erat; miſſa eſt lucerna ut ſolem juſtitiæ denuntiaret: miſſa eſt Aurora quæ velut præcurſor eſſet lucis diurnæ; miſſus eſt Gabriel qui ſignificaret, eum, qui eſt in ſinu Patris, ulnis quoq; maternis geſteri; miſſus eſt Gabriel qui indicaret, eum qui in throno ſedet, etiam in ſpelunca jacere: miſſus eſt miles, qui ſecretum regis propaleret, ſecretum quod fide innotuit, non curioſitate perveſtigatum eſt, ſecretum adorandum, non ſtatere pendendum, ſecretum quod theologia revelatur, non inveſtigatur, ſecretum quod confitemur, non metimur. In menſe ſexto miſſus eſt Gabriel ad virginem. Quem tandem ſextum menſem dicit? Ex quo ſcilicet fœlicem illum nuntium Elizabeth accepit, ex quo Joannem concepit. Unde id porro conſtat? interpretetur ipſe Archangelus, qui his verbis virginem compellavit.
Luc. 1, 36. *Ecce*, inquit. *Elizabeth cognata tua, & ipſa concepit filium, & hic menſis ſextus eſt illi, quæ vocatur ſterilis.* Menſe ſexto. Sextus menſis eſt conceptionis Joannis: oportuit enim ut præcederet miles, oportuit ut anteverteret ſatelles oportuit ut viam præpararet Dominici adventus denuntiator. Menſe ſexto miſſus eſt Angelus Gabriel ad virginem deſponſatam viro, deſponſatam, non copulatam: deſponſatam quidem, verùm conſervatam. Cur verò deſponſatam? ne fortè citiùs diſceret Latro myſterium. Noverat quippe Ma-
Eſa. 7, 14. lus ille per virginem venturum regē: nam & ipſe Eſaiæ voces audierat: *Ecce virgo concipiet, & pariet Filium*, & ſingula fortaſſe obſervabat quæ de virgine prædicta erant, ut cum adimpleri myſterium intellexiſſet, inſtrueret accuſationem. Propterea Dominus per deſponſatam venit: quæ enim deſponſata eſt, deinceps oppignorata eſt. Menſe ſexto miſſus eſt Angelus Gabriel
Eſa. 29, 11. ad virginem deſponſatam viro, cui nomen Joſeph. Audi quid de viro hoc, déque virgine Propheta dicat: *Dabitur liber obſignatus viro ſcienti literas.* Quis iſte liber obſignatus niſi omnino immaculata virgo? A quibus dabitur? à ſacerdotibus ſcilicet. Cuinam verò? Joſeph fabro. Hic eſt ille Joſeph qui honeſtis antè nuptiis conjunctus fuerat, liberóſque ſuſceperat, uxorem conſerer, & ex illo tempore cum magna caſtitatis laude vixerat, in diſciplina & correptione Domini liberos educans, & inſtituens. Ideóque pergens Apoſtolus Paulus ut evangelium prædicaret, & cùm
Gal. 1. unum ex his liberis offendiſſet, ſcripſit dicens. *Alium verò Apoſtolorum vidi neminem, niſi Jacobum fratrem Domini*, non ut ex virgine Maria, ſed ex Joſeph genitum. Cum igitur Sacerdotes cum Joſepho, ut cum caſto viro Mariam conjunxiſſent, eam illi commendarunt, expectantes quouſque nuptiarum tempus adveniret: ipſam autem ille accipiens intactam virginem conſervaturus erat. Id quod multo antè Propheta prædixit, Dabitur, inquit, liber obſignatus viro ſcienti literas, hoc eſt, qui jam nuptiis copulatus ſit, & dicet, non poſſum legere. Quare verò non potes Joſeph? Non poſſum, inquit, legere. Obſignatus enim eſt liber. Cui reſervatur? omnium rerum opifici habitaculum reſervatur. Sed ad rem redeamus. Sexto menſe miſſus eſt Gabriel ad virginem. Haud dubium quin his acceptis mandatis. Huc ades ô Angele, formidabilis adminiſter eſto myſterii! ſecreto miraculo famulare, ut ad perveſtigationem Adami, qui aberravit, deſcendam, à meis compellor miſerationibus. Peccatum enim, eū qui ad imaginē meam efformatus erat, exoletum reddidit, mearúmq; manuum opificium putridum effecit, ia obſcuravit pulchritudinem quam efformavi. Lupus meum pecus depaſcitur, deſertum eſt domicilium paradiſi. Lignum vitæ à gladio flammeo cuſtoditur, & locus deliciarum occluſus eſt. Miſeret me illius, qui oppugnatur, & hoſtem comprehendere ſtatui. Sic tamen id faciam, ut omnes cœlorū virtutes leteat, ubi tibi hoc credo ſe-
Pſal. 86, 2. cretum. Proficiſcere ad virginem, abi ad animatam civitatem, de qua dixit Propheta: *Glorioſa dicta ſunt de te civitas Dei.* Abi ad paradiſum meum ratione præditum, abi ad portam Orientalem, abi ad habitaculum verbo meo dignū, abi ad alterum in terris cœlū, abi ad nubē levem, meiq; adventus imbrem illi ſignifice. Perge ad ſanctuariū mihi præparatū, perge ad incarnationis meæ thalamū, perge ad nuptiale cubiculum meæ ſecundùm carnē nativitatis: loquere ad aures rationalis arcæ, præpara mihi auditus ingreſſum. Sed vide ne virginis animum perculeris, aut perturbaveris. Modeſtè illi ſanctuario te ſiſte, primam illi vocem lætitiæ funde. Tu, dicito Mariæ, Ave, gratia plena, ut ego miſerear Evæ ærumnis ac malis cumulatæ. Hæc cùm audiviſſet Angelus ſic, ut conjicere eſt, apud ſe ratiocinabatur: Mira ſanè res iſta, verbum hoc mentem cujuſvis excedit: Qui Cherubim eſt ipſis formidabilis, quem Seraphim contueri non poſſunt, quem omnes Angelicæ virtutes comprehendere nequeunt,

ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον μεμνηστευμένην μὲν τῷ Ἰωσὴφ, τετηρημένην δὲ τῷ υἱῷ· ἀπεστάλη δοῦλος ἀσώματος πρὸς παρθένον ἀμόλυντον· ἀπεστάλη ὁ ἁμαρτίας ἐλεύθερος πρὸς τὴν φθορᾶς ἀνεπίδεκτον· ἀπεστάλη λύχνος μηνῦσαι τὸν ἥλιον τῆς δικαιοσύνης· ἀπεστάλη ὄρθρος προτρέχων τοῦ φωτὸς τῆς ἡμέρας· ἀπεστάλη Γαβριὴλ δηλῶν τὸν ἐν κόλποις τοῦ πατρὸς, καὶ ἐν ἀγκάλαις τῆς μητρός· ἀπεστάλη Γαβριὴλ, δεικνὺς τὸν ἐν θρόνῳ καὶ ἐν σπηλαίῳ· ἀπεστάλη στρατιώτης, βοῶν τὸ τοῦ βασιλέως μυστήριον· μυστήριον γνωριζόμενον πίστει, οὐκ ἐρευνώμενον πολυπραγμοσύνῃ· μυστήριον προσκυνούμενον, οὐ ζυγοστατούμενον· μυστήριον θεολογούμενον, οὐκ ἐρευνώμενον· μυστήριον ὁμολογούμενον, οὐ μετρούμενον. Τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον. ποῖον ἕκτον μῆνα λέγει; ποίου; ἀφ' οὗ ἐδέξατο Ἐλισάβετ τὸ εὐαγγέλιον, ἀφ' οὗ τὸν Ἰωάννην συνέλαβε. πόθεν οὖν τοῦτο δῆλον; ἑρμηνευέτω αὐτὸς ὁ ἀρχάγγελος, πρὸς τὴν παρθένον λέγων· ἰδοὺ, φησὶν, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱόν· καὶ οὗτος μὴν ἕκτος αὐτῇ τῇ καλουμένῃ στείρᾳ. Τῷ μηνὶ τῷ ἕκτῳ. ἕκτος μὴν τῆς συλλήψεως τοῦ Ἰωάννου. ἔδει γὰρ προφθάσαι τὸν στρατιώτην, ἔδει προλαβεῖν τὸν δορυφόρον, ἔδει προοδοποιῆσαι τὸν μηνυτὴν τῆς δεσποτικῆς παρουσίας. Τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, οὐ συνημμένην· μεμνηστευμένην μὲν, τετηρημένην δέ. διὰ τί μεμνηστευμένην; ἵνα μὴ τάχιον μάθῃ ὁ λῃστὴς τὸ μυστήριον. ὅτι μὲν γὰρ διὰ παρθένου ἥξει ὁ βασιλεὺς, ᾔδει ὁ πονηρός. τῆς γὰρ Ἡσαΐου καὶ αὐτὸς ἠκούσατο φωνῆς, τό, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει· καὶ ἕκαστα εἰκότως παρετήρει τῆς παρθένου τὰ προφθέγματα, ἵν', ὅπου νοήσει ὅτι πληροῦται τὸ μυστήριον τοῦτο, ἐξαρτίσῃ τὸν ψόγον. διὰ τοῦτο ὁ δεσπότης διὰ μεμνηστευμένης ἐλήλυθεν. ἡ γὰρ μνηστευθεῖσα, λοιπὸν κατηγγυᾶτο. Τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσήφ. ἄκουσόν τι περὶ τοῦ ἀνδρὸς τούτου καὶ τῆς παρθένου ὁ προφήτης φησί. δοθήσεται τὸ ἐσφραγισμένον βιβλίον ἀνδρὶ εἰδότι γράμματα. τί τὸ ἐσφραγισμένον βιβλίον, ἢ πάντως ἡ ἀμόλυντος παρθένος; παρὰ τίνων δοθήσεται; παρὰ τῶν ἱερέων δηλονότι. τίνι οὖν; τῷ τέκτονι Ἰωσήφ. οὗτος ὁ Ἰωσὴφ σεμνοῖς γάμοις προσομιλήσας πρότερον, καὶ γεννήσας υἱούς, ἀπεβάλλετο τὴν γαμετὴν, καὶ λοιπὸν διῆγεν ἐν σωφροσύνῃ, ἐκτρέφων τοὺς παῖδας ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. ἀμέλει γοῦν παρελθὼν εἰς τὸ κήρυγμα ὁ ἀπόστολος Παῦλος, καὶ ἕνα τῶν τούτου εὑρηκὼς υἱῶν, γράφει λέγων· ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου· οὐχ ὡς ἐκ τῆς παρθένου Μαρίας, ἀλλ' ἐκ τοῦ Ἰωσὴφ γεννηθέντα. ἐπεὶ οὖν οἱ ἱερεῖς ὡς σώφρονι τῷ Ἰωσὴφ ἡρμόσαντο τὴν Μαρίαν, καὶ παρέθεντο αὐτὴν αὐτῷ, γάμου καιρὸν ἀναμένοντες, ἔμελλε δὲ οὗτος λαμβάνων τηρεῖν ἐν ἀφθαρσίᾳ τὴν παρθένον· τοῦτο πόρρωθεν ὁ προφήτης προανεφώνησε· δοθήσεται, φησὶ, τὸ βιβλίον τὸ ἐσφραγισμένον ἀνδρὶ εἰδότι γράμματα, τουτέστι, γάμοις προσομιλήσαντι. καὶ ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι. διὰ τί οὐ δύνασαι, ὦ Ἰωσήφ; οὐ δύναμαι, φησὶν, ἀναγνῶναι· τὸ γὰρ βιβλίον ἐσφράγισται. τίνι τηρούμενον; τῷ δημιουργῷ τῶν ὅλων κατοικητήριον φυλαττόμενον. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον, πάντως τὰς τοιαύτας ἐντολὰς δεξάμενος· δεῦρο, φησὶν, ὦ ἄγγελε, ὑπουργὸς γενοῦ φοβεροῦ μυστηρίου· ἀποκεκρυμμένῳ διακόνησον θαύματι· εἰς ἀναζήτησιν τοῦ πλανηθέντος Ἀδὰμ κατελθεῖν ὑπὸ τῶν ἐμῶν οἰκτιρμῶν ἐπείγομαι. ἁμαρτία τὸν κατ' εἰκόνα τὴν ἐμὴν πλασθέντα ἐπαλαίωσε, τὸ τῶν ἐμῶν χειρῶν ἐσάθρωσε δημιούργημα, ἠμαύρωσεν ὅπερ ἔπλασα κάλλος· ὁ λύκος τὸ ἐμὸν θρέμμα κατανέμεται· ἔρημόν ἐστι τοῦ παραδείσου τὸ οἰκητήριον· τὸ ξύλον τῆς ζωῆς ὑπὸ τῆς φλογίνης ῥομφαίας φυλάττεται, καὶ κέκλεισται τῆς τρυφῆς τὸ χωρίον. ἐλεῶ τὸν πολεμηθέντα, καὶ συλλαβέσθαι τὸν πολέμιον βούλομαι. λαθεῖν θέλω πάσας τὰς ἐν οὐρανῷ δυνάμεις, σοὶ μόνῳ θαρρῶ τὸ μυστήριον. πρὸς τὴν παρθένον Μαρίαν πορεύθητι. ἄπελθε πρὸς τὴν ἔμψυχον πόλιν, περὶ ἧς ὁ προφήτης ἔλεγε· δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις Θεοῦ. ἄπελθε πρὸς τὸν λογικόν μου παράδεισον· ἄπελθε πρὸς τὴν ἀνατολικὴν πύλην· ἄπελθε πρὸς τὸ ἄξιον ἐμοῦ τοῦ λόγου κατοικητήριον· ἄπελθε πρὸς τὸν δεύτερον ἐπὶ γῆς οὐρανόν· ἄπελθε πρὸς τὴν κούφην νεφέλην· μήνυσον αὐτῇ τῆς ἐμῆς παρουσίας τὸν ὄμβρον· ἄπελθε πρὸς τὸ ἐμοὶ ἡτοιμασμένον ἁγίασμα· ἄπελθε πρὸς τὴν παστάδα τῆς ἐμῆς ἐνανθρωπήσεως· ἄπελθε πρὸς τὸν καθαρὸν νυμφῶνα τῆς κατὰ σάρκα μου γεννήσεως· λάλησον εἰς τὰ ὦτα τῆς λογικῆς κιβωτοῦ, ἑτοίμασαί μοι τῆς ἀκοῆς τὰς εἰσόδους· ἀλλὰ μὴ θορυβήσῃς, μὴ ταράξῃς τὴν ψυχὴν τῆς παρθένου. ἐπιεικῶς τῷ ἁγιάσματι φάνηθι· πρώτην αὐτῇ φωνὴν χαρᾶς ἀναβόησον· σὺ εἰπὲ τῇ Μαριὰμ, χαῖρε κεχαριτωμένη, ἵνα ἐλεήσω ἐγὼ Εὔαν τὴν κεκακωμένην· ἤκουσεν ὁ ἄγγελος ταῦτα, καὶ καθ' ἑαυτὸν, ὡς εἰκὸς, ἐλογίζετο· ξένον τὸ πρᾶγμα, ὑπερβαίνει ἔννοιαν τὸ λαλούμενον· ὁ τοῖς Χερουβὶμ φοβερὸς, ὁ τοῖς Σεραφὶμ ἀθεώρητος, ὁ πάσαις ταῖς ἀγγελικαῖς δυνάμεσιν ἀκατανόητος,

ἡλίκω

Digitized by Google

ἡλίκην συντυχίαν ἐπαγγέλλεται; κόρη αὐτοῦ προσώπου παρουσίαν
μηνύει, μᾶλλον δὲ εἴσοδον δι' ἀκοῆς ὑπισχνεῖται αὐτῇ; καὶ ὁ τὴν
Εὔαν καταδικάσας, τὴν αὐτῆς θυγατέρα δοξάζειν τοσοῦτον ἐπείγεται,
καὶ λέγει, ἑτοίμασαί μοι τῆς ἀκοῆς τὰς εἰσόδους; καὶ δύναται γαστὴρ
χωρεῖν; ὄντως φοβερὸν τὸ μυστήριον. ταῦτα τοῦ ἀγγέλου ἐνθυμουμέ-
νου, ὁ δεσπότης φησὶ πρὸς αὐτόν· τί ταράττῃ καὶ ξενίζῃ, ὦ Γαβριήλ;
οὐ πρώην ἀπεστάλης ἀπ' ἐμοῦ πρὸς Ζαχαρίαν τὸν ἱερέα; οὐκ ἔδω-
κας αὐτῷ τῆς γεννήσεως Ἰωάννου τὰ εὐαγγέλια; οὐκ ἀπιστοῦντι τῷ ἱερεῖ B
τὸ τῆς σιωπῆς ἐπήγαγες πρόστιμον; οὐ κατεδίκασας τὸν πρεσβύτην
τῇ ἀφωνίᾳ; οὐχὶ σὺ ἀπεφήνω, ἐγὼ δὲ ἐκύρωσα; οὐ τῷ εὐαγγε-
λισμῷ σου ἔργον ἐπηκολούθησεν, οὐ συνέλαβεν ἡ στεῖρα; οὐχ ὑπή-
κουσεν ἡ μήτρα; οὐκ ἀνεχώρησεν τῆς ἀκαρπίας ἡ νόσος; οὐκ ἔφυγε
ἡ ἀργία τῆς φύσεως; οὐ νῦν ἐστι σταχυοφοροῦσα ἡ πρώην μὴ καρπο-
φοροῦσα; μὴ ἀδυνατεῖ παρ' ἐμοὶ τῷ κτίσαντι πᾶν ῥῆμα; πῶς οὖν
ἀμφιβολίᾳ περιεβλήθης; τί οὖν πάλιν ὁ ἄγγελος; δέσποτα, τὸ θερα- C
πεῦσαι τὰ τῆς φύσεως ἐλαττώματα, τὸ διαλῦσαι τῶν παθῶν τὸν χει-
μῶνα, τὸ νέκρωσιν μελῶν πρὸς ζωτικὴν ἀνακαλέσασθαι δύναμιν,
τὸ ἐπιτάξαι τῇ φύσει παιδοποιίας ἐνέργειαν, τὸ λῦσαι στείρωσιν ἐν
ὑπερώροις τοῖς μέλεσι, τὸ γεγηρακυῖαν καλάμην μετασχηματ-
ίσαι πρὸς χλοηφόρον σχῆμα, τὸ τὴν ἄγονον ἄρουραν δραγμάτων
ἐξαίφνης ἀναδεῖξαι μητέρα, ἔργον τῆς σῆς ὑπάρχει δυνάμεως ἐκ
συνηθείας τελούμενον· καὶ μαρτυρεῖ Σάρρα, καὶ μετ' ἐκείνην Ῥεβέκκα, D
καὶ πάλιν Ἄννα, τῷ χαλεπῷ τῆς στειρώσεως δουλεύσασαι πάθει·
εἶτα παρά σου τὴν ἐλευθερίαν δεξάμεναι. τὸ δὲ παρθένον τεκεῖν μὴ
συντυχοῦσαν ἀνδρὶ, ἀνώτερόν ἐστι τῶν νόμων τῆς φύσεως. ἀλλὰ καὶ τὴν
σὴν ἐπαγγέλλῃ τῇ παιδὶ παρουσίαν. οὐρανοῦ καὶ γῆς οὐ χωρεῖ σε τὰ
πέρατα· καὶ πῶς σε μήτρα χωρήσει παρθενική; καὶ ὁ δεσπότης φη-
σί· πῶς με ἐχώρησεν ἡ σκηνὴ τοῦ Ἀβραάμ; ὁ ἄγγελός φησιν· ἐπει-
δὴ εἶχε τῆς φιλοξενίας τὸ πέλαγος. εἶτα νόησον, δέσποτα, ἐκεῖ E
ὤφθης τῷ πατριάρχῃ ἐν τῇ παροδίῳ σκηνῇ, καὶ παρώδευσας ὁ
τὰ πάντα πληρῶν. πῶς ἐνέγκῃ ἡ Μαρία τὸ πῦρ τῆς θεότητος; ὁ
θρόνος σου φλέγεται τῇ αἴγλῃ περιλαμπόμενος, καὶ σὲ δύναται
φέρειν ἀκαταπλήκτως ἡ παρθένος; ναὶ μήν. εἰ ἔβλαψε τὸ πῦρ
ἐν ἐρήμῳ τὴν βάτον, βλάψει πάντως καὶ Μαρίαν ἡ ἐμὴ παρουσία·
εἰ δὲ ἐκεῖνο τὸ πῦρ, τὸ σκιογραφῆσαν τὴν τοῦ θείου πυρὸς ἐξ οὐρανοῦ
σου παρουσίαν, ἤρδευσε μὲν τὴν βάτον, οὐ κατέφλεξε δέ· τί ἂν A
εἴποις περὶ τῆς ἀληθείας, οὐκ ἐν πυρὶ φλογὸς, ἀλλ' ἐν σχήματι
ὑετοῦ καταβαινούσης; τότε λοιπὸν ὁ ἄγγελος ἐξεπλήρου τὸ προσ-
ταχθὲν αὐτῷ· καὶ πρὸς τὴν παρθένον πορευθεὶς, καὶ εἰσελθὼν, πρὸς
αὐτὴν ἐβόησε, λέγων· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ
σοῦ. οὐκ ἔτι ὁ διάβολος κατά σου· ὅπου γὰρ τὸ πρῶτον ἔτρωσεν ὁ
πολέμιος, ἐκεῖ τὸ ἔμπλαστρον ὁ ἰατρὸς ἐπιτίθησιν· ὅθεν τὴν ἀρχὴν
τῆς ἐξόδου ὁ θάνατος ἔσχεν, ἐκεῖθεν ἡ ζωὴ τὴν εἴσοδον τῆς ζωῆς ἐπεκτή-
σατο. διὰ γυναικὸς ἐρρύη τὰ φαῦλα, διὰ γυναικὸς πηγάζει τὰ B
κρείττονα. χαῖρε κεχαριτωμένη· μὴ αἰσχυνθῇς ὡς αἰτία καταδί-
κης· μήτηρ γὰρ τοῦ καταδικάσαντος γίνῃ. χαῖρε κεχαριτωμένη·
χαῖρε ἡ τοῦ χηρεύσαντος κόσμου νυμφοτόκε ἀμίαντε· χαῖρε κεχα-
ριτωμένη, ἡ ἐν μήτρᾳ τῆς μητρὸς βυθίσασα θάνατον· χαῖρε ὁ
ἔμψυχος ναὸς τοῦ Θεοῦ· χαῖρε οὐρανοῦ καὶ γῆς ἰσόρροπον οἴκημα· χαῖ-
ρε τῆς ἀχωρήτου φύσεως χωρίον εὐρύχωρον. ἀλλὰ τούτων οὕτως ἐχόν-
των, ἐπέστη τοῖς ἀσθενοῦσιν ὁ ἰατρὸς, τοῖς ἐν σκότει καθημένοις ὁ τῆς C
δικαιοσύνης ἥλιος ἐπεφάνη, τοῖς χειμαζομένοις ἡ ἄγκυρα καὶ ὁ
ἀκύμαντος λιμὴν, τοῖς ἀδιαλλάκτως μισουμένοις δούλοις ὁ πρέσβυς
ἐτέχθη, καὶ εἰρήνης ὁ σύνδεσμος, τοῖς αἰχμαλώτοις ὁ λυτρωτὴς
ἐπεδήμησε, τοῖς πολεμουμένοις ἡ κατασκιὰ τῆς ἀνεκλαλήτου χαρᾶς
καὶ ἀγάπης σκέπη· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὥς φησιν ὁ
θεῖος ἀπόστολος, ἧς γένοιτο διαπαντὸς ἀπολαύειν ἡμᾶς, χά-
ριτι αὐτοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων, ἀμήν. D

Εἰς τὸν ἅγιον Ἰωάννην τὸν πρόδρομον.

ΙΩΑΝΝΟΥ τοῦ Βαπτιστοῦ πανήγυριν ἄγωμεν, πόθῳ στεφανώ-
σωμεν τοῦτον· οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, ὁ
κατὰ τὴν τοῦ Δεσπότου φωνήν. οὐδὲν γὰρ οὕτω τὸν πρόδρομον ἐσέμνυνεν, E
ὡς τὸ βαπτίσαι τὸν Κύριον. ἴωμεν τοίνυν ἐπὶ τὸ Δεσποτικὸν
βάπτισμα, τὸ μάλιστα λαμπρύναν τὸν πρόδρομον τοῦ βασιλέως
τῶν οὐρανῶν· καὶ διαστησώμεθα πόθῳ τῶν τῆς Ἰουδαίας τόπων ἐν-
τὸς, ἐξ ὧν ἀπηρξάμεθα τὴν πρόσοδον τῶν ἀγαθῶν· μᾶλλον
δὲ γράψωμεν τῷ λόγῳ τὰ πράγματα, καὶ τῶν ἀναγνωσμένων
ἄρτι τρυγήσωμεν τὸν καρπόν. ὑποθώμεθα τὸν Ἰορδάνην ἐκεῖνον, τὸν ὑποδεξάμενον τὸν ἑαυτοῦ δημιουργὸν περιβαλλόμενον ἐν σαρκὶ,
ῥέειν διὰ μέσου ἡμῶν· καὶ νομίσωμεν Ἰωάννην τὸν Βαπτιστὴν ἐφεστάναι τοῖς χείλεσι τοῦ ποταμοῦ, καὶ θεασώμεθα τὸν Δεσπότην Χριστὸν προσ-

A qualem congreſſum pollicetur? puellæ, ſuæ ipſius perſonæ præ-
ſentiam denuntiat, vel potiùs ingreſſum per auditum illi promit-
tit? & qui Evam condemnavit, ad ejus filiam cohoneſtandam uſ-
que adeo incitatur. Præpara, inquit, mihi ingreſſum auditus: Sed
nunquid venter incomprehenſibilem poteſt comprehendere?
verè tremendum hoc myſterium. Hæc cùm apud ſe cogitaret
Angelus, Dominus ad ipſum ait: Quid percelleris, ac perturbaris,
ô Gabriel? nónne haud ita pridem à me ad Zachariam ſacerdo-
B tem miſſus es? nónne illi fœlicem nuntium nativitatis Joannis at-
tuliſti? nónne ſacerdoti fidem adhibere recuſanti, ſilentii pœnam
inflixiſti? nónne ſenem vocis privatione damnaſti? nónne tu pro-
nuntiaſti, ego verò confirmavi? nónne annuntiationem tuam
opus ipſum continuò conſequutum eſt? nónne concepit ſterilis?
nónne uterus obedivit? nónne infirmitas ſterilitatis abſceſſit?
nónne naturæ torpor aufugit? nunquid ſegetibus ea nunc abun-
dat, quæ frugibus penitus antea carebat? num impoſſibile apud
C me Creatorem eſt omne verbum? Quomodo ergo te dubitatio
invaſit? Quid ergo rurſus Angelus ad hæc? Domine, inquit, de-
fectus naturæ ſanare, morborum tempeſtatem ſedare, mortifica-
tionem membrorum ad vitalem revocare virtutem, vim liberos
pariendi imperare naturæ, ſterilitatem in membris jam exoletis
tollere, ſtipulam ſenectute confectam informam herbeſcentem
tranſmutare, tellurem infœcundam ſtatim reddere manipulo-
rum feracem, opus eſt à tuo potentia de more perfectum. Teſtis eſt
D Sarra, & poſt eam Rebecca, & rurſus Anna quæ moleſto ſterilita- Gen. 18. 25.
tis morbo laborarunt, & à te ſunt in libertatem vindicatæ. Vir-
ginem verò nullo viri uſam congreſſu peperiſſe, legibus naturæ
ſublimius eſt. At etiam tuum puellæ adventum polliceris. Cœli
terræque te fines non capiunt, quo pacto ergo te uterus capiet
virgineus? Tum ad eum Dominus: Quomodo, inquit, me cœ-
pit Abraham tabernaculum? Cui Angelus reſpondit: Quippe
quod pelagus habuit hoſpitalitatis. Deinde conſidera Domine,
E illic viſus es à Patriarcha in tabernaculo juxta viam poſito, &
pertranſiſti qui omnia comples. Quomodo autem feret Maria
ignem divinitatis? thronus tuus incenditur fulgore colluſtratus,
& ferre te poterit flammis illæſa virgo? Sanè quidem ſi læſit ignis
rubum in deſerto, lædet omnino & Mariam adventus meus: ſin
autem ignis ille, qui divini ipſius ignis è cœlo adventum adum-
brabat, rubum quidem rigabat, minimè autem incendebat,
quid exiſtimas de veritate dicendum quæ non in flamma ignis,
A ſed in ſpecie pluviæ deſcendit? Tum verò poſtea rem imperatam
peregit Angelus, & ad virginem ingreſſus, eam his verbis com-
pellavit: *Ave gratia plena, Dominus tecum.* Non jam amplius Luc. 1, 28.
diabolus contra te; nam ubi primum hoſtis vulnus inflixit, ibi
medicamentum medicus apponit: unde initium egreſſus mors
habuit, inde vita ingreſſum paravit. Per mulierem mala oriun-
tur, per mulierem bona ſcaturiunt. Ave gratia plena. Noli eru-
beſcere tanquam damnationis cauſa: mater enim ejus qui dam-
B navit, per gratiam redderis. Ave gratia plena. Salve quæ mun-
do in viduitate jacenti ſponſum paris impolluta. Ave gratia ple-
na, quæ in utero matris, mortem ſubmergis. Ave templum
Dei animatum. Ave cœli, ac terræ par habitaculum. Ave ſpa-
tioſum incomprehenſibilis naturæ receptaculum. Quæ cùm ita
ſint, ægrotantibus medicus per eam advenit, in tenebris ſeden-
tibus juſtitiæ ſol apparuit, tempeſtate jactatis anchora portúſq;
tranquillus, ſervis implacabili odio disjunctis legatus eſt natus,
C & pacis vinculum, captivis redemptor appulit, bello vexatis
firmum ineffabilis gaudii & charitatis umbraculum. Ipſe enim
eſt pax noſtra, qua utinam æternùm frui poſſimus, benignitate
ipſius Chriſti Deiq; noſtri: cui gloria in ſecula ſeculorum. Amen.

In Sancta Theophania, & in Sanctum Joannem præcurſorem.

Eodem interprete.

D FEſtum diem Joannis Baptiſtæ celebremus, coronemus eum
affectu, quo major inter natos mulierum non ſurrexit, ut
Dominus ipſe teſtatus eſt. Nihil enim Baptiſtam tanto honore
cumulavit, quàm quòd Dominum baptizavit. Pergamus itaq; Matt. 11, 11.
ad baptiſmum Dominicum, qui præcurſorem regis cœlum ma-
ximè exornavit: atque intra Judææ regiones nos ſiſtamus affectu,
ex quibus primos fructus bonorum decerpſimus: vel potiùs res
E ipſas oratione deſcribamus, & hic eorum quæ paulo antè ſunt
lecta, fructum colligamus. Fingamus animo Jordanem illum, qui
præſentem in carne creatorem ſuum ſuſcepit, hìc in medio noſtri
fluere, ac Baptiſtam Joannem exiſtimemus fluminis ripæ aſtare:
atque intueamur Chriſtum Dominum ad famulum ſuum do-

meſſicum accedentem, & baptizatum ab ipſo, & digito indicatum de cœlo Spiritus ſancti allapſu. Adoremus etiam nos conſubſtantialis Trinitatis adoratores, Patrem qui teſtimonium dedit, & Filium cui datum eſt, & Spiritum ſanctum qui & ipſe teſtatus eſt. Sequamur librum Evangeliorum nos ad ea quæ deſideramus manu ducentem, ac divinis literis tanquam veſtigiis inſiſtentes ad myſterium toto orbe celebratum accurramus. Tunc venit Jeſus à Galilæa in Jordanem ad Joannem, ut baptizaretur ab eo. Ad Jordanem venit Dominus: nihil enim intempeſtivè aut prætertationem effecit ſapientiæ theſaurus, ſed ſingula eorum quæ noſtræ redemptionis cauſa ſuſcepit, opportuno tempore exequutus eſt. Nam cùm Deus ſit & opifex omnis temporis omniſq; intervalli, tempus conſtituit, & ejuſmodi dimiſſionis actionibus quaſi floribus quibuſdam initia eorum, quæ exequuturus erat, conſperſit. Tunc venit Jeſus. Tunc; quando vero? quando omnes ætatis gradus excurrit, quando omnem naturæ ſcalam aſcendit, cùm corporis ejus & animæ perfectio eluxit, cum triginta annorum circuitu in virum perfectum evaſit, tum verè ad Jordanem pervenit. & cum peccatoribus peccati expers ad baptiſmũ acceſſit, ac demiſſo capite ad accipiendum hujus manu baptiſmum ſeſe comparavit. Joannes autem Baptiſta cùm eum probè noſſet, quem patre monſtrante noverat jam inde ab utero matris ſuæ, deinde metu ac tremore correptus dexteram à capite retrahens; Quid hoc, inquit, eſt Domine? Quid ſibi vult inſolitum iſtud miraculum? quid hujus progreſſus humilis benigniſque conſpectus? mihi caput inclinas tu Eccleſiæ caput? mihi caput inclinas tu, qui inclinaſti cœlos, & in terram deſcendiſti? mihi caput inclinas tu, qui caput habes Deum? mihi caput inclinas quod Cherubim adorant? mihi caput inclinas, quod Seraphim venerantur & timent? mihi caput inclinas, qui Adamum & Evam in paradiſo tanquam in thalamo matrimonio junxiſti, & illorum capitibus voce coronam impoſuiſti, ac fœcunditatis liberorum benedictionem adjeciſti, his verbis eos compellans.

Gen. 1, 28. *Creſcite & multiplicamini, & replete terram?* Qui oratione deducis ex illo naturam, conſpirationem naturæ, qui partum morti adverſarium oppoſuiſti, ut plures hic propagaret, quàm illa amputaret, qui vitæ rotam volvis ut vis, qui omni ſanctificatione inclinata tibi capita reples: qui nullo contineris loco, qui fluvios miſericordiarum effundis, in hunc fluvium vis deſcendere. & qui fluentorum es conditor hæc elegiſti in quibus verſarere, & baptiſma petis quòd à te in eum finem accepi, ut iis à me daretur, qui eo fortaſſis indigerent? Etenim quid tandem tibi baptiſmo pœnitentiæ eſt opus, qui pœnitentium ipſe miſereris? Quomodo indiges medicina ejuſmodi qui ſolo juſſu aliorum vulneribus mederis? qua in re pœnitentia eges, tu qui omnia gratulatione ac laude digna edis facinora? Nónne te ſola, qua proſequeris mortales, benevolentia ad hæc humana perpetienda demiſit: tu ſervi formam geris quam tibi ipſi finxiſti: & hujus opera tuam imaginem ſanctificaſti, quam diabolus antè corruperat: renovaſti eam ut voluiſti: tu genitor factus es omnium noſtrûm. Nónne relegatus Adam in te revocatus eſt, nónne in te regnat olim damnata tribus? nónne per Mariam Evam erexiſti collapſam? nonne circumis ut homines Angelis æquales reddas? nónne iniquitatem ut inſidioſam generi è terra expellis? nónne juſtitiam & æquitatem ut humanæ nutricem naturæ in vitam introducis? Nonne tenebricoſam fallaciæ noctem abigis? nónne cognitionis divinæ diem oriri facis iis qui ejus voluerint pulchritudinem intueri? Nónne veritatis lucem in omnium animos immittis? nónne nebulas impietatis ut fumum diſſipas? Nónne tanquam ſol juſtitiæ candida corporis nube circumſeptus divinitatis radios undiq; diffundis? Nónne & aſpectu & ingreſſu, & habitu, & cogitatione, & mente, & animo virgo es? nonne ex virgine corpus virginitate prædium tibi condidiſti? An ergo hæc pœnitentia indigent, aut contritione? Quam igitur ob cauſam te baptizabo, fluminis conditor baptiſmique largitor, qui propter amorem tuum erga homines homo fieri voluiſti? nullum eſt in te iniquitatis veſtigium: neq; macula ulla peccati impollutam carnem tuam unquam polluit, neque in ore tuo dolus unquam locum habuit: venenum aſpidum ſub Judaicis labiis occultatur; ſunt enim genimina viperarum, eorúmq; ſunt linguæ doloſæ, tuo verò ex ore vitæ æternæ fontes ſcaturiunt: nam vita cùm ſis, vitam loqueris, & largiris. Quomodo ergo qui præſentem futuramq; vitam largiris, egena ingredeiis hæc fluenta? Reliqui omnes à me baptizantur, hæc à me ſemper audiunt: Pœnitentiam agite, appropinquavit enim regnum cœlorum: & credite in Dominum Jeſum Chriſtum filium Dei unigenitum. In te verò, dum baptizabere, quid eloquar? quid pronuntiabo? dicámne pœnitentiam age? quis verò pœnitentiam tuam ſuſcipiet? Quis enim eſt alius major te Deus? Dicam pœni-

A σερχόμενον τῷ οἰκείῳ θεράποντι, καὶ βαπτιζόμενον ὑπ' αὐτοῦ, καὶ
δακτυλοδεικτούμενον ὑπ' αὐτοῦ οὐρανόθεν τῇ τοῦ πνεύματος ἐπιπτήσει.
καὶ προσκυνήσωμεν καὶ τὴν ὁμοούσιον τριάδα οἱ προσκυνηταὶ, τὸν μαρ-
τυρήσαντα πατέρα, καὶ μαρτυρηθέντα υἱὸν, καὶ μαρτυρῆσαν πνεῦμα
ἅγιον. ἀκολουθήσωμεν τῇ βίβλῳ τῶν εὐαγγελίων ὁδηγούσῃ ἡμᾶς πρὸς
τὰ ποθούμενα. καὶ ταῖς θείαις λέξεσιν ὡς ἴχνεσιν ἐπιβαίνοντες, ἐπι-
δράμωμεν ἐπὶ τὸ πανηγυριζόμενον τῆς οἰκουμένης μυστήριον. τότε
B παραγίνεται, φησὶν, ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην
πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. πρὸς τὸν Ἰορδάνην ὁ δε-
σπότης ἀφικνεῖται· οὐδὲν γὰρ ἀκαίρως, οὐδὲ ἀλόγως εἰργάσατο ὁ τῆς
σοφίας θησαυρὸς· ἀλλ' ἕκαστον ὧν δι' ἡμᾶς ᾠκονόμησεν, εὐκαίρῳ
καιρῷ ἀπέπραξε. θεὸς γὰρ ὢν καὶ δημιουργὸς παντὸς χρόνου καὶ παν-
τὸς διαστήματος, ἔπραξε τὸν χρόνον, καὶ τῶν ἐκεῖ τότε συγκαταβάσε-
σιν ὡς ἄνθεσι κατέβαλε τὰς παρ' αὐτοῦ γεγενημένας τὰς ἀφορμάς·
C τότε παραγίνεται ὁ Ἰησοῦς. τότε· πότε; ὅτε πάντας τῆς ἡλικίας ἀνέ-
δραμε τοὺς βαθμοὺς· ὅτε πᾶσαν τῆς φύσεως ἀνέβη τὴν κλίμακα· ὅτε
τοῦ σώματος αὐτοῦ καὶ τῆς ψυχῆς ἡ τελειότης διέλαμψεν· ὅτε τριά-
κοντα περίοδος ἐνιαυτῶν, ἄνθρωπος τέλειος γενόμενος, ἀψευδῶς
τότε τὸν Ἰορδάνην κατέλαβε, καὶ μετὰ τῶν ἁμαρτωλῶν ἀναμάρτητος
προσῆλθε τῷ βαπτίσματι, καὶ τὴν ἑαυτοῦ κεφαλὴν ὑποκλίνει τῇ
ἐκείνου χειρὶ, τὸ βάπτισμα λαμβάνειν ἠπείγετο. ὁ δὲ Βαπτιστὴς
D Ἰωάννης καταμαθὼν ἀκριβῶς, ὃν ἐμεμαθήκει παρὰ τοῦ πατρὸς ἐκ
τῆς μήτρας τῆς ἰδίας μητρὸς· εἶτα σὺν φόβῳ καὶ τρόμῳ πολλῷ τὴν αὐτοῦ
δεξιὰν συστείλας ἀπὸ τῆς κεφαλῆς, τί τοῦτο, φησὶν, ὦ δέσποτα; τί
ἐστι τὸ παράδοξον θαυματούργημα βούλεται; τί ἡ πρόοδος ταύτης τὸ
ταπεινὸν ἢ τὸ πρᾶον θεώρημα; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις, τῆς ἐκ-
κλησίας ἡ κεφαλή; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις, ὁ κλίνας τοὺς οὐ-
ρανοὺς, καὶ κατελθὼν ἐπὶ γῆς; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις ὁ κεκτη-
E μένος κεφαλὴν τὸν θεόν; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις ἣν τὰ Χε-
ρουβὶμ προσκυνεῖ; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις ἣν τὰ Σεραφὶμ
σέβει καὶ τρέμει; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις, ὁ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν
ἐν τῷ παραδείσῳ, καθάπερ ἐν θαλάμῳ, νυμφοστολήσας, καὶ τὰς
ἐκείνων κεφαλὰς τῇ φωνῇ τὸν στέφανον ἐπιθεὶς, καὶ τὴν εὐπαιδίας τὴν
εὐλογίαν προσθεὶς, καὶ εἰπὼν πρὸς αὐτοὺς, αὐξάνεσθε, καὶ πληθύνε-
σθε, καὶ πληρώσατε τὴν γῆν; ὁ λόγῳ μεθοδεύων ἐξ ἐκείνου τὴν φύσιν, ὁ
τῆς φύσεως τὴν συγκρότησιν, ὁ στρατεύσας κατὰ τοῦ θανάτου τὸν τόκον, ἵνα
A φυτεύῃ πλείονας αὐτοὺς, ὡς ἐκεῖνος κλαδεύῃ· ὁ τοῦ βίου τὸν τροχὸν κυ-
λίων ὡς βούλει· ὁ παντὸς ἁγιασμοῦ πληρῶν τὰς κλινομένας σοι κε-
φαλάς· ὁ μὴ χωρούμενος μηδαμοῦ· ὁ βλύζων ποταμοὺς οἰκτιρμῶν,
εἰς τοῦτον θέλεις συγκαταδῦσαι τὸν ποταμόν; καὶ τῶν ναμάτων ὁ ποιητὴς
τούτοις προσομιλῆσαι προῄρησαι; καὶ τὸ βάπτισμα αἰτεῖς, ὅπερ σύ
μοι δέδωκας εἰς τὸ διδόναι τοῖς δεομένοις; καὶ ποῦ χρείαν ἔχεις βα-
πτίσματος μετανοίας, αὐτὸς μετανοοῦντας ἐλεῶν; ποῦ χρείαν ἔχεις
B τοῦ τοιούτου φαρμάκου προστάγματι μόνῳ θεραπεύων τὰς τῶν ἄλλων
πληγάς; ποῦ σοι δεῖ μετανοίας, εὐφημίας ἄξια πράττων; ὁ συγ-
καταβὰς τοῖς ἀνθρώποις, ὡς μόνος φιλάνθρωπος; σὺ τὴν τοῦ δούλου
μορφὴν φορεῖς, ἣν ἔπλασας σεαυτῷ· καὶ διὰ ταύτης ἡγίασάς σου
τὴν εἰκόνα, ἣν συνέτριψεν ὁ διάβολος, ἀνακαινίσας ὡς ἠθέλησας·
σὺ γεννήτωρ γέγονας πάντων ἡμῶν. οὐκ ἐν σοὶ ὁ ἐξόριστος Ἀδὰμ
ἀνακέκληται; οὐκ ἐν σοὶ βασιλεύει τό ποτε καταδικασθὲν φῦλον; οὐ
C διὰ τῆς Μαρίας τὴν πεσοῦσαν Εὔαν ἀνέστησας; οὐ περιέρχῃ τοὺς ἀνθρώ-
πους ἰσαγγέλους ποιῆσαι βουλόμενος; οὐ τὴν ἀνομίαν ὡς ἐπίβουλον τοῦ
γένους ἐκδιώκεις τῆς γῆς; οὐ τὴν εὐνομίαν ὡς τροφὸν τῆς ἀνθρωπότητος
εἰσάγεις τῷ βίῳ; οὐ τὴν ζοφερὰν νύκτα τῆς ἀπάτης ἀποσοβεῖς; οὐ τὴν
ἡμέραν τῆς θεογνωσίας ἀνατέλλεις τοῖς βουλομένοις τὸ ταύτης κάλλος
ὁρᾶν; οὐ τὸ φῶς τῆς ἀληθείας ἐφαπλοῖς ταῖς πάντων ψυχαῖς; οὐ τὰ νέ-
D φη τῆς δυσσεβείας ὡς καπνὸν διαλύεις, οὐχ ὡς ἥλιος δικαιοσύνης
περιβεβλημένος τὸ λευκὸν νέφος τοῦ σώματος, σπείρεις πανταχοῦ τῆς
θεότητος τὰς ἀκτῖνας; οὐ παρθένος εἶ τὸ βλέμμα, καὶ τὸ βῆμα, καὶ τὸ
σχῆμα, καὶ τὸν λογισμὸν, καὶ τὸν νοῦν, καὶ τὴν ψυχήν; οὐκ ἐκ παρθένου παρ-
θένον σῶμα σαυτῷ κατεσκεύασας; μὴ ταῦτα * διανοίας δεῖται καὶ
κατανύξεως; τίνος οὖν ἕνεκα βαπτίσω σε ποῦ, τῶν ποταμῶν δημιουργὲ,
καὶ τοῦ βαπτίσματος χορηγὲ, καὶ διὰ φιλανθρωπίαν ἄνθρωπε; ἀνο-
E μίας ἴχνος οὐκ ἔστιν ἐν σοὶ, οὔτε κηλὶς ἁμαρτίας ἔχρανέ σου τὴν ἄ-
χραντον σάρκα, οὔτε τῷ στόματί σου ποτὲ δόλος παρήδρευσεν. ἰὸς
ἀσπίδων τοῖς Ἰουδαϊκοῖς ἐπικρύπτεται χείλεσι. γεννήματα γάρ εἰσιν
ἐχιδνῶν. καὶ τούτων αἱ γλῶσσαι τυγχάνουσι δόλιαι· σοῦ δὲ ἐκ τῶν
στομάτων ζωῆς αἰωνίου βρύουσι πηγαί· ζωὴ γὰρ ὑπάρχων, ζωὴν
φθέγγῃ καὶ χορηγεῖς. πῶς οὖν ὁ χορηγὸς τῆς παρούσης καὶ τῆς μελ-
λούσης ζωῆς, τῶν πτωχῶν ἐπιβαίνεις ῥευμάτων; οἱ ἄλλοι πάντες ὑπ' ἐμοῦ βαπτιζόμενοι, ταῦτα ἀκούουσι παρ' ἐμοῦ· μετανοεῖτε·
ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· καὶ πιστεύσατε εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ. ἐπεὶ σοῦ δὲ βαπτιζομένου τί λα-
λήσω; τί φθέγξομαι; εἴπω, μετανοήσατε; ἵνα τίς σου τὴν μετάνοιαν δέξηται; τίς γὰρ ἄλλος ἐστί σου μείζων θεός; εἴπω, μετανόησον·

ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν; καὶ τὴν βασιλείαν τῆς βασιλείας εὐαγγελίσομαι; καὶ σοὶ διαλεχθῶ περὶ σοῦ; ἀγνοεῖς γὰρ ὃ πέφυκας; ἵνα ἐπίστασαι τὴν βασιλείαν τῶν οὐρανῶν, ἣν φέρων τοῖς ἀνθρώποις οὐρανόθεν ἐλήλυθας; εἴπω πρὸς σέ· πίστευσον εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν; καὶ σοὶ πιστεῦσαι παρεγγυήσω; καὶ τίς ποτε νουθετηθεὶς αὐτὸς ἑαυτῷ πιστεῦσαι; πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον, ὅτι ἐστὶ Θεός· σὺ δὲ Θεὸς εἶ, καὶ υἱὸς τοῦ Θεοῦ, εἰ καὶ ἄνθρωπος εἶ κατὰ τὸ φαινόμενον, καὶ πιστευθῆναι δίκαιος εἶ παρὰ πάντων. ἀλλ' εἴπω πρὸς σε, πίστευσον εἰς τὸν πατέρα τὸν σόν; πότε γὰρ ὤφθης ἄπιστος καὶ πολέμιος τῷ πατρί; πότε δὲ τοῦ Θεοῦ γεγεννηκότος ἐχωρίσθης θεότητος; τί οὖν εἴπω πρὸς σε; πίστευσον εἰς τὸ πνεῦμα τὸ ἅγιον; ἀλλ' ἐν σοὶ, καὶ σὺν σοὶ τοῦτο καθέστηκεν. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ πρὸς τὸν υἱὸν τοῦ Ζαχαρίου; ὁ ἐκ τῆς παρθένου πρὸς τὸν ἐκ τῆς στείρας; ὁ μὴ λύσας τὴν παρθενίαν τῆς μητρὸς, πρὸς λύσαντα τῆς τεκούσης τὴν στείρωσιν; ὁ ἐκ γαστρὸς προσκυνηθεὶς πρὸς τὸν ἐκ κοιλίας ἐπιγνόντα τὴν σὴν δεσποτείαν; ὁ ἐνανθρωπήσας, πρὸς τὴν τῆς ἐρήμου φωνήν; ὁ τοσοῦτος ὑψηλὸς πρὸς τὸν τοσοῦτον εὐτελῆ; ὁ Κύριος πάσης τῆς κτίσεως, πρὸς τὸν ἀνάξιον τῆς σῆς ἀγαθότητος ὑπηρέτην; ὁ πλούσιος κατὰ φύσιν, πρὸς τὸν πένητα κατὰ φύσιν, διὰ μόνην δὲ τὴν σὴν χάριν εὔπορον; ὁ οὐράνιος καὶ ἐπίγειος πρὸς τὸν ἐπίγειον μόνον; ὁ ἄνωθεν ἔχων τὴν θεότητα, κάτωθεν δὲ τὴν ἀνθρωπότητα, πρὸς τὸν κάτωθεν μόνον βλαστήσαντα; ὁ τοσοῦτος δεσπότης πρὸς ἐμὲ τὸν μικρὸν οἰκέτην; ἀλλὰ δοῦλος δεσπότην οὐκ ἐλευθεροῖ, λύχνος ἥλιον οὐ φωτίζει, πηλὸς οὐ διορθοῦται κεραμέα, πρόβατον οὐ ποιμαίνει ποιμένα, πρόδρομος οὐ σεμνύνει βασιλέα. ποταμὸς τὴν σὴν οὐ βαστάζει θεότητα· ποταμὸς οὐ μετρεῖ, ὃν οὐρανὸς οὐ χωρεῖ· ὁ Ἰορδάνης οὐ λούει τὸν ἑαυτοῦ ποιητήν· τὸ ὕδωρ ἐπιγινώσκει τὸν πλάσαντα· τὰ ῥεύματα ταῦτα οὐκ οἶδε τὸ φῶς, κἀγὼ τολμήσω πρὸς τὴν λειτουργίαν; ἡ ψυχή μου ἰλιγγιᾷ, ἡ χείρ μου τρέμουσα φοβεῖται πλησιάσαι τῷ παναγίῳ σου σώματι. τί ποιήσω; τί διαπράξομαι; καὶ τρέμω σε, δέσποτα, καὶ ποθῶ, καὶ φεύγειν οὐ τολμῶ, καὶ προσελθεῖν οὐ θαρρῶ· καὶ δοῦναι τὸ βάπτισμα φρίττω, καὶ λαβεῖν ἁγιασμὸν ἐπιποθῶ. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι· ἐγὼ σε προσκυνεῖν, οὐ βαπτίζειν δεδίδαγμαι. ἐγὼ μᾶλλον ὑποκλίνω τὸν ἐμὸν αὐχένα τῇ σῇ δεξιᾷ· εὐλόγησόν με ὁ εὐλογῶν ἔτη δικαίων. ποίησόν με τοῖς Ἰορδανίοις ῥείθροις ἐγχορεῦσαι σήμερον, ὡς ἐποίησάς με πρώην ἐνσκιρτῆσαι τοῖς μητρῴοις ἐμβρύοις. ναί, φησὶν ὁ δεσπότης, ὦ Βαπτιστά, θαυμάζω σου τὴν εὐλάβειαν, ἀλλὰ τὴν ὑπακοὴν ἐπιζητῶ. γέγονας τῆς ἐμῆς βασιλείας συνήγορος, ἀλλ' ὀφείλεις γενέσθαι καὶ τῆς ἐμῆς οἰκονομίας διάκονος. ἦλθον γὰρ ἐγὼ πρὸς σέ, ἐπειδὴ τοῦτο συμφέρει σοί τε καὶ τοῖς κατὰ σέ. ἦλθον ἐγὼ πρὸς σέ, ἵνα πάντες οἱ ἄνθρωποι προσέλθωσι πρὸς ἐμέ. κατῆλθον ἐκ τῶν οὐρανῶν, καὶ ὅλος ἐν τοῖς κόλποις εἰμὶ τοῦ πατρός, ἵνα συνάψω τῷ πλάστῃ τὸ ποίημα. ἦλθον ὁ παρών, ἵνα ζωγρήσω τοὺς φυγόντας· ἦλθον ὡς ἄνθρωπος, ὅπου παρήμην ὡς Θεός, ἵνα τοὺς ἀνθρώπους θεοὺς ἀπεργάσωμαι· ἔλαβον ἐξ ὑμῶν μητέρα πτωχήν, ἵνα δυνηθῆτε μετὰ παρρησίας ὑμεῖς τὸν ἐμὸν πατέρα καλεῖν. ἐτράφην ὡς βρέφος τῇ τοῦ γάλακτος τροφῇ, ἵνα τοῖς πιστοῖς τροφὴν ἐμαυτὸν παραθήσω. περιειλήθην σπαργάνοις παιδικοῖς, ἵνα διαρρήξω τοὺς τῆς ἀνομίας δεσμούς. ἀνεκλίθην οὐκ ἐπὶ κλίνης βασιλικῆς, ἀλλ' ἐπὶ φάτνης εὐτελοῦς, ἵνα μετὰ τὴν ἐμὴν ἐπὶ τῆς φάτνης ἀνάκλισιν μηκέτι μηδεὶς τῶν λογικῶν ὡς ἄλογος ἀλογίαν νοσῇ. ἐδεξάμην ἐν τῇ σαρκί μου περιτομήν, ἣν ἐγὼ πρώην ἐνομοθέτησα, ἵνα τὴν ἀχειροποίητον εἰσαγάγω περιτομήν· ἀνήνεγκα τὴν νενομισμένην θυσίαν ὡς πρωτότοκος ὁ μονογενής, ἵνα μεταποιήσω τὴν τοιαύτην θυσίαν, καὶ ξένην θυσίαν ἐμαυτὸν ἀπεργάσωμαι. ἔφυγον εἰς Αἴγυπτον, ἀλλ' οὐκ ἀπέστην τοῦ εἶναι πάντων καταφυγή. ἐγενόμην βρέφος νέον, τέλειος ἀνήρ, ὡς ὁρᾷς, ἵνα τὸ τέλειον τοῖς ἀτελέσι χαρίσωμαι. ἦλθον διὰ πάσης ἡλικίας, ἵνα πᾶσαν ἡλικίαν τειχίσω τῇ κατὰ μικρὸν προκοπῇ. εἰσέδυν καὶ ποταμόν, ἵνα ποιήσω τοὺς γηγενεῖς ἐπιβαίνειν τοῦ οὐρανοῦ· καὶ δέχομαι τὸ βάπτισμα τοῦτο, ἵνα παράσχω τοῖς ἐμοῖς μαθηταῖς τῆς παλιγγενεσίας τὸ βάπτισμα. ἀνέχομαι καταδύσεως, ὡς ἠνεσχόμην τῆς κατὰ σάρκα γεννήσεως. ὡς νομοθέτης τιμῶ τοῦ νόμου τὰ δίκαια, ἵνα καινουργήσω τῆς χάριτος τὰ σύμβολα. ὡς ἰατρὸς ὑγιαίνων μεταλαμβάνω τοῦ φαρμάκου τῶν νοσούντων, μὴ δεόμενος τούτου· ἵνα καινότερον βοήθημα τὸ τῆς κολυμβήθρας ἐπινοήσω τοῖς κάμνουσι. σταυρὸν διὰ τοὺς ἁμαρτωλοὺς καταδέχομαι, καὶ λουτρὸν ἀκίνδυνον παραιτήσομαι; νεκρὸς ὑπομένειν μέλλω τριήμερον, καὶ κατάδυσιν ἄλυπον οὐ ποιήσομαι; εἰς αὐτὸν καταβῆναι ἐπείγομαι τὸν τοῦ ᾅδου βυθόν· καὶ ποταμοῦ ῥεῖθρον οὐ περικλύζομαι; βάπτισον οὖν με, τὸν μέλλοντα βαπτίζειν, καὶ σώζειν τοὺς θέλοντας· βάπτισόν με τὸν μέλλοντα βεβαπτισμένην τῆς ἁμαρτίας τὴν ἀνθρώπων τὴν φύσιν εἰς ὕψος ἐπαίρειν οὐράνιον· βάπτισόν με εἰς ἄνθρωπον κάτω, τὸν ἄνω παρὰ τῶν ἀγγέλων ὑμνούμενον ὡς Θεόν. γενοῦ τῶν ἐμῶν μυστη-

tentiam age, appropinquavit enim regnum cœlorum? & regnum regnum evangelizabo, & tibi de teipſo narrabo? Fortè quia quid ſis ignoras? non noſti regnum cœlorum, quod ut hominibus afferres è cœlo veniſti? Dicámne tibi, Crede in Dominum Jeſum Chriſtum? Téne, tibi ut credas? cohortabor? Quis porrò unquam admonitus eſt: ſibi ut crederet? Credere enim oportet accedentem, quòd Deus eſt: tu verò Deus es & Dei filius, quamvis homo ſis juxta id quod apparet, & dignus es, cui ab hominibus credatur. An verò dicam tibi, Crede in patrem tuum? quaſi tu viſus unquam ſis incredulus vel adverſarius patri tuo? Quando inquam à divinitate Dei, qui te genuit ſeparatus fuiſti? Quid ergo dicam tibi? Crede in Spiritum ſanctum? Atqui in te ille tecúmque verſatur. Ego debeo à te baptizari, & tu venis ad me? Unigenitus Dei filius ad filium Zachariæ? qui ex virgine natus eſt, ad eum qui ex ſterili ortus? qui matris virginitatem non ſolviſti, ad eum qui parentis ſolvit ſterilitatem? qui è ventre adoratus es, ad eum qui tuum ex utero dominatum agnovit? qui inter homines verſatus es, ad vocem deſerti? qui tam excelſus es, ad tam humilem? Dominus univerſæ creaturæ ad indignum bonitatis tuæ miniſtrum: natura dives ad natura pauperem, ſed tua ſola gratia divitem: cœleſtis & terreſtris ad terreſtrem tantùm: qui de ſuperioribus quidem locis divinitatem habes, de inferioribus humanitatem, ad eum qui ex inferioribus tantùm prodiit? Tantus dominus ad me exiguum famulum? At enim ſervus dominum in libertatem non vindicat, lucerna ſolem non illuminat, lutum, figulum ipſum non corrigit, ovis paſtorem non paſcit, præcurſor regem non condecorat. Fluvius tuam non fert divinitatem: Fluvius non metitur, quem cœlum non capit: Jordanis ſuum conditorem non abluit, aqua ſuum agnoſcit auctorem, hæc fluenta non norunt lumen, & ego audebo ad miniſterium accingi? Animus meus æſtuat, manus mea tremens veretur ad corpus hoc tuum omni ex parte ſanctum accedere. Quid faciam? quid exequar? & vereor te, Domine, & amo, & fugere non audeo, & accedere erubeſco. Baptiſmum conferre ſimul horreo, & accipere ſanctificationem percupio. Ego debeo à te baptizari: ego te adorare, non baptizare ſum edoctus: Quin potiùs cervicem ego meam dexteræ tuæ inclino. Benedic me qui benedicis annos juſtorum. Fac ut in Jordanis fluentis hodie exiliam, quomodo effeciſti nuper, ut in maternis viſceribus exultarem. Sanè, inquit Dominus, ô Baptiſta, modeſtiam tuam admiror, ſed obedientiam quæro! Factus es regni mei patronus, ſed meæ diſpenſationis adminiſter fieri debes. Veni enim ergo ad te, quandoquidem & tibi hoc confert, & iis qui ſimiles tui ſunt: veni ego ad te, ut omnes homines ad me accedant. Deſcendi de cœlis, & totus ſum in ſinu patris, ut conjungam opus cum opifice. Veni præſens, ut fugientes vivos caperem. Veni ut homo, ubi jam antea eram, ut Deus, quò homines deos redderem. Accepi ex vobis egenam matrem, ut vos cum fiducia patrem meum appellare poſſitis. Educatus ſum ut infans, lactis cibo, ut me ipſum fidelibus in cibum proponerem. Involutus ſum puerilibus faſciis, ut iniquitatis vincula diſrumperem. Reclinatus ſum non in regio quopiam lecto, ſed in vili præſepio, ut poſt meam in præſepio reclinationem nullus ampliùs eorum qui rationis participes ſunt, ut rationis expers contra rationem vivat. Excepi corpore meo circumciſionem, quam ego antea lege lata imperaveram, ut circumciſionem non manufactam introducam: ut primogenitus lege conſtitutũ obtuli ſacrificium, qui ſum unigenitus, ut ejuſmodi ſacrificiũ immutem, ac me ipſum inuſitatum quoddam & mirum ſacrificium reddam. Fugi in Ægyptum, at non deſii omnium eſſe perfugium. Factus ſum infans recens natus, vir perfectus, ut vides, ut perfectionem imperfectis elargiar. Per omnes ætatis gradus provect⁹ ſum, ut omnem ætatem hoc progreſſu pedetentim facto corroborem. Ingreſſus ſum fluvium, quò efficiam ut terrigenæ ingrediantur in cœlum: & hoc baptiſma ſuſcipio, ut diſcipulis meis regenerationis baptiſmum conferam. Suſtineo deſcenſum in aquam, ut generationem ſecundùm carnem ſuſtinui: ut legiſlator, legis veneror jura, ut renovem gratiæ ſymbola. Ut medicus ſanus, medicinæ ægrotorum particeps fio, licet ea non indigeam, ut recentiùs piſcinæ remedium laborantibus excogitem. Crucem peccatorum cauſa ſuſcipio, & lavacrum periculi expers recuſabo? Trium dierum ſpatio mortuus eſſe non dubitabo, & deſcenſum hunc dolore vacuum non feram? in ipſum inferni profundum deſcenſurus pergo, & his fluentis fluvii non circunfundar? Baptiza ergo me, qui baptizaturus ſum, & ſervaturus eos, qui voluerint: baptiza me qui baptizatam peccatis & demerſam naturam humanam ad cœlorum celſitudinem provecturus ſum, baptiza me, ut hominem in terris, quem angeli ut Deum celebrant, & laudant in cœlis. Eſto diligens

Joh. 5, 1. *Mat. 16, 16.*

Matt. 3, 14.

Piſcinam appellat fontem baptiſmatis.

myſtariorum meorum adminiſter, in bonam actionem transfer A excuſationem: ſiſte linguam, & ad opus excita dexteram. Impone audacter manum vertici meo, quæ propter te ex tua maſſa deſumpta eſt. Ex meo baptiſmata hoc lucri fac, ut Baptiſta dicaris. Matt. 3,14. Sine modò, tantiſper baptiza: & poſtea de mea divinitate loquere: tantiſper baptiza, & poſtea adora. *Sic enim nobis convenit, ut omnem juſtitiam adimpleamus.* Nihil ita excelſum exornat, ac demiſſio voluntaria: vera enim ſublimitas actiones modeſtas non recuſat. Tunc dimittit ipſum Joannes bis eum verbis alloquutus: B Ecce obſequor imperio tuo, Domine: quæ enim ignorans didici, ea gaudens perficio. Ecce dexteram meam capiti tuo admoveo, quandoquidem id tu juſſiſti, & ego ſervus tuus ſum, & filius ancillæ tuæ, & manus mea opus tuum, & hic fluvius tuæ dominationis defluxus aſt, & hæc fluenta creaturæ tuæ, & hoc baptiſma donum tuum, & tu ſolus noſti myſterium, quod perficis. Baptizare quæſo, & ſerva, ut voles, quos creaſti. Beatus ego qui propter te inuſitata ratione ſum natus, & inſolito more in deſerto educa- C tus, & nunc hoc à te miniſterio dignus habitus. Beatus ego qui à te fuerim approbatus, ut tanto myſterio operam meam impenderem. O dextera quantum exaltata es! luteum inſtrumentum quantum honoratum es! Amator hominum, magnorúmque largitor munerum Domine, poſteaquam gratiam immiſcueris aquis, eiſque deſcenſu tuo quoddam quaſi fermentum ſanctificationis inſatueris (genu flexo adoro te Domine) egrediens ex aquis aſcende, & complectere humanam naturam penè agentem D animam, & deficientem, viſita eam quæ voluntaria febri laborat, eriga, ſuſcita in terra velut in lecto jacentem, & variis morbis laborantem: ut medicus morbos pepella. Te claudi expectant, ut cùm loquutus fueris, currant, te expectant cæci, ut videant: tuam vocem præſtulantur mortui, ut raſurgant; tuum ſitiunt adventum, qui æſtibus calamitatum uruntur: ſiſte te omnibus tan- Matt. 3,16. quam rorem ſanitatis. *Et baptizatus Jeſus aſcendit de aqua, & ecce aperti ſunt ei cœli: & vidit Spiritum Dei deſcendentem ſicut colum-* E *bam, & venientem ſuper ipſum*, ô admiranda & incredibilia myſteria! cœlum deſurſum adorat, quem paulo antè fluvius abluit, & Spiritus ſanctus aum teſtatur Deum, quem baptizavit ſervus. *Et ecce vox de cœlis dicens, Hic eſt filius meus dilectus, in quo mihi complacui.* Hic eſt qui baptizatus eſt, non quòd ei hoc opus eſſet, ſed tantum quòd hominum amore teneretur; is cui teſtimonium dicit Spiritus ſanctus: quem ego qui probè illum noveram, omnibus prædicavi: qui ax me ante ſecula genitus eſt, & nunc ex Ma- A ria natus ſecundùm carnem: qui conſubſtantialis ax mihi & vobis, qui coæternus eſt mihi, & conformis veſtræ formæ, creator Adami & unus ex poſteris David, creator virginis, & virginis filius, qui mente percipitur, & exterius apparet, qui & fide & viſu cernitur, perfectus in divinitata, & perfectus in humanitate. Hic aſt filius meus dilectus, hic qui & miracula edit, ut Deus, & patitur ut homo, meus eſt filius. Neque enim crux à me eum ſeparat, qui à me natura eſt inſeparabilis. Hic & clavis confixus meus eſt B filius: non enim divinam naturam lædunt clavi. Hic etiam dum patitur filius eſt meus, neque enim ejus divinitatem paſſio poteſt attingera. Hic ſua ſponta mortuus, mortis naturaliter adverſarius, meus eſt filius. Mori autem ſecundùm divinitatam, neq; naturaliter ſolet, neque volt, neque poteſt. Vitam enim non vincit internecio, neque mors ſuperat immortalitatem: Hic etiam reſurgens ex mortuis meus eſt filius: Etenim, ut conditor univerſi, reſuſcitabit templum corporis ſui, quod ab inimicis ſuis diſſol- C vi permiſit. Hic qui cum hac carne ad cœlos aſcendet, à quibus non abſceſſit, meus eſt filius. Quicunque hunc ſuſcipit, cum ipſo me ſuſcipit: quique hunc adorat, me adorat: qui in hunc credit, in me credit: qui hunc parvi pendit, me parvi pendit: contumelia quippe filii, patris injuria aſt: hunc qui excipit, neque curioſè ſcrutatur, ſed ſeriò colit, beatus aſt. Hic aſt filius meus dilectus in quo mihi complacui. Peccatores currite ad eum qui tollit mundi peccatum, damnati complectimini benignum judicem, vos qui D peccatis eſtis necati, ad vitæ fontem properate. Hæc ſunt feſtivitatis Baptiſtæ dona pulcherrima, hæc omnia nobis præbuit, qui propter nos apparuit Dominus Chriſtus Deus noſter: Ipſi gloria, & poteſtas, ſimul cum patre & ſanctiſſimo ac vivifico Spiritu, nunc & ſemper, & in ſecula ſæculorum. Amen.

Luc. 15,11.

In Parabolam, de Filio Prodigo.

Eodem interprete.

SEmper quidem fratres, divinam benignitatem prædicare de- E bemus: quippe qui ejus beneficio & vivamus, & moveamur, & ſimus: præſertim verò hoc tempore id à nobis fieri par eſt, cùm ob communem utilitatem, tum ob beneficium eorum ſyderum, quæ ex piſcina exoritura ſunt. Nam

A ἐμῶν ὑπηρέτης ἄξιος· μετάθες τὴν παραίτησιν εἰς πρᾶξιν ἀγαθήν. στῆσον τὴν γλῶτταν, καὶ κίνησον πρὸς τὸ ἔργον τὴν δεξιάν. ἐπίθες θαρρῶν τὴν χεῖρα τῇ ἐμῇ κορυφῇ, τῇ ληφθείσῃ ἀπὸ τοῦ σοῦ φυράματος διὰ σέ. κέρδανον ἐκ τοῦ βαπτίσματός μου καὶ σὺ τὸ βαπτιστὴς ὀνομάζεσθαι. ἄφες ἄρτι· τέως βάπτισον, καὶ τότε θεολόγησον· τέως βάπτισον, καὶ τότε προσκύνησον· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. κοσμεῖται σεμνῶς τὸ ὑψηλὸν, ὡς ἡ ἐ- B θελούσιος συγκατάβασις. ὕψος γὰρ ἀληθὲς οὐ σεμνὰς πράξεις ἀπαναίνεται. τότε ἀφίησιν αὐτὸν ὁ Ἰωάννης, βοῶν πρὸς αὐτόν· ἰδοὺ διακονῶ τῷ σῷ προστάγματι, δέσποτα. ἃ γὰρ ἀγνοῶν ἔμαθον, ταῦτα χαίρων ἐπιτελῶ. ἰδοὺ προσάγω τὴν ἐμὴν δεξιὰν σου τῇ κεφαλῇ, ἐπειδήπερ σὺ τοῦτο προσέταξας· κἀγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου· καὶ ἡ χείρ μου δημιούργημα σὸν, καὶ ὁ ποταμὸς οὗτος τῆς σῆς δεσποτείας ἀπόρροια, καὶ τὰ νάματα ταῦτα ποιήματά σου, καὶ τὸ βά- C πτισμα τοῦτο δῶρον σόν· καὶ σὺ μόνος ἐπίστασαι ὃ κατεργάζῃ μυστήριον. βαπτίσθητι, δέομαι· καὶ σῶσον, ὡς θέλεις, οὓς ἔπλασας. μακάριος ἐγὼ, διὰ σὲ παραδόξως τεχθεὶς, καὶ ξένως ἐν ἐρήμῳ τραφεὶς, καὶ νῦν τῆς διακονίας ταύτης ἀξιωθείς· μακάριος ἐγὼ παρὰ σου δοκιμασθεὶς τηλικούτῳ ὑπουργῆσαι μυστηρίῳ. ὦ δεξιὰ, πόσον ὑψώθης· ὦ πήλινον ὄργανον, πόσον τετίμησαι. φιλάνθρωπε καὶ μεγαλόδωρε κύριε, μετὰ τὸ κεράσαι τὴν χάριν τοῖς ὕδασι, καὶ δοῦ- D ναι τούτοις ὥσπερ τινὰ ζύμην ἁγιασμοῦ τὴν κατάδυσιν, ἀνελθὼν τῶν ὑδάτων [γονυπετῶ δέσποτα] ἀνάδραμε καὶ κατάλαβε τὴν ἀνθρωπότητα ψυχορραγοῦσαν καὶ κάμνουσαν, ἐπίσκεψαι τὴν ἑκουσίως πυρέττουσαν, ἀνάστησον τὴν ἐπὶ τῆς γῆς ὡς ἐπὶ κλίνης ἐξηπλωμένην, καὶ νοσοῦσαν πάθει διαφόρῳ· ὡς ἰατρὸς τὰς νόσους ἀπέλασον. σὲ περιμένουσιν οἱ χωλοὶ, ἵνα σου λαλήσαντος δράμωσι· σὲ περιμένουσιν οἱ τυφλοὶ, πρὸς ἀνάβλεψιν. τὴν σὴν προσδέχονται φωνὴν οἱ νεκροὶ πάντες πρὸς ἀνάστασιν· τὴν σὴν παρουσίαν διψῶσιν οἱ φλεγόμενοι E τῷ καύσωνι τῶν συμφορῶν· ἐπίστηθι πᾶσιν ὡς δρόσος ἰάσεως. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. ὢ ξένων καὶ παραδόξων μυστηρίων· ὁ οὐρανὸς ἄνωθεν προσκυνεῖ, ὃν ὁ ποταμὸς πρὸ βραχέων ἐπέκλυσε· καὶ τὸ πνεῦμα τὸ ἅγιον θεολογεῖ, ὃν ὁ δοῦλος ἐβάπτισε. καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγα- A πητὸς, ἐν ᾧ ηὐδόκησα. οὗτός ἐστιν ὁ βαπτισθεὶς, οὐ διὰ χρείαν ἰδίαν, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν, ὁ παρὰ τοῦ ἁγίου πνεύματος μαρτυρούμενος, ὁ παρ' ἐμοῦ τοῦ σαφῶς εἰδότος αὐτὸν κηρυττόμενος, ὁ πρὸ τῶν αἰώνων ἐξ ἐμοῦ γεννηθεὶς, καὶ νῦν ἐκ Μαρίας σαρκὶ τεχθεὶς, ὁ ὁμοούσιος ἐμοὶ καὶ ὑμῖν· ὁ συναΐδιος ἐμοὶ, καὶ σύμμορφος τῆς ὑμετέρας μορφῆς· ὁ ποιητὴς τοῦ Ἀδὰμ, καὶ ἀπόγονος τοῦ Δαβίδ· ὁ δημιουργὸς τῆς παρθένου, καὶ υἱὸς τῆς παρθένου. ὁ νοούμε- B νος καὶ φαινόμενος· ὁ πίστει καὶ ὄψει κατανοούμενος· ὁ τέλειος ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· οὗτος καὶ θαυματουργῶν ὡς θεὸς, καὶ πάσχων ὡς ἄνθρωπος, υἱός ἐστιν ἐμός. σταυρὸς γὰρ οὐ χωρίζει μου τὸν κατὰ φύσιν ἀχώριστον. οὗτος καὶ τοῖς ἥλοις κεντούμενος, υἱός ἐστιν ἐμός. ἧλοι γὰρ τούτου τὴν θείαν οὐσίαν οὐ βλάπτουσιν. οὗτος καὶ πάσχων, υἱός ἐστιν ἐμός· τῆς γὰρ τούτου θεότητος πάθος οὐκ ἰσχύει καταλαβεῖν. οὗτος καὶ νεκρούμενος ἑκου- C σίως, κατὰ τὸ νεκροῦσθαι πεφυκὸς, υἱός ἐστιν ἐμός. ἀποθανεῖν γὰρ εἰς θεότητα οὐ πέφυκεν, οὔτε βούλεται, οὔτε δύναται· ζωὴν γὰρ νέκρωσις οὐ νικᾷ, καὶ θάνατος ἀθανασίας οὐ περιγίνεται. οὗτος καὶ ἀναστάμενος ἐκ νεκρῶν υἱός ἐστιν ἐμός. ὡς γὰρ δημιουργὸς τοῦ παντὸς ἀναστάσει τοῦ σώματος αὐτοῦ τὸν ναὸν, ὃν λυθῆναι παρὰ τῶν ἐχθρῶν αὐτοῦ συνεχώρησεν. οὗτος μετὰ τῆς σαρκὸς ταύτης ἀνιὼν εἰς τοὺς οὐρανοὺς, ὧν οὐκ ἀπέστη, υἱός ἐστιν ἐμός. τοῦτον ὁ δεχόμενος, ἐμὲ δέχεται σὺν αὐτῷ· D τοῦτον ὁ προσκυνῶν, ἐμὲ προσκυνεῖ· εἰς τοῦτον ὁ πιστεύων, εἰς ἐμὲ πιστεύει. τοῦτον ὁ σμικρύνων, ἐμὲ σμικρύνει. ὕβρις γὰρ παιδὸς, ζημία πατρός. τοῦτον ὁ δεχόμενος, καὶ μὴ πολυπραγμονῶν, ἀλλὰ σέβων ἀπεριέργως, μακάριος. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. οἱ ἁμαρτωλοὶ δράμετε πρὸς τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· οἱ κατακεκριμένοι καταλάβετε τὸν φιλάνθρωπον δικαστήν· οἱ νεκρούμενοι τῇ ἁμαρτίᾳ, σπεύσατε πρὸς τὴν πηγὴν τῆς E ζωῆς· ταῦτα τῆς τοῦ βαπτιστοῦ πανηγύρεως κάλλιστα δῶρα. ταῦτα πάντα παρέσχεν ἡμῖν ὁ δι' ἡμᾶς ἐπιφανεὶς δεσπότης Χριστὸς ὁ θεὸς ἡμῶν· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος καὶ τὰ ἑξῆς.

Εἰς τὴν παραβολὴν, περὶ τοῦ ἀσώτου.

Ex edit. Augustana miſſ. Bavariæ.

ΑΕΙ μὲν, ἀδελφοὶ, τὴν τοῦ θεοῦ φιλανθρωπίαν κηρύττειν ὀφείλομεν [δι' αὐτῆς γὰρ ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν] μάλιστα δὲ ἐν τούτῳ τῷ καιρῷ χρεωστοῦμεν τοῦτο ποιεῖν, διά τε τὴν κοινὴν ὠφέλειαν, καὶ τὴν εὐεργεσίαν τῶν μελλόντων ἐκ τῆς κολυμβήθρας ἀνατέλλειν ἀστέρων

Digitized by Google

ἀπέραντα καὶ γὰρ ὄντα διὰ ταύτης ἐκλάμψουσι, καὶ ἡμεῖς δι' αὐτῆς ἐ- A
σώθημεν καὶ σωζόμεθα· ἥτις ἡμῖν ἀντὶ κληρονομίας ἐδόθη ἀπὸ τοῦ δημιουργοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. εἴπωμεν τοίνυν περὶ αὐτῆς, ἅπερ εἶπεν ὁ δεσπότης Χριστὸς, ὁ φιλάνθρωπος υἱὸς τοῦ φιλανθρώπου πατρὸς, ὁ μόνος ἀξιόχρεως τῆς πατρῴας οὐσίας ἐξηγητής· ἀναπτύξωμεν πᾶσαν τὴν περὶ τοῦ ἀσώτου παραβολὴν, ἵνα μάθωμεν ἐξ αὐτῆς, πῶς δεῖ προσπελάζειν τῷ ἀπροσπελάστῳ, καὶ συγγνώμην τῶν πλημμελημάτων αἰτεῖν. ἄνθρωπός τις, φησὶν, εἶχε δύο υἱούς. πα- B
ραβολικῶς ὁ Σωτὴρ, οὐ δογματικῶς διαλέγεται. διὰ τοῦτο περὶ τοῦ ἰδίου πατρὸς, ὡς περὶ ἀνθρώπου τινὸς, ὁμιλεῖ· καὶ περὶ τῶν δούλων, ὡς περὶ τέκνων, λαλεῖ ἵνα δείξῃ τοῦ Θεοῦ τὴν περὶ τοὺς ἀνθρώπους στοργήν. ἄνθρωπός τις, φησὶν, εἶχε δύο υἱούς· τίς ἐστιν οὗτος ὁ ἄνθρωπος; ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. τί-
νας δὲ εἶχε τούτους τοὺς δύο υἱούς; τοὺς δικαίους, καὶ τοὺς ἁμαρτωλούς· τοὺς ἐμμένοντας τοῖς θείοις αὐτοῦ προστάγμασι, καὶ τοὺς παραβαί- C
νοντας τὰς δεσποτικὰς ἐντολάς. καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί. καὶ τίς ἐστιν οὗτος ὁ νεώτερος υἱός; ὁ τὴν γνώμην ἄστατον κεκτημένος, καὶ ταῖς αὔραις τῆς νεότητος ῥιπιζόμενος. πατέρα ἐγνώρισεν ἡ φύσις τὸν πλάσαντα, εἰ καὶ μὴ ἐτίμησεν ἡ προαίρεσις τὸν ποιήσαντα. πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καλῶς ᾔτησε τὰ τοῦ Θεοῦ παρὰ τοῦ Θεοῦ· ἀλλὰ κακῶς, ὅπερ ἔλαβε, κατηνάλωσε. καὶ διεῖλεν αὐτοῖς τὸν βίον ὁ πατήρ. ἔδωκεν αὐτοῖς, ὡς οἶκον D
ἴδιον, ὅλον τὸν κόσμον· ἔδωκεν αὐτοῖς, ὡς κτίστης, ὅλην τὴν κτίσιν· παρέσχεν αὐτοῖς σώματα καὶ ψυχὰς λογικὰς, ἵνα τῷ λόγῳ εὐλόγως χειραγωγούμενοι μηδὲν ἄλογον πράξωσιν· ἐπέστησεν αὐτοῖς τὸν ἑαυτοῦ νόμον, τὸν φυσικὸν καὶ τὸν γραπτὸν, ὡς θεῖον παιδαγωγὸν ἵνα τούτῳ παιδαγωγούμενοι πληρώσωσι τοῦ νομοθέτου τὸ βούλημα.
„ καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν πάντα ὁ νεώτερος υἱὸς
„ [ὡς νεώτερος ὑπέπραξεν] ἀπεδήμησεν εἰς χώραν μακρὰν, ἀπ- E
„ έστη ἀπὸ τοῦ Θεοῦ, καὶ ἀπέστη ἀπ' αὐτοῦ ὁ Θεός· οὐ γὰρ βιάζεται τοὺς μὴ βουλομένους δουλεύειν αὐτῷ. γνώμης γὰρ, οὐκ ἀνάγκης, αἱ ἀρεταὶ ἅ-
„ πασαι. ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως· ἐκεῖ τῆς ψυχῆς ὅλον τὸν πλοῦτον ἀπώλεσεν· ἐκεῖ τέρπων καὶ τερπόμενος ἐναυάγησεν· ἐκεῖ παίζων καὶ ἐμπαιζόμενος πένης γέγονεν· ἐκεῖ ψυχοφθόρους ἡδονὰς ἀγοράζων, καὶ γέλωτας ὠνούμενος, πατέρας δακρύων ἔλαβε. καὶ τὰς μὲν ἀρετὰς, ἃς εἶχεν, ἀπέβαλε· τὰς δὲ A
κακίας, ἃς οὐκ εἶχε, προσέλαβε. δαπανήσαντος δὲ αὐτοῦ πάντα [οὐ πέφυκε γὰρ τοῖς αἰσχρῶς βιοῦσι παραμένειν ὁ πλοῦτος τῆς χάριτος] ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην. ὅπου γὰρ τῆς σωφροσύνης ὁ σῖτος οὐ γεωργεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἐγκρατείας ἡ ἄμπελος οὐ πεφύτευται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἁγνείας ὁ βότρυς οὐ ληνοπατεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῶν κακῶν γλεῦκος οὐ βρύει, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου εὐφορία κακῶν, B
ἐκεῖ πάντως ἀφορία τῶν ἀγαθῶν· ὅπου εὐθηνία πράξεων πονηρῶν, ἐκεῖ πάντως σπάνις τῶν ἀρετῶν· ὅπου τῆς φιλανθρωπίας τὸ ἔλαιον οὐ πηγάζει, ἐκεῖ λιμὸς ἰσχυρός. τότε οὖν καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. οὐδὲν γὰρ αὐτῷ λοιπὸν ἔμεινεν, εἰ μὴ μόνον τὰ τῆς ἀκρασίας κακὰ,
„ ἐπειδὴ ὑπέπραξε τὰ τῆς ἀκοσμίας κακά. καὶ πορευθεὶς ἐκολλήθη
„ ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. πολῖται δὲ τῆς χώρας ἐκείνης
„ ἦσαν οἱ δαίμονες, ἐν ᾗ ἐτύγχανε μετανάστης, καὶ ἔπεμψεν αὐτὸν ὁ C
„ πολίτης ἐκεῖνος εἰς τὸν ἀγρὸν αὐτοῦ βόσκειν χοίρους· οὕτω γὰρ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς· οὕτω φιλοῦσι τοὺς φιλοῦντας αὐτούς· τοιαύτας δωρεὰς χαρίζονται τοῖς πειθομένοις αὐτοῖς. καὶ ἐπε-
„ θύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι. τί δέ ἐστιν, ἀπὸ τῶν κερατίων; τῶν κερατίων ἡ γεῦσις γλυκεῖα ἐστιν, ἀλλ' ὅμως καὶ σκληρὰ κατ' αὐτό τε καὶ τραχεῖα. ταύτη γὰρ καὶ τῆς ἁμαρτίας ἡ φύσις· εὐφραίνει μὲν μικρὰ, καὶ κολάζει μεγάλα· τέρπει πρόσκαιρα, καὶ μαστίζει αἰώνια. εἰς ἑαυτὸν δὲ ἐλθὼν καὶ λογι- D
σάμενος τὴν προτέραν μακαριότητα καὶ τὴν δευτέραν ἀθλιότητα, καὶ βαλὼν κατὰ νοῦν, τίς μὲν ἦν, ὅτε ἦν μετὰ τοῦ Θεοῦ καὶ πατρὸς τεταγμένος, τίς δὲ γέγονεν ὑποτεταγμένος τοῖς δαίμοσιν· εἰς ἑαυτὸν οὖν ἐλθὼν,
„ εἶπε· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ ὧδε
„ λιμῷ ἀπόλλυμαι; πόσοι νῦν κατηχούμενοι κατατρυφῶσι τῶν ἁγίων γραφῶν, τῷ λιμῷ δὲ τῶν θείων λογίων ἐγὼ συνέχομαι; ὦ πόσων ἀ- E
γαθῶν ἐμαυτὸν ἐστέρησα; ὦ πόσοις κακοῖς ἐμαυτὸν περιέβαλον; τί γὰρ ἀφιστάμην τῆς μακαρίας ἐκείνης διαγωγῆς; τί δὲ ταύτης ἐντὸς ἐγενόμην τῆς θανατηφόρου ζωῆς; ἔμαθον ἀφ' ὧν ἔπαθον, μὴ ἐγκαταλιμπάνειν Θεόν· ἔμαθον κρατεῖν τὸν ἀεὶ φυλάττοντα τοὺς κρατοῦντας αὐτόν· ἔμαθον μὴ πιστεύειν τοῖς ἀκαθάρτοις δαίμοσι, τοῖς διδάσκουσι
„ πᾶσαν ἀκαθαρσίαν τε καὶ φθοράν. τί οὖν φησιν; ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου. ἐπιστρέψω καλῶς, ὅθεν ἐξῆλθον κακῶς· ἀπελεύσομαι πρὸς τὸν ἐμὸν πατέρα, καὶ ποιητὴν, καὶ δεσπότην, καὶ κηδεμόνα, καὶ προνοητήν· καταλάβω τὸν πάλαι περιμένοντα καὶ προλαμβάνοντα τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας· ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ

A & hæc per ipſam affulgebunt, & nos per ipſam liberati & ſervati ſumus, ac ſervamur: quæ quidem nobis hæreditatis loco data eſt à creatore, & parente noſtro Deo. Age ergo, dicamus de ea quæ Chriſtus Dominus dixit, benignus filius benigni patris, qui ſolus idoneus enarrator eſt paternæ naturæ; explicemus totam prodigi parabolam, ut ex ea diſcamus, quomodo ad eum accedendum ſit, qui eſt inacceſſibilis, & delictorum venia petenda. *Homo quidam habuit duos filios.* Parabolæ in modum
B non quaſi dogmata proponens diſſerit Dominus: Propterea de patre ſuo, tanquam de homine quodam verba facit, & de ſervis velut de filiis loquitur, ut Dei in homines paternum amorem ſignificet: *Homo quidam*, inquit, *habuit duos filios.* Quis hic homo eſt? *Pater miſericordiarum, & Deus totius conſolationis.* Quóſnam porro habuit duos filios? Juſtos ſcilicet & peccatores, eos, qui divina ejus mandata ſervant, & qui dominica tranſgrediūtur præcepta. Et dixit adoleſcentior ex illis patri: Quis hic eſt adoleſcen-
C tior filius? qui mente fuit inſtabili præditus, & juventutis turbinibus agitatus. Patrem agnovit natura eum qui ſe condiderat, licet honore non proſequuta ſit voluntas libera creatorem ſuum. *Pater da mihi portionem ſubſtantiæ, quæ me contingit.* Rectè petiit à Deo, quæ Dei ſunt, ſed malè quæ petiit, perdidit. Et diviſit illis ſubſtantiam pater. Dedit illis ut domum propriam mundum univerſum, dedit ipſis, ut creator, creaturam omnem: ipſis corpora & animas ratione præditas largitus eſt, ut ratione quaſi ma-
D nu ducti nihil agerent contra rationem. Propoſuit ipſis legem ſuam: naturalem & ſcriptam, quaſi divinum pædagogum, ut ab ea inſtituti legislatoris voluntatem adimplerent. [*Et non poſt multos dies congregatis omnibus adoleſcentior filius*, (ut adoleſcentiorem decebat fecit,) *profectus eſt peregrè in regionem longinquam* :] diſceſſit à Deo, & diſceſſit ab eo Deus. Non enim vim facit illi, qui non vult ipſi ſervire. Sunt enim arbitrii, non
E neceſſitatis, virtutes omnes. [*Ibi diſſipavit ſubſtantiam ſuam vivendo luxurioſè.*] Ibi animæ divitias omnes perdidit; ibi delectans & deliciis perfruens, naufragium fecit: ibi ludens & deluſus pauper eſt factus: ibi corruptrices animæ voluptates mercatus & riſum emens, parentes lacrymarum accepit; ac virtutes quidem quas habuit, abjecit, ſcelera autem quæ non habuit, aſſumpſit. Cùm verò omnia conſumpſiſſet (non enim ſolent durare turpiter viventibus divinæ gratiæ:) facta eſt fames valida in regione illa, ubi enim temperantiæ fruges non excoluntur, ibi
A fames valida: ubi continentiæ vitis plantata non eſt, ibi fames valida. ubi virginitatis racemus in torculari non premitur, ibi fames valida: ubi fertilitas malorum, ibi omnino ſterilitas bonorum: ubi abundantia malarum actionum, ibi omnino raritas virtutum: nam ubi humanitatis oleum non ſcaturit, ibi fames valida. Tunc ergo & ipſe cœpit egere. Nihil enim ei reliquum fuerat, niſi ea quæ intemperantiæ propria ſunt mala, poſtquam omnia turpitudinis facinora commiſerat. [*Et profectus adhæſit*
B *uni civium regionis illius.*] Cives autem regionis illius ſunt dæmones, in qua profugus degebat. [*Et miſit eum in villam ſuam civis ille, ut paſceret porcos.*] Sic enim honore afficiunt dæmones eos qui ſe honore proſequuntur; ſic amant eos, à quibus amantur: talia dona largiuntur illis qui ſibi obediunt. [*Et cupiebat implere ventrem ſuum de ſiliquis, quas porci manducabant.*] Quid autem hoc eſt, de ſiliquis? Nam ſiliquarum guſtus dulcis eſt, ſed tamen & aſper ſimul & difficilis. Ejuſmodi eſt & peccati natura,
C paululum quidem exhilarat, ſed torquet plurimùm. Delectat ad tempus & in æternum caſtigat. In ſe autem reverſus, & apud ſe priorem fœlicitatem cogitans, ac poſteriorem hanc miſeriam, ſibique in memoriam revocans, qualis eſſet dum verſaretur cum Deo & patre, qualis autem nunc ſit, dum dæmonibus ſubjectus eſt: in ſe ergo reverſus dixit. [*Quanti mercenarii in domo patris mei abundant panibus; ego autem hic fame pereo.*] quàm multi nunc catechumeni ſacris literis perfruuntur: ego autem
D fame divinorum oraculorum teneor? O quantis meipſum bonis privavi! ô quantis me ipſum malis implicui! Cur enim à beato illo convictu ſeceſſi? cur me in hanc mortiferam vitam ingeſſi? didici ex iis quæ paſſus ſum, Deum non derelinquere: didici eum ſemper tenere, qui ſe retinentes ſemper conſervat: didici impuris dæmonibus non credere, qui omnem impuritatem & depravationem docent. Quid ergo ait? [*Surgam & ibo ad patrem meum.*] Revertar benè, unde diſceſſi malè. Redi-
E bo ad patrem meum conditorem, dominum & curatorem, & proviſorem: & perveniam ad eum qui ſolet expectare, & prævenire eos qui ſe ad ipſum convertunt. [*Surgam & ibo ad patrem meum, & dicam illi: Pater, peccavi in cælum & coram te,*

Luc. 15, 11.

2. Cor. 1, 3.

Lex hominum pædagogus.

Jam

Jam non ſum dignus vocari filius tuus, fac me ſicut unum de mercenariis tuis.) Sufficiunt mihi ad ſalutem hæc verba. Sufficit mihi ad obſecrationem patris mei nomen: etenim facere non poteſt pater meus à me appellatus, quin ſe patrem operibus prodat: non poteſt non commovere viſcera ſua qui miſericors eſt: non poteſt cùm audierit, Peccavi, non veniam dare delictis meis: non poteſt, cùm vocem meam exaudierit, juſtæ iræ ſuæ non oblivisci. Scio quantum apud eum valeat pœnitentia: ſcio quantum poſſint apud eum lacrymæ: ſcio quo pacto quiſque peccator ad ipſum converſus, & flens amarè, ut Petrus, peccatorum obtineat remiſſionem. Novi Dei mei bonitatem: novi patris mei benignitatem. Miſerebitur mei pœnitentis, quem non punivit peccantem. (*Et cùm ſurrexiſſet, venit ad patrem ſuum.*) Præclaro conſilio præclaram adjunxit actionem. Nos enim oportet non modò de rebus profuturis deliberationem inſtituere, ſed & affectus probos actionibus indicare. Cùm autem ille adhuc longè diſtaret loco, animo autem prope eſſet, & manibus continuò pectus ſuum rumperet ac percuteret, ut pote quod pravarum cogitationum eſt officina, & vultum terræ affigeret, atque ab oculis ſuis lacrymarum poſceret ſtillas comites ad intercedendum, & excuſationem meditaretur: priùs exclamavit voce magna, cum lacrymis dicens, (*Pater peccavi in cælum & coram te.*) Peccavi, ſat ſcio, Chriſte Domine & Deus, peccata mea tu ſolus noſti, peccavi, miſerere, ut Deus, & Dominus. Non ſum dignus, ut in cœlum intuear, & te deprecer optimum dominum meum, utpote qui maximis & graviſſimis peccatis ſcateam. Numerari non poſſunt peccata mea. Miſerere cùm bonus ſis ſemper Deus, quoniam dignus non ſum vocari filius tuus, fac me ſicut unum de mercenariis tuis. Sic ex intimo pectore deprecantem vidit, qui delinquentes videt, & in peccatorum ſceleribus connivet, eorúmque pœnitentiam expectat: vidit eum pater ejus, & miſeratione ductus eſt: Pater quippe erat bonitate, licet Deus eſſet natura. (*Et accurrens cecidit ſuper collum ejus, & oſculatus eſt eum.*) Non expectavit, ut, qui offenderat, prope accederet, ſed ipſe illi properè occurrit: neque ejus collum deteſtatus eſt, ut ſordibus incontinentiæ compunctum, atque fœdatum; ſed impollutis manibus ſuis eum complexus, deoſculatus eſt, quem olim deſideraverat, ita ut exſatiari non poſſet. O ineffabilem ſimul & tremendam miſericordiam! O incredibilem humanitatem! o ſtupendas inducias! o mirabilem reconciliationem! Inflexit continuò Deum, vel uno momento ad id, ut cum lacrymis cederet, tum tantam delictorum multitudinem præteriret. Num miratus es cùm videres Deum peccatori blandiri? O ingentem amorem viſcerum paternorum. Peccator in terris lacrymas fudit, & qui ſolus eſt peccati expers, de cœlis ſeipſum ad humanitatem inclinavit. Quis unquam vidit peccatorem, cui adularetur Deus? Quis unquam vidit judicem officioſè colentem reum? quis unquam ullum vidit adulari damnato? Verumtamen obteſtatur Deus, ut olim Iſraelem. Popule meus, inquit, quam injuriam tibi intuli, aut quid moleſtus fui tibi? Nunc etiam eadem fiunt, & facta ſunt! quandoquidem ita vult placatu facilis Deus, ita ſolet à ſeipſo vinci pater miſericordiarum, & Deus totius conſolationis. Neque verò his contentus fuit prodigus ille filius, ſed in iis bonis quæ ad pœnitentiam pertinent, prodigus fuit. Non enim ſufficere ſibi tantam humanitatem in tanta multitudine peccatorum arbitratus eſt, ad perfectam ſalutem obtinendam: ſed, quæ patri dicere meditatus erat antea, ea & præſens convenienti habitu compoſitus dixit: Pater, ſiquidem omnino licet patrem te appellare, niſi fortè & in hoc præter alia mea delicta pecco, dum te patrem voco; niſi nomen illud contumelia afficio, quod extra omnem contumeliæ aleam poſitum eſt; niſi labia mea conſcientia concludit; niſi conditio morum linguam meam devincit; niſi orationem impedit anteacta vita: ſuſcipe pater ſanctè pollutam deprecationem ab ore polluto: Pater ſecundùm gratiam, & conditor ſecundùm naturam, (peccavi in cœlum & coram te, & non ſum dignus vocari filius tuus:) Peccavi, confiteor peccata mea, non occulto quæ cernis, non nego quæ ſcis: ut reus abjectus jaceo, ut iniquus condemnor, ut judex miſerere mei. *Peccavi in cælum & coram te*: vereor oculos meos ad cœlum convertere. Etenim firmamenti ſpeciem ut accuſatoris vocem reformido, vereor in luce deitatis figere obtutum, cùm mentis oculos habeam ſordidatos. (*Peccavi in cælum & coram te, nec jam ſum dignus vocari filius tuus.*) Ecce meipſum prodo, meipſum condemno, ſententiam in meipſum pronuntio. Non eſt opus mihi judice ad pronuntiandam ſententiam, non opus eſt accuſatoribus ad convincendum reum, non opus eſt teſtibus ad tabulas confirmandas, intus habeo præſidentem conſcientiam, judicem implacabilem in anima gero

καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου. ἀρκεῖ μοι πρὸς σωτηρίαν ταῦτα τὰ ῥήματα· ἀρκεῖ μοι πρὸς τὴν πρεσβείαν τοῦ πατρός μου τὸ ὄνομα· οὐ δύναται γὰρ ὁ πατὴρ ὁ ἐμὸς, πατὴρ προσαγορευθεὶς παρ' ἐμοῦ, μὴ φανῆναι τοῖς ἔργοις πατήρ· οὐ δύναται μὴ κινῆσαι τὰ σπλάγχνα, εὔσπλαγχνος ὤν· οὐ δύναται, ἥμαρτον, ἀκούσας, μὴ δοῦναι συγγνώμην τοῖς ἐμοῖς ἁμαρτήμασιν· οὐ δύναται τῆς ἐμῆς ἀκούσας φωνῆς μὴ ἐπιλαθέσθαι τῆς δικαίας ὀργῆς. οἶδα πόσα δύναται παρ' αὐτῷ ἡ μετάνοια· οἶδα πόσα ἰσχύει παρ' αὐτῷ τὰ δάκρυα· οἶδα πῶς ἕκαστος ἁμαρτωλὸς πρὸς αὐτὸν ἀνανεύων, καὶ δακρύων θερμῶς, ὡς ὁ Πέτρος, λαμβάνει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· οἶδα τοῦ Θεοῦ μου τὴν ἀγαθότητα· οἶδα τοῦ πατρός μου τὴν ἡμερότητα. ἐλεήσει με μετανοοῦντα, ὃν οὐκ ἐκόλασεν ἁμαρτήσαντα. καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. προσέθηκε τῇ καλῇ βουλῇ τὴν πρᾶξιν τὴν ἀγαθήν. δεῖ γὰρ ἡμᾶς οὐ μόνον βουλεύεσθαι τὰ συμφέροντα, ἀλλὰ καὶ τὰς ἀγαθὰς ὁρμὰς δεικνύειν τῇ πράξει. ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος τοῦ τόπου, πλησίον δὲ ὄντος τῷ τρόπῳ, καὶ τὰς χεῖρας συχνῶς ἐπιρρηγνύντος, καὶ τύπτοντος τὸ ἴδιον στῆθος, ὡς τῶν πονηρῶν λογισμῶν [ὑπάρχον] ἐργαστήριον, καὶ τὸ πρόσωπον προσηλοῦντος τῇ γῇ, καὶ τοὺς ὀφθαλμοὺς ἀπαιτοῦντος δοῦναι συμπρεσβευτὰς τὰς τῶν δακρύων σταγόνας, καὶ προμελετῶντος τὴν ἀπολογίαν, φθάσας ἀνεβόησε φωνῇ μεγάλῃ, μετὰ δακρύων λέγων· πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου. ἥμαρτον, οἶδα, Χριστὲ Δέσποτα, καὶ Θεὲ ἡμῶν· ἁμαρτίας σὺ μόνος ἐπίστασαι· ἥμαρτον, ἐλέησον ὡς Θεὸς καὶ δεσπότης. οὐκ εἰμὶ ἄξιος εἰς τὸν οὐρανὸν βλέψαι, καὶ παρακαλεῖν σε τὸν ἀγαθόν μου δεσπότην, γέμων μεγίστων, καὶ χαλεπῶν ἐγκλημάτων· οὐκ ἔστιν ἀριθμὸς τῶν ἐμῶν ἁμαρτημάτων· ἐλέησον ὡς ἀγαθὸς Θεὸς ὢν ἀεί· ὅτι οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. οὕτως ἱκετεύοντα ἐκ βάθους τῆς καρδίας εἶδεν αὐτὸν ὁ βλέπων πλημμελοῦντας, καὶ παραβλέπων ἁμαρτάνοντας, καὶ περιμένων αὐτῶν τὴν μετάνοιαν· εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη. πατὴρ γὰρ ἦν τῇ χρηστότητι, εἰ καὶ Θεὸς ὑπῆρχε τῇ φύσει. καὶ δραμὼν ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν· οὐκ ἀνέμεινε τὸν προσκρούσαντα πλησίον ἐλθεῖν, ἀλλ' αὐτὸς αὐτῷ προαπήντησε προθύμως. καὶ οὐκ ἐβδελύξατο τὸν τράχηλον αὐτοῦ, ὡς τοῖς κηλῖσι τῆς ἀσωτίας κατάστικτον καὶ μεμιασμένον. ἀλλὰ ταῖς ἀχράντοις αὐτοῦ χερσὶ περιλαβὼν κατεφίλησεν ἀπλήστως τὸν πάλαι ποτὲ ποθούμενον. ὢ τῆς ἀφάτου τε καὶ φοβερᾶς εὐσπλαγχνίας· ὢ παραδόξου φιλανθρωπίας· ὢ ξένων σπονδῶν, ὢ ξένων καταλλαγῶν. ἐπέκαμψεν εὐθὺς τὸν Θεὸν εἰς ῥοπὴν μίαν μόνην καὶ συγκαταβῆναι τοῖς δάκρυσι, καὶ παραδραμεῖν πλῆθος τοσοῦτον. ἐθαύμασας εὑρὼν Θεὸν κολακεύοντα ἁμαρτωλόν; ὢ τῆς στοργῆς τῶν σπλάγχνων τῶν πατρικῶν. ὁ ἁμαρτωλὸς ἐπὶ γῆς ἐδάκρυσε, καὶ ὁ μόνος ἀναμάρτητος οὐρανόθεν ἑαυτὸν πρὸς τὴν φιλανθρωπίαν ἐπέκλινε. τίς εἶδέ ποτε ἁμαρτωλὸν ὑπὸ Θεοῦ κολακευόμενον; τίς εἶδέ ποτε τὸν δικαστὴν κατάδικον θεραπεύοντα; τίς εἶδέ ποτε κατάκριτον κολακευόμενον; ἀλλ' ὅμως ὁ Θεὸς παρακαλεῖ, ὡς ποτε τὸν Ἰσραήλ· λαός μου, φησὶ, τί ἠδίκησά σε, ἢ τί παρηνώχλησά σε; καὶ νῦν τὰ αὐτὰ γίνεται, καὶ ἐγένετο, ἐπειδὴ οὕτως ὁ εὐκατάλλακτος βούλεται Θεὸς, οὕτως οἶδεν ὑφ' ἑαυτοῦ νικᾶσθαι ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. οὐ μὴν ἠρκέσθη τούτοις ὁ ἄσωτος οὗτος υἱός· ἀλλὰ καὶ ἐν τοῖς τῆς μετανοίας ἀγαθοῖς ἀσωτεύων, οὐδὲ ἐνόμισεν αὐτῷ [πρὸς τὸ πλῆθος τῶν ἁμαρτηθέντων] τὴν τοσαύτην φιλανθρωπίαν πρὸς τὴν τελείαν σωτηρίαν ἀρκεῖν· ἀλλ' ἅπερ ἐμελέτησεν εἰπεῖν τῷ πατρὶ, ταῦτα καὶ παρὼν διαλέγεται μετὰ τοῦ πρέποντος σχήματος. πάτερ, εἴγε ὅλως ἔξεστί μοι πατέρα σε εἰπεῖν· εἰ μὴ καὶ τοῦτο μετὰ τῶν ἄλλων μου πλημμελημάτων, καλῶν σε πατέρα, ἐξαμαρτάνω· εἰ μὴ ὑβρίζω τῇ κλήσει τὸ ἀνύβριστον ὄνομα· εἰ μὴ κλείει μου τὰ χείλη τὸ συνειδός· εἰ μὴ δεσμεῖ μου τὴν γλῶτταν ὁ τρόπος τῆς πράξεως· εἰ μὴ κωλύει μου τὸν λόγον ὁ βίος· δέξαι, πάτερ ἅγιε, δέησιν ῥυπαρὰν ἐκ στόματος ῥυπαροῦ. πάτερ κατὰ χάριν, καὶ δημιουργὲ κατὰ φύσιν, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ἥμαρτον, ὁμολογῶ τὰ παραπτώματά μου, οὐ κρύπτω ἅπερ βλέπεις, οὐκ ἀρνοῦμαι ἅπερ ἐπίστασαι· ὡς ὑπεύθυνος πρόκειμαι, ὡς παράνομος κατακρίνομαι· ὡς κριτὴς ἐλέησόν με. ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· δέδοικα εἰς τὸν οὐρανὸν τὰ ὄμματά μου ἀνατεῖναι [φοβοῦμαι γὰρ τοῦ στερεώματος τὴν μορφὴν, ὡς κατηγόρου φωνὴν] εὐλαβοῦμαι ἐνατενίσαι τῷ φωτὶ θεότητος, ῥυπαροὺς ἔχων τοὺς τῆς διανοίας ὀφθαλμούς. ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ἰδοὺ ἐμαυτὸν ἀνακηρύττω, ἐμαυτὸν κατακρίνω, κατ' ἐμαυτοῦ ἀποφαίνομαι. οὐ δέομαι δικαστοῦ πρὸς ἀπόφασιν, οὐ δέομαι κατηγόρων πρὸς ἔλεγχον, οὐ δέομαι μαρτύρων πρὸς ἔλεγχον· ἔνδον ἔχω προκαθήμενον τὸ συνειδὸς, τὸν ἀπαραίτητον δικαστὴν ἐν τῇ ψυχῇ βαστάζω τὸ φοβερὸν δικαστήριον

ἐν

ἐν τῷ συνειδότι περιφέρω τοὺς μάρτυρας, ἐν τοῖς ἐμοῖς ὀφθαλμοῖς τοὺς κατηγόρους ἐπάγω, τὰ θέατρά μου κατηγορεῖ. αἱ ἱπποδρομίαι μου κατακράζουσιν, αἱ θεωρίαι τῶν θηριομαχούντων καταβοῶσί μου· ἡ ἀσωτία θριαμβεύει με, αἱ πράξεις μου στηλιτεύουσί με, ἡ παροῦσα γυμνότης φανεροῖ με, αὐτὰ τὰ ῥάκη τῆς αἰσχύνης, ἃ περιβέβλημαι, καταισχύνει με, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. μήτε τῆς αὐλῆς σου ἀποπέμψῃς με, Δέσποτα, ἵνα μὴ πάλιν ὁ πολέμιος εὑρών με πεπλανημένον, ὡς αἰχμάλωτον ἀπαγάγῃ· B μήτε πλησίον ἑλκύσῃς με τῆς φοβερᾶς σου καὶ μυστικῆς τραπέζης. οὐ γὰρ τολμῶ ὀφθαλμοῖς ἐναγέσιν ὁρᾶν τὰ ἅγια τῶν ἁγίων. ἀξίωσόν με στῆναι μετὰ τῶν κατηχουμένων, τῶν θυρῶν τῆς ἐκκλησίας ἔνδον· ἵνα θεωρῶν τὰ ἐν αὐτῇ τελούμενα μυστήρια, ποθήσω κατὰ μικρὸν ταῦτα πάλιν ἀναλαβεῖν· ἵνα τοῖς θείοις νάμασιν ἐπαντλούμενος ἀποσμήξω τὴν αἰσχύνην τῶν αἰσχρῶν ᾀσμάτων, τὸν ῥύπον τὸν ἐγκείμενον ταῖς ἐμαῖς ἀκοαῖς· ἵνα θεωρῶν τοὺς σοὺς μαργαρίτας ἁρπαζομένους παρὰ τῶν εὐσεβῶν ἀνδρῶν, C ἐπιθυμήσω κἀγὼ κτήσασθαι χεῖρας ἀξίας τῆς τούτων ὑποδοχῆς. Ταῦτα τοῦ ἀσώτου προσκρούσαντος, καὶ μετὰ δακρύων βοῶντος, εἶπεν ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· πρὸς ποίους δούλους; ἄκουε. πρὸς τοὺς ἱερεῖς καὶ λειτουργοὺς τῶν αὐτοῦ προσταγμάτων. ἐξενέγκατε ταχὺ τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν· ἐξενέγκατε τὴν στολὴν ἄνωθεν ὑφαντήν, τὴν ἐκ τοῦ πνευματικοῦ πυρὸς κατεργαζομένην· ἐξενέγκατε τὴν στολὴν τὴν ἐν τοῖς ὕδασι τῆς κολυμβήθρας ὑφαινομένην· ἐξενέγκατε τὴν στολὴν τὴν ἐκ τοῦ πνευματικοῦ πυρὸς κατα- D σκευαζομένην, καὶ ἐνδύσατε αὐτόν. ἐνδύσατε τὸν ἑαυτὸν ἀποδύσαντα. ἐνδύσατε τὸν νέον Ἀδάμ, ὃν ἐγύμνωσεν ὁ διάβολος· ἐνδύσατε τὸν βασιλέα τῆς κτίσεως· κοσμήσατε τοῦτον, δι' ὃν τὸν κόσμον ἐκόσμησα· καλλωπίσατε τοῦ υἱοῦ μου τὰ φίλτατα μέλη. οὐ φέρω γὰρ αὐτὸν ἀκαλλώπιστον καθορᾶν· οὐ φέρω τὴν ἐμὴν εἰκόνα γεγυμνωμένην καταλιπεῖν. ἐμὸν ὄνειδος ἡγοῦμαι τὸ ὄνειδος τοῦ ἐμοῦ παιδός· ἐμὴν δόξαν ἡγοῦμαι τούτου τὴν εὔκλειαν. δότε καὶ δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, ἵνα E φορῇ τὸν ἀρραβῶνα τοῦ πνεύματος, καὶ φορῶν αὐτὸν φρουρηθῇ ὑπὸ αὐτοῦ πνεύματος· ἵνα τὴν ἐμὴν σφραγῖδα περιφέρων, φοβερὸς ᾖ πᾶσι τοῖς πολεμίοις τε καὶ ἐναντίοις· ἵνα πόρρωθεν φαίνηται, ποίου πατρός ἐστιν οὗτος υἱός. δότε καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ, ἵνα μὴ πάλιν εὕρῃ ὁ ὄφις γυμνὴν τὴν πτέρναν αὐτοῦ, καὶ πατάξῃ αὐτὸν διὰ τοῦ κέντρου· ἀλλ' ἵνα μᾶλλον αὐτὸς καταπατῇ τὴν τοῦ δράκοντος κεφαλήν, ἵνα συντρίψῃ τοῦ πολεμίου τὰ κέντρα, καὶ ἵνα τρέχῃ τὴν κατὰ Θεὸν A ὁδόν. καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτόν, θύσατε. ποῖον μόσχον λέγει σιτευτόν; ποῖον; ὃν ἡ δάμαλις Μαρία παρθένος ἐγέννησεν. ἐνέγκατε τὸν μόσχον τὸν ἀδάμαστον, τὸν μὴ δεξάμενον ἁμαρτίας ζυγόν, τὸν παρθένον, καὶ ἐκ παρθένου, τὸν ἀκολουθοῦντα τοῖς ἀκολουθοῦσιν αὐτῷ, οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἑκουσίως· τὸν μὴ χρώμενον τῇ δυνάμει αὐτοῦ, μηδὲ τοῖς κέρασιν, ἀλλ' ἑτοίμως ὑποκλίνοντα τὸν ἑαυτοῦ αὐχένα τοῖς σφάττειν θέλουσι. θύσατε τὸν ἑκόντα θυόμενον, θύσατε τὸν ζωοποιοῦντα B τοὺς θύοντας. θύσατε τὸν θυόμενον καὶ μὴ νεκρούμενον· θύσατε τὸν μελιζόμενον, καὶ τοὺς μελίζοντας αὐτὸν ἁγιάζοντα· θύσατε τὸν ἐσθιόμενον παρὰ τῶν εἰδότων αὐτόν, καὶ μηδέποτε δαπανώμενον· θύσατε τὸν τοὺς ἐσθίοντας μακαρίους ἀπεργαζόμενον. καὶ φαγόντες πάντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη. καὶ ἤρξαντο εὐφραίνεσθαι. ἐπίστασθε τὴν πνευματικὴν εὐφροσύνην, οἱ ταύτης γευσάμενοι, καὶ μεμνημένοι τῶν φρικτῶν μυ- C στηρίων, τῶν λειτουργῶν τῆς θείας ἱερουργίας, τῶν μιμουμένων τὰς τῶν ἀγγέλων πτέρυγας ταῖς λεπταῖς ὀθόναις ταῖς ἐπὶ τῶν ἀριστερῶν ὤμων κειμέναις, καὶ ἐν τῇ ἐκκλησίᾳ περιτρεχόντων καὶ βοώντων· μή τις τῶν κατηχουμένων, μή τις τῶν μὴ ἐσθιόντων, μή τις τῶν κατασκόπων, μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸν μόσχον ἐσθιόμενον, μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸ οὐράνιον αἷμα τὸ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν, μή τις ἀνάξιος τῆς ζώσης θυσίας, μή τις ἀμύητος, μή τις μὴ D δυνάμενος ἀκαθάρτοις χείλεσι προσψαῦσαι τῶν φρικτῶν μυστηρίων· εἶτα καὶ τῶν ἀγγέλων ἄνωθεν ἐπευφημούντων καὶ λεγόντων· ἅγιος ὁ πατήρ, ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτόν, τὸν μὴ γνόντα ἁμαρτίαν, καθώς φησιν ὁ προφήτης Ἡσαΐας· ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ἅγιος ὁ υἱός, ἅμα καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκών, καὶ ἀεὶ ζῶν· ἅγιος ὁ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον τὸ τὴν θυσίαν τελεσιουργῆσαν. τούτων οὖν ἔνδον ἐπιτελουμένων ὁ πρεσβύτερος υἱὸς μακρόθεν παραγενόμενος ἤκουσε E συμφωνίας καὶ χορῶν· καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο τί ἂν εἴη ταῦτα· ἦχός τις περικτυπεῖ μου τὰ ὦτα. ὁ δέ φησι, Δαβὶδ ὁ προφήτης ἔνδον μελῳδεῖ· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. ὁ αὐτὸς πάλιν προτρέπεται τοὺς παρόντας πρὸς τὴν ἑστίασιν, καὶ λέγει· γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Παῦλος ὁ τῶν θείων μυστηρίων ἐξηγητής, ἀναβοᾷ καὶ λέγει· τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός. ἡ ἐκκλησία πανηγυρίζει εὐφραινομένη καὶ χορεύει. ὁ δέ φησι πρὸς τὸν δοῦλον· ναί, καὶ μὴ παρόντος ἐμοῦ ἄλλοι τὰ ἐμὰ μυστήρια, παρὰ τὴν ἐμὴν ἀπουσίαν, ἐν τῇ ἐμῇ αὐλῇ μερίζονται; ναί,

A ac forum formidabile, in conſcientia teſtes circumfero, in oculis meis accuſatores produco, theatra me accuſant, in me Circi clamant, in me ſpectacula eorum qui cum beſtiis pugnant, vociferantur: Prodigalitas me traducit: me actiones meæ infamia obruunt; me præſens nuditas manifeſtat, ipſi ignominiæ panni, quibus amictus ſum, me pudore ſuffundunt, & non ſum dignus vocari filius tuus: (*Fac me ſicut unum ex mercenariis tuis.*) Ne me autem abigas ab aula tua, Domine, ut ne rurſum me inventum hoſtis errantem velut captivum abducat: neq; me prope tremen- B dam & myſticam menſam tuam ſiſtas: non enim auſim apertis oculis intueri ſancta ſanctorum. Sine me cum catechumenis intra Eccleſiæ fores conſiſtere, ut contemplans quæ in ea perficiuntur myſteria, eorum ſenſim rurſus particeps fieri concupiſcam: ut divinis laticibus perfuſus turpium animæ veſtium ſordes in auribus meis reſidentes abſtergam, ut cùm tuas margaritas à piis viris abripi videro, manus & ipſe dignas, quæ tale munus accipiant, habere deſiderem. Cùm hæc eum invaliſſet prodi- C gus, eſſetq; cum lacrymis ita vociferatus; (*dixit pater ad ſervos ſuos.*) Ad quóſnam ſervos? audi, ad ſacerdotes & miniſtros mandatorum ſuorum. (*Proferte cito ſtolam primam, & induite illum.*) Proferte ſtolam deſuper textam, ab igne ſpirituali præparatam, proferte ſtolam in aquis piſcinæ contextam: proferte ſtolam ex igne ſpiritali conflatam. (*& induite eum;*) qui ſeſe exuit, induite novum Adamum quem nudavit diabolus. induite regem creaturæ, ornate eum per quem mundum ornavi, condecorate filii mei D membra clariſſima: non enim poſſum eum inornatum intueri, non fero ut imago mea nuda relinquatur, meum probrum cenſeo filii probrum, meam gloriam exiſtimo hujus celebre nomen. (*Date etiam annulum in manum ejus,*) ut ſpiritus pignus gerat, & ipſum ferens cuſtodiatur ab ipſo ſpiritu, ut meum ſigillum circumferens formidabilis omnibus hoſtibus adverſariiſq; appareat, ut à longè, cujus patris iſte ſit filius, intelligatur. Date etiam calceamenta in pedes ejus, ne rurſus nudatum reperiat ſerpens E calcaneum ejus, eúmque aculeo ſuo percutiat: ſed ut ipſe potiùs caput draconis conculcet, ut hoſtis conterat ſtimulos, & viam quæ ſecundum Deum eſt, percurrat. (Et adducite vitulum ſaginatum, & occidite.) Quem tandem vitulum dicit ſaginatum? quemnam? quem juvenca Maria virgo peperit. Proferte vitulum indomitum, qui nondum peccati jugum ſuſtinuit, virginem, & ex virgine natum, qui ſequitur eos qui ſequuntur ſe, non ex neceſſitate, ſed ſponte; qui non utitur robore ſuo, neque cor- A nibus, ſed promptè cervicem inclinat iis qui mactare ipſum volunt. Occidite itaque eum qui ſponte occiditur. occidite eum, qui vivificat eos qui ſe occidunt. occidite eum qui occiditur, ſed non moritur; occidite eum, qui membratim conciditur, & eos ſanctificat, qui ſe concidunt. Occidite eum, qui comeditur ab iis qui ipſum norunt, & nunquam conſumitur: Occidite eum qui comedentes beatos reddit: Et epulantes omnes lætemur: *Quia hic filius meus mortuus erat, & revixit, perierat & inventus eſt, &* B *cœperunt epulari.*) Noſtis ſpiritales delicias qui eas deguſtatis, & recordamini tremendorum myſteriorum, ac miniſtrorum ſacri officii, imitantium Angelorum alas tenuibus ſuis lineis velis, quæ ſiniſtris humeris inſident: & qui in Eccleſia diſcurrunt clamántque, Ne quis ex catechumenis, ne quis eorum qui non edunt, nullus ex exploratoribus, ne quis eorum qui non poſſunt intueri vitulum qui comeditur, néve quis eorum qui ſpectare non C poſſunt, cœleſtem ſanguinem qui effunditur in remiſſionē peccatorum, ne quis indignus hoſtia vivente, ne quis non initiatus, ne quis eorum qui non poſſunt impollutis labiis tremenda myſteria attingere: deinde ſubjunguntur voces Angelorum collaudantium de cœlis & dicentium: Sanctus pater qui voluit mactari vitulum ſaginatum, qui peccatum non novit, ut propheta dixit Eſaias, *Qui peccatum non fecit, neque inventus eſt dolus in ore ejus.* Sanctus eſt filius ſimul & vitulus qui ſemper occiditur ſponte, qui ſemper vivit: Sanctus paracletus Spiritus ſanctus, qui D ſacrificium perficit. Hæc itaque dum intus agerentur, ſenior filius cùm veniſſet, audivit à longè ſymphoniam, & choros, & cùm ex pueris unum advocaſſet, interrogabat, quid hoc eſſet: Aures meas verberat ſonus quiſpiam. Ille autem inquit, David Propheta intus concinit: *Tunc imponent ſuper altare tuum vitulos.* Idem rurſus eos qui adſunt, ad epulas cohortatur, aitque: *Guſtate & videte, quia bonus eſt Dominus.* Paulus divinarum rerum interpres proclamat, ac dicit: *Paſcha noſtrum immolatus eſt* E *Chriſtus*, Eccleſia feſtum agit, epulatur, & choreas ducit. Ille autem ait ſervo: Itáne eſt? dum ego foris ſum, alii myſteria mea in aula mea me abſente dividunt? Sic eſt; inquit,

Alludit ad Diaconorum ſtolas.

Eſa. 53. 9.

Pſ. 50. 21.

Pſal. 33. 9.

loquit, quoniam frater tuus venit, occidit pater tuus vitulum A ſaginatum, quia ſalvum eum recepit. His auditis iratus eſt juſtus, neque ingredi voluit. Iratus eſt juſtus, & invidiæ factus eſt ſervus; qui delicias vitæ pedibus conculcaverat, ab invidia ſuperatus eſt. Quomodo autem ait Paulus: (Rom. 9.) *Optabam ego ipſe anathema eſſe à Chriſto pro fratribus meis, qui ſunt cognati mei ſecundùm carnem.* Non ut invidum oſtenderet eſſe juſtum, ſed ut magnitudinem quandam immenſam innueret, ita orationem conformavit Salvator, ut immenſas divitias bonitatis patris ſui de- B clararet. Idque adeo per ea quæ conſequuntur, indicat. Pater enim egreſſus cœpit rogare illum. O ineffabilem ſapientiam! ò religioſam providentiam! & peccatoris eſt miſertus, & juſto eſt adulatus; & non permiſit ut caderet is qui ſtabat, & eum qui ceciderat, excitavit. Pauperem divitem effecit, neque divitem ſivit invidia pauperem fieri. At ille reſpondens dixit patri ſuo: *Ecce tot annis ſervio tibi, & nunquam mandatum tuum præterivi, & nunquam dediſti mihi hædum, ut cum amicis meis epularer, ſed cir- C cumeo in melotis, in pellibus caprinis, egens, anguſtiatus, afflictus. Sed* (Heb. 11,37.) *poſtquam filius tuus hic qui te contempſit, qui devoravit ſubſtantiā ſuam cum meretricibus, venit, ſubito occidiſti illi vitulum ſaginatū, & neque verbo ipſum caſtigaſti*, neque in ſpeciem vultum ab ipſo avertiſti, ſed continuò ipſum hoſpitio excepiſti, & omnibus tuis veſtimentis exornaſti, aureo annulo ſplendidum reddidiſti, calceamentis muniviſti, Eccleſiam aperuiſti, menſam adornaſti, crateras impleviſti, vitulum occidiſti ſaginatum, ad epulas fide- D les convocaſti, Angelos ad choreas impuliſti, admirabile cœli terræq; convivium convocaſti. Tanta ergo munera in eum qui tuam bonitatem contempſerat, quiq; nobilitatem tuam probris affecerat, contuliſti? Quid dicam de tuarum miſerationum pelago? quo modo tuæ benignitatis Oceanum admirabor? Miſereris omnium Domine, quo omnia poſſis, & in hominum peccatis connives, ut ad pœnitentiam convertantur. (*Pater autem dixit ipſi, Fili tu ſemper mecum es.*) Tu à meo ſinu haud unquam ſejun- E ctus es, tu ab Eccleſia mea nunquam diſſiluiſti, tu pſalmis ſemper & hymnis operam dediſti, tu cum Angelis quovis tempore verſaris: tu altari aſſiſtens cum fiducia clamas, (*Pater noſter qui es in cœlis, ſanctificetur nomen tuum:*) Hic verò acceſſit ad me condemnatus, vultu pudore ſuffuſo, & in terram inclinato, & corde contrito, ac voce triſti clamavit, (*Pater peccavi in cœlum & corā te, jam non ſum dignus vocari filius tuus, fac me ſicut unum de mercenariis tuis.*) Quid potuiſſem facere auditis his vocibus? potui- A ne non miſereri filii mei ad me accedentis? judica tu qui iratus es. Atqui non fert natura mea, cum humanus ſim, ut inhumanum quid perpetrem; non poſſum non ejus miſereri, quem exoravi: non poſſum non miſeratione duci ejus quem ex meis viſceribus genui. Fili tu ſemper mecum es, & omnia mea tua ſunt. Tuum eſt cœlum, tuum firmamentum, ſol laternarius tuus, luna ancilla tua, ſtellæ ſunt faces tuæ, aër nutricius tuus, tuáque omnia quæ in aëre verſantur, tua eſt terra, & B omnia quæ in ea ſunt. tuum eſt mare, quæq; in eo ſunt cuncta, tuus mundus. Eccleſia tua, tuum altare, tuus vitulus ſaginatus, tuum ſacrificium, tui Angeli, tui Apoſtoli, tui martyres, tua præſentia, tua futura, tua reſurrectio, tua immortalitas, tua incorruptio, tuum regnum cœlorum, omnia quæ cernuntur oculis, quæque mente percipiuntur, ſunt tua. Num tua abripui, & illi appoſui? num te exui, & illum indui? nónne meorum operum miſericordiam largitus ſum? nónne pariter ſum, & tuus & illius pater? C & te honore afficio virtutis nomine, & illius me miſeret propter inſignem converſionem. Te diligo propter vitam, & illum (Luc. 15,32) propter tranſmutationem: Te propter converſationem, illum propter pœnitentiam: Te propter longanimitatem, illum propter converſionem in me. (*Epulari enim & gaudere te oportebat, quia frater tuus hic mortuus erat, & revixit, perierat & inventus eſt.*) Quis cùm viderit mortuum excitatum ab inferis non oblectatur? quis cùm invenerit ea, quæ perdiderat, gaudio non effer- D (Pſal. 31,1.) tur? Veni & tu fili mi, oblectare nobiſcum, exulta cum Angelis, complectere nobiſcum fratrem tuum, & cùm Davide pſalle illud ſpiritale canticum, quod huic convenit feſtivitati: *Beati quorum remiſſa ſunt peccata. Beatus vir, cui non imputavit Dominus peccatum.* Audiſtis divinam parabolam, & ejus ſcopum noviſtis, vimq; perſpexiſtis: quàm benignū Dominum habeamus, quàm patientem didiciſtis: Ad eum ergo cum puro corde confugiamus. Venite, communi voce ad eum clamemus, Here, Domine E benigne, unigenite Dei fili, peccavimus in cœlū, & corā te, nec digni ſumus qui filii tui vocemur, ſed in miſerationibus tuis cōfidimus habemus obſidē tuæ benignitatis pretioſā Crucem, quā noſtra

A Φησιν· ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ πρὸς ταῦτα ὁ δίκαιος, καὶ οὐκ ἠθέλησεν εἰσελθεῖν. ὠργίσθη ὁ δίκαιος, καὶ τοῦ φθόνου ἐγένετο δοῦλος; καὶ καταπατήσας τοῦ βίου τὰ τερπνά, φθόνῳ κεκράτηται; καὶ πῶς φησιν ὁ Παῦλος λέγων· ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα; οὐχ ἵνα βάσκανον δείξῃ τὸν δίκαιον, ἀλλὰ διὰ τὴν ὑπερβολήν, οὕτω B τὸν λόγον ἐσχημάτισεν ὁ Σωτήρ, ἵνα κηρύξῃ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ πατρὸς αὐτοῦ. καὶ τοῦτο δηλοῖ διὰ τῶν ἐφεξῆς. ὁ γὰρ πατὴρ αὐτοῦ, φησίν, ἐξελθὼν παρεκάλει αὐτόν. ὢ σοφίας ἀρρήτου· ὢ προνοίας θεοφιλοῦς. καὶ τὸν ἁμαρτωλὸν ἠλέησε, καὶ τὸν δίκαιον ἐκολάκευσε· καὶ τὸν ἱστάμενον οὐκ ἀφῆκε πεσεῖν, καὶ τὸν πεσόντα ἤγειρε, καὶ τὸν πένητα πλούσιον ἀπέδειξε, καὶ τὸν πλούσιον οὐ συνεχώρησε τῷ φθόνῳ γενέσθαι πτωχόν. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ ἐγὼ τοσαῦτα C ἔτη ἔχω δουλεύων σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον· καὶ ἐμοὶ οὐκ ἔδωκάς ποτε ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ἀλλὰ περιέρχομαι ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενος, θλιβόμενος, κακουχούμενος. ὅτε δὲ ὁ υἱός σου οὗτος ἦλθεν ὁ καταφρονήσας σου, καὶ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, εὐθέως ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν· καὶ οὔτε ῥήματι ἐπέπληξας αὐτῷ, οὔτε σχήματι τὸ πρόσωπόν σου ἀπέστρεψας ἀπ' αὐτοῦ· ἀλλ' εὐθέως ἐξενοδό- D χησας αὐτόν, καὶ πάσῃ τῇ στολῇ σου κατεκόσμησας, καὶ τῷ χρυσῷ δακτυλίῳ περιήστραψας, καὶ τοῖς ὑποδήμασι περιέφραξας, καὶ τὴν ἐκκλησίαν ἤνοιξας, καὶ τὴν τράπεζαν ἐκαλλώπισας, καὶ τοὺς κρατῆρας ἐπλήρωσας, καὶ τὸν μόσχον τὸν σιτευτὸν κατέσφαξας, καὶ πρὸς τὴν εὐωχίαν τοὺς πιστοὺς προσεκάλεσας, καὶ τοὺς ἀγγέλους χορεύειν ἐποίησας, καὶ ξένον οὐρανοῦ καὶ γῆς συμπόσιον συνεκρότησας· καὶ τοιαύτας καὶ τοσαύτας δωρεὰς παρέσχες τῷ καταφρονήσαντι τῆς σῆς ἀγαθότητος, καὶ E τὴν εὐγένειαν καθυβρίσαντι. τί εἴπω πρὸς τὸ βάθος καὶ τὸ πέλαγος τῶν σῶν οἰκτιρμῶν; πῶς θαυμάσω τὴν θάλασσαν τῆς σῆς χρηστότητος; ἐλεεῖς, Κύριε, πάντας, ὅτι πάντα δύνασαι, παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν. ὁ δὲ πατὴρ αὐτοῦ εἶπεν αὐτῷ· τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ· σὺ τῶν ἐμῶν κόλπων οὐκ ἐχωρίσθης ποτέ· σὺ τῆς ἐκκλησίας τῆς ἐμῆς οὐκ ἀπεσκίρτησας· σὺ ψαλμοῖς καὶ ὕμνοις προσέχεις ἀεί· σὺ μετὰ τῶν ἀγγέλων ἐντυγχάνεις διαπαντός· σὺ τῷ A θυσιαστηρίῳ παριστάμενος, μετὰ παρρησίας βοᾷς, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. οὗτος δὲ προσῆλθέ μοι, κατακεκριμένος, κατῃσχυμμένος, τὸ πρόσωπον αἰδῶν εἰς τὴν γῆν, καὶ μετὰ συντετριμμένης καὶ στυγνῆς φωνῆς ἀνεβόησε· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. τί εἶχον ποιῆσαι πρὸς τὰ ῥήματα ταῦτα; ἠδυνάμην μὴ ἐλεῆσαι τὸν ἐμὸν υἱὸν προσελθόντα μοι; σὺ δίκασον ὁ θυμούμενος. ἀλλ' οὐ πέφυκα, φιλάνθρωπος ὤν, ἀπάνθρω- B πόν τι διαπράξασθαι· οὐ δύναμαι μὴ ἐλεῆσαι, ὃν ἐγὼ ἐποίησα· οὐ δύναμαι μὴ οἰκτεῖραι, ὃν ἐκ τῶν ἐμῶν σπλάγχνων ἐγέννησα. τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα, σά ἐστιν· ὁ οὐρανὸς σός, τὸ στερέωμα σόν, ὁ ἥλιος δᾳδοῦχος σός, ἡ σελήνη θεράπαινα σή, οἱ ἀστέρες λαμπτῆρές σοι, ὁ ἀὴρ τροφεύς σός, καὶ πάντα τὰ ἐν ἀέρι, σά. ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, σά· ἡ θάλασσα καὶ τὰ ἐν αὐτῇ, σά· ὁ κόσμος σός, ἡ ἐκκλησία σή, τὸ θυσιαστήριον σόν, ὁ μόσχος ὁ σιτευτὸς C σός, ἡ θυσία, σή, οἱ ἄγγελοι, σοί, οἱ ἀπόστολοι, σοί, οἱ μάρτυρες, σοί· τὰ παρόντα, σά, τὰ μέλλοντα, σά, ἡ ἀνάστασις, σή, ἡ ἀθανασία, σή, ἡ ἀφθαρσία, σή, ἡ βασιλεία τῶν οὐρανῶν, σή, πάντα τὰ φαινόμενα καὶ τὰ νοούμενα, σά. μὴ τὰ σὰ ἀπήγαγον, κἀκείνῳ προσήγαγον; μὴ σὲ ἀπέδυσα, κἀκεῖνον ἐνέδυσα; οὐχὶ ἐκ τῶν ἐμῶν πραγμάτων ἐχαρισάμην τὸ ἔλεος; οὐχ ὁμοίως εἰμὶ καί σου κἀκείνου πατήρ; καὶ σὲ τιμῶ διὰ τὴν ἀρετήν, κἀκεῖνον ἐλεῶ διὰ τὴν καλλίστην D ἐπιστροφήν· καὶ σὲ ποθῶ διὰ τὴν ζωήν, κἀκεῖνον διὰ τὴν μεταβολήν· καὶ σὲ διὰ τὴν πολιτείαν φιλῶ, κἀκεῖνον διὰ τὴν μετάνοιαν· καὶ σὲ διὰ μακροθυμίαν, κἀκεῖνον διὰ τὴν ἐν ἐμοὶ ἐπιστροφήν. εὐφρανθῆναι δὲ καὶ χαρῆναί σε ἔδει, ὅτι οὗτος ὁ ἀδελφός σου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη. τίς βλέπων νεκρὸν ἀνιστάμενον, οὐκ εὐφραίνεται; καὶ τίς εὑρὼν ἃ ἀπώλεσεν, οὐκ ἀγάλλεται; δεῦρο καὶ σύ, υἱέ μου, συνευφράνθητι σὺν ἡμῖν, καὶ συσκίρτησον σὺν E τοῖς ἀγγέλοις, καὶ περίπλεξον σὺν ἡμῖν τὸν σὸν ἀδελφόν, καὶ σύμψαλλε τῷ Δαβὶδ ἐκεῖνο τὸ πνευματικὸν μέλος, τὸ πρέπον τῇ παρούσῃ πανηγύρει· μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. ἠκούσατε τῆς θείας παραβολῆς, καὶ τὸν ταύτης σκοπὸν ἔγνωτε καὶ τὴν δύναμιν αὐτῆς εἴδετε, ἐμάθετέ πως φιλάνθρωπον ἔχομεν Κύριον, πῶς ἀνεξίκακον. αὐτῷ τοίνυν προσφύγωμεν μετὰ καθαρᾶς καρδίας. δεῦτε, κοινῇ φωνῇ βοήσωμεν πρὸς αὐτὸν λέγοντες, Κύριε φιλάνθρωπε, μονογενὲς υἱὲ τοῦ Θεοῦ, ἡμάρτομεν εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἐσμὲν ἄξιοι κληθῆναι υἱοί σου· ἀλλὰ θαρροῦμεν τοῖς σοῖς οἰκτιρμοῖς· ἔχομεν ἐνέχυρα τῆς σῆς φιλανθρωπίας τὸν τίμιον σταυρόν, ὃν προσκυνοῦ-

μενος

μείνας δι' ἡμᾶς· ἔχομεν ἐγγυητὰς τῆς σῆς εὐσπλαγχνίας, τὴν ποτὲ πόρνην, καὶ τὸν ποτὲ λῃστήν. Διὰ τούτων γὰρ καὶ ἡμεῖς καὶ πάντες οἱ ἁμαρτωλοὶ προτρεπόμεθα προστρέχειν τῇ σῇ φιλανθρωπίᾳ. ὡς ἐκείνους ἀοιδίμους καὶ μακαρίους ἀπέδειξας, Κύριε, καὶ ἡμᾶς παραπεσόντας σὺ ἐλέησον· ὡς ἀνέστησας νεκροὺς σταυρωθείς, καὶ ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ διὰ τὴν πολλήν σου φιλανθρωπίαν ἀνάστησον, ἵνα ἀπολαύσωμεν μετὰ τῶν ἀπολυτρωσαμένων τῆς σῆς ἀναστάσεως. Ταῦτα λέγοντες, ἐπιμείνωμεν, ἵνα καὶ πρὸς ἡμᾶς εἴπῃ ὁ δεσπότης ἡμῶν Χριστός, κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ὑμεῖς δὲ οἱ μέλλοντες ἀπολαύειν τῆς τοῦ βαπτίσματος δωρεᾶς, πάντα λογισμὸν ἀλλότριον ἀπορρίψαντες, καὶ τὰς ψυχὰς ὑμῶν εἰς τὸν οὐράνιον νυμφίον εὐθύναντες, τῆς τοῦ ἁγίου πνεύματος χάριτος ἀπολαύσατε. ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἐπὶ θύραις ὁ λυτρωτὴς ἐφέστηκεν, ὁ ἰατρὸς τοῖς πιστεύουσι πάρεστι, τὸ ἰατρεῖον ἠνέῳκται, τὰ φάρμακα πρόκειται, ἡ κολυμβήθρα πάντας προσδέχεται, ἡ χάρις ἐξήπλωται, ἡ πνευματικὴ στολὴ παρὰ τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐξυφαίνεται. μακάριοι οἱ καταξιούμενοι φορέσαι τὴν στολήν. μόνον ὑμεῖς τῆς πίστεως τὰς λαμπάδας ἐνάψατε, καὶ τὸ ἔλαιον τῆς εὐσεβείας δαψιλῶς ἐπιβάλλετε, ἵνα νυκτός, ὅταν γένηται φωνὴ λέγουσα, ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέλθητε εἰς ὑπάντησιν αὐτοῦ μετὰ φαιδρῶν τῶν λαμπάδων, χορεύοντες καὶ σκιρτῶντες καὶ βοῶντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας, Ἀμήν.

A causa pertuliſti : habemus fidejuſſorem tuæ miſericordiæ illam olim meretricem, & illum quondam latronem : propter illos enim & nos & peccatores omnes incitamur, ut ad humanitatem tuam recurramus ; ut illos celebres ac beatos reddidiſti, ſic etiam noſtri, qui lapſi ſumus, miſerere : qui crucifixus mortuos ſuſcitaſti, nos quoque à peccato enecatos per humanitatem exſuſcita, una perfruamur cum illis qui redempti ſunt, & participes facti ſunt, tua reſurrectione. Hæc cùm dixerimus, ex-B pectemus, ut & nobis dicat Dominus noſter Chriſtus : Secundùm fidem veſtram fiat vobis. Vos verò qui baptiſmatis dono perfruituri eſtis, omnem alienam cogitationem abjicite, animaſque veſtras ad cœleſtem ſponſum convertite : Spiritus gratia perfruimini : Dominus prope eſt, nihil ſolliciti ſitis : etenim adſtat pro foribus redemptor, adeſt credentibus medicus, officina medici aperta eſt, parata ſunt pharmaca, omnes expectat piſcina, gratia explicata eſt, ſpiritalis ſtola à patre & filio & C Spiritu ſancto pertexta eſt. Beati qui digni habiti fuerint, ut ſtolam ferant. (Apoc. 3.) Vos lucernas tantùm accendite, & oleum pietatis copioſè infundite, de nocte cùm audita vox fuerit dicens, Ecce ſponſus venit, exeatis obviam illi cum ſplendidis lucernis, choreas ducentes, ſaltantes & clamantes, *Benedictus qui venit in nomine Domini* (Matt. 21, 9.), ipſi gloria & poteſtas, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

D

Εἰς τὴν ὄρχησιν τῆς Ἡρωδιάδος, καὶ εἰς τὴν ἀποτομὴν τῆς κεφαλῆς Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ.

Ὥσπερ τις ἀνὴρ φιλέρημος ἔν τινι τόπῳ ἀλσώδει ὑπὸ δένδρων σκιαζόμενος, ὑπὸ τῶν ὀρνέων καλλιφώνοις κλαγγαῖς, καὶ ὑπὸ τῶν ὑδάτων εὐήχοις ῥοαῖς κυλινδούμενος πρᾳεῖαν ἔχει τὸ φρόνημα, πᾶσιν ἀνθρώποις ὁ τοιοῦτος ἀρέσκει· οὕτω καὶ ἡμεῖς τὰς παρελθούσας ἡμέρας τῇ πρᾳότητι τοῦ πνεύματος αὔρᾳ παρακαλούμενοι, τὰ περὶ ἐλεημοσύνης ὑμῖν διελεγόμεθα. ὅτε δὲ εὐαγγέλιον ἐκήρυξε τὴν Ἡρώδου παραφροσύνην, καὶ γυναικῶν ἀσέλγειαν, καὶ κῶμον ἀνδρῶν παραφρόνων, καὶ τράπεζαν ἐναγῆ, καὶ δῶρον ἀθέμιτον, καὶ ἔργον ἀνόσιον, καὶ κηδείαν σώματος σεμνοτάτου· ἄλλος ἐξ ἄλλου γεγένημαι· ἐνεὸς γὰρ γίνομαι, ἀγαπητοί, ὅταν ὑπὸ ὄψιν ἐμαυτοῦ ἀγάγω τὰ ὑπὸ Ἡρώδου γεγενημένα πράγματα· εἴγε ἐστὶν ἐκεῖνα λέγειν πράγματα, καὶ μὴ τεράσματα, τοῦ τοιαῦτα δεδρακότος πράγματα. ἐν ἐκείνῳ, φησί, τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, οὗτός ἐστιν Ἰωάννης, ὃν ἐγὼ ἀπεκεφάλισα. αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὁμολογεῖ τοῦ προφήτου τὸν φόνον, ὃν οὐ δύναται ψεύσασθαι· καὶ ᾔδει ὃν ἀπέκτεινεν, ὅτι προφήτης ἐστί, καὶ ἀνὴρ δίκαιος. εἰ μὴ γὰρ ἐγίνωσκεν, οὐκ ἂν ἔλεγεν αὐτὸν ἐκ νεκρῶν ἐγηγέρθαι· καὶ διὰ τοῦτο τὰς δυνάμεις ἐν αὐτῷ ἐνεργεῖν. ὢ συνειδήσεως κακῆς· ἐπὶ οἱῳδήποτε φόνῳ ὁ αὐτὸς μαρτυρεῖ ἑαυτῷ; ὢ συνειδήσεως κακῆς συζώσης ψυχῇ μιαρᾷ, καὶ κολαζούσης ἕως θανάτου, καὶ μετὰ θάνατον ἀπαραιτήτως κρινούσης. καὶ διὰ ποίαν αἰτίαν ἀπέκτεινε τὸν προφήτην; ὅτι κῆρυξ τῆς ἀληθείας ἐγένετο, καὶ τὸ παρανόμως αὐτοῦ πραχθὲν διὰ τοῦ ἐλέγχου ἐβούλετο λῦσαι· καὶ ὃν ἔδει ὡς βασιλέα φύλακα εἶναι τῶν ἐντολῶν τοῦ Θεοῦ, αὐτὸς τῇ ἀκρατείᾳ τῶν ἡδονῶν ἀταξίᾳ τοὺς νόμους παρέλυε. βασιλεὺς γὰρ ἐκεῖνός ἐστιν, ὁ νόμους δικαίους ἐκπέμπων, πρῶτος δὲ πράττων ἀλλ' οὐ παραχαράττων. πῶς γὰρ ἂν ἄλλως τὸν ὑπ' αὐτοῦ ἀρχόμενον κόσμον εἰς εὐταξίαν ῥυθμίσει, ἐὰν μὴ δικαίοις νόμοις, καθάπερ ἡνίαις, τὸ δυσήνιον γένος τῶν ἀνθρώπων χαλιναγωγήσῃ; Ἡρώδης δὲ βασιλεὺς ὢν οὐ λαῶν, ἀλλ' ἡδονῶν, μᾶλλον δὲ δοῦλος τῶν ἡδονῶν [ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται] οὐ μόνον τὸν νόμον τοῦ Θεοῦ παρέβη, ἀλλὰ καὶ φόνους ἀδίκως ἐτέκταινε. καὶ τίνα ἐφόνευσεν; ἄνδρα δίκαιον, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται· καθὼς καὶ ὁ Κύριος ἐμαρτύρησεν· ἄνδρα, ὃς ἔρημον ᾤκει, ἔρημον ἀοίκητον, ἄνυδρον, ἄκαρπον, ἄβατον, ἄδενδρον, ἀβότανον, ἀχλοηφόρον. ἔρημον δὲ ᾤκει ὁ Ἰωάννης, οὐ φεύγων τὸ ὁμόφυλον καὶ συγγενὲς τῶν ἀνθρώπων γένος, ἀλλὰ φεύγων τὸ βλέπειν καὶ ἀκούειν τὰ μυσαρὰ τῶν ἀνθρώπων κακοπραγήματα. οὗτος οὔτε ἔσπειρεν, οὔτε ἐθέριζέ ποτε· διὸ οὔτε ἀρότριον εἶχεν, οὐκ οἶνον, οὐ τράπεζαν, οὐ κλίνην τὴν τῶν ἡδονῶν * ὑπηρέτιν, οὐ τὰ μαλακὰ χηνοπλύματα ἐκλύοντα τὰ τῶν ἀνδρογύνων σώματα, οὐ λυχνίαν εἶχεν, οὐ λύχνον, οὐ τράπεζαν, οὐ σκάμνον, οὐ ποτήριον, οὐ πίνακα. ἔξω γὰρ ὢν τοῦ κόσμου, οὐδενὶ τῶν τοῦ κόσμου ἐνεδέετο. ᾤκει δὲ οὐχ ὑπὸ οἶκον χρυσόροφον, ἀλλ' ὑπὸ πέτραν αὐτόροφον. τούτῳ καὶ τράπεζα, καὶ σκάμνος, καὶ κλίνη τὸ ἔδαφος ἦν· καὶ κρέα

In Saltationem Herodiadis, & decollationem Joannis Præcurſoris & Baptiſtæ. (Matt. 14.)

Eodem interprete.

(Ex edit. August. emend. ex Palat. ms.)

E QUemadmodum ſi quis amator ſolitudinis in aliquo ſaltibus referto loco ſub arborum umbra conſideat, & jucundo volucrum concentu, ac profluentis murmure placido delectetur, fieri nequit ullo modo, quin ejus animus ſenſuſque omnis ad humanitatem traducatur, omnibuſque ſeſe affabilem præbeat : ita nos quoque ſuperioribus diebus benignitate ſpiritus commoti, de eleemoſyna ſermonem apud vos habebamus : ubi verò ſtultitiam Herodis evangelium prædicavit, mulierumque petulan-A tiam, convivium delirantium virorum, execrandam menſam, donum iniquum, opus injuſtum, & exequias corporis omni veneratione proſequendi, penitus immutatus ſum. Mutus enim fio, dilectiſſimi, cùm meis obverſantur oculis præterita Herodis facta, vel potiùs fata, unde tam immania ſpectacula conſequuntur. Illo etenim tempore audivit Herodes tetrarcha famam Jeſu, & ait pueris ſuis : (*Hic eſt Joannes Baptiſta quem ego decollavi, ipſe ſurrexit à mortuis, & ideo virtutes operantur* (Matt. 14. 2.) B *in eo.*) Confitetur cædem Prophetæ, quam negare non poteſt, &, quem occidit, novit Prophetam eſſe, virumque juſtum. Niſi enim noſſet, haud illum diceret à mortuis ſurrexiſſe, ideoque virtutes operari in eo. O improbam conſcientiam! in quali quæſo cæde ipſe teſtimonium in ſe dicit. O improbam conſcientiam quæ cum anima perverſa uſque ad mortem vivens, poſt mortem etiam implacabiliter torques. Quam verò ob cauſam Prophetam occidit? quoniam præco veritatis erat, & injuſtam C ejus actionem impedire ſua reprehenſione contendebat, & quem ut regem oportebat mandatorum Dei eſſe cuſtodem, ipſe indomita voluptatum petulantia leges violabat. Rex quippe ille eſt qui juſtas fert leges, primuſq; ipſe agit, non eas tranſgreditur. Quomodo enim alioquin ſibi ſubditas gentes recto ordine componet, niſi juſtis legibus quaſi frænis pervicax & inſolens genus hominum regat? Herodes autem rex non populorum, ſed voluptatum, vel potiùs ſervus earumdem, *Nam à quo quis ſuperatus eſt, hujus &* (2. Pet. 2, 19.) D *ſervus eſt*, non modò leges Dei tranſgreſſus eſt, ſed & cædem iniquè perpetravit. Quem verò occidit? virum juſtum, *quo major inter natos mulierum non ſurrexit* (Mat. 11, 11.) : quod & Dominus ipſe teſtatus eſt : virum qui deſertum inhabitabile, inaquoſum, infrugiferum, inacceſſum, ſine arboribus, ſine graminibus, ſine herbis habitabat, Joannes, non homines tribules, & cognatos ſuos fugiens, ſed ne videret audiretque hominum ſcelera deteſtanda. Is neque ſerebat, neque metebat unquam, propter-E ea neque panem habebat, neque vinum, non menſam, non lectum voluptatum adminiſtrum, non ſuffultas molli anſerum pluma culcitras, quæ effœminatorum hominum corpora frangunt, & emolliunt, non lucernam habebat, non candelabrum, non menſam, non ſcamnum, non poculum, non diſcum. Nam cùm extra mundum eſſet, nulla re mundi indigebat. Habitabat porrò non in ædibus, quarũ inaurata eſſent laquearia, ſed petra ſeipſum contegente. Huic & menſa & ſcamnum, & cubile erat pavimentum; carnes

(Ir. ὑπηρέτιν.)

erant locuſtæ, placenta, mel ſylveſtre : huic phiala erat vola manus. & vinum delicatum, quæ manabat à ſaxo, aqua limpidiſſima. [Hunc tenuit Herodes. & alligavit] Herodes inquit, cùm prehendiſſet Joannem, vinxit eum, [& poſuit in carcerem propter Herodiadem uxorem Philippi fratris ſui.] O rem prodigioſam ; Joannes vinctam ejus animam peccati catena reprehenſione ſua ſolvere conabatur, ille autem ſolventem vinciebat. Veruntamen licet vinciretur Joannes, loquebatur. & in carcerem conjectus,

Pſ. 118, 46. reprehendebat : implebat enim quod ſcriptum eſt, *Et loquebar in conſpectu regum, & non confundebar.* Neque enim mortem reformidabat Joannes, ſed veritatem non eloqui reformidabat. Hunc verò dum occidit, non unam modò cædem perpetravit, ſed & plures : qui enim eum qui animas docet, ac de iis bene mereri non ceſſat, occidit, non unum occidit, ſed totidem quotquot ille vivens vivificare poterat ſermone. Quando autem iſtum occidit? Pudor erat dicere, pudor quidem non ei qui dicit, ſed ei qui cædem patravit. [Die namq; natalis Herodis ſaltavit filia Herodiadis in medio, & placuit ipſi. Unde cũ juramento pollicitus eſt ei dare quodcumque poſtulaſſet ab eo. At illa præmonita à matre ſua, Da mihi, inquit, in diſco caput Joannis Baptiſtæ] O natale peſſimum! quod Prophetæ cædem ſpirat, cùm oportuiſſet potiùs ut viros ſanctos menſa exceptos opiparè reficeret. Sic nimirum anima

Pſal. 17, 26. ejus perverſa correcta fuiſſet. *Etenim cum ſancto ſanctus eris & cum perverſo perverteris.* Cùm debuiſſet potiùs viduarum res agere, orphanorum miſereri, ut vitam ſuam multis ac variis precibus inconcuſſam ſervaret : Nunc autem eum intemperantibus hominibus & inhoneſtis mulieribus epulans, multo vino gravatus, ab impudicis mulieribus illuſus, præcurſorem diei, Auroram Joannem cæſum è medio ſuſtulit, qui decore fidei lampadem præferebat, lucernam totius mundi Joannem extinxit. Hanc autem lucernam dum extinxit Herodes, ſeipſum tenebris oppreſſit; quamvis ejus fictile vas in terram reſolutum ſit, tamen ejus irradians lampas iis qui apud inferos erant, fidei lumina rectè præferens illuxit. Nam cum eſſet Propheta, ſciretque ſe dominum ſuum apud inferos præceſſurum, miſit aliquot ex diſcipulis ſuis ad illum

Matt. 11, 3. dicens, *Tu es qui venis, an alium expectamus?* Neque verò quòd ignoraret interrogabat. Quomodo enim ignoraret

Joan. 1, 29. Dominum, quando ipſum etiam indicabat, dicens, *Ecce agnus Dei, ecce qui tollit peccata mundi?* quo modo ignoraret, qui ſpectator deſcenſus Spiritus ſancti fuit, & paternæ vocis auditor, de ipſo dicentis : Hic eſt filius meus dilectus, in quo mihi complacui? Verumenimvero interrogat, quo pacto? Tu es qui venis, an alius? Non dixit, Tu es qui veniſti : nam & in terram venit : ſed tu es qui venis, ſcilicet apud inferos ; an alium expectemus? Dicebat enim apud ſe Joannes, num fortè Angelum potentia inſtructum à ſe, ac munitum ad inferos ad munus ſuum exequendum vult mittere? An verò cunctos una voce exſuſcitaturus eſt, ut in Lazaro fecit? Quamobrem cùm de conſilio Domini judicare nollet, interrogat dicens, Tu es qui venis, an alium expectamus apud inferos? Hunc occidit Herodes. Quo verò pacto occidit? nam cùm natalem ſuum diem celebraret, ſaltavit filia Herodiadis in medio. Dignum profectò ludicrum tali menſa. Ubi enim effœminatio, & luxus, & ebrietates, & convivia, nihil firmum eſt, ſed omnia perturbata, & everſa, quæ Herodis inſaniam indicant. Audite qui ſaltatorum ſpectacula uſque adeo amatis qui ad flexibiles diſſolutorum adoleſcentium pedes veſtros animos ſimul cum eorum infractis atque emollitis corporibus effœminatis, audite ad quale ſtipendium cædis effloruit hæc flexuoſa ſaltatio: [Illa verò præmonita à matre ait : *Da mihi hic in diſco caput Joannis*] O improbæ leænæ ex aſpide genitum fœtum! non aurum, non argentum, non lapides pretioſos, ſed caput Joannis petivit. Ac ſi quidem propter fidem poſtulaſſet, multo ſanè pretioſius eſt auro quovis, argento, lapilliſque maximi pretii ; atqui non ob fidem petiit, ut honore afficeret : ſed ut reprehenſore occiſo, omni timore matrem liberaret, quo impune ſe omni ſcelere commacularet. [*Et contriſtatus eſt Rex,*] cùm hoc audiſſet, non ob cædem Prophetæ, ſed ob metum plebis, quoniam omnes ut Prophetam illum habebant. Etenim ſi ob reverentiam modeſtiamq; contriſtatus eſſet, non eum à principio vinctum in carcerem miſiſſet, ſed propter plebem contriſtatus eſt. Erat ergo Herodis animus quaſi navis in mari intercepta à fluctibus, & in utrumque latus vacillans : qui cædem patraverat, propter plebem timebat, & cui non permittebatur, ut à cæde patranda abſtineret, cùm propter juſjurandum, tum propter eos qui pariter diſcumbebant. Sed miſer oppreſſus, & illectus ab ardenti vi amoris, quo mulierem proſequebatur, cùm & religionem ſacramenti obſervandi cædi factæ prætexeret, miſit, & decollavit Joannẽ.

A αἱ ἀκρίδες· καὶ πλακοῦς, τὸ μέλι τὸ ἄγριον. τούτῳ φιάλη ἡ τῆς χειρὸς κοτύλη ἐτύγχανε· καὶ οἶνος εὐφροσύνης, τὸ πετρογενὲς, καὶ διειδέστατον ὕδωρ. τοῦτον κρατήσας ὁ Ἡρώδης, ἔδησε. ὁ γὰρ Ἡρώδης, φησὶ, κρατήσας τὸν Ἰωάννην, ἔδησεν, καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. ὢ πράγματος ἀλλοκότου. Ἰωάννης τὴν δεδεμένην αὐτοῦ ψυχὴν τῇ σειρᾷ τῆς ἁμαρτίας διὰ τοῦ ἐλέγχου ἐβούλετο λύειν, κἀκεῖνος τὸν λύοντα ἐδέ-
B σμει. ἀλλὰ καὶ εἰ ἐδεσμεῖτο ὁ Ἰωάννης, ἐφθέγγετο, καὶ φυλακιζόμενος ἤλεγχεν. ἐπλήρου γὰρ τὸ γεγραμμένον· καὶ ἐλάλουν ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. οὐ γὰρ ἐφοβεῖτο τὸν θάνατον ὁ Ἰωάννης, ἀλλ' ἐφοβεῖτο τὴν ἀλήθειαν μὴ λαλῆσαι. [τοῦτον ἐφόνευσεν ὁ Ἡρώδης·] τοῦτον δὲ φονεύσας οὐχ ἕνα μόνον ἐποίει φόνον, ἀλλὰ καὶ πολλούς. ὁ γὰρ διδάσκαλον καὶ ὠφελητὴν ψυχῶν ἀποκτείνας, οὐχ ἕνα ἀποκτείνει, ἀλλὰ τοσούτους ὅσους ἂν ζῶν διὰ τοῦ λόγου ἠδύνατο
C ζωοποιῆσαι. καὶ πότε τοῦτον ἐφόνευσεν; αἰσχύνη τὸ λέγειν, αἰσχύνη δὲ οὐ τῷ λέγοντι, ἀλλὰ τῷ πεποιηκότι τὸν φόνον. γενεσίων γὰρ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσεν αὐτῷ· ὅθεν καὶ μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, δός μοι, φησὶν, ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου· ὢ γενέθλιον κάκιστον, προφήτου ἀποπνέον φόνον, ἀνθ' ὧν ἔδει ἄνδρας ἁγίους εἰς τὴν ἑαυτοῦ
D τράπεζαν φιλοφρονήσασθαι. οὕτω γὰρ ἂν ἡ στρεβλωθεῖσα ψυχὴ αὐτοῦ διωρθοῦτο. μετὰ γὰρ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. ἀνθ' ὧν ἔδει χήρας οἰκονομῆσαι, ὀρφανοὺς οἰκτεῖραι, ἵνα διὰ πολλῶν καὶ ποικίλων εὐχῶν τὴν ἑαυτοῦ ζωὴν ἄσειστον διατηρήσῃ, νῦν δὲ μετὰ ἀνδρῶν ἀσελγῶν καὶ γυναικῶν ἀσέμνων εὐωχούμενος, οἴνῳ πολλῷ καρωθεὶς, καὶ ὑπὸ γυναικῶν ἀκολάστων χλευασθεὶς, τὸν πρόδρομον τῆς ἡμέρας ὄρθρον Ἰωάννην τῷ φόνῳ διέλυσε, τὸν καλῶς
E δᾳδουχήσαντα, τὴν λαμπάδα τῆς πίστεως, τὸν λύχνον τοῦ παντὸς κόσμου Ἰωάννην τῷ φόνῳ συνέτριψε. τοῦτον δὲ τὸν λύχνον συντρίψας ὁ Ἡρώδης, ἑαυτὸν ἐσκότισεν. ἐκείνου γὰρ εἰ καὶ τὸ ὀστράκινον σκεῦος εἰς γῆν διελύετο, ἀλλ' οὖν γε ἡ τοῦ πνεύματος αὐτοῦ φωσφόρος λαμπὰς τοῖς ἐν τῷ ᾅδῃ τὸ τῆς πίστεως φέγγος καλῶς ἐδᾳδούχει. προφήτης γὰρ ὢν, καὶ εἰδὼς ὅτι ἔμελλε τὸν Κύριον αὐτοῦ προλαμβάνειν ἐν τῷ ᾅδῃ, πέμπει πρὸς αὐτὸν δύο τῶν μαθητῶν αὐτοῦ, λέγων·
A σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καὶ οὐκ ἀγνοῶν αὐτὸν, ἐπυνθάνετο. πῶς γὰρ ἂν ἠγνόει τὸν Κύριον, ὁπότε αὐτὸν ἐδείκνυε, λέγων, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου; πῶς γὰρ ἂν ἠγνόει ὁ καὶ θεατὴς τῆς τοῦ πνεύματος ἐξ οὐρανοῦ καταβάσεως γενόμενος, καὶ ἀκουστὴς τῆς τοῦ πατρὸς φωνῆς περὶ αὐτοῦ λεγούσης, οὗτός ἐστιν ὁ υἱός μου, ὁ ἀγαπητὸς, εἰς ὃν ηὐδόκησα; ἀλλὰ πυνθάνεται ὁ πῶς; σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερος; οὐκ εἶπε, σὺ εἶ ὁ ἐλθὼν [ἦλθε
B γὰρ ἐπὶ τῆς γῆς] ἀλλὰ, σὺ εἶ ὁ ἐρχόμενος [δῆλον γὰρ ὅτι ἐν τῷ ᾅδῃ] ἢ ἕτερον προσδοκῶμεν; ἔλεγε γὰρ ἐν ἑαυτῷ ὁ Ἰωάννης, ὅτι μήποτε βούλεται ἄγγελον ἐνδυναμώσας εἰς τὸν ᾅδην ἐκπέμψαι, τὸ ἑαυτοῦ ἔργον ἐπιτελοῦντα· ἢ μήποτε θελήσει τοὺς πάντας μιᾷ φωνῇ ἀναστῆσαι, ὡς ἐπὶ τοῦ Λαζάρου πεποίηκε. διὰ τοῦτο μὴ θέλων ἀμέσως κρίνειν τὴν βουλὴν τοῦ δεσπότου, πυνθάνεται, λέγων· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν ἐν τῷ ᾅδῃ; τοῦτον ἀπέκτεινεν ὁ Ἡρώ-
C δης. καὶ πῶς ἀπέκτεινε; γενεσίων γάρ, φησιν, ἀγομένων, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ. ἄξιον παίγνιον τῆς τοιαύτης τραπέζης. ὅπου γὰρ θρύψις, καὶ χλιδὴ, καὶ μέθαι, καὶ κῶμοι, οὐδὲν βέβαιον, ἀλλὰ πάντα συντεταραγμένα καὶ ἀνάστατα, προμελετῶντα τὴν Ἡρώδου παραφροσύνην. ἀκούσατε οἱ φιλοθεάμονες τῶν ὀρχηστῶν, οἱ τοῖς πολυστρόφοις ποσὶ τῶν ἐκλελυμένων μειρακίων τοὺς ἑαυτῶν ὀφθαλμοὺς συντήκοντες, καὶ τὰς ἑαυτῶν καρδίας τοῖς λελυ-
D μένοις σώμασιν αὐτῶν συνεκλύοντες· ἀκούσατε, οἷον ὀψώνιον φόνου ἡ πολύγυρος ὄρχησις ἤνθησεν. ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρός φησι, δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου. ὢ κακῆς λεαίνης ἀσπιδογέννητον τέκνον. οὐ χρυσὸν ἐπεζήτησεν, οὐκ ἄργυρον, οὐ λίθους τιμίους, ἀλλὰ τὴν κεφαλὴν Ἰωάννου. καὶ εἰ μὲν διὰ πίστιν ἐπεζήτησε, πολὺ τιμιωτέρα ἡ κεφαλὴ Ἰωάννου παντὸς χρυσίου, καὶ ἀργυρίου, καὶ λίθων πολυτελῶν· ἀλλ' οὐκ ἐπεζήτησε διὰ πίστιν,
E ἵνα τιμήσῃ· ἀλλ' ἵνα τὸν ἔλεγχον ἀποκτείνασα, τῇ μητρὶ χαρίσηται ἄδειαν, τὴν ἐπὶ τῶν κακῶν ἁμαρτίαν. ἀκούσας δὲ ὁ βασιλεὺς ἐλυπήθη, οὐ διὰ τὸν φόνον τοῦ προφήτου, ἀλλὰ διὰ τὸν φόβον τοῦ ὄχλου, ὅτι πάντες, ὡς προφήτην, αὐτὸν εἶχον. εἰ γὰρ δι' εὐλάβειαν ἐλυπεῖτο, οὐκ ἂν παρὰ τὴν ἀρχὴν δεσμεύσας αὐτὸν ἐν φυλακῇ ἀπέθετο· ἀλλ' ἐλυπήθη διὰ τὸν ὄχλον. καὶ ἦν τότε ἡ ψυχὴ Ἡρώδου ὥσπερ ἐν τῇ θαλάσσῃ πλοῖον ἀπειλημμένον, καὶ πρὸς ἑκάτερον τοῖχον ταλαντεῦον· τὸ ποιῆσαι τὸν φόνον διὰ τὸν ὄχλον φοβούμενος, καὶ τὸ μὴ ποιῆσαι τὸν φόνον διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους μὴ συγχωρούμενος. βαρυνθεὶς δὲ ὁ ἄθλιος ὑπὸ τῆς πρὸς τὴν γυναῖκα πολυφλέγου ἡδονῆς, χρησάμενος δῆθεν τῇ εὐορκίᾳ πρὸς τὴν ἀπολογίαν τοῦ φόνου, πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην.

ὅτι

A ὅτι κακόν ἐστι τὸ ὀμνύειν, νῦν μὲν μνημονεύσατε, οἱ ἡδέως ὀμνύοντες· ἀκούσατε τοῦ Κυρίου λέγοντος, μὴ ὀμνύειν ὅλως. εἰ γὰρ μὴ ὤμοσε τότε ὁ ἄθλιος, οὐκ ἂν ἠνάγκετο τὸν φόνον ποιῆσαι. ἔδει μὲν οὖν αὐτὸν μηδὲ ὅλως ποιῆσαι· ἀλλ᾽ ἐπειδὴ ὤμοσε, συνέφερεν αὐτῷ ψευδορκῆσαι. ἐν γὰρ κακῶν ἐκλογῇ ἄμεινον ἦν τὸ ἔλαττον δέξασθαι. πέμψας ἀπεκεφάλισεν αὐτόν. ποία χεὶρ ἐτόλμησεν, ἀγαπητοί, τῷ ἁγίῳ τραχήλῳ Ἰωάννου προσενέγκαι τὸ ξίφος, ὃν θῆρες ἐν τῇ ἐρήμῳ ᾐδέσθησαν, ὃν λέοντες ἐτρόμαξαν, ὃν κεράσται καὶ δράκοντες B καὶ ἀσπίδες ἔφριξαν, ὃν ἄγριαι μέλισσαι διὰ τὴν τοῦ ἀνδρὸς ἁγιότητα καματεύουσαι ἔτρεφον; ἐκ γὰρ ποικίλων ἀνθῶν καὶ βοτανῶν ὡς ἐν ἐρήμῳ ἐρανιζόμεναι τῆς δρόσου τὰς σταγόνας χρυσοειδεῖς, συνυφαίνουσαι αὐτῷ τὸ μέλι προσέφερον. τούτου χεὶρ δημία ἀπέτεμεν, οὐ φρίξασα τὸ ἀγγελοειδὲς αὐτοῦ πρόσωπον, οὐδὲ τρομάσασα αὐτοῦ τὸ πρόσωπον στιλπνότητας θεοειδεῖς ἀποπέμπον; ἀλλ᾽ οἶμαι ὅτι τῇ μέθῃ τοῦ Ἡρῴδου σκοτωθεὶς ὁ πεμφθεὶς δήμιος, C ξίφος μὲν εἶχεν, ὀφθαλμοὺς δὲ οὐκ εἶχε. καὶ ἐτέμνετο ἡ κεφαλὴ Ἰωάννου [* οὐ γὰρ ἔπιέ ποτε οἶνον] καὶ ἐφέρετο ἐπὶ πίνακι ἡ κεφαλὴ Ἰωάννου ἐν τῷ δείπνῳ, καὶ τότε βοῶσα πρὸς Ἡρῴδην, οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου· καὶ γὰρ καὶ μετὰ θάνατον ὁ δίκαιος ἔζη, καὶ τῆς κεφαλῆς αὐτοῦ ἀποτμηθείσης ἡ φωνὴ ζῇ· ὢ ὠμότης ἀνθρώπου· ἐφ᾽ ᾧ ἤσθιε πίνακι τὰ κρέατα, ἐπ᾽ ἐκείνου κεφαλὴν ἀνδρὸς ἐπετίθει. ὢ παράνομε τύραννε, οὐκ ἤρκεσεν ὑπὸ τοῦ πρὸ σοῦ Ἡρῴδου D ἡ τῶν νεαρῶν τέκνων ἐν Βηθλεὲμ γεγονυῖα σφαγή; ὅτε πατέρων καὶ μητέρων ἀλαλαγμοὶ ὁμόθρηνοι ζιβυνῶν ὑπῆρχον ὀξύτεροι, ὅτε δακρύων πολυχύτων σταγόνες ἐκ σπλάγχνων ἀναβρύουσαι ἐνίκων πηγάς; ὅτε πατέρων στήθη ἐτύπτοντο, καὶ συνεχῆ ἀσθμάματα μετὰ πόνου ἐκ καρδίας ἐπὶ μυκτήρων ἐπέμπετο; ὅτε μητέρες τῶν οἰκείων λαγόνων τὴν χλόην τῶν νηπίων πρὸ καιροῦ μαρανθεῖσαν ἐπένθουν; ὅτε καὶ μαζοὶ ῥέοντες γάλα τὴν γῆν ἐλεύκαινον, τῶν ὑφελκόντων νηπίων E ἄφνω σφαζομένων; ὅτε πατέρων ἀγκάλαι τῶν οἰκείων γόνων κεναὶ ἐγίνοντο, καὶ μητέρων μαζοὶ τοὺς ἀπὸ τῶν τρυφερῶν ὀδόντων κνησμώδεις ἐρεθισμοὺς ἐπεζήτουν; ποῖος γὰρ θὴρ τότε οὐκ ἐπεδάκρυσεν, ὁρῶν φονευόμενα τὰ ἄκακα νήπια ἀδόλως ἀδόλους ψυχὰς κεκτημένα· ὧν αἱ ψυχαὶ τοσοῦτον ἦσαν ἄκακοι, ὅσον καὶ τὰ μέλη αὐτῶν τρυφερὰ ἅτε νηπίων ἐτύγχανε; μὴ γὰρ κἀκεῖνα τὸν πρὸ σοῦ Ἡρῴδην ἤλεγξαν, οἷς οὔτε γλῶσσα τρανὴ ὑπῆρχεν, οὔτε ὀδόντες ἐν τῷ στό- A ματι, ἵνα τὴν γλῶσσαν τορνεύσαντες, λόγον διὰ χειλέων ἐκπέμψωσιν; οὐκ ἤρκεσεν * ἐκείνων ἡ τοσαύτη ὠμότης, ἀλλὰ καὶ σὺ τὸ ἄσπλαγχνον ἐκείνου μιμησάμενος, Ἰωάννην ἀπέτεμες, οὗ μιᾶς τριχὸς οὐκ ἦσθα ἀντάξιος; τοὺς γόνους τῆς Ῥαχὴλ ἀπέσφαξεν ἐκεῖνος, καὶ σὺ τῆς ἐκκλησίας τὸν παιδευτὴν Ἰωάννην ἀπέτεμες. ποίοις τούτων ἵλεως ἔσομαί σοι, λέγει Κύριος; ὦ πόλις αἱμάτων, ἐν ᾗ Ἡρῴδης ἐβασίλευσε, καὶ ὁ τούτου ἔκγονος ὁμώνυμος, καὶ τοῖς τρό- B ποις ὅμοιος. οἴμοι, οἱ δοκοῦντες εἶναι τῆς εὐταξίας, αὐτοὶ ἡγεμόνες τῆς ἀταξίας γεγόνασι. ὑπὸ τῶν τοιούτων ἀρχόμενοι οἱ Ἰουδαῖοι, τὸν φόνον ὑπ᾽ αὐτῶν διδαχθέντες εἰς χριστοκτονίαν συνηλάθησαν, τὸν Ἡσαΐαν ἐνέπρισαν, τὸν Ἱερεμίαν ἀπέκτειναν, τὸν Ναβουθαὶ ἐλιθοβόλησαν, τὸν Ζαχαρίαν ἐφόνευσαν, τὸν Χριστὸν ἐσταύρωσαν. ἀλλ᾽ ἐκείνοις τὸ ἐπὶ τοῖς κακοῖς πένθος καταλείψαντες, ἐπὶ τὸ τῆς μυσταγωγίας φέγγος ἀναδράμωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, C ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A Quàm pernicioſum ſit jurare, nunc quidem vobis in memoriam revocate, qui libenter juratis. Audite Dominum dicentem, *Non jurate omnino.* Nam ſi non juraſſet infœlix iſte; nunquam ad patrandam cædem impelli potuiſſet. Oportebat quidem, ut omnino non juraſſet, verùm ubi juravit, utile illi fuit, ut pejeraret: nam in malorum delectu ſatius fuit minus admittere. [*Miſit. & decollavit ipſum.*] (Matt. 14.) Quæ, malum, dextera auſa eſt, dilectiſſimi, gladium in ſanctam cervicem injicere, quam in deſerto belluæ re- B verebantur, quam leones tremebant, quam ceraſtæ ac dracones & aſpides horrebant, quam apes ſylveſtres propter viri ſanctitatem labore ſeſe fatigantes alebant? Nam ex variis floribus atque herbis in deſerto velut emendicantes aureolas roris guttas conflatum à ſe mel illi afferebant. Hanc carnificis manus abſcidit neque ſimilem Angelis vultum ejus reformidavit, non tremuit, non verita eſt faciem ejus divinum ejaculantem ſplendorem? Sed excæcatus opinor ab Herodis ebrietate, qui miſſus eſt carnifex enſem C quidem habuit, oculos verò non habuit. Et abſciſſum eſt caput Joannis, (*non enim unquam vinum biberat.) & efferebatur in diſco caput Joannis in convivio, tum quoq; vociferans, ad Herodem, *Non licet tibi habere uxorem fratris tui.* Etenim etiam poſt mortem vivebat juſtus, & abſciſſo capite vox ipſa vivit. O hominis crudelitatem; in quo diſco edebat carnes, ei caput viri impoſuit. O inique tyranne, nō ſufficiebat illa recens natorum puerorum à priore illo Herode in Bethleem patrata cædes, cùm patrum ac D matrum pariter lugentium ejulatus ſpiculis acutiores audirentur, cùm copioſè fuſarum lacrymarum guttæ ex viſceribus ſcaturientes fontes ipſos ſuperarent, cùm pectora tunderentur, & continua ſuſpiria laborioſè ex corde ad ora emitterentur, cùm viſcerum ſuorum gramen ante tempus arefactum filios ſuos lugerent, cùm etiam ubera lac effundentia terram candore tingerent, cum infantes, qui ea ſugebant, derepente jugulati jacerent, cùm paternum ſinus ſuis pignoribus orbati eſſent, cùm matrum ubera delicatorum E dentium mordaces titillationes requirerent? Nam quæ tandem bellua non fleviſſet, cùm vidiſſet inique occidi innocentes infantes, quorum animæ ab omni penitus fraude alienæ erant, quorum animæ tam erant inſontes quàm tenella membra, utpote adhuc infantium? Sed nunquid & illi priorem te illum Herodem reprehenderunt, quibus neque lingua fuit diſerta, neque dentes in ore, ut lingua circumvallata per labia ſermonem effunderent? Non ſufficit illorum tanta crudelitas? Verùm & tu illius immani- (Ir. laci-) A tatem imitatus, Joanni cervices fregiſti, cujus vel unum capillum (nio.) pretio non æquabas. Filios Rachelis ille contrucidavit, tu Eccleſiæ doctorem Joannem extinxiſti. Quibus horum propitius ero tibi? dicit Dominus. O civitas ſanguinum, in qua Herodes regnavit, & eodem nomine inſignitus ejus filius, iiſdemque moribus imbutus. Hei mihi qui videntur recti ordinis, & moderationis eſſe auctores, ii perturbationis & confuſionis ſunt principes. Hujuſmodi regibus ſubditi Judæi, & in cædibus ab eis e- B ruditi ad Chriſtum interficiendum impulſi ſunt: Eſaiam ſecuerunt, Jeremiam interfecerunt, Nabuthe lapidarunt, Zachariam occiderunt, Chriſtum crucifixerunt. Veruntamen illis ob mala ſua luctum relinquentes ad ſacri myſterii lumen accurramus in Chriſto Jeſu Domino noſtro, cui gloria & poteſtas in ſecula ſeculorum. Amen.

C

Εἰς τὸ, συνήγαγον οἱ Ἰουδαῖοι συνέδριον, καὶ ἔλεγον· τί ποιήσωμεν; τῇ ἁγίᾳ καὶ μεγάλῃ β΄.

Ἐοίκασιν οἱ τῆς ἐκκλησίας φίλτατοι παῖδες νηπίοις θηλάζουσι, τοῖς τοῦ γάλακτος τροφὴν καθ᾽ ἑκάστην ἡμέραν ἐκ τῆς D μητρικῆς θηλῆς ὑφέλκουσι, καὶ καθ᾽ ἑκάστην ζητοῦσιν. ἐοίκαμεν καὶ ἡμεῖς μητρὶ πενιχρᾷ ὑπὸ ἀσιτίας συσταλθείσῃ τὰς τοῦ γάλακτος πηγάς. καὶ ὥσπερ, ὁπόταν τις ἴδῃ μητέρα φιλότεκνον ἄφορον γάλακτος, καὶ ὑπὸ ἰδίου τέκνου καταπλαυθμυριζομένην, καὶ προσδοῦσαν τὴν θηλήν, οὐχ ἵνα θρέψῃ τὸ παιδίον, ἀλλ᾽ ἵνα τὸν κλαυθμυρισμὸν καταπαύσῃ· οὕτω καὶ ἡμᾶς δεῖ σκοπεῖν τι πάσχοντας τὰ αὐτὰ, καὶ ποιοῦντας τὰ ὅμοια. καὶ γὰρ ἡμεῖς ὁρῶντες τὸ νέον τοῦτο σύστημα, τῶν τῆς ἐκκλησίας παίδων προεστώτων κυκλόθεν, καὶ ἀπεκδεχομένων E τὸ λογικὸν γάλα τοῦ λόγου, τὴν θηλὴν τῆς διανοίας ἡμῶν χαλῶμεν· οὐχ ἵνα θρέψωμεν αὐτοὺς [ἄπειροι γὰρ καὶ πένητες τοῦ λόγου τυγχάνομεν] ἀλλ᾽ ἵνα τὸν πόθον καὶ τὸ καύσωμα παύσωμεν· ἀλλὰ δεῦτε, ἀγαπητοί, ἐπὶ τὸν τοῦ Ἡλίου κήρυκα καταδράμωμεν, ἵνα ἴδωμεν τὴν κατὰ τοῦ Κυρίου παρὰ τῶν Ἰουδαίων πραττομένην ἐπίβουλον ἐνέδραν. συνήγαγον γάρ, φησιν, οἱ Ἰουδαῖοι συνέδριον, καὶ ἔλεγον· τί ποιήσωμεν; ταῦτα δὲ ἡμῖν ὁ εὐαγγελιστὴς Ἰωάννης ἀρτίως ἐφθέγξατο. εἰ γὰρ καὶ τῷ

In illud Evangelii, Collegerunt Judæi concilium, & dicebant, Quid facimus?

Eodem interprete.

D Perſimiles ſunt infantibus, qui lactis alimoniam ſugunt, Eccleſiæ filii chariſſimi; ſinguli diebus maternam mammam ſugunt, & ſingulis diebus quærunt. Nos quoque cum egena matre conferri poſſumus, cui lactis fontes propter inediam exaruerunt. Et quemadmodum videt quis nonnunquam matrem filiorum amantem, lactis expertem, & à filio ſuo ejulatu ſollicitatam, ei mammam porrigere, non ut infantem alat, ſed ut ejus ſedet ejulatum; ita & nos ſpectare oportet pariter affectos, & eadem E facientes. Etenim cùm novum hunc filiorum Eccleſiæ conventum intuemur in orbem aſtantium, & rationabile orationis lac expectantium, mentis noſtræ mammam laxamus, non ut eos alamus, imperiti quippe ſumus, & egeni ſermone, ſed ut deſiderium ardoremque ſedemus. Veruntamen adeſte dilectiſſimi, ad Solis præconem accurramus, ut paratas Domino fraudulentas à Judæis inſidias videamus. Collegerunt, inquit, Judæi concilium, & dicebant, Quid facimus? Hæc nobis Joannes Evangeliſta paulò ante pronuntiavit. Etſi enim

nobiſcum nunc ore non ſermocinatur, Spiritu tamen ad aures a-
Joh. 11, 47. ſtantium clamat. *Collegerunt* enim, inquit *concilium, & dixerunt, Quid facimus?* Bonum quidem eſt illud, collegerunt, ſed malum illud, concilium, non ad charitatem, ſed ad pugnam; non ad pacem vocantes, ſed ad bellum incitantes. Collegerunt concilium, non ut Deum glorificarent, ſed ut Chriſtum ignominia afficerent. Collegerunt concilium, non ut fidem ſtabilirent, ſed ut lapidem angularem abjicerent. Collegerunt concilium, non ut oves errantes ad ovile deducerent, ſed ut, occiſo paſtore, gregem diſpergerent. Collegerunt concilium, non ut margaritam niveo candore micantem fide exciperent, ſed ut phengitem lapidem, ut quidam putabant, perfidia inobſcurarent. Collegerunt concilium non ut theſaurum abſconditum in agro benignè ſuſciperent, ſed ut improbè Dei templum everterent. Collegerunt concilium, non ut mellifluos vitis racemos decerperent, ſed ut vitem veram ad crucis arborem applicantes, ſeipſos vites arbuſtivas perditionis, nos autem ſalutis, efficerent. O concilium à diabolo adverſus Chriſtum collectum! ô conſiſtorium iniquitate repletum! ô concilium luporum
θεοφόρων deiferorum. potiùs ſanguinis avidorum, quàm hominum * Deo plenorum. Quid verò luporum immanium dico? imò leonibus immanibus pejores dixerim rectiùs. Etenim leones, in Daniele quanquam nullum
Dan. 6. ſignum intuebantur, ſed virum tantùm ſpectantes, & modeſtiam honore proſequentes, immanſueta ora ſua refrænarunt: Judæi verò licet tot tantarumque rerum ſpectatores facti eſſent, vehementiùs ex invidia ad cædem armati ſunt & dicebant: Quid facimus? ô providam malitiæ inveſtigationem! o gemitum & planctum ab invidia effuſum! o lamentationem & luctum ob res malas conceptum! Ne ipſa quidem Rachel plorans liberos adeo ingemuit. Quid facimus? Cùm debuiſſent potiùs miſeri gaudere, cùm debuiſſent lætitiæ diem ſolennem agere, quòd mortui revixiſſent, quòd vita manifeſtata eſſet, quòd mors extincta eſſet, quòd diabolus confuſus, quod dæmonum turma deleta, quòd humanum genus in libertatem vindicatum, quòd reſurrectio mortuorum omnibus prædicata eſſet. Jam verò ob tanta hæc bona non gaudent, ſed lugent, & de auctore tantorum bonorum, è medio tollendo deliberant. Quid verò dicunt? Quid facimus? cùm ſimus tranſgreſſi mandatum Dei nobis traditum, cùm datam nobis legem
Deut. 18, 15. non ſervaverimus, quæ dicebat nobis: *Prophetam de gente veſtra & de fratribus veſtris, ſicut me, ſuſcitabit vobis Dominus Deus, ipſum audietis in omnibus, quæ imperarit vobis.* Nunc autẽ non ad pœnitentiam dicunt, Quid facimus? ſed quid facimus? quomodo occidemus
Exo. 23, 7. juſtum? ut mente captus eſt Iſraël. Ne hoc quidem audiſti? *Inno-*
Dan. 13, 53. *centem & juſtum non interficies?* non ſufficit tibi antiquus Prophetarum ſanguis effuſus? Nam uſque ad hoc tempus clamat ad Deum, & ab eo vindictam expectat. Sed ut illi ſanguini etiam nunc adjicias, inſontem ac juſtum ſanguinem damnas, & dicis: Quid facimus? o mentem amentem, & inconſultum conſilium! Quatriduanus illorum revixit, peccatorum diſtracta ſunt vincula, & illi ad inſidioſam cædem in ipſum armantur. Debuiſſent potiùs verbis immutatis dicere, Quid facimus? quia ſanctum contumeliis affecimus? quia in filium Dei non credidimus? quid fecimus? leproſorum tubercula tanquam ſordes ſermone abraſit, & huic non credidimus. Quid facimus? cæcos à nativitate novimus oculis ab eo fuiſſe donatos, & huic non credidimus? Quid facimus? ex quinque panibus quinque millia in deſerto ad ſatietatem ab eo paſta novimus, & huic non credidimus? Quid facimus? ſanguinis fontes veſtium fimbriis exſiccavit, & huic non credidimus? Quid facimus? Paralyticum in lecto jacentem triginta jam & octo annos æquævum alentem vitæ ſuæ morbum verbo erexit, & huic etiam non credidimus. Quid facimus? in mari eum ambulantem, tanquam in ſolo ſpectavimus, & vorticoſorum fluctuum impetus turbineſque indomitos ſolo geſtu manus repreſſiſſe novimus, neque tamen huic credidimus. Sed dicebant, Quid facimus? non ut eos pœniteret, ſed ut malitiæ parerent. Ipſorum regio mortuos viventes tanquam albas ſegetes & maturas, nullo labore ex ſe profundebat, & illi ingemiſcebant. Num quæ ſeminaſtis Judæi, non metitis? Num quis veſtrum ſuſcepto Domino læſus eſt? Qua in re damno aliquo affecti gravatis? In quo à Deo injuria affecti eſtis? Cur invidia commoti à vita mortuos arcetis? Cur perẽnes melliflui fontis canales vultis cõfringere, ex quo qui biberint nõ ſitient ampliùs? Cur ægros veſtros necatis, dum eorum medicum vultis à medio tollere? Verùm horum omnium cauſa eſt pernicioſiſſima invidia. O invidia cædis mater, diaboli inventũ, auctor mortis! O invidia, quæ neq; eos quibus invides,

A στόματι ὑμῖν νῦν οὐ διαλέγεται, ἀλλ' οὖν γε τῷ πνεύματι ταῖς τῶν ἑστώτων ἀκοαῖς ἐβόα· Συνήγαγον γάρ, φησι, τὸ συνέδριον, καὶ ἔλεγον· Τί ποιήσωμεν; καλὸν τὸ, Συνήγαγον· ἀλλὰ κακὸν τὸ, συνέδριον· οὐ πρὸς ἀγάπην, ἀλλὰ πρὸς μάχην· οὐ πρὸς εἰρήνην καλοῦντες, ἀλλὰ πρὸς πόλεμον παροξύναντες· Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα Θεὸν δοξάσωσιν, ἀλλ' ἵνα Χριστὸν ἀτιμάσωσι. Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα πίστιν οἰκοδομήσωσιν, ἀλλ' ἵνα
B τὸν ἀκρογωνιαῖον λίθον ἀπορρίψωσι. Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὰ πεπλανημένα πρόβατα μανδρεύσωσιν, ἀλλ' ἵνα τὸν ποιμένα φονεύσαντες, τὸ ποίμνιον διαλύσωσι. Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὸν χιονοφεγγῆ μαργαρίτην πίστει ὑποδέξωνται, ἀλλ' ἵνα τὸν φεγγίτην λίθον, ὡς ἐνόμιζον, τῇ ἀπιστίᾳ σκοτίσωσι. Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὸν ἐν τῷ ἀγρῷ κεκρυμμένον θησαυρὸν εὐγνωμόνως ὑποδέξωνται, ἀλλ' ἵνα τὸν ναὸν τοῦ Θεοῦ ἀγνωμόνως δια-
C λύσωσι. Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τῆς ἀμπέλου τοὺς μελισταγεῖς βότρυας τρυγήσωσιν, ἀλλ' ἵνα τὴν ἀληθινὴν ἄμπελον ἐπὶ τὸ δένδρον τοῦ σταυροῦ ἐφαπλώσαντες, ἑαυτοὺς ἀναδενδράδας ἀπωλείας ποιήσωσιν, ἡμᾶς δὲ ἀναδενδράδας σωτηρίας ποιήσωσιν· ὢ συνέδριον ὑπὸ διαβόλου κατὰ Χριστοῦ συνηγμένον· ὢ βουλευτήριον κακίας μεμεστωμένον· ὢ συνέδριον, μᾶλλον λύκων αἱμοβόρων, ἢ ἀνθρώπων θεοφόρων. Τί δὲ λέγω, λύκων ἀνημέρων; ἀλλὰ
D γὰρ καὶ λεόντων ἀνημέρων χείρους. οἱ γὰρ λέοντες ἐπὶ τοῦ Δανιὴλ μηδὲν θεωρήσαντες σημεῖον, ἀλλὰ τὸν ἄνδρα σκοπήσαντες, καὶ τὴν εὐλάβειαν τιμήσαντες, τὰ ἀτίθασα αὐτῶν στόματα ἐχαλίνωσαν. Ἰουδαῖοι δὲ τοιούτων καὶ τοσούτων σημείων θεαταὶ γενόμενοι, μειζόνως ἐκ τοῦ φθόνου πρὸς τὸν φόνον ὡπλίζοντο, καὶ ἔλεγον· Τί ποιήσωμεν; ὢ κακίας ἔρευνα ἐπιμελής· ὢ στεναγμὸς καὶ θρῆνος ὑπὸ φθόνου γενόμενος· ὢ ὀδυρμὸς καὶ κοπετὸς ἐπὶ κακοῖς γενόμενος. οὔτε ἡ Ῥα-
E χὴλ κλαίουσα τὰ τέκνα αὐτῆς οὕτως ἀνεστέναξε. Τί ποιήσωμεν; ἀνθ' ὧν ἔδει χαίρειν τοὺς τάλανας, ἀνθ' ὧν ἔδει εὐφροσύνης ἡμέραν πάνδημον ἐπιτελεῖν, ὅτι νεκροὶ ἀνεβίωσαν, ὅτι ζωὴ πεφανέρωται, ὅτι θάνατος λέλυται, ὅτι ὁ διάβολος κατῃσχύνθη, ὅτι δαιμόνων στῖφος κατήργηται, ὅτι ἡ ἀνθρωπότης ἠλευθέρωται, ὅτι νεκρῶν ἀνάστασις πᾶσι κεκήρυκται· νῦν δὲ ἐπὶ τούτοις ἀγαθοῖς οὐ χαίρουσιν, ἀλλὰ θρηνοῦσι. καὶ τὸν τοσούτων ἀγαθῶν αἴτιον ἀναλίσκειν
A βουλεύονται. καὶ τί λέγουσι; Τί ποιήσωμεν; ἔδει ἕτερον εἰπεῖν, ἢ ὅτι μετανοήσαντες ἐπιστρέψωμεν, καὶ αὐτῷ προσπεσόντες πιστεύσωμεν. τί γὰρ ἄλλο μετανοοῦντες εἶχον λέγειν ἢ τοῦτο, Τί ποιήσωμεν; ὅτι τὴν ἐντολὴν τοῦ Θεοῦ παρέβημεν, ὅτι τὸν νόμον τὸν δοθέντα ἡμῖν οὐκ ἐφυλάξαμεν, τὸν λέγοντα ἡμῖν· ὅτι Προφήτην ἡμῖν ἀναστήσει Κύριος ὁ Θεός, ἐκ τῶν ἀδελφῶν ἡμῶν, ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν ἐντέλλεται ὑμῖν. νῦν δὲ οὐ πρὸς μετάνοιαν λέγουσι, Τί ποιή-
B σωμεν; ἀλλά, Τί ποιήσωμεν; πῶς ἀποκτείνωμεν τὸν δίκαιον; ὡς ὁ Ἰσραὴλ φρενολυπεῖται. οὐδὲ τοῦτο οὐκ ἤκουσας; ὅτι ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς; οὐκ ἤρκεσέ σοι τὰ ἀρχαῖα τῶν προφητῶν αἵματα; καὶ γὰρ μέχρι τοῦ νῦν κράζει πρὸς τὸν Θεόν, τὴν παρ' αὐτοῦ ἐκδίκησιν ἐκδεχόμενα. ἀλλ' ἀμέλει ἐκείνοις τοῖς αἵμασι προστιθεὶς ἀθῷον καὶ δίκαιον αἷμα κατακρίνεις, καὶ λέγεις, Τί ποιήσωμεν; ὢ γνώμης ἀγνώμονος, καὶ βουλῆς ἀβουλίας μεμεστωμένης. ὁ τετρα-
C ήμερος αὐτῶν ἀνεβίωσε· τὰ δεσμὰ τῶν ἁμαρτημάτων διερρήγνυντο· κἀκεῖνοι πρὸς δολοφονίαν κατ' αὐτοῦ ὡπλίζοντο. ἀνθ' ὧν ἔδει τὸ ῥῆμα μεταστρέψαντας εἰπεῖν, Τί ποιήσωμεν, ὅτι τὸν ἅγιον ἐνυβρίσαμεν, ὅτι εἰς τὸν τοῦ Θεοῦ παῖδα οὐκ ἐπιστεύσαμεν; Τί ποιήσωμεν; λεπρῶν χαλαζώματα δίκην πλύνου τῷ λόγῳ ἀπέξεσε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. Τί ποιήσωμεν, τυφλοὺς ἐκ γενετῆς ὑπ' αὐτοῦ ὀμματωθέντας ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. Τί ποιήσωμεν; ἐκ
D πέντε ἄρτων πέντε χιλιάδας εἰς κόρον ἐν ἐρήμῳ ὑπ' αὐτοῦ διατραφέντας ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. Τί ποιήσωμεν; πηγὰς αἱμάτων κρασπέδοις ἱματίων ἐξήρανε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. Τί ποιήσωμεν. παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον ἐν τριάκοντα καὶ ὀκτὼ ἔτεσι σύγχρονον τῆς ἑαυτοῦ ζωῆς τὴν νόσον ἔχοντα ῥήματι ἐξήγειρε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. Τί ποιήσωμεν; ἐπὶ θαλάττης αὐτὸν περιπατοῦντα, καθάπερ ἐπὶ ἐδάφους, ἐθεασά-
E μεθα, καὶ τῶν παλιστρόφων πνευμάτων βίας καὶ ταραχὰς ἀνηκέστους νεύματι χειρὸς κατασιγήσαντα ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. ἀλλ' ἔλεγον, Τί ποιήσωμεν; οὐκ ἐν τῷ μετανοεῖν, ἀλλ' ἐν τῷ κακοπραγεῖν. ἡ χώρα αὐτῶν τοὺς νεκροὺς ζῶντας, καθάπερ στάχυας λευχείμονας καὶ πεπείρους ἀπόνως ἐβλάστησε, κἀκεῖνοι ἐστέναζον. μὴ ἃ ἐσπείρατε, Ἰουδαῖοι, οὐκ ἐθερίσατε; μή τις ὑμῶν ὑποδεξάμενος τὸν Κύριον ἐβαρύνθη, ἢ ζημιωθέντες ἐβαρύνθητε; ἢ ἠδικήθητε παρὰ τοῦ Θεοῦ; τί τοὺς νεκροὺς ζῆν κωλύετε ὑπὸ φθόνου ἐλαυνόμενοι; τί τοὺς ἀεννάους ὀχετοὺς τῆς μελιρρύτου πηγῆς διαλῦσαι βούλεσθε, ἵνα οἱ πίνοντες μὴ διψῶσι; τί τοὺς ἀρρώστους ὑμῶν ἀποκτείνετε, τὸν ἰατρὸν αὐτῶν ἀναλίσκειν βουλόμενοι; ἀλλὰ τούτων πάντων αἴτιος ὁ κάκιστος φθόνος. ὢ φθόνε φόνου γεννῆτορ, διαβόλου εὕρημα, θανάτου ἀρχηγέ. ὢ φθόνε, ὁ μήτε τοὺς ὑπὸ σοῦ βασκαινομένους

ζῆν

ζῆν ἐθέλων, καὶ τοὺς ἔχοντάς σε μειζόνως κολάζων· ὦ φθόνε διαβόλου σύνοικε· ὦ φθόνε φιλίας ἐχθρὲ, εἰρήνης ἀντίπαλε, ἀγάπης ἀντίδικε, διαβόλου βλάστημα, σκοτεινόχροον ἄνθος· οἱ σε νεμόμενοι, χριστοκτονίαν ἐργάζονται· σὺ καὶ τὸν Ἀδὰμ ἐν παραδείσῳ ἐξ ἀρχῆς ἐβάσκανας, καὶ γλυκείας ἡδονῆς ἀπογευσάμενον πικροτάτῳ θανάτῳ παρέδωκας. θάνατος γὰρ οὐκ ἦν ἐν τῷ κόσμῳ, εἰ μὴ σὺ αὐτὸν, φθόνε, ἐκύησας. καὶ μαρτυρεῖ μου τὸ θεῖον λόγιον, λέγον· Οὐκ ἐποίησεν ὁ Θεὸς θάνατον, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε. σὺ καὶ τὸν Κάϊν τῆς φιλαδελφίας τὴν λευχείμονα στολὴν ἀπέδυσας, καὶ τῆς δολοφονίας τὴν μάχαιραν ὥπλισας, καὶ τοῦτον φονεύειν ἐδίδαξας, καὶ εὐθὺς τὸν ἄθλιον τρέμειν ἐδίδαξας. σὺ τῷ Φαραὼ ἐνοικήσας, τὰ ἀρτιγενῆ βρέφη τῶν Ἑβραίων δίκην χλόης ἀπεμάρανας. σὺ, ὦ φθόνε, εὐεργετούμενος, πλέον κατὰ τῶν εὐεργετούντων κινῇ· ὥσπερ ὁ Σαοὺλ ὑπὸ τοῦ Δαβὶδ βοηθούμενος, καὶ ὑπό σου ἐνεργούμενος, μειζόνως πρὸς τὸν φόνον ὡπλίζετο. σε ἐσχηκότες οἱ υἱοὶ τοῦ Ἰακὼβ, τὸν περικαλλῆ καὶ λαμπρὸν Ἰωσὴφ εἰς τὴν σκοτοδίναισαν Αἴγυπτον ἔπεμπον, καὶ τὸν ἐλεύθερον, ὡς δοῦλον, ἐπίπρασκον· καὶ οὔτε τὰ ἐνύπνια αὐτοὺς ἐφόβησε· θεῖον γὰρ ὅραμα ἐμήνυσε Χριστοῦ εἰκόνα αὐτὸν ὑπάρχειν· [ὑπὸ γὰρ ἕνδεκα ἀστέρων ἐν ὁράμασι προσεκυνεῖτο.] ἐπειδὴ καὶ ὁ προδότης Ἰούδας τῷ φθόνῳ κινούμενος, ἀπήγξατο. ἡμεῖς δὲ φυγόντες τὸν τοῦ θανάτου γεννήτορα φθόνον, ἀναστάντες, τὸν ἐν τριάδι προσκυνούμενον Θεὸν δοξάσωμεν· ὅτι αὐτῷ πρέπει τὸ κράτος, ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ ἡ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A vivere vis, & eos qui te fovent, vehementiùs torques. O invidia diaboli contubernalis! O invidia hostis amicitiæ, pacis inimica, charitatis adversaria, diaboli fœtus, flos tenebrosi coloris, qui te possident, cædem Christi machinantur. Tu & Adamo jam à principio, in paradiso invidisti, & dulci degustata voluptate, acerbissimæ morti tradidisti: neque enim esset mors in mundo, nisi tu eam, invidia, peperisses. Testatur id divinorum librorum auctoritas his verbis: *Deus mortem non fecit, nec la-* (Sap.1,13.)
B *tatur in perditione vivorum. Invidia autem diaboli mors introivit in orbem terrarum.* Tu & Cainum candida fraterni amoris veste spoliasti, & insidiosæ cædis gladio armasti: tu eum occidere docuisti, & continuò miserum tremere docuisti. Tu in (Gen. 4.) (Exod.1.) Pharaonis animo insidens recens genitos Hebræorum infantes, quasi herbam arefecisti. Tu o invidia beneficio affecta, in eos qui beneficio te affecerunt, vehementiùs commoveris, ut Saul à Davide adjutus, & à te correptus ad cædem ardentiùs
C ferebatur. A te agitati filii Jacob formosum & splendidum Joseph in tenebricosam Ægyptum miserunt, & liberum tanquam servum vendiderunt: ita neque insomnia terruerunt eos: divina enim visio indicabat figuram esse Christi (ab undecim quippe stellis in visione adorabatur:) Postquam & proditor Judas invidia impulsus laqueo vitam finivit. Nos autem mortis parentem fugientes invidiam, surgentes, Deum, quem in Trinitate adoramus, celebremus laudibus, quoniam ipsi convenit
D potestas, honor, gloria & magnificentia, nunc & semper, & in secula seculorum. Amen.

Εἰς τὴν παραβολὴν τῶν δέκα παρθένων, καὶ περὶ ἐλεημοσύνης· τῇ ἁγίᾳ καὶ μεγάλῃ γ'.

Ὅταν τὸ εὐδιαπάνητον τῆς ζωῆς ἐννοήσω, καὶ τοῦ ἐνιαυτοῦ τὸν περινεύοντα κύκλον, καὶ τὴν πολύσκυλτον τῶν ἀνθρώπων διαγωγὴν, καὶ τὰς βιωτικὰς περιστάσεις· τό, τε παρατρέχον τοῦ παρόντος αἰῶνος, καὶ τὴν σκιὰν τῶν πραγμάτων, τῆς δόξης τὸ πρόσκαιρον, τῆς δυναστείας τὸ εὐδιάλυτον, τῆς εὐημερίας τὴν φαντασίαν, καὶ τοῦ πλούτου τὸ ὄναρ. εἶτα σκοπήσω τὴν τοῦ τέλους ἡμέραν, καὶ τῆς συντελείας ἐκεῖνο τὸ ἀπαραίτητον τάχος, τόν τε τοῦ λογοθεσίου καιρὸν, καὶ τὸ ἀκολάκευτον δικαστήριον, καὶ τὴν γέμουσαν φρίκης κατάστασιν, πῶς ἀστράπτων ὁ κριτὴς παραγίνεται ἐξ οὐρανῶν, πῶς τεταραγμέναι αἱ δυνάμεις προτρέχουσι, πῶς ὁ φοβερὸς ἑτοιμάζεται θρόνος, πῶς ὁ οὐρανὸς ὡς βιβλίον εἱλίσσεται, πῶς καυσοῦνται τὰ στοιχεῖα τῷ φόβῳ λυόμενα, πῶς κλονεῖται τὸ ἔδαφος προσδεχόμενον τὴν τοῦ κριτοῦ ἐπίβασιν, πῶς φοβερὰς ἀλαλάξουσι σάλπιγγες, πῶς ἀνοίγονται τὰ μνήματα, πῶς ἐκτινάσσονται τάφοι, πῶς ὡς ἐξ ὕπνου ἀποπηδῶσιν οἱ νεκροὶ, πῶς ὁ χοῦς ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ πρὸς τὴν οἰκείαν ἐπανέρχεται τάξιν, πῶς παλινδρομοῦσιν αἱ ψυχαὶ πρὸς τὰ σώματα, πῶς εἰς ἀπάντησιν οἱ δίκαιοι τρέχουσι, πῶς ἐφίσταται ὁ νυμφίος μεσονυκτίῳ, πῶς ἀξιοῦνται τῆς εἰσόδου οἱ δίκαιοι, πῶς τοῖς ῥαθύμοις ἀποκλείεται ἡ θύρα τοῦ νυμφῶνος· ὅταν ταῦτα πάντα ἐν τῇ ψυχῇ μου μελετήσω, μακαρίζω τὰς φρονίμους ἐκείνας παρθένους, ἃς ἡμῖν ἀρτίως ἡ τῶν εὐαγγελίων παρήγαγε βίβλος, ὅτι πρὸς τοῦ ὕπνου κατηγωνίσαντο τοῦ πάθους, ὅτι τὸ εὐόλισθον καὶ ἐμπαθὲς τῆς ἐπικήρου ζωῆς βδελυξάμεναι, τῆς ἀκηράτου καὶ θείας ζωῆς ἀξίως ἐφρόντισαν, ὅτι τὸ ἀπαραίτητον τοῦ χρόνου σκοπήσασαι, τὴν ὥραν τῆς παρουσίας ἐτήρησαν, καὶ τῆς ἐπιστασίας ἐκείνης τοῦ ἀφθάρτου νυμφίου τὸν φόβον ἐνεθυμήθησαν, καὶ τὸ νυκτερινὸν δοκιμάσασαι σκότος, ἀκριβῶς τῶν λαμπάδων ἐφρόντισαν. οὐδὲν δὲ κωλύει καὶ αὐτὰς τὰς θείας τοῦ εὐαγγελίου διεξελθεῖν συλλαβάς. Ὡμοιώθη γάρ, φησιν, ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πότε ἐξῆλθον; ἆρα μὴ ὅτε κατέλαβεν αὐτὰς τῆς ζωῆς τὸ ἐμπρόθεσμον; ὅτε ἔφθασε τὸ πρόσταγμα; ὅτε ἐπέστη τοῦ θανάτου ἡ ἀπόφασις; ὅτε ἀπεστάλησαν οἱ κατεπείγοντες τοῦ τέλους ἄγγελοι, τότε ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου; οὐδαμῶς. ἀλλὰ πότε ἐξῆλθον; ὅτε τοῖς βιωτικοῖς περισπασμοῖς ἀπετάξαντο, ὅτε τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίζειν προείλοντο, ὅτε τὴν ἑκούσιον σκληραγωγίαν ἠγάπησαν, ὅτε τοῖς γάμου οὐχ ὑπετάγησαν νόμοις, ὅτε τῶν τοῦ βίου ἡδονῶν κατεφρόνησαν, ὅτε τὴν ἀγαθὴν μερίδα τῆς ἀφθαρσίας ἐξελέξαντο, ὅτε τῆς εὐφροσύνης τὸν τρόπον ἠγάπησαν, ὅτε τὸν τῆς ἁμαρτίας ἐβδελύξαντο ῥύπον, ὅτε τὰ τῆς σωφροσύνης συνέθεντο, ὅτε τοῦ καθαροῦ νυμφίου ἠράσθησαν, ὅτε τοῦ τῆς βασιλείας ἐπεθύμησαν κάλλους, ὅτε πᾶσαν βιωτικὴν ἀπεδύσαντο φροντίδα, τότε ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. ἦσαν δέ, φησιν, αἱ πέντε φρόνιμοι, καὶ αἱ πέντε μωραί. καὶ τί τῶν φρονίμων τὸ γνώρισμα; ὅτι συνῆψαν τῇ σωφροσύνῃ τὴν ἐλεημοσύνην, ἐκόσμησαν τὴν παρθενίαν τῇ εὐποιΐᾳ, ἔγνωσαν ὅτι ἡ πίστις χωρὶς τῶν ἔρ-

In Decem Virgines.

E FRONTONE DUCÆO interprete.

CUm fragilem & caducam vitæ nostræ conditionem perpendo, ac nutantem vertentis anni circulum, multisque obnoxiam molestus hominum conversationem, & humanos casus, itemque prætereuntem præsentis seculi figuram, negotiorum umbram, gloriæ momentaneum nomen, fragilitatem potestatis, prosperitatis imaginem, & somnium divitiarum: Cùm deinde considero
A diem illum extremum, & inevitabilem illam consumationis celeritatem, reddendæ rationis tempus, & nullis flexibilem blanditiis judicem, horrendamq; judicii constitutionem: quomodo à cœlis fulgurans advenit judex, quomodo commotæ virtutes cælestium antecedunt, quo pacto tremendus præparatur thronus, cœlũ ut liber convolvitur, elementa metu dissoluta inflammantur, concutitur solum judicis incessum excipiens, quo modo horrendum clamorem edent tubæ, aperiuntur monumenta, excutiuntur sepulchra, exiliunt è somno expergefacti mortui, pulvis in ictu oculi ad pro-
B priam dispositionem revertitur, quomodo ad sua recurrunt corpora animæ, justi in occursum pergunt: quomodo sistit se Sponsus media nocte, dignique habentur ingressu justi, quomodo negligentibus thalami sponsalis occluduntur fores: cùm hæc omnia mente mea revolui, beatas existimo prudentes illas virgines, quas nobis paulo antè Evangeliorum liber proposuit: quoniam & cum infirmitate capiendi somni depugnarunt: & cùm mutabilem temporis prætetlabentis conditionem animadvertissent,
C occasionem adventus observarint, animumque suum timore occursus incorruptibilis sponsi excitarint, quòd cùm nocturnas tenebras explorassent, accuratam curam gesserint. Nihil autem vetat quominus ipsa etiam divina verba percurramus. [*Simile factum est enim*, inquit, *regnum cælorum decem virginibus, quæ,* (Matt.25,1.) *cùm accepissent lampades suas, exierunt obviam sponso.*] Sed quando quæso exierunt? num fortè cùm præstitutus vitæ dies illas comprehendit? cùm mandatum advenit, cùm sententia mortis
D allata est, cùm urgentes Angeli missi sunt, tunc exierunt obviam sponso? Nequaquam: sed quando tandem exierunt? quando distractionibus secularibus nuntium remiserunt, quando per arctam & angustam viam incedere statuerunt, quando voluntariam adamarunt duram educationem, quando se nuptiarum legibus non obstrinxerunt, cùm voluptates vitæ neglexerunt, cùm optimam partem incorruptionis elegerunt, cùm sapientia conditos mores adamarunt, cùm temperantiæ fœdus inierunt, cum sancti Sponsi
E amore arserunt, cùm regni pulchritudinem desiderarunt, cùm omnem curam vitæ secularis abjecerunt: Tunc exierunt obviam sponso. Erant autem, inquit, quinque prudentes, & quinque fatuæ: unde autem dignoscuntur prudentes? Ex eo nimirum quòd eleemosynam cum continentia copularunt, beneficentia virginitatem ornarunt, intellexerunt fidem sine operibus mortuam esse,

cenſuerunt non ſufficere rem unam laudabilem ad ſalutem : (neque enim una ala ſeſe aquila in altum tollit) Recordatæ ſunt illius ſponſi vocis dicentis, *Miſericordiam volo, non ſacrificium.* Et rurſus. *Quoniam ſuper judicium miſericordia exultat.* Hæc ſecum rectè perpendentes impleverunt vaſa ſuo oleo. Quænam autem vaſa? nimirum fame laborantium ventres, ſpiritualium nuptiarum conciliatores ſibi pauperes aſciverunt, compararunt ſibi miſerationum viaticum, fame laborantes nutriebantur, & lampades illuminabantur, mendici gratias agebant, & ſponſus delectabatur, eleemoſyna ſpargebatur, & quæ expectabatur merces præparabatur. Prudentes verba illa Davidis pronuntiabant : *Paratus ſum, & non ſum turbatus.* Fatuæ vero geſtantes lampades ſine oleo longè à ſponſo conſpiciebantur. Quomodo uni adhærebant officio? quomodo integritatem quidem ſibi comparaverant, humanitatem autem repudiaverant? corpori quidem ſuo immunitatem à paſſionibus conciliaverant, compaſſionem autem erga egenos non præ ſe tulerant? Qui factum eſt, ut temperantiam quidem dilexerint, hoſpitalitatem autem averſatæ fuerint? Quis tandem igitur finis fuit? [*Moram autem faciente ſponſo, inquit, dormitaverunt omnes, & dormierunt.*] Verùm eæ quidem quæ oleum præparaverant, ſecuræ erant nunquam extinctum iri lampades ſuas : fatuæ autem ad id tempus differebant, quo neceſſum eſſet id habere. Cur igitur non comprehendo brevi? Venit hora, tempus antevertit, ſonitus audiri cœperunt, reſonabant tubæ, concutiebantur elementa, aer agitabatur, cœlum inclinabatur, firmamentum tremebat, ſtellæ ſolvebantur, perturbabantur virtutes, præcurrebant Angeli, fulgura antecedebant, ingenti tumultu concitabantur creaturæ : Non enim de die, ſed noctis medio judex advenit. Quid deinde? *Fit clamor ad occurſum vocans, Ecce ſponſus venit, exite obviam ei.* Quid ergo accidit? Surrexerunt omnes virgines, excuſſerunt ſomnum, arripuerunt lampades : ſed aliæ quidem ardebant, aliæ verò minimè apparebant. Ac prudentum quidem lampades bonorum operum oleo irrigabantur: quæ verò erant fatuarum, extinguebantur. Res erat planè miſeratu digna. Inevitabilis quædam neceſſitas mulierculas illas obſeſſas tenebat, nõ erat relictus in illa calamitate conſolationi locus. Tum enim ad prudentes converſæ, quod accipere non poterant, petebant. Date enim nobis de oleo veſtro, inquiunt, quia lampades noſtræ extinguuntur, oportuit igitur olim eas imitari, non autem jam obteſtari : nam ab iis, qui vendunt, oleum emendum fuit. *Date vos,* inquiunt, *nobis oleum.* Fruſtra prudentes obſecratis, ô pigræ, jamdiu dimiſſus eſt vitæ conventus, jam theatrum vitæ præterit, non eſt jam tempus contrahendarum pactionum; nunc exigitur operum exhibitio. Prævidiſſe periculum ſeculi hujus oportuit, hujus occurſus curam geſſiſſe oportuit, cogitandum fuit ſine oleo lampades illuminare non poſſe. Dicitis, date nobis de oleo veſtro nemo alienis operibus exornatur; unuſquiſq; ea quę ſeverit, metit. Date vos nobis oleũ. Quid ergo prudentes reſponderunt? *Ne fortè non ſufficiat nobis & vobis : ite potiùs ad vendentes, & emite.* Adhuc etiam, quamvis perexigua quædam reliqua ſit hora, currite, elaborate, nondum advenit ſponſus properate antequam occludantur fores, ad vendentes proficiſcimini. Quinã autem, ô prudentes, ſunt illi vendentes? Ignorant enim ipſæ, quæ nunquam huic commercio ſunt aſſuefactæ, quinam hi ſint vendentes. Qui eccleſiarum fores obſident pauperes, ratione præditæ hirundines, quę rationabile animarum ver annuntiant, venerandi apud Dominum mediatores, invicti in die judicii oratores. [*Dũ autem irent illæ emere oleum, venit ſponſus, & clauſæ ſunt januæ.*] O perniciosam negligentiam! o incurabilem dolorem! ô damnum nulla conſolatione mitigandum! o intolerabilem luctum! Dum autem illæ irent emere, venit ſponſus, venit expectatum gaudium, venit exultatio juſtorum, media nocte venit lumen. Iverunt obviam prudentes, cum ſponſo ingreſſæ ſunt, & clauſæ ſunt fores. Horreſco dum mihi in mentem venit, quod accidit, dum eum enarro caſum, qui mulierculis evenit, totis artubus contremiſco. Tremendum thalamum intueri optabant, propter quẽ enim delicias mundi abjecerant, voluptates neglexerant, gloriã deſpexerant, vias duras cuſtodierant, perturbationes ſuperaverant, cũ delectationibus decertarant: ſed quoniam oleum non habebant occluſa regni clauſtra repererunt, omni ſpe introeundi ſublata. Nam cùm veniſſent pulſabãt dicentes, *Domine, Domine, aperi nobis* : judice ex interioribus ædibus terribiliter inclamante : *Amen amen dico vobis neſcio vos.* O ſupremam ſententiam, licet nõ per Angelum, ſed per ſe ipſe luctuoſum reſponſum dederit, ut cùm vocem audirent, faciem autem videre non poſſent, multo ampliùs torquerentur. Amen dico vobis, neſcio vos. Non noſti nos Domine, in te projectæ ſumus ex utero, ſecutæ ſumus te à juventute noſtra, caſtitatem ſervavimus, quod nobis effinxiſti, corpus incorruptum conſervavimus, non ſubjecimus membra

Oſee. 6. 6.
Jac. 2. 13.
Pſal. 118. 60.

A γὰρ ἀρκέσειν. ἐδοκίμασαν ὅτι τὸ ἓν οὐκ ἐπαρκεῖ πρὸς σωτηρίαν κατόρθωμα [οὐδὲ γὰρ πτερῷ ἀετὸς εἰς ὕψος οὐκ ἐφίπταται] ἐμνημόνευσαν τῆς τοῦ νυμφίου φωνῆς τῆς λεγούσης· ἔλεον θέλω, καὶ οὐ θυσίαν· καὶ πάλιν, ὅτι κατακαυχᾶται ἔλεος κρίσεως. ταῦτα καλῶς βουλευσάμεναι, ἐπλήρωσαν τὰ ἀγγεῖα αὐτῶν ἐλαίου. ποῖα ἄρα ἀγγεῖα; τὰς τῶν πεινώντων κοιλίας· μεσίτας γὰρ τοῦ πνευματικοῦ γάμου τοὺς πτωχοὺς ἐπορίσαντο, ἐσκεύασαν μεθ' ἑαυτῶν τῶν οἰκτιρμῶν B τὰ ἐφόδια, οἱ πεινῶντες ἐτρέφοντο, καὶ αἱ λαμπάδες ἐφαιδρύνοντο· οἱ πτωχοὶ ηὐχαρίστουν, καὶ ὁ νυμφίος ἐτέρπετο· ἡ ἐλεημοσύνη ἐσπείρετο, καὶ ὁ προσδοκώμενος μισθὸς ηὐτρεπίζετο, καὶ αἱ φρόνιμοι τὰ τοῦ Δαβὶδ ἐβόων· ἡτοιμάσθημεν, καὶ οὐκ ἐταράχθημεν· αἱ δὲ μωραὶ τὰς λαμπάδας κρατοῦσαι χωρὶς ἐλαίου πόρρωθεν ἀπὸ τοῦ νυμφίου ἐβλέποντο. πῶς εἴχοντο ἑνὶ κατορθώματι; πῶς τὴν μὲν ἁγνείαν ἐκτήσαντο, τὴν δὲ φιλανθρωπίαν ἀπώσαντο; πῶς ἀπάC θειαν μὲν τῷ σώματι περιεποιήσαντο, συμπάθειαν δὲ περὶ τοὺς δεομένους οὐκ ἐπεδείξαντο; πῶς τὴν μὲν σωφροσύνην ἠγάπησαν, τὴν δὲ φιλοξενίαν ἀπεστράφησαν; τί οὖν τὸ πέρας; χρονίζοντος γὰρ τοῦ νυμφίου, φησὶν, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. ἀλλ' αἱ μὲν προαποθέμεναι τὸ ἔλαιον, εἶχον τὸ ἀσφαλὲς ὅτι αἱ λαμπάδες αὐτῶν οὐ σβεσθήσονται· αἱ δὲ μωραὶ τὸν τῆς ἀνάγκης καιρὸν ἐξεδέχοντο. τί οὖν συντόμως οὐ λέγω, ἐπέστη ἡ ὥρα, ἔφθασεν ὁ καιρὸς, οἱ D ἦχοι κατήρξαντο, ἤχουν αἱ σάλπιγγες, ἐδονοῦντο τὰ στοιχεῖα, ὁ ἀὴρ ἐκλονεῖτο, ἐκλίνετο ὁ οὐρανὸς, ἔτρεμε τὸ στερέωμα, ἀστέρες ἐλύοντο, ἐξεπλήττοντο αἱ δυνάμεις, προέτρεχον ἄγγελοι, ἀστραπαὶ προεβάδιζον, μέγαν εἶχεν ἡ κτίσις τὸν θόρυβον. οὐ γὰρ ἐν ἡμέρᾳ, ἀλλ' ἐν μεσονυκτίῳ ὁ δικαστὴς παραγίνεται. εἶτα τί; γίνεται κραυγὴ καλοῦσα πρὸς τὴν ἀπάντησιν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέλθετε εἰς ἀπάντησιν αὐτοῦ. τί οὖν τὸ γινόμενον; ἐξανέστησαν πᾶσαι αἱ παρE θένοι, ἀπετινάξαντο τὸν ὕπνον, ἐπελάβοντο τῶν λαμπάδων. ἀλλ' αἱ μὲν ἐκαίοντο, αἱ δὲ οὐκ ἔφαινον. αἱ τῶν φρονίμων τῷ ἐλαίῳ τῆς εὐποιΐας ἠρδεύοντο, αἱ δὲ τῶν μωρῶν ἀπεσβέννυντο. ὄντως ἐλεεινὸν ἦν τὸ πρᾶγμα· ἄφυκτος ἐκύκλωσεν ἀνάγκη τὰ γύναια· οὐκ εἶχεν ἡ ἀποτυχία ἀφορμὴν παρακλήσεως. τότε οὖν προσελθοῦσαι ταῖς φρονίμοις ἐπεζήτουν, ὅπερ λαβεῖν οὐκ ἠδύναντο. δότε γὰρ ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἔδει οὖν πάλαι A αὐτὰς μιμήσασθαι, καὶ μὴ νῦν ἱκετεύειν. ἔδει γὰρ παρὰ τῶν πωλούντων ἀγοράσαι τὸ ἔλαιον. δότε ὑμεῖς ἐλαίου, φασὶν, ἡμῖν. μάτην παρακαλεῖτε τὰς φρονίμους, ὦ ῥᾴθυμοι. ἔφθασε λυθεῖσα τῆς ζωῆς ἡ πανήγυρις. παρῆλθε τοῦ βίου τὸ θέατρον· οὐκ ἔστι νῦν συναλλαγμάτων καιρός· νῦν ἡ τῶν ἔργων ἐπιζητεῖται ἐπίδειξις. ἔδει προθεωρῆσαι τὸν κίνδυνον τοῦ παρόντος αἰῶνος· ἔδει ταύτης φροντίσαι τῆς ἀπαντήσεως· ἔδει ἐνθυμηθῆναι, ὅτι αἱ λαμπάδες χωρὶς ἐλαίου φωB τίζειν οὐ δύνανται. λέγετε, δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν. οὐδεὶς ἀλλοτρίοις ἐγκαλλωπίζεται ἔργοις· ἕκαστος θερίζει ὅπερ ἔσπειρε. δότε ὑμεῖς ἡμῖν ἔλαιον. τί οὖν πρὸς αὐτὰς αἱ φρόνιμοι; μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε. ἔτι, κἂν μικρά τις ὑπολέλειπται ὥρα, δράμετε, κάμετε· οὔπω ἐφέστηκεν ὁ νυμφίος· σπεύσατε πρὸ τοῦ κλεισθῆναι τὰς θύρας· πρὸς τοὺς πωλοῦντας ἀπέλθετε. καὶ τίνες, ὦ φρόνιμοι, οἱ πωλοῦντες εἴC πατε. ἀγνοοῦσι γὰρ αὗται μὴ ἐπιστάμεναι συναλλάγματος τοιούτου συνήθειαν. τίνες οἱ πωλοῦντες; οἱ ταῖς θύραις τῶν ἐκκλησιῶν παρακαθήμενοι πένητες, αἱ λογικαὶ χελιδόνες, αἱ τῶν ψυχῶν εὐαγγελιζόμεναι λογικὸν ἔαρ, οἱ αἰδέσιμοι πρὸς τὸν Δεσπότην μεσῖται, οἱ ἀήττητοι ῥήτορες ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι τὸ ἔλαιον, ἦλθεν ὁ νυμφίος, καὶ ἐκλείσθησαν αἱ θύραι. ὢ τῆς ἐκλαβούσης ῥᾳθυμίας· ὢ τῆς ἀθεραπεύτου ὀδύνης· ὢ τῆς ἀD παραμυθήτου ζημίας· ὢ πένθους ἀπαρακλήτου. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, ἦλθεν ἡ προσδοκωμένη χαρά, ἦλθε τῶν δικαίων τὸ καύχημα, ἦλθε μεσονυκτίῳ τὸ φῶς. ἀπήντησαν αἱ φρόνιμοι, συνεισῆλθον τῷ νυμφίῳ, καὶ ἐκλείσθησαν αἱ θύραι. φρίττω, τὸ γινόμενον ἐνθυμούμενος· τρέμω, τὸ συμβὰν ταῖς γυναιξὶν ἀτύχημα διηγούμενος. τὸν παστάδα τὸν φοβερὸν ἰδεῖν ἐπεθύμουν· δι' αὐτὸν γὰρ τοῖς τοῦ κόσμου τερπνοῖς ἀπετάξαντο, τρυE φῆς κατεφρόνησαν, δόξης ὑπερεῖδον, ὁδοὺς σκληρὰς ἐφυλάξαντο, παθῶν κατεκράτησαν, ἡδονῶν κατηγωνίσαντο· καὶ ἐπειδὴ ἔλαιον οὐκ εἶχον, εὗρον ἀποκεκλεισμένα τῆς βασιλείας τὰ κλεῖθρα· ἐλθοῦσαι γὰρ ἔκρουον, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· ἔνδοθεν δὲ τοῦ κριτοῦ φοβερῶς κεκραγότος· ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς· ὢ τῆς ἐσχάτης ἀποφάσεως. ὅτι κἂν δι' ἀγγέλου, ἀλλὰ δι' ἑαυτοῦ τὴν ὀδυνηρὰν ἀπόκρισιν δέδωκεν· ἵνα τῆς φωνῆς ἀκούσασαι, καὶ τὸ πρόσωπον ἰδεῖν μὴ δυνάμεναι, μείζονα τὴν βάσανον ὑπομείνωσιν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. οὐκ οἶδας ἡμᾶς, Δέσποτα; ἐκ μήτρας ἐπί σε ἐπερρίφημεν, ἠκολουθήσαμεν ὀπίσω σου ἐκ νεότητος ἡμῶν, τὴν ἁγνείαν διεφυλάξαμεν, ὅπερ ἔπλασας ἡμῖν σῶμα, ἄφθαρτον διετηρήσαμεν, οὐ προσεδώκαμεν τὰ μέλη

τῆς

τοῖς πάθεσι, στεφάνους παρὰ τῆς σῆς δεξιᾶς προσεδοκήσαμεν δέξασθαι· καὶ νῦν τὰς θύρας ἐπέκλεισας, καὶ λέγεις, οὐκ οἶδα ὑμᾶς; ναί, οὕτως οὐκ οἶδα ὑμᾶς. διὰ τί, ὦ Δέσποτα; ὁ Δεσπότης, διότι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἤλθετε πρός με. ἐγγράφως διεστειλάμην ὑμῖν, λέγων· ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων καὶ μικρῶν, οὐδὲ ἐμοὶ ἐποιήσατε. αἱ δὲ εἶπον, μάτην οὖν, Δέσποτα, τὸν πόνον καὶ τὴν ταλαιπωρίαν τῆς σαρκὸς ὑπεμείναμεν, μάτην ἀγρυπνίαις καὶ νηστείαις ἑαυτὰς κατετήξαμεν, μάτην τὸν οὐράνιον νυμφίον μέχρι τέλους ποθήσασαι, τὴν παρθενίαν ἄτρωτον διεφυλάξαμεν. ναί, φησι· παρθένοι μέν ἐστε, ἀλλὰ προῖκας οὐκ ἔχετε· παρθένοι μέν, ἀλλὰ νυμφικὸν οὐ περίκεισθε κόσμον· τὴν τῆς σαρκὸς ἠσκήσατε ἁγνείαν. ἀλλὰ ἀπανθρωπίᾳ τὴν ἁγνείαν ἐτρώσατε· ἀμόλυντον ὑμῶν τὸ σῶμα, ἀλλ' ὁ τρόπος ἀνηλεής, οὐ φύσεως, ἀλλ' ἀπανθρωπίας. ὁ ἐμός ἐστι νυμφὼν κτησαμένων τὸ εὐποιΐας τὸ ἔλαιον. δεῖ τοίνυν τὰς ἐμοὶ νυμφευομένας κατάλληλον τῷ κόσμῳ περικεῖσθαι καὶ τρόπον. οὐ δύναμαι τοῖς ἐμοῖς θαλάμοις μαχομένην νύμφην λαβεῖν· οὐκ εἰσάγω πόλεμον εἰς παστάδας εἰρηνικάς. λοιπὸν ἀπέλθετε ἀπ' ἐμοῦ· μή μου μάτην τὰς θύρας ἐνοχλεῖτε. τῶν ἐλεημόνων ἐστὶν οἰκητήριον ἡ ἐμὴ βασιλεία. ἐκεῖνος ἐμοὶ εὐκόλως συνεισέρχεται, ὁ τὴν ἐμὴν μιμησάμενος περὶ τοὺς πτωχοὺς εὐσπλαγχνίαν, ὁ πτωχεύσας τῷ πνεύματι, ὁ τοῖς δεομένοις τὴν ἀκοὴν ὑποκλίνας, ὁ τὰ τοῦ πλησίον οἰκειωσάμενος πάθη, ὁ δακρύσας ἐπὶ συμφοραῖς ἀλλοτρίαις, ὁ ἐμπλήσας ἀγαθῶν τὴν ψυχὴν τοῦ πεινῶντος, ὁ τῶν γυμνῶν διαθερμάνας τοὺς ὤμους, ὁ μὴ παρακούσας τῆς φωνῆς τοῦ νοσοῦντος, ὁ δανείσας ὀλιγοψύχῳ παρακλήσεως λόγον, ὁ τὸν ξένον ὑπὸ τὴν στέγην δεξάμενος, ὁ τῷ σπόγγῳ τῆς συμπαθείας τῶν χηρῶν ἀποσμήξας τὸ δάκρυον, ὁ ἐλαφρύνας τῇ προστασίᾳ τὸ ὀρφανίας τὸ βάρος. ταῦτα εἰδότες, ἀδελφοί, μὴ τῇ γλώσσῃ θαυμάζετε, ἀλλὰ τοῖς ἔργοις μιμήσασθε. σφραγὶς γὰρ γλώσσης ἡ χείρ, καὶ ταύτην ἑρμηνεύει τῆς δεξιᾶς ἡ ἐπίδοσις. ζηλώσαντες τὰ ῥήματα, τὴν φιλοπτωχίαν περὶ πολλοῦ ποιησώμεθα, σκορπίζειν τοῖς πένησι τοὺς ὀβολοὺς μὴ φεισώμεθα, παρακαλῶ· τῶν δεσποτικῶν φωνῶν ἐπακούσωμεν. τὸν φόβον μαθόντες, τὴν πεῖραν ἐκκλίνωμεν. ἑαυτῶν διὰ τῶν πενήτων φροντίσωμεν. αἱ γὰρ παρθένοι φιλανθρωπίαν μὴ τιμήσασαι, τοῦ νυμφῶνος ἐκβάλλονται. ποία λοιπὸν τοῖς ἁμαρτωλοῖς ἐλπὶς περιλείπεται ἀπανθρωπίᾳ ὑβρίσασι; ταῦτα πρὸς τὸ πλῆθος λέγων, τῶν ῥαθυμοτέρων τὴν συνείδησιν ἀσφαλίζομαι, βλάπτων οὐδὲν τοὺς εὐγνώμονας, ἀλλὰ καὶ θερμοτέρους πρὸς τὴν εὐσέβειαν ἐργαζόμενος. σὺ οὖν σκόρπισον ἀδελφέ, ἕως ἂν συνέστηκεν ἡ τοῦ βίου πανήγυρις. τὰ τῆς ἀπολογίας πραγμάτευσαι· πρὸ τοῦ τεθῶσιν οἱ θρόνοι, θρῆνον ἐπίδειξαι· φθάσον τοῦ νυμφίου τὴν παρουσίαν· δράμε τῆς ἁμαρτίας ὀξύτερον· προλάβε τὴν ἀμετάθετον διάγνωσιν· θεράπευσον τὸν κριτήν· μὴ καταδέξῃ τῷ βήματι παραστῆναι γυμνός. νῦν σκόρπισον χρήματα, ἵνα τότε διαλύσῃς ἐγκλήματα· λάλησον τῷ δικαστῇ καταμόνας, ἵνα μὴ ἐπὶ πάντων καταδικάσῃ σε· λάβε μεσίτην πρὸς τὴν αὐτοῦ θεραπείαν τὸν πένητα· δι' αὐτοῦ τὸν κριτὴν δωροδόκησον· αὐτῷ μόνῳ θάρρει τὸ τοιοῦτον μυστήριον· δι' αὐτοῦ πωλεῖ τοῖς δικαίοις τὸ δίκαιον. ὁ πτωχὸς λαμβάνει, καὶ ὁ κριτὴς ὑπογράφει συγχώρησιν· ἀγράφως δέχεται, καὶ προσφέρει χειρόγραφα. ὁ γὰρ ἐλεῶν πτωχόν, δανείζει Θεῷ. ὅπερ ἂν νῦν βάλλῃς ἐν τῇ χειρὶ τοῦ πτωχοῦ, τοῦτο γνωρίσεις ἐν τῇ παλάμῃ τοῦ δικαστοῦ. εἰ διαδράσαι τὴν κρίσιν τοίνυν σπουδάσομεν, ἐντεῦθεν ἤδη τὸν δικαστὴν διὰ τῶν πτωχῶν δυσωπήσωμεν. σὺ καὶ ὁπηνίκα τελευταῖα διατυποῖς, γράψον μετὰ τῶν συγγενῶν ἢ φίλων τὴν ἀποδημοῦσαν τοῦ βίου ψυχήν. δὸς αὐτῇ κἂν μικρὰ τῆς ἀνάγκης ἐφόδια. ἐχέτω τοῦ δικαστοῦ τὸ ὄνομα τὰ διαθήκης τὰ γράμματα· μνήμης πτωχοῦ μὴ ἀμοιρείτω ὁ χάρτης. χαρᾶς πρόξενον καὶ μὴ θρήνων ἄξιον ἐργάσαι τὸν θάνατον· συνηγόρων ἐκτὸς μὴ παραστῇς τῷ φοβερῷ κριτηρίῳ· χόρτασον τὰς κοιλίας τῶν ὀφειλόντων τὰς γλώσσας ὑπὲρ σοῦ ῥητορεῦσαι πρὸς τὸν Κύριον. κτησώμεθα δι' αὐτῶν χρεώστην τὸν κτίσαντα, ἵνα μὴ δῶμεν δίκην κατ' ἐκείνην τὴν ἡμέραν· ὠνησώμεθα χρήμασι τῆς τοιαύτης ἐπιτυχίας ῥήτορας. ἔχεις γάρ, φησι, μάρτυρα τῆς περὶ ἐμὲ φιλίας τὸν πένητα, οἶδας μετὰ τῶν πτωχῶν οἰκειούμενον. ἐξανατέλλω χόρτον τοῖς κτήνεσι, καὶ πᾶσι τὴν τροφὴν χορηγῶ· καὶ ὅμως σοῦ ποιοῦντος τὴν ἐλεημοσύνην, ἐγὼ τῷ πένητι συγκλίνω τὴν χεῖρα, καὶ τὸν ὀβολὸν ὑποδέχομαι. ἀναβάλλομαι τὸ φῶς ὡς ἱμάτιον· κἂν μόνον σὺ τὸν πτωχὸν περιβάλῃς, ἐγὼ τῆς θέρμης αἰσθάνομαι. οἶδάς με ἐν οὐρανῷ τῷ πατρὶ συγκαθήμενον· κἂν μόνον ὁρμήσῃς τοὺς ἐν φυλακῇ ἐπισκέψασθαι, εὑρήσεις με τοῖς δεσμοῖς συνδεδεμένον· κἂν δράμῃς πρὸς νοσοῦντας, τῆς κλίνης οὐκ ἀπολιμπάνομαι. πανταχοῦ γάρ εἰμι, καὶ τοῖς ἐν ἀνάγκῃ περιΐσταμαι· ὅπερ ἂν δώσῃς τῷ πένητι, ὄψει τοῦτο παρ' ἐμοῦ πληθυνόμενον. ἐὰν εἰσάγῃς εἰς τὴν οἰκίαν σου τὸν ἄστεγον, καὶ δι' αὐτοῦ λάβῃς

A perturbationibus, coronas à gloria tua ſuſcipiendas expectamus, & nunc fores occluſiſti, ac dicis, Neſcio vos? quid ita? *Quoniam eſurivi, & non dediſtis mihi manducare, ſitivi & non potaſtis me; hoſpes eram, & non collegiſtis me; nudus, & non induiſtis me; infirmus & in carcere, & non veniſtis ad me.* Scriptis verbis declaravi vobis, dicens, *Quatenus non feciſtis uni ex his fratribus minimis, & parvis, nec mihi feciſtis.* Illæ autem dixerunt, Fruſtra ergo Domine laborem & afflictionem car- B nis ſuſtinuimus? fruſtra vigiliis & jejuniis nos ipſas confecimus? fruſtra cœleſtem ſponſum ad finem usque deſiderantes, virginitatem illibatam conſervavimus? Sane, inquit, virgines quidem eſtis, ſed dotem non habetis, ſed nuptiali mundo exornatæ non eſtis: carnis ſanctitatem exercuiſtis, ſed humanitate ſanctitatem læſiſtis. Incorruptum veſtrum eſt corpus, ſed mores immiſericordes; non naturæ, ſed inhumanitatis. Meus nuptialis mundus eſt bonorum operum oleum. Oportet C ergo, eas quæ meæ ſponſæ factæ ſunt, eis moribus exornari, qui mundo illi conveniant. Non poſſum thalamis meis ſponſam excipere, quæ mecum pugnet: non introducam bellum in thoros pacatos. Diſcedite à me, ne fruſtra obſtrepite foribus meis: miſericordium eſt domicilium regnum meum: Ille mecum facilè ingredietur, qui meam in pauperes miſericordiam imitatus fuerit, qui ſpiritu pauper fuerit, qui indigentibus aures faciles præbuerit, qui proximorum malis non aliter perculſus fue- D rit ac propriis, qui alienis calamitatibus illacrymatus fuerit qui animam eſurientis ſatiarit bonis, qui nudorum humeros calefecerit, qui ægroti vocem aure ſurda non præterierit, qui puſillanimi conſolationis ſermonem fuerit mutuatus, qui peregrinum tecto exceperit, qui compaſſionis ſpongia lacrymas viduarum abſterſerit, qui orphanorum conditionem gravem, & miſeram, ſubſidio ſuo leverit. His admoniti, fratres, nolite lingua laudare, ſed opere imitari: linguæ ſiquidem ſigillum eſt E manus, eamque dexteræ interpretatur largitio, quæ verba imitatur: Amorem in pauperes plurimi faciamus, diſpergere nummos in pauperes, quæſo, ne gravemur, Domini voces audiamus, metum experti experientiam declinemus, noſtri curam per pauperes geramus. Etenim virgines, quòd humanitatem non coluiſſent, à ſponſi thalamo rejiciuntur. Quæ porro ſpes illis relicta eſt, qui præ inhumanitate contumeliis affecerunt? Hæc dum apud vulgus eloquor, negligentiorum conſcientiam firmo, A nulla in re benignos lædens, ſed eos, etiam ut ardentiùs in pietatem incumbant, incitans: Diſperge itaque, mi frater, quamdiu durant hujus vitæ nundinæ: negotiare in iis quæ tibi defenſioni futura ſint: antequam throni ponantur, luctum præ te fer; præveni ſponſi adventum: curre velociùs quàm peccatum, præoccupa illam dijudicationem quæ præſtituto futura eſt tempore. Cole judicem, ne tibi accidat, ut tribunali nudus ſiſtaris. Nunc pecunias diſtribue, ut tunc crimina diluas; alloquere ſolus judi- B cem ſolum, ne coram omnibus condemnet te: accipe mediatorem pauperem ad ejus favorem promerendum: per illum corrumpe muneribus judicem: illi ſoli tale crede ſecretum, vende per illum jus jure, mendicus accipit, & judex remiſſionem ſubſcribit, ſine ſcripto ſuſcipit, & manu ſcripta profert. *Qui enim miſeretur pauperis, Domino fœneratur.* Prov. 19, 17. Id quod nunc in manum pauperis jacis, hoc in judicis dextera agnoſces Si ergo judicium elabi contendemus, hîc etiamnum judicem per pauperes exorabimus. Et tum quoque C cùm domi tuæ moriturus diſponis, inter cognatos & amicos tuos hæredem ſcribe animam tuam excedentem è vivis. Da illi quamvis exiguum neceſſitatis viaticum: ſit in tabulis teſtamenti ſcriptum nomen judicis: ne ſit expers mentionis pauperis charta; conciliatricem gaudii, non luctu dignam mortem redde. Ne ſine patronis horrendo te ſiſtas foro: paſce ventres eorum, quorum linguæ tibi patrocinari debent. Per eos nobis debitorem reddamus creatorem, ne in illa die pœnas demus. E- D mamus pecuniis nobis oratores futuros ad rem ejusmodi conſequendam: habes quippe amoris erga me teſtem pauperem: ſcis me ea quæ ſunt mendicorum, mihi propria cenſere. Ego fœnum pecoribus oriri jubeo, & omnibus præbeo cibum: & tamen te eleemoſynam faciente, ego cum paupere manum extendo, & obulum excipio. Amictus ſum lumine ſicut veſtimento, &, ſi ſolum pauperem operias, ego ſentio calorem. Scis in cœlo me ſedere cum patre: &, ſi ſolùm ad eos qui in E carcere ſunt, viſitandos perrexeris, invenies me inter vincula reſidentem; quòd ſi ad ægrotos properaveris, à lecto non abſum. Ubique ſum enim, & iis qui premuntur neceſſitate, ſuccurro. Quod pauperi dederis, id apud me multiplicatum videbis. Si in ædes tuas introduxeris eum, qui tecto caret, etiam me per ipſum domi

domi tuæ ſuſcipies. Hæc tibi tria præbebo, & lucrum augebo, & domum tuam cuſtodiam, & habitationem tibi præparabo in cœlis: unde aufugit omnis dolor, triſtitia & gemitus: in Deo patre ſimul cum Spiritu ſancto, cui gloria, & poteſtas, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

A μαι ἐν οἴκῳ σου· τρία ταῦτα παρέξω σοι· καὶ τὸ κέρδος αὐξήσω, καὶ τὸν οἶκόν σου φυλάξω, καὶ μονὴν ἐν οὐρανοῖς ἑτοιμάσω σοι· ὅθεν ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμὸς, ἐν Θεῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

In Meretricem & Phariſæum.

Eodem interprete.

SEmper quidem peccatoribus Deus, utpote benignus, tempus ad pœnitentiam concedit: ſed animam ſuam vir negligens per ſocordiam perdit. Etenim rebus inanibus & caducis dum addictus eſt, bonis cœleſtibus privatur: & qui rerum omnium dominus rexque conſtitutus eſt ab opifice ſuo ac Deo, ob ſecularia deſideria factus eſt ſervus peccati. Quamobrem de
Pſal.81, 5. iis qui hæc faciunt, inquit David: *Neſcierunt, neque intellexerunt, in tenebris ambulant.* Et Chriſtus peccatores innuens ait: *Non veniunt ad lucem, ut non arguantur opera eorum. Omnis enim qui mala agit, odit lucem.* Et turſus dicit: *Dum*
Joan.3, 16 *lucem habetis, ambulate in luce, ut non tenebræ vos comprehendant.* Et rurſus: *Ego veni in mundum, ut non pereant, ſed*
Joan.12,31. *ut vitam habeant.* Et rurſus, *Non veni ut judicem mundum,*
Joan. 12, 47. *ſed ut ſalvum faciam.* Et rurſus, *Animam meam pono pro ovibus meis.* Hæc verba cùm audiſſet meretrix, tanquam aromata undiquaque divulgata, & omnibus, qui digni erant, odorem fundentia, cùm illi mala opera ſua in mentem veniſſent, ea in ſe damnavit, ſuam deplorans infamiam, cùm ſecum cogitaſſet quanta ſibi ob hæc ſcelera imminerent mala: multa enim triſtitia, multuſque dolor illic eos qui meretriciè vivunt, invadit: horum metu perculſa mutata eſt meretrix, nec jam ampliùs meretrix fuit, ſed continuò virgine honeſtior facta eſt. Etenim ſedens adverſus ſeipſam judicium exercuit, & ſeipſam condemdans, dixit, Hei mei peccatrici, quouſque tandem à malis me non ſejungam? cur non cogito quanta miſericordia Dei, cùm propter me tanquam ovem errantem omnes vias circumeat Dominus? Propter me ſiquidem inclinavit cœlos & deſcendit, cum peccatore Phariſæo cibum ſumit, qui dat eſcam omni carni: Appropinquat peccatori qui omnis expers eſt peccati: menſæ fit particeps, qui omnes nutrit: & jacet in terra qui ſuper Cherubim geſtatur, & peccatoribus omnibus chirographa peccatorum ultro largitur. Quid etiamnum expectas? Aude anima mea accede: non venit ut ſalvos faceret juſtos, ſed peccatores. Hæc cùm illa dixiſſet, continuò à menſa Chriſti bonus odor indulgentiæ ad meretricem pervenit, olim incontinentem, nunc caſtam; olim feram, nunc ovem; olim ſervam peccati, nunc liberam pœnitentia. Et ſtans apprehenſionis promptitudine animo venit ad ipſum, ac cernens Dominum apud menſam, non petiit micas, ut Chananæa, ſed ipſum vi-
Matth, 15. tæ panem totum complexa eſt. Nam Chananæa quidem pro filia à dæmonio vexata precabatur, & cùm audiret canis, ut micas accipere liceret, petebat. Hæc autem non filiam habebat à dæmone obſeſſam, ſed totum corpus ab impudicitiis obſeſſum. Ac Chananæa quidem coram omnibus clamabat, Miſerere mei, fili David; meretrix autem nec vocem quidem mittebat: ſed cùm propè ſciret Deum omnia noſſe, tacens ore, corde loquebatur ei qui corda novit, & plorans deoſculabatur pedes: atque ita Dominum ad compaſſionem inflexit. Enimvero, fratres, inveſtiganda nobis eſt, ſi lubet, ſapientis illius mens, ut diſcamus, quomodo illam ita exceperit Chriſtus, & quomodo tenebris obſeſſæ animæ illuxerit. Verè enim prædi-
Pſal. 44, 3. xit David, *Specioſus forma præ filiis hominum Dominus*: neque ſolùm ſpecioſus, ſed & ſpecioſorum amator. Hanc enim, priuſquam ad ipſum ingrederetur, jam noverat optima mente, ac conſilio inſtructam. Verùm, audiamus, ſi videtur, ipſa
Luc. 7, 36. Evangelii verba. *Cum recumberet Jeſus in domo Phariſæi, mulier quædam in civitate peccatrix audivit. Et cùm cepiſſet unguentum pretioſum, ingreſſa, pedes ejus ungebat, & lacrymis rigabat capilliſque tergebat.* Magnum ſtudium mulieris, magnus ad ſalutem curſus, magna contentio animæ, quæ ſe periculo expedire cupit: audit & properavit, ad pœnitentiam animum appulit hæc ſecum reputans: O peccatrix anima terque miſera quid expectas? quid ſuſpenſo animo differs? *Ec-*
2.Cor.6 2, *ce nunc tempus acceptabile, ecce nunc dies ſalutis*: Ecce tempus quod quærebas, advenit: Ecce adeſt qui ſolvit & tollit, & abſtergit peccata; adeſt unguentum, quouſque tandem in luto ac fœtore hæres? perge ad illum: etenim propter te venit ille, abjice vetera illa vana, & dilige quæ ſunt tempeſtiva; illa dete-

Εἰς τὴν πόρνην, καὶ εἰς τὸν Φαρισαῖον. τῇ ἁγίᾳ καὶ μεγάλῃ δ΄.

B ΠΆντοτε μὲν ὁ Θεὸς, ὡς φιλάνθρωπος, καιρὸν εἰς μετάνοιαν τοῖς ἁμαρτωλοῖς δέδωκε· τῇ δὲ ῥαθυμίᾳ τὴν ἑαυτοῦ ψυχὴν ἀπόλλυσιν ὁ ἀμελής. φιλῶν γὰρ τὰ μάταια, καὶ γήϊνα, καὶ πρόσκαιρα, ἀποστερεῖται τῶν ἐπουρανίων ἀγαθῶν τὴν ἀπόλαυσιν· καὶ ὁ καταστάθεὶς βασιλεὺς καὶ κύριος πάντων ὑπὸ τοῦ πλάστου καὶ Θεοῦ, ἄνθρωπος, δοῦλος γέγονε τῆς ἁμαρτίας διὰ κοσμικὰς ἐπιθυμίας. ὅθεν καὶ Δαβὶδ φησι περὶ τῶν ταῦτα πραττόντων· οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν σκότει διαπορεύονται. καὶ ὁ Χριστὸς αἰνιττόμενος τοὺς ἁμαρτωλοὺς, φησίν· οὐκ ἔρχονται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῶσιν αὐτῶν τὰ ἔργα· πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς. καὶ πάλιν λέγει· ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε πρὸς τὸ φῶς, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. καὶ πάλιν λέγει· ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵνα μὴ ἀπόλλωνται, ἀλλ᾽ ἵνα ζωὴν ἔχωσι. καὶ πάλιν· οὐκ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι. καὶ πάλιν· τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. ταῦτα τὰ ῥήματα ἀκούσασα ἡ πόρνη, ὥσπερ ἀρώματα πανταχοῦ κηρυττόμενα, καὶ πᾶσι τοῖς ἀξίοις τὴν ὀσμὴν παρέχοντα, τῶν ἔργων αὐτῆς τῶν κακῶν εἰς νοῦν ἐλθοῦσα, εὐθέως ἐπελάβετο τούτων, κλαίουσα τὴν ἐπ᾽ αὐτῆς αἰσχύνην, καὶ ἐννοοῦσα τὰ μέλλοντα αὐτῇ κακὰ γίνεσθαι διὰ τούτων. πολλὴ γὰρ θλίψις καὶ ὀδύνη γίνεται τοῖς πόρνοις ἐκεῖ. ταῦτα φοβηθεῖσα, μετεβλήθη ἡ πόρνη, καὶ οὐκ ἔτι ἔμεινε πόρνη, ἀλλ᾽ εὐθέως παρθένου γέγονε σεμνοτέρα. καθίσασα γὰρ καθ᾽ ἑαυτὴν δικαστήριον συνεστήσατο, καὶ ἑαυτὴν κατακρίνουσα, ἔλεγεν· οἴμοι τῇ ἁμαρτωλῷ, οἴμοι τῇ ἁμαρτωλῷ, ἕως τίνος οὐκ ἀφίσταμαι τῶν κακῶν; τί οὐ λογίζομαι τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ; ὅτι δι᾽ ἐμὲ τὴν πλανωμένην, ὡς πρόβατον, πᾶσαν ὁδὸν περιέρχεται ὁ δεσπότης. δι᾽ ἐμὲ γὰρ οὐρανοὺς ἔκλινε, καὶ κατέβη· δι᾽ ἐμὲ τῷ ἁμαρτωλῷ Φαρισαίῳ συνδειπνεῖ ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· ἐγγίζει τῷ ἁμαρτωλῷ ὁ ἀναμάρτητος· τραπέζης μετέχει ὁ πάντας τρέφων, καὶ κατάκειται ἐπὶ τῆς γῆς, ὁ ἐπὶ τῶν Χερουβὶμ βασταζόμενος. καὶ χαρίζεται πᾶσι τοῖς ἁμαρτωλοῖς τὰ χειρόγραφα τῶν ἁμαρτιῶν. τί λοιπὸν μένεις; θάρσει, ψυχή μου, πρόσελθε. οὐκ ἦλθε δικαίους σῶσαι, ἀλλὰ ἁμαρτωλούς. καὶ ταῦτα εἰπούσης αὐτῆς, εὐθὺς ἐκ τῆς τραπέζης τοῦ Χριστοῦ εὐωδία συγχωρήσεως ἦλθεν ἐπ᾽ αὐτὴν, τὴν ποτε ἄσωτον, νῦν δὲ σώφρονα· τὴν ποτε θῆρα, νῦν δὲ πρόβατον· τὴν ποτε δούλην τῆς ἁμαρτίας, νῦν δὲ ἐλευθέραν τῇ μετανοίᾳ· τὴν ποτε πόρνην, νῦν δὲ σεμνήν. καὶ στᾶσα τῆς ἀντιλήψεως προθύμῳ τῇ ψυχῇ, ἔρχεται πρὸς αὐτόν· καὶ ἰδοῦσα ἐπὶ τῆς τραπέζης τὸν δεσπότην, οὐκ ἐζήτησεν, ὡς ἡ Χαναναία, ψιχίον· ἀλλ᾽ αὐτὸν τὸν ἄρτον τῆς ζωῆς ὅλον περιέλαβεν. ἡ γὰρ Χαναναία περὶ θυγατρὸς δαιμονιζομένης παρεκάλει, καὶ κύνα ἑαυτὴν ἀκούσασα, ψιχίον λαβεῖν ᾐτεῖτο, αὕτη δὲ οὐ θυγατέρα δαιμονιζομένην εἶχεν, ἀλλὰ πᾶν τὸ σῶμα δαιμονιζόμενον τῆς ἀσελγείας. ἀλλ᾽ ἡ Χαναναία ἐπὶ πάντων ἔκραζεν, ἐλέησόν με υἱὲ Δαβίδ· ἡ δὲ πόρνη οὐ κραυγὴν ἀφῆκεν, ἀλλ᾽ εἰδυῖα ὅτι πάντα οἶδεν ὡς Θεὸς, σιγῶσα τῷ στόματι, τῇ καρδίᾳ ἐλάλει τῷ τὰς καρδίας εἰδότι· καὶ κλαίουσα, κατεφίλει τοὺς πόδας, καὶ οὕτω τὸν δεσπότην εἰς συμπάθειαν ἤνεγκεν. ἀλλ᾽ ἤθελον, ἀδελφοὶ, ἐρευνῆσαι τῆς σοφῆς ἐκείνης τὰς φρένας, καὶ μαθεῖν πῶς ἐδέξατο αὐτὴν ὁ Χριστὸς, καὶ πῶς ἐνέλαμψε τῇ ἐσκοτισμένῃ ψυχῇ. καὶ γὰρ ἀληθῶς, καθὼς προεφήτευσεν ὁ Δαβὶδ, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὁ Κύριος· καὶ οὐ μόνον ὡραῖος, ἀλλὰ καὶ τῶν ὡραίων ἐραστής. ταύτην γὰρ καὶ πρὶν εἰσελθεῖν πρὸς αὐτὸν, ἐπεγίνωσκεν ἔχουσαν ψυχῆς ἀγαθῆς προαίρεσιν. ἀλλ᾽ εἰ δοκεῖ, καὶ τοῦ ῥητοῦ τοῦ εὐαγγελικοῦ ἀκούσωμεν. ἀνακειμένου τοῦ Ἰησοῦ ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, γυνή τις ἁμαρτωλὸς ἐν τῇ πόλει ἤκουσε· καὶ λαβοῦσα μύρον πολύτιμον, εἰσελθοῦσα ἤλειφεν αὐτοῦ τοὺς πόδας, καὶ τοῖς δάκρυσιν ἔβρεχε, καὶ ταῖς θριξὶν ἔμασσε. μεγάλη σπουδὴ γυναικός· μέγας δρόμος σωτηρίας· μεγάλη προαίρεσις ψυχῆς κινδύνων θελούσης ἀπαλλαγῆναι· ἤκουσε, καὶ ἔσπευσεν· ὤθησε τὴν ἔννοιαν εἰς τὴν μετάνοιαν, λέγουσα ταῦτα ἐν αὐτῇ· ὦ ψυχὴ ἁμαρτωλὴ καὶ τρισαθλία, τί ἀναμένεις; τί σκέπτῃ; ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· ἰδοὺ ὁ καιρὸς, ὃν ἐζήτεις, ἔφθασεν· ἰδοὺ, πάρεστιν ὁ λύων, καὶ καθαίρων καὶ ἀποσμήχων τὰ ἁμαρτήματα· πάρεστι τὸ μύρον· μέχρι τίνος προσμένεις τῷ βορβόρῳ καὶ τῇ δυσωδίᾳ; ἄπελθε πρὸς αὐτόν. καὶ γὰρ αὐτὸς διὰ σὲ ἦλθεν. ἄφες τὰ ποτε μάταια, καὶ πόθησον τὰ νῦν ὡραῖα. ἐκεῖνα βδελυκτὰ

λυκτα, ταῦτα ποθητὰ καὶ αἰώνια. μίσησον τὴν ἀρχαίαν γνώμην, μύρισον τὸν τὸ μύρον ποιήσαντα, κολάκευσον τὸν σῶσαί σε θέλοντα. εὗρες ἐραστὴν ὑπὲρ πάντας οὓς εἶχες ἐραστάς. ἐκείνους φιλήσασα, πολλὰς ἁμαρτίας εἰς ἑαυτὴν ἐξεκένωσας. τοῦτον ἐὰν φιλήσῃς, καὶ τὰς προτέρας ἁμαρτίας, ἃς ἐξ ἐκείνων ἐκτήσασα, αὐτός σοι συγχωρήσει. ταῦτα λογισαμένη, ὑπεισέρχεται τῇ οἰκίᾳ καὶ λέγει· ἀναχωρῶ τῶν ἀρχαίων κακῶν, ἀρέσκω τῷ νέῳ καλῷ καὶ συμφωνῶ· ἀποτάσσομαι τῷ πονηρῷ, καὶ συντάσσομαι τῷ ἀγαθῷ. ἤκουσα γὰρ τοῦ Δαβὶδ B λέγοντος· προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε· καὶ αὐτοῦ τοῦ Κυρίου λέγοντος, ἐγγίσατέ μοι, καὶ ἐγγιῶ ὑμῖν. ἐγγίζω κἀγὼ τῷ Θεῷ, ἀλλὰ φοβοῦμαι ἡ ἁμαρτωλὸς πρὸς τὸν ἀναμάρτητον, ὁ βόρβορος πρὸς τὸ μύρον. ἀλλ' ἔχω ἐνέχυρον τῆς εὐσπλαγχνίας αὐτοῦ τὴν φωνὴν τὴν λέγουσαν· δεῦτε πρός με πάντες οἱ ἁμαρτωλοί, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἀπέρχομαι τοίνυν· οὐκ ὀνειδίζει με, οὐ λέγει μοι, ἀπόστα ἀπ' ἐμοῦ ἡ ἁμαρτωλός· ἕως ἄρτι ἐν τῷ σκότει δι- C ῆγες, καὶ νῦν ἦλθες ἰδεῖν με τὸν τῆς δικαιοσύνης ἥλιον; ἀλλὰ τί σκέψομαι; λαμβάνω μύρον, καὶ πορεύομαι πρὸς αὐτόν, καὶ ποιῶ φωτιστήριον τὸν οἶκον τοῦ Φαρισαίου· καὶ τοῖς ῥείθροις τῶν δακρύων κολυμβήθραν μοι κατασκευάσω· καὶ τῷ ἀλαβάστρῳ τοῦ μύρου τὴν σφραγῖδα λαμβάνω τῶν πιστῶν κατὰ τοῦ μετώπου· καὶ τῇ μετανοίᾳ καθαρίζομαι τῶν ἁμαρτημάτων μου, καὶ τῷ λόγῳ αὐτοῦ τῷ ἰαματικῷ ἀποφύγω τοὺς βρόχους τοῦ διαβόλου. οὐδέν μοι ἀπηλπισμένον ἐστίν. οἶδα D ἐν τῇ παλαιᾷ διαθήκῃ Ῥαὰβ τὴν πόρνην ἐπὶ τῆς πύλης τῆς πόλεως οἰκητήριον τῆς ἁμαρτίας ἔχουσαν· ἀλλ' αὕτη τοὺς κατασκόπους τοῦ Ἰσραὴλ δεξαμένη τῆς φιλοξενίας τὸν μισθὸν ἐκομίσατο τὴν ζωήν. ὁ γὰρ σώσας ἐκείνην Ἰησοῦς ὁ τοῦ Ναυή, τύπον εἶχε τοῦ ἀληθινοῦ Ἰησοῦ· ἀμοιβὰς ἀγαθὰς τῇ πόρνῃ ὑπὲρ τῶν κατασκόπων ὁ τοῦ Ναυὴ Ἰησοῦς ἐχαρίσατο· εἰ οὖν τότε τὸ ὄνομα τοῦ Ἰησοῦ σωτηρίαν καὶ συγχώρησιν ἁμαρτιῶν παρέσχε· νῦν ὁ ἀληθινὸς Ἰησοῦς, ὁ παρθένος καὶ ἐκ παρ- E θένου, πόρνην ξενοδοχοῦσαν, καὶ ἀλείφουσαν μύρῳ τοὺς πόδας, ἀπώσασθαι ἔχει, καὶ μὴ χαρίσασθαι ἄφεσιν ἁμαρτιῶν; ἀλλ' ἐκεῖ Ῥαὰβ ἀπέλυσε τοὺς κατασκόπους, ἐγὼ δὲ μόνον κατέχουσα ὃν ἐπεθύμησα· οὐχ ὡς ἐκείνη, κατάσκοπον πόλεως, ἀλλ' ὡς ἐπίσκοπον πασῶν τῶν ἀνθρωπίνων ψυχῶν. ἰδού, καθὼς προεῖπον, ἔφθασε καιρός, ὃν ἰδεῖν ἐπεθύμουν· ἔλαμψέ μοι ἡ ἡμέρα, καὶ ὁ ἥλιος τῆς δικαιοσύνης, καὶ ἐνιαυτὸς δεκτὸς παρὰ Κυρίου, καὶ μεγάλη ἐπισκοπὴ παρὰ Θεοῦ. A ἀληθῶς γὰρ ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις. ἐν τῇ οἰκίᾳ τοῦ Σίμωνος αὐλίζεται ὁ Δεσπότης· ἀπέλθω πρὸς αὐτόν· καὶ τί ποιήσω; κλαύσω, ὥσπερ Ἄννα ἔκλαυσε τὴν στείρωσιν; ἀλλὰ λογίζεταί με ὁ Σίμων ὡς μεθύουσαν ὥς ποτε καὶ τὴν Ἄνναν Ἡλὶ ὁ ἀρχιερεύς· ἀλλὰ μόνον προσευχαμένη τῇ καρδίᾳ πρὸς τοὺς πόδας τοῦ Χριστοῦ, καὶ δακρύσασα, τοῦτο ποιήσω. συνήργησε δὲ ἡ πίστις [τῆς πόρνης] τῇ καθαρᾷ προθέσει, B καὶ παραγίνεται πρὸς τὸν τὸ μύρον πωλοῦντα, καὶ ἄρχεται λέγειν αὐτῷ· ἐπειδὴ μέγας μοι φίλος παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων παρεγένετο, εἰ ἔχεις ἐπάξιον μύρον, δός μοι· ἵνα ἀξίως προσενέγκω τῷ ἀξίως φιλουμένῳ παρ' ἐμοῦ, τῷ πυρώσαντί μου τὴν καρδίαν καὶ τοὺς νεφρούς· μηδὲν περὶ τιμῆς μελέτω σοι, ἐὰν δέῃ με, καὶ μέχρι σώματος καὶ ὀστέων, ἑτοίμως ἔχω πωλῆσαι καὶ δοῦναι, ἵνα κἂν μικρόν τι ἔχω προσενέγκαι τῷ οὕτω καθαρίσαι με θέλοντι. ὁ δὲ βλέπων τὸ C τῆς πίστεως τὸ θερμὸν καὶ προαιρετικόν, λέγει αὐτῇ· εἰπέ μοι τίς ἐστιν ὃν ὑπερποθεῖς, ὅτι τοσοῦτον ἐθέρμανέ σου τὸ φίλτρον; τί πρὸς τὸ μύρον ὃ τοῦτο προσδοκᾷς παρ' αὐτοῦ λαβεῖν; ἡ δὲ πρὸς αὐτὸν λέγει· τί μοι λέγεις, ὦ ἄνθρωπε; ἀγνοεῖς, οὐκ οἶδας τί φθέγγῃ. ἔχω δύναμιν ἀντάξιον τοῦ μύρου, ᾧ καὶ οὐδὲν τί οὐδεὶς δύναται τούτῳ ἀντάξιον δοῦναι τοῦ ἀξιώματος· οὐδὲ αὐτὸς ὁ οὐρανός, οὔτε ἡ γῆ, οὔτε οὐδεὶς τῶν ἐν τῷ κόσμῳ τούτῳ συγκρίνεται τῷ ἐλθόντι πρός με. ὃν σὺ μὲν D εὐτελῆ θεωρεῖς, ἐκεῖνος δὲ καταξιώσας ὡς φιλάνθρωπος, τῶν ἁμαρτιῶν ἠλευθέρωσεν. οὗτος υἱὸς Δαβίδ ἐστι κατὰ σάρκα, διὰ τοῦτο καὶ εὐσημός ἐστι. περὶ αὐτοῦ γὰρ ἔλεγεν· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. οὗτος υἱὸς Θεοῦ· καὶ τοῦτον οὐκ εἶδον, ἀλλὰ ἀκούσασα περὶ αὐτοῦ, ἐτρώθην τῷ πόθῳ. τὸν Δαβὶδ Μελχὼλ ἡ τοῦ Σαοὺλ θυγάτηρ ἀγαπήσασα, τὰ βασίλεια κατέλιπε, καὶ τούτῳ πτωχεύοντι ἠκολούθησεν· ἐγὼ δὲ τὸν ἴδιον πλοῦτον πωλῶ, ὃν καὶ κακῶς τοῦτον E συνήγαγον, καὶ ἀγοράζω μύρον, καὶ προστρέχω τῷ ἐκ Δαβὶδ δι' ἐμὲ πτωχεύσαντι· καὶ λαβοῦσα ἡ πιστὴ πόρνη τὸ μύρον, ἔδραμεν ὡς κληθεῖσα εἰς τὸν οἶκον τοῦ Φαρισαίου. καὶ ὁ μὲν Φαρισαῖος ἰδὼν τὴν πόρνην κατέχουσαν τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ μυρίζουσαν, καὶ πᾶσαν τὴν οἰκίαν πληρωθεῖσαν τῆς εὐωδίας τοῦ μύρου, ὡς ἑαυτὸν ἐλογίζετο, καὶ ἔλεγεν· εἰ ἦν οὗτος προφήτης, ἐγίνωσκεν ἂν τίς ἡ γυνὴ ἡ ἁπτομένη αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. καὶ τὴν παῤῥησίαν τῆς πόρνης ἔψεγεν, ὡς ἀναισχύντως ἐγγισάσης καὶ ἁψαμένης αὐτοῦ· καὶ αὐτὸν τὸν Δεσπότην ἐμέμφετο, ὡς ἀσκέπτως δεχόμενον πάντας τοὺς προσιόντας αὐτῷ· καὶ ἄγνοιαν αὐτοῦ καταψηφιζόμενος ἔλεγεν ἐν ἑαυτῷ·

A ſtabilia, hæc deſiderabilia & æterna. Odio proſequere priſtinam mentem, unge unguento creatorem, blandire illi qui te ſalvam facere vult. Inveniſti amatorem potiorem omnibus, quos unquam habueris, amatoribus. Illos oſculata, multa tibi peccata cumulaſti, hunc ſi oſculata fueris priora peccata, quæ ex illis contraxiſti, ipſe condonabit. Ita ſecum ratiocinata in ædes irrepſit, aitque. Recedo à veteribus malis, & nova invenio bona. Vale dico, & abdico me malo, atque conjungor bono, audivi enim dicentem B Davidem, Accedite ad eum, & illuminamini: & Dominum ipſum dicentem, *Appropinquate mihi, & ego appropinquabo vobis.* Appropinquo & ego Deo, ſed vereor accedere peccatrix ad eum qui peccati expers eſt, lutum ad unguentum. Verum enimvero habeo miſericordiæ pignus vocem ejus dicentem: *Venite ad me omnes peccatores, & ego reficiam vos.* Proficiſcor igitur: non me probro afficit, non dicit mihi, Recede à me peccatrix: hactenus in tenebris vixiſti, & nunc me juſtitiæ Solem viſum veniſti? Verùm quid diſ- C fero? Accipiam unguentum, & ad eum pergam: Phariſæi domum mihi Baptiſterium faciam, & ex fluentis lacrymarum piſcinam mihi & lavacrum parabo. Ex alabaſtro unguenti ſigillum fidelium in fronte ſumam, & per pœnitentiam mundabor à peccatis meis, ac medicæ orationis opera laqueos evadam diaboli. Nihil eſt quod non ſpetem. Novi in veteri teſtamento Raab meretricem, quæ ad portam urbis domicilium peccati collocaverat: atqui ipſa cum Iſraëlis exploratores excepiſſet, mercedem hoſpitalitatis vitam ac- D cepit. Qui enim eam ſervavit Jeſus Nave Jeſu veri figuram geſſit. Optimum meretrici præmium propter exploratores Jeſu Nave filius largitus eſt. Si tum igitur Jeſu nomen ſalutem & peccatorum remiſſionem attulit; nunc verus Jeſus, & virgo, & ex virgine natus, meretricem hoſpitio excipientem, & unguento pedes ungentem, repellendam cenſebit, ac non potius peccatorum indulgentia donabit? Verùm tunc quidem Raab exploratores dimiſit; ego verò conſtanter teneo quem deſideraveram, non ut illa exploratorem E urbis, ſed ut *Epiſcopum animarum* omnium hominum. Ecce utique, ut dixi, tempus advenit, quod cernere optabam, illuxit mihi dies ſolque juſtitiæ & annus acceptabilis à Domino, & magna à Deo viſitatio. Verè namque *viſitavit nos Oriens ex alto, ut appareret iis qui in tenebris & in umbra mortis ſedent.* In Simonis ædibus diverſatur Dominus, pergam ad illum. Quid verò faciam? Plorabo ut ploravit Anna ſterilitatem? ſed me Simon quaſi ebriam reputabit, ut quondam etiam Heli Pontifex Annam. Sed mane- A bo tamen corde orans ad pedes Christi, & id faciens, lacrymas fundam. Huic puro meretricis ſanctoque propoſito auxiliata eſt fides, acceditque ad unguentorum venditorem, itaque ſermonem apud illum inſtituit. Quandoquidem magnus mihi amicus præ omnibus filiis hominum advenit, ſi eximium habes aliquod unguentum, da mihi, ut dignè offeram illi, qui merito ſuo à me diligitur, qui mihi cor, & intimas medullas igne quodam novo uſſit. Ne tibi ſit curæ pretium, etiamſi me opus ſit corpore & oſſibus ſatisfa- B cere, parata ſum, poſſum emere, ac dare, ut vel exiguum quid habeam, quod illi offeram, qui me ita mundare vult. Ille autem videns ardorem fidei, animique propoſitum, ait ipſi, Dic mihi quæſo quiſnam ille ſit, quem amas, qui adeo ſuo te amore inflammavit? quid hujus unguenti gratia te ab illo impetraturam exiſtimas? Tum illa reſpondit? Quid tu dicas mi homo, neſcis, non noſti quæ loqueris. Mihi quidem ille munus dare poteſt unguenti loco, cujus C pretium nullo unquam dono æquari poteſt. Ne cœlum quidem ipſum, neque terra, neque ullus eorum qui mundum incolunt, cum eo conferendus eſt qui ad me venit; quam tu quidem vilem intueris, at ille utpote benignus dignam exiſtimans, à peccatis liberavit. Hic filius eſt David ſecundùm carnem, propterea & conſpicuus eſt: nam de ipſo dixit, *Speciosus forma præ filiis hominum.* Hic filius eſt Dei, & eum non vidi, ſed de eo cùm audiſſem, amore vulnerata ſum. Davidem cùm amaret Melcho filia Saul, regiam dereliquit, D & eum egentem ſequuta eſt: ego verò divitias meas, magna contentione, licet perperam, congregavi: & emo unguentum, atque ad Davidis nepotem mea cauſa egenum factum accurro. Cumque accepiſſet fidelis meretrix unguentum, perinde quaſi vocata eſſet, ad ædes Phariſæi properavit. Ac Phariſæus quidem cùm meretricem videret Jeſu pedes tenentem, eoſque ungentem, totamque domum unguenti odore repletam, ſic apud ſe ratiocinabatur, dicebatque: *Hic ſi eſſet Propheta, ſciret utique quæ & qualis eſt mu-* E *lier quæ tangit eum, quia peccatrix eſt.* Et mulieris confidentiam vituperabat, ut quæ impudenter acceſſiſſet, cumque attigiſſet: & Dominum ipſum reprehendebat, ut qui inconſideratè omnes ad ſe accedentes exciperet. Ignorantiæ igitur eū condemnans apud ſe dicebat:

Jac. 4, 8.

Matth. 11, 28.

Joſ. 6.

1 Pet. 2, 25.

Luc. 1, 78.

Pſal. 44, 3.

1 Reg. 18.

Quid hoc rei eſt? Illum ego tanquam ex Prophetis unum ad prandium vocavi: & hanc, quam omnes, qui urbem incolunt, noverunt, quam quiſque perſpectam habet, iſte non novit. Si Propheta eſſet, ſciret quænam hæc mulier ſit. Chriſtus autem, qui ſcrutatur corda & renes, cogitationes Phariſæi videbat: In varias partes agitatis ejus conſiderationibus, fit intus tranquillitas Chriſtus, dixitque ipſi; *Simon habeo tibi aliquid dicere*: At ille ait, *Magiſter dic.* Ait ipſi: Dignum tibi reprehenſione viſum eſt, quod hanc peccatricem non ſum adverſatus, ſed exceperim; dignum tibi reprehenſione viſum eſt, quòd non abegerim, ſed juſtificarim: reprehendendum videtur, quòd non iratus fuerim, ſed placatus: reprehendendum videtur, quòd eam, quæ ob peccata ſua fugere volebat, revocarim? Cùm deberes potiùs gratulari lapſo & mox reſurgenti, dolorem inurunt tibi aliorum bona. Veruntamen non eſt rationi conſentanea reprehenſio tua: confer hoc cum eo quod tibi narraturus ſum. *Duo debitores erant cuidam fœneratori: unus debebat denarios quingentos, & alius quinquaginta. Cùm verò egeſtate premerentur, ambobus chirographa ſua ultro reddidit fœnerator. Quis ergo illorum plus diligere debet?* Ille autem ait: *Æſtimo quia is cui plus donavit.* Ait ipſi, *rectè judicaſti.* Deinde converſus ad mulierem ait Simoni, *Vides hanc mulierem*, de qua tu ſpem omnem abjeceras? *tu meos lavare pedes non es dignatus: hæc autem lacrymis pedes meos rigavit; oſculum mihi charitatis non dediſti, hæc autem non ceſſavit oſculari pedes meos: oleo caput meum non unxiſti, hæc autem unguento unxit pedes meos.* Verùm diſce o Phariſæe, quis ſit fœnerator & qui debitores. Ego ſum fœnerator duorum, tui, & illius, nec veſtri ſolùm, ſed & omnium mortalium. Ego omnibus largitus ſum gratis, quæ à me acceperunt; animam, ſpiritum, corpus, ſenſum, cognitionem, motum. Creditorem itaque à te repetentem in ſolidum, quæ accepiſti, ſi non habeas, unde reddas, ora ut debitum tibi donet: quòd ſi neque reddere poſſis, neque orare digneris, ut tibi donetur, licet non erubeſcas, dum garrulus es, & contendis; tace ut hæc meretrix, quæ multa numero eſſe videns debita ſua, dixit apud ſe, Quid dicam, aut quid reſpondebo? Si dicere velim non debeo, ſcit ipſe me debere, & à quo tempore referendis rationibus ſim obnoxia. Itaque cùm probè ſciret eum omnia noſſe, nullumque ex iis ſceleribus, quæ in ſe admiſerat, eum latere, ſilentio proceſſit lacrymans, & in corde ſuo omnia debita confeſſa, Deum placatum reddidit. Tace igitur & tu Phariſæe, ut tibi debitum Dominus condonet. Noli tu cùm reus ſis, condemnatam jam condemnare. Noli tu cùm vilis ſis, vilem vilipendere. Quieſce; neque enim aut tuis, aut illius rebus indigeo, ſed ambobus ut remitterem debitum, veni. Ego enim ſum ille humanus fœnerator duorum, neque tantùm vobis, ſed & omnibus, qui ſolvendo non fuerint, dummodo fateantur debitum, & poſtulent per pœnitentiam, ut ſibi remittam, donemque chirographum. Si quis ergo æs alienum contraxerit, accedat ad gratiam baptiſmi, & per eam à debito liberabitur. Agite ergo, ecce à debitis ſoluti eſtis, ab omni obligatione liberati per gratiam eſtis, ne vos primo jam reſciſſo, alio rurſus chirographo obnoxios reddatis. Veruntamen Domine dominator Jeſu Chriſte, quandoquidem ea quæ debeo tibi, unde reddam, neque habeo, neque poſſum: (meis ſiquidem multis ſceleribus tuam ſortem cum fœnore abſumpſi:) ne quæſo à me repetas, quæ mihi dediſti, animæ ſortem & corporis fœnus: quin potiùs pro tua humanitate leva me pondere debitorum meorum, mihique dic, ut meretrici, *Dimittuntur tibi peccata multa*: Tu enim ſolus es ſine peccato, bonus, & benignus, & peccata condonans, teque unum decet omnis gloria, honor, & adoratio, cum patre tuo qui principio caret, & omnino ſancto, bono, & vivifico ſpiritu, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

A ὦ τῶν πραγμάτων· ἐκάλεσα ἐπὶ δεῖπνον αὐτὸν ὡς ἕνα τῶν προφητῶν· καὶ αὐτὴν, ἣν πάντες οἴδασιν οἱ κατοικοῦντες ἐν τῇ πόλει, καὶ ἣν ἕκαστος ἐπίσταται, οὗτος οὐκ ἔγνω. εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς ἡ γυνή. ἀλλ' ὁ Χριστὸς ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, ἐθεώρει τοῦ Φαρισαίου τοὺς λογισμούς. καὶ σαλευομένων αὐτοῦ τῶν ἐνθυμήσεων, γίνεται αὐτοῦ ἔνδοθεν γαλήνη ὁ Χριστός· καὶ λέγει αὐτῷ· Σίμων, ἔχω σοί τι εἰπεῖν· ὁ δέ φησι· διδάσκαλε, εἰπέ. λέγει αὐτῷ· «
B μεμπτέον σοι ἐφάνη, ὅτι οὐκ ἐνέτριψα τὴν πόρνην, ἀλλ' ἐσκέπασα; μεμπτέον σοι ἐφάνη, ὅτι οὐκ ἀπεστράφην τὴν ἁμαρτωλὸν, ἀλλ' ἀπεδεξάμην; μεμπτέον σοι ἐφάνη, ὅτι οὐκ ἐδίωξα ἀλλ' ἐδικαίωσα; μεμπτέον σοι ἐφάνη, ὅτι οὐκ ὠργίσθην; ἀλλ' ἠπαλιώθην; μεμπτέον σοι ἐφάνη, ὅτι τὴν θέλουσαν φυγεῖν τῶν ἑαυτῆς ἀνομιῶν, ταύτην ἀνεκαλεσάμην; δέον σε χαρῆναι ἐπὶ τῷ πεσόντι καὶ ἀναστάντι, λυπῇ ἐπὶ τοῖς καλοῖς; ἀλλ' οὐκ εὔλογος ἡ μέμψις
C σου. σύγκρινον τοῦτο ὃ μέλλω σοι λέξειν. δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι, ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. τούτοις δὲ ἀπορήσασιν ἀμφοτέροις ἐχαρίσατο τὰ χειρόγραφα ὁ δανειστής. τίς οὖν αὐτῶν ὀφείλει πλεῖον ἀγαπᾶν; ὁ δὲ λέγει, ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. καὶ λέγει αὐτῷ, ὀρθῶς ἔκρινας. εἶτα στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα, τὴν ὑπό σου ἀπηγορευμένην; σὺ μὲν νίψαι τοὺς
D πόδας οὐ κατηξίωσας· αὕτη δὲ δάκρυσί μου τοὺς πόδας ἔβρεξε. φίλημά μοι ἀγάπης οὐ προσήγαγες· αὕτη δὲ οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. ἀλλὰ διδάχθητι, Φαρισαῖε, τίς ὁ δανειστὴς, καὶ τίνες οἱ χρεωφειλέται. ἐγώ εἰμι ὁ δανειστὴς τῶν δύο, σοῦ καὶ αὐτῆς· καὶ οὐ μόνον ὑμῶν, ἀλλὰ καὶ πάντων ἀνθρώπων. ἐγὼ πᾶσιν ἐχάρισα, ἅπερ καὶ ἔλαβον ἀπ' ἐμοῦ· ψυχὴν, πνοὴν,
E σῶμα, αἴσθησιν, γνῶσιν, κίνησιν. τὸν οὖν δανειστὴν, τὸν * οὐκ ἀπαιτοῦντά σε παραχρῆμα ἅπερ ἔλαβες, εἰς πλῆρες. ἂν μὴ ἔχῃς ἀποδοῦναι, ἱκέτευσον συγχωρῆσαί σοι τὸ δάνειον. εἰ δὲ οὔτε ἀποδοῦναι δύνασαι, οὔτε ἱκετεῦσαι ἀξιοῖς συγχωρηθῆναι, κἂν μὴ ἀναισχυντῇς πολυλογῶν καὶ ἀνθιστάμενος· σίγησον ὡς αὐτὴ ἡ πόρνη, ἥτις τὰ πολλὰ ἑαυτῆς εἰδυῖα χρέη, εἶπεν ἐν ἑαυτῇ· τί λαλήσω, ἢ τί ἀποκριθῶ, ἐὰν θελήσω εἰπεῖν, οὐ χρεωστῶ τὸ δάνειον, αὐτὸς πάντα
A οἶδε, καὶ πόσα χρεωστῶ αὐτὸς ἐπίσταται, καὶ ἀπὸ ποίων χρόνων ὑπεύθυνός εἰμι. διὰ τοῦτο ὡς εἰδυῖα, ὅτι πάντα οἶδε, καὶ οὐδὲν τῶν πεπραγμένων αὐτῇ κακῶν ἐστιν ὃ λανθάνει αὐτόν· σιγῇ προσῆλθε δακρύουσα, καὶ τῇ καρδίᾳ αὐτῆς πάντα τὰ χρέη ὁμολογοῦσα, ἐξημερώσατο τὸν Θεόν. σίγησον οὖν καὶ σὺ, Φαρισαῖε, ἵνα σοι χαρίσηται ὁ Κύριος τὴν ὀφειλήν. μὴ σὺ, κατάδικος ὢν, καταδίκαζε τὴν καταδεδικασμένην· μὴ σὺ εὐτελὴς ὢν, εὐτέλιζε τὴν εὐτελισμένην.
B ἡσύχασον· οὔτε γὰρ τῶν σῶν, οὔτε τῶν αὐτῆς χρείαν ἔχω· ἀλλ' ἀμφοτέροις ἦλθον τὴν ὀφειλὴν χαρίσασθαι. τῶν γὰρ δύο δανειστὴς φιλάνθρωπος ὑπάρχω, οὐ μόνον δὲ ὑμῶν, ἀλλὰ καὶ πᾶσι τοῖς μὴ ἔχουσιν ἀποδοῦναι· ἐὰν μόνον ὁμολογήσωσι τὸ χρέος, καὶ αἰτήσωνταί με συγχωρῆσαι αὐτοῖς διὰ μετανοίας τὸ χειρόγραφον. εἴ τις οὖν χρεωστῇ, καὶ προσελθέτω τῇ χάριτι τοῦ βαπτίσματος, δι' αὐτῆς ἐλευθεροῦται τοῦ χρέους. ὑπάγετε τοίνυν. ἰδοὺ τῶν χρεῶν ἀπελύθητε, πάσης ἐνοχῆς
C τῇ χάριτι ἠλευθερώθητε· μὴ πάλιν ἄλλο χειρόγραφον ἑαυτοῖς ἐπισυνάξητε, τοῦ πρώτου ἅπαξ σχισθέντος. ἀλλὰ, Κύριε Δέσποτα Ἰησοῦ Χριστὲ, ἐπειδὴ ἀποδοῦναί σοι ἃ χρεωστῶ, οὐκ ἔχω, οὐδὲ ἰσχύω [ἀπὸ γὰρ τῶν πολλῶν ἀνομιῶν μου καὶ τὸ κεφάλαιον σὺν τόκῳ κακῶς ἀνήλωσα] μὴ ἀπαιτήσῃς με, ἃ παρέσχες μοι, τὸ ψυχῆς τὸ κεφάλαιον, καὶ τὸ σαρκὸς τὸν τόκον· ἀλλὰ κούφισόν με τοῦ βάρους τῶν χρεῶν μου, ὡς φιλάνθρωπος, καὶ εἰπὲ κἀμοὶ ὡς τῇ πόρνῃ, ἀφέωνταί σου
D αἱ πολλαὶ ἁμαρτίαι. σὺ γὰρ εἶ μόνος ἀναμάρτητος, καὶ ἀγαθὸς, καὶ φιλάνθρωπος, καὶ συγχωρῶν ἁμαρτίας· καί σοι πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

In Sancta & Magna Paraſceve.

Eodem interprete.

Finitum jam nobis eſt jejunii certamen, deſiit autem in crucem. Quem enim alium nanciſci finem, victoriam oportuit, quàm ut tropæo terminaretur? Tropæum enim crux eſt, ſemel quidem defixum, ſed quod ſemper dæmones in fugam vertit: ubi enim nunc idola & inutilium animalium cædes? ubi templa, & impietatis ignis? extinctus eſt: omnia unius ſancti ſanguinis vi conciderunt. Eſt ergo crux poteſtas multum potens, telum inviſibile, medicina expers materiæ, fons extinctor laborum, gloria ſine dedecore, ita, ut licet alia infinita dicam de Chriſto, licet ſexcenta miracula enarrans attonitum reddam auditorem, non tantum illis, quantum cruce glorier, in exemplo liquido conſtabit.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ.

E Πεπλήρωται ἡμῖν λοιπὸν ὁ τῆς νηστείας ἀγὼν, ἔληξε δὲ εἰς σταυρόν. ποῦ γὰρ ἐχρῆν τῆς νίκης τὸ τέλος, ἢ ἐπὶ τρόπαιον λήγειν, τρόπαιον γὰρ ὁ σταυρός· ἅπαξ μὲν παγεὶς, ἀεὶ δαίμονας τρέπει. ποῦ γὰρ εἴδωλα, καὶ ζώων ματαίων οἱ φόνοι, ποῦ ναοὶ, καὶ δυσσεβείας πῦρ; ἐσβέσθη, πάντα δι' ἓν ἅγιον αἷμα πέπτωκε. καὶ ἔστι σταυρὸς πολυδύναμος δύναμις, βέλος ἀόρατον, φάρμακον ἄϋλον, πηγὴ λυσίπονος, ἀνονείδιστος δόξα. ὥστε κἂν μυρία ἕτερα λέγω περὶ Χριστοῦ, κἂν μυρία θαύματα διηγούμενος καταπλήξω τὸν ἀκροατὴν, οὐχ οὕτως ἐπ' ἐκείνοις, ὡς ἐπὶ σταυρῷ σεμνύνομαι. οὗ τι λέγων.

ἐν

ἐκ παρθένου προῆλθεν Ἰησοῦς· μέγα τὸ θαῦμα γάμον ὑπερβῆναι, καὶ φύσιν καινοτομῆσαι. ἀλλ' εἰ μὴ σταυρὸς ἦν, οὐκ ἂν ἐσώθη τοῖς ἔργοις ἡ πρώτη τοῦ παραδείσου παρθένος. νυνὶ δὲ ἐν τῷ τοῦ σταυροῦ καιρῷ, πρώτη σώζεται γυνή, τὸ παλαιὸν κακὸν νέοις χαρίσμασι θεραπεύουσα. ἀνέστη γὰρ νεκρὸς ἐν τῇ Γαλιλαίᾳ, ἀλλὰ πάλιν ἀπέθανεν· ἐγὼ δὲ διὰ σταυροῦ ἀναστάς, οὐκέτι δύναμαι πρὸς θάνατον πεσεῖν. ἔπλευσεν Ἰησοῦς τὴν θάλασσαν, Θεὸς ἐν σκάφῃ, τὸ ξύλον ἐφήμερον ἔσχηκε τὴν ὠφέλειαν. ἐγὼ δὲ ἔλαβον ξύλον αἰώνιον, ἀγαθόν, ᾧ κεχρημένος ἀντὶ πηδαλίου, τὰ πνευματικὰ τῆς πονηρίας ἀπωθοῦμαι κύματα. ἐτράφησαν πεντακισχίλιοι ὑφ' ἑνὶ τῷ τοῦ σταυροῦ συνθήματι. ποῦ οὖν τῆς τροφῆς τὰ λείψανα; πῶς ὁ μὴ παρών, τὰ τῶν παρόντων λείψανα λάβω; δώδεκα γὰρ ἦσαν περισσεύσαντες κλασμάτων κόφινοι· σύμμετρος ἡ χάρις. ἐσταυρώθη Χριστός, καὶ ἀεὶ τρεφόμεθα· καὶ κορεννύμενοι, πάλιν ζητοῦμεν, καὶ πλέον τὸ λειπόμενον· ἀζήμιος γὰρ ἡ χάρις. εὐφημείσθω ἡμέρα φωτὸς γεννητική, δι' ἣν αἱ λοιπαὶ ἡμέραι πρὸς εὐφροσύνην ἐκλήθησαν. πῶς; ἄκουε· Σήμερον Ἀδὰμ ἐπλάσθη τῇ ἕκτῃ ἡμέρᾳ, σήμερον μορφὴν ἐφόρεσε θείαν, σήμερον μικρὸς ἐν κόσμῳ συνέστη, σήμερον κυβερνήτης ὁ ἄνθρωπος καλὰ τῆς ἀνθρωπίνης κατέσχε πηδάλια, ζώων ἁπάντων ἡγεμονεύων. σήμερον ἐντολὰς ἔλαβεν αὐτεξουσίους, σήμερον ἐξέπεσε τοῦ παραδείσου, σήμερον πάλιν εἰσήχθη. ὦ πολυτρόπου ἡμέρας, ὦ πολυπενθοῦς, καὶ ἀπενθοῦς· ὦ πρωῒ μὲν λυπήσασα, ἑσπέρας δὲ εὐφράνασα, μᾶλλον δὲ ὦ πόσα θεραπεύσασα· σκυθρωπῶς ὑμῖν ὁμολογῶ, τοῖς παλαιοῖς ἐντυγχάνων πάθεσιν, ἀκούων τὸν Ἀδὰμ τῆς πατρῴας ἑστίας ἐκπεσόντα, ἄνθρωπον παραδείσου πολίτην ἄνευ γεωπονίας τρεφόμενον, ἄνευ ὄμβρου τρυφῶντα, μηδὲν ἱδρώτων, ἢ δικέλλης, ἢ πόνου ἢ μόχθων πρὸς ζωὴν δεόμενον, ἀειθαλέσι δένδρεσιν ἀγαλλόμενον, ἀπὸ ἀνθέων εἰς ἄνθη μεταβαίνοντα, ἀπὸ καρπῶν εἰς καρποὺς μετιόντα, τὰς ἐπιθυμίας ἀκολουθούσας τὴν χρείαν ἔχοντα, οὐκ ἔχοντα δὲ διὰ κάλλος τῶν ὁρωμένων ἤδη πρότερον τὰς χεῖρας ὑποβάλλειν. ἐδάκρυσα πολλάκις τὴν τοσαύτην μακαριότητα, αὐτὸν ἰδὼν ἐκπεσόντα. κοινὸν γὰρ ἦν τὸ πάθος, καὶ τοῦ ἡμετέρου γένους ἁπτόμενον. ἐπειδὴ δὲ τοῖς εὐαγγελίοις ἐνέτυχον, καὶ ἐλαβόμην ταύτης τῆς ἡμέρας [ἕκτη γὰρ ἦν κἀκείνη, καὶ αὕτη] ἀπώλεσά τε τὴν λύπην, καὶ λευχειμονῶ τῷ λόγῳ, καὶ λέγω ἐμαυτῷ καὶ ὑμῖν· ἀπέδρα ὀδύνη, λύπη, στεναγμός. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. ὥσπερ γὰρ ἰατρῶν παῖδες τὰς ὀφιώδεις πληγὰς ἰῶνται, ἐξ αὐτῶν ἐκχέοντες τὰ ἀλεξίκακα φάρμακα, καὶ σκευάσαντες, τὰς ἀφορμὰς τοῦ πάθους, τὸ πάθος πολεμοῦντες· οὕτως ὁ Σωτὴρ πάσαις τῶν κακῶν ἀφορμαῖς πρὸς ἀγαθὸν συνεχρήσατο, τὸ πικρὸν γλυκὺ καταστήσας, τὸ χολῶδες εἰς θεραπείαν μεταβαλών, τὸ δὲ θανάτου κέντρον κατ' αὐτοῦ περιστρέψας, τὴν τοῦ ξύλου βλάβην εἰς σωτηρίαν μεταθείς, ἡμέραν λαβὼν τὴν κόσμον πλήξασαν, καὶ ἡμέραν ἀντιδιδοὺς τὸν κόσμον εὐφράνασαν. ἐμοὶ μὴ πεισθῇς, ἀλλὰ τοῖς σοῖς ὀφθαλμοῖς· βλέπε τὴν παροῦσαν ἐκκλησίαν, καὶ πέπαυσο πρὸς ἡμᾶς ἐρίζων. ἡμέρα σταυροῦ, καὶ πάντες ἀγαλλόμεθα, καὶ νηστεύομεν ἀπὸ κακῶν, καὶ καθαρεύομεν ἅπαντα, τὰ ἔσω, τὰ ἔξω. οὗτος ὁ τῆς ἑορτῆς λόγος, οὗτος ὁ τῆς εὐφροσύνης τρόπος. μικρὰ λέγω τὰ τοῦ σταυροῦ δυνάμεως θαύματα· βλέψον πρὸς τὸν κύκλον τῆς οἰκουμένης, πόσαι κῶμαι, πόσαι πόλεις, πόσοι τόποι, πόσα ἔθνη, πόσαι νῆσοι, πόσοι ποταμοί, πόσοι αἰγιαλοί, πόσα γένη καὶ φυλαί, καὶ βαρβάρων γλῶσσαι· οὗτοι πάντες διὰ σταυρὸν ἀσιτοῦσι, τῇ ἐκείνου δυνάμει τὰ πάθη σταυρώσαντες. καὶ λύεται νὺξ πολλοῖς, καὶ οὐ λύεται τῆς νηστείας ὁ πόνος. καὶ νῦν ἵνα συνήλθομεν πάντες ἀκοῦσαι τι περὶ σταυροῦ, καὶ πληροῦμεν ἐκκλησίαν, καὶ ἀλλήλους ὠθοῦμεν, ἱδροῦντες, πονοῦντες, ἐπὶ μὲν δικαστῶν πολλάκις ἀξιούμενοι προεδρείας, ἐπὶ δὲ Ἰησοῦ ἡδέως ἑστῶτες· ὅτι καὶ Ἰησοῦς ἔστη δι' ἡμᾶς, ἵνα στήσῃ κακίας ῥεύματα. τί οὖν ἐπράχθη σήμερον; μὴ γὰρ ἁπλῶς ἡμᾶς παραδράμῃ τῆς ἡμέρας ταύτης τὰ θαύματα. φέγγος ἦν λοιπόν, καὶ αὐτὸ τὸ περίορθρον, καὶ εἰσάγεται δεδεσμευμένος τὰς χεῖρας εἰς τὸ πραιτώριον Πιλάτου. χεῖρας ποίας; τυφλῶν ἰατικάς, χωλῶν θεραπευτικάς. καὶ δάκτυλοι δεσμοῖς ἐσφίγγοντο βλέφαρα πλάσαντες, καὶ ὁ θεραπευτὴς τῆς φύσεως κατείχετο μὴ τὸ οἰκεῖον πληρῶσαι τῆς τέχνης ἔργον. ταῦτα Κυρίῳ ἀνταποδίδοται. ἐδέθη ὁ δεσμεύων νεφέλαις ὕδατα, ὁ λύων πεπεδημένους ἐν ἀνδρείᾳ, ὁ αἰχμαλώτοις ἄφεσιν χαριζόμενος· ἐδέθη ὁ Λάζαρον λύσας τῶν τοῦ θανάτου δεσμῶν· ἤχθη εἰς τὸ πραιτώριον, ὁ μυρίοις ἀγγέλοις δορυφορούμενος· παρίστη τῷ Πιλάτῳ ὁ τὸν οὐρανὸν θρόνον ἔχων· καὶ ἠνείχετο ἑλκόμενος ὁ δημιουργὸς παρὰ τῶν δημιουργημάτων, ὁ πλάστης ὑπὸ τοῦ πλάσματος, ὁ ποιητὴς ὑπὸ τοῦ ποιηθέντος. τί οὖν ἐπὶ τούτοις; τί γίνεται; καὶ αὐτοί, φησιν, οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. ὢ τῆς πολλῆς παρανομίας· φόνον ἀδικίας ἐργάζονται, καὶ εἰς τὸ πραιτώριον εἰσελθεῖν παραιτοῦνται,

A Ex virgine prodiit Jeſus: grande miraculum nuptias ſuperare, & naturam innovare. Atqui niſi crux fuiſſet, non ſervata fuiſſet operibus prima virgo paradiſi. Jam verò crucis tempore prima ſervatur mulier, quæ vetus malum novis largitionibus curat. Reſurrexit enim in Galilæa mortuus, ſed rurſus obiit. Ego autem per crucem ſuſcitatus à mortuis, non jam ampliùs morti poſſum occumbere. Navigavit Jeſus mare, Deus in navicula, lignum uno die uſui fuit. ego verò lignum accepi æternum, bonum, quo gu-B bernaculi loco utens ſpirituales nequitiæ fluctus repellam. Nutrita ſunt quinque millia ſub uno crucis ſigno: ubi ergo ciborum reliquiæ? Quo modo qui præſens non ſum, eorum qui adſunt, reliquias accipiam? Erant quippe duodecim fragmentorum cophini qui ſupererant. Congrua planè gratia. Crucifixus eſt Chriſtus, & ſemper nutrimur, & ſatiati rurſus quærimus, & amplius eſt quod ſupereſt. Eſt enim gratia illæſa. Laudetur dies quæ lucem peperit, per quam reliquæ dies ad lætitiam ſunt vocatæ. Quo id pa-C cto? Audi. Hodie formatus eſt Adam, ſexta die, hodierno die formam geſtavit divinam. Hodie in mundo parvus conſtitit mundus, hodie homo gubernator præclara humanæ naturæ arripuit gobernacula, princeps omnium animantium, hodie voluntaria ſuſcepit mandata, hodie excidit paradiſo, hodie rurſus introductus eſt. O diem varium! ô luctuoſum & luctu vacuum! O mane quidem triſtitiam afferentem, veſpere autem exhilarantem: vel potiùs, ô quàm multa ſanavit. Magno meo cum dolore fateor vobis, cùm D mihi veteres occurrunt calamitates: Adamum audiens paterna domo excidiſſe, hominem paradiſi civem abſque agricultura nutritum fuiſſe, abſque pluvia in deliciis verſatum, nihil ſudoribus, aut ligone, aut laboribus, aut fatigationibus ad vitam ſuſtentandam opus illi fuiſſe, arboribus gaudentem ſemper florentibus, à floribus in flores tranſeuntem, à fructibus ad fructus tranſilientem, uſum habuiſſe cupiditatibus obſequentem, ſæpe autem neſciviſſe cui potiſſimùm manus injiceret præ pulchritudine eorum quæ ſeſe E offerebant: ſæpenumero tantam fœlicitatem deflevi, cùm eum tot cetorem excidiſſe. Communis quippe erat calamitas, & quæ totum genus noſtrum attingebat. Poſtea verò quàm in Evangelia incidi, & in hujus dies conſiderationem reſtiti, (ſexta enim erat & illa, & hæc:) tum omnem abjeci triſtitiam, & ſermone lætitiam præ me tuli: ſic apud me cogitare cœpi, & apud vos effari: Jam dolor abſceſſit, triſtitia, gemitus: vetera tranſierunt; ecce nova facta ſunt omnia. Nam quemadmodum medici vulnera à ſerpenti-A bus illata, ex ipſis mutuati remedia, ſanare ſolent, & ipſa morbi materia ad morbum profligandum utuntur; ita Salvator noſter omnibus malorum occaſionibus ad bonum uſus eſt, amarum in dulce convertit, felleum ad curationem traduxit, mortis ſtimulum adverſus ipſam retorſit, ligni noxam in ſalutem tranſmutavit, diem aſſumpſit quæ mundum perculerat, & pro illa diem reddidit, quæ mundum exhilaravit. Mihi verò noli credere, ſed oculis tuis: hunc B intuere conventum, & nobiſcum contendere deſine. Dies eſt crucis, & gaudemus omnes, & jejunamus à malis, & puri ſumus in omnibus, in interioribus. Hæc eſt feſtivitatis ratio, hic lætitiæ modus. Parua dico virtutis crucis miracula. Intuere totum orbem terrarum, quàm multi pagi, quàm multæ urbes, quàm multa loca, quàm multæ nationes, quàm multæ inſulæ, quàm multa flumina, quàm multa litora, quam multæ ſint gentes & familiæ, & linguæ barbarorum: hi omnes propter crucem jejunant, ejus virtute ſuos C affectus crucifigentes, multiſque nox abſolvitur, neque tamen jejunii labor abſolvitur. Nunc etiam quid convenimus ad audiendum aliquid de cruce, & Eccleſiam implemus, noſq; invicem trudimus, ſudantes, laborantes. & quidem coram judicibus ſæpe in prima ſede collocati, coram Jeſu verò libenter etiam ſtantes: niſi quòd Chriſtus ſtetit propter nos, ut malitiæ fluenta ſiſteret? Quid igitur hodie factum eſt? non enim fas eſt nos aure ſurda hujus diei miracula præterire. Lux erat deinceps ipſumque diluculum. & introducitur vin-D ctis manibus in Prætorium Pilati. Quibus manibus? quæ cæcos ſanabant, claudos curabant: Et digiti vinculis obſtringebantur, qui palpebras efformarant: Et qui naturam curabat, colligabatur, ne proprium munus exequi poſſet. Ligatus eſt, qui ligat aquas in nubibus, qui ſolvit vinctos in fortitudine, qui captivis dimiſſionem largitur; Ligatus eſt, qui Lazarum ſolvit à vinculis mortis: pertractus eſt ad Prætorium, quem mille Angeli tanquã ſtipatores, ac ſatellites ſequuntur. Aſtitit coram Pilato is cujus thronus eſt cœlum & tentus E trahebatur à creaturis creator, opifex ab opificio, auctor ab opere. Quid ergo poſtea factum eſt? *Et ipſi non introierunt in Prætorium, ut non contaminarentur, ſed manducarent Paſcha.* O ingentem iniquitatem! cædem injuſtitiæ perpetrant, & in prætoriũ ingredi recu-

Job. 26. 8.
Pſal. 67. 7.
Eſa. 61. 1.
Joan. 11.
Joan. 18. 28.

ſunt, caventes ne contaminentur, qui jam contaminati ſunt, ovem A
ove redimentes. Judicium itaque ſubiit totius orbis terrarum Ju-
dex: expoſitus fuit teſtibus qui animarum teſtis eſt: & qui con-
didit, judicatur: Atque homines quidem judicium exercentes ſe-
debant, Deus autem ſtabat, & ſtans ſilebat, juxta veſtibulum homi-
num aſtans, cœleſtium dominus januarum. Interrogabat Pilatus,
fortè humanior quàm Judæi: quid fortè dico? res geſtæ id verum
Joan.18, comprobant. *Quam accuſationem affertis adverſus hominem hunc?*
29. Quis Deum poteſt accuſare? Cogor ſiquidem ex Pilati perſona B
loqui: Jeſus quippe tacebat, non quòd verbis indigeret Verbum:
ſed ne reſponſione Crucis coronam diſſolveret. An verò poſſeſ-
ſiones concupivit qui nihil poſſidet? domos alienas, *qui nunquam
habuit ubi caput reclinaret?* pecunias, qui proprios diſcipulos usq;
ad zonam nudavit? cùm non haberet aſinum alienum ſibi com-
paravit, ut veſtris liberis benediceret? Cauſam afferte, fingite, ju-
Joan. 18, ſtè è medio tollite. Reſponderunt ipſi Judæi: *Si non eſſet hic ma-*
30. *lefactor, non tibi tradidiſſemus eum.* Magna rerum demonſtratio, C
indefinita declaratio. Dic flagitium, neque per ambages protrahe
auditorem. Dixit eis Pilatus: *Accipite eum vos, & ſecundum le-
gem veſtram judicate.* Æquus judex rejiciebat onus in caput Ju-
dæorum: vos accipite ſceleris participem: Dicunt ei Judæi: *No-
bis non licet interficere quemquam.* Quomodo ergo Eſaiam inter-
fecistis, quomodo Zachariam, quomodo unumquemque ex Pro-
phetis? Enimvero non licet vobis interficere, non quia non vul-
tis, ſed quia non poteſtis. Jam enim erant tali poteſtate à Romanis D
privati. Lex ergo jam ſoluta eſt, in operibus quidem otioſa, in atra-
mento verò conſiſtens: eam verò ſolvit qui colligatus eſt Jeſus:
Tum Pilatus: *Ego nullam invenio in eo cauſam.* Non tu tantum
Pilate, ſed neque Judæi, neque cæci, neque mortui, neque ſol, ne-
que luna, neque mundus, neque juſti omnes Prophetæ, & marty-
Eſa. 53, 9. res, neque propheta qui dixit: *Qui peccatum non fecit, neque in-
ventus eſt dolus in ore ejus* omnes Pilato ſuffragantur in juſta ſenten-
tia ferenda: ſoli adverſantur Judæi, cum clamore accuſantes, & E
veritatem inobſcurare tumultu contendunt, illudque Iſaiæ di-
Eſa.5,2. ctum confirmant: *Expectavi ut faceret uvam, & fecit ſpinas; &
non juſtitiam, ſed clamorem.* Dum gererentur iſta, Pilatus neque
dicere, neque audire ob confuſum tumultum poterat, ſeque ad ſedi-
tionem vergebat: miſit enim ad ipſum uxor ejus egregia auxiliatrix,
Mat.27.19 quæ virum properantem retineret dicens, *Nihil tibi & juſto illi* Si-
quidem poſſis, ſalvum fac illum: ſi verò nequeas, ſalva temetipſum?
Pſal.25, 9. tantum non proferens illud Davidis eloquium: *Ne perdas cum A
impiis animam meam, & cum viris ſanguinum, vitam meam.* Nihil
tibi & juſto illi, multa enim paſſa ſum hodie, per ſomnium pro-
pter eum. Alter Joſeph, per inſomnia veritatem cernit. Judæorum
clamoribus teſtimonium ſuum opponit: conveniebat enim ut ipſi à
mulieribus ſuperarentur. Vicit eos Raab meretrix: vicit eos quæ
ſanguinis fluxum patiebatur; vicit eos Chananæa, & nunc rurſus
mulier contra illos. In anguſtias rediguntur: Reſpondent illi Ju-
Joan 19, 7. dæi: *Nos legem habemus, & ſecundum legem noſtram debet mori.* B
Quam verò legem? quibus dictionibus ſtabilitam? An fortè iis quæ
Eſa. 53, 7. hodie lectæ ſunt? *Tanquam ovis ad occiſionem ductus eſt: & ſicut
agnus coram tondente ſe obmutescens, ſic non aperit os ſuum. Ab
iniquitatibus populi mei ductus eſt ad mortem.* Has ego reperio
voces illi utiles, alibi nequaquam, unde conſtet jure occiſum eſſe Je-
ſum: Ingreſſus eſt Prætorium Pilatus iracundiæ cedens Judæorum,
extinguere contendens flammam inextinctam, ingreſſus eſt, & e-
greſſus eſt, vel potiùs ignem accendit. Exiit enim, ſecum habens C
Jeſum coronatum: quod ſpectaculum præter illorum voluntatem
apparuit, dum illis hoſtem jam coronatum oſtendit, jam victorem,
jam regio habitu conveſtitum. Nam illud quidem ignominiæ cau-
ſa fiebat, ſed nativæ tamen regiæ dignitatis ſubobſcurum erat indi-
cium. Ut autem viderunt eum, quem ſæpe viderant, quem nun-
quam viderant, quem ſemper videntes inflammabantur, propria
conſumpti flamma: cupientes enim, ſi fiant igne conſumpti clamorem
ſuum Sodomiticum ſuſtulerunt, & ſublati ſunt: Tolle tolle, crucifi-
ge eum. Vultis regem ut veſtrum crucifigam? Non habemus re- D
gem, niſi Cæſarem, ajunt. Abnegatio ſine perſequutione, impie-
Exod.32.4. tas poſt Ægypti mala: *Hi ſunt dii tui Iſrael, qui te eduxerunt è terra
Ægypti.* Non habetis regem, niſi Cæſarem, quis ergo vobis dux
viæ fuit in deſerto? aut quis aluit? quem proclamat Moſes dicens, *Do-*
Exod. 15, *minum regnans in ſeculum, & in ſeculum & ultra?* Quando ergo re-
18. gem veſtrum negaſtis, manete in poſterum ſine rege, ſervitutis jugũ
æternum trahentes. Hæc usque ad hanc horam geſta ſunt: videamus E
& reliquam diei partem: totus quippe ſanctus eſt, acceperunt eũ co-
Eſa.5,2. ronatum: quibus rebus? ſpinis, Judæorũ donis. *Expectavi, ut faceret
uvam, fecit autem ſpinas*; alapis cæſus eſt, verberatus eſt, flagella tu

A φυλαττόμενοι μὴ μιανθῶσιν οἱ ἤδη μεμιασμένοι, προβάτῳ τὸ
πρόβατον λύοντες. ἀνέμενε τοίνυν κριτήριον ὁ πάσης τῆς οἰκουμένης
κριτής· ἀνέμενε μάρτυρας, ὁ τῶν ψυχῶν μάρτυς· πλάσας, καὶ κρι-
νόμενος· καὶ ἄνθρωποι μὲν ἐκάθηντο δικάζοντες, Θεὸς δὲ εἱστήκει,
καὶ ἑστὼς ἐσιώπα, παρὰ τὰ πρόθυρα τῶν ἀνθρώπων ἑστώς, ὁ τῶν οὐρανί-
ων πυλῶν δεσπότης. ἠρώτησεν ὁ Πιλάτος, τάχα Ἰουδαίων φιλαν-
θρωπότερος. τί λέγω τάχα; δείξει τὰ πεπραγμένα τὴν ἀλήθειαν.
B τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; τίς ἔχει Θεὸν αἰτιάσα-
σθαι; ἀναγκάζομαι γὰρ τὰ Πιλάτου φθέγξασθαι. Ἰησοῦς γὰρ σιωπᾷ, οὐ λό-
γων ἀπορῶν ὁ λόγος, ἀλλὰ μὴ τῇ ἀποκρίσει λύσῃ τοῦ σταυροῦ τὸν στέφα-
νον. κτημάτων ἐπεθύμησεν ὁ ἀκτήμων; οἴκων ἀλλοτρίων, ὁ μη-
δέποτε ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι; χρημάτων, ὁ καὶ τοὺς οἰκείους
μαθητὰς ἄχρι τῆς ζώνης γυμνώσας; ὄνον οὐκ ἔχων, ἀλλότριον
ἐκτήσατο, ἵνα τοὺς ὑμετέρους παῖδας εὐλογήσῃ. εἴπατε τὴν πρόφα-
C σιν, πλάσατε, δικαίως ἀνέλετε. ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι·
εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. με-
γάλη πραγμάτων ἀπόδειξις, ἀόριστος ἀπόφασις. εἰπὲ τὴν κα-
κίαν, καὶ μὴ περιπλάνα τὴν ἀκρόασιν. λέγει αὐτοῖς ὁ Πιλάτος· λά-
βετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. εὐγνώμων ὁ κρι-
τής, ἀπέθετο τὸ βάρος κατὰ τῆς τῶν Ἰουδαίων κεφαλῆς. ὑμεῖς λάβετε
τῆς κακίας κοινωνόν. λέγουσιν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀπο-
D κτεῖναι οὐδένα. πῶς οὖν ἀνείλετε Ἡσαΐαν, πῶς Ζαχαρίαν, πῶς ἕκαστον
τῶν προφητῶν; ἀλλ' οὐκ ἔστιν ὑμῖν ἀνελεῖν· οὐ διὰ τὸ μὴ βούλεσθαι,
ἀλλὰ διὰ τὸ μὴ δύνασθαι. ἤδη γὰρ ἦσαν τῆς τοιαύτης ἐξουσίας παρὰ
Ῥωμαίων ἀφῃρημένοι. λέλυται τοίνυν ὁ νόμος ἤδη, ἐν μὲν πρά-
γμασιν ἀργῶν, ἐν δὲ μέλανι κείμενος· ἔλυσε δὲ αὐτὸν ὁ δεδεμένος
Ἰησοῦς. ὁ δὲ Πιλάτος, ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. οὐ σὺ
μόνον, ὦ Πιλάτε, ἀλλ' οὐδὲ Ἰουδαῖοι, ἀλλ' οὐδὲ τυφλοί, ἀλλ' οὐδὲ
E νεκροί, οὐδὲ ἥλιος, οὐδὲ σελήνη, οὐδὲ κόσμος, οὐδὲ οἱ δίκαιοι
πάντες προφῆται, καὶ μάρτυρες, οὐδὲ ὁ λέγων προφήτης, ὅς ἁμαρ-
τίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. πάντες
Πιλάτῳ συντρέχουσι δικαίαν φέροντες ψῆφον· μόνοι μάχονται Ἰου-
δαῖοι, κραυγῇ δικαζόμενοι, καὶ θορύβῳ τὴν ἀλήθειαν ἐπισκιάζειν
φιλονεικοῦντες, καὶ τὴν τοῦ Ἡσαΐου βεβαιοῦντες· ἔμεινα τοῦ ποιῆσαι στα-
φυλήν, ἐποίησε δὲ ἀκάνθας· καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. ἐν
A ὅσῳ ταῦτα ἐπράττετο, καὶ ὁ Πιλάτος οὔτε λέγειν, οὔτε ἀκούειν ἐδύνα-
το διὰ τὴν σύμμικτον ταραχήν, καὶ στάσιν ἐμελέτα. ἔπεμψε πρὸς
αὐτὸν ἡ γυνὴ αὐτοῦ, καλὴ βοηθός, ἐπὶ βέλτιον ἄνδρα κατέχουσα, Μη-
δέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ, λέγουσα· εἰ μὲν δύνασαι, σῶσον
αὐτόν· εἰ δὲ οὐ δύνασαι, σαυτὸν διάσωσον· μονονουχὶ λέγουσα τὸ τοῦ
Δαβὶδ λόγιον, μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν σου, καὶ
μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν σου. μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ·
πολλὰ γὰρ ἔπαθον κατ' ὄναρ δι' αὐτόν. ἄλλος Ἰωσήφ, διὰ τῶν ἐνυπνί-
B ων τὴν ἀλήθειαν ὁρῶν· ταῖς τῶν Ἰουδαίων κραυγαῖς ἀντιμαρτυρεῖ. ἔπρεπε
γὰρ αὐτοὺς ὑπὸ γυναικῶν ἡττᾶσθαι. ἐνίκησεν αὐτοὺς Ῥαὰβ ἡ πόρνη,
ἐνίκησεν αὐτοὺς ἡ αἱμορροοῦσα, ἐνίκησεν ἡ Χαναναία· καὶ νῦν πάλιν
γυνὴ κατ' αὐτῶν. στενοῦνται· ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, ἡμεῖς
νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν. ποῖον νόμον;
ποίαις λέξεσι βεβαιούμενον; τάχα ταῖς σήμερον ἀναγνωσθείσαις,
ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κεί-
C ροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἀπὸ τῶν
ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. ταύτας εὑρίσκω χρησίμους
ἐκείνοις τὰς συλλαβάς· ἀλλαχοῦ δὲ οὐδαμοῦ, Ἰησοῦν δικαίως σφαζ-
όμενον. εἰσῆλθεν ὁ Πιλάτος εἰς τὸ πραιτώριον, ἐνδιδοὺς τὸν Ἰου-
δαίων θυμόν, σβέσαι φιλονεικῶν ἄσβεστον φλόγα. εἰσῆλθε, καὶ
ἐξῆλθε· μᾶλλον τὸ πῦρ ἐξῆψεν. ἐξῆλθε γὰρ ἔχων τὸν Ἰησοῦν ἐστεφανω-
μένον· ἀβούλητον Ἰουδαίοις θαῦμα· δεικνὺς τὸν πολέμιον αὐτοῖς ἤδη
D στεφανωθέντα, ἤδη νενικηκότα, ἤδη βασιλικὸν σχῆμα περιβεβλη-
μένον. τὸ μὲν γὰρ ἦν γινόμενον ἐφ' ὕβρει· αἴνιγμα δὲ ἦν τῆς κατὰ φύσιν
βασιλείας. ὡς δὲ εἶδον αὐτόν, ὃν πολλάκις εἶδον, ὃν οὐδέποτε εἶδον,
ὃν ἀεὶ βλέποντες ἐφλέγοντο, τῷ οἰκείῳ δαπανώμενοι πυρί, θελή-
σαντες γὰρ οἱ ἐμπρηστὰ πυρίκαυστοι, ἐπῆραν αὐτῶν τὴν Σοδομιτικὴν
κραυγήν, ἐπῆραν, καὶ ἐπήρθησαν· ἆρον, ἆρον, σταύρωσον αὐτόν. τὸν βα-
σιλέα ὑμῶν θέλετε σταυρῶσαι; οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσα-
E ρα, φασίν. ἄρνησις χωρὶς διωγμοῦ, ἀθεΐα μετὰ τὰ Αἰγύπτου κακά·
οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ συνάγοντές σε ἐκ γῆς Αἰγύπτου. οὐκ
ἔχετε βασιλέα, εἰ μὴ Καίσαρα; τίς οὖν ὁδηγήσει ὑμᾶς ἐπὶ τῆς ἐ-
ρήμου; ἢ τίς ἔθρεψε; ὃν ἐπιβοᾶται Μωυσῆς, λέγων· Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι; οὐκοῦν, ἐπείπερ ἠρνήσα-
σθε τὸν ἑαυτῶν βασιλέα, μένετε λοιπὸν ἀβασίλευτοι, ζυγὸν δουλείας αἰώνιον ἕλκοντες. ταῦτα μέχρι ὥρας ἐπράχθη.
ἴδωμεν δὲ καὶ τὸ λειπόμενον μέρος τῆς ἡμέρας. πᾶσα γάρ ἐστιν ἁγία. ἔλαβον αὐτὸν ἐστεφανωμένον. τίσιν; ἀκάνθαις, τοῖς Ἰου-
δαίων δώροις. ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. ἐρραπίσθη, ἐτύπτη, μάστιγας ἔλαβεν· ἀλλὰ μη-
δὲν

δὲν ἐπαισχυνθείς. στῆθι μετὰ Ἡσαΐου, καὶ βλέπε Θεὸν τοῖς ἐκείνου βλεφάροις. τί οὖν ἐκεῖνός φησι; Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. οὐκ εἶχε κάλλος, οὐδὲ εἶδος, ὁ παντὸς κάλλους τεχνίτης. ἐθρήνει γὰρ τῶν Ἰουδαίων τὰ κακά. ἄνθρωπος, ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν· ἄνθρωπος, οὐ Θεός. ἄνθρωπος γὰρ ἦν, καὶ οὐ Θεὸς ὁ πληττόμενος. τίς οὖν οὗτος ὁ πολύπονος καὶ πολυώδυνος καὶ ὑπὸ πάντων βαλλόμενος; μήπως καὶ δικαίως ἃ πάσχει, πάσχει; οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται. ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. ἀλλὰ μὴ αἰσχυνοῦ τοῖς ἐπονειδίστοις ἀγαθοῖς. τοσαῦτα γὰρ παθὼν, ἔμεινεν ἀπαθής· ἐτραυματίσθη, ἐνεπτύσθη, τὰ αἴσχιστα ὑπέμεινε, καὶ ὁ αὐτὸς μένει ἔντιμος, ἔνδοξος, τῶν πεπληγμένων ὡς εἷς, φησὶν αὐτὸς ὁ Ἡσαΐας· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ ἐμαλακίσθη διὰ τὰς ἀνομίας ἡμῶν· κεῖται καὶ αὐτὸς, καὶ ἡμεῖς τετραυματισμένοι κείμεθα. τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. νεκρὸς, νεκρῶν ἰατρός· τετραυματισμένος, πολυπόνων ἀνθρώπων ἀντιφάρμακον. ἀλλ' ἕως πότε τὴν ἡμετέραν ἄδειαν περιπλοκαῖς, ὦ ἄνθρωπε; εἰπὲ σαφέστερον τὸ ζητούμενον. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος· χρηστὸν πρόβατον κακοῖς μαγείροις ἐκδοθέν. εἰ σφάττετε, ὦ Ἰουδαῖοι, μὴ κείρετε· εἰ δὲ κείρετε, φείσασθε προβάτου χρηστὰ καρποφοροῦντος. ἤγοντο δὲ καὶ ἄλλοι μετ' αὐτοῦ κακοῦργοι δύο. προήκει γὰρ ἡμῶν ὁ λόγος εἰς τὴν ἑνδεκάτην ὥραν τῆς ἡμέρας, ἵνα μηδεὶς τῆς ἑαυτοῦ ζωῆς ἀπαγορεύσῃ. καὶ ἐβουλόμην μὲν ὑπερβῆναι τὴν ἱστορίαν, διὰ τὸ πολλάκις αὐτὴν εἰρῆσθαι· ὁρῶ δὲ λῃστὴν ἀεί με βιαζόμενον. καὶ οὐ μέγα. καὶ γὰρ παραδείσου θύρας ἐβιάσατο, τὴν τέχνην εἰς σωτηρίαν μεταβαλών. εἱστήκει ἐπὶ τοῦ σταυροῦ ἀμνὸς, καὶ δύο λύκοι· ἀλλ' ὁ μὲν ἔμενεν ἐπὶ τῆς γῆς γνώμῃ· ὁ δὲ ἤδη μετεβάλλετο, μνήσθητί μου, λέγων, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ὢ τῆς δυνάμεως Ἰησοῦ. ὁ λῃστὴς ἤδη προφήτης ἀπὸ σταυροῦ κηρύσσων· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. τί γὰρ ὁρᾷς βασιλέως, ὦ λῃστά; ῥάπισμα, ἔμπτυσμα, ἥλους καὶ ξύλον, καὶ τὰ Ἰουδαίων σκώμματα, καὶ ἤδη τὴν λόγχην τῶν στρατιωτῶν γυμνουμένην. ἀλλ' οὐχ ὁρῶ, φησι, τὰ φαινόμενα· ἀγγέλους περιεστῶτας ὁρῶ, ἥλιον φεύγοντα, καταπέτασμα ῥηγνύμενον, τὴν γῆν τρέμουσαν, νεκροὺς ἤδη φυγὴν μελετῶντας· Ἰησοῦς πάντας δεχόμενος, ὁ καὶ τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν ἐλθοῦσιν ἐργάταις δοὺς τὸ αὐτὸ δηνάριον. ἀμὴν λέγω σοι [λάβε καὶ σὺ τὸ ἀμὴν, ὦ λῃστὰ, ὁ σήμερον λῃστὴς] σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ἐγώ σε ἐκβαλὼν, εἰσάγω· ὁ τὰς θύρας τοῦ παραδείσου κλείσας, ὁ ῥομφαίᾳ πυρίνῃ τειχίσας. ἂν γὰρ ἐγὼ μὴ εἰσάγω, μένουσιν αἱ θύραι κεκλεισμέναι. δεῦρο, ὦ λῃστὰ, τὸν διάβολον λῃστεύσας, καὶ κατ' αὐτοῦ στεφανωθείς. ἄνθρωπον ἰδὼν καὶ Θεὸν, προσκυνήσας, τὰ μὲν παλαιὰ ῥίψας ὅπλα, τὰ δὲ τῆς πίστεως ἀναλαβών. τούτων δὲ οὕτως ἐχόντων, καὶ πάντων ἁγιαζομένων, ἐκ μὲν αἰθέρος ἡλίου· ἐκ δὲ φυτῶν, ξύλου· ἐκ δὲ ζώων, χολῆς· ἐκ δὲ ὑφασμάτων, χιτῶνος ἀῤῥαφοῦς· ἐκ δὲ θαλάσσης, πορφυρᾶς στολῆς· ἐκ δὲ μετάλλων καὶ σιδήρου, λόγχης καὶ ἥλων· καὶ διδύμων πηγῶν, αἵματος καὶ ὕδατος προχυθέντος, ὁ Σωτὴρ τὸ ἑαυτοῦ ἐποίει. Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν. τίσιν ἄφεσις; Ἕλλησιν, Ἰουδαίοις, ξένοις, βαρβάροις, πᾶσιν ἁπλῶς. ἅπαξ γὰρ εἶπε, καὶ ἀεὶ τὸ ἔργον τελεῖται. μὴ γὰρ ἐπὶ τῶν πολεμίων μόνον ἄφες, εἶπε. καθ' ἕκαστον ἔτος λέγει, καὶ ἀεὶ λέγει, καὶ ὁ βουλόμενος λαμβάνει. συνῆλθον πάντες ἐπὶ τὸ πραιτώριον Πιλάτου· τί λέγοντες; οἴδαμεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. ὅλως οἶδας; ὅλως μέμνησαι ὅτι ἠγέρθη. ἀσφάλιζε τὸν τάφον· ἐμοὶ γὰρ ἀσφαλίζῃς. φρούρησον νεκρὸν, μὴ φύγῃ. ἔχετε, φησὶ, κουστωδίαν, ὑπάγετε· ἀσφαλίσασθε ὡς οἴδατε· ἀποκλείετε ὡς οἴδατε, ὡς οἴδατε σκευάσατε, ὡς οἴδατε φρουρήσατε· εἰ μὴ ἐφυλάξατε, ἐμοὶ προφάσεως λόγον καταλιμπάνετε. νυνὶ δὲ ὑμῖν αὐτὸν παραδίδωμι, ὅτε μὲν ἔζη παρ' ὑμῶν κατασχεθέντα, ὅτε δὲ ἀνῃρέθη, πάντας ὑμᾶς λαθόντα. μείνωμεν τοίνυν νήφοντες, ἵνα τὸν βαθὺν ὕπνον τῶν Ἰουδαίων ἴδωμεν, καὶ ταῖς ἐπουρανίαις στρατιαῖς συνεορτάσωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A lit, ſed nihil horum eum ferre puduit. Conſiſte cum Eſaia, & Deum aſpice illius palpebris. Quid ergo ait ille? Domine quis credidit auditui noſtro? *Vidimus eum, & non erat ei ſpecies, neque decor: ſed ſpecies ejus inhonorata, & deficiens præter filios hominum.* Eſa. 53, 2. Non habuit pulchritudinem, neque ſpeciem auctor omnis pulchritudinis: lugebat enim Judæorum mala, homo in plagis cùm eſſet, & ſciens ferre languorem. Homo non Deus: homo enim erat, non Deus is qui percutiebatur. Quis ergo ille multis labo- Secundum humanitatem, non ſecundum deitatem patitur Chriſtus

B ribus preſſus, multiſque doloribus, & ab omnibus exagitatus? num forte juſtè patitur ea quæ patitur? ille verò peccata noſtra ſuſtinet, & noſtra cauſa doloribus angitur. *Ego nullam invenio in eo cauſam.* Noli tamen ob ignominioſa bona erubeſcere. Etenim tam multa paſſus impaſſibilis manebat: vulneratus eſt, ſputis conſperſus eſt, turpiſſima quæque toleravit, & idem manet honore cumulatus, & gloria inſignis, quaſi unus ex percuſſis, ut inquit Eſaias. Luc. 23. *Et nos putavimus eum eſſe in dolore, & in plaga a Deo, & in afflictione. Ipſe* Eſa. 53, 4.

C *autem vulneratus eſt propter peccata noſtra, & infirmatus eſt propter iniquitates noſtras.* Itaque & ipſe, & nos ſaucii jacemus: *ejus livore nos ſanati ſumus.* mortuus, mortuorum medicus: ſaucius, ærumnoſorum hominum remedium. Sed quouſque tandem fiduciam noſtram per ambages protrahes, ô homo? dic paulo planiùs id quod quærimus. Ibidem & 1. Pet. 2. *Sicut ovis ad occiſionem ductus eſt, & quaſi agnus coram tondente mutus:* Bona ovis malis tradita coquis. Si jugulatis, Judæi, ne tondete: ſin autem tondetis, parcite ovi, quæ

D multa vobis utilia parit. *Ducebantur autem & alii duo nequam cum eo.* Luc. 23, 32. Decurrit enim oratio noſtra uſq; ad undecimam diei horam, nequis de ſua vita animum deſpondeat. Ac voluiſſem quidem hiſtoriam præterire, eo quòd illam ſæpe narraverimus, ſed video latronem, qui mihi vim ſemper infert: Neque id mirum: etenim ipſius etiam paradiſi portis vim attulit traducta arte ad ſalutem. Stabat in cruce agnus, cum duobus lupis. Verùm hic quidem animo in terris manebat, ille autem jam mutabatur: *Memento mei,* Luc. 23, 42.

E dicens, *cùm veneris in regnum tuum.* O quanta potentia Jeſu: latro jam Propheta, de cruce prædicat. Memento mei, Domine, cùm veneris in regnum tuum. Quid autem regis vides, ô latro? alapam, ſputum, clavos & lignum, & Judæorum ſubſannationes, & jam nudatam militum lanceam. At non cerno, inquit, quæ apparent: Angelos circumſtantes video, ſolem fugientem, velum ſciſſum, terram trementem, mortuos fugam jam meditantes: Jeſus omnes ſuſcipit, qui etiam iis operariis, qui circa undecimam ho-

A ram venerunt, eundem dat denarium. Amen dico tibi: (Accipe & tu, Amen, o latro, ô tu qui hodie latro es) hodie mecum eris in paradiſo. Ego qui ejeci, te introducam, ego qui paradiſi januas clauſi, qui gladio ignoto obſepivi aditum: niſi enim ego introducam, clauſæ manent januæ. Veni huc prædo qui diabolum deprædatus es, & contra ipſum coronatus es. Cùm hominem & Deum vidiſſes, adoraſti: vetera quidem arma projeciſti, quæ verò ſunt fidei, recepiſti. Quæ cùm ita ſe haberent, cumque omnia ſancti-

B ficata eſſent, ex æthere quidem ſol, è plantis lignum, ex animalibus fel; ex pannis textis, tunica indiviſa; ex mari autem purpurea veſtimenta; ex metallis & ferro, lancea & clavi; & gemini fontes ſanguinis & aquæ profuſæ, Salvator munere ſuo fungebatur: Pater dimitte illis peccatum. Quibus tandem remiſſio? Græcis, Judæis, peregrinis, barbaris, denique omnibus: ſemel enim dixit, & opus uſque perficitur, non enim tantùm de hoſtibus, dimitte, dixit. Singulis annis dicit, & ſemper dicit, & quicum- Matth. 27, 62.

C que vult, accipit. Convenerunt omnes ad Prætorium Pilati: quid dicentes? *Scimus quia ſeductor ille dixit adhuc vivens, Poſt tres dies reſurgam.* Planè ſcis? planè meminiſti quia reſurrexit. Muni ſepulchrum; mihi enim munis: cuſtodi mortuum, ne aufugiat. *Habetis, inquit, cuſtodiam: Ite, cuſtodite, ſicut ſcitis:* concludite ut ſcitis: componite ut ſcitis: cuſtodite ſicut ſcitis: niſi cuſtodiatis, mihi anſam excuſationis relinquitis. Nunc autem vobis eum trado, qui dum viveret, comprehenſus à vobis eſt: cùm

D verò à vobis occiſus eſt, omnes vos latuit. Permaneamus itaque ſobriè viventes, ut profundum Judæorum ſomnum videamus, & cum cœleſtibus exercitibus feſtum diem agamus in Chriſto Jeſu Domino noſtro, cui gloria & imperium nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

Εἰς τὴν Σαμαρεῖτιν, καὶ εἰς τὸ, ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν τῆς Σαμαρείας, λεγομένην Συχάρ.

Σήμερον ἡμῖν ὁ Χριστὸς τοὺς ἄθλους τῆς Σαμαρείτιδος ἀνεκήρυξεν. καὶ χρὴ τὸν πτωχὸν λόγον εἰς τὸ πέλαγος τῶν αὐτῆς κατορθωμάτων διαπλεῦσαι. ὁρῶ γὰρ αὐτῆς τὴν πίστιν, καὶ τὴν εἰ-

E

In Samaritanam: Et in illud, venit Jeſus in civitatem Samariæ, quæ dicitur Sychar.

FRONTONE DUCÆO interprete.

Samaritanæ certamina Chriſtus nobis hodie promulgavit, & Ex edit. Burdegalenſi 1604. inopem orationem noſtram oportet ad trajiciendum ejus recte factorum pelagus ſeſe accingere. Fidem enim ejus intueor, &

ſtatim laudationem ejus in medium afferre, ac vobiſcum encomiis celebrare mendicam illam, & opulentam; meretricem illam, & Apoſtolam; luxurioſam, & fidelem; multis nuptiis junctam, & multis viribus præditam; eam quæ multos corrupit, & quæ unigenitum Dei Verbum obſequiis demeruit, quæ inquinata fuit, & purgata; quæ ſitiebat, aquaſque vivas deſiderabat, & cœleſtium fluentorum gratiam conſequuta eſt. Quid enim ait Joannes Evangeliſta, qui myſteria ineffabilia intonuit? *Venit Jeſus in civitatem Samariæ, quæ dicitur Sychar, juxta prædium quod dedit Jacob Joſeph filio ſuo. Erat autem ibi fons Jacob. Jeſus ergo fatigatus ex itinere ſedebat ſic ſupra fontem. Hora erat quaſi ſexta. Venit mulier de Samaria haurire aquam. Dicit ei Jeſus: Da mihi bibere. Diſcipuli enim ejus abierant in civitatem, ut cibos emerent. Jeſus ergo fatigatus ex itinere.* Cur igitur Eſaias Propheta dicit: Deus magnus non eſuriet, neque ſitiet, neque fatigabitur: nec eſt inventio prudentiæ ejus? Sed & Matthæus Evangeliſta, in Evangelio ſecundum ipſum de eo ſcribit: Et cum jejunaſſet quadraginta diebus, & quadraginta noctibus, poſtea eſuriit. Similiter autem & Joannes Evangeliſta, ſicut audiebas paulo ante: Jeſus ergo fatigatus ex itinere ſedebat ſic ſupra fontem. Hora erat quaſi ſexta. Atque ille quidem eſuriiſſe Dominum ait, hic verò fatigatum etiam eum fuiſſe: at Eſaias Propheta declarat ex Spiritu ſancto loquens: Deus magnus non eſuriet, neque ſitiet, neque fatigabitur: nec eſt inventio prudentiæ ejus. Quo vero pacto poteſt apud iſtos conſenſus Evangeliorum & prophetiæ conſervari? Veruntamen neque Propheta mentitus eſt; abſit: neque Apoſtoli aliena à Spiritu ſancto & à prophetia ſcripſerunt: ſed quoniam Salvatoris noſtri magni Dei diſpenſatio geminam quandam & inuſitatam habuit connexionem, ex divinitate, inquam, & humanitate, ſecundùm ejus beneplacitum ac voluntatem; idcirco Propheta quidem divinitatis potentiam & amplitudinem prædicat; Apoſtoli verò & Evangeliſtæ veram corporis diſpenſationem exponunt. Jeſus ergo fatigatus ex itinere ſedebat ſic ſupra fontem. Hora erat quaſi ſexta. Venit mulier de Samaria haurire aquam. Dicit ei Jeſus: Da mihi bibere. Diſcipuli enim ejus abierant in civitatem, ut cibos emerent. Dicit ergo ei mulier illa Samaritana: Quomodo tu, Judæus cùm ſis, bibere à me poſcis, quæ ſum mulier Samaritana? Operæ pretium igitur eſt, dilectiſſimi, ut perquiramus, qua de cauſa & locum & horam & abſentiam diſcipulorum indicavit: locum, Sedebat juxta fontem: horam, Hora erat quaſi ſexta: diſcipulorum abſentiam, Diſcipuli enim ejus abierant in civitatem, ut cibos emerent. Cur igitur locum dixit? ego docebo. In ſpirituali venatione verſabatur, cujus cauſa in locum illum ſe contulerat, unde poterat prædam referre. Non vides quid faciant piſcatores? neque enim omnia maris loca percurrunt, ſed ad celebrem locum abeunt, in quo latitare piſces noverunt. Sunt enim multa in mari loca, quæ plus cæteris piſces alant. Ita nimirum & Dominus noſter Jeſus Chriſtus, juxta prophetiam magnus Deus, noverat, ut Deus, inde ſe poſſe prædam reportare, mulierem ſcilicet Samaritanam. Ut igitur dicebam, piſcatores ea loca inſident, unde ſperant piſcem ſe poſſe venari: ſic etiam Chriſtus in eum venit locum, unde poterat Samaritanam venari, & per ipſam ingentem hominum capturam parare. Ecce loci cauſam indicavi. Cur autem horam quoque dixit? ait enim, Fatigatus Jeſus ex itinere ſedebat ſic ſupra fontem. Hora erat quaſi ſexta. Audi ergo chariſſime de hora quoque. Egena quæpiam erat hæc Samaritana, quæ ſibi manuum labore ſemper victum quærebat, egena inquam, & corpore & pecuniis, at non ita religione atque animæ pietate. Sic igitur expergefacta currebat ad telam, propter opificium, unde & victum ſibi comparabat. Hora verò ſexta, quo tempore quieti à labore vacabant omnes, tum illa, cùm hydriam arripuiſſet, aquam advehebat. Noverat ergo, qui ſciebat omnia, Dominus, quam horam cæteri captandæ quieti dabant, illa ſolere iſtam advehendæ aquæ vacare; propterea ſexta hora Dominus abiit: quippe qui noverat eam ad aquam advehendam profectam, ſeque ſpiritualem hanc prædam poſſe venari. Quare verò diſcipulos ſuos ablegavit Dominus? Diſcipuli enim ejus, inquit Evangelium, abierant in civitatem, ut cibos emerent. Mulier illa paupercula quædam erat miſera, ut jam antea declaravimus, neque potuiſſet multorum ſatellitum numerum contueri: Quòd ſi magiſtri dignitatem vidiſſet, ac diſcipulorum comitatum, magiſtrum docentem circumſtantium, turbam, ordinem, dignitatem, ſpeciem, ſplendorem, ſubito fortaſſis aufugiſſet, ac præda periiſſet, accedere auſa non eſſet, piſcis ex retibus evaſiſſet, neque ſagena captus fuiſſet, imò reſiliiſſet:

κωμιαστικὸν αὐτῆς λόγον ἐξειπεῖν βούλομαι, καὶ μεθ' ὑμῶν ἐπαινέσαι τὴν πτωχὴν καὶ πλουσίαν· τὴν πόρνην, καὶ ἀπόστολον· τὴν ἄσωτον, καὶ πιστήν· τὴν πολύγαμον, καὶ πολυδύναμον· τὴν πολλοὺς μιάνασαν, καὶ τὸν μονογενῆ λόγον τοῦ Θεοῦ θεραπεύσασαν· τὴν μιανθεῖσαν, καὶ καθαρισθεῖσαν· τὴν διψήσασαν, καὶ ὑδάτων ζώντων ἐπιθυμήσασαν, καὶ τὴν ἐπουρανίων ναμάτων τὴν χάριν κληρονομήσασαν. Τί γάρ φησιν ὁ εὐαγγελιστὴς Ἰωάννης, ὁ τὰ ἄρρητα βροντήσας μυστήρια; Ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν τῆς Σαμαρείας, λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη· ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας, ἀντλῆσαι ὕδωρ, λέγει αὐτῇ ὁ Ἰησοῦς, δός μοι πιεῖν· οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι· ὁ οὖν Ἰησοῦς κεκοπιακώς. Τί οὖν Ἡσαΐας ὁ προφήτης λέγει; ὁ Θεὸς ὁ μέγας οὐ πεινάσει, οὐδὲ μὴ διψήσει· οὐδὲ μὴ κοπιάσει· οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ; ἀλλὰ καὶ εὐαγγελιστὴς Ματθαῖος περὶ αὐτοῦ ἐν τῷ καθ' αὐτὸν εὐαγγελίῳ γράφει· καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασεν· ὁμοίως δὲ καὶ εὐαγγελιστὴς Ἰωάννης, καθὼς ἀρτίως ἠκούσας, λέγει· ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη· καὶ ὁ μὲν λέγει, ὅτι ἐπείνασεν· ὁ δὲ ὅτι καὶ ἐκοπίασεν· ὁ δὲ προφήτης δηλοῖ Ἡσαΐας πνεύματι ἁγίῳ φθεγγόμενος· ὁ Θεὸς ὁ μέγας οὐ πεινάσει· οὐδὲ μὴ διψήσει· οὐδὲ μὴ κοπιάσει· οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ· καὶ πῶς δύναται παρὰ τούτοις ἡ ὁμοφωνία διασώζεσθαι τῶν τε εὐαγγελίων καὶ τῆς προφητείας; πλὴν οὔτε ὁ προφήτης ἐψεύσατο· μὴ γένοιτο· οὔτε οἱ ἀπόστολοι ἀλλότρια τοῦ ἁγίου πνεύματος ἔγραψαν, καὶ τῆς προφητείας· ἀλλ' ἐπειδὴ ἡ τοῦ σωτῆρος ἡμῶν τοῦ μεγάλου Θεοῦ οἰκονομία διπλῆν τινα, καὶ παράδοξον εἶχε συμπλοκήν, ἐκ θεότητος λέγω καὶ ἀνθρωπότητος, κατὰ τὴν αὐτοῦ εὐδοκίαν καὶ βούλησιν· διὰ τοῦτο ὁ μὲν προφήτης τῆς θεότητος τὴν δύναμιν ἐξαγγέλλει, καὶ τὴν μεγαλειότητα· οἱ δὲ ἀπόστολοι καὶ εὐαγγελισταὶ τὴν τοῦ σώματος οἰκονομίαν ἀληθῆ διαγορεύουσιν. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη· ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ· λέγει αὐτῇ ὁ Ἰησοῦς, δός μοι πιεῖν· οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσι· λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις. πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; ἀναγκαῖον οὖν ἐστιν, ἀγαπητοί, ἐπιζητῆσαι διὰ τί καὶ τὸν τόπον ἐσήμανε, καὶ τὴν ὥραν, καὶ τὴν τῶν μαθητῶν ἀπόλειψιν· τὸν τόπον, ἐκαθέζετο παρὰ τῇ πηγῇ· τὴν ὥραν, ὥρα ἦν ὡσεὶ ἕκτη· τῶν μαθητῶν τὴν ἀπόλειψιν, οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. τίνος οὖν ἕνεκεν τὸν τόπον εἶπεν; ἐγὼ λέξω· θήραν εἶχε πνευματικήν, δι' ἣν καὶ ἀπῆλθεν εἰς τὸν τόπον ἐξ οὗ εἶχε τὴν θήραν ἑλκύσαι. οὐχ ὁρᾷς ὅπως ποιοῦσιν οἱ ἁλιεῖς, ὅτι οὐ πάντα τόπον διατρέχουσι τῆς θαλάσσης, ἀλλ' εἰς τόπον φανερόν, ἔνθα ἂν γινώσκωσι τοὺς ἰχθύας ἐνεδρεύοντας· εἰσὶ γὰρ πολλοὶ τόποι κατὰ θάλασσαν μᾶλλον τῶν ἄλλων τοὺς ἰχθύας διατρέφοντες. οὕτω δὴ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ μέγας Θεὸς κατὰ τὴν προφητείαν ᾔδει ὡς Θεός, ὅτι ἐκεῖθεν ἠδύνατο λαβεῖν τὴν θήραν, τουτέστι τὴν γυναῖκα τὴν Σαμαρεῖτιν. ὥσπερ οὖν εἶπον, οἱ ἁλιεῖς τοῖς τόποις ἐκείνοις ἐνεδρεύουσιν, ὅθεν καὶ τῶν ἰχθύων ἐλπίζωσι θηρεῦσαι· οὕτω καὶ ὁ Χριστὸς ἦλθεν εἰς τὸν τόπον, ὅθεν τὴν Σαμαρεῖτιν εἶχε θηρεῦσαι, καὶ δι' αὐτῆς μεγάλην ζωγρείαν ἀνθρώπων ἀπεργάσασθαι. ἰδοὺ, τοῦ τόπου τὴν αἰτίαν ἑρμηνεύσα. διὰ τί δὲ καὶ τὴν ὥραν εἶπεν; φησὶ γάρ, ὁ Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη. ἄκουε τοίνυν, ἀγαπητέ, καὶ περὶ τῆς ὥρας· πτωχή τις ἦν ἡ Σαμαρεῖτις διὰ παντὸς ἐκ τῶν χειρῶν αὐτῆς τρεφομένη, πτωχὴ δὲ καὶ τῷ σώματι καὶ τοῖς χρήμασιν, ἀλλ' οὐ τῇ τῆς ψυχῆς εὐσεβείᾳ· οὕτως οὖν ἐγειρομένη ἐπὶ τὸν ἱστὸν διέτρεχε διὰ τὴν ἐργασίαν, ὅθεν καὶ τὴν τροφὴν ἐπραγματεύετο. ἀλλ' ἐν ὥρᾳ ἕκτῃ, ὅταν πάντες πρὸς ἀνάπαυσιν ἠσχολοῦντο, τότε ἐκείνη τὴν ὑδρίαν λαμβάνουσα, τὸ ὕδωρ ἐκόμιζεν. ᾔδει οὖν ὁ τὰ πάντα ἐπιστάμενος Κύριος, ὅτι τὴν ὥραν ἣν πάντες πρὸς ἀνάπαυσιν εἶχον, ἐκείνη πρὸς τὸ κομίζειν τὸ ὕδωρ ἑαυτὴν ἀπησχόλει· καὶ διὰ τοῦτο ὥραν ἕκτην ἀπῆλθεν ὁ Κύριος, ὅτι ἐγίνωσκεν, ὅτι ἀπέρχεται κομίσαι τὸ ὕδωρ, καὶ δύναται θηρεῦσαι τὴν πνευματικὴν ταύτην θήραν. καὶ τίνος ἕνεκεν τοὺς μαθητὰς αὐτοῦ ὁ Κύριος ἀπεπέμψατο; οἱ γὰρ μαθηταὶ αὐτοῦ, φησὶ τὸ εὐαγγέλιον, ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. ἡ γυνὴ πτωχή τις ἦν ἐλεεινή, ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν, μὴ ἰσχύουσα πρὸς δορυφορίαν πολλῶν ἀντιβλέψαι· καὶ εἰ ἐθεάσατο ἀξίωμα διδασκάλου, καὶ μαθητῶν περιβολήν, τὸν διδάσκαλον, τοὺς διδασκομένους, τὸν ὄχλον, τὴν τάξιν, τὸ ἀξίωμα, τὸ σχῆμα, τὸ ἐπίσημον, εἶχεν ἂν εὐθὺς ἀποφυγεῖν, καὶ ἀπώλετο ἡ θήρα· οὐκ ἐτόλμα προσελθεῖν, καὶ ὁ ἰχθὺς ἀπὸ τῶν δικτύων ἐξέφυγε, καὶ οὐκ ἐσαγηνεύετο, ἀλλ' ἀπεπήδα

πῆδα. Διὰ τοῦτο ἀπεπέμψατο τοὺς μαθητὰς εἰς τὴν πόλιν· ἀπελθόντες γάρ, φησιν, ἀγοράσατε βρώματα· ὑμεῖς ἀπελθόντες ἀγοράσατε, ἐγὼ ἕτερον ἄριστον ἔχω· ἐμὸν γὰρ βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. ὑμεῖς τὰ σαρκικά, ἐγὼ τὰ πνευματικά· ὑμεῖς ἀγοράσατε, ἐγὼ γὰρ ἐξηγόρασα· Χριστὸς ἡμᾶς ἐξηγόρασεν, ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, φησὶ τὸ σκεῦος τῆς ἐκλογῆς Παῦλος· δι' ὑδάτων βούλομαι θηρεῦσαι τὴν πνευματικὴν ταύτην ἁλιείαν. ἔμαθες διὰ τί καὶ ὁ τόπος, καὶ ἡ ὥρα, καὶ ἡ τῶν μαθητῶν ἀπόλειψις· οὐκοῦν ἀναγκαῖον λοιπὸν ἄρξασθαι τῆς ἑξῆς. ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ· ἔρχεται ἡ Σαμαρεῖτις ἀντλῆσαι ὕδωρ ὥραν ἕκτην, παυσαμένη τοῦ ἱστοῦ, ἐπὶ τὸ ὑδρεύσασθαι ὕδωρ τῇ ὥρᾳ τῆς ἀναπαύσεως, καί, ὡς πολλάκις εἴρηται, ὥρα ἕκτη. ἐπειδὴ καὶ ἡ Εὔα ὅτε ἐν τῷ παραδείσῳ παρέβη τὴν ἐντολήν, ὥρα ἦν ὡσεὶ ἕκτη· καὶ διὰ τοῦτο ἡ Σαμαρεῖτις ἐσώθη ἐν τῇ πηγῇ τῇ αὐτῇ ὥρᾳ ἕκτῃ· εἶτα λοιπὸν ἦλθεν ἡ Σαμαρεῖτις ἀντλῆσαι ὕδωρ, καὶ βλέπει τὸν Ἰησοῦν ὡς ἕνα ξένον, καὶ μόνον ὡς ὁδοιπόρον ἀποκαυματῆσαι βουλόμενον, καὶ παρὰ τῇ πηγῇ καθεζόμενον, εἶδεν ἄνδρα καταπεφρονημένον, καὶ οὐδὲ λόγον αὐτοῦ ἐποιήσατο· ἀλλ' αὐτὸς ὁ τὰ πάντα ἐπιστάμενος Θεός, πρὶν γενέσεως αὐτῶν, θεασάμενος τὸν θησαυρὸν τῆς πίστεως, λέγει, δός μοι πιεῖν. ἡ πηγὴ τῆς ζωῆς παρὰ τὴν πηγὴν καθεζόμενος πιεῖν ἀπαιτεῖ, οὐ πιεῖν, ἀλλὰ δοῦναι βουλόμενος· δός μοι πιεῖν, ἵνα σοι δώσω ὕδωρ ἀφθαρσίας πιεῖν· ἐγὼ γὰρ τὴν σωτηρίαν τῶν ἀνθρώπων διψῶ· οὐχ ἵνα πίω, ἀλλ' ἵνα ποτίσω. ἐμιμησάμην τὸν οἰκεῖον πατέρα· λέγει γὰρ ὁ Θεὸς πρὸς Ἀβραάμ· δός μοι τὸν υἱόν σου· ἀνένεγκέ μοι Ἰσαὰκ τὸν υἱόν σου τὸν ἀγαπητόν, τὸν μονογενῆ, εἰς ὁλοκάρπωσιν ἐπὶ ἓν τῶν ὀρέων, ὧν ἄν σοι δείξω· ἀλλ' οὐ τὸν υἱὸν θέλων λαβεῖν, τοῦτο εἴρηκεν, ἀλλὰ βουλόμενος τὸν ἴδιον υἱὸν τῇ οἰκουμένῃ χαρίσασθαι· φησὶ γὰρ ὁ τῆς βροντῆς υἱὸς ὁ θεσπέσιος Ἰωάννης· οὕτως γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον· ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. δός μοι τὸν μονογενῆ· ἵνα χαρίσωμαι τῷ κόσμῳ τὸν μονογενῆ· θῦσον τὸν υἱόν σου, οὐχ ἵνα θύσῃς, ἀλλ' ἵνα θύσω τὸν υἱόν μου τὸν μονογενῆ ὑπὲρ τῆς κόσμου σωτηρίας θυσίαν ζῶσαν, εὐάρεστον, ἁγίαν· οὕτω καὶ ἐνταῦθα· δός μοι πιεῖν, οὐχ ἵνα πίω, ἀλλ' ἵνα ποτίσω. λέγει αὐτῷ ἡ γυνή· πῶς σὺ Ἰουδαῖος ὤν, παρ' ἐμοῦ πιεῖν αἰτεῖς, γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. ἀκριβὴς ἡ γυνή· ἐν τούτοις ἡ πόρνη φιλοτιμεῖται· ἐν τούτοις ἡ πόρνη τὴν φυλακὴν τοῦ νόμου δείκνυσι· τοιοῦτον τυγχάνει τὸ τῶν Σαμαρειτῶν γένος· ἐν πορνείαις μιαίνονται, καὶ ἐν βαπτίσμασι καθαρίζεσθαι νομίζουσιν. πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις; τὴν ψυχὴν κηλίδος πληροῦσι, καὶ τὸ σῶμα ἀποσμήχειν δοκοῦσιν· οὕτω καὶ ἡ Σαμαρεῖτις τὴν ψυχὴν ἐν πορνείαις πεφυρμένην ἔχουσα περὶ πόσεως ὑδάτων δικάζεται. τί οὖν ὁ Ἰησοῦς οὐκ ἀπεσείσατο αὐτήν; οὐκ εἶπεν αὐτῇ· ἐγὼ Θεός εἰμι ἐκ Θεοῦ· ἐγὼ τὸν οὐρανὸν ἐστερέωσα, καὶ τὴν γῆν ἐθεμελίωσα· καὶ περὶ ὑδάτων, καὶ πόσεως δικάζῃ μοι, καὶ ταῦτα γυνὴ ταῖς ἁμαρτίαις μεμιασμένη; ἀλλὰ τί; εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν· σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν· εἶδες πῶς κατ' ὀλίγον διήγειρεν αὐτῆς τὸν πόθον εἰς ἐπιθυμίαν; εἰπών, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν· σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. τί οὖν πάλιν πρὸς αὐτὸν ἡ γυνή; Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ; μεγάλην τινὰ φαντασίαν εἶχεν ἡ γυνὴ περὶ τοῦ πατριάρχου Ἰακώβ· προσέχετε, παρακαλῶ· μετὰ πάσης ἀκριβείας ὑπόληψιν μεγάλην εἶχεν περὶ τοῦ Ἰακὼβ ἡ Σαμαρεῖτις γυνή, καὶ μεγάλην εἶχε τὴν δόξαν περὶ αὐτοῦ, ὡς περὶ πατριάρχου, ὡς περὶ δικαίου. ἐπειδήπερ οὗτος ἐγένετο τῶν δώδεκα πατριαρχῶν πατήρ· αἱ γὰρ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ ἐκ τοῦ Ἰακὼβ ἐγένοντο· οὐ μόνον δὲ τοῦτο, ἀλλ' ὅτι καὶ ἐπάλαισε μετὰ Θεοῦ, καὶ εὑρέθη δυνατός. ὡς καὶ τὸν Θεὸν εἰπεῖν πρὸς αὐτόν· ἀπόλυσόν με, διότι ἀνέβη ὁ ὄρθρος. καὶ Θεὸς μετὰ ἀνθρώπου παλαίων, ἔλεγεν· ἀπόλυσόν με, διότι φίλος μου εἶ, καὶ ἀνέβη ὁ ὄρθρος· ὁ δέ, οὐ μή σε ἀπολύσω, ἐὰν μή με εὐλογήσῃς· τί τοῦτο δηλοῖ, καὶ τίς ἡ πάλη τοῦ Θεοῦ μετὰ ἀνθρώπου, ἢ ὅτι τὴν καθ' ἡμᾶς δι' ἡμᾶς ἔμελλεν ἐνδύσασθαι σάρκα; τί οὖν ὁ Θεὸς πρὸς αὐτόν; οὐκ ἔτι κληθήσῃ Ἰακώβ· ἀλλ' ἔσται τὸ ὄνομά σου Ἰσραήλ, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ· μεγάλην οὖν εἶχεν ὑπόληψιν περὶ τοῦ πατριάρχου ἡ γυνή· διὰ τοῦτο ἔλεγε τῷ Κυρίῳ, μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς δέδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν, καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ; τί οὖν ὁ Χριστός; βλέπε τὴν σοφίαν τοῦ Δεσπότου· βλέπε τὴν ἐπιείκειαν τοῦ διδασκάλου· οὐκ εἶπεν αὐτῇ,

A propterea diſcipulos in civitatem ablegavit: Abeuntes enim, inquit, emite cibos : vos abeuntes emite, ego aliud prandium habeo : *Meus enim cibus eſt, ut faciam voluntatem ejus qui miſit me, & perficiam opus ejus* : vos carnalia, & ego ſpiritualia : vos emite, nam ego redemi : *Chriſtus nos redemit de maledicto legis, factus pro nobis maledictum*, inquit vas electionis Paulus : Per aquas hanc ſpiritualem piſcaturam venari volo. Didiciſti cur locus notatus ſit, & hora, & diſcipulorum abſentia : itaque operæ pretium eſt, ut deinB ceps ad ea quæ ſequuntur, aggrediamur. Venit mulier de Samaria, ut aquam hauriret, hora ſexta, cùm ab opificio telæ conquieviſſet, ad aquandum hora intermiſſionis à labore, atque ut ſæpe dictum eſt, hora ſexta : quandoquidem & cùm Eva mandatum in paradiſo transgreſſa eſt, hora erat quaſi ſexta, ideoque Samaritana ſervata eſt in fonte eadem ſexta hora. Deinde verò Samaritana venit, ut aquam hauriret : & Jeſum tanquam hoſpitem quemdam vidit, ac ſolum tanquam viatorem, qui levare vellet æſtum, & juxta fontem C ſederet : vidit hominem contemptum, nec illum magni fecit : at ipſe qui cuncta novit, priuſquam in lucem edantur, fidei theſaurum contemplans, Da mihi bibere, inquit. Fons vitæ, juxta fontem ſedens bibere poſcit, non bibere volens, ſed potum dare. Da mihi bibere, ut tibi dem bibendam aquam immortalitatis. Ego enim ſalutem mortalium ſitio; non ut bibam, ſed ut potum præbeam. Patrem imitor meum: ſic enim ait Deus ad Abraham; Da mihi filium tuum; offer mihi filium tuum Iſaac dilectum, unigeD nitum, in holocauſtum, ſuper unum montium, quem oſtendero tibi. Non quòd accipere filium vellet id dixit : ſed quod proprium filium orbi terrarum largiri vellet. Nam ut ait tonitrui filius divinus Joannes: *Sic Deus dilexit mundum, ut filium ſuum unigenitum daret: ut omnis qui credit in ipſum, non pereat, ſed habeat vitam æternam.* Da mihi unigenitum, ut mundo largiar unigenitum : immola filium, non ut immoles, ſed ut filium meum unigenitum immolem E pro ſalute mundi. *hoſtiam viventem, placentem, ſanctam.* Ita hîc quoque, Da mihi bibere, non ut bibam, ſed ut potum præbeam. Dicit ei mulier : *Quomodo tu Judæus cùm ſis, bibere à me poſcis, quæ ſum mulier Samaritana? non enim coutuntur Judæi Samaritanis.* Acuta mulier : in his meretrix laudem quærit; in his meretrix obſervationem præ ſe fert legis. Tale Samaritanorum eſt genus : in ſcortationibus polluitur, & in baptiſmatibus purgari ſe arbitrantur. Quomodo tu Judæus cùm ſis, bibere à me A poſcis, quæ ſum mulier Samaritana? non enim coutuntur Judæi Samaritanis. Animam ſordibus replent, & corpus videntur abſtergere : ſic & Samaritana cùm animam ſcortationibus inquinatam habeat, de aquarum potu litigat. Itaque Jeſus illam à ſe non repulit : non dixit; Ego Deus ex Deo ſum : ego cœlum firmavi, terramque fundavi; & tu mecum de aquis & potu litigas, atque adeo mulier commaculata peccatis? quid autem? *Si ſcires donum Dei, & quis eſt qui dicit tibi, Da mihi bibere; B tu forſitan petiſſes ab eo, & dediſſet tibi aquam vivam.* Vides, ut paulatim amorem ejus ad cupiditatem excitarit, dicens : Si ſcires donum Dei, & quis eſt, qui dicit tibi. Da mihi bibere : tu forſitan petiſſes ab eo, & dediſſet tibi aquam vivam. Quid ergo rurſus ad eum mulier? *Domine, neque in quo haurias habes, & puteus altus eſt, unde ergo habes aquam vivam? Nunquid tu major es patre noſtro Jacob, qui dedit nobis puteum, & ipſe ex eo bibit, & filii ejus & pecora ejus?* Magnam conceperat quandam oC pinionem de Patriarcha Jacob mulier : attendite quæſo diligenter : magna in exiſtimatione erat Jacob apud mulierem Samaritanam, eumque plurimi faciebat, tanquam Patriarcham, tanquam juſtum : quandoquidem hic duodecim Patriarcharum fuerat pater; duodecim enim tribus Iſraël ex Jacob profeminatæ ſunt : neque ob id ſolùm, ſed quoniam & cum Deo luctatus eſt, & potens inventus eſt : ſicut ei diceret Deus, *Dimitte me, jam enim aſcendit aurora* : & cum homine luctans ajebat Deus, DiD mitte me, quia meus amicus es, & aſcendit aurora : tum ille, Non te dimittam, niſi me benedixeris. Quid hoc ſibi vult, & quænam tandem eſt hæc Dei cum homine lucta, niſi quòd noſtræ ſimilem propter nos carnem induturus erat? Quid ergo illi reſpondit Deus? *Non vocaberis ultrà Jacob; ſed Iſraël erit nomen tuum : quoniam invaluiſti cum Deo, & cum hominibus potens eris.* Magnam igitur opinionem conceperat de Patriarcha mulier, idcirco Domino dicebat : Nunquid tu major es E patre noſtro Jacob, qui dedit nobis puteum, & ipſe ex eo bibit, & filii ejus, & pecora ejus? Quid ergo Chriſtus? animadverte Domini ſapientiam: vide magiſtri benignitatem. Non dixit illi; ſic

Joan. 4, 34.
Gal. 3, 13.
Gen. 22, 20.
Joan. 3, 16.
Rom. 12, 1.
Gen. 32, 26.

Sic eſt, ego patre veſtro Jacob major ſum: neque dixit ei, ſicut Judæis dixit; *Antequam Abraham fieret, ego ſum:* vel rurſus ut dicebat; *Amen dico vobis, quia multi reges & juſti cum Prophetis, cupierunt videre quæ vos videtis, & non viderunt*: nihil horum dixit mulieri, ſed luctam inhibet cum Patriarcha ineundam, & ex eo quod manifeſtum eſt, validiorem pugnam reddit. Si enim dixiſſet illi, Sic eſt, ego major ſum quàm Jacob: nam ille quidem à me benedictionem accepit, ego verò ipſam illi præbui: fortaſſis illa, cùm tantam capere revelationum altitudinem minimè poſſet, ſtatim aufugiſſet: nihil igitur tale dixit illi, ſed ex iis quæ ſubjecta ſunt oculis, rem dilucidam & inexpugnabilem reddit. Quid enim ait illi? *Omnis qui biberit ex aqua hac, ſitiet iterum: qui autem biberit ex aqua, quam ego dabo ei, non ſitiet in æternum: ſed aqua quam ego dabo ei, fiet in eo fons aquæ ſalientis in vitam æternam.* Prolatæ fuerant in medium perſonæ Jacob & Chriſti, ſed omiſſa perſonarum lucta venit ad luctam aquarum, quæ videntur, ac donorum quæ videntur. Si enim dixiſſet: Etiam, major ſum quàm Jacob; confeſtim illa in urbem aufugiens abacta eſſet, reſiluiſſet ante reſponſum, & antequam verba feciſſet, ad civitatem perveniſſet, dicens, Hic quidem inſanit, homo eſt aliquis à dæmonio vexatus, lunaticus eſt, & phreneſi laborat: cùm ſit unus aliquis peregrinus ac nullius pretii, majorem ſeipſum patre noſtro dicit: imò verò illo qui duodecim tribuum Iſraël pater fuit, qui benedictiones accepit à Deo, qui pauper quidem peregrè profectus eſt, ſed ob diſpenſationem & providentiam, qua texit eum Deus, opulentus reverſus eſt: ſed accommodabat ſe mulieri Chriſtus, & infirmitati mulieris aliquid concedebat, ut ſenſim ad rerum eam graviorum ſublimitatem proveheret. Nam quemadmodum piſcium venatores: (audi enim prudenter, quid illi faciant.) hamum in mare mittunt, cumque ſenſerint captum eſſe piſcem, non ſtatim extrahunt illum, ſed paulatim laxant, ut ille planè atque intrepidè illecebram devoret; cumque animadverterint intimis ejus præcordiis hamum ac viſceribus infixum eſſe, tum majori cum impetu piſcem extrahunt, qui priùs ſe illi accommodaverant. Ita ſe Chriſtus erga mulierem geſſit; non à principio pulchritudinem illi divinitatis revelavit, neq; ingentium illi bonorum promiſſa propoſuit, neque ſe Jacob ipſum creaſſe indicavit, ſed ejus appetitum animi ad cupiditatem excitat, dicens illi, Omnis, qui biberit ex aqua hac, ſitiet iterum: qui autem biberit ex aqua, quam ego dabo ei, non ſitiet in æternum, ſed aqua quam ego dabo ei, fiet in eo fons aquæ ſalientis in vitam æternam. Perſonarum contentionem ac luctam omiſit, & ad alteram donorum partem tranſiit, imò verò præſtantiam illorum ex re ipſa demonſtrat. Quid igitur mulier? Domine da mihi hanc aquam, ut non ſitiam: neque veniam huc haurire. Vides, ut citò crediderit aquam à Chriſto datam, ut non ampliùs ſitiamus, efficere? Domine da mihi hanc aquam, ut non ſitiam, neque veniam huc haurire. Ad ſpiritualium fluentorum ſuorum cupiditatem Chriſtus eam ſenſim incitavit: credidit aquam eſſe, quæ bibitur, & ſitim non generat; quæ participatur, & peccatorum delet chirographum: Domine da mihi hanc aquam, ut non ſitiam, neque veniam huc haurire. Dicit ei Jeſus: Vade voca virum tuum, & veni huc. Si conſortem habes copulæ, fiat & conſors fidei, ne ſpiritualium horum ſola donorum gratiam accipias. Vade, voca virum tuum, & veni huc. Idcirco enim veni, ut non Evam ſolam ſalvam faciam, per ſemper virginem Deique genitricem Mariam: ſed etiam ut virum per me in paradiſum ruſus revocem. Vade, voca virum tuum, & veni huc. Rectè quoq; totius orbis doctor Paulus, dilectiſſimi, ex eadem regula ſcribens ad Corinthios dicebat: *Unde enim ſcis mulier: ſi virum ſalvum facies?* Jam verò rem propoſitam attingamus. *Vade, voca virum tuum, & veni huc.* Dicit ei mulier *Non habeo virum*: cœpitque deinceps aperire peccata ſua mulier: cœpit deinceps confiteri ac dicere, Non habeo virum. Jam enim in ſcortationis, & luxuriæ profundo demerſa ſum, & virum non habeo. Dicit ei Jeſus: *Bene dixiſti, quia non habeo virum: quinque enim viros habuiſti: & nunc quem habes, non eſt tuus vir. Hoc verè dixiſti.* Quid autem hoc eſt, Quinque enim viros habuiſti: & nunc quem habes, non eſt tuus vir? operæpretium eſt dicere. Quinque viros habuit mulier, & mortui ſunt: poſt illos ſcortata eſt, quamobrem nemo deinceps cum illa voluit tanquam cum uxore legitima copulari. At illa cùm libidinis cohibere fervorem non poſſet, clam deinceps eum habebat, cum quo ſcortabatur; ſit ut neque apertè meretrix eſſet, neque legitimè nupta, ſed virum clam haberet: exiſtimabat autem ſe Chriſtum velut hominem decepturam, eique dicebat,

Mat. 13, 17.

1. Cor. 9, 16.

καὶ ἐγὼ μείζων εἰμὶ τοῦ πατρὸς ὑμῶν Ἰακώβ. οὐδὲ εἶπεν αὐτῇ καθὼς εἶπε τοῖς Ἰουδαίοις, ὅτι πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι· ἢ πάλιν ὡς ὀλίγον, ἀμὴν λέγω ὑμῖν, ὅτι πολλοὶ βασιλεῖς καὶ δίκαιοι σὺν τοῖς προφήταις ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· οὐδὲν τούτων εἶπε τῇ γυναικί, ἀλλὰ καταστέλλει τὴν πάλην τὴν εἰς τὸν πατριάρχην, καὶ ἐκ τοῦ φανεροῦ τὴν μάχην ἰσχυροτέραν ποιεῖ. εἰ γὰρ εἶπεν αὐτῇ, ὅτι καὶ μείζων εἰμὶ τοῦ Ἰακώβ· ἐκεῖνος μὲν γὰρ παρ' ἐμοῦ τὴν εὐλογίαν ἐδέξατο· ἐγὼ δὲ παρέσχον αὐτῷ· ταχέως ἂν ἐκείνη πρὸς τοσοῦτον ὕψος ἀποκαλύψεων ἀντιβλέψαι μὴ δυναμένη, φεύγουσα ἂν ᾤχετο· οὐδὲν οὖν τούτων εἶπεν αὐτῇ, ἀλλ' ἐκ τῶν φαινομένων τὸ πρᾶγμα σαφὲς καὶ ἄμαχον ποιεῖ. τί γὰρ πρὸς αὐτήν; πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. πρόσωπα ἦν ἐν μέσῳ τοῦ Ἰακὼβ καὶ τοῦ Χριστοῦ· ἀλλ' ἀφῆκε τὴν πάλην τὴν περὶ τῶν προσώπων, καὶ ἔρχεται πρὸς τὴν πάλην τῶν φαινομένων ὑδάτων καὶ φαινομένων χαρισμάτων· εἰ γὰρ εἶπε, καὶ μείζων εἰμὶ τοῦ Ἰακώβ, εὐθὺς ἐκείνη ἂν ἀποφυγοῦσα, εἰς τὴν πόλιν ἐφυγαδεύετο· καὶ ἀπεπήδα πρὸ τῆς ἀποκρίσεως, καὶ πρὸ τοῦ λόγου τὴν πόλιν κατελάμβανε, λέγουσα· οὗτος παραπαίει, δαιμονῶν τίς ἐστι, κορυβαντιῶν, φρενίτιδι βέβληται. ξένος τις ὤν, καὶ εὐκαταφρόνητος μείζονα ἑαυτὸν λέγει τοῦ πατρὸς ἡμῶν, μᾶλλον δὲ τοῦ πατρὸς γενομένου τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ· τοῦ τὰς εὐλογίας ὑποδεξαμένου παρὰ τοῦ Θεοῦ· τοῦ πτωχοῦ μὲν ἀποδημήσαντος, πλουσίου δὲ διὰ τὴν οἰκονομίαν τὴν εἰς αὐτὸν παρὰ τοῦ Θεοῦ γενομένην ἐπανελθόντος· ἀλλὰ συγκατέβαινε τῇ γυναικὶ ὁ Χριστός, καὶ ἐνεδίδου τῇ ἀσθενείᾳ τῆς γυναικὸς πρὸς τὸ κατὰ μικρὸν εἰς τὸ ὕψος τῶν κρειττόνων αὐτὴν ἀναφέρεσθαι. καθάπερ γὰρ οἱ τῶν ἰχθύων θηρευταί· τί γὰρ ἐκεῖνοι ποιοῦσιν, ἄκουε συνετῶς· βάλλουσιν ἄγκιστρον εἰς τὴν θάλασσαν· καὶ ὅταν αἴσθωνται ὅτι ἰχθὺς ἐζωγρήθη, οὐκ εὐθὺς ἀνασπῶσιν αὐτόν, ἀλλ' ἐνδιδόασι κατὰ μικρόν, ἵνα ἐκεῖνος τελείως καταπίῃ καὶ ἀμεριμνῶς τὸ δέλεαρ· καὶ ὅταν αἴσθησιν λάβωσιν, ὅτι εἰς τὸ βάθος τῆς καρδίας καὶ ἐν τοῖς ἐγκάτοις ἐδέξατο τὸ ἄγκιστρον, τότε μᾶλλον μετὰ ἐπιτάσεως τὸν ἰχθὺν ἀνασπῶσιν οἱ πρότερον αὐτῷ συγκαταβεβηκότες· οὕτω καὶ ὁ Χριστὸς τῇ γυναικὶ πεποίηκεν· οὐκ ἐξ ἀρχῆς ἀπεκάλυψεν αὐτῇ τῆς θεότητος τὸ κάλλος· οὐδὲ μεγάλων ἀγαθῶν ἐπαγγελίας αὐτῇ δέδωκεν· οὐδὲ τὸν Ἰακὼβ ὡς ποιήσας αὐτὸν ἐξήγγειλεν· ἀλλὰ τὴν ὄρεξιν τῆς ψυχῆς αὐτῆς εἰς ἐπιθυμίαν διεγείρει· λέγων πρὸς αὐτήν, πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. κατέλιπε τὴν τῶν προσώπων πάλην, καὶ λοιπὸν εἰς τὴν τῶν χαρισμάτων ἀφθονίαν ἐχώρησε. μᾶλλον δὲ ὑπὲρ ἐκείνων ἐξ αὐτοῦ τοῦ πράγματος τὴν ὑπεροχὴν δείκνυσι. τί οὖν ἡ γυνή; Κύριε δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. εἶδες πῶς ἐπίστευσε ταχέως, ὅτι τὸ παρὰ τοῦ Χριστοῦ διδόμενον ὕδωρ δίψαν οὐκ ἔτι ἐργάζεται; Κύριε δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. διήγειρεν αὐτὴν κατ' ὀλίγον εἰς ἐπιθυμίαν τῶν πνευματικῶν αὐτοῦ ὁ Χριστὸς ναμάτων· ἐπίστευσεν, ὅτι ἐστὶν ὕδωρ πινόμενον, καὶ δίψαν οὐκ ἐργαζόμενον, μεταλαμβανόμενον, καὶ ἁμαρτημάτων ἐξαφανίζον τὸ χειρόγραφον· Κύριε δός μοι τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν· λέγει αὐτῇ ὁ Ἰησοῦς· ὕπαγε φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. εἰ κοινωνόν, φησιν, ἔχεις τῆς μίξεως, κοινωνὸς γενέσθω καὶ τῆς πίστεως. μὴ μόνη λάμβανε τὴν δωρεὰν τὴν τῶν πνευματικῶν χαρισμάτων· ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. διὰ γὰρ τοῦτο παραγενόμενος, οὐχ ἵνα μόνην τὴν Εὔαν σώσω διὰ τῆς ἀειπαρθένου Μαρίας καὶ θεοτόκου· ἀλλ' ἵνα καὶ τὸν ἄνδρα δι' ἐμοῦ εἰς τὸν παράδεισον πάλιν ἀνακαλέσωμαι· ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. καλῶς, ἀγαπητοί, καὶ ὁ τῆς οἰκουμένης διδάσκαλος Παῦλος τῷ αὐτῷ κανόνι Κορινθίοις γράφων ἔλεγε· τί γὰρ οἶδας γύναι, εἰ τὸν ἄνδρα σώσεις; τέως δὲ τῶν προκειμένων ἁψώμεθα. ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. λέγει αὐτῷ ἡ γυνή, οὐκ ἔχω ἄνδρα· καὶ ἤρξατο λοιπὸν ἡ γυνὴ τὰς ἑαυτῆς ἁμαρτίας ἀνακαλύπτειν· ἤρξατο λοιπὸν ἐξομολογεῖσθαι, καὶ λέγειν, οὐκ ἔχω ἄνδρα· καὶ γὰρ λοιπὸν τῷ τῆς πορνείας καὶ τῷ τῆς ἀσωτίας κατεβαπτίσθην βυθῷ, καὶ ἄνδρα οὐκ ἔχω· λέγει αὐτῇ ὁ Ἰησοῦς· καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας. τί δέ ἐστι τοῦτο, τὸ πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ; ἀναγκαῖον εἰπεῖν· ἡ γυνὴ πέντε ἄνδρας ἔσχε, καὶ ἐτελεύτησαν· μετ' ἐκείνους δὲ ἐπόρνευσεν· ὅθεν οὐδεὶς αὐτῇ λοιπὸν ὡς γυναικὶ νομίμῃ προσεγγίζειν ἐβούλετο· ἐκείνη δὲ μὴ φέρουσα χαλινῶσαι τῆς ἡδονῆς τὰ κύματα, λαθραίως εἶχε λοιπὸν τὸν πορνεύοντα μετ' αὐτῆς καὶ οὐκ ἦν οὐδὲ πόρνη περιφανής, οὔτε νομίμη. εἶχε δὲ ἄνδρα λαθραίως· ἐνόμιζε δὲ ὡς ἄνθρωπον τὸν Χριστὸν παρακρούεσθαι. καὶ ἔλεγεν αὐτῷ

αὐτῷ, οὐκ ἔχω ἄνδρα. εἶτα ὁ Χριστὸς γινώσκων τὰ κρύφια τῆς καρδίας, καὶ εἰδὼς τὰ πάντα, πρὶν γενέσεως αὐτῶν, λέγει αὐτῇ· καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας· λέγει αὐτῷ ἡ γυνή, Κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς δὲ λέγετε οἱ Ἰουδαῖοι ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν. ποῖον προφήτην λέγεις ὦ γύναι; ὃν ὁ Μωσῆς ἔγραψεν, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· ἢ ἕτερόν τινα; τοῦτον σὺ λέγεις γύναι τὸν ἀποκαλύπτοντα τὰ κρύφια τῆς καρδίας; καὶ γὰρ τὴν ἀποκάλυψιν τῶν ἁμαρτημάτων παρὰ τοῦ Δεσπότου λαβοῦσα λέγει· Κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ· ταὐτὸν ἦν αὐτὴν τῷ τοῦ Δαβὶδ εἰπεῖν· ἐκ τῶν κρυφίων μου καθάρισόν με. καὶ ἐκάθητο ὁ Θεὸς ὁμιλῶν τῇ γυναικί. ὢ πολλῆς φιλανθρωπίας· ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ πόρνῃ γυναικὶ διαλέγεται· θεωρῶ ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν· ἡ πόρνη περὶ δογμάτων εἰσάγει λόγον, καὶ νομίσασα τὸν Δεσπότην εἶναι προφήτην, οὐδὲν ᾔτησε βιωτικόν· Κύριον ὡμολόγησε, καὶ χρημάτων περιουσίαν οὐκ ἐπεζήτησε· Κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ· Κύριον ὡμολόγησε, καὶ οὐδὲν ᾔτησε πλέον τῶν πατρικῶν δογμάτων. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν· καὶ γὰρ ἐν τῷ ὄρει ἐκείνῳ τῷ Σώμωρ ὁ Ἀβραὰμ τὸν ἴδιον υἱὸν Ἰσαὰκ εἰς θυσίαν προσήνεγκε τῷ Θεῷ· ἐν δὲ τοῖς Ἱεροσολύμοις ὁ Ἰακὼβ ἐν Μεσοποταμίᾳ κατερχόμενος πρὸς Λάβαν τὸν Σύρον τὴν ἀπὸ γῆς ἕως οὐρανοῦ κλίμακα τεταμένην κατὰ τοὺς ὕπνους καθεῖδεν, καὶ τὴν πάλην τὴν μετὰ τοῦ Θεοῦ ἐπάλαισε· διὸ καὶ ἔλεγεν· ὁ Θεὸς ὤφθη μοι ἐν Λούζᾳ. διὰ τοῦτο ἡ γυνὴ δογμάτων ἅπτεται, καί φησι, Κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ· οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶ τόπος ὅπου δεῖ προσκυνεῖν. τί οὖν ὁ Κύριος; πάλιν μετὰ τῆς πρεπούσης αὐτῷ σοφίας Κύριος ἀποκρίνεται. ἐπειδὴ γὰρ Ἰουδαῖος ἐνομίζετο παρ' αὐτῆς, αὐτὴ δὲ Σαμαρεῖτις ἦν, οὐκ ἠθέλησε πρὸς τὴν πεῦσιν ἀποκρίνασθαι· ἵνα μήτε διαψεύσηται, μήτε τὴν γυναῖκα σκληροτέραν ἀπεργάσηται. οὐ γὰρ ἦν αὐτῷ ἄλλο τι τὸ κατασκευαζόμενον, ἀλλὰ θηρεῦσαι τὸ γύναιον πρὸς τὴν τῆς σωτηρίας ὁδὸν ἐπεζήτει· καὶ διὰ τοῦτο οὐδὲν σκληρότερον πρὸς αὐτὴν λέγει, ἵνα μήτε διαψεύσηται, μήτε καταισχύνῃ τὴν Σαμαρεῖτιν. εἰ γὰρ εἶπεν αὐτῇ, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν, καθὼς προσέταξε Μωσῆς τοῖς υἱοῖς Ἰσραήλ, σκληροτέραν ἂν αὐτὴν ἀπειργάσατο· ἐπειδή, ὡς εἴρηται, παλαιὰν εἶχεν ὑπόληψιν περὶ τοῦ ὄρους τοῦ ἐν Σικίμοις, ὅτι ἐν αὐτῷ θυσιάζειν ὁ Ἀβραὰμ τὸν Ἰσαὰκ προσετέτακτο παρὰ τοῦ Θεοῦ. καὶ πάλιν εἰ ἠθέλησεν αὐτῇ συγκαταβῆναι, καὶ εἰπεῖν, ὅτι τοῦτό ἐστι τὸ ὄρος, καὶ καλῶς προσκυνεῖτε, πάλιν ψευδὲς τὸ ῥῆμα προεβάλλετο. διὰ τοῦτο μὲν ἀμφότερα χαμαὶ καταλιπὼν ἐπὶ τὴν πνευματικωτέραν προσκύνησιν χειραγωγεῖ τὸ γύναιον, καί φησι· γύναι πίστευσόν μοι λέγοντι, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί. ἀλλ' οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· εἶδες διδασκαλίαν ἀρίστην; εἶδες εὐμηχάνου διδασκάλου σοφίαν; γύναι πίστευσόν μοι λέγοντι· βλέπε πῶς κατασκευάζει τὴν πίστιν τῆς γυναικός· βλέπε πῶς τὴν ψυχὴν αὐτῆς κατ' ὀλίγον εἰς τοὺς οὐρανοὺς ἀναβιβάζει, οὐκ αἰσχυνόμενος τὸ τῆς πόρνης περιβόλαιον, ἀλλὰ τῆς ψυχῆς τὴν σωτηρίαν διακονῶν. διὰ τί; ἐπειδὴ οὐκ ἦλθε καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, ἐπειδὴ διὰ τὸ ἀπολωλὸς πρόβατον μὴ κενώσας τοὺς κόλπους τοὺς πατρικοὺς πρὸς ἡμᾶς καταβέβηκε, κλίνας οὐρανούς, καὶ ἄνθρωπος τέλειος γέγονεν, ὅπερ ἦν, μεμενηκώς. γύναι πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. οὐ περιγράφεται τόπῳ ἡ τοῦ Θεοῦ προσκύνησις, ἀλλ' ἐξεφάνη πανταχοῦ τῆς θείας χάριτος ἡ ἐπίγνωσις· οὐκ ἔτι Ἰουδαῖοι καὶ Σαμαρεῖται ἁρπάζουσι πρὸς ἑαυτοὺς τοῦ νόμου τὰ σύμβολα· καὶ γὰρ τοὺς προσκυνοῦντας τὸν Θεόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. οὐκ ἔτι ἐν ἀλλοτρίοις ὁλοκαυτώμασι καὶ μόσχοις καὶ κριοῖς· οὐκ ἔτι περιτομὴ καὶ σαββάτου φυλακή· οὐκ ἔτι ναὸς καὶ βωμὸς καὶ τράγος ἀποπομπαῖος, καὶ τὰ ἅγια τῶν ἁγίων· οὐκ ἔτι σκιά, καὶ λατρεία, καὶ σάββατα διεψευσμένα· τὰς γὰρ νεομηνίας ὑμῶν καὶ τὰ σάββατα, φησὶν ὁ Θεὸς διὰ προφήτου, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν, καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. τοὺς προσκυνοῦντας γὰρ αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· παρελήλυθεν ἐκεῖνα πάντα ὡς σκιά. τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά.

Non habeo virum. Deinde Chriſtus, qui cordis occulta cognoſcit, quique novit omnia, antequam fiant, ait illi: Benè dixiſti, quia non habeo virum. quinque enim viros habuiſti, & nunc quem habes, non eſt tuus vir, hoc verè dixiſti. Dicit ei mulier, Domine video, quia Propheta es tu. Patres noſtri in monte hoc adoraverunt, & vos Judæi dicitis, quia Hieroſolymis eſt locus, ubi adorare oportet. Quem tandem Prophetam dicis mulier? eumne quem ſcripſit Moſes; *Prophetam ſuſcitabit vobis Dominus Deus* Deut. 18. 15.
veſter de fratribus veſtris ſicut me, an alium quempiam? hunc tu dicis mulier, qui cordis revelat occulta? Nam cùm ſua revelari peccata vidiſſet, ait: Domine video, quia Propheta es tu; quod perinde erat ac ſi diceret cum Davide, *Ab occultis meis munda me.* Pſ. 18, 12.
Et ſedebat cum muliere colloquens Deus. O inſignem humanitatem! qui ſuper Cherubim ſedet, cum muliere meretrice confert ſermonem. Video quia Propheta es tu. Patres noſtri in monte hoc adoraverunt, & vos dicitis, quia Hieroſolymis eſt locus, ubi adorare oportet. Meretrix de dogmatibus ſermonem infert, & Dominum Prophetam eſſe arbitrata, nihil ſeculare poſtulavit, Dominum confeſſa eſt, & pecuniarum copiam non requiſivit. Domine, video quia Propheta es tu. Dominum confeſſa eſt, & nihil præter paterna dogmata petivit. Patres noſtri in monte hoc adoraverunt, & vos dicitis, quia Hieroſolymis locus eſt ubi adorare oportet. Etenim illo in monte Somor Abraham filium ſuum Iſaac Deo in ſacrificium obtulit: Hieroſolymis verò Jacob cùm in Meſopotamia ad Laban Syrum deſcenderet, ſcalam, quæ à terra in cœlum extendebatur, in ſomnis vidit, & cùm Deo luctatus eſt; Gen. 48, 3
propterea dicebat: Deus apparuit mihi in Luza. Idcirco mulier dogmata attingit, & ait, *Domine video quia Propheta es tu: Patres noſtri in monte hoc adoraverunt, & vos dicitis quòd Hieroſolymis locus eſt*, ubi adorare oportet. Itaque Dominus cum ea quæ dicebat ipſum ſapientia, reſpondet. Nam quia Judæus ab ea exiſtimabatur, ipſa verò Samaritana erat, reſpondere noluit interrogationi, ut neque mentiretur, neque aſperiorem mulierem redderet. Nihil quippe aliud propoſitum illi fuit, niſi ut mulierem venaretur, & ad ſalutis viam traduceret, propterea nihil aſperius apud eam proloquutus eſt, ut neque mentiretur, neque Samaritanæ pudorem incuteret. Si enim dixiſſet illi Hieroſolymis locum eſſe, ubi adorare oportet, ſicut Moſes filiis Iſraël præcepit; ipſam exaſperaſſet; quoniam vetus, ut diximus, ipſam opinio præoccupaverat de monte illo in Sicemis; in eo juſſum eſſe Abraham à Deo Iſaac immolare: rurſus autem ſi morem illi gerere voluiſſet, ac dicere hunc eſſe montem illum; &, rectè adoratis; rurſus falſum verbum protuliſſet. Idcirco ergo utrumque in terram abjiciens, mulierculam ad eam quæ paulò magis ſpiritualis erat, adorationem, quaſi manu ducit, aitque: Mulier crede mihi dicenti, quia venit hora, quando neque in monte hoc, neque Hieroſolymis adorabunt Patrem; ſed veri adoratores adorabunt Patrem in ſpiritu & veritate. Nam & pater tales quærit, qui adorent eum Spiritus eſt Deus: & eos qui adorant eum, in ſpiritu & veritate oportet adorare. Vidiſti doctrinam optimam? vidiſtis doctoris induſtrii ſapientiam? Mulier crede mihi dicenti. Vide quomodo ſenſim animam ejus in cœlum evehit? non erubeſcit amictum meretricis, ſed ſalutem animæ promovet. Quid ita? quia *non venit vocare juſtos, ſed peccatores, ad pœnitentiam*: quia propter ovem, quæ perierat, minime deſerto ſinu patris ad nos inclinatis cœlis deſcendit, & perfectus homo factus eſt, ſimulque quod erat permanſit. Luc. 15, 4.
Mulier crede mihi dicenti, quia venit hora, & nunc eſt, quando veri adoratores adorabunt Patrem in ſpiritu & veritate. Nam & Pater tales quærit, qui adorent eum. Spiritus eſt Deus, & qui adorant eum, in ſpiritu & veritate oportet adorare. Non circumſcribitur loco adoratio Dei, ſed undiquaque diffuſa eſt gratiæ divinæ cognitio; non ampliùs Judæi & Samaritani ad ſe legis inſignia rapiunt. Nam eos qui adorant Deum, in ſpiritu & veritate oportet adorare: non ampliùs in alienis holocauſtis, & vitulis, & arietibus: non ampliùs templum, & altare, & hircus emiſſarius, & ſancta ſanctorum: non ampliùs umbra, & cultus, & Eſa. 1, 14.
ſabbata emmentia. *Neomenias enim veſtras & ſabbata*, inquit Deus per Prophetam, *& diem magnum non fero: jejunium & otium, & ſolemnitates veſtras odit anima mea.* Nam eos qui adorant, in ſpiritu & veritate oportet adorare. Omnia velut umbra prætierunt: vetera tranſierunt; ecce nova ſunt omnia.

Commutata eſt deinceps rerum gratia; non ampliùs ſecundùm legem unum in locum eos qui Deum adorant, congregari ſino: quippe qui velim in terrarum orbem ſalutis dona diffundere. *In omnem enim terram exivit ſonus eorum, & in fines orbis terræ verba eorum.* (Rom. 10, 18.) Spiritus eſt Deus, & eos qui adorant eum, in ſpiritu & veritate oportet adorare. Dicit ei mulier, Scio quia Meſſias venit, qui dicitur Chriſtus: cum ergo venerit, ille nobis annontiabit omnia. O meretricem de ſpiritualibus philoſophantem! ô meretricem Scripturas ſacras in ore habentem! etſi enim corpore ſordibus ſcortationis cooperta eſt; animo tamen ſacrarum literarum pronuntiatione & lectione purgata eſt. Scio quia Meſſias venit: Meſſias verò, ſi interpretari velis, eſt Unctus: propterea mulier, Expecto, inquit, Unctum, cujus caro divinitate ungetur. Cum ergo venerit ille, annuntiabit nobis omnia. ô profectum ſpiritualem! ô mulierem meretricem, & omnia ſcientem! vide quo pacto à terrenis ad cœlos evolarit. Meſſiam dicit eum qui mittebatur; Chriſtum, qui expectabatur, qui ad mundi totius ſalutem procurandam veniebat: & rurſus Prophetam, rurſuſque Dominum, non amplius Judæum ipſum vocat: non amplius de aquæ largitione diſceptat: non amplius illi dicit, Quomodo tu Judæus cum ſis, bibere à me poſcis, quæ ſum mulier Samaritana? non enim coutuntur Judæis Samaritani: quid igitur? Domine video quia Propheta es tu: & rurſus attingens dogmata, *Patres noſtri in monte hoc adoraverunt, & vos dicitis, quod Hieroſolymis eſt locus ubi adorare oporteat.* Vide quomodo ſpiritualium donorum gratiam rapiat: vide quomodo cuncta depromptis ex ſcriptura demonſtrationibus firmet. Scio quia Meſſias venit, qui dicitur Chriſtus: cum venerit ille, annuntiabit nobis omnia. illum quæro, illum præſtolor, illum expecto. Dicit ei Jeſus, *Ego ſum, qui loquor tecum.* O magna & incredibilia miracula: Quod multis ex Apoſtolis non revelavit, hoc meretrici palam revelat. Cum Cleophæ apparuit, ſeipſum Apoſtolis non manifeſtavit: ſed cum oculos illorum aperuit, tunc ex ipſorum conſpectu ablatus eſt: ita ut dicerent diſcipuli; *Nonne cor noſtrum ardens erat in nobis, dum loqueretur nobis in via, dum aperiret nobis Scripturas?* (Luc. 24, 32.) ſeipſum illis non revelavit: & mulieri dicit, Ego ſum, qui loquor tecum. Quod ſoli Paulo fecit, qui ad tertium uſque cœlum aſcendit, qui raptus eſt in Paradiſum, & audivit arcana verba, qui terrarum orbem ſagena cepit, hoc multo antè Samaritanæ fecit. (Act. 9.) Paulo ſe manifeſtè revelavit è cœlo dicens, Saule Saule quid me perſequeris? durum eſt tibi contra ſtimulum calcitrare. Saulus verò reſpondit, dicens: Quis es Domine? tum ille reſpondit: Ego ſum Jeſus Chriſtus, quem tu perſequeris: hoc & nunc Samaritanæ dicit: Ego ſum qui loquor tecum. Interea veniunt diſcipuli, & cum muliere colloquentem offendunt: ac mirati ſunt quia cum muliere loquebatur. Qui ab Angelis adoratur, cum meretrice colloquebatur: qui cum Patre regnat in æterno regno, ſolus cum ſola ſermonem conferebat. At illa relicta hydria ſua, civitatem ingreſſa eſt. reliquit hydriam poſtquam aquis vivis expleta fuit. & ad cives ingreſſa clamabat. Venite, videte hominem qui dixit mihi omnia quæcunque feci: nunquid ipſe eſt Chriſtus? Venite, videte hominem. Non dixit, Venite, cernite Deum inter homines: ne hominibus videretur delirare: ne dicerent homines, Hæc inſanit. Quando enim vidit quis Deum ambulantem? quando vidit quis Deum cum hominibus converſari? Venite, videte hominem qui dixit mihi omnia quæcunque feci. Excitat eos ut ad cupiditatem egrederentur, & venatu caperentur. Ut retibus capta eſt, ita retia tendit. A Judæo ad Dominum progreſſum fecit iſta, ab homine ad Deum manu ducit. O meretricem Apoſtolicam: Meretrix Apoſtolis potentior evaſit. Siquidem Apoſtoli, poſtquam omnis Domini diſpenſatio completa fuit, tum demum ad Apoſtolicam prædicationem ingreſſi ſunt: at meretrix etiam ante paſſionem, & diſpenſationem, & reſurrectionem, Chriſtum evangelizat. Venite, videte hominem qui dixit mihi omnia quæcunque feci: mea peccata divulgo, ut vos manu ducam: ut vos Deum, qui ad homines venit, cernatis: mala mea publico, ut Chriſtus adoretur, qui peccatores non averſatur. Venite, videte hominem qui dixit mihi omnia quæcunque feci; nunquid ipſe eſt Chriſtus? vide mulieris ſapientiam: vide meretricis probitatem: unum ei tantùm dixit ſcortationis peccatum Chriſtus, & illa relicta hydria cucurrit ad urbem dicens: Venite, videte hominem qui dixit mihi omnia quæcunque feci: prædicat eum qui novit omnia, vel ipſis Apoſtolis prædicat vehementius. Non vidit illum à mortuis excitatum; non vidit Lazarum quatriduanum è monumento evocatum: non vidit mortem concluſam: non vidit mare verbo frænatum: non vidit eum qui Adā formaverat, creationis defectum in cæco adimplente, & illū in paradiſo figulum ſermone prædicabat. Venite, vi-

μετεστράφη λοιπὸν τῶν πραγμάτων ἡ χάρις. οὐκ ἔτι κατὰ τὸν νόμον εἰς ἕνα τόπον τοὺς προσκυνοῦντας τῷ Θεῷ συγκροτεῖσθαι συγχωρῶ· εἰς πᾶσαν γὰρ τὴν οἰκουμένην ἐφαπλῶσαι βούλομαι τὰ τῆς σωτηρίας χαρίσματα· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. πνεῦμα ὁ Θεὸς, καὶ τοὺς π. αὐτὸν ε. α. δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή· οἶδα ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. ὢ πόρνης πνευματικὰ φιλοσοφούσης· ὢ πόρνης τὰς θείας γραφὰς ἐπὶ στόματος φερούσης. κἂν γὰρ τῷ σώματι βεβάπτισται τῇ τῆς πορνείας ἀκαθαρσίᾳ, ἀλλ' ἡ ψυχὴ κεκαθάρισται τῇ τῶν θείων γραφῶν ἐπαγγελίᾳ καὶ ἀναγνώσει. οἶδα ὅτι Μεσσίας ἔρχεται· Μεσσίας δὲ ἑρμηνεύεται ἠλειμμένος. διὰ τοῦτο ἡ γυνὴ, προσδοκῶ, φησι, τὸν ἠλειμμένον, οὗ ἡ σὰρξ ἀλειφθήσεται τῇ θεότητι. ἐκεῖνος ὅταν ἔλθῃ, ἀναγγελεῖ ἡμῖν πάντα. ὢ προκοπῆς πνευματικῆς. ὢ γυναικὸς πόρνης καὶ πάντα εἰδυίας· βλέπε πῶς ἀπὸ τῶν καταχθονίων εἰς τοὺς οὐρανοὺς ἀνεπτερώθη. Μεσσίαν λέγει τὸν ἀποστελλόμενον, τὸν προσδοκώμενον Χριστὸν, τὸν ἐπὶ σωτηρίᾳ παντὸς τοῦ κόσμου ἐρχόμενον· καὶ πάλιν προφήτην, καὶ πάλιν κύριον, οὐκ ἔτι καλεῖ αὐτὸν Ἰουδαῖον· οὐκ ἔτι διακρίνεται περὶ τῆς δόσεως τοῦ ὕδατος· οὐκ ἔτι λέγει πρὸς αὐτόν· πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις· ἀλλὰ τί; Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. καὶ πάλιν ἁπτομένη δογμάτων. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν. βλέπε πῶς ἁρπάζει τὴν δωρεὰν τῶν πνευματικῶν χαρισμάτων. βλέπε πῶς ἅπαντα μετὰ γραφικῆς ἀποδείξεως λέγει· οἶδα, ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός. ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. ἐκεῖνον ζητῶ· ἐκεῖνον προσδοκῶ· ἐκεῖνον ἐκδέχομαι. λέγει αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ λαλῶν σοι. ὢ μεγάλων καὶ παραδόξων θαυμάτων· ὃ πολλοῖς τῶν ἀποστόλων οὐκ ἀπεκάλυψε, τοῦτο τῇ πόρνῃ φανερῶς ἀποκαλύπτει. ἐπὶ τοῦ Κλεώπα ἑαυτὸν τοῖς ἀποστόλοις οὐκ ἀπεκάλυψεν· ἀλλ' ὅτε διήνοιξεν αὐτῶν τοὺς ὀφθαλμοὺς, τότε ἄφαντος ἐγένετο ἀπ' αὐτῶν· ὥστε καὶ τοὺς μαθητὰς εἰπεῖν· οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; ἐκείνοις ἑαυτὸν οὐκ ἀπεκάλυψε, καὶ τῇ γυναικὶ λέγει· ἐγώ εἰμι ὁ λαλῶν σοι. ὃ ἐποίησε Παύλῳ μόνῳ τῷ ἕως τρίτου οὐρανοῦ ἀνελθόντι, τῷ ἁρπαγέντι εἰς τὸν παράδεισον, καὶ ἄρρητα ῥήματα ἀκούσαντι, τῷ τὴν οἰκουμένην σαγηνεύσαντι, τοῦτο προλαβὼν τῇ Σαμαρείτιδι πεποίηκεν· Παύλῳ σαφῶς ἀπεκάλυψεν ἐξ οὐρανοῦ λέγων· Σαοὺλ τί με διώκεις, σκληρόν σοι πρὸς κέντρα λακτίζειν· ὁ δὲ Σαῦλος ἀπεκρίθη λέγων· τίς εἶ Κύριε; ὁ δὲ ἀπεκρίθη· ἐγώ εἰμι Ἰησοῦς Χριστὸς, ὃν σὺ διώκεις. τοῦτο καὶ νῦν τῇ Σαμαρείτιδι λέγει· ἐγώ εἰμι ὁ λαλῶν σοι. ἐπὶ τούτοις ἔρχονται οἱ μαθηταὶ, καὶ εὑρίσκουσιν ὁμιλοῦντα τῇ γυναικί· καὶ ἐθαύμασαν, ὅτι μετὰ γυναικὸς ἐλάλει· ὁ παρὰ τῶν ἀγγέλων προσκυνούμενος, μετὰ πόρνης διελέγετο. ὁ μετὰ τοῦ πατρὸς συμβασιλεύων βασιλείαν τὴν ἀτελεύτητον, μόνος πρὸς μόνην τῇ γυναικὶ ὡμίλει. ἀλλ' ἐκείνη τὴν ὑδρίαν ἀφεῖσα εἰσῆλθεν εἰς τὴν πόλιν· ἀφῆκε τὴν ὑδρίαν, ἐπειδὴ ἐνεπλήσθη τῶν ζώντων ὑδάτων, καὶ εἰσελθοῦσα πρὸς τοὺς πολίτας, ἐβόα· δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός; δεῦτε, ἴδετε ἄνθρωπον· οὐκ εἶπε, δεῦτε, βλέπετε Θεὸν ἐν ἀνθρώποις, ἵνα μὴ τοῖς ἀνθρώποις δόξῃ παραφρονεῖν, ἵνα μὴ εἴπωσιν ἄνθρωποι, αὕτη μαίνεται. πότε γὰρ εἶδέ τις Θεὸν περιπατοῦντα; πότε τις εἶδε Θεὸν μετ' ἀνθρώπων συναναστρεφόμενον; δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα, ὅσα ἐποίησα. διεγείρει αὐτοὺς πρὸς ἐπιθυμίαν ἐξελθεῖν, καὶ θηρευθῆναι· ὡς ἐσαγηνεύθη, σαγηνεύει. ἀπὸ Ἰουδαίου εἰς Κύριον προέκοψεν αὐτή. ἀπὸ ἀνθρώπου εἰς Θεὸν χειραγωγεῖ. ὢ πόρνης ἀποστολικῆς, ἡ πόρνη γέγονε τῶν ἀποστόλων δυνατωτέρα. οἱ γὰρ ἀπόστολοι μετὰ τὸ πληρωθῆναι πᾶσαν τὴν οἰκονομίαν, τότε τῶν ἀποστολικῶν ἤρξαντο κηρυγμάτων· ἡ δὲ πόρνη καὶ πρὸ τοῦ πάθους, καὶ τῆς οἰκονομίας, καὶ τῆς ἀναστάσεως τὸν Χριστὸν εὐαγγελίζεται· δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα, στηλιτεύω τὰ ἐμὰ ἁμαρτήματα, ἵνα ὑμᾶς χειραγωγήσω. ἵνα ὑμεῖς ἴδητε Θεὸν πρὸς ἀνθρώπους παραγενόμενον ἐκπομπεύω μου τὰ κακὰ, ἵνα προσκυνηθῇ ὁ Χριστὸς ὁ τοὺς ἁμαρτωλοὺς μὴ βδελυττόμενος. δεῦτε, ἴδετε α. ο. ε. μ. π. ο. ε. μ. ο. ε. ὁ Χριστός; βλέπε σοφίαν γυναικός· βλέπε πόρνης εὐγνωμοσύνην. ἓν ἁμάρτημα εἶπεν αὐτῇ ὁ Χριστὸς μόνον τὸ τῆς πορνείας· κἀκείνη ἀφεῖσα τὴν ὑδρίαν, ἔδραμεν εἰς τὴν πόλιν, λέγουσα· δεῦτε, ἴδετε ἄνθρωπον ο. ε. μ. π. ο. ε. κηρύττει τὸν εἰδότα τὰ πάντα, κηρύττει τῶν ἀποστόλων ἰσχυρότερα. οὐκ εἶδεν αὐτὸν ἐκ τῶν νεκρῶν ἐγειρόμενον. οὐκ εἶδεν τετραήμερον Λάζαρον ἐκ τάφου ἀνακαλούμενον· οὐκ εἶδεν θάνατον κλειόμενον· οὐκ εἶδεν τὴν θάλασσαν τῷ ῥήματι τὴν χαλινουμένην· οὐκ εἶδεν τὸν πλάσαντα τὸν Ἀδὰμ, ἐπὶ τοῦ τυφλοῦ τὸ ἐλλεῖπον τῆς δημιουργίας πηλῷ προσαναπληροῦντα, καὶ τὸν ἐν παραδείσῳ κεραμέα διὰ τοῦ λόγου ἀνακηρύξασα ἦν, δεῦτε,

idete

ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι ἅπαντα ὅσα ἐποίησα. ἐκ δὲ τῆς πόλεως τῆς ἐκείνης Σαμαρειτῶν πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. μιμησώμεθα τὴν γυναῖκα ταύτην τὴν Σαμαρεῖτιν καὶ ἡμεῖς, καὶ ἐπὶ τοῖς οἰκείοις ἁμαρτήμασι μὴ αἰσχυνώμεθα, ἀλλὰ φοβώμεθα τὸν Θεόν· νῦν δὲ τὸ ἐναντίον ὁρῶ γινόμενον· τὸν μὲν γὰρ μέλλοντα κρίνειν ἡμᾶς οὐ δεδοίκαμεν. τοὺς δὲ οὐδὲν ἡμᾶς παραβλάπτοντας, τούτους φρίττομεν, καὶ τὴν παρ' αὐτῶν αἰσχύνην δεδοίκαμεν· διὰ τοῦτο ἐν οἷς δεδοίκαμεν, ἐπὶ τούτων δίδομεν τὴν τιμωρίαν. ὁ γὰρ ἐπαισχυνόμενος ἀνθρώποις ἀποκαλύψαι τὰ ἁμαρτήματα· Θεοῦ δὲ ὁρῶντος μὴ αἰσχυνόμενος πρᾶξαι, μηδὲ θέλων ὁμολογῆσαι, καὶ μετανοῆσαι, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐνώπιον ἑνὸς καὶ δύο, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης ὁρώσης παραδειγματίζεται. διαλεχθῶμεν οὖν τῷ Χριστῷ· καὶ νῦν μέσος ἡμῶν ἕστηκε, καὶ διὰ τῶν προφητῶν, καὶ διὰ τῶν ἀποστόλων ἡμῖν φθεγγόμενος. ἀκούσωμεν τοίνυν καὶ πειθαρχῶμεν αὐτῷ. μέχρι τίνος ζῶμεν εἰκῇ καὶ μάτην; ὅταν γὰρ τὸν δοθέντα ἡμῖν χρόνον ἀναλώσωμεν εἰς οὐδέν, ἀπελευσόμεθα δίκην δώσοντες τὴν ἐσχάτην τῆς ἀκαίρου δαπάνης· διὰ τοῦτο γὰρ ἤγαγεν ἡμᾶς ὁ Θεὸς εἰς τὸν παρόντα βίον, καὶ ψυχὴν ἐνέπνευσε λογικήν, οὐχ ἵνα τῷ παρόντι βίῳ χρησώμεθα μόνον, ἀλλ' ἵνα πρὸς τὴν μέλλουσαν ζωὴν πάντες πραγματευσώμεθα. τὰ γὰρ ἄλογα μόνῳ τῷ παρόντι χρήσιμα βίῳ· ἡμεῖς διὰ τοῦτο ψυχὴν ἀθάνατον ἔχομεν· ἵνα πρὸς τὴν ἐκεῖ ζωὴν πάντα πράξωμεν· ἵνα ἐκεῖ λάμψωμεν, ἵνα μετὰ ἀγγέλων χορεύσωμεν· ἵνα τῷ βασιλεῖ παραστώμεθα διὰ παντὸς ἐν τοῖς αἰῶσι τοῖς ἀκηράτοις. διὰ τοῦτο γὰρ καὶ ἀθάνατος γέγονεν ἡ ψυχή, καὶ τὸ σῶμα ἔσται πάλιν· ἐὰν δὲ τῇ γῇ προσηλωμένος ᾖς, τῶν οὐρανίων προκειμένων, ἐνόησον ὅση γίνεται ὕβρις εἰς τὸν δωρούμενον· ὅταν ἐκεῖνος τὰ ἄνω σοι προτείνῃ· σὺ δὲ οὐ πολλὴν αὐτῶν ποιούμενος λόγον τὴν γῆν αὐτῶν ἀνταλλάσσῃ· διὰ ταῦτα καὶ γέενναν ἠπείλησεν, ἅτε καταφρονούμενος, ἵνα μάθῃς ἐντεῦθεν, ὅσων ἀποστερεῖς σεαυτὸν καλῶν. ἀλλὰ μὴ γένοιτο πεῖραν λαβεῖν τῆς κολάσεως ἐκείνης· ἀλλ' εὐαρεστήσαντας ἡμᾶς τῶν αἰωνίων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A dete hominem qui dixit mihi omnia quæcunque feci. Ex civitate autem illa Samaritanorum multi crediderunt in eum propter verbum mulieris teſtimonium perhibentis, quia dixit mihi omnia quæcunque feci. Imitemur & nos hanc mulierem Samaritanam, & ob propria peccata non erubeſcamus, ſed Deum timeamus. Jam verò contrarium fieri video: nam eum qui nos judicaturus eſt, non reformidamus; eos verò, qui nullatenus nos lædunt, perhorreſcimus, & ignominiam ab ipſis inurendam reformidamus: quapro- B pter in iis, quæ timemus, pœnam ſuſtinemus. Qui enim homini detegere peccata erubeſcit, Deo verò cernente facere non erubeſcit, neque confiteri vult, & pœnitentiam agere; in die illa non coram uno vel duobus, ſed univerſo terrarum orbe ſpectante traducetur. Colloquamur ergo cum Chriſto: nam & nunc in medio noſtrum ſtetit, & per Prophetas, ac per Apoſtolos nobis loquitur: audiamus igitur, & illi pareamus. Quouſque tandem temere ac fruſtra vivimus? cùm enim datum nobis tempus in re nulla conſumpſerimus, C immodicarum pœnas extremas expenſarum daturi diſcedemus. Idcirco enim in hanc vitam nos introduxit Deus, animamque participem rationis inſpiravit, non ut vita præſenti utamur tantum, ſed ut ad futuram vitam adipiſcendam omnes incumbamus. Nam brutæ animantes huic ſolùm vitæ ſunt utiles: nos animam immortalem propterea ſortiti ſumus, ut ad vitam, quæ illic traducitur, obtinendam cuncta faciamus; ut illic fulgeamus; ut cum Angelis choreas ducamus; ut in æternum per infinita ſæcula Regi aſtemus. D Propterea namque & immortalis facta eſt anima; corpuſque noſtrum rurſus erit. Quod ſi propoſitis rebus cœleſtibus, affixus terræ fueris, cogita quanta inferatur ignominia largitori: cùm illo tibi ſuperna porrigente, tu nihilominus illa non admodum curans, cum terra commutes. Idcirco gehennam quoque veluti contemptus minatus eſt, ut hinc intelligas quantis teipſum bonis prives. Sed abſit ut illud experiamur ſupplicium: quin potiùs Deo placentes æternis nos perfrui bonis contingat gratia & benignitate Domini E noſtri Jeſu Chriſti, cui gloria & imperium una cum ſancto & vivifico Spiritu nunc & ſemper, & in ſæcula ſæculorum. Amen.

A

Περὶ ζήλου καὶ εὐσεβείας καὶ εἰς τὸν ἐκ γενετῆς τυφλόν.

Πηγὴ φωτὸς ὁ τοῦ Θεοῦ λόγος· φωτὸς γὰρ γέμων, καὶ φωτὸς ἐκλάμπων, φωτίζει καὶ περιαστράπτει τὰς τῶν πιστῶν διανοίας. αὐτὸς γὰρ ἐξ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ λάμπει, καὶ τοὺς ἀπολαύοντας αὐτοῦ καταυγάζει· καὶ οὐ μόνον φωτίζει τῶν πιστῶν τὴν διάνοιαν· ἀλλὰ καὶ ὄνομα φωτὸς χαρίζεται. ἡ γὰρ θεία γραφὴ τοὺς τῇ ἀγνοίᾳ συντρόφους ὄντας, καὶ τῇ ἀπιστίᾳ συζῶντας δικαίως ὀνομάζει σκότος, μὴ δεχομένους τὴν λαμπάδα τῆς ἀληθείας, ἵνα ὦσιν υἱοὶ φωτός. διὰ τοῦτό φησι καὶ ὁ θεῖος ἀπόστολος Παῦλος· οὐκ ἐσμὲν υἱοὶ νυκτὸς οὐδὲ σκότους, ἀλλ' υἱοὶ φωτὸς καὶ ἡμέρας. καὶ ὡς ἀληθῶς υἱοὶ φωτός ἐσμεν οἱ τοῦ εὐαγγελικοῦ λόγου τοῦ λαληθέντος διὰ στόματος Θεοῦ· ἐγὼ γάρ εἰμι, φησὶν ὁ Χριστός, τὸ φῶς τοῦ κόσμου. ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. ἐκεῖνος γὰρ λόγος ἐστὶ φωτός, ὃς ἐὰν πιστευθῇ παρ' ἡμῶν, υἱοὺς φωτὸς παρασκευάζει γενέσθαι· ὅθεν φησὶ καὶ ὁ Σωτήρ· ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. ὡς γὰρ ἐπὶ τῶν σωμάτων τὸ αἰσθητὸν τοῦτο φῶς· οὕτως ἐπὶ τῶν ψυχῶν ὁ νοερὸς τοῦ Θεοῦ λόγος. καὶ ὅπερ ἐστὶν ἐν τῇ νυκτὶ τὸ σκότος, τοῦτο ἐν ταῖς πεπλανημέναις ψυχαῖς ἡ ἄγνοια. διὰ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ περὶ τῶν τοιούτων γράφει, λέγων· οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται. οὕτως οὖν τὴν συναγωγὴν ὁ Θεὸς τῇ ἀγνοίᾳ βεβαπτισμένην, καὶ μὴ βουλομένην ἀνανεῦσαι πρὸς τὴν γνῶσιν τῆς πνευματικῆς διδασκαλίας, νύκτα καλεῖ, ὁ Θεὸς διὰ τὴν συζῶσαν αὐτῇ ἄγνοιαν. ὅτε γὰρ τοῖς Ἰουδαίοις ὁ Θεὸς ἔλεγε διὰ τοῦ προφήτου· νυκτὶ ὡμοίωσα τὴν μητέρα ὑμῶν· καὶ ἑρμηνεύων, ὁποίαν λέγει νύκτα ὁμοίαν σκότους, ἐπήγαγεν· ὡμοιώθη ὁ λαός μου λαῷ μὴ ἔχοντι γνῶσιν· διὰ τοῦτο οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν νυκτὶ διαπορεύονται. ἀλλ' ἐκεῖνοι μὲν οὕτως· οἱ δὲ τὸ τῆς τοῦ Χριστοῦ διδασκαλίας δεξάμενοι τὸ φῶς, οἱ τοιοῦτοι φῶς ἀποτελοῦνται· ἔστι γὰρ ὁ Θεὸς ἡμῶν φῶς, καὶ ὁ λόγος αὐτοῦ ὁ ἐξ αὐτοῦ πρὸ αἰώνων ἀπαθῶς γεννηθείς, φῶς λέγεται, καὶ τὸ ἅγιον καὶ ὁμοούσιον, καὶ ζωαρχικὸν πνεῦμα, φῶς. φῶς καὶ φῶς, καὶ φῶς. ἀλλ' ἓν φῶς· καὶ ἡ ψυχὴ ἡ δεξαμένη τὸν λόγον, φῶς ὀνομάζεται· ἀλλ' ὁ μὲν Θεὸς φύσει τρισυπόστατον φῶς· ἡμεῖς δὲ κατὰ μετουσίαν ἐκείνου· καὶ πάλιν αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς φῶς

De zelo ac pietate, & de cæco à Nativitate.

FRONTONE DUCÆO interprete.

Fons eſt luminis verbum Dei: cùm enim plenum ſit luminis, & Ex Edit. Burdegalenſi 1604.
B lumen effundat, fidelium mentes illuminat, & ſplendore circundat: ſiquidem ipſum ex ſeipſo fulget, & eos qui ipſo fruuntur, illuſtrat: nec ſolùm fidelium mentes illuminat, ſed & lucis nomen impertit. Nam qui ignorantiæ ſunt innutriti, & infidelitati addicti, meritò Scriptura tenebras eos appellat, ut pote qui veritatis lucernam non recipiant, ut ſint filii lucis. Propterea dicit & divinus Apoſtolus Paulus: *Non ſumus filii noctis, neque tenebrarum, ſed filii lucis & diei.* Ac re vera lucis filii ſumus, qui Evangelici verbi, 1. Theſſ. 5. 5.
C quod Dei ore prolatum eſt, filii ſumus. *Ego enim*, inquit Chriſtus, *ſum lux mundi: qui ſequitur me non ambulabit in tenebris: ſed habebit lumen vitæ.* Illud namque verbum eſt lucis: cui ſi nos fidem adhibuerimus, efficit ut in filios lucis evadamus, unde etiam Salvator ait, *Dum lucem habetis, credite in lucem, ut filii lucis ſitis.* Ut enim ſe habet erga corpora lux iſta, quæ ſenſu percipitur: ſic erga animas ſpirituale verbum Dei: quodque tenebræ ſunt in nocte, hoc in animabus ſeductis eſt ignorantia. Idcirco etiam de talibus ſcribit bea- Joan. 8, 12. Joan. 12, 36.
D tus David, dicens *Neſcierunt, neque intellexerunt: in tenebris ambulant.* Sic igitur Synagogam ignorantia ubrutam, nec volentem oculos ad ſpiritualis doctrinæ cognitionem reflectere, noctem appellat Deus ob ignorantiam, cui addicta erat. Cùm enim diceret Deus Judæis per Prophetam; Nocti aſſimilavi matrem veſtram; quam ſimilem tenebris noctem appellaret, exponens addidit; Aſſimilatus eſt populus meus populo non habenti ſcientiam: propterea neſcierunt, neque intellexerunt: in nocte ambulant. Verùm illi qui- Pſal. 81, 5.
E dem hoc pacto: at qui doctrinæ Chriſti lucem receperunt, ejuſmodi homines lux redduntur. Lux enim eſt Deus noſter, itemque Verbum ejus, quod ex ipſo ante ſæcula abſque ulla paſſione generatum eſt, lux dicitur, & ſanctus, atque conſubſtantialis, vitæque largitor Spiritus, lux vocatur. Lux & lux, & lux: ſed una lux eſt: & anima quæ verbum ſuſcepit, lux appellatur: ſed DEUS quidem lux eſt naturaliter in tribus perſonis ſubſiſtens; nos verò per illius participationem, & rurſus ipſe DOMINUS noſter JESUS CHRISTUS lux eſt,

Joan. 1, 9. de quo Joannes Evangeliſta dicit; *Erat lux vera, quæ illuminat omnem hominem venientem in mundum.* Cùm vero ſit lux de luce ineffabili, legem luce redundantem tranſmittit, juxta Prophetam
Pſ. 118, 104. dicentem; *Lucerna pedibus meis verbum tuum, & lumen ſemitis meis.* Poſtquam igitur lucem veritatis verbum ſuſceperit anima, lux
Eph. 5, 6. ipſa quoque redditur, & audit à Paulo: *Eratis enim aliquando tenebræ: nunc autem lux in Domino;* cùm autem lucem Euangelicam mens receperit, ratione fidei lux etiam nominatur, eodemque
Matt. 5, 17. modo ratione operum. *Luceat enim*, inquit, *lux veſtra coram hominibus, ut videant opera veſtra bona, & glorificent patrem veſtrum, qui in cœlis eſt.* Neceſſe namque eſt eum qui fidei lucem receperit, ad opera quoque lucis progredi: neque vero lucem eſſe tantum oportet fidelis animam, ſed & per opera coram hominibus lucere: propterea Salvator etiam dicit, Luceat lux veſtra coram hominib', ut videant opera veſtra bona, & glorificent patrem veſtrum, qui in cœlis eſt. Ac vide rem mirabilem: lux quidem à Deo procedens ſimplex eſt, ſed radios habet differentes, non natura, ſed operatione, ac mittitur quidem in omnem animam ſplendida doctrina Dei, juxta illud dictum: Et ſit ſplendor Domini Dei noſtri ſuper nos, ut apud eum opera noſtra dirigantur: unus eſt ſplendor, ſed adveniens multos apud nos ſplendores efficit, ſplendorem eleemoſynæ, ſplendorem caſtitatis, ſplendorem hoſpitalitatis, ſplendorem fraterni amoris. Apud Deum quidem ſplendor eſt unus, hic verò cùm ad nos tranſmiſſus fuerit, diverſos operatione ſua fulgores producit, dum huic ſplendorem prophetiæ largitur, alii ſplendorem Apoſtolatus, alii martyrii ſplendorem. Illic quidem ſplendor unus
Pſ. 109, 3. eſt; in nobis autem multi, ſicut ſcriptum eſt: *Tecum principium in die virtutis tuæ in ſplendoribus ſanctorum tuorum.* Cur igitur re-
1. Cor. 12, 29. cenſet eos Paulus, & dicit: *Nunquid omnes Apoſtoli? nunquid omnes Prophetæ? nunquid omnes doctores?* non ita ſine cauſa dividit Paulus: ſed ut idoneas offendit animas, non pro ſua auctoritate, ſed ſecundum fidei confeſſionem: non quod pro arbitrio ſuo det, aut pro libitu, ſed quòd ejus arbitrium ſine judicio non ſit, verùm ſecundùm donationes gratiarum. Nam quemadmodum floridæ recteque tinctæ regiæ veſtes radium quidem ſolarem excipiunt, at diverſos fulgores emittunt: & qualis tincturæ fuerit pulchritudo, talem coloris nitorem efficit: utque tranſmittatur à ſubjecta tinctura decor in aurum, vel in purpuram, vel in praſinum, aut in alium quendam colorem non quòd radius dividatur, ſed pro conditione ſua veſtis radium luce diſpenſet: ejuſmodi floribus relucet Eccleſiæ pulchritudo, quæ regia veſte induta eſt & cæleſti ac varie-
Pſal. 44, 9. gata ſtola decorata, ſicut & pſalmorum auctor dicit: *Filiæ regum in honore tuo.* Aſtitit regina à dextris tuis, in veſtitu deaurato circumamicta, variegata. Quomodo variegata eſt? Spiritus ſancti
Heb. 2, 4. donis, ſicut Paulus ait, *Operante Deo ſignis, & portentis, & variis virtutibus, & Spiritus ſancti diſtributionibus.* Quid verò Chriſti Eccleſiam appellabo? ſponſam ornatam, reginam comptam, hortum vernantem, pratum redundans fertilitate: & ſi quid aliud dixero, minùs quàm pro dignitate verba fecero. Propterea dicebat
Eſa. 61, 10. Eſaïas Propheta, ex perſona Eccleſiæ vocem ejus aſſumens, *Exultet anima mea in Domino: induit enim me veſtimento ſalutis.* & quoniam exemplo utebatur, neque totam Eccleſiæ pulchritudinem deſcribere poterat, illud varietate diſtinguit dicens: Sicut ſponſam ornavit me mundo muliebri, & ſicut ſponſo circumpoſuit mihi mitram: ſicut terram efficientem fruges ſuas, & ſicut hortum olerum ſemina ſua. Hortus enim re vera concluſus ac paradiſus eſt Eccleſia Dei vivi. Paradiſum autem dico non antiquo illi ſimilem, ſed illo multo ſublimiorem. Etenim illic quidem ſerpens regnabat, hic verò Chriſtus regnat. Noli dignitatem nominis ſpectare, ſed rei virtutem. Nam neque paradiſus in pretio habendus eſt, niſi Dei mandatum in eo ſervetur: neque vilia loca ſunt ignominioſa, ſi in eis ſit lex Dei regnantis. Utrum melius? utrum potius? paradi-
Gen. 3, 9. ſus, an ſterquilinium? veruntamen Adamo propter tranſgreſſionem
Job. 2, 8. paradiſus nihil profuit: Job verò ſterquilinium, propter patientiam nihil nocuit. Adamus in paradiſo propter inobedientiam ignominia afficitur: Job autem propter patientiam in ſterquilinio coronatur. Nuſquam enim locorum dignitas comparatur, niſi bona mens concurrat: & paradiſo ſublimius eſt cœlum, ſed ca-
Prov. 25, 3. dit inde Diabolus. *Profunda eſt terra, & cœlum in ſublime tollitur:* at è cœlo cadit Diabolus, poſtquam tranſgreſſus eſt,
Luc. 10, 18. juxta illud: *Videbam Satanam ſicut fulgur de cœlo caden-*
Pſ. 112, 7. *tem, at exultantur de terra inopes:* juxta illud, *Suſcitans è terra*

περὶ οὗ ὁ εὐαγγελιστὴς Ἰωάννης φησίν· ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἀλλὰ φῶς ὑπάρχων ἐκ φωτὸς ἀῤῥήτου, καὶ τὸν νόμον διαπέμπεται φωτὸς γέμοντα, κατὰ τὸν προφήτην τὸν λέγοντα· λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. δεξαμένη τοίνυν ἡ ψυχὴ τὸν τῆς ἀληθείας τὸν φωτεινὸν λόγον, καὶ αὐτὴ φῶς ἀποτελεῖται, καὶ ἀκούει παρὰ τοῦ Παύλου· ἦτε γάρ ποτε σκότος, νυνὶ δὲ φῶς ἐν Κυρίῳ. ὅταν δὲ δέξηται ἡ διάνοια τὸ φῶς τὸ εὐαγγελικὸν, καὶ κατὰ τὴν πίστιν φῶς ὀνομάζεται· ὡσαύτως δὲ καὶ κατὰ τὰ ἔργα. λαμψάτω γάρ φησι τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν οὐρανοῖς. ἀνάγκη γὰρ τὸν δεξάμενον φῶς πίστεως ἐλθεῖν καὶ εἰς ἔργα φωτός. οὐ μόνον δὲ εἶναι δεῖ τοῦ πιστοῦ τὴν ψυχὴν φῶς, ἀλλὰ καὶ κατὰ τὰ ἔργα λάμπειν ἔμπροσθεν τῶν ἀνθρώπων. διὰ τοῦτο καὶ ὁ Σωτήρ φησι· λαμψάτω φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ ὅρα τὸ θαυμαστόν· τὸ μὲν γὰρ ὑπὸ τοῦ Θεοῦ φῶς ἁπλοῦν ἐστιν· ἀκτῖνας δὲ διαφόρους ἔχει οὐ τῇ φύσει, ἀλλὰ ταῖς ἐνεργείαις· καὶ πέμπεται μὲν ἡ λάμπουσα τοῦ Θεοῦ διδασκαλία ἐπὶ πᾶσαν πιστὴν ψυχήν, κατὰ τὸ εἰρημένον· καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, ἵνα παρ' αὐτοῦ κατευθύνηται τὰ ἔργα ἡμῶν· μία ἐστὶν ἡ λαμπρότης, ἀλλ' ἐρχομένη πρὸς ἡμᾶς πολλὰς λαμπρότητας ἀποτελεῖ, λαμπρότητα ἐλεημοσύνης, λαμπρότητα σωφροσύνης, λαμπρότητα φιλοξενίας, λαμπρότητα φιλοστοργίας. παρὰ μὲν τῷ Θεῷ μία λαμπρότης· αὕτη δὲ εἰς ἡμᾶς πεμπομένη τῇ ἐνεργείᾳ διαφόρους ἀποτελεῖ τὰς μαρμαρυγάς· τῷ μὲν χαριζομένη λαμπρότητα προφητείας, ἄλλῳ λαμπρότητα ἀποστολῆς, ἄλλῳ λαμπρότητα μαρτυρίου. ἐκεῖ μὲν μία λαμπρότης· εἰς ἡμᾶς δὲ πολλαὶ κατὰ τὸ εἰρημένον· μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. διὰ τοῦτο Παῦλος ἀπαριθμεῖται, καὶ λέγει· μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; οὐχ ἁπλῶς οὕτως διαιρεῖ ὁ Παῦλος· ἀλλ' ὡς εὑρίσκει ψυχὰς ἐπιτηδείας, οὐ κατὰ τὴν αὐθεντίαν μερίζει, ἀλλὰ κατὰ τὴν ὁμολογίαν τῆς πίστεως· οὐχ ὅτι παρὰ τὸ βούλημα αὐτοῦ δίδωσιν, οὐδὲ παρὰ τὸ θέλημα, ἀλλ' ὅτι τὸ θέλημα αὐτοῦ οὐκ ἔστιν ἄκριτον, ἀλλὰ κατὰ τὰ χαρίσματα τῶν δωρεῶν. ὥσπερ τὰ ἀνθηρὰ καὶ εὐβαφῆ τῆς βασιλικῆς ἐσθῆτος δέχεται μὲν ἀκτῖνα ἡλιακήν, διαφόρους δὲ τὰς μαρμαρυγὰς ἀνατέλλει, καὶ οἷον ἂν εἴη τῆς βαφῆς τὸ κάλλος, τοιαύτην τὴν εὐχροιαν ἀπεργάζεται· καὶ ὥσπερ ὑπὸ τῆς προκειμένης βαφῆς μεταβάλλεται καὶ τοῦ ἀέρος τὸ κάλλος εἰς χρυσὸν, ἢ εἰς πορφύραν, ἢ εἰς πράσινον, ἢ εἰς ἄλλο τι τῶν χρωμάτων, οὐ τῆς ἀκτῖνος μεριζομένης, ἀλλὰ τῆς ἐσθῆτος τὴν οἰκονομίαν τῆς ἀκτῖνος σχηματιζομένης· τοῖς φωτὸς τοιούτοις ἀεὶ ἄνθεσι λάμπει τῆς ἐκκλησίας τὸ κάλλος· βασιλικὴν ἔχουσα τὴν ἐσθῆτα, καὶ ἐστολισμένη οὐρανίαν καὶ ποικίλην στολήν· ὡς καὶ ὁ ψαλμῳδὸς λέγει· θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. πῶς πεποίκιλται; τοῦ ἁγίου πνεύματος δωρεαῖς, κατὰ τὴν Παύλου φωνήν, ἐνεργοῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι, καὶ πνεύματος ἁγίου μερισμοῖς· ἀλλὰ τί ὀνομάσω τοῦ Χριστοῦ τὴν ἐκκλησίαν; νύμφην ἐστολισμένην, βασιλίδα κεκαλλωπισμένην, παράδεισον κομῶντα, λειμῶνα βρύοντα τῆς εὐκαρπίας· καὶ εἴ τι ἕτερον ἂν εἴπω, τῆς ἀξίας ἔλαττον φθέγγομαι. διὰ τοῦτο ὁ προφήτης Ἠσαΐας ἐκ προσώπου τῆς ἐκκλησίας ἀναλαβὼν αὐτῆς τὴν φωνήν, ἔλεγεν· ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου. καὶ ἐπειδὴ ἐν ὑποδείγματι ἦν, καὶ ὅλον τὸ κάλλος τῆς ἐκκλησίας οὐκ ἠδύνατο φράσαι, διαφορὰν αὐτοῦ προστίθησι, λέγων· ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς γῆν αὔξουσαν τὰ γεννήματα αὐτῆς, καὶ ὡς κῆπον λαχάνων τὰ σπέρματα αὐτοῦ· κῆπος γὰρ ὡς ἀληθῶς κεκλεισμένος καὶ παράδεισος ἡ ἐκκλησία τοῦ Θεοῦ τοῦ ζῶντος· παράδεισον δὲ λέγω οὐ κατὰ τὸν ἀρχαῖον ἐκεῖνον, ἀλλὰ πολὺ ἐκείνου ἀνώτερον. ἐκεῖ μὲν γὰρ ἐβασίλευσεν ὁ ὄφις, ἐνταῦθα δὲ βασιλεύει ὁ Χριστός· μὴ τῇ ἀξιοπιστίᾳ πρόσεχε τοῦ ὀνόματος, ἀλλὰ τῇ δυνάμει τοῦ πράγματος· οὔτε γὰρ παράδεισός ἐστι θαυμαστὸς, ἐὰν μὴ ἔχῃ Θεοῦ ἐντολὴν τηρουμένην· οὔτε τὰ εὐτελῆ τῶν τόπων ὑβρίζεται, ἐὰν ἔχῃ Θεοῦ βασιλεύοντος τὸν νόμον. τί βέλτιον; τί κρεῖττον; παράδεισος ἢ κοπρία; ἀλλ' ὅμως τὸν Ἀδὰμ διὰ τὴν παράβασιν παράδεισος οὐκ ὠφέλησεν· τὸν Ἰὼβ δὲ διὰ τὴν ὑπομονὴν κοπρία οὐκ ἔβλαψεν. ὁ Ἀδὰμ ἐν παραδείσῳ καταισχύνεται διὰ τὴν παρακοήν· Ἰὼβ δὲ ἐπὶ τῆς κοπρίας στεφανοῦται διὰ τὴν ὑπομονήν. οὐδαμοῦ γὰρ ἀξιοπιστία τῶν τόπων συμβάλλεται, μὴ συντρεχούσης τῆς ἀγαθῆς γνώμης· καὶ παραδείσου ὑψηλότερος ὁ οὐρανὸς, ἀλλὰ πίπτει ἐκεῖθεν ὁ διάβολος· ἡ γῆ βαθεῖα, καὶ ὁ οὐρανὸς μετεωρίζεται· πίπτει ἐξ οὐρανοῦ ὁ διάβολος παραβὰς, κατὰ τὸ, ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· ἀγαλλιῶνται δὲ ἀπὸ γῆς πτωχοὶ κατὰ τὸ, ὁ ἐγείρων ἀπὸ

γῆς

γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. ὁρᾷς ὡς οὐχ ἡ τῶν τόπων διαφορὰ χαρίζεται ἡμῖν τὰ πλεονεκτήματα, ἀλλὰ πανταχοῦ πίστις, καὶ ὑπομονὴ, καὶ ἐλπὶς τοὺς στεφάνους πλέκει τοῖς ἀξίοις; οὐδὲν κοιτῶνος κάλλιον· οὐδὲν θεάτρου γυμνότερον· τί ὠφέλησε τὴν ἀκόλαστον Αἰγυπτίαν ἡ ἐν κοιτῶνι μοιχεία; τί ἔβλαψε τὴν πρωτομάρτυρα Θέκλαν τὸ ἐν θεάτρῳ γυμνὴν παλαίειν; οὐχ ἡμάρτησε γυμνωθεῖσα, οὐχ ὑβρίζεται ἡ ἁγία, ἀλλὰ στεφανοῦται· καὶ ἡ μὲν ἐν τῷ θεάτρῳ στεφανοῦται, ἡ δὲ ἐν τῷ νυμφῶνι στηλιτεύεται. τί ὠφέλησε τὰ εἴδωλα,* καὶ ἡ τῶν μὴ ὄντων προσκύνησις; τὰ τῶν ναῶν μεγέθη λέγω· τί δὲ ἔβλαψε τοὺς μάρτυρας ἡ τῶν τάφων εὐτέλεια; οὐ κατῃσχύνθη ἡ πλάνη ἐν μεγέθει, καὶ ὑψώθη τὰ τῶν μαρτύρων ἐν ταπεινώσει; οὕτως ἡ ἐκκλησία Θεοῦ τοῦ ζῶντος παράδεισός ἐστι τρυφῆς. ἐν τῷ παραδείσῳ ὁ ὄφις ἐχόρευσε, καὶ ἠπάτα· ἐν τῷ παραδείσῳ τούτῳ λέγει ὁ Σωτήρ· ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. ἐν τῷ παραδείσῳ ἐκλείσθη ἡ ὁδὸς τῆς ζωῆς τῷ Ἀδὰμ διὰ τὴν παράβασιν· καὶ ἵνα δείξῃ ὁ Θεὸς, ὅτι οὐκ ἐμποδίζεται ἡ ἐνάρετος ψυχὴ, ἔξω τοῦ παραδείσου τὰ μείζονα λαμβάνει τῶν ἐν τῷ παραδείσῳ. τῷ Ἀδὰμ ἀποκλείεται ὁ παράδεισος, καὶ Πέτρος πιστεύεται τὰς κλεῖς τοῦ οὐρανοῦ. Ἀδὰμ ἐκβάλλεται τοῦ παραδείσου, καὶ Παῦλος ἁρπάζεται ἕως τρίτου οὐρανοῦ· τῷ Ἀδὰμ ἀποτειχίζεται τὸ ξύλον τῆς ζωῆς. εἶπε γὰρ ὁ Θεὸς, φησὶ, μήποτε ἅψηται Ἀδὰμ τοῦ ξύλου τῆς ζωῆς· ἐκεῖ ἡ ζωὴ κεκώλυται, καὶ τὸ ξύλον τῆς ζωῆς ἐκωλύθη παρὰ τοῦ παραβάντος· ὧδε ἐπάγη τὸ ξύλον τοῦ σταυροῦ, καὶ πάντες οἱ βουλόμενοι τρυγῶσι ζωὴν αἰώνιον. ἐν τῷ παραδείσῳ μετὰ τὴν παράβασιν κρύπτεται ὁ Ἀδὰμ τὸν Θεὸν, ὑπὸ τοῦ συνειδότος πληττόμενος· ἀνακαλεῖται αὐτὸν ὁ τὰ πάντα ζητῶν, καί φησιν· Ἀδὰμ, ποῦ εἶ; οὐκ ᾔδεις γὰρ ποῦ ἐστιν; Ἀδὰμ, ποῦ εἶ; ἐλέγχων αὐτοῦ τὴν παρανομίαν λέγει, ποῦ εἶ; ἀντὶ τοῦ, ἐν τίσιν εἶ; μὴ ἰσόθεόν σε εἰργάσατο ἡ ἀπάτη τοῦ ὄφεως; εἶδες πῶς γεγύμνωσαι; ποῦ εἶ; τῆς φωνῆς σου ἤκουσα, καὶ ἐκρύφθην. ἐκεῖνος κρύπτεται ἐν παραδείσῳ· οἱ ἀπόστολοι λέγουσιν, ἡμεῖς πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, ἀπὸ δόξης εἰς δόξαν. εἶδες παρρησίαν ἔξω τοῦ παραδείσου; εἶδες αἰσχύνην ἔσω τοῦ παραδείσου; ἐν τῷ παραδείσῳ μετὰ τὴν παράβασιν ἐνδύει ὁ Θεὸς τὸν Ἀδὰμ χιτῶνας δερματίνους. ἴδωμεν τί ἐνεδύθη. ἐκεῖνος ἐκεῖ χιτῶνα ἐνεδύσατο· ὧδε, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο. ἐκεῖ ἀποκλεισθέντος τοῦ παραδείσου, τὰ Χερουβὶμ, καὶ ἡ στρεφομένη ῥομφαία κωλύουσα τὴν ὁδὸν τοῦ παραδείσου· καὶ ἦν ὥσπερ τεῖχος καὶ ἀποτείχισμα τῷ Ἀδὰμ, μὴ συγχωροῦν εἰσελθεῖν διὰ τὴν παρακοὴν τὴν ἐν παραδείσῳ μετὰ τὴν παράβασιν. οὐκ εἰς κατηγορίαν λέγω τοῦ παραδείσου, ἀλλ' ὅτι ἐκεῖνο τὸ θεοπρεπὲς χωρίον οὐδὲν ὠφέλησε τοὺς μὴ μετὰ γνώμης ἀγαθῆς ἀναστρέφεσθαι βουληθέντας. καὶ ἦν πυρὸς τεῖχος κυκλοῦν τὸν παράδεισον, καὶ μὴ συγχωροῦν τῷ παραβάντι εἰσελθεῖν· ἵνα δείξῃ ὁ Θεὸς, ὅτι οὐ πῦρ πολέμιον ἦν αὐτῷ, ἀλλ' ἡ παράβασις τὸν Ἀδὰμ ἐκώλυσε τοῦ πυρὸς τὸ τεῖχος εἰσελθεῖν· καὶ Ἠλίαν ἅρμα πυρὸς ἥρπασεν εἰς τὸν οὐρανόν. οὐ ψεύδεται ἡ ἐκκλησία τοῦ Θεοῦ, λέγουσα· ἐνέδυσέ με ὁ Θεὸς ἱμάτιον σωτηρίου, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, ὡς γῆν αὔξουσαν τὰ γεννήματα αὐτῆς, καὶ ὡς * μέγας τῆς ἀληθείας κῆπος. οὗτος ὁ μέγας παράδεισος, ἡ ἐκκλησία ἡ οἰκουμένη. Χριστὸς βασιλεύει, καὶ νομοθετῶν πιστεύεται, εἰ μήπου τις εὑρεθῇ ἐν τῇ ἐκκλησίᾳ αἱρετικὴν πλάνην νοσῶν, ὑπὸ τῆς τῶν ὄφεων διδασκαλίας, λέγω δὴ τῆς αἱρετικῆς πλάνης· καὶ ἐκβαλλόμενος ἐντεῦθεν, ὡς τοῦ παραδείσου Ἀδάμ. ὥσπερ γὰρ ἐκεῖ ὁ πεισθεὶς τῇ τοῦ ὄφεως διδασκαλίᾳ ἐξωρίσθη τοῦ παραδείσου· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ οἱ Παύλῳ μὴ πειθόμενοι, οἱ ὑπὸ Πέτρου μὴ διδασκόμενοι, ἀλλὰ ταῖς τῶν ὄφεων πειθόμενοι διδασκαλίαις, ἐκβάλλονται τούτου τοῦ παραδείσου· πόθεν οὖν τοῦτο δῆλον, λέγει ὁ Παῦλος· ζηλῶ γὰρ ὑμᾶς ζήλῳ Θεοῦ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· φοβοῦμαι δὲ μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν, οὕτως φθαρῇ τὰ νοήματα ὑμῶν· ἀλλ' οὐκ ἔχει χώραν ἐνταῦθα ὄφεως διδασκαλία, τοῦ μεγάλου ποιμένος τῇ βακτηρίᾳ τῆς πίστεως συντρίβοντος τὴν κεφαλὴν τῶν ὄφεων. καὶ γὰρ ὡς ποιμὴν ὁ θαυμάσιος ἡμῶν πατὴρ συντρίβει τὰς κεφαλὰς τῶν δρακόντων τῇ εὐαγγελικῇ πίστει καὶ τῇ εἰς Χριστὸν ἐλπίδι· καὶ ὡς ἄριστος φυτοκόμος καὶ κηπουρὸς, τρέφει μὲν τὰ φυτὰ τῆς ἐκκλησίας, ἐκριζοῖ δὲ, εἴ τι νόθον σπέρμα καὶ βλάστημα· τὴν νόσον τῆς δυσσεβείας, τὴν πλάνην τὴν Ἑλληνικὴν, ὡς ἀκάνθας, πυρὶ παραδίδωσι· τὴν δὲ αἱρετικὴν πλάνην ὡς ἄχρηστον χιλὸν ἐκβάλλει, ζήλῳ ἐνδεδυμένος Θεοῦ, ὃν οἱ πολλοὶ ἀγνοοῦσιν. εἰώθασι γάρ τινες κατασοφίζεσθαι τῆς ἐκκλησίας καὶ τῶν ἁγίων ποιμένων, ὥσπερ οὖν καὶ τούτου τοῦ θαυμασίου πατρός. καὶ πολλοὶ ἐν ἐπιεικείας σχήματι ἀργίαν εἰσάγουσι, καὶ ζῆλον ὑβρίζουσι, καὶ Θεοῦ ἀκμάζοντα λόγον πειρῶνται ἀμβλύνειν.

A *inopem, & de ſtercore erigens pauperem.* Vides locorum diſcrimen
efficere, ut ſuperiores evadamus. ſed ubique fidem,& patientiam,
& ſpem promerentibus coronas acquirere? Nihil cubicu-
lo honeſtius, nihil theatro patentius: quid laſcivæ profuit Ægy-
ptiæ adulterium in cubiculo? quid primæ martyri Theclæ nocuit
nudam in theatro certare? non peccavit denudata: non afficitur
ignominia, ſed coronatur ſancta. Atque hæc quidem in theatro
coronatur, illa verò in thalamo infamatur. Quid profuit idolis
B etiam eorum quæ non ſunt, adoratio, templorum inquam amplitu-
do? quid verò martyribus obfuit vilitas ſepulchrorum? nónne de-
decus inuſtum eſt errori in amplitudine,& in humilitate res marty-
rum ſunt exaltatæ? ita paradiſus eſt deliciarum Eccleſia Dei vivi.
In illo paradiſo ſerpens tripudiabat, & decipiebat, in hoc paradiſo
Salvator, *Ecce dedi vobis poteſtatem calcandi ſupra ſerpentes,& ſcor-* Luc.10.19
piones, & ſuper omnem virtutem inimici, & nihil vobis nocebit. In
paradiſo via vitæ Adamo propter tranſgreſſionem occluſa eſt: utq;
C oſtenderet Deus, animam virtute præditam minimè impediri, ex-
tra paradiſum majora recipit, quàm quæ fuerant in paradiſo. Oc-
cluditur Adamo paradiſus, & Petro claves cœlorum creduntur. E-
jicitur è paradiſo Adamus,& in tertium cœlum rapitur Paulus: in-
terdicitur Adamo lignum vitæ: dixit enim Deus, inquit, *Ne fortè* Gen.3.22.
attingat Adam lignum vitæ. Illic prohibita eſt vita,& lignum vi-
tæ prohibitum eſt ei qui tranſgreſſus erat: hîc lignum crucis plan-
tatum eſt, & omnes qui voluerint, vitam æternam decerpunt.
D In paradiſo poſt tranſgreſſionem occultat ſe Deo Adamus, à con-
ſcientia perculſus: revocat eum is qui cuncta perquirit: & ait: A-
dam ubi es? Non enim ſciebas, ubi eſſet? Adam ubi es? Hoc dicit,
ut ejus arguat iniquitatem: ubi es? quaſi diceret, Quo in ſtatu es?
Nunquid æqualem te Deo reddidit fraus ſerpentis? Vides ut nuda-
tus fueris? Ubi es? Vocem tuam audivi, & abſconditus ſum. Ille
abſconditur in paradiſo: Apoſtoli dicunt: *Nos omnes revelata facie* 2.Cor.3.18
gloriam Domini ſpeculamur à claritate in claritatem. Vidiſti fidu-
E ciam extra paradiſum? Vidiſti ignominiam intra paradiſum? In
paradiſo poſt tranſgreſſionem pelliceis tunicis induit Adamum
Deus. Videmus quo indutus fuit. Ille tunica fuit illic indutus;
Quicunque in Chriſto baptizati ſunt, Chriſtum induerunt. Illic Gal.3.27.
occluſo paradiſo, Cherubim & gladius verſatilis, qui viam inter-
cludit paradiſi, eratque tanquam paries & munimentum, quo in-
gredi prohibebatur Adamus, propter inobedientiam quæ in paradi-
ſo acciderat, poſt tranſgreſſionem. Non ut accuſem paradiſum,
A hoc dico, ſed ut oſtendam locum illum Deo convenientem nihil ei
profuiſſe, qui bono animo converſari noluerit: eratque paries
igneus, qui paradiſum circumvallabat, neque ſinebat ingredi tranſ-
greſſorem: ut indicaret Deus non ignem illi fuiſſe adverſatum, ſed
prohibuiſſe tranſgreſſionem, ne igneum parietem penetraret: nam
& Eliam currus igneus in cœlum abripuit. Non mentitur Eccle-
ſia, quæ dicit, *Induit me Deus veſtimento ſalutis, & ſicut ſponſam* Eſ.61.10.
ornavit me mundo muliebri, ſicut terram efferentem fruges ſuas. &
B ſicut magnum ortum veritatis. Magnus hic paradiſus, eſt uni- ἴσ. μέγα
verſi orbis Eccleſia. Chriſtus regnat, eique leges ferenti fides ad- τ. ἀλη
hibetur: niſi quis fortè fuerit inventus in Eccleſia hæretico infectus νον.
errore, & ſerpentis doctrina corruptus, hoc eſt hæreticorum erro-
re, & ejicitur inde, ſicut Adamus è paradiſo. Nam quemadmo-
dum illic is, qui ſerpentis doctrinæ fuerat obſequutus, è paradiſo re-
legatus eſt: ſic in Eccleſia, qui Paulo non parent, qui à Petro non
docentur, ſed documentis ſerpentum obſequuntur, ex hoc paradiſo
C exterminantur, unde hoc conſtat? ait Paulus: *Æmulor enim vos* 2.Cor.11.2
Dei æmulatione: Deſpondi enim vos uni viro virginem caſtam ex-
hibere Chriſto. Timeo autem, ne ſicut ſerpens Evam ſeduxit, ita
corrumpantur ſenſus veſtri. Veruntamen hîc locum non habet
doctrina ſerpentis, cùm magnus paſtor fidei baculo capita ſerpen-
tum conterat. Etenim tanquam paſtor, mirificus pater noſter Ev-
angelica fide ac ſpe in Chriſtum conterit capita draconum, & tan-
D quam optimus plantarum cultor & hortulanus, plantas quidem
Eccleſiæ nutrit, radicitus autem evellit quodcumque fuerit ſemen
adulterinum aut germen, impietatis morbum, errorem Gentilitatis
tanquam ſpinas igni tradit, hæreticum errorem tanquam gramen
evulſum abjicit zelo Dei indutus, qui multis ignotus. Solent enim
nonnulli Eccleſiam & ſanctiores, qualis eſt hic admirabilis pater, ca-
ptivè ac fraudolenter aggredi, & per ſpeciem clementiæ
& benignitatis negligentiam introducunt, zelum vituperant.
E Deique verbum quod viget ac floret, debilitare conantur.

Reperies enim aliquem, qui ſpecie ac prætextu clementiæ commendandæ dicet: Quid enim nobis rei eſt cum Gentibus? Vult ſalvus fieri? ſalvus fiat. Qui hæc dicit, nondum zelo pietatis accenſus eſt: qui pereuntem videt, neque illius perditionem luget, neque ſuam jacturam arbitratur, pietatis zelum minimè novit, ſpiculis veritatis ſauciatus non eſt. Qui ergo videt pereuntem, neque zelo ducitur,
2. Cor. 11, 29. ut ait Paulus, *Quis infirmatur, & ego non infirmor?* is Pauli diſcipulus non eſt. Conferat cum iſto Patris rectè facta, & videbit cum Apoſtolicis vocibus conſentire, Quis infirmatur, & ego non infirmor? quis ſcandalizatur, & ego non uror? Qui ita ſentiunt, fratres ſunt Apoſtolorum. Juſtus enim non ob ea tantùm, in quibus peccavit, mœrore afficitur, ſed etiam ob ea in quibus alios
Pſ. 118, 53. peccantes viderit, ut ait David: *Mœſtitia tenuit me pro peccatoribus derelinquentibus legem tuam.* Si quis ob aliorum peccata mœrore afficitur, zelum & æmulationem habet pietatis. Juſtus enim, cùm vitam ſuam correxerit, lacrymatur, & luget, ut peccatum ſuum deleat: ac deinde ubi peccatis ſuis finem impoſuit, aliorum dein-
2. Cor. 12, 21. ceps peccata deplorat: quemadmodum & Paulus: *Ne fortè cùm venero, multos lugeam ex iis qui antè peccaverunt, & non egerunt pœnitentiam.* Paulus eos luget, qui peccarunt, & pœnitentiam non egerunt; Samuel luget Saulem, ita ut diceret Deus: *Uſ-*
1. Reg. 16, 1. *quequo tu luges ob Saul?* Vides animam pereuntem, & non luges. Si quis mortuum efferri viderit: & non fleverit, tanquam immitis, durus, & efferatus reprehenditur: ſi videris animam in impietate demerſam, & æterna morte damnatam, & in impietate perſeverantem, non ploras, dic quæſo? non luges? Hoccine eſt animæ religioſæ? Sanè quidem alia omnia lugere oportet peccata eum qui rectè ſapiat, præcipuè verò, cùm animam viderit in Gentilitatis impietate demerſam. Ob ejuſmodi animam non ſolùm lugere oportet, verumetiam uri, & zelo accendi, ut quis diſcipulus Pauli fiat. Cùm enim verſaretur, inquit, Paulus Athenis, inflammabatur Spiritus ejus videndo civitatem deditam idolorum cultui? Quare verò ita ſentiunt viri ſancti? quemadmodum & admirabilis hic pater pietatis erat defenſor? Nam quemadmodum Rex in terris ſubjectum ſibi regit orbem terrarum habet, autem in ſingulis tribunalibus palatii, qui ſibi patrocinantur & ſuffragantur: ſic & Deus fideles habet paſtores pietatis ac religionis defenſores. Multi enim ex Gentibus irridentes, dicunt, cùm Chriſtianos audiunt, dicentes ipſis, Cur blaſphematis? cur impiè agitis? continuò irrident: Ecce defenſores Dei. Non poteſt Deus ſeipſum defendere? Immo ſeipſum non defendit: neque enim divinitatem probro afficit: ſed per fideles famulos, ingratos ſervos caſtigat. An indiget Deus defenſoribus? Ita eſt, non quòd ipſe ſit infirmus, ſed ut tibi zeli fores aperiat. Si enim omnia per ſe facerer, intercluſa eſſet æmulatori via vitæ. Nonne repugnabat Deo Pharao, & in impietatis profundum erat demerſus, neque tamen ulla plaga inferebatur, donec Moyſes fidelis exortus eſt? Nonne florebat multorum deorum error cum falſis ſacerdotibus & falſis Prophetis, nec ulla plaga à Deo illata eſt, donec Elias æmulator exortus eſt. Defenſores Dei ſine dubio ſunt ſancti. Quam ob cauſam & ait Paulus: In promptu habem' ulciſci omnem inobedientiam, cùm impleta fuerit veſtra obedientia. Adhuc autem mirabilis Deborrha inter mulieres, quæ mulieris infirmitatem præ ſe ferebat, & virilem virtutem prophetando exhi-
Jud. 5, 7. bebat, de qua dicit Scriptura; *Et ſurrexit Deborrha mater in Iſrael*: mater populi facta eſt ob pietatem: adeoque celebris fuit, ut exorto bello duces exercitus, qui cum Barac erant, mulieri dicerent: Niſi tu venias ad bellum nobiſcum, nos non veniemus. Non in mulieris fortitudine, ſed in prophetiæ virtute confidebant: Exierunt multi divinæ voluntatis adjutores, & alienigenas interfecerunt illa ergo beata Deborrha veritatem prædicans, ait: Domine qui diligunt te, ſicut ortus Solis, ſi quidem ſol nunquam extinguitur: inimici verò tui, ſicut purgamentum lucernæ: ſiquidem lucerna lucem habet ad tempus durantem, & rurſus extinguitur. Deinde laudat exercitus ducem qui Dei voluntati inſervierat, & jubet ut maledicat habitatoribus Mazor, quoniam non exierunt in auxilium Domini. Ergone Deus auxilio indigebat? ſic eſt, oportet ut ſui ſpecimen exhibeant, qui ferunt auxilium religioni. Sic igitur admirabilis hic pater quoque non tanquam imbecilli fert auxilium Deo, ſed huic præfectus muneri, religionem defendit; dum corpori quidem interitum afferre videtur; animabus autem potentiam immittit: Sagittæ quippe potentis acutæ. Neque verò mireris, ſi Chriſti paſtores, ac pietatis magiſtri veritatem ulciſcantur. Imò licet doctor non ſit quiſpiam, neque doctori ulli cathedra ſit commiſſa, ſed Dei verbum ſimpliciter exceperit, & in ordine diſcipuli conſtitutus, zelum debet habere DEI,

A ἔστι γὰρ εὑρεῖν τινα ἐν σχήματι ἐπιεικείας λέγοντα. τί γὰρ κοινὸν ἔχομεν πρὸς τοὺς Ἕλληνας; θέλει σωθῆναι; σωθήτω. ὁ ταῦτα λέγων, οὐδέπω ἐτρώθη ζήλῳ εὐσεβείας· ὁ βλέπων ἀπολλύμενον, καὶ μὴ πενθῶν τὴν ἐκείνου ἀπώλειαν, καὶ ἰδίαν ζημίαν ἡγούμενος, οὐκ οἶδε ζῆλον εὐσεβείας, οὐκ ἐτρώθη βέλεσιν ἀληθείας. ὁ βλέπων οὖν ἀπολλύμενον, καὶ μὴ ζηλῶν ὥς πού φησι Παῦλος, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; οὐκ ἔστιν οὗτος μαθητὴς Παύλου.
B ἀντιπαραβαλλέτω τοῦ πατρὸς τὰ κατορθώματα, καὶ εὑρήσει αὐτὸν συνᾴδοντα ταῖς ἀποστολικαῖς φωναῖς, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; οἱ οὕτω φρονοῦντες ἀδελφοί εἰσι τῶν ἀποστόλων. δίκαιος γὰρ οὐκ ἐν οἷς ἁμαρτάνει μόνον ἀθυμεῖ, ἀλλὰ καὶ ἐν οἷς βλέπει ἄλλους ἁμαρτάνοντας, ὥς φησιν ὁ Δαβίδ· ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. εἴ τις ἐπὶ τῶν
C ἄλλων ἁμαρτίαις ἀθυμεῖ, ζῆλον ἔχει εὐσεβείας. ὁ γὰρ δίκαιος, ὅταν τὸν ἑαυτοῦ βίον διορθῶται, δακρύει καὶ πενθεῖ, ἵνα τὴν ἁμαρτίαν ἐξαλείψαι τὴν ἑαυτοῦ. καὶ τότε τῆς ἁμαρτίας τῆς ἰδίας παυσάμενος, τὰς ἄλλων λοιπὸν πενθεῖ ἁμαρτίας, καθὼς καὶ Παῦλος· μήπως ἐλθὼν πολλοὺς πενθήσω τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων. Παῦλος πενθεῖ τοὺς ἁμαρτήσαντας, καὶ μὴ μετανοήσαντας· Σαμουὴλ πενθεῖ τὸν Σαούλ· ὡς εἰπεῖν τὸν
D Θεόν· ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαούλ; βλέπεις ψυχὴν ἀπολλυμένην, καὶ οὐ πενθεῖς; νεκρὸν ἐάν τις ἴδῃ προκομιζόμενον, καὶ μὴ δακρύσῃ, ὡς ἀπηνὴς, καὶ σκληρὸς, καὶ θηριώδης ἐλέγχεται· ψυχὴν ἐὰν ἴδῃς ἐν ἀσεβείᾳ βαπτιζομένην, καὶ αἰωνίῳ θανάτῳ καταδικαζομένην, καὶ τῇ ἀπιστίᾳ διαμένουσαν, οὐ δακρύεις, εἰπέ μοι, καὶ πενθεῖς; καὶ τοῦτο εὐσεβοῦς ψυχῆς. πάντα μὲν οὖν τὰ ἄλλα ἁμαρτήματα δεῖ πενθεῖν τὸν εὐφρονοῦντα, ἐξαιρέτως δὲ, ὅταν ἴδῃ ψυχὴν ἐν ἀσεβείᾳ βεβαπτισμένην Ἑλληνισμοῦ·
E ἐπὶ τῇ τοιαύτῃ ψυχῇ οὐ δεῖ μόνον πενθεῖν, ἀλλὰ καὶ πυροῦσθαι, καὶ ἐμπίπρασθαι τῷ ζήλῳ· ἵνα γένηται Παύλου μαθητής. Διατρίβοντος γάρ, φησι, Παύλου ἐν ταῖς Ἀθήναις, ἐνεπίμπρατο αὐτοῦ τὸ πνεῦμα, θεωροῦντος κατείδωλον οὖσαν τὴν πόλιν. διὰ τί δὲ ταῦτα οἱ ἅγιοι φρονοῦσιν; ὥσπερ καὶ ὁ θαυμάσιος οὗτος πατὴρ ἔκδικος τῆς εὐσεβείας ἦν; καθάπερ γάρ ἐστι βασιλεὺς
A ὁ ἐπὶ γῆς κατέχων τὴν ὑπ' αὐτὸν οἰκουμένην, ἔχει δὲ ἐν ἑκάστῳ δικαστηρίῳ τοὺς παλατίνους συνηγοροῦντας· οὕτως ἔχει ὁ Θεὸς τοὺς πιστοὺς ποιμένας ἐκδίκους τῆς εὐσεβείας. πολλοὶ γὰρ πολλάκις διασύροντες τῶν Ἑλλήνων, λέγουσιν, ὅταν ἀκούσωσι Χριστιανῶν λεγόντων αὐτοῖς, διὰ τί βλασφημεῖτε; διὰ τί ἀσεβεῖτε; εὐθέως διασύρουσιν· ἴδε οἱ ἔκδικοι τοῦ Θεοῦ. οὐ δύναται ἑαυτὸν ἐκδικῆσαι ὁ Θεός; ἀλλ' ἑαυτὸν ἐκδικῆσαι ὁ Θεός; ἀλλ' ἑαυτὸν οὐκ ἐκδικεῖ [οὐ γὰρ ὑβρίζει τὴν θειότητα] ἀλλὰ διὰ πιστῶν οἰκετῶν τοὺς ἀγνώμονας δούλους
B μαστίζει. χρείαν ἔχει ἐκδίκων ὁ Θεός; ναί. οὐκ ἐπειδὴ αὐτὸς ἀσθενεῖ, ἀλλ' ἵνα σοι θύραν ζήλου ἀνοίξῃ. εἰ γὰρ πάντα δι' ἑαυτοῦ ἐποίει, ἀπεκλείετο ἡ ὁδὸς τῆς ζωῆς τῷ ζηλωτῇ. οὐκ ἐθεομάχει ποτὲ Φαραὼ, καὶ ἦν ἐν ἀσεβείᾳ βεβυθισμένος, καὶ οὐδαμοῦ μάστιξ προσηνέχθη, ἕως ἂν ἐκινήθη Μωσῆς ὁ πιστός; οὐκ ἐνόμα ἡ πολύθεος πλάνη σὺν τοῖς ψευδέσιν ἱερεῦσι καὶ τοῖς ψευδοπροφήταις, καὶ οὐδαμοῦ παρὰ Θεοῦ
C πληγὴ, ἕως ἂν ἐκινήθη Ἠλίας ὁ ζηλωτής; ἔκδικοί εἰσιν ὁμολογουμένως τοῦ Θεοῦ οἱ ἅγιοι. διὸ καὶ Παῦλος λέγει· ἐν ἑτοίμῳ ἔχομεν ἐκδικῆσαι πᾶσαν παρακοὴν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. ἔτι δὲ ἡ θαυμασία Δεβόρρα ἐν γυναιξὶν, ἡ γυναικὸς ἀσθένειαν ἔχουσα, καὶ ἀνδρείαν ἀρετῆς προφητεύουσα, περὶ ἧς φησιν ἡ γραφή· καὶ ἀνέστη Δεβόρρα μήτηρ ἐν τῷ Ἰσραήλ, μήτηρ ἐγένετο τοῦ λαοῦ δι' εὐσέβειαν, καὶ τοσοῦτον ἤκμαζεν, ὥστε καὶ τοὺς στρατηγοὺς πολέμου γενομένου τοὺς περὶ τὸν Βαρὰκ λέγειν τῇ γυναικί· ἐὰν μὴ σὺ ἔλθῃς εἰς πόλε-
D μον μεθ' ἡμῶν, ἡμεῖς οὐκ ἐρχόμεθα. οὐ τῇ τῆς γυναικὸς ἐθάρρουν ἀνδρείᾳ, ἀλλὰ τῇ τῆς προφητείας δυνάμει. ἐξῆλθον πολλοὶ συνεργοὶ τῆς τοῦ Θεοῦ βουλῆς, καὶ ἐξέκοπτον τοὺς ἀλλοφύλους. ἐκείνη οὖν ἡ μακαρία Δεβόρρα τὴν ἀλήθειαν φέρουσα, λέγει· Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου· οἱ δὲ ἐχθροί σου, ὡς ἀπόσμηγμα λύχνου. Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου· ἐπειδὴ ὁ ἥλιος οὐδέ ποτε σβέννυται· οἱ δὲ
E ἐχθροί σου ὡς ἀπόσμηγμα λύχνου· λύχνος γὰρ καὶ πρόσκαιρον ἔχει φῶς, καὶ πάλιν σβέννυται. εἶτα ἐπαινεῖ τὸν στρατηγὸν ὑπουργήσαντα τῇ τοῦ Θεοῦ βουλῇ, καὶ μετὰ ταῦτα κελεύει καταρᾶσθαι τοὺς κατοικοῦντας Μαζὼρ, ὅτι οὐκ ἐξῆλθον εἰς βοήθειαν Κυρίου. βοηθείας ἄρα ἐχρῇζεν ὁ Θεός; ναί. δεῖ φανῆναι τοὺς βοηθοῦντας τῇ εὐσεβείᾳ. οὕτως οὖν καὶ ὁ θαυμάσιος οὗτος πατὴρ οὐ Θεῷ, ὡς ἀτονοῦντι βοηθεῖ, ἀλλ' εἰς τοῦτο ταγεὶς, ἐκδικεῖ τὴν εὐσέβειαν, τῷ σώματι μὲν ἐνδεικνύμενος πρὸς ἀπώλειαν, ἀλλὰ ψυχὰς ἐμβαλλόμενος πρὸς δυναστείαν. τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα. καὶ μὴ θαυμάσῃς, εἰ οἱ ποιμένες Χριστοῦ καὶ διδάσκαλοι εὐσεβείας ἐκδικοῦσι τὴν ἀλήθειαν. ἀλλὰ κἂν μὴ ᾖ τις διδάσκαλος, μηδὲ διδασκαλικὸν θρόνον πεπιστευμένος, ἀλλὰ ἁπλῶς δεξάμενος Χριστοῦ λόγον, καὶ ἐν μαθητοῦ τάξει τυγχάνων, ὀφείλει ζῆλον ἔχειν Θεοῦ,

καὶ

καὶ ἀμοιβὰς ἀποδιδόναι τῷ εὐεργέτῃ ἐν τῷ ἐλευθεροστομεῖν, καὶ ὑπὲρ τῆς ἀληθείας φθέγγεσθαι, καὶ κατὰ ἀσεβείας ἀγωνίζεσθαι, ἵνα ἀκούσῃ παρὰ τῆς ἁγίας γραφῆς, Τέκνον ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ. οὐδὲν θαυμαστὸν, εἰ εὐσέβειαν ἐκδικοῦσιν ἅγιοι· πολλάκις καλεῖ τινὰ δι' ἐπιείκειαν, ὡς Θεὸς ἀγαθὸς, καὶ οἱ προφῆται οὐ συγχωροῦσι τρωθῆναι τὴν εὐσέβειαν ἐκ τῆς τοῦ Θεοῦ ἐπιεικείας. λέγει ὁ Θεὸς διὰ Μωσέως, εἰπὸν τῷ Φαραώ. ἐξαπόστειλον τὸν λαόν μου. εἰ δὲ οὐ βούλει, ἰδοὺ ἀποστελῶ τὰ σημεῖα, καὶ πατάξω σε. ἐπλήγη Μωσῆς ἐπὶ τῷ ῥήματι, καὶ ἐλύπησεν ἡ ἔννοια τοῦ εὐσεβοῦς, καί φησι· μὴ νομίσῃς, ὅτι ἐξ ἰσοτιμίας ἔχει λαὸν αὐτὸς, καὶ λαὸν ὁ Θεός. καὶ ἀγωνιάσας μή ποτε ἡ πολλὴ τοῦ Θεοῦ ἀγαθότης καὶ ἐπιείκεια βλάψῃ αὐτὸν, καὶ νομίσῃ ἀντιπολιτεύεσθαι Θεῷ, ἀκούσας ὁ λαός σου, καὶ ὁ λαός μου, ἀναφέρει τὸ κήρυγμα. τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἐξαπόστειλον τὸν λαόν μου· εἰ δὲ μὴ βούλει, ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὰ σημεῖα, καὶ πατάξω σε, καὶ τοὺς θεράποντάς σου· ἵνα μάθῃς ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. ἡ γῆ ἤκουσε λαὸν καὶ λαὸν, καὶ οὐκ ἠκολούθησε τῷ λόγῳ, ἀλλὰ λέγει, πᾶσα ἡ γῆ τοῦ Κυρίου ἐστίν. εἰ γὰρ καὶ ἐπιεικείᾳ ἐχρήσατο ὁ Θεὸς, ἀλλ' οὗτος οὐ προδίδωσι τὴν δεσποτικὴν αὐθεντίαν. διὰ τοῦτο γὰρ καὶ ὁ Θεὸς οὕτως ἐλάλησεν, ἵνα γυμνωθῇ τοῦ εὐσεβοῦς ὁ ζῆλος· ἀλλὰ καὶ φιλοῦσιν ἀεὶ πιστοὶ ὑπερβαίνειν τοῦ Θεοῦ τὰ ῥήματα. λέγει γὰρ ὁ Σωτὴρ τοῖς μαθηταῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; λέγει εἷς τῶν μαθητῶν αὐτοῦ, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὁ ζῆλος τοῦ ἁγίου πνεύματος καὶ ὑμᾶς διδασκέτω ζηλωτὰς εἶναι. καὶ ὑπὲρ εὐσεβείας πάσχειν, καὶ ἀγωνίζεσθαι ὑπὲρ δικαιοσύνης τὸν καλὸν ἀγῶνα· ἄξιον γάρ ἐστι τοὺς μιμητὰς εἶναι διδασκάλου ἀγαθοὺς μαθητὰς, ὡς καὶ Παῦλος λέγει· μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ. θέλεις μαθεῖν, ὅτι καὶ ὁ ἁπλῶς μαθητὴς καὶ μαθητοῦ τάξιν ἔχων ὀφείλει ἔχειν ζῆλον εὐσεβείας; ἄκουε πῶς ὁ Χριστὸς τὸν ἐκ γενετῆς τυφλὸν ἐθεράπευσε. μᾶλλον δὲ αὐτῆς ἐξ ἀρχῆς τῆς ἱστορίας ἀκούσωμεν. μετὰ γὰρ πολλὰ τῷ εὐαγγελιστῇ εἰρημένα, οὕτως ἤρξατο λέγειν· παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς· καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· καὶ τὰ ἑξῆς. καὶ πτύσας, καὶ πηλὸν ποιήσας, ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ εἶπεν αὐτῷ· ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ· καὶ νιψάμενος ἀνέβλεψεν. οἱ Ἰουδαῖοι ἔγνωσαν αὐτὸν, καὶ λέγουσιν, οὐχ οὗτός ἐστιν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος τυφλός; ἄλλοι ἔλεγον, καί· ἄλλοι, οὔ. ἀλλ' ὅμοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν, ὅτι ἐγώ εἰμι. οἱ Φαρισαῖοι καὶ οἱ ἄρχοντες τῶν Ἰουδαίων ὁρῶντες, ὅτι τὸ θαῦμα πολλοὺς ἔχει ἑλκύσαι πρὸς τὸν Χριστὸν, δακνόμενοι ἐκ τοῦ ζήλου τῆς ἀσεβείας, καὶ πληττόμενοι τῷ κέντρῳ τῆς ἀληθείας καλοῦσιν ἔσω τόν ποτε τυφλὸν· καὶ ἦν ἰδεῖν πονηρὸν θέατρον εὐσεβείας ἐκδικουμένης, καὶ πονηρῶν δικαστῶν κρινόντων, καὶ μεγάλου συνηγόρου συναγωνιζομένου, καὶ Θεοῦ βραβεύοντος καὶ ἐφορῶντος. καλοῦσι τόν ποτε τυφλὸν καὶ ἀναβλέψαντα τῶν Ἰουδαίων παῖδες. καὶ ἱστῶσιν ἐν μέσῳ τοῦ συνεδρίου. καὶ λέγουσιν αὐτῷ· εἰπὲ πῶς ἀνέβλεψας, καὶ τίς σου διήνοιξε τοὺς ὀφθαλμοὺς, καὶ τί σοι ἐποίησεν; ταῦτα ἔλεγον οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα τῷ σχήματι τῆς ἐρωτήσεως φόβον ἐμβάλωσιν. πολλάκις γὰρ τὸ σχῆμα τῆς ἐρωτήσεως διδάσκαλος γίνεται τῷ ἐρωτωμένῳ ἀποκρίνασθαι, ἢ σιωπῆσαι· ὡς ἄν τις εἴποι τινὶ μέλλοντι μαρτυρεῖν εἰς πρᾶγμα· οἶδας τὴν ὑπόθεσιν; παρῆς; πόθεν οἶδας τὸ πρᾶγμα; καὶ τὸ σχῆμα αὐτὸν διδάσκει ἀρνήσασθαι· οὕτω κἀκεῖνοι· πῶς ἀνέβλεψας; τίς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ ἧττον φροντίσας τῆς ἀπειλῆς, εἴχετο μᾶλλον τῆς ἀληθείας, καί φησιν, ἄνθρωπός τις λεγόμενος Ἰησοῦς, πηλὸν ποιήσας ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέ μοι· ὕπαγε, νίψαι εἰς τὸν Σιλωάμ· καὶ ἀπελθὼν ἐνιψάμην, καὶ ἀνέβλεψα. οὐκ ᾔδει τὴν ἀλήθειαν, ἀλλὰ τὴν εὐεργεσίαν ἐγνώρισε· τοῦ εὐεργέτου τὸ ἀξίωμα οὔπω ᾔδει· ἄνθρωπός τις πηλὸν ποιήσας ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ βλέπω. οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, ὅτι τυφλὸς ἦν, καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος· ἡ παραγραφὴ τῆς κακίας εἰς ἀμφιβολίαν ἤγαγε τὴν ἀλήθειαν. καλοῦσι τοὺς γονεῖς τοῦ τυφλοῦ· ἡ κακία καθ' ἑαυτῆς συνάγει τοὺς μάρτυρας. ἐκλήθησαν οἱ γονεῖς τοῦ τυφλοῦ· πάλιν τὸ αὐτὸ σχῆμα τῆς ἐρωτήσεως· οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει; ἐκεῖνοι τὸν τρόπον τῆς κακίας νοήσαντες, ὅτι ἀπειλὰς προσφέρουσιν, λέγουσιν αὐτοῖς· οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, οἴδαμεν. πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν. ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ ἑαυτοῦ λαλήσει. καὶ ὅρα τοῦ Θεοῦ τὴν σοφίαν. ἵνα μὴ παραγράψωνται αὐτοῦ τὴν φωνὴν τοῦ ἀναβλέψαντος, ἢ ὡς νέου ὄντος, ἢ ὡς οὐκ εἰδότος εἰπεῖν εἰς ἐπὶ τῶν κοινῶν δικαστηρίων, ᾠκονόμησεν ὁ Θεὸς πρῶτον δειχθῆναι αὐτὸν τῆς ἐννόμου ἡλικίας· ἡλικίαν ἔχει αὐτός, φησιν, αὐτὸν ἐρωτήσατε· ἐπειδὴ οἱ ἀφήλικες συνηγόρων χρῄζουσιν· οἱ δὲ τελείαν φέροντες τὴν ἡλικίαν, αὐτοὶ ἑαυτῶν συνήγοροι γίνονται. ἀπεκρίθησαν οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον, ὅτι οὗτός ἐστιν

A atque gratiam benefactori rependere, ut liberè loquatur, & pro veritate verba faciat, atque adverſus impietatem decertet, ut à ſacta Scriptura ſibi dictum audiat, *Fili decerta pro veritate, & Dominus Deus pugnabit pro te.* Nihil mirum, ſi ſancti pietatem ulciſcuntur. Sæpenumero loquitur aliquid Deus clementiæ cauſa, utpote bonus: & Prophetæ non ſinunt lædi pietatem propter clementiam Dei. Dicit Deus per Moyſen: Dic Pharaoni, dimitte populum meum. Quòd ſi nolueris, ecce immittam ſigna, & percu- Eccl. 4. 4.
B tiam te. Perculſus eſt hoc dicto Moyſes, & ſubiit animum viri pii hæc cogitatio, dixitque: Noli exiſtimare ipſum ex æqualitate honoris populum ſuum habere, ac Deum populum ſuum; & cùm anxiè dubitaret, num immenſa Dei bonitas & clementia illi noceret, videreturque Deo refragari, cùm audiſſet, populus tuus, & populus meus, prædicationem refert: *Hæc dicit Dominus Deus Hebræorum, Dimitte populum meum*: Sin autem nolueris ecce ego immittam ſigna & percutiam te, & famulos tuos: ut diſcas, quia Exod. 7. 3. & 9. 13.
C Domini eſt terra & plenitudo ejus. Audivit terra populum, & populum, neque verbis paruit: veruntamen dixit, Omnis terra Domini eſt. Licet enim clementer ſe geſſerit Deus, hic tamen Dominos auctoritatem prodere noluit. Propterea namque loquutus eſt Deus; ut hominis pii zelus pateſieret. Sed & fideles Dei verba ſemper amant excedere: ſic enim inquit Salvator diſcipulis: Quem me dicunt homines eſſe, filium hominis? Dicit unus ex diſcipulis, *Tu es Chriſtus filius Dei vivi.* Doceat vos quoque æmulatores eſſe Matt. 16. 3.
D Spiritus ſancti æmulatio, ac pro pietate pati, bonumque certamen pro juſtitia certare. Æquum enim eſt, ut boni diſcipuli ſint imitatores magiſtri, ſicut & Paulus ait: *Imitatores mei eſtote ſicut & ego Chriſti.* Vis noſſe cùm eum qui omninò ſit diſcipulus, tum eum qui diſcipuli locum obtineat, habere pietatis æmulationem debere? audi quo pacto cæcum à nativitate Chriſtus ſanarit, immò verò à principio hiſtoriam audiamus. Poſt multa ſiquidem ab Evangeliſta dicta, ſic narrare cœ- 1. Cor. 11. 1.
E pit: *Præteriens Jeſus vidit hominem cæcum à nativitate, & interrogaverunt eum diſcipuli ejus, dicentes* & quæ ſequuntur. Et cùm expuiſſet, ac lutum feciſſet, linivit oculos ejus, & dixit ei, Vade lava in natatoria Siloam: & cùm lavaſſet, vidit. Judæi noverant eum, & dicunt: Nonne hic eſt qui ad eleemoſynam ſedebat cæcus? alii dicebant: Sic eſt, alii, Non: ſed ſimilis ipſi eſt: ille dicebat, Quia ego ſum. Phariſæi & principes Judæorum videntes multos ad Chriſtum poſſe miraculum trahere, impietatis æmulatione ſtimulati, & veri- Joan. 9. 1.
A tatis aculeo compuncti, eum qui cæcus fuerat, intro vocant. Ac videre erat miſerum ſpectaculum cùm pietas exagitaretur, improbi judices diſceptarent, magnus patronus certamen juvaret, & Deus certamini præſideret, ac ſpectaret. Vocant eum, qui cæcus fuerat, & viſum receperat, Judæi, atque in medio concilio ſtatuunt, & dicunt ei: Dic, quomodo viſum recepiſti, & quis oculos tuos aperuit, & quid fecit tibi? Hæc dicebant, non ut diſcerent, ſed ut ipſa interrogationis forma timorem incuterent:
B ſæpe namque forma interrogationis illum admonet, quem interrogamus, quid reſpondere debeat, aut tacere: ut ſi quis ei dixerit, qui in rem quampiam teſtimonium ſit laturus: Vidiſti rem de qua agitur? interfuiſti? vel ipſa forma docet illum negare: ſic & illi; Quomodo viſum recepiſti? quis aperuit oculos tuos? ille minas eorum minùs curans, veritati magis adhærebat, & ait: *Homo quidam qui dicitur Jeſus, cùm lutum feciſſet, linivit oculos meos, & dixit mihi, Vade, & lava in Siloam: & cùm abiiſſem, lavi & vidi.* Non noverat veritatem, ſed beneficium agnovit: dignitatem benefactoris
C nondum noverat: Homo quidam cùm lutum feciſſet, unxit oculos meos, & lavi, & video. Non crediderunt Judæi, quia cæcus fuiſſet, & vidiſſet, donec vocaverunt parentes ejus qui viderat. Improbitatis exceptio veritatem in dubitationem adduxit. Vocant parentes cæci, rurſus eadem forma interrogationis uſurpatos; Hic eſt filius veſter, quem vos dicitis, quia cæcus natus eſt? Quomodo ergo nunc videt? Illi cùm morem improbitatis probè noſſent, eos ſcilicet minas intendere, dicunt illis: Scimus quia hic eſt filius noſter, & quia
D cæcus natus eſt, ſcimus: quomodo autem nunc videat, neſcimus, aut quis aperuit ejus oculos, nos neſcimus: ipſe ætatem habet, ipſum interrogate, ipſe de ſe loquetur. Animadvertite Dei ſapientiam: ne vocem ejus qui viſum receperat, exceptione rejicerent, ut qui juvenis eſſet, nec publicis in judiciis verba facere noſſet, providit Deus ut legitima priùs ætas ejus indicaretur: Ætatem habet, inquiunt; ipſum interrogate: propterea quòd impuberes patronis indi-
E gent: qui verò perfectam ætatem attigerunt, ipſi patroni fiunt ſui ipſorum. Reſponderunt parentes ejus, & dixerunt, Scimus,

quia

quia hic eſt filius noſter, & quia cæcus natus eſt. Confeſſi ſunt pa-
rentes ejus, ne qua dubitatio ſupereſſet, an is cæcus fuiſſet? Æta-
tem habet, ipſum interrogate, ipſe de ſe loquitur, vocant rurſus,
inquit, eum ſecundò, & dicunt illi, Quid fecit tibi? quomodo a-
peruit oculos tuos? Tum verò ille Dei zelo indutus interrogatio-
nem deſpexit, & ut indignos reſponſo minimè dignatus eſt alloqui:
Joan. 9. 27. ſed quid? ait illis: *Dixi vobis jam: & non audiſtis: quid iterum*
vultis me audire? nunquid & vos vultis diſcipuli ejus fieri? itaque
doctrinam imitatur Chriſti, cùm nondum Chriſti doctrinam au-
dierit. Nam cùm in Encæniis circumdediſſent Salvatorem in por-
ticu Salomonis Judæi, dicebant illi: Quouſque animam noſtram
tollis? ſi tu es Chriſtus, dic nobis palam. Ait illis: Dixi vobis, &
non audiſtis: quid iterum vultis audire? Ac vide pietatem patroni:
cùm Judæorum malitiam animadvertiſſet, eoſq; nihil non agere ac
ſimulare, ut ei metum incuterent, ne magiſtrum illum confiteren-
tur, ait illis: Dixi vobis jam, & non audiſtis, quid iterum vultis
audire? nunquid & vos vultis diſcipuli ejus fieri? Cùm dixiſſet?
Nunquid & vos, confiteri ſe diſcipulum eſſe indicavit. Hanc vo-
cem uſurpet omnis Chriſtianus à Paganiſmo deductus. Cùm enim
occurrerit tibi Paganus veteris erroris addictus conſuetudini, &
dixerit tibi Chriſtianus es? dic illi, Etiam, nunquid & tu vis fieri?
Hic igitur fuit hominis iſtius ſcopus qui viſum & animæ & corpo-
ris receperat: Dixi vobis jam, & non audiſtis: quid iterum me
vultis audire? nunquid & vos vultis diſcipuli ejus fieri? quaſi diceret:
Tantum abeſt ut me de ſententia dimovere poſſitis, ut ego vos
ſperem potiùs de ſententia dimotos Chriſtum ipſum confeſſuros.
Quid ad illum deinde Judæi? Maledixerunt ei, & dixerunt, Tu
diſcipulus illius ſis: nos autem Moyſi diſcipuli ſumus. Nos ſcimus,
quia Moyſi loquutus eſt Deus; hunc autem neſcimus unde ſit, co-
gita quænam eſſet multitudo contradicentium, & quænam unius
potentia qui reſiſtebat. Neque ſiluit rurſus patronus veritatis, ſed
inſtitit: In hoc enim mirabile eſt inquit, quia vos neſcitis unde ſit,
& aperuit meos oculos. Niſi eſſet hic à Deo, non poterat facere
quicquam. Stabat decertans, & ſpectator erat, ac certaminis præ-
ſes Deus: multi formidabiles adverſus unum robuſtum, nubes infi-
delis adverſus unam fidei guttam. A ſæculo non eſt auditum, in-
quit, quia quis aperuit oculos cæci nati: niſi eſſet hic à Deo, non
poterat facere quicquam. Quandoquidem doctrina Moſis gloria-
mini: non ille quidem adhuc Moſis mentionem facit, ne exaſperet
Joan. 9. 32. eos: ſed ait: *A ſeculo non eſt auditum, quia quis aperuit oculos cæ-*
ci nati? hoc eſt, quis alius aperuit Propheta? neque qui antecellat,
occurrit, neque qui poſſit comparari. At quantum iſte veritatem
tuebatur, tantũ illi in impudentia perſeverabant: quia negare non
poterant, deinceps occultare contendebant: & dicunt, Da gloriam
Deo: nos ſcimus quia hic homo peccator eſt. Gloria Filii, Patris eſt
gloria, & indiviſa gloria: decertat ultro præclaro cum Judæis cer-
tamine: dicunt ei: Da gloriam Deo: cuinam? Deo legis noſtræ?
an verò juſtum eſt, ut alius beneficium contulerit, & alius gloriam
reportet? Da gloriam Deo: alius beneficus fuit, & alii gloriam da-
bo? confeſſi ſunt lutum feciſſe Jeſum, & unxiſſe oculos ejus, eum qui
aperuit, confitetur, & alteri gloriam deferam? Quare vero gloriam
dabo? quia nempe Dei opus hoc eſt: igitur Deum eſſe Chriſtum
impudentes fatemini: da gloriam Deo. Nam ſi Dei eſt opus, eique
gloria debetur: qui auctor eſt operis, ipſe eſt Deus: Da gloriam
Deo. Nos ſcimus quia hic homo peccator eſt. Reſpondit eis, qui
cæcus fuerat: Si peccator eſt neſcio: unum ſcio, quia cæcus cum eſ-
ſem, modo video. Huc uſque cùm liberè loquutus eſſet, ejici foras
ipſum juſſerunt. Et ejecerunt eum, inquit Evangeliſta, foras. *Bea-*
Pſ. 22, 17. *tus qui ablegatus eſt à conſilio malignantium.* Ac vide, quid fiat:
poſteaquam bonum certamen certavit, Dei gloriam defendit, ac
multa cum fiducia, dicendique libertate Salvatorem confeſſus eſt,
jam abſolutis certaminum ſuorum ſpectaculis, foras ejectus eſt
athleta, corona minimè accepta, & foris illi præmiorum occurrit
diſtributor: Audivit enim inquit, Jeſus, quia ejecerunt eum foras:
& cùm inveniſſet eum, dicit ei. O verbum notandum. Invenit eum!
Jo. 9, 17. quem perdidit error, veritas invenit. Cur autem occurrit illi? vidit
Salvator animam probitatis plenam: vidit animam pro Deo
verba facere nondum ſcientem, ſed pro fideli aliquo Propheta ſe
loqui exiſtimantem: interrogant enim de Chriſto, & quid de illo
dicit? quia Propheta eſt: Salvator autem hæc ait: Si cùm me
Prophetam arbitratur, & hominem eſſe ſuſpicatur, ita decer-
tat, quid non faciet, ſi gloriam divinitatis cognoverit? Si
cùm hominem eſſe me cenſet, ac Prophetam appellat, tan-
tùm veritati ſubſidium tulit, tantumque certamen ſuſcepit non-
dum fidei elementis imbutus, ſed ſolo beneficio illu-

A ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, οἴδαμεν. ὡμολόγησαν οἱ γο-
νεῖς, ἵνα μὴ ᾖ ἀμφιβολία, ὅτι οὐκ ἦν τυφλός. ἡλικίαν ἔχει, αὐτὸν
ἐρωτήσατε· αὐτὸς περὶ αὐτοῦ λαλήσει· καλοῦσι πάλιν, φησὶν,
αὐτὸν ἐκ δευτέρου, καὶ λέγουσιν αὐτῷ· τί ἐποίησέ σοι; πῶς ἤνοι-
ξέ σου τοὺς ὀφθαλμούς; ἐκεῖνος λοιπὸν ἐνδυσάμενος Θεοῦ ζῆλον,
διαπτύει τὴν ἐρώτησιν, καὶ ὡς ἀναξίους ἀποκρίσεως, οὐκ ἀξιοῖ λόγου·
ἀλλὰ τί λέγει αὐτοῖς; εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. τί πάλιν
B θέλετέ μου ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; καὶ
μιμεῖται τὴν Χριστοῦ διδασκαλίαν, μηδέπω ἀκούσας τὴν Χριστοῦ δι-
δασκαλίαν. οἱ γὰρ Ἰουδαῖοι ἐν τοῖς ἐγκαινίοις κυκλώσαντες τὸν Σωτῆ-
ρα ἐν τῇ στοᾷ Σολομῶντος, ἔλεγον αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡ-
μῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ· λέγει αὐτοῖς·
εἶπον ὑμῖν, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; καὶ ὅρα
συνήγορον εὐσεβείας. ἐπειδὴ προσέσχεν τῇ κακίᾳ τῶν Ἰουδαίων, ὅτι
C πάντα ποιοῦσι καὶ σχηματίζονται ἀπειλεῖν καὶ φόβον αὐτῷ ἐπισείειν
ὑπὲρ τοῦ μὴ ὁμολογεῖν αὐτὸν διδάσκαλον, λέγει αὐτοῖς· εἶπον ὑμῖν
ἤδη, καὶ οὐκ ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέ-
λετε μαθηταὶ αὐτοῦ γενέσθαι; τῷ εἰπεῖν, μὴ καὶ ὑμεῖς; ἔδειξεν, ὅτι τὸ ἐ-
γὼ ὁμολογεῖται. ταύτην φωνὴν ἐχέτω πᾶς Χριστιανὸς ἀπὸ Ἑλλη-
νισμοῦ καταγόμενος· ὅταν γάρ σοι συντύχοι Ἕλλην ἀρχαίαν ἔχων
συνήθειαν πλάνης, καὶ εἴποι σοι, ὅτι Χριστιανὸς εἶ; εἰπὲ αὐτῷ,
D ναί, μὴ καὶ σὺ θέλεις γενέσθαι; ὁ σκοπὸς τοίνυν τοῦ ἀναβλέψαντος
καὶ ψυχὴν καὶ σῶμα, τοιοῦτος ἦν· εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσα-
τε· τί πάλιν θέλετέ μου ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθη-
ταὶ γενέσθαι; ἀντὶ τοῦ, τοσοῦτον ἀπέχετε τοῦ ἐμὲ μεταπεῖσαι, ὅτι καὶ ἐγὼ
προσδοκῶ μᾶλλον ὑμᾶς μεταβληθέντας Χριστὸν αὐτὸν καθομολο-
γῆσαι. εἶτα τί πρὸς αὐτὸν οἱ Ἰουδαῖοι; ἐλοιδόρησαν αὐτὸν, καὶ εἶπον·
σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί. ἡ-
E μεῖς οἴδαμεν, ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός. τοῦτον δὲ οὐκ οἴδαμεν
πόθεν ἐστίν. ἐννόησον τὸ πλῆθος τῶν ἀντιλεγόντων, καὶ τὴν δύναμιν
ἑνὸς τοῦ ἀνθεστηκότος· καὶ οὐκ ἐσιώπησε πάλιν ὁ συνήγορος τῆς
ἀληθείας, ἀλλ' ἵσταται· ἐν γὰρ τούτῳ θαυμαστόν ἐστι, λέγων, ὅτι ὑ-
μεῖς οὐκ οἴδατε πόθεν ἐστίν, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς· εἰ μὴ
ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. εἱστήκει ἀγωνιζόμε-
νος, καὶ ὁ Θεὸς ἐπόπτης καὶ βραβευτής. πολλοὶ δεινοὶ καθ' ἑνὸς ἰσχυ-
A ροῦ, νέφος ἄπιστον πρὸς μίαν σταγόνα πίστεως· ἀπὸ τοῦ αἰῶνός φη-
σιν, οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· εἰ
μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. ἐπειδὴ σεμνύνε-
σθέ, φησι, τῇ Μωσέως διδασκαλίᾳ· οὐ μνημονεύει μέχρι Μωσέως τέ-
ως, ἵνα μὴ παροξύνῃ· λέγει δὲ, ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤν-
οιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· τουτέστιν, τίς ἤνοιξεν
ἄλλος προφήτης; οὐδὲ τὴν ὑπεροχὴν ὁρῶντες, οὐδὲ σύγκρισιν· ὅ-
B σον δὲ οὗτος τῆς ἀληθείας ἀντείχετο, τοσοῦτον ἐκεῖνοι τῆς ἀναισχυν-
τίας οὐκ ἐπαύοντο· ἐπειδὴ ἀρνήσασθαι οὐκ ἠδύναντο, ἐσπούδασαν
λοιπὸν καλύψαι· καί φησι· δὸς δόξαν τῷ Θεῷ, οἴδαμεν ἡμεῖς,
ὅτι ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. δόξα υἱοῦ ἡ δόξα πατρὸς,
καὶ ἀμέριστος ἡ δόξα. ἀγωνίζεται ἔχων τὸν καλὸν ἀγῶνα πρὸς Ἰου-
δαίους. λέγουσιν αὐτῷ, δὸς δόξαν τῷ Θεῷ· ποίῳ; τοῦ νόμου τοῦ ἡμετέρου;
καὶ δίκαιόν ἐστιν ἄλλον εὐεργετῆσαι, καὶ ἄλλον δοξασθῆναι; δὸς δό-
C ξαν τῷ Θεῷ· ἄλλος εὐεργέτης, καὶ ἄλλῳ δώσω τὴν δόξαν; ὡμο-
λόγησαν, ὅτι πηλὸν ἐποίησεν Ἰησοῦς, καὶ ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλ-
μούς· ὁ ἀνοίξας ὁμολογεῖται, καὶ ἄλλῳ ἀνενέγκω τὴν δόξαν; διὰ τί δὲ
δώσω δόξαν τῷ Θεῷ; ὅτι τὸ ἔργον τοῦτο τοῦ Θεοῦ ἐστιν· ἰδοὺ οὖν ἄκοντες ὁ-
μολογεῖτε, ὅτι Θεὸς ὁ Χριστός· δὸς δόξαν τῷ Θεῷ. εἰ γὰρ τὸ ἔργον
τοῦ Θεοῦ, καὶ ὀφείλεται αὐτῷ ἡ δόξα· ὁ ποιητὴς τοῦ ἔργου αὐτός ἐστι Θεός·
δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν, ὅτι ἄνθρωπος οὗτος ἁμαρ-
τωλός ἐστιν· ἀπεκρίθη αὐτοῖς ὁ ποτὲ τυφλὸς, εἰ ἁμαρτωλός ἐστιν,
D οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν ἄρτι βλέπω· μέχρι τούτου ἐπαῤ-
ῥησιάσατο, ἐκέλευσαν αὐτὸν ἐκβληθῆναι ἔξω, καὶ ἐξέβαλον αὐτὸν,
φησὶν ὁ εὐαγγελιστὴς, ἔξω· μακάριος ὁ ἀφορισθεὶς συναγωγῆς
πονηρευομένων. καὶ ὅρα τί γίνεται· ἐπειδὴ ἠγωνίσατο τὸν καλὸν ἀ-
γῶνα, καὶ συνηγόρησε Θεοῦ δόξῃ, καὶ τὸν Σωτῆρα ὡμολόγησεν, ἐνδό-
ξως μετὰ πολλῆς τῆς παῤῥησίας, καὶ ἦν αὐτοῦ τὸ θέατρον πεπληρω-
μένον τῶν παλαισμάτων, ἐξεβλήθη ἔξω ὁ παλαιστὴς μὴ λαβὼν τὸν
E στέφανον, καὶ ἀπαντᾷ αὐτῷ ἔξω ὁ βραβευτής. ἤκουσε γάρ φησιν
ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτὸν λέγει αὐτῷ· ὢ τοῦ
ῥήματος τοῦ εὑρόντος αὐτόν. ὃν ἀπόλλυσιν ἡ πλάνη, εὑρίσκει ἡ ἀλή-
θεια. διὰ τί δὲ αὐτῷ ἀπήντησεν; εἶδεν ὁ Σωτὴρ ψυχὴν εὐγνωμοσύνης γέμουσαν· εἶδεν ψυχὴν μηδέπω γνωσθεῖσαν ὑπὲρ Θεοῦ λέγειν, ἀλλὰ
νομίζουσαν ὑπὲρ προφήτου τινὸς πιστοῦ ἐρωτᾶσθαι· περὶ γὰρ τοῦ Χριστοῦ· καὶ τί λέγει περὶ αὐτοῦ; ὅτι προφήτης ἐστίν. ὁ δὲ Σωτὴρ τοῦτο εἶπεν· εἰ προφήτην
νομίζων, καὶ ἄνθρωπον ὑπονοῶν, οὕτως ἀγωνίζεται, τί οὐ ποιήσει, ἐὰν μάθῃ τὴν δόξαν τῆς θεότητος; εἰ ἄνθρωπον ὑπονοῶν, καὶ προφήτην ὀνομά-
ζων τοσαύτην ἐποιεῖτο ὑπὲρ ἀληθείας συνηγορίαν, καὶ ἀγῶνα τηλικοῦτον ἀνεδέξατο μηδέπω κατηχηθεὶς, ἀλλ' ἀπὸ μόνης τῆς εὐερ-
γεσίας

Digitized by Google

γορίας φωραθείς· ἐννόησον αὐτὸν, ὅτε ὑπὲρ ἀνθρώπου νομίζων συνηγορεῖν, οὐκ ἐξίστη τῆς ἀληθείας· ἐὰν μάθῃ εὐαγγελικῶς λέγειν· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ ὁ Θεὸς ἦν ὁ λόγος· τί ἔσται; διὰ τοῦτο λοιπὸν αὐτὸν εἰς γνῶσιν διορθώσας, τὸν μὲν ἀγῶνα ἀποδεξάμενος· τὴν δὲ πίστιν αὐτοῦ σφραγίσας· ἀπαντᾷ αὐτῷ ὁ Σωτήρ· οὐκ ἐγνώριζε γὰρ τὸν χαρακτῆρα αὐτοῦ· ὅτε γὰρ ἀπέστειλεν αὐτὸν ἐν τῇ κολυμβήθρᾳ τοῦ Σιλωὰμ, ἵνα νίψηται, τυφλὸν ἀπέστειλεν· ὡς δὲ ἐπανῆλθε βλέπων, τὸν μὲν Σωτῆρα οὐκ εἶδεν τῷ πλήθει ὄντα ἀναμεμιγμένον· ἀλλὰ εὐθέως πρὶν τὸν Δεσπότην ἰδεῖν, εἰς τὸν ἀγῶνα κληθεὶς ἠγωνίσατο. πηλὸν δὲ πρὸ τοῦ αὐτὸν νίψασθαι ἐποίησεν ὁ δεσπότης, καὶ ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἵνα ἀναπληρώσῃ τὸ λεῖπον. ὅτε οὖν ἐξέβαλον αὐτὸν ἔξω, εὑρὼν αὐτὸν ὁ Χριστὸς, εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; οὐ δεῖ γάρ σε ὡς προφήτῃ πιστεῦσαι ἀγωνιζομένῳ· ἀλλ' ὡς υἱῷ τοῦ Θεοῦ. ἐκεῖνος τὸ πρόσωπον μὴ γνωρίσας, τὴν φωνὴν ἀνεγνώρισε· σὺ πιστεύεις, φησὶν, εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ἐπέγνω τὴν φωνὴν, καὶ μετὰ περιχαρείας ἐβόησε, καὶ τίς ἐστι Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; διὰ τί πιστεύεις σὺ λέγοντι τῷ πιστῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; οἶδα ὅτι ὁ λόγος σου ἀληθής ἐστιν· ὅμως δὲ κἂν αἰτῇς με τὴν γνῶσιν, οὐκ ἀμφιβάλλω σοι πιστεῦσαι· καὶ τίς ἐστι Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; καὶ ὁ προγνώστης ἀντέφη· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁ ἔσω συνηγορήσας, ἔξω διαλέγεται· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ὁ δὲ πεφωτισμένος καὶ τὸ σῶμα καὶ τὴν διάνοιαν, ἔφησε· καὶ τίς ἐστι Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. ὁ δὲ ἔφη, πιστεύω Κύριε, καὶ προσεκύνησεν αὐτῷ. ταῦτά μοι εἴρηται, ἵνα μάθητε πάντες καλῷ διδασκάλῳ ἕπεσθαι, καὶ ποιμένα ἀγαθὸν μιμεῖσθαι, καὶ ὑπὲρ ἀληθείας ἀγωνίζεσθαι· ὁ γὰρ ὑμῶν ἀγὼν συνεργίᾳ γίνεται τοῦ μεγάλου ποιμένος. ἐθαυμάσατε ὅτι τυφλὸς ἐγένετο συνήγορος τῆς ἀληθείας εὐεργετηθείς; ἐθαυμάσατε τὸν λῃστὴν τὸν πρὸ τῆς εὐεργεσίας συνηγορήσαντα τῷ Χριστῷ, ἀεὶ γὰρ θεία ψυχὴ ἀλήθειαν ζηλοῦσα διὰ τὴν ἑαυτῆς ἀξιοπιστίαν ἀνοίγει πολλὰ στόματα συνηγοροῦντα τῇ ἀληθείᾳ. ἐπὶ σταυροῦ ὁ Χριστὸς ἐκρέματο, καὶ δύο λῃσταὶ εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων, καὶ Ἰουδαῖοι φλυαροῦσιν, ἀρχιερεῖς βλασφημοῦσιν· ἴδε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ πάλιν, « εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ· καὶ πάλιν, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ὡσαύτως καὶ ὁ συσταυρωθεὶς λῃστὴς καὶ αὐτὸς ἐφλυάρει, λέγων· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς· ὁ δὲ ἕτερος λῃστὴς οὐκ ἐλάλει οὐδὲν, τῇ σιωπῇ κολάζων τοὺς καταδίκους. ἐπεὶ οὖν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς, οἱ νόμον εἰδότες, μᾶλλον δὲ ἀγνοοῦντες, οἱ ὀφείλοντες ἀπὸ τῶν προφητικῶν ἀναγνωσμάτων Χριστὸν ὁμολογῆσαι, οὐχ ὡμολόγησαν· ἀνοίγει ὁ Θεὸς ἀπροσδόκητον στόμα ἐπὶ τοῦ σταυροῦ, συνηγορεῖν τῇ ἀληθείᾳ, καὶ βλέπε τί ποιεῖ. οὐ πρῶτον ἀκούει φωνῆς Χριστοῦ, καὶ οὕτως συνηγορεῖ, καὶ τότε στεφανοῦται. ἐσταυρώθησαν γάρ, φησι, σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων· καὶ ἦν ὁ Σωτὴρ μέσος ὥσπερ ζυγὸς ἀληθείας, κουφίζων μὲν τὸν ὁμολογοῦντα, καταδικάζων δὲ τὸν βλασφημοῦντα· καὶ ὅρα τὸ θαυμαστόν· τῶν γραμματέων καὶ τῶν ἀρχιερέων βλασφημούντων τὸν Χριστὸν, καὶ λεγόντων· εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ· καὶ τοῦ ἄλλου λῃστοῦ· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς· οὐδὲν λέγει εἷς τῶν λῃστῶν ὁ εὐγνώμων· οἱ γὰρ δύο λῃσταὶ εἰκόνες ἦσαν τοῦ λαοῦ τῶν Ἰουδαίων καὶ τοῦ ἡμετέρου· ὁ μὲν γὰρ βλασφημεῖ, καὶ κατακρίνεται· ὁ δὲ πιστεύει, καὶ μετανοεῖ, καὶ σώζεται. λέγει οὖν τῶν ἀγνωμόνων τῆς Ἰουδαϊκῆς λῃστείας ἀδελφός· λῃστρικὸς γὰρ ἦσαν λαὸς οἱ ἀγνώμονες Ἰουδαῖοι, ὡς μαρτυρεῖ ὁ Σωτὴρ λέγων· « ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν· καὶ ἡ μὲν τοῦ πρώτου προαίρεσις Ἰουδαϊκή· ἡ δὲ τοῦ δευτέρου Χριστιανική, ἀπὸ κακῶν μὲν ὁρμωμένη, μετανοίᾳ δὲ τὴν σωτηρίαν ἁρπάζει· λέγει οὖν ὁ ἀγνώμων λῃστὴς, καὶ Ἰουδαϊκὴν « ἔχων προαίρεσιν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν, καὶ ἡμᾶς, καταβὰς ἀπὸ τοῦ σταυροῦ· ὁ δὲ ἄλλος εὐγνώμων εὑρίσκεται, ὁ ἐν τῷ δικαστηρίῳ ὑπεύθυνος, ἐν τῷ σταυρῷ δικαστής· ἀλλὰ καὶ διδάσκων φόβον Θεοῦ. ἡ γὰρ πρώτη φωνὴ τοῦ λῃστοῦ τῷ συλλῃστῇ λέγει· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. τί λέγεις; ὁ ἔξω κλέπτων ὧδε καταδικάζεις; ὁ ἔξω φονεύων ὧδε φόβον διδάσκεις; οὐδὲ φοβῇ σὺ τὸν Θεόν; μάθε τοῦ Χριστοῦ τὸν σταυρὸν, ἵνα ἡ φωνὴ γένηταί σοι εὐσεβείας διδάσκαλος. ὅρα γὰρ τὸ θαυμαστόν· ὁ λῃστὴς λέγει τῷ συλλῃστῇ· οὐδὲ φοβῇ σὺ τὸν Θεόν; Θεὸν αὐτὸν κηρύττει τὸν ἑκουσίως συνεσταυρωμένον αὐτοῖς, καὶ μακροθύμως ὑπὲρ τῆς ἀνθρωπότητος πάσχοντα. καὶ ὅτι περὶ αὐτοῦ τοῦ Σωτῆρος λέγει, οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ἐκ τῶν ἑξῆς μάνθανε· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν,

A minatus : cogita cùm hominem putans ſe patrocinio tueri, à veritate non deflexerit, ſi ſecundùm Evangelium effari didicerit : *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum*, quid tandem erit ? Propterea deinceps ejus ſcientiam corrigit, ejusque certamine collaudato fidem ipſius obſignat. Occurrit ei Salvator : non enim eum de facie noverat iſte : quando enim miſit eum ad Siloam natatoriam ut lavaret, cæcum miſit : ut autem videns rediit, Salvatorem cum turba mixtum non aſpexit, at B confeſtim antequam Dominum cerneret, ad certamen vocatus decertavit. Porrò lutum facit Dominus, antequam lavaret ipſe, atque unxit oculos ejus, ut defectum ſarciret. Quando igitur ejecerunt eum foras, cùm inveniſſet eum Chriſtus, dixit ei, Tu credis in filium Dei ? Non enim te credere oportet, ut Prophetæ decertanti, ſed ut filio Dei. Ille cùm faciem non noſſet, vocem agnovit : Tu credis in filium Dei, inquit ? vocem agnovit : & ſumma cum lætitia clamavit, Quis eſt Domine, ut credam in eum ? Cur C credis dicenti tibi fideli, Tu credis in filium Dei ? Scio verum tuum eſſe ſermonem, ac licet hanc mihi tu des cognitionem, non dubitabo tamen tibi credere : Et quis eſt Domine, ut credam in eum ? Tum futurorum proviſor reſpondit, Et vidiſti eum, & qui loquitur tecum, ipſe eſt. Qui patrocinatus eſt intus, foris alloquitur : Tu credis in filium Dei ? at is qui in corpore & animo fuerat illuminatus, ait : Et quis eſt Domine, ut credam in eum ? reſpondens ille dixit ei ; Et vidiſti eum, & qui loquitur tecum, ipſe eſt. Tum al- D ter ait : Credo Domine, & adoravit eum. Hæc à me dicta ſunt, ut diſcatis omnes bonum magiſtrum ſequi, bonumque paſtorem imitari, ac pro veritate certare : veſtrum enim certamen magno paſtore ſubſidium ferente committitur. Admirati eſtis cæcum, qui beneficio affectus patronus factus eſt veritatis ; latronem qui ante beneficium acceptum Chriſto patrocinatus eſt, admiramini. Semper enim anima divina, quæ veritatem æmulatur, multa merito ſuo reſerat ora, quæ veritati ſuffragentur. Pendebat in cru- E ce Chriſtus & duo latrones, unus à dextris, & unus à ſiniſtris, & Judæi deblaterant, principes ſacerdotum blaſphemant : *Ecce regem Judæorum* : & rurſus, *Si rex Iſrael eſt, deſcendat nunc de cruce, ut videamus, & credamus ei* : & rurſus : *Alios ſalvos fecit, ſeipſum non poteſt ſalvum facere.* Similiter & qui cum eo crucifixus erat, latro & ipſe deblaterabat, dicens, Si filius Dei es, ſalvum fac temetipſum, & nos. Alter verò latronum, nihil dicebat, & alios obnoxios, ſuo ſilentio caſtigabat. Poſtquam igitur prin- A cipes ſacerdotum & ſcribæ, qui legem noverant, imò verò, qui ignorabant, qui Prophetarum lectione commoniti Chriſtum debuerant confiteri, confeſſi non erant, inexpectatum os aperuit Deus in cruce, quod veritati patrocineror. Ac vide quid faciat : ubi primùm Chriſti vocem audivit, ei patrocinatur, ac deinde coronatur. Crucifixi enim ſunt, inquit, cum eo duo latrones unus à dextris, & unus à ſiniſtris, eratque medius Salvator tanquam ſtatera B veritatis unum elevans confitentem, & alterum blaſphemantem condemnans. Ac vide rem mirabilem : dum ſcribæ ac principes ſacerdotum Chriſtum blaſphemarent, & dicerent, Si rex Iſrael eſt, deſcendat nunc de cruce, ut videamus, & credamus ei : & alio latrone dicente, Si filius Dei es, ſalvum fac teipſum, & nos : nihil ait unus ex latronibus probus : quippe duo latrones populi Judæorum & noſtri figuræ fuerunt : nam hic quidem blaſphemat, & damnatur : ille verò credit, & pœnitentiam agit, & ſalvatur. C Ait igitur improborum ex Judaico latrocinio germanus : fuerunt enim populus latronum improbi Judæi, ut teſtatur Salvator dicens, *Domus mea, domus orationis vocabitur : vos autem feciſtis illam ſpeluncam latronum.* Ac prioris quidem propoſitum animi Judaicum fuit, poſterioris verò Chriſtianum, cùm à malis exorſus pœnitentia ſalutem extorqueat. Ait igitur improbus latro, cui propoſitum animi fuit Judaicum : *Si filius Dei es, ſalvum fac temetipſum & nos, de cruce deſcendens.* Alter autem probus inve- D nitus, in judicio reus, in cruce judex, ſed & timorem Dei docet. Prima enim vox latronis ad ſocium latronem hæc fuit : Neque tu times Deum quòd in eadem damnatione es ? Et nos quidem juſtè : nam digna factis recipimus : hic verò nihil mali geſſit. Quid ais ? qui foris furabaris, hîc condemnas ? qui foris occidebas, hîc timorem doces ? Neque times Deum ? cognoſce Chriſti crucem, ut vox iſta te doceat pietatem. Vide namque rem miram. latro ſocio latroni dicit ; Neque tu times Deum ? Deum ipſum prædicat, qui E cum illis ultro crucifixus eſt, ac toleranter pro humano genere patitur. De ipſo enim Salvatore dicere illum, Neque tu times Deum, ex iis quæ ſequuntur, intellige : Neque tu times Deum, quod in eadem damnatione es ? Et nos quidem juſtè,

Matth. 27. 37. 42.

Mar. 21, 13.

Luc. 23, 38.

nam digna factis recipimus: hic verò nihil mali geſſit. Hęc ideo dico, ut pro pietate laborare diſcatis, & cùm domi, tum publicè æmulationem præ vobis ferre, ac pro Chriſto decertare, ut & ab ipſo juſtitiæ coronam accipiatis, ſicut & iſte probus latro. Audi enim quibus verbis ſocium latronem blaſphemantem affatur: Neque tu times Deum, qui in eadem damnatione es? Et nos quidem juſtè: nam digna factis recipimus: hic verò nihil mali geſſit. Et dicebat ad Jeſum, Domine memento mei, cùm veneris in regnum tuum. Vidiſti verum patrocinium? Vidiſti ut verum Chriſtum ſit ipſum confeſſus, Memento mei Domine, cùm veneris in regnum tuum. Mala propria confitetur, & Domino patrocinatur. Adeo tortus es latro coram Præſide, ut latrocinia tua, cædes & furta à te commiſſa fatereris, nec tamen faſſus es: & nunc extra tormenta dicis, Digna factis recipimus? Mille tormentis admotis vix apud Præſidem faſſus es, & hic nemine te cogente ita facilè confiteris? Sic eſt, inquit, verùm illic confeſſionem excipit mors: hic confeſſionem pœnitentia ſequitur, & vita. Nos enim digna factis recipimus: hic verò nihil mali geſſit. Si nos, inquit, juſte, hic injuſtè. Nos enim vivos occidimus, hic mortuos ſuſcitavit: nos aliena prædati ſumus, hic divitias ſuas orbi terrarum largitus eſt, pugnat latro cum ſocio latrone, & ait: Ad hoc uſque tempus, quo cruci affixi ſumus, inter nos convenimus, & iter una fecimus: veruntamen, ab ipſa cruce finditur mihi via: ſi mecum iter facere velis ad vitam, veni: ſin minùs, vade vias tuas. Hactenus cùm te comitarer, prima via tecum ibam: jam verò crux ſecundam hanc viam in duas diviſit, pœnitentia dividitur latronum via: tumque pſalmus & finis Pſalmi adimplebatur, Novit Dominus viam juſtorum, & iter impiorum peribit. Poſtquam igitur veritati patrocinatus eſt latro, ad Dominum gloriæ ſe vertit & ait, *Memento mei Domine, cùm veneris in regnum tuum.* Erubeſcant deinceps Arriani, & audiant quid latro dicat. Domine memento mei, cùm veneris in regnum tuum. Videt cruci affixum latro, & dominum confitetur: hæreticus ejuſdem throni participem cum patre confitetur, & ut creaturam blaſphemat. Domine memento mei cùm veneris in regnum tuum. Vellem & ipſe verbis quibuſdam latronem compellare: ut meminerit tui Chriſtus, quid tandem feciſti, quo id commerueris? an quia occidiſti, quia deprædatus es? ſic enim ais, Memento mei, cùm veneris in regnum tuum. Sed nemo exiſtimet ſecundùm gratiam tantùm ſalvatum eſſe à Chriſto latronem, imo ſecundùm debitum illi reddendum hoc fuit. quod tandem debitum? dicet aliquis: an quòd res juſtas egerit? eleemoſynas dederit? res ſuas diſtribuerit? jejunarit? vigilarit? ſic fecerit, quá nemo alius? an verò quòd Deo crediderit? & Prophetæ Deo crediderunt, & Patriarchæ crediderunt: hymnorum ſcriptores crediderunt, Apoſtuli prædicatores, martyres: verùm omnes iſti cùm Deum in gloria conſpexiſſent: hic autem in ignominia. Tu verò mille mihi famulos domino ſervientes ſiſte, quo tempore proſpera fortuna & honoribus fruitur: & unum ſervum, qui in tempore tentationis, afflictionis, & exilii à domino ſuo non recedat: illos autem mille ſervos, qui tentationis in tempore & exilii dominum deſeruerint, ac receſſerint: nunquid hi proſpera favente fortuna ſervi, qui tentationis tempore dominum reliquerunt, pares eſſe poſſunt ei, qui rebus in adverſis dominum eſt ſequutus? nequaquam. Credidit Petrus, ſed cùm mortuos eum ſuſcitantem vidiſſet, cùm gloriam ejus contemplatus eſſet, credidit Paulus: ſed cùm cœlitus miſſam lucem vidiſſet, eumque lumina corporis excæcantem. Credidit Abraham, ſed cùm divinam viſionem aſpexiſſet. Eſaias credidit; ſed cùm eum in ſolio ſedentem excelſo vidiſſet, & *Cherubim in circuitu ejus:* Omnes viderunt, ſed in gloria: hic autem in ignominia, quamobrem etiam clamabat, *Domine memento mei, cùm veneris in regnum tuum.* Sed ſpectato rerum mearum ſtatu mihi dicturi eſtis: Quamobrem hoc ais? Equidem peccator ſum, & homicida: latro ad hanc horam uſque: multa ſunt ſcelera mea, fateor; ſed in mente mea fidem abſconditam habeo, quam nemo novit, niſi Dominus ſolus, qui mecum patitur. Habet exteriùs apparentes notas paſſionis Dominus: at ego eam quę apparet ignominiam non attendo, ſed abſconditam majeſtatem glorifico. Sic & tu dicito: Domine noli, quæ apparent ſcelera mea, ſed abſconditam fidem ſpectare; & memento mei, cùm veneris in regnum tuum. Cùm nulli prorſus quicquam loquutus eſſet Chriſtus, ſed tacuiſſet, & neque Pilato, neque ulli alteri Judæorum ſcelerato capiti reſpondiſſet, tum reſpondet; & quoniam grave admodum & incommodum erat ſilentium, jam reſpondet, atque latroni: Amen, amen, dico tibi; Hodie mecum eris in paradiſo. O eximium largitoris beneficium! quandoquidem tardum beneficium poſtulaſti, ego præproperum

Eſa.6.1.

ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Ταῦτα λέγω, ἵνα μάθητε ὑπὲρ εὐσεβείας κάμνειν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ τὸν ζῆλον ἐνδείκνυσθαι, καὶ ὑπὲρ Χριστοῦ ἀγωνίζεσθαι, ἵνα καὶ παρ' αὐτοῦ τὸν τῆς δικαιοσύνης λάβητε στέφανον, ὡς ὁ εὐγνώμων οὗτος λῃστής. ἄκουε γὰρ αὐτοῦ πρὸς τὸν βλάσφημον συλλῃστήν· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. καὶ ἔλεγε τῷ Ἰησοῦ, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. εἶδες συνηγορίαν ἀληθῆ; εἶδες πῶς αὐτὸν τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὡμολόγησε; μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ὁμολογεῖ τὰ ἴδια κακὰ, καὶ συνηγορεῖ τῷ Δεσπότῃ· τοσαῦτα ἐβασανίσθης λῃστὰ ἐπὶ τοῦ ἡγεμόνος, ἵνα ὁμολογήσῃς τὰς λῃστείας, καὶ τοὺς φόνους, καὶ τὰς κλοπὰς, ἃς ἐποίησας· καὶ οὐχ ὡμολόγησας· καὶ ὧδε λέγεις, ἐκτὸς βασάνων, ἄξια ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· διὰ μυρίων βασάνων μόλις ὡμολόγησας ἐπὶ τοῦ ἡγεμόνος· καὶ ὧδε μηδένα ἔχων τὸν ἀναγκάζοντα, εὐκόλως οὕτως ὁμολογεῖς; ναί φησιν· ἀλλ' ἐκεῖ τῇ ὁμολογίᾳ ἀκολουθεῖ θάνατος· ὧδε τῇ ὁμολογίᾳ ἕπεται μετάνοια καὶ ζωή. ἄξια γὰρ ἡμεῖς ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν· εἰ ἡμεῖς, φησὶ, δικαίως· οὗτος ἀδίκως. ἡμεῖς γὰρ τοὺς ζῶντας ἐφονεύσαμεν, οὗτος τοὺς νεκροὺς ἤγειρεν· ἡμεῖς τὰ ἀλλότρια ἐσυλήσαμεν· οὗτος τὸν ἴδιον πλοῦτον τῇ οἰκουμένῃ δίδωκε. μάχεται ὁ λῃστὴς τῷ συλλῃστῇ. καί φησι· μέχρι τούτου καιροῦ τοῦ κατὰ τὸν σταυρὸν ἀλλήλοις συνήλθομεν καὶ συνωδεύομεν· ἀλλὰ νῦν ἀπὸ τοῦ σταυροῦ σχίζεταί μοι ἡ ὁδός· ἐὰν θέλῃς συνοδεῦσαί μοι πρὸς τὴν ζωὴν, ἐλθέ· εἰ δὲ μὴ, τὴν οἰκείαν πορεύου· ἕως ὅτε σὺν σοὶ συνώδευον, τὴν πρώτην μετὰ σοῦ ᾔειν· ἀλλὰ νῦν ὁ σταυρὸς ἔσχισεν αὐτὴν τὴν ὁδὸν τὴν δευτέραν εἰς δύο· μετανοίᾳ σχίζεται ἡ ὁδὸς τῶν λῃστῶν· καὶ ἦν ὁ ψαλμὸς καὶ τὸ τέλος τοῦ ψαλμοῦ τότε πληρούμενον· γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. ὅτε οὖν συνηγόρησεν ὁ λῃστὴς τῇ ἀληθείᾳ, στρέφεται πρὸς τὸν βασιλέα τῆς δόξης, καί φησι, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. αἰσχυνέσθωσαν λοιπὸν οἱ Ἀρειανοὶ, καὶ ἀκουέτωσαν τί ὁ λῃστὴς λέγει· Κύριε μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. λῃστὴς βλέπει ἐσταυρωμένον, καὶ Κύριον ὁμολογεῖ· ὁ αἱρετικὸς ὁμολογεῖ σύνθρονον τοῦ πατρὸς, καὶ ὡς κτίσμα βλασφημεῖ. μνήσθητί μου Κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ἤθελον εἶναι εἰπεῖν πρὸς τὸν λῃστήν· μνησθείη σου ὁ Χριστός· τί ἄξιον ποιήσαντος; ὅτι ἐφόνευσας; ἐσύλησας; λέγεις γὰρ, μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ἀλλὰ μηδεὶς νομιζέτω, ὅτι κατὰ χάριν μόνον ἔσωσε τὸν λῃστὴν ὁ Χριστὸς, ἀλλὰ κατὰ ὀφειλὴν ἐχρεωστεῖτο αὐτῷ. ποῖον χρέος, φησίν; ὅτι ἐδικαιοπράγησεν; ἐλεημοσύνας ἔδωκεν; τὰ ἴδια ἐμέρισεν; ἐνήστευσεν; ἠγρύπνησεν; ἐποίησε πρᾶγμα, ὃ μηδεὶς ἄλλος; ἀλλ' ὅτι ἐπίστευσε τῷ Θεῷ; καὶ προφῆται ἐπίστευσαν τῷ Θεῷ, καὶ πατριάρχαι ἐπίστευσαν, ὑμνογράφοι ἐπίστευσαν; ἀπόστολοι κήρυκες, μάρτυρες· ἀλλ' οὗτοι πάντες ἐν δόξῃ θεασάμενοι τὸν Θεόν· οὗτος δὲ ἐν ὕβρει. ἀλλὰ στῆσον μυρίους οἰκέτας δουλεύοντας δεσπότῃ· ὅτε ὁ δεσπότης ἐστὶν ἐν εὐπραγίᾳ καὶ τιμῇ· καὶ ἕνα δοῦλον ἐν καιρῷ πειρασμοῦ, καὶ θλίψεως, καὶ φυγῆς, οὐκ ἀναχωροῦντα τοῦ ἰδίου δεσπότου· ἐκείνους δὲ τοὺς μυρίους δούλους ἐν τῷ τοῦ πειρασμοῦ καιρῷ καὶ τῆς φυγῆς, καταλιπόντας τὸν δεσπότην, καὶ ὑποχωρήσαντας· ἆρα γε οὗτοι οἱ δοῦλοι οἱ ἐν εὐπραγίᾳ τὸν δεσπότην ἐν τῷ καιρῷ τοῦ πειρασμοῦ καταλιπόντες, ὅμοιοι εἶναι δύνανται τῷ ἐν δυσπραγίᾳ τῷ δεσπότῃ ἀκολουθήσαντι; οὐδαμῶς· ἐπίστευσε Πέτρος, ἀλλ' ἰδὼν νεκροὺς ἐγείραντα, τὴν δόξαν αὐτοῦ θεασάμενος· ἐπίστευσε Παῦλος, ἀλλ' ἰδὼν φῶς οὐρανόθεν, καὶ τὰς μὲν σωματικὰς ὄψεις πηρώσαντα· τὰ δὲ ψυχικὰ ὄμματα φωτίσαντα· ἐπίστευσεν Ἀβραὰμ, ἀλλὰ θεασάμενος ὄψιν θεϊκήν· Ἡσαΐας ἐπίστευσεν· ἀλλ' ἰδὼν αὐτὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τὰ Χερουβὶμ κύκλῳ αὐτοῦ· ὅλοι εἶδον, ἀλλ' οἱ μὲν ἐν δόξῃ· οὗτος δὲ ἐν ὕβρει· διὸ καὶ ἔκραζε, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ἀπὸ τῶν κατ' ἐμὲ ὠφείλετέ μοι εἰπεῖν· διὰ τί λέγεις; ὅτι ἁμαρτωλός εἰμι, καὶ φονεύς· λῃστὴς μέχρι τῆς ὥρας ταύτης· πολλά μου τὰ κακὰ ὁμολογῶ, ἀλλ' ἔχω ἐν τῇ διανοίᾳ μου πίστιν κεκρυμμένην, ἣν οὐδεὶς οἶδεν, εἰ μὴ ὁ δεσπότης μόνος ὁ σὺν ἐμοὶ πάσχων· ἔξωθεν ἔχει ὁ Δεσπότης τὰ τοῦ πάθους φαινόμενα σύμβολα· καὶ ἐγώ, φησι, οὐ προσέχω τῇ φαινομένῃ ὕβρει, ἀλλὰ τὴν κεκρυμμένην βασιλείαν δοξάζω· οὕτως καὶ σὺ λέγε· Κύριε μὴ ἴδῃς μου τὰς ἀδικίας τὰς φαινομένας, ἀλλὰ τὴν πίστιν τὴν κρυπτομένην, καὶ μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. δι' ὅλου μηδὲν μηδενὶ λαλήσας Χριστὸς, ἀλλὰ σιωπήσας, καὶ μήτε τῷ Πιλάτῳ ἀποκριθεὶς, μήτε τινὶ ἄλλῃ ἀγνώμονι ψυχῇ τῶν Ἰουδαίων, ἀποκρίνεται τούτῳ· καὶ ἐπειδὴ πολὺ βαρὺ ἦν, καὶ ἄτοπον τὸ σιωπᾶν, ἀποκρίνεται λοιπὸν, καὶ λέγει τῷ λῃστῇ· ἀμὴν, ἀμὴν, λέγω σοι· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· ὢ τῆς τοῦ εὐεργέτου χάριτος· ὑπὲρ δὴ βραδεῖαν ᾐτήσω τὴν χάριν, καὶ λέγεις, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· σὺ βραδεῖαν ᾔτησας, ἐγὼ ταχεῖαν

δίδωμι

δίδωμι τὴν χάριν· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἶδες Θεοῦ σωτηρίαν; εἶδες δεσπότου εὐεργεσίαν; εἶδες τὸν μέγαν τῆς ἀληθείας δικαστήν; Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Περὶ τούτου οὐδεὶς ἤκουσεν, τῶν Ἰουδαίων ἢ τῶν πατριαρχῶν, παραδείσου, ἀφ' οὗ ὁ Ἀδὰμ παρέβη, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ· καίτοι μυρία ὁ Θεὸς ἐπηγγείλατο τοῖς ἀνθρώποις τοῖς πιστοῖς· καὶ οὐδενὶ ἐπηγγείλατο παράδεισον ἢ τῷ λῃστῇ· οὐδαμοῦ φαίνεται τὸ στόμα τοῦ Θεοῦ ἐπαγγελλόμενον παράδεισον ἀνθρώπῳ μετὰ τὸ ἐκβληθῆναι τὸν Ἀδάμ, ἢ τούτῳ πρῶτον τῷ λῃστῇ. Διὰ τί μηδενὶ τῶν πατριαρχῶν πρῶτον εἶπε περὶ παραδείσου, οὐδενὶ τῶν προφητῶν, οὐδενὶ τῶν ἀποστόλων; ἀλλὰ τοῖς ἀρχαίοις ἐπηγγείλατο· δώσω σοι γῆν ῥέουσαν γάλα καὶ μέλι· τοῖς ἀποστόλοις λέγει, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· παράδεισος οὐδαμοῦ· ἐν μέσῳ τηρεῖ πρῶτον τὸν παράδεισον εἰς ἐπαγγελίαν πρῶτον τῷ λῃστῇ. ὅταν γὰρ εἴπῃ Παῦλος· ἡρπάγην εἰς τὸν παράδεισον· ἀλλὰ μετὰ τὸν λῃστὴν τοῦτο ἐγένετο. Διὰ τί οὖν πρῶτος εἰσῆλθεν ὁ μίαν μόνην φθεγξάμενος φωνήν; τί γάρ; πολλάκις ἔψαλλεν; πολλάκις ἠγωνίσατο; πολλάκις ἐθεολόγησεν; ἅπαξ, φησί· δίκαιος ὁ Θεός μου, ὁ βραβευτὴς τῆς σωτηρίας· ἐπειδὴ τὸν πρῶτον ἄνθρωπον Ἀδὰμ οὐ διὰ πολλὰς ἁμαρτίας ἐξέβαλε τοῦ παραδείσου, ἀλλὰ διὰ μίαν παρακοήν· οὕτως ὁ τῆς δικαιοσύνης ζυγὸς πρῶτον εἰσελθεῖν ἐν παραδείσῳ τὸν λῃστὴν ἐπηγγείλατο, τὸν μὴ πολλὰ εἶναι ὁμολογήσαντα, ἀλλὰ μίαν ὁμολογίαν πίστεως προσενέγκοντα. εἶπον τὸ ἁμάρτημα τοῦ Ἀδάμ, ὅτι ἥψατο τοῦ ξύλου παρὰ τὴν ἐντολήν. τίς ἡ δικαιολογία τοῦ λῃστοῦ; ὅτι ἥψατο τοῦ σταυροῦ μετὰ πίστεως· εἰσῆλθεν εἰς τὸν παράδεισον. τί λοιπὸν γίνεται; ἐπηγγείλατο μὲν τὴν σωτηρίαν ὁ Σωτήρ· καιρὸς δὲ οὐκ ἦν, οὐδὲ ἐνεδίδοτο τῷ λῃστῇ πιστεῦσαι καὶ φωτισθῆναι· ὁ Σωτὴρ γὰρ ἀπεφήνατο· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· οὐχ εὕρισκεν εὐκαιρίαν ἢ παρρησίαν ὁ λῃστής· οὐκ εἶχε καιρὸν βαπτισθῆναι. ἐν τῷ σταυρῷ γὰρ ἐκρέματο· εὑρίσκει τοιγαροῦν ὁ Σωτὴρ ἐν ἀπόροις πόρον· ἐπειδὴ γὰρ ἐπίστευσε τῷ Σωτῆρι ὁ πεπαλαιωμένος τῇ ἁμαρτίᾳ, καὶ ἔδει αὐτὸν καθαρισθῆναι, οἰκονομεῖ ὁ Χριστὸς μετὰ τὸ πάθος τὸν στρατιώτην νύξαι τῇ λόγχῃ τὴν πλευρὰν τοῦ Κυρίου. καὶ ἐξεπήδησεν αἷμα καὶ ὕδωρ· ἐκ γὰρ τῆς πλευρᾶς αὐτοῦ φησιν ὁ εὐαγγελιστής, ἐξῆλθεν αἷμα καὶ ὕδωρ ἐν ἀληθείᾳ τοῦ πεπονθότος, εἰς τύπον τῶν μυστηρίων· καὶ οὐκ ἐξῆλθε δὲ τὸ αἷμα καὶ τὸ ὕδωρ οὕτως ἁπλῶς ῥέον· ἀλλὰ ῥοιζοῦν· ἵνα ῥαντίσῃ τὸ σῶμα τοῦ λῃστοῦ· τὸ γὰρ μετὰ ῥοίζου πεμπόμενον ῥαντίζει· τὸ δὲ ῥέον ἠρέμα ῥεῖ, καθὼς ἔρχεται· ἀλλὰ μετὰ ῥοίζου ἐξῆλθε τὸ αἷμα καὶ τὸ ὕδωρ ἐκ τῆς πλευρᾶς ἵνα ῥαντίσας τὸν λῃστὴν βαπτίσῃ, ὡς καὶ ὁ ἀπόστολος λέγει· προσεληλύθαμεν Σιὼν ὄρει καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. Διατί, παρὰ τὸν Ἄβελ κρεῖττον λαλεῖ τὸ αἷμα τοῦ Χριστοῦ; ἐπειδὴ τὸ αἷμα τοῦ Ἄβελ ἐν τῇ κορυφῇ τοῦ φονέως· τὸ δὲ αἷμα τοῦ Χριστοῦ καθαρίζει καὶ τοὺς φονευτὰς μετανοοῦντας. μάθε οὖν τὸν ζῆλον τῆς ἀληθείας, καὶ ἀγάπησον τὴν ὑπὲρ Χριστοῦ παρρησίαν· ἀκολούθησον ἀληθεῖ διδασκάλῳ ὑπὲρ ἀληθείας ἀγωνιζομένῳ, ἵνα οὕτως ἀκούσας παρὰ τοῦ ἀποστόλου Παύλου, μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ, καταξιωθῇς καὶ αὐτὸς τοῦ στεφάνου τῆς δικαιοσύνης, καὶ ὧν ἡτοίμασεν αἰωνίων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν Χριστὸς ὁ Θεὸς ἡμῶν· ὧν γένοιτο καὶ ἡμᾶς πάντας ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

beneficium confero: *Hodie mecum eris in paradiſo.* Vidiſti Dei ſalutem? vidiſti Domini beneficium? vidiſti magnum veritatis judicem? Hodie mecum eris in paradiſo. Nemo hactenus Judæorum, aut patriarcharum, de paradiſo fieri mentionem audivit, ex quo tranſgreſſus eſt Adamus, & ex illo egreſſus eſt: ac tametſi Deus hominibus innumera fidelibus promiſit, nulli tamen paradiſum, niſi latroni promiſit: nuſquam homini apparet Dei ore promiſſum eſſe paradiſum, poſtquam ejectus Adamus eſt, niſi huic primùm latroni. Cur nulli patriarcharum primum de paradiſo loquutus eſt, nulli prophetarum, nulli Apoſtolorum? Antiquis verò promiſit: Dabo tibi terram lacte & melle manantem? Apoſtolis dicit; *Beati pauperes ſpiritu*: quoniam ipſorum eſt regnum cœlorum: nuſquam paradiſus: reſervat in medio paradiſum, ut latroni primum promittatur. Licet enim dixerit Paulus, Raptus ſum in paradiſum; poſt latronem tamen hoc accidit. Cur igitur primus ingreſſus eſt, qui unam propè vocem protulit? quid enim? an ſæpè pſalmos cantavit? ſæpe decertavit? ſæpe de divinitate verba fecit? ſemel, inquit: Juſtus nimirum eſt Deus meus ſalutis arbiter: quandoquidem primum hominum Adamum non ob multa peccata, ſed ob unam inobedientiam à paradiſo ejecit: ita juſtitiæ ſtatera latroni primùm in paradiſum ingreſſurum eum promiſit, non cùm multa quædam confeſſus eſſet, verùm cùm unam fidei confeſſionem obtuliſſet. Dixi peccatum Adami fuiſſe, quod contra quàm præceptum erat, lignum attigerit: quæ porro fuit latronis purgatio? quod cum fide crucem attigerit, in paradiſum intravit. Quid fit deinceps? Salvator quidem ſalutem promiſerat, ſed tempus non erat, neque permittebatur latroni credere, ac baptizari? pronuntiarat enim Salvator, *Niſi quis renatus fuerit ex aqua & Spiritu, non introibit in regnum cœlorum*, oportunitatem aut licentiam non reperiebat latro, ſuſcipiendi baptiſmi tempus illi non ſuppetebat: quippe qui ſuſpenſus eſſet in cruce. Salvator igitur viam invenit, qua impedita expediret. Nam quia crediderat is Salvatori, qui in peccatis inveteraverat, cumque neceſſe erat baptizari, ſic diſponit Deus, ut poſt paſſionem lancea miles Domini latus vulneret: & exilit ſanguis & aqua: Ex ejus enim latere, inquit Evangeliſta, exivit ſanguis & aqua, ut de veritate paſſionis conſtaret, & figura ſacramentorum extaret. Neque verò ſic exierunt ſanguis & aqua, ut ſimpliciter fluerent, ſed cum impetu, ut latronis corpus aſpergerent, quod enim cum impetuoſo fluxu emittitur, aſpergit: quod autem fluit, leniter fluit prout venit: at cum impetu exivit ex latere ſanguis & aqua, ut latronem aſperſum baptizarent, ſicut Apoſtolus ait: Acceſſimus ad Sion montem, & aſperſionem ſanguinis meliùs loquentem quàm Abel. Quare meliùs quàm Abel loquitur ſanguis Chriſti? quia ſanguis Abel inſidet capiti homicidæ: Chriſti verò ſanguis homicidas etiam pœnitentes emundat. Diſce igitur æmulationem ac zelum veritatis, & libertatem pro Chriſto loquendi, adamato; ſequere verum magiſtrum pro veritate decertantem, ut cùm ab Apoſtolo Paulo ſic audiveris, *Imitatores mei eſtote, ſicut & ego Chriſti*, juſtitiæ tu quoq; coronam obtinere merearis, & quæ Chriſtus Deus noſter æterna bona præparavit iis qui diligunt illum; quæ nobis omnibus utinam conſequi detur gratiâ & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria, & imperium nunc & ſemper & in ſecula ſeculorum. Amen.

Luc. 23. 43. — Exod. 13. 5. — Matth. 5. 3. — 2. Cor. 12. 2. — Joan. 3. 5. — Joan. 19. 34. — Heb. 12. 22. — 1. Cor. 11. 1.

Εἰς τὴν τριήμερον ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁμιλ.

Χαίρετε ἐν Κυρίῳ πάντοτε, ἀγαπητοὶ ἀδελφοί, πάλιν ἐρῶ, χαίρετε· ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε· ὁ Κύριος ἐκ νεκρῶν ἐγήγερται, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς ἁγίων· ἑορτάσωμεν οὖν ἡδέως τε καὶ σωφρόνως. αὕτη γὰρ ἀληθῶς ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ· κηρύξωμεν τὴν τοῦ Σωτῆρος ἀνάστασιν, μᾶλλον δὲ τὴν ἡμετέραν βοήσωμεν σωτηρίαν· κηρύξωμεν τῆς σωτηρίου ἡμέρας τὴν ὑπόμνησιν· κηρύξωμεν τὴν νέκρωσιν τοῦ διαβόλου, τὴν τῶν ἀκαθάρτων δαιμόνων αἰχμαλωσίαν, τὴν τῶν Χριστιανῶν σωτηρίαν, τὴν τῶν νεκρῶν ἀνάστασιν. Διὰ γὰρ τῆς ἀναστάσεως τοῦ Χριστοῦ σβέννυται μὲν γέεννα πυρός, σκώληξ δὲ ἀκοίμητος τελευτᾷ· ᾅδης ταράττεται· πενθεῖ διάβολος· ἁμαρτία νεκροῦται· πνεύματα πονηρὰ διώκεται· οἱ ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνατρέχουσιν· οἱ ἐν τῷ ᾅδῃ ἐλευθεροῦνται τῶν δεσμῶν τοῦ διαβόλου, καὶ Θεῷ προσφεύγοντες, λέγουσι τῷ διαβόλῳ· ποῦ σου θάνατε τὸ νῖκος; ποῦ σου ᾅδη τὸ κέντρον; αἴτιος δὲ ἡμῖν τῆς ἁγίας ἑορτῆς τε καὶ πανηγύρεως ὁ Χριστός, ὁ καὶ πάντων ἡμῖν τῶν καλῶν πρόξενος· οὗτος γὰρ ἡμᾶς καὶ ἐξ ἀρχῆς ἐποίησε, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν·

In Triduanam Reſurrectionem Domini noſtri Jeſu Chriſti, Sermo.

FRONTONE DUCÆO interprete.

Gaudete in Domino ſemper, fratres chariſſimi: iterum dico, gaudete. Dominus prope eſt nihil ſolliciti ſitis: Dominus reſurrexit à mortuis, & cum ipſo turba multa ſanctorum. Feſtum itaque diem agamus jucundè ſimul ac modeſtè: *hæc* enim verè *dies eſt, quam fecit Dominus: Exultemus & lætemur in ea.* Prædicemus Salvatoris reſurrectionem, vel ſalutem potius noſtram proclamemus: prædicemus ſalutaris diei memoriam: prædicemus diaboli mortificationem, immundorum dæmonum captivitatem, Chriſtianorum ſalutem, reſurrectionem mortuorum. Per reſurrectionem enim Chriſti, gehenna quidem ignis extinguitur: vermis autem irrequietus moritur: infernus turbatur: luget Diabolus: peccatum necatur: ſpiritus maligni fugantur: qui ex terra ſunt orti, attolluntur in cœlos: qui in inferno erant, à Diabolo vinculis liberantur, & ad Deum confugientes Diaboli dicunt, Ubi eſt mors victoria tua? ubi ſtimulus tuus, inferne? Porro ſanctæ nobis feſtivitatis ac celebritatis auctor Chriſtus eſt, qui & omnium bonorum nobis eſt conciliator. Hic namque nos à principio condidit, & ex nihilo in lucem edidit:

Phil. 4. 4. — Pſ. 117. 24.

hic & nunc perditos ſalvos fecit : mortuos ad vitam revocavit, & Diaboli tyrannidi extorſit. Hic nos cùm peccati ſervi eſſemus, *deleto quod contra nos erat chirographo*, libertate donavit. Chriſtus nos redemit de maledicto legis, factus pro nobis maledictum. [Pſal. 115. 3.] Quas ob cauſas æquum eſt, ut nos quoque dicamus : *Quid retribuemus Domino pro omnibus quæ retribuit nobis ?* Cùm Deus eſſet unigenitus, hominem fieri propter nos ipſi complacuit : & factus eſt usque ad mortem obediens, ut à morte nos æterna vindicaret : ſervi formam tulit, dominus Angelorum : carnem aſſumpſit Deus verbum : & homo apparuit, conformis & conſubſtantialis eſt patri, atque hæc ſubiit ut ab iniqua nos eriperet ſervitute, & ab ignominia redimeret. Propterea in carne pati dignatus eſt vitæ largitor : propterea & ſepultus eſt fons immortalitatis ; ut æternam vitam mortalibus largiretur. Atque in terris quidem verſatus eſt benefaciens, & hominum ſanans ægritudines ; ſed indigna à Judæis Deo repugnantibus præmia reportavit: Nam Dominus quidem noſter Jeſus Chriſtus per ſummam benignitatem leproſos mundabat, cæcis viſum impertiebat, claudos ſanabat, dæmones ejiciebat, quatriduanum Lazarum à mortuis excitabat: & ex quinque panibus hominum quinq; millia ſatiavit, ambulavit in mari, aquam in vinum mutavit, fœminam, quæ ſanguinis fluxum patiebatur, curavit, filiam archiſynagogi mortuam ſuſcitavit, aliaque multa myſteria admiratione digna perfecit: Judæi verò invidia & livore commoti aliquando quidem Dominum lapidabant, aliquando autem præcipitare conabantur, ad extremum etiam in crucem egerunt. Verumenimvero Dominus noſter Jeſus Chriſtus blaſphemorum Judæorum improbitatem non eſt imitatus, [Eſa. 50. 6.] *ſed dorſum* [1. Pet. 2. 23.] *ſuum dedit ad flagella*, ut inquit Propheta, *& genas ſuas ad alapas : faciem ſuam non avertit à confuſione ſputorum*, & ad extremum, *ſicut ovis ad occiſionem ductus eſt*, & ſicut agnus coram tondente mutus, non repugnans, non contradicens : cùm malediceretur, non viciſſim maledicebat : cùm pateretur, comminabatur : tradebat autem ſe judicanti juſtè. Non enim venit in primo adventu, ut caſtigaret ac puniret incredulos : ſed per longanimitatem & patientiam eos qui aberraverant, voluit ad tramitem veritatis traducere. Ac vide quanta ſit Domini bonitas, & quàm magna ejus benignitas : conviciis eum inceſſebant [Joan. 7. 20.] Judæi, & ad eum dicebant, *Dæmonium habes* ; Dominus autem, ut erat longanimis, dæmones ex hominum corporibus expellebat. Judæi in faciem Salvatoris ſpuebant ; ipſe vero cæcos eorum ſanabat : Judæi Chriſtum lapidabant ; at Chriſtus claudis eorum, ut currerent, largiebatur, & in univerſum ad finem usque beneficiis cumulavit eos à quibus injuriis afficiebatur, & pro malis bona ingratis illis ac ſceleſtis hominibus largitus eſt. Dum autem contumelias ita patienter ferret, forſan & imbecillis cenſebatur is cui Angeli ſatellitum more famulantur. Ac ne multa dicentes longiore uti oratione videamur, ad ipſa rerum capita veniamus. Tandem igitur ad crucem mortemque ductus eſt Rex gloriæ, & ligno affigitur, is quem Cherubim Seraphimque collaudant, quem virtutes omnes & Angeli adorant. Hæc autem leniter toleravit ac paſſus eſt nobis præbens exemplum, & modeſtiæ factus magiſter. Idcirco igitur debemus & nos improborum hominum minas generosè ferre. At enim etiam cùm in cruce penderet, majora edidit ac plura miracula : ut hac ſaltem ratione Dei oſorum inſaniam refrænaret : ut nullus relinqueretur illis incredulitatis prætextus ; neve dicerent ſe nudum hominem crucifixiſſe. Primum itaque ſe crucifigi paſſus eſt Chriſtus, & in aërem attolli : ut dæmones, qui in aere verſantur, fugaret : in ligno ſuſpenſus eſt, ut quod per lignum hominibus quondam adnatum erat, peccatum ſanaret, deinde vero latus ejus lancea vulneratum eſt, propter mulierem, quæ ex Adami latere [Gen. 2. 22.] ſumpta fuit. Nam quoniam ſerpens Evam ſeduxit, Eva porro ut Adamus peccaret, effecit ; in utrumque autem ſententia pro[Rom. 5. 14.]nuntiata eſt ; *& regnavit mors ab Adamo usque ad Moyſem etiam in eos qui peccaverunt* : propterea latus vulneratur, ut diſcamus Chriſti paſſionem non viris tantùm, ſed & mulieribus ſa[1. Tim. 2. 13.]lutem attuliſſe. *Adam enim primus formatus eſt, deinde Eva:* Adam non eſt ſeductus, mulier autem ſeducta in prævaricatione fuit ; ſalvabitur autem per prolis generationem. Quam verò prolis generationem, niſi prolis generationem Mariæ ? ea namque Chriſtum enixa eſt, non ubi cum viro conveniſſet, [Eſa. 7. 14.] ut Eſaias teſtatur, ſed cùm eam Spiritus ſanctus obumbraſſet, ut Gabriel Archangelus fœliciter nuntiarat. Hac igitur occaſione & Chriſti latus percutitur, ut & ea quæ prædicta fuerant, diſpenſentur, & baptiſmi ſacramentum prædicetur,

οὗτος καὶ νῦν ἀπολλυμένους ἔσωσε· νεκρωθέντας ἐζωοποίησε· καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἀφείλατο. οὗτος δούλους ὄντας ἡμᾶς τῇ ἁμαρτίᾳ, ἐλευθέρους ἐποίησεν, ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. ἐφ' οἷς ἄξιον καὶ ἡμᾶς εἰπεῖν, Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; Θεὸς ὢν μονογενής, ἄνθρωπος δι' ἡμᾶς γενέσθαι ηὐδόκησε, καὶ γέγονεν ὑπήκοος μέχρι θανάτου, ἵνα ἡμᾶς αἰωνίου θανάτου ῥύσηται· δούλου μορφὴν ἐφόρεσεν ὁ τῶν ἀγγέλων δεσπότης· σάρκα προσέλαβεν ὁ Θεὸς λόγος, καὶ ἄνθρωπος ἐφαίνετο, ὁ σύμμορφος καὶ ὁμοούσιος τῷ πατρί· καὶ ταῦτα ὑπέμεινεν ἵνα ἡμᾶς τῆς ἀδίκου δουλείας ἐξέληται, καὶ τῆς ἀτιμίας λυτρώσηται· διὰ τοῦτο παθεῖν ἠνέσχετο σαρκὶ ὁ τῆς ζωῆς χορηγός· διὰ τοῦτο καὶ ἐτάφη τῆς ἀθανασίας ἡ πηγή· ἵνα τοῖς θνητοῖς ἀΐδιον χαρίσηται ζωήν. καὶ παρῆν μὲν ἐπὶ γῆς εὐεργετῶν, καὶ ἰώμενος τῶν ἀνθρώπων τὰ πάθη· ἀναξίας δὲ ἀπὸ τῶν θεομάχων Ἰουδαίων ἀπελάμβανε τὰς ἀμοιβάς· ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ πολλὴν ἀγαθότητα λεπροὺς ἐκαθάριζε· τυφλοῖς τὸ βλέπειν ἐχαρίζετο· χωλοὺς ἐθεράπευε· δαίμονας ἀπήλαυνε· τὸν Λάζαρον τετραήμερον ἐκ νεκρῶν ἤγειρε· καὶ ἐκ πέντε ἄρτων πεντακισχιλίους ἐχόρτασεν· ἐπὶ θαλάσσης περιεπάτησε· τὸ ὕδωρ εἰς οἶνον μετέβαλε· τὴν αἱμοῤῥοοῦσαν ἰάσατο· τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου θανοῦσαν ἀνεζωοποίησε· καὶ ἄλλα πολλὰ μυστήρια θαύματος ἄξια πεποίηκεν· Ἰουδαῖοι δὲ ὑπὸ φθόνου καὶ βασκανίας κινηθέντες, ποτὲ μὲν ἐλίθαζον τὸν Κύριον, ποτὲ δὲ κατακρημνίζειν ἐπειρῶντο· τελευταῖον δὲ καὶ ἐπὶ τὸν σταυρὸν ἤγαγον. ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐμιμήσατο τὴν κακίαν τῶν βλασφήμων Ἰουδαίων· ἀλλὰ καὶ τὸν νῶτον αὐτοῦ ἔδωκεν εἰς μάστιγας [κατὰ τὸν προφήτην] καὶ τὰς σιαγόνας εἰς ῥαπίσματα· καὶ οὐκ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ τελευταῖον ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος, οὐκ ἀντιτασσόμενος, οὐκ ἀντιλέγων. βλασφημούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ ἑαυτὸν τῷ κρίνοντι δικαίως· οὐ γὰρ ἦλθεν ἐπὶ τῇ πρώτῃ παρουσίᾳ κολάσαι καὶ τιμωρήσασθαι τοὺς ἀπίστους· ἀλλ' ἠθέλησε διὰ μακροθυμίας καὶ ὑπομονῆς ὁδηγῆσαι τοὺς πεπλανημένους ἐπὶ τὴν ἀλήθειαν. καὶ μάθε τοῦ Κυρίου τὴν ἀγαθότητα καὶ τὴν χρηστότητα τὴν μεγάλην· ἐβλασφήμουν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον πρὸς αὐτὸν, δαιμόνιον ἔχεις· ὁ δὲ Κύριος μακρόθυμος ὤν, τοὺς δαίμονας ἐκ τῶν ἀνθρώπων ἤλαυνεν. Ἰουδαῖοι εἰς πρόσωπον ἐνέπτυον τοῦ Σωτῆρος· αὐτὸς δὲ τοὺς τυφλοὺς αὐτῶν ἐθεράπευεν· Ἰουδαῖοι τὸν Χριστὸν ἐλίθαζον· ὁ δὲ Χριστὸς τοῖς χωλοῖς αὐτῶν τὸ τρέχειν ἐχαρίζετο· καὶ ὅλως δὲ ἐτέλεσεν εὐεργετῶν τοὺς ὑβρίζοντας, καὶ ἀντὶ κακῶν ἀγαθὰ δωρούμενος τοῖς ἀχαρίστοις ἐκείνοις καὶ μιαροῖς ἀνθρώποις· ἀνεξικάκως δὲ φέρων λοιδορίας, ἴσως καὶ ἀσθενὴς ἐνομίζετο ὁ ὑπὸ ἀγγέλων δορυφορούμενος. καὶ ἵνα μὴ πολλὰ λέγοντες δόξωμεν μηκύνειν τὸν λόγον, ἔλθωμεν εἰς αὐτὰ τὰ κεφάλαια τῶν πραγμάτων. τέλος γοῦν ἤγετο ἐπὶ τὸν σταυρὸν καὶ θάνατον ὁ τῆς δόξης βασιλεὺς, καὶ προσηλοῦται τῷ ξύλῳ ὁ ὑπὸ τῶν Χερουβὶμ καὶ Σεραφὶμ δοξολογούμενος, ὁ ὑπὸ πασῶν δυνάμεών τε καὶ ἀγγέλων προσκυνούμενος· ταῦτα δὲ πρᾳέως ὑπέμεινέ τε καὶ ἔπασχεν, ἡμῖν ὑπόγραμμον παρέχων, καὶ διδάσκαλος ἐπιεικείας γενόμενος. διὰ τοῦτο οὖν καὶ ἡμεῖς ὀφείλομεν γενναίως φέρειν τὰς τῶν πονηρῶν ἀνθρώπων ἀπειλάς. ἀλλὰ γὰρ καὶ ἐπὶ τοῦ σταυροῦ κρεμασθεὶς μείζονα καὶ πλείονα θαύματα ἐπεδείξατο· ἵνα κἂν οὕτως παύσῃ τῶν θεοστυγῶν τὴν μανίαν, ὥστε μὴ ἔχειν αὐτοὺς πρόφασιν τῆς ἀπιστίας, μήτε λέγειν, ὅτι ψιλὸν ἄνθρωπον ἐσταύρωσαν. Πρῶτον μὲν οὖν ἠνέσχετο ὁ Χριστὸς σταυρωθῆναι καὶ εἰς τὸν ἀέρα ἐπαρθῆναι, ἵνα τοὺς ἐν τῷ ἀέρι δαίμονας φυγαδεύσῃ· ἐκρεμάσθη ἐπὶ ξύλου, ἵνα τὴν πάλαι διὰ ξύλου προσγενομένην τοῖς ἀνθρώποις ἁμαρτίαν ἰάσηται· ἐνύγη δὲ καὶ τῇ λόγχῃ τὴν πλευρὰν, διὰ τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ληφθεῖσαν γυναῖκα. ἐπειδὴ γὰρ ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, ἡ δὲ Εὔα τὸν Ἀδὰμ παραβῆναι παρεσκεύασεν, ἐξῆλθε δὲ ἀπόφασις κατὰ τῶν ἀμφοτέρων· καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς ἁμαρτήσαντας· διὰ τοῦτο τιτρώσκεται ἡ πλευρὰ, ἵνα μάθωμεν, ὅτι οὐ μόνον ἀνδράσιν ἤνεγκε σωτηρίαν τὸ πάθος τοῦ Χριστοῦ, ἀλλὰ καὶ γυναιξίν· Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· Ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας. ποίας τεκνογονίας, εἰ μὴ διὰ τῆς τεκνογονίας Μαρίας; αὕτη γὰρ τὸν Σωτῆρα Χριστὸν ἐτεκνώσατο· οὐκ ἀνδρὶ συνελθοῦσα, ὡς Ἡσαΐας μαρτυρεῖ, ἀλλὰ πνεύματος ἁγίου ἐπισκιάσαντος αὐτήν, καθὼς Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο. διὰ ταύτην οὖν τὴν πρόφασιν καὶ ἡ πλευρὰ πλήττεται τοῦ Χριστοῦ, ἵνα καὶ τὰ προειρημένα οἰκονομηθῇ, καὶ τὸ μυστήριον τοῦ βαπτίσματος κηρυχθῇ,

καὶ

καὶ ἡ χάρις μέλλουσα λάμψῃ. πηγάζει γὰρ αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, ἵνα καὶ τὸ καθ' ἡμῶν χειρόγραφον τῆς ἁμαρτίας ἀπαλείψῃ, καὶ τῷ αἵματι αὐτοῦ καθαρισθῶμεν, καὶ τὸν παράδεισον ἀπολάβωμεν. ὢ μυστηρίου μεγάλου· μετενόησεν ὁ λῃστής, χρεία ἦν ὕδατος, ἵνα βαπτισθῇ· ἐπὶ τοῦ σταυροῦ ἐκρέματο, οὐκ ἦν ἕτερος τόπος βαπτίσματος, οὐ πηγή, οὐ λίμνη, οὐκ ὄμβρος, οὐχ ὁ τὴν μυσταγωγίαν ἐκτελῶν [πάντες γὰρ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἔφυγον οἱ μαθηταί] ἀλλ' οὐκ ἠπόρησεν ὁ Ἰησοῦς ναμάτων· ἀλλὰ καὶ ἐπὶ σταυροῦ κρεμάμενος δημιουργὸς ὑδάτων γέγονεν. ἐπειδὴ οὐχ οἷόν τε ἦν εἰσελθεῖν εἰς τὴν βασιλείαν τὸν λῃστὴν δίχα βαπτίσματος, οὐκ ἔξεστι δὲ τὸν μετανοήσαντα μὴ ἀμοιρῆσαι τοῦ βαπτίσματος, ὕδωρ καὶ αἷμα προήκατο τῆς νυγείσης πλευρᾶς ὁ Σωτήρ, ἵνα καὶ τὸν λῃστὴν ἐλευθερώσῃ τῶν ἐπηρτημένων κακῶν, καὶ τὸ αἷμα αὐτοῦ λύτρον ἀποδείξῃ γινόμενον τῶν εἰς αὐτὸν τὰς ἐλπίδας ἐχόντων. εἰ γὰρ τὸ αἷμα ταύρων, καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς κάθαρσιν· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν καθάρσιον γέγονε πάντων ὁμοῦ Χριστιανῶν; ἐὰν οὖν εἴποι σοί τις τῶν ἀπίστων, διὰ τί ἐσταυρώθη ὁ Χριστός; εἰπὲ αὐτῷ· ἵνα σταυρώσῃ τὸν διάβολον. ἐὰν εἴποι σοι διὰ τί ἐκρεμάσθη ἐπὶ ξύλου, εἰπὲ αὐτῷ, ἵνα τὴν διὰ ξύλου προσγενομένην ἁμαρτίαν ἐν τῷ παραδείσῳ ἀνακαλέσηται. ἐὰν οὖν εἴποι σοι διὰ τί ἀκάνθας ἐφόρεσεν; εἰπὲ αὐτῷ, ἵνα τὰς ἀκάνθας καὶ τοὺς τριβόλους τοῦ Ἀδὰμ ἐκριζώσῃ· ἐκεῖνος γὰρ στένειν καὶ τρέμειν κατεδικάσθη, καὶ ἀκάνθας καὶ τριβόλους γεωργεῖν. Ἰησοῦς οὖν φιλάνθρωπος ὤν, τοῦ ἰδίου ποιήματος θέλων προνοήσασθαι, πάντα ὑπέστη δι' ἡμᾶς, ἵνα ἡμᾶς καταδίκης ἐλευθερώσῃ. ὥσπερ γὰρ ἐγεννήθη διὰ γυναικός, ἵνα τὴν ἐκ γυναικὸς προσγενομένην ἁμαρτίαν τοῖς ἀνθρώποις ἀπαλείψῃ· οὕτως καὶ ταῖς ἀκάνθαις στεφανοῦται, ἵνα τὴν κακῶς γεωργηθεῖσαν ὑπὸ τῆς παρακοῆς γῆν διὰ τῆς ἰδίας ὑπακοῆς ἡμερωτέραν ἐργάσηται. ἐὰν δὲ εἴποι σοι, χολὴν καὶ ὄξος διὰ τί ἔπιεν; εἰπὲ αὐτῷ, ἵνα ἡμεῖς τὸν θανατηφόρον ἰὸν ἐξεμέσωμεν τοῦ δράκοντος· ἡ γὰρ χολὴ ἐκείνη ἐμοὶ γέγονε γλύκασμα, καὶ τὸ ὄξος ἐκεῖνο ἐμοὶ γέγονεν ἴαμα. ἐὰν δέ σοι εἴποι πάλιν ὁ ἄπιστος, διὰ τί καὶ κοκκίνην ἐνεδύσατο χλαμύδα, καὶ διὰ τί ἐγονυπέτουν προσιόντες αὐτῷ; εἰπὲ αὐτῷ, ἵνα καὶ μὴ θέλοντες αὐτῷ προσκυνήσωσιν Ἰουδαῖοι, καὶ τὴν βασιλείαν αὐτοῦ ἄκοντες ἐπὶ γῆς ὁμολογήσωσι. νῦν μὲν χλευάζοντες προσεκύνουν οὐκ εἰδότες ὅ τι ἔπραττον. ἐν δὲ τῇ μελλούσῃ ἀναστάσει πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. ἀμήν. ἔχει δὲ καὶ ἡ χλαμὺς ἐκείνη καὶ ἕτερον αἴνιγμα· οὐ μόνον γὰρ τὴν βασιλείαν ὑπεσήμαινεν, ἀλλὰ γὰρ καὶ τὸ αἱμοβόρον καὶ φονῶδες τῶν Ἰουδαίων ἐπεδείκνυτο. ἔδωκαν δὲ καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, ἵνα γραφῶσιν αὐτῶν αἱ ἁμαρτίαι. ταῦτα μὲν οὖν οἱ χριστομάχοι ἐποίουν, ἀγνοοῦντες τὸν σταυρούμενον, μᾶλλον δὲ ἑκουσίως ἀποτυφλωθέντες· ἡ δὲ κτίσις οὐκ ἠγνόησε τὸν ἑαυτῆς δεσπότην τε καὶ δημιουργόν· ἔτι γὰρ τοῦ Σωτῆρος ἐπὶ τοῦ σταυροῦ κρεμαμένου, θεωρήσας ὁ ἥλιος ὁ αἰσθητὸς τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν ὑπὸ τῶν παρανόμων ὑβριζόμενον, μὴ φέρων τὸ τόλμημα, φεύγει, σκοτίσας τὴν γῆν· καὶ ἄτοπον ἡγησάμενος συνεργεῖν, καὶ φωτίζων ὀφθαλμοὺς τὴν μεγίστην ἀσεβοῦντας ἀσέβειαν. οὐ μόνον δὲ ὁ ἥλιος ἔφυγεν, ἀλλὰ καὶ ἡ γῆ ἐκλονεῖτο, μὴ φέρουσα τὴν ἀνομίαν τῶν δρωμένων, ἐνδεικνυμένη δὲ καὶ διδάσκουσα ὅτι Θεὸς ἦν ὁ σταυρούμενος· διὸ καὶ οὐκ ἠνείχετο· ἀλλ' ἐχαλέπαινε μὴ θέλουσα φέρειν ἐφ' ἑαυτῆς τοὺς θεοστυγεῖς Ἰουδαίους. οὐχ οὕτως γὰρ ἀδελφοκτονήσας ἔχρανεν ὁ Κάϊν τὴν γῆν, οὐδ' οὕτως ἐβάρυνεν αὐτὴν ἡ τῶν γιγάντων πυργοποιΐα. οὐδ' οὕτως αὐτὴν ἐμόλυναν ἀθεμιτουργήσαντες Σοδομῖται· οὐδ' αὐτοὶ οἱ τὰ εἴδωλα πλάσαντες ἐξ αὐτῆς· οὐ τὸ αἷμα Ζαχαρίου καὶ Ἄβελ ἐκχυθὲν ἐβάρησεν αὐτήν, ὅσον Ἰουδαῖοι, τὸ μέγα τοῦτο τολμήσαντες ἀσέβημα. διὰ γὰρ τοῦτο καὶ αἱ σκληραὶ πέτραι ἐσχίζοντο, ἵνα μάθωσιν ὅτι οὗτός ἐστιν ἡ πνευματικὴ καὶ ζῶσα πέτρα. ἔπινον γάρ φησιν ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ὢ τῆς Ἰουδαίων ἀγνωμοσύνης· αἱ πέτραι ἐσχίσθησαν, καὶ οὗτοι ἀναισθητοῦσι· τὰ ἄψυχα κλονεῖται, καὶ οἱ ἔμψυχοι ἀπιστοῦσι· τὸ καταπέτασμα τοῦ ναοῦ ῥήγνυται, ἵνα λοιπὸν ἡ ἐρήμωσις αὐτοῦ δειχθῇ· ἐσχίσθη γὰρ τὸ καταπέτασμα, καὶ ἐγυμνώθη τὰ ἐν τῷ ναῷ διὰ τὸν εἰπόντα Χριστόν· ἰδού, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος· καὶ γὰρ καὶ ἠρήμωται μετὰ τὴν Χριστοκτονίαν πάντα τὰ τῶν Ἰουδαίων σεμνά, καὶ οἱ παρεδρεύοντες τῇ πόλει καὶ τῷ ἱερῷ ἄγγελοι μετέβησαν ἐκεῖθεν, καὶ ἦλθον εἰς τὴν ἐκκλησίαν. πολλὰ δὲ σώματα τῶν κεκοιμημένων ἁγίων συνηγέρθη Χριστῷ, ἵνα μάθωμεν ἡμεῖς, ὅτι Χριστὸς ἀποθανὼν μόνος οὐκ ἀνίσταται, ἀλλὰ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας ἐκ νεκρῶν ἀνίστησιν· αὕτη ὡς ἐν κεφαλαίῳ ἐστὶν ἡ σεμνὴ τοῦ πάσχα ἑορτή, καὶ ταῦτα Χριστιανῶν τὰ μυστήρια περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου.

A & gratia futura ſplendeat: ſanguis enim & aqua ex latere Chriſti ſcaturiunt, ut quod adverſus nos erat chirographum peccati, deleat, & ipſius ſanguine mundemur, ac paradiſum recuperemus. O magnum myſterium! pœnitentiam egerat latro: aqua opus erat, ut baptizaretur, in cruce ſuſpenſus erat: alter Baptiſmi locus non erat: non fons, non lacus, non pluvia, non qui myſteriis eum initiaret (omnes enim propter Judæorum metum aufugerant diſcipuli) non tamen Jeſu latices defuerunt; ſed & in ipſa cruce pendens
B conditor aquarum eſt factus, quandoquidem fieri minimè poterat, ut ſine baptiſmate latro in regnum intraret; eum verò, qui pœnitentiam egiſſet, baptiſmo diſtitui non oportebat; aquam & ſanguinem è vulnerato latere ſuo Salvator emiſit: ut & latronem à malis impendentibus liberaret, & ſanguinem ſuum eorum qui in ipſum ſpem ponerent, redemptionem factam eſſe declararet. *Si enim ſanguis taurorum & (redemptionis pretium) hircorum, & cinis vitulæ aſperſus inquinatos ſanctificat ad emundationem carnis:*
C *quanto magis ſanguis Chriſti Salvatoris noſtri* vim obtinuit Chriſtianos omnes ſimul expiandi? Si dixerit ergo tibi quiſpiam ex infidelibus Quid ita crucifixus eſt Chriſtus? dic illi, Ut Diabolum crucifigeret: ſi dixerit tibi, Quare in ligno ſuſpenſus eſt? dic illi, Ut peccatum quod in paradiſo per lignum adnatum fuerat, emendaret. Si ergo dixerit tibi, Cur ſpinas geſtavit? dic illi, ut Adami ſpinas & tribulos eradicaret. Illi enim ad gemitus & trepidationes & colendas ſpinas ac tribulos eſt damnatus. Jeſus
D itaque ut erat hominum amans, cùm vellet creaturæ ſuæ providere, omnia noſtra cauſa ſuſtinuit; ut nos à condemnatione (vel ſupplicio) liberaret, ut enim ex muliere natus eſt, ut quod ex muliere adnatum erat hominibus, peccatum deleret: ita & ſpinis coronatur, ut malè cultam ab inobedientia ſua magis ſativam & cultiorem redderet. Quòd ſi dicat tibi, Fel, & acetum cur ebibit? dic ei, ut nos lethiferum draconis venenum evomeremus, fel enim illud dulcedo mea, & acetum medicamentum meum eſt
E factum. Sin autem dicat rurſus infidelis, cur chlamydem coccineam eſt indutus? cur genu flexo accedebant ad eum? dic illi, Ut etiam nolentes eum adorarent Judæi, & regnum ejus in terris etiam inviti faterentur. Nunc quidem irridentes adorabant, neſcientes, quid facerent: in futura verò reſurrectione *omne genu flectetur cæleſtium, terreſtrium & infernorum, & omnis lingua confitebitur, quia Dominus Jeſus Chriſtus in gloria eſt Dei patris. Amen.* Habet & alteram ſignificationem ille chlamys: non enim
φύρῳ πεποικιλμένα τὰ λήια, τὴν τέρψιν τῶν κυμάτων μιμούμενα τῆς θαλάσσης. πάντα τῇ δεσποτικῇ ἀναλήψει μεθ' ἡμῶν φαιδρύνεται. Φέρε τοίνυν, κἀγὼ ἐφ' ὑμῶν τὰ τοῦ Δαβὶδ ἀνακρούσομαι ῥήματα, „ἅπερ ἡμῖν ἀρτίως διὰ τὴν δεσποτικὴν ἀνάληψιν ᾖδε. Πάντα τὰ „ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλ„λιάσεως. Κύριος ἐν φωνῇ σάλπιγγος ἀνέβη, ὅπου ἦν ἀνελή„φθη, ὅθεν οὐκ ἐχωρίσθη. Ὁ γὰρ καταβὰς, αὐτός ἐστιν ὁ καὶ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν· οὐκ ἄλλος ὁ τοῖς προφήταις ὀφθεὶς, καὶ B ἄλλος ὁ τοῖς ἀποστόλοις συνδιατρίψας· οὐκ ἄλλος ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, καὶ ἄλλος ὁ ἐπὶ Πιλάτου κρινόμενος· οὐκ ἄλλος ὁ ἐπὶ σταυροῦ τοῖς ἥλοις προσηλωμένος, καὶ ἄλλος ὁ τοῖς Χερουβὶμ ἐποχούμενος· οὐκ ἄλλος ὁ ὑπὸ Ἰωσὴφ τῇ σινδόνι ἐντυλισσόμενος, καὶ ἄλλος τῇ παλάμῃ τὴν κτίσιν περιδεδραγμένος· οὐκ ἄλλος ὁ ἐν τῷ μνημείῳ κατατεθειμένος, καὶ ἄλλος ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος· ἀλλ' αὐτὸς τῷ πατρὶ συγκαθήμενος, ὁ ἐν C τῇ παρθενικῇ μήτρᾳ ἀσπόρως βλαστήσας. ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, ὁ τῶν αἰώνων ποιητὴς, ὁ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ σύμπαντα παραγαγὼν, ὁ πλάστης τοῦ Ἀδὰμ, ὁ τῆς ἀνθρωπίνης φύσεως παραγωγὸς, ὁ τὸν εὐάρεστον Ἐνὼχ εἰς χωρίον τῆς ζωῆς μεταστήσας, ὁ τὸν Νῶε φυλάξας μετὰ τῆς οἰκουμένης, ὁ τὸν πατριάρχην Ἀβραὰμ ἐκ γῆς Χαλδαίων προσκαλεσάμενος, ὁ τυπώσας ἐν τῷ Ἰσαὰκ τὸ τοῦ σταυροῦ μυστήριον, D ὁ τὴν δωδεκάκλωνον τεκνογονίαν τῷ Ἰακὼβ χαρισάμενος, ὁ τὴν ὑπομονὴν τῷ Ἰὼβ παρασχὼν, ὁ ἡγεμόνα τοῦ λαοῦ τὸν Μωσέα προβαλλόμενος, ὁ προφητείας ἐκ μήτρας ἐμπλήσας τὸν Σαμουὴλ, ὁ τὸν Δαβὶδ εἰς βασιλέα ἐκ τῶν προβάτων ἐκλεξάμενος, ὁ τὴν σοφίαν τῷ Σολομῶντι παρασχόμενος, ὁ τὸν Ἠλίαν ἐν συσσεισμῷ ἅρματι πυρίνῳ ἀναλαβὼν, ὁ τοῖς προφήταις ἐμπνεύσας τὴν πρόγνωσιν, ὁ τοῖς ἀποστόλοις τὴν δωρεὰν τῶν ἰαμάτων χαρισάμενος, ὁ τοῖς αὐτοῖς E „βοήσας, Θαρσεῖτε, νενίκηκα τὸν κόσμον ἐγώ. Οὗτός ἐστιν ὁ Κύριος τῆς δόξης, ὁ ἀναληφθεὶς εἰς τοὺς οὐρανοὺς ἐν ἀλαλαγμῷ, καὶ καθίσας ἐν δεξιᾷ τοῦ πατρός. ὑποταγέντων δὲ αὐτῷ ἀγγέλων, καὶ ἐξουσιῶν, καὶ δυνάμεων, αὐτὸς τὰς ἐπιπόνους ἱκεσίας ἡμῶν * ἀναλάβοι, καὶ νικητὰς ἡμᾶς ἀναδείξῃ τῶν πειρατηρίων τοῦ κόσμου· ὑποτάξῃ ἡμῖν πᾶσαν τὴν φάλαγγα τῶν ἀκαθάρτων πνευμάτων, λέγων πρὸς „ἡμᾶς· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων " A „καὶ σκορπίων· ἀβλαβεῖς τοιγαροῦν καὶ ἀμώμους, ὑγιεῖς καὶ ὁλοκλήρους διαφυλάξῃ ἡμᾶς ψυχῇ καὶ σώματι καὶ πνεύματι, πεπληρωμένους καρπῶν δικαιοσύνης καὶ εὐποιΐας, ὁ τῶν ὅλων Θεὸς, ὁ καταξιώσας ἡμᾶς συναχθῆναι, καὶ τὴν σωτήριον ἐπιτελέσαι ἑορτήν· ὅτι καὶ αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A oblectationem fluctuum maris imitantes; omnia nobiſcum Dominica aſcenſione exhilarantur. Age igitur, & ego vobis verba Davidis inſonabo, quæ nobis ipſe paulo antè propter aſcenſionem Domini intonabat, ſua ſpirituali cithara canens; *Omnes gentes plaudite manibus, jubilate Deo in voce exultationis, aſcendit Deus in jubilo, & Dominus in voce tubæ*: eò aſcendit, ubi erat: aſſumptus eſt illuc, unde non receſſerat. *Qui enim deſcendit, ipſe eſt, & qui aſcendit ſupra omnes cælos*: non alius Prophetis oppa- B ruit, & alius qui cum Apoſtolis verſatus eſt: non alius fuit in ſinu patris, & alius ſub Pilato judicatus: non alius in cruce clavis transfixus, & alius ſuper Cherubim vectus. Non alius à Joſeph, ſindoni involutus, & alius * palmo creaturam concludens: non alius in monumento depoſitus, & alius qui ab ipſis Seraphim celebratur: Sed idem qui ad dexteram ſedet patris, qui in utero virginis ſine ſemine natus eſt, aſcendit Deus in jubilatione: Dominus in voce tubæ, qui ſeculorum factor eſt; qui ex non exi- C ſtentibus, ad eſſe produxit omnia; qui formator Adæ fuit, & humanæ naturæ productor; qui amicum Dei Enoch in regionem vitæ tranſtulit: qui Noë, cum univerſo terrarum orbe ſervavit; qui Patriarcham Abraham, ex terra Chaldæorum advocavit; qui in Iſaac, myſterium crucis præfiguravit: qui duodecim germinum propagationem filiorum. Jacob conceſſit: qui patientiam ipſi Job præbuit: qui Moyſen populi ducem conſtituit: qui prophetiâ Samuelem ab utero replevit: qui David ex ovium D paſtore, in Regem elegit: qui ſapientiam Salomoni donavit: qui in concuſſione, per currum igneum Eliam recepit: qui Prophetis futurorum præcognitionem inſpiravit: qui Apoſtolis donum curationum largitus eſt: qui ad ipſos clamavit: *Confidite, ego vici mundum.* Hic eſt Dominus gloriæ, qui aſſumptus eſt in cœlum, in jubilo, & ſedet ad dexteram patris, ſubditis ipſi Angelis & poteſtatibus. Ipſe indefeſſas noſtras preces ſuſcipiat, victoreſque nos tentationum mundi efficiat, omnéque nobis im- E mundorum ſpirituum agmen ſubjiciat: dicens ad nos: *Ecce dedi vobis poteſtatem calcandi ſuper Serpentes & Scorpiones.* Innoxios igitur & illæſos atque innocentes, & irreprehenſibiles, ſanos & integros cuſtodiat nos anima & corpore, ac ſpiritu repletos fructibus juſtitiæ, ac beneficentiæ univerſorum Deus, qui nos dignatus eſt ſimul congregare, ad ſalutarem diem feſtum celebrandum: Quoniam ipſi convenit omnis glorificatio, adoratio & honor, Patri & filio, & ſanctiſſimo atque vivifico Spiritui A ſancto, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

Ir. [illegible]

Pſ. 46, 1, 5.

Eph. 4, 10.

al. qui palmo mundū complectitur.

Pſ. 46.

Job 1.

Jac. 5.

1. Reg. 3.

Reg. 5.

Joh. 16, 33.

Ir. ἀναλάβοι.

Luc. 10, 19.

Scholia & varia Lectiones.

NAm Domino cruci ſuffixo, virtutes nova ſunt quadam & inaudita ratione commotæ, luminaria cœlorum expaverunt, luna & ſol fugerunt, ſtellæ defecerunt, dies non tulit, Angelus & è templo, conſciſſo velo domus, exiluit, &c. Pulchre adluſio ad ea quæ de myſterio paſſionis Dominicæ ab ipſis Evangeliſtis referuntur, Matth. 27. Marc. 15. Luc. 23. & Joan. 19. quæ hîc pulchrè & accommodatè S. Chryſoſtom. enarrat, amplificat, & illuſtrat. ubi tamen inter alia, illud quod dicit, Angelum è templo, conſciſſo velo domus exiliiſſe, &c. myſticè atque expoſitoriè de ſuo addidit: ſicut etiam à S. Patre noſtro Ephrem Syro in ſerm. de Paſſio. Dom. tom. 3. perpulchrè refertur, quòd Spiritus ipſe ſanctus conſpiciens dilectum filium Patris in ligno crucis pendentem, rupto mundiſſimo illo templi velo quod è ſurſum erat uſque deorſum, in ſpecie columbæ continuò de templo exivit.

Ad quem rurſus David dicebat Ἀνέβης εἰς ὕψος. aſcendiſti in altum, captivam ducens captivitatem, &c.] Ubi, ſicut apparet, S. Chryſoſtom. de induſtria: per ſecundam perſonam ἀνέβης, i. aſcendiſti.) loqui voluit, licet priùs in tertia de Chriſto locutus ſit: voluit enim hic verba referre Pſalmiſtæ, ſicut apud eum ſunt, in 2. perſona. Eſt enim in Pſalmo 67. ad quem hîc fit adluſio: Aſcendiſti in altum, cœpiſti captivitatem. &c.] ſive ut ad verbum eſt apud LXX. Aſcendens in altum, captivaſti captivitatem, accepiſti dona in hominibus, &c.] Ubi tamen Juſtinus in dialogo cum Tryphone, etiam in tertia perſona citat hunc locum: ἀνέβη εἰς ὕψος, καὶ ᾐχμαλώτευσεν αἰχμαλωσίαν. i. Aſcendit in altum, captivavit captivitatem, &c.

Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λόγος, ε'.

ΦΑΙΔΡΑ μὲν πᾶσα ἑορτὴ τῆς τοῦ Χριστοῦ οἰκονομίας, καὶ φαιδρύνουσα τῶν πιστῶν τὰς καρδίας· φαιδρὰ δὲ καὶ τῆς προκειμένης ἑορτῆς ἡ ὑπόθεσις. δι' ἣν δὲ φαιδρὰ, ἐν τοῖς καθεξῆς ῥηθησομένοις ὑποδείξομεν. Ἐν ἓξ τοίνυν ἡμέραις ἐποίησεν ὁ Θεὸς πάντα τὰ ἔργα αὐτοῦ, καθὼς γέγραπται, τῇ δὲ ἑβδόμῃ κατέπαυσε. διὸ καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν εὐδοκήσας ὁ τοῦ Θεοῦ λόγος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, καὶ ἐνανθρωπήσας, τὸν αὐτὸν τρόπον κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν τῆς κοσμοποιΐας, τὰς ἑορτὰς τῆς ἑαυτοῦ οἰκονομίας ἡμῖν παρέδωκε. πρώτη τοίνυν καὶ ῥίζα τῶν ἑορτῶν Χριστοῦ, ἡ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας μετὰ τὴν σύλληψιν παράδοξος γέννησις· ἐν ᾗ παραγέγονε Χριστὸς ὁ Θεὸς κλίνας οὐρανοὺς, ὅπως σώσῃ κόσμον ἀπολλύμενον· ἐν ᾗ ἄγγελοι τοῖς ποιμέσιν ὀφθέντες, τὸ πα„ράδοξον τοῦ θαύματος γνωρίζοντες ἐβόων, Δόξα ἐν ὑψίστοις Θεῷ.

In aſcenſionem Domini noſtri Jeſu Chriſti Sermo V.

Doctore GERARDO VOSSIO interprete & Scholiaſte.

ILluſtris quidem omnis feſtivitas, diſpenſationis Dominicæ habetur: quippe fidelium corda exhilarans: at illuſtris quoque hodierno die proponitur celebritatis lætitiæque materia, cujus rei cauſam deinceps exponemus. In ſex itaque diebus fecit Deus cuncta opera ſua, ſicut ſcriptum eſt, *die autem ſeptimo quievit*, Idcirco etiam, noviſſimis diebus placuit divino Dei verbo quærere & ſalvare quod perierat, carnéque humana aſſumpta, eundem nobis modum, ſecundùm numerum dierum creationis mundi, in celebritate feſtorum ſuæ diſpenſationis exhibuit. Prima igitur radix feſtorum Chriſti eſt ejus in carne poſt conceptionem admiranda, ex ſancta virgine Deipara Maria, Nativitas, qua Chriſtus Deus inclinans cœlos, in terram ad nos venit, ut mundum deperditum liberaret, ubi Angeli paſtoribus viſi, admirabile miraculi myſterium patefacientes, clamabant: *Gloria in excelſis Deo,*

Gen. 1, & 2. Exo. 20, 11. Heb. 4, 4.

Sex diebus creationis mundi reſpondent totidem feſtorum diſpenſationis Dominicæ celebritates.

in terra pax: in hominibus beneplacitum: Unde & meritò, pri- A
Chriſti Epiphania. ma feſtivitas appellatur. Seconda autem celebritas eſt Chriſti Dei noſtri Epiphania ſive apparitio, quando in Jordanem veniens, cũctis hominibus ineffabilis miſericordiæ indulgentiam oſtendit,
Matt. 3, 17. quando & patris vox è cœlo audita eſt, de ipſo teſtificans: *Hic eſt Filius meus dilectus, in quo mihi bene complacui:* quin & Spiritus ſanctus in ſpecie columbæ apparens manſit ſuper eum, tota ſcilicet ſimul conſubſtantiali Trinitate ſe manifeſtante in unico momento temporis. Cujus dignus ſpectator, Domini præcurſor Jo- B
annes factus eſt. De qua Epiphania, ſeu apparitione, etiam beatus
Tit. 2, 11. Paulus dicebat: *Apparuit gratia Dei Salvatoris noſtri omnibus hominibus.* Quandoquidem ergo omnium hinc orta eſt ſalus, meritò maxima à piis feſtivitas denominatur. Tertia ſolemnitas feſtorum eſt, adorenda modiſq; omnibus veneranda ſalutaris paſ-
Col. 2, 14. ſionis Chriſti veri Dei, dies. in qua, cruci carne affixus, *chirographum* peccati *quod contra nos erat, delevit*: in qua etiam Adamum per inobedientiam è paradiſo expulſum, ſola voce in illam intro- C
Luc. 23, 43. duxit, ait enim ad latronem: *Hodie mecum eris in paradiſo.* Unde & hæc ſolemnitas maxima atq; præcipua habetur: ait enim Pau-
1. Cor. 5, 7. lus: *Paſcha noſtrum pro nobis immolatus eſt Chriſtus.* Quarta feſta dies, eſt glorioſiſſima atq; pacifica & triũphalis dies ſanctiſſimæ
Eſa. 45, 2. Chriſti Dei noſtri Reſurrectionis, quando apud inferos, vectes perpetuos confringens, & vincula diſrumpens, à mortuis reſurrexit, ac de inferno devicto triumphans, juſtos ibi detentos ſecũ
Ἰσ. τῆς νῦν. reſuſcitavit atq; eduxit, quãdo etiã ad diſcipulos ſuos ingrediens, D
Joh. 20, 21. pacẽ ius in ſignũ triũphi precatꝰ eſt. Unde ſine ulla cõtroverſia,
Mater feſtivitatum mater hæc feſtorũ. & celeberrima dies fidelibus ſẽper eſt habita. Quintus autem feſtorum dierum, eſt ſanctiſſima Domini ad cœlos aſcenſio, quam modò celebramus: eſt autem hæc feſtivitatum quinta, quoniam & quinto hebdomadæ die contigit, ac propterea ſolemnitatem iſtam celebremus oportet, quandoquidem hodie primitias noſtræ maſſæ, id eſt carnem noſtram in cœlos Chriſtus ſuſtulit. Idcirco & Apoſtolus dicebat: *Convivificavit nos & con-* E
Eph. c, 6. *reſuſcitavit, & conſidere fecit in cœleſtibus, in Chriſto Jeſu.* Unde auctor omnis mali, & inventor peccati diabolus, propter tumorem elationis, & fumum ſuperbiæ, excidit. Ibi magnitudine benignitatis ſuæ, hominem peſſimo illius conſilio, paradiſo ejectũ, Chriſtus contra convivificavit, & reſuſcitavit. Omni igitur honore & ſpirituali gaudio digna eſt præſens feſtivitas. Sed quoniam ſeptem feſtorum numerum, pro ratione dierum creationis mundi, in principio ſermonis, vobis in memoriam redegimus, A
quinq; autem ſolùm uſq; ad præſentem, feſtivitates oſtendimus; alias quoq; duas celebritates in medium adducamus oportet, atque ita ad inſtitutam narrationem deducatur oratio. Sexta igi-
Κυριακὴ ἡμέρα. tur feſtorum celebritas eſt, ſuper laudata ac benedicta dies adventus ſpiritus ſancti, quando ſanctis Apoſtolis expectatum ac
Sexta feſtorum Dominico diſpenſationis celebritas eſt adventus ſpiritus ſancti, ſeu Pentecoſte. Pro ſeptima celebritate computatur Reſurrectio univerſalis mortuorum. promiſſum donum ſpiritus ſancti, in ſpecie linguarum ignearum, à Chriſto Domino de cœlis emiſſum eſt, quæ & Pentecoſte ob ſeptem hebdomadarum expletionẽ denominata eſt. Sine controver- B
ſia igitur & hæc omnibus piis maxima ſolemnitas conſtituta eſt. Septima feſtivitas, quæ expectatur, eſt reſurrectionis mortuorum dies, cujus ſpe ac deſiderio cuncti fideles detinemur, quando veniet Dominus, & qui nullum perſonarum reſpectum habet, judex Chriſtus Deus noſter, redditurus unicuique juxta opera ſua. Hæc vera eſt requies. atq; ideo beatus Apoſtolus Paulus dicebat: *Feſtinemus ingredi in illam requiem.* Tunc igitur vel maximè celebritas omnis gaudii, lætitiæ & exultationis impleta erit iis qui C
hæreditariè poſſidebunt, *quæ oculus non vidit, & auris non audivit, & in cor hominis non aſcenderunt, quæ Deus preparavit iis qui diligunt illum.* Optemus ergo & nos dilectiſſimi, ut cum juſtis ac
Heb. 4, 11. ſanctis, in cœleſtis regni thalamo feſtum diem celebrare poſſimꝰ,
1. Cor. 2. & non modò ad unum, duos vel tres dies dumtaxat: ſed in ſempi-
Heb. 4, 11. terna ſæcula. Septem itaq; feſtorum celebritatibus, ſic à nobis
1. Cor. c, 9. expoſitis atq; probatis, ad illud de quo agimus, revertamur. Eſt autem nobis inſtituta narratio de præſenti feſto aſcenſionis Chriſti in cœlos, de quo David dixit: *Et inclinavit cœlos, & deſcendit,* D
& caligo ſub pedibus ejus: divini ſcilicet verbi è cœlis ſuper terras
Ἰσ. τῦ Κυριοῦ. adventum deſignare volens. Caliginem verò ſub pedibus ejus di-
Pſ. 17, 11. xit, indumentum divinitatis per carnem ſignificans. Incognitus
Explicatio verborum Pſalmi. quippe vulgo erat adventus ejus, ob humilitatem ipſius & manſuetudinem. Rurſus enim idem Propheta ait: *Domine in ma-*
Pſ. 76, 19. *ri via tua, & ſemita tua in aquis multis, & veſtigia tua non cognoſcentur.* Si enim cognoviſſent, inquit Apoſtolus, nunquam dominum gloriæ crucifixiſſent. Iterumq; ait: *Aſcendit ſuper Cherubim,* E
1. Cor. 2, 8. *& volavit ſuper pennas ventorum.* Super Cherubim, inquit, quia
Pſ. 17, 11. cùm idem qui in cœlis eſt cum patre, ſuper Cherubim vehitur. Et dum cum hominibus in terra verſaretur, nequaquam à

A καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. διὸ καὶ δικαίως πρώτη ἑορτὴ προσηγόρευται· δευτέρα δὲ ἑορτὴ, ἡ ἐπιφάνεια Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καθ' ἣν ἐν τῷ Ἰορδάνῃ παραγινόμενος ἔδειξε πᾶσιν ἀνθρώποις τὸ ἄφατον αὐτοῦ εὐσπλαγχνίας τῆς συγκαταβάσει· ἐν ᾗ καὶ φωνὴ πατρὸς ἐξ οὐρανοῦ ἦλθε, μαρτυροῦσα περὶ αὐτοῦ, Οὗτός ἐστιν ὁ υἱός μου ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἀλλὰ καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς ἐλθὸν ἔμεινεν ἐπ' αὐτὸν, τῆς ὁμοουσίου τριάδος δηλαδὴ ἐπι-
B φανείσης ἐν μιᾷ καιροῦ ῥοπῇ· ἧς αὐτόπτης ἄξιος ὁ τοῦ Κυρίου πρόδρομος γέγονεν Ἰωάννης. περὶ ἧς ἐπιφανείας καὶ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος ἔλεγεν· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. ἐπεὶ οὖν πάντων ἀνθρώπων σωτηρία πέφυκεν, ἀξίως καὶ ἑορτὴ μεγίστη ὑπὸ τῶν εὐσεβῶν ὀνομάζεται. τρίτη τῶν ἑορτῶν ἡ ἁγία καὶ προσκυνητὴ, καὶ πανσεπτος τοῦ σωτηρίου πάθους Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ ἡμέρα· ἐν ᾗ ἐν σταυρῷ σαρκὶ προσηλωθεὶς, τὸ
C καθ' ἡμῶν τῆς ἁμαρτίας ἐξήλειψε γραμματεῖον· ἐν ᾗ καὶ τὸν διὰ τῆς παρακοῆς ἐκβληθέντα τοῦ παραδείσου Ἀδὰμ, διὰ μιᾶς φωνῆς ἐν αὐτῷ εἰσήγαγε. φησὶ γὰρ τῷ λῃστῇ, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὅθεν καὶ ταύτη ἑορτὴ μεγίστη καθίσταται, καὶ μάλιστα. Παῦλος γὰρ εἴρηκε, Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. τετάρτη ἑορτὴ, ἡ ὑπερένδοξος καὶ εἰρηνοποιὸς ἡμέρα τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως: καθ' ἣν καὶ ἐν τοῖς καταχθονίοις γενόμενος,
D τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ τὰ δεσμὰ διαρρήξας, ἀνέστη ἐκ τῶν νεκρῶν, νικήσας κατὰ τοῦ ᾅδου ἀράμενος, τοὺς ἐν αὐτῷ κατακειμένους συναναστήσας δικαίους, καὶ πρὸς τοὺς μαθητὰς εἰσελθὼν, τὴν εἰρήνην αὐτοῖς κατεβράβευσεν. ὅθεν πάσης ἀντιλογίας ἐκτὸς, μήτηρ αὕτη ἑορτῶν ἡ ἀοίδιμος ἡμέρα τοῖς πιστοῖς λελόγισται. πέμπτη τοιγαροῦν ἑορτὴ ἡ ἁγία τοῦ Κυρίου εἰς οὐρανοὺς ἀνάληψις, περὶ ἧς νυνὶ καὶ τὴν πραγματείαν ποιούμεθα. πέμπτη δὲ τῶν ἑορτῶν ἐστι,
E καθότι καὶ πέμπτη ἡμέρα τῆς ἑβδομάδος ἐπετελέσθη. διὸ ταύτην δὲ ἑορτάζειν ὀφείλομεν, ἐπειδὴ σήμερον τὴν ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος, τουτέστι, τὴν σάρκα, ἐν οὐρανοῖς Χριστὸς ἀνήγαγε. διὸ καὶ ὁ ἀπόστολος ἔλεγε· Συνήγειρε, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. ἔνθεν ὁ ἀρχέκακος καὶ τῆς ἁμαρτίας εὑρετὴς διάβολος διὰ τὸν ὄγκον τῆς ἐπάρσεως καὶ τῆς ὑπερηφανίας τὸν τῦφον, ἐξέπεσεν, ἐκεῖ τῷ μεγέθει τῆς ἑαυτοῦ φιλανθρωπίας τὸν διὰ τῆς ἐκείνου κακίστης συμβουλίας ἐκ τοῦ παραδείσου ἐκβληθέντα ἄνθρωπον Χρι-
A στὸς ἀντικατέστησεν. τιμῆς οὖν ἀξία καὶ πνευματικῆς χαρᾶς καὶ ἡ παροῦσα ἑορτὴ καθίσταται. ἀλλ' ἐπειδὴ ἑπτὰ ἑορτῶν ἀριθμὸν κατὰ τὰς ἡμέρας τῆς κοσμοποιίας ἐν ἀρχῇ τοῦ λόγου ἐμνημονεύσαμεν, πέντε δὲ καὶ μόνον μέχρι τοῦ παρόντος, ἑορτὰς ἐδείξαμεν, δέον ἐστὶ καὶ τὰς ἄλλας δύο ἑορτὰς εἰς μέσον ἀγαγεῖν, οὐθ' οὕτως ἐπὶ τὸν προκείμενον ἱστορίας τὸν λόγον * χειραγωγήσωμεν. ἕκτη τοίνυν ἐστὶ τῶν ἑορτῶν ἡ ἐπαινετὴ πανεύφημος ἡμέρα τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, καθ' ἣν
B τοῖς ἁγίοις ἀποστόλοις ἡ κατ' ἐπαγγελίαν προσδοκωμένη δωρεὰ τοῦ ἁγίου πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν παρὰ Χριστοῦ ἐξ οὐρανῶν ἀπεστάλη· ἥτις καὶ πεντηκοστὴ διὰ τὴν τῶν ἑπτὰ ἑβδομάδων συμπλήρωσιν ὠνομάσθη. ἀναμφιρρήτως δὲ καὶ αὕτη ἑορτὴ τοῖς εὐσεβέσι μεγίστη καθίσταται. ἑβδόμη ἑορτὴ ἡ προσδοκωμένη ἡμέρα τῆς ἀναστάσεως τῶν νεκρῶν [ἣν γὰρ ἐλπίδα ταύτην οἱ πιστοὶ ἀπεκδεχόμεθα] ἐν ᾗ μέλλει ὁ φιλάνθρωπος καὶ ἀπροσωπόληπτος δικαστὴς Χριστὸς ὁ Θεὸς ἡμῶν
C ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. αὕτη ἐστὶν ἡ ἀληθὴς κατάπαυσις, δι' ἣν καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγε· Σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν. τότε τοίνυν καὶ μάλιστα ἑορτὴ χαρᾶς καὶ εὐφροσύνης καὶ ἀγαλλιάσεως πεπληρωμένη ὑπάρξει τοῖς μέλλουσι κληρονομεῖν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὥστε, ἀγαπητοὶ, εὐξώμεθα καὶ ἡμεῖς συνεορτάσαι τοῖς δικαίοις ἐν τῷ νυμφῶνι τῆς βασιλείας τῶν οὐρανῶν, οὐ μόνον πρὸς μίαν ἡμέραν
D ἢ δύο, ἢ τρεῖς, ἀλλ' εἰς ἀτελευτήτους αἰῶνας. τεσσάρων τῶν ἑπτὰ ἑορτῶν ἡμῖν ἀποδειχθεισῶν, ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἔστι δὲ ἡμῖν περὶ τῆς παρούσης ἑορτῆς τῆς ἐν οὐρανοῖς, λέγω δὴ * τῆς Χριστοῦ ἀναλήψεως, τὸ διήγημα. Δαβὶδ μὲν γὰρ εἴρηκε· Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ· τὴν ἐξ οὐρανῶν δηλαδὴ τοῦ λόγου παρουσίαν ἐπὶ γῆς ἐσήμανε. γνόφον δὲ εἶπεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τὸ διὰ σαρκὸς ἔνδυμα τῆς θεότητος γνωρί-
E ζων· ὥστε καὶ ἄγνωστος ἦν τοῖς πολλοῖς ἡ αὐτοῦ παρουσία διὰ τὸ ταπεινὸν καὶ πρᾶον. πάλιν γὰρ ὁ αὐτὸς προφήτης λέγει· Κύριε, ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Εἰ γὰρ ἔγνωσαν, φησὶν ὁ ἀπόστολος οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ πάλιν φησίν· Ἐπέβη ἐπὶ Χερουβὶμ. ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. ἐπὶ Χερουβὶμ εἶπε, καθότι αὐτὸς καὶ ἐν οὐρανοῖς σὺν τῷ πατρὶ ὢν ἐπὶ τῶν Χερουβὶμ ἐποχεῖται. καὶ σὺν ἀνθρώποις γὰρ ἐπὶ γῆς ἀναστρεφόμενος, τοῦ Χερουβικοῦ καὶ ἐπου-

ρανίου

ἐπουρανίου θρόνου οὐδαμῶς ἐχωρίζετο. πτέρυγας δὲ ἀνέμων τὰς νεφέλας αἰνίττεται, ἐν αἷς καὶ ἀνελήφθη, καθὼς καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται· Καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. εἶτα καθεξῆς λέγει· Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, θαῦμα τοὺς ἀποστόλους καὶ ἔκστασις καὶ θροῦς ὑπεισήει· θνητοὶ γὰρ τὴν φύσιν ὄντες, καὶ ἀσυνήθεις τοιούτων θεαμάτων, * ἐξέστησαν τῇ διανοίᾳ. ἀλλ' ἐρεῖ τις, ὅτι προεωρακότες ἦσαν καὶ τὴν μεταμόρφωσιν, ὅτε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης· προεῖδον μὲν ἐκεῖνοι μεταμορφωθέντα τὸν Κύριον, καὶ νεφέλην σκιάσασαν αὐτόν, ἀλλ' οὐκ εἶδον τὴν νεφέλην εἰς ἀέρα ἁρπαθεῖσαν, καὶ εἰς οὐρανοὺς τὸν δεσπότην ἀναλαμβάνουσαν. θαῦμα ἐκεῖνο, θαῦμα καὶ τοῦτο· ἀλλὰ θαῦμα θαύματος φοβερώτερον τοῦτο * ἐκείνου, ὑψηλότερον, καὶ ἑνὸς Θεοῦ ἡ δύναμις καὶ τὸ μυστήριον ὑπῆρχε. τότε Μωϋσῆς καὶ Ἠλίας ὤφθησαν τοῖς περὶ τὸν Πέτρον, μετ' αὐτοῦ συλλαλοῦντες· νῦν δὲ θρόνος Χερουβικός, τουτέστιν, ἀόρατος δύναμις, * τῇ νεφέλῃ καλυπτομένην ἀθρόον ἐπιστᾶσα, τὸν δεσπότην τοῖς δούλοις συνομιλοῦντα ἀφήρπασε. τότε Πέτρος μετὰ παῤῥησίας ἀπεκρίνατο, Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ. νυνὶ δὲ οὐδὲ φθέγξασθαι ἠδυνήθη τις τῶν μαθητῶν, οὐδὲ τὸ στόμα διανοῖξαι. ἀλλὰ φόβῳ μεγίστῳ καταπλαγέντες ἐξέστησαν. ἐπάγει δὲ καθεξῆς ἡ γραφὴ λέγουσα· Καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθήσεσι λευκαῖς, οἳ καὶ εἶπον. οὐδὲ τοῦτο περιττόν. τὸ γὰρ λευχειμονοῦντας ὑπάρχειν τοὺς ἄνδρας, ἑορτῆς μεγίστης σημαντικόν ἐστι. τί δὲ εἶπον; ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; τὸ ὑπερβάλλον θαῦμα κατέπληξεν ὑμᾶς; ἐπελάθεσθε τοῦ εἰπόντος, Πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν; ἢ οὐχὶ ἐκεῖνος τοῦτο ἔλεγε πρὸς ὑμᾶς, Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς; καὶ πάλιν, Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. οὐ τὴν ἐπαγγελίαν τοῦ παρακλήτου, τουτέστι, τοῦ ἁγίου πνεύματος ὑπέσχετο ὑμῖν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε πορευόμενον αὐτὸν εἰς τὸν οὐρανόν. οὕτως ἐλεύσεται μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δόξης καὶ δυνάμεως πολλῆς· οὕτως ἐλεύσεται ἐν καιρῷ, ὅταν μέλλῃ κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. αὐτῷ γὰρ ὁ πατὴρ δέδωκε τὴν κρίσιν πᾶσαν. οὐ μνημονεύετε ὅτι ἔτι ὢν σὺν ὑμῖν, ἔλεγεν· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς; τότε οἱ ἀπόστολοι ἐν ἑαυτοῖς γενόμενοι, ὑπέστρεφον, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Κύριον, καὶ ἀπεκδεχόμενοι τῆς θείας δωρεᾶς, τοῦτ' ἐστι, τοῦ παναγίου πνεύματος, τὴν ἐπιφοίτησιν. καὶ δὴ ἐπληρώθη τὸ ἐν ψαλμοῖς εἰρημένον. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. σαφῶς ἐνταῦθα ὁ προφήτης τὴν δυάδα τῶν φύσεων τῆς ἐν Χριστῷ οἰκονομίας ἐσήμανε. τὸν αὐτὸν δὲ τρόπον καὶ Θωμᾶς μετὰ τὴν τοῦ Κυρίου ἀνάστασιν ψηλαφήσας τὴν πλευρὰν αὐτοῦ, ἐβόα λέγων· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος· ἐν ἀλαλαγμῷ μέν, ὅτι ἀκαταπαύστῳ φωνῇ τὸν τρισάγιον ὕμνον ἀναπέμπουσι τῷ Θεῷ [καὶ ὅπως ἐπὶ Χερουβικοῦ θρόνου ἀνελήφθη, προαπεδείξαμεν] ἐν φωνῇ δὲ σάλπιγγος, ἀρχαγγελικῆς δηλαδή, προσημαινούσης αὐτοῦ τὴν ἐν οὐρανοῖς ἄνοδον. ἀλλὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον ταῖς ἄνω δυνάμεσι τῇ προστακτικῇ φωνῇ ἀνεκήρυττεν· Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. αἱ δὲ δυνάμεις ἔλεγον· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; αὐταῖς τὸ πνεῦμα· Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. ἐνίκησε γὰρ τὸν πολέμιον, ὡπλίσατο κατὰ τῆς τοῦ διαβόλου τυραννίδος ἐν τῷ ἀνθρωπίνῳ σώματι, ἔσβεσεν αὐτοῦ τὰ πεπυρωμένα βέλη. καὶ τῷ σταυρῷ προσηλωθείς, καὶ θανάτου γευσάμενος, ἀθάνατος ὑπάρχων, ἐσκύλευσε τὸν ᾅδην, καὶ νικητὴς ἀπεδείχθη. ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ τὸ πλανώμενον πρόβατον ἐπιστρέψας, ἰδοὺ ἀνέρχεται ἐπ' ὤμων τοῦτο φέρων πρὸς τὰ ἐνενήκοντα ἐννέα τὰ ἀπλανῆ, τὰ ἐν τοῖς ὄρεσι, τουτέστιν, ἐν οὐρανοῖς νεμόμενα. Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. καὶ πάλιν λέγει· Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. αἱ οὖν δυνάμεις ὡς ἤκουσαν, Κύριος τῶν δυνάμεων, ὁμοφώνως τὴν συνήθη δοξολογίαν ἐκβοῶντες, ἐδέχοντο μετὰ χαρᾶς τὸν Κύριον, καὶ ἔπεμπον ἕως τοῦ ὑψηλοῦ θρόνου καὶ ἐπηρμένου. καὶ ἐπληρώθη τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ὦ αἱρετικέ, πρὸς ποίαν φύσιν ἔλεγεν ὁ Κύριος κάθου ἐκ δεξιῶν μου; μὴ * πάντως πρὸς τὴν ἐξ ἡμῶν ληφθεῖσαν σάρκα, ἐψυχωμένην ἐκ τῆς ἁγίας παρθένου. αἰσχυνέσθωσαν οὖν οἱ μίαν φύσιν ἐπὶ Χριστοῦ ὁμολογοῦντες [ἡ γὰρ θεία φύσις εὔδηλον ὅτι συνῆν ἀϊδίως τῷ θρόνῳ τῆς μεγαλωσύνης] ἡ δὲ καθολικὴ ἐκκλησία δοξαζέσθω. ἡμᾶς δὲ πάντας ἀξίους ἀναδείξῃ Χριστὸς ὁ Θεὸς τῆς αἰωνίου αὐτοῦ βασιλείας· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀχράντῳ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A Cherubico cœleſtique throno ſeparabatur. Per pennas autem ventorum, nubes innuit, in quas & aſſumptus eſt, ſicut etiam in actis Apoſtolorum ſcriptum eſt: *Et nubes ſuſcepit eum ab oculis eorum.* (Act. 1, 9.) Sub hæc addit: Cùmque intuerentur in cœlum euntem illum, ſtupor Apoſtolos invaſit & metus & murmur: cùm enim mortales natura eſſent, & contemplandis reb. ejuſmodi non aſſueti, in ſtuporem mentis acti ſunt. Sed dixerit quiſpiam, quòd transfigurationem antea viderant, quando Petrus & Jacobus & (*Ισ. ἐξέστησαν τῇ.* Matt. 17.) B Joannes viderant quidem antea Dominum transfigurari, ac nubem obumbrantem illum; ſed nubem non aſpexerant, quæ in aërem raperetur, & in cœlos ſuſcipientem Dominum. Miraculum illud, miraculum & iſtud: At miraculum miraculo formidabilius eſt, hoc illo ſublimius: Unius tamen Dei potentia atque myſterio factum utrumque. (*Ισ. ἐκείνο καὶ ὑψηλ.* Matt. 17, 4.) Tunc Moyſes & Elias apparuerunt his qui cum Petro aderant, cum eo loquentes: nunc autem thronus Cherubicus, id eſt, inviſibilis potentia, nube abſcondita, quæ re- (*Ισ. τῇ νεφέλῃ καλυπτομένῃ ἀθρόον.*) C pentè aſtitit, Dominum cum ſervis colloquentem abripuit. Tunc Petrus magna cum fiducia reſpondit: Domine bonum eſt nos hîc eſſe. Faciamus hîc tria tabernacula. Tibi unum, Moyſi unum, & Eliæ unum. (Ibidem.) Nunc verò ne loqui quidem potuit quiſquam diſcipulorum, neque os aperire, ſed maximo timore perculſi, obſtupuerunt. Adjicit autem deinceps Scriptura dicens: *Et ecce duo viri aſtiterunt juxta illos in veſtibus albis, qui & dixerunt, &c.* (Act. 1, 10.) Ne hoc quidem ſupervacaneum: nam quòd albis veſtibus amicti fue- D rint illi viri, maximæ celebritatis ſignificativum eſt. Sed quid dixerunt? *Viri Galilæi, quid ſtatis, aſpicientes in cœlum?* Ingens miraculum perterrefecit vos, obliti ne eſtis illius qui dixit: *Vado ad Patrem meum & patrem veſtrum, Deum meum & Deum veſtrū*, (Joh. 20, 17.) Nonne propterea ad vos dicebat: *Non relinquam vos orphanos.* ac rurſus: *Pacem meam do vobis, pacem meam relinquo vobis.* (Ibidem. 14. 18, 27.) Nonne paracletum, id eſt, ſpiritum ſanctum, promiſit vobis? *Hic Jeſus qui aſſumptus eſt à vobis in cœlum, ſic veniet, quemadmodum vidi-* (Act. 1.) E *ſtis eum euntem in cœlum.* Sic inquam veniet in nubibus cœli, cum gloria & poteſtate multa. Sic veniet in tempore illo, quando judicabit univerſum orbem terrarum, in juſtitia. *Ipſi enim pater dedit omne judicium.* (Joan. 5, 22.) Non meminiſtis, quòd cùm apud vos eſſet, diceret: *Data eſt mihi omnis poteſtas in cœlo & in terra.* (Mat. 28, 18.) Tunc Apoſtoli in ſe reverſi abierunt, laudantes & benedicentes Dominum, expectantéſq; divini doni, hoc eſt ſpiritus ſancti, adventum, atq; protinus impletum eſt illud Pſalmi: *Aſcendit Deus in jubilo, Do-* (Pſal. 46, 5.) A *minus in voce tubæ.* Manifeſtè hic Propheta dualitatem naturarum diſpenſationis in Chriſto ſignificavit, ad eundem quoq; modum, & Thomas poſt reſurrectionem Domini, palpans ejus latus, exclamabat dicens: *Dominus meus & Deus meus.* (Joan. 20, 28.) Aſcendit Deus in jubilo, *Dominus in voce tubæ.* (Pſal. 46, 5.) In jubilo quidem, quoniam inceſſabili voce ter ſanctum hymnum, ſanctus, ſanctus, ſanctus Deus Sabaoth. Cherubim Deo offerunt ac concinunt. (Et quomodo ſuper Cherubicum thronum aſſumptus ſit, antè oſtendimus.) In B voce autem tubæ, Archangelicæ ſcilicet, ejus in cœlum prænuntiantis aſcenſum. Quin & ſpiritus ſanctus ſupernis poteſtatibus imperativa voce acclamabat: *Attollite portas*, principes, veſtras, & elevamini portæ æternales, & introibit Rex gloriæ. (Pſal. 23, 7.) At poteſtates dicebant: *Quis eſt iſte Rex gloriæ?* Quibus Spiritus: *Dominus fortis & potens, Dominus potens in prælio.* (Ibid.) Vicit enim hoſtem: armavit ſe adverſus tyrannidem diaboli in humano corpore: tela ejus ignea extinxit: cruciq; affixus, ac mortem deguſtans, cùm C eſſet immortalis, infernum ſpoliavit, & victor evaſit. Reſurrexit à mortuis, errantémq; ovem convertens, ecce venit, in humeris illam deferens ad nonaginta novem, quæ non erraverant, quæ erant in montibus, hoc eſt, quæ in cœlis paſcebantur. (Matth. 18. Luc. 15.) Dominus fortis & potens. Dominus potens in prælio. Rurſúſq; ait: *Dominus virtutum*, ipſe eſt Rex gloriæ. (Pſ. 190, 1.) Poteſtates igitur, ut dici audierunt, Dominus virtutum, concordibus vocibus, ſolita glorificatione exclamantes, cum gaudio dominum ſuſcipiebant, & de- D ducebant uſq; ad excelſum & altiſſimum thronum. Et impletum eſt, quod à Davide dictum eſt: Dixit dominus domino meo, ſede à dextris meis: donec ponam inimicos tuos ſcabellum pedum tuorum. O hæretice, ad quam naturam dixit Dominus: ſede à dextris meis? Nonne omnino ad eam quæ ex nobis ſumpta eſt, carnem, quæq; animatum corpus ſumpſit ex ſancta virgine Maria? (*Ισ. πάντως.* Contra Ichoriſtas blaſphemos negantes duas in Chriſto naturas.) Confundantur igitur, qui unam duntaxat in Chriſto naturam cõfitentur. Divinam ſiquidem naturam coæternam fuiſſe throno E majeſtatis gloriæ ſuæ, clariſſimum eſt. Glorificetur autem Catholica Eccleſia. Cæterùm nos omnes æterno ſuo regno dignos reddat Chriſtus Deus noſter: cui gloria & potentia, una cum principii experte Patre, ſimul et Spiritu ſancto, in ſecula ſeculorum. Amen.

Scholia & variæ Lectiones.

IN ſex itaque diebus fecit Deus] cuncta opera ſua, ſicut ſcriptum eſt, die autem ſeptimo quievit, quem eundem etiam nobis modum ſecundùm numerum dierum creationis mundi in celebritate feſtorum ſuæ diſpenſationis exhibuit, &c.] Sex diebus creationis mundi oſtendit S. Chryſoſtomus totidem reſpondere feſtorum diſpenſationis Dominicæ celebritates: quibus & ſeptimus poſtea adjungitur, qui eſt univerſalis Reſurrectionis mortuorum. De quibus hîc ſigillatim in conſequentibus pulchrè diſſerit S. Joannes Chryſoſt.

Adjicit autem deinceps Scriptura dicens: Et ecce duo viri aſtiterunt juxta illos in veſtibus albis, qui dixerunt: Viri Galilæi, quid ſtatis aſpicientes in cœlum? &c.] Hæc ex Actis Apoſtolicis adducit S. Chryſoſtomus, ubi capite primo referuntur. Et licèt hic Chryſoſtomus non referat, quinam illi duo viri fuerint; id tamen in alio ſuo de Aſcenſione Domini Sermone (qui inter alios ſeptimus ac poſtremus eſt, incipitque: Quando crucis memoriam recolimus, &c.) apertè enarrat & explanat, eóſque Angelos fuiſſe C affirmat: ubi inter alia habet: Ideóq; ubique ſe Angeli manifeſtant, & quando natus eſt Chriſtus, & quando reſurrexit; ac hodie quando in cœlos aſcendit: Ecce enim, duo viri (inquit) in veſtimentis albis, per habitum lætitiam declarantes, dixerunt ad Diſcipulos: Viri Galilæi, hic Jeſus qui aſſumptus eſt à vobis in cœlum, ſic veniet, quemadmodum vidiſtis eum euntem in cœlum, &c. de quibus & poſtea ibidem apud S. Chryſoſtomum fuſiùs ac pleniùs. Confirmátq; eadem Magnus Leo Papa, in Sermone 20. D de eadem Aſcenſione Domini, ubi dicit: Cùm autem aſcendentem ad cœlos Dominum ſequaces diſcipulorum oculi intenta admiratione ſuſpicerent, adſtiterunt ipſis Angeli duo, mirabili veſtium candore fulgentes, qui dixerunt: Viri Galilæi, quid ſtatis aſpicientes in cœlum? &c. Confundantur, qui unam in Chriſto E duntaxat naturam confitentur, &c. Intolerandum Orientalium errorem confutat hoc loco Chryſoſtomus, unam duntaxat in Chriſto naturam impiè conſtituentium, adverſus quorum impietatem, de hac eadem aſcenſionis ſolemnitate alibi agens, ſic

A ſcribit inſigne illud Eccleſiæ lumen S. Auguſtinus: Hodierna feſtivitas, hominis nobis & Dei ſacramenta manifeſtavit. Sub una eadémque perſona, in eo qui elevat divinam potentiam, in eo autem qui elevatur, humanam agnoſce ſubſtantiam. Ideóque omnibus modis deteſtanda ſunt venena Orientalis erroris, qui impia novitate præſumit aſſerere filium Dei ac filium hominis unius eſſe naturæ. In alterutra enim parte, vel qui ſolum hominem fuiſſe dixerit, negabit conditoris gloriam; vel, qui ſolum Deum, ne- B gabit miſericordiam Redemptionis. Quo genere non facilè Arianus Evangelicam habere poterit veritatem, ubi filium Dei nunc æqualem legimus, nunc minorem. Qui enim unius naturæ Salvatorem noſtrum mortifera perſuaſione crediderit, ſolum hominem, aut ſolum Deum cogetur dicere crucifixum. Sed non ita eſt: mortem enim nec ſolus Deus ſentire, nec ſolus homo ſuperare potuiſſet &c.] Ita Sermone 3. Auguſtinus de Aſcenſione domini, qui eſt 146. de tempore, habetúrque idem apud Euſebium Emiſ- C ſen. hom. 2. de Aſcenſione Domini. De duplici illa in Chriſto natura, plura inſignia lectúque digniſſima reperies apud S. Patrem noſtrum Ephrem Syrum, in elegantiſſimo quem ſcripſit Sermone à nobis converſo ac edito: De transfiguratione Domini: & in Sermone, de Margarita pretioſa: qui duo Sermones in Tertio operum S. Patris Ephrem Tomo nunc excuſo habentur. De hoc quoque extat hodie S. Ferrandi, contra Arianos & Eutychianos, ad Anatolium Diaconum urbis Romæ, Epiſtola, quæ antea nun- D quam edita, nuper Romæ inter opuſcula S. Ferrandi Carthaginenſis Eccleſiæ Diaconi, ſtudio atque induſtria eruditiſſimi Achillis Statii prodiit, ubi egregiè Orientalium ejuſmodi hæreſis execrata confutatur. Adverſus quos hæreticos acerrimus & pleniſſimus denique eſt in ſuis ſermonibus, & decretalibus Epiſto- E lis S. Leo Papa ejus nominis primus, & cognomento Magnus; in cujus operibus recognoſcendis & illuſtrandis dudum operam noſtram poſuimus; & jam propediem (uti ſpero atque confido) non ſine Chriſtianitatis fructu ac commodo, pluribus acceſſionibus aucta notíſque illuſtrata prodibunt.

Ejuſdem Sermo de hoc argumento, bonum Chriſti diſcipulum benignum eſſe, neque citò iraſci.

FRONTONE DUCÆO interprete.

Ex edit. Federici Morelli, Pariſ. 1524.

Matt. 5, 22.

IN Evangeliis docet nos Domini divina vox, quæ legem adimplet, non deſtruit, ut ne iraſcamur fratri: & hac additione orationis adimplevit illud, Non occides, ipſam homicidii radicem extirpans, & interius cor expurgans, non manus exteriùs tantùm. Etenim pœnam propoſuit, non quidem talem, quantam lex, è veſtigio prementem, ſed judicio ſtatuendam, dicens: *Qui enim iraſcitur fratri ſuo ſine cauſa, reus erit judicio*: non enim celeres infliguntur à Chriſto pœnæ, ſicut in lege, ſed multa eſt retributionum ex æquo dilatio: cæterùm tremendum conſequitur exinde ſupplicium. Quemadmodum majora imperat, ſic & major eſt ejus longanimitas, cordiſque munditiam requirit, quam non niſi cum difficultate quis ſibi acquirit. Quamobrem licet in B iram inducamur, non è veſtigio punit: ſi enim ſubito puniret, per pœnitentiam reſilire non liceret; propterea pœnam differt, ut nobis tempus ad pœnitentiam concedatur; ut qui heri fratri iratus eſt, hodie pœnitentiam agat, & pactum quoddam ſecum ineat, uti ne fratri ampliùs iraſcatur; & quadantenus ſimiles Deo reddamur. Nos enim ſenſim ab iis quæ vitam noſtram à Dei ſimilitudine alienant, tranſmutat, & ad honeſtatem ac pulchritudinem naturæ convenientem poſt hunc ſtatum traducit. Ad C id namque, quod naturæ convenit, deducimur, & ad divini ſpiritus communionem, ac perennem cum Deo vitam, dum de iis rebus dimicamus. Attendamus nobis ipſis, neque ex contemptu opus hujus divinæ ſimilitudinis deſtruamus, eo quòd moram faciat venire Dominus, ne inani fiducia nos fallamus, ut Domini præcepta violemus, neve deſperantes iſtud nos conſequi poſſe, ſimilitudinem, inquam, Dei, certamen deſeramus: verùm adſit nobis ſpes propter eum, qui præcepit, & ad id quod præce- D ptum eſt exequendum, robur, viréſque largitur: contemptus autem, & incuria abſit, quòd graviores pœnas ob ejus longanimitatem expectemus: quanto enim cunctatur diutiùs longanimus, emendationem requirens, tanto graviùs indignabitur, ſi non emendemur, & in nos, ut violatores gratiæ ſuæ, acriter impetum faciet. Contemnantur autem à vobis potiùs res hujus ſeculi

Dei longanimitas.

A *Τοῦ αὐτοῦ λόγος ὅτι χρὴ τὸν Χριστοῦ μαθητὴν ἤπιον εἶναι, καὶ μὴ ταχέως ὀργίζεσθαι.*

ΗΘΕΙΑ φωνὴ τοῦ Κυρίου ἐν τοῖς εὐαγγελίοις διδάσκει ἡμᾶς, ἡ ἀναπληροῦσα τὸν νόμον, οὐ καταργοῦσα, μὴ ὀργίζεσθαι τῷ ἀδελφῷ, καὶ διὰ τῆς προσθήκης ταύτης τοῦ λόγου ἀνεπλήρωσε τό, οὐ φονεύσεις, αὐτὴν τὴν ῥίζαν ἐξαίρων τοῦ φόνου, καὶ τὴν καρδίαν ἔσωθεν καθαίρων, καὶ οὐχὶ τὰς χεῖρας ἔξωθεν. τιμωρίαν γὰρ συνέθηκεν οὐχὶ τὴν αὐτὴν, ὥσπερ ὁ νόμος, τὴν παρ' εὐθὺ, ἀλλὰ τὴν ἐπὶ τῆς κρίσεως, λέγων. ὁ γὰρ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει. οὐ γὰρ ὀξεῖαι αἱ παρὰ Χριστοῦ τιμωρίαι, καθάπερ ἐν τῷ νόμῳ· ἀλλὰ πολλὴ μὲν ἀναβολὴ τῆς κατὰ τὸ δίκαιον ἀνταποδόσεως, φοβερὰ δὲ ὕστερον ἡ δίκη. ὥσπερ ἐπιτάττει τὰ μείζω, οὕτω καὶ μειζόνως μακροθυμεῖ, καθαρότητα καρδίας ἐπιζητῶν, ἣν δυσκόλως ἐστὶν ἐξεργάσασθαι. B διόπερ εἰ καὶ προσαχθείημεν εἰς ὀργὴν, οὐκ εὐθὺ τιμωρεῖται. εἰ γὰρ παρ' εὐθὺ ἐτιμωρεῖτο, οὐκ ἂν ἦν διὰ μετανοίας ἐπάνοδος. διὰ τοῦτο ὑπερτίθεται τὴν τιμωρίαν, ἵνα σχῶμεν καιρὸν μετανοίας. ἵνα ὁ χθὲς ὀργισθεὶς τῷ ἀδελφῷ, σήμερον μετανοήσῃ, καὶ διαθήκην ἑαυτῷ διάθηται μηκέτι ὀργίζεσθαι τῷ ἀδελφῷ· καὶ κατὰ μέρος ὅμοιοι Θεῷ γινώμεθα. μεταβάλλει γὰρ ἡμᾶς ἐκ τῶν ἀλλοτριούντων τὴν ζωὴν ἡμῶν ἐκ τῆς ὁμοιώσεως τοῦ Θεοῦ, καὶ ἄγει εἰς C τὸ κατὰ φύσιν καλὸν, μετὰ τὸ προκείμενον. εἰς γὰρ τὸ κατὰ φύσιν ἀγόμεθα, καὶ εἰς τὴν τοῦ θείου πνεύματος κοινωνίαν, καὶ τὴν διηνεκῆ μετὰ Θεοῦ ζωὴν περὶ τηλικούτων ἀγωνιζόμενοι. προσέχωμεν ἑαυτοῖς, καὶ μὴ καταφρονήσει τὸ ἔργον τῆς εἰς Θεὸν ὁμοιώσεως διαφθείρωμεν, ἐπειδὴ χρονίζει ὁ Κύριος τοῦ ἐλθεῖν· μὴ ἑαυτοῖς ἄδειαν δῶμεν εἰς τὸ παραβαίνειν τὰ λόγια Κυρίου. μὴ ἀπελπίσαντες ὡς μὴ δυνάμενοι τούτου τυχεῖν τοῦ καθ' ὁμοίωσιν Θεοῦ, καταλείπωμεν τὸν ἀγῶ- D να, ἀλλ' ἡ ἐλπὶς παρέστω διὰ τὸν προστάξαντα, καὶ δύναμιν χαριζόμενον ἐπὶ τῷ προσταχθέντι. ἡ καταφρόνησις δὲ καὶ ἡ ἀμέλεια ἀπέστω, φοβερωτέρας ἡμῶν προσδοκώντων τὴν τιμωρίαν διὰ τὴν μακροθυμίαν. ὅσον γὰρ μακροθυμεῖ ζητῶν τὴν διόρθωσιν, τοσοῦτον ἀγανακτήσει μὴ διορθουμένων ἡμῶν, καὶ ὡς ἐξυβρισάντων τὴν χάριν ἐπελεύσεται ὀξέως. καταφρονείσθω δὲ ἡμῖν ἅπαντα τὰ τοῦ αἰῶνος τούτου πράγματα

στρώματα μᾶλλον, ἢ τὸ θεῖον πρόσταγμα. πολλὰ γὰρ ἐστὶν εἰς ὀργὴν
A ἐκκαλούμενα τοὺς ὀξεῖς * εἰς ὀργὴν, τοὺς εὐχερῶς παροξυνομένους·
ὁ δὲ τὸ πρόσταγμα τοῦ φοβεροῦ βασιλέως φοβούμενος, τοῦ κελεύσαντος
ὅλως μὴ ὀργίζεσθαι, πάντων καταφρονήσει τῶν παροξύνειν θελόντων.
εὐχερῶς δὲ ὑπομένει τοὺς διὰ λόγων λυποῦντας, καρτερήσει δὲ πρὸς
τοὺς δι' ἔργων λυπεῖν θέλοντας· καὶ τῷ τύπτοντι τὴν σιαγόνα, στρέψει καὶ
τὴν ἄλλην, καὶ τὸ ῥῆμα αἰσχρὸν λοιδορίας χάριν ἐπάγοντα γεν-
ναίως ὑποίσει, θαυμαστὴν παραμυθίαν τοῦ μακαρισμοῦ κεκτημέ-
B νος, καὶ ἵνα ὑπήκοος τοῦ Κυρίου εὑρεθῇ, καὶ σβέσῃ τὴν πρὸς τὸν ἀδελφὸν
ὀργὴν, καὶ φύγῃ τὴν ἐπ' αὐτῷ ὡρισμένην κόλασιν. διὰ γὰρ τοῦτο τῆς
σωματικῆς συμπαθείας ἀπηλλάχθαι Χριστὸς παρακελεύεται,
φεύγειν τε φιλοχρηματίαν, καὶ φιλοδοξίας ἀφίστασθαι, ὅλως δὲ
ἡδονὴν μὴ παραδέχεσθαι ἐν ἑαυτῷ, ἵνα μὴ διὰ μηδὲν τούτων κα-
κωθῶμεν τὴν ψυχὴν, καὶ διατεθῶμεν ἀλλότριοι εἰς τὸ ἅγιον πνεῦ-
μα. ὁ γὰρ χρημάτων καταφρονεῖν διδαχθεὶς, πῶς διὰ χρήματα
C παροξυνθήσεται, εἰ καὶ βούλεταί τις ἁρπάζειν; καὶ ὁ δόξης μὴ ὀρεγό-
μενος, πῶς διὰ δόξαν παροξυνθήσεται; ἀπόδυσαι τοίνυν τὸ κό-
σμικὸν ἔνδυμα, καὶ τὸ πνευματικὸν ἔνδυσαι, ἀπόδυσαι τὸν παλαιὸν
ἄνθρωπον, ἵνα τὸν νέον ἐνδύσῃ. διὰ τοῦτο γὰρ ἀναγέννησις λέγεται, καὶ
βοᾶται παρὰ τοῖς θείοις γράμμασι. μεταβολῆς γὰρ τῆς προτέρας ἡ
σωτηρία ἡ ἡμετέρα δεῖται, ἵνα ἕτεροι, παρ' ὃ ἐσμὲν, γενώμεθα,
ἵνα παυσώμεθα ὅπερ ἐσμὲν, ἐναρξώμεθα δὲ ἕτερον βίον, ὃν πρὸ τῆς
D παραβάσεως κρατοῦντος ἐτυγχάνομεν. οὐκ ἦσθα γὰρ τοιοῦτος παρὰ
Θεῷ, οἷος ἐκ παίδων γέγονας, ὥστε τοιοῦτον ἐκ τῆς θεοποιήτου πλά-
σεως ἔχειν τὸ ἦθος, οἷον ἐκ τῆς ἀνθρωπίνης γενέσεως. ἄκουσον τοίνυν
„ὀμνύοντος τοῦ Κυρίου, καὶ φοβήθητι· ἀμὴν γὰρ, φησὶ, λέγω ὑμῖν,
„ἐὰν μή τις ἄνωθεν γεννηθῇ, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν
„τῶν οὐρανῶν. διὸ ἄρξαι βίου καινοτέρου, κατάλειπε τὸν ἐν ἁμαρ-
τίαις παλαιωθέντα βίον. ὁ χθὲς πόρνος, σήμερον γενέσθω σώφρων·
E ὁ χθὲς ἀμέτρως μεθύων, σήμερον γενέσθω νηστευτής. τὸ κακῶς ὕστε-
ρον ἐπιγενόμενον ἀπόρριψον, ἵνα τὸ καλῶς ἐξ ἀρχῆς δεδομένον
ἐπαναλάβῃς. μικρόν ἐστι τὸ ἀτάραχον καὶ ἀόργητον διατελεῖν· ὁ
θέλων κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ εἶναι, ὀφείλει ὑπὸ πάντων κα-
ταφρονεῖσθαι, διαπτύεσθαι, ἐξουτελίζεσθαι, διὰ ῥημάτων, διὰ
πραγμάτων. διὰ τοῦτο γὰρ οὐδὲ ἀνταποδιδόναι κακὰ τῷ ἠδικηκότι
ἐκέλευσεν, ἵνα μὴ ἀνταποδιδοὺς τῷ ἀδικοῦντι, τὴν κατὰ φύσιν ἀπολέ-
A σῃς ἠπιότητα. μὴ τοίνυν γίνου κατὰ σεαυτὸν φρόνιμος, ὡς δίκαιος ὢν
τὸ ἀμύνασθαι τὸν ἀδικοῦντα. μέμνησο τῶν ἱερῶν τοῦ Παύλου διδασκα-
„λιῶν, μὴ γίνεσθε, φησὶ, φρόνιμοι παρ' ἑαυτοῖς, μηδενὶ κακὸν ἀν-
„τὶ κακοῦ ἀποδιδόντες. οὐκ ἔστι καλὸν ἀντίδικον γενέσθαι, οὐδὲ
ὑπὲρ ἑαυτοῦ τὴν δίκην ζητεῖν, ἀλλ' ἐπίρριψον τὴν δίκην σου Θεῷ τῷ τὴν
ἄμυναν ἀοργήτως ἐπάγοντι τοῖς ἀδικοῦσιν· μὴ γὰρ ἑαυτοὺς ἐκδι-
κοῦντες, φησὶν, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γὰρ, ἐμοὶ ἐκ-
δίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. μὴ λέγε, Θεὸς ἀνταπο-
B δίδωσιν, ἀνταποδώσω κἀγώ· σκέψαι τί σοι Χριστὸς ἐπέδειξεν εἰς
κόσμον ἐλθὼν, ἵνα τὸν σωτήριον τῆς ζωῆς ἐπιδείξῃ τύπον, καὶ τοῦτον ζη-
λώσαντα σωθῇς. οὐκ ἦλθε γὰρ κριτὴς, οὐδὲ τοὺς ὑπεναντιουμένους
ἀμυνούμενος· καίτοιγε οὐχ ἑαυτῷ διὰ τῆς ἀνεξικακίας κέρδος μνη-
στευόμενος, ἀλλὰ τῷ κόσμῳ τὴν σωτηρίαν πραγματευόμενος. ἡ γὰρ
Χριστοῦ ἀνεξικακία τὴν τοῦ διαβόλου θρασύτητα καταβέβληκε, καὶ
ἡ τοῦ Κυρίου ἠπιότης τὸν ἄγριον θυμὸν τοῦ πονηροῦ κατεπάλαισε. καὶ σὺ
C τοίνυν τὸν τύπον εἰς μίμησιν προστίθει. οὐκ ὠργίσθη τοῖς ἐξυβρίζου-
σιν· ἀλλὰ Σαμαρείτης καὶ δαιμονιῶν ἀκούων, ἠπίως καὶ πράως πρὸς
„τοὺς λέγοντας ἀποκρίνεται· ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τι-
„μῶ τὸν πατέρα μου· ὑμεῖς δὲ ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ τὴν
„δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. οὐκοῦν καὶ σὺ μὴ ἑαυτὸν ἐκ-
δίκει, ἀλλ' ἀνάμενε τὸν κριτήν. εἰ γὰρ αὐτὸς ὁ κριτὴς ἐν ἀνθρωπίνῳ
σχήματι ἐλθὼν οὐκ ἀνταπέδωκε δυνάμενος, ἀλλὰ ἐξεδέχετο κρί-
D „σιν Θεοῦ· λοιδορούμενος γὰρ, φησὶν, οὐκ ἀντελοιδόρει, πάσχων
„οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. καὶ σὺ τοίνυν
ποίησον οὕτω, καὶ μίμησαι τὸν δεσπότην, ὃς καὶ μέχρι σταυροῦ τὴν ἄθεον
ὕβριν ἐβάστασε, καὶ τοῖς ἀξίοις ἀπωλείας σωτηρίαν ἐπραγματεύετο.
„καὶ γὰρ πρὸς τὸν πατέρα ἔλεγεν, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.
„οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ἠδίκησέ σε ὁ ἀδελφὸς, ἀνάξιος τῆς ἀδελ-
φότητος ὤφθη· ἀλλὰ σὺ μὴ διαφθείρῃς τὴν ἀδελφότητα. ὁ
E ἀδελφὸς ἐμιμήσατο τοὺς τοῦ Ἰωσὴφ ἀδελφοὺς, ἀδελφοκτονίαν
ὠπλίσατο, ἐχθρὸς ἀνεφάνη ἀντ' ἀδελφοῦ, πονηρίας ἔδειξεν ὑπερ-
βολὴν, οὐδὲν ἀδικούμενος ἀδικεῖ· ἀλλὰ σὺ τὸ ἐναντίον ποίησον, ἵνα
εἴπῃς καὶ σὺ κατὰ τὸν μελῳδὸν Δαβὶδ, μετὰ τῶν μισούντων
τὴν εἰρήνην ἤμην εἰρηνικός. νίκα ἐν τῷ ἀγαθῷ τὸ κακὸν,
προκάλει αὐτὸν εἰς τὸ ἀγαθὸν, λῦσον τὸν θυμὸν ἠπιότητι.

A omnes, quam divinum mandatum. Multa ſiquidem ſunt,
quæ facile excandeſcentes ad iracundiam impellunt. Qui
verò tremendi regis mandatum veretur, ne omnino iraſcamur *ἴσ. ὀξ. εἰς ὀργήν.*
prohibentis, omnes facilè contemnet, qui ipſum voluerint
irritare. Facilè porro eos tolerat, à quibus ſermone offendi-
tur: patienter autem eorum feret injurias, à quibus factis ipſis
læditur; & percutienti maxillam, præbebit & alteram: ver-
búmque turpe contumeliæ cauſa jacientem generoſè ac forti-
B ter feret: admirabili nimirum conſolatione recreatus, ex eo
quòd beatus prædicetur, ac Domino obediens reperiatur: ſi-
múlque reprimat iracundiam in fratrem, & denuntiatum ejuſ-
modi peccato ſupplicium evitet. Hac etenim de cauſa nos
Chriſtus cohortatur, ut nos ab omni perturbationum, quibus
corpus afficitur, contagione vindicemus, avaritiam fugiamus,
gloriæque cupiditatem averſemur, atque omnino, ut ne vo-
luntati locum in nobis demus, ne quid ex iſtis animam noſtram
C malè affectam reddat, & ne alieni à Spiritu ſancto redda-
mur. Qui enim pecunias contemnere edoctus eſt, quo-
modo propter pecunias irritabitur unquam, licet ſit,
qui eas velit abripere? & qui gloriam non appetit, quo-
modo gloriæ cauſa excandeſcet? Exue itaque mundanum
indumentum, & ſpirituale induere: exue veterem homi-
nem, ut novum induas. Eapropter ſi quidem regenera-
tio dicitur, & in ſacris literis appellatur. Nam prioris ſta-
D tus mutatione indiget ſalus noſtra, ut alii ab eo, quod ſu-
mus, fiamus; ut quod ſumus, eſſe deſinamus; aliam autem vi-
tam inchoemus, quam ante tranſgreſſionem ſectabamur. Non
enim talis es apud Deum, qualis è pueritia fuiſti, neque tales:
ex creatione à Deo facta mores haberes, quales ex humana ge-
neratione. Audi itaque jurantem Dominum, & time, *Amen*
quippe, inquit, *dico vobis, niſi quis natus fuerit deſuper, non* Joh. 3, 3.
poteſt intrare in regnum cœlorum. Quocirca novam inchoa
E vitam, derelinque in peccatis inveteratam vitam. Qui heri
fornicator erat, hodie caſtus fiat: qui heri immoderatè
belluabatur, hodie jejunator fiat. quod malè contraxiſti,
poſteriùs abjice, ut quod rectè à principio datum eſt, recu- *Hortatur*
peres. Perexiguum eſt, ſine perturbatione ac ſine iracun- *ad injuria-*
dia permanere. Qui ſecundum imaginem Dei vivere cupit, *rum remiſ-*
is ab omnibus contemni, deſpui, ac flocci fieri debet, cum ver- *ſionem.*
bis, tum factis. Nam & idcirco neque par referre malum ei,
A qui injuria affecerat, juſſit, ne ſi ei, qui injuria te affecit, par
retuleris, humanitatem, quæ ſecundum naturam eſt, perdi-
deris. Noli ergo apud te prudens eſſe, ut pote, qui meritò
eum, à quo læſus fueris, ulciſcaris. Recordare ſacrorum
Pauli documentorum, *Nolite eſſe prudentes apud voſmet-* Rom. 12, 16
ipſos, neque malum pro malo reddentes. Non honeſtum, ul-
torem eſſe, aut ſuipſius vindictam quærere: verùm projice
potiùs tuam vindictam in Deum, qui ultionem ſine iracundia
B in eos, à quibus fuiſti læſus, demittet. Non voſmetipſos ul-
ciſcentes, inquit, ſed date locum iræ, Scriptum eſt enim, mihi
vindicta: ego retribuam, dicit Dominus. Ne dicas, Deus re-
tribuit, retribuam & ego. Conſidera quid tibi Chriſtus o-
ſtenderit, cùm in mundum veniſſet, ut ſalutarem vitæ formam
monſtraret: atque hanc imitare, ut ſalvus fias. Non enim ve-
nit, ut judex eſſet, aut ut eos, qui ſibi adverſabantur, ulciſcere-
tur: quamquam ipſe quidem non id agebat, ut aliquod ex pati-
C entia lucrum ambiret, ſed ut ſalutem mundo afferret. Chriſti
namque patientia diaboli fregit audaciam, & benignitas Domi-
ni ferocem mali furorem expugnavit. Et tu ergo formam hanc
tibi ad imitandum propone. Non ſuccenſuit iis à quibus conto-
meliis proſcindebatur: ſed, Samaritanus, & dæmonio correptus
cùm appellaretur, benignè ac placidè iis qui hoc dicebant, re-
ſpondebat. *Ego dæmonium non habeo, ſed honorifico patrem meum;* Joh. 8, 49.
vos vero inhonoratis me, ego autem non quæro gloriam meam, eſt
D *qui quærat, & judicet.* Itaque, & tu noli teipſum ulciſci, expecta
judicem. Si enim judex ipſe, cùm in humana forma apparuiſſet,
non retribuit, cùm poſſet, ſed Dei judicium expectavit: *cùm* 1. Petr. 2, 23.
enim malediceretur, non maledicebat: cùm pateretur, non
comminabatur; tradebat autem judicanti ſe juſtè: Et tu er-
go ita facito, ac Dominum imitare, qui ad crucem uſque in- Luc. 23, 34
juriam pertulit impiam, atque exitio dignis, ſalutem procura-
bat. Sic enim ad patrem ajebat, *Dimitte illis hoc peccatum,*
E *non enim ſciunt, quid faciunt.* Injuria te frater affecit, viſus
eſt indignus fraternitate: at tu fraternitatem non deſtrue. Fra-
ter tuus Joſephi fratres imitatus eſt, fratris cædem machina-
tus eſt, inimicum ſe pro fratre oſtendit, réque per ſummum Pſ. 119, 7.
ſcelus impetit, nulla provocatus injuria te læſit: at tu
fac contrarium, ut & tu juxta cantorem Davidem dicas: *Cum*
his qui oderunt pacem, eram pacificus. Vince in bono malum: pro-
voca ipſum, & incita ad bonum, iracundiam frange benignitate.

Fac

Reperies enim aliquem, qui ſpecie ac prætextu clementiæ commen- A
dandæ dicet: Quid enim nobis rei eſt cum Gentibus? Vult ſolvus
fieri? ſalvus fiat. Qui hæc dicit, nondum zelo pietatis accenſus eſt:
qui pereuntem videt, neque illius perditionem luget, neque ſuam
jacturam arbitratur, pietatis zelum minimè novit, ſpiculis verita-
tis ſauciatus non eſt. Qui ergo videt pereuntem, neque zelo duci-
2. Cor. 11, 29. tur, ut ait Paulus, *Quis infirmatur, & ego non infirmor?* is Pauli di-
ſcipulus non eſt. Conferat cum iſto Patris rectè facta, & videbit
cum Apoſtolicis vocibus conſentire, Quis infirmatur, & ego non B
infirmor? quis ſcandalizatur, & ego non uror? Qui ita ſenti-
unt, fratres ſunt Apoſtolorum. Juſtus enim non ob ea tantùm, in
quibus peccavit, mœrore afficitur, ſed etiam ob ea in quibus alios
Pſal. 118, 53. peccantes viderit, ut ait David: *Mœſtitia tenuit me pro peccatoribus
derelinquentibus legem tuam.* Si quis ob aliorum peccata mœrore
afficitur, zelum & æmulationem habet pietatis. Juſtus enim, cùm
vitam ſuam correxerit, lacrymatur, & luget, ut peccatum ſuum
deleat: ac deinde ubi peccatis ſuis finem impoſuit, aliorum dein- C
2. Cor. 12, 21. ceps peccata deploret: quemadmodum & Paulus: *Ne for-
tè cùm venero, multos lugeam ex iis qui antè peccaverunt, & non ege-
runt pœnitentiam.* Paulus eos luget, qui peccarunt, & pœniten-
tiam non egerunt; Samuel luget Saulem, ita ut diceret Deus: *Uſ-
1 Reg. 16, 1. quequò tu luges ob Saul?* Vides animam pereuntem, & non luges. Si
quis mortuum efferri viderit: & non fleverit, tanquam immitis, du-
rus, & efferatus reprehenditur: ſi videris animam in impietate de-
merſam, & æterna morte damnatam, & in impietate perſeveran- D
tem, non ploras, dic quæſo? non luges? Hoccine eſt animæ religio-
ſæ? Sanè quidem alia omnia lugere oportet peccata eum qui rectè
ſapiat, præcipuè verò, cùm animam viderit in Gentilitatis impieta-
te demerſam. Ob ejuſmodi animam non ſolùm lugere oportet,
verumetiam uri, & zelo accendi, ut quis diſcipulus Pauli fiat. Cùm
enim verſaretur, inquit, Paulus Athenis, inflammabatur Spiritus
ejus videndo civitatem deditam idolorum cultui? Quare verò ita
ſentiunt viri ſancti? quemadmodum & admirabilis hic pater pieta- E
tis erat defenſor? Nam quemadmodum Rex in terris ſubjectum
ſibi regit orbem terrarum habet, autem in ſingulis tribunalibus pa-
latii, qui ſibi patrocinantur & ſuffragantur: ſic & Deus fideles habet
paſtores pietatis ac religionis defenſores. Multi enim ex Genti-
libus irridentes, dicunt, cùm Chriſtianos audiunt, dicentes ipſis,
Cur blaſphematis? cur impiè agitis? continuò irrident Ecce defen-
ſores Dei. Non poteſt Deus ſeipſum defendere? Immo ſeipſum
non defendit: neque enim divinitatem probro afficit: ſed per fide- A
les famulos, ingratos ſervos caſtigat. An indiget Deus defenſoribus?
Ita eſt, non quòd ipſe ſit infirmus, ſed ut tibi zeli fores aperiat. Si
enim omnia per ſe faceret, intercluſa eſſet æmulatori via vitæ.
Nonne repugnabat Deo Pharao, & in impietatis profundum erat
demerſus, neque tamen ulla plaga inferebatur, donec Moyſes fi-
delis exortus eſt? Nonne florebat multorum deorum error cum
falſis ſacerdotibus & falſis Prophetis, nec ulla plaga à Deo illa-
ta eſt, donec Elias æmulator exortus eſt. Defenſores Dei ſine dubio B
ſunt ſancti. Quam ob cauſam & ait Paulus: In promptu habemus ul-
ciſci omnem inobedientiam, cùm impleta fuerit veſtra obedientia.
Adhuc autem mirabilis Deborrha inter mulieres, quæ mulieris in-
firmitatem præ ſe ferebat, & virilem virtutem prophetando exhi-
Jud. 5, 7. bebat, de qua dicit Scriptura; *Et ſurrexit Deborrha mater in Iſra-
el*: mater populi facta eſt ob pietatem: adeoque celebris fuit, ut
exorto bello duces exercitus, qui cum Barac erant, mulieri dicerent:
Niſi tu venias ad bellum nobiſcum, nos non veniemus. Non in mu- C
lieris fortitudine, ſed in prophetiæ virtute confidebant: Exierunt
multi divinæ voluntatis adjutores, & alienigenas interfecerunt. Illa
ergo beata Deborrha veritatem prædicans, ait: Domine qui dili-
gunt te, ſicut ortus Solis, ſi quidem ſol nunquam extinguitur: ini-
mici verò tui, ſicut purgamentum lucernæ: ſiquidem lucerna lu-
cem habet ad tempus durantem, & rurſus extinguitur. Deinde
laudat exercitus ducem qui Dei voluntati inſervierat, & jubet ut
maledicat habitatoribus Mazor, quoniam non exierunt in auxi- D
lium Domini. Ergone Deus auxilio indigebat? ſic eſt, oportet ut
ſui ſpecimen exhibeant, qui ferunt auxilium religioni. Sic igitur
admirabilis hic pater quoque non tanquam imbecilli fert auxilium
Deo, ſed huic præfectus muneri, religionem defendit; dum corpori
quidem interitum afferre videtur; animabus autem potentiam im-
mittit: Sagittæ quippe potentis acutæ. Neque verò mireris, ſi
Chriſti paſtores, ac pietatis magiſtri veritatem ulciſcantur. Imò
licet doctor non ſit quiſpiam, neque doctori ulli cathedra E
ſit commiſſa, ſed Dei verbum ſimpliciter exceperit, & in
ordine diſcipuli conſtitutus, zelum debet habere DEI,

ἔστι γὰρ εὑρεῖν τινα ἐν σχήματι ἐπιεικείας λέγοντα· τί γὰρ κοινὸν ἔχομεν πρὸς τοὺς Ἕλληνας; θέλει σωθῆναι; σωθήτω. ὁ ταῦτα λέγων, οὐδέπω ἐτρώθη ζῆλον εὐσεβείας· ὁ βλέπων ἀπολλύμενον, καὶ μὴ πενθῶν τὴν ἐκείνου ἀπώλειαν, καὶ ἰδίαν ζημίαν τιθέμενος, οὐκ οἶδε ζῆλον εὐσεβείας, οὐκ ἐτρώθη βέλεσιν ἀληθείας. ὁ βλέπων οὖν ἀπολλύμενον, καὶ μὴ ζηλῶν ὥς που φησὶ Παῦλος, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; οὐκ ἔστιν οὗτος μαθητὴς Παύλου. ἀντιπαραβαλλέτω τοῦ πατρὸς τὰ κατορθώματα, καὶ εὑρήσει αὐτὸν συνᾴδοντα ταῖς ἀποστολικαῖς φωναῖς, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; οἱ οὕτω φρονοῦντες ἀδελφοί εἰσι τῶν ἀποστόλων. δίκαιος γὰρ οὐκ ἐν οἷς ἁμαρτάνει μόνον ἀθυμεῖ, ἀλλὰ καὶ ἐν οἷς βλέπει ἄλλους ἁμαρτάνοντας, ὥς φησιν ὁ Δαβίδ· ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. εἴ τις ἐπὶ τῶν ἄλλων ἁμαρτίαις ἀθυμεῖ, ζῆλον ἔχει εὐσεβείας. ὁ γὰρ δίκαιος, ὅταν τὸν ἑαυτοῦ βίον διορθώσηται, δακρύει καὶ πενθεῖ ὥστε τὴν ἁμαρτίαν ἐξαλεῖψαι τὴν ἑαυτοῦ. καὶ τότε τῆς ἁμαρτίας τῆς ἰδίας παυσάμενος, τὰς ἄλλων λοιπὸν πενθεῖ ἁμαρτίας, καθὼς καὶ Παῦλος· μήπως ἐλθὼν πολλοὺς πενθήσω τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων. Παῦλος πενθεῖ τοὺς ἁμαρτήσαντας, καὶ μὴ μετανοήσαντας· Σαμουὴλ πενθεῖ τὸν Σαούλ· ὡς εἰπεῖν τὸν Θεόν· ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαούλ; βλέπεις ψυχὴν ἀπολλυμένην, καὶ οὐ πενθεῖς; νεκρὸν ἐάν τις ἴδῃ προκομιζόμενον, καὶ μὴ δακρύσῃ, ὡς ἀπηνής, καὶ σκληρός, καὶ θηριώδης ἐλέγχεται· ψυχὴν ἐὰν ἴδῃς ἐν ἀσεβείᾳ βαπτιζομένην, καὶ αἰωνίῳ θανάτῳ καταδικαζομένην, καὶ τῇ ἀπιστίᾳ διαμένουσαν, οὐ δακρύεις, εἰπέ μοι, καὶ πενθεῖς; καὶ τοῦτο εὐσεβοῦς ψυχῆς. πάντα μὲν οὖν τὰ ἄλλα ἁμαρτήματα δεῖ πενθεῖν τὸν εὖ φρονοῦντα, ἐξαιρέτως δὲ, ὅταν ἴδῃ ψυχὴν ἐν ἀσεβείᾳ βεβαπτισμένην Ἑλληνισμοῦ· ἐπὶ τῇ τοιαύτῃ ψυχῇ οὐ δεῖ μόνον πενθεῖν, ἀλλὰ καὶ πυροῦσθαι, καὶ ἐμπίπρασθαι τῷ ζήλῳ· ἵνα γένηται Παύλου μαθητής. Διατρίβοντος γάρ, φησι, Παύλου ἐν ταῖς Ἀθήναις, ἐνεπίμπρατο αὐτοῦ τὸ πνεῦμα, θεωροῦντος κατείδωλον οὖσαν τὴν πόλιν. διὰ τί δὲ ταῦτα οἱ ἅγιοι φρονοῦσιν; ὥσπερ καὶ ὁ θαυμάσιος οὗτος πατὴρ ἔκδικος τῆς εὐσεβείας ἦν; καθάπερ γάρ ἐστι βασιλεὺς ὁ ἐπὶ γῆς κατέχων τὴν ὑπ' αὐτὸν οἰκουμένης, ἔχει δὲ ἐν ἑκάστῳ δικαστηρίῳ τοὺς παλατίνους συνηγοροῦντας· οὕτως ἔχει ὁ Θεὸς τοὺς πιστοὺς ποιμένας ἐκδίκους τῆς εὐσεβείας. πολλοὶ γὰρ πολλάκις διασύροντες τῶν Ἑλλήνων, λέγουσιν, ὅταν ἀκούσωσι Χριστιανῶν λεγόντων αὐτοῖς, διὰ τί βλασφημεῖτε; διὰ τί ἀσεβεῖτε; εὐθέως διασύρουσιν· ἴδε οἱ ἔκδικοι τοῦ Θεοῦ. οὐ δύναται ἑαυτὸν ἐκδικῆσαι ὁ Θεός; ἀλλ' ἑαυτὸν ἐκδικῆσαι ὁ Θεός; ἀλλ' ἑαυτὸν οὐκ ἐκδικεῖ [οὐ γὰρ ὑβρίζει τὴν θειότητα] ἀλλὰ διὰ πιστῶν οἰκετῶν τοὺς ἀγνώμονας δούλους μαστίζει. χρείαν ἔχει ἐκδίκων ὁ Θεός; ναί. οὐκ ἐπειδὴ αὐτὸς ἀσθενεῖ, ἀλλ' ἵνα σοι θύραν ζήλου ἀνοίξῃ. εἰ γὰρ πάντα δι' ἑαυτοῦ ἐποίει, ἀπεκλείετο ἡ ὁδὸς τῆς ζωῆς τῷ ζηλωτῇ. οὐκ ἐθεομάχει ποτὲ Φαραὼ, καὶ ἦν ἐν ἀσεβείᾳ βεβυθισμένος, καὶ οὐδαμοῦ μάστιξ προσηνέχθη, ἕως ἂν ἐκύψε Μωσῆς ὁ πιστός; οὐκ ἐκόμα ἡ πολύθεος πλάνη σὺν τοῖς ψευδέσιν ἱερεῦσι καὶ τοῖς ψευδοπροφήταις, καὶ οὐδαμοῦ παρὰ Θεοῦ πληγή, ἕως ἂν ἐκύψεν Ἡλίας ὁ ζηλωτής; ἔκδικοί εἰσιν ὁμολογουμένως τοῦ Θεοῦ οἱ ἅγιοι. διὸ καὶ Παῦλος λέγει· ἐν ἑτοίμῳ ἔχομεν ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. ἔτι δὲ ἡ θαυμασία Δεβόρρα ἐν γυναιξίν, ἡ γυναικὸς ἀσθένειαν ἔχουσα, καὶ ἀνδρείαν ἀρετῆς προφητεύουσα, περὶ ἧς φησιν ἡ γραφή· καὶ ἀνέστη Δεβόρρα μήτηρ ἐν τῷ Ἰσραήλ, μήτηρ ἐγένετο τοῦ λαοῦ δι' εὐσέβειαν, καὶ τοσοῦτον ἤκμαζεν, ὥστε καὶ τοὺς στρατηγοὺς πολέμου γενομένου τοὺς περὶ τὸν Βαρὰκ λέγειν τῇ γυναικί· ἐὰν μὴ σὺ ἔλθῃς εἰς πόλεμον μεθ' ἡμῶν, ἡμεῖς οὐκ ἐρχόμεθα. οὐ τῇ τῆς γυναικὸς ἐθάῤῥουν ἀνδρείᾳ, ἀλλὰ τῇ τῆς προφητείας δυνάμει. ἐξῆλθον πολλοὶ συνεργοὶ τῆς τοῦ Θεοῦ βουλῆς, καὶ ἐξέκοψαν τοὺς ἀλλοφύλους. ἐκείνη οὖν ἡ μακαρία Δεβόρρα τὴν ἀλήθειαν φέρουσα, λέγει· Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου· οἱ δὲ ἐχθροί σου, ὡς ἀπόσμηγμα λύχνου. Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου· ἐπειδὴ ὁ ἥλιος οὐδέ ποτε σβέννυται· οἱ δὲ ἐχθροί σου ὡς ἀπόσμηγμα λύχνου· λύχνος γὰρ καὶ πρόσκαιρον ἔχει φῶς, καὶ πάλιν σβέννυται· εἶτα ἐπαινεῖ τὸν στρατηγὸν ὑπουργήσαντα τῇ τοῦ Θεοῦ βουλῇ, καὶ μετὰ ταῦτα κελεύει καταράσασθαι τοὺς κατοικοῦντας Μαζώρ, ὅτι οὐκ ἐξῆλθον εἰς βοήθειαν Κυρίου. βοηθείας ἄρα ἐχρῄζεν ὁ Θεός; ναί. δεῖ φανῆναι τοὺς βοηθοῦντας τῇ εὐσεβείᾳ. οὕτως οὖν καὶ ὁ θαυμάσιος οὗτος πατὴρ οὐ Θεῷ, ὡς ἀτονοῦντι βοηθεῖ, ἀλλ' εἰς τοῦτο ταχθείς, ἐκδικεῖ τὴν εὐσέβειαν, τῷ σώματι μὲν ἐνδεικνύμενος πρὸς ἀπώλειαν, ἀλλὰ ψυχὰς ἐμβαλλόμενος πρὸς δυναστείαν. τὰ γὰρ βέλη τοῦ δυνατοῦ ἠκονημένα. καὶ μὴ θαυμάσῃς, εἰ οἱ ποιμένες Χριστοῦ καὶ διδάσκαλοι εὐσεβείας ἐκδικοῦσι τὴν ἀλήθειαν. ἀλλὰ κἂν μὴ ᾖ τις διδάσκαλος, μηδὲ διδασκαλικὸν θρόνον πεπιστευμένος, ἀλλ' ἁπλῶς δεξάμενος Χριστοῦ λόγον, καὶ ἐν μαθητοῦ τάξει τυγχάνων, ὀφείλει ζῆλον ἔχειν Θεοῦ,

καὶ

καὶ ἀμοιβὰς ἀποδιδόναι τῷ εὐεργέτῃ ἐν τῷ ἐλευθεροστομεῖν, καὶ ὑπὲρ τῆς ἀληθείας φθέγγεσθαι. καὶ κατὰ ἀσεβείας ἀγωνίζεσθαι, ἵνα ἀκούσῃ παρὰ τῆς ἁγίας γραφῆς, Τέκνον ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος ὁ Θεὸς πολεμήσει ὑπὲρ σοῦ. οὐδὲν θαυμαστὸν, εἰ εὐσέβειαν ἐκδικοῦσιν ἅγιοι· πολλάκις καλεῖ τι ὁ Θεὸς διὰ ἐπιείκειαν, ὡς Θεὸς ἀγαθὸς, καὶ οἱ προφῆται οὐ συγχωροῦσι τρωθῆναι τὴν εὐσέβειαν ἐκ τῆς τοῦ Θεοῦ ἐπιεικείας. λέγει ὁ Θεὸς διὰ Μωσέως, εἰπὸν τῷ Φαραώ, ἐξαπόστειλον τὸν λαόν μου. εἰ δὲ οὐ βούλει, ἰδοὺ ἀποστελῶ τὰ σημεῖα, καὶ πατάξω σε. ἐπλήγη Μωσῆς ἐπὶ τῷ ῥήματι, καὶ εἰσδύεται ἔννοια τῷ εὐσεβεῖ, καί φησι· μὴ νομίσῃς, ὅτι ἐξ ἰσοτιμίας ἔχει λαὸν αὐτὸς, καὶ λαὸν ὁ Θεός. καὶ ἀγωνιάσας μή ποτε ἡ πολλὴ τοῦ Θεοῦ ἀγαθότης καὶ ἐπιείκεια βλάψῃ αὐτὸν, καὶ νομίσῃ ἀντιπολιτεύεσθαι Θεῷ, ἀκούσας ὁ λαός σου, καὶ ὁ λαός μου, ἀναφέρει τὸ κήρυγμα. τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἐξαπόστειλον τὸν λαόν μου· εἰ δὲ μὴ βούλει, ἰδοὺ ἐγὼ ἐξαποστελῶ τὰ σημεῖα, καὶ πατάξω σε, καὶ τοὺς θεράποντάς σου· ἵνα μάθῃς ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. ἡ γῆ ἤκουσε λαὸν καὶ λαὸν, καὶ οὐκ ἠκολούθησε τῷ λόγῳ, ἀλλὰ λέγει, πᾶσα ἡ γῆ τοῦ Κυρίου ἐστιν. εἰ γὰρ καὶ ἐπιεικείᾳ ἐχρήσατο ὁ Θεὸς, ἀλλ' οὗτος οὐ προδίδωσι τὴν δεσποτικὴν αὐθεντίαν. διὰ τοῦτο γὰρ καὶ ὁ Θεὸς οὕτως ἐλάλησεν, ἵνα γυμνωθῇ τοῦ εὐσεβοῦς ὁ ζῆλος· ἀλλὰ καὶ φιλοῦσιν ἀεὶ πιστοὶ ὑπερβαίνειν τοῦ Θεοῦ τὰ ῥήματα. λέγει γὰρ ὁ Σωτὴρ τοῖς μαθηταῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; λέγει εἷς τῶν μαθητῶν αὐτοῦ, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ὁ ζῆλος τοῦ ἁγίου πνεύματος καὶ ὑμᾶς διδασκέτω ζηλωτὰς εἶναι. καὶ ὑπὲρ εὐσεβείας πάσχειν, καὶ ἀγωνίζεσθαι ὑπὲρ δικαιοσύνης τὸν καλὸν ἀγῶνα· ἄξιον γάρ ἐστι τοὺς μιμητὰς εἶναι διδασκάλου ἀγαθοὺς μαθητάς, ὡς καὶ Παῦλος λέγει· μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ. θέλεις μαθεῖν, ὅτι καὶ ὁ ἁπλῶς μαθητὴς καὶ μαθητοῦ τάξιν ἔχων ὀφείλει ἔχειν ζῆλον εὐσεβείας; ἄκουε πῶς ὁ Χριστὸς τὸν ἐκ γενετῆς τυφλὸν ἐθεράπευσε. μᾶλλον δὲ αὐτῆς ἐξ ἀρχῆς τῆς ἱστορίας ἀκούσωμεν· μετὰ γὰρ πολλὰ τῷ εὐαγγελιστῇ εἰρημένα, οὕτως ἤρξατο λέγειν· παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς· καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· καὶ τὰ ἑξῆς. καὶ πτύσας, καὶ πηλὸν ποιήσας, ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ εἶπεν αὐτῷ· ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ· καὶ νιψάμενος ἀνέβλεψεν. οἱ Ἰουδαῖοι ἔγνωσαν αὐτὸν, καὶ λέγουσιν, οὐχ οὗτός ἐστιν, ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος τυφλὸς; ἄλλοι ἔλεγον, ναί· ἄλλοι, οὔ. ἀλλ' ὅμοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν, ὅτι ἐγώ εἰμι. οἱ Φαρισαῖοι καὶ οἱ ἄρχοντες τῶν Ἰουδαίων ὁρῶντες, ὅτι τὸ θαῦμα πολλοὺς ἔχει ἑλκύσαι πρὸς τὸν Χριστὸν, δακνόμενοι ἐκ τοῦ ζήλου τῆς ἀσεβείας, καὶ πληττόμενοι τῷ κέντρῳ τῆς ἀληθείας καλοῦσιν ἔσω τόν ποτε τυφλόν· καὶ ἦν ἰδεῖν πονηρὸν θέατρον εὐσεβείας ἐκδικουμένης, καὶ πονηρῶν δικαστῶν κρινόντων, καὶ μεγάλου συνηγόρου συναγωνιζομένου, καὶ Θεοῦ βραβεύοντος καὶ ἐφορῶντος· καλοῦσι τόν ποτε τυφλὸν καὶ ἀναβλέψαντα οἱ Ἰουδαίων παῖδες. καὶ ἱστῶσιν ἐν μέσῳ τοῦ συνεδρίου, καὶ λέγουσιν αὐτῷ· εἰπέ πως ἀνέβλεψας, καὶ τίς σου διήνοιξε τοὺς ὀφθαλμοὺς, καὶ τί σοι ἐποίησεν; ταῦτα ἔλεγον οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα τῷ σχήματι τῆς ἐρωτήσεως φόβον ἐντήκωσιν. πολλάκις γὰρ τὸ σχῆμα τῆς ἐρωτήσεως διδάσκαλος γίνεται τῷ ἐρωτωμένῳ ἀποκρίνασθαι, ἢ σιωπῆσαι· ὡς εἴ τις εἴποι τινὶ μέλλοντι μαρτυρεῖν εἰς πρᾶγμα· οἶδας τὴν ὑπόθεσιν; παρῆς; πόθεν οἶδας τὸ πρᾶγμα; καὶ τὸ σχῆμα αὐτὸν διδάσκει ἀρνήσασθαι· οὕτω κἀκεῖνοι· πῶς ἀνέβλεψας; τίς ἠνοίξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ ἧττον φροντίσας τῆς ἀπειλῆς, εἴχετο μᾶλλον τῆς ἀληθείας, καί φησιν, ἄνθρωπός τις λεγόμενος Ἰησοῦς, πηλὸν ποιήσας ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέν μοι· ὕπαγε, νίψαι εἰς τὸν Σιλωάμ· καὶ ἀπελθὼν ἐνιψάμην, καὶ ἀνέβλεψα. οὐκ ᾔδει τὴν ἀλήθειαν, ἀλλὰ τὴν εὐεργεσίαν ἐγνώριζε· τοῦ εὐεργέτου τὸ ἀξίωμα οὔπω ᾔδει· ἄνθρωπός τις πηλὸν ποιήσας ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ βλέπω. οὐκ ἐπίστευσαν οἱ Ἰουδαῖοι, ὅτι τυφλὸς ἦν, καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος· ἡ παραγραφὴ τῆς κακίας εἰς ἀμφιβολίαν ἐνέβαλε τὴν ἀλήθειαν· καλοῦσι τοὺς γονεῖς τοῦ τυφλοῦ· ἡ κακία καθ' ἑαυτῆς συνάγει τοὺς μάρτυρας. ἐκλήθησαν οἱ γονεῖς τοῦ τυφλοῦ· πάλιν τὸ αὐτὸ σχῆμα τῆς ἐρωτήσεως· οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει; ἐκεῖνοι τὸν τρόπον τῆς κακίας νοήσαντες, ὅτι ἀπειλὰς προσφέρουσιν, λέγουσιν αὐτοῖς· οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, οἴδαμεν. πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς τὰ περὶ ἑαυτοῦ λαλήσει. καὶ ὅρα τοῦ Θεοῦ τὴν σοφίαν. ἵνα μὴ παραγράψωνται αὐτοῦ τὴν φωνὴν τοῦ ἀναβλέψαντος, ἢ ὡς νέου ὄντος, ἢ ὡς οὐκ εἰδότος εἰπεῖν ὡς ἐπὶ τῶν κοινῶν δικαστηρίων, ᾠκονόμησεν ὁ Θεὸς πρῶτον δειχθῆναι αὐτὸν τῆς ἐννόμου ἡλικίας· ἡλικίαν ἔχει αὐτός, φησιν, αὐτὸν ἐρωτήσατε· ἐπειδὴ οἱ ἀφήλικες συνηγόρων χρῄζουσιν· οἱ δὲ τελείαν φέροντες τὴν ἡλικίαν, αὐτοὶ ἑαυτῶν συνήγοροι γίνονται. ἀπεκρίθησαν οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον, ὅτι οὗτός ἐστιν

A atque gratiam benefactori rependere, ut liberè loquatur, & pro veritate verba faciat, atque adverſus impietatem decertet, ut à ſancta Scriptura ſibi dictum audiat, *Fili decerta pro veritate, & Dominus Deus pugnabit pro te.* Eccl. 4. 4.
Nihil mirum, ſi ſancti pietatem ulciſcuntur. Sæpenumero loquitur aliquid Deus clementiæ cauſa, utpote bonus: & Prophetæ non ſinunt lædi pietatem propter clementiam Dei. Dicit Deus per Moyſen: Dic Pharaoni, dimitte populum meum. Quod ſi nolueris, ecce immittam ſigna, & percu-
B tiam te. Perculſus eſt hoc dicto Moyſes, & ſubiit animum viri pii hæc cogitatio, dixitque: Noli exiſtimare ipſum ex æqualitate honoris populum ſuum habere ac Deum populum ſuum; & cùm anxiè dubitaret, num immenſa Dei bonitas & clementia illi noceret, videreturque Deo refragari, cùm audiiſſet, populus tuus, & populus meus, prædicationem refert: *Hæc dicit Dominus Deus Hebræorum, Dimitte populum meum*: Exod. 7, 2. & 9, 29.
Sin autem nolueris ecce ego immittam ſigna & percutiam te, & famulos tuos: ut diſcas, quia
C Domini eſt terra & plenitudo ejus. Audivit terra populum, & populum, neque verbis paruit: veruntamen dixit, Omnis terra Domini eſt. Licet enim clementer ſe geſſerit Deus, hic tamen Dominus auctoritatem prodere noluit. Propterea namque loquutus eſt Deus; ut hominis pii zelus patefieret. Sed & fideles Dei verba ſemper amant excedere: ſic enim inquit Salvator diſcipulis: Quem me dicunt homines eſſe, filium hominis? Dicit unus ex diſcipulis, *Tu es Christus filius Dei vivi.* Matt. 16. 3.
Doceat vos quoque æmulatores eſſe
D Spiritus ſancti æmulatio, ac pro pietate pati, bonumque certamen pro juſtitia certare. Æquum enim eſt, ut boni diſcipuli ſint imitatores magiſtri, ſicut & Paulus ait: *Imitatores mei eſtote ſicut & ego Chriſti.* 1. Cor. 11. 1.
Vis noſſe cùm eum qui omninò ſit diſcipulus, tum eum qui diſcipuli locum obtineat, habere pietatis æmulationem debere? audi quo pacto cæcum à nativitate Chriſtus ſanarit, immò verò à principio hiſtoriam audiamus. Poſt multa ſiquidem ab Evangeliſta dicta, ſic narrare cœ-
E pit: *Præteriens Jeſus vidit hominem cæcum a nativitate, & interrogaverunt eum diſcipuli ejus, dicentes* & quæ ſequuntur. Joan. 9. 1.
Et cùm exſpuiſſet, ac lutum feciſſet, linivit oculos ejus, & dixit ei, Vade lava in natatoria Siloam: & cùm lavaſſet, vidit. Judæi noverant eum, & dicunt: Nonne hic eſt qui ad eleemoſynam ſedebat, cæcus? alii dicebant: Sic eſt; alii, Non; ſed ſimilis ipſi eſt: ille dicebat, Quia ego ſum. Phariſæi & principes Judæorum videntes multos ad Chriſtum poſſe miraculum trahere, impietatis æmulatione ſtimulati, & veri-
A tatis aculeo compuncti, eum qui cæcus fuerat, intro vocant. Ac videre erat miſerum ſpectaculum, cùm pietas exagitaretur, improbi judices diſceptarent, magnus patronus certantem juvaret, & Deus certamini præſideret, ac ſpectaret. Vocant eum, qui cæcus fuerat, & viſum receperat, Judæi, atque in medio concilio ſtatuunt, & dicunt ei: Dic, quomodo viſum recepiſti, & quis oculos tuos aperuit, & quid fecit tibi? Hæc dicebant, non ut
B diſcerent, ſed ut ipſa interrogationis forma timorem incuterent: ſæpe namque forma interrogationis illum admonet, quem interrogamus, quid reſpondere debeat, aut tacere: ut ſi quis ei dixerit qui in rem quampiam teſtimonium ſit laturus: Vidiſti rem de qua agitur? interfuiſti? vel ipſa forma docet illum negare: ſic & illi; Quomodo viſum recepiſti? quis aperuit oculos tuos? Ille minas eorum minùs curans, veritati magis adhærebat, & ait: *Homo quidam qui dicitur Jeſus, cùm lutum feciſſet, linivit oculos meos, & dixit mihi, Vade, & lava in Siloam: & cùm abiiſſem, lavi & vidi.* Non noverat veritatem, ſed beneficium agnovit: dignitatem benefactoris
C nondum noverat: Homo quidam cùm lutum feciſſet, unxit oculos meos, & lavi, & video. Non crediderunt Judæi, quia cæcus fuiſſet, & vidiſſet, donec vocaverunt parentes ejus qui viderat. Improbitatis exceptio veritatem in dubitationem adduxit. Vocant parentes cæci, rurſus eadem forma interrogationis uſurpatur; Hic eſt filius veſter, quem vos dicitis, quia cæcus natus eſt? Quomodo ergo nunc videt? Illi cùm morem improbitatis probè noſſent, eos ſcilicet minas intendere, dicunt illis: Scimus quia hic eſt filius noſter, & quia
D cæcus natus eſt, ſcimus: quomodo autem nunc videat, neſcimus, aut quis aperuit ejus oculos, nos neſcimus: ipſe ætatem habet, ipſum interrogate, ipſe de ſe loquetur. Animadverte Dei ſapientiam: ne vocem ejus qui viſum receperat, exceptione rejicerent, ut qui juvenis eſſet, nec publicis in judiciis verba facere noſſet, providit Deus ut legitima priùs ætas ejus indicaretur: Ætatem habet, inquiunt; ipſum interrogate: propterea quòd impuberes patronis indi-
E gent: qui verò perfectam ætatem attigerunt, ipſi patroni fiunt ſui ipſorum. Reſponderunt parentes ejus, & dixerunt, Scimus,

quia

quia hic eſt filius noſter, & quia cæcus natus eſt. Confeſſi ſunt parentes ejus, ne qua dubitatio ſupereſſet, an is cæcus fuiſſet? Ætatem habet, ipſum interrogate, ipſe de ſe loquitur, vocant rurſus, inquit, eum ſecundò, & dicunt illi, Quid fecit tibi? quomodo aperuit oculos tuos? Tum verò ille Dei zelo indutus interrogationem deſpexit, & ut indignos reſponſo minimè dignatus eſt alloqui: ſed quid? ait illis:

Joan. 9. 27. *Dixi vobis jam: & non audiſtis: quid iterum vultis me audire? nunquid & vos vultis diſcipuli ejus fieri?* itaque doctrinam imitatur Chriſti, cùm nondum Chriſti doctrinam audierit. Nam cùm in Encæniis circumdediſſent Salvatorem in porticu Salomonis Judæi, dicebant illi: Quouſque animam noſtram tollis? ſi tu es Chriſtus, dic nobis palam. Ait illis: Dixi vobis, & non audiſtis: quid iterum vultis audire? Ac vide pietatem patroni: cùm Judæorum malitiam animadvertiſſet, eoſq; nihil non agere ac ſimulare, ut ei metum incuterent, ne magiſtrum illum confiteretur, ait illis: Dixi vobis jam, & non audiſtis, quid iterum vultis audire? nunquid & vos vultis diſcipuli ejus fieri? Cùm dixiſſet? Nunquid & vos, confiteri ſe diſcipulum eſſe indicavit. Hanc vocem uſurpet omnis Chriſtianus à Paganiſmo deductus. Cùm enim occurrerit tibi Paganus veteris erroris addictus conſuetudini, & dixerit tibi Chriſtianus es? dic illi, Etiam, nunquid & tu vis fieri? Hic igitur fuit hominis iſtius ſcopus qui viſum & animæ & corporis receperat: Dixi vobis jam, & non audiſtis: quid iterum me vultis audire? nunquid & vos vultis diſcipuli ejus fieri? quaſi diceret: Tantum abeſt ut me de ſententia dimovere poſſitis, ut ego vos ſperem potiùs de ſententia dimotos Chriſtum ipſum confeſſuros. Quid ad illum deinde Judæi? Maledixerunt ei, & dixerunt, Tu diſcipulus illius ſis: nos autem Moyſi diſcipuli ſumus. Nos ſcimus, quia Moyſi loquutus eſt Deus; hunc autem neſcimus unde ſit, cogita quænam eſſet multitudo contradicentium, & quænam unius potentia qui reſiſtebat. Neque ſiluit rurſus patronus veritatis, ſed inſtitit: In hoc enim mirabile eſt inquit, quia vos neſcitis unde ſit, & aperuit meos oculos. Niſi eſſet hic à Deo, non poterat facere quicquam. Stabat decertans, & ſpectator erat, ac certaminis præſes Deus: multi formidabiles adverſus unum robuſtum, nubes infidelis adverſus unam fidei guttam. A ſæculo non eſt auditum, inquit, quia quis aperuit oculos cæci nati: niſi eſſet hic à Deo, non poterat facere quicquam. Quandoquidem doctrina Moſis gloriamini: non ille quidem adhuc Moſis mentionem facit, ne exaſperet eos: ſed ait:

Joan. 9. 32. *A ſæculo non eſt auditum, quia quis aperuit oculos cæci nati?* hoc eſt, quis alius aperuit Propheta? neque qui antecellat, occurrit, neque qui poſſit comparari. At quantum iſte veritatem tuebatur, tantũ illi in impudentia perſeverabant: quia negare non poterant, deinceps occultare contendebant: & dicunt, Da gloriam Deo: nos ſcimus quia hic homo peccator eſt. Gloria Filii, Patris eſt gloria, & indiviſa gloria: decertat unito præclaro cum Judæis certamine: dicunt ei: Da gloriam Deo: cuinam? Deo legis noſtræ? an verò juſtum eſt, ut alius beneficium contulerit, & alius gloriam reportet? Da gloriam Deo: alius beneficus fuit, & alii gloriam dabo? confeſſi ſunt lutum feciſſe Jeſum, & unxiſſe oculos ejus, eum qui aperuit, confitetur, & alteri gloriam deferam? Quare verò gloriam dabo? quia nempe Dei opus hoc eſt: igitur Deum eſſe Chriſtum imprudentes fatemini: da gloriam Deo. Nam ſi Dei eſt opus, eique gloria debetur: qui auctor eſt operis, ipſe eſt Deus: Da gloriam Deo. Nos ſcimus quia hic homo peccator eſt. Reſpondit eis, qui cæcus fuerat: Si peccator eſt, neſcio: unum ſcio, quia cæcus cum eſſem, modo video. Huc uſque cùm liberè loquutus eſſet, ejici foras ipſum juſſerunt. Et ejecerunt eum, inquit Evangeliſta, foras.

Pſ. 1, 1. *Beatus qui ablegatus eſt à conſilio malignantium.* Ac vide, quid fiat: poſteaquam bonum certamen certavit, Dei gloriam defendit, ac multa cum fiducia, dicendique libertate Salvatorem confeſſus eſt, jam abſolutis certaminum ſuorum ſpectaculis, foras ejectus eſt athleta, corona minimè accepta, & foris illi præmiorum occurrit diſtributor: Audivit enim inquit, Jeſus, quia ejecerunt eum foras: & cùm inveniſſet eum, dicit ei. O verbum notandum. Invenit eum, quem perdidit error, veritas invenit. Cur autem occurrit illi? vidit

Jo. 9, 37. Salvator animam probitatis plenam: vidit animam pro Deo verba facere nondum ſcientem, ſed pro fideli aliquo Propheta ſe loqui exiſtimantem: interrogatur enim de Chriſto, & quid de illo dicit? quia Propheta eſt: Salvator autem hæc ait: Si cùm me Prophetam arbitratur, & hominem eſſe ſuſpicatur, ita decertat, quid non faciet, ſi gloriam divinitatis cognoverit? Si cùm hominem eſſe me cenſet, ac Prophetam appellat, tantùm veritati ſubſidium tulit, tantumque certamen ſuſcepit nondum fidei elementis imbutus, ſed ſolo beneficio illuſtratus.

ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη, οἴδαμεν. ὡμολόγησαν οἱ γονεῖς, ἵνα μὴ ᾖ ἀμφιβολία, ὅτι οὐκ ἦν τυφλός. ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ ἑαυτοῦ λαλήσει· καλοῦσι πάλιν, φησὶν, αὐτὸν ἐκ δευτέρου, καὶ λέγουσιν αὐτῷ· τί ἐποίησέν σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ἐκεῖνος λοιπὸν ἐνδυσάμενος Θεοῦ ζῆλον, διαπτύει τὴν ἐρώτησιν, καὶ ὡς ἀναξίους ἀποκρίσεως, οὐκ ἀξιοῖ λόγου· ἀλλὰ τί λέγει αὐτοῖς; εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. τί πάλιν θέλετέ μου ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; καὶ μιμεῖται τὴν Χριστοῦ διδασκαλίαν, μηδέπω ἀκούσας τὴν Χριστοῦ διδασκαλίαν. οἱ γὰρ Ἰουδαῖοι ἐν τοῖς ἐγκαινίοις κυκλώσαντες τὸν Σωτῆρα ἐν τῇ στοᾷ Σολομῶντος, ἔλεγον αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν παῤῥησίᾳ· λέγει αὐτοῖς· εἶπον ὑμῖν, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; καὶ ὅρα συνηγόρου εὐσέβειαν. ἐπειδὴ προσέσχεν τῇ κακίᾳ τῶν Ἰουδαίων, ὅτι πάντα ποιοῦσι καὶ σχηματίζονται ἀπειλὴν καὶ φόβον αὐτῷ ἐπισεῖσαι ὑπὲρ τοῦ μὴ ὁμολογεῖν αὐτὸν διδάσκαλον, λέγει αὐτοῖς· εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ αὐτοῦ γενέσθαι; τῷ εἰπεῖν, μὴ καὶ ὑμεῖς; ἔδειξεν, ὅτι καὶ αὐτὸς ἐγὼ ὁμολογοῦμαι. ταύτην φωνὴν ἐχέτω πᾶς Χριστιανὸς ἀπὸ Ἑλληνισμοῦ κατερχόμενος· ὅταν γάρ σοι συντύχῃ Ἕλλην ἀρχαίαν ἔχων συνήθειαν πλάνης, καὶ εἴπῃ σοι, ὅτι Χριστιανὸς εἶ σύ, εἰπὲ αὐτῷ· ναὶ, μὴ καὶ σὺ θέλεις γενέσθαι; ὁ σκοπὸς τοίνυν τοῦ ἀναβλέψαντος καὶ ψυχὴν καὶ σῶμα, τοιοῦτος ἦν· εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετέ μου ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; ἀντὶ τοῦ, τοσοῦτον ἀπέχετε τοῦ ἐμὲ μεταπεῖσαι, ὅτι καὶ ἐγὼ προσδοκῶ μᾶλλον ὑμᾶς μεταβληθέντας Χριστὸν αὐτὸν καθομολογῆσαι. εἶτα τί πρὸς αὐτὸν οἱ Ἰουδαῖοι; ἐλοιδόρησαν αὐτὸν, καὶ εἶπον· σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν, ὅτι Μωϋσῇ λελάληκεν ὁ Θεός. τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ἐννόησον τὸ πλῆθος τῶν ἀντιλεγόντων, καὶ τὴν δύναμιν ἑνὸς τοῦ ἀνθεστηκότος· καὶ οὐκ ἐσιώπησε πάλιν ὁ συνήγορος τῆς ἀληθείας, ἀλλ᾽ ἵσταται· ἐν γὰρ τούτῳ θαυμαστόν ἐστι, λέγων, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶν, καὶ ἤνοιξέν μου τοὺς ὀφθαλμούς· εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. εἱστήκει ἀγωνιζόμενος, καὶ ὁ Θεὸς ἐπόπτης καὶ βραβευτής. πολλοὶ δεινοὶ καθ᾽ ἑνὸς ἰσχυροῦ, νέφος ἄπιστον πρὸς μίαν σταγόνα πίστεως· ἀπὸ τοῦ αἰῶνός φησιν, οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. ἐπειδὴ σεμνύνεσθέ, φησι, τῇ Μωσέως διδασκαλίᾳ· οὐ μνημονεύει μὲν Μωσέως τέως, ἵνα μὴ παροξύνῃ· λέγει δὲ, ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου· τοῦτ᾽ ἔστιν, τίς ἤνοιξεν ἄλλος προφήτης; οὐδὲ τὸν ὑπερέχοντα ὁρῶντες, οὐδὲ συγκρίσιν· ὅσον δὲ οὗτος τῆς ἀληθείας ἀντείχετο, τοσοῦτον ἐκεῖνοι τῆς ἀναισχυντίας οὐκ ἐπαύοντο· ἐπειδὴ ἀρνήσασθαι οὐκ ἐδύναντο, ἐσπούδασαν λοιπὸν καλύψαι· καί φησι· δὸς δόξαν τῷ Θεῷ, οἴδαμεν ἡμεῖς, ὅτι ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν· δόξα υἱοῦ ἡ δόξα πατρὸς, καὶ ἀμέριστος ἡ δόξα· ἀγωνίζεται ἔχων τὸν καλὸν ἀγῶνα πρὸς Ἰουδαίους· λέγουσιν αὐτῷ, δὸς δόξαν τῷ Θεῷ· ποίῳ; τοῦ νόμου τοῦ ἡμετέρου; καὶ δίκαιόν ἐστιν ἄλλον εὐεργετῆσαι, καὶ ἄλλον δοξασθῆναι; δὸς δόξαν τῷ Θεῷ· ἄλλος εὐεργέτης, καὶ ἄλλῳ δώσω τὴν δόξαν; ὡμολόγησαν, ὅτι πηλὸν ἐποίησεν Ἰησοῦς, καὶ ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμούς· ὁ ἀνοίξας ὁμολογεῖται, καὶ ἄλλῳ ἀνενέγκω τὴν δόξαν; διὰ τί δὲ δώσω δόξαν τῷ Θεῷ; ὅτι τὸ ἔργον τοῦτο τοῦ Θεοῦ ἐστιν· ἰδοὺ οὖν ἄκοντες ὁμολογεῖτε, ὅτι Θεὸς ὁ Χριστός· δὸς δόξαν τῷ Θεῷ. εἰ γὰρ τὸ ἔργον τοῦ Θεοῦ, καὶ ὀφείλεται αὐτῷ ἡ δόξα· ὁ ποιητὴς τοῦ ἔργου αὐτός ἐστι Θεός· δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν, ὅτι ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν· ἀπεκρίθη αὐτοῖς ὁ ποτὲ τυφλὸς, εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν ἄρτι βλέπω· μέχρι τούτου ἐπαῤῥησιάσατο, ἐκέλευσαν αὐτὸν ἐκβληθῆναι ἔξω, καὶ ἐξέβαλον αὐτὸν, φησὶν ὁ εὐαγγελιστὴς, ἔξω· μακάριος ὁ ἀφορισθεὶς συναγωγῆς πονηρευομένων. καὶ ὅρα τί γίνεται· ἐπειδὴ ἠγωνίσατο τὸν καλὸν ἀγῶνα, καὶ συνηγόρησε Θεοῦ δόξῃ, καὶ τὸν Σωτῆρα ὡμολόγησεν, ἐνδόξως μετὰ πολλῆς τῆς παῤῥησίας, καὶ ἦν αὐτοῦ τὸ θέατρον πεπληρωμένον τῶν παλαισμάτων, ἐξεβλήθη ἔξω ὁ παλαιστὴς μὴ λαβὼν τὸν στέφανον, καὶ ἀπαντᾷ αὐτῷ ἔξω ὁ βραβευτής. ἤκουσε γάρ φησιν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτὸν λέγει αὐτῷ· ὢ τοῦ ῥήματος τοῦ εὑρόντος αὐτόν. ὃν ἀπώλεσεν ἡ πλάνη, εὗρεν ἡ ἀλήθεια. διὰ τί δὲ αὐτῷ ἀπήντησεν; εἶδεν ὁ Σωτὴρ ψυχὴν εὐγνωμοσύνης γέμουσαν· εἶδεν ψυχὴν μηδέπω ἐνωθεῖσαν ὑπὲρ Θεοῦ λέγειν, ἀλλὰ νομίζουσαν ὑπὲρ προφήτου τινὸς πιστοῦ ἐρωτᾶται γὰρ περὶ τοῦ Χριστοῦ· καὶ τί λέγει περὶ αὐτοῦ; ὅτι προφήτης ἐστίν. ὁ δὲ Σωτὴρ τοῦτο εἶπεν. εἰ προφήτην νομίζων, καὶ ἄνθρωπον ὑπονοῶν, οὕτως ἀγωνίζεται, τί οὐ ποιήσει, ἐὰν μάθῃ τὴν δόξαν τῆς θεότητος; εἰ ἄνθρωπον ὑπονοῶν, καὶ προφήτην ὀνομάζων τοσαύτην ἤνεγκεν ὑπὲρ ἀληθείας συνηγορίαν, καὶ ἀγῶνα τηλικοῦτον ἀνεδέξατο μηδέπω κατηχηθεὶς, ἀλλ᾽ ἀπὸ μόνης τῆς εὐεργεσίας

γεσίας φωτισθείς· ἐννόησον αὐτὸν, ὅτε ὑπὲρ ἀνθρώπου νομίζων συνηγορεῖν, οὐκ ἐξέστη τῆς ἀληθείας· ἐὰν μάθῃ εὐαγγελικῶς λέγειν· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ ὁ Θεὸς ἦν ὁ λόγος· τί ἔσται; διὰ τοῦτο λοιπὸν αὐτὸν εἰς γνῶσιν διορθώσαντι, τὸν μὲν ἀγῶνα ἀποδεξάμενος· τὴν δὲ πίστιν αὐτοῦ σφραγίσας· ἀπαντᾷ αὐτῷ ὁ Σωτήρ· οὐκ ἐγνώριζε γὰρ τὸν χαρακτῆρα αὐτὸς· ὅτε γὰρ ἀπέστειλεν αὐτὸν ἐν τῇ κολυμβήθρᾳ τοῦ Σιλωὰμ, οὐ νίψασθαι, τυφλὸν ἀπέστειλεν· ὡς δὲ ἐπανῆλθε βλέπων, τὸν μὲν Σωτῆρα οὐκ εἶδεν τῷ πλήθει ὄντα ἀναμεμιγμένον· ἀλλ' εὐθέως πρὶν τὸν δεσπότην ἰδεῖν, εἰς τὸν ἀγῶνα κληθεὶς ἠγωνίσατο. πηλὸν δὲ πρὸ τοῦ αὐτὸν νίψασθαι ἐποίησεν ὁ δεσπότης, καὶ ἔχρισεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ἵνα ἀναπληρώσῃ τὸ λεῖπον. ὅτε οὖν ἐξέβαλον αὐτὸν ἔξω, εὑρὼν αὐτὸν ὁ Χριστὸς, εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; οὐ δεῖ γάρ σε ὡς προφήτῃ πιστεῦσαι ἀγωνιζομένῳ· ἀλλ' ὡς υἱῷ τοῦ Θεοῦ· ἐκεῖνος τὸ πρόσωπον μὴ γνωρίσας, τὴν φωνὴν ἀνεγνώρισε· σὺ πιστεύεις, φησὶν, εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ἐπέγνω τὴν φωνὴν, καὶ μετὰ περιχαρείας ἐβόησε. καὶ τίς ἐστι Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; διὰ τί πιστεύεις σοι λέγοντι τῷ πιστῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; οἶδα ὅτι ὁ λόγος σου ἀληθής ἐστιν· ὅμως δὲ κἂν εἴπῃς μοι τὴν γνῶσιν, οὐκ ἀμφιβάλλω σοι πιστεῦσαι· καὶ τίς ἐστι Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; καὶ ὁ προγνώστης ἀντέφη· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν ὁ ἔσω συνηγορήσας, ἔξω διαλέγεται· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; ὁ δὲ πεφωτισμένος καὶ τὸ σῶμα καὶ τὴν διάνοιαν, ἔφησε· καὶ τίς ἐστι Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν· ὁ δὲ ἔφη, πιστεύω Κύριε, καὶ προσεκύνησεν αὐτῷ. ταῦτά μοι εἴρηται, ἵνα μάθητε πάντες καλῷ διδασκάλῳ ἕπεσθαι, καὶ ποιμένα ἀγαθὸν μιμεῖσθαι, καὶ ὑπὲρ ἀληθείας ἀγωνίζεσθαι· ὁ γὰρ ὑμῶν ἀγὼν συνεργίᾳ γίνεται τοῦ μεγάλου ποιμένος· ἐθαυμάσατε ὅτι τυφλὸς ἐγένετο συνήγορος τῆς ἀληθείας εὐεργετηθείς; ἐθαυμάσατε τὸν λῃστὴν τὸν πρὸ τῆς εὐεργεσίας συνηγορήσαντα τῷ Χριστῷ, ἀεὶ γὰρ θεία ψυχὴ ἀλήθειαν ζηλοῦσα διὰ τὴν ἑαυτῆς ἀξιοπιστίαν ἀνοίγει πολλὰ στόματα συνηγοροῦντα τῇ ἀληθείᾳ. ἐπὶ σταυροῦ ὁ Χριστὸς ἐκρέματο, καὶ δύο λῃσταὶ εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. καὶ Ἰουδαῖοι φλυαροῦσιν, ἀρχιερεῖς βλασφημοῦσιν· ἴδε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ πάλιν, « εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ· καὶ πάλιν, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ὡσαύτως καὶ ὁ συσταυρωθεὶς λῃστὴς καὶ αὐτὸς ἐφλυάρει, λέγων· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς· ὁ δὲ ἕτερος λῃστὴς οὐκ ἐλάλει οὐδὲν, τῇ σιωπῇ κολάζων τοὺς καταδίκους. ἐπεὶ οὖν οἱ ἀρχιερεῖς, καὶ οἱ γραμματεῖς, οἱ νόμον εἰδότες, μᾶλλον δὲ ἀγνοοῦντες, οἱ ὀφείλοντες ἀπὸ τῶν προφητικῶν ἀναγνωσμάτων Χριστὸν ὁμολογῆσαι, οὐχ ὡμολόγησαν· ἀνοίγει ὁ Θεὸς ἀπροσδόκητον στόμα ἐπὶ τοῦ σταυροῦ, συνηγοροῦν τῇ ἀληθείᾳ, καὶ βλέπε τί ποιεῖ. οὗ πρῶτον ἀκούει φωνῆς Χριστοῦ, καὶ οὗτος συνηγορεῖ, καὶ τότε στεφανοῦται. ἐσταυρώθησαν γάρ, φησι, σὺν αὐτῷ δύο λῃσταὶ, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων· καὶ ἦν ὁ Σωτὴρ μέσος ὥσπερ ζυγὸς ἀληθείας, κουφίζων μὲν τὸν ὁμολογοῦντα, καταδικάζων δὲ τὸν βλασφημοῦντα· καὶ ὅρα τὸ θαυμαστόν· τῶν γραμματέων καὶ τῶν ἀρχιερέων βλασφημούντων τὸν Χριστὸν, καὶ λεγόντων· εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ· καὶ τοῦ ἄλλου λῃστοῦ· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν καὶ ἡμᾶς· οὐδὲν λέγει εἷς τῶν λῃστῶν ὁ εὐγνώμων· οἱ γὰρ δύο λῃσταὶ εἰκόνες ἦσαν τοῦ λαοῦ τῶν Ἰουδαίων καὶ τοῦ ἡμετέρου· ὁ μὲν γὰρ βλασφημεῖ, καὶ κατακρίνεται· ὁ δὲ πιστεύει, καὶ μετανοεῖ, καὶ σώζεται. λέγει οὖν τῶν ἀγνωμόνων τῆς Ἰουδαϊκῆς λῃστείας ἀδελφός· λῃστρικὸς γὰρ ἦσαν λαὸς οἱ ἀγνώμονες Ἰουδαῖοι, ὡς μαρτυρεῖ ὁ Σωτὴρ λέγων· « ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν· καὶ ἡ μὲν τοῦ πρώτου προαίρεσις Ἰουδαϊκή· ἡ δὲ τοῦ δευτέρου Χριστιανική, ἀπὸ κακῶν μὲν ὁρμωμένη, μετανοίᾳ δὲ τὴν σωτηρίαν ἁρπάζει· λέγει οὖν ὁ ἀγνώμων λῃστὴς, καὶ Ἰουδαϊκὴν « ἔχων προαίρεσιν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, σῶσον σεαυτὸν, καὶ ἡμᾶς, καταβὰς ἀπὸ τοῦ σταυροῦ· ὁ δὲ ἄλλος εὐγνώμων εὑρίσκεται, ὁ ἐν τῷ δικαστηρίῳ ὑπεύθυνος, ἐν τῷ σταυρῷ δικαστής· ἀλλὰ καὶ διδάσκων φόβον Θεοῦ. ἡ γὰρ πρώτη φωνὴ τοῦ λῃστοῦ τῷ συλλῃστῇ λέγει· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. τί λέγεις; ὁ ἔξω κλέπτων ὧδε καταδικάζεις; ὁ ἔξω φονεύων ὧδε φόβον διδάσκεις; οὐδὲ φοβῇ σὺ τὸν Θεόν; μάθε τοῦ Χριστοῦ τὸν σταυρὸν, ἵνα ἡ φωνὴ γένηταί σοι εὐσεβείας διδάσκαλος. ὅρα γὰρ τὸ θαυμαστόν· ὁ λῃστὴς λέγει τῷ συλλῃστῇ· οὐδὲ φοβῇ σὺ τὸν Θεόν; Θεὸν αὐτὸν κηρύττει τὸν ἑκουσίως συνεσταυρωμένον αὐτοῖς, καὶ μακροθύμως ὑπὲρ τῆς ἀνθρωπότητος πάσχοντα. καὶ ὅτι περὶ αὐτοῦ τοῦ Σωτῆρος λέγει, οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ἐκ τῶν ἑξῆς μάνθανε· οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν,

minatus : cogita cùm hominem putans ſe patrocinio tueri, à veritate non deflexerit, ſi ſecundùm Evangelium effari didicerit : *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum*, quid tandem erit ? Propterea deinceps ejus ſcientiam corrigit, ejusque certamine collaudato fidem ipſius obſignat. Occurrit ei Salvator : non enim eum de facie noverat iſte : quando enim miſit eum ad Siloam natatoriam ut lavaret, cæcum miſit: ut autem videns rediit, Salvatorem cum turba mixtum non aſpexit, at confeſtim antequam Dominum cerneret, ad certamen vocatus decertavit. Porrò lutum facit Dominus, antequam lavaret ipſe, atque unxit oculos ejus, ut defectum ſarciret. Quando igitur ejecerunt eum foras, cùm invenisset eum Christus, dixit ei, Tu credis in filium Dei ? Non enim te credere oportet, ut Prophetæ decertanti, ſed ut filio Dei. Ille cùm faciem non noſſet, vocem agnovit : Tu credis in filium Dei, inquit ? vocem agnovit : & ſumma cum lætitia clamavit, Quis eſt Domine, ut credam in eum ? Cur credis dicenti tibi fideli, Tu credis in filium Dei ? Scio verum tuum eſſe ſermonem, ac licet hanc mihi tu des cognitionem, non dubitabo tamen tibi credere : Et quis eſt Domine, ut credam in eum ? Tum futurorum proviſor reſpondit, Et vidiſti eum, & qui loquitur tecum, ipſe eſt. Qui patrocinatus eſt intus, foris alloquitur : Tu credis in filium Dei ? at is qui in corpore & animo fuerat illuminatus, ait : Et quis eſt Domine, ut credam in eum ? reſpondens ille dixit ei ; Et vidiſti eum, & qui loquitur tecum, ipſe eſt. Tum alter ait : Credo Domine, & adoravit eum. Hæc à me dicta ſunt, ut diſcatis omnes bonum magiſtrum ſequi, bonumque paſtorem imitari, ac pro veritate certare : veſtrum enim certamen magno paſtore ſubſidium ferente committitur. Admirati eſtis cæcum, qui beneficio affectus patronus factus eſt veritatis ; latronem qui ante beneficium acceptum Chriſto patrocinatus eſt, admiramini. Semper enim anima divina, quæ veritatem æmulatur, multa merito ſuo reſerat ora, quæ veritati ſuffragentur. Pendebat in cruce Chriſtus & duo latrones, unus à dextris, & unus à ſiniſtris, & Judæi deblaterant, principes ſacerdotum blaſphemant : *Ecce regem Judæorum* : & rurſus, *Si rex Iſrael eſt, deſcendat nunc de cruce, ut videamus, & credamus ei* : & rurſus : *Alios ſalvos fecit, ſeipſum non poteſt ſalvum facere*. (Matth. 27. 37. 42.) Similiter & qui cum eo crucifixus erat, latro & ipſe deblaterabat, dicens, Si filius Dei es, ſalvum fac temetipſum, & nos. Alter verò latronum, nihil dicebat, & alios obnoxios, ſuo ſilentio caſtigabat. Poſtquam igitur principes ſacerdotum & ſcribæ, qui legem noverant, imò verò, qui ignorabant, qui Prophetarum lectione commoniti Chriſtum debuerant confiteri, confeſſi non erant, inexpectatum os aperuit Deus in cruce, quod veritati patrocinetur. Ac vide quid faciat : ubi primùm Chriſti vocem audivit, ei patrocinatus, ac deindè coronatur. Crucifixi enim ſunt, inquit, cum eo duo latrones, unus à dextris, & unus à ſiniſtris, eratque medius Salvator tanquam ſtatera veritatis unum elevans confitentem, & alterum blaſphemantem condemnans. Ac vide rem mirabilem : dum ſcribæ ac principes ſacerdotum Chriſtum blaſphemarent, & dicerent, Si rex Iſrael eſt, deſcendat nunc de cruce, ut videamus, & credamus ei : & alio latrone dicente, Si filius Dei es, ſalvum fac teipſum, & nos : nihil ait unus ex latronibus probus : quippe duo latrones populi Judæorum & noſtri figuræ fuerunt : nam hic quidem blaſphemat, & damnatur : ille verò credit, & pœnitentiam agit, & ſalvatur. Ait igitur improborum ex Judaico latrocinio germanus : fuerunt enim populus latronum improbi Judæi, ut teſtatur Salvator dicens, *Domus mea, domus orationis vocabitur : vos autem fecistis illam ſpeluncam latronum*. (Mat. 21. 13.) Ac prioris quidem propoſitum animi Judaicum fuit, poſterioris verò Chriſtianum, cùm à malis exorſus pœnitentia ſalutem extorqueat. Ait igitur improbus latro, cui propoſitum animi fuit Judaicum : *Si filius Dei es, ſalvum fac temetipſum & nos, de cruce deſcendens*. (Luc. 23. 38.) Alter autem probus invenitur, in judicio reus, in cruce judex, ſed & timorem Dei docet. Prima enim vox latronis ad ſocium latronem hæc fuit : Neque tu times Deum quòd in eadem damnatione es ? Et nos quidem juſtè: nam digna factis recipimus : hic verò nihil mali geſſit. Quid ais ? qui foris furabaris, hîc condemnas ? qui foris occidebas, hic timorem doces ? Neque times Deum ? cognoſce Chriſti crucem, ut vox iſta te doceat pietatem. Vide namque rem miram, latro ſocio latroni dicit ; Neque tu times Deum ? Deum ipſum prædicat, qui cum illis ultro crucifixus eſt, ac toleranter pro humano genere patitur. De ipſo enim Salvatore dicere illum, Neque tu times Deum, ex iis quæ ſequuntur, intellige : Neque tu times Deum, quòd in eadem damnatione es ? Et nos quidem juſtè,

nam digna factis recipimus: hic verò nihil mali geſſit. Hęc ideo dico, A ut pro pietate laborare diſcatis, & cùm domi, tum publicè æmulationem præ vobis ferre, ac pro Chriſto decertare, ut & ab ipſo juſtitiæ coronam accipiatis, ſicut & iſte probus latro. Audi enim quibus verbis ſocium latronem blaſphemantem affatur: Neque tu times Deum, qui in eadem damnatione es? Et nos quidem juſtè: nam digna factis recipimus; hic verò nihil mali geſſit. Et dicebat ad Jeſum, Domine memento mei, cùm veneris in regnum tuum. Vidiſti verum patrocinium? Vidiſti ut verum Chriſtum ſit B ipſum confeſſus, Memento mei Domine, cùm veneris in regnum tuum. Mala propria confitetur, & Domino patrocinatur. Adeo tortus es latro coram Præſide, ut latrocinia tua, cædes & furta à te commiſſa fatereris, nec tamen faſſus es: & nunc extra tormenta dicis, Digna factis recipimus? Mille tormentis admotis vix apud Præſidem faſſus es, & hic nemine te cogente ita facilè confiteris? Sic eſt, inquit, verùm illic confeſſionem excipit mors: hic confeſſionem pœnitentia ſequitur, & vita. Nos enim digna factis recipimus: hic C verò nihil mali geſſit. Si nos, inquit, juſte hic injuſtè. Nos enim vivos occidimus, hic mortuos ſuſcitavit: nos aliena prædati ſumus, hic divitias ſuas orbi terrarum largitus eſt, pugnat latro cum ſocio latrone, & ait: Ad hoc uſque tempus, quo cruci affixi ſumus, inter nos convenimus, & iter una fecimus: veruntamen, ab ipſa cruce finditur mihi via: ſi mecum iter facere velis ad vitam, veni: ſin minùs, vade vias tuas. Hactenus cùm te comitarer, prima via tecum ibam: jam verò crux ſecundam hanc viam in duas diviſit, pœnitentia divi- D ditur latronum via: tumque pſalmus & finis Pſalmi adimplebatur, Novit Dominus viam juſtorum, & iter impiorum peribit. Poſtquam igitur veritati patrocinatus eſt latro, ad Dominum gloriæ ſe vertit & ais, *Memento mei Domine, cùm veneris in regnum tuum.* Erubeſcant deinceps Arriani, & audiant quid latro dicat, Domine memento mei, cum veneris in regnum tuum. Videt cruci affixum latro, & dominum confitetur. hæreticus ejuſdem throni participem cum patre confitetur, & ut creaturam blaſphemat. Do- E mine memento mei cum veneris in regnum tuum. Vellem & ipſe verbis quibuſdam latronem compellare: ut meminerit tui Chriſtus, quid tandem feciſti, quo id commerueris? an quia occidiſti, quia deprædatus es? ſic enim ais, Memento mei, cùm veneris in regnum tuum. Sed nemo exiſtimet ſecundùm gratiam tantùm ſalvatum eſſe à Chriſto latronem, imo ſecundùm debitum illi reddendum hoc fuit, quod tandem debitum? dicet aliquis: an quòd res juſtas egerit? eleemoſynas dederit? res ſuas diſtribuerit? jejunarit? vigilarit? rē fece- A ris, quã nemo alius? an verò quòd Deo crediderit? & Prophetæ Deo crediderunt, & Patriarchæ crediderunt: hymnorum ſcriptores crediderunt, Apoſtoli prædicatores, martyres: verùm omnes iſti cùm Deum in gloria conſpexiſſent: hic autem in ignominia. Tu verò mille mihi famulos domino ſervientes ſiſte, quo tempore proſpera fortuna & honoribus fruitur: & unum ſervum, qui in tempore tentationis, afflictionis, & exilii à domino ſuo non recedat: illos autem mille ſervos, qui tentationis in tempore & exilii dominum deſerue- B rint, ac receſſerint; numquid hi proſpera favente fortuna ſervi, qui tentationis tempore dominum reliquerunt, pares eſſe poſſunt ei, qui rebus in adverſis dominum eſt ſequutus? nequaquam. Credidit Petrus, ſed cùm mortuos eum ſuſcitantem vidiſſet, cùm gloriam ejus contemplatus eſſet, credidit Paulus: ſed cùm cœlitus miſſam lucem vidiſſet, eumque lumina corporis excæcantem. Credidit Abraham, ſed cùm divinam viſionem aſpexiſſet. Eſaias credidit;
Eſa.6,1. ſed cùm eum in ſolio ſedentem excelſo vidiſſet, & *Cherubim in cir-* C *cuitu ejus*: Omnes viderunt, ſed in gloria: hic autem in ignominia, quamobrem etiam clamabat, *Domine memento mei, cum veneris in regnum tuum.* Sed ſpectato rerum mearum ſtatu mihi dicturi eſtis: Quamobrem hoc ais? Equidem peccator ſum, & homicida: latro ad hanc horam uſque: multa ſunt ſcelera mea, fateor; ſed in mente mea fidem abſconditam habeo, quam nemo novit, niſi Dominus ſolus, qui mecum patitur. Habet exteriùs apparentes notas paſſionis Dominus: at ego eam quę apparet ignominiam non attendo ſed abs- D conditam majeſtatem glorifico. Sic & tu dicito: Domine noli, quæ apparent ſcelera mea, ſed abſconditam fidem ſpectare; & memento mei, cùm veneris in regnum tuum. Cùm nulli prorſus quicquam loquutus eſſet Chriſtus, ſed tacuiſſet, & neque Pilato, neque ulli alteri Judæorum ſcelerato capiti reſpondiſſet, tum reſpondet; & quoniam grave admodum & incommodum erat ſilentium, jam reſpondet, atque latroni: Amen, amen, dico tibi; Hodie mecum eris in paradiſo. O eximium largitoris beneficium! E quandoquidem tardum beneficium poſtulaſti, ego præproperum

A ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Ταῦτα λέγω, ἵνα μάθητε ὑπὲρ εὐσεβείας κάμνειν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ τὸν ζῆλον ἐνδείκνυσθαι, καὶ ὑπὲρ Χριστοῦ ἀγωνίζεσθαι, ἵνα καὶ παρ' αὐτοῦ τὸν τῆς δικαιοσύνης λάβητε στέφανον, ὡς ὁ εὐγνώμων οὗτος λῃστής. ἄκουε γὰρ αὐτοῦ πρὸς τὸν βλάσφημον συλλῃστήν· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. καὶ B ἔλεγε τῷ Ἰησοῦ, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. εἶδες συνηγορίαν ἀληθῆ; εἶδες πῶς αὐτὸν τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὡμολόγησε; μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ὁμολογεῖ τὰ ἴδια κακά, καὶ συνηγορεῖ τῷ Δεσπότῃ· τοσαῦτα ἐβασανίσθης λῃστὰ ἐπὶ τοῦ ἡγεμόνος, ἵνα ὁμολογήσῃς τὰς λῃστείας, καὶ τοὺς φόνους, καὶ τὰς κλοπάς, ἃς ἐποίησας· οὐκ ὡμολόγησας· καὶ ὧδε λέγεις, ἐκτὸς βασάνων, ἄξια ὧν ἐπράξαμεν, C ἀπολαμβάνομεν· διὰ μυρίων βασάνων μόλις ὡμολόγησας ἐπὶ τοῦ ἡγεμόνος· καὶ ὧδε μηδένα ἔχων τὸν ἀναγκάζοντα, εὐκόλως οὕτως ὁμολογεῖς; ναί φησιν· ἀλλ' ἐκεῖ τῇ ὁμολογίᾳ ἀκολουθεῖ θάνατος· ὧδε τῇ ὁμολογίᾳ ἕπεται μετάνοια καὶ ζωή. ἄξια γὰρ ἡμεῖς ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν· εἰ ἡμεῖς, φησι, δικαίως· οὗτος ἀδίκως. ἡμεῖς γὰρ τοὺς ζῶντας ἐφονεύσαμεν, οὗτος τοὺς νεκροὺς ἤγειρεν· ἡμεῖς τὰ ἀλλότρια ἐσυλήσαμεν· οὗτος D τὸν ἴδιον πλοῦτον τῇ οἰκουμένῃ δέδωκε. μάχεται ὁ λῃστὴς τῷ συλλῃστῇ. καί φησι· μέχρι τούτου καιροῦ τοῦ κατὰ τὸν σταυρὸν ἀλλήλοις συνήλθομεν καὶ συνωδεύομεν· ἀλλὰ νῦν ἀπὸ τοῦ σταυροῦ σχίζεταί μοι ἡ ὁδός· ἐὰν θέλῃς συνοδεῦσαί μοι πρὸς τὴν ζωήν, ἐλθέ· εἰ δὲ μή, τὴν οἰκείαν πορεύου· ἕως ὅτε σὺν σοὶ συνώδευον, τὴν πρώτην μετὰ σοῦ ἤμην· ἀλλὰ νῦν ὁ σταυρὸς ἔσχισεν αὐτὴν τὴν ὁδὸν τὴν δευτέραν εἰς δύο· μετανοίᾳ σχίζεται ἡ ὁδὸς τῶν λῃστῶν· καὶ ἦν ὁ ψαλμὸς καὶ τὸ τέλος τοῦ ψαλμοῦ τότε πληρούμενον· γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς E ἀσεβῶν ἀπολεῖται. ὅτε οὖν συνηγόρησεν ὁ λῃστὴς τῇ ἀληθείᾳ, στρέφεται πρὸς τὸν βασιλέα τῆς δόξης, καί φησι, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. αἰσχυνέσθωσαν λοιπὸν οἱ Ἀρειανοί, καὶ ἀκουέτωσαν τί ὁ λῃστὴς λέγει· Κύριε μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. λῃστὴς βλέπει ἐσταυρωμένον, καὶ Κύριον ὁμολογεῖ· ὁ αἱρετικὸς ὁμολογεῖ σύνθρονον τοῦ πατρός, καὶ ὡς κτί- A σμα βλασφημεῖ. μνήσθητί μου Κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ἤθελον ἂν εἰπεῖν πρὸς τὸν λῃστήν· μνησθείη σου ὁ Χριστός· τί ἄξιον ποιήσαντος; ὅτι ἐφόνευσας; ἐσύλησας; λέγεις γάρ, μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ἀλλὰ μηδεὶς νομιζέτω, ὅτι κατὰ χάριν μόνον ἔσωσε τὸν λῃστὴν ὁ Χριστός, ἀλλὰ κατὰ ὀφειλὴν ἐχρεώστει τοῦτο αὐτῷ. ποῖον χρέος, φησίν; ὅτι ἐδικαιοπράγησεν; ἐλεημοσύνας ἔδωκεν; τὰ ἴδια ἐμέρισεν; ἐνήστευσεν; ἠγρύπνησεν; ἐποίησε πρᾶγμα, ὃ μηδεὶς ἄλλος; ἀλλ' ὅτι ἐπίστευσε τῷ Θεῷ; καὶ B προφῆται ἐπίστευσαν τῷ Θεῷ, καὶ πατριάρχαι ἐπίστευσαν, ὑμνογράφοι ἐπίστευσαν, ἀπόστολοι κήρυκες, μάρτυρες· ἀλλ' οὗτοι πάντες ἐν δόξῃ θεασάμενοι τὸν Θεόν· οὗτος δὲ ἐν ὕβρει. ἀλλὰ στῆσόν μοι μυρίους οἰκέτας δουλεύοντας δεσπότῃ· ὅτε ὁ δεσπότης ἐστὶν ἐν εὐπραγίᾳ καὶ τιμῇ· καὶ ἕνα δοῦλον ἐν καιρῷ πειρασμοῦ, καὶ θλίψεως, καὶ φυγῆς, οὐκ ἀναχωροῦντα τοῦ ἰδίου δεσπότου· ἐκείνους δὲ τοὺς μυρίους δούλους ἐν τῷ τοῦ πειρασμοῦ καιρῷ καὶ τῆς φυγῆς, καταλιπόντας τὸν δεσπότην C καὶ ὑποχωρήσαντας· ἆρά γε οὗτοι οἱ δοῦλοι οἱ ἐν εὐπραγίᾳ τὸν δεσπότην ἐν τῷ καιρῷ τοῦ πειρασμοῦ καταλιπόντες, ὅμοιοι εἶναι δύνανται τῷ ἐν δυσπραγίᾳ τῷ δεσπότῃ ἀκολουθήσαντι; οὐδαμῶς· ἐπίστευσε Πέτρος, ἀλλ' ἰδὼν νεκροὺς ἐγείραντα, τὴν δόξαν αὐτοῦ θεασάμενος· ἐπίστευσε Παῦλος, ἀλλ' ἰδὼν φῶς οὐρανόθεν, καὶ τὰς μὲν σωματικὰς ὄψεις πηρώσαντα· τὰ δὲ ψυχικὰ ὄμματα φωτίσαντα· ἐπίστευσεν Ἀβραάμ, ἀλλὰ θεασάμενος ὄψιν θεϊκήν· Ἡσαΐας D ἐπίστευσεν· ἀλλ' ἰδὼν αὐτὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ τὰ Χερουβὶμ κύκλῳ αὐτοῦ. ὅλοι εἶδον, ἀλλ' οἱ μὲν ἐν δόξῃ· οὗτος δὲ ἐν ὕβρει· διὸ καὶ ἔκραζε, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ἀπὸ τοῦ καιροῦ ὑμεῖς ὀφείλετέ μοι εἰπεῖν· διὰ τί λέγεις; ὅτι ἁμαρτωλός εἰμι, καὶ φονεύς· λῃστὴς μέχρι τῆς ὥρας ταύτης· πολλά μου τὰ κακὰ ὁμολογῶ, ἀλλ' ἔχω ἐν τῇ διανοίᾳ μου πίστιν κεκρυμμένην, ἣν οὐδεὶς οἶδεν, εἰ μὴ ὁ δεσπότης μόνος ὁ σὺν ἐμοὶ E πάσχων· ἔξωθεν ἔχει ὁ Δεσπότης τὰ τοῦ πάθους φαινόμενα σύμβολα· καὶ ἐγώ, φησι, οὐ προσέχω τῇ φαινομένῃ ὕβρει, ἀλλὰ τὴν κεκρυμμένην βασιλείαν δοξάζω· οὕτως καὶ σὺ λέγε· Κύριε μὴ ἴδῃς μου τὰς ἀδικίας τὰς φαινομένας, ἀλλὰ τὴν πίστιν τὴν κρυπτομένην, καὶ μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. διὰ τὸ μηδὲν μηδενὶ λαλήσας Χριστός, ἀλλὰ σιωπήσας, καὶ μήτε τῷ Πιλάτῳ ἀποκριθείς, μήτε τινὶ ἄλλῃ ἀγνώμονι ψυχῇ τῶν Ἰουδαίων, ἀποκρίνεται τότε· καὶ ἐπειδὴ πολὺ βαρὺ ἦν, καὶ ἄτοπον τὸ σιωπᾶν, ἀποκρίνεται λοιπόν, καὶ λέγει τῷ λῃστῇ· ἀμήν, ἀμήν, λέγω σοι· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὢ τοῦ εὐεργέτου χάρις· ἐπειδὴ βραδεῖαν ᾔτησας τὴν χάριν, καὶ λέγεις, μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· σὺ βραδεῖαν ᾔτησας, ἐγὼ ταχεῖαν

δίδωμι

δίδωμι τὴν χάριν· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἶδες Θεοῦ σωτηρίαν; εἶδες δεσπότου εὐεργεσίαν; εἶδες τὸν μέγαν τῆς ἀληθείας δικαστήν; Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. περὶ τούτου οὐδεὶς ἤκουσεν, τῶν Ἰουδαίων ἢ τῶν πατριαρχῶν, παραδείσου· ἀφ' οὗ ὁ Ἀδὰμ παρέβη, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ· καίτοι μυρία ὁ Θεὸς ἐπηγγείλατο τοῖς ἀνθρώποις τοῖς πιστοῖς· καὶ οὐδενὶ ἐπηγγείλατο παράδεισον ἢ τῷ λῃστῇ· οὐδαμοῦ φαίνεται τὸ στόμα τοῦ Θεοῦ ἐπαγγελλόμενον παράδεισον ἀνθρώπῳ μετὰ τὸ ἐκβληθῆναι τὸν Ἀδάμ, ἢ τούτῳ πρῶτον τῷ λῃστῇ. διὰ τί μηδενὶ τῶν πατριαρχῶν πρῶτον εἶπε περὶ παραδείσου, οὐδενὶ τῶν προφητῶν, οὐδενὶ τῶν ἀποστόλων; ἀλλὰ τοῖς ἀρχαίοις ἐπηγγείλατο· δώσω σοι γῆν ῥέουσαν γάλα καὶ μέλι· τοῖς ἀποστόλοις λέγει, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· παράδεισος οὐδαμοῦ· ἐν μέσῳ τηρεῖ πρῶτον τὸν παράδεισον εἰς ἐπαγγελίαν πρῶτον τῷ λῃστῇ. ὅταν γὰρ εἴπῃ Παῦλος· ἡρπάγην εἰς τὸν παράδεισον· ἀλλὰ μετὰ τὸν λῃστὴν τοῦτο ἐγένετο. διὰ τί οὖν πρῶτος εἰσῆλθεν ὁ μίαν ὁμοῦ φθεγξάμενος φωνήν; τί γάρ; πολλάκις ἔψαλλεν; πολλάκις ἠγωνίσατο; πολλάκις ἐθεολόγησεν; ἅπαξ, φησί· δίκαιος ὁ Θεός μου, ὁ βραβευτὴς τῆς σωτηρίας· ἐπειδὴ τὸν πρῶτον ἄνθρωπον Ἀδὰμ οὐ διὰ πολλὰς ἁμαρτίας ἐξέβαλε τοῦ παραδείσου, ἀλλὰ διὰ μίαν παρακοήν· οὕτως ὁ τῆς δικαιοσύνης ζυγὸς πρῶτον εἰσελθεῖν ἐν παραδείσῳ τὸν λῃστὴν ἐπηγγείλατο, τὸν μὴ πολλά τινα ὁμολογήσαντα, ἀλλὰ μίαν ὁμολογίαν πίστεως προσενέγκαντα. εἶπον τὸ ἁμάρτημα τοῦ Ἀδάμ, ὅτι ἥψατο τοῦ ξύλου παρὰ τὴν ἐντολήν. τίς ἡ δικαιολογία τοῦ λῃστοῦ; ὅτι ἥψατο τοῦ σταυροῦ μετὰ πίστεως· εἰσῆλθεν εἰς τὸν παράδεισον. τί λοιπὸν γίνεται; ἐπηγγείλατο μὲν τὴν σωτηρίαν ὁ Σωτήρ· καιρὸς δὲ οὐκ ἦν, οὐδὲ ἐνεδίδοτο τῷ λῃστῇ πιστεῦσαι, καὶ φωτισθῆναι· ὁ Σωτὴρ γὰρ ἀπεφήνατο· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· οὐχ ηὕρισκεν εὐκαιρίαν ἢ παῤῥησίαν ὁ λῃστής· οὐκ εἶχε καιρὸν βαπτισθῆναι. ἐν τῷ σταυρῷ γὰρ ἐκρέματο· εὑρίσκει τοιγαροῦν ὁ Σωτὴρ ἐν ἀπόροις πόρον· ἐπειδὴ γὰρ ἐπίστευσε τῷ Σωτῆρι ὁ πεπαλαιωμένος τῆς ἁμαρτίας, καὶ ἔδει αὐτὸν καθαρισθῆναι, οἰκονομεῖ ὁ Χριστὸς μετὰ τὸ πάθος τὸν στρατιώτην νύξαι τῇ λόγχῃ τὴν πλευρὰν τοῦ Κυρίου, καὶ ἐκπηδᾷ αἷμα καὶ ὕδωρ· ἐκ γὰρ τῆς πλευρᾶς αὐτοῦ φησιν ὁ εὐαγγελιστής, ἐξῆλθεν αἷμα καὶ ὕδωρ ἐν ἀληθείᾳ τοῦ πιστεύοντος, εἰς τύπον τῶν μυστηρίων· καὶ οὐκ ἐξῆλθε δὲ τὸ αἷμα καὶ τὸ ὕδωρ οὕτως ἁπλῶς ῥέον· ἀλλὰ ῥοιζῶν· ἵνα ῥαντίσῃ τὸ σῶμα τοῦ λῃστοῦ· τὸ γὰρ μετὰ ῥοίζου πεμπόμενον ῥαντίζει· τὸ δὲ ῥέον ἠρέμα ῥεῖ, καθὼς ἔρχεται· ἀλλὰ μετὰ ῥοίζου ἐξῆλθε τὸ αἷμα καὶ τὸ ὕδωρ ἐκ τῆς πλευρᾶς ἵνα ῥαντίσας τὸν λῃστὴν βαπτίσῃ, ὡς καὶ ὁ ἀπόστολος λέγει· προσεληλύθαμεν Σιὼν ὄρει καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. διὰ τί, παρὰ τὸν Ἄβελ κρεῖττον λαλεῖ τὸ αἷμα τοῦ Χριστοῦ; ἐπειδὴ τὸ αἷμα τοῦ Ἄβελ ἐν τῇ κορυφῇ τοῦ φονέως· τὸ δὲ αἷμα τοῦ Χριστοῦ καθαρίζει καὶ τοὺς φονευτὰς μετανοοῦντας· μάθε οὖν τὸν ζῆλον τῆς ἀληθείας, καὶ ἀγάπησον τὴν ὑπὲρ Χριστοῦ παῤῥησίαν· ἀκολούθησον ἀληθεῖ διδασκάλῳ ὑπὲρ ἀληθείας ἀγωνιζομένῳ, ἵνα οὕτως ἀκούσας παρὰ τοῦ ἀποστόλου Παύλου, μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ, καταξιωθῇς καὶ αὐτὸς τοῦ στεφάνου τῆς δικαιοσύνης, καὶ ὧν ἡτοίμασεν αἰωνίων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν Χριστὸς ὁ Θεὸς ἡμῶν· ὧν γένοιτο καὶ ἡμᾶς πάντας ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A τοὺς οὐρανοὺς, ἐπελαβόμεθα τοῦ θρόνου τοῦ βασιλικοῦ, καὶ ἡ φύσις δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ Χερουβὶμ, ἐποχεῖται προσκυνουμένη. ἐκπλάγηθι τοίνυν ἀγαπητὲ, τοῦ δεσπότου σου τὸ εὐμήχανον, καὶ δόξασον τὸν τοσαῦτά σοι χαρισάμενον. ὑπερέβη γὰρ ἡ φιλοτιμία τῆς δωρεᾶς, τῆς ζημίας τὸ μέγεθος. ὅρα γὰρ, παραδείσου ἡμεῖς ἐκπεσόντες, καὶ εἰς αὐτὸν τὸν οὐρανὸν ἀνήχθημεν· θανάτῳ κατεδικάσθημεν, καὶ ἡ ἀθανασία ἡμῖν δεδώρηται· προσκεκρουκότες ἦμεν καὶ B ἀπερριμμένοι, καὶ υἱοὺς ἡμᾶς καλέσαι κατηξίωσεν, καὶ οὐχ υἱοὺς μόνον, ἀλλὰ καὶ συγκληρονόμους Χριστοῦ. εἶδες πῶς μείζονα τῶν ἀφαιρεθέντων τὰ παρὰ τοῦ Κυρίου δεδωρημένα ἡμῖν. ἀλλ' ὅταν ἀκούσῃς, ὅτι ἀνῆλθε, καὶ ἀνελήφθη, μὴ κατάβασιν τοπικὴν ἐπὶ Θεοῦ ὑπολάβοις· ἡ γὰρ θεότης ἅπαντα πληροῖ, καὶ πανταχοῦ πάρεστιν, καὶ οὐδαμοῦ ἀπολιμπάνεται, ὡς πάντων ἔφορος, καὶ πάντων δημιουργός. τὸ δὲ ὁμογενὲς ἡμῶν σῶμα, ὃ ἀναλαβὼν, ὀφθῆναι κατηξίωσεν ἐπὶ τῆς C γῆς, ὅμοιον ἡμῖν κατὰ πάντα, αὐτό ἐστι, τὸ ἡμέτερον ἀναλαμβανόμενον. καὶ διὰ τοῦτο κοινῇ πάντες σήμερον ἀναβοήσωμεν τὸ προφητικὸν ἐκεῖνο λόγιον· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος, καὶ τὴν περιφανῆ ταύτην καὶ λαμπρὰν ἑορτάζωμεν πανήγυριν, ἐπειδὴ καὶ κοινῇ πάντες τῆς ὑπ' αὐτοῦ δωρεᾶς ἀπολαύσαμεν. καθάπερ δὲ δεσπότης φιλάνθρωπος ἀγαπήσας τὸν ἴδιον οἰκέτην, διὰ τὸ περὶ αὐτὸν φίλτρον οὐ παραιτεῖται τὸ ἱμάτιον αὐτοῦ περιβάλ- D λεσθαι· οὕτω καὶ ὁ δεσπότης ἡμῶν Χριστὸς ἀγαπήσας τὴν φύσιν τὴν ἡμετέραν, καὶ θεασάμενος εἰς βυθὸν κακίας κατενεχθεῖσαν, καὶ ἐρημίαν ἐλπίδα σωτηρίας ἔχουσαν, καὶ πολλῆς δεομένην τῆς συγκαταβάσεως, κατηξίωσε τὸ σῶμα τὸ ἡμέτερον ἀναλαβεῖν· καὶ διὰ τοῦτο φανεὶς τῷ κόσμῳ, πάντας ἀνθρώπους ἀπὸ τῆς πλάνης ἠλευθέρωσε, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανήγαγε· καὶ βοᾷ ἐν εὐαγγελίῳ, λέγων, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς, εἰς μετά- E νοιαν. ὃ τοίνυν ἐβούλετο, κατώρθωσε, καὶ τὴν ἀνθρωπίνην φύσιν κάτω που κειμένην ἀνέστησε, καὶ τοσαύτην φιλανθρωπίαν ἐπεδείξατο, ὡς μὴ χωρεῖν ἀνθρώπινον λογισμὸν τὸν λόγον τῶν γινομένων. πῶς γὰρ, εἰπέ μοι, ἡμεῖς οἱ προσκεκρουκότες, οἱ τῆς γῆς ἀνάξιοι φανέντες, καὶ τῆς ἀρχῆς κάτωθεν ἐκπεσόντες, πρὸς τοσοῦτον ὕψος ἀθρόον ἀνήχθημεν; πῶς ὁ πόλεμος κατελύθη, πῶς ἡ ὀργὴ ἀνῃρέθη; τὸ γὰρ θαυμαστὸν καὶ πολλῆς ἐκπλήξεως γέμον τοῦτό ἐστιν, ὅτι οὐχ ἡμῶν προσδεομένων, ἀλλ' αὐτοῦ τοῦ δικαίως πρὸς ἡμᾶς ἀγανακτοῦντος, A παρακαλέσαντος ὑπὲρ ἡμῶν· καὶ οὕτως ἡ εἰρήνη γέγονεν. καὶ βοᾷ Παῦλος λέγων, ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. εἶδες εὐμήχανον σοφίαν, εἶδες ἄφατον φιλανθρωπίας δεσπότου, εἶδες κηδεμονίαν ὑπερβάλλουσαν; νῦν τὸ κέντρον τοῦ θανάτου διελύθη· νῦν τοῦ ᾅδου τὸ νῖκος διεῤῥάγη· νῦν τοῦ θανάτου ἡ δυναστεία κατήργηται· νῦν ἡ ἔχθρα καταλέλυται. νῦν ὁ χρόνιος ἐσβέσθη πόλεμος· ἄνθρωποι τοῖς ἀγγέλοις ὡμοιώθη- B σαν, ἄνθρωποι τοῖς ἀγγέλοις ἀνεμίγησαν, καὶ πολὺς παρ' ἑκατέρας τῆς ὁμωνυμίας ὁ σύνδεσμος πεπολίτευται. ἀνῆλθε γὰρ ὁ κοινὸς δεσπότης καταλλάξας τῷ ἑαυτοῦ πατρὶ τὸ τῶν ἀνθρώπων γένος. καὶ ὅτι διὰ τοῦτο ἀνῆλθεν, ἄκουσον αὐτοῦ λέγοντος, συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ μὴ ἐγὼ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· καὶ σημεῖον τῆς καταλλαγῆς ἐπαγγέλλεται C δώσειν ἡμῖν τὴν τοῦ παρακλήτου παρουσίαν· ὅρα γὰρ καὶ τὸ ἐπαγόμενον πῶς ἀκριβῶς προσέθηκεν· καὶ αὐτὸς, φησὶν, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. δηλονότι πλανωμένους, καὶ ὧδε κἀκεῖσε περιαγομένους, καὶ τὸ πνεῦμα τὸ ἅγιον καταπεμφθὲν ἅπαντας ἡμᾶς πρὸς τὴν ἀλήθειαν ὁδηγήσει. ἐπειδὴ γὰρ αὐτὸς ὠργίζετο, ἡμεῖς δὲ καὶ οὕτως ἀπεστρεφόμεθα τὸν φιλάνθρωπον δεσπότην, μέσον ἑαυτὸν ἐμβαλὼν ὁ δεσπότης ἡμῶν Χριστὸς, τὴν καταλλαγὴν εἰργάσατο. ἔλυ- D σε γὰρ ἀληθῶς τὸ μεσότοιχον τοῦ φραγμοῦ· διὸ χρηστὰς ἔχομεν λοιπὸν τὰς ἐλπίδας πρὸς τὴν τῆς ἡμετέρας ἀπαρχῆς ἀφορῶντες κύριον· ὅπερ ἂν γὰρ λοιπὸν εἴπῃς, οὐκ ἔτι δέδοικα, κἂν σκώληκα εἴπῃς, κἂν κόνιν, κἂν πῦρ, κἂν κόλασιν, κἂν βρυγμὸν ὀδόντων, κἂν τέφραν, κἂν ὅτιοῦν μοι εἴπῃς, πάντα μοι εὐκαταφρόνητα ἐπὶ ἀπαρχὴν τὴν ἐμὴν ὁρῶντι ἄνω καθημένην, καὶ μονονουχὶ πᾶσιν ἀνθρώποις διαλεγομένην καὶ βοῶσαν, ἀπόστητε τῆς ῥᾳθυμίας λοιπὸν, καὶ ἐπιγνῶτε E τὴν ἑαυτῶν εὐγένειαν, ἐννοήσαντες τὸ μέτρον τῶν δωρεῶν, ὧν μετ' οὐ πολὺ τὴν μετουσίαν ὑποδέχεσθαι μέλλετε. συναυλιζόμενος γὰρ αὐτοῖς παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός. ὅρα καὶ ἐν τούτῳ κηδεμονίαν δεσπότου. ἰδὼν γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, καὶ ὅτι πολλῆς δεῖται συμμαχίας, ἐχαρίσατο τὴν τοῦ ἁγίου πνεύματος βοήθειαν, ἵνα ἀκαταγώνιστος γένηται ὁ ἄνθρωπος πρὸς τὰς τοῦ διαβόλου μηχανάς. καὶ ταὐτὸν γέγονεν, ὥσπερ ἂν εἴ τις στρατηγὸς ἄριστος ἰδὼν τοὺς ὑπ' αὐτὸν ταττομένους στρατιώτας, οὐ φέροντας τὰς τῶν ἐναντίων ἀπειλὰς, ἀλλὰ καταπεπληγμένους ὑπὸ τῆς ἀγωνίας ἅπαντας αὐτοὺς ἐπιῤῥώσειεν, περιφράξας πανταχόθεν θώρακι, καὶ ἀσπίδι καὶ περικεφαλαίᾳ, καὶ τῇ λοιπῇ

παντο-

παντευχίας· οὕτω δὴ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεασάμενος πολλὴν οὖσαν τὴν τῶν ἐναντίων δυνάμεων δυναστείαν, καὶ διὰ τοῦτο πολλῆς δεομένην βοηθείας τὴν ἀνθρωπίνην φύσιν, ἐδωρήσατο τοῦ ἁγίου πνεύματος τὴν χάριν, ἵνα ὁ πρότερον δεδιὼς τῶν δαιμόνων τὰς φάλαγγας, νῦν ταύταις φοβερὸς ὀφθῇ, καὶ καταπλήττῃ, καὶ μόνον ὀφθεὶς ἀπελάσῃ τὸν δόλιον ὄφιν. τοιαύτη γὰρ ἡ τοῦ ἁγίου πνεύματος χάρις· ὅπου γὰρ ἂν φανείη, δραπετεύειν ποιεῖ τῶν δαιμόνων τὰς φάλαγγας, καὶ πάσας τὰς ἀντικειμένας δυνάμεις. „Λήψεσθε γάρ, „φησι, δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς, καὶ ἔ„σεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. τίς δὲ ἦν αὕτη ἡ δύναμις; ὅπερ καὶ πρώην πρὸς αὐτοὺς ἔλεγεν· ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, καὶ ὅσα τοιαῦτα. οὐδὲν γὰρ ἔσται νόσημα, φησιν, οὕτως ἰσχυρὸν, ὃ μὴ εἴξῃ τῇ τοῦ ἁγίου πνεύματος δυνάμει. τοσούτων ἡμῖν ἀγαθῶν αἰτία γέγονεν ἡ σήμερον ἡμέρα. σήμερον γὰρ ἀπέλαβον ἄγγελοι, ἃ πάλαι ἐπεθύμουν, τὴν φύσιν τὴν ἡμετέραν ὁρῶντες ἀπὸ τοῦ θρόνου ἀστράπτουσαν τοῦ βασιλικοῦ. καὶ ἵνα μάθῃς τὸ διάφορον δούλου καὶ δεσπότου, ὅτε μὲν Ἠλίας ἀνελαμβάνετο, ἐν ἅρματι πυρίνῳ ἦν ὑπτάμενος· ὅτε δὲ ὁ δεσπότης ὁ ἡμέτερος μετὰ σαρκὸς, νεφέλη πρὸς τὴν ἄνοδον ὑπηρέτει. βλεπόντων γὰρ αὐτῶν, φησιν, ἐπήρθη, καὶ ἡ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. καὶ ἐκεῖνος μὲν ὡς εἰς τὸν οὐρανὸν ἀνῄρετο· δοῦλος γὰρ ἦν· ὁ δὲ εἰς αὐτὸν τὸν οὐρανὸν, δεσπότης γὰρ ἦν. ἰδοὺ δύο ἄνδρες ἐν ἐσθῆτι λευκῇ, καί φασι πρὸς αὐτοὺς, οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτόν. καὶ ὅτε μὲν τὸν δοῦλον ἔδει κληθῆναι, ἅρμα κατεπέμπετο· ὅτε δὲ τὸν υἱὸν, θρόνος βασιλικὸς, καὶ οὐχ ἁπλῶς θρόνος, ἀλλ᾽ αὐτὸς ὁ πατρικός. ἄκουε γὰρ Ἠσαΐου τοῦ μεγαλοφώνου περὶ τοῦ πατρὸς λέγοντος· ἰδοὺ, Κύριος κάθηται ἐπὶ νεφέλης κούφης. διὰ τοῦτο καὶ τῷ υἱῷ τὴν νεφέλην κατέπεμψεν· καὶ ὁ μὲν Ἠλίας ἀνελθὼν ἀφῆκε μηλωτὴν ἐπὶ τὸν Ἐλισσαῖον, ὁ δὲ Ἰησοῦς ἀναβὰς ἀφῆκε χαρίσματα ἐπὶ τοὺς μαθητὰς, οὐχ ἕνα προφήτην ποιοῦντα, ἀλλὰ μυρίους Ἐλισσαίους, μᾶλλον δὲ ἐκείνου πολλῷ μείζους καὶ λαμπροτέρους. ἅπερ ἅπαντα ἐννοοῦντες, ἀγαπητοὶ, ἀμειψώμεθα καὶ ἡμεῖς τὸν ἡμέτερον δεσπότην διὰ τῆς ἀρίστης πολιτείας, ἵνα ὡς αὐτὸς ἡμᾶς ἐδόξασε, διὰ τῶν οἰκείων χαρισμάτων, οὕτω καὶ ἡμεῖς διὰ τῶν κατορθωμάτων καὶ τῆς ἀρίστης πολιτείας τὸν Θεὸν ἵλεων ἐργαζώμεθα· δοξάσωμεν τοίνυν τὸν ἡμέτερον δεσπότην, καὶ τῆς ὑπεροψίας τῶν παρόντων καταφρονήσωμεν. αὕτη γὰρ ἀρίστη μάλιστα διδασκαλία δυναμένη τοὺς ἀπίστους πρὸς τὴν ἀλήθειαν χειραγωγῆσαι. οὐδὲ γὰρ οὕτω τοῖς παρ᾽ ἡμῶν λεγομένοις προσέχουσιν, ὡς τοῖς ὑφ᾽ ἡμῶν πραττομένοις. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, μακάριος ὁ ποιήσας καὶ διδάξας, δεικνὺς, ὅτι ἡ διὰ λόγων διδασκαλίας ἡ διὰ τῶν ἔργων ἐστὶν ἀκριβεστέρα, καὶ μᾶλλον ἀναγαγεῖν δυναμένη τοὺς ἀγνώμονας. γενώμεθα τοίνυν ἀρεστοὶ Θεῷ καὶ μετ᾽ ἀκριβείας τὸν ἑαυτῶν βίον ῥυθμίσωμεν, ἵνα καὶ τοῦ πνεύματος τὴν χάριν ἐπισπασώμεθα, καὶ πρὸς τὰς τῆς ἀρετῆς κατορθώσεις πλείονα τὴν εὐκολίαν ἕξωμεν ὑπὸ τῆς τοῦ πνεύματος δυνάμεως συνεργούμενοι. ἔνθα γὰρ ἂν ἴδῃ ψυχὴν νήφουσαν ἡ χάρις, ἐκεῖ μετὰ δαψιλείας ἐφίσταται. εὐτρεπίσωμεν τοίνυν ἑαυτοὺς, παρακαλῶ, ἵνα παρὰ τῆς τοῦ πνεύματος ἐνεργείας δυναμούμενοι, καὶ τὸν παρόντα βίον ἄλυπον διανύσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιωθῆναι, ὡς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ἐξαγοράσαντος ἡμᾶς τῷ τιμίῳ τῆς ζωοδόχου πλευρᾶς αὐτοῦ αἵματι, καὶ ἐκ πλάνης καὶ ἐκ δουλείας ἡμᾶς ἀπαλλάξαντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. μεθ᾽ οὗ πρέπει τιμὴ καὶ κράτος πᾶσα δόξα καὶ μεγαλοπρέπεια τῷ πατρὶ καὶ τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

armatura: ita & Dominus noſter Jeſus Chriſtus, aſpiciens magnam adverſariarum poteſtatum vim atque potentiam, & ob id, humanam naturam magnu indigentem auxilio, donavit ei gratiam ſpiritus ſancti, ut qui priùs dæmonum phalangas timebat, nunc iiſdem formidabilis appareat, atque terribilis, & ſolo aſpectu ſfraudulentum repellat ſerpentem. Talis enim eſt gratia ſpiritus ſancti: ubi enim ſe manifeſtat, fugat agmina dæmonum, cunctáſque poteſtates adverſarias. *Accipietis enim*, inquit, *virtutem ſupervenientis ſpiritus ſancti, in vos, & eritis mihi teſtes in Hieruſalem, & in omni Judæa, & Samaria & uſque ad ultimum terræ.* (Act. 1, 8.) Quæ autem ea potentia fuerit paulò antè inſinuavit, dicens: *Infirmos curate, leproſos mundate, dæmonia ejicite*, & quæcumque ejuſmodi, nulla enim eſt, inquit, ægritudo tam gravis, ut non cedat virtuti Spiritus ſancti. (Matt. 10, 8. Marc. 3, 15.) Tantorum nobis bonorum cauſa eſt dies hodiernus. Hodie enim receperunt Angeli, quæ jamdudum cupiebant, noſtram naturam conſpicientes è regali coruſcantem throno. Et ut differentiam ſervi & domini diſcas: Elias quando aſſumptus eſt, in curru igneo ſublatus eſt: at quando Dominus noſter cum carne, nubes uſque ad aſcenſum obſecuta eſt. (4 Reg. 2. Eccli. 48.) Videntibus enim illis, inquit, elevatus eſt, & nubes ſuſcepit eum ab oculis eorum. (Act. 1.) Et ille quidem, quaſi in cœlum tollebatur, nam ſervus erat; hic autem in ipſum cœlum, quoniam Dominus erat. Ecce duo viri aſtiterunt, in veſtibus albis qui & dixerunt ad illos: Hic Jeſus, qui aſſumptus eſt à vobis in cœlum, ſic veniet quemadmodum vidiſtis eum euntem in cœlum. Et quando ſervus vocandus erat, currus demittebatur: quando verò filius, regius thronus; neque ſimpliciter thronus, verùm ipſe patris thronus. Audi enim ſonorum Eſaiam, de patre dicentem: *Ecce Dominus ſedet ſuper nubem levem.* Ob id & filio nubem demiſit. Et Elias quidem aſcendens, meloten reliquit Eliſæo: Jeſus autem aſcendens, gratiarum dona in diſcipulos demiſit, quæ non unum Prophetam, ſed infinitos Eliſæos efficiunt, atque multo quàm ille erat, majores & illuſtriores. Quæ omnia conſiderantes, dilectiſſimi, mutuis & nos Dominum noſtrum remuneremur donis, optimo vitæ genere, ut ſicut ipſe nos propriis glorificavit gratiarum donis, ita & nos per bona opera ſanctámque vitam, Deum nobis reddamus propitium, ſanctique ſpiritus gratiam abundantiorem: nobis conciliemus. Glorificemus igitur Dominum noſtrum, & faſtum omnem rerum præſentium deſpiciamus: Hæc enim velut optima ac præſtantiſſima doctrina etiam infideles ad veritatem manuducere poteſt: non enim tam quid dicamus, quàm quid agamus, attendunt. Et propterea Chriſtus dicebat: Beatus qui fecerit & docuerit, oſtendens factorum doctrinam perfectiorem eſſe, quàm verborum: magiſque illa induci poſſe perfidos atque iniquos. Deo igitur placere atque obſequi ſtudeamus, ſedulóque vitam noſtram componamus, ut & S. Spiritus gratiam nobis conciliemus: ſic enim & adverſus diaboli machinationes invicti erimus, & ad virtutem planè conſequendam erimus paratiores, Spiritus ſancti virtute adjuti. Ubi enim gratia, animam ſobrietati ac temperantiæ vacantem invenerit, ibi affluenter ſe diffundit. Quare nos paremus obſecro, ut Spiritus ſancti cooperatione adjuti & confirmati, præſentem hanc vitam abſque mœrore tranſigamus, & futuris æterni gaudii bonis perfruamur, cœleſtique regno digni efficiamur, gratia & benignitate ejus, qui redemit nos pretioſo vivifici lateris ſui ſanguine, & ab errore & ſervitute nos liberavit, Jeſu Chriſti Domini noſtri. Cum quo convenit honor & potentia, omnis quoque gloria & magnificentia, Patri, & ſancto ac vivifico ſpiritui, nunc & ſemper, & in ſecula ſeculorum, Amen.

Scholia & variæ Lectiones.

NAm ſi Propheta beatos eos prædicet, qui habent ſemen in Sion, & domos in Hieruſalem, &c.] Adluſio haud obſcurè fit ad verba Eſaiæ Prophetæ, quæ habentur apud eum in fine cap. 31. juxta lectionem LXX. hoc modo: Hæc dicit Dominus: Beatus qui habet in Sion ſemen, & domeſticos in Hieruſalem.] Quam etiam lectionem noſter ſequitur S. Ephrem Syrus paſſim, ut ſuis locis adnotavimus. Ubi tamen in vulg. lect. Eſai. 31. paulò aliter ſic legitur: Cujus ignis eſt in Sion, & caminus ejus in Hieruſalem.] Quomodo & apud Symm. Qui habet ignem in Sion, & clibanum in Hieruſalem.] Sed Aquila, & Theod. φῶς αὐτῷ ἐν Σιών. i. Lumen ei in Sion, & clibanus in Hieruſalem.] De qua etiam varietate agit S. Hieron. in Epiſt. 101. quæ eſt ad Pammachium, de optimo genere interpretandi: ac alibi.

In Aſcenſionem Domini noſtri Jeſu Chriſti Sermo III.

Doctore GERARDO VOSSIO interprete.

ILLUSTRE mihi Eccleſiæ ſe offert ſpectaculum, non vanum hominibus riſum excitans ſed lamentationem vehementem Diabolo generans. Cernit enim ſurſum eam quæ infra mortuos erat naturam reſurgentem; aſpicit eum, qui ab eo hic infra in crucis lignum traditus eſt, è cœlis reſpicientem ipſum: Videt terram Angelis repletam, intuetur aërem miro modo peragrari: Cernit cœleſtes virtutes occurrentes, & alias quidem dicentes: Pſal 23,7. *Attollite portas, principes, veſtras, & introibit Rex gloriæ.* alias Ibidem. autem & obviam venientes, atque audientes, Dominus fortis & potens, Dominus potens in prælio: at in quo prælio? in illo quod pro nobis cum communi hoſte ſuſcepit, quem nullus hominum, aut Prophetarum, ſive juſtorum debellando ſuperare potuiſſet. Omnes enim tunc ſub tyrannide erant, imperio mortis, quæ tum regnabat, quouſque Rex ſæculorum advenit; ligatóque forti vaſa ipſius abſtulit. Nam Domino cruci ſuffixo, virtutes, nova ſunt quadam & inaudita ratione commotæ, dum novum illud cernerent myſterium, & formidabile quod fiebat Matt.27.51 in terris ſpectaculum; contremuit enim terra, commotum eſt mare, fluctuata eſt abyſſus. perterrefacta eſt omnis creatura Marc.15,38. Dei, luminaria cœlorum expaverunt, luna & ſol fugerunt, ſtellæ defecerunt, dies non tulit, Angelus è templo conciſſo velo domus territus exiliit, tenebris obducta eſt terra; elementa velut à ſuo ordine receſſerunt, dies immutatus eſt: Non enim aſpectu ſuo ferre poterant. Dominum ac creatorem ſuum ſuſpendi in ligno. Tunc infernus everſus eſt, & portæ ejus contritæ ſunt, & vectes ipſius contracti. De quibus David vaticinans di- Pſ.106,16. cebat: *Quia contrivit portas æreas, & vectes ferreos confregit.* Tunc mors dominans ſubjecta eſt ſub pedibus Chriſti, & in triumpho ducta captiva. Nam incorrupto reſurgens & glorioſo corpore, hoſtis vires fregit, & ejus machinis contritis, telis diſſipatis, vinculis diſruptis, dolorum ac perturbationum jugo projecto, ad inferni Regiam deſcendit, ejus thronum divulſit, diadema diſtraxit, ſceptra perdidit, eum qui tenebatur, exſolvit; tyrannum peſſum dedit: vocem emiſit, dicens: Venite omnes patriæ gentium, ad Deum Patrem, venite, & pro ſervitute libertatem reportate: vos è ſervitute in libertatem adduco, ex tenebris ad lucem, de morte ad vitam, ex tyrannide ad Regiam. Vitæ enim vobis lætum nuntium fero; Ego ſum Chriſtus. Itaque ne amplius timueritis tyrannum, ſed metum, ac mortem, famem atque preſſuram vinculorum, gladii & angoſtiæ, deſpicite: Hæc enim is qui tyrannide premitur, pertimeſcit: Tyranni exercitus profligatus eſt. Solus autem omnium ego Rex ſum victor, qui & in carne pro vobis paſſus ſum. Hic ergo verè Pſ.23,8 fortis & potens eſt Dominus, qui *potens eſt in prælio*, hic eſt rex gloriæ, qui compedibus vinctos educit in fortitudine, habitan- Pſ.67,19. tes in ſepulchris, ad quem rurſus David dicebat: *Aſcendiſti in altum, captivam duxiſti captivitatem*: Atque omnis quidem Chriſtianorum celebritas diabolum damnat: ſed hodierna potiſſimum, inter alias omnes, ipſius detegit malitiam, nihilque proficiens, ſeipſe proſtravit, ac perdidit: exempli gratia: Cùm admirabiliter virgo concepit, adulterii nomine ſuſpectam reddidit, cum inexplicabili ratione peperit, virginem non eſſe criminatus eſt: cùm nutriretur, qui alit omnia, infantes interimere doces Herodem, cùm exiſtimaret ſeſe comprehenſurum, qui teneri non poteſt: ad baptiſmum properanti, tentationem parat, cum Judæis colloquenti, blaſphemiæ notam inurit; miracula edenti, lapidationem molitur; homicidam atque latronem illi antepoſuit; medium illum inter duos latrones crucifigendum curat: ſepulto ei monimentum obſignat: reſurgenti, reſurrectionem calumniatur: aſcendenti autem ei, & ad cœlos abeunti, non habuit, quod obloqueretur, ſed ſuum ipſius magis vulneravit caput: ideóque quacumque alia celebritate, hæc præſens ei gravior extitit, vidente præſertim ipſo omnem ubi- Act.1. que Angelorum exercitum choros ducentem, & alios quidem ſequentes, alios autem præcedentes, alios occurrentes, alios rurſus cum glorioſo Apoſtolorum choro colloquentes, atque dicentes: *Viri Galilæi, quid ſtatis aſpicientes in cœlum? hic Jeſus qui aſſumptus eſt à vobis in cœlum * ſic rurſus veniet, quemadmodum vidiſtis eum euntem in cœlum*: hic Jeſus, qui ſignorum multitudinem oſtendit. Hæc igitur Dominicæ aſcenſionis dies, diabolo quidem ſicut dictum eſt, luctum procreavit, fidelibus autem hilaritatem atque lætitiam. Nunc enim jucundum ver exortum eſt, & florum pulchritudo germinavit, vineæ demiſſi palmites apparuerunt fructibus onerati, olearum arbores florent, [illegible] groſſos produxerunt, moventúrq; Zephyro denſiſſimæ ſegetes

al. ſic veniet, & ſic vulg.

Aſcenſio Domini, piis fidelibus ſumma conſolationis ac gaudii cauſa extitit.

Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λόγος γ.

ΦΑΙΔΡΟΝ μοι τὸ τῆς ἐκκλησίας θέατρον, οὐ γέλωτα τοῖς ἀνθρώποις ἐργαζόμενον μάταιον, ἀλλὰ σφοδρὸν τῷ διαβόλῳ τὸν θρῆνον. βλέπει γὰρ ἄνω * τὴν κάτω τῶν νεκρῶν ἀναστάσιμον φύσιν· βλέπει τὸν κάτω παρ' αὐτοῦ παραδοθέντα τῷ σταυρῷ, ἐξ οὐρανοῦ * ὑπ' αὐτὸν καθορῶντα· βλέπει τὴν γῆν ἀγγέλων πεπληρωμένην, βλέπει παραδόξως ἀέρα βαδιζόμενον, βλέπει τὰς οὐρανίους δυνάμεις ἀπαντώσας, καὶ τὰς μὲν λεγούσας, Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· τὰς δὲ πάλιν ἀπαντώσας καὶ ὑπακουούσας· Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ, ἐν ᾧ ὑπὲρ ἡμῶν πρὸς τὸν κοινὸν ἐχθρὸν ὑπεδέξατο, ὃν οὐδεὶς ἀνθρώπων, οὐ προφητῶν, οὐ δικαίων καταπαλαῖσαι ἐδύνατο. ἐτυραννοῦντο γὰρ πάντες ὑπὸ βασιλεύοντος τότε θανάτου, ἕως οὗ παραγέγονεν ὁ βασιλεὺς τῶν αἰώνων, καὶ δήσας τὸν ἰσχυρόν, ἀφείλατο αὐτοῦ τὰ σκεύη. σταυρουμένου γὰρ τοῦ Κυρίου, αἱ μὲν δυνάμεις τῶν οὐρανῶν * ἐξενίσθησαν, ἡ δὲ κτίσις πᾶσα ἐκλονεῖτο, ὁρῶσα τὸ καινὸν μυστήριον καὶ τὸ φοβερὸν θέαμα γινόμενον ἐπὶ τῆς γῆς. ἐτρόμασε γὰρ ἡ γῆ, ἐκινήθη ἡ θάλασσα, ἐκλυδωνίσθη ἡ ἄβυσσος, πᾶσα ἡ κτίσις ἐξεπλάγη· ἐφοβήθησαν φωστῆρες οὐρανῶν, ἔφυγεν ὁ ἥλιος καὶ ἡ σελήνη, ἀστέρες ἐξέλιπον, ἡμέρα οὐχ ὑπέμεινεν, ἄγγελος ἐξήλατο τετραχηλισμένος ἐκ τοῦ ναοῦ, περισχισμένου τοῦ καταπετάσματος τοῦ οἴκου· σκότος ἐπλήρωσε τὴν γῆν, τὰ στοιχεῖα ἀπεστράφη, καὶ ἡ ἡμέρα ἠλλοιώθη· οὐ γὰρ ἐβάσταζον ὁρῶντες τὸν ἑαυτῶν δεσπότην καὶ ποιητὴν κρεμάμενον ἐπὶ ξύλου. τότε ὁ ᾅδης κατελύθη, καὶ αἱ πύλαι αὐτοῦ συνετρίβησαν, καὶ οἱ μοχλοὶ αὐτοῦ συνεκλάσθησαν, περὶ ὧν Δαβὶδ προφητεύων ἔλεγεν, Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέκλασε. τότε ἔπεσεν ὁ βασιλεύων θάνατος ὑπὸ τοὺς πόδας Χριστοῦ, καὶ ἐσύρετο αἰχμάλωτος θριαμβευόμενος. τῷ γὰρ ἀφθάρτῳ σώματι καὶ ἐνδόξῳ κινώσας τοῦ ἐχθροῦ τὴν ἰσχύν, καὶ τὰς * μηχανὰς αὐτοῦ συντρίψας, κατέδραμε μὲν εἰς τὰ τοῦ ᾅδου βασίλεια, καὶ τὸν θρόνον αὐτοῦ κατέσπασε· τὸ * διάδημα διεῖλε, τὰ σκῆπτρα κατέλυσε, φωνὴν ἀφῆκε, λέγων· Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν πρὸς τὸν πατέρα καὶ θεόν. δεῦτε, καὶ τῆς δουλείας ἐλευθερίαν κομίσασθε. προσάγω γὰρ ὑμᾶς ἐκ δουλείας εἰς ἐλευθερίαν, ἐκ σκότους εἰς φῶς, ἐκ τυραννίδος εἰς βασιλείαν. ζωὴν γὰρ ὑμῖν εὐαγγελίζομαι. ἐγώ ὁ Χριστός. τοιγαροῦν μηκέτι φοβεῖσθε τὸν τύραννον, ἀλλὰ καταφρονεῖτε φόβου καὶ θανάτου· λιμοῦ καὶ θλίψεως, δεσμῶν καὶ φυλακῆς καὶ στενοχωρίας. ταῦτα γὰρ * δεδοίκεν. ὁ τυράννου στρατὸς καταλέλυται· μόνος δὲ πάντων ἐγώ εἰμι νικηφόρος βασιλεύς, ὁ καὶ παθὼν ὑπὲρ ὑμῶν σαρκί. οὗτος τοίνυν ἐστὶν ἀληθῶς κραταιὸς καὶ δυνατὸς Κύριος· οὗτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ὁ ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ, τοὺς κατοικοῦντας ἐν τάφοις· πρὸς ὃν ἔλεγε Δαβίδ· Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν. πᾶσα μὲν οὖν ἑορτὴ Χριστιανῶν, τοῦ διαβόλου κατάκρισις· ἐξαιρέτως δὲ αὕτη. ἐν πάσαις μὲν γὰρ ταῖς ἄλλαις τὴν ἑαυτοῦ ἀπογυμνώσας κακίαν, μηδὲν ὠφελήσας ἑαυτὸν ἐθριάμβευσεν, οἷον τί λέγω· τὴν παρθένον παραδόξως κυοφορούσης, τὴν τῆς μοιχείας ὑπεφήμισε πρᾶξιν· ἀνεκλαλήτως τεκούσης, τὸ μὴ εἶναι παρθένον διέβαλε· ἐκτρεφομένου δὲ τοῦ τὴν σύμπασαν τρέφοντος κτίσιν, φονεύειν τὰ βρέφη τὸν Ἡρώδην ἐδίδαξεν, οἰόμενος ἐν αὐτοῖς συλλαβεῖν τὸν ἀκράτητον· ἐπὶ τὸ βάπτισμα σπεύδοντι, πειρασμὸν ἐπανάγει· διαλεγομένῳ τοῖς Ἰουδαίοις, βλασφημεῖσθαι πεποίηκε· θαυματουργοῦντα λιθάζεσθαι παρεσκεύασε· τὸν φονέα * λῃστὴν * * * * ἀντ' αὐτοῦ προέκρινε· σταυρωθέντι λῃσταῖς συνεσταύρωσε· ταφέντι τὸ μνημεῖον ἐσφράγισεν· ἀναστάντα * συκοφαντεῖν παρεσκεύασε τὴν ἀνάστασιν· ἀναλαμβανομένου δὲ αὐτοῦ καὶ εἰς οὐρανοὺς ἀπιόντος, οὐκ εἶχε τί φθέγξασθαι. ἀλλὰ τὴν αὐτοῦ * μειζόνως κεφαλὴν ἐτραυμάτισε. διὸ * πάσης αὐτῷ πανηγύρεως ἡ σήμερον χαλεπωτέρα καθέστηκεν, ὁρῶντι πᾶσαν πανταχοῦ τὴν τῶν ἀγγέλων στρατιὰν χορεύσασαν· καὶ τοὺς μὲν ἀκολουθοῦντας, ἄλλους δὲ προτρέχοντας, ἑτέρους ἀπαντῶντας, ἄλλους πάλιν τῷ χορῷ τῶν ἀποστόλων διαλεγομένους, καὶ λέγοντας· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτω πάλιν ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. οὗτος ὁ Ἰησοῦς ὁ τὸ πλῆθος τῶν σημείων ἐπιδειξάμενος. ἡ τοίνυν δεσποτικὴ τῆς ἀναλήψεως ἡμέρα τῷ μὲν διαβόλῳ καθὼς εἴρηται, θρῆνον παρεσκεύασε, τοὺς δὲ πιστοὺς φαιδρύνεσθαι. νῦν γὰρ τὸ τερπνὸν ἔαρ ἀνέτειλε, καὶ τὰ * τῶν ἀνθῶν ἀνεφύησαν κάλλη· τὰ τῆς ἀμπέλου κατάκομα * κλήματα τῶν καρπῶν, τὰ δένδρα τῆς ἐλαίας κυπρίζουσιν, αἱ συκαῖ τοὺς ὀλύνθους προσεβάλοντο, καὶ κινεῖται τῷ ζε-

Φυρῳ

φύρῳ περιπυκνουμένα τὰ λήια, τὴν τέρψιν τῶν κυμάτων μιμούμενα τῆς θαλάσσης. πάντα τῇ δεσποτικῇ ἀναλήψει μεθ' ἡμῶν φαιδρύνεται. Φέρε τοίνυν, κἀγὼ ἐφ' ὑμῶν τὰ τοῦ Δαβὶδ ἀνακρούσομαι ῥήματα, „ἅπερ ἡμῖν ἀρτίως διὰ τὴν δεσποτικὴν ἀνάληψιν ἐβόα· Πάντα τὰ „ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλ„λιάσεως. Κύριος ἐν φωνῇ σάλπιγγος ἀνέβη, ὅπου ἦν· ἀνελή„φθη, ὅθεν οὐκ ἐχωρίσθη. Ὁ γὰρ καταβὰς, αὐτός ἐστιν ὁ καὶ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν· οὐκ ἄλλος ὁ τοῖς προφήταις ὀφθεὶς, καὶ ἄλλος ὁ τοῖς ἀποστόλοις συνδιατρίψας· οὐκ ἄλλος ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, καὶ ἄλλος ὁ ἐπὶ Πιλάτου κρινόμενος· οὐκ ἄλλος ὁ ἐπὶ σταυροῦ τοῖς ἥλοις προσηλωμένος, καὶ ἄλλος ὁ τοῖς Χερουβὶμ ἐποχούμενος· οὐκ ἄλλος ὁ ὑπὸ Ἰωσὴφ τῇ σινδόνι ἐντυλισσόμενος, καὶ ἄλλος τῇ παλάμῃ τὴν κτίσιν περιδρασσόμενος· οὐκ ἄλλος ὁ ἐν τῷ μνημείῳ κατατεθέμενος, καὶ ἄλλος ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος· ἀλλ' αὐτὸς τῷ πατρὶ συγκαθήμενος, ὁ ἐν τῇ παρθενικῇ μήτρᾳ ἀσπόρως βλαστήσας. ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, ὁ τῶν αἰώνων ποιητὴς, ὁ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ σύμπαντα παραγαγὼν, ὁ πλάστης τοῦ Ἀδὰμ, ὁ τῆς ἀνθρωπίνης φύσεως παραγωγὸς, ὁ τὸν εὐάρεστον Ἐνὼχ εἰς χωρίον τῆς ζωῆς μεταστήσας, ὁ τὸν Νῶε φυλάξας μεταξὺ τῆς οἰκουμένης, ὁ τὸν πατριάρχην Ἀβραὰμ ἐκ γῆς Χαλδαίων προσκαλεσάμενος, ὁ τυπώσας ἐν τῷ Ἰσαὰκ τὸ τοῦ σταυροῦ μυστήριον, ὁ τὴν δωδεκάκλωνον τεκνογονίαν τῷ Ἰακὼβ χαρισάμενος, ὁ τὴν ὑπομονὴν τῷ Ἰὼβ παρασχὼν, ὁ ἡγεμόνα τοῦ λαοῦ τὸν Μωσέα προβαλλόμενος, ὁ προφητείας ἐκ μήτρας ἐμπλήσας τὸν Σαμουὴλ, ὁ τὸν Δαβὶδ εἰς βασιλέα ἐκ τῶν προβάτων ἐλόμενος, ὁ τὴν σοφίαν τῷ Σολομῶντι παρασχόμενος, ὁ τὸν Ἠλίαν ἐν συσσεισμῷ ἅρματι πυρίνῳ ἀναλαβὼν, ὁ τοῖς προφήταις ἐμπνεύσας τὴν πρόγνωσιν, ὁ τοῖς ἀποστόλοις τὴν δωρεὰν τῶν ἰαμάτων χαρισάμενος, ὁ τοῖς αὐτοῖς „βοήσας, Θαρσεῖτε, νενίκηκα τὸν κόσμον ἐγώ. Οὗτός ἐστιν ὁ Κύριος τῆς δόξης, ὁ ἀναληφθεὶς εἰς τοὺς οὐρανοὺς ἐν ἀλαλαγμῷ, καὶ καθίσας ἐν δεξιᾷ τοῦ πατρός. ὑποταγέντων δὲ αὐτῷ ἀγγέλων, καὶ ἐξουσιῶν, καὶ δυνάμεων, αὐτὸς τὰς ἐκτενεῖς εὐχὰς ἡμῶν * ἀναλάβοι, καὶ νικητὰς ἡμᾶς ἀναδείξαι τῶν πειρατηρίων τοῦ κόσμου· ὑποτάξαι ἡμῖν πᾶσαν τὴν φάλαγγα τῶν ἀκαθάρτων πνευμάτων, λέγων πρὸς „ἡμᾶς· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων „καὶ σκορπίων· ἀβλαβεῖς τηρήσαι καὶ ἀμώμους, ὑγιεῖς καὶ ὁλοκλήρους διαφυλάξαι ἡμᾶς ψυχῇ καὶ σώματι καὶ πνεύματι, πεπληρωμένους καρπῶν δικαιοσύνης καὶ εὐποιΐας, ὁ τῶν ὅλων Θεὸς, ὁ καταξιώσας ἡμᾶς συναχθῆναι, καὶ τὴν σωτήριον ἐπιτελέσαι ἑορτήν· ὅτι καὶ αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

oblectationem fluctuum maris imitantes; omnia nobiſcum Dominica aſcenſione exhilarantur. Age igitur, & ego vobis verba Davidis inſonabo, quæ nobis ipſe paulò antè propter aſcenſionem Domini intonabat, ſua ſpirituali cithara canens: *Omnes gentes plaudite manibus, jubilate Deo in voce exultationis, aſcendit Deus in jubilo, & Dominus in voce tubæ*: eò aſcendit, ubi erat: aſſumptus eſt illuc, unde non receſſerat. *Qui enim deſcendit, ipſe eſt, & qui aſcendit ſupra omnes cœlos*: non alius Prophetis apparuit, & alius qui cum Apoſtolis verſatus eſt: non alius fuit in ſinu patris, & alius ſub Pilato judicatus: non alius in cruce clavis transfixus, & alius ſuper Cherubim vectus. Non alius à Joſeph, ſindoni involutus, & alius * palmo creaturam concludens: non alius in monumento depoſitus, & alius qui ab ipſis Seraphim celebratur: Sed idem qui ad dexteram ſedet patris, qui in utero virginis ſine ſemine natus eſt, aſcendit Deus in jubilatione: Dominus in voce tubæ, qui ſeculorum factor eſt; qui ex non exiſtentibus, ad eſſe produxit omnia; qui formator Adæ fuit, & humanæ naturæ productor; qui amicum Dei Enoch in regionem vitæ tranſtulit: qui Noë, cum univerſo terrarum orbe ſervavit; qui Patriarcham Abraham, ex terra Chaldæorum advocavit; qui in Iſaac, myſterium crucis præfiguravit: qui duodecim germinum propagationem filiorum, Jacob conceſſit: qui patientiam ipſi Job præbuit: qui Moyſen populi ducem conſtituit: qui prophetiâ Samuelem ab utero replevit. qui David ex ovium paſtore, in Regem elegit: qui ſapientiam Salomoni donavit: qui in concuſſione, per currum igneum Eliam recepit: qui Prophetis futurorum præcognitionem inſpiravit: qui Apoſtolis donum curationum largitus eſt: qui ad ipſos clamavit: *Confidite, ego vici mundum.* Hic eſt Dominus gloriæ, qui aſſumptus eſt in cœlum, in jubilo, & ſedet ad dexteram patris, ſubditis ipſi Angelis & poteſtatibus. Ipſe indefeſſas noſtras preces ſuſcipiat, victoreſque nos tentationum mundi efficiat, omnéque nobis immundorum ſpirituum agmen ſubjiciat: dicens ad nos: *Ecce dedi vobis poteſtatem calcandi ſuper Serpentes & Scorpiones.* Innoxios igitur & illæſos atque innocentes, & irreprehenſibiles, ſanos & integros cuſtodiat nos anima & corpore, ac ſpiritu repletos fructibus juſtitiæ, ac beneficentiæ univerſorum Deus, qui nos dignatus eſt ſimul congregare, ad ſalutarem diem feſtum celebrandum: Quoniam ipſi convenit omnis glorificatio, adoratio & honor, Patri & filio, & ſanctiſſimo atque vivifico Spiritui ſancto, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

Pſ. 46, 6. — Eph. 4, 10. — *al. qui palmo mundū complectitur* — Pſ. 46. — Job. 2. — Jac. 5. — 1. Reg. 3. — 1. Reg. 5. — Joh. 16. 33. — Luc. 10, 19.

Scholia & variæ Lectiones.

NAm Domino cruci ſuffixo, virtutes nova ſunt quadam & inaudita ratione commotæ, luminaria cœlorum expaverunt, luna & ſol fugerunt, ſtellæ defecerunt, dies non tulit, Angelus & è templo, conſciſſo velo domus, exiluit, &c. Pulchra adluſio ad ea quæ de myſterio paſſionis Dominicæ ab ipſis Evangeliſtis referuntur, Matth. 27. Marc. 15. Luc. 23. & Joan. 19. quæ hîc pulchrè & accommodatè S. Chryſoſtom. enarrat, amplificat. & illuſtrat. ubi tamen inter alia, illud quod dicit, Angelum è templo, conſciſſo velo domus exiliiſſe, &c. myſticè atque expoſitoriè de ſuo addidit: ſicut etiam à S. Patre noſtro Ephrem Syro in ſerm. de Paſſio. Dom. tom. 3. perpulchrè refertur, quòd Spiritus ipſe ſanctus conſpiciens dilectum filium Patris in ligno crucis pendentem, rupto mundiſſimo illo templi velo quod è ſurſum erat uſque deorſum, in ſpecie columbæ continuò de templo exivit.

Ad quem rurſus David dicebat Ἀνέβης εἰς ὕψος, aſcendiſti in altum, captivam ducens captivitatem, &c.] Ubi, ſicut apparet, S. Chryſoſtom. de induſtria: per ſecundam perſonam ἀνέβης, i. aſcendiſti.) loqui voluit, licet priùs in tertia de Chriſto locutus ſit: voluit enim hîc verba referre Pſalmiſtæ, ſicut apud eum ſunt. in 2. perſona. Eſt enim in Pſalmo 67. ad quem hîc fit adluſio: Aſcendiſti in altum, cepiſti captivitatem. &c.] ſive ut ad verbum eſt apud LXX. Aſcendens in altum, captivaſti captivitatem, accepiſti dona in hominibus, &c.] Ubi tamen Juſtinus in dialogo cum Tryphone, etiam in tertia perſona citat hunc locum: ἀνέβη εἰς ὕψος, καὶ ᾐχμαλώτευσεν αἰχμαλωσίαν. i. Aſcendit in altum, captivavit captivitatem, &c.

Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Λόγος, δ.

ΦΑΙΔΡΑ μὲν πᾶσα ἑορτὴ τῆς τοῦ Χριστοῦ οἰκονομίας, καὶ φαιδρύνουσα τῶν πιστῶν τὰς καρδίας· φαιδρὰ δὲ καὶ τῆς προκειμένης ἑορτῆς ἡ ὑπόθεσις. διὰ τί δὲ φαιδρὰ, ἐν τοῖς καθεξῆς ῥηθησομένοις ἀποδείξομεν. Ἐν ἓξ τοίνυν ἡμέραις ἐποίησεν ὁ Θεὸς πάντα τὰ ἔργα αὐτοῦ, καθὼς γέγραπται, τῇ δὲ ἑβδόμῃ κατέπαυσε. διὸ καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν εὐδοκήσας ὁ τοῦ Θεοῦ λόγος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, καὶ ἐνανθρωπήσας, τὸν αὐτὸν τρόπον κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν τῆς κοσμοποιΐας, τὰς ἑορτὰς τῆς ἑαυτοῦ οἰκονομίας ἡμῖν παρέδωκε. πρώτη τοίνυν καὶ ῥίζα τῶν ἑορτῶν Χριστοῦ, ἡ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας μετὰ τὴν σύλληψιν παράδοξος γέννησις· ἐν ᾗ παραγενόμενος Χριστὸς ὁ Θεὸς κλίνας οὐρανοὺς, ὅπως σώσῃ κόσμον ἀπολλύμενον· ἐν ᾗ ἄγγελοι τοῖς ποιμέσιν ὀφθέντες, τὸ παράδοξον τοῦ θαύματος γνωρίζοντες ἐβόων, „Δόξα ἐν ὑψίστοις Θεῷ.

In aſcenſionem Domini noſtri Jeſu Chriſti Sermo V.

Doctore GERARDO VOSSIO interprete & Scholiaſte.

ILluſtris quidem omnis feſtivitas, diſpenſationis Dominicæ habetur: quippe fidelium corda exhilarans: at illuſtris quoque hodierno die proponitur celebritatis lætitiæque materia, cujus rei cauſam deinceps exponemus. In ſex itaque diebus fecit Deus cuncta opera ſua, ſicut ſcriptum eſt, *die autem ſeptimo quievit.* Idcirco etiam, noviſſimis diebus placuit divino Dei verbo quærere & ſalvare quod perierat, carnéque humana aſſumpta, eundem nobis modum, ſecundum numerum dierum creationis mundi, in celebritate feſtorum ſuæ diſpenſationis exhibuit. Prima igitur radix feſtorum Chriſti eſt ejus in carne poſt conceptionem admiranda, ex ſancta virgine Deipara Maria, Nativitas, qua Chriſtus Deus inclinans cœlos, in terram ad nos venit, ut mundum deperditum liberaret, ubi Angeli paſtoribus viſi, admirabile miraculi myſterium patefacientes, clamabant: *Gloria in excelſis Deo,*

Gen. 1, & 2. Exo. 20, 11. Heb. 4. 4. — *Sex diebus creationis mundi reſpondent totidem feſtorum diſpenſationis Dominicæ celebritates.*

in terra pax: in hominibus beneplacitum: Unde & meritò, prima feſtivitas appellatur. *Chriſti Epiphania.* Secunda autem celebritas eſt Chriſti Dei noſtri Epiphania ſive apparitio, quando in Jordanem veniens, cunctis hominibus ineffabilis miſericordiæ indulgentiam oſtendit, *Matt. 3, 17.* quando & patris vox è cœlo audita eſt, de ipſo teſtificans: *Hic eſt Filius meus dilectus, in quo mihi benè complacui:* quin & Spiritus ſanctus in ſpecie columbæ apparens manſit ſuper eum, tota ſcilicet ſimul conſubſtantiali Trinitate ſe manifeſtante in unico momento temporis. Cujus dignus ſpectator, Domini præcurſor Joannes factus eſt. De qua Epiphania, ſeu apparitione, etiam beatus *Tit. 2, 11.* Paulus dicebat: *Apparuit gratia Dei Salvatoris noſtri omnibus hominibus.* Quandoquidem ergo omnium hinc orta eſt ſalus, meritò maxima à piis feſtivitas denominatur. Tertia ſolemnitas feſtorum eſt, adoranda modiſq; omnibus veneranda ſalutaris paſ- *Col. 2, 14.* ſionis Chriſti veri Dei, dies, in qua, cruci carne affixus, *chirographum* peccati *quod contra nos erat, delevit*: in qua etiam Adamum per inobedientiam è paradiſo expulſum, ſola voce in illam intro- *Luc. 23, 43.* duxit, ait enim ad latronem: *Hodie mecum eris in paradiſo.* Unde & hæc ſolemnitas maxima atq; præcipua habetur: ait enim Pau- *1. Cor. 5, 7.* lus: *Paſcha noſtrum pro nobis immolatus eſt Chriſtus.* Quarta feſta dies, eſt glorioſiſſima atq; pacifica & triũphalis dies ſanctiſſimæ Chriſti Dei noſtri Reſurrectionis, quando apud inferos, *Eſa. 45, 2.* vectes perpetuos confringens, & vincula diſrumpens, à mortuis reſurrexit, ac de inferno devicto triumphans, juſtos ibi detentos ſecũ *Ir. ꝟ vit.* reſuſcitavit atq; eduxit, quãdo etiã ad diſcipulos ſuos ingrediens, *Joh. 20, 21.* pacẽ iis in ſignũ triũphi precatus eſt. *Mater feſtivitatum.* Unde ſine ulla cõtroverſia, mater hæc feſtorũ. & celeberrima dies fidelibus ſẽper eſt habita. Quintus autem feſtorum dierum, eſt ſanctiſſima Domini ad cœlos aſcenſio, quam modò celebramus: eſt autem hæc feſtivitatum quinta, quoniam & quinto hebdomadæ die contigit, ac propterea ſolemnitatem iſtam celebremus oportet, quandoquidem hodie primitias noſtræ maſſæ, id eſt carnem noſtram in cœlos Chriſtus ſuſtulit. Iccirco & Apoſtolus dicebat: *Convivificavit nos & conreſuſcitavit, & conſidere fecit in cœleſtibus, in Chriſto Jeſu.* Unde *Eph. 2, 6.* auctor omnis mali, & inventor peccati diabolus, propter tumorem elationis, & fumum ſuperbiæ, excidit. Ibi magnitudine benignitatis ſuæ, hominem peſſimo illius conſilio, paradiſo ejectũ, Chriſtus contra convivificavit, & reſuſcitavit. Omni igitur honore & ſpirituali gaudio digna eſt præſens feſtivitas. Sed quoniam ſeptem feſtorum numerum, pro ratione dierum creationis mundi, in principio ſermonis, vobis in memoriam reduximus, quinq; autem ſolùm uſq; ad præſentem, feſtivitates oſtendimus; alias quoq; duas celebritates in medium adducamus oportet, atque ita ad inſtitutam narrationem deducatur oratio. Sexta igi- *χειϱοτονή-σεως. Sexta feſtorum Dominica diſpenſationis celebritas eſt adventus ſpiritus ſancti, ſeu Pentecoſte. Pro ſeptima celebritate computatur Reſurrectio univerſalis mortuorum.* tur feſtorum celebritas eſt, ſuper laudata ac benedicta dies adventus ſpiritus ſancti, quando ſanctis Apoſtolis expectatum ac promiſſum donum ſpiritus ſancti, in ſpecie linguarum ignearum, à Chriſto Domino de cœlis emiſſum eſt, quæ & Pentecoſte ob ſeptem hebdomadarum expletionẽ denominata eſt. Sine controverſia igitur & hæc omnibus piis maxima ſolemnitas conſtituta eſt. Septima feſtivitas, quæ expectatur, eſt reſurrectionis mortuorum dies. cujus ſpe ac deſiderio cuncti fideles detinemur, quando veniet Dominus, & qui nullum perſonarum reſpectum habet, judex Chriſtus Deus noſter, redditurus unicuique juxta opera ſua. Hæc vera eſt requies. atq; ideo beatus Apoſtolus Paulus dicebat: *Feſtinemus ingredi in illam requiem.* Tunc igitur vel maximè celebritas omnis gaudii, lætitiæ & exultationis impleta erit iis qui hæreditariè poſſidebunt, *quæ oculus non vidit, & auris non audivit, & in cor hominis non aſcenderunt, quæ Deus præparavit iis qui diligunt illum.* Optemus ergo & nos dilectiſſimi, ut cum juſtis ac *Heb. 4, 11. 1. Cor. 2. & Heb. 4, 11. 1. Cor. 2, 9.* ſanctis, in cœleſtis regni thalamo feſtum diem celebrare poſſimus, non modò ad unum, duos vel tres dies dumtaxat: ſed in ſempiterna ſæcula. Septem itaq; feſtorum celebritatibus, ſic à nobis expoſitis atq; probatis, ad illud de quo agitur, revertamur. Eſt autem nobis inſtituta narratio de præſenti feſto aſcenſionis Chriſti in cœlos, de quo David dixit: *Et inclinavit cœlos, & deſcendit, & caligo ſub pedibus ejus*: divini ſcilicet verbi è cœlis ſuper terras *Ir. τῦ Χϱιςῦ, Pſ 17, 11.* adventum deſignare volens. Caliginem verò ſub pedibus ejus dixit, indumentum divinitatis per carnem ſignificans. Incognitus *Explicatio verborum Pſalmi.* quippe vulgo erat adventus ejus, ob humilitatem ipſius & manſuetudinem. Rurſus enim idem Propheta ait: *Domine in mari via tua, & ſemita tua in aquis multis, & veſtigia tua non cognoſcentur.* *Pſ 76, 19.* Si enim agnoviſſent, inquit Apoſtolus, nunquam dominum gloriæ crucifixiſſent. Iterũmq; ait: *Aſcendit ſuper Cherubim, & volavit ſuper pennas ventorum.* *1. Cor. 2, 8. Pſ. 17, 2.* Super Cherubim, inquit, quia cùm idem qui in cœlis eſt cum patre, ſuper Cherubim vehitur. Et dum cum hominibus in terra verſaretur, nequaquam à

A καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. διὸ καὶ δικαίως πρώτη ἑορτὴ προσηγόρευται· δευτέρα δὲ ἑορτὴ, ἡ ἐπιφάνεια Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καθ' ἣν ἐν τῷ Ἰορδάνῃ παραγενόμενος ἔδειξε πᾶσιν ἀνθρώποις τὴν ἄφατον αὐτοῦ εὐσπλαγχνίας τὴν συγκατάβασιν· ἐν ᾗ καὶ φωνὴ πατρὸς ἐξ οὐρανοῦ ἦλθε, μαρτυροῦσα περὶ αὐτοῦ, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἀλλὰ καὶ τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς ἐλθὸν ἔμεινεν ἐπ' αὐτὸν, τῆς ὁμοουσίου τριάδος δηλαδὴ ἐπιφανείσης ἐν μιᾷ καιροῦ ῥοπῇ· ἧς αὐτόπτης εὑρεθεὶς ὁ τοῦ Κυρίου πρόδρομος γέγονεν Ἰωάννης. περὶ ἧς ἐπιφανείας καὶ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος ἔλεγεν· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. ἐπειδὴ οὖν πάντων ἀνθρώπων σωτηρία πέφυκεν, ἀξίως καὶ ἑορτὴ μεγίστη ὑπὸ τῶν εὐσεβῶν ὀνομάζεται. τρίτη τῶν ἑορτῶν ἡ ἁγία καὶ προσκυνητὴ, καὶ πάνσεπτος τοῦ σωτηρίου πάθους Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ ἡμέρα· ἐν ᾗ ἐν σταυρῷ σαρκὶ προσηλωθεὶς, τὸ C καθ' ἡμῶν τῆς ἁμαρτίας ἐξήλειψε γραμματεῖον· ἐν ᾗ καὶ τὸν διὰ τῆς παρακοῆς ἐκβληθέντα τοῦ παραδείσου Ἀδὰμ, διὰ μιᾶς φωνῆς ἐν αὐτῷ εἰσήγαγε. φησὶ γὰρ τῷ λῃστῇ, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. ὅθεν καὶ ταύτη ἑορτὴ μεγίστη καθέστηκε, καὶ μάλιστα. Παῦλος γὰρ εἴρηκε, Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. τετάρτη ἑορτὴ, ἡ ὑπερένδοξος καὶ εἰρηνοποιὸς ἡμέρα τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως· καθ' ἣν καὶ ἐν τοῖς καταχθονίοις γενόμενος, D τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ τὰ δεσμὰ διαρρήξας, ἀνέστη ἐκ τῶν νεκρῶν, νικήσας τὸν ᾅδην ἀρχόμενος, * τοὺς ἐν αὐτῷ κατεχομένους συναναστήσας δικαίους, καὶ πρὸς τοὺς μαθητὰς εἰσελθὼν, τὴν εἰρήνην αὐτοῖς κατεβραβεύσεν. ὅθεν πάσης ἀντιλογίας ἐκτὸς, μήτηρ αὕτη ἑορτῶν ἡ ἀοίδιμος ἡμέρα τοῖς πιστοῖς λελόγισται. πέμπτη τοίνυν ἑορτὴ ἡ ἁγία τοῦ Κυρίου εἰς οὐρανοὺς ἀνάληψις, περὶ ἧς νυνὶ καὶ τὴν πραγματείαν ποιούμεθα. πέμπτη δὲ τῶν ἑορτῶν ἐστι, καθότι καὶ πέμπτῃ ἡμέρᾳ τῆς ἑβδομάδος ἐπετελέσθη. διὰ τοῦτο δὲ ἑορτάζειν ὀφείλομεν, ἐπειδὴ σήμερον τὴν ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος, τουτέστι, τὴν σάρκα, ἐν οὐρανοῖς Χριστὸς ἀνήγαγε. διὸ καὶ ὁ ἀπόστολος ἔλεγε· Συνήγειρε, καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. ὅθεν ὁ ἀρχέκακος καὶ τῆς ἁμαρτίας εὑρετὴς διάβολος διὰ τὸν ὄγκον τῆς ἐπάρσεως καὶ τῆς ὑπερηφανίας τὸν τῦφον, ἐξέπεσεν, ἐκεῖ τῷ μεγέθει τῆς ἑαυτοῦ φιλανθρωπίας τὸν διὰ τῆς ἐκείνου κακίστης συμβουλίας ἐκ τοῦ παραδείσου ἐκβληθέντα ἄνθρωπον Χριστὸς ἀνεκαθίστησε. τιμῆς οὖν ἀξία καὶ πνευματικῆς χαρμονῆς καὶ ἡ παροῦσα ἑορτὴ καθέστηκεν. ἀλλ' ἐπειδὴ ἑπτὰ τῶν ἑορτῶν ἀριθμὸν κατὰ τὰς ἡμέρας τῆς κοσμοποιΐας ἐν ἀρχῇ τοῦ λόγου ἐμνημονεύσαμεν, πέντε δὲ καὶ μόνον μέχρι τοῦ παρόντος, ἑορτὰς ἐδείξαμεν, δέον ἐστὶ καὶ τὰς ἄλλας δύο ἑορτὰς εἰς μέσον ἀγαγεῖν, οὕτως ἐπὶ τὴν προκειμένην ἱστορίαν τὸν λόγον * χειραγωγήσωμεν. ἕκτη τοίνυν ἐστὶ τῶν ἑορτῶν ἡ ἕκτη πανεύφημος ἡμέρα τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, καθ' ἣν B τοῖς ἁγίοις ἀποστόλοις ἡ κατ' ἐπαγγελίαν προσδοκωμένη δωρεὰ τοῦ ἁγίου πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν παρὰ Χριστοῦ ἐξ οὐρανῶν ἀπεστάλη· ἥτις καὶ πεντηκοστὴ διὰ τὸ τῶν ἑπτὰ ἑβδομάδων συμπλήρωσιν ὠνομάσθη. ἀναμφιρρήτως οὖν καὶ αὕτη ἑορτὴ τοῖς εὐσεβέσι μεγίστη καθέστηκεν. ἑβδόμη ἑορτὴ ἡ προσδοκωμένη ἡμέρα τῆς ἀναστάσεως τῶν νεκρῶν [τὴν γὰρ ἐλπίδα ταύτην οἱ πιστοὶ ἀπεκδεχόμεθα] ἐν ᾗ μέλλει ὁ φιλάνθρωπος καὶ ἀπροσωπόληπτος δικαστὴς Χριστὸς ὁ Θεὸς ἡμῶν C ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. αὕτη ἐστὶν ἡ ἀληθὴς κατάπαυσις, δι' ἣν καὶ ὁ ἀπόστολος Παῦλος ἔλεγε· Σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν. τότε τοίνυν καὶ μάλιστα ἑορτὴ χαρᾶς καὶ εὐφροσύνης καὶ ἀγαλλιάσεως πεπληρωμένη ὑπάρξει τοῖς μέλλουσι κληρονομεῖν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἄγε, ἀγαπητοὶ, εὐξώμεθα καὶ ἡμεῖς συνεορτάσαι τοῖς δικαίοις ἐν τῷ νυμφῶνι τῆς βασιλείας τῶν οὐρανῶν, οὐ μόνον πρὸς μίαν ἡμέραν D ἢ δύο, ἢ τρεῖς, ἀλλ' εἰς ἀτελευτήτους αἰῶνας. τοιγαροῦν τῶν ἑπτὰ ἑορτῶν ἡμῖν ἀποδειχθεισῶν, ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἔστι δὲ ἡμῖν περὶ τῆς παρούσης ἑορτῆς τῆς ἐν οὐρανοῖς, λέγω δὴ * τῆς Χριστοῦ ἀναλήψεως, τὸ διήγημα. Δαβὶδ μὲν γὰρ εἴρηκε· Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ· τὴν ἐξ οὐρανῶν δηλαδὴ τοῦ λόγου παρουσίαν ἐπὶ γῆς ἐσήμανε. γνόφον δὲ εἶπεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τὸ διὰ σαρκὸς ἔνδυμα τῆς θεότητος γνωρίζων· ἄγνωστος γὰρ ἦν τοῖς πολλοῖς ἡ αὐτοῦ παρουσία διὰ τὴν ταπεινὴν καὶ πρᾶον. πάλιν γὰρ ὁ αὐτὸς προφήτης λέγει· Κύριε, ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται. Εἰ γὰρ ἔγνωσαν, φησὶν ὁ ἀπόστολος, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ πάλιν εἶπεν· Ἐπέβη ἐπὶ Χερουβὶμ, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. ἐπὶ Χερουβὶμ εἶπε, καθότι αὐτὸς καὶ ἐν οὐρανοῖς σὺν τῷ πατρὶ ὢν ἐπὶ τῶν Χερουβὶμ ἐποχεῖται. καὶ σὺν ἀνθρώποις γὰρ ἐπὶ γῆς ἀναστρεφόμενος, τοῦ Χερουβικοῦ καὶ ἐπουρανίου

ἐπουρανίῳ θρόνῳ οὐδαμῶς ἐχωρίζετο. πτέρυγας δὲ ἀνέμων τὰς νεφέλας αἰνίττεται, ἐν αἷς καὶ ἀνελήφθη, καθὼς καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται· Καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. εἶτα καθεξῆς λέγει· Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, θαῦμα τοῖς ἀποστόλοις καὶ ἔκστασις καὶ θροῦς ἐπεγίνετο· θνητοὶ γὰρ τὴν φύσιν ὄντες, καὶ ἀσυνήθεις τοιούτων θεαμάτων, * ἐξέστησαν τῇ διανοίᾳ. ἀλλ' ἐρεῖ τις, ὅτι προεωρακότες ἦσαν καὶ τὴν μεταμόρφωσιν ὅ,τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης· προεῖδον μὲν ἐκεῖνοι μεταμορφωθέντα τὸν Κύριον, καὶ νεφέλην σκιάσασαν αὐτόν, ἀλλ' οὐκ εἶδον τὴν νεφέλην εἰς ἀέρα ἁρπασθεῖσαν, καὶ εἰς οὐρανοὺς τὸν δεσπότην ἀναλαμβάνουσαν. θαῦμα ἐκεῖνο, θαῦμα καὶ τοῦτο· ἀλλὰ θαῦμα θαύματος φοβερώτερον τοῦτο * ἐκείνου, ὑψηλότερον, καίτοι ἑνὸς Θεοῦ ἡ δύναμις καὶ τὸ μυστήριον ὑπῆρχε. τότε Μωϋσῆς καὶ Ἡλίας ὤφθησαν τοῖς περὶ τὸν Πέτρον, μετ' αὐτοῦ συλλαλοῦντες· νῦν δὲ ὁ θρόνος Χερουβικός, τουτέστιν, ἀόρατος δύναμις, * τὴν νεφέλην καλυπτομένην ἀθρόον ἐπιστᾶσα, τὸν δεσπότην τοῖς δούλοις συνομιλοῦντα ἀφήρπασε. τότε Πέτρος μετὰ παρρησίας ἀπεκρίνατο, Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ. νυνὶ δὲ οὐδὲ φθέγξασθαί τις ἠδυνήθη τῶν μαθητῶν, οὐδὲ τὸ στόμα διανοῖξαι. ἀλλὰ φόβῳ μεγίστῳ καταπλαγέντες ἐξέστησαν. ἐπάγει δὲ καθεξῆς ἡ γραφὴ λέγουσα· Καὶ ἰδοὺ „ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθήσεσι λευκαῖς, οἳ καὶ εἶ„πον. οὐδὲ τοῦτο ἀργόν. τὸ γὰρ λευχειμονοῦντας ὑπάρχειν τοὺς ἄνδρας, ἑορ„τῆς μεγίστης σημαντικόν ἐστι. τί δὲ εἶπον; ἄνδρες Γαλιλαῖοι, τί „ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; τὸ ὑπερβάλλον θαῦμα κατέ„πληξεν ὑμᾶς; ἐπελάθεσθε τοῦ εἰπόντος, Πορεύομαι πρὸς τὸν πατέρα „μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν; ἢ οὐχὶ ἕνεκεν τού„του ἔλεγε πρὸς ὑμᾶς, Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς; καὶ πάλιν, Εἰ„ρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. οὐ τὴν ἐπαγγελίαν τοῦ παρακλήτου, τουτέστι, τοῦ ἁγίου πνεύματος ὑπέσχετο „ὑμῖν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως „ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε πορευόμενον αὐτὸν εἰς τὸν οὐρανόν. οὕτως ἐλεύσεται μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δόξης καὶ δυνάμεως πολλῆς· οὕτως ἐλεύσεται ἐν καιρῷ, ὅταν μέλλῃ κρίνειν τὴν οἰκουμένην ἐν δι„καιοσύνῃ. αὐτῷ γὰρ ὁ πατὴρ δέδωκε τὴν κρίσιν πᾶσαν. οὐ μνημονεύ„ετε ὅτι ἔτι ὢν σὺν ὑμῖν, ἔλεγεν· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς; τότε οἱ ἀπόστολοι ἐν ἑαυτοῖς γενόμενοι, ὑπέστρεφον, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Κύριον, καὶ ἀπεκδεχόμενοι τὴν θείας δωρεᾶς, τοῦτ' ἔστι, τοῦ παναγίου πνεύματος, τὴν ἐπιφοίτησιν. καὶ δὴ ἐπληρώθη τὸ ἐν „ψαλμοῖς εἰρημένον. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φω„νῇ σάλπιγγος. σαφῶς ἐνταῦθα ὁ προφήτης τὴν δυάδα τῶν φύσεων τῆς ἐν Χριστῷ οἰκονομίας ἐσήμανε. τὸν αὐτὸν δὲ τρόπον καὶ Θωμᾶς μετὰ τὴν τοῦ Κυρίου ἀνάστασιν ψηλαφήσας τὴν πλευρὰν αὐτοῦ, ἐβόα λέγων· „Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος „ἐν φωνῇ σάλπιγγος· ἐν ἀλαλαγμῷ μὲν, ὅτι ἀκαταπαύστῳ φωνῇ τὸν τρισάγιον ὕμνον ἀναπέμπουσι τῷ Θεῷ [καὶ ὅπως ἐπὶ Χερουβικοῦ θρόνου ἀνελήφθη, προαπεδείξαμεν] ἐν φωνῇ δὲ σάλπιγγος, ἀρχαγγελικῆς δηλαδή, προσημαινούσης αὐτοῦ τὴν ἐν οὐρανοῖς ἄνοδον. ἀλλὰ καὶ τὸ πνεῦμα τὸ ἅγιον τῶν ἄνω δυνάμεσι τῇ προστακτικῇ φωνῇ ἀνεκήρυττεν· Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. αἱ δὲ δυνάμεις ἔλεγον· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; εἶτα τὸ πνεῦμα· Κύριος „κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. ἐνίκησε γὰρ τὸν πολέμιον, ὡπλίσατο κατὰ τῆς τοῦ διαβόλου τυραννίδος ἐν τῷ ἀνθρωπίνῳ σώματι, ἔσβεσεν αὐτοῦ τὰ πεπυρωμένα βέλη. καὶ τῷ σταυρῷ προσηλωθείς, καὶ θανάτου γευσάμενος, ἀθάνατος ὑπάρχων, ἐσκύλευσε τὸν ᾅδην, καὶ νικητὴς ἀπεδείχθη. ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ τὸ πλανώμενον πρόβατον ἐπιστρέψας, ἰδοὺ ἀνέρχεται ἐπ' ὤμων αὐτὸ φέρων πρὸς τὰ ἐννενήκοντα ἐννέα τὰ ἀπλανῆ, τὰ ἐν τοῖς ὄρεσι, τουτέστιν, ἐν οὐρανοῖς νεμόμενα. Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. καὶ πάλιν λέγει· Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. αἱ οὖν δυνάμεις ὡς ἤκουσαν, Κύριος τῶν δυνάμεων, ὁμοφώνως τὴν συνήθη δοξολογίαν ἐκβοῶντες, ἐδέχοντο μετὰ χαρᾶς τὸν Κύριον, καὶ ἔπεμπον ἕως τοῦ ὑψηλοῦ θρόνου καὶ ἐπηρμένου. καὶ ἐπληρώθη τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ὦ αἱρετικέ, πρὸς ποίαν φύσιν ἔλεγεν ὁ Κύριος κάθου ἐκ δεξιῶν μου; μὴ * πάντως πρὸς τὴν ἐξ ἡμῶν ληφθεῖσαν σάρκα, ἐψυχωμένην ἐκ τῆς ἁγίας παρθένου. αἰσχυνέσθωσαν οἱ μίαν φύσιν ἐπὶ Χριστοῦ ὁμολογοῦντες [ἡ γὰρ θεία φύσις εὔδηλον ὅτι σύνθρονος ἀιδίως τῷ θρόνῳ τῆς μεγαλωσύνης] ἡ δὲ καθολικὴ ἐκκλησία δοξαζέσθω. ἡμᾶς δὲ πάντας ἀξίους ἀναδείξῃ Χριστὸς ὁ Θεὸς τῆς αἰωνίου αὐτοῦ βασιλείας· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀχράντῳ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Si habeas unde, eleemoſynas erogo: ſin verò non habeas, non requirit abs te Deus. Non habes panem? non habes veſtimentum? (*Nota.*) ſed neque aurum? genua inflecte, percute pectus, educ lacrymas, ingemiſce, lacrymare, manus tuas ad cælum extende, oculos ad Dominum attolle: jejuna, & vigila: hæc quippe omnis habet homo, & negare nō poteſt. Iſta offerre ſtudeas Deo, omni tempore. Sed & hæc cum ſtudio, atque diligentia, & diſcretione facere oportet: ut non inutiliter curras, & in vanum labores. Quare has virtutes dum exerces, & Deo pœnitentiam offers, ſerva diligenter, & ſcrutare teipſum: ne forte inimicitias adverſus aliquem habeas, & univerſus labor tuus reddatur inanis, ſed, ſicut ait Apoſtolus: *Cum metu, & tremore veſtram ſalutem operantes,* (Philip 2,12) ſervantéique Chriſti præceptum, quod dicit: *Si dimiſeritis hominibus* (Matth. 6,5.) *peccata eorum, dimittet & vobis pater veſter cæleſtis delicta veſtra.* Quòd ſi igitur ad Deum acceſſeris; in toto corde interpelle eum, & non cum deriſione, ac vaga diſtractáque mente. Serva hoc ipſius præceptum: & dimitte, ſi quid habes adverſus aliquem. Si enim velis tibi dimitti peccata propria: remitte & tu proximo tuo. Quòd ſi tu non dimiſeris errata fratris tui, neque tua tibi remittet Dominus. Paratus eſto chariſſimè, & quotidie mortem expecta, & eum qui tuam repetet animam. Ne hodie pœnitentiam agas, & cras obliviſcaris. Ne hodie plangas, cras ridiculè tripudies. Ne hodie jejunes, & cras ebrius prodeas. Ne hodie vigiliis te dedas, & cras ſupinum ac deſidem te præbeas: ſed verum atque legitimam pœnitentiam oſtendas, ut coroneris. Ne adulteres virtutem. Ne fugias laborem: ut non *priveris corona. (*al. deperdas coronam.*) Oderis quodcumque ſeculi iſtius gaudium, ac gloriam. Inviſa tibi ſit via lata, ac ſpatioſa. Oderis delicias; odio perſequere impunitatem, atque licentiam. Oderis injuſtitiam & iniquitatem, & cum Davide dicito: Iniquitatem odio habui, & abominatus ſum: legem autem tuam dilexi. Da igitur operam chariſſime, ut ſemper inveniaris paratus: & cùm venerit, qui animam tuam repetat, te paratum in pœnitentia comperiat. Et ego *polliceor tibi ſfore, ut nequaquam ab iis, qui ſalvantur, te ſegreget. (*al. fidejubeo.*) Serva ſemper Domini præceptum, quod dicit: *Parati eſtote, quia qua hora non putatis, filius hominis veniet.* (Luc. 12.40 Mat. 24,25. 1. Theſſ. 5. 17.) Audi & Apoſtolum clamantem: *Sine intermiſſione orate:* hoc eſt, in omni tempore, & noctu, & die, & quacumque hora: & dum intentus es operi, & iter facis, & curas gregem, & agrum colis, & dormis. Ne diem expectes Dominicum, aut feſtum, aut locorum differentiam: non enim circumſcribitor numen divinum; *Nam in manu ipſius ſunt omnes fines terræ.* (Pſal. 94. 4.) Propterea David Propheta per ſingulos dies ac noctes orans, non expectabat locorum differentiam: ſed lacrymans dicebat, ſuam ipſius admonens animam: In omni loco dominationis ejus, benedic anima mea Domino. Et tu igitur, frater, ne expectes diem, vel horam: ſed etiam, cùm dormies, ora; & in via, & dum cubas, & cùm ſurgis, & in quocumqoe loco. Ora autem vigilanter, ac diligenter: non opes poſtulans, non honorem, ac gloriam, non *proſperitatem, neqoe aliud quid mundi iſtius momentanei, atque inutilis. (*al. non ſanitatem.*) Hæc enim omnia corruptibilia ſunt, & in corruptionem deſinunt: ſive divitias ſummas dixeris, ſive gloriam humanam præilluſtrem; ſive quid aliud eorum, quæ ſunt ſuper terram: quib⁹ efferri ſolent homines. Cæterùm ora pro ſalute tua ſola: ora pro neceſſitatibus proximorum tuorum: ora verò cum humilitate, cum lacrymis, & continēter pulſa, ſive potius indeſinēter, atq; aſſiduè. *Omnis enim, qui petit, accepit: & qui quærit, invenit: & pulſanti aperietur.* (Matth. 7.8 Luc. 11,9.) Omnem quoque concupiſceotiam abnega mundanam, atque impietatem: *& ſobriè, ac juſtè, & piè vivas in hoc ſeculo brevi, expectans beatam ſpem, & adventum gloriæ magni Dei, & Salvatoris noſtri Jeſu Chriſti.* (*Tit 2,12. Epilogus cum adhortatione exēm la virtutum.*) Recordamini mei ſemper, fratres: & retinete traditiones, quas accepiſtis à Sanctis Patribus, & beatis viris, Prophetis, & Apoſtolis, univerſorum Domino. Pro exemplo autem afflictionis, & longanimitatis, habetis prophetas: tolerantiæ, Job: pudicitiæ, Joſeph: diſcretionis, Daniel; charitatis, Dominum noſtrum Jeſum Chriſtum, qui ſeipſum pro nobis dedit: pœnitentiæ, *Dei patrem David: nam hic typus, & forma nobis pœnitentiæ factus eſt, admonens nos, & cohortans, (*David typus, & exemplum pœnitentiæ*) ac dicens: Venite filii, audite me: & ego oſtendam vobis divitias pœnitentiæ: quoniam & ego aliquando offendi, & prolapſus ſum: at per pœnitentiam reſurrexi, cognoſcenſque benignitatem Domini, novi quomodo pœnitentiam agentes ſupinis manibus ſuſcipit: nam Dominum meum mentiri impoſſibile eſt. Ipſum enim dicentem audivi: *Quæ procedunt per *labia mea nequaquam aſpernabor.* (Pſ. 88, 35. *vulg. dolabis meis non faciam irrita.*) Cœlum & terra pertranſibunt: verba autem mea non præteribunt. Semel juravi in ſancto meo: *vivo ego, quia nolo mortem peccatoris, ſed ut convertatur, & vivat.* (Ezech. 18, 23. Matt. 24, 35.) Audiſtis contra ſeipſum juraſſe benigniſſimum Dominum? Idcirco omnes adhortatur: Venite, inquit, filii mei: & dum tempus habemus, acceleremus; antequam veniat dies Domini,

ἐὰν ἔχῃς, ἐλέησον· εἰ δὲ οὐκ ἔχεις, οὐ ζητεῖ ὁ Θεός. οὐκ ἔχεις ἄρτον, οὐκ ἔχεις ἱμάτιον; κλῖνον τὰ γόνατα, τύψον τὸ στῆθος, κατήγαγε τὰ δάκρυα, στέναξον, δάκρυσον, ἔκτεινον τὰς χεῖράς σου εἰς οὐρανὸν, ἆρον τὸ ὄμμα σου πρὸς τὸν δεσπότην, νήστευσον, ἀγρύπνησον. ταῦτα ἔχει πᾶς ἄνθρωπος, καὶ ἀρνήσασθαι οὐ δύναται· ταῦτα σπούδασον προσάγειν τῷ Θεῷ πάντοτε. ἀλλὰ καὶ ταῦτα μετὰ σπουδῆς, καὶ διακρίσεως δεῖ ποιεῖν, ἵνα μὴ εἰς ἀνόητα τρέχῃς, καὶ εἰς κενὸν κοπιάσῃς. ταύτας οὖν τὰς ἀρετὰς ποιῶν, καὶ τῷ Θεῷ προσφέρων τὴν μετάνοιαν, τήρησον ἀκριβῶς, καὶ ἐρεύνησον, μήποτε ἔχῃς ἔχθραν κατά τινος, καὶ ὁ σκοπός σου ἅπας εἰς κενὸν γένηται· ἀλλὰ καθὼς εἶπεν ὁ ἀπόστολος Παῦλος μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν ἐργαζόμενοι· καὶ τηροῦντες τὴν τοῦ Χριστοῦ ἐντολὴν, τὴν λέγουσαν, ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν. ἐὰν οὖν προσεύχῃ τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ, καὶ οὐ χλευάζων, καὶ μετεωριζόμενος. τήρησον αὐτοῦ τὴν ἐντολὴν ταύτην, καὶ ἄφες εἴ τι ἔχεις κατά τινος· ἐὰν θέλῃς ἀφεθῆναί σοι τὰ ἴδια παραπτώματα, ἄφες καὶ σὺ τὰ τοῦ πλησίον. ἐὰν δὲ σὺ οὐκ ἀφήσῃς τὰ τοῦ ἀδελφοῦ παραπτώματα, οὐδὲ τὰ σὰ ἀφήσει ὁ δεσπότης. γίνου ἕτοιμος, καὶ προσδέχου καθ' ἑκάστην ἡμέραν τὸν ἀπαιτοῦντα τὴν ψυχήν σου. μὴ σήμερον μετανοήσῃς, καὶ αὔριον ἐπιλάθῃ. μὴ σήμερον κλαύσῃς, καὶ αὔριον χορεύσῃς. μὴ σήμερον νηστεύσῃς, καὶ αὔριον μεθύων προέλθῃς. μὴ σήμερον ἀγρυπνήσῃς καὶ αὔριον ἀναπέσῃς. ἀλλὰ γνησίως μετανόησον, ἵνα στεφανωθῇς. μὴ νοθεύσῃς τὴν ἀρετὴν, μὴ ἀποφύγῃς τὸν κόπον, ἵνα μὴ στερηθῇς τοῦ στεφάνου. μίσησον πᾶσαν χαρὰν τοῦ κόσμου τούτου, καὶ τὴν δόξαν αὐτοῦ

* * * * * * *

καὶ εἰπὲ μετὰ τοῦ Δαβὶδ, ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. σπούδασον οὖν πάντοτε ἕτοιμος εἶναι, ἵνα ὅταν ἔλθῃ ὁ ἀπαιτῶν τὴν ψυχήν σου, εὕρῃ σε ἕτοιμον ἐν τῇ μετανοίᾳ. κἀγὼ ἐγγυῶμαί σοι, ὅτι οὐ μή σε χωρίσῃ τῶν σωζομένων· τήρησον ἀεὶ τὴν τοῦ Κυρίου ἐντολὴν, τὴν λέγουσαν, γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. ἀκούσατε καὶ τοῦ ἀποστόλου βοῶντος, ἀδιαλείπτως προσεύχεσθε, τουτέστι πάντοτε ἐν παντὶ καιρῷ, καὶ ἐν νυκτὶ καὶ ἡμέρᾳ, καὶ κατὰ πᾶσαν ὥραν, καὶ ἐργαζόμενοι, καὶ ὁδεύοντες, καὶ ποιμαίνοντες, καὶ γεωργοῦντες, καὶ κοιμώμενοι. μὴ ἀναμείνῃς κυρίαν τὴν ἡμέραν ἢ ἑορτὴν, ἢ τόπων διαφοράν. οὐ γὰρ περιγράφεται τὸ θεῖον· ἐν γὰρ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. διὰ τοῦτο καὶ ὁ προφήτης Δαβὶδ καθ' ἑκάστην ἡμέραν, καὶ νύκτα προσευχόμενος οὐκ ἀνέμενεν ἡμέραν, οὐδὲ τόπων διαφοράν, ἀλλὰ δακρύων ἔλεγε, καὶ παραινῶν τὴν ἑαυτοῦ ψυχήν· ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. καὶ σὺ, ἀγαπητὲ, μὴ ἀναμένῃς ὥραν ἢ ἡμέραν, ἀλλὰ καὶ ἐν τῷ οἴκῳ σου προσεύχου,

* * * * * * *

* * * * * * *

καὶ ἄκουε τοῦ ἀποστόλου λέγοντος, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. μνήσθητέ μου πάντες, ἀδελφοὶ, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε παρὰ τῶν ἁγίων πατέρων καὶ μακαρίων ἀνδρῶν προφητῶν τε καὶ ἀποστόλων, καὶ τοῦ δεσπότου τῶν ὅλων. ὑπόδειγμα δὲ τῆς κακοπαθείας καὶ μακροθυμίας ἔχετε τοὺς προφήτας, τῆς ὑπομονῆς τὸν Ἰὼβ, τῆς εὐφροσύνης τὸν Ἰωσὴφ, τῆς διακρίσεως τὸν Δανιὴλ, τῆς ἀγάπης τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν· τῆς μετανοίας, τὸν θεοπάτορα Δαβίδ. οὗτος γὰρ τύπος μετανοίας ἡμῖν γέγονε, παραινῶν ἡμῖν, καὶ παρακαλῶν, καὶ λέγων· δεῦτε τέκνα ἀκούσατέ μου, κἀγὼ ὑποδείξω ὑμῖν τὸν τῆς μετανοίας πλοῦτον, ἐπειδὴ κἀγώ ποτε ἐσκανδαλίσθην, ἀλλὰ διὰ τῆς μετανοίας ἀνέστην, καὶ γινώσκων τὴν τοῦ δεσπότου φιλανθρωπίαν οἶδα πῶς τοὺς μετανοοῦντας ὑπτίαις χερσὶν ὑποδέχεται. ἀδύνατον γὰρ τὸν ἐμὸν δεσπότην ψεύσασθαι. ἤκουσα γὰρ αὐτοῦ λέγοντος· τὰ ἐκπορευόμενα ἐκ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, ζῶ ἐγὼ, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. ἠκούσατε, ὅτι καθ' ἑαυτοῦ ὤμοσεν ὁ φιλάνθρωπος. διὰ τοῦτο προτρέπεται πάντας· δεῦτε τέκνα ἀκούσατέ μου· καὶ ὡς καιρὸν ἔχομεν ἐξυπνήσωμεν, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου

τὴν

σιν μεγάλην καὶ ἐπιφανῆ. προετοιμάσωμεν ἑαυτοὺς, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, αὐτὸς ἐποίησεν ἡμᾶς. αὐτὸς γάρ ἐστιν ὁ Θεὸς τῶν μετανοούντων, αὐτὸς προσδέχεται ἡμᾶς μετανοοῦντας. αὐτῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A magna, & illuſtris. Præparemus hic jam nos ipſos, fratres: præoccupemus faciem ejus in confeſſione. *Venite, adoremus, & procidamus ipſi*, & ploremus coram Domino, qui fecit nos. * quoniam ipſe eſt Deus noſter, ipſe fecit nos. Ipſe enim eſt Deus pœnitentium. Ipſe nos pœnitentes ſuſcipiet: ipſi gloria in infinita ſecula ſeculorum. Amen.

Pſal 94.1. * *al. quia ipſe eſt Deus noſter, ipſe fecit nos, &c.*

B

Εἰς τὸ ἱπποδρόμιον, λόγος.

ΣΤΑΔΙΟΝ ἡμῖν σήμερον πνευματικὸν καὶ δρόμος οὐράνιος ἀνέῳγε τοῖς ἑτοίμως πρὸς τὴν θεωρίαν τοῦ πνεύματος ἔχουσιν, οὐ κατὰ τὸν ἐκ γῆς χοϊκὸν, ἀλλὰ κατὰ τὸν τοῦ πνεύματος ἐπουράνιον ἄνθρωπον. C ἐφ' ᾧ δεῖ τρέχειν μὲν κατὰ τὴν γῆν, σκοπεῖν δὲ κατὰ τοῦ οὐρανοῦ. τοῦτο προήχθην ἱστορῆσαι πρὸς ἔλεγχον τῶν φιλοθεαμόνων, τῶν τὸ πνευματικὸν τῆς σωτηρίας θεώρημα παρορώντων, καὶ τὸ σωματικὸν τῆς πονηρίας ἱπποδρόμιον, μᾶλλον δὲ * Σατανοδρόμιον προτιμώντων θεωρεῖν. σὺ δὲ σπουδαίως, ἀγαπητὲ, μᾶλλον * * * * * * τὸ τῆς ἐκκλησίας ἀπερίεργον ἱπποδρόμιον, ἔνθα Παῦλος ἀγωνίζεται, „οὐκ εὐρίπου καὶ καμπτῶν κύκλους τρέχων, ἀλλ' ἀπὸ Ἱερουσαλὴμ D „κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ ἐκπληρῶν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· ἔνθα ὁ Ἠλίας ἡνιοχεῖ, περὶ οὗ εἴρηται, 1 Ἅρμα, ἅρμα, ἡνίοχε τοῦ Ἰσραὴλ, καὶ ἱππεὺς αὐτοῦ· οὐκ ἀπὸ λευκῆς ἐπὶ σφενδόνας μιλιοδρομῶν, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανὸν πυρίνου ἅρματος καταστολμῶν· ἔνθα λαὸς οὐρανοπολιτῶν ἐπὶ τὴν θεωρίαν πάρεισι, καὶ κριτὴς πνευματικὸς καθίζεται, καὶ βασιλεὺς θεωρεῖ, καὶ ἐπινίκιον οὐράνιον δωροντίθεται, καὶ μάστιγες φοβερᾶς κρίσεως πρόκεινται· βούλεταί σε ὁ Θεὸς, δι' E ἑαυτοῦ ἀγωνίζεσθαι· διὸ καὶ δέδωκέ σοι τὸ τῶν εὐαγγελίων * τετράθηρον ἅρμα, ἐν ᾧ ἅρματι ἵπποι λευκοὶ, κατὰ τὸν Ζαχαρίαν. ζυγαῖοι μὲν φῶς καὶ ἀθανασία, ἀκρωτῆρες δικαιοσύνη καὶ ἀλήθεια, οἱ πορευόμενοι κατόπισθεν τοῦ ἅρματος τοῦ πορευομένου εἰς γῆν Βορρᾶ· περὶ οὗ λέγει ἡ Σοφία, Σκληρὸς ἐστὶν ἄνεμος Βορρᾶς· σκληρὸν γὰρ ἀληθῶς πνεῦμα καὶ πονηρὸν ὁ διάβολος. ἐν ἅρματι αὐτοῦ ἵπποι μέλανες. ὑποζύγιοι μὲν ὁ ᾅδης καὶ θάνατος· ἀκρωτῆρες δὲ σκότος καὶ ἀπώλεια, οὓς δεῖ „καθηνιοχεῖν τῷ ἅρματι τοῦ Χριστοῦ. ὅτι τὸ ἅρμα, φησὶ, τοῦ Θεοῦ A „2 μυριοπλάσιον, χιλιάδες εὐθυνόντων, οὓς δεῖ καθηνιοχεῖν ἐν τῇ τρικυμίᾳ τοῦ βίου, ὡς ἐν θαλάσσῃ. ἐπεβίβασας γὰρ εἰς θάλασσαν τοὺς ἵππους αὐτοῦ ταράττοντας ὕδατα πολλὰ, καὶ καταστρέφοντας τὰ ἅρματα τοῦ νοητοῦ Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν Ἐρυθράν. ἔχει δὲ καὶ πάριππον ἄγγελον τὸν καταδιώκοντα καὶ περισκοτοῦντα „τοὺς ἵππους τοῦ ἐχθροῦ σου. Γενηθήτω γάρ, φησιν, ἡ ὁδὸς αὐτῶν σκό„τος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς. ἔχεις B ἐξ ἐναντίας τοὺς τὰς δόσεις αὐτοῦ καταγγέλλοντας Χαναναίους, 3 Φαρισαίους, Σαδδουκαίους. ἔχεις καὶ σὺ Μωσέα, Σαμουὴλ καὶ Δαβὶδ, οἳ προκατήγγειλαν περὶ τῆς ἐλεύσεως τοῦ δικαίου. ἔχει ἐκεῖνος μεταφίτας δαίμονας, Βὴλ καὶ Δαγὼν καὶ Βαὰλ καὶ Χαμὼς, οἱ τὸν Ἰσραὴλ ἔσφαλον 4 * ὑποσκελῶν, καὶ τὰ κῶλα αὐτῶν ἔρριψαν ἐν τῇ ἐρήμῳ. ἔχεις καὶ σὺ θυρανοίκτας Παῦλον, καὶ Σιλουανὸν, καὶ Τιμόθεον, καθὼς „αὐτοί φασιν. Ὅτι θύρα ἡμῖν ἀνέῳγε μεγάλη, καὶ ἐναργὴς, καὶ C „ἀντικείμενοι πολλοὶ, οἳ καὶ ἐζήτησαν ἵνα δοθῇ αὐτοῖς λόγος ἐν ἀνοί„ξει τοῦ στόματος αὐτῶν. ἔχει ἐκεῖνος 5 Φίλητον, Ἰούδαν, Δημᾶν καὶ Ἑρμογένη, Ὑμέναιον καὶ Ἀλέξανδρον τὸν χαλκέα ὑποκρίσεως γέμοντας. ἔχεις καὶ σὺ θεωρητὰς τὸν τῶν ἀγγέλων δῆμον, τὰ τῶν δικαίων τάγματα ἄνωθεν καθορῶντα· πῶς μὲν πάντες τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον· εἷς ὁ μετὰ τῆς ἀληθείας λαὸς τοῦ Χριστοῦ, εἷς ἐν Χρι- D „στῷ βαπτισθεὶς, καὶ Χριστὸν ἐνδυσάμενος, καὶ μηκέτι Ἰουδαῖος μηδ' „Ἕλλην, ἄρσεν καὶ θῆλυ, δοῦλος ἢ ἐλεύθερος, Σκύθης, Ἀρεῖος, Εὐνόμιος, 6 * Μακεδόνιος, ἀλλ' εἷς ἐν Χριστῷ. ἀξίως τοῦ Θεοῦ τρέχε, καὶ πολιτεύου, λαὲ τοῦ Θεοῦ, ἐν τῷ θεωρίῳ τοῦ παναγίου πνεύματος. μὴ τρεπέτω σε 7 τὰ προϊππικὰ κημεδευύματα, ἵνα μὴ καταλάβῃ σε τὰ πρὸ κρίσεως κινδυνεύματα. εἰ βούλει κημοδευεῖν καὶ διαγωνίσασθαι, δύνασαι τοῦτο ποιεῖν μᾶλλον ἐν τῷ θεωρήματι πνευματικῷ· E ζεῦξον κατὰ τῶν θηλυμανῶν ἵππων τοῦ διαβόλου τοὺς εὐσεβεῖς σου λογισμούς· ἀντιδιάταξαι κατ' ἰσχυρῶν μακροθυμίαν· Κρείττων „γάρ, φησι, μακρόθυμος ἰσχυροῦ. κατὰ Ἰουδαϊσμοῦ Χριστιανισμὸν, καθ' Ἑλληνισμοῦ θεοσέβειαν, κατὰ πορνείας σωφροσύνην, κατὰ πλεονεξίας ἐλεημοσύνην, κατὰ ψεύδους ἀλήθειαν, κατ' ὀργῆς πραότητα καὶ ἐπιείκειαν. πάλιν κατ' ὀξέων ζεῦξον 8 καθυποτακτὰς, τουτέστι, κατὰ θυμοῦ καὶ λύπης πραϋθυμίαν.

Ejuſdem Oratio de Circo.

JULIO BULENGERO interprete.

STEDIUM hodie ſpiritale, curſúſque cœleſtis nobis epertus eſt, ſi qui fortè ad ſpiritus ſpectaculum animo pulchre comparati ſumus, noo quidem illo homine, qui de terre terrenus eſt, ſed illo cæleſti, ſpiritúſque ductum ſequente vigentes. In quo C ſtadio per terram quidem decurrere, in cœlum autem oculis ferri oportet. Equidem adductus ſum ad hunc ſermonem, ut homines arguerem ſpectaculorum amantes, qui cùm ſpiritale ſalutis ſpectaculum neglectui habeant, corporale nequitiæ curriculum, magiſque Satanæ ſtudium pietati anteponunt. Ubi verò libentiùs, ac ſtudioſius chariſſime, verſari debes, quàm in eo Eccleſiæ non inutili, nec operoſo curriculo, in quo Paulus in certamen venit, non quidem Euripi, ſtadiorúmque orbes decurrens, *ſed ab Hieruſalem circumquaque Illyricum uſque*, Christi D Evangelium explens, ac divulgans. Quàm in eo curriculo, in quo Elias auriga eſt, de quo dictum eſt, currus, auriga Iſraël, & eques ejus: non à linea alba decurrens in milliario ad ſplendorem, & metam, ſed à terra cœlum uſque igneo curru tendere iter audens: ubi civium cœleſtium populus ad ſpectaculum adeſt, Judex ſpiritalis ſedet, rex ſpectat, victoriæ præmium cæleſte poſitum eſt, & flagella tremendi judicii proſtant. Vult te Deus per E ſeipſum certare: ideo tibi dedit Evangeliorum currum quatuor animalibus tractum, ed quem equi candidi adjugati ſunt, ſecundùm Zachariam. Jugales quidem, lumen & immortalitas: extremi duo, juſtitie & veritas, qui eunt poſt currum pergentem in terram Aquilonis: de quo Sapientia dicit, Ventus horridus boreas, aſper quippe, & horribilis ventus eſt diabolus: in ejus curru atri equi. Subjugales ſunt orcus, & Mors, extremi eutem, & finales Caligo, & Pernicies, quos oportet cum curru Chriſti cōponere, contráque eurigari: quia ſicut ille ait: *Currus Dei decem* A *millibus multiplex, millia lætantium in ipſo*: & quidem eos oportet in hujus vitæ procellis, ut in mari contra vim hoſtium rectis habenis tendere, Deduxerunt enim in mare Dei equos aquas multas turbantes, currus Pharaonis illius ſpiritalis evertentes, ejúſque copias rubri maris fluctibus obruentes: habet eutem currus Dei equitem vicinum, & aſſeſſorem Angelum, qui tetri illius hoſtis equites inſequitur, & tenebris involuit. *Fiant*, ait B ille, *viæ illorum tenebræ, & lubricum, & Angelus Domini perſequens eos.* Habes altere ex parte Chananæos, Phariſæos, Saducæos, largitiones Diaboli annuntiantes. Habes & tu Moyſem, Samuelem, & Devidem, qui juſti adventum prænuntiarunt. Habet Diabolus à tergo editores Dæmones, Bel, Dagon, Beal, & Chamos, qui ſupplantatum populum Iſraël deturbarunt & eorum membre in eremo diſjecerunt. Habes, & tu, qui tibi januam aperiant, Paulum, Sylvanum, & Timotheum: ſicut & ipſi dicunt, C *Oſtium nobis apertum eſt magnum, & evidens, & adverſarii multi, qui & ipſi petierunt, ut ſibi daretur ſermo in apertione oris.* Habet hoſtis hominum Philetum, Judam, Demam, Hermogenem, Hymenæum, & Alexandrum fabrum ærarium hypocryſi plenos. Habes & tu ſpectatorem Angelorum populum, omnéſque juſtorum ordines intuentes, quomodo omnes decurrant. Unus autem eſt, qui bravium eccipit, unus, inquam, revera Chriſti populus, unus ille Chriſti ſanguine, ſacróD que baptiſmate tinctus, *qui Chriſtum induit.* Et jam *non eſt Judæus, neque Græcus; non eſt ſervus, neque liber; non eſt maſculus, neque fœmina*; non Scytha, Arius, Eunomius, Macedonius: *ſed unus eſt in Chriſto.* Popule Dei, ſic curre, ſic age in circo ſancti Spiritus, ut Deo digna ſit tua decurſio. Ne te proluſio paribus equis evertat, ne ante judicium in periculum incidas. Si vis paribus equis currere, & deſignari hoc magis potes in ſpiritali ſpectaculo. Jungito contre equos Diaboli furentes libidine, pias E cogitationes: inſtruito te contra fortes patientia; *Melior eſt enim*, ait ille, *patiens viro forti.* Junge contra robuſtos longanimitatem; contra Judaiſmum, Chriſti fidem; contra Græcorum errores, Dei unius cultum, contre ebrietatem, ac proterviam, junge temperantiam; contre avaritiam, eleemoſynam; contra mendacium, veritatem; contre iram, lenitatem, ac manſuetudinem. Ruſum contra acriores impetus, junge eos motus, qui contrarios ſuperent; hoc eſt, contra iram & dolorem, animi æquitatem.

Ex edit. Buleng. Pariſ. 1598. — *Certamen ſpiritale.* — Rom. 15,19 — 4. Reg. 2, 12. — *Vide num melius legi poſſit* — Zach. 6. — Pſal. 66, 8. — Pſal. 34, 7. — 1. Cor. 16,9 — Eph. 6, 19. — 1. Tim. 1, 20 — 2. Tim. 4, 9. 10. 14. — Gal. 3, 27. 28. — Prov. 16, 32.

Vir

Prov. 4, 32 *Vir enim lenis, cordis eſt medicus.* Contra inimicitias, amicitiam, contra odium, charitatem; contra afflictionem, gratiarum actionem; contra ſuperbiam, humilitatem; contra malitiam, bonitatem, & ut uno verbo dicam, contra omnia adverſa, fidem orthodoxam, & ſalutarem habe. Oportet autem, aurigantem ſpiritus habere continentiam, ut ne in nauſeam incidens à labore deterrearis.

Verba illa κατ' ὀξέαν πραΰθυμίαν, redundant & delenda videntur.

1. Cor. 9, 25 *Omnis enim qui in agone contendit, ait ille, ab omnibus ſe abſtinet: & illi quidem, ut corruptibilem coronam accipiant, nos autem incorruptam.* Accipe & galeam ſalutaris, & flagellum in manu tua, quod è ſparto Chriſtus Dominus cùm feciſſet, expulit è templo negotiatores Diaboli. Stato firmiter ſopra vas electionis: Act. 8. aſcende Philippe ſuper currum Eunuchi ab immunditia omni liberati: conſcende currum animo minimè elato, oculos dirige in eum, qui lectione Evangelii mappam miniſtrat. Ne quis me putet per ludum hæc dicere, ſerio dico, nec mentior. Ut enim in circo, omnium oculi in mappam ſigno fixo rectâ feruntur, * cùm ii, qui ſuos in conſilio editoris, poteſtatem ejus ſigni pacriendi, ac promendi acceperint, itidem & qui in unum Eccleſiaſtici ſpectaculi cauſa convenerunt, diacono jam quatuor Evangelii fores aperturo, omnes in ipſum intuemur, ſilentium præbentes, & quando lectionis curriculum ingreſſus eſt, confeſtim exſorgimus & nos, acclamantes, Gloria tibi Domine: Aſcende in currum, venare, excorrito, contrahito, injicito, avertito, promito, mittito ex ore pulchram confeſſionem, excurrito in adverſarium.

expectantium eo ejus jactu carcerum apertionē.

Prov. 10, 10 *Qui enim ambulat ſimpliciter, ambulat confidenter.* Compeſcito eum, ſicut David Goliath. 1. Reg. 17. ejicito eum, ut Eliſæus Gieſi. 4. Reg. 5. premito eum ſicut Elias Achab, in vinea Naboth, 4. Reg. 9. averte eum in tenebras exteriores, Matt. 22, 13. *ubi ſtridor, & fletus dentium.* Attende tibi. Luc. 21, 34 Attendite enim, inquit, vobis, *ne quando graventur corda veſtra in crapula, & ebrietate.* Omnia ſufferte. Gal. 6, 2. *Alter alterius onera portate,* ait. Vias invias caveto, ne offendas pedem tuum ad lapidem. Ne retro avertaris, ſed memento uxoris Loth. Mediam juſtitiæ viam teneto, ne declines ad dexteram, aut lævam. Interius quære de paradiſo. Quære apud te, quæ Dei ſunt. Matt. 15, 19 *De corde enim exeunt malæ cogitationes, cædes, adulteria, furta, falſa teſtimonia, obloquutiones, blaſphemiæ, quæ hominem inquinant.* Ne cum Diabolo in currum una aſcenderis, quemadmodum nec Deus cum Iſraël aſcendit, qui duræ cervicis fuit. Ne cum eo aſcenderis, ad peccatum te vocat. Ipſe te flectet, ejus artem, & inſidias anteverte, dicens ipſi, retro diſcede à me Satana, quia non ſapis, quæ Dei ſunt, ſed quæ ſunt hominum. Extra maneto, fugitóque hominum conſortium, ut Elias fugiens Jezabel. Curre ad bravium cæleſtis vocationis. Non te comprehendet, ut neque famuli Abſalom comprehenderunt Jonatham & Achimaas ſacerdotes Domini fugientes. Non te Diabolus opprimet, ut neque regis Hiericho famuli exploratores Hebræos oppreſſerunt. Sed ſi fieri poteſt, illudito Diabolo, ſicut Raab meretrix iis qui Hebræos ad cædem quærebant. Non te ſuperabit, ut neque Pharao Moyſem, & Aaron, ſed circumvenito eum, ſicuti Magi Herodem, & alia via diverte. Ne in agone deficias, habes enim deſignatorē Deum, medicum Chriſtum. Ne deterrearis, habes enim victorem Spiritum Sanctum, qui te Samuelis myſtico unguento deliniet. Neq; ſitim metueris, habes enim aquam ſuper te quietis baptiſmi per cucurbitulam, ubi deſignator Sanctus ille fons, & tibi præit, Jona prædicante. Collige te, everte currum tyrannidis ejus, dejiciens eū in foveam, quam ipſe ſuffodit, deturbans eum in profundum, Pſal. 129, 1 quod ibi eſt. Ea pſalmo exclamato: *De profundis clamavi ad te Domine, Domine exaudi orationem meam.* Dejice eum in profundum, deflectens ſolus ex ejus exitiu, tolle in altum manus puras ad regem, accipiens bravium palmarum, ut à pueris olim factum eſt: & quatiens adorato eum: quia Bel excidit, Dagon contritus eſt. 1. Cor. 15, 57. *Gratias Deo, qui nobis victoriam dedit per Chriſtum Dominum noſtrum.* Hac victoriâ Paradiſum, ut lavacrum publicum, aperire poteris, ubi fluvii quatuor, aqua multa, ut in lavacro, in loco paſcuæ: ut & tu opportunè dicas: Pſal. 22, v. 2. *In loco paſcua ibi me collocavit,* ſuper aquam refectionis educavit me. Et ſuper 2. Tim. 4, 7 hæc omnia dicas exſultans, *Pulchrum certamen certavi, curſum confeci, fidem ſervavi, de reliquo repoſita eſt mihi corona juſtitiæ in Chriſto Jeſu* Domino noſtro, cui gloria in ſecula ſeculorum. Amen.

A Πραΰθυμος γάρ, φησιν, ἀνήρ, καρδίας ἰατρός. * κατ' ὀξέαν πραϋθυμίαν, κατ' ἔχθρας φιλίαν, κατὰ μίσους ἀγάπην, κατὰ θλίψεως εὐχαριστίαν, καθ' ὑπερηφανίας ταπεινοφροσύνην, κατὰ πονηρίας ἀγαθωσύνην, καὶ κατὰ παντὸς ἅπαξ ἐναντίου πράγματος τὴν ὀρθόδοξον καὶ σωτήριον πίστιν ἔχε. δεῖ δὲ τὸν ἡνιοχοῦντα καὶ τοῦ πνεύματος ἔχειν ἐγκράτειαν, ἵνα μὴ ναυσιασμῷ περιπεσὼν ἀκηδιάσῃς. ὁ γὰρ ἀγωνιζόμενος, φησι, πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα B φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. λάβε καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τὸ φραγέλλιον ἐν τῇ χειρί σου, ὃ Κύριος ἡμῶν Ἰησοῦς ποιήσας ἐκ σχοινίων, ἤλαυνεν ἀπὸ τοῦ ἱεροῦ τοὺς τοῦ διαβόλου ἐμπόρους. στῆκε ἑδραίως ἐπὶ τὸ σκεῦος τῆς ἐκλογῆς· ἀνάβηθι ἐπὶ τὸ ἅρμα τοῦ εὐνούχου, ὦ Φίλιππε, τοῦ ἀπηλλαγμένου τῆς ἀκαθαρσίας πάσης· ἀνάβηθι ἐπὶ τὸ ἅρμα· ἀμετεώριστος ἀτένιζε τῷ ἀναγνώσματι τοῦ εὐαγγελίου διακονοῦντι τὰ μαππάριον. μή τις με δόξῃ C γελοιάζοντα λέγειν, οὐ ψεύδομαι. ὡς γὰρ ἐν τῷ ἱπποδρομίῳ πάντων οἱ ὀφθαλμοὶ ἐπὶ τὸ μαππάριον, πεπηγότες τοῦ σημαντῆρος, ἀτενίζουσιν, ἐκδεχομένων ἐν τῇ βουλῇ ἐκείνου τὸ ἄνοιγμα· οὕτω δὴ καὶ οἱ ἐπὶ τὴν ἐκκλησιαστικὴν θεωρίαν εἰς τὸ αὐτὸ ἀθροιζόμενοι, τοῦ διακόνου ἀνοίγειν μέλλοντος τὴν τοῦ εὐαγγελίου τετράθυρον, πάντες αὐτῷ ἀτενίζομεν ἡσυχίαν παρέχοντες· καὶ ἡνίκα τοῦ δρόμου τῆς ἀναγνώσεως ἄρξηται, εὐθέως διανιστάμεθα ἡμεῖς, ἐπιφωνοῦντες· δόξα D σοι, Κύριε· ἀνάβηθι ἐπὶ τὸ ἅρμα, θήρευσον, ἀποδρόμησον, κατάστειλον, ἔκβαλε, ἀπόστρεψον, πίασον, καὶ ποίησον ἐκ τοῦ στόματος τὴν καλὴν ὁμολογίαν, ἀποδρόμησον κατὰ τοῦ ἐναντίου· ὁ γὰρ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. κατάστειλον αὐτὸν, ὡς ὁ Δαβὶδ τὸν Γολιάθ, ἔκβαλε αὐτὸν ὡς ὁ Ἐλισσαῖος τὸν Γιεζί, πίασον αὐτὸν ὡς ὁ Ἠλίας τὸν Ἀχαὰβ ἐν τῷ ἀμπελῶνι τοῦ Ναβουθαί, ἀπόστρεψον αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς E τῶν ὀδόντων. πρόσεχε σεαυτῷ. Προσέχετε γάρ, φησιν, ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ. πάντα βάστασον· Ἀλλήλων γάρ, φησι, τὰ βάρη βαστάζετε. ἄνοδα ἔχων φυλάττου μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· μὴ ἀποστρεφόμενος εἰς τὰ ὀπίσω, μνημόνευε τῆς γυναικὸς Λώτ. μέσον ἔχε ὁδὸν δικαιοσύνης, μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς ἀριστερά. ἔσωθεν ζήτει ἐκ τοῦ παραδείσου· ἔσωθεν ζήτει· ἐκ γὰρ τῆς καρδίας A ἐξέρχονται διαλογισμοὶ πονηροὶ, φόνοι, μοιχεῖαι, κλοπαὶ, ψευδομαρτυρίαι, καταλαλιαὶ, βλασφημίαι, τὰ κοινοῦντα τὸν ἄνθρωπον. μὴ συναναβῇς αὐτῷ· εἰς ἁμαρτίαν σε καλεῖ. αὐτός σε κάμψει· καὶ γνῶθι περὶ αὐτοῦ λέγων αὐτῷ. Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· ἔξω μεῖνον ὡς Ἠλίας φυγὼν τὴν Ἰεζάβελ· σπεῦδε εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως. μή σε καταλάβῃ, ὡς οὐδὲ Ἀβεσσαλὼμ παῖδες τοὺς περὶ Ἰωνάθαν καὶ Ἀχι- B μαὰς τοὺς ἱερεῖς τοῦ Κυρίου φυγόντας· μή σε πιάσῃ, ὡς οὐδὲ βασιλέως Ἱεριχὼ παῖδες τοὺς κατασκόπους· ἀλλ', εἰ δυνατὸν, ἀπάτησον αὐτὸν ὡς Ῥαὰβ τοὺς ἐρευνῶντας ἡ πόρνη· μή σε καθυποτάξῃ, ὡς οὐδὲ Φαραὼ τοὺς περὶ Μωσέα καὶ Ἀαρών· ἀλλὰ περίκαμψον αὐτὸν, ὡς οἱ μάγοι Ἡρώδην. μὴ ἀγωνιάσῃς· ἔχεις γὰρ τὸν διατάκτην Θεὸν, καὶ ἰατρὸν τὸν Χριστόν. μηδὲν πτοηθῇς· ἔχεις γὰρ ἀλείπτην τὸ πνεῦμα τὸ ἅγιον, τὸ τοῦ Σαμουὴλ μυστικῷ κέρατι χρίοντά σε τῷ μύρῳ· C μηδὲ τὸ δίψος φοβηθῇς· ἔχεις γὰρ τὸ ὕδωρ ἐπί σε τῆς ἀναπαύσεως τοῦ βαπτίσματος διὰ τῆς κολοκύνθης, ἵνα περιχεόμενόν σοι, τοῦτ' ἔστι, διὰ τῆς κηρυκείας τοῦ Ἰωνᾶ. ἀνάλαβε σε· στρέψον τὸ ἅρμα τῆς τυραννίδος αὐτοῦ· βάλε αὐτὸν εἰς βόθρον, ὃν εἰργάσατο· βάλε αὐτὸν εἰς τὴν βαθεῖαν ἐκεῖ. ψαλμικῶς ἀναβόησον, ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. βάλε αὐτὸν εἰς τὴν βαθεῖαν κατακάμψας μονώτατος ἐκ τῆς ἀπωλείας αὐτοῦ. ἆρον εἰς ὕψος ὁσίους χεῖρας πρὸς τὸν βασιλέα, D λαβὼν βραβεῖον τῶν φοινίκων κατὰ τοὺς παῖδας, καὶ σείσας προσκύνησον αὐτῷ, ὅτι ἔπεσε Βὴλ, συνετρίβη Δαγών. Χάρις δὲ τῷ Θεῷ τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν τοῦ Ἰησοῦ Χριστοῦ. ταύτῃ τῇ νίκῃ καὶ τὸν παράδεισον οἷα λουτρὸν πάνδημον ἀνοῖξαι δυνηθήσῃ, ὅπου ποταμοὶ τέσσαρες, ὕδωρ πολὺ, ὡς ἐν λουτρῷ ἐν τῷ ἀπὸ χλόης, ὅπως καὶ σὺ εὐκαίρως λέγῃς, εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν, E ἐφ' ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· καὶ ἐπὶ πᾶσι τούτοις καυχώμενος λέγῃς, τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ δόξα εἰς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Digitized by Google

Scholia & varia Lectiones.

Subjiciam huic orationi aliquot animadverſiones, quæ faciunt ad rem.

Ubi legitur [illegible], legendum puto [illegible], niſi vulgarem ac plebeiam id temporis vocem fuiſſe [illegible] quis putet. Locus ille 4. Reg. 2. in LXX. ita concipitur πάτερ πάτερ, ἅρμα Ἰσραὴλ, καὶ ἱππεὺς αὐτοῦ. Ambroſius tamen libro de Nabutha, cap. 5. ſic recitat, *Pater, pater, agitator Iſrael & eques ejus.*

2 [illegible] lego.

3. Fortè [illegible]

4. Repono [illegible], vel [illegible], vel [illegible].

5. Fortè [illegible], id eſt, fautores.

6. Repono [illegible], non [illegible].

7. Fortè [illegible].

8. Fortè [illegible], id eſt, motus eos qui lenitatem imperent.

9. Lego, [illegible].

10 Lego, [illegible], vel [illegible].

11. Lego, [illegible].

12. Lego, [illegible].

Εἰς τὸ γενέθλιον τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, λόγος. A

ΜΥΣΤΗΡΙΟΝ ξένον καὶ παράδοξον βλέπω· ποιμένες μου περιηχοῦσι τὰ ὦτα, οὐκ ἠρεμαῖον συρίζοντες μέλος, ἀλλ' οὐράνιον ᾄδοντες ὕμνον. ἄγγελοι ᾄδουσιν, ἀρχάγγελοι μέλπουσιν, ὑμνεῖ τὰ Χερουβὶμ, δοξολογεῖ τὰ Σεραφὶμ, πάντες ἑορτάζουσι Θεὸν ἐπὶ γῆς ὁρῶντες, καὶ ἄνθρωπον ἐν οὐρανοῖς· τὸν ἄνω κάτω δι' οἰκονομίαν, καὶ τὸν κάτω ἄνω διὰ φιλανθρωπίαν. Σήμερον Βηθλεὲμ τὸν οὐρανὸν ἐμιμήσατο· ἀντὶ μὲν ἀστέρων ἀγγέλους ὑμνοῦντας δεξαμένη, B ἀντὶ δὲ ἡλίου τὸν ἥλιον τῆς δικαιοσύνης ἀπεριγράπτως χωρήσασα. καὶ μὴ ζήτει πῶς. ὅπου γὰρ βούλεται Θεὸς, νικᾶται φύσεως τάξις. ἠβουλήθη γὰρ, ἠδυνήθη, κατῆλθεν, ἔσωσε, συνδρομεῖ τὰ πάντα τῷ Θεῷ. Σήμερον ὁ ὢν τίκτεται, καὶ ὁ ὢν γίνεται ὅπερ οὐκ ἦν. ὢν γὰρ Θεὸς, γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι Θεός. οὔτε γὰρ κατ' ἔκστασιν θεότητος γέγονεν ἄνθρωπος, οὔτε πάλιν κατὰ προκοπὴν ἐξ ἀνθρώπου γέγονε Θεὸς, ἀλλὰ λόγος ὢν διὰ τὸ ἀπαθὲς σὰρξ ἐγένετο, ἀμετα- C βλήτου μενούσης τῆς φύσεως. ἀλλ' ὅτε μὲν ἐτέχθη, Ἰουδαῖοι ἠρνοῦντο τὸν ξένον τόκον, καὶ Φαρισαῖοι παρηρμήνευον τὰς θείας βίβλους, καὶ γραμματεῖς ὑπεναντία τοῦ νόμου ἐλάλουν. Ἡρώδης τὸν τεχθέντα ἐζήτει, οὐχ ἵνα αὐτὸν τιμήσῃ, ἀλλ' ἵνα αὐτὸν ἀπολέσῃ. Σήμερον γὰρ πάντα ὑπεναντία εἶδον. οὐκ ἐκρύβη γὰρ, κατὰ τὸν ψαλμῳδὸν, ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. Βασιλεῖς μὲν γὰρ ἦλθον τὸν ἐπουράνιον Βασιλέα θαυμάζοντες, ὅπως ἐπὶ γῆς ἦλθεν, οὐκ ἀγγέλους ἔχων, οὐκ D ἀρχαγγέλους, οὐ θρόνους, οὐ κυριότητας, οὐ δυνάμεις, οὐκ ἐξουσίας, ἀλλὰ ξένην καὶ ἀτριβῆ βαδίσας ὁδὸν, ἐξ ἀγεωργήτου προῆλθε γαστρὸς, οὔτε τοὺς ἀγγέλους αὐτοῦ ἐρήμους τῆς ἐπιστασίας αὐτοῦ καταλιπὼν, οὔτε τῇ πρὸς ἡμᾶς ἐνανθρωπήσει τῆς οἰκείας θεότητος ἐκστάς, ἀλλὰ βασιλεῖς μὲν αὐτὸν τὸν ἐπουράνιον βασιλέα τῆς δόξης ἦλθον προσκυνήσοντες, στρατιῶται δὲ τὸν ἀρχιστράτηγον τῆς δυνάμεως θεραπεύσοντες· αἱ γυναῖκες τὸν ἐκ γυναικὸς τεχθέντα, ἵνα τὰς λύ- E πας τῆς γυναικὸς εἰς χαρὰν μεταβάλλῃ· αἱ παρθένοι τὸν τῆς παρθένου παιδίον, ὅπως ὁ γάλακτος καὶ μαζῶν δημιουργὸς τὰς πηγὰς μαζῶν αὐτομάτως ῥεῖθρα φέρειν ποιῶν, παρὰ μητρὸς παρθένου παιδίου τροφὴν ἔλαβε· τὰ νήπια τὸν νήπιον γενόμενον, ἵνα ἐκ στόματος νηπίων καὶ θηλαζόντων καταρτίσῃ αἶνον· οἱ παῖδες τὸν παῖδα, τοὺς μάρτυρας διὰ τὴν Ἡρώδου μανίαν ἐργασάμενον· οἱ ἄνδρες τὸν ἐνανθρωπήσαντα, καὶ τὰ τῶν δούλων θεραπεύσαντα κακά. οἱ ποιμένες τὸν ποιμένα τὸν καλὸν, τὸν τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων προθέμενον· A οἱ ἱερεῖς τὸν κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερέα γενόμενον· οἱ δοῦλοι τὸν μορφὴν δούλου λαβόντα, ἵνα ἡμῶν τὴν δουλείαν ἐλευθερίᾳ τιμήσῃ· οἱ ἁλιεῖς τὸν ἀπὸ ἁλιέων θηρευτὰς ἀνθρώπων ἐργαζόμενον· οἱ τελῶναι τὸν ἀπὸ τελωνῶν εὐαγγελιστὴν ἀναδείξαντα, αἱ πόρναι τὸν τοῖς πορνικοῖς δάκρυσι τοὺς πόδας προτεινόμενον. καὶ ἵνα μὴ συντόμως εἴπω· πάντες οἱ ἁμαρτωλοὶ ἦλθον ἰδεῖν τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν αἴροντα τὴν B ἁμαρτίαν τοῦ κόσμου, μάγοι δορυφοροῦντες, ποιμένες εὐλογοῦντες, τελῶναι εὐαγγελιζόμενοι, πόρναι μυροφοροῦσαι, Σαμαρεῖτις πηγὴν διψῶσα ζωῆς, Χαναναία πίστιν ἀναμφίβολον ἔχουσα. πάντων οὖν σκιρτώντων σκιρτῆσαι θέλω κἀγὼ, χορεῦσαι βούλομαι, πανηγυρίσαι Θεῷ. χορεύω δὲ οὐ κιθάραν πλήττων, οὐ θύρσον κινῶν, οὐκ αὐλοὺς ἔχων, οὐ δᾷδας ἅπτων, ἀλλ' ἀντὶ μουσικῶν ὀργάνων τὰ τοῦ Χριστοῦ σπάργανα φέρων. αὐτὰ γάρ μοι ἐλπὶς, αὐτά μοι ζωὴ, αὐτά μοι C σωτηρία, αὐτά μοι αὐλὸς, αὐτά μοι κιθάρα. διὸ καὶ αὐτὰ ἔρχομαι φέρων, ἵνα τῇ αὐτῶν δυνάμει ἰσχὺν λόγου λαβὼν μετ' ἀγγέλων εἴπω, δόξα ἐν ὑψίστοις Θεῷ, μετὰ δὲ ποιμένων, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. σήμερον ὁ γεννηθεὶς ἀρρήτως ἐκ πατρὸς, ἐκ παρθένου τίκτεται, ἀφράστως δι' ἐμέ. ἀλλὰ τότε μὲν κατὰ φύσιν ἐκ τοῦ πατρὸς πρὸ αἰώνων ἐγεννήθη, ὡς ὁ γεννήσας οἶδε, σήμερον δὲ πάλιν ὑπὲρ φύσιν ἐτέχθη, ὡς ἡ τοῦ ἁγίου πνεύματος ἐπίσταται χάρις. καὶ ἡ D ἄνω αὐτοῦ γέννησις ἀληθὴς, καὶ ἡ κάτω γέννησις ἀψευδὴς, καὶ ἀληθῶς Θεὸς ἐκ Θεοῦ ἐγεννήθη, καὶ ἀληθῶς ἄνθρωπος ὁ αὐτὸς ἐκ παρθένου ἐτέχθη. ἄνω μόνος ἐκ μόνου μονογενὴς, κάτω μόνος ἐκ παρθένου μόνης μονογενὴς ὁ αὐτός. ὥσπερ γὰρ ἐπὶ τῆς ἄνω γεννήσεως ἀσεβὲς νοῆσαι μητέρα, οὕτω βλάσφημόν ἐστιν ὑπολαβεῖν καὶ ἐπὶ τῆς κάτω

In Salvatoris noſtri Jeſu Chriſti nativitatem, Oratio.

FRONTONE DUCÆO interprete.

Myſterium novum & admirabile video: paſtorum vocibus aures meæ circumſonant, qui non leni cantu ſibilant, ſed cœleſtem hymnum concinunt, Angeli canunt, Archangeli modulantur, Cherubim hymnum dicunt, Seraphim glorificant, omnes feſtum celebrant, dum in terris Deum, & hominem in cœlis cernunt: eum qui ſurſum eſt, propter diſpenſationem deorB ſum verſari: eum qui deorſum erat, propter benignitatem ſurſum nunc verſari. Hodierno die Bethleem cœlum imitata eſt: quæ ſtellarum quidem loco angelos canentes excepit, ſolis autem loco juſtitiæ ſolem incircumſcriptè complexa fuit. Neque hic quæſieris, quomodo hoc factum ſit. Ubi enim Deus vult, ibi naturæ ordo cedit. Voluit enim potuit, deſcendit, ſalvavit, omnia Dei nutum ſequuntur. Hodie qui eſt, gignitur, & rurſum qui eſt, fit id, quod non erat; nam cum Deus eſſet, fit homo; ab ea tamen, C quam habebat, Deitate non excidit; neque enim cum Deitatis jactura factus eſt homo, neque rurſum per ſuccedentia incrementa ex homine factus eſt Deus: ſed Verbum exiſtens natura propria ob ſui impatibilitatem manente indemutata factum eſt caro. Quando autem natus eſt, Judæi quidem inuſitatum partum negabant. Phariſæi verò perperam ſacros libros interpretabantur, & ſcribæ, quæ legerant contraria loquebantur. Herodes eum qui natus erat, quærebat, non ut D eum honore afficeret, ſed ut eum interficeret. Hodie namque contraria cuncta cernebant Non enim occultata ſunt, ut cum Pſalmorum auctore loquar, à filiis eorum in generationem alteram. *Pſ. 77. 4.* Siquidem Reges venerunt & cœleſtem Regem ſuſpexerunt, quod in terram venerit, non Angelos ſecum habens, non Archangelos, non thronos, non dominationes, non virtutes, non poteſtates, ſed nova & minimè trita incedens via ex illibato proceſſerit utero: nec tamen Angelos ſuæ gubernationis exortes dereliquit, E neque propter incarnationem ſuam à ſua excidit Deitate: ſed Reges quidem venerunt, ut cœleſtem Regem gloriæ adorarent, milites autem, ut Principem exercitus colerent: mulieres, eum qui ex Virgine natus eſt, ut mulieris dolores in lætitiam commutet: virgines, filium virginis, admirantes qui fiat ut lactis conditor, qui efficit ut uberum fontes ſpontanea fluenta diffundant, à virgine matre pueruli alimentum accipiat: infantes, eum qui factus eſt infans, ut ex ore infantium & lactentium laudem perficeret: pueri, puerum, qui martyres ob Herodis inſaniam effecit: A viri, eum qui homo factus eſt, ut ſervorum malis moderetur: paſtores, bonum paſtorem, qui animam pro ovibus ſuis ponit: ſacerdotes, eum qui factus eſt Pontifex ſecundùm ordinem Melchiſedec: ſervi, eum qui ſervi formam accepit, ut noſtram ſervitutem honore libertatis ornaret, piſcatores, eum qui ex piſcatoribus huminum effecit venatores: publicani, eum qui ex publicanis ſelectum Evangeliſtam deſignat; meretrices eum qui lacrymis B meretriciis pedes ſuos exponit: atq; ut complectar brevi peccatores omnes advenerunt, ut agnum Dei cernerent, qui tollit peccata mundi, magi ut eum ſatellitio ſuo cingant, paſtores, ut eū benedicant, publicani, ut Evangelium prædicent. meretrices, ut unguenta deferant. Samaritana, ut fontem vitæ ſuiat, Chananæa, ut indubitatam fidem exhibeat. Cùm igitur omnes exultent, mihi quoq; places exultare, choreas agere volo, feſtúmq; Deo celebrare: porro choreas ago, non citharam pulſans, non thyrſū quatiens, C non tibias inflaus, non faces accendens, ſed muſicorū inſtrumentorum loco Chriſti cunarum faſcias geſtans. Hæ namq; mihi ſunt ſpes, hæ mihi vita, hæ mihi ſalus, hæ mihi tibiæ, hæ mihi cithara: propterea & ipſas geſtans advenio, ut earum virtute facultatē ſermonis adeptus cum Angelis dicam, Gloria in altiſſimis Deo; cum paſtoribus, Et in terra pax, in hominib' beneplacitum. Hodie qui ex patre ineffabiliter genitus eſt, ex virgine propter me inexplicabili modo naſcitur. Sed tum quidem ſecundùm naturam ante D ſecula genitus eſt ex patre, prout novit ille, qui genuit: hodie verò rurſus ex virgine præter naturam natus eſt, prout Spiritus ſancti novit gratia. Et ſuperna ejus generatio vera eſt, & inferior ejus generatio minimè falſa: & verè Deus ex Deo genitus eſt, & verè homo idem ex virgine natus eſt. Surſum ſolus ex ſolo unigenitus, deorſum ſolus ex ſola virgine idem unigenitus. Sicut enim

Citatur hic locus in Concilio Epheſino. Vide notas interpretis.

In ſuperna generatione matrem intelligere impium eſt: ſic & in A inferiori generatione patrem exiſtimare blaſphemum eſt. Pater abſque defluxu genuit, & virgo ſine corruptione peperit: nam neque defluxum ſuſtinuit pater: quippe qui, prout conveniebat Deo, genuit: neque virgo corruptionem ſuſtinuit pariendo, quippe quæ ſpiritualiter peperit. Unde neque ſuperna ejus nativitas explicari poteſt, neque progreſſus ejus in noviſſimis temporibus curioſè perveſtigari ſe ſinit. Nam virginem quidem hodie peperiſſe ſcio, & Deum ſine tempore genuiſſe credo: modum autem B generationis ſilentio didici venerari, non oratione curioſè illam inquirendam accepi. Siquidem in Deo non rerum natura eſt attendenda, ſed ejus, qui operatur, virtuti fides adhibenda. Lex enim eſt naturæ, cùm mulier matrimonio juncta parit: cùm verò innupta virgo poſtquam peperit, virgo rurſus apparet, tum res naturam excedit. Quod igitur ſecundum naturam fit, inquiratur: quod verò naturam ſuperat, ſilentio colatur: non tanquam fugiendum, ſed tanquam inenarrabile, dignúmque quod ſilentio C veneremur. Sed date mihi quæſo hanc veniam, ut in exordio finem faciam dicendi. Cum enim rerum ſublimiorum inveſtigationem attingere reformidem, quo pacto, aut quam in partem orationis clavum flectam neſcio. Quid enim dicam, aut quid loquar? Matrem video, quæ peperit; filium partu editum cerno: modum autem generationis non conſpicio: vincitur enim natura, vincitur ordinis limes, quando vult Deus. Non enim ſecundum naturam res accidit, ſed ſupra naturam miraculum D evenit. Quievit enim natura, ſed Domini voluntas operata eſt. O ineffabilem gratiam! unigenitus, qui eſt ante ſecula, qui tangi non poteſt, qui ſimplex eſt & incorporeus, corpus meum ſubiit corruptioni obnoxium, & aſpectabile. Quam ob cauſam? Ut conſpectus doceat, docens autem, ad ea quæ non cadunt ſub oculos, manu ducat. Nam quoniam oculos auribus fideliores eſſe exiſtimant homines, de eo verò dubitant, quod non vident, propterea dignatus eſt & per corpus oculis conſpectum E ſui præbere, ut dubitationem tolleret. Et naſcitur ex virgine, quæ rem ignorabat: nam neque cooperata eſt ad rem gerendam, neque contulit quippiam ad id quod fiebat: ſed nudum fuit arcanæ virtutis ejus inſtrumentum: tantum id noverat quod ex Gabriele ſciſcitata didicerat. Quomodo mihi fiet

Luc. 1. 34.

iſtud, quia virum non cognoſco? Tum inquit ille, vis hoc ſcire, Spiritus ſanctus ſuperveniet in te, & virtus Altiſſimi obumbrabit tibi. Et quomodo cum ipſa erat, & paulò pòſt ex A ipſa; Quemadmodum artifex inventa materia utiliſſima vas pulcherrimum fabricatur: ita Chriſtus invento virginis ſancto corpore & anima templum ſibi conſtruxit animatum, & hominem qua ratione voluit, efformavit ex virgine, eúmque indutus hodie proceſſit, neque naturæ deformitatem erubuit. Neque enim probroſum illi fuit, ut ſuum opus ipſe geſtaret; ipſum quoque opificium maxima gloria cumulabatur, quod opificis ſui fieret indumentum. Nam quemadmodum in pri- B ma formatione fieri non poterat, ut homo conſtitueretur, antequam lutum in ejus manus veniret: ita fieri nequit ut vas corruptibile tranſmutetur, niſi fiat opificis indumentum. Sed quid dicam, aut quid loquar? Miraculum enim in admirationem me traducit. Antiquus dierum factus eſt infans, & qui in ſolio ſublimi præcelſóque conſidet, in præſepio ponitur; & qui impalpabilis, & ſimplex, & incompoſitus, et que incorporeus eſt, humanis manibus contrectatur: qui peccatorum vincula diſ- C rumpit, faſciis conſtringitur, quando ire vult. Statuit enim ignominiam convertere in honorem, infamiam induere gloria, & contumeliæ fines modum virtutis oſtendere. Ideirco meum corpus ſubit, ut ejus verbi ego capax fiam, & meam carnem ſuſcipiens, ſpiritum mihi ſuum largitur, ut largiens & accipiens vitæ mihi theſaurum comparet. Carnem meam ſuſcipit, ut me ſanctificet: ſpiritum mihi ſuum largitur, ut ſalvum me faciat. Sed quid dicam, aut quid loquar? Ecce virgo D concipiet. Non jam dicitur, ut futurum, ſed ſuſpicitur ut jam factum. Atque apud Judæos quidem factum eſt, apud quos dicebatur: à nobis autem creditur, apud quos ne nominabatur quidem. Ecce virgo concipiet. Litera quidem Synagogæ eſt, poſſeſſio verò Eccleſiæ. Ille tabellas invenit, hæc margaritam adinvenit: illa lanam tinxit, hæc veſte purpurea eſt induta. Siquidem Judæa ipſum peperit, at orbis terrarum ipſum excepit. Synagoga ipſum aluit & E educavit: Eccleſia ipſum tenuit, eóque potita eſt. Apud illam palmes vitis, & apud me racemus veritatis. Illa racemum vindemiavit, & gentes myſticam potionem bibunt. Illa granum frumenti in Judæa ſeminavit; & gentes fidei falce ſegetem meſſuerunt. Gentes roſam piè decerpſerunt, & apud Judæos ſpina incredulitatis remanſit: pullus evolavit, & aſſident nido ſtulti: folia literæ interpretantur Judæi, & fructum Spiritus gentes decerpunt. Ecce virgo in utero concipiet. Dic mihi Judæe, dic mihi porro quem peperit

Citatur hic locus à S. Cyrillo Alexand. in lib. ad Reginas.

A γεννήσεως πατέρα. ὁ πατὴρ ἀῤῥεύστως ἐγέννησε, καὶ ἡ παρθένος ἀφθόρως ἔτεκεν· οὔτε γὰρ ὁ Θεὸς ῥεῦσιν ὑπέμεινε γεννήσας· θεοπρεπῶς γὰρ ἐγέννησεν· οὔτε ἡ παρθένος φθορὰν ὑπέμεινε τεκοῦσα, πνευματικῶς γὰρ ἔτεκεν. ὅθεν οὔτε ἡ ἄνω αὐτοῦ γέννησις ἐξήγησιν ἔχει, οὔτε ἡ ἐν ὑστέροις καιροῖς πρόοδος πολυπραγμοσύνης ἀνέχεται. ὅτι μὲν γὰρ ἔτεκεν ἡ παρθένος, σήμερον οἶδα, καὶ ὅτι ἐγέννησεν ὁ Θεὸς ἀχρόνως πιστεύω, τὸν δὲ τρόπον τῆς γεννήσεως σιωπῇ τιμᾷν μεμάθη- B κα, καὶ οὐ διὰ λόγων πολυπραγμονεῖν παρείληφα. ἐπὶ γὰρ Θεοῦ οὐ δεῖ τῇ φύσει τῶν πραγμάτων προσέχειν, ἀλλὰ τῇ δυνάμει τοῦ ἐνεργοῦντος πιστεύειν. φύσεως γάρ ἐστι νόμος, ὅταν γυνὴ προσομιλήσασα γάμοις τίκτῃ· ὅταν δὲ παρθένος ἀπειρόγαμος τεκοῦσα πάλιν παρθένος φανῇ, ὑπὲρ φύσιν τὸ πρᾶγμα. τὸ οὖν κατὰ φύσιν ζητείσθω, τὸ δὲ ὑπὲρ φύσιν σιγῇ τιμάσθω, οὐχ ὡς φευκτὸν, ἀλλ' ὡς ἀπόῤῥητον, καὶ σιωπῇ τιμᾶσθαι ἄξιον. ἀλλ' ἀπονεῖματέ μοι συγγνώ- C μην παρακαλῶ ἐν προοιμίοις καταπαῦσαι τὸν λόγον βουλομένῳ. δειλὸς γὰρ ὢν πρὸς τὴν τῶν κρειττόνων ἔρευναν, πῶς ἢ ποῦ τρέψω τοῦ λόγου τὰ πηδάλια οὐκ ἔχω. τί γὰρ εἴπω, ἢ τί λαλήσω; τὴν τεκοῦσαν ὁρῶ, τὸν τεχθέντα βλέπω, τὸν δὲ τρόπον τῆς γεννήσεως οὐ συνορῶ. νικᾶται γὰρ φύσις, νικᾶται καὶ τάξεως ὅρος, ὅπου Θεὸς βούλεται· οὐ γὰρ κατὰ φύσιν γέγονε τὸ πρᾶγμα· ἀλλ' ὑπὲρ φύσιν τὸ θαῦμα· ἠργήκει γὰρ ἡ φύσις καὶ ἐνήργησε τοῦ δεσπότου τὸ θέλημα. ὢ χάριτος ἀφράστου, ὁ πρὸ D αἰώνων μονογενὴς, ὁ ἀναφὴς καὶ ἁπλοῦς, καὶ ἀσώματος, ὑπεισῆλθέ μου τὸ φθαρτὸν καὶ ὁρατὸν σῶμα. διὰ τί; ἵνα βλεπόμενος διδάξῃ, διδάξας δὲ πρὸς τὸ μὴ βλεπόμενον χειραγωγήσῃ. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι τοὺς ὀφθαλμοὺς τῆς ἀκοῆς πιστοτέρους νομίζουσιν, ὃ δὲ μὴ βλέπουσιν ἀμφιβάλλουσι, διὰ τοῦτο ἠνέσχετο καὶ ὀφθαλμοῖς ἑαυτὸν δεῖξαι διὰ τοῦ σώματος προσαχθεὶς, ἵνα λύσῃ τὴν ἀμφισβήτησιν· καὶ τίκτεται ἐκ παρθένου ἀγνοούσης τὸ πρᾶγμα· οὔτε γὰρ συνήργησε πρὸς τὸ γινόμενον, οὔτε συνεβάλετο πρὸς τὸ πραττόμενον, ἀλλ' ἦν ψιλὸν ὄρ- E γανον τῆς ἀποῤῥήτου αὐτοῦ δυνάμεως· μόνον ᾔδει, ὃ παρὰ τοῦ Γαβριὴλ ἐρομένη ἔμαθεν, ὅτι πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καί φησι· τοῦτο βούλει μαθεῖν, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. καὶ πῶς ἦν μετ' αὐτῆς, καὶ μικρὸν ὕστερον ἐξ αὐτῆς; ὥσπερ τεχνίτης εὑρὼν ὕλην χρησιμωτάτην κάλλιστον ἀπεργάζεται σκεῦος· οὕτω καὶ ὁ Χριστὸς εὑρὼν τῆς παρθένου ἅγιον καὶ A τὸ σῶμα καὶ τὴν ψυχὴν ἔμψυχον ἑαυτῷ κατεσκεύασε ναὸν, ὃν ἠθέλησε τρόπον πλάσας τὸν ἄνθρωπον ἐν τῇ παρθένῳ, καὶ ἐνδυσάμενος αὐτὸν, σήμερον προῆλθεν, οὐκ αἰδεσθεὶς τὴν δυσείδειαν τῆς φύσεως. οὐδὲ γὰρ ὕβριν ἔφερεν αὐτῷ φορέσαι τὸ ἴδιον ἔργον· καὶ τὸ πλάσμα δὲ μεγίστην ἐκαρποῦτο δόξαν, ἔνδυμα τοῦ τεχνίτου γινόμενον. ὥσπερ γὰρ παρὰ τὴν πρώτην πλάσιν ἀδύνατον ἦν συστῆναι τὸν ἄνθρωπον πρὶν ἢ τὸν πηλὸν εἰς τὰς χεῖρας αὐτοῦ ἐλθεῖν· οὕτω καὶ τὸ φθαρτὸν σκεῦος ἀδύνατον μεταποιηθῆναι, εἰ μὴ γέγονεν ἔνδυμα τοῦ ποιήσαντος. B ἀλλὰ τί εἴπω ἢ τί λαλήσω; ἐκπλήττει γάρ με τὸ θαῦμα. ὁ παλαιὸς ἡμερῶν παιδίον γέγονεν, ὁ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενος ἐν φάτνῃ τίθεται, ὁ ἀναφὴς καὶ ἁπλοῦς, καὶ ἀσύνθετος, καὶ ἀσώματος χερσὶν ἀνθρωπίναις ἑλίσσεται, ὁ τὰ τῆς ἁμαρτίας διασπῶν δεσμὰ σπαργάνοις ἐμπλέκεται, ἐπειδὴ τοῦτο θέλει. θέλει γὰρ τὴν ἀτιμίαν ποιῆσαι τιμὴν, τὴν ἀδοξίαν ἐνδῦσαι δόξαν, τὸν τῆς ὕβρεως ὅρον, ἀρετῆς δεῖξαι τρόπον· ὅθεν ὑπέρχεται τὸ ἐμὸν σῶμα, ἵνα ἐγὼ C χωρήσω τὸν αὐτοῦ λόγον· καὶ λαβὼν τὴν ἐμὴν σάρκα, δίδωσί μοι τὸ ἑαυτοῦ πνεῦμα, ἵνα διδοὺς καὶ λαμβάνων θησαυρόν μοι ζωῆς ἐμπορεύσηται. λαμβάνει μου τὴν σάρκα, ἵνα με ἁγιάσῃ· δίδωσί μοι τὸ πνεῦμα αὐτοῦ, ἵνα με διασώσῃ. ἀλλὰ τί εἴπω, καὶ τί λαλήσω; ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει· οὐκέτι λέγεται ὡς γενησόμενον, ἀλλὰ θαυμάζεται ὡς πεπραγμένον· παρὰ Ἰουδαίοις ἐπέπρακτο, παρ' οἷς καὶ ἐλέγετο· ὑφ' ἡμῶν δὲ πιστεύεται, παρ' οἷς οὐδὲ ὠνομάζε- D το. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. τὸ μὲν γράμμα τῆς συναγωγῆς, τὸ δὲ κτῆμα τῆς ἐκκλησίας. ἐκείνη τὸ δελτίον εὗρεν· αὕτη τὸν μαργαρίτην ἐξεῦρεν· ἐκείνη τὸ ἔριον ἔβαψεν, αὕτη τὴν ἁλουργίδα ἐνεδύσατο. ἡ Ἰουδαία γὰρ αὐτὸν ἔτεκεν καὶ ἡ οἰκουμένη αὐτὸν ὑπεδέξατο. ἡ συναγωγὴ αὐτὸν ἔθρεψε καὶ ἐτιθηνήσατο, καὶ ἡ ἐκκλησία κατέσχε καὶ ἐκαρπώσατο. παρ' ἐκείνῃ τὸ κλῆμα τῆς ἀμπέλου, καὶ παρ' ἐμοὶ ὁ βότρυς τῆς ἀληθείας. ἐκείνη τὸν βότρυν ἐτρύγησε, καὶ τὰ ἔθνη τὸ E μυστικὸν πίνει πόμα. ἐκείνη τὸν κόκκον τοῦ σίτου ἐν τῇ Ἰουδαίᾳ ἔσπειρε, καὶ τὰ ἔθνη τῷ δρεπάνῳ τῆς πίστεως τὸν ἄσταχυν ἐθέρισε. τὰ ἔθνη τὸ ῥόδον εὐσεβῶς ἀπέκνισε, καὶ Ἰουδαίοις ἡ ἄκανθα τῆς ἀπιστίας ἀπέμεινεν. ὁ νεοττὸς ἀπέπτη, καὶ παρακάθηνται οἱ ἄφρονες τῇ καλιᾷ. τὴν φυλλάδα τοῦ γράμματος οἱ Ἰουδαῖοι ἑρμηνεύουσι, καὶ τὸν καρπὸν τοῦ πνεύματος τὰ ἔθνη δρέπονται. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται. εἰπέ μοι λοιπὸν ὦ Ἰουδαῖε, εἰπέ μοι λοιπὸν τίνα ἔτεκε; θάῤῥησόν μοι, καθὼς

ὡς τῷ

Digitized by Google

ὡς τῷ Ἡρώδῃ. ἀλλ' οὐ θαῤῥεῖς. οἶδα διατί, διὰ τὴν ἐπιβουλήν. ἐκείνῳ γὰρ εἶπας, ἵνα αὐτὸν ἀνέλῃ, ἐμοὶ δὲ οὐ λέγεις, ἵνα αὐτὸν προσκυνήσω. τίνα δὲ ἔτεκε; τίνα; τὸν δεσπότην τῆς φύσεως. κἂν γὰρ σὺ σιωπᾷς, ἡ φύσις βοᾷ. ἔτεκε γὰρ, ὡς ὁ τεχθεὶς τεχθῆναι ἠθέλησεν. οὐ γὰρ ὑπὸ τῆς φύσεως ἐπετρέπετο, ἀλλ' ὡς δεσπότης τῆς φύσεως ξένον τῆς γεννήσεως εἰσήγαγε τρόπον, ἵνα δείξῃ, ὅτι καὶ ἄνθρωπος γενόμενος οὐχ ὡς ἄνθρωπος τίκτεται, ἀλλ' ὡς Θεὸς γεννᾶται. ἐκ παρθένου οὖν σήμερον προῆλθε νικησάσης φύσιν, ὑπερβασάσης γάμον. ἔπρεπε γὰρ τῷ τῆς ἁγιωσύνης πρυτάνει ἐκ καθαρῶν καὶ ἁγίων προελθεῖν τόκων. αὐτὸς γάρ ἐστιν ὁ πάλαι ἐκ τῆς παρθένου γῆς τὸν Ἀδὰμ πλάσας, ἀπὸ δὲ τοῦ Ἀδὰμ ἄνευ γυναικὸς γυναῖκα μορφώσας. ὥσπερ γὰρ ὁ Ἀδὰμ ἄνευ γυναικὸς γυναῖκα ἐνήνοχεν, οὕτω καὶ σήμερον ἡ παρθένος ἄνευ ἀνδρὸς ἄνδρα ἔτεκεν· ἄνθρωπος γάρ ἐστι, φησὶ, καὶ τίς γνώσεται αὐτόν; ἐπειδὴ γὰρ ὤφειλε τὸ γυναικεῖον γένος τοῖς ἀνθρώποις τὴν χάριν, ὡς τοῦ Ἀδὰμ ἄνευ γυναικὸς γυναῖκα βλαστήσαντος, διὰ τοῦτο σήμερον ἔτεκεν ἡ παρθένος ἄνευ ἀνδρὸς ὑπὲρ τῆς Εὔας ἐκτίνουσα τοῖς ἀνδράσι τὸ χρέος. ἵνα γὰρ μὴ μέγα φρονήσῃ ὁ Ἀδὰμ, ἄνευ γυναικὸς γυναῖκα βλαστήσας, διὰ τοῦτο καὶ ἡ παρθένος ἄνευ ἀνδρὸς ἄνδρα ἔτεκεν, ἵνα τῷ κοινῷ τοῦ θαύματος τὴν ὁμοτιμίαν δείξῃ τῆς φύσεως· ὥσπερ γὰρ ἀπὸ τοῦ Ἀδὰμ τὴν πλευρὰν ἀφεῖλε, καὶ τὸν Ἀδὰμ οὐκ ἐμείωσεν ὅλως, οὕτω καὶ ἐν τῇ παρθένῳ καὶ τὸν ἔμψυχον ἔπλασε ναὸν, καὶ τὴν παρθενίαν οὐκ ἔλυσεν· σῶος ἔμεινεν ὁ Ἀδὰμ καὶ μετὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς· ἄφθορος ἔμεινε, καὶ ἡ παρθένος μετὰ τὴν πρόοδον τοῦ βρέφους. διὰ τοῦτο δὲ οὐκ ἀλλαχόθεν ἑαυτῷ ναὸν κατεσκεύασεν, οὐδὲ ἄλλο σῶμα πλάσας ἐνεδύσατο, ἵνα μὴ δόξῃ τὸ τοῦ Ἀδὰμ ἐνυβρίζειν φύραμα. ἐπειδὴ γὰρ ἀπατηθεὶς ὁ ἄνθρωπος ὄργανον γέγονε τοῦ διαβόλου, διὰ τοῦτο αὐτὸν τὸν ὑποσκελισθέντα ἔμψυχον ἀναλαμβάνει ναὸν, ἵνα διὰ τῆς πρὸς τὸν πεποιηκότα συναφείας ἐκ τῆς τοῦ διαβόλου αὐτὸν ἀποστήσῃ συνηθείας. ὅμως καὶ ἄνθρωπος γενόμενος οὐχ ὡς ἄνθρωπος τίκτεται, ἀλλ' ὡς Θεὸς γεννᾶται. εἰ γὰρ ἐκ κοινῶν γάμων προῆλθεν ὥσπερ ἐγὼ, ψεῦδος τοῖς πολλοῖς ἐνομίζετο· νῦν δὲ διὰ τοῦτο ἐκ παρθένου τίκτεται, τικτόμενος δὲ καὶ τὴν μήτραν ἀναλλοίωτον τηρεῖ, καὶ τὴν παρθενίαν ἀζήμιον διαφυλάττει, ἵνα ὁ ξένος τῆς κυήσεως τρόπος πίστεώς μοι μεγάλης πρόξενος γένηται. ὅθεν κἂν Ἕλλην με, κἂν Ἰουδαῖος ἐρωτᾷ, ὅτι Χριστὸς Θεὸς ὢν κατὰ φύσιν, ἄνθρωπος γέγονε παρὰ τὴν φύσιν, ἐρῶ ναὶ, μάρτυρα τοῦ λόγου τὴν ἄσπιλον τῆς παρθενίας σφραγῖδα καλῶν· οὕτω γάρ ἐστι Θεὸς νικῶν τὴν τῆς φύσεως τάξιν· οὕτω γαστρός ἐστι κεραμεὺς, καὶ παρθενίας εὑρετής, ὅτι καὶ ἀμόλυντον ἔσχε τῆς γεννήσεως τὸν τρόπον, καὶ ἑαυτῷ ἀφράστως ᾠκοδόμησε ναὸν, ὃν ἠβουλήθη τρόπον. εἰπέ μοι οὖν ὦ Ἰουδαῖε, ἔτεκεν ἡ παρθένος ἢ οὔ; εἰ μὲν γὰρ ἔτεκεν, ὁμολόγησον τὸν ξένον τόκον· εἰ δὲ οὐκ ἔτεκε, διὰ τί τὸν Ἡρώδην ἠπάτησας; σὺ γὰρ αὐτοῦ πυνθανομένου, ποῦ ὁ Χριστὸς γεννᾶται, εἶπας ὅτι ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· μὴ οὖν ἐγὼ ᾔδειν τὴν κώμην, ἢ τὸν τόπον; μὴ ἐγὼ τοῦ γεννωμένου τὴν ἀξίαν ἐγίνωσκον; οὐχ ὁ Ἡσαΐας ὡς Θεοῦ „ αὐτοῦ ἐμνημόνευσε; τέξεται γάρ φησιν υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα „ αὐτοῦ Ἐμμανουήλ. οὐχ ὑμεῖς οἱ ἀγνώμονες ἐχθροὶ τὴν ἀλήθειαν εἰσηγήσασθε; οὐχ ὑμεῖς οἱ γραμματεῖς καὶ Φαρισαῖοι οἱ ἀκριβεῖς τοῦ νόμου φύλακες πάντα τὰ κατ' αὐτὸν ἡμᾶς ἐδιδάξατε; μὴ τὴν τῶν Ἑβραίων γλῶσσαν εἴδομεν; οὐχ ὑμεῖς τὰς γραφὰς ἡρμηνεύσατε; μετὰ τὸ τεκεῖν τὴν παρθένον, καὶ πρὸ τοῦ τεκεῖν, ἵνα μὴ δόξῃ πρὸς χάριν τοῦ Θεοῦ ἑρμηνεύειν τὸ λεγόμενον; οὐχ ὑμεῖς ἐρωτώμενοι παρ' Ἡρώδου, μάρτυρα παρηγάγετε Μιχαίαν τὸν προφήτην, ἵνα ὑμῶν τὸν λόγον κυ„ ρώσητε; καὶ σὺ γάρ φησι Βηθλεὲμ οἶκος τοῦ Ἐφραθᾶ οὐδαμῶς ἐλα„ χίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα, ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις „ ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καλῶς εἶπεν ὁ προφήτης, ἐκ σοῦ· ἐξ ὑμῶν γὰρ ἐξῆλθε. καὶ εἰς τὴν οἰκουμένην ἦλθεν· ὁ γὰρ ὢν, προέρχεται· ὁ δὲ μὴ ὢν, κτίζεται, ἢ γίνεται. αὐτὸς δὲ καὶ ἦν καὶ προῆν, καὶ ἀεὶ ἦν. ἀλλ' ἦν μὲν ἀεὶ ὡς Θεὸς διέπων τὸν κόσμον, σήμερον δὲ προῆλθεν, ὡς ἄνθρωπος μὲν τὸν λαὸν ποιμαίνων, ὡς Θεὸς δὲ τὴν οἰκουμένην διασώζων. ὢ πολεμίων χρηστῶν· ὢ κατηγόρων φιλανθρώπων, οἳ τὸν ἐν Βηθλεὲμ τεχθέντα λανθάνοντες Θεὸν ἔδειξαν, οἳ τὸν ἐν φάτνῃ κρυπτόμενον δεσπότην ἐγνώρισαν, οἳ τὸν ἐν σπηλαίῳ καθήμενον ἐμήνυσαν ἄκοντες, καὶ εὐεργέτησαν μὴ θέλοντες, ἀπεκάλυψαν καλύψαι βουλόμενοι. εἶδες ἀμαθεῖς διδασκάλους; ἃ διδάσκουσιν, οὐ γινώσκουσι, πεινῶντες τρέφουσι, διψῶντες ποτίζουσι, πενόμενοι πλουτίζουσι. δεῦτε οὖν ἑορτάσωμεν, δεῦτε πανηγυρίσωμεν. ξένος γὰρ ὁ τῆς ἑορτῆς τρόπος, ἐπειδὴ καὶ παράδοξος ὁ τῆς γεννήσεως λόγος. σήμερον γὰρ ὁ χρόνιος ἐλύθη δεσμὸς, ὁ διάβολος ᾐσχύνθη, οἱ δαίμονες δραπετεύουσιν, ὁ θάνατος ἐλύθη, παράδεισος ἠνεῴχθη, ἡ κατάρα ἠφανίσθη, ἡ ἁμαρτία ἐκποδὼν γέγονεν, ἡ πλάνη ἀπηλάθη, ἀλήθεια ἐπανῆλθε, καὶ τῆς εὐσεβείας ὁ λόγος πανταχοῦ διεσπάρη, καὶ ἔδραμεν. ἡ τῶν ἄνω πολιτεία ἐν γῇ ἐφυτεύθη. ἄγγελοι μετὰ ἀνθρώπων κοινωνοῦσι, καὶ ἄνθρωποι μετὰ ἀγγέλων ἀδεῶς διαλέγονται. διὰ τί; ἐπειδὴ Θεὸς ἐπὶ γῆς ἦλθε, καὶ ἄνθρωπος ἐν οὐρανῷ·

mihi, ſaltem, ut Herodi. Sed non fidis. Scio quam ob cauſam: propter inſidias. Illi enim dixiſti, ut eum interficeret: mihi verò non dicis, ut eum adorem. Quemnam verò peperit? Quemnam? Naturæ dominum. Licet enim tu ſileas, clamat natura: peperit enim, ut voluit partu edi, qui partu eſt editus. Non enim ut à natura permittebatur, ſed ut naturæ dominus inuſitatum nativitatis modum invexit, ut oſtendat ſe hominem factum non ut hominem partu edi, ſed ut Deum naſci. Ex virgine igitur hodie prodiit, quæ naturam vicit, & nuptias ſuperavit. Etenim ſanctitatis diſpenſatori conveniebat, ut puro & ſancto partu in lucem ederetur. Ipſe namque eſt, qui è terra virgine quondam formavit Adamum, ex Adamo verò ſine muliere mulierem efformavit. Sicut enim ſine muliere protulit mulierem Adamus, ſic etiam virgo ſine viro hominem hodie peperit. Homo enim eſt, inquit, & quis cognoſcet eum? Nam quoniam hominibus genus muliebre beneficium debebat, ut pote quòd Adam ſine muliere mulierem produxerat, propterea virgo ſine viro hodie peperit, ac pro Eva debitum viris perſolvit. Ut enim non ſuperbiret Adamus, quòd ſine muliere mulierem progenuiſſet, idcirco & mulier ſine viro peperit virum, ut miraculi communione naturæ æqualitatem oſtenderet. Nam quemadmodum ab Adamo coſtam abſtulit, & Adamum nihil imminuit: ſic in virgine animatum templum effinxit, & virginitatem minimè ſolvit. Salvus & incolumis remanſit etiam poſt coſtæ privationem Adamus; incorrupta etiam virgo permanſit, poſtquam infans ex ea prodiit. Idcirco autem non aliunde ſibi templum exſtruxit, neque aliud corpus formatum induit, ne maſſam Adami contumelia afficere videretur. Nam quoniam deceptus homo, Diaboli inſtrumentum factus erat, propterea ipſum qui ſupplantatus fuerat tanquam animatum templum aſſumit, ut propter hanc cum ſuo conditore conjunctionem ipſum à Diaboli conſuetudine ac familiaritate divelleret. Verumtamen dum fit homo, non ut homo partu editur, ſed ut Deus naſcitur. Si enim ex communi conjugio prodiiſſet ut ego, figmentum à vulgo exiſtimatus eſſet. Jam verò idcirco ex virgine naſcitur, naſcens autem, & uterum illibatum conſervat, & intemeratam virginitatem cuſtodit, ut inuſitatus pariendi modus magnæ mihi fidei conciliator exiſtat. Unde ſive me Gentilis, ſive Judæus interroget, num Chriſtus cùm ſecundùm naturam Deus eſſet, homo præter naturam ſit factus, dicam, Sic eſt: & teſtem inviolatum virginitatis ſigillum citabo. Ita namque Deus eſt, qui naturæ ordinem vincat: ita ventris eſt fictor, & virginitatis inventor, qui & immaculatum habuerit nativitatis modum, & ineffabiliter templum ſibi, quo voluerit, modo conſtruxerit. Dic mihi ergo judæe, peperitne virgo an non? Si enim peperit, inuſitatum partum confitere: quòd ſi non peperit, cur Herodem fefelliſti? Nunquid enim ipſi ſciſcitanti, ubi Chriſtus naſceretur, dixiſti, *in Bethleem Judææ*; Num igitur ego pagum noveram aut locum? num ego dignitatem ejus qui natus erat, perſpectam habebam? Nonne Eſaias ipſius tanquam Dei mentionem fecit? *Pariet enim*, inquit, *filium, & vocabunt nomen ejus Emmanuel*: nonne vos improbi inimici veritatem introduxiſtis? nonne vos Scribæ & Phariſæi diligentes legis obſervatores omnes res ejus nos docuiſtis? nunquid Hebraicam linguam nos callemus? nonne vos ſcripturas interpretati eſtis? Poſtquam virgo peperit, & antequam pareret, videretur locus ille in gratiam Domini exponi? nonne vos interrogati ab Herode teſtem Michæam Prophetam protuliſtis, ut ſermonem veſtrum confirmaret? *Et tu enim*, inquit, *Bethleem domus Ephrata nequaquam minima es in principibus Juda: ex te enim exiet dux, qui reget populum meum Iſrael.* Rectè dixit Propheta ex te, ex vobis enim exiit, & in orbem terrarum venit. Qui enim eſt, progreditur; qui verò non eſt, creatur, aut fit: at ipſe & erat, & ante erat, & ſemper erat: ſed erat quidem ſemper ut Deus, mundū gubernans: hodie verò prodiit: ut homo, populum regit, ut Deus autem, orbem terrarum ſalvum facit. O benignos hoſtes. O modeſtos ac mites accuſatores, qui natum in Bethleem Deum eſſe imprudentes indicarunt: qui latentem in præſepio Dominum notum fecerunt, qui jacentem in ſpelunca inviti indicarunt, & beneficio nolentes ſua ſponte nos affecerunt, revelarunt, cùm occultare conarentur. Vides imperitos magiſtros? quæ docent ipſi neſciunt: fame confecti nutriunt, ſitientes potum præbent, egeſtate preſſi ditant. Venite igitur, feſtum agamus, venite ſolemnitatem celebremus. Inuſitatus enim eſt feſtivitatis modus, quandoquidem & incredibilis eſt ſermo nativitatis. Hodie namq; vetus ſolutum eſt vinculum, Diabolus confuſus eſt, dæmones aufugerunt, deſtructa mors eſt, paradiſus reſeratus, maledictio deleta eſt, peccatum è medio ſublatum eſt, ablegatus eſt error, veritas rediit, & pietatis ſermo undequaque diſſeminatus eſt, & cucurrit; converſatio cœlitum in terris plantata eſt, angeli cum hominibus communicant, homines cum angelis intrepidè colloquuntur. Quid ita? quoniam Deus in terram venit, & homo in cœlum,

Matt. 2. 5.
Eſa. 7. 14.
Matt. 1. 23.
Matt. 2. 6.

omnia paſſim commixta ſunt. Venit enim in terram, cùm totus in cœlo ſit, cùmque totus in cœlo ſit, totus eſt in terra. Cùm eſſet Deus, factus eſt homo, non negans ſe Deum eſſe: cùm eſſet verbum impatibile, factus eſt caro: ut habitaret in nobis, caro factus eſt. Deus enim factus non eſt, ſed erat. Propterea caro factus eſt, ut quem cœlum non capiebat, hodie præſepium ſuſciperet. Propterea ponitur in præſepio, ut is à quo nutriuntur omnia pueruli alimentum à virgine matre accipiat. Propterea futurorum ſeculorum pater tanquam ab ubere pendens infans, virgineas minimè refugit ulnas, ut Magis acceſſu facilis fiat. Siquidem & hodie Magi advenerunt, & tyrannum abnegandi initium fecerunt. & cœlum gloriatur, dum per ſtellam Dominum ſuum indicat, & ſuper nubem levem corporis ſui ſedens Dominus currit in Ægyptum: & fugere quidem Herodis videtur inſidias, re autem vera quod
Eſa. 19, 24. ab Eſaia dictum fuerat adimplet. *Erit enim*, inquit, *in die illa Iſrael tertius in Ægyptiis & in Aſſyriis benedictus erit populus meus in terra, quam benedixit Dominus Sabaoth*, dicens, Benedictus erit populus meus qui in Ægypto & qui in Aſſyriis & qui in Iſraël. Quid ais Judæe? qui primus eras, tertius factus es? Ægyptii & Aſſyrii tibi antelati ſunt, & primogenitus Iſraël, numero poſterior eſt? Ita eſt, meritò Aſſyrii primi erunt: quandoquidem & ipſi primi per Magos eum adoraverunt. Ægyptii verò poſt Aſſyrios quandoquidem ipſum Herodis inſidias fugientem exceperunt. Poſtremò vero loco numeratur Iſraël, quandoquidem poſt aſcen-
Eſa. 19, 1. ſum ejus ex Jordane tum demum ex Apoſtolis eum agnoverunt. Ingreſſus eſt autem Ægyptum concutiens Ægypti manufacta, non quoquo modo, ſed poſtquam Ægypti veſtibula concluſit interitu primogenitorum. Propterea tanquam primogenitus hodie ingreſſus eſt, ut antiquæ mœſtitiæ luctum ſolveret. Primogenitum verò dici Chriſtum teſtatur hodie Lucas Evangeliſta cum dicit, *Et peperit filium ſuum primogenitum, & pannis involvit eum,*
Luc. 2, 7. *& reclinavit eum in præſepio, quia non erat eis locus in diverſorio.* Ingreſſus eſt igitur Ægyptum, ut antiquæ mœſtitiæ luctum ſolveret: & plagarum loco, gaudium invexit, & loco noctis atque tenebrarum, lumen ſalutis largitus eſt. Contaminata tunc fuit aqua fluminis immaturæ ætatis infantium cæde: ingreſſus eſt igitur in Ægyptum is qui aquam rubram reddiderat, & fluminis fluentis vim gignendi ſalutem indidit, eorumque impuritatem ac ſordes ſpiritus virtute purgavit. Afflicti fuerunt Ægyptii, & furore correpti Deum abnegarunt. Ingreſſus eſt igitur in Ægyptum, & religioſas animas cognitione Dei complens, effecit ut flumen fœcundiores ſpicis martyres oleret. Sed propter anguſtias temporis hoc loco ſtatui finem facere dicendi, quod reliquum eſt negotii vobis in diem ſequentem reſervaturus: hîc autem orationi finem imponam, ubi hoc explevero, quo pacto nimirum, cùm impatibile verbum eſſet, caro factum ſit indemutata manente natura. Quid dicam, aut quid loquar? Fabrum & præſepe video & infantem, & cunarum faſcias, & virginis partum rebus neceſſariis deſtitutum, omnia egeſtate preſſa, omnia plena paupertatis. Vidiſti divitias in multa paupertate? quo modo cùm dives eſſet, egenus eſt noſtra cauſa factus, quo modo neque lectum, neque ſtragulum habuit, ſed in nudo præſepi erat projectus? O paupertatem, divitiarum fontem? O divitias immenſas, paupertatis ſpeciem præ ſe ferentes! In præſepi jacet, & orbem terrarum concutit: faſciis cunarum involuitur, & peccati vincula diſrumpit: Nondum in vocem articulatam erupit, & magos edocuit, & ad converſationem commovit. Quid dicam, aut quid loquar? Ecce infans faſciis involuitur, & in præſepi jacet: adeſt autem & Maria, quæ virgo, & mater eſt: aderat autem & Joſeph, qui pater appellatur. Hic vir dicitur, illa uxor vocatur: legitima ſunt nomina copulatione deſtituta. Verborum tenus hæc mihi intellige, non rerum tenus. Hic ſolùm deſponſavit, & Spiritus ſanctus obumbravit ei. Unde dubitans Joſeph, quid appellaret infantem neſciebat. Ex adulterio natum dicere ipſum non audebat. probroſum in virginem jacere ſermonem non poterat, filium ipſum dicere ſuum refugiebat, probè namque ſciebat ſibi ignotum eſſe, quo pacto, vel unde infans natus eſſet: quam ob cauſam illi de re dubitanti cœlitus oraculum
Matt. 1, 20 Angeli voce delatum eſt, *Noli timere Joſeph: quod enim ex ea ge-*
Luc. 1, 35 *nitum eſt, de Spiritu ſancto eſt.* Spiritus enim ſanctus virgini obumbravit. Quare vero ex virgine naſcitur, & virginitatem illibatam ſervat? quia quondam virginem Evam decepit Diabolus, idcirco ad Mariam, quæ virgo erat, fœlicem nuntium Gabriel detulit. Sed decepta quidem Eva peperit verbum, quod mortem intulit, at fœlicem nuntiū accipiens Maria Verbum in carne genuit, quod vitam nobis æternam conciliat. Verbum Evæ lignum indicavit, per quod lignū è paradiſo Adamum expulit. Verbum autem quod ex virgine prodiit, crucē exhibuit, per quam latronē vice Adami in paradiſū introduxit. Nam quoniam neq; Gentiles, neq; Judæi, neq; hæretici credebant Deum ſine paſſione ac defluxu genuiſſe,

πάντα ἀναμὶξ γέγονεν. ἦλθε γὰρ ἐπὶ τῆς γῆς ὅλος ὢν ἐν οὐρανοῖς. ὅλος δὲ ὢν ἐν οὐρανῷ ὅλος ἐστὶν ἐπὶ τῆς γῆς. Θεὸς ὢν γέγονεν ἄνθρωπος, οὐκ ἀρνησάμενος τὸ εἶναι Θεός. λόγος ὢν ἀπαθὴς, σὰρξ ἐγένετο, διὰ τὸ ἐνοικῆσαι ἡμῖν. σὰρξ ἐγένετο. Θεὸς γὰρ οὐκ ἐγένετο, ἀλλ' ἦν. διὰ τοῦτο σὰρξ ἐγένετο, ἵνα ὃν οὐκ ἐχώρει οὐρανὸς, δέξηται φάτνη. διὰ τοῦτο ἐν φάτνῃ ἐτέθη, ἵνα ὁ τρέφων τὰ σύμπαντα παιδικὴν τροφὴν παρὰ μητρὸς παρθένου λάβῃ. διὰ τοῦτο ὁ τῶν μελλόντων αἰώνων πατὴρ ὡς ὑπομάζιον βρέφος παρθενικῶν ἀνέχεται ἀγκαλῶν, ἵνα καὶ μάγοις εὐπρόσιτος γένηται. σήμερον γὰρ καὶ μάγοι προσῆλθον, ἀρχὴν λαβόντες ἀρνήσεως τοῦ τυράννου, καὶ ὁ οὐρανὸς καυχᾶται ἀστέρι τὸν ἴδιον δεσπότην μηνύων, καὶ ὁ Κύριος ἐπὶ νεφέλης κούφης τοῦ σώματος καθεζόμενος ἐπὶ τὴν Αἴγυπτον τρέχει. τῷ μὲν δοκεῖν φεύγων τὴν Ἡρώδου ἐπιβουλὴν, τῇ δὲ ἀληθείᾳ ἀποπληρῶν τὸ παρὰ τοῦ Ἠσαΐου εἰρημένον· ἔσται γάρ φησιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ἰσραὴλ τρίτος εὐλογημένος « ἐν τῇ γῇ ἣν εὐλόγησε Κύριος Σαβαὼθ, λέγων, εὐλογημένος « ἔσται ὁ λαός μου ὁ ἐν τοῖς Αἰγυπτίοις καὶ ἐν τοῖς Ἀσσυρίοις, καὶ ἐν Ἰσραήλ. τί λέγεις ὦ Ἰουδαῖε; ὁ πρῶτος, τρίτος γέγονας; Αἰγύπτιοι καὶ Ἀσσύριοι προσετάχθησαν, καὶ ὁ πρωτότοκος Ἰσραὴλ ὑπαριθμεῖται; ναί; εἰκότως Ἀσσύριοι πρῶτοι ἔσονται, ἐπειδὴ καὶ αὐτοὶ αὐτὸν πρῶτοι διὰ τῶν μάγων προσεκύνησαν, Αἰγύπτιοι δὲ μετὰ τοὺς Ἀσσυρίους, ἐπειδὴ καὶ αὐτοὶ φεύγοντα τὴν Ἡρώδου ἐπιβουλὴν ὑπεδέξαντο. τελευταῖος δὲ Ἰσραὴλ ὑπαριθμεῖται, ἐπειδὴ μετὰ τὴν ἄνοδον τὴν ἐκ τοῦ Ἰορδάνου ἐγνώρισαν αὐτὸν τότε ἐκ τῶν ἀποστόλων. εἰσῆλθε δὲ εἰς Αἴγυπτον σείων τὰ χειροποίητα τῆς Αἰγύπτου οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ ἀπέκλεισε τῆς Αἰγύπτου τὰ πρόθυρα τῇ πρωτοτόκων ἀπωλείᾳ. διὰ τοῦτο σήμερον εἰσῆλθεν ὡς πρωτότοκος, ἵνα τὸ παλαιᾶς συνηθείας διαλύσῃ τὸ πένθος. καὶ ὅτι πρωτότοκος λέγεται ὁ Χριστὸς, μαρτυρεῖ σήμερον ὁ Λουκᾶς ὁ εὐαγγελιστὴς, λέγων, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς « τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν ἐν τῇ φάτνῃ, « διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. εἰσῆλθεν οὖν εἰς τὴν Αἴγυπτον, ἵνα τὸ παλαιᾶς συνηθείας διαλύσῃ τὸ πένθος, ἀντὶ μαστίγων, χαρὰν ἐπιβαλὼν, ἀντὶ νυκτὸς καὶ σκότους, σωτηρίας φέγγος χαρισάμενος. βεβήλωτο τότε τοῦ ποταμοῦ τὸ ὕδωρ τῇ τῶν ἀώρων νηπίων σφαγῇ. εἰσῆλθεν οὖν εἰς τὴν Αἴγυπτον ὁ πάλαι τὸ ὕδωρ φοινίξας, καὶ ἐποίησε τὰ ῥεῖθρα τοῦ ποταμοῦ σωτηρίας γεννητικὰ, καὶ ἐκ ῥυπῶν αὐτοῦ καὶ βεβήλων δυνάμει καθαρίσας τοῦ πνεύματος. ἐκακώθησαν οἱ Αἰγύπτιοι, καὶ μανέντες ἠρνήσαντο τὸν Θεόν. εἰσῆλθεν οὖν εἰς τὴν Αἴγυπτον, καὶ γνώσεως Θεοῦ ψυχὰς θεοφιλεῖς ἐπλήρωσε· τῷ ποταμῷ δὲ παρέσχε μάρτυρας τρέφειν σταχύων εὐφορωτέρους. ἀλλὰ διὰ τὸ στενὸν τοῦ καιροῦ ἐνταῦθα βούλομαι καταπαῦσαι τὸν λόγον. ὥστε δὲ καταπαύσω, τὸν λόγον πληρώσας, ὅτι πῶς λόγος ὢν ἀπαθὴς, σὰρξ ἐγένετο, ἀμεταβλήτου μενούσης τῆς φύσεως. τί δὲ εἴπω, ἢ τί λαλήσω; τέκτονα καὶ φάτνην ὁρῶ, καὶ βρέφος, καὶ σπάργανα, λοχὸν παρθένου τῶν χρειῶν ἔρημον, ὅλα πτωχείας ἐχόμενα, ὅλα πενίας γέμοντα. εἶδες πλοῦτον ἐν πενίᾳ πολλῇ, πῶς πλούσιος ὢν δι' ἡμᾶς ἐπτώχευσε; πῶς οὔτε κλίνην, οὔτε στρωμνὴν ἔσχεν, ἀλλ' ἐπὶ ξηρᾶς ἔρριπτο φάτνης; ὦ πενία πλούτου πηγή· ὦ πλοῦτε ἀμέτρητε, πενίας προσχῆμα φέρων. ἐν φάτνῃ κεῖται, καὶ τὴν οἰκουμένην σαλεύει· ἐν σπαργάνοις ἐμπλέκεται, καὶ τὰ τῆς ἁμαρτίας διαρρήσσει δεσμά. οὔπω ἔναρθρον ἔρρηξε φωνὴν, καὶ μάγους ἐδίδαξε, καὶ ἐκίνησε πρὸς ἐπιστροφήν. τί εἴπω, ἢ τί λαλήσω; ἰδοὺ βρέφος σπαργάνοις ἐμπλέκεται, καὶ ἐν φάτνῃ κεῖται. πάρεστι δὲ καὶ Μαρία παρθένος οὖσα καὶ μήτηρ· παρῆν δὲ καὶ Ἰωσὴφ ὀνομαζόμενος πατήρ. οὗτος ἀνὴρ λέγεται, ἐκείνη γυνὴ προσαγορεύεται· ὀνόματα νόμιμα συζυγίας ἔρημα· μέχρι ῥημάτων νόησαί μοι, ἀλλ' οὐ μέχρι πραγμάτων. μόνον οὗτος ἐμνηστεύσατο, καὶ πνεῦμα ἅγιον αὐτῇ ἐπεσκίασεν. ὅθεν ἀπορῶν ὁ Ἰωσὴφ οὐκ ᾔδει τί καλέσει τὸ βρέφος. ἐκ μοιχείας αὐτὸ εἰπεῖν οὐκ ἐτόλμα, κατὰ τῆς παρθένου βλάσφημον καταχέαι λόγον οὐκ ἠδύνατο, τέκνον αὐτὸ εἰπεῖν ἴδιον οὐκ ἐβούλετο. ᾔδει γὰρ καλῶς, ὅτι οὐκ ἔγνω πῶς ἢ πόθεν ἐτέχθη τὸ βρέφος· ὅθεν ἀποροῦντι αὐτῷ πρὸς τὸ πρᾶγμα, χρησμὸς οὐρανόθεν διὰ τῆς τοῦ ἀγγέλου φωνῆς ἐπιφέρεται, ὅτι μὴ φοβοῦ Ἰωσὴφ, « τὸ γὰρ γεννώμενον ἐξ αὐτῆς ἐκ πνεύματός ἐστιν ἁγίου. πνεῦμα γὰρ « ἅγιον ἐπεσκίασεν ἐν τῇ παρθένῳ. διὰ τί δὲ ἐκ παρθένου τίκτεται, καὶ τὴν παρθενίαν ἀζήμιον τηρεῖ; ὅτι πάλαι παρθένον οὖσαν τὴν Εὔαν ἠπάτησεν ὁ διάβολος, διὰ τοῦτο παρθένον οὖσαν τὴν Μαριὰμ ὁ Γαβριὴλ εὐηγγελίσατο. ἀλλ' ἀπατηθεῖσα μὲν ἡ Εὔα ῥῆμα ἔτεκε θανάτου αἴτιον, εὐαγγελισθεῖσα δὲ Μαρία λόγον ἐν σαρκὶ ἐγέννησε ζωῆς αἰωνίου ἡμῖν πρόξενον. τὸ ῥῆμα τῆς Εὔας ξύλον ἔδειξε, δι' οὗ τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου ἐξώσεν· ὁ λόγος δὲ ὁ ἐκ τῆς παρθένου τὸν σταυρὸν ἔδειξε δι' οὗ τὸν λῃστὴν εἰς πρόσωπον τοῦ Ἀδὰμ, εἰς τὸν παράδεισον εἰσήγαγεν· ἐπειδὴ γὰρ οὐκ ἐπίστευον Ἕλληνες, οὐκ Ἰουδαῖοι, οὐκ αἱρετικῶν παῖδες, ὅτι ὁ Θεὸς ἀῤῥεύστως καὶ ἀπαθῶς ἐγέννησε.

διὰ

Digitized by Google

διὰ τοῦτο σήμερον ἐκ παθητοῦ σώματος προελθὼν ἀπαθὲς τὸ παθητὸν διετήρησε σῶμα, ἵνα δείξῃ, ὅτι ὥσπερ ἐκ τῆς παρθένου τεχθεὶς τὴν παρθενίαν οὐκ ἔλυσεν, οὕτω καὶ ὁ Θεὸς ἀῤῥεύστου καὶ ἀναλλοιώτου μενούσης τῆς ἁγίας οὐσίας, ὡς Θεὸς Θεὸν θεοπρεπῶς ἐγέννησεν. ἐπειδὴ γὰρ καταλιπόντες αὐτὸν οἱ ἄνθρωποι ἀνθρωπόμορφα ἔγλυφον ξόανα, οἷς καὶ ἐλάτρευον ἐφ' ὕβρει τοῦ κτίσαντος, διὰ τοῦτο σήμερον ὁ τοῦ Θεοῦ λόγος Θεὸς ὢν ἐν μορφῇ ἀνθρώπου ὤφθη, ἵνα καὶ τὸ ψεῦδος λύσῃ, καὶ λανθανόντως εἰς ἑαυτὸν τὴν λατρείαν ἀπενέγκηται· τούτῳ οὖν τῷ ἐξ ἀπόρων πόρον ἐργασαμένῳ Χριστῷ δόξαν ἀναπέμψωμεν σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ὁμιλία εἰς τὸ, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου· καὶ εἰς τὴν ἀπογραφὴν τῆς ἁγίας Θεοτόκου.

ΜΕΛΛΟΝΤΟΣ, ἀγαπητοὶ, τοῦ κοινοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τίκτεσθαι, δόγμα παρὰ Καίσαρος Αὐγούστου ἔρχεται καθολικὸν εἰς πᾶσαν τὴν οἰκουμένην. ἐπειδὴ γὰρ καθολικὴ χάρις ἐκλάμπειν ἔμελλεν εἰς πᾶσαν τὴν γῆν, συνάπτεται τρόπον τινὰ τὰ δημόσια τῇ εὐσεβείᾳ· καὶ γίνεται ἓν πρόσταγμα καθ' ὅλης τῆς οἰκουμένης, τικτομένου τοῦ Σωτῆρος. ἐξῆλθεν οὖν δόγμα παρὰ Καίσαρος Αὐγούστου, ὥστε ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην εἰς προοίμιον συμφωνίας τῆς εὐσεβείας, εἰς πάροδον τοῦ κηρύγματος, εἰς ὁδοποίησιν τῆς διδασκαλίας. πρότερον μὲν γὰρ αἱ τοπαρχίαι πυκναὶ ἐτύγχανον. ἐπειδὴ Καίσαρος οὐκ ἦν δόγμα τοῦ καθολικοῦ κηρύγματος· ἐπειδὴ δὲ ἔμελλε κήρυγμα καθ' ὅλης τῆς οἰκουμένης τῆς εὐσεβείας ἡ πίστις διαδίδοσθαι, συνάπτεται ἡ οἰκουμένη ὑφ' ἑνὶ συνθήματι· καὶ οὐ μόνον ἡ οἰκουμένη, ἀλλὰ καὶ τὰ κάτω τοῖς ἄνω, καὶ δημοσιεύεται ἡ εὐσέβεια συμφερόντως ἀνθρώποις, ἵνα μηδένα διαλάθῃ ἡ κατὰ τὸν Θεὸν ἀλήθεια.

2. Καῖσαρ Αὔγουστος κελεύει, καὶ πείθεται Ἰωσήφ, καὶ λαμβάνει τὴν παρθένον. ὅταν ἐρωτήσῃς Ἕλληνα ἢ καὶ αὐτὸν τὸν Ἰουδαῖον, διὰ τί Αὔγουστος πολλῷ χρόνῳ τῆς βασιλείας τετίμηται [ἐβασίλευσε γὰρ ἔτη πεντήκοντα ἓξ καὶ μῆνας τέσσαρας·] ἀποκρίνονται μὲν οὐδέν, νομίζουσι δὲ κατὰ ἀποκλήρωσιν αὐτῷ τὸν χρόνον γεγονέναι μακρότατον, οὐκ εἰδότες τὰς αἰτίας τῶν πραγμάτων, οὐδὲ πιστεύοντες τῇ τοῦ Θεοῦ χάριτι. ἐπ' αὐτοῦ γὰρ ἐτέχθη Ἰησοῦς ὁ Χριστός. ὁ τοίνυν βασιλεὺς Ῥωμαίων Αὔγουστος καὶ πρῶτος, εἰκότως τῇ καταβολῇ τῆς Ῥωμαίων βασιλείας τὴν οἰκονομίαν ἐνεδέξατο ὁ Χριστός. ἔμελλε γὰρ ἡ ῥάβδος εἰσάγεσθαι ἡ σιδηρᾶ, ἡ ῥάβδος περὶ ἧς ἔλεγεν ὁ Δαβίδ, ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ὡσανεὶ τοῦ πατρὸς πρὸς τὸν υἱὸν διαλεγομένου, καὶ λέγοντος, Ἰουδαῖοι παρῃτήσαντό σου τὴν βασιλείαν, καὶ τὴν ἀρχὴν ἠτίμασαν· εὐκαταφρόνητον τὸ ἔθνος, ὀλίγοι εἰσὶν οἱ ἀποστραφέντες· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, οὐ τὴν γωνίαν τῆς Παλαιστίνης, οὐδὲ τὸ ἔθνος τὸ περιτετμημένον, τὸ μάταιον καὶ ἀκάρδιον τῇ ψυχῇ· ἀλλὰ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ποιμανεῖς δὲ αὐτοὺς ἐπειδὴ οὐκ ἠθέλησαν τῷ εὐαγγελίῳ ὑπακοῦσαι· ἐπειδὴ οὐκ ἠθέλησαν εἶξαι τοῖς θαύμασι, ποιμανεῖς αὐτοὺς, οὐ λόγῳ, ἀλλ' ἔργῳ, καὶ ῥάβδῳ σιδηρᾷ, τῇ Ῥωμαίων ἀρχῇ. διὰ τοῦτο ὑπετάγησαν τῇ ἀρχῇ τῆς ῥάβδου.

3. Ἰησοῦς γὰρ ὅτε ἦλθεν εἰς Ἱεροσόλυμα, καὶ εἶδεν ἐν τῷ ἱερῷ ἐμπορίαν καὶ πραγματείαν αἰσχροκερδῆ [ἐπίπρασκον γὰρ ἔσω, καὶ ἠγόραζον, προφάσει τῶν θυσιῶν ἔνδον ἐμπορευόμενοι] ποιήσας οὖν ῥάβδον καὶ φραγέλλιον ἐκ σχοινίων, ἐξέβαλεν αὐτοὺς ἐκ τοῦ ἱεροῦ, λέγων, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου. καὶ εἰ ἦσαν ἀνασχόμενοι ἐκείνης τῆς ῥάβδου, οὐκ ἂν ἐποιμάνθησαν ῥάβδῳ σιδηρᾷ. ἐπειδὴ δὲ τὴν σωτήριον ῥάβδον ἠτίμασαν, γεγόνασιν οὐχ ὑπὸ φραγέλλιον, οὐδὲ ὑπὸ τὸν λόγον, τὸν μαστίζοντα τοὺς εὐαισθήτους, ἀλλ' ὑπὸ τὴν ῥάβδον, τὴν σιδηρᾶν· καὶ πολλάκις ἠθέλησαν παραγκωνίσασθαι, καὶ κατέλαβεν αὐτοὺς ἡ σιδηρᾶ ῥάβδος, οὐχ ἁπλῶς τύπτουσα, ἀλλ' ἀναιροῦσα. ὅτε τοίνυν ἡ σιδηρᾶ ῥάβδος ἀρχὴν ἔλαβε τοῦ κράτους ἐπὶ Αὐγούστου, τότε δὴ καὶ ὁ Χριστὸς ἐτέχθη. ἀρχὴ Ῥωμαίων, ἀρχὴ κηρύγματος, ἡ τετάρτη τῶν χρόνων βασιλεία. ἔστι γὰρ ἰδεῖν μυστικῶς ταῦτα παρὰ τοῖς προφήταις τεθησαυρισμένα. οὐδὲν γὰρ ἄγραφον κεῖται οὔτε ἐν τῇ καινῇ, οὔτε ἐν τῇ παλαιᾷ· ἀλλὰ προέλαβε τὴν καινὴν ἡ παλαιὰ, καὶ ἡρμήνευσε τὴν παλαιὰν ἡ καινή. πολλάκις εἶπον, ὅτι δύο διαθῆκαι, καὶ δύο παιδίσκαι, καὶ δύο ἀδελφαὶ, τὸν ἕνα δεσπότην δορυφοροῦσι. Κύριος παρὰ προφήταις καταγγέλλεται· Χριστὸς ἐν καινῇ κηρύσσεται· οὐ καινὰ

A Propterea hodie ex patibili corpore progreſſus, impatibile conſervavit corpus patibile, ut oſtenderet, quemadmodum ex virgine natus virginitatem non ſolvit, ita Deum quoque, non defluxa nec mutata manente ſacra ſubſtantia, tanquam Deum, prout Deo conveniebat, Deum genuiſſe. Poſtquam enim homines eo derelicto ſtatuas ſibi humana præditas forma ſculpſerant, quibus in creatoris contumeliam cultum deferebant, propterea Dei verbum, cùm Deus eſſet, hodie in hominis forma apparuit, ut mendacium diſſolveret, & occultè in ſeipſum cultum B omnem transferret. Huic igitur, qui res impeditas ita reddidit expeditas, Chriſto Domino gloriam offeramus, una cum Patre & Spiritu ſancto nunc & ſemper & in ſecula ſeculorum. Amen.

Homilia in illud, Exiit edictum à Cæſare Auguſto: & in deſcriptionem Deiparæ.

Eodem interprete.

C CUM communis omnium noſtrum Salvator naſciturus eſt, dilectiſſimi, à Cæſare Auguſto in totum orbem terrarum univerſale exiit edictum. Nam quoniam univerſalis gratia quædam toti mundo affulſura erat, ea quæ ſunt reipublicæ cum religione quodammodo connectuntur, & in univerſum orbem fit unum decretum Salvatore naſcente. Exiit igitur edictum à Cæſare Auguſto, ut deſcriberetur univerſus orbis, in præparatio- D nem concordiæ concentúſque religionis, ut Evangelii prædicationi via ſterneretur, ut iter doctrinæ præpararetur. Priùs quidem multi erant principatus, quando Cæſaris non erat edictum præconii ejuſdem univerſalis: poſt quam autem per univerſum terrarum orbem communi quodam præconio religionis fides propaganda foit, tum univerſus orbis ſub una teſſera copulatur: neque tantum orbis terrarum, ſed & cœleſtibus terrena junguntur, & magno hominum commodo pietas ac Dei cultus publi- E catur, ut nemini divina veritas occultetur.

Ex codice regio Medicæo & Bavar.

2. Imperat Cæſar Auguſtus, & paret Joſeph, ac virginem ſecum aſſumit. Cùm Græcum ac Gentilem aliquem, vel ipſum etiam Judæum interrogaveris, quamobrem Auguſto tantum honoris obtigerit, ut multo tempore regnarit; (annos enim ſex & quinquaginta menſéſque quatuor imperavit.) nihil illi quidem reſpondent: ipſi verò ſorte aliqua longiſſimum temporis ſpatiũ obveniſſe arbitrantur, neque rerum cauſas intelligunt, neque A Dei gratiæ credunt: ejus enim ætate natus eſt Jeſus Chriſtus. Si igitur Romanorum Imperator Auguſtus & primus, eo imperante ſolùm, Salvator Chriſtus meritò in ipſa conſtitutione imperii Romanorum, diſpenſationem in carne ſuſcepit: erat quippe immittenda virga ferrea, de qua dixit David, *Reges eos in virga ferrea, & poſtula a me & dabo tibi gentes hæreditatem tuam, & poſſeſſionem tuam terminos terræ*: quaſi ſolus cum filio pater colloqueretur ac diceret, Regnum tuum aſpernati ſunt Judæi, tu- B umq; imperium probris affecerunt, contemptibilis natio eſt hæc, pauci ſunt, qui averſati ſunt: *poſtula à me & dabo tibi gentes hæreditatem tuam: & poſſeſſionem tuam terminos terræ*, non angulum Palæſtinæ, neque circumciſam nationem, vanam & anima væcordi præditam, ſed dabo tibi gentes hæreditatem tuam, & poſſeſſionem tuam terminos terræ. Reges autem eos, quandoquidem Evangelio obedire noluerunt, reges eos non ſermone, ſed opere & virga ferrea imperio Romano: propterea virgæ C imperio ſunt ſubjecti.

Pſal. 2. 8.

3. Nam cùm Hieroſolyma veniſſet Jeſus, & in templo mercatum ac negotiationem turpi lucro redundantem conſpexiſſet, vendebant quippe intùs, & emebant, & occaſione ac ſpecie ſacrificiorum intra fanum ipſum mercaturam exercebant: cùm ergo virgam & flagellum de funicolis feciſſet, ejecit eos de templo, dicens, *Nolite facere domum patris mei domum negotiationis*: quòd ſi virgam illam toleraſſent, non utique eos in virga ferrea D rexiſſet: quando autem ſalutarem virgam ignominioſè rejecerunt, non flagello ſubjecti ſunt, neq; ſermoni, qui minimè ſtupidos, acriq; præditos ſenſu caſtigat; ſed virgæ ferreæ: ac ſæpenumero illam ſubmovere conati ſunt: ſed comprehendit eos virga ferrea, quæ non ſimpliciter percutit, ſed è medio penitus tollit. Quo itaq; tempore virga ferrea initium cepit, imperantis Auguſti ætate, tunc nimirum & Chriſtus eſt natus. Principiũ Romanorum, principium prædicationis quartum temporum E regnum, hæc enim apud Prophetas myſticè in futurum recondita videre licet: nihil quippe non ſcriptum reperitur neq; in novo neque in veteri teſtamento: ſed vetus novum præoccupavit: & vetus interpretatum eſt novum. Sæpenumero dixi duo teſtamenta eſſe & duas ancillas duáſque ſorores, quæ dominum unum ſatellitum in morem ſtipant. Dominus apud Prophetas annuntiatur: Chriſtus in novo prædicatur: non nova,

Joh. 2. 15.

ſunt nova: vetera ſiquidem præceſſerunt: non extincta ſunt vetera, quippe quæ in novo teſtamento ſunt expoſita.

4. Enimvero Danielem illum intueri potes, juvenem quidem ætate, prophetia verò jam canum, in Babylone prophetantem, quare verò in Babylone? fuerat quippe in captivitatē abduct⁹ populus in Babylonem, jámq; in terris Aſſyriorum ſeptuaginta annos exegerat. Ibi ergo naſcitur Daniel, ibi educatur: neq; tamen ullam ex alienigenarum regione labem contrahit: Erat enim eo ſenſu ac magnitudine animi prædi(t)us quæ patribus digna eſſet: & ab ipſa juventute fit Propheta: mentémq; illius Spiritus ſanctus afflavit: cumq; decem & octo annorum eſſet, prophetiam ſuam inchoavit. Ac multa quidem ſunt ea quæ prædixit: interpretatur autem & regna quatuor, vidit enim Aſſyriorum Rex Nabuchodonoſor quatuor in imagine differentias, unum quidem corpus, quatuor verò colores: nam caput quidem aureum erat imagini, pectus argenteum, venter æreus, pedes ferrei: & ex quadruplici erat materia conflata. Et viderat quidem Rex, qui verò interpretatur, non erat. Venêre Magi, venêre Chaldæi, producti ſunt vates, qui Regem ſeducebant, vocati ſunt: quid verò illi reſpondent? Dic nobis ſomnium, & interpretamur: Deus ſapienter providens ut ne ab illis more ſolito deciperetur, omnem imaginem ſomnii ex Regis memoria delevit, dicebátq; Rex illis, Dicite mihi ſomnium meum. Cum autem illi ſe non poſſe alterius ſomniū narrare palam faterentur, ſed tantum, ubi illud audiviſſent, interpretari, acceſſitur Daniel poſtquam indicatum eſt eum ad hæc

Dan. 2. 31. præſtanda idoneum eſſe: atque ad Regem Nabuchodonoſor introducitur, ſomni afferens revelationem à ſpiritu ſancto manantem: & his verbis Regem compellat; Hæc & iſta vidiſti ò Rex; tū ſimul atque hæc verba Propheta protulit, in audientis Regis memoriam ſomnium redit, & ex auditione recordatio nata eſt viſionis. Interpretatur itaque illud Propheta: jam enim ex ipſa denunciatione ſomnii fidem ſibi conciliat ut interpres, & ait, Imago quam vidiſti, regna ſunt; quatuor enim regna conſurgent in terris. Atq; illa quidem imago integra erat, unum corpus conſiſtebat; vidiſti verò Rex abſciſſum eſſe lapidem ſine manibus, & imaginē contriviſſe, ac lapidem occupaſſe, atq; impleviſſe terram univerſam. Hoc illud eſt quod vidiſti; quatuor regna vidiſti. Tu es caput aureum: primi enim regnant Aſſyrii, opibus admodū potentes & clariſſimi deliciiſq; ac mollitie perditiſſimi: Et ait illi, tu es caput aureum: & poſt te conſurget regnum aliud minus te: nam poſt Aſſyrios regnant Perſæ ac Medi: fuerunt autem & iſti illuſtriſſimi.

6. Tertium conſurget regnum æreum, Græcorum ac Macedonum regnum, quandoquidem, cùm in Græcia eſſet Alexander, motis caſtris in Perſidem impetum fecit, & Dario ſuperato regnū ejus ſub imperium ſuum ditionémq; ſubjunxit: Comparatus eſt ergo æri, quod ſonora in colloquiis voce uteretur: Græci enim qui Alexandro merebant, ut & Alexander ipſe cùm facunda & expedita in congreſſu lingua ſint præditi, cum ære collati ſunt. Etenim ſplendidum quidem eſt aurum, at minùs ſonorum, paritérq; argentum: æs verò materia quidem ac mole minus, ſed ſonorum eſt, cum pulſatur: ait ergo tertium regnum eſſe quod per æs ſignificatur; quartum verò regnum eſt poſtremum. Reges itaq; illos in virga ferrea? vide concentum & concordiam prophetiæ: vidit quippe quomodo ſine manibus lapis de monte ſit abſciſſus quo pacto abſciſſus eſt? non ferro, ſed ſine manibus: ſponte enim & abſque aliena ope virgo parit: lapis autem percuſſit imaginem, & factus eſt in montem magnum, & implevit univerſum orbem terrarum, unus lapis abſciſſus eſt ſine manibus, & factus eſt in montem magnum, & implevit univerſum orbem terrarum.

7. Qualis tandem eſt lapis iſte? audi Eſaiam dicentem, *Ecce e-*

Eſa. 28, 16. *go pono in Sion lapidem offenſionis & petram ſcandali, & omnis qui credit in eum, non confundetur.* Neq; verò ſolus Eſaias de lapide

Pſ. 117, 22. verba facit, ſed & David prædicit, *Lapidem quem reprobaverunt ædificantes, hic factus eſt in caput anguli. A Domino facta eſt hæc: & eſt mirabilis in oculis noſtris,* qualis tandem angulus eſt factus? omnis angulus duos parietes ſeipſo conjungit: conjunxit autem hic lapis novum ac vetus teſtamentum, duos populos ex gentibus & ex Judæis. A Domino facta eſt hæc, & eſt mirabilis in oculis noſtris: non in oculis omnium, ſed in oculis noſtris, qui credimus. Cùm igitur Eccleſiam videris, per lapidem unum ex Judæis gentibúſq; conflatam, tum maximè tibi veniat in mentem quod jam dicitur. Verumenim vero dicit fortaſſe quiſpiam, ubi quæſo ſunt inter nos aliqui ex Judæis? nam ex gentibus quidem pleroſq; videmus qui verò ex Judæis, ubi ſunt? unde erat Paulus? unde erat Petrus? unde porro Andreas? unde Joannes? unde denum millium Eccleſia in Hieruſalem congregata? primum ex Judæis, deinde ex Græcis? quum enim ii qui apud ipſos erant ſpem habentes pietatis, crediderunt: tum venit illa virga ferrea & eos

A τὰ καινά. περιέλαβε γὰρ τὰ παλαιά. οὐκ ἐσβέσθη τὰ παλαιά· ἡρμηνεύθη γὰρ ἐν τῇ καινῇ.

4. Ἴδοις γὰρ ἂν τὸν Δανιὴλ ἐκεῖνον τὸν νεώτερον τῇ ἡλικίᾳ, πολιὸν δὲ τῇ προφητείᾳ, ἐν τῇ Βαβυλῶνι προφητεύοντα. διὰ τί ἐν Βαβυλῶνι; ᾐχμαλώτιστο γὰρ ὁ λαὸς εἰς Βαβυλῶνα, καὶ ἑβδομήκοντα ἔτη ἐν γῇ Ἀσσυρίων ἐπεπροίκει· ἐκεῖ οὖν γεννᾶται ὁ Δανιήλ, ἐκεῖ ἀνατρέφεται· οὐδὲν βλαβεὶς ἐκ τῆς ἀλλοφύλου γῆς. εἶχε γὰρ τὸ φρόνημα B τὸ πατρικόν· καὶ γίνεται ἐκ νεότητος προφήτης· καὶ κατέλαβεν αὐτοῦ τὸ ἅγιον πνεῦμα τὴν ψυχήν· καὶ ὀκτωκαιδεκαέτης γενόμενος, τῆς προφητείας ἀπήρξατο. καὶ πολλὰ μέν ἐστιν ἃ προεφήτευσεν, ἑρμηνεύει δὲ καὶ τέσσαρας βασιλείας. εἶδεν γὰρ ὁ Ναβουχοδονόσορ ὁ τῶν Ἀσσυρίων βασιλεὺς ἐν εἰκόνι τέσσαρας διαφοράς, ἓν μὲν σῶμα, τέσσαρα δὲ χρώματα. ἡ γὰρ εἰκὼν εἶχε μὲν τὴν κεφαλὴν χρυσῆν· εἶχε δὲ τὸ στῆθος ἀργυροῦν· εἶχε δὲ τὴν κοιλίαν χαλκῆν. εἶχε δὲ τοὺς πόδας σιδηροῦς. C καὶ ἀπὸ τεσσάρων ὑλῶν συνέκειτο ἡ εἰκών. καὶ εἶδεν μὲν ὁ βασιλεύς, οὐκ ἦν δὲ ὁ ἑρμηνεύων. ἦλθον οἱ Μάγοι· ἦλθον οἱ Χαλδαῖοι. οἱ μάντεις προσεκλήθησαν· οἱ πλανῶντες ἀεὶ τὸν βασιλέα, ἐκλήθησαν· καὶ τί φασιν; εἰπὲ ἡμῖν τὸ ὄναρ, καὶ ἑρμηνεύσομεν. ὁ Θεὸς οὖν, οἰκονομῶν, ἵνα μὴ συνήθως αὐτὸν ἀπατήσωσιν, ὑπεξαιρεῖ ἐκ τῆς μνήμης τοῦ βασιλέως τοῦ ὀνείρατος τὴν εἰκόνα· καὶ ἔλεγεν ὁ βασιλεύς, εἴπατέ μοι τὸ ὄναρ· ἐκείνων δὲ σαφῶς ὁμολογούντων, ὄναρ ἄλλου διηγήσασθαι D ἀδυνάτως ἔχειν, ἑρμηνεῦσαι δὲ μόνον ἐὰν ἀκούσωσιν, προσκαλεῖται Δανιὴλ μηνυθεὶς ὅτι δυνατὸς εἴη πρὸς ταῦτα, καὶ εἰσάγεται πρὸς τὸν βασιλέα Ναβουχοδονόσορ, ἔχων διὰ τοῦ ἁγίου πνεύματος τοῦ ὀνείρατος τὴν ἀποκάλυψιν, καὶ λέγει πρὸς τὸν βασιλέα, Βασιλεῦ, τάδε καὶ τάδε εἶδες· καὶ ἅμα τοὺς λόγους τοῦ προφήτου ἀπολαμβάνει τὴν μνήμην τοῦ ὀνείρατος ὁ ἀκούων, καὶ γέγονεν ἡ ἀκοὴ ἀνάμνησις τῆς θέας. ἑρμηνεύει τοίνυν αὐτὸ ὁ προφήτης· ἦν γὰρ λοιπὸν ἀξιόπιστος ὁ ἑρμηνεύων κατὰ τὴν E ἐπαγγελίαν αὐτοῦ τοῦ ὀνείρατος, καὶ λέγει· ἡ εἰκὼν ἣν εἶδες, τέσσαρές εἰσι βασιλεῖαι, τέσσαρες γὰρ βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς· ἐκείνη μέν τοι ἡ εἰκών, ὁλόκληρος ἦν· καὶ ἓν σῶμα εἱστήκει. εἶδες δὲ, βασιλεῦ, ὅτι λίθος ἐτμήθη ἄνευ χειρῶν, καὶ συνέτριψε τὴν εἰκόνα, καὶ ὁ λίθος κατέσχε καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν, τοῦτ' ἐστιν ὃ εἶδες· τέσσαρας βασιλείας εἶδες· σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ· πρῶτοι γὰρ Ἀσσύριοι ἐβασίλευσαν, πλουσιώτατοι λίαν καὶ λαμπρότατοι καὶ τρυφε- A ρώτατοι, καὶ λέγει αὐτῷ, σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ· καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἥττων σου· μετὰ γὰρ τοὺς Ἀσσυρίους βασιλεύουσι Πέρσαι καὶ Μῆδοι· γεγόνασι δὲ φαιδρότατοι καὶ οὗτοι.

6. Τρίτη βασιλεία ἀναστήσεται ἡ χαλκῆ, ἡ τῶν Ἑλλήνων βασιλεία καὶ Μακεδόνων· ὅτε Ἀλέξανδρος ὢν ἐν τῇ Ἑλλάδι, ζεύξας ἐπέδραμε τῇ Περσίδι, καὶ κατέλυσε μὲν τὸν Δαρεῖον· ὑπὸ δὲ τὴν ἰδίαν ἐξουσίαν ἤγαγε τὴν ἀρχήν· χαλκῷ τοίνυν παρεβλήθη, διὰ τὸ εὔηχον τῆς ὁμιλίας, καὶ τῆς γλώττης. B Ἕλληνες γὰρ οἱ σὺν Ἀλεξάνδρῳ, καὶ αὐτὸς ὁ Ἀλέξανδρος, ὑπάρχοντες εὔγλωττοι τὴν ὁμιλίαν, χαλκῷ παρεβλήθησαν. χρυσὸς μὲν γὰρ, λαμπρός ἐστιν, οὐ μὴν εὔηχος· ὁμοίως καὶ ὁ ἄργυρος· χαλκὸς δὲ, τῇ μὲν ὕλῃ ἐλάττων, εὔηχος δέ ἐστι κατὰ τὴν ἠχήν. λέγει τοίνυν, τρίτη βασιλεία ἡ διὰ τοῦ χαλκοῦ σημαινομένη. τετάρτη δὲ βασιλεία, ἡ τελευταία. ποιμανεῖς τοίνυν αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὅρα συμφωνίαν τῆς προφητείας· οἶδε C μέντοι, ὅτι ὁ λίθος ἐτμήθη ἐξ ὄρους ἄνευ χειρῶν. πῶς ἐτμήθη, οὐ σιδήρῳ, ἀλλ' ἄνευ χειρῶν. αὐτομάτως γὰρ τίκτει ἡ παρθένος· ὁ δὲ λίθος, ἐπάταξε τὴν εἰκόνα, καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην· εἷς λίθος πληροῖ πᾶσαν τὴν γῆν. ἐκεῖνος μὲν ὁ λίθος ἐτμήθη ἄνευ χειρῶν, καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκουμένην.

7. Ποῖος οὗτος λίθος; ἄκουε Ἡσαΐου λέγοντος· ἰδοὺ τίθημι ἐν " D Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πι- " στεύων εἰς αὐτὸν, οὐ μὴ καταισχυνθῇ· οὐκ Ἡσαΐας δὲ λέγει μόνος τὸν " λίθον, ἀλλὰ καὶ Δαβὶδ προφητεύει. λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκο- " δομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ Κυρίου ἐγένετο " αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ποία ἐγένετο ἡ " γωνία; πᾶσα γωνία συνάπτει ἑαυτῇ δύο τοίχους· συνῆψε δὲ ὁ λίθος καινὴν καὶ παλαιὰν, δύο λαοὺς, ἐξ ἐθνῶν καὶ ἐξ Ἰουδαίων. παρὰ E Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν· οὐκ ἐν τοῖς πάντων ὀφθαλμοῖς, ἀλλ' ἐν ὀφθαλμοῖς ἡμῶν τῶν πιστευόντων. ὅταν τοίνυν ἴδῃς τὴν ἐκκλησίαν διὰ τοῦ ἑνὸς λίθου κατεχομένην ἐξ Ἰουδαίων καὶ ἐξ Ἑλλήνων, νόει μάλιστα τὸ λεγόμενον· ἀλλὰ πάντως εἴποις ἂν, καὶ ποῦ ἐν ἡμῖν οἱ ἐξ Ἰουδαίων; ἐξ Ἑλλήνων μὲν γὰρ ὁρῶμεν. ἐξ Ἰουδαίων ποῦ τυγχάνουσιν; πόθεν ἦν Παῦλος; πόθεν ἦν ὁ Πέτρος; πόθεν δὲ ὁ Ἀνδρέας; πόθεν δὲ ὁ Ἰωάννης; πόθεν ἡ μυριάνδρος ἐν τῇ Ἱερουσαλὴμ ἐκκλησία; πρῶτον ἀπὸ Ἰουδαίων, εἶτα ἐξ Ἑλλήνων; ὅτε γὰρ ἐπίστευσαν οἱ παρ' αὐτοῖς τὴν ἐλπίδα ἔχοντες τῆς εὐσεβείας, τότε ἦλθεν ἡ ῥάβδος ἡ σιδηρᾶ, καὶ διεσκόρ-

πισε

τοὺς ἐμμείναντας τῇ ἀπιστίᾳ. ποιμανεῖς γὰρ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. διὰ τί ὡς σκεῦος κεραμέως; ἐὰν μὲν ὁ πηλὸς πέσῃ ἔτι ὑγρὸς ὤν, ἀναλαμβάνεται· ἐὰν δὲ γένηται σκεῦος, καὶ ἅπαξ πυρὶ προσομιλήσῃ, καὶ γένηται ξηρότατον ὄστρακον, ἐπειδὰν συντριβῇ, οὐκ ἔτι ἀνάληψιν ἐπιδέχεται.

8. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς· ἐν μὲν οὖν τῇ βασιλείᾳ τῇ σιδηρᾷ Χριστὸς γίνεται· ἐτμήθη λίθος ἄνευ χειρῶν. βλέπε σύμφωνα τὰ πράγματα, καὶ ὅμοια τὰ ῥήματα· καὶ ἐπάταξε τὴν εἰκόνα, καὶ κατέπαυσε τὰς ἐπὶ γῆς βασιλείας· καὶ ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. τοῦτο Ναβουχοδονόσορ ὁ βασιλεὺς ἑώρακε τὸ ὄναρ· ἐπελήσθη δὲ τοῦ ἐνυπνίου, ἵνα μὴ διηγήσηται τοῖς Μάγοις, καὶ συνήθως ἀπατηθῇ ὑπ' αὐτῶν, ἕτερα ἀνθ' ἑτέρων ἀκούσας. μετὰ χρόνον ὀλίγον αὐτὸς ὁ Δανιὴλ καθ' ἕτερον τρόπον βλέπει τὸ ὄναρ· ἐδόκει εἶναι παρὰ τὴν θάλασσαν· οὐκ ἦν δὲ ὄναρ, ἀλλ' ἀποκάλυψις ὁράσεως. καὶ λέγει Δανιήλ· τέσσαρα θηρία μεγάλα ἀνέβαινεν ἐκ τῆς θαλάσσης· ἠρέμα καὶ κατὰ μικρὸν ἀκολουθήσωμεν τῷ τύπῳ τῆς προφητείας· ἀκούομεν [φησὶν] τέσσαρα θηρία μεγάλα ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων, καί, φησι, πλείστη ἐν αὐτοῖς διαφορά.

9. Τὸ πρῶτον, ὡσεὶ λέαινα· καὶ πτερὰ αὐτῇ ὡς ἀετοῦ. ἔχεις ἐκεῖ χρυσόν, ὧδε λέαιναν· διὰ τί λέαιναν ὧδε, κἀκεῖ χρυσόν; ἐκεῖ χρυσόν, διὰ τὸ τρυφηλὸν καὶ πλούσιον. ἐνταῦθα λέαιναν, διὰ τὸ θηλυκὸν καὶ γυναικῶδες, ὅμως δὲ θηρίον. τὸ πρῶτον, ὡσεὶ λέαινα. δεύτερον εἶδον θηρίον ὡσεὶ ἄρκτον, καὶ εἰς μέρος ἓν ἐστάθη· ἐκεῖ ἄργυρος, ἐνταῦθα ἄρκτος, διὰ τὸ βαρύ· τρίτον φησὶ θηρίον εἶδον ὡσεὶ πάρδαλιν, ὀξύτατον τὸ θηρίον· ἐπειδὴ Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς ὀξύτατα ἐπῆλθε τὴν ἀνατολήν, παρδάλει παρεβλήθη. ἐκεῖ χαλκὸς διὰ τὸ εὔηχον τῆς Ἑλλάδος γλώττης· ἐνταῦθα πάρδαλις, διὰ τὸ ὀξύτατον τῆς ἐφόδου. τὸ δὲ τέταρτον θηρίον μὲν ὀνομάζει, οὐ λέγει δὲ ὄνομα, ἀλλὰ φησὶ φοβερόν· φοβερώτατον περισσῶς, οἱ ὀδόντες αὐτοῦ μεγάλοι· ἐσθίον, καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶ κατεπάτει· καὶ αὐτὸ δὲ διέφερε περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ· καὶ ἦν φοβερὸν τὸ θηρίον· καὶ οὐκ εἶπεν αὐτοῦ τὸ ὄνομα. ἐπειδὴ γὰρ ἔμελλε σαφὲς γίνεσθαι τὸ τῆς προφητείας χωρίον, ἐπὶ Ῥωμαίων αὐτὸ προφέρων, ἵνα μὴ ὑβρισθῇ ἡ βασιλεία, ἀνώνυμον αὐτὸ θηρίον καταλιμπάνει· ὅτε μέντοι φησὶν εἶδον τὸ τέταρτον θηρίον, ἐφοβήθην καὶ ἐθαύμαζα. ἦν γὰρ λίαν φοβερώτατον· πάντα κατεπάτει, πάντα συνέτριβεν, πάντα κατήσθιεν· πάντων ἐδέσποζεν, ὅπου ἀπήρχετο, ὑπέταττεν.

10. Καὶ τί φησιν; ἀθρόως εἶδον ποταμὸν πυρός· θρόνος ἐτέθη, παλαιὸς ἡμερῶν ἐκάθισε, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, τῷ παλαιῷ τῶν ἡμερῶν. βιβλία ἀνεῴχθησαν, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. καὶ τί εὐθέως γέγονε; οὐκ ἔτι τὰ θηρία, οὐκ ἔτι ἡ θάλασσα, οὐκ ἔτι τοῦ θηρίου ὁ φόβος· ἀλλ' ἔλαβε τὴν ἀρχήν, καὶ αὐτὸς ἐδέσποζεν· ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἥτις οὐ διαλυθήσεται· καὶ γὰρ ἡ ἀρχὴ αὐτοῦ ἕως γενεᾶς γενεῶν. ἕως ὧδε φησὶ τὸ πέρας τοῦ λόγου· καὶ ὁ μὲν προφήτης οὕτω βλέπει τέσσαρας τὰς βασιλείας· ἔπρεπε γὰρ αὐτῷ ἐπειδὴ ἀπείχετο τῶν βιωτικῶν πραγμάτων· ὁ δὲ βασιλεύς, ὡς ἥρμοζεν αὐτῷ, βλέπει ὡς ἐν χρυσῷ, καὶ ἀργύρῳ, καὶ χαλκῷ, καὶ σιδήρῳ τέσσαρας βασιλείας. εἰ γὰρ εἶδεν ὁ βασιλεὺς ὡς θηρία τὰς βασιλείας, εἶτα ἡρμήνευσεν αὐτῷ Δανιήλ, ἄτοπον ἂν ἦν λέγειν αὐτῷ, σὺ εἶ τὸ πρῶτον θηρίον· ἔδοξε γὰρ ὑβρίζειν τὸν ἀκούοντα· ἀλλὰ βλέπει βασιλεὺς ὡς βασιλεύς, καὶ βλέπει προφήτης ὡς ἐν ἄλλῳ τύπῳ παραπλήσια.

11. Ταῦτα ἡμῖν εἴρηται, ἀγαπητοί, οὐ μάτην, οὐδὲ εἰκῇ ἀνε[illegible] τὴν παλαιὰν ἱστορίαν· ἀλλ' ἵνα ὑμεῖς πληροφορηθῆτε, ὅτι ἡ Αὐγούστου βασιλεία ἐδοξάσθη, ἐτιμήθη, ἐπῃνέθη, πολυχρόνιος ὑπῆρχεν, ἐπειδὴ ἐπ' αὐτοῦ Χριστὸς ἐτέχθη, καὶ τοσοῦτον ἐτιμήθη ὁ ἀνήρ, ὡς καὶ τὸ ὄνομα αὐτοῦ γενέσθαι προσηγορίαν τοῦ ἀξιώματος. δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι ἐβασίλευσεν ἔτη πεντήκοντα ἕξ· τελέσαντος δὲ αὐτοῦ τεσσαράκοντα δύο ἔτη, ὁ Χριστὸς τίκτεται. τὰ δεκαπέντε τοίνυν ἔτη αὐτοῦ βασιλεύοντος Χριστὸς ἀνατρέφεται· διαδέχεται δὲ Τιβέριος τὸν Αὔγουστον, καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει Τιβερίου βασιλεύοντος, ἔρχεται εἰς τὸν σταυρόν, καὶ πάσχει, καὶ ἀνίσταται, καὶ ἀναλαμβάνεται. ὥστε εἶναι μὲν Αὐγούστου ἔτη πεντεκαίδεκα, Τιβερίου δὲ ὀκτωκαίδεκα. Ἰησοῦς δὲ ἐπὶ Τιβερίου Καίσαρος βασιλεύοντος τριακονταέτης γενόμενος, ἀπεκάλυψε τὴν ἑαυτοῦ θεότητα ἐπὶ τοὺς μαθητάς, καὶ ἐπὶ τούτοις τρία ἔτη ἐκήρυξε· πανταχοῦ γὰρ τιμία ἡ τριάς· διὸ τρία κηρύξας ἔτη, τῷ ὀκτωκαιδεκάτῳ ἔτει Τιβερίου ἀπαντᾷ εἰς τὸ πάθος, τελέσας τῆς σαρκὸς τὴν οἰκονομίαν.

qui incredulitate permanſerunt, diſſipavit. Reges enim eos in virga ferrea, & tanquam vas figuli confringes eos, quare verò tanquam vas figuli? ſi ceciderit quidem lutum, dum adhuc eſt humidum, in priſtinum ſtatum reſtituitur: ſin autem jam vas fuerit factum, ignique ſemel admotum & in aridiſſimam teſtam converſum ſit, poſtquam fuerit confractum, non amplius reſarciri poteſt.

8. *Reges eos in virga ferrea: tanquam vas figuli confringes eos.* In regno itaque ferreo Chriſtus naſcitur, abſciſſus eſt lapis ſine manibus, vide facta concordia & verba ſimilia: percuſſit imaginem & effecit ut regna ceſſarent quæ erant in terra: & factus eſt in montem magnum ac totam terram implevit. Hoc ſomnium Rex Nabuchodonoſor viderat. oblitus autem erat ſomnii, ut ne illud Magis narraret, & ab illis de more falleretur, dum alia pro aliis ipſi referrent. Poſt paulum verò temporis idem Daniel alia ratione ſomnium videt. Videbatur enim ad mare conſiſtere. neque verò illud ſomnium erat, ſed revelatio viſionis: atque Daniel, Quatuor beſtiæ grandes aſcendebant de mari diverſæ inter ſe, multa, inquit, erat in ipſis diverſitas. Pedetentim autem ac ſenſim prophetiæ figuram proſequamur:

9. Prima quaſi leæna, & alas habebat quaſi aquilæ, illic habes aurum, hic leænam: quare hic leænam, & illic aurum? illic aurum propter delitias & opes, hic leænam ob fœmineum ſexum & muliebrem mollitiem; ſed tamen beſtiam. Prima quaſi leæna. Secundam beſtiam vidit quaſi urſum, & in parte una ſtetit, illic argentum: hic verò urſus propter aſperitatem ac violentiam. Tertiam, inquit, beſtiam vidi quaſi pardum, velociſſimam belluam, quandoquidem velociſſimo incurſu, Macedonum Rex Alexander in Orientem impetum fecit, comparatus eſt pardo. illic æs ob ſonorum ſermonem, quo in congreſſu familiari utimur, hic pardus ob incurſionis & acceſſus hoſtilis velocitatem. Quartam porrò beſtiam appellat ille quidem: ejus tamen nomen non exprimit, ſed terribilem eam dicit, atque adeo ſupra modum formidoloſiſſimam: dentes ejus magni: comedens atque comminuens & reliqua pedibus ſuis conculcabat: & ipſa autem diverſa nimis præ omnibus beſtiis, quæ ante eam, & terribilis erat beſtia, neque dixit nomen ipſius: nam quoniam futurum erat ut prophetiæ locus innoteſceret tempore Romanorum, ipſum proferens, ne regnum ignominiæ nota inuratur, ſine nomine beſtiam derelinquit, ne nomine expreſſo aliquid infamiæ in regnum redundet. Cùm igitur, inquit, vidi beſtiam quartam, timui & contremui, erat enim terribilis admodum: omnia conculcabat, omnia conterebat, omnia devorabat, omnibus dominabatur quocunque pergebat, omnia ſibi ſubjiciebat.

10. Quid porro ait? continuo flumen ignis vidi: thronus eſt poſitus: antiquus dierum ſedit: mille millia deſerviebant ei: & dena millia denum millium aſſiſtebant ei: antiquo ſcilicet dierum: libri aperti ſunt: & ecce in nubibus cœli quaſi filius hominis veniens: & uſq; ad antiquum dierum pervenit, & quid deinde factum eſt? non jam beſtiæ, non jam mare, non jam beſtiæ terror? ſed principatum accepit, & dominabatur ipſe: regnum ejus regnum ſempiternum, quod non evertetur: & imperium ejus uſque in generationem generationum, huc uſque, inquit, ſermonis terminus, ac Propheta quidem ita regna quatuor videt: ſic enim eum decebat qui rebus ſecularibus abſtinebat: Rex autem prout ipſi conveniebat, ita videt, tanquam in auro & argento, & ære, & ferro regna quatuor, ſi enim Rex in beſtiarum ſpecie regna vidiſſet, eique deinde interpretatus Daniel eſſet, abſurdum fuiſſet ei dicere, Tu ex prima beſtiis: probris ſiquidem eum quem alloquebatur, inceſſere viſus eſſet: verum intuetur Rex tanquam Rex, & cernit Propheta tanquam in alia figura ſimilia.

11. Hæc à nobis narrata ſunt, dilectiſſimi, non ſine cauſa, neq; temere veterem hiſtoriam retexuimus, ſed ut vos certiores redderemus, gloria, honore ac laude cumulatum, & illuſtratum fuiſſe Auguſti imperium, ac multo tempore duraſſe, propterea quòd eo imperante natus eſt Chriſtus: tantóq; honore decoratus eſt vir ille, ut & nomen ejus titulus fieret dignitatis. Etenim operæ pretium eſt intelligatis eum annos ſex & quinquaginta regnaſſe: cùm verò duos & quadraginta annos complevîſſet, Chriſtus naſcitur: itáque ſpatio quindecim annorum regni ejus Chriſtus educatur. Succeſſit autem Auguſto Tiberius, & in decimo octavo anno regni Tiberii ad crucem venit, & patitur, & reſurgit. & in cœlum aſcendit; ſic ut ſint Auguſti quidem quindecim, Tiberii autem octodecim. Jeſus vero Tiberio imperante cùm annorum triginta eſſet, ſuam apud diſcipulos divinitatem declaravit, ac per tres deinceps annos prædicavit: ubique ſiquidem venerabilis trinitas occurrit: quamobrem cùm annos tres prædicaſſet, decimo octavo Tiberii anno ad paſſionem venit, cùm diſpenſationem in carne perfeciſſet.

Acci-

12. Accidit igitur in illis diebus, (ut ad lectionem redeamus,) exiit edictum à Cæſare Auguſto, ut deſcriberetur univerſus orbis, hæc deſcriptio, ipſa rerum eſt declaratio, prima eſt veritatis manifeſtatio, ut ne genus humanum vagum erret: hæc eſt deſcriptio prima: verumenimverò num hoc quoque reticuerunt Prophetæ? recurramus ad teſtamentum vetus, & res Judaicas adverſus Judæorum incredulitatem perveſtigemus. Teſtem mihi advoco virum fide dignum Davidem, Judæis quidem vel ſola ejus mentione facta venerabilem, Eccleſiæ verò fide dignum. quid ergo inquit David? Dominus narrabit in ſcriptura populorum, & principum horum, hæc ſunt verba prophetæ, hæc Evangelii ſunt facta: hæc deſcriptio prima. *Aſcendit autem & Joſeph, inquit, à*
Luc. 2, 4. *Galilæa ex civitate Nazaret in Judæam in civitatem David, quæ vocatur Bethleem, eò quod eſſet de domo & familia David: ut deſcriberetur illic cum Maria deſponſata ſibi uxore prægnante*, nam in ſolis ſponſalibus conceptio evenit. *Factum eſt autem cum eſſent ibi, & impleti ſunt dies, ut pareret, & peperit filium ſuum primogenitum, & pannis involvit, & poſuit eum in præſepio, quia non erat eis locus in diverſorio.*

13. Nihil hac re vilius, nihil Chriſti nativitate pauperius. Jeſus mendicum agebat propter nos, qui dives erat: in præſepio Maria poſuit Salvatorem; nihil erat quod ſubſterneretur, nihil quo regeretur: nam neq; obſequio hujuſmodi cultúve indigebat, neq; ſæculari iſto apparatu illi opus fuit: quemadmodum neque ex naturæ legibus eſt conceptus, ſufficiebat enim virginis miniſterium; ipſe verò cuncta diſponebat. Itaq; poſuit eum, inquit, in præſepio. Et paſtores erant in regione. Matthæus quidem Magos adveniſſe narrat. Lucas autem paſtores in eadem fuiſſe regione: illic Magi, hîc paſtores, venitq; Angelus ad eos magna voce proclamans, & quæ acciderint, narrans: Magnum vobis hodie gaudium Evangelizo: quia natus eſt mundo Salvator in civitate David: & uno Angelo verba faciente aperti ſunt cœli, unúſq; apparuit canentium hymnos concentus, ac dicentium, Gloria in altiſſimis Deo, & in terra pax, in hominibus beneplacitum. Omnia ſiquidem conjungenda ſunt, cœlum & terra connectenda ſunt in unum, ut terrena fiant cœleſtia, ut fiat pax his qui longè habitant, & his qui propè. Paſtores ergo fœlicem nuntium audiunt; quam ob cauſam paſtores? quia nimirum tanquam oves aberraveramus, mundo paſtor advenit Jeſus Chriſtus Salvator orbis terrarum, & paſtores ob paſtorem Evangelizantur: & Gloria in Altiſſimis Deo: futurum enim erat ut homines glorificarent, & gratias agerent ei, qui pacem in terram miſerat, eo quod inimicitiis in Deum homines liberati erant. In hominibus bona voluntas: futurum enim erat, ut ea quæ ſunt pietatis, homines ut bona vellent, & bona cenſerent.

14. Paſtores itaq; fœlici nuntio accepto & hoc audito ſermone, rem ipſam viderunt; in ſpeluncam venerunt: non ſtratum viderunt, non lectum viderunt, non menſam apparatam viderunt, ſed Mariam ſedentem & Joſeph & puerum reclinatum. Non commemorat primo loco patrem Evangeliſta, ſed Mariam primum commemorat: illa quippe verè eſt mater. Immo verò nec ipſa mater, quandoquidem non naturaliter peperit, ſed ſupernaturaliter concepit. Non enim ſciebat, quid fieret, ſed artificis inſtrumentum erat. Viderunt igitur Mariã & Joſeph & puerum: auditis verbis res ipſas viderunt; mirati ſunt, reverſi ſunt. Jacebat ergo puerulus illo interim vili corporis cultu contentus, ejuſdémq; incrementum expectans: & quemadmodum artifex quidam expectabat, atq; officinam conſtruebat, ut tanquam citharœdus quidam cithara uteretur: & ut ſagittarius, ad id quod opus fuiſſet, telo & ſagitta uteretur: ita & Jeſus communicans omnibus paulatim augetur.

15. Cur non igitur confertim & ſubitò? cur non adulta ſimul ætate perfectúſq; vir advenit? venit ut naturam noſtram imitaretur, ut maſſam per delibationem ſanctificaret. Enimverò ſi jam adultus ætate veniſſet, & vir perfectus in mundum, dicturi fuiſſent hæretici virginem eum minimè peperiſſe; neque ex genere noſtro maſſam accepiſſe. Natus eſt ergo ex virgine, cùm eum ex communi maſſa accepiſſet, ut Adamum creaturam & figmentum ſuum ſanctificaret, ideóq; paulatim creſcit: cum hominibus quidẽ converſatur ut homo, ſed cùm ſit naturæ dominus, ſine peccato vitam traducit. Cùm ergo puerulum ipſum audieris, repete mihi prophetiam illam Eſaiæ, quam olim dicebat, Parvulus natus eſt nobis, cujus principatus factus eſt ſuper humerum ejus, Deus fortis, princeps pacis, pater ſeculi futuri, cùm parvulũ audieris, noli nomen aſpernari, ſed admirare Dei benignitatem; ſed ſalutẽ diſpenſationis admirare, ut dignus fias, qui Evangelica verba exaudias per fidem proſequens, per patientiam exercitatus, per reli-

12. Ἐγένετο τοίνυν ἐν ταῖς ἡμέραις ἐκείναις [ἵνα τὸ ἀνάγνωσμα ἀναλάβωμεν] ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ σαφήνεια πραγμάτων, πρώτη γύμνωσις τῆς ἀληθείας· ἵνα μὴ ῥέμβηται τὸ γένος τῶν ἀνθρώπων· αὕτη πρώτη ἀπογραφή. ἆρα καὶ τοῦτο σεσιώπηται τοῖς προφήταις; ἀναδράμωμεν εἰς τὴν παλαιάν, ἐξετάσωμεν τὰ Ἰουδαϊκὰ κατὰ τῆς τῶν Ἰουδαίων ἀπιστίας. καλῶ τὸν Δαβὶδ εἰς μαρτυρίαν, ἄνδρα ἀξιόπιστον, Ἰουδαίοις μὲν τίμιον, ἕως ψιλῆς τῆς μνήμης, τῇ δὲ ἐκκλησίᾳ πιστόν. τί τοίνυν λέγει Δαβίδ; Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων· ταῦτα τὰ ῥήματα τοῦ προφήτου, ταῦτα τὰ πράγματα τοῦ εὐαγγελίου. αὕτη πρώτη ἀπογραφή. ἀνέβη δέ φησι καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ὥστε ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί, οὔσῃ ἐγκύῳ. ἐπὶ γὰρ μόνοις τοῖς μνήστροις ἡ σύλληψις· ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτόν, καὶ ἔθηκεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

13. Οὐδὲν εὐτελέστερον τούτου τοῦ πράγματος· οὐδὲν πτωχότερον τῆς Ἰησοῦ γενέσεως. Ἰησοῦς ἐπτώχευσε δι' ἡμᾶς, πλούσιος ὤν· ἔθηκεν ἐν φάτνῃ Μαριὰμ τὸν Σωτῆρα· οὐδὲν ἦν ἐπικείμενον· οὐδὲ γὰρ χρείαν εἶχεν ὁ Σωτὴρ τῆς τοιαύτης θεραπείας, οὐδὲ ἐπιμελείας τῆς ἔξωθεν ἐπιδεῖτο, ὥσπερ οὐδὲ νόμῳ φύσεως συλλαμβάνεται. ἤρκει γὰρ ἡ προσχρῆσις ἡ τῆς παρθένου· τὰ δὲ πάντα αὐτὸς ἦν ὁ οἰκονομῶν. οὕτως φησὶν ἔθηκεν αὐτὸν ἐν φάτνῃ, ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες. ὁ μὲν Ματθαῖος ἱστορεῖ, ὅτι Μάγοι παρεγένοντο· ὁ δὲ Λουκᾶς, ὅτι καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ ἀγραυλοῦντες. ἐκεῖ Μάγοι, ἐνταῦθα ποιμένες. καὶ ἦλθεν ἄγγελος πρὸς αὐτοὺς μεγάλα φωνῶν πράγματα· χαρὰν μεγάλην ὑμῖν εὐαγγελίζομαι σήμερον, ὅτι Σωτὴρ ἐτέχθη τῷ κόσμῳ ἐν πόλει Δαβίδ· καὶ τοῦ ἑνὸς λαλοῦντος ἀγγέλου, ἠνοίχθησαν οἱ οὐρανοί, καὶ ὤφθη μία συμφωνία ὑμνούντων καὶ λεγόντων, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· πάντα γὰρ ἔμελλε συνάπτεσθαι, ὁ οὐρανὸς καὶ ἡ γῆ εἰς ἑνότητα ἔρχεσθαι, ἵνα τὰ κάτω γένηται ἄνω, ἵνα ὑπάρξῃ εἰρήνη τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. ποιμένες τοίνυν εὐαγγελίζονται· διὰ τί ποιμένες; ἐπειδὴ ἡμεῖς πεπλανημένοι δίκην προβάτων, ἦλθεν τῷ κόσμῳ ποιμὴν Χριστὸς Ἰησοῦς, Σωτὴρ τῆς οἰκουμένης· καὶ ποιμένες εὐαγγελίζονται διὰ τὸν ποιμένα· καὶ δόξα ἐν ὑψίστοις Θεῷ. ἔμελλον γὰρ ἄνθρωποι δοξάζειν, καὶ εὐχαριστεῖν τῷ πέμψαντι ἐπὶ γῆς εἰρήνην. ἀπηλλάττοντο γὰρ ἄνθρωποι τῆς πρὸς τὸν Θεὸν ἔχθρας. ἐν ἀνθρώποις εὐδοκία· ἔμελλε γὰρ καλὰ δοκεῖν τοῖς ἀνθρώποις τὰ πρὸς εὐσέβειαν.

14. Οἱ μὲν οὖν ποιμένες εὐαγγελισθέντες, καὶ ἀκούσαντες τὸν λόγον, εἶδον τὰ πράγματα· ἦλθον εἰς τὸ σπήλαιον· οὐκ εἶδον στρωμνήν, οὐκ εἶδον κλίνην, οὐκ εἶδον τραπέζης παρασκευήν· ἀλλὰ καθημένην Μαριὰμ καὶ Ἰωσήφ, καὶ τὸν παῖδα ἀνακεκλιμένον. οὐ λέγει ὁ εὐαγγελιστὴς πρῶτον πατέρα, ἀλλὰ λέγει πρῶτον Μαριάμ. ἐκείνη γὰρ μήτηρ ἀληθῶς. μᾶλλον δὲ οὐδὲ αὐτὴ μήτηρ, ἐπειδὴ οὐδὲ ἔτικτε φυσικῶς, ἀλλὰ συνέλαβεν ὑπερφυῶς. οὐ γὰρ ᾔδει τὸ γινόμενον, ἀλλ' ἐργαλεῖον ἦν τοῦ τεχνίτου. εἶδον μέντοι τὴν Μαριάμ, καὶ τὸν Ἰωσήφ, καὶ τὸν παῖδα· ἀκούσαντες τὸν λόγον εἶδον τὰ πράγματα, ἐθαύμασαν, ἀνεστράφησαν. ἔκειτο μέντοι παιδίον ἀνεχόμενον τέως ἀτελοῦς κατασκευῆς τοῦ σώματος, καὶ φέρον τὴν αὔξησιν τούτου· καὶ ὥσπερ τεχνίτης ἐξεδέχετο καὶ κατεσκεύασε τὸ ἐργαλεῖον, ἵνα ὥσπερ ὁ κιθαρῳδὸς χρήσηται τῇ κιθάρᾳ, καὶ ὥσπερ ὁ τοξότης χρήσηται τῷ τόξῳ καὶ τῷ βέλει ὡς δέον· οὕτως καὶ Ἰησοῦς, κοινωνῶν τοῖς πᾶσι, κατ' ὀλίγον αὔξεται.

15. Διὰ τί οὖν μὴ ἀθρόως; διὰ τί μὴ τέλειος ἅμα παρεγένετο; ἦλθε μιμήσασθαι τὴν φύσιν ἡμῶν, ἵνα ἁγιάσῃ τὸ φύραμα διὰ τῆς ἀπαρχῆς· εἰ μὲν τις τέλειος ἐπεδήμησε καθ' ἡλικίαν, ἔμελλον οἱ αἱρετικοὶ φάσκειν, οὐκ ἔτικεν αὐτὸν παρθένος· οὐκ ἔλαβεν ἐκ τοῦ ἡμετέρου γένους τὸ φύραμα. ἐτέχθη τοίνυν ἐκ παρθένου ἐκ τοῦ κοινοῦ φυράματος λαβών, ἵνα ἁγιάσῃ τοῦ Ἀδὰμ τὸ ἑαυτοῦ πλάσμα· καὶ διὰ τοῦτο κατ' ὀλίγον αὔξεται, καὶ ἀνθρώποις συναναστρέφεται μὲν ὡς ἄνθρωπος, ἀλλὰ Κύριος ὢν τῆς φύσεως, ἀναμαρτήτως ἐπολιτεύσατο. ὅταν τοίνυν ἀκούσῃς αὐτὸν παιδίον, ἀναλάμβανε ἐκείνην τὴν προφητείαν Ἡσαΐου, ἣν ἔλεγε, παιδίον ἐγεννήθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· Θεὸς ἰσχυρός, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὅταν ἀκούσῃς παιδίον, μὴ καταφρόνει τοῦ ὀνόματος, ἀλλὰ θαύμασον τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, καὶ θαύμασον τῆς οἰκονομίας τὴν σωτηρίαν· ἵνα γένῃ ἄξιος ἀκούειν τῶν εὐαγγελικῶν, διὰ πίστεως παρακολουθῶν, διὰ καρτερίας γυμναζόμενος, δι' εὐλαβείας

Digitized by Google

A βείας ἀγωνιζόμενος, δι' ἀγάπης τελειούμενος, διὰ πάντων ὁλόκληρος γινόμενος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ὁμιλία εἰς τὸν χρηματισμὸν Ζαχαρίου, καὶ εἰς τὴν σύλληψιν τῆς Ἐλισάβετ.

B Οὐδὲν τοῖς δεσποτικοῖς ἀνυπότακτον ὅροις· πάντα γὰρ εἴκει καὶ δουλεύει τῷ θείῳ προστάγματι. πρόσταγμα γάρ φησιν ἔθετο, καὶ οὐ παρελεύσεται· ὁ γὰρ λόγῳ τὴν ἀρχὴν τὸ πᾶν συστησάμενος, καὶ αὖθις δύναται μεταποιῆσαι τὰ ποιήματα λόγῳ. εἶπέ ποτε τὴν ἄνυδρον πέτραν γενέσθαι κατάρρυτον· ἡ ποταμοὺς ὑδάτων εὐθέως ἐρεύγεται· ἐπάταξε γὰρ πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ ποταμοὶ κατεκλύσθησαν· καὶ ἡ ξηρὰ πέτρα τὸ πρὶν καὶ ἄγονος ὕδατος, πηγὴ ποταμῶν καὶ μήτηρ ὑδάτων ἐγένετο· C οὐδὲν γὰρ ἀργὸν ἢ ἄγονον, ὧν ἐπιτάττει Θεός. ὁ τότε τοίνυν τὴν ἄγονον πέτραν μεταβαλὼν εἰς λίμνην, καὶ νῦν τὴν στεῖραν Ἐλισάβετ παιδογόνον ἐκέλευσεν ἀναδειχθῆναι μητέρα, καὶ τὴν ἄκαρπον, κάρπιμον ἔδειξε, καὶ τὴν τῷ γήρᾳ βεβαρημένην, ὡς νεόγαμον κόρην. ὅτε πρὸς τάφον ἠπείγετο, τότε πρὸς τοκετὸν εὐτρεπίζετο· ὅτε τὸ σῶμα τῷ γήρει ἐμαράνθη, τότε τὴν μήτραν ὁ Θεὸς ἀνεκαίνισε· καὶ ὅπερ διὰ τὸν χρόνον ἀπέβαλε, διὰ τὸν πλάστην ἀνέλαβε· καὶ ὅπερ ἡ D νεότης ἀπώλεσε, τὸ γῆρας ἀπῄτει. ὅτε γείτων ἐγένετο τοῦ θανάτου, τότε παιδὸς ὀνομάζετο μήτηρ· καὶ τὰς τῆς μάμμης ὑπερβᾶσα χρόνους, εἰς μητρικὴν ἐνέπιπτε φροντίδα, καὶ βρέφος ἐπὶ τῶν ἀγκαλῶν ἐβάσταζεν, ἡ βακτηρίας διὰ τὸ γῆρας πρὸς ἐπίβασιν χρῄζουσα· καὶ πρωτότοκον ἡ γραῦς ἐψηλάφα παιδίον, καὶ στεῖρα παραδόξως ἐγέννησεν, ἵνα παρθένος τίκτουσα παρὰ φύσιν, πιστωθῇ. ἀμφότερα καινὰ καὶ παράδοξα· στεῖρα γὰρ καὶ παρ- E θένος ἀπροσδόκητοι μητέρες.

2. Ταύτης δὲ τῆς παραδόξου τοκετοῦ μηνυτὴς τῷ Ζαχαρίᾳ ὁ ἀρχάγγελος ἐπέμφθη Γαβριήλ· καὶ στὰς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου ὤφθη αὐτῷ. καὶ ἐταράχθη, φησὶ, Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. εἶδε γὰρ, ὅπερ οὐκ εἶδέ ποτε, πῦρ φθεγγόμενον, ἀσώματον ἄνθρωπον, ἀψηλάφητον σχῆμα, ἀσυνείκαστον θέαν, ὄψιν ἀσύγκριτον, ἀεροβάτην δρομέα, ἀνθρωπόμορφον· A καὶ ἰδὼν ἐταράχθη. ἰδὼν δὲ αὐτὸν ταραττόμενον ὁ ἄγγελος, χρησταῖς ἐπαγγελίαις φυγαδεύει τὸν φόβον· μὴ φοβοῦ Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις· καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται· μὴ φοβοῦ Ζαχαρία· οὐ φόβον ἐπι[illegible]ν ἐλήλυθα, ἀλλὰ χαρᾶς σοι μηνυτὴς παραγέγονα. ποίας χαρᾶς; ἡ γυνή σου Ἐλισάβετ γεννήσει B σοι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· οὗτος ὡς ἑωσφόρος ἐπιφανεῖ τῷ κόσμῳ, καὶ τὸ σκότος τῆς ἀγνοίας διώξει, τὸν τῆς δικαιοσύνης ἐπικαλούμενος ἥλιον· ὁ ὀπίσω γάρ μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν. οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος.

3. « Καὶ αὐτὸς προελεύσεται ἐν πνεύματι καὶ δυνάμει τοῦ Ἡλίου· τὸ πνεῦμα τοῦ Ἡλίου κατῴκησε καὶ εἰς τὸν Ἰωάννην· πνεύματα γὰρ προφητῶν, προφήταις ὑποτάσσεται· καὶ σχεδὸν ἐν πᾶσιν εὑρί- C σκομεν ὅμοιον τῷ Ἡλίᾳ τὸν Ἰωάννην. ἐκεῖνος ἐν ὄρεσι διῃτᾶτο, καὶ οὗτος ἐν τῇ ἐρήμῳ διετέλει. ἐκεῖνον κόρακες ἔτρεφον, καὶ οὗτος ἀκρίδας βοτανῶν ἤσθιεν· ἐκεῖνος μηλωτὴν περιεβάλλετο, καὶ οὗτος τρίχας καμήλων· ἐκεῖνος αὐστηρὸς ἦν καὶ ἐλεγκτικὸς, καὶ οὗτος ὁμοίως. ἐκεῖνος τὸν Ἀχαὰβ ἤλεγχε τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ Ἰεζάβελ τὴν γυναῖκα αὐτοῦ· σὺ εἶ, φησὶν, ὁ διαστρέφων τὸν Ἰσραὴλ, καὶ ὁ οἶκος τοῦ πατρός σου· καὶ Ἰωάννης τὸν Ἡρώδην, καὶ Ἡρωδιά- D δα· Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου· καὶ αὐτὸς προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἡλίου. ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα. τί ἐστιν ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα; οἱ πατέρες τῶν Ἰουδαίων, ὁ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ οἱ δώδεκα πατριάρχαι, καὶ πάντες οἱ δίκαιοι, ὁρῶντες φιλαμαρτήμονα τὸν λαὸν, καὶ ἑτοίμως ἐκπορνεύοντα εἰς ἀλλοτρίους θεοὺς, ἀπεστρέφοντο αὐτοὺς ὡς τοιούτους. ἀφ' οὗ δὲ Ἰωάννης ἐκήρυξε E τὸ βάπτισμα τῆς μετανοίας, πολλοὶ ἐπεστράφησαν πρὸς τὸν Θεόν. ὁρῶντες οὖν οἱ πατέρες αὐτῶν ἐπιστρέφοντας αὐτοὺς πρὸς τὸν Θεὸν, καὶ αὐτοὶ ἐπέστρεψαν τὰς καρδίας αὐτῶν πρὸς αὐτούς· καὶ τοῦτό ἐστι τὸ ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον, περιούσιον· περὶ οὗ Δαβὶδ ὁ προφήτης προεκήρυξε λέγων, αὕτη ἡ γενεὰ ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

4. Ἔτι τὸν γέροντα Ζαχαρίαν ἡ κύησις τοῦ παιδὸς ἡ-

A gionem decertans, per charitatem perfectus, per omnia integer factus in Chriſto Jeſu Domino noſtro: cum quo patri ſimul cum ſpiritu ſancto gloria, poteſtas, honor & adoratio in ſecula ſeculorum. Amen.

In Oraculum Zacharia redditum: & in conceptionem Elizabet.

B

Eodem interpret.

Nihil dominicis legibus non ſubjectum eſt: omnia ſiquidem divino præcepto cedunt & ſerviunt: *præceptum enim*, inquit, *poſuit, & non præteribit*: Pſ. 148, 6. Qui enim principio conſtituit omnia verbo, poteſt & rurſus opera figmentaque ſua verbo transmutare. Dixit olim ut aquis penitus carens petra irrigua fieret; illa verò ſubito C fluvios aquarum eructat. *Percuſſit enim petram, & fluxerunt aquæ & flumina inundaverunt*: Pſ. 77. 20 & petra quæ priùs arida erat & expers aquarum fons fluminum & aquarum mater eſt facta: nihil quippe incultum eſt aut infœcundum eorum quibus imperat Deus. Eſa. 35, 7 Qui tum igitur infœcundam petram convertit in ſtagnum, nunc quoque ſterilem Elizabetam, procreatricem liberorum matrem fieri juſſit, & infœcundam reddidit fœcundam; & ſenectute confectam quaſi recens nuptam puellam. Quo tempore ad ſepul- D crum urgebatur, eo tempore ad pariendum diſponebatur; quo tempore ſenectute corpus emarcuerat, eo tempore Deus uterum ejus renovavit: ita quod illa temporis injuria amiſerat, beneficio conditoris recepit: & quod juventus perdiderat, à ſenectute repetebatur: quando morti jam vicina erat, tunc pueri mater appellabatur; & quæ aviæ tempus ſupergreſſa erat, ad maternam ſollicitudinem devoluta eſt: infantem in ulnis geſtabat, quæ ſcipione pro nimia ſenectute, ad inceſſum indi- E gebat: primogenitum anus puerulum tractabat: ſterilisque præter opinionem ac mirabiliter genuit, ut præter naturam peperiſſe virgo credatur, utrumque novum eſt & mirabile: ſterilis enim & virgo inexpectatæ ſunt matres.

2. Hujus autem partus mirabilis, Zachariæ ſeni miſſus eſt index Archangelus Gabriel: & ſtans à dextris altaris incenſi, apparuit illi; & Zacharias, inquit, turbatus eſt videns: & ti- A mor irruit ſuper eum. Vidit namque quod nunquam viderat, ignem loquentem, incorporeum hominem, intractabilem ſpeciem, ſpectaculum nulli conferendum, viſum incomparabile, per aërem incedentem curſorem humana præditum forma: & turbatus eſt videns. Cùm autem eum turbatum videret Angelus, jucundis promiſſis timorem fugat; Ne timeas Zacharia, quoniam exaudita eſt deprecatio tua: & uxor tua Eliſabet pariet ti- B bi filium, & vocabis nomen ejus Joannem? & erit gaudium tibi & exultatio, & multi in nativitate ejus gaudebunt. Ne timeas, Zacharia: non ut timorem incutiam veni; ſed gaudii tibi nuntiator acceſſi. Cujus tandem gaudii? uxor tua Eliſabet, pariet tibi filium, & vocabis nomen ejus Joannem. Hic tanquam Lucifer illuceſcet mundo, & ignorantiæ tenebras evocato ſole juſtitiæ diſſipabit? qui enim poſt me venit, ante me factus eſt: cujus ego non ſum dignus ut ſolvam ejus corrigiam C calceamenti.

3. *Et ipſe præcedet in ſpiritu & virtute Eliæ.* Spiritus Eliæ habitatum conceſſit & in Joannem: ſpiritus quippe prophetarum, Prophetis ſubjecti ſunt: atque in omnibus fermè Joannem Eliæ ſimilem invenimus. Ille degebat in montibus; hic in deſerto verſabatur: illum corvi alebant; hic herbarum ſummitates edebat: ille melote veſtiebatur; hic camelorum pilis: ille auſterus erat, & ad reprehendendum aptus; & iſte pariter: il- D le Judæorum Regem Achab arguebat, & Jezabel ejus uxorem: Tu es, inquit, qui evertis Iſraël, & domus patris tui: ita & Joannes Herodem & Herodiadem; Non licet tibi habere uxorem fratris tui. Et ipſe præcedet in ſpiritu & virtute Eliæ, ut convertat corda patrum in filios. Patres Judæorum, Abraham, Iſaac & Jacob, & duodecim Patriarchæ omneſque juſti, cùm viderent populum ad peccata proclivem, & facilè cum diis fornicantem E alienis, eos ut tales averſabantur: ex quo verò tempore pœnitentiæ baptiſmum prædicavit Joannes, ad Deum multi converſi ſunt. Cùm ergo cernerent illos patres ipſorum ad Deum ſeſe convertere, ſua quoque ipſi corda converterunt ad illos, & hoc eſt ut convertat corda patrum in filios, parare Domino plebem perfectam, acceptabilem; de qua David Propheta prænuntiavit, Pſal. 23, 6. dicens, *Hæc eſt generatio quærentium faciem Dei Jacob.*

4. Adhuc Zachariam ſenem admirabilis pueri conceptus attonitum

tonitum reddit : adhuc inuſitatum illum partum indignabundè audit; neque ſapienter apud ſe perpendit figulum conditoremque ventris, uterum annis effœtum poſſe renovare : atque idcirco in incredulitatis præcipitium eſt devolutus. Nam cùm diceret Angelus, *Ecce Eliſabet uxor tua pariet tibi filium*, & vocabis nomen ejus Joannem; Zacharias verbis repugnat, & ait, Unde hoc ſciam? Ego enim ſum ſenex; & uxor mea proceſſit in diebus ſuis; Unde, inquit, ſecurus ac certior fiam? quod tandem mihi præbere promiſſi hujus potes argumentum? oſtende nunc etiam mihi virgam, quæ, ut Pontificis Aaronis ætate, effloruerit : tum vero ego tibi credam ſenectutem etiam poſſe fœtum pueruli procreare. Ego enim ſum ſenex, & uxor mea proceſſit in diebus ſuis. Bona ſunt quidem verba tua & grata; ſed promiſſum difficile creditu. Filium mihi quaſi proxeneta promittis, ſpem poſt ſpes ſcilicet : flos ætatis meæ præterit : juventutis omne tempus nullo edito fructu abſumſi : quando factus ſum quaſi lignum aridum, tum me producere fructus cogis? incurvo corpore per forum incedo, nec jam ſuſpicere cœlum poſſum : ad cognatam me terram ſenectus attrahit : terra quippe ſum, & in terram revertar : vix pedum ingreſſum promoveo? neque mihi ſufficiunt ad incedendum duo pedes; ſcipionem tertii pedis vicem geſto: non enim mihi filius hactenus datus eſt, à quo manu ducerer : ſepulchrum ſum mobile, & cadaver obambulans, quomodo ergo ex hoc tempore patrem me filius nominabit.

5. *Ego enim ſum ſenex, & uxor mea proceſſit in diebus ſuis*, cùm me ad tumulum ſenectus deducit, tum ego lectum nuptialem aſcendam : & filium procreabo, cùm mihi ſol juventutis occiderit? Et ego præ annis multis ſum exoletus, & Eliſabetæ uterus effœtus eſt emortuus : unde igitur hoc ſciam? Ego enim ſum ſenex, & uxor mea proceſſit in diebus ſuis.

6. *Et reſpondens Angelus dixit ei, Ego ſum Gabriel qui aſto ante Deum : & miſſus ſum loqui ad te, & hæc tibi Evangelizare, & ecce, eris tacens, & non poteris loqui uſque in diem quo hæc fiant : pro eo quod non credidiſti verbis meis, quæ implebuntur in tempore ſuo.* Et ecce eris tacens, & non poteris loqui. Volo quippiam facere; & tu interrogas. Quomodo miraculum edere ſtatui, tu rationem ac viam quæris? omnino autem meorum operum principium curioſè ſcrutaris : Num eſt impoſſibile apud Deum omne verbum? Dic mihi unde ſit natus Iſaac : nonne illum Abraham ſenex progenuit, & Sarram vetulam matrem appellavit? tu ad eandem expectationem vocatus, cur non ut ille mea verba excepiſti? Quapropter eris tacens, & non poteris loqui; pro eo quòd non credidiſti verbis meis : tuam ego linguam obligaquæ ſe ad immoderatam reſponſionem commovit : in quo peccatum patraſti organo, ac membro, in ipſo & plecteris : *Per quæ*
Sap. 11, 7. *enim quis peccat, per hæc & torquetur*, Idcirco eris tacens, & non poteris loqui; pro eo quòd non credidiſti dictis meis; tacens mea verba expecta, quæ implebunt in tempore ſuo : quæ enim apud homines impoſſibilia ſunt apud Deum. Ipſi gloria in ſecula. Amen.

παράδοξον ἐξεπλήττετο, ὅτι πρὸς τὸν ἀπηγορευμένον τοκετὸν δυσχεραίνει, μὴ λογισάμενος συνετῶς, ὅτι ὁ κεραμεὺς τῆς γαστρὸς, δύναται τὴν πεπαλαιωμένην ἀνακαινίσαι μήτραν. διὸ καὶ πρὸς τὸν τῆς ἀπιστίας ἐξεκυλίσθη κρημνόν. τοῦ γὰρ ἀγγέλου λέγοντος, Ἰδοὺ ἡ γυνή σου Ἐλισάβετ τέξεταί σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· ὁ Ζαχαρίας ἀπομάχεται τῷ λόγῳ, καί φησι, κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. πόθεν μοί, φησι, τὸ ἀσφαλὲς ὑπάρξει; ποῖόν μοι τῆς ἐπαγγελίας δύνασαι παρασχῆσαι τεκμήριον; δεῖξόν μοι καὶ νῦν ῥάβδον τὴν ἐπὶ Ἀαρὼν τοῦ ἀρχιερέως, ἀνθήσασαν, καὶ τότε σοι πιστεύσω ὅτι καὶ γῆρας δύναται καρποφορῆσαι παιδίον. ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. τὰ ῥήματά σου, χρηστά· τὸ δὲ ἐπάγγελμα, δύσπιστον. παιδία μοι προξενεῖς, μετ' ἐλπίδας ἐλπίδα, ὁ τῆς ἀκμῆς μου παρελήλυθε χρόνος· τὸν τῆς νεότητος ἀκάρπως κατηνάλωσα βίον. ὅτε ὡς ξύλον ἐγενόμην ξηρὸν, τότε καρποφορεῖν ἀναγκάζεις με· κυρτοβατῶν τὴν ἀγορὰν περιέρχομαι, οὐκ ἔτι πρὸς οὐρανὸν ἀνανεύειν ἰσχύω· πρὸς τὴν συγγένειαν γῆν καθέλκει με τὸ γῆρας· γῆ γάρ εἰμι, καὶ εἰς γῆν ἀπελεύσομαι· μόλις τὸ βῆμα τῶν ποδῶν μεταφέρω. οὐκ ἀρκοῦσιν οἱ δύο μοι πρὸς ἐπίβασιν πόδες. ἀντὶ τρίτου ποδὸς βακτηρίαν βαστάζω· χειραγωγοῦ γὰρ μέχρι νῦν οὐκ εὐπόρησα τέκνου· τάφος εἰμὶ κινούμενος, καὶ νεκρὸς ὁδοιπόρος. πῶς ἂν ἀπὸ τοῦ νῦν ἐμὲ τέκνον ὀνομάσει πατέρα;

5. Ἐγὼ γάρ εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς· ὅτε τῷ τάφῳ τὸ γῆρας με προσάγει, τότε νυμφικῆς ἐπιβήσομαι κοίτης, καὶ παῖδα φυτουργήσω τοῦ τῆς νεότητός μοι δεδυκότος ἡλίου; κἀγὼ διὰ τὸν χρόνον ἐξίτηλος. καὶ τῆς Ἐλισάβετ ἡ μήτρα νενέκρωται. κατὰ τί οὖν γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.

6. Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ, ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου· οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι. βούλομαί τι ποιῆσαι, καὶ πῶς ἐρωτᾷς; θαυματουργῆσαι προῄρημαι, καὶ τὸν τρόπον ζητεῖς; ὅλως δὲ περιεργάζῃ τὴν ἐμῶν ἔργων τὴν ἀρχήν; μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ ῥῆμα; εἰπέ μοι, πόθεν ὁ Ἰσαὰκ ἐτέχθη, οὐκ Ἀβραὰμ αὐτὸν ἐγέννησεν ὁ πρεσβύτης, καὶ Σάῤῥαν τὴν στεῖραν ἐκάλεσε μητέρα, εἰς τὴν αὐτὴν ἐμπεσὼν προσδοκίαν, διὰ τί τοὺς ἐμοὺς ὡς ἐκεῖνος οὐ πα[illegible]δέξω λόγους; διὸ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, [illegible]ν οὐκ ἐπίστευσας τοῖς λόγοις μου. δήσω σου τὴν γλῶσσαν τὴν πρὸς ἄτακτον κινηθεῖσαν ἀπόκρισιν· ἐν ᾧ τὴν ἁμαρτίαν ἐγέννησας ὀργάνῳ, ἐν αὐτῷ καὶ παιδευθήσῃ· δι' ὧν γάρ τις ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται. διὸ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου· τοῖς ῥήμασί μου λαλῶν οὐκ ἐπίστευσας· σιωπῶν τοὺς λόγους ἀνάμενε, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν· τὰ γὰρ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατά. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

In laudem conceptionis ſancti Joannis Prophetæ Præcurſoris & Baptiſtæ.

Eodem interprete.

MOyſes ille magnus Dei famulus, caput prophetarum, ille maris viator, aëris auriga, menſæ mannæ apparator, Dei legislator, qui tabulas ſacras excepit, qui primus ea quæ ad vitam rectè inſtituendam ſpectant, introduxit : hic vir talis ac tantus populo Iſrael tabernaculum condidit, ſecundùm eam figuram quam in monte fuerat edoctus à Deo. Atque omnia quidem ille ſancta ſacraque fecerat ſingillatim quæ interiori ſepto comprehenſa erant : quod verò intimum erat, iſtis inacceſſum & impervium erat Sanctum Sanctorum appellatum. Ad hoc exemplar tabernaculi, Salomon etiam templum exædificavit : quod non modo materiæ pretio, artiſque varietate, ſed & ipſa ſpecie ſtructuræ, templa omnia quæ cernuntur in terris, obſcurabat : ut nunquam in eorum quæ apud Ægyptios erant, cupiditatem exardeſcerent. Ac templum quidem illud, univerſi hujus mundi imaginem, cùm ejus qui ſub ſenſum cadit, tum illius qui mente comprehenditur, conſtruit, nam quemadmodum terra hîc eſt & cœlum, mediumque interſtituum, hoc firmamentum; ita & illud fieri juſſit Deus : cumque duas in partes hoc templum diviſiſſet, velumque in medio expandiſſet, illud quidem quod extra velum erat, ab omnibus adiri poſſe permiſit : quod autem intra illud erat, inacceſſum omnibus eſſe atque à nemine conſpici præterquam à ſolo ſummo Pontifice, ſicut ab an-
Levit. 16. gelo fuerat imperatum, loquente cum Moyſe, ut filiis Iſraël diceret,

Ἐγκώμιον εἰς τὴν σύλληψιν τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου Προδρόμου καὶ Βαπτιστοῦ.

Μωυσῆς ὁ μέγας ὁ τοῦ Θεοῦ θεράπων, τὸ κεφάλαιον τῶν προφητῶν, ὁ τῆς θαλάσσης ὁδοιπόρος, ὁ τοῦ ἀέρος ἡνίοχος, ὁ τοῦ μάννα τραπεζοποιὸς, ὁ τοῦ Θεοῦ νομοθέτης, ὁ τὰς πλάκας τὰς ἱερὰς δεξάμενος, ὁ πρῶτος εἰσηγητὴς τῶν συμφερόντων τῷ βίῳ· οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος σκηνὴν τῷ λαῷ Ἰσραὴλ κατεσκεύασε, καθ' ὃν ἐν τῷ ὄρει παρὰ Θεοῦ ἐδιδάχθη τύπον. καὶ πάντα μὲν ἅγιά τε καὶ ἱερὰ τὰ καθ' ἕκαστον ἐποίησεν, ὅσα τῷ περιχαρακώματι κατὰ τὸ ἐντὸς περιείληπτο· τὸ δὲ ἐνδότατον, τούτοις ἄδυτόν τε καὶ ἀνεπίβατον ἦν, ἅγιον ἁγίων λεγόμενον· τούτῳ τῷ παραδείγματι τῆς σκηνῆς καὶ Σολομὼν ᾠκοδόμησε ναὸν, οὐχὶ τῇ πολυτελείᾳ τῆς ὕλης μόνον, οὐδὲ τῇ ποικιλίᾳ τῆς τέχνης. ἀλλὰ καὶ τῷ σχήματι τῆς οἰκοδομῆς πάντας τοὺς ἐπὶ γῆς ναοὺς ἀποκρύπτοντα· ὥστε αὐτοὺς μηδέποτε εἰς ἐπιθυμίαν ἐλθεῖν τῶν παρὰ Αἰγυπτίοις· καὶ ποιεῖ τὸν ναὸν πρὸς τὴν εἰκόνα τοῦ κόσμου παντὸς, τοῦ τε αἰσθητοῦ καὶ τοῦ νοητοῦ. καθάπερ γάρ ἐστι γῆ καὶ οὐρανὸς, καὶ μέσον διάφραγμα τὸ στερέωμα τοῦτο· οὕτω κἀκεῖνον ἐκέλευσε γενέσθαι ὁ Θεὸς, καὶ εἰς δύο διατεμὼν τὸν ναὸν τοῦτον, καὶ καταπέτασμα ἀφεὶς μέσον, τὸ μὲν ἔξω τοῦ καταπετάσματος, πᾶσι συνεχώρησεν εἶναι βατὸν, τὸ δὲ ἔνδον, ἄβατον πᾶσι καὶ ἀθέατον, πλὴν τοῦ ἀρχιερέως μόνου· ὡς ὁ ἄγγελος ἐνετείλατο, λαλήσας τῷ Μωσῇ, εἰπεῖν τοῖς υἱοῖς Ἰσραήλ·

Ἐν

Digitized by Google

" Ἐν τῷ μηνὶ ἑβδόμῳ, δεκάτῃ τοῦ μηνὸς, ταπεινώσατε τὰς ψυχὰς ὑμῶν· τοῦτ᾽ ἔστι, περὶ τῆς σκηνοπηγίας· τότε γὰρ ἐν τῇ σκηνοπηγίᾳ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων θυμιᾶν.

2. Ἐν ταύτῃ οὖν τῇ ἑορτῇ τῆς σκηνοπηγίας, εἰσῆλθε καὶ ὁ Ζαχαρίας θυμιάσαι κατὰ τὴν ἐφημερίαν αὐτοῦ, καὶ εἶδε τὸν ἄγγελον ἑστῶτα ἐκ δεξιῶν τοῦ θυσιαστηρίου θυμιάματος· καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν· εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· " μὴ φοβοῦ Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ " γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ " Ἰωάννην· καὶ ἔσται σοι χαρὰ καὶ ἀγαλλίασις· καὶ πολλοὶ ἐπὶ τῇ " γεννήσει αὐτοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον Κυρίου, καὶ " οἶνον, καὶ σίκερα οὐ πίεται, καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι " ἐκ κοιλίας μητρὸς αὐτοῦ. καὶ αὐτὸς προπορεύσεται ἐν πνεύματι καὶ " δυνάμει Ἠλίου, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ " ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. εἶδες ἐπαγγελίαν, προφητικὴν ὑπερβαίνουσαν δύναμιν; αὕτη ἡ προφητεία τοῦ Ζαχαρίου, ἔδησε καὶ ἔλυσε τὴν γλῶτταν· ἔδησε γὰρ, ἀπιστηθέντος τοῦ τόκου· ἔλυσε δὲ αὐτὴν, γενομένου τοῦ τόκου. ὢ τοῦ θαύματος· Ἰωάννης ἐκ κοιλίας εὐαγγελιστὴς, ἐκ γαστρὸς θαυματουργὸς, τῆς ἐρημίας σύντροφος, καὶ τῶν ἀγγέλων ὁμοδίαιτος, ὁ μετὰ τὸν νόμον ἐν προφήταις, δεύτερος Ἠλίας, καὶ ἀληθέστατος κῆρυξ, τῷ ζήλῳ τοῦ πνεύματος τὴν πλάνην ἐξελαύνων, ὁ πρόδρομος καὶ βαπτιστὴς, ὁ λέγων, μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. ὁ τοῦ Ζαχαρίου υἱὸς, καὶ τῆς στείρας τὸ βλάστημα, καὶ τῶν εὐχῶν τοῦ λαοῦ τέλειον αὐτούργημα· ὁ τῆς μετανοίας γνήσιος εἰσηγητὴς, καὶ πιστῶν συνήγορος ἐξομολογουμένων· ὁ τοῦ νόμου πλήρωμα, καὶ τῆς χάριτος ἀρχηγὸς, καὶ τῆς ἀσεβείας τῶν Ἰουδαίων ἔλεγχος· ὁ τῶν ἐπουρανίων δογμάτων βεβαιωτὴς, καὶ κριτὴς ἀδέκαστος τῶν τοῦ λαοῦ πταισμάτων· ὁ ἐκ στείρας ἀγόνου παρ᾽ ἐλπίδα τεχθεὶς, καὶ χάριτι ἐν τῆς πέτρας ὕδωρ ἐξαγαγόντος, Χριστοῦ νυμφαγωγός· ὁ τῶν Ἰορδανείων ῥείθρων χαλιναγωγὸς, καὶ τῆς τῶν ἁμαρτωλῶν καθάρσεως πρεσβευτής· ὁ τοῦ ἀκαταλήπτου μυστηρίου προμύστης, καὶ τῆς τοῦ ἀοράτου παρουσίας προφήτης. οὗτός ἐστιν Ἰωάννης ὁ κατ᾽ ἐπαγγελίαν τεχθεὶς τῷ Ζαχαρίᾳ ἐν γήρᾳ βαθυτάτῳ.

3. Ὢ τοῦ θαύματος· ἰδοὺ γὰρ ἐπὶ τῶν ἔργων ἐδείχθη τὰ ἐν γαστρὶ τοῦ Ἰωάννου σκιρτήματα, ἃ ἐμήνυσεν, εἶδεν ὁ κόσμος τὴν ἀγαλλίασιν, ἣν ἐν τῇ νηδύϊ ὁ πρόδρομος τοῖς ποσὶν ἐζωγράφησεν. ἀλλὰ ποίαν ἡμεῖς τῷ δικαίῳ τὴν τιμὴν ἀποδώσωμεν, κυκλούμενοι πανταχόθεν τοῖς αὐτοῦ κατορθώμασιν; εὐαγγελίζεται γὰρ κυοφορούμενος, θαυματουργεῖ τικτόμενος, προκόπτει ἐν ταῖς ἐρήμοις ἀσκούμενος, τρέφεται τῷ πνεύματι προαγόμενος· μεσιτεύει νόμου καὶ χάριτι· κηρύττει μετανοίας βάπτισμα· βαπτίζει τὸν δεσπότην παραγενόμενον· θεωρεῖ βαπτίζων τῆς τριάδος τὴν δόξαν, καὶ τῇ χάριτι μαρτυρεῖ τῇ ἀληθείᾳ, βοῶν ὑποδείκνυσι τὸν προφητευθέντα δεσπότην, ὁμολογῶν καὶ αὐτοῦ ἰσχυρότερον· ὁδηγεῖ πρὸς αὐτὸν τοὺς πιστεύοντας, ἐκδιδάσκων τὸ συμφέρον τοῖς ὄχλοις· νουθετεῖ καὶ βαπτιζομένους τελώνας· ἐλέγχει καὶ τὸν Ἡρῴδην παρανομοῦντα· δέχεται καὶ μακαριζόμενον τέλος. ποίοις τοίνυν θαυμάζομεν λόγοις; ποίαν ἐν τούτοις κινήσομεν γλῶτταν; τί τούτων παραλείπομεν, καὶ τί εἰπεῖν περὶ τούτων ἰσχύσομεν; μέγα γὰρ τῶν ἐγκωμίων τὸ πέλαγος, μέγα καὶ τῶν κατορθωμάτων τὸ πλάτος. ἐκπλήττει τοὺς λέγοντας καὶ μόνη τῶν πραγμάτων ἡ πεῖρα.

4. Ἀλλ᾽ ἐλθέτω καὶ νῦν Ζαχαρίας ὁ τοῦ δικαίου πατὴρ, ὁ καὶ τῇ σιωπῇ κατακριθεὶς, καὶ πάλιν φθεγξάμενος· ἐκεῖνος ἡμῖν τὰ ἑαυτοῦ τρανότατα διηγήσεται, πῶς ἐφθέγξατο κατασχεθείσης τῆς γλώσσης· πῶς Ἰωάννης γεννᾶται καὶ ἡ τοῦ ἀγγέλου ἀπόφασις λύεται· πῶς ἡ τιμωρία ἀπάγεται, καὶ ἡ θεραπεία ἔρχεται. ὁ γὰρ εὐαγγελιστὴς σύντομον τοῦ Ζαχαρίου καὶ Ἐλισάβετ τῆς γυναικὸς αὐτοῦ εἰσάγων τὸ κήρυγμα, πρότερον τὰς προσηγορίας αὐτῶν καὶ τὴν φύσιν καὶ τὴν ἀξίαν σημαίνει. ἔπειτα δὲ, πολιτείας ἔπαινον καὶ εὐποιίας τρόπαιον ἐπάγει, ἐν ᾧ καὶ τῆς σιωπῆς κατάκρισιν δείκνυσι, καὶ τῆς εὐγλωττίας τὴν λύσιν γνωρίζει. καὶ ἄκουε τῶν εὐαγγελικῶν ἐντεῦθεν ῥημάτων· Καὶ οὐκ ἦν [φησιν] αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν· καὶ νῦν οὐ μόνον τὴν τούτων ἀτεκνίαν ὁρῶ, ἀλλὰ καὶ τὴν ἀρχαίαν εἰκόνα τῶν δικαίων ἐννοῶ, Ἀβραὰμ λέγω καὶ Σάῤῥας· καὶ μανθάνω καὶ στείρωσιν τίκτουσαν ἑτέραν, καὶ παιδοποιίαν χάριτος καὶ φύσεως, ξένον τεκνογονίας " μυστήριον· οὗτος γὰρ τῆς ἐπαγγελίας ὁ τρόπος ταύτης. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιά- " ματος· καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, μὴ φοβοῦ Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ, Ἰωάννην.

In menſe ſeptimo, in decima menſis, humiliate animas veſtras: hoc de Scenopegia dictum eſt; tum enim in Scenopegia ſemel in anno ſolus Pontifex, ut incenſum adoleret, in ſancta ſanctorum intrabat.

2. In hac ergo ſolemnitate Scenopegiæ, Zacharias ingreſſus eſt in ordine vicis ſuæ, ut incenſum poneret: *viditque Angelum ſtantem a dextris altaris incenſi: Et Zacharias turbatus eſt videns: & timor irruit ſuper eum. Ait autem ad eum Angelus, Ne timeas Zacharia; quoniam exaudita eſt deprecatio tua: & uxor tua Eliſabet, pariet tibi filium, & vocabis nomen ejus Joannem: & erit gaudium tibi & exultatio; & multi in nativitate ejus gaudebunt: erit enim magnus coram Domino: & vinum & ſiceram non bibet, & ſpiritu ſancto replebitur adhuc ex utero matris ſuæ. Et ipſe præcedet in ſpiritu & virtute Eliæ; ut convertat corda patrum in filios, & incredulos ad prudentiam juſtorum, parare Domino plebem perfectam.* Vidiſti promiſſum quod virtutem propheticam excedit? hæc prophetia, Zachariæ linguam vinxit & ſolvit: vinxit enim, cum creditus non eſſet partus: ſolvit autem illam, cùm partus eveniſſet. O rem admirabilem! Joannes ex utero Evangeliſta, ex ventre miraculorum editor, deſerti alumnus, & Angelorum contubernalis; qui poſt legem unus eſt ex Prophetis, ſecundus Elias, & veriſſimus præco; qui ſpiritus zelo errorem longè abigit, Præcurſor & Baptiſta: qui dicit, Pœnitentiam agite, appropinquavit enim regnum cœlorum: Zachariæ filius, & ſterilis germen, ac populi precum opus perfectum: genuinus pœnitentiæ promulgator, ac fidelium pœnitentium & confitentium patronus, legis plenitudo, & gratiæ dux ac princeps, atque Judæorum impietatis reprehenſor, cœleſtium decretorum ſancitor, & delictorum populi judex incorruptus, qui ex ſterili & effœta præter ſpem partu eſt editus, & gratiæ beneficio, Chriſti ipſius qui aquam eduxit è petra, ſponſæ deductor, qui Jordanis fluenta quaſi fræno injecto regit; & purgationis peccatorum moderator, incomprehenſibilis myſterii præſcius ac prænuntius, & adventus ejus, qui videri non poteſt, Propheta: hic eſt Joannes ille qui Zachariæ in extrema ſenectute conſtituto, prout fuerat promiſſum, eſt natus.

3. O miraculum! Ecce enim operibus ipſis apparuere comprobata, quæ geſtibus ſuis exultans Joannes in utero ſubindicavit. Vidit mundus lætitiam quam in vulva præcurſor pedibus expreſſit. Quem verò nos honorem juſto illi rependemus, admirandis ejus rectè factis undique circumſeſſi? Evangelizat enim dum utero geſtatur; edit miracula, dum naſcitur; progreſſus facit dum in deſertis religioſè vivens exercetur: provectus ſpiritu nutritur; medius inter legem & gratiam intercedit: baptiſmum prædicat pœnitentiæ: dominum advenientem baptizat; Trinitatis gloriam videt baptizans, & gratiæ perhibet teſtimonium, pro ipſa veritate clamans: Dominum à Prophetis prænuntiatum indicat, & ſeipſo fortiorem ac validiorem illum confitetur; viæ ducem his qui credunt, ſe præbet, ut ad eum perveniant dum turbas utilia docet: publicanos etiam qui baptizantur commonefacit: reprehendit & legem violantem Herodem, ac demum finem ſortitur, quo ad beatitudinem ipſam provehitur. Quibus itaque illum ſermonibus efferemus? qua lingua ad hæc omnia commendanda utemur? quid horum prætermittemus? aut quid tandem proloqui de iſtis valebimus? magnum enim laudum eſt pelagus, magna rectè factorum ejus amplitudo; vel ſolus ipſe rerum conatus laudatores reddit attonitos.

4. Verumenimvero prodeat nunc quoque Zacharias juſti pater, is qui & ſilentio damnatus eſt, & vocem rurſus emiſit: ille nobis res ſuas apertiſſimè declarabit: quo modo proloquutus eſt cum lingua eſſet devincta; quomodo ſententia ab angelo prolata reſcinditur: quomodo pœna removetur, & curatio adhibetur. Etenim Evangeliſta Zachariæ atque uxoris ejus Eliſabetæ compendioſam prædicationem in medium afferens, primum eorum nomina & naturam ad dignitatem ſignificat: deinde verò converſationis commendationem ac juſtitiæ trophæum proponit, ſimulque ſilentii damnationem indicat, utque fuerit linguæ uſus reſtitutus, declarat. At exinde verba ipſa Evangelica velim audias; Et non erat illis filius, eo quod eſſet Elizabet ſterilis, & ambo proceſſiſſent in diebus ſuis. Jam verò non illorum modò ſterilitatem liberorum intueor, ſed & antiqua illa ſpecies juſtorum animo meo obverſatur, Abraham inquam & Sarræ: ſimulque parientem alteram ſterilitatem animadverto, & gratiæ ope conceſſam liberorum fœcunditatem, ac naturæ inuſitatum in filiorum procreatione myſterium: talis enim & promiſſionis hujus eſt modus. *Apparuit autem illi angelus Domini ſtans à dextris altaris incenſi. Et Zacharias turbatus eſt videns: & timor irruit ſuper eum. Ait autem ad illum Angelus; Ne timeas Zacharia: quoniam exaudita deprecatio tua: Eliſabeth pariet tibi filium, & vocabis nomen ejus Joannem.*

Luc. 1, 10 ſeq.

5. Præclara ſanè promiſſionis poſſeſſio eſt, magnum viſionis A donum, verè Abrahamæa glorιatio. Ut enim illi Sarræ conceptio, ſic & iſti Eliſabetæ graviditas prænuntiata eſt. Verùm æqualis quidem eſt ipſa prædictio, at non item conditio rerum æqualis. Nam cum Abrahamo nihil ex denuntiatione mali obvenerit, Zacharias contra mutus poſt fœlicem illum nuntium invenitur, ut pote qui fide digno Angelo fidem non habuerit, & taciturnitatis fuerit pœna mulctatus. Dixit enim, inquit Zacharias ad Angelum, *unde hoc ſciam? ego enim ſum ſenex: & uxor mea proceſſit in die-* B *bus ſuis.* Quid hoc quæſo eſt Domine? dum ego preces offero Deo, dum veniam peto, ut toti populo ſit volens ac propitius, tu mihi fœlicem hunc nuntium affers, fore ut mihi filius naſcatur? atqui hoc fieri nullo modo poteſt: nam & mea hæc ſenectus infirma eſt & imbecillis natura: conjux autem mea infœcunda quædam eſt cautes: ecqua tandem ratione id fieri queat? veruntamen ſi quidem, ut dicis, filius mihi naſcetur, quæ tandem ex illo commoditas populo importabitur? Tum Angelus, Magnam verò ille populo cun- C ctiſque gentibus ſalutem afferet: omnes enim ab errore ipſe revocabit, ſaluisque viam monſtrabit, atque mediator Dei & hominum fiet: *etenim præcedet in ſpiritu ac virtute Eliæ, & Propheta Altiſſimi vocabitur. Iſte præcedet ante faciem Domini, dicens, Ecce agnus Dei, qui tollit peccatum mundi.*

6. Zacharias autem contra reſpondens ad Angelum dixit, *Unde hoc ſciam?* tum verò Angelus, Quandoquidem partus ſignum & indicium quæris, neque meis verbis fidem adhibes, accipe pignus D ſecurum? *Ego ſum Gabriel, qui aſto ante Deum, & miſſus ſum loqui ad te, & hæc tibi Evangelizare. Ecce eris tacens, & non poteris loqui uſque in diem quo hæc fiant: pro eo quod non credidiſti verbis meis, quæ implebuntur in tempore ſuo.* Sine remiſſione & rigida eſt ei qui deliquerat illata hæc multa, ſine dilatione acerbitas iſta ſupplicii, non enim omnino oportebat Angelo fidem non haberi, non altare contemptibile duci, nec tempus incenſi tempus deceptionis arbitrari: nam incenſum adolenti Angelus illi ap- E paruit. Non recordatus eſt hiſtoriæ Abrahæ: nam tum quoque ſterilis & ſenectus liberos procreavit; omnique ex parte his quæ dicta erant, conciliata erat fides, cùm talis cujuſdam prolis generationis miraculum præceſſiſſet. Quamobrem Angelus ad illum, *Eris*, inquit, *tacens, & non poteris loqui, uſque in diem quo hæc fiant: pro eo quod non credidiſti verbis meis.*

7. O ſupplicium benignum, quod correctionem potiùs opera- A tur: ipſam enim vocem, quæ deliquerat, moderatiorem Angelus

Luc. 1, 44. reddit. *Egreſſus enim non poterat loqui ad illos, & cognoverunt quòd viſionem vidiſſet in templo, & ipſe erat innuens illis, & permanſit mutus.* Rectè ſiquidem & permanſiſſe ſcripſit Evangeliſta; expectavit enim ſilentium vocem partu edendam: Zacharias Joannem; puerum ſenex. O rem admirandam! Verbum advenıat, & vox præconis munere ante illud fungitur: Dominus accedit, & ſervus præmittitur. Sed quid ego deſerti prædicationem præoc- B cupo, cùm alia mihi quædam mirabilis & magna vox ſuppetat procemiorum? ſunt quippe opera prima iſtis ſermonibus ſuperiora. Nam cùm adhuc Baptiſta in utero matris habitaret, adhuc naturæ

Joan. 4, 38. vinculis implicatus, adhuc maternis faſciis obvolutus, præconio quodam Domini adventum proclamat: *Factum eſt*, inquit, *ut audivit Maria ſalutationem Eliſabet, exultavit infans in utero ejus.* Nondum naſcitur, & exultationibus geſtibusque loquitur: nondum clamare permittitur, & ex operibus auditur: nondum vivere diſcit, & Deum prænuntiat. Verè alii laboraverunt, & nos in labores C eorum introivimus. Clamantes Prophetæ prædicebant, neque conticebant percuſſi: patriarcharum cuneus in periculo verſabatur: tyranni quaſi acie inſtructa adverſabantur: bellum inferebant Reges; populus ira accendebatur; mundus univerſus juſtorum ſe certaminibus adverſarium opponebat: hinc tribunalibus ſiſtebantur, illinc flagellis dilacerabantur: undique ſupplicia atque cruciatus, venit in tanta vitę miſeria conſtitutis finem hyemis Joannes feliciter nuntians, adhuc naturæ incunabulis vinctus, D ſalutare ver nobis demonſtravit, & properans voce prædicare, quem ſuis pedibus indicavit, violabat ipſas naturæ leges, [ac perrumpere terminos conabatur] tarde enim parientem Eliſabetam pulſabat, exultabat, ſimulque ſaltans & indignans quod vulvæ compedibus teneretur, adverſus periodum menſium clamabat; tanquam iniquum carcerem concutiebat matricem, & ſubſultationibus ſuis talia quædam proloquens Eliſabet compellabat.

8. Facis injuriam ô tardè pariens mater, quæ orbis terrarum E gaudium detines, & exire vetas præcurſorem: prophetam utero concluſum geſtas; regium ſatellitem cohibes; velocem impedis religionis curſorem, facis injuriam ô mater: futura non noſti, quæ ventura ſunt neſcis, lux ecce adeſt, ſolve diluculum ac dimitte: ſol exoritur: lucifer ergo præluceat: inſtat foribus verbum, &

5. Καλὸν τῆς ἐπαγγελίας τὸ κτῆμα, μέγα τῆς ὀπτασίας τὸ δῶρον· ἀληθῶς Ἀβραμιαῖον τὸ καύχημα. ὡς γὰρ ἐκείνῳ ἡ σύλληψις τῆς Σάῤῥας, οὕτω καὶ τούτῳ προκατήγγελται τῆς Ἐλισάβετ ἡ κύησις. ἀλλ' ἡ μὲν πρόῤῥησις, ἴση· οὐκ ἴση δὲ τῶν πραγμάτων ἡ τάξις. τοῦ γὰρ Ἀβραὰμ μηδὲν ἐκ τῆς ἐπαγγελίας πεπονθότος δεινὸν, ἄφωνος μετὰ τὸν εὐαγγελισμὸν Ζαχαρίας εὑρίσκεται, πιστῷ ἀγγέλῳ μὴ πιστεύσας, καὶ σιωπῇ τὴν τιμωρίαν δεξάμενος. Εἶπε δὲ, φησὶ, Ζαχαρίας πρὸς τὸν ἄγγελον, κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς· τί τοῦτο δέσποτα; ἐγὼ τὰς ἱκεσίας προσάγω τῷ Θεῷ ὑπὲρ παντὸς τοῦ λαοῦ ἐξιλασκόμενος, καὶ αὐτὸς υἱὸν μοι τέξεσθαι εὐαγγελίζῃ· τοῦτο ἀδύνατόν ἐστι. τὸ γὰρ γῆρας ἀσθενὲς, καὶ ἡ φύσις ἄτονος, καὶ ἡ ἐμὴ σύζυγος πέτρα ἐστὶν ἄγονος· καὶ πῶς ἔσται μοι τοῦτο; ὅμως εἰ καὶ, ὡς εἴρηκας, γεννήσεταί μοι υἱὸς, τίς ἔσται ὠφέλεια ἐξ αὐτοῦ τῷ λαῷ; ὁ δὲ ἄγγελος· μεγάλη ἔσται σωτηρία δι' ἐκείνου τῷ λαῷ, καὶ πᾶσι τοῖς ἔθνεσιν· αὐτὸς γὰρ ἐπιστρέψει πάντας ἀπὸ τῆς πλάνης, καὶ ὑποδείξει αὐτοῖς τὴν ὁδὸν τῆς σωτηρίας, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων· καὶ προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἠλίου, καὶ προφήτης ὑψίστου κληθήσεται· οὗτος προπορεύσεται πρὸ προσώπου Κυρίου, λέγων, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

6. Ὁ δὲ Ζαχαρίας, ἀνταποκριθεὶς εἶπε πρὸς τὸν ἄγγελον· κατὰ τί γνώσομαι τοῦτο, εἶπε δὲ ὁ ἄγγελος, ἐπειδὴ σημεῖον ἐπιζητεῖς τοῦ τόκου, καὶ τοῖς ἐμοῖς ἀπιστεῖς λόγοις, λάβε ἐνέχυρον ἀσφαλές· ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλεῖν, ἄχρις ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν· ἀνένδοτος ἡ δίκη τοῦ πλημμελήσαντος, καὶ ἀνυπέρθετος ἡ τῆς τιμωρίας ὀργή· οὐκ ἔδει γὰρ ἀληθῶς ἀπιστηθῆναι τὸν ἄγγελον, οὐ τὸ θυσιαστήριον εὐκαταφρόνητον ἔχειν, οὐ τὸν καιρὸν τοῦ θυμιάματος, καιρὸν ἀπάτης λογίσασθαι· ὁ γὰρ ἄγγελος θυμιῶντι αὐτῷ ὤφθη. οὐ τῆς Ἀβραὰμ ἱστορίας ὑπεμνήσθη· καὶ τότε γὰρ στεῖρα καὶ γῆρας παιδοποιεῖ, καὶ εὔπιστα πανταχοῦ τὰ λεγόμενα ἐδείχθη· εἶχε γὰρ τὸ τῆς τοιαύτης τεκνογονίας τὸ θαῦμα· ὅθεν ὁ ἄγγελος πρὸς αὐτὸν, ἔσῃ, φησὶν, σιωπῶν, καὶ μὴ δυνάμενος λαλεῖν, ἄχρις ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς ἐμοῖς λόγοις.

7. Ὢ τῆς φιλανθρώπου τιμωρίας, διόρθωσιν μᾶλλον ἐργασαμένης· αὐτὴν γὰρ ὁ ἄγγελος τὴν σφαλεῖσαν φωνὴν σωφρονίζει. ἐξελθὼν γὰρ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός· καλῶς γὰρ καὶ τὸ ἔμεινεν, ὁ εὐαγγελιστὴς συνετάξατο· προέμενε καὶ ἡ σιωπὴ ὑποτοκεύουσα τὴν φωνὴν, ὁ Ζαχαρίας τὸν Ἰωάννην, ὁ πρεσβύτης τὸ παιδίον. ὢ τοῦ θαύματος· λόγος ἐπιδημεῖ, καὶ ἡ φωνὴ προκηρύττει· δεσπότης ἔρχεται, καὶ δοῦλος προαποστέλλεται. ἀλλὰ τί νῦν προλαβὼν τὸ τῆς ἐρήμου κήρυγμα λέγω, ἔχων ἑτέραν ξένην τινὰ καὶ μεγάλην τῶν προοιμίων φωνήν; ἔργα γάρ ἐστι πρῶτα, τούτων τῶν ῥημάτων ἀνώτερα. ἔτι γὰρ ὁ Βαπτιστὴς οἰκῶν ἐν τῇ γαστρὶ τῆς μητρὸς, ἔτι τοῖς τῆς φύσεως δεσμοῖς κατεχόμενος, ἔτι τοῖς μητρικοῖς σπαργάνοις ἐνειλημμένος, κηρύγματι τὴν τοῦ δεσπότου βοᾷ παρουσίαν· ἐγένετο γάρ φησιν, ὡς ἤκουσε τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς. οὔπω γεννᾶται, καὶ τοῖς σκιρτήμασι φθέγγεται· οὔπω βοᾶν συγχωρεῖται, καὶ δι' ἔργων ἀκούεται· οὔπω μανθάνει τὸν βίον, καὶ τὸν Θεὸν προκηρύττει· ὄντως ἄλλοι κεκοπιάκασι, καὶ ἡμεῖς εἰς τοὺς κόπους αὐτῶν εἰσεληλύθαμεν· προεβόων οἱ προφῆται, καὶ οὐκ ἐσίγων τυπτόμενοι· πατριαρχῶν κατάλογος ἐκινδύνευεν· ἀντιπαρετάττοντο τύραννοι· βασιλεῖς ἐπολέμουν· ὠργίζετο δῆμος· ὁ κόσμος ὅλος ἀντηγωνίζετο τοῖς τῶν δικαίων ἀγῶσιν. ἔνθεν προσήγοντο βήμασι, κἀκεῖθεν κατεξέοντο ταῖς μάστιξι· πανταχόθεν κολαστήρια καὶ στρεβλώσεις. ἀλλ' ἐν τοιαύτῃ κατηφείᾳ βίου τυγχάνοντας λύσιν τοῦ χειμῶνος εὐαγγελιζόμενος ὁ Ἰωάννης, δεδεμένος ἔτι τοῖς σπαργάνοις τῆς φύσεως, τὸ σωτήριον ἔαρ ὑπέδειξεν ἡμῖν· καὶ σπεύδων κηρύξαι τῇ φωνῇ ὃν ἐμήνυσε τοῖς ποσὶν αὐτοῦ, ἐβιάζετο τοὺς ὅρους τῆς φύσεως· βραδυτοκοῦσαν γὰρ τὴν Ἐλισάβετ ἐσόβει· ἐσκίρτα μὲν τι χορεύων καὶ δυσχεραίνων, ἐφ' οἷς ἐπὶ τῆς νηδύος κεκράτητο· τῇ περιόδῳ τῶν μηνῶν κατεβόα· ὡς ἄδικον φυλακὴν τὴν μήτραν ἐτίνασσε, καὶ ἐβόα τοῖς σκιρτήμασι, τοιαῦτα πρὸς τὴν Ἐλισάβετ φθεγγόμενος.

8. Ἀδικεῖς ὦ μῆτερ βραδυτοκοῦσα, τὴν οἰκουμένης τὴν χαρὰν συνέχουσα, καὶ τὸν πρόδρομον κωλύουσα· προφήτην ἐγγάστριον φέρεις, βασιλικὸν στρατιώτην κατέχεις· συμποδίζεις τὸν ταχυδρόμον τῆς εὐσεβείας. ἀδικεῖς ὦ μῆτερ, οὐκ οἶδας τὸ μέλλον· ἀγνοεῖς τὰ ἐσόμενα. τὸ φῶς παραγίνεται, τὸν ὄρθρον ἀπόλυσον· ἀνατελεῖ ὁ ἥλιος, ὁ ἑωσφόρος προλαμψάτω· ἐπὶ θύραις ὁ λόγος, καὶ

χρεία

χρεία τῆς φωνῆς· ἐγγὺς ὁ νυμφίος, καὶ δίκαιον ἀπλωθῆναι τὸν θάλαμον ἐν τῷ Ἰορδάνῃ· αἵματος χρεία ἐξαγοράζοντος τὸν κόσμον, καὶ χρή με πόρρωθεν τὸν ἀμνὸν ὑποδεῖξαι. σεσαργάνωται τὸ γένος τῆς ἁμαρτίας, ἦλθεν ὁ λύων τοὺς πεπεδημένους· χρεία κήρυκος, ἵνα πάντες μαθόντες ἀπαντήσωσι τῷ δεσπότῃ· καὶ ἰδοὺ κρατεῖς ἐν μήτρᾳ τὸν πρόδρομον· ἐννόησον μῆτερ τὸν Ἀδὰμ κρατούμενον ἐν τῷ ᾅδῃ, τὴν Εὔαν τοὺς αἰωνίους στεναγμούς· ἔτι γὰρ κράζει τὸ αἷμα τοῦ Ἄβελ τὴν κατὰ τοῦ Κάϊν ἐντυγχάνον ἀναίρεσιν· συστενάζει αὐτῷ καὶ αὐτὰ τὰ στοιχεῖα· διὰ τοῦτο πάντως ἀπηλλάγης τοῦ πάθους τῆς ἀτεκνίας, ἵνα μηνύσῃ ἡ ἐκ στείρας τὸν ἐκ παρθένου. διὰ τοῦτο ἐγὼ ἐν τῇ μήτρᾳ ἐσκίρτησα, ἵνα μηκέτι ὀρχήσηται ὁ διάβολος ἐν τῷ κόσμῳ. τοιαῦτα μὲν οὖν μήπω τεχθεὶς ὁ Ἰωάννης πρὸς τὴν Ἐλισάβετ διὰ τῶν σκιρτημάτων ἐσήμανε· τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν, καὶ ἤκουσαν οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ· καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Ἰωάννης κληθήσεται. ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτό· καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν· ἀμέλει τὸ βρέφος τίκτεται, καὶ ἡ φωνὴ τοῦ πατρὸς ἐπανέρχεται. οὕτω γὰρ δείκνυται βοῶσα ἡ Ἰωάννου φωνή, ὅτι καὶ αὐτὸ τὸ ὄνομα φωνῆς ἐνέργειαν πέφυκεν. ἐγὼ γάρ φησι φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. δεξάμενος γὰρ τὴν ἔλλαμψιν τοῦ ἁγίου πνεύματος, ὑποδείκνυσι τὸν ποιητὴν τοῖς ποιήμασι, καὶ τὸν πλάστην ἐκδακτυλοδείκτει τοῖς πᾶσι μεγαλοφώνως βοῶν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

9. Ἀλλὰ τί τῷ θερμῷ ζήλῳ τοῦ βρέφους καὶ ὁ ἡμέτερος σήμερον συνεκτείνεται λόγος; ἐπίσχωμεν, εἰ δοκεῖ, νῦν τέως τὴν γλῶσσαν, ἀρκούντως μετὰ τοῦ βρέφους σκιρτήσασαν. καλὸν γὰρ συμμετρεῖν τῷ καιρῷ τὴν ἐξήγησιν, καὶ ἐντρυφᾶν μὲν τοῖς εἰρημένοις, περιμένειν δὲ καὶ τὴν καθεξῆς θεωρίαν· οὔτε γὰρ τοὺς ὅρους τῆς φύσεως ὁ Βαπτιστὴς ἐβιάσατο τοῖς σκιρτήμασι, ἀλλ' ἔμεινε καὶ αὐτὸς τὸν προσήκοντα χρόνον, εἰδὼς ὅτι καὶ τοῦτο δι' ἡμᾶς μετ' αὐτὸν πληρώσει ὁ δεσπότης, βοῶν, πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας· καὶ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασταί μου τὸ ὄνομα, καὶ ἐν παντὶ τόπῳ προσφέρεται τῷ ὀνόματί μου θυσία καθαρά. οὐκ ἔτι γὰρ κατὰ τὸν νόμον εἷς ναός ἐστι δεχόμενος τὰς θυσίας, ὁ σεμνυνόμενος ἐπὶ ταύταις· ἀλλὰ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαι εἰλικρινῶς τῷ Θεῷ δόξαν ἀναπέμπουσιν. ἐκεῖ ἱερεὺς ἦν εἷς τοῦ ἐνιαυτοῦ θνητός, καὶ πάσης ἁμαρτίας πεπληρωμένος· νῦν ἐλάβομεν τῶν ἡμετέρων ψυχῶν ἀρχιερέα Ἰησοῦν Χριστόν, ὃς ἁμαρτίαν οὐκ ἐποίησε, καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ἔχομεν γάρ φησιν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τό, προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμιλία.

Οἱ σοφοὶ καὶ ἐπιστήμονες τῆς γεωργίας τεχνῖται, ὅταν μετὰ πάσης φροντίδος καὶ ἐπιμελείας τὰ κατὰ γῆν βλαστήματα φυτεύσωσιν, αὐτὰ τὰ φυτὰ πρότερον εἰς μῆκος διεγείρουσιν· εἶθ' οὕτως τὰς παρενοχλούσας φυάδας τεχνικῶς τέμνουσι· τὸ αὐτὸ καὶ ὁ νομοθέτης Μωσῆς πεποίηκεν· πρότερον γὰρ κατεφύτευσε τὴν μοναρχίαν εἰς τὰς τῶν ἀνθρώπων διανοίας· εἶθ' οὕτως ἐξέτεμε τὴν πολυαρχίαν διὰ τῶν τῶν ἀνθρώπων διανοιῶν. καὶ πῶς κατεφύτευσε τὴν μοναρχίαν, ἄκουσον αὐτοῦ λέγοντος, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· καὶ πάλιν, ἄκουε Ἰσραήλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι· καὶ πῶς τὰς παρενοχλούσας φυάδας τῆς πολυαρχίας ἐξέτεμε, μάθε· οὐ ποιήσεις φησὶ θεοὺς χωνευτούς, οὐδὲ προσκυνήσεις θεοὺς ἀλλοτρίους· ἐγὼ γάρ, ἐγὼ Κύριος ὁ Θεός σου. τοῦτο δὲ καὶ σήμερον αὐτός, ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν ποιεῖ. ἐπειδὴ γὰρ πρώην ταῖς ἡμετέραις ψυχαῖς κατεφύτευσε τὴν καλλίστην ἐλαίαν τῆς ἐλεημοσύνης, καὶ τὸν καρπὸν αὐτῆς ἐστεφάνωσεν, τοῦτ' ἔστι τοὺς ἐλεήμονας, καὶ ἐμακάρισεν, εἰπών, μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσον-

jam opus eſt voce: prope eſt ſponſus: æquum eſt ergo jam thalamum in Jordane teſerari: ſanguine opus eſt, quo mundus redimatur, & me à longè oportet agnum digito monſtrare, implicatum eſt hominum genus peccati faſciis & compedibus, venit qui compeditos exolvat: acceſſore opus eſt ac nuntio ut omnes admoniti obviam Domino prodeant; & ecce in utero detines præcurſorem: veniat ergo tibi in mentem ô mater, Adamum apud inferos detineri, Evam tot jam ſeculis ingemiſcere: adhuc enim clamat ſanguis Abel & adverſus Cain eadem exponit, eique ipſa congemunt elementa. Idcirco omnino liberorum ſterilitatis miſeria liberata es, ut ſterilis filius virginis filium indicaret. Idcirco in utero ego exultavi, ut ne amplius in mundo diabolus choreas agitaret. Talia itaque nondum natus Joannes Eliſabetæ ſuis exultationibus innuebat. *Eliſabet autem impletum eſt tempus pariendi, & peperit filium, & audierunt vicini & cognati ejus, quia magnificavit Dominus miſericordiam ſuam cum illa, & congratulabantur ei. Et factum eſt in octavo die venerunt circumcidere puerum, & vocabant eum nomine patris ſui Zachariam: Vocabitur Joannes. Innuebant autem patri ejus, quid vellet vocari eum, & poſtulans pugillarem, ſcripſit, dicens, Joannes eſt nomen ejus, & mirati ſunt univerſi. Apertum eſt autem os ejus illico, & lingua ejus, & loquebatur benedicens Deum.* Itaque paritur infans, & ſimul vox patris revertitur: ſic enim vox Joannis clamans indicatur; quandoquidem ipſum nomen efficacitas vocis expreſſit. *Ego enim*, inquit, *vox clamantis in deſerto: Parate viam Domini rectas facite ſemitas ejus.* Nam cum à ſpiritu ſancto illuſtratus eſſet, creatorem creaturis indicabat, & conditorem omnibus digito intento monſtrabat, magna voce proclamans, *Ecce agnus Dei, qui tollit peccatum mundi. Facite ergo fructus dignos pœnitentiæ: & ne cœperitis dicere intra vos, Patrem habemus Abraham, dico enim vobis, quia potens eſt Deus de lapidibus iſtis ſuſcitare filios Abrahæ.* Luc. 1. 57. v. 64. Luc. 3. 4.

9. Verumenimvero quid noſtra hæc oratio cum ipſo infantis ferventi zelo longius & ipſa provehitur? compeſcamus nunc, ſi videtur, interim linguam noſtram, quæ ſatis ſuperque cum infantulo exultavit. Laudabile quippe eſt enarrationem cum tempore commetiri, & iis quæ dicta ſunt, ſe tanquam deliciis oblectare, conſequentem autem contemplationem expectare: nam neque naturæ leges exultationibus Baptiſta transgreſſus eſt, ſed ipſe quoque convenienſ tempus expectavit, ut qui probè noſſet fore ut propter nos poſt ipſum hoc Dominus adimpleret: clamans, *Replebitur terra cognitione Domini, ſicut aqua multa ad operiendum maria*: &, *Ab ortu ſolis uſque ad occaſum clarificatum eſt nomen meum*: &, In omni loco offertur nomini meo ſacrificium mundum. Non enim jam, ut legis tempore, unum eſt templum, quod ſacrificia excipiat, quodque illis ſolùm glorietur; ſed in univerſo terrarum orbe Dei gloriam Eccleſiæ ſincera pietate collaudant. Ibi Pontifex erat unus in annos ſingulos, iſque mortalis, & omni peccato repletus: jam noſtrarum Pontificem animarum accepimus Jeſum Chriſtum, qui peccatum non fecit, nec inventus eſt dolus in ore ejus. *Habemus enim*, inquit, *Pontificem magnum, qui penetravit cælos* Dominum noſtrum Jeſum Chriſtum; quem decet omnis gloria, honor, & adoratio, cum Patre & ſanctiſſimo Spiritu, nunc & ſemper, & in ſecula ſeculorum. Amen. Mal. 1, 11. Heb. 4. 14.

In illud locum, Attendite ne Eleemoſynam veſtram faciatis coram hominibus.

Eodem interprete.

SApientes ac periti agriculturæ artifices, ubi cum omni cura & ſollicitudine terræ ſtirpes plantaverint, priùs ipſas plantas in altitudinem erigunt, deinde ſuperfluos & importunos ſtolones artificiosè defringunt. Idem & legiſlator Moſes facit: primum enim unius imperium in hominum mente plantavit, ac deinde multorum imperium ex hominum mente amputavit, quo tandem pacto unius imperium plantarit, audi ipſum dicentem, *Dominum tuum adorabis, & illi ſoli ſervies*: & rurſus, *Audi Iſrael, Dominus Deus tuus, dominus unus eſt*; quomodo autem ſuperfluos & importunos ſurculos imperii multorum amputavit, ediſce, Non facies, inquit, Deos Conflatiles, neque adorabis Deos alienos: ego enim, ego Dominus Deus tuus. Hoc verò etiam hodierno die Deus idem, & Salvator noſter agit, nam poſtquam nuper in animis noſtris pulchram eleemoſynæ olivam plantavit, ejuſque fructum, hoc eſt, miſericordes, coronavit, & beatos prædicavit, dicens, Beati, miſericordes, quoniam ipſi miſericordiam conſequen- Deut. 6, 13, & 10, 20. Deut. 6. 4.

ſequentur, meritò nimirum hodie pullulantes moleſtas eleemoſynę ſuperfluitates amputat, ac repurgat. Enimvero nuper omnes ſimul cum ad eleemoſynam excitaret, pauperem quidem pauperculæ viduæ, quæ in Sarephtha Sidoniæ habitabat, exemplo edocuit, ne inhumanitati paupertatem prætexat: mendicum autem, viduæ illius mendicæ facto, quæ in Evangelio minuta duo in gazophylaciũ miſiſſe memoratur, incitavit, ut mendicas eleemoſynæ opes prompto animo conferat: mercatorem porro conſideratis maris procellis refrænavit, ut pauperibus potiùs quàm mari ſua communicetat eum. qui negotiationem terreſtri itinere exercet, coërcuit, ut animo neceſſitatem præcipiat, & ante neceſſitatem latroni Deum anteponat. Poſtquam igitur omnibus ad eleemoſynam inſtructis unumquemque ex eo, quòd laudes excepturus ſit, promptum eſſe tanquam virentem quandam plantam ad eleemoſynam inclinatam, vidit: Ego autem ſicut oliva fructifera in domo Dei: propterea ſimul pullulantes eleemoſynæ ſimulationes excindit quid dicens? Attendite ne eleemoſynam veſtram faciatis coram hominibus, ut videamini ab eis non quaſi nos lectionem hanc de induſtria commodè nunc proponamus: ſed quaſi ex ipſa ſerie eorum quæ jam lecta ſunt iſta tranſmittantur. *Attendite ne eleemoſynam veſtram faciatis coram hominibus, ut vos appareatis eis: ſin ſecus, nullam certe mercedem habebitis:* hæc enim oſtentatio mercedem tollit illarum: talis largitio futuram illis eripit felicitatem. Etenim nulla eſt animæ adeo infeſta perturbatio, atq; hæc inanis gloriæ cupiditas: cùm enim ex iis quæ mandata ſunt, multa præclarè perfecerimus, tunc ipſius inanis gloriæ cupiditatis adnaſcitur ægritudo; verum illam à nobis radicitus extirpavit Salvator: dum nos docuit ut clam eleemoſynas conferamus. Sed utique dices, Quid ergo? non poſſumus id facere: non enim fieri poteſt, quin is, qui pauperibus quippiam dat, vel ſacerdotibus offert, aut in gazophylacium mittit, videatur: tum tu igitur nos in poſterum ad impertiendam eleemoſynã negligentiores reddidiſti. Nunc itaque præſtante Domino Deoque noſtro ac ſalvatore Jeſu Chriſto de amicorum ac fratrum meorum animabus bene mereri volo, eaſque omni ægritudine liberare, & actionis iſtius modum corrigere: voluntatem enim examinat & conſilium ejus, qui eleemoſynam impertit: propterea rectè adjecit dicens; *Cum ergo facis eleemoſynam, noli tuba canere ante te, ſicut hypocritæ faciunt:* non quòd tubas haberent illi, ſed quòd larva eſſet ac ſpecies eleemoſynę: animus autem hominibus militaret, & ab eorum aſpectu penderent; non enim propter Deum eleemoſynam conferebant ſperantes ab eo ſe miſericordiam conſequuturos, & promiſſam mercedem centuplam accepturos, ſed, ut momentaneam reciperent ab hominibus gloriam, largiebantur. Non igitur quicquam differebant ab illis, qui populariter in theatris ſuas facultates profundunt, & ut inanem gloriam aucupentur, opes ſuas dilapidant, non ad aliquem utilem animæ fructum, ſed ad futilem hominum laudem: convertitur enim ſæpe laus illa in contumeliam. & cùm multos ſumptus fecerint, multis opprobriis onerantur. Vide quàm multas pecunias in Circenſibus ludis expendant. & poſtquam multa expenderint, tum à viliſſimis & abjectiſſimis hominibus pluribus probris lacerantur. Nam equorum infirmitatẽ hominibus vitio vertunt: & equus quidem collabitur, ambitioſus autem editor contumeliis vexatur: & ipſe quidem rationis expers equus cecidit, homo verò ratione præditus excidit, & exploſus eſt, ac ſæpenumero dixit ingemiſcens, Quid fruſtra meas facultates perdo? quid tantos labores ſuſtinui, totque damna, meque omnibus bonis everti: ut à deſpectiſſimis hominibus ad extremum contumeliis onerarer? O quàm multos pauperes iſtæ pecuniæ fruſtra inſumptæ ditare potuiſſent! quàm multos erigere, qui exciderunt. Atque effunduntur quidem velut ex fonte quodam ad vanam laudem captandam populares iſtæ largitiones; contumeliæ verò ſtolidorum hominum tanquam ex flumine quodam excitantur, alii verò ſuas animas nihili faciunt. & alii rurſus ob equorum contentiones proprias ædes evertunt. At illos quidem ſumptus facere & probris lacerari, vaniſque largitionibus opes profundere ſinamus: quo verò pacto pecuniæ piè ſint expendendæ diſcamus: & quo modo vita religioſè traducenda ſit ac cœleſtia pro terrenis expectanda. Non enim prohibet ne des eleemoſynam, Chriſtus ſed qua ratione facere eleemoſynam oporteat, docet; ne ſciat ſiniſtra tua quid faciat dextera tua. Hoc vero loco rurſus non manus ſignificat. ſed hyperbolicè dictum eſt illud, quaſi diceret; ne ſciat perverſa cogitatio tua quid recta mens tua faciat: ne te avertat à bono. Incumbit enim, ut inquit Deus, mens hominũ diligenter ad mala: propterea loquit, ſtudioſè tibi, ut tu ipſe quoq; ignores, expetendum exiſtimato. Quid ita: ut pater tuus qui videt in abſcondito hilarem tuam promptamque largitionem mendicorum, te diligat, & in manifeſto reddat tibi. Magnum & illuſtre iis qui eleemoſynas largiuntur, erexit theatrum, & quod expetunt

A ται· εἰκότως ὅτι σήμερον τὰ παρενοχλοῦντα τῆς ἐλεημοσύνης ἀνακόπτει ματαίως καὶ ἀποκαθαίρει. πρώην γὰρ πάντας ὑμᾶς πρὸς ἐλεημοσύνην διεγείρων, καὶ τὸν μὲν πένητα ἀπὸ τῆς πενιχρᾶς χήρας τῆς ἐν Σαρεφθοῖς τῆς Σιδωνίας ἐπαίδευσε, μὴ πρόφασιν τῆς ἀπανθρωπίας τὴν πενίαν προβαλλόμενον· τὸν δὲ πτωχὸν ἀπὸ τῆς πτωχῆς χήρας τῆς ἐν τοῖς εὐαγγελίοις καταβαλούσης τὰ δύο λεπτὰ εἰς τὸ γαζοφυλάκιον, διήγειρεν, ὥστε τὸν πτωχὸν πλοῦτον τῆς ἐλεημοσύνης μετὰ προθυμίας συνεισφέρειν, B τὸν δὲ ἔμπορον ἀπὸ τῆς τρικυμίας τῆς θαλάσσης ἐχαλίνωσε, τοῖς πένησι μᾶλλον ἢ τῇ θαλάσσῃ μεταδιδόναι· τὸν δὲ κατὰ γῆν πραγματευόμενον παρέσφιγξε προλαβεῖν τῇ γνώμῃ τὴν ἀνάγκην, καὶ πρὸ τῆς ἀνάγκης τὸν Θεὸν μᾶλλον προτιμᾶν, ἤπερ τὸν λῃστήν· ἐπειδὴ πάντας ὑμᾶς πρὸς ἐλεημοσύνην παιδεύσας εἶδεν, ἀφ' ὧν ἐπαινεῖσθαι, ἀποδεξάμενος ὡς ἕτοιμός ἐστιν ἕκαστος, καθάπερ φυτὸν εὐθαλὲς πρὸς ἐλεημοσύνην κλιθέν· ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος C ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· διὰ τοῦτο συναναιρεῖ τὰς παρενοχλούσας τῆς ἐλεημοσύνης ὑποκρίσεις. τί λέγων· Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς. οὐχ ὡς ἡμῶν ἐπιτηδείως τὴν ἀνάγνωσιν ταύτην προβαλλομένων, ἀλλὰ τῆς προτέρας ἀκολουθίας τῶν ἀναγνωσμάτων παρεμπεσούσης. προσέχετε τὴν ὑμῶν ἐλεημοσύνην μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε· D αὕτη γὰρ ἡ ἐπίδειξις ἐκείνων ἀφανίζει τὸν μισθόν· ἡ τοιαύτη δόσις ἀποστερεῖ ἐκείνης τῆς μελλούσης ἀγαθωσύνης. οὐδὲν γὰρ οὕτω πικρὸν πάθος ἐστὶν τῆς ψυχῆς, ὡς τὸ τῆς κενοδοξίας· ὅταν γὰρ πολλὰ κατορθώσαμεν τῶν ἐπιταγμάτων, τότε τῆς κενοδοξίας παραφύεται νόσημα· ἀλλὰ πρόρριζον αὐτὸ ἐξέτεμεν ὁ Σωτὴρ ἀφ' ἡμῶν, διδάξας ἐν τῷ κρυπτῷ τὰς ἐλεημοσύνας ποιεῖν. ἀλλὰ πάντως ἐρεῖς· τί οὖν; οὐ δυνάμεθα ποιῆσαι. οὐ γάρ ἐστι δυνατὸν διδόντα τοῖς πένησιν, E ἢ προσφέροντα τοῖς ἱερεῦσιν· ἢ βάλλοντα εἰς τὸ γαζοφυλάκιον, μὴ θεαθῆναι. οὐκοῦν καὶ πρὸς τὴν δόσιν τῆς ἐλεημοσύνης ὀκνηροτέρους ἡμᾶς κατέστησας διὰ πάντας· νῦν οὖν ὠφελῆσαι τὰς ψυχὰς τῶν ἐμῶν φίλων καὶ ἀδελφῶν βούλομαι, καὶ παντὸς νοσήματος ἀπαλλάξαι χάριτι τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸν τρόπον τοῦ γινομένου διορθώσασθαι. τὴν γὰρ προαίρεσιν ἐξετάζει τοῦ ποιοῦντος ἐλεημοσύνην· διὰ τοῦτο καλῶς ἐπάγει λέγων· ὅταν οὖν ποιῇς A ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταί· οὐχ ὅτι σάλπιγγας εἶχον ἐκεῖνοι, ἀλλ' ὅτι μὲν τὸ προσωπεῖον ἐλεημοσύνης ἦν· ἡ δὲ ψυχὴ τοῖς ἀνθρώποις ἐστρατεύετο, καὶ πρὸς τὴν ἐκείνων ἐβάδιζον θέαν. οὐ γὰρ διὰ τὸν Θεὸν ἐποίουν ἐλεημοσύνην, ἐλπίζοντες ἐλεηθῆναι παρ' αὐτοῦ, καὶ λαβεῖν τὸν ἐπηγγελμένον μισθὸν ἑκατονταπλασίονα, ἀλλὰ διὰ τὸ τῆς προσκαίρου δόξης ἀπολαύειν τῶν ἀνθρώπων, παρεῖχον. οὐδὲν οὖν ἔλαττον τῶν ἐν τοῖς θεάτροις φιλοτιμουμένων, καὶ τῶν ἐπὶ ταῖς κεναῖς δόξαις τὰς ἰδίας ὑπάρξεις σκορπιζόντων, οὐ διὰ τὸν τῆς ψυχῆς χρήσιμον καρπὸν, ἀλλὰ διὰ τὸν τῶν ἀνθρώπων ἔπαινον μάταιον. περιτρέπεται γὰρ ὁ ἔπαινος πολλάκις ἐκεῖνος πρὸς ὕβριν, καὶ πολλὰ δαπανήσαντες, πολλὰ καθυβρίζονται. ἐπιβλέπετε πόσα δαπανῶσι χρήματα κατὰ τὰς ἱπποδρομίας· καὶ ὅταν πολλὰ δαπανῶσι, τότε πλεῖστα παρ' ἐλαχίστων καὶ ἀπερριμμένων ἀνθρώπων ὑβρίζονται. τὴν γὰρ τῶν ἵππων ἀσθένειαν τοῖς ἀνθρώποις C προστρίβουσιν. καὶ ὁ μὲν ἵππος σφάλλεται, ὁ δὲ φιλότιμος ἀτιμάζεται· καὶ ὁ μὲν ἄλογος ἵππος ἔπεσεν, ὁ δὲ λογικὸς ἄνθρωπος ἐξέπεσεν· καὶ πολλάκις ἀποδυρόμενος εἶπε, τί μάτην ἀπόλλυμι τὴν ὑπόστασιν; τί τοσοῦτον κάματον ὑπέμεινα, καὶ τοσαύτας ζημίας, καὶ τῶν ὑπαρχόντων ἔκπτωτος ἐγενόμην· ἵνα παρὰ τῶν ἀπηγορευμένων ὑβρισθῶ ἐσχάτως; ὦ πόσους πένητας ἠδύναντο πλουτίζειν τὰ χρήματα ταῦτα τὰ μάτην ἀπολλύμενα· πόσους ἐκπεσόντας ἀνορθῶσαι. καὶ ῥέουσι μὲν ὥσπερ ἀπό τινος πηγῆς αἱ φιλοτιμίαι D διὰ τὸν μάταιον ἔπαινον· ἀνεγείρονται δὲ ὥσπερ ἀπό τινος ποταμοῦ αἱ λοιδορίαι τῶν ἀλογίστων ἀνθρώπων. ἄλλοι δὲ καὶ τῶν οἰκείων ψυχῶν καταφρονοῦσι, καὶ πάλιν ἕτεροι διὰ τὴν ἔριν τῶν ἵππων τοὺς ἰδίους οἴκους καταστρέφουσιν. ἀλλ' ἐκείνους μὲν ἀφήσωμεν δαπανᾶσθαι, καὶ λοιδορεῖσθαι, καὶ ματαιοφιλοτιμεῖσθαι· μάθωμεν δὲ πῶς χρὴ δαπανᾶν εὐσεβῶς τὰ χρήματα, καὶ πῶς χρὴ διάγειν εὐλαβῶς, καὶ προσδοκᾶν ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια. οὐ γὰρ κωλύει σε δοῦναι Χριστὸς ἐλεη- E μοσύνην, ἀλλὰ διδάσκει πῶς δεῖ ποιεῖν τὴν ἐλεημοσύνην· μὴ μαθέτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου· ἐνταῦθα δὲ πάλιν οὐ τὰς χεῖρας αἰνίττεται· ἀλλ' ὑπερβολικῶς αὐτὸ εἶπεν, ὡς ὅτι μὴ γνῷ ὁ πονηρός σου λογισμὸς, τί ποιεῖ ἡ ἀγαθή σου γνώμη, ἵνα μὴ ἀνατρέψῃ σε τοῦ καλοῦ· ἔγκειται γὰρ κατὰ τὸν Θεὸν φησὶν ἡ διάνοια τῶν ἀνθρώπων εἰς τὰ πονηρά. διὰ τοῦτό, φησι, τὸ καὶ σεαυτὸν ἀγνοῆσαι περισπούδαστον ἔστω σοι. διὰ τί; ἵνα ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ τὴν ἱλαρὰν καὶ πρόθυμόν σου δόσιν τῶν πτωχῶν, ἀγαπήσῃ σε, καὶ ἀποδώσῃ σοι ἐν τῷ φανερῷ. μέγα καὶ σημεῖον τοῖς τὰς ἐλεημοσύνας ποιοῦσιν ἐκάθισε θέατρον, καὶ ὅπερ ἐπιθυμοῦσιν οἱ ἐλεή-

Digitized by Google

ἐλεήμονας. τοῦτο μετὰ πολλῆς τῆς ἀκριβείας διαλέγεται αὐτοῖς· ἵνα κἂν μυριάδες ἀνθρώπων θεωρῶσιν ὑμᾶς ποιοῦντας ἐλεημοσύνην, ἀλλ' ὑμεῖς μὴ προσέχητε αὐτοῖς, μηδὲ ἐπιθυμήσητε τὴν παρ' αὐτῶν πρόσκαιρον δόξαν· ἀλλ' εἰ βούλεσθε, φησὶ, θεατὰς ἔχειν τῶν γινομένων παρ' ὑμῶν, λάβετε, φησὶ, τοὺς ἀγγέλους, καὶ τοὺς ἀρχαγγέλους, καὶ τὸν τῶν ἁπάντων δημιουργὸν καὶ δεσπότην. εἰ δὲ τοὺς ἀνθρώπους βούλεσθε ἔχειν θεατὰς τῶν πραττομένων, καὶ εἰς ἐπίδειξιν αὐτῶν ποιεῖτε τὰς ἐλεημοσύνας, ἑκατὸν ἢ χιλίους ἕξετε θεατὰς εὐφημοῦντας ὑμᾶς· ἐὰν δὲ τοὺς κατὰ τὸν παρόντα βίον ἐπαινοῦντας ὑμᾶς λανθάνειν σπουδάσητε, λαθεῖν δὲ οὕτως, ἵνα κἂν τινες δοξάσωσιν ὑμᾶς, μὴ ἀποδέξησθε αὐτοὺς, καὶ εἰς ὅπερ ἂν ἔλθητε· ἀλλὰ μᾶλλον ἀποστρέφεσθε τοὺς τοιούτους, καὶ ἀνατρέπετε αὐτούς· καὶ τότε κατ' ἐκείνην τὴν ἡμέραν τὴν φοβερὰν, τῆς οἰκουμένης ἁπάσης ὁρώσης λήψεσθε τοὺς στεφάνους τῆς δόξης. ἐὰν διὰ τὸν Θεὸν, καὶ τὸν ἐκεῖ σοι μέλλοντα πλοῦτον ἀποθησαυρίζεσθαι, παρ' αὐτοῦ ποιῇς τὴν ἐλεημοσύνην, οὐ διὰ τὴν πρόσκαιρον δόξαν· τότε ὥσπερ εἰς τοὺς ἰδίους κόλπους ὁ Θεὸς ὑποδεξάμενος ὑμῶν τὰ κατορθώματα τῆς ἐλεημοσύνης, πάντων τῶν ἀνθρώπων παρόντων ἀπὸ τοῦ Ἀδὰμ ἕως τῆς συντελείας τοῦ αἰῶνος· τότε πάντων τῶν ἀγγέλων καὶ ἀρχαγγέλων παρόντων, ὅτε χιλιάδες καὶ μυριάδες ἀγγέλων παρεστήκασι· τότε ταῖς ἰδίαις αὐτοῦ ἀχράντοις χερσὶ προσκαλέσεται ὑμᾶς, λέγων, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. δεῦτε, ἐγὼ γὰρ τοὺς ὑμετέρους καμάτους ὑπεδεξάμην· ἐγὼ τῶν ὑμετέρων χρημάτων τραπεζίτης ἐγενόμην. ὅτε σὺ τὰς χεῖρας ἐξέτεινας τῷ πτωχῷ, ἐγὼ τοὺς ἐμοὺς διέπτυσσον κόλπους· ὅτε σὺ ἐδίδους τὸν ἄρτον σου τῷ πένητι, ἐγὼ διὰ τῆς ἐκείνου κοιλίας ἐχορταζόμην. ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με. τοιαύτης οὖν χαρᾶς ἀξιοῦσθε οἱ ἐλεήμονες. εἰ δὲ πρὸς ἐπίδειξιν ποιεῖτε τὰς ἐλεημοσύνας, ἀπολήψεσθε παρ' αὐτῶν τὸν μισθόν. εἰ γὰρ ἐπιδείκνυσθαι χρὴ, πρῶτον πάντων τῷ Θεῷ ἐπιδείξασθαι τῷ μάλιστα ἔχοντι ἐξουσίαν στεφανῶσαι, καὶ πρὸς τὸ θέατρον τῶν ἀγγέλων χειραγωγῆσαι. τίς οὖν ἄρα οὕτως ἄθλιος, ὅστις τοῦ βασιλέως σπουδάζοντος ἐπὶ τὴν θεωρίαν τῶν αὐτοῦ κατορθωμάτων ἐλθεῖν, ἐκεῖνον ἀφεὶς πρὸς τοὺς ἐλαχίστους καθίζει τὸ ἑαυτοῦ θέατρον, ὡς μισθὸν παρ' ἐκείνων ἐκδέχεσθαι; ἀλλ' οὐδεὶς τῶν Χριστιανῶν τοιοῦτος· μὴ γένοιτο. καὶ γὰρ ὅπερ ἂν ποιῶμεν οἱ Χριστιανοὶ, τὸν Χριστὸν πρὸ ὀφθαλμῶν ἔχοντες, καὶ τὸ ὄνομα αὐτοῦ ὀνομάζοντες πράττομεν. αὐτὸς γὰρ διὰ τοῦ αὐτοῦ εὐαγγελίου δέδωκεν ἡμῖν ὁδὸν σωτηρίας, ἵνα πᾶσαν ἐλεημοσύνην ποιοῦντες, καὶ πᾶσαν ἀρετὴν μετερχόμενοι, ἐκείνῳ προσέχοντες, καὶ τὰ παρ' αὐτοῦ χαρίσματα κομιζόμενοι ποιῶμεν. εἴτε γὰρ μάρτυρες τὰ αὐτῶν σώματα παραδεδώκασι τοῖς ἀνόμοις, δι' ἐκεῖνον παραδεδώκασι τὸν εἰπόντα, μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν, καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. εἴτε οὖν ἐκκλησίας, εἴτε ξενοδοχεῖα ἀνοίξαντές τινες κατὰ πᾶσαν τὴν οἰκουμένην, δι' ἐκεῖνον ἐποίησαν τὸν εἰπόντα, ξένος ἤμην καὶ συνηγάγετέ με· εἴτε ταπεινοφροσύνην μετερχόμεθα, δι' ἐκεῖνον μετερχόμεθα τὸν εἰπόντα, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· εἴτε δὲ τοῖς πένησιν ἄρτους παρέχομεν, δι' ἐκεῖνον δίδομεν τὸν εἰπόντα, ὃς δ' ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ· εἴτε φυλακὰς ἐπισκεπτόμεθα, δι' ἐκεῖνον ἐπισκεπτόμεθα τὸν εἰπόντα, ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με· εἴτε τὰς χήρας καὶ τοὺς ὀρφανοὺς ἀμφιάζομεν, δι' ἐκεῖνον ἀμφιάζομεν τὸν εἰπόντα· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με· εἴτε καθόλου τοῖς πτωχοῖς διαδίδομεν, ποιοῦμεν δι' ἐκεῖνον τὸν εἰπόντα, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν ἐλαχίστων τούτων, ἐμοὶ ἐποιήσατε· εἴτε τοὺς ὀνειδισμοὺς ὑποφέρομεν ὑπὸ τῶν ἀσεβῶν ἐθνῶν, ὡς προσκυνοῦντες τὸν ὑπὸ Ἰουδαίων σταυρωθέντα, καὶ τὴν οἰκουμένην ζωοποιήσαντα, δι' ἐκεῖνον τὸν εἰπόντα, μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. μηδεὶς τοίνυν ὑπολαμβανέτω, ὅτι Χριστιανός ποτε πρὸς ἐπίδειξιν τῶν ἀνθρώπων ποιεῖ τὴν ἐλεημοσύνην διὰ τὴν παρ' αὐτῶν μισθαποδοσίαν· μὴ γένοιτο· ἅπαξ γὰρ τοῖς εὐαγγελικοῖς ἐνουθετήθημεν, καὶ πεισθέντες ἐπιστεύσαμεν, καὶ πιστεύσαντες διεσώθημεν. διὰ τοῦτο γὰρ καὶ ἀπὸ τῶν εὐαγγελικῶν ἀναγνωσμάτων κηρύττομεν· ἀλλὰ καὶ ἀναγινωσκομένων τῶν ἁγίων εὐαγγελίων οὐχ ἁπλῶς οὐχ ὡς ἔτυχεν ἀκροώμεθα, ἀλλ' ἑστῶτες καὶ νήφοντες καὶ μετὰ πολλοῦ φόβου παραδεχόμενοι τὰ προστάγματα, οὐκ ἀναπίπτοντες τῷ φρονήματι, οὐ καθεζόμενοι τοῖς σώμασιν, οὐκ ἀσχολούμενοι τοῖς τοῦ πλησίον διηγήμασι τολμῶμεν παρατρέχειν· οὐ πλούσιος, οὐ πένης, οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐκ ἄνδρες, οὐ γυναῖκες, οὐκ ἄρχοντες, οὐκ ἀρχόμενοι, ἀλλὰ καὶ αὐτὸς ὁ τὸ διάδημα τῆς βασιλείας περικείμενος,

A miſericordes, id illud cumulatè conceſſit. Itaque licet multa vos hominum millia eleemoſynam largientes contemplentur, vos tamen nolite illis attendere, neque momentaneam ab illis gloriam expetatis: ſed ſi veſtrarum, inquit, actionum nanciſci ſpectatores velitis, accipite, inquit, Angelos, & Archangelos, & omnium conditorem ac dominum; ſin autem homines eorum, quæ à vobis geruntur, habere ſpectatores optetis, & eleemoſynas facere, ut vos apud eos venditetis, centum aut mille habe- B bitis ſpectatores à quibus laudemini: quod ſi eos qui in hac vita vos laudant, latere ſtudueritis, atque ita latere, ut licet vos nonnulli laudibus proſequantur, libenter eos non admittatis, neque eos efferatis; quin potiùs tales averſemini, ac repellatis: ita fiet, ut, cùm formidabilis illa dies illuxerit, gloriæ coronas toto terrarum orbe ſpectante recipiatis. Si propter Deum, & eas quas ille tibi reſervaturus eſt illic opes, eleemoſynam tribuas, non propter gloriam temporariam, tunc velut in ſinum ſuum C receptis veſtris eleemoſynæ rectè factis, Deus præſentibus omnibus, qui ab Adamo extiterint uſque ad ſeculi conſummationem hominibus, tunc omnibus Angelis, Archangeliſque præſentibus; dum millia infinita Angelorum aſtabunt, tunc ſuis vos propriis immaculatis manibus advocabit, dicens, *Venite benedicti patris mei, poſſidete paratum vobis regnum à conſtitutione mundi.* (Mat. 25, 34.) Venite, ego veſtros labores excepi: ego pecuniarum veſtrarum nummularius ſum factus, quando tu mendico manus extendiſti, e- D go meum ſinum aperiebam: quando tu panem tuum pauperi dabas, ego per illius ventrem ſaturabar. Eſurivi enim, & dediſtis mihi manducare: ſitivi, & dediſtis mihi bibere. Ejuſmodi ergo gaudio perfundemini miſericordes: ſin autem ad hominum oſtentationem eleemoſynas largiamini, mercedem ab illis recipietis. Etenim ſi oſtentare ſe oportet, ante omnia Deo nos oſtentaſſe par eſt, qui nos coronandi & ad Angelorum theatrum deducendi poteſtate pollet maximè. Ecquis ergo adeo E miſer fuerit, ut ad ſpectanda præclara ipſius facinora Rege venire cupiente, illo neglecto apud infimæ conditionis homines theatrum ſibi collocet, & ab illis mercedem præſtoletur? At enim inter Chriſtianos nullus eſt ejuſmodi; abſit: quicquid agimus Chriſtiani, Chriſtum præ oculis habentes, ejuſque nomen uſurpantes id facimus. Ipſe namque per Evangelium ſuum viam ſalutis nobis dedit, ut omnem eleemoſynam facientes, & omnem virtutem exercentes, illum ſpectantes, ejuſque dona recipientes, fa- A ciamus. Sive enim martyres ſua corpora tradiderunt iniquis, propter illum tradiderunt qui dixit, *Nolite timere eos qui occidunt corpus, animam autem non poſſunt occidere; ſed potius timete eum qui poteſt & animam & corpus perdere in gehennam,* (Mat. 10, 28.) ſive ergo Eccleſias, ſive Xenodochia aperuerunt aliqui in toto orbe terrarum, propter eum id egerunt, qui dixit, *Hoſpes eram & collegiſtis me:* (Matt. 25, 35.) ſive humilitatem exercemus, propter illum exercemus, qui dixit, Beati pauperes ſpiritu quoniam ipſorum eſt re- B gnum cœlorum: ſive præterea pauperibus panes porrigimus, propter illum damus, qui dixit, *Qui dederit uni ex minimis iſtis calicem aquæ frigidæ, tantùm in nomine diſcipuli, non perdet mercedem ſuam:* (Matth. 5, 3.) ſive carceres viſitamus, propter illum viſitamus, qui dixit, *In carcere eram, & veniſtis ad me:* (Mat. 26, 36.) ſive viduas & orphanos veſtimus, propter illum veſtimus, qui dixit, *Nudus eram, & operuiſtis me:* ſive in univerſum quippiam pauperibus diſtribuimus, propter illum, qui C dixit, *Quandiu feciſtis uni ex his minimis, mihi feciſtis:* (Matt. 5, 10.) ſive opprobria ſuſtinemus ab impiis Gentilibus, ut qui eum adoremus, qui à Judæis crucifixus eſt, & humano generi vitam reſtituit; propter illum qui dixit, *Beati eſtis cùm maledixerint vobis & perſecuti vos fuerint, & dixerint, omne malum adverſum vos mentientes, gaudete, & exultate, quoniam merces veſtra copioſa eſt in cœlis.* Nullus ergo Chriſtianum unquam ad hominum oſtentationem, ut ab illis mercedem recipiat, arbitretur eleemoſy- D nam impertiri: abſit: ſemel enim Evangelicis admonitionibus eruditi ſumus, & ad fidem edocti credidimus, & cùm crediſſemus ſalvi facti ſumus. Idcirco enim lectis Evangeliis prædicamus: ſed & dum ſancta leguntur Evangelia non temere neque perfunctoriè auſcultamus: ſed ſtantes & attenti, magno cum timore mandata excipientes, non animo concidentes, non corporibus ſedentes, non proximi narrationibus operam dantes, ea E prætermittere audemus; non dives, non pauper, non ſervus, non liber, non viri, non fœminæ, non Principes, non ſubditi: quin etiam ille ipſe qui regio diademate redimitus eſt, cum

cùm primum leguntur Evangelia, ſtat ſummo cum timore ſummoque ſtudio, ac ne diademate quidem redimitum eſſe caput ſuum permittit, ſed Deum in Evangeliis loquentem inflexa cervice veneratur. Quid dicens? Nota eſt mihi dignitas ejus, qui hanc contulit dignitatem: adoro regnum ejus qui mihi tribuit regnum, & dum ejus ſancta leguntur oracula, ſto cum timore: quandoquidem, inquit, ipſum Principibus dedit, ut ſtarent quando legitur regium victoriæ monumentum. Ac ne fortè nobis exprobret hæreticus, ac dicat Reges ad perexiguum modò tempus ſimulatè Chriſto hunc honorem deferre, audi Prophetam dicentem: (jam enim ante multa ſecula imaginem eorum, quæ nunc geruntur, deſcripſit;) Reges videbunt te, & conſurgent principes & exurgent, & adorabunt eum omnes Reges terræ. Diſce igitur & crede, ô hæretice, Chriſti Dei noſtri regnum in infinita ſecula permanere, ſimulque gratiam ejus quæ Chriſtianos coronat & in regnum cœlorum quaſi manu ducit. Atque ita Chriſtiani omnes illum ſpectantes omnia faciunt: & obedivimus, dicente illo, Sic luceat lux veſtra coram hominibus, ut videant opera veſtra bona, & glorificent patrem veſtrum qui eſt in cœlis: ipſi gloria, & imperium, & poteſtas, & adoratio, cum unigenito ejus filio ac ſancto & bono & vivifico & omnipotenti Spiritu nunc & ſemper & in ſecula ſeculorum. Amen.

A εὐθέως τῶν εὐαγγελίων ἀναγινωσκομένων ἵσταται μετὰ παντὸς φόβου, καὶ μετὰ πάσης σπουδῆς, καὶ οὐδὲ τὸ διάδημα συγχωρεῖ περικεῖσθαι τῇ κεφαλῇ αὐτοῦ, ἀλλ᾽ ὑποκύπτει διὰ τὸν ἐν τοῖς ἁγίοις εὐαγγελίοις ὁμιλοῦντα Θεόν. τί λέγων; οἶδα τὴν ἀξίαν τοῦ δεδωκότος ἐμοὶ τὴν ἀξίαν. προσκυνῶ τὴν βασιλείαν τοῦ δεδωκότος μοι τὴν βασιλείαν, καὶ ἵσταμαι μετὰ φόβου, τῶν ἁγίων αὐτοῦ λογίων ἀναγινωσκομένων· ἐπειδήπερ, φησίν, αὐτὸς ἔδωκεν ἄρχουσιν ἵστασθαι πρὸς τὸ βασιλικὸν B ἐπινίκιον ἀναγινωσκόμενον. καὶ ἵνα μὴ λοιδορήσῃ ὁ αἱρετικὸς, λέγων, ὅτι πρὸς καιρὸν ὀλίγον μόνον ὑποκρίνονται οἱ βασιλεῖς τῷ Χριστῷ τὴν τιμὴν, ἄκουσον τοῦ προφήτου λέγοντος· [πρὸ πολλῶν γὰρ γενεῶν τὴν νῦν γινομένην εἰκόνα λέγει] βασιλεῖς ὄψονταί σε, καὶ ἐγερθήσονται ἄρχοντες, καὶ ἀναστήσονται, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. μάνθανε οὖν καὶ πίστευε αἱρετικὲ, ὅτι εἰς τοὺς ἀπεράντους αἰῶνας διαμένει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἡ βασιλεία, καὶ C ἡ χάρις αὐτοῦ στεφανοῦσα πάντας τοὺς Χριστιανοὺς, καὶ χειραγωγοῦσα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. οὕτως πάντες οἱ Χριστιανοὶ πάντα πράττουσι πρὸς ἐκεῖνον ἀποβλέποντες, καὶ ἐπείσθημεν αὐτοῦ λέγοντος, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ ἐξουσία, καὶ ἡ προσκύνησις σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ D καὶ παντοδυνάμῳ πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

De fugienda ſimulata ſpecie, ac minime vera, Tractatus.

Mat. 7, 15. RUrſus Evangelica nobis in manus ſumenda eſt tuba, & Domini vobis admonitio enarranda. *Attendite enim inquit à falſis Prophetis, qui veniunt ad vos in veſtimentis ovium, intrinſecus autem ſunt lupi rapaces: à fructibus eorum cognoſcetis eos*, nam ex iis, quæ in dies geruntur, ubique ſpecies ſimulata deprehenditur: ſiquidem à voluntate dimanant actiones; voluntatem porro venerandus habitus non immutat. Fruſtra igitur labores ſuſcipit vir doloſus apud ſapientes, qui eum ex fructibus indagare poſſunt; & quiſnam ſit cognoſcere, qualiſcumque tandem feratur. Quid igitur teipſum in alieno habitu occultas? quid ovina pelle lupum abſcondis? paulo pòſt namque te veritas patefaciet, & dum veritatem fugis, à veritate deprehenderis. Cur cùm moribus aſperſis ſis, ſermones præfers humanitatis? tametſi te occultas, non latebit aſperitas tua: licet admodum ſuavis eſſe videare. Cur habitum induis amicitiæ, cùm ſis hoſtis? non vivimus in tenebris: patefiunt occulta, & quod abſcondebas, odium comperitur. Cur amicitiam ſimulas? cur adularis, quum non ames? odium iſthæc tibi pariet adulatio, tanquam ab inimico noxam inferens, non commodum ut ab amico: Laudas etenim etiam ea quæ prava ſunt, aſſentationis cauſa: non eſt autem adeo ſtupidus is, cui adularis, quin potiùs odiſſe debet eum, à quo propter peccata laudetur, cur juſti atque temperantis tibi figuram affingis, cùm in ſceleribus ac laſciviis perſeveres? cur arrogantiam cultu ac ſermone humilitatis obvelas, & invidiam diſſi-

Mat. 10, 26. mulas obſervantia? *Nihil enim eſt opertum, quod non revelabitur; & occultum, quod non ſcietur.* Multum eſt hominis probrum, mendacium: fugiamus ob mendacium objectam criminationem: ne tibi ipſi apud amicum fidem deroges, ut neutum quoque cùm vera narras, non ampliùs fides habeatur: nam qui in uno mendax deprehenſus eſt, non ampliùs dignus eſt cui, licet vera dicenti, credatur. Loqui juſta, inquit, & veracem eſſe, placita ſunt Deo magis quàm hoſtiarum ſanguis, donum acceptum offeres Deo fidem ac veritatem. Facile tibi eſt alioquin ut res, uti ſunt eloquaris, non ut eas, quæ nuſquam ſunt, comminiſcaris: non enim laborabis connitendo ut pro veritate mendacium admittatur, neque ulla in re fatiſces contraria tibi ipſi loquendo: non enim ſibi ipſi conſonus eſt ſermo mendax: non quòd aliis impoſueris erubeſces tu, qui veritatem cuſtodis: jurejurando fide digniorem amici tuam orationem cenſebunt, ac teſtimonio quovis jusjurando firmato certius illud quod dixeris, tanquam juſtum & indubitatum teſtimonium tuum admittent: quandocumque ad teſtimonium dicendum prodieris, præclaram quidem tibi gloriam ob veritatem, verſantibus autem in periculo reis ſalutem, & injuria oppreſſis utilitatem in judicio conciliabis. Labia veracia, inquit, dirigunt teſtimonium verum: teſtis autem injuſtorum doloſus: benigno vultu te contuebitur judex, teque omni judiciaria diſquiſitione liberabit. Verumenimvero laude digna ſunt apud Deum humilitatis rectè facta, ſiquidem exequi ea poſſimus, etenim multi cum aliquid boni egerint, deprimere ſemetipſos conantur præter ipſam veritatem,

Οὐ ἐπίπλαστον σχῆμα, καὶ μὴ ἀληθὲς, φεύγειν χρή. Ὁμιλία.

ΠΑλιν χρὴ μεταχειρίσασθαι ἡμᾶς τὴν εὐαγγελικὴν σάλπιγγα, καὶ τὴν τοῦ Κυρίου παραίνεσιν πρὸς ὑμᾶς ἐκφάναι· Προσέχετε γάρ φησιν, ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι E ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· ἐλέγχεται γάρ, φησι, ἐπίπλαστον σχῆμα πανταχοῦ διὰ τῶν καθ᾽ ἑκάστην περιπτομένων· ἀπὸ γὰρ τῆς προαιρέσεως αἱ πράξεις· τὸ σεμνὸν σχῆμα τὴν προαίρεσιν οὐκ ἀλλάττει. ματαιοπονεῖ οὖν παρὰ τοῖς σοφοῖς ὁ δολερὸς, τοῖς δυναμένοις αὐτὸν θηρεῦσαι διὰ τῶν καρπῶν, καὶ καταμαθεῖν ὅστις ἂν ὁποῖος φέρεται. τί οὖν κρύπτεις ἐν ἀλλοτρίῳ σχήματι σεαυτόν; τί κατακρύπτεις τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον; A ἐκφαίνει γάρ σε μικρὸν ὕστερον ἡ ἀλήθεια, καὶ φεύγων ἀλήθειαν, ἁλώσῃ διὰ τῆς ἀληθείας. τί προβάλλῃ λόγους χρηστότητος τὸ πικρὸν ἦθος· καὶ κατακαλύπτων, οὐ λάθῃς πικρὸς ὤν. κἂν πάνυ γλυκὺς εἶναι προσποιήσῃ. τί φιλίας ὑποδύῃ σχῆμα πολέμιος ὤν; οὐκ ἐν σκότει ζῶμεν· ἐκφαίνεται τὰ κρυπτὰ, καὶ διελέγχεται τὸ μῖσος, ὅπερ ἔκρυπτες. τί προσποιῇ τὴν φιλίαν; τί κολακεύεις μὴ φιλῶν; μισητόν σε καὶ τὸ τῆς κολακείας γενήσεται, βλάβην ὡς παρ᾽ B ἐχθροῦ φέρον, οὐκ ὠφέλειαν, ὡς παρὰ φίλου. ἐπαινεῖς γὰρ καὶ τὰ φαῦλα κολακείας ἕνεκεν· οὐχ οὕτως δὲ ἀναίσθητος ὁ κολακευόμενος· μισῆσαι γὰρ ὀφείλει τὸν ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπαινοῦντα. τί δικαίου χαρακτῆρα καὶ σώφρονος ἐπιμορφάζεις ἐν ἀδικήμασιν ὢν καὶ ἀκολασίαις διατελῶν. τί καλύπτεις ὑπερηφανίαν σχήματι, καὶ ῥήματι ταπεινώσεως καὶ εὐλαβείας, ὑποκρίνῃ τὸν φθόνον; οὐκ ἔστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται· μῶμος πονηρὸς ἀνθρώπου ψεῦδος· φύγωμεν C τὴν ἐπὶ τῷ ψεύδει διαβολήν· μὴ ποιήσῃς ἀπιστεῖσθαι φίλοις σεαυτόν· ἵνα μὴ καὶ ὅτε λαλεῖς ἀλήθειαν, οὐκ ἔτι πιστεύσῃ· ὁ γὰρ ἐν ἑνὶ εὑρεθεὶς ψεύστης, οὐκ ἔτι ἐστὶν ἄξιος πιστευθῆναι, οὐδὲ ἂν ἀληθεύσῃ ποτέ. ὅτι τὸ λαλεῖν δίκαια, φησι, καὶ ἀληθεύειν, ἀρεστὰ Θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα· δῶρον δεκτὸν Θεῷ προσοίσεις πίστιν καὶ ἀλήθειαν· εὔκολον δὲ καὶ αὐτό σοι τὰ ὄντα λαλεῖν, καὶ μὴ τὰ μὴ ὄντα D τεχνάζεσθαι. οὐ γὰρ κάμνεις βιαζόμενος τὸ ψεῦδος εἰς ἀλήθειαν, οὐδὲ ἀτονήσεις μηδὲν, λέγων ἐναντία σεαυτῷ, ὅτι μὴ σύμφωνος ὁ ψευδὴς λόγος πρὸς ἑαυτόν. οὐκ αἰσχυνθήσῃ ψευσάμενος ἄλλους σὺ τὴν ἀλήθειαν φυλάττων· ὅρκου πιστότερον τὸν λόγον οἱ φίλοι ἡγήσονται, καὶ πάσης ἐνόρκου μαρτυρίας ἰσχυρότερον τὸ ῥῆμα τὸ σὸν δικαίαν καὶ ἀναμφισβήτητον καταδέξεται σου μαρτυρίαν· ὁπότε μαρτυρήσεις παρελθών, δόξαν μὲν σεαυτῷ καλλίστην ἐπὶ E τὴν ἀλήθειαν, σωτηρίαν δὲ κινδυνεύουσι καὶ ἀδικουμένοις ὠφέλειαν ἐν δικαστηρίῳ προξενῶν. χείλη ἀληθινὰ, φησι, κατορθοῖ μαρτυρίαν ἀληθῆ. ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος· ὄψεταί σε δικαστὴς ἀσμένως ἀπαλλάττων τῆς περὶ τὴν δίκην ζητήσεως. ἀλλὰ γὰρ ἐπαινετὸν Κυρίῳ τῆς ταπεινοφροσύνης τὸ κατόρθωμα, εἰ δυνηθεῖμεν κατορθῶσαι. πολλοὶ μὲν οὖν κατορθώσαντές τι ἀγαθὸν, ἑαυτοὺς σμικρύνειν βούλονται παρὰ τὴν ἀλήθειαν,

ψευδεῖς

ψεύδεσθαι καθ' ἑαυτῶν βουλόμενοι μᾶλλον. ἐγὼ δέ σοι λέγω πρὸς τὴν ἀλήθειαν ταπεινοφρόνησον ἄνθρωπε· εἰς ἀκοὰς Θεοῦ λάλει περὶ σεαυτοῦ ταπεινά, ὡς ὁ Ἀβραὰμ ἔλεγεν· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· ὡς Παῦλος ἔλεγεν, ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. πάλιν δὲ ἀλήθειαν ἐπήγαγε· χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι. τούτων δὲ οὕτως πρὸς ἡμετέραν διδασκαλίαν προκειμένων πανταχόθεν, φύγωμεν τὸ ἐπίπλαστον σχῆμα. μὴ προσωπεῖα ἑαυτοῖς περιθώμεθα, μὴ ὄντες τοιοῦτοι οἵους ἑαυτοὺς ἐπιδεικνύομεν· τοὺς μὲν χιτῶνας μέχρι τῆς γῆς ἕλκοντες ἐν σχήματι ἁγίων, τὸν δὲ τρόπον ἠγριωμένοι, τῷ μὲν λόγῳ καὶ τῇ στολῇ ἅγιοι, τῇ δὲ γνώμῃ καὶ τοῖς ἔργοις ἀπάνθρωποι· στολισμὸς οὐκ εἰσάγει εἰς βασιλείαν οὐρανῶν, ἀλλ' ἔργα δικαιοσύνης. οὐχ οὕτως ὄψεται ἄνθρωπος ὡς ὄψεται Θεός· ἄνθρωπος μὲν εἰς πρόσωπον ὄψεται, ὁ δὲ Θεὸς εἰς καρδίαν· ἐτάζων γάρ, φησι, καρδίας καὶ νεφροὺς ὁ Θεός· καὶ διὰ τὸν ἐρχόμενον συναγαγεῖν τοὺς λογισμοὺς τῶν ἀνθρώπων· πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ· οὐκ ἔστι ἀποκρυβῆναι τῆς θέρμης αὐτοῦ. ἥξει καιρὸς ὅτε τὸ προσωπεῖον τοῦτο ῥίψας, γυμνὸς εὑρεθήσῃ, καὶ τότε ἔσῃ αἰσχυνόμενος ὀφθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὡς ὁ Ἀδὰμ ἐκπεσών· ἐκεῖ γὰρ οὐκ ἔτι σχῆμα ζητεῖται, ἀλλὰ ἔργα. ὧδε μὲν γὰρ πολλάκις πλανῶμεν, καὶ διαφεύγομεν τὸν ἔλεγχον, καὶ διὰ τοῦ σεμνοῦ σχήματος φαινόμεθα εἶναι δίκαιοι, καὶ πολλάκις μακαριζόμεθα· ἐκεῖ δὲ οὐκ ἔτι ἔστι ψεύσασθαι· ἐκεῖ τὰ ἔργα ζητεῖται, οὐκ ἔτι τὸ σεμνὸν σχῆμα· μᾶλλον δὲ μείζονα τὴν κόλασιν καὶ τὸ κατάκριμα ἕξομεν, τὸ μὲν σχῆμα τὸ σεμνὸν φορέσαντες, τὰ δὲ ἔργα τοῦ σχήματος μὴ ποιήσαντες· ἄκουε τοῦ Σωτῆρος περὶ Ἰουδαίων μὲν λέγοντος, πρὸς ἡμᾶς δὲ διδασκαλίαν προτείνοντος· πλατύνουσι γάρ φησι τὰ κράσπεδα, καὶ ἐν ταῖς πλατείαις προσεύχονται, ὅπως φανῶσι τοῖς ἀνθρώποις δίκαιοι· οὗτοι δὲ λήψονται περισσότερον κρίμα. ἐπιθυμεῖς τὸ σεμνὸν σχῆμα, καὶ τὸ ὄνομα τοῦ Χριστιανισμοῦ ἐπεπόθησας· μὴ ἕως τούτου ἀπομείνῃς, ἀλλ' ὡς ὁμολογήσας Θεῷ, ἀπόδος τὴν ἐπαγγελίαν τῇ τῶν ἔργων ἐπιδείξει. τί προπετὴς εἶ εἰς τὴν ἐπαγγελίαν, μὴ ἔργοις βεβαιῶν αὐτήν; χρὴ οὖν καὶ εὔχεσθαι μετὰ ἀσφαλείας, καὶ ἀποδιδόναι τὸ χρέος τῆς ἐπαγγελίας μετὰ ἀκριβείας· εὔξασθε γὰρ καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἐν ἁγνῇ πολιτείᾳ ἄφθητι αὐτῷ· τοῦτ' ἔστι, σώματι καὶ πνεύματι, καὶ ψυχῇ· μή τι ὑφέλῃς τῆς ἐπαγγελίας, ἵνα μὴ πάθῃς τὰ Ἀνανίου καὶ Σαπφείρης· ἐκεῖνοι νοσφισάμενοι ἐκ τῆς τιμῆς τοῦ ἐπαγγελθέντος κτήματος θανάτῳ κατεδικάσθησαν· καὶ ἡμᾶς χρὴ ταῦτα φοβεῖσθαι. δεῖ γὰρ εἰδέναι, καὶ μὴ ἀγνοεῖν, ὅτι ἃ ἐπαγγελλόμεθα τῷ Θεῷ, οὐκ ἔτι λοιπὸν ἡμῶν ἔστιν, ἀλλὰ Θεοῦ διαφέρει· Θεοῦ κειμήλιόν ἐστιν ἡ ἡμετέρα ἐπαγγελία· καὶ ἐὰν ἀπὸ τούτου ὑφελώμεθα, οὐκ ἔτι τὰ ἡμέτερα ἐσμὲν λαμβάνοντες, ἀλλ' ὡς τὰ τοῦ Θεοῦ ἱεροσυλοῦντες κειμήλια. καὶ ὄντως ὡς ἱερόσυλοι κριθησόμεθα· ἡ δὲ ἐπαγγελία οὐ μόνον χρημάτων ἐστίν, ἀλλὰ καὶ μέχρι λόγου, καὶ προαιρέσεως· ὑπὲρ παντός φησι λόγου ἀργοῦ ἀποδώσετε λόγον ἐν ἡμέρᾳ κρίσεως· τὸ γὰρ θεῖον καὶ μέγα μυστήριον οὐκ ἐπὶ χρήμασιν ἔχει τὴν ὑπόστασιν, ἀλλ' ἐπὶ προαιρέσει τελείᾳ καὶ τῇ κατὰ Θεὸν πίστει· πάντες γὰρ ἐπηγγειλάμεθα, καὶ πάντες ἐπαγγελίας ἐσμὲν χρεῶσται· ὥστε ἀνάγκη ἀποδιδόναι τὴν μὲν παρθένον τὴν παρθενίαν, ὁποίαν καὶ ἐπηγγείλατο· τὴν δὲ ἐγκρατῆ, τὴν ἐγκράτειαν· τὴν δὲ ἐν γάμῳ, τὴν σωφροσύνην, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην· ἥτις γὰρ παρθενεύειν ἢ ἐγκρατεύεσθαι διὰ χηρείας ἐπαγγέλλεται, ψεύσηται δὲ τὴν ἐπαγγελίαν, καὶ εἰς γάμον μετατεθῇ, κρίμα ἔχει, ὅτι τὴν πρώτην πίστιν ἠθέτησεν. εἰκότως δὲ καὶ ὁ πρεσβύτερος ὀφείλει ἀποδοῦναι τὴν ἱερωσύνην εὐάρεστον, καὶ ὁ διάκονος τὴν διακονίαν ἀμώμητον, μὴ κλοποφορῶν τὰ τῆς διακονίας, ἵνα μὴ κατακριθῇ ὡς ὁ Ἰούδας πωλῶν. πολλῆς οὖν ἀκριβείας ἐνταῦθα χρεία, μή πού τις ψεύσηται Θεόν, μὴ ἀποδιδοὺς σώαν τὴν ἐπαγγελίαν, μᾶλλον δὲ τὴν παρακαταθήκην, ἥνπερ καὶ ἕκαστος ἡμῶν ἐπαγγειλάμεθα. οὐκ ἔτι ἡμέτερόν ἐστιν ἀλλ' οὕτως ὀφείλομεν λογίζεσθαι ὅτι παρακαταθήκην παρὰ Θεοῦ ἐλάβομεν· καὶ ἵνα μετὰ προσευχῆς φυλάξαντες ἀνόσφιστον τὸ ἐπάγγελμα παραστήσωμεν τῷ φοβερῷ βήματι Χριστοῦ· ἵνα μὴ ὡς ἀρνουμένους ἡμᾶς ἡ ἀπόφασις καταλάβῃ, κατὰ τὸ παράδειγμα Ἀνανίου. οὐκοῦν ἐνταῦθα πολλῆς ἀσφαλείας χρεία, μὴ ἔν τινι παῖσαι, μηδὲν ὑφελέσθαι τῆς ἐπαγγελίας, ἀλλὰ μετὰ ἀκριβείας ἀποδοῦναι τὴν ἐπαγγελίαν σπουδάσωμεν· μὴ ἕως τοῦ σχήματος εἶναι νομίσωμεν τὸν Χριστιανισμόν, μηδὲ τούτῳ τερπόμενοι ἐναπομείνωμεν, ἀλλὰ τῇ διὰ τῶν ἔργων βεβαιώσει ἀληθείας καὶ δικαιοσύνης οἰκεῖοι διαμείναντες τῶν ἑπομένων τῇ δικαιοσύνῃ τιμῶν τύχωμεν παρὰ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

A & mentiri contra ſeipſos malunt. At ego tibi dico mi homo, Tu humiliter pro rei veritate de te ſenti: apud Dei aures humilia de teipſo loquere, ſicut Abraham dicebat, *Ego autem ſum terra & cinis*: ut Paulus dicebat, *Ego ſum minimus Apoſtolorum, qui non ſum dignus vocari Apoſtolus, quia perſecutus ſum Eccleſiam Dei*: rurſus autem veritatem prolocutus adjecit, *Gratia autem Dei ſum id quod ſum*: His itaque ſic ad doctrinam noſtram propoſitis, ſimulatam ſpeciem omni ex parte fugiamus, cur nobiſmet- B ipſis larvas circumponimus, cùm tales non ſimus quales nos oſtentamus, dum veſtes quidem ad terram trahimus in habitu ſanctorum, moribus autem efferati, ſermone quidem, & amictu ſancti, animo verò & operibus inhumani? non veſtitus in regnum cœlorum introducit, ſed opera juſtitiæ. Non ita aſpiciet homo, ut aſpiciet Deus: homo quidem in faciem aſpiciet: Deus autem aſpiciet ad cor. Scrutans enim, inquit, corda & renes Deus: & propter eum qui venit, ut col- C ligat hominum cogitationes: omnia enim nuda ſunt & aperta oculis ejus non eſt qui ſe abſcondat à calore ejus. Veniet tempus cùm hac rejecta perſona nudus repereris, tùmque ut Adam poſt lapſum in conſpectu Dei apparere te pudebit. Illic enim non jam habitus quæritur, ſed opera. Nam hîc quidem ſæpenumero fallimus, & judicium criminis evitamus, & venerandi habitus cauſa tanquam juſti apparemus ac ſæpenumero felices prædicamur: illic autem non jam ampliùs licet imponere: illic D opera quæruntur, non jam habitus venerabilis: imo vero majori ſupplicio ac damnatione plectemur, ſi venerabilem quidem honeſtúmque habitum geſtaverimus, nec tamen habitus opera perfecerimus. Audi de Judæis loquentem Salvatorem, ſed doctrinam quæ nos ſpectat proferentem: Dilatant enim, inquit, fimbrias, & in plateis orant ut hominibus juſti videantur: hi verò accipient damnationem majorem. Deſideras habitum venerandum, & Chriſtianiſmi nomen expetiſti, ne hîc tantum E conſiſtas, ſed operum exhibitione fac appareant promiſſa, quibus te obſtrinxiſti, cur ad promiſſum es præceps, cùm illud operibus non confirmes? oportet igitur & cautè vota nuncupare, & diligenter debitum voti perſolvere. Vovete námque & reddite Domino Deo veſtro; ſancta converſatione coram illo appare, hoc eſt corpore, & ſpiritu, & anima: nihil ſubtrahas de promiſſione, ne eadem tibi accidant, quæ Ananiæ & Sapphiræ. Illi cùm de pretio agri promiſſi fraudaſſent, morte puniti ſunt, & A nos oportet iſta reformidare, ſciendum enim eſt nec ignorandum ea quæ Deo promiſimus, non jam ampliùs noſtra eſſe, ſed ad Deum pertinere. Dei ſuppellex eſt & theſaurus promiſſio noſtra, & ſi quid inde ſubtrahamus, non jam noſtra accipimus, ſed ſacrilegè Dei theſauros compilamus, veréque tanquam ſacrilegi judicabimur. Porro non pecuniarum tantum, ſed vel ſermonis & voluntatis eſt promiſſio. *De omni, inquit, verbo otioſo reddes rationem in die judicii*: divinum enim magnúmque myſte- B rium non in pecuniis poſitum eſt, ſed in perfecta voluntate ac propoſito, & in Deum fide, omnes enim promiſimus & omnes promiſſionis debitores ſumus, itaque neceſſe eſt ut reddat virgo quidem virginitatem, quam promiſit: continens verò continentiam: qui autem matrimonio junctus eſt, temperantiam, & ad invicem charitatem, nam quæ virginitatem ſe ſervaturam, aut in viduitate continentiam, promittit, ſi promiſſi fidem fefellerit, atque ad nuptias ſe tranſtulerit, damnationem habet: C quia primam fidem irritam fecit. Meritò autem & Preſbyter reddere debet ſacerdotium acceptum, & diaconus (ſeu miniſter) miniſterium irreprehenſibile: non ea quæ ad diaconi miniſterium pertinent, furtim auferendo, ne condemnetur ut Judas, dum vendit. Multa igitur hîc opus eſt diligentia & cautione, ne quis forte Deum fallat, neque integrum reddat promiſſum, vel potiùs depoſitum quod noſtrum quiſque promiſit, non amplius noſtrum eſt: ſed ita nobiſcum reputare debemus à D Deo nos depoſitum accepiſſe: atque ut, cùm minimè defraudatum promiſſum orando ſervaverimus, tremendo Chriſto tribunali ſiſtamus: ne tanquam debiti inficiatores ſententia ad Ananiæ exemplum nos opprimat. Itaque multa nobis hîc adhibenda eſt cautio, nec in aliquo ludere, aut de promiſſo quicquam ſubtrahere, ſed exactè promiſſum reddere ſtudeamus; ne habitu tenus Chriſtianiſmum profitendum eſſe cenſeamus; neque hoc contenti maneamus, ſed cum per operum confirma- E tionem veritatis ac juſtitiæ ſectatores ac domeſtici perſeveraverimus, eos honores, qui juſtitiam ſequuntur, Chriſti munere conſequamur: cui gloria in ſecula. Amen.

Gen. 18. 18.
1. Cor. 15. 9
Matt. 12. 36

In principium indictionis novi anni, & in martyres, atque in mulierem quæ ſanguinis fluxum patiebatur.

Eodem interprete.

Matt. 9, 20 ALternum eſt quoddam continuúmque miraculum, à Chriſto Domino bonorum imber effuſus, & aliæ aliis ſuccedunt opes. Ecce nos etiam hodie victores martyres epulo excipiunt, & ſua nobis certamina tanquam lætitiæ commune convivium apponunt: oportebat enim oportebat ut martyres ſemper gratia juveneſcentes etiam ſub novi anni ingreſſum occaſionem convivii piis afferrent: oportebat, ut temporum mutationis exordia tanta nos cum benedictione ſuſciperemus: oportebat, ut dies hujus celebritatem choro ſanctorum exornatam exciperemus: oportebat ut anni circulus corona martyrum decoraretur: oportebat ut tali ſub adventantis anni initium jucunditate frueremur, eámque martyrum honore cumularemus. Hi ſunt enim illi omnis lætitiæ generi humano auctores generoſi milites Chriſti, ejúſque virtutis poſt mortem etiam præcones; qui deceptorem patientiæ pedibus conculcarunt, & tyrannicu ſenſu tumidum leonem, amoris in Deum manibus ſuffocarunt, ac veritatem propalarunt, qui præſentem vitam ut vanam oderunt, & cœlorum regnum, ut filii matrem, adamarunt, qui per mortem januas immortalitatis reſerarunt, mortiſque genitorem morte propria enecarunt; qui in corpore incorporeos dæmones ſuperarunt, non corporis robore, ſed animæ fide, per fidem enim omnia, quæ mundi ſunt, ſubegerunt: qua nihil optabilius eſt Chriſtianis: Fide ſiquidem ſibi in auxilium aſcita verba operibus confirmarunt. Enimvero magnum eſt prorſus officium juſtitiæ! illuſtris eſt & virtus temperantiæ; utilis pariter & amoris in pauperes ſollicitudo, præclara, & pulchra ſimul cum illis eſt & exercitatio continentiæ; ſed præ omnibus his potentis fidei prærogativæ palma defertur. Hæc in Abrahamo quondam ſterilem uterum Saræ poſt multum tempus fertilem agrum reddidit: hac Moyſes mare quod navibus trajiciebatur, ut perambularetur, effecit: per hanc Helias cœlo imperavit, & auditus eſt: hæc ſexcenta morborum genera tempore Salvatoris fugavit. Per hanc leproſus ægritudinis ſuæ ſquamas excuſſit: per illam cæcus oculos, quos non tulerat natura,

Matth. 15, 22. recepit: hujus præſidio ſepta Chananæa cùm prolis ſuæ cauſa vim feciſſet, filiam ſuam invaſori dæmoni extulit. Fides etiam dum lateret, ſanguinis fluxum exiccavit: atque in cæteris quidem, cùm petitio præceſſiſſet, donum ſequebatur: hic verò ſilens à ſilente, ut putabat, gratiam furabatur. O mulierem miſeram ſimul & beatam! miſeram propter ſuperiorem ſtatum, bea-

Luc. 8, 43. tam propter hunc ſequentem. *Ecce enim*, inquit, *mulier in fluxu ſanguinis ſui annis duodecim.* Si tantus fuiſſet dierum numerus quot jam annorum tempus elapſum erat, ipſam conficere potuiſſet, non anni tantum duodecim: in naturam, opinor, morbus evaſerat, quæ in medicos erogaverat omnem ſubſtantiam ſuam, ad corporis tabem pecuniarum jacturam adjunxit: nec potuit ab ullo ſanari. Hem non potuit! indomitum habuit mulier adverſarium morbum illum: venter nimirum mulieris fontis in modum ſcaturiebat, nec rivo fœtoris fœcunditatem tam longi temporis diuturnitas abſumebat: doloribus præterea mens ejus vexabatur, & curis: quo pacto vincula gravis infirmitatis abrumperet: quo pacto duodecim annorum morbum excuteret: quo pactu continuos dolores ſolveret: quo pactu effrænata illa fluenta ſiſteret: quomodo inſaniam venarum ſedaret, ad omnium medicorum fores noctu profecta, & diſtracta contabeſcebat: lucem enim declinabat, ne forte labentes ſanguinis guttæ ſignata ſemita latentem incedentis ignominiam propalarent. In eos qui ſanare ipſam vellent, mercedis loco ſuas omnes facultates effudit, ad dandum neceſſitate compulſa: ſanitatis quippe deſiderium ut pecuniis minimè parcatur, ſuadet. Atque ita medici omnes morbum oppugnantes torpebant: variæ medicamentorum inventiones non poterant morbi ſævitiam mitigare; tanquam enim ſurda quædam bellua incantantium artem non audiens permanebat, atque os, à quibus urgebatur, talia quædam dicendo refragari videbatur; Quid fruſtra cum bellua valentiore pugnatis? tantum me tempus corporis poſſeſſione non ſpoliavit: medentium peritiæ minimè cedo: nemo pecuniis redimet virtutem meam: nemo exiis qui in terris verſantur, meam fœcunditatem exhauriet: unus me ſolus medicus ex virgine natus fugabit; ejus gloriæ ego quoque reſervor; ut cum cæteris ejus ſim teſtis virtutis, cuſtodior. Quid ergo incaſſum tot labores ſuſcipitis, & Domino victoriam præripere ſervi conamini? Non parcam creaturæ donec conſpexero

Εἰς τὴν ἀρχὴν τῆς ἰνδικτιῶνος τοῦ νέου ἔτους, καὶ εἰς μάρτυρας, καὶ εἰς αἱμοῤῥοῦν. Ὁμιλ. γ΄.

ΕΠΑΛΛΗΛΟΝ σημεῖον ἐστὶ τοῦ διαπαντὸς Χριστοῦ ἡ τῶν ἀγαθῶν ἐπομβρία, καὶ ἄλλος ἄλλον διαδέχεται πλοῦτος· ἰδοὺ καὶ σήμερον ἡμᾶς ἑστιῶσιν οἱ καλλίνικοι μάρτυρες τοὺς οἰκείους ἄθλους προτεθηκότες εἰς ἐπίκοινον εὐφροσύνης συμπόσιον. ἔδει γὰρ, ἔδει τοὺς ἀεὶ νεάζοντας τῇ χάριτι μάρτυρας, καὶ τῇ τοῦ ἔτους εἰσόδῳ γενέσθαι τοῖς εὐσεβέσιν ἀφορμὴν δεξιώσεως· ἔδει τοιαύτην τοῦ νέου ἐνιαυτοῦ τοῖς πιστοῖς ὑπαντῆσαι τὴν ἀγαλλίασιν· ἔδει μετὰ τοσαύτης ἡμᾶς εὐλογίας ἀσπάσασθαι τὰ τῆς τοῦ χρόνου ἐναλλαγῆς τὰ προοίμια· ἔδει τὴν τῆς παρούσης ἡμέρας πανήγυριν τῷ χορῷ τῶν ἁγίων τετιμημένην ὑποδέξασθαι· ἔδει τὸν κύκλον τοῦ ἔτους τῷ τῶν μαρτύρων κοσμηθῆναι στεφάνῳ· ἔδει τοιαύτῃ χρήσασθαι ἐπὶ τοῦ ἐπιστάντος ἐνιαυτοῦ τῇ εὐωχίᾳ ἐπαγομένους, καὶ τὴν τῶν μαρτύρων τιμήν. αὐτοὶ γάρ εἰσι πάσης εὐφροσύνης τῷ γένει πρόξενοι, οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται· οἱ καὶ μετὰ θάνατον τῆς αὐτοῦ δυνάμεως κήρυκες, οἱ τὸν ἀπατεῶνα ὄφιν ποσὶ καρτερίας καταπατήσαντες, καὶ τὸν τυραννόφρονα λέοντα φιλοθείας χερσὶν ἀποπνίξαντες, καὶ τὴν ἀλήθειαν φανερώσαντες· οἱ τὴν παροῦσαν ζωὴν ὡς ματαίαν μισήσαντες, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ὡς υἱοὶ μητέρα, ποθήσαντες· οἱ διὰ θανάτου τὰς τῆς ἀθανασίας πύλας ἀνοίξαντες, καὶ τὸν τοῦ θανάτου γεννήτορα τῷ οἰκείῳ θανάτῳ νεκρώσαντες· οἱ ἐν σώματι τοὺς ἀσωμάτους νικήσαντες δαίμονας, οὐ δυνάμει σώματος, ἀλλὰ πίστει ψυχῆς· διὰ πίστεως γὰρ τὸν τοῦ κόσμου κατηγωνίσαντο πάντων, ἧς οὐδὲν Χριστιανοῖς αἱρετώτερον· πίστιν γὰρ κεκτημένοι συμπεράναντες τοὺς λόγους ἔργοις ἐβεβαίωσαν. μέγα μὲν γὰρ ὡς ἀληθῶς τὸ δικαιοσύνης κατόρθωμα· λαμπρὰ δὲ καὶ τῆς σωφροσύνης ἡ ἀρετή· χρήσιμος ὁμοίως καὶ τῆς φιλοπτωχίας ἡ ἐπιμέλεια· καλὴ μετὰ τούτων καὶ τῆς ἐγκρατείας ἡ ἄσκησις. φέρεται δὲ τὴν κατὰ πάντων νίκην τὸ δυνατὸν τῆς πίστεως πλεονέκτημα. αὕτη ποτὲ τοῦ Ἀβραὰμ τὴν χερσεύουσαν τῆς Σάῤῥας γαστέρα μετὰ τὴν πολλὴν τοῦ χρόνου δαπάνην πρὸς γόνιμον ἐγεώργησεν ἄρουραν· ταύτῃ καὶ Μωσῆς πεζεύεσθαι τὴν πλεομένην ἐποίησε θάλασσαν· διὰ ταύτης Ἠλίας προσέταττεν οὐρανῷ, καὶ ἠκούετο· αὕτη μυρία τῶν παθῶν ἐπὶ τοῦ Σωτῆρος ἀπεδίωξε γένη· λεπρὸς διὰ πίστεως τῆς τοῦ πάθους ἀπηλλάγη φολίδος, τυφλὸς δι' ἐκείνης ὀφθαλμοὺς οὓς ἡ φύσις οὐκ ἐδίδου, ἀπέλαβε· ταύτην συμμαχοῦσαν ἡ Χαναναία λαβοῦσα, βιασθεῖσα περὶ γονὴν ἀφήρπασε τὴν θυγατέρα τοῦ κατέχοντος δαίμονος· ἐξήρανε καὶ λανθάνουσα πίστις αἱμάτων ῥοάς, καὶ ἐπ' ἄλλων μὲν προλαμβανούσης αἰτήσεως ἠκολούθει τὸ δῶρον· ἐνταῦθα δὲ σιγῶσα παρὰ σιγῶντος, ὡς ἐνόμιζεν, ἀπεσύλα τὸ χάρισμα. ὦ γυναικὸς ἀθλίας καὶ μακαρίας ὁμοῦ· ἀθλίας διὰ τὰ πρῶτα· μακαρίας διὰ τὰ δεύτερα. ἰδοὺ γάρ, φησι, γυνὴ ἐν ῥύσει αἵματος αὐτῆς δώδεκα ἔτη. τοσοῦτος ἡμερῶν εἰ ἦν ἀριθμὸς, ὁπόσος ἐτῶν ἐνῆλθε χρόνος, κατεδάμασεν αὐτὴν ἄν· οὐχὶ δὲ ἔτη δώδεκα· εἰς φύσιν, ὡς οἶμαι, τὸ πάθος μετέπεσεν. ἡ τοῖς ἰατροῖς προσαναλώσασα τὸν βίον ὅλον, τῷ τοῦ σώματος μαρασμῷ καὶ τὴν τῶν χρημάτων προσέθηκε μείωσιν, ὑπ' οὐδενὸς δὲ ἴσχυσε θεραπευθῆναι. ὢ τὸ, οὐκ ἴσχυσεν· ἀνταγωνιστὴν εἶχεν ἡ γυνὴ τὸ τοῦ πάθους πολέμιον· ἐπήγαζεν ἀεὶ τῆς γυναικὸς ἡ γαστήρ, κρουνοὺς τοὺς αἱμάτων ἀνελλιπεῖς καταφέρειν· οὐδὲ τοσούτου χρόνου τὸ μῆκος τοῦ τῆς δυσωδίας ὀχετοῦ τὴν φορὰν ἐδαπάνα· ὀδύναις δὲ καὶ φροντίσιν ἐκόπτετο τὴν διάνοιαν· πῶς τὸν δεσμὸν διαῤῥήξει τοῦ χαλεποῦ ἀῤῥωστήματος· πῶς τὸ δωδεκαέτες ἀποτινάξεται πάθος· πῶς λύσει τὰς ἀνενδότους ὀδύνας· πῶς στήσει τὰ ἀχαλίνωτα ῥεῖθρα· πῶς παύσει τῶν φλεβῶν τὴν μανίαν· πάντων ἰατρῶν νυκτοποροῦσα καὶ συρομένη κατέτριβε τὰς θύρας. παρῃτεῖτο γὰρ τὸ φῶς, μὴ αἱ τῶν αἱμάτων καταῤῥέουσαι σταγόνες ἀνεπαισθήτως ἐργασάμεναι στηλιτεύσωσι τὴν λανθάνουσαν τῆς βαδιζούσης αἰσχύνην. μισθὸν τοῖς θεραπεύειν ἐθέλουσι, πᾶσαν ἣν εἶχε, περιουσίαν ἐξήντλησε, τῆς ἀνάγκης βιαζομένης τὴν δόσιν· ἡ γὰρ ἐπιθυμία τῆς ὑγιείας πείθει χρημάτων μὴ φείδεσθαι. καὶ οὕτως ἰατροὶ πάντες τῇ νόσῳ πολεμοῦντες ἠτόνουν· ποικίλαι φαρμάκων ἐπίνοιαι τὴν τοῦ πάθους οὐκ ἴσχυον ἐξημεροῦν ἀγριότητα. ὥσπερ γάρ τι δύσκωφον θηρίον τῆς τῶν ἐπαδόντων τέχνης ἀνήκοον ἔμενεν, ὥσπερ ἀντιλέγειν τοιαῦτα δοκοῦν τοῖς βιαζομένοις· ἀνόνητα τί μάχεσθε δυνατωτέρῳ θηρίῳ; χρόνος με τοσοῦτος τῆς ἐν σώματι νομῆς οὐκ ἐσύλησεν· ἰατρευόντων ἐπιστήμαις οὐκ εἴκω· χρήμασιν οὐδεὶς ἐξαγοράσει τὴν ἐμὴν δύναμιν· οὐδείς με τῶν φορέων τῶν ἐπὶ γῆς ἀναλώσει· εἷς με μόνος ὁ ἐκ παρθένου γεννηθεὶς ἰατρὸς φυγαδεύσει· ἐκείνου κἀγὼ πρὸς δόξαν φυλάττομαι· μάρτυς μετὰ τῶν ἄλλων τῆς ἐκείνου τηροῦμαι δυνάμεως· τί οὖν ἀπεράντους ἐπιδείκνυσθε πόνους, δεσπότου προαρπάζειν οἱ δοῦλοι βιαζόμενοι νίκην; οὐ φείσομαι τοῦ πλάσματος, ἂν μὴ τὸν πλά-

στην

σίαν θεάσωμαι. ὢ πόσα τῇ γυναικὶ τὰ μαχόμενα, χρόνου μῆκος, ἀλγηδόνες ἀνένδοτοι, δημεύσεις ἀνωφελεῖς, μαραινομένου σώματος λύπη, λογισμὸς κεναῖς ἐλπίσι δαπανηθείς, ἀλλὰ τοσοῦτοι πολέμιοι τῆς πίστεως τῆς κινδυνευούσης οὐκ ἐσύλησαν ὅπλον. τοσαῦται τῶν δεινῶν τρικυμίαι τῇ γυναικὶ τὸ ναυάγιον οὐκ εἰργάσαντο. τοσαῦται πειρασμῶν προσβολαὶ τὴν ὑπομένουσαν οὐ κατέβαλον γυναῖκα. εἶδε, φησί, τὸν Ἰησοῦν. εἶδεν ἡ δεδεμένη τὸν λυτρωτήν· εἶδεν ἡ χειμαζομένη τοῦ κόσμου τὴν ἄγκυραν· εἶδε τὸν ἄνωθεν ἐλθόντα τῶν παθῶν βασιλέα. εἶδεν ἐλπίδα χαρᾶς ἀπροσδόκητον· εἶδε θεραπείας ἀκαταγώνιστον δύναμιν· εἶδε πηγὴν ἰαμάτων ἀμισθὶ μερίζουσαν νάματα· εἶδε ζωὴν νεκρωμένοις ἐνδημήσασαν· εἶδε, καὶ τοιαύτην ἐνθυμίας ἀνέστρεψεν ἔννοιαν· εὕρηκα λοιπὸν θεραπευτὴν ἐπιτήδειον· οὗτος ὁ ἰατρὸς μισθὸν οὐκ ἀπαιτήσει χρυσίου· ἕνα μισθόν, ὡς οἶμαι, γνώμην ἀπαιτήσει γνησίαν· μίαν πίστεως ἐπιζητήσει μετάδοσιν. ἀλλ' ἔχω· ταύτης γάρ με μόνης ἡ νόσος οὐκ ἀπεστέρησεν· ἀλλὰ λογισμῶν ἀπορίαις ἀνθέλκομαι. τί γὰρ προσδραμοῦσα καθέξω; τὸν ἀπὸ τοῦ πλήθους ὑποστέλλομαι κίνδυνον· βοήσω τὰ κατ' ἐμαυτήν; διώξουσιν ὡς ἀκάθαρτον· κρύψω τὴν συμφοράν; ἀλλὰ τὴν ὀδύνην οὐ φέρω· ὡς ἰατρῷ προσδράμω τῆς φύσεως; ἀλλ' ὡς βασιλέα φοβοῦμαι· ὡς ἱκετεύουσαν δέξεται, μὴ ὡς μολύνουσαν φύγῃ. ἐλεήσει τὸ πάθος, μὴ καταγνῷ εἰς μέσον φανεῖσαν. τί οὖν δράσω; ποῖον ἀναδέξομαι λογισμόν; ἀναισχύντως φανῶ; δέδοικα μὴ πάλιν ἀθεράπευτος μείνω· μὴ δειλιάσω τὸ πλῆθος, καταφρονήσω τοῦ δέους· θέατρον γένωμαι· φύγω τὸν ἔξωθεν γέλωτα· ἰάσομαι τὸν ἔνδοθεν πόλεμον· ὁ νόμος ὡς ἐρρυπωμένην μισεῖ· ὁ νομοθέτης ὡς νοσοῦσαν οἰκτειρεῖ. προθυμία δὲ καὶ ὄκνος τῆς γυναικὸς τὴν ψυχὴν ἐμερίζοντο. ἀλλ' εὗρε πίστιν μεσίτην τῆς ἐγχειρήσεως. προσελθοῦσα γάρ, φησιν, ὄπισθεν τοῦ Ἰησοῦ ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι μόνον ἐὰν ἅψωμαι τοῦ κρασπέδου αὐτοῦ, σωθήσομαι· ὢ κλοπῆς πίστιν κτησαμένης μητέρα· ὢ κλοπῆς ἣν αὐτὸς ἐπῄνεσεν ὁ τὰς κλοπὰς τιμωρούμενος. ὢ κλοπῆς τὸν κλέπτοντα τερπούσης, ὢ σύλων στεφανουμένων ἐν δικαστῇ. καὶ ὅρα τὸ θαυμαστόν. λῃστεύσασα τὸ κέρδος ὡς χαρισαμένη θαυμάζεται· ἔλεγε γὰρ ἐν ἑαυτῇ· ὁ θεός, φησι, δεσπότης ἐστίν, οἶδεν ἀγνοῶν· δεσπότης σωματικῶν ὀφθαλμῶν οὐ δεόμενος· ἰατρός ἐστι ψυχὰς ἰώμενος· ὀφθαλμός ἐστι λογισμοὺς ἐμβατεύων· ὁρᾷ καὶ κρυπτομένην ἐμέ· ἀκούει καὶ μὴ λαλούσης ἐμοῦ· ἅπτεται, κἂν ἀφέστηκα, οἶδεν ὅτι πάντως ὡς ἀναξία τὴν θέαν οὐκ ἐνήνεγκα. τί οὖν; λανθάνουσαν ποιήσομαι πρόσοδον, καὶ τῇ γνώμῃ τιμῶσα καὶ οὐ καθυβρίζουσα τῇ ὄψει κατόπιν ἅψομαι τοῦ χιτῶνος ἐλθοῦσα. ἀρκεῖ μοι καὶ τοῦτο μόνον, ἂν ἐπιτύχω, πρὸς ἴασιν. πάντως γάρ που καὶ αὐτὸς τοῦ φοροῦντος ἐνεργείας πεπλήρωται· οὐ δύναται γὰρ τὸ τῆς ζωῆς περιβόλαιον μὴ καὶ αὐτὸ σωτηρίας ἀποπέμπειν ἀκτῖνας· μέγας ἦν ἐν προφήταις Μωσῆς, καὶ λαοῦ δυσκόλου σωφρονιστής, ἀλλ' ὅμως ἄνθρωπος· οὗτος δεσπότης ἐκείνου καὶ φιλάνθρωπος. εἰ οὖν τοῦ δούλου ἡ ῥάβδος τὴν ἐρυθρὰν διέτεμε θάλασσαν, τειχοποιίαν ἐργασαμένη ἐν τοῖς ὕδασι, πῶς οὐκ ἂν τοῦ δεσπότου τὸ κράσπεδον πετρώσῃ τῶν αἱμάτων τὰ ῥεύματα; ζηλωτὴς ὁ Ἠλίας, καὶ θερμὸς τοῦ θεοῦ ὑπηρέτης, ἀλλὰ καὶ αὐτὸς εἷς ὑπῆρχε τῆς φύσεως, καὶ ὅμως μηλωτὴν εἶχε θαυμάτων ἐργάτιν· αὖθις Ἐλισσαῖος κληρονομήσας μετὰ προσθήκης τοῦ διδασκάλου τὴν χάριν, ἐχάλινε τῇ μηλωτῇ τοῦ Ἰορδάνου τὰ ῥεῖθρα. εἰ οὖν τοσαύτη παρὰ τοῖς προφήταις ἡ χάρις, πόση ἔσται ἡ παρ' αὐτοῦ προφητευομένου δύναμις; τί συντέμνω ὁ λόγος; Πέτρου ἡ σκιὰ θεραπεύει, καὶ τὸ τοῦ Χριστοῦ ἱμάτιον οὐκ ἰάσεται; αἰσθάνομαι πόσον μοι καὶ τὸ βουλεύσασθαι μόνον. τὴν τρέχουσαν ἐχαλίνωσε νόσον· ὢ πίστεως, ἀναβολὴν μὴ παραχωρούσης τῷ πάθει. ἐπίστευσε γὰρ μόνον, καὶ τὸ πολέμιον ἐδραπέτευσεν· ἐπίστευσε, καὶ τὸ φιλόνεικον οὐκ ἀντεῖπε θηρίον· ἐπίστευσε, καὶ ἡ τῶν αἱμάτων ἀέναος ἐξηράνθη πηγή, καθάπερ ὑπό τινος ἀοράτου τυφλωθεῖσα καυτῆρος. ἀλλ' ἡ μὲν ἱματίου καθήψατο, καὶ τοῖς ἔξωθεν παρηγγίζεν· ὁ δὲ τοὺς ἔνδοθεν λογισμοὺς ἐπεγίνωσκεν. ἐκείνη μὲν ἀφανῶς τῷ σώματι τὴν θεραπείαν ἐξήντλησεν, ὁ Σωτὴρ δὲ αὐτῆς τὸ ψυχικὸν ἐδημοσίευσε κάλλος· οὐκ εἴασε γὰρ τοιαύτην εὐσεβείας ἀθλεῖν ἀμφίβολον ὡραιότητα. οὐκ ἀφῆκε δικαιοσύνης σπινθῆρα λήθης παραδοθῆναι σκότῳ· ἐχαρίσατο τῷ βίῳ ἡ τοῦ εὐαγγελίου διήγησις, μιᾶς γυναικὸς πίστιν, Θεὸν καλῶς συλησάσης τῇ ἀδιστάκτῳ γνώμῃ. τίς ἡ διὰ κλοπὴν ὡς πιστὴ τιμωμένη; προέλαβε τὸν λῃστὴν ἡ πίστις τῆς γυναικός. πρὸ τῆς ἐκείνου γλώσσης ἡ ταύτης εὐφημεῖται παλάμη· πρὶν ἐκεῖνος φωνῇ συλήσῃ τὸν παράδεισον, ἐλῄστευσεν αὕτη τῆς βασιλείας τὸν χορηγὸν τῇ σιωπῇ. γνοὺς γάρ, φησιν ὁ Ἰησοῦς, τὴν ἐξελθοῦσαν δύναμιν ἐξ αὐτοῦ, ἐπηρώτα τοὺς μαθητάς, τίς μου ἥψατο; πῶς οὐκ ἔγνωτε τὴν κλοπήν; πῶς ἠγνοήσατε τὴν λῃστείαν; τίς μου ἥψατο; τίς νόσῳ ἐκ τῶν ἐμῶν θησαυρῶν ὑγείαν ἐσύλησε; τίς μου ἥψατο; τί λέγεις ὦ δέσποτα; σὺ δέδωκας, καὶ τὴν δεξαμένην οὐκ οἶδας; τὴν πίστιν οἶδας, καὶ τὴν

Creatorem. O quàm multa molietem divexabant: temporis diuturnitas, continui dolores, inutiles bonorum publicationes, moleſtia corporis tabeſcentis, cogitationes vana ſpe abſumptæ: veruntamen tot adverſarii, fidei ajus quæ in periculo verſabatur, arma non eripuerunt: tam multi tentationum ioſultus patientem fœminam non dejecerunt, tot adverſarum rerum decumanis fluctibus obruta naufragium fœmina paſſa non eſt. Vidit Jeſum: vidit ea quæ perierat, Servatorem vidit captiva redemptorem: vidit anchoram mundi, ea quæ tempeſtate jactabatur: vidit ægritudinum regem, qui à ſedibus ſupernis advenerat: vidit ſpem gaudii ineſpectatam: vidit inſuperabilem medicinæ virtutem, vidit fontem ſanitatum, gratis fluenta dividentem: vidit inter mortuos enectos vitam diverſantem: vidit, & talia quædem læto animi ſenſu verſare cœpit. Reperi, inquit, ſufficientem jam medicum, nec auri mercedem hic medicus repoſcet: unam, opinor, mercedem, ſinceram mentem repoſcet, unum ex me fidei donū requiret: Ego varò illud habeo: nam me hoc ſolo morbus minimè ſpoliavit. Verùm anxietate cogitationum in contrarium diſtrahor, quid enim eccurrens contingam? periculum quod à turba imminet, reformido, an meum hunc ſtatum voce declarabo? me ut immundam ablegabunt: occultabo miſariam? at dolorem non fero: an tanquam ad medicum naturæ accurram? atqui ut regem pertimeſco: me ut ſupplicantem ſuſcipiet; niſi refugiat tanquam inquinantem: miſerebitur morbi niſi condemnet in medium prodeuntem. Quid igitur faciam? quod conſilium ſaquar? num audacter prodibo? vereor ne rurſus maneam incurata: non reformidabo turbam: metum omnem abjiciam: ſpectaculum fiam: exteriorem riſum effugiam, interius bellum malùmque ſanabo. Lex ut inquinatam odit; legiſlator ut ægrotantis miſaretur: cupiditas ac metus mulieris animum diſtrahebant. Veruntamen aggreſſionis conciliatricem fidem invenit. Cum acceſſiſſet à tergo Jeſu tetigit fimbriam veſtimenti ajus. *Dicebat enim intra ſe. Si tetigero tantùm fimbriam veſtimenti ejus ſalva ero.* Matt. 9,21. Luc. 8,43.

O furtum quod parentem nactum aſt fidem! ô furtum quod ipſe laudavit, à quo furta vindicantur! O furtum, quod eum delectat, qui furtum eſt paſſus. O prædationem à judice coronatam. Ac miraculum vide: cùm furata lucrum, quaſi ſit largita, laudetur. Dicebat enim intra ſa; Deus, inquit, *D*ominus eſt, qui nihil ignorat. Dominus, qui corporeis oculis naque quam indiget: medicus eſt, qui animabus medetur: oculus eſt cogitationes perluſtrans etiam latentem me videt; audit etiam me non loquentem? tangit quamvis loco ſim diſſita: novit me ut indignam aſpectum non tuliſſe. Quid ergo? occulta acceſſione facta, & menta venerans, non aſpectu offendens, veniens retro veſtem attingem; ſufficit hoc unum mihi, ſi conſequar, ad obtinendam ſanitatem: nam & ipſa proculdubio geſtantis efficacitate redundat; non enim poteſt vitæ veſtimentum non & ipſum redios ſalutis emittere. Magnus erat inter Prophetas Moyſes, & moroſi pervicacis populi moderator; ſad tamen homo: hic illius dominus eſt benignus. Si igitur virge ſervi mare rubrum diviſit, & ex aquis conflatum murum duxit, quomodo non domini ejus fimbria, fluxus ut ſenguinis lapidis in modum rigeſcat, efficiet? zelator aret ac fervidus Dei miniſter Elias: ſed & ipſe unus erer ex iis quibus hæc eſt natura communis & creata; veruntamen ovillam habuit pellem miraculorum effectricem. Rurſus Eliſæus cùm magiſtri gratiæ cum acceſſione factus eſſet hæres, ovilla pella Jordanis fluenta frænabat. Si ergo tanta extitit apud Prophetas gratia, quanta ajus erit, quem ipſi Prophetiis annuntiabant, potentia? Quin verò paucis eſta aomplector? umbre ipſa Petri ſanat, & Chriſti veſtis non medebitur? Intelligo quanti mihi ſit vel conſilium iniiſſe tentùm: currentem morbum frænevit. O fidem quæ morbo dilationem non conceſſit: credidit enim tantùm, & malum quod infeſtabat, aufugit: credidit, & contentioſa bellua non contradixit: credidit & exiccatus eſt ſanguinis fons perennis, non aliter ac ſi inviſibili quodam cauterio eſſet arefactus. Verùm hæc quidem veſtem attigit & exterioribus pedibus appropinquevit; ille verò interiores cogitationes agnovit: illa quidem occultè corpore ſanitatem hauſit: Salvetor autem ejus animæ pulchritudinem divulgavit: non enim talem paſſus eſt decorem non celebratum & ignotum latere: non permiſit juſtitiæ ſcintillam oblivionis tenebris obrui: unius mulieris fidem, quæ Deo bona non dubitanti mente ſubripuerat, mundo Evangelica communicavit hiſtoria. Quænam hæc eſt quæ ob furtum non aliter atque ob fidem honorata eſt? latronem mulieris fides prævenit: ante linguam illius hujus manus commendatur: antè quàm ille paradiſum voce prædetur, hæc ipſum regni largitorem ſilentio compilavit. Cognoſcens enim, inquit, virtutem, quæ exierat de illo, interrogabat diſcipulos, Quis me tetigit? Quomodo furtum non animadvertiſtis? quomodo latrocinium vos latuit? *Quis me te-*

tigit? Quis ex meis theſauris morbi ſe ſanatione ditavit? Quis A me tetigit? Quid ais Domine? tu dediſti, & eam quæ accepit non noſti? fidem advertiſti, & eam quæ credidit, non agnoviſti? mentem latentem percepiſti; & apparentem faciem non es conſpicatus? Quis me tetigit? quis te tetigit? cui medicamentum operationis miraculorum applicaſti? cui ſanationem impertiiſti? Domine morbum exegiſti, & eam quæ ſalva facta eſt, non noviſti? Quis me tetigit? quis me priùs mente quàm manibus contrectavit? quænam meam divinitatem cogitatio apprehendit? quis B ille juſtus meæ miraculorum virtutis prædo? quis extinctæ ſalutis ſuæ lucernam ex mea lampade furtim accendit? Quis me tetigit? aut diſcam ex vobis, aut docebo. Vellem equidem ad finem uſque argumenti hujus decurrere, ſed jam tempus nos admonet ut deinceps huic miraculo alterum ad docendum diem reſervemus. Nam ſi illa duodecim annorum ſpatio morbo conflictata de ſua patientia nihil remiſit, nos alterum diem longis mulieris certaminibus non immorabimur? cujus fidem martyrum quoq; C cœtus æmulatus eſt, non Domini fimbriam tangentes, ſed ipſum etiam corpus Chriſti gratia exuentes. Et nos igitur, dilectiſſimi, ad ſimilis fidei imitationem mentes noſtras excitemus; ne muliere una Gentili deteriores ſimus: quandoquidem majora nobis quàm illi ſunt objecta ſpectacula quibus ad pietatem accendamur, ſatis hoc illi tantùm fuit, quòd veſtimentũ ſemel contigerit: nos vero quotidie, ut ſcitis, Salvatoris corpus contrectantes: Saltem ut qui Domini membris alamur, gratiarum actionem of- D feramus: ipſum enim decet gloria in ſecula ſeculorum. Amen.

Sancti Patris noſtri Joannis Chryſoſtomi Archiepiſcopi Conſtantinopolitani oratio Catechetica in dictum Evangelii: Simile eſt regnum cælorum homini patrifamilias, qui exiit primo mane conducere operarios in vineam ſuam & quæ ſequuntur.

FRONTONE DUCÆO interprete. E

Matt. 20.1. VIdeo permixtas piorum gregi oves inſolitas, recens paſtoris cœleſtis ſignum in frontibus ferentes, & doctrinæ virentes herbas nanciſci volo, quæ conveniant cum illis qui gratiam jam guſtaverunt, tum his qui ſpiritus gramen decerpturi ſunt: ut ejuſdem catecheſis & inſtitutionis paſtus eis quidem, qui baptizati ſunt & illuminati, donorum Dei memoriam refricet, eos verò, qui illuminandi ſunt, ad baptiſmum acriùs cohortetur. Sic enim oportet, ut ad utroſque habitus ſermo ſit mixtus: A quandoquidem turba Dei cultorum ex viris qui myſteriis initiati ſunt, & ex iis qui initiantur, eſt mixta. Nactus ſum igitur unde & nos omnes veteres Chriſti vernas epulo excipiam, & quo pacto noſtros nuper emptos ſervos ad vocationis libertatem cohortabor? enarrabo fratribus meis dicta dominica: quæ poſſunt & eos, qui olim regiam vineam occuparunt, promptiores efficere, & eos, qui non ita pridem ad eam inſpiciendam incubuerunt, ad ſimilem zelum accendere. Simile eſt regnum cœlorum B homini patrifamilias, qui exiit primo mane conducere operarios in vineam ſuam. Patrem familias (ſeu dominum domus) Dominus ſeipſum appellat: operarios verò circa tertiam & ſextam & nonam & undecimam vocatos nuncupat, omnes pios, qui baptiſmum in diverſis ætatibus ſuſceperunt: vineam, ſalutaria dicit mandata, quibus parum laboris ineſt, at multum lucri. *Simile eſt regnum cœlorum homini patrifamilias, qui exiit primo mane conducturus operarios in vineam ſuam, conventione autem facta cum* C *illis*, hoc eſt cum operariis, *ex denario diurno, miſit eos in vineam ſuam.* Paterfamilias ego ſum, quemadmodum enim dominus domus, prout libet, domos ædificat: ſic ego mundum univerſum, ut volo, diſpono: ego ſol juſtitiæ nube humanitatis indutus ad humanitatem me dejeci, & operarios ad vineam meam colendam quærens circumeo: non hominibus indigeo vinitoribus: habeo ſiquidem Angelos & Archangelos, qui ea, quæ volo, perficiunt: verum terrenos ſervos meos in meis villis ſtationem habentes D cernere concupiſco. Ego circumeo, & quoquoverſum circumſpicio, quos inveniam, quos conducam, non ut laboribus alienis diteſcam, ſed ut eos qui mihi paruerint, opulentos reddam. Habeo Petrum & Joannem, alióſque diſcipulos, orbis terrarum impigros plantarum cultores, congregavi: conventionem cum illis ex denario diurno feci: vitam ipſorum omnem conduxi, próque omni opere quod mihi facient, daturum me illis mercedis loco cœlorũ regnum promiſi: ſed ad explendum animum meum hi E ſoli non ſufficiunt, non poſſum agricolas numero exiguos arvum meum colentes intueri: in anguſtum deduci videntur oculi mei, dum tot cerno tantummodo, adhuc alios aratores expeto: adhuc etiã alios mercenarios exopto: adhuc etiam alios myſtas quæro. Spatioſus eſt & ingens mandatorũ meorum paradiſus: omnes qui mihi crediderint, capit: omnes virtutis amatores cùm receperit,

πιστεύσασαν οὐκ ἐγνώρισας; τὴν λανθάνουσαν κατενόησας γνώμην, καὶ τὴν φαινομένην οὐκ ἐθεώρησας ὄψιν; τίς μου ἥψατο; τίς σου ἥψατο; τίνι τὸ φάρμακον τῆς ἐνεργείας ἐπέθηκας; τίνι τὴν ἴασιν ἐξέπεμψας; δέσποτα τὸ πάθος ἀπῄτησας καὶ τὴν σωθεῖσαν ἠγνόησας; τίς μου ἥψατο, τίς μου τῇ διανοίᾳ πρὸ τῶν χειρῶν ἐψηλάφησε; τίς μου κατέσχε λογισμὸς τὴν θεότητα; τίς ὁ δίκαιος οὗτος τῆς ἐμῆς ἐνεργείας λῃστής; ὃς τὸν αὐτοῦ τῆς ἐσβεσμένης σωτηρίας τὸν λύχνον ἀφανῶς ὑφῆψεν ἐκ τῆς ἐμῆς λαμπάδος; τίς μου ἥψατο; ἢ μάθω παρ' ὑμῶν, ἢ διδάξω. ἐβουλόμην πρὸς τὸ τῆς ὑποθέσεως πέρας δραμεῖν· ὁ καιρὸς δὲ λοιπὸν ἑτέραν τοῦ θαύματι φυλάττει διδασκαλίας ἡμέραν. εἰ γὰρ ἐκείνη δωδεκαέτῃ χρόνῳ πολεμηθεῖσα τῷ πάθει τῆς ὑπομονῆς οὐκ ἐξέλυσε τόνον, ἡμεῖς ἄλλην μίαν ἡμέραν τοῖς μακροῖς ἀγῶσι τῆς γυναικὸς οὐκ ἐναπομείνωμεν, ἧς τὴν πίστιν καὶ ὁ τῶν μαρτύρων δῆμος ἐζήλωσεν· οὐ δεσποτικῶν κρασπέδων ἀψάμενοι, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα διὰ Χριστὸν ἐκδυσάμενοι, καὶ ἡμεῖς τοίνυν, ἀγαπητοί, πρὸς ζῆλον τῆς ὁμοίας πίστεως τὰς ἡμετέρας διαναστήσωμεν γνώμας· μὴ γενώμεθα χείρους μιᾶς γυναικὸς ἀλλοφύλου, οἱ εἰς εὐσέβειαν πλέον ἡμεῖς ἢ ἐκείνη ἀπολαύσαντες θέας· ἐκείνη μόνον ἤρκεσεν ἅπαξ ἱματίου καθάψασθαι· ἡμεῖς δὲ καθ' ἑκάστην, ὡς ἴστε, τὸ τοῦ Σωτῆρος σῶμα κατέχοντες, κἂν ὡς τρεφόμενοι τοῖς τοῦ δεσπότου μέλεσιν, εὐχαριστίαν προσφέρωμεν· αὐτῷ γὰρ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου λόγος Κατηχητικὸς εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, καὶ τὰ ἑξῆς. ὁμιλ. γ.

ΟΡΩ τῇ ποίμνῃ τῶν εὐσεβῶν μεμιγμένα πρόβατα ξένα, νέαν τὴν σφραγίδα τοῦ ἐπουρανίου ποιμένος ἐπὶ τῶν μετώπων ἐπιφερόμενα· καὶ βούλομαι διδασκαλίας χλόην εὑρεῖν κατάλληλον τοῖς γευσαμένοις ἤδη τῆς χάριτος, καὶ τοῖς μέλλουσι κείρειν τὴν πόαν τοῦ πνεύματος· ἵνα τῆς αὐτῆς κατηχήσεως ἡ νομὴ τοῖς μὲν πεφωτισμένοις ὑπόμνησις γένηται τῶν τοῦ Θεοῦ δωρεῶν· τοῖς δὲ φωτισθησομένοις σφοδροτέρα προτροπὴ πρὸς τὸ βάπτισμα. δεῖ γὰρ πρὸς ἑκατέρους κεκρᾶσθαι τὸν λόγον, διὰ τὸ κεκρᾶσθαι τὸν φιλόθεον δῆμον ἔκ τε μεμυημένων καὶ μυουμένων ἀνδρῶν. εὗρον τοίνυν πόθεν ἑστιάσω καὶ ἡμᾶς τοὺς οἰκογενεῖς ἀρχαίους ἅπαντας τοῦ Χριστοῦ καὶ πῶς τοὺς νεωνήτους δούλους ἡμῶν προτρέψω πρὸς τὴν ἐλευθερίαν τῆς κλήσεως· ἐπαγγελῶ τοῖς ἐμοῖς ἀδελφοῖς ῥήσεις δεσποτικὰς δυναμένας καὶ τοὺς πάλαι καταλαβόντας τὸν βασιλικὸν ἀμπελῶνα προθυμοτέρους ἐργάσασθαι, καὶ τοὺς ἄρτι παρακύψαντας εἰς αὐτὸν διεγεῖραι πρὸς τὸν ὅμοιον ζῆλον· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. οἰκοδεσπότην ὁ δεσπότης ἑαυτὸν ὀνομάζει· ἐργάτας δὲ περὶ τρίτην καὶ ἕκτην καὶ ἐνάτην καὶ ἑνδεκάτην καλουμένους προσαγορεύει πάντας τοὺς εὐσεβεῖς τοὺς ἐν διαφόροις ἡλικίαις δεξαμένους τὸ βάπτισμα· ἀμπελῶνα τὰ σωτήρια λέγει προστάγματα, μικρὸν ἔχοντα πόνον, πολὺ δὲ τὸ κέρδος. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθε πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. συμφωνήσας δὲ μετ' αὐτῶν, τουτέστι τῶν ἐργατῶν, ἐκ δηναρίου κατὰ τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπ. αὐτοῦ. ὁ οἰκοδεσπότης ἐγώ εἰμι· ὥσπερ γὰρ ὁ οἰκοδεσπότης οἰκίας, ὡς βούλεται, οἰκοδομεῖ, οὕτως τὸν κόσμον ὅλον, ὡς θέλω, διατίθημι. ἐγὼ ὁ τῆς δικαιοσύνης ἥλιος φορέσας τὴν νεφέλην τῆς ἀνθρωπότητος, συγκατέβην τῇ ἀνθρωπότητι, καὶ περιέρχομαι ζητῶν ἐργάτας εἰς τὸν ἀμπελῶνά μου. οὐ χρῄζω ἀνθρώπων ἀμπελουργῶν· ἔχω γὰρ ἀγγέλους καὶ ἀρχαγγέλους ποιοῦντας ἃ βούλομαι· ἀλλὰ ποθῶ τοὺς ἐπιγείους δούλους μου ἐν τοῖς ἐμοῖς κτήμασιν αὐλιζομένους ὁρᾶν· ἐγὼ περιτρέχω, καὶ περιβλέπομαι πανταχοῦ τίνας εὕρω, τίνας μισθώσομαι· οὐχ ἵνα μόχθοις ἀλλοτρίοις πλουτήσω, ἀλλ' ἵνα πλουτίσω τοὺς ὑπακούοντάς μοι. ἔχω τὸν Πέτρον καὶ Ἰωάννην, καὶ τοὺς ἄλλους μαθητὰς, τοὺς ἀόκνους φυτουργοὺς τῆς οἰκουμένης, συνήγαγον, συνεφώνησα πρὸς αὐτοὺς ἐκ δηναρίου κατὰ τὴν ἡμέραν· ἀπεμισθωσάμην αὐτῶν πᾶσαν ζωὴν, καὶ ἐπηγγειλάμην αὐτοῖς ὑπὲρ πάσης ἐμοῦ τῆς ἐργασίας δώσειν μισθὸν τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' οὐκ ἀρκοῦσιν οὗτοι μόνοι τὴν ἐμὴν κορέσαι ψυχήν· οὐ δύναμαι βλέπειν ὀλιγαρίθμητους γεωργοὺς γεωργοῦντάς μου τὸ γεώργιον· στενοχωροῦμαι τοὺς ὀφθαλμούς μου τούτους μόνον ὁρῶν, ἔτι καὶ ἄλλους γεωπόνους διψῶ. ἔτι καὶ ἄλλους μισθοφόρους ποθῶ, ἔτι καὶ ἄλλους μύστας ζητῶ. εὐρυχωρός ἐστι καὶ μέγας ὁ παράδεισος τῶν ἐμῶν ἐντολῶν· πάντας τοὺς πιστεύσαντάς μοι χωρεῖ. πάντας τοὺς φιλαρέτους ὑποδεχόμενος.

ἐν

ἔτι πλατύτερος γίνεται. τί οὖν ποιήσω; πόθεν πληρώσω τοὺς ἐμοὺς περιβόλους; πόθεν πλείονας ἀποσκάφους περιγράψομαι; ἐξέλθω πάλιν εἰς τὰς τριόδους αὐτῶν· ἐξέλθω πρὸς τοὺς πλανωμένους τὴν ἑκούσιον πλάνην· ἐξέλθω πρὸς τοὺς ῥαθύμους· ἐξέλθω πρὸς τοὺς ἀπόρους ὁ εὔπορος· ἵνα τοὺς ἀπόρους εὐπόρους ἐργάσωμαι. ἐξέλθω πάλιν πρὸς τὴν τῶν ἐργατῶν συλλογήν· ἐγὼ τὸ ὀφειλόμενον ποιήσω· καλέσω καὶ πάλιν τοὺς πένητας· ἐμὸν ἐστι τὸ προτρέψαι· ἐκείνων τὸ πεισθῆναι· ἐμόν ἐστι τὸ θελῆσαι δοῦναι μισθόν· ἐκείνων ἐστὶ τὸ θελῆσαι λαβεῖν. ἐὰν ὑπακούσωσί μοι καὶ ἐμοὶ καὶ ἑαυτοῖς χαριοῦνται. ἐὰν δὲ παρακούσωσί μοι, ἑαυτοὺς ζημιώσουσιν· ἐμοὶ γὰρ οὐ λείψουσιν γεωργοὶ δυνάμενοι περισκάψαι, καὶ περιβοθρεῦσαι καὶ περικλαδεῦσαι τὰ κλήματα· οὐ δύναται ὁ ἐμὸς ἀμπελὼν μένειν κεχερσωμένος ἢ ἄκαρπος. καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν εἶδεν ἄλλους ἐν τῇ ἀγορᾷ ἀργούς· κἀκείνοις εἶπεν, ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου· καὶ ποῦ ἦτε πρωΐ; ποῦ ἦτε τὰς προλαβούσας ἡμέρας; πῶς οὐκ ἐζητήσατέ με τὸν εἰς ζήτησιν ὑμῶν ἀφικόμενον; πῶς οὐκ ὠρθρίσατε πρὸς τὸ συμφέρον ὑμῖν; οὕτως ἀγνοεῖτε τῆς εὐσεβείας τὰς ἀκτῖνας, ὅτι τὴν ἡμέραν νύκτα νομίζετε, καὶ λάμποντος τοῦ φωτὸς τῆς ἀληθείας, ὑμεῖς τί καρηβαρεῖτε καὶ νυστάζετε; νῦν γοῦν ἐξυπνίσθητε· νῦν γοῦν γρηγορήσατε· νῦν γοῦν ἐπιστρέψατε· νῦν γοῦν σωφρονήσατε· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου· βλέπετε πῶς ὑμᾶς ἀγαπῶ· οὐ περιώρισα τῷ ὄρθρῳ τὸ κήρυγμα· οὐκ ἀπετείχισα τοῖς δευτέροις τὴν πρόσοδον· οὐ περιέκλεισα τῇ πρώτῃ κλήσει τὴν ὑμετέραν ἐπιστροφήν· πᾶσαν ὥραν ὑμῖν ἐχαρισάμην πρὸς μετάνοιαν· πᾶσαν ἡλικίαν ἐναγκαλίζομαι· κἂν βρέφη προσενεχθῇ μοι, χαίρων προσίεμαι· ἐγὼ γάρ εἰμι τῶν βρεφῶν δημιουργός, καὶ πατὴρ, καὶ μήτηρ, καὶ τροφεὺς, καὶ τροφή· κἂν παῖδες ὑποψελλίζοντες προσφύγωσιν, ἥδομαι· κἂν νεώτεροι προσχωρήσωσιν, μᾶλλον εὐφραίνομαι· κἂν ἄνδρες τέλειοι προσδράμωσιν, ὑποδέχομαι· πάντας τοὺς μετὰ πίστεως προστρέχοντας ὡς ἀδελφοὺς ἐμοὺς περιπτύσσομαι· οὐ λογίζομαι τὴν παρελθουσῶν ὡρῶν τὴν ζημίαν· ἐὰν ἴδω προθυμίαν ταλαντευομένην τῇ ῥαθυμίᾳ, οὐ μειῶ τῆς ἡμέρας τοὺς μισθούς· ἐὰν τοὺς προφθάσαντας ὑμᾶς ἐπιφθάσαι σπουδάζητε. ἀφέτε τὸν ἀμπελῶνα τῶν Ἰουδαίων τὸν ἀγνώμονα, τὸν ἀχάριστον, τὸν ὄξος μόνον ἐπιστάμενον γεωργεῖν· καταλείψατε τὴν ἄμπελον, τὴν ἐξ Αἰγύπτου μεταφυτευθεῖσαν, καὶ τῆς Αἰγυπτιακῆς εἰδωλολατρείας τὴν πικρίαν περιφέρουσαν, καὶ βότρυν πικρίας μαθοῦσαν βλαστάνειν τῷ φυτουργῷ, καὶ πρὸς τὸν ἐμὸν ἀμπελῶνα μετάστητε· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν· οὐκ εἰμὶ ἄδικος, κατὰ φύσιν δίκαιος πέφυκα· οὐκ εἰμὶ πλεονέκτης ὁ κατὰ τῆς πλεονεξίας νόμους ἐκθέμενος· οὐκ εἰμὶ ἀγνώμων περὶ τοὺς ἀγνώμονας δούλους· οὐκ εἰμὶ μικρόλογος ἢ μικρόψυχος περὶ τοὺς μεγαλοψύχους περίειμι· δώσω ὑμῖν μισθοὺς παραμετροῦντας τοὺς πόνους· χορηγήσω δωρεὰς νικώσας τοὺς ἱδρῶτας ὑμῶν· πάλιν ἐξῆλθεν περὶ τὴν ἕκτην καὶ ἐνάτην ὥραν, καὶ ἐποίησεν ὡσαύτως· οὐ καταλιμπάνω καιρὸν οὐδένα· σαγηνεύω τοὺς θέλοντας, καὶ οὐ κάμνω τοὺς κάμνοντας ἐν τῇ ἁμαρτίᾳ πρὸς δικαιοσύνην καλῶν. ἐξῆλθον ἅπαξ καὶ θηρεύσας ὑπέστρεψα· ἐξῆλθον δεύτερον, καὶ ζωγρήσας ἀνέκαμψα. ἐξῆλθον τρίτον καὶ πλουτήσας ἐπανελήλυθα· ἐξῆλθον τέταρτον περὶ τὴν ἐνάτην ὥραν, καὶ λαβὼν ἥκω τινάς· ὅσον συνεχῶς ποιοῦμαι τὸν δρόμον, τοσοῦτον θερμότερον ἀναφλέγομαι τῷ πόθῳ· ὅσους ἂν προσαγάγωμαι, τοσούτους ἄλλους ποθῶ· κἀκείνους εὑρὼν, ἑτέρους ἐπιζητῶ· θέλω γὰρ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργούς· οὐ παύομαι γυμνῶν τὸν διάβολον, ἕως ἂν ὁ βίος οὗτος παρείη. οὐ παύσομαι λῃστεύων τὸν θάνατον τὸν δεινὸν κλέπτην τῆς ἀνθρωπότητος· οὐκ ἀνέχομαι τοὺς ἀπὸ γνώμης οἰκείας γενομένους θνητοὺς, μὴ μεταβαλεῖν πρὸς ἀθανασίαν, ἕως ἂν τῆς αὐτῶν τελευταίας ἀναπνοῆς. διὰ τοῦτο οὐδὲ τῆς ἑνδεκάτης ὥρας καταφρονῶ· διὰ τοῦτο προσεδρεύω ταῖς πύλαις τοῦ ᾅδου, ἵνα δυνηθῶ τινας ἀπὸ τοῦ θανάτου μεταστῆσαι πρὸς τὴν ζωήν· περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργοὺς, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; ἐκκλησίας οὐκ ἔχετε; προφήτας οὐκ ἔχετε; ἀποστόλους οὐκ ἔχετε; μάρτυρας οὐκ ἔχετε; θείας γραφὰς οὐκ ἔχετε; πνευματικὸν ἔργον οὐδέν; τί οὖν ἑστήκατε ὧδε ὅλην τὴν ἡμέραν ἀργοί; οὐ βλέπετε τὸν ἥλιον, τὸν τεταγμένον δρόμον ἀνύοντα, οὐ βλέπετε τὴν σελήνην διακονοῦσαν τῷ κτίσαντι; οὐ βλέπετε τὴν κτίσιν δουλεύουσαν τῷ ποιητῇ; οὐ βλέπετε τῶν στοιχείων ἕκαστον ἐργαζόμενον τὸ ἔργον, δι' ὅπερ ἐγένετο; διὰ τί οὖν ὑμεῖς μόνοι τῇ ἀργίᾳ τὴν φύσιν ὑβρίζετε; διὰ τί στήλας μιμεῖσθε νεκράς; οὐκ ἔχετε ὀφθαλμοὺς, ἵνα βλέποντες τοῦ κόσμου τὸ κάλλος τὸν κοσμοποιὸν εὐφημήσητε; οὐκ ἔχετε στόμα, ἵνα τὰς γλώσσας ὑμῶν πρὸς ὑμνῳδίας κινήσητε; οὐκ ἔχετε χεῖρας, ἵνα τὴν ἐλεημοσύνην ἐργάσησθε;

A adhuc fit latior. Quid igitur faciam? unde mea ſepta complebo? unde plures accenſos invitabo? exibo rurſus in trivia ipſorum: exibo ad eos, qui ſpontaneo errant errore: axibo ad negligentes: exibo ad inopes opulentus, ut inopes reddam opulentos, exibo rurſus ad operarios colligendos, ego quod debetur, præſtabo: advocabo rurſus etiam pauperes, meum eſt cohortari, illorum parere: meum eſt dare velle mercedem, illorum eſt velle accipere, ſi mihi paruerint, & mihi & ſibi ipſis gratificabuntur, quòd B ſi mihi non obediant, ſemetipſos damno afficient: nam mihi nequaquam deerunt agricolæ, qoi circumfodere, & ſcrobibus cingere poſſint, & palmites putare: inculta vinea mea vel ſterilis permanere non poteſt. Et egreſſus circa horam tertiam vidit alios ſtantes in foro otioſos, & dixit illis, Ite & vos in vineam meam. Ubi quæſo mane fuiſtis? ubi ſuperioribus diebus fuiſtis? Cur non me quæſiviſtis, qui ad vos quærendos exieram? Cur non ad utilitatem veſtram mane ſurrexiſtis? adeone pietatis ra- C dios ignoratis, ut diem eſſe noctem arbitremini, & affulgente lumine veritatis, vos caligatis & dormitatis? nunc ſaltem expergiſcimini, nunc ſaltem evigilate: nunc ſaltem convertimini, nunc ſaltem ſobrii eſtote. *Ite & vos in vineam meam.* Videte quantum vos diligam: matutino tempore prædicationem Evangelii non circumſcripſi: ſecundis aditum non obſtruxi; converſionem veſtram prima vocatione non circumcluſi, quamvis horam ad pœnitentiam vobis indulſi; quamvis ætatem obviis ulnis ex- D cipio: licet infantes mihi offerantur, lætus admitto: nam ego infantium creator ſum, & pater, & mater, & altor, & alimentum: ſive pueri ad me balbutientes confugiant, illis delector: ſive juniores accedant, majori voluptate perfundor: ſive perfecti viri accurrant, ſuſcipio: omnes cum fide accurrentes tanquam fratres meos complector. præteritarũ horarum damni rationem non habeo, ſi ſtudium & alacritatem animi videam, ignaviæ præponderantem: ſi eos qui vos ante verterunt, aſſequi E ſtudueritis, de diurna mercede quicquam non detraho. Deſerite vineam Judæorum ingratam, immemorem beneficii, quæ ſolum acetum novit progignere: derelinquite vineam de Ægypto translatam, & idololatriæ Ægyptiacæ acerbitatem ſecum circumferentem, quæ botrum amaritudinis vinitori didicit germinare: atque ad vineam meam tranſite, & quod juſtum fuerit, dabo vobis. Non ſum injuſtus, natura ſum juſtus: non ſum avarus, qui adverſus avaritiam leges tuli: non ſum in- A gratus adverſus ingratos ſervos: non ſum parcus aut puſillanimis, magnanimos quoſvis ego ſupero: mercedem vobis laboribus majorem perſolvam, dona quæ ſudores veſtros vincant, impertiar. *Iterum exiit circa ſextam & nonam horam, & fecit ſimiliter*: nullum tempus omitto: omnes volentes ſagena irretio, neque in iis qui in peccatis defatigati ſunt, ad juſtitiam vocandis defatigor, ſemel egreſſus ſum, & venatus redii: iterum ſum egreſſus, & auctus præda reverti: egreſſus ſum tertio, & B ditatus reveni: quarto loco circa horam nonam exivi, & nonnullis captis advenio, quanto frequentius revertor, tanto ardentiori deſiderio inflammor: quo plures adduco, eo plures alios exopto: & illos nactus, alios ruſum requiro, omnes enim homines volo ſalvos fieri, & ad agnitionẽ veritatis venire. *Circa undecimam autem horam exiit, & invenit alios ſtantes otioſos.* Non ceſſo diabolum ſpoliare, quandiu vita iſta ſuperfuerit: non ceſſabo mortem deprædari ſævum generis humani furem: C non poſſum non eos qui proprio arbitratu mortales ſunt facti, ad immortalitatem traducere uſque dum extremum ſuum ſpiritum exhalarint. Propterea ne undecimam quidem horam contemno: propterea foribus inferorum aſſideo, ut aliquos ante mortem ad vitam poſſim transferre. Circa undecimam autem horam exiit, & invenit alios ſtantes otioſos, & dicit illis: *Quid hic ſtatis tota die otioſi?* an Eccleſias non habetis? Prophetas non habetis? Apoſtolos non habetis? martyres non habetis? ſcri- D pturas divinas non habetis? ſpirituale oullum opus? Quid ergo ſtatis hîc tota die otioſi? non Solem videtis ſtatum ſuum curſum peragentem? non Lunam videtis creatori ancillantem? non creaturam videtis, conditori ſervientem? non elementorum unumquodque ſuum opus exequi videtis, cujus cauſa in lucem eſt editum? cur igitur vos ſoli naturam inertia deturpatis? cur columnas cippóſque mortuos imitamini? non manus habetis, ut eleemoſynam impertiatis? non oculos habetis, ut E pulchritudinem mundi videntes, opificem mundi celebretis? non os habetis ut linguas veſtras ad concinendos hymnos moveatis,

non pedes habetis ut curſus animis utiles decurratis? *Quid hic ſtatis tota die otioſi? Illi autem dicunt ei, Nemo nos conduxit.* Ejuſmodi ſunt ii qui excuſant excuſationes in peccatis: qui præſens differunt in futurum: qui dicunt, Sine modò, & cùm juſſerit mihi Deus, tunc baptizabor, hoc mihi paſcha remitte, & in futuro illuminabor. Ejuſmodi ſunt qui dicunt, *Nemo nos conduxit.* Quid verò ipſis reſpondit is qui procraſtinationes eorum, qui differunt gratiam, ſuperat benignitate? *Ite & vos in vineam.* Non eorum mendacia verba redarguit, non diſſimulatos erroneorum morum ſermones infamavit, neq; negligentes his compellavit. Quid dicitis, quia nemo nos conduxit? cur negligentiæ mendacium quoque aſſuitis? nemo vos conduxit: non vos invitarunt Prophetæ? non vos cohortati ſunt Apoſtoli? nónne ad vos ego per meipſum adveni? nónne ſæpenumero vocavi, vos autem non obediſtis? nónne me cæteros ex vobis conducentem vidiſtis & paciſcentem cum illis? cur non igitur imitari voluiſtis eos qui mihi parebant, ſed ad ſenectutem uſque ſpectatores manſiſtis? nihil horum dixit Salvator, ſed, Ite & vos in vineam meam, admitto & ſenes, qui opus facere cupiunt: admitto & canos pietate colluſtratos, admitto & tremula membra fide roborata; Lubenter video ſenes ſcipiones ſimul & cruces tenentes. Ite & vos in vineam meam. Diabolo juventutem obtuliſtis, mihi ſaltem ſenectutem commodate: inimico robur corporis largiti eſtis, mihi ſaltem inutilem ætatem concedite; ſub tyranno toto tempore vitæ, prout illi placuit, ſtipendia meruiſtis, mihi legitimo Regi quod reliquum eſt temporis operam date: efficiamini fideles, ante quam mortui efficiamini; Immortalitatis ſtolam ante mortem accipite: voſmetipſos ante obitum immortalibus illis exequiis gratiæ ſepelite: currite, feſtinate, ante veſperam intra vineam reperiri: contendite ut derelinquat vos intus ſol occidens. Si ante Solis occaſum in amatorum meorum numerum vos retuleritis, divinitatis meæ gloriam, ut lucis amatores videbitis, ſi cum illis qui vocati ſunt, è vinea egreſſi fueritis, tametſi non laboraveritis, quaſi laboraſſetis remunerabor, ſi vos extra diverſorium ſtantes mortis nox comprehenderit, non jam amplius vos habere amicorum loco poſſum, mortuus namque non credit: mortuus non confitetur, mortuus non operatur, neque creditur illi myſterium: mortuus temperantiam non operatur: mortuus repoſcere mercedem non poteſt: mortuus non ſignatus, vel etiam ante judicium condemnatus eſt; vivus & ſanus laudabit Dominum: e-
Matt. 20, 8. juſmodi mortuus poſt mortem etiam vivit: ejuſmodi mortuus poſt ſepulturam iterum floret. *Ite & vos in vineam*: dum exiguũ adhuc vitæ ſpatium reſtat, negotiamini: ne expectetis, ut morbi neceſſitas arbitrii veſtri coronam accipiat, nolite ſub tempus mortis viaticum vobis immortalitatis mercari: in vita vitam negotiamini: dum ſani eſtis, & ſobrii, talentum ſuſcipite, ut & quæſtum ac lucrum colligatis. *Ite & vos in vineam, & quod juſtum fuerit, accipietis*: & ſupra id quod juſtum eſt, accipietis, tantùm pœnitentiam agite: tantùm accedite: tantùm mecum verſamini, ne cohortationẽ meam contemnatis: nullus enim qui mihi crediderit, non beneficio auctus: neque qui mihi miniſtraverit, adhuc ullos egenus relictus eſt. Ita paterfamilias domoſtitus vineam iſtã explevit: *Cùm ſerò autem factum eſſet*: cùm jam vita præſens tanquam dies ſenſim effluxiſſet: cùm jam longa nox mortis advenillet: cùm mortuorum reſurrectio tanquam diluculum, cui veſpera minimè ſuccedit, exorta eſſet, *dicit Dominus vineæ procuratori ſuo, Voca operarios*: voca omnes qui ex Adamo prognati ſunt: voca Abel, qui propter ſacrificium eſt mactatus. voca Enoch qui placuit, & translatus eſt: voca Noë naufragium paſſæ naturæ gubernatorem egregium: voca fideliſſimum Abrahã, Dei amatorem; qui viſceribus ſuis bellum intulit: qui fidem ſervavit: voca Joſeph operarium continentiæ, voca Patriarchas omnes, voca Prophetas: voca Eliam qui rectè currũ moderatus eſt, & auriga curruum igneorũ eſt factus, voca novi teſtamenti lumina: voca Apoſtolos novi teſtamenti luminaria, voca martyres, eóſque, qui mortem meam, quam ipſorum cauſa pertuli, ſunt imitati: voca Stephanum, qui propter me lapidatus eſt: voca Barlaã cui propter vineæ cuſtodiam exuſta eſt dextera: voca omnes qui egregiè laborarunt: voca eos qui mea prædia ſtrenuè coluerunt, & redde illis mercedem, aperi meos theſauros: aperi mea promptuaria: aperi ſplendida regni mei palatia, profer regales coronas: profer divina bravia: nulli gazæ excimeliis meis parcas? non enim iſti ſuis animabus propter me pepercerunt, corona capita eorum, qui, uti volui, decertarunt? projice præmia in manus quæ laborarunt, nullus hinc non coronatus excedat?

οὐκ ἔχετε πόδας ἵνα δράμητε δρόμους ψυχωφελεῖς; τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; μέχρι πότε τὴν ἐμὴν διαστοίαν ἐκτρέπεσθε; τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; οἱ δὲ λέγουσιν αὐτῷ, Οὐδεὶς ἡμᾶς ἐμισθώσατο. τοιοῦτοί εἰσιν οἱ προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, οἱ τὸ παρὸν εἰς τὸ μέλλον ὑπερτιθέμενοι, οἱ λέγοντες, ἄφες ἄρτι, καὶ ὅτε καλέσει με ὁ Θεὸς, τότε βαπτίσομαι· ἔνδοθέν μοι ἐστὶ τὸ πάσχα, καὶ εἰς τὸ μέλλον φωτίζομαι. τοιοῦτοί εἰσιν οἱ λέγοντες, οὐδεὶς ἡμᾶς ἐμισθώσατο. ἀλλὰ τί πρὸς αὐτοὺς ὁ τῇ χρηστότητι νικῶν τὰς ὑπερθέσεις τῶν ἀναβαλλομένων τὴν χάριν; ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. οὐκ ἤλεγξεν τὴν ψευδολογίαν αὐτῶν· οὐκ ἐστηλίτευσε τὴν εἰρωνείαν τῶν πεπλανημένων ἠθῶν· οὐκ εἶπε πρὸς τοὺς ῥᾳθύμους, τί λέγετε, ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο; τί τῇ ῥᾳθυμίᾳ καὶ τὸ ψεῦδος συρράπτετε· οὐδεὶς ὑμᾶς ἐμισθώσατο; οὐ παρεκάλεσαν ὑμᾶς οἱ προφῆται; οὐ προετρέψαντο ὑμᾶς οἱ ἀπόστολοι; οὐ παραγενόμενον ἐγὼ δι' ἐμαυτοῦ πρὸς ὑμᾶς; οὐκ ἐκάλεσα πολλάκις, ὑμεῖς δὲ οὐχ ὑπηκούσατε; οὐκ εἴδετέ με μισθούμενον τοὺς ἑταίρους ὑμῶν, καὶ ποιοῦντα μετ' ἐκείνων σύμφωνα; διὰ τί οὐκ ἐβουλήθητε μιμήσασθαι τοὺς πεισθέντας μοι, ἀλλ' ἐμείνατε μέχρι γήρως κατάσκοποι; τούτων οὐκ εἶπεν οὐδὲν ὁ Σωτὴρ, ἀλλ' ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. δέχομαι καὶ γέροντας ἐργατεύσασθαι θέλοντας· δέχομαι καὶ πολιὰς εὐσεβείᾳ λαμπρυνομένας. δέχομαι καὶ τρέμοντα μέλη πίστει νευρούμενα· ἡδέως ὁρῶ γέροντας κρατοῦντας βακτηρίας ὁμοῦ καὶ σταυρούς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου· τῷ διαβόλῳ τὴν νεότητα προσενηνόχατε· ἐμοὶ κἂν τὸ γῆρας δανείσατε· τῷ ἐχθρῷ τὴν ἰσχὺν ἐχαρίσασθε· ἐμοὶ κἂν τὴν ἄχρηστον ἡλικίαν ἐπιδότε· τῷ τυράννῳ τὸν χρόνον ὅλον, ὡς ἐκεῖνος ἠθέλησεν, ἐστρατεύσασθε· ἐμοὶ τῷ ἐννόμῳ βασιλεῖ τὸν ἐπίλοιπον χρόνον σχολάσατε. γίνεσθε πιστοὶ, πρὶν γένησθε νεκροί· λάβετε πρὸ τοῦ θανάτου τὴν τῆς ἀθανασίας στολήν· ἑαυτοὺς πρὸ τῆς τελευτῆς ἐνταφιάσατε τοῖς ἀφθάρτοις ἐνταφίοις τῆς χάριτος· δράμετε, σπεύσατε, πρὸ τῆς ἑσπέρας ἔσω τοῦ ἀμπελῶνος εὑρεθῆναι· φιλοτιμήσατε ἵνα ἔνδον ὑμᾶς καταλείπῃ δύνων ὁ ἥλιος. ἐὰν πρὸ ἡλίου δυσμῶν ἑαυτοὺς συναριθμήσητε τοῖς ἐμοῖς ἐρασταῖς, ὄψεσθε τῆς ἐμῆς θεότητος τὴν δόξαν, ὡς φωτὸς ἐρασταί. ἐὰν μετὰ τῶν κεκλημένων ἐκ τοῦ ἀμπελῶνος ἐξέλθητε καὶ μὴ καμόντας ὑμᾶς ὡς καμόντας ἀμείψομαι· ἐὰν ἔξω τῆς αὐλῆς ἱσταμένους ὑμᾶς καταλάβῃ τοῦ θανάτου ἡ νὺξ, οὐκ ἔτι λοιπὸν ὑμᾶς ὡς φίλους ἔχειν ἀνέχομαι· νεκρὸς γὰρ οὐ πιστεύει· νεκρὸς οὐχ ὁμολογεῖ· νεκρὸς οὐκ ἐργάζεται καὶ πιστεύεται μυστήριον· νεκρὸς οὐκ ἐργάζεται σωφροσύνην. νεκρὸς οὐ δύναται μισθὸν ἀπαιτεῖν· νεκρὸς ἀσφράγιστος καὶ πρὸ τῆς κρίσεως κατακέκριται· ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν Κύριον· ὁ τοιοῦτος νεκρὸς καὶ μετὰ θάνατον ζῇ· ὁ τοιοῦτος νεκρὸς, μετὰ τὴν ταφὴν πάλιν ἀνθεῖ. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· ἕως ἔχετε μικρὰν ἔτι προθεσμίαν ζωῆς, πραγματεύσασθε· μὴ περιμείνητε τῆς ἀρρωστίας τὴν ἀνάγκην λαβεῖν τὸν τῆς ὑμετέρας γνώμης στέφανον· μὴ βουληθῆτε παρὰ τὸν καιρὸν τοῦ θανάτου μεταβαλέσθαι τὰ τῆς ἀθανασίας ἐφόδια· ἐν ζωῇ τὴν ζωὴν ἐμπορεύσασθε· ἐν ὑγείᾳ καὶ νήψει τὸ τάλαντον ὑποδέξασθε, ἵνα καὶ τὴν ἐργασίαν κερδάνητε. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε· καὶ ὑπὲρ τὸ δίκαιον λήψεσθε· μόνον μετανοήσατε· μόνον προσέλθητε· μόνον γένεσθε μετ' ἐμοῦ· οὐ μέμψεσθέ μου τὴν προτροπήν· οὐδεὶς γὰρ ἐμοὶ πιστεύσας ἀπῆλθεν ἀχάριστος. οὐδεὶς ἐμοὶ διακονήσας ἔμεινεν ἔτι πτωχός. οὕτως ὁ οἰκοδεσπότης τοῦ εἰκοστοῦ τὸν ἀμπελῶνα τοῦτον ἀνεπλήρωσεν. ὀψίας δὲ γενομένης, ἤδη τῆς παρούσης ζωῆς ὡς ἡμέρας ὑπορρευσάσης, ἤδη παραγενομένης τῆς μακρᾶς τοῦ θανάτου νυκτός· ἤδη τῆς ἀναστάσεως τῶν νεκρῶν ἀνατειλάσης, ὥσπερ ὄρθρου τινὸς ἑσπέραν μὴ κεκτημένου διάδοχον, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας· κάλεσον πάντας τοὺς ἐξ Ἀδάμ· κάλεσον τὸν Ἄβελ, τὸν διὰ θυσίαν τυθέντα· κάλεσον τὸν Ἐνὼχ τὸν εὐαρεστήσαντα, καὶ μετατεθέντα· κάλεσον τὸν Νῶε τὸν τῆς ναυαγησάσης φύσεως καλὸν κυβερνήτην· κάλεσον τὸν πιστότατον Ἀβραάμ, τὸν φιλόθεον μᾶλλον ἢ φιλότεκνον· τὸν στρατευσάμενον κατὰ τῶν σπλάγχνων αὐτοῦ, τὸν τηρήσαντα τὴν πίστιν· κάλεσον τὸν Ἰωσὴφ τὸν τῆς σωφροσύνης ἐργάτην· κάλεσον πάντας τοὺς πατριάρχας· κάλεσον τοὺς προφήτας· κάλεσον τὸν Ἠλίαν τὸν καλῶς ἡνιοχήσαντα καὶ γενόμενον ἡνίοχον πυρίνων ἁρμάτων· κάλεσον τοὺς ἀποστόλους, τοὺς τῆς καινῆς διαθήκης φωστῆρας· κάλεσον τοὺς μάρτυρας, καὶ τοὺς μιμησαμένους μου τὸν ὑπὲρ αὐτῶν θάνατον· κάλεσον Στέφανον τὸν δι' ἐμὲ λιθασθέντα. κάλεσον Βαρλαὰμ τὸν διὰ φυλακὴν τοῦ ἀμπελῶνος κατακαύσαντα τὴν δεξιάν. κάλεσον πάντας τοὺς καλῶς κοπιάσαντας· κάλεσον τοὺς τὰ ἐμὰ καλλιεργήσαντας κτήματα, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν. ἄνοιξον τοὺς ἐμοὺς θησαυρούς· ἄνοιξον τὰς ἐμὰς ἀποθήκας· ἄνοιξον τὰ φαιδρὰ τῆς ἐμῆς βασιλείας βασίλεια· προκόμισον τοὺς βασιλικοὺς στεφάνους· προκόμισον τὰ θεῖα βραβεῖα· μὴ φείσῃ μηδενὸς τῶν ἐμῶν κειμηλίων. οὐκ ἐφείσαντο γὰρ οὗτοι τῶν οἰκείων ψυχῶν δι' ἐμέ· στεφάνωσον τὰς κεφαλὰς τῶν ἀθλησάντων ὡς ἠβουλόμην ἐγώ. ἔμβαλε τὰ βραβεῖα ταῖς καμούσαις χερσίν· μηδεὶς ἀστεφάνωτος ἐντεῦθεν ἐξέλθῃ.

μηδεὶς

μηδεὶς ἀγέραστος ὑποστρέψῃ· μηδεὶς ἀποστερηθῇ τῶν ἀμοιβῶν· πάντες πλουτήσωσιν· πάντες χορεύσωσιν, καὶ ἴδωσιν ἐπὶ ἴσοις ἐμισθωσάμην αὐτούς· ἴδωσι ποίων οἱ πειθόμενοί μοι τυγχάνουσιν ἀγαθῶν· ἴδωσι ποίων δωρεῶν ἑαυτοὺς ἀποστεροῦσιν οἱ καλούμενοι, καὶ παραγενέσθαι μὴ βουλόμενοι. Ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων· τοὺς ἐσχάτους πρώτους εὐφραίνων ταῖς δωρεαῖς· οὗτοι γὰρ μάλιστα χρείαν ἔχουσι τῆς ἐμῆς ἀγαθότητος. Ἐκεῖνοι μέν τοι οἱ πρώϊθεν εὐθέως ἅμα τῇ ἡμέρᾳ τῶν πόνων ἀρξάμενοι, αὐτὴν τὴν ἡμέραν καὶ τὰς ὥρας, καὶ τὰς ἀρετὰς, καὶ τοὺς ἀγῶνας, καὶ τὰς συνθήκας συνηγόρους ἔχουσιν· οὗτοι δὲ ἔσχατοι, πάντων τούτων ἔρημοι καθεστῶτες, πρὸς μόνην τὴν φιλανθρωπίαν τὴν ἐμὴν ἀποβλέπουσιν· τούτοις οὖν τοῖς ἐσχάτοις πρώτοις ἐπίδος τὰς ἀμοιβάς. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον, καὶ τοῦτο περιχαρῶς ἐν ταῖς ἑαυτῶν χερσὶν περιστρέφοντες ἔλεγον· ἐκινδυνεύσαμεν ἀπιστεῖν τοῖς ἀγαθοῖς· ᾔδησαν γὰρ ὅτι οὐδὲν ἄξιον ἔλαβον ἐργασάμενοι. Ὁρῶντες δὲ τὸ δῶρον τοῖς ὀφθαλμοῖς, καὶ ταῖς παλάμαις τῶν χειρῶν κατέχοντες, ἐσκίρτων, ἐπανηγύριζον ἐπὶ τοῖς παρ' ἐλπίδα καλοῖς· ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον· λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες· οὗτοι οἱ ἔσχατοι. Ὁ δεσπότης τῷ λόγῳ παρήγαγεν, οὐχ ἵνα τοῖς τιμωμένοις φθονήσωσι· χαίρουσι γὰρ, οὐκ ἀγανακτοῦσι πάντων τῶν σωζομένων οἱ ὅσιοι· ἀλλ' ἵνα δείξῃ τῆς οἰκείας φιλανθρωπίας τοιαύτην οὖσαν, ὥστε καὶ τοῖς ἀφθόνοις, εἰ ἐνεχώρει, φθόνον τεκεῖν. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες, οὗτοι ἔσχατοι, οὗτοι οἱ γεγηρακότες, οὗτοι οἱ μόλις τὴν σὴν δεσποτείαν ἐπιγνόντες· οἱ μόλις τὰ γόνατα πρὸς τὴν σὴν δεσποτείαν κάμψαντες· οἱ μόλις τοῖς ὑποτρέμουσι δακτύλοις τὸ σωτήριον σου σταυροῦ σύμβολον τοῖς μετώποις ἐπιχαράξαντες· οἱ μὴ βαστάσαντες κοφίνους πειρασμῶν· οἱ μὴ κρατήσαντες δικέλλας συμφορῶν· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν· ἴδον μόνον τὸν σὸν ἀμπελῶνα τοῖς ὀφθαλμοῖς· ἡμῖν μόνοις ἐκοινώνησαν τῇ ἐργασίᾳ τὰς ὄψεις αὐτῶν ὑπέδειξαν, οὐ κατώρθωσαν πράξεις τινάς· μάρτυρες τῶν μόχθων, οὐ μέτοχοι γεγόνασιν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα· ἡμεῖς ἐφλέχθημεν ταῖς ἡδοναῖς, ἀλλ' οὐκ ἐσβέσθημεν ταῖς ἀρεταῖς· ἡμεῖς ἐδιώχθημεν διὰ σὲ, ἡμεῖς μυρίους ὑπεμείναμεν πόνους· ἵνα τὴν σὴν οὐσίαν πλατύνωμεν, καὶ βαδίζομεν ἐντεῦθεν λαβόντες μισθοὺς ὁμοίους τοῖς μὴ κεκμηκόσιν ὁμοίως ἡμῖν· ὁ πόνος ἀνόμοιος, καὶ τὸ κέρδος παραπλήσιον· ὁ κόπος ἄνισος, καὶ τὸ κλέος ἐφάμιλλον· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, ἵνα μίαν ὥραν ἐγγύς σου κλαύσῃ γυνὴ πόρνη, καὶ λύσῃ τὰς τρίχας, ἃς ἔπλεκε πρὸ τούτου κακῶς, καὶ φιλήσῃ τοὺς ἀχράντους σου πόδας σώφροσι χείλεσι, καὶ προσενέγκῃ σοι τῷ οὐρανίῳ μύρον ἐπίγειον· ἔδωκας αὐτῇ προσηγορίαν θυγατρὸς καὶ παρθένου· ἵνα μίαν ὥραν ἐσταυρωμένος λῃστὴς, ἐπὶ τοῦ σταυροῦ σοι προσφύγῃ καὶ βοήσῃ· μνήσθητί μου Κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ὑπὲρ μόνης τῆς φωνῆς ταύτης ἀνέῳξας αὐτῷ τὸν παράδεισον· ἵνα μίαν ὥραν μετανοήσῃ Παῦλος ὁ διώκτης, ὁ πολέμιος εὐαγγελιστὴς ἀναδέδεικται· οὗτοι οἱ ἔσχατοι, μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Τί οὖν πρὸς τοὺς οὕτως διακειμένους ὁ φιλάνθρωπος Κύριος ἀποκριθεὶς ἑνὶ αὐτῶν εἶπεν; ἑταῖρε, οὐκ ἀδικῶ σε. Ὢ φιλανθρωπίας ἀνυπερβλήτου· ὁ δεσπότης ὑπὲρ τῶν δούλων τῷ δούλῳ δικάζεται. Ὁ κριτὴς ὑπὲρ τῶν κρινομένων ἀπολογεῖται τῷ κατηγόρῳ· ἑταῖρε, οὐκ ἀδικῶ σε, δίκασαί μοι κατὰ λόγον ἑταῖρε, καὶ μὴ ἀδίκως λυποῦ. Διαλέχθητί μοι νομίμως, καὶ μὴ παρανόμως δυσχέραινε· εἰπὲ τί ἠδικήθης αὐτὸς τιμηθέντος τοῦ συνδούλου σου; εἰπὲ τί ἐβλάβης αὐτὸς, συμβασιλεύοντος ἔτι τοῦ σοῦ ἀδελφοῦ; οὐκ ἔλαβες, δι' ὃ ἔκαμες; οὐχ ὑπεδέξω τῆς ἡμέρας ὅλης τέλειον τὸν μισθόν; οὐκ ἀπέλαβες, ὅπερ ἐπόθεις; τί οὖν ἄλλο πλέον ζητεῖς; οὐχὶ δηνάριον συνεφώνησάς μοι; ὑπόμνησον ἑαυτὸν τῶν ἐμῶν ὑποσχέσεων, ἐφ' αἷς ἐμισθωσάμην σε τὴν ἀρχήν· εἰ παρὰ τὰ συγκείμενα ἐποίησά τι, δικαίως ἀγανακτεῖς· εἰ δὲ τὰς συνθήκας ἐπλήρωσα, μάτην ἐγκαλεῖς τῷ ἀνεγκλήτῳ. Οὐχὶ δηνάριον συνεφώνησάς μοι; μή τι τῶν σῶν ἐμείωσα δωρεῶν; μὴ τὰ σὰ λαβὼν ἑτέροις προσέδωκα, μὴ τὴν σὴν δόξαν ἄλλοις ἀπένειμα; οὐχὶ τὴν ἐμὴν οὐσίαν, οἷς ἠθέλησα, κατεμέρισα; τί οὖν γογγύζεις βλαβεὶς ὡς δοῦλος, ὡς ἐλεύθερος τιμηθείς; τί οὖν γογγύζεις τοσοῦτον ὠφεληθείς; τί φθονεῖς τοῖς σοῖς ἀδελφοῖς ἄφθονον ἔχων δεσπότην; ἆρον τὸ σὸν, καὶ ὕπαγε. Ἀρκέσθητι τοῖς παροῦσι· μὴ θέλε μόνος βασιλεύειν κεκλημένος μετὰ πολλῶν· ἀρκεῖ ἡ βασιλεία τῶν οὐρανῶν καὶ σοὶ, καὶ πᾶσι τοῖς ἀξίοις αὐτῆς. Θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· τῷ θελήματί μου τίς ἀνθέστηκε; Θεὸς ὁ δικαιῶν, καὶ τίς ὁ κατακρίνων; Θεὸς ὁ χορηγῶν, τίς ὁ λογοθετῶν; Θεὸς ὁ πλουτίζων, τίς ὁ γυμνῶσαι δυνάμενος; ὁ κριτὴς συνήγορος, τίς ὁ κατήγορος, ὁ δικαστὴς σύνδικος.

nullus non damnatus revertatur: nullus mercede privetur: omnes ditentur; omnes exultent: videant omnes quib⁹ pretiis à me conducti: videant qualia bona, qui mihi crediderint, cõſequantur: videant qualib⁹ donis ſeipſos privent, qui vocantur, nec volunt venire. *Et redde illis mercedem, incipiens à noviſſimis uſq; ad primos*, noviſſimos primos donis exhilarans: hi enim bonitate mea indigent maximè. Illi quidẽ. qui à manè ſtatim cum die prima luce labores inchoarunt, diem ipsũ, & horas, & virtutes, & certamina, & pacta conventa patronos habent, hi verò noviſſimi. omnibus iſtis deſtituti, oculos ſuos ad ſolam meam benignitatem convertunt: his ergo noviſſimis primis præmia largieris. *Et cum veniſſent qui circa undecimam horam venerant, acceperunt ſingulos denarios*; & hos ſumma cum lætitia in manibus ſuis verſantes, dicebant: Parum abſuit, quin de bonis diffideremus: noverant enim ſe eo quod acceperant nihil operis dignum feciſſe, cùm autem oculis donum intuerentur, manibúſque munus tractarent, exultabant, gaudio triumphabant; quòd bona ſibi præter ſpem obveniſſent. *Venientes autem primi arbitrati ſunt, quòd plus eſſent accepturi: acceperunt autem & ipſi ſingulos denarios. Et accipientes murmurabant adverſus patremfamilias, dicentes: Hi noviſſimi*, &c. Dominus narrationi adjecit, non quò illis qui honoribus affecti erant, inviderent: gaudent enim non indignantur ſancti, ſi omnes ſalventur: ſed ut talem eſſe benignitatem ſuam demonſtret. ut etiam expertes invidiæ, ſi fieri poſſit, ad invidiam impellat Et accipientes murmurabant adverſus patremfamilias dicentes, Hi noviſſimi, hi ſenio confecti, hi qui via dum tuom agnovere dominatum; qui via dum genua coram tua majeſtate flexerunt, qui vixdum tremulis digitis ſuis ſalutaris crucis tuæ ſignum frontibus impreſſerunt, qui tentationum cophinos non geſtarunt, qui calamitatum ligones non tenuerunt: *Hi noviſſimi una hora fecerunt*: vineam tuam tantum oculis uſurparunt: nobis ſolo viſu ſuo conſortes extiterunt: operationis ſuæ oſtenderunt non perfecerunt actiones aliquas: teſtes laborum non participes fuerunt. *Et pares nobis illos feciſti, qui portavimus pondus diei & æſtum?* nos libidinibus incenſi fuimus, ſed virtutibus non ſumus extincti: nos propter te paſſi perſecutionem ſumus: nos ſexcentos labores tua cauſa exantlavimus, ut tuam ſubſtantiam amplificaremus, & acceptis præmiis ſimilibus iis qui non laborarunt, hinc diſcedimus, labor diſſimilis eſt, & conſimile lucrum: inæqualis moleſtia, & gloria æqualis. Hi noviſſimi una hora fecerunt, ut una hora prope te mulier meretrix ploret, & capillos reſolvat quos antea malè concinnabat, & immaculatos pedes tuos caſtis labris oſculetur. ac tibi cœleſti offerat unguentum terreſtre: filiæ ac virginis illi honorarium detuliſti: Ut una hora cruci affixus latro à cruce ad te confugiat, & clamet, Memento mei Domine, cùm veneris in regnum tuum: unius hujus vocis gratia paradiſum illi reſeraſti: Ut una hora pœnitentiam agat Paulus perſecutor, hoſtis Evangeliſta creatus eſt. Hi noviſſimi una hora fecerunt, & pares illos nobis feciſti, qui portavimus pondus diei & æſtum. Quid igitur ad eos ſic affectos benignus Dominus? reſpondens uni eorum dixit, *Amice, non facio tibi injuriam*. O præſtantiſſimam benignitatem! Dominus pro ſervis cum ſervo litigat, judex pro reis apud accuſatorem defenſionem ſuſcipit. Amice, non facio tibi injuriam: cùm ratione mecum judicio contende, amice, & ne injuſtè contriſteris: diſputa mecum legitimè, & ne illegitimè indigneris, dic, qua in re injuria affectus es ipſe, dum conſervus tuus honore cumulatus eſt? dic, qua in re læſus es ipſe, dum frater etiam tuos in regni tecum ſocietatem eſt aſcitus? nonne id accepiſti cujus gratia labores ſuſcepiſti? nónne quod optabas, retuliſti? quid igitur amplius quæris? *Nónne ex denario conveniſti mecum?* revoca tibi in memoriam promiſſa mea, quibus te à principio conduxi, ſi quid præter conventa commiſi, meritò indignaris: ſin autem pacta complevi, fruſtra inculpatum culpæ arguis Nónne ex denario conveniſti mecum? num res tuas arreptas aliis erogavi? num quippiam ex donis tuis imminui? num tuam gloriam cæteris impertivi? nónne facultates meas, quibus placuit, diviſi? quid ergo murmuras tanquam ſervus læſus, qui honore tanquam liber affectus es? quid ergo murmures tanto beneficio cumulatus? quid fratribus tuis invides cùm ab invidia dominum habeas alienum? *Tolle quod tuum eſt, & vade*: præſentibus contentus eſto: noli ſolus regnare qui cum multis vocatus es, regnum cœlorum & tibi & omnibus qui eo digni ſunt ſufficit. *Volo autem & huic noviſſimo dare ſicut & tibi*: Voluntati meæ quis reſiſtet: *Deus eſt qui juſtificat, quis eſt qui condemnet?* Deus eſt qui largitur, quis eſt qui rationem repoſcat? Deus eſt qui ditat, quis eſt qui ſpoliare poſſit? judex patronus

Matt. 20. 14.
Rom. 8. 34.

eſt

eſt, quis accuſator erit? diſceptator advocatus eſt, quis adverſarius reperietur? *Volo autem & huic noviſſimo dare ſicut & tibi.* Nō poſſum mea ſimulacra gloria deſtituta derelinquere: non poſſum meam imaginem deſpicere indigentem, mendicantem: non patior mecum non illos quoque regnare, quorum cauſa de cœlo deſcendi, volo dare huic noviſſimo ſicut & tibi; noviſſimè venit: hoc ego quoque probè novi; ſed mihi fidem obtulit, quæ præcedentem tarditatem excuſat, noviſſimè venit, ſed amorē oſtendit qualem amo; erravit tempore elapſo ſicut ovis, ſed paſtorem ovis agnovit, meus erat hic etiam quando vagabatur. Psal. 118,176. Noviſſimè venit: at per meum lavacrum tranſivit ſicut & tu: noviſſimè venit, at menſæ meæ ſicut & tu factus eſt particeps; noviſſimè venit; at omnem vineæ meæ decorem conſpexit; ligni vitæ plantam conſpexit; exoſculatus eſt ſpinas quibus fui propter ipſum coronatus: amplexatus eſt crucem, quam propter ipſum ſuſtinui: non poſſum eum qui me tantopere adamavit, qui ita credidit, non omni ſtudio, omni honore decorare: ſicut credidiſti, credidit; ſicut abundaſti, abundavit: ſicut adoraſti, adoravit: ſicut regnaſti, regnavit; ſicut laboraſti, non laboravit; verùm ego gratia defectum ſupplevi. Aut non licet mihi facere quæ volo in iis quæ mea ſunt? num enim res tuas expendo? res meas dilargior: num tuis ſumptibus munificentiam meam exerceo? de rebus meis pro mea auctoritate ſtatuo; num te voluntatis meæ curatorem conſtitui? mercenarium te aſſumpli à principio; num enim te meæ poteſtatis dominum deſignavi? ut benignus participem rerum mearum te feci. Si oculus tuus nequam eſt, videre nequit ea quæ oculus non vidit, neque auris audivit, aſpectu minimè inquinato eſt opus ad hæc myſteria contuenda: animo puro eſt opus ad intelligenda quæ pura ſunt. Vidiſtis quo pacto bonus ſit Dominus noſter: vidiſtis quo pacto iis qui diverſis temporibus acceſſerunt, unam autem fidem, & animi ſtudium, & converſationem oſtenderunt, paribus honoribus muneribúſque dignatus ſit: vidiſtis quo pacto noviſſimos etiam æquales fecerit primis propter abyſſum miſerationum ſuarum. Adducti eſtis ad benignum dominum; ipſe nunc etiam vos conduxit: ipſe vobis etiam dicit, Ite & vos in vineam: Deus eſt qui conducit, merces cœleſtis, opus ſalutare, vinea ſpecioſa: vineæ janua lavacri piſcina conſtituta eſt. divina gratia pro foribus aſtans piſcinæ tanquam elegans oſtiaria ad omnes qui per eam ingrediuntur, clamat. Hæc porta Domini, recens illuminati intrabunt per eam. Nos vobis nequaquam invidemus, ut qui poſtremo veneritis: & quibus tamen eadem gloria nobiſcum obvenerit: ſed cum ejus conſortibus tanquam cum fratribus exultamus, atque gratulamur, & ſalutem veſtram noſtram gloriam arbitramur. Itaque eum, qui vocavit vos, adamate: accipite facilis in vineam ingreſſus certum & erroris neſcium ducem, fidem: fides enim ad baptiſmi piſcinam quaſi optimus ductor viam præit: fides, naturæ anchora tempeſtate jactatæ, fides, humani generis tranquillus portus; fides, eorum quæ ſub oculos minimè cadunt, ſplendidum ſpeculum; fides, conſubſtantialis Trinitatis doctor exactus: fides, ut illa ſalutaria verba proferremus, effecit: Credo in unum Deum patrem omnipotentem. Credo, non ſcrutor: credo, non perſequor id quod comprehendi non poteſt: credo, non metior id quod immenſum eſt. Si credam, mente illuminor: ſi curioſè inquiram, tenebras rationi meæ offundo: ſi rectè credam, in cœlum attollor: ſi curioſè quæram, præcipitor in profundum. Credo in unum ac ſolum verum & Deum & patrem omnipotentem. Deos à Paganis per errorem confictos abnego: non enim cœlum incolit multitudo Deorum, unum ſolum Deum celebro: Arianiſmum odi: non dico, Erat tempus, cùm non erat pater: ſed Deum, ſemper Deum, ſemper patrem eundem prædico: qui ſic eſt pater, ut novit ipſe, credo in Dominum noſtrum Jeſum Chriſtum, filium ejus unigenitum, ex ipſo genitum ante omnia ſecula, ut ſolus ipſe, qui eſt genitus, novit: genitum non factum, genitum, non creatum, genitum, non conditum, eum qui ſine tempore è ſubſtantia paterna reſplenduit, non exteriùs advenientem alicunde, non ſuppoſitium, aut ſpurium filium, ſed genuinum ſplendorem genuini patris, inviſibilis formæ per omnia ſimilem figuram. Chriſtum novi filium Dei & patris ut Deum: Chriſtum novi filium ancillæ ſuæ ac matris, ut hominem, apparentem. Chriſtum novi hominibus conſubſtantialem, ut hominem ex homine. Chriſtum novi cœleſtem & terrenum: novi Chriſtum inviſibilem & viſum: novi Chriſtū non contrectabilem, & à Thoma contrectatum: Chriſtum novi millia multa verbo nutriviſſe, per fluctus iter feciſſe, dæmonibus imperaſſe, mortuos ſuſcitaſſe, atque miracula infinita virtute propriæ divinitatis edidiſſe. Chriſtum novi eſuriiſſe, ſitiviſſe, defatigatum fuiſſe, & angore correptum, ac ſudaſſe humanitatis natura. Chriſtū novi ut Deū paſſionis expertē: Chriſtū novi mortuū eſſe ac paſſionē carne ſubiiſſe. Chriſtū novi ſecūdum eū, qui

ὡς ἀντίδικος εὑρεθήσεται; θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. οὐ φέρω τοὺς ἐμοὺς ἀνδριάντας γυμνοὺς δόξης καταλιπεῖν· οὐ φέρω τὴν ἐμὴν εἰκόνα πτωχεύουσαν παριδεῖν· οὐ φέρω μὴ συμβασιλεῦσαί μοι καὶ τούτους, δι' οὓς κατῆλθον ἐκ τῶν οὐρανῶν· θέλω δοῦναι τούτῳ τῷ ἐσχάτῳ ὡς καὶ σοί. ἔσχατος ἦλθεν, οἶδα κἀγώ· ἀλλὰ προσήγαγέ μοι πίστιν ἀπολογουμένην περὶ τῆς γεγενημένης βραδύτητος, ἔσχατος ἦλθεν· ἀλλ' ἐπεδείξατο πόθον ὃν ποθῶ· ἐπλανήθη τῷ παρελθόντι χρόνῳ ὡς πρόβατον, ἀλλ' ἐπέγνω τὸν ποιμένα τὸ πρόβατον· ἐμὸς ὄντως καὶ ὅτε ἠρεμίζετο· ἔσχατος ἦλθεν, ἀλλὰ διὰ τῆς ἐμῆς κολυμβήθρας παρῆλθεν, ὥσπερ καὶ σύ· ἔσχατος ἦλθεν, ἀλλὰ τῆς ἐμῆς τραπέζης ἀπήλαυσεν ὥσπερ καὶ σύ· ἔσχατος ἦλθεν ἀλλ' εἶδέ μου πᾶσαν τοῦ ἀμπελῶνος τὴν εὐπρέπειαν· εἶδε τοῦ ξύλου τῆς ζωῆς τὸ φυτόν· κατεφίλησε τὰς ἀκάνθας, ἃς ἐστεφανοφόρησα δι' αὐτόν· περιεπτύξατο τὸν σταυρόν, ὃν ὑπέμεινα δι' αὐτόν· οὐ δύναμαι οὖν τὸν οὕτω με ποθήσαντα, τὸν οὕτω πιστεύσαντα, μὴ τιμῆσαι πάσῃ σπουδῇ καὶ τιμῇ· ὡς ἐπίστευσας, ἐπίστευσεν· ὡς εὐπόρησας, εὐπόρησεν· ὡς προσεκύνησας, προσεκύνησεν· ὡς ἐβασίλευσας, ἐβασίλευσεν· ὡς ἔκαμες οὐκ ἔκαμεν, ἀλλ' ἐγὼ τῇ χάριτι τὸ λεῖπον ἀνεπλήρωσα. ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; μὴ γὰρ τὰ σὰ δαπανῶ; τὰ ἐμὰ χορηγῶ· μὴ γὰρ ἐν τοῖς σοῖς φιλοτιμοῦμαι; ἐν τοῖς ἐμοῖς αὐθεντῶ· μὴ γὰρ ἐπίτροπόν σε τῆς ἐμῆς κατέστησα γνώμης; μισθωτόν σε ἔλαβον ἐξ ἀρχῆς· μὴ γὰρ κύριόν σε τῆς ἐμῆς ἐξουσίας ἐχειροτόνησα; ὡς φιλάνθρωπος κοινωνὸν ἐποιησάμην τῶν ἐμαυτοῦ. εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, οὐ δύναται βλέπειν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν· ἀθολώτου χρεία βλέμματος εἰς τὴν τῶν μυστηρίων ἐπίσκεψιν· καθαρᾶς χρεία ψυχῆς εἰς τὴν τῶν καθαρῶν κατανόησιν. ἴδετε πῶς ἀγαθὸς ὁ δεσπότης ἡμῶν· ἴδετε πῶς τοὺς ἐν διαφόροις καιροῖς προσιοῦσι, μίαν δὲ πίστιν καὶ προθυμίαν καὶ πολιτείαν ἐπιδεικνυμένους, ὁμοίαις τιμαῖς καὶ δωρεαῖς ἠξίωσεν· ἴδετε πῶς καὶ τοὺς ἐσχάτους ἴσους πρώτοις ἐποίησεν, διὰ τὴν ἄβυσσον τῶν αὐτοῦ οἰκτιρμῶν. ἐπήχθητε τοίνυν πρὸς τὸν φιλάνθρωπον· αὐτὸς καὶ νῦν ὑμᾶς ἐμισθώσατο· αὐτὸς λέγει καὶ πρὸς ὑμᾶς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· Θεὸς ὁ μισθούμενος, ὁ μισθὸς οὐράνιος, τὸ ἔργον σωτήριον, ὁ ἀμπελὼν εὐπρεπής. ἡ θύρα τοῦ ἀμπελῶνος ἡ κολυμβήθρα καθέστηκεν· ἡ θεία χάρις εἰς θύραν τῆς κολυμβήθρας προεσταμένη καθάπερ φαιδρὰ πυλωρὸς πρὸς πάντας τοὺς δι' αὐτῆς εἰσιόντας βοᾷ· αὕτη ἡ πύλη τοῦ Κυρίου, νεοφώτιστοι διελεύσονται δι' αὐτῆς. ἡμεῖς οὐ φθονοῦμεν ὑμῖν ὡς τελευταίοις ἐλθοῦσιν καὶ τῆς αὐτῆς ἡμῖν δόξης μετέχουσιν· ἀλλὰ συγχορεύομεν ὡς ἀδελφοῖς καὶ συγχαίρομεν, ὑμετέραν δόξαν τὴν ἡμετέραν σωτηρίαν ἡγούμενοι. ποθήσατε οὖν τὸν καλέσαντα· λάβετε δὲ εἰς τὸν ἀμπελῶνα εἰσοδίας τὴν πίστιν ὁδηγὸν ἀπλανῆ· πίστις γὰρ ἐπὶ τὴν κολυμβήθραν ὁδοῦ χειραγωγὸς ἀγαθός, πίστις χειμαζομένης φύσεως ἄγκυρα· πίστις ἀνθρωπότητος λιμὴν γαληνός· πίστις τῶν ἀοράτων κάτοπτρον τηλαυγές· πίστις τῆς ὁμοουσίου τριάδος διδάσκαλος ἀκριβής· πίστις λέγειν ἡμᾶς παρεσκεύασεν ἐκεῖνα τὰ σωτήρια ῥήματα· πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα· πιστεύω οὐκ ἐρευνῶ· πιστεύω οὐ διώκω τὸ ἀκατάληπτον· πιστεύω οὐ μετρῶ τὸ ἀμέτρητον· ἐὰν πιστεύσω, φωτίζομαι τὴν ψυχήν· ἐὰν περιεργάζωμαι, σκοτίζω μου τοὺς λογισμούς· ἐὰν πιστεύσω καλῶς, ἀνυψοῦμαι πρὸς οὐρανόν· ἐὰν ζητήσω περιέργως, καταφέρομαι πρὸς βυθόν· πιστεύω εἰς ἕνα καὶ μόνον ἀληθῆ καὶ Θεὸν πατέρα παντοκράτορα· ἀρνοῦμαι τοὺς παρὰ τῶν Ἑλλήνων πεπλασμένους θεούς· πολυθεΐα γὰρ οὐρανὸν οὐκ οἰκεῖ· ἕνα καὶ μόνον Θεὸν ἀνυμνῶ· μισῶ τὸν Ἀρειανισμόν· οὐ λέγω, ἦν ποτε ὅτε οὐκ ἦν πατήρ· ἀλλὰ ἀεὶ Θεὸν τὸν Θεόν, ἀεὶ πατέρα τὸν αὐτὸν κηρύττω, οὕτως ὄντα πατέρα, ὡς οἶδεν αὐτός· πιστεύω εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν ἐξ αὐτοῦ γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, ὡς αὐτὸς μόνος οἶδεν ὁ γεννηθείς· γεννηθέντα οὐ ποιηθέντα· γεννηθέντα οὐ κτισθέντα· γεννηθέντα οὐ δημιουργηθέντα· ἐκ τῆς πατρῴας οὐσίας ἀχρόνως ἐκλάμψαντα, οὐκ ἔξωθεν ἐπεισελθόντα ποθὲν οὐχ ὑποβολιμαῖον, ἢ νόθον υἱόν, ἀλλὰ γνήσιον ἀπαύγασμα τοῦ γνησίου πατρός· ἀπαράλλακτον χαρακτῆρα ἀοράτου μορφῆς· οἶδα τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ καὶ πατρὸς ὡς Θεόν· οἶδα τὸν Χριστὸν υἱὸν τῆς δούλης αὐτοῦ καὶ μητρός, φαινόμενον ὡς ἄνθρωπον· οἶδα τὸν Χριστὸν ὁμοούσιον τοῖς ἀνθρώποις, ὡς ἄνθρωπον ἐξ ἀνθρώπου. οἶδα τὸν Χριστὸν ἐπουράνιον καὶ ἐπίγειον· οἶδα τὸν Χριστὸν ἀόρατον καὶ ὁρώμενον· οἶδα τὸν Χριστὸν ἀψηλάφητον καὶ παρὰ τοῦ Θωμᾶ ψηλαφώμενον. οἶδα τὸν Χριστὸν χιλιάδας ῥήματι θρέψαντα, καὶ τοῖς κύμασιν ἐπιβαδίσαντα καὶ τοῖς δαίμοσιν ἐπιτάξαντα, καὶ νεκροὺς ἀναστήσαντα, καὶ μυρία ποιήσαντα θαύματα τῇ δυνάμει τῆς οἰκείας θεότητος· οἶδα τὸν Χριστὸν πεινάσαντα καὶ διψήσαντα, καὶ κοπιάσαντα, καὶ ἀγωνιάσαντα, καὶ ἱδρώσαντα τῇ φύσει τῆς ἀνθρωπότητος· οἶδα τὸν Χριστὸν ὡς Θεὸν ἀπαθῆ· οἶδα τὸν Χριστὸν ἀποθανόντα, καὶ σαρκὶ τὸ πάθος δεξάμενον· οἶδα τὸν Χριστὸν κατὰ τὸ δυνατὸν ὑπομείναντα τὴν τελευτήν· οἶδα τὸν Χριστὸν ἀναστήσαντα τοῦ σώματος

αὐτοῦ

αὐτοῦ τὸν ναόν. γνωρίζω τὴν δύο φύσεων αὐτοῦ τὴν διαφοράν· οὐ μερίζω τὸν ἕνα υἱὸν εἰς δύο υἱούς· πιστεύω καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ πνεῦμα τῆς ἀληθείας τὸ παρὰ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ τῆς τριάδος συμπληρωτικόν. αὐτοῦ θαρρῶ τὸν ἐμὸν ἁγιασμόν, αὐτοῦ θαρρῶ τὴν ἐκ τῶν νεκρῶν ἐξανάστασιν· ταῦτα τῇ ψυχῇ, καὶ τῇ γλώττῃ μελετᾶτε διηνεκῶς· ταῦτα τῷ φρονήματι καὶ τῷ στόματι βοᾶτε διηνεκῶς· ἔχετε τὸν ἀποστολικὸν ὅρον τῆς πίστεως καὶ πολιτείας θεοφιλοῦς· ἄνευ γὰρ τῆς πίστεως τὰ ἔργα νεκρά· ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, οὕτως παραστήσατε τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ· ὁ πόρνος γινέσθω σώφρων· ὁ ἄδικος γινέσθω δίκαιος· ὁ ἅρπαξ εὐμετάδοτος· ὁ πλεονέκτης φιλόπτωχος· ὁ ἀπάνθρωπος καὶ φιλόχρυσος πρὸ τούτου, νῦν φανήτω φιλόχριστος· ὁ βλάσφημος, ὑμνολόγος· ὁ τρέχων εἰς θέατρα, τρεχέτω λοιπὸν εἰς τὰς αὐλὰς τοῦ θεοῦ· ὁ τοῖς δρόμοις τῶν ἵππων ἐπιμαινόμενος, σχολασάτω τοῖς ἀποστόλοις· ὧν ὁ δρόμος τοῖς μιμουμένοις σωτήριος· ὡς μέλλοντες χρηματίζειν νύμφαι Χριστοῦ, οὕτως στολίσατε τὰς ὑμετέρας ψυχὰς καὶ τὰ σώματα· ἔστω ὑμῶν τὰ βλέμματα τῆς κατὰ ψυχὴν γαλήνης ἐξεικονίσματα· ἔστωσαν αἱ ὄψεις τῆς ἔνδον εὐλαβείας χαρακτῆρες σαφεῖς· ἔστω ὑμῶν τὰ στόματα ψαλμῶν καὶ ὕμνων εὐωδίαν ἐκπνέοντα, κόσμια, σώφρονα, πρέποντα παρθένῳ μελλούσῃ νυμφεύεσθαι· ἔστωσαν αἱ ψυχαὶ καθαραί, λευκαί, ἵνα γνησίως τῆς βασιλικῆς ἁλουργίδος τὴν βαφὴν ὑποδέξωνται. ἐπειδὰν δὲ καταλάβητε τὸν νυμφῶνα τοῦ πνεύματος, ἐπειδὰν εἰσδράμητε τὴν παστάδα τῆς χάριτος, ἐπειδὰν πλησίον γένησθε τῆς φοβερᾶς ὁμοῦ καὶ ποθεινῆς κολυμβήθρας, ὡς αἰχμάλωτοι προσπίπτετε τῷ βασιλεῖ, ῥίψατε πάντες ὁμοίως ἐπὶ γόνατα, καὶ τὰς χεῖρας ἀνατείναντες εἰς τὸν οὐρανὸν ὅπου κάθηται βασιλικῶς ὁ πάντων ἡμῶν βασιλεύς, καὶ τοὺς ὀφθαλμοὺς εὐθύναντες πρὸς τὸν ἀκοίμητον ὀφθαλμόν, τούτοις πρὸς τὸν φιλάνθρωπον χρήσασθε ῥήμασιν· ἄνοιξον ἡμῖν τὸν ἀμπελῶνά σου κύριε· εἰ καὶ περὶ τὴν ἑνδεκάτην ὥραν ἐφθάσαμεν· μὴ ὀργισθῇς ἡμῖν ὡς βραδύνασι, δέσποτα· μηδὲ κλείσῃς εἰς τὰς ἡμετέρας ὄψεις τῆς σῆς φιλανθρωπίας τὰς θύρας· κατέγνωμεν τῆς φθασάσης ἡμῶν ἀργίας· κατέγνωμεν τῆς παρελθούσης ἡμέρας τῆς ῥᾳθυμίας· ἐβλάβημεν παρακούσαντες· ἐζημιώθημεν καθευδήσαντες· ἐναυαγήσαμεν τερπόμενοι· ἐγυμνώθημεν παίζοντες καὶ παιζόμενοι· ἀπωλλύμεθα τοῖς ματαίοις ψυχαγωγούμενοι· μόλις ἐγρηγορήσαμεν· μόλις ἀπετινάξαμεν, μόλις εὕρομεν τὸ συμφέρον· μόλις ἐφύγομεν τὸν πόλεμον· ἀπεταξάμεθα τῷ πονηρῷ παντελῶς· ἀπεταξάμεθα τοῖς ὀλεθρίοις κακοῖς καὶ τερπνοῖς σχολάσαι· τῷ σωτῆρι λοιπὸν συντασσόμεθα, τῷ μόνῳ θεῷ· δέξαι τὸ γραμματεῖον τῆς ὁμολογίας ἡμῶν· ἵνα φοβούμενοι τὸ πρόστιμον, ἐμμείνωμεν οἷς καὶ συνεθέμεθα· δέξαι τὸ σύμβολον τῶν πρὸς σὲ συνθηκῶν, ἵνα τὸ σύμβολον αἰσχυνόμενοι τὸν τρόπον ἡμῶν ἀμετάτρεπτον κατενδυσώμεθα· οἰκτείρησον τοὺς σοὺς δούλους, τοὺς αἰχμαλώτους, καὶ γυμνούς, καὶ νεκρούς· ἀπόδος ἡμῖν τὴν ἀρχαίαν συγγένειαν· ἔνδυσον οὓς ὁ διάβολος ἀπεγύμνωσεν· χρῖσον ἡμᾶς τῷ ἐλαίῳ τῆς ἁγίας σου χρίσεως· ἵνα μὴ βλαβῶμεν ὑπὸ τοῦ ὄφεως· θέλομεν ἐργάσασθαι τὰς σὰς ἐντολάς· θέλομεν εὑρεθῆναι τοῦ ἀμπελῶνος ἐντός· θέλομεν ὡς ἐγγίζοντές σοι χρηματίζειν ἐργάται· ἐζήσαμεν πάσας ἡμῶν τὰς ἡμέρας κακῶς· θέλομεν ζῆσαι τὰς ὑπολοίπους καλῶς· θέλεις ὡς πόρνοις συγχωρῆσαι, συγχώρησον· θέλεις ὡς τελώνας περιποιήσασθαι· θέλεις ὡς λῃστὰς φιλανθρωπεύσασθαι. θέλεις ὡς διώκτας περισῶσαι· περίσωσον, ὡς θέλεις· ἐλέησον μετανοοῦντας οὓς ἐμακροθύμησας ἐξαμαρτάνοντας· ἐλέησον προσπίπτοντας οὓς καὶ ἀπολακτίζοντας οἰκτείρησας· ἐλέησον καθικετεύοντας οὓς ὑβρίζοντας ἔφερες. ἄνοιξον ἡμῖν τοῖς χειμαζομένοις τὸν τῆς κολυμβήθρας λιμένα· ἄνοιξον ἡμῖν τετραυματισμένοις τὸ ἀνώδυνον ἰατρεῖον· ἄνοιξον τοῖς παλαιωθεῖσι τὸ ἄλυπον χωνευτήριον· ἄνοιξον τοῖς χρεωστοῦσι θάνατον τὸν ἀκίνδυνον τάφον. ἄνοιξον ἡμῖν τὸ τριημέρου σου νεκρώσεως τὸ ζωηφόρον ἐκτύπωμα. ἄνοιξον ἡμῖν τὴν ἀθανασίας τὴν πύλην· ἄνοιξον ἡμῖν τὴν θύραν τῶν οὐρανῶν· ὅτι σὺ εἶπας, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· ἅπερ εἶπας, ἀληθείᾳ πλήρωσον· ἅπερ ἐλάλησας ὡς ἀψευδὴς ἐπιτέλεσον. ἄνοιξον ἡμῖν τὴν παλιγγενεσίας τὴν παρθένον γαστέρα· ἄνοιξον ἡμῖν τὴν υἱοθεσίας τὴν ἄφθαρτον μητέρα· πιστεύομεν ὅτι δύνασαι πάντα ποιῆσαι· πιστεύομεν, ὅτι δύνασαι τὸν ἁμαρτημάτων ἡμῶν ἀποπλῦναι τὸν βόρβορον· πιστεύομεν ὅτι δύνασαι διὰ πνεύματος καὶ ὕδατος ἀναγεννῆσαι τοὺς ἐν ἁμαρτίαις γηράσαντας· πιστεύομεν ὅτι δύνασαι τὴν ξένην λοχείαν ἐργάσασθαι· πιστεύομεν ὅτι δύνασαι γυναῖκας, καὶ βρέφη, καὶ νέους, καὶ ἄνδρας, καὶ γέροντας ἐκ τῶν ὑδάτων νεοπλάστους ἀναγαγεῖν ὡς ἀρτίτοκα βρέφη· πιστεύομεν ὅτι δύνασαι τοῖς ὕδασιν ἀποπνῖξαι τὰς ἁμαρτίας ἡμῶν, καθάπερ τὸν Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ πᾶσαν κατέκλυσας· πιστεύομεν ὅτι δύνασαι σωτηρίας ὁδὸν ἐξευρεῖν, ὡς ποτὲ τοῖς Ἰσραηλίταις ἐδημιούργησας ὁδὸν ἐν μέσῳ θαλάσσης· πιστεύομεν ὅτι δύνασαι ταῦτα ὅσα καὶ

corporis templum excitavit: duarum ejus naturarum diſcrimen intelligo: unum filium in filios duos non divido: Credo & in Spiritum ſanctum ſpiritum veritatis, qui à patre procedit, Trinitatis complementum. Hæc animo perpetuo linguáque meditamini: hæc affectu & ore continuo vociferamini, habetis Apoſtolicam fidei ac religioſæ converſationis regulam: ſine fide námq; mortua ſunt opera. Humanum dico propter infirmitatem carnis veſtræ: ſicut enim exhibuiſtis membra veſtra arma iniquitatis peccato: ita exhibete membra veſtra arma juſtitiæ Deo, fornicator, temperans fiat: injuſtus, fiat juſtus: raptor, liberalis: avarus, pauperum amator: inhumanus & auri cupidus olim, nunc Chriſti ſtudioſus appareat: blaſphemus, cantor hymnorum: qui ad theatra currebat, deinceps ad atria Dei currat: qui decurſionum equeſtrium amore inſaniebat, Apoſtolis operam det, quorum curſus eſt imitatoribus ſalutaris: ut qui futuri ſponſæ Chriſti ſitis, ita veſtras animas & corpora exornate: oculi veſtri ſint ejus quæ eſt in anima tranquillitatis imagines: vultus, interioris pietatis ſint effigies eminentes: ora veſtra pſalmorum ſuaves odores atque hymnorum expirent: ſint compta & modeſta, convenientia virgini mox nupturæ. ſint animæ puræ, candidæ, ut genuino regiæ purpuræ colore tingantur. Poſtquam autem ad thalamum Spiritus perveneritis: poſtquam in ſponſale gratiæ conclave irrepſeritis: poſtquam prope tremendam ſimul & expetendam baptiſmi piſcinam conſtiteritis, velut captivi coram Rege procidentes omnes ſimul in genua vos projicite, ac manibus in cœlum ſublatis, ubi regiè conſidet Rex omnium noſtrum, oculiſque in immobilem illum oculum directis, hujuſmodi verbis apud dominum benignum utimini: Aperi nobis vineam tuam Domine; tametſi nos circa undecimam horam advenimus, ne ſuccenſeas nobis, ut qui tardi fuerimus, Domine, neque manſuetos oculos tuos, humanitatis tuæ januas, claudas: præcedentem noſtram negligentiam damnamus: præteriti temporis pigritiam damnamus: quòd non paruerimus, læſi ſumus: quòd dormierimus, damnum fecimus: dum oblectamur: naufragium ſumus paſſi: ſpoliati ſumus dum ludimus, ac deludimur. perimus, dum rebus vanis animum recreamus, vix tandem evigilamus: vix torporem excuſſimus: vix quod expediebat, invenimus: vix bellum effugimus: renuntiavimus penitus Malo: renuntiavimus perniciosis malis & otioſis deliciis: Salvatori deinceps nos adjungimus, ſoli Deo: excipe confeſſionis noſtræ libellum, ut præſtitutam mulctam reformidantes, ea, quæ pacti ſumus, obſervemus: excipe tecum initorum pactorum pignus ac teſſeram, ut pudore cogente mores conſtantes & immutabiles induamus, miſerere ſervorum tuorum captivorum, & nudorum, & mortuorum: priſtinam illam cognationem nobis reſtitue: quos denudavit diabolus, veſti: oleo nos unctionis tuæ ſanctæ inunge, ne à ſerpente lædamur, volumus tua mandata peragere: volumus intra vineam reperiri: volumus ut appropinquantes tibi degere: cùm operarii eſſemus, toto vitæ noſtræ tempore malè viximus: volumus quod reliquum eſt, bene vivendo traducere. Si placeat tibi tanquam fornicatoribus ignoſcere, ignoſce: ſi placeat, tanquam publicanos ſervare, ſi placeat tanquam latrones benignè tractare, ſi placeat tanquam perſecutores ſalvare, ſalva ut placet, miſerere pœnitentium, quos patienter tuliſti peccantes: miſerere ad genua procumbentium, quos etiam recalcitrantes miſeratus es: miſerere ſupplicantium, quos contumeliam inferentes tolerasti. Aperi nobis tempeſtate jactatis ſacri portum lavacri: aperi nobis vulneratis dolores abigentem medici officinam: aperi inveteratis expertem moleſtiæ conflatoriam fornacem: aperi mortuis ejus periculo vacans ſepulchrum: aperi nobis vitam afferentem triduanæ tuæ necis effigiem: aperi nobis regenerationis virgineum ventrem: aperi nobis adoptionis matrem incorruptam: aperi immortalitatis januam: aperi nobis cœlorum portam, quandoquidem tu dixiſti, *Pulſate & aperietur vobis*; quæ dixiſti, veritate adimple: quæ loquutus es, ut qui mentiri non potes, perfice. Credimus omnia te facere poſſe: credimus poſſe te peccatorum noſtrorum cœnum abluere. credimus poſſe te eos, qui in peccatis conſenuerint, per Spiritum & aquam regenerare: credimus te mirabile illud puerperium poſſe perficere: credimus poſſe te mulieres, & infantes, & juvenes, & viros, & ſenes ex aquis recens formatos, quaſi modò genitos infantes educere: credimus poſſe peccata noſtra aquis ſuffocare, quemadmodum Pharaonem totúmq; ipſius exercitum ſubmerſiſti: credimus poſſe te viam ſalutis adinvenire, quemadmodum Iſraelitis quondam in maris medio viam ſtraviſti: credimus tam mul-

ta te poſſe, quàm multa vis. His ita Dominum compellantes perſeverate, ut vos etiam Salvator ſic alloquatur, Creditis quia hoc poſſum facere, ſecundùm fidem veſtram fiat vobis. Ipſi gloria in ſecula ſeculorum. Amen.

In Parabolam de Ficu. Tractatus.

CUm vel floridam arborem, vel fontem aquis ſcaturientem cernit oculus, ipſo eſpectu pellicitur, & illuc animi ſenſum convertit: pari quoque ratione is qui facta & hiſtorias verbis expoſitas audit, ad eas mentem intendit: ſic ut talis ſit corpore quidem hoc in loco, mente verò illo in loco ad quem hiſtoriæ narratio rem traducit. Tale mihi quiddam evenit, dilectiſſimi: dum enim res eas, quæ in Bethania circa ficum acciderunt, audio Evangeliſtam narrantem, hic quidem ſum corpore, mente verò meipſum imaginor illic eſſe: méque nunc arbitror Dominum Jeſum ſequi, ac ficum videre, ante juſſum quidem herile floridam etque frondentem, poſt dominicum autem juſſum horribilem & arentem. Mane ſiquidem, inquit, revertens Jeſus in civitatem, eſurit. Et videns ficum, venit ad eam: & nihil invenit in ea niſi folia tantùm: & ait illi, *Nunquam ex te fructus naſcatur in ſempiternum, & ſubito areſacta eſt:* (Mat. 21,19.) hoc enim paulo antè nobis recitatum eſt. Obſtupefacit me miraculum: varias in partes mens mea diſtrahitur. Cum enim hiſtoriæ factum narrare inſtituo continuò cum hiſtoria miracula ad ſe trahunt. Et quemadmodum cùm urnam auream pretioſos continentem lapillos quis conſpexerit, in quibus arcana depicta fuerint; cernere quidem urnam deſiderat propter formæ ſplendorem, ſed ab iis qui ſunt intus, lapillis, in diverſum trahitur, & lapillorum pulchritudinem & arcana depicta in ee ſpectare feſtinat: pari ratione videns ego quoque ſplendidam quidem ac perelegantem hiſtoriæ literam eſſe, illic mente detineor, ſed in diverſum rurſus trahor à ſpiritue intelligentia, quæ hiſtoria majora ſe mihi oſtenſuram miracula pollicetur. Mane ſiquidem inquit revertens Jeſus in civitatem, eſurit, ô myſterium ineffabile atque inenarrabile; eſurit ille qui univerſum orbem terrarum alit: eſurit ille qui ee quinque panibus quinque hominum millia ad ſatietatem enutrivit: eſurit ille, qui viventes oculos è luto fabricatus eſt: eſurit ille, qui in fluctibus maris inambulavit, nec in aquam pedes immerſit: eſurit ille, qui ſolo mentis juſſu aquam in vinum convertit: eſurit ille qui è corporibus animas ee traeit, & rurſus eas in ſuas ædes verbo introduxit. Et quomodo inquit Eſaias, Deus æternus non eſuriet, neque laborabit? Chriſtum eutem Deum eſſe cuivis utiq; manifeſtum eſt, qui ſcripturæ credit, dicenti; In principio erat, Verbum & Verbum erat apud Deum, & Deus erat verbum, quomodo igitur eſurit Deus? eſurit forma ſervi: quinq; autem millia, quæ in ipſo erat, domini voluntas enutrivit: venit ad ficum homo, qui cernebatur, at erat ubique ea, quæ in ipſo divinitas intelligebatur. vidit infructuoſam ficum ut homo, verbo illam areſecit, ut Deus. Dieit: Numquam ex te fructus naſcatur in ſempiternum, & factum conſequutum eſt dictum, ſtatimque ficus areſacta eſt, dictum erat humanum; factum eutem divinum. Sed multa nobis diſquiſitione opus eſt, dilectiſſimi, ad ſpiritualem ficus intelligentiam eruendam, quæ apud multos quidem expoſita eſt, ut mihi quidem videtur, minùs accuratè: verumtamen eorum qui præceſſerunt lucubrationes vobis dicam, tum quæ à nobis elaborata præclara opera proferemus. Eſt enim captu difficilis quæ in hiſtoria literæ eſt ſita ſententia, atque in receſſu abditum continet myſterii fulgorem. Quid enim neceſſarium erat verbo ficum areſieri, ac non verbo potiùs frugiferam fieri: quando is, qui eam dicto areſecit, potuit etiam fœcundem dicto reddere? Quid verò etiam peccavit ficus, dicit aliquis, quum tempus ejus non eſſet, dicente Marco Evangeliſta tum temporis hyemem fuiſſe? Quòd ſi non aliquod ſit in ipſa myſterium ſupra hominem (Marc. 11,13.) adimpletum, ſaltem uno modo laudandus, altero verò reprehendendus Dominus reperietur, laudandus quidem quòd eam verbo areſecerit, reprehendendus autem quod immeritò illi maledixerit. Veruntamen deinceps intelligendum eſt, dilectiſſimi, cujuſnam imaginem gereret ficus, neque enim fuit quicquam eorum, quæ à Chriſto gerebantur, quod myſterio vacaret: in univerſum, nullum ab ipſo patratum eſt opus, quod non admodum fructuoſum eſſet: nihil quod veritatem non clamaret: nihil quod ad cœleſtium rerum ſuſceptionem animum non excitaret. Multi ex interpretibus ficum iſtam Judæorum ſynagogæ aſſimilatam eſſe dixerunt; ad quam venit Dominus, inquiunt, fructum in ea fidei quærens: non invenit niſi prophetarum ac legis ſermonibus quaſi foliis comantem: quapropter & areſecit dicens: *Nunquam ex te fructus naſcatur in*

θέλεις· ταῦτα λέγοντες πρὸς τὸν Κύριον ἐπιμείνατε, ἵνα εἴπῃ καὶ πρὸς ὑμᾶς ὁ σωτήρ· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν παραβολὴν περὶ συκῆς. ὁμιλία.

ΟΦΘΑΛΜΟΣ ὁρῶν ἢ δένδρον ἀνθοφόρον, ἢ πηγὴν ὑδροτόκον, ὑπ' αὐτῆς τῆς θέας ἕλκεται, καὶ τὸν τῆς καρδίας νοῦν μεταστρέφει ἐκεῖ. ὁμοίως δὲ καὶ ὁ ἀκούων διὰ λόγων πράξεις καὶ ἱστορίας, πρὸς ἐκείνας τὴν διάνοιαν ἀνατείνει· ὡς εἶναι τὸν τοιοῦτον τῷ μὲν σώματι ἐν τῷδε τῷ τόπῳ· τῇ δὲ διανοίᾳ ἐν ἐκείνῳ τῷ τόπῳ, ὅπου ὁ λόγος τῆς ἱστορίας διαγράφει τὸ πρᾶγμα· τοιοῦτόν τι καὶ ἐμοὶ συμβέβηκεν, ἀγαπητοί. ἀκούσας γὰρ τοῦ εὐαγγελιστοῦ διηγουμένου τὰ ἐν Βηθανίᾳ κατὰ τὴν συκῆν γεγονότα πράγματα, ὧδε μὲν εἰμὶ τῷ σώματι· τῇ δὲ διανοίᾳ ἐμαυτὸν εἶναι ἐκεῖ φαντάζομαι· καὶ οἴομαι νῦν ἀκολουθεῖν τῷ δεσπότῃ Ἰησοῦ, καὶ ὁρᾶν τὴν συκῆν, πρὸ μὲν τοῦ δεσποτικοῦ προστάγματος ἀνθηρὰν καὶ κατάκομον, μετὰ δὲ τὸ κυριακὸν πρόσταγμα, στυγνὴν καὶ κατάξηρον. πρωΐας γάρ φησιν ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασε. καὶ ἰδὼν συκῆν, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνον. καὶ λέγει αὐτῇ, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα, καὶ εὐθέως ἐξηράνθη. τοῦτο γὰρ ἀρτίως ἡμῖν ὑπανεγνώσθη. ἐξέπληξέ με τὸ θαῦμα. μεμέρισταί μου ἡ διάνοια· ὅταν γὰρ βουληθῶ τὸ πρᾶγμα τῆς ἱστορίας διηγήσασθαι, εὐθέως μετὰ τῆς ἱστορίας τὰ θαύματα πρὸς αὐτὰ ἐπισπᾶται. καὶ ὥσπερ ὁπόταν ἴδῃ τις στάμνον χρυσῆν ἔχουσαν ἔνδοθεν λίθους τιμίους, φέροντας ἐν ἑαυτοῖς γεγραμμένα μυστήρια, θέλει μὲν ὁρᾶν τὴν στάμνον διὰ τὴν τοῦ εἴδους στιλβότητα· ἀνθέλκεται δὲ ὑπὸ τῶν ἔνδοθεν λίθων· σπουδάζει γὰρ καὶ τὸ τῶν λίθων περιαθρῆσαι κάλλος καὶ τὰ ἐν αὐτοῖς γεγραμμένα μυστήρια γνῶναι· ὡσαύτως κἀγὼ ὁρῶ μὲν τὴν τοῦ γράμματος ἱστορίαν λαμπρὰν καὶ περικαλλῆ τυγχάνουσαν, ἐκεῖ κατέχομαι τὸν νοῦν· ἀνθέλκομαι δὲ πάλιν ὑπὸ τῆς τοῦ πνεύματος θεωρίας μείζονά μοι τῆς ἱστορίας ἐπαγγελλομένης δεικνύειν τὰ θαύματα· πρωΐας γάρ φησιν ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασεν. ὢ ἀνεκφράστου καὶ ἀνεκδιηγήτου μυστηρίου· ἐπείνασεν ὁ τρέφων πᾶσαν τὴν οἰκουμένην· ἐπείνασεν ὁ ἐκ πέντε ἄρτων πεντακισχιλίους εἰς κόρον ἐκθρέψας· ἐπείνασεν ὁ ἐκ πηλοῦ ζῶντας ὀφθαλμοὺς ἐργασάμενος· ἐπείνασεν ὁ ἐπὶ τῶν κυμάτων τῆς θαλάσσης περιπατήσας, καὶ τοὺς πόδας εἰς τὸ ὕδωρ μὴ βάψας· ἐπείνασεν ὁ ἐννοίᾳ μόνῃ τὸ ὕδωρ εἰς οἶνον μεταστρέψας· ἐπείνασεν ὁ ψυχὰς ἐκ τῶν σκηνωμάτων ἐκσπάσας, καὶ πάλιν αὐτὰς εἰσοικίσας λόγῳ. καὶ πῶς λέγει ὁ Ἡσαΐας, ὁ Θεὸς ὁ αἰώνιος οὐ πεινάσει, οὐδὲ κοπιάσει; Χριστὸς δὲ ὅτι Θεός, παντί που δῆλον τῷ πιστεύοντι τῇ γραφῇ, λεγούσῃ· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. πῶς οὖν ἐπείνασεν ὁ Θεός; ἐπείνασεν ἡ τοῦ δούλου μορφή· διέτρεφε δὲ πεντακισχιλίους ἡ ἐν αὐτῷ τοῦ δεσπότου βουλή· ἦλθεν ἐπὶ τὴν συκῆν ὁ ὁρώμενος ἄνθρωπος· ἦν δὲ πανταχοῦ ἡ ἐν αὐτῷ νοουμένη θεότης. εἶδε τὴν συκῆν ἄκαρπον ὡς ἄνθρωπος, ἐξήρανε ταύτην λόγῳ ὡς Θεός· εἶπε, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· καὶ τὸ ἔργον ἠκολούθησε τῷ ῥήματι, καὶ εὐθὺς ἡ συκῆ ἐξηράνθη. τὸ ῥῆμα ἀνθρώπινον· τὸ δὲ ἔργον θεϊκόν· ἀλλὰ πολυζήτητος ἡμῖν, ἀγαπητοί, ἡ θεωρία ἡ κατὰ τὴν συκῆν, παρὰ πολλοῖς μὲν ἑρμηνευθεῖσα ὥς ἐμοί γε δοκεῖ, οὐκ ἠκριβωμένως· πλὴν τὰς τῶν προλαβόντων ὑμῖν λέξω λύσεις, καὶ τὰς ἡμῖν πεπονημένας προσκομίσομεν δωρεάς. δυσληπτὸς γὰρ ὁ ἐν τῇ ἱστορίᾳ τοῦ γράμματος κείμενος νοῦς, πολλὴν τῷ βάθει κεκρυμμένην ἔχων τὴν τοῦ μυστηρίου στιλβότητα. τί γὰρ τὸ ἀναγκαῖον ἦν τῷ λόγῳ ξηρᾶναι τὴν συκῆν, καὶ μὴ λόγῳ ταύτην καρποφορεῖν· ὁ τῷ ῥήματι ξηράνας αὐτήν, ἐδύνατο καὶ ῥήματι εὔκαρπον αὐτὴν ποιῆσαι; τί δὲ καὶ ἥμαρτεν ἡ συκῆ, εἴποι τις ἄν, ὁπότε οὐκ ἦν αὐτοῦ ὁ καιρός; Μάρκου τοῦ εὐαγγελιστοῦ λέγοντος, χειμῶνα εἶναι κατ' ἐκεῖνον τὸν καιρόν; καὶ εἰ μὴ τί ἐστι μυστήριον ὑπὲρ ἄνθρωπον ἐν αὐτῇ τελούμενον, εὑρεθήσεται καὶ ὁ Κύριος κατὰ μὲν ἕνα τρόπον ἐπαινετός, κατὰ δὲ ἕτερον μεμπτός· ἐπαινετὸς μὲν γὰρ ὅτι λόγῳ αὐτὴν ἐξήρανε· μεμπτὸς δὲ ὅτι ἀδίκως αὐτὴν κατηράσατο. ἀλλὰ δεῖ νοεῖν τὸ λοιπόν, ἀγαπητοί, τίνος ἔφερεν εἰκόνα ἡ συκῆ· οὐ γὰρ ἦν τι ὑπὸ Χριστοῦ γινόμενον πρᾶγμα ὃ οὐκ εἶχε μυστήριον. ὅλως οὐδὲν ἦν παρ' αὐτοῦ γινόμενον ἔργον ὃ μὴ σφόδρα ὠφέλιμον· οὐδὲ ὃ μὴ ἐβόα τὴν ἀλήθειαν· οὐδὲν ὃ μὴ πρὸς τὴν τῶν οὐρανίων παραδοχὴν ἐκίνει τὸν νοῦν· αὐτὴν τὴν συκῆν οἱ πολλοὶ τῶν ἑρμηνευτῶν εἰρήκασι τῇ τῶν Ἰουδαίων συναγωγῇ παρεικασμένην εἶναι, ἐφ' ἣν ἦλθέ φησιν ὁ Κύριος ζητῶν ἐν αὐτῇ καρπὸν πίστεως. οὐχ εὗρεν, εἰ μὴ μόνον λόγοις προφητῶν καὶ νόμου καθάπερ φύλλοις κομῶσαν· διὸ καὶ ἐξήρανε, λέγων, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα·

ἐγὼ

ἐγὼ δὲ τῇ ἑρμηνείᾳ ταύτῃ πειρῶμαι ἀντιλέγειν, ἀγαπητοί· οὐ γὰρ οὕτως ἔχει ἡ ἀκρίβεια τοῦ νοήματος. πῶς γὰρ ἂν κατηράσατο ὁ Κύριος, λέγων, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε; πῶς δὲ καὶ τὴν συναγωγὴν κατηράσατο ἄν, καὶ ἐξήρανεν, ὁ λέγων, οὐκ ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἀπολέσαι, ἀλλὰ ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός; εἰ δέ τις ἔτι ἀντιλέγει καὶ φιλονεικεῖ, λέγων, τῇ τῶν Ἰουδαίων συναγωγῇ παρεικασμένην εἶναι τὴν συκῆν ἀκριβῶς, λεγέτω, πῶς ἡ ἀπὸ ῥιζῶν ξηρανθεῖσα συναγωγὴ τοιοῦτον ἔγκαρπον κλάδον ἐβλάστησε τὸν γλυκύτατον Παῦλον· πολλοὺς δὲ καὶ ἄλλους ἐπιστρέψαντας ἔγνωμεν ἐκ τῆς τῶν Ἰουδαίων συναγωγῆς. καὶ γὰρ καὶ Στέφανος ὁ λιθασθεὶς ὑπὸ τῶν Ἰουδαίων ἐξ ἐκείνης τῆς συναγωγῆς ἐτύγχανε, καὶ Ἀκύλας καὶ Πρίσκιλλα καὶ πολλοὶ ἄλλοι, ὧν τὸν κατάλογον νῦν τῶν ὀνομάτων διὰ τὸ πλῆθος τῆς λέξεως παρῃτήμεθα λέγειν. ὅτι δὲ οὐ παντελῶς ἀπώσατο ὁ Θεὸς τὸν λαὸν τῶν Ἰουδαίων; μαρτυρείτω μοι Παῦλος, λέγων· λέγω οὖν, μὴ παντελῶς ἀπώσατο Κύριος τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν· οὐκ ἀπώσατο Κύριος τὸν λαὸν αὐτοῦ, ἀλλὰ καὶ σωτηρίαν τῷ λαῷ ἐκείνῳ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐπαγγέλλεται· ἐν τῷ λέγειν, ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται· εἰ γὰρ ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι τοῦ Θεοῦ, δι' ἡμᾶς γεγόνασιν· ἵνα τῇ ἐκείνων ἀπειθείᾳ ἡμεῖς ἐλεηθῶμεν· ὡς μαρτυρεῖ μοι Παῦλος, λέγων, κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ἡμᾶς· κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις ἁγία. ζητητέος τοίνυν ὁ περὶ τῆς συκῆς λόγος, τίνος ἔφερεν εἰκόνα· ἀλλ' ἐὰν σὺ ὁ Ἀδὰμ μνησθῇς ὅτι ἐν τῷ παραδείσῳ ἐγυμνώθης, ποίου δένδρου φύλλα λαβὼν καὶ συῤῥάψας ἑαυτῷ περιέβαλες ὑφάνας, εὑρήσεις πῶς δικαίως τὰ φύλλα ἐξήρανεν· ἢ γὰρ οὐχὶ φύλλα συκῆς λαβὼν τὴν σεαυτοῦ αἰσχύνην ἐκάλυπτες; ἦλθεν οὖν ὁ Χριστὸς, καὶ τὴν ἐν σοὶ ἀνθοῦσαν συκῆν τὸ τῆς αἰσχύνης κάλυμμα τῷ λόγῳ ἐξήρανεν. ἦρέ σου τὴν πενίαν, καὶ δέδωκέ σοι τὸν πλοῦτον· ἦρέ σου τὰ τῆς αἰσχύνης καλύμματα, καὶ δέδωκέ σοι χιονοφεγγῆ στολὴν, ἐξ ὕδατος καὶ πνεύματος ὑφανθεῖσαν· ἐξήρανε τὰ φύλλα τῆς συκῆς, καὶ ἀπέδωκέ σοι τὰ σῦλα τῆς ψυχῆς· ποῖα σῦλα; ἃ ὄφις ἐσυλαγώγησέ σοι ἐν τῷ παραδείσῳ, τὴν ἰσάγγελον ζωὴν, τὴν τοῦ παραδείσου τρυφὴν, τὴν τῆς ἀφθαρσίας στολήν. ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ κεφάλαιον. πρωῒ γάρ φησιν ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασε· πρωῒ μετὰ τὴν νύκτα τῆς πλάνης παραδεδραμμένην, καὶ τὸν ὄρθρον Χριστὸν τῷ τῆς ἀναστάσεως φέγγει αὐγάσαι τῷ κόσμῳ· ὄρθρος γάρ φησιν ὁ Χριστὸς, καθά φησιν ὁ προφήτης, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν. πρωῒ ἐπανάγων ὁ Ἰησοῦς· πρωῒ μετὰ τὸ τὸν σκοτοφόρον θάνατον τῷ φωτὶ τῆς δόξης Χριστοῦ ἀφανισθῆναι, καὶ τὰς χρυσᾶς ἀκτῖνας τὸν τῆς δικαιοσύνης ἥλιον ἐν ταῖς τῶν ἐσκοτισμένων ἀνθρώπων καρδίαις ἐλλάμψαι· πρωῒ μετὰ τὸ τὰς θερμὰς ἀκτῖνας τῆς θεότητος ἐκπετάσαι, καὶ τὰς νενεκρωμένας ψυχὰς ὑπὸ τοῦ διαβόλου ἐκθερμᾶναι· οὐκ ἔστι γὰρ ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. τῇ γὰρ ψυχροτάτῃ ἁμαρτίᾳ ὁ διάβολος τὰς τῶν ἀνθρώπων καρδίας ἐνέκρωσεν. ὅθεν ὁ προφήτης ἐπεύχεται λέγων, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου· κρυμῷ γὰρ ἀσεβείας πᾶσα ἡ ἀνθρωπότης ἐσφίγγετο. διὸ πάντες οἱ προφῆται ὁμοθυμαδὸν ηὔχοντο πρὸς τὸν Θεὸν, λέγοντες, ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ· τοῦτ' ἔστιν, ὥσπερ ὁ νότος θερμῶς ἐπιπνεύσας τὰ παγωθέντα ὕδατα, εἰς τὴν προτέραν φύσιν τοῦ ὕδατος ἐπανάγει· οὕτως καὶ ἡμᾶς τοὺς τῇ ἁμαρτίᾳ τοῦ διαβόλου νεκρωθέντας, ὡς νότος θερμῶς ἐπιπνεύσας, ἐπὶ τὴν ἀρχαίαν φύσιν τῆς ἀφθαρσίας ἀνέλυσεν. ταύτην τὴν θέρμην ἐπιπνέοντος τοῦ νότου, καὶ ἡ νύμφη Χριστοῦ ἐκκλησία ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων ἐπικαλεῖται, λέγουσα, ἐξεγέρθητι βοῤῥᾶ, καὶ ἔρχου νότε· διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματα. πρωῒ, φησὶν, ἐπανάγων· καλῶς τὸ ἐπανάγων, ἵνα σημάνῃ ὅτι τὸν ἐκ τοῦ παραδείσου ἐκπεσόντα Ἀδὰμ πάλιν ἐλθὼν ὁ Κύριος ἡμῶν εἰς τὸν αὐτὸν τόπον ἐπανάγει. πρωῒ ἐπανάγων ὁ Ἰησοῦς ἐπὶ τὴν πόλιν, ἐπείνασε· πόλιν νῦν ἀκούσας μὴ κάτω περίβλεπε, ἀλλὰ πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἀνάβλεπε, πρὸς τὸν οὐράνιον χῶρον. καὶ γὰρ τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει. πρωῒ ὁ Ἰησοῦς ἐπανάγων ἐπὶ τὴν πόλιν, ἐπείνασεν, οὐ τὴν τροφὴν τῶν ἀνθρώπων· ἐμὸν γάρ ἐστι βρῶμα, ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου, ἵνα πιστεύσωσιν εἰς ὃν ἀπέστειλεν ἐκεῖνος· ὁ γὰρ πιστεύων εἰς αὐτὸν, καθὼς εἶπεν αὐτὸς, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα· πρωῒ ὁ Ἰησοῦς ἐπανάγων ἐπὶ τὴν πόλιν, ἐπείνασε· καὶ ἰδὼν συκῆν ἦλθεν ἐπ' αὐτήν· εἰ γὰρ παρέδραμε τὴν συκῆν, εἶχεν ἂν ἐν τῇ συκῇ τὴν καλιὰν αὐτοῦ ὁ ὄφις ἀθάνατον· ἀλλ' ἦλθεν ἐπὶ τὴν συκῆν, καὶ ταύτην ἐξήρανεν· ὑπὸ τοιαύτην συκῆν τὸν Ναθαναὴλ ὄντα ἰδὼν ὁ Κύριος· πρὸ τοῦ γάρ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε, ταύτην τὴν συκῆν προορῶν ὁ προφήτης μέλλουσαν ἄκαρπον γίνεσθαι, ἔλεγεν, ἀναβήσομαι εἰς λαὸν παροικίας μου· διότι συκῆ οὐ καρποφορήσει· ἐπὶ τοιαύτην συκῆν ἀνέβη ὁ Ζακχαῖος ἰδεῖν τὸν Ἰησοῦν· πρὸς ὃν ἔλεγε, σπεύσας κατάβηθι· ἐκεῖ ὁ ὄφις καμπύλος ἐνειλεῖται.

A *æternum.* Ego verò huic expoſitioni contradicere conabor, dilectiſſimi: non enim ea eſt vera & exacta ſignificatio; quomodo namque maledixiſſet Dominus, qui dicit, *Benedicite, & nolite maledicere?* quomodo autem ſynagogæ maledixiſſet, & eam areſeciſſet, qui dicit, *Non venit filius hominis perdere, ſed quærere, & ſalvum facere, quod perierat?* Quòd ſi quis adhuc contradicat & contendat, Judæorum ſynagogæ aſſimilatam eſſe ficum exactè, reſpondeat, quo pacto ab radice areſacta ſynagoga talem fructuoſum ramum ſuaviſſimum Paulum germinarit, multos verò etiam alios ex ſynagoga Judæorum converſos novimus: nam & Stephanus qui lapidatus eſt à Judæis, ex illa erat ſynagoga, & Aquila, & Priſcilla, multique alii, quorum enumerationem propter dictionum multitudinem commemorare jam nolumus. Porro non prorſus Deum repuliſſe populum Judæorum teſtetur mihi Paulus dicens: Dico ergo: *Nunquid Deus prorſus repulit populum ſuum? abſit. Nam & ego Iſraelita ſum, ex ſemine Abraham de tribu Benjamin.* Non repulit Deus plebem ſuam, ſed & populo illi ſalutem in noviſſimis diebus pollicetur, dum ait: *Cùm autē plenitudo Gentium intraverit, tunc omnis Iſrael ſalvus fiet;* ſi enim inimici Dei facti ſunt, ut nos propter incredulitatem illorum miſericordiam conſequamur: ut teſtatur Paulus cùm ait: Secundùm Evangelium quidem inimici propter nos: ſecundùm electionem autem chariſſimi propter patres: ſine pœnitentia enim ſunt dona & vocatio ſancta. Quærendum eſt ergo cujuſnam rei figuram & imaginem præ ſe ferrent ea quæ de ficu narrata ſunt. Verumenimvero ſi recordatus fueris tu Adam, quo tempore in paradiſo denudatus es, cujuſnam arboris ſumptis frondibus & conſutis amictum tibi contexueris, videbis quo pacto jure folia areſecerit, num enim quæſo ſumptis foliis ficus tuam ignominiam occultabas? venit igitur Christus & florentem in te ficum ignominiæ velamen verbo areſecit: ſuſtulit paupertatem tuam, & tibi divitias eſt largitus: ſuſtulit ignominiæ tuæ velamina, & tibi niveo colore ſplendentem ſtolam ex aqua & ſpiritu contextam largitus eſt, areſecit ficulneæ folia, & reſtituit tibi animæ ſpolia, quænam ſpolia? quibus te ſerpens in paradiſo ſpoliavit, æqualem Angelis vitam, paradiſi delitias, ſtolam immortalitatis. Verum ad parabolæ caput revertamur, Mane ſiquidem inquit revertens Jeſus in civitatem, eſuriit, mane poſtquam erroris nox præterierat, & diluculum Chriſtus mundo lumine reſurrectionis illuxerat: diluculum enim inquit eſt Chriſtus, prout ait Propheta: quaſi diluculum paratum inveniemus eum. Mane revertens Jeſus, mane cùm mortem tenebras invehentem Chriſtus luce gloriæ deleviſſet, & radiis aureis ſol juſtitiæ in obtenebratis hominum cordibus refulſiſſet. Mane cùm calentes divinitatis radios diffudiſſet, & enectas animas à diabolo concaleſeciſſet. *Non eſt qui ſe abſcondat à calore ejus;* frigidiſſimo namque peccato diabolus animas enecavit: quamobrem precatur Propheta dicens: *Ure renes meos, & cor meum,* ſiquidem frigore impietatis humanitas omnis conſtricta erat: ideoque Prophetæ omnes uno animo Deum obſecrabant dicentes, *Converte Domine captivitatem noſtram ſicut torrentes in Auſtro:* hoc eſt, quemadmodum Auſter ubi congelatas aquas calidè perflaverit, ad priorem aquæ naturam eas reducit: pari modo nos quoq; diaboli peccato enectos, tanquam Auſter calidè perflans in antiquam immortalitatis naturam reſolvit. Hunc calorem Auſtri, ut aſpiret, ſponſa Eccleſia in Canticis Canticorum advocat, dicens, *Exurge Aquilo, & veni Auſter, perfla hortum meum, & fluant aromata.* Mane inquit revertens: rectè illud ſcripſit, revertens, ut ſignificet, cùm Adamus è paradiſo excidiſſet, rurſum veniſſe Chriſtū Dominū noſtrū ut in eundē locū ipſum reduceret. Mane revertens Jeſus in civitatē eſuriit. cùm civitatē nunc audieris, noli inferiùs circūſpicere, ſed ad Hieruſalē quæ ſurſum eſt, reſpice, ad ſedē cœleſtē: *Etenim converſatio noſtra in cœlis eſt.* Mane revertens Jeſus in civitatem, eſuriit, non cibum expetens humanum: Meus quippe cibus eſt, ut faciam voluntatem patris mei, ut credant in eum qui miſit illum. Qui enim credit in eum, ſicut dixit ipſe, non morietur in æternum. Mane Jeſus revertens in civitatem, eſuriit, & videns ficum, venit ad eam, ſi enim ficum præteriiſſet, immortalem in ficu nidum ſuum ſerpens habuiſſet: ſed venit ad ficum, & illam areſecit: ſub tali ficu Nathanael cùm eſſet, à Domino viſus eſt: *Prius enim quàm te Philippus vocaret, cùm eſſes ſub ficu, vidi te:* hanc ficum prævidens infructuoſam redditum iri, Propheta dicebat, *Aſcendam ad populum peregrinationis meæ:* quoniam ficus non afferet fructum, talem in ficum Zachæus aſcendit, ut Jeſum videret: cui dixit: *Feſtinans deſcende:* illic ſerpens tortuoſus circumvolvitur: illic ni-

[Luc. 9, 56. & 19, 10.] [Rom. 11, 1.] [Rom. 11, 12] [Pſal. 18, 7.] [Pſal. 25, 2.] [Pſ. 125, 4.] [Cant. 4, 16.] [Phil. 3, 20.] [Joh. 1, 48.] [Hab. 3, 17.] [Luc. 19, 5.]

dum conſtruxit: illic ſe occultavit: feſtinans deſcende. Lepidè autem Evangeliſta ſycomorum dixit, de Zachæo loquens, ut latam ſpatioſamque viam indicaret cum ſtultitia eſſe copulatam, unde peſſimum exitium naſcatur, venit ad ficum *Dominus*, hæc ficus latæ ac ſpatioſæ viæ imaginem præ ſe ferebat: eſt enim ficus planta latis frondibus, & pruritum excitans, peccatum etiam pruritum excitat, per latam & ſpatioſam viam ad perditionem deducens. Suaviſſimus eſt ficus fructus, ſuavis eſt voluptas, quæ in lapſum peccati dejicit eos qui ad ipſam accedunt. Fuge guſtum ejus, chariſſime: dulcis enim eſt in guſtu, ſed amara poſt actum. Mel enim diſtillat à labiis mulieris meretricis, & ad tempus impinguat fauces: poſtea vero amarius felle invenies, & acutum magis quàm gladium utrinque acutum: meretrix eſt voluptas, quæ dulcia tecum principio loquitur, clam inter colloquendum amaritiem mortis interſerens: talis erat & ſerpens: dulcis in verbo, & amarus in dolo: dulcis quidem in eſu, ſed amarus in caſu. Fuge igitur chariſſime, meretricem, quæ dulcis eſt in colloquio & acerba vulnera infligit. Fuge voluptatem, ut Elias Jezabelem. Venit igitur Dominus è cœlis: eſuriit vitam hominum invenire, invenit latæ ac ſpacioſæ vitæ hujus viæ inſiſtentem; venit ad eam & invenit eam foliis comantem, hoc eſt, documentis peccati florentem, ſed ipſam tamen fructum mortis non habentem, quid ita? quoniam tempus non erat: hoc enim adjunxit Evangeliſta, Non habuit inquit fructum, non enim erat tempus, quomodo enim adhuc fructificare mortem poterat, cùm adveniſſet Jeſus, & mundo reſurrectionem prædicaret? non erat adhuc ejus tempus, ut mortem fructificaret. Regnavit quippe mors ab Adam uſque ad Moyſem: hoc eſt, legem. Solet enim, inquit, ſcriptura Moyſem legem appellare, ut in Evangelio: Habent Moyſem & Prophetas. Dixit illi Dominus, ne ultrà & ne amplius ex te fructus naſcatur in ſempiternum, hoc eſt, ante adventum meum fructificaſti mortem; ecce adveni, hæc eſt reſurrectio: cùm ego advenerim: nunquam ex te fructus naſcatur in ſempiternum. Et areſacta eſt continuò ficulnea: & impletum eſt quod ſcriptum eſt: Abſorpta eſt mors in victoria. Ubi eſt mors ſtimulus tuus? ubi eſt tua inferne victoria? cùm enim dixit Evangeliſta tum temporis hyemem fuiſſe, cùm luxuriabat foliis ficus; tum luxuriaſſe peccatum indicavit, quod toti hominum generi Diabolus inſidens hyems eſſet. Etenim antequã princeps pacis Chriſtus adveniret, mortalium genus diverſis ſpiritibus ad idolorum cultus & ſanguinis effuſiones concitabatur: poſtquam autem Dominus noſter Jeſus Chriſtus pax mundi venit, adverſariorum ſcopulos ſedavit, à quibus perturbationum vitæ hujus mare ſalſuginoſum turbabatur, & ſpumantes voluptatum fluctus ſuſtulit: cùmque ficum areſeciſſet, crucem plantavit, quæ fide floruit & vitam omnibus coruſcavit: cujus crucis radices quidem in terram defixæ ſunt: at in cœlos protenſi ſunt rami; cujus folia ſunt ſenectutis expertia, & flos immarceſcibilis, & fructus immortalis: cujus ligni meminit & David, dicens, Et erit tanquam lignum, quod plantatum eſt ſecus decurſus aquarum: quod fructum ſuum dabit in tempore ſuo: & folium ejus non defluet. Hujus ligni meminit Sapientia, dum ait, Lignum vitæ eſt omnibus, qui complectuntur eam. hoc lignum cùm oculo prophetico Hieremias conſpexiſſet, à Judæis adverſus Chriſtum fabricandum, in os Judæorum proloquutus eſt, dicens ipſis, Venite mittamus lignum in panem ejus, & eradamus eum de terra viventium, lignum eſt crux, panis corpus Chriſti. Dominus enim accepto pane dixit, Hoc eſt corpus meum, quod pro vobis frangitur in remiſſionem peccatorum. In hanc tabulam crucis erectam cùm Dominus noſter Jeſus Chriſtus aſcendiſſet, & ſuas manus expandiſſet, ac volantes in aëre virtutes expuliſſet, expeditam nobis in cœlum viam munivit, & ſcalam nobis fidem à terra ſurſum tendentem; quodque admiratione dignum eſt, ſi attenderitis dilectiſſimi: ſtetit crucis arbor, expanſa eſt vitis vera: quæ dicit: Ego ſum vitis vera: & facta eſt diabolo quidem lethifer palmes: nobis autem vitam afferens palmes, peccatorum noſtrorum æſtum reprimens & refrigerii nobis umbram impertiens. Sub ejus umbra qui conſidet, illud dicet quod à Salomone prolatum eſt, *In umbra ejus concupivi, & ſedi, & dulcis ejus fructus faucibus meis.* In hac umbra confidens beatus David dicebat: *Et in umbra alarum tuarum ſperabo:* quouſque tandem? Donec tranſeat iniquitas mea. O rem mirabilem, novumque myſterium! fons in arbore poſitus erat, & ab eo crux irrigabatur, lancea namque vulneratus in latere ſanguinem & aquam emiſit: ſanguine quidem crucem purpurans, aqua vero radices ejus irrigans, ut immortales fructus credentibus in perpetuum germinet. O beatiſſimam arborem, quam Reges colunt & Præſides venerantur!

Cant. 2, 9.

Pſal. 46, 2.

A ἐκεῖ ἐνέσπευσεν, ἐκεῖ κέκρυπται· σπεύσας κατάβηθι. χαριέντως δὲ ὁ εὐαγγελιστὴς εἶπε συκομορέαν ἐπὶ τοῦ Ζακχαίου, ἵνα σημάνῃ ὅτι ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς συμπέπλεκται τῇ μωρίᾳ, ὅθεν τίκτεται ὁ κάκιστος μόρος. ἦλθεν ἐπὶ τὴν συκῆν ὁ Κύριος· αὕτη ἡ συκῆ εἰκόνα ἔφερε τῆς πλατείας καὶ εὐρυχώρου ὁδοῦ· πλατύφυλλον γάρ ἐστι τὸ φυτὸν τῆς συκῆς, καὶ κνησμώδης ἐστὶν ἡ ἁμαρτία· διὰ τῆς πλατείας καὶ εὐρυχώρου ὁδοῦ ἀπάγουσα εἰς τὴν ἀπώλειαν· γλυκύτατός ἐστιν ὁ

B καρπὸς τῆς συκῆς· γλυκεῖά ἐστιν ἡ ἡδονή, εἰς ὄλισθον ἁμαρτίας τοὺς προσεγγίζοντας αὐτῇ καταρρηγνῦσα. φεῦγε αὐτῆς τὴν γεῦσιν, ὦ ἀγαπητέ, γλυκεῖα γάρ ἐστιν ἐν τῇ γεύσει, πικρὰ δὲ μετὰ τὴν πρᾶξιν· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, καὶ πρὸς καιρὸν λιπαίνει τὸν φάρυγγα· ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον διστόμου μαχαίρας. πόρνη ἐστὶν ἡ ἡδονή, γλυκεῖά σοι προσομιλοῦσα τὰς ἀρχάς, λαθραίως παρεμβάλλουσα ἐν τῇ ὁμιλίᾳ

C τὸ πικρὸν τοῦ θανάτου. τοιοῦτος ἦν καὶ ὁ ὄφις, γλυκὺς ἐν τῷ λόγῳ, καὶ πικρὸς ἐν τῷ δόλῳ· γλυκὺς μὲν τὸ βρῶμα, πικρὸς δὲ τὸ πτῶμα· φεῦγε οὖν, ἀγαπητέ, τὴν πόρνην, τὴν γλυκεῖάν σοι ὁμιλοῦσαν καὶ πικρὰ τραύματα ἐμφέρουσαν· φεῦγε τὴν ἡδονήν, ὡς Ἠλίας τὴν Ἰεζάβελ. ἦλθε τοίνυν ὁ Κύριος ἀπ' οὐρανῶν· ἐπείνασε τὴν ζωὴν τῶν ἀνθρώπων εὑρεῖν· εὗρε τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν τοῦ βίου τούτου ἑστῶσαν· ἦλθεν ἐπ' αὐτήν, καὶ εὑρίσκει αὐτὴν φύλλοις κομῶσαν· τοῦτ'

D ἔστι, δόγμασιν ἁμαρτίας ἀνθοῦσαν, μὴ ἔχουσαν δὲ αὐτὴν καρπὸν εἰς θάνατον· διὰ τί; ἐπειδὴ οὐκ ἦν καιρός. τοῦτο γὰρ προσέθηκεν ὁ εὐαγγελιστής. οὐκ εἶχε, φησί, καρπόν· οὐ γὰρ ἠδύνατο εἰς θάνατον καρποφορῆσαι Ἰησοῦ παραγενομένου, καὶ ἀνάστασιν τῷ κόσμῳ κηρύττοντος. οὐκ ἔτι ἦν αὐτῇ καιρὸς καρποφορεῖν θάνατον· ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, τοῦτ' ἔστι, τοῦ νόμου· οἶδε γάρ φησιν ἡ γραφὴ τὸν νόμον λέγειν Μωϋσέα· ὡς ἐν τῷ εὐαγγελίῳ,

E ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· εἶπε Κύριος πρὸς αὐτήν, μηκέτι καὶ μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. τοῦτ' ἔστι, πρὸ τῆς ἐμῆς παρουσίας ἐκαρποφόρησας θάνατον· ἰδοὺ ἐγὼ παραγέγονα, αὕτη ἀνάστασις. ἐμοῦ παραγενομένου μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· καὶ εὐθέως ἐξηράνθη ἡ συκῆ, καὶ ἐπληρώθη τὸ γεγραμμένον, κατεπόθη ὁ θάνατος εἰς νῖκος· ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; εἰπὼν γὰρ ὁ εὐαγγελιστὴς χειμῶνα εἶναι κατ' ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ ἡ συκῆ τοῖς φύλλοις ἐκόμα, ἐμήνυσεν ὅτι

A ἡ ἁμαρτία ἐκόμα, διὰ τὸ εἶναι τὸν διάβολον χειμῶνα ἐπικείμενον πάσῃ τῇ ἀνθρωπότητι. πρὸ γὰρ τῆς τοῦ εἰρηνάρχου Χριστοῦ παρουσίας ποικίλοις πνεύμασιν ἐσαλεύετο τὸ τῶν ἀνθρώπων γένος πρὸς εἰδωλολατρείας καὶ αἱμοχυσίας· ἐλθὼν δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡ εἰρήνη τοῦ κόσμου, κατέστειλε τὰς τῶν ἐναντίων σπιλάδας ταραττούσας τὴν τοῦ βίου τούτου τῶν παθῶν ἁλμυροφόρον θάλασσαν, καὶ τὰ ἀφροφόρα τῶν ἡδονῶν κατέσβεσε κύματα. καὶ ξηράνας τὴν συκῆν ἐφύ-

B τευσε σταυρὸν πίστει ἀνθοῦντα, καὶ ζωὴν πᾶσιν ἀστράπτοντα· οὗ σταυροῦ αἱ μὲν ῥίζαι εἰς τὴν γῆν ἐτέθησαν, οἱ δὲ κλάδοι εἰς οὐρανοὺς ἀνετάθησαν· οὗ τὰ φύλλα ἀγήρατα, καὶ τὸ ἄνθος ἀμάραντον, καὶ ὁ καρπὸς ἀθάνατος· οὗ καὶ ὁ Δαβὶδ μέμνηται ξύλου, λέγων· καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται. τούτου τοῦ ξύλου μέμνηται καὶ ἡ σοφία λέγουσα, ξύλον ζωῆς ἐστι

C πᾶσι τοῖς ἀντεχομένοις αὐτοῦ· τοῦτο τὸ ξύλον προφητικῷ ὀφθαλμῷ θεωρήσας Ἱερεμίας, ὑπὸ τῶν Ἰουδαίων μέλλον κατὰ Χριστοῦ πλέκεσθαι, εἰς πρόσωπον τῶν Ἰουδαίων ἀπεφθέγξατο, λέγων αὐτοῖς· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων· ξύλον ὁ σταυρός, ἄρτος τὸ σῶμα Χριστοῦ· λαβὼν γὰρ ὁ Κύριος ἄρτον, εἶπε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ἐπὶ τοῦτο τὸ ἴκριον τοῦ σταυροῦ ἀναβὰς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ τὰς χεῖρας αὐτοῦ ἐκπετάσας, καὶ

D τὰς ἐν τῷ ἀέρι πετωμένας δυνάμεις ἐξελάσας, ἀνεμπόδιστον ἡμῖν τὴν εἰς οὐρανὸν πορείαν ηὐτρέπισε, καὶ κλίμακα μακρὰν ἡμῖν τὴν πίστιν ἀπὸ γῆς εἰς οὐρανὸν ἀνατείνουσαν. καὶ τὸ παράδοξον ἐὰν ἀκούσητε ἀγαπητοί, ἔστη τὸ δένδρον τοῦ σταυροῦ, ἐφηπλώθη ἡ ἀληθινὴ ἄμπελος, ἡ λέγουσα, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· καὶ ἐγένετο τῷ μὲν διαβόλῳ ἀναδενδρὰς θανατηφόρος· ἡμῖν δὲ ἀναδενδρὰς ζωηφόρος· τὸν καύσωνα τῶν ἁμαρτιῶν ἡμῶν ἀναστέλλουσα, καὶ σκιὰν

E ἀναπαύσεως ἡμῖν δωρουμένη. ὑπὸ τὴν σκιὰν αὐτοῦ ὁ καθήμενος, λέγει τὸ ὑπὸ τοῦ Σολομῶντος εἰρημένον· ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ γλυκὺς αὐτοῦ ὁ καρπὸς ἐν τῷ λάρυγγί μου. ἐν ταύτῃ τῇ σκιᾷ θαρρήσας ὁ μακάριος Δαβὶδ ἔλεγε, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ· ἕως πότε; ἕως οὗ παρέλθῃ ἡ ἀνομία μου. ὢ θαυμαστοῦ πράγματος καὶ μυστηρίου καινοῦ· ἡ πηγὴ ἐπὶ δένδρου ἦν, καὶ ὁ σταυρὸς ὑπ' αὐτῆς ἐποτίζετο· νυγεὶς γὰρ λόγχῃ τὴν πλευρὰν αὐτοῦ αἷμα καὶ ὕδωρ ἐξέπεμψε· τῷ μὲν αἵματι τὸν σταυρὸν πορφυρίζων, τῷ δὲ ὕδατι ἄρδων αὐτοῦ τὰς ῥίζας, ἵνα ἀθανάτους καρποὺς τοῖς πιστεύουσιν εἰς ἀεὶ ἀναθάλλῃ. ὢ

δένδρον

δένδρον μακάριον ὁ βασιλεὺς ἡμῶν καὶ ὕπαρχοι σέβονται, ἄνδρες τε καὶ γυναῖκες καὶ πᾶσα φύσις καὶ κτίσις ἀνθρώπων φυλακτήριον κέκτηνται· οἱ δαίμονες φρίττουσι, καὶ ὁ διάβολος τρέμει· οἱ ἄγγελοι ὑμνοῦσι, καὶ οὐρανοὶ εὐλογοῦσιν. ἐκκλησίαι δὲ συμφωνοῦσι τὸν ἐν αὐτῷ σταυρωθέντα Χριστόν· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

viríque ac mulieres, & omnis natura creaturáque hominum monimentum ac præſidium poſſident: dæmones horrent, & diabolus tremit, Angeli collaudant, & cœli benedicunt; Eccleſiæ verò Chriſtum, qui in ea crucifixus eſt honoribus proſequuntur. Cui gloria & imperium nunc & ſemper & in ſecula ſeculorum. Amen.

Εἰς τὸν Φαρισαῖον. ὁμιλία.

ΩΣΠΕΡ πατὴρ φιλότεκνος προσομιλῶν τοῖς ἑαυτοῦ φιλτάτοις ὑπὸ τῆς οἰκείας ἀγάπης ἑλκόμενος, καὶ ὄντων νηπίων μὴ δυναμένων ἀκούειν τελείων ῥημάτων διὰ τὴν νηπιώδη τὴν ἕξιν, ὁ πατὴρ ὑπαλλάξας τὴν φωνὴν, καὶ τὸ τροχαλὸν τῆς εὐγλωττίας ἀποθέμενος, ψελλίζειν αὐτοῖς ἄρχεται, καὶ ἐκ τοῦ λέγειν καὶ ἀκούειν πρὸς μείζονα ῥημάτων κατάληψιν τοὺς φιλτάτους ἑαυτοῦ ἐνάγει· τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος ἡμῶν διὰ πολλὴν τὴν περὶ τὸ ἴδιον πλάσμα ἀγάπην Θεὸς Λόγος ὑπάρχων ἀνθρώπινον λόγον ἀναλαβὼν ἐλήλυθε πρὸς ἡμᾶς, ἵνα ἐκ τοῦ ὁμιλεῖν αὐτὸν καὶ συνδιατρίβειν, οὐράνιον ἀποκάλυψιν ἐπιδείξας ἐπὶ τὴν οὐράνιον κλίμακα, τουτέστι τῆς ἐλπίδος ἡμᾶς ὁδηγήσῃ. καλεῖται γοῦν εἰς ἄριστον ὑπὸ Φαρισαίου, ὡς ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελίου κηρύττοντος, καὶ οὐκ ἀποστρέφεται τὸν καλοῦντα. οὐ γὰρ ἦλθε τὸ ἀξίωμα τῆς θεότητος αὐτοῦ δεῖξαι, ἀλλὰ τὴν πεπτωκυῖαν ἀνθρωπότητα ἐκ τῶν καταχθονίων ῥύσασθαι. καλεῖται εἰς ἄριστον ὑπὸ Φαρισαίου, καὶ οὐ παραιτεῖται, ἵνα καὶ πλουσίους παιδεύσῃ μὴ ὑπερορᾶν τραπέζας πενήτων, καὶ δικαίους διδάξῃ μὴ διαπτύειν τραπέζας ἁμαρτωλῶν· πολλοὶ γὰρ παρ' ἑαυτοῖς δοκοῦντες εἶναι δίκαιοι, καταπτύουσι τραπέζας ἁμαρτωλῶν, καὶ οἱ πλούσιοι τῶν πενήτων. βουλόμενος γὰρ ὁ Κύριος πάντας εἶναι φιλτάτους, φιλαδέλφους, ἀγαπητικοὺς, ταπεινόφρονας, πρῶτος ἄρχεται τοῦ ἔργου, ἵνα ἐκ τοῦ ποιῆσαι διδάξῃ. διὸ λέγει, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. σὺ οὖν ὁ ἐν εὐλαβείᾳ ἀσκούμενος ἐπειδὰν κληθῇς ὑπό τινος ἁμαρτωλοῦ, μὴ παραιτήσῃ· κἂν ὀνειδίζῃ ὑπό τινος λέγοντος, διατί μετὰ ἁμαρτωλῶν ἐσθίεις καὶ πίνεις; ἀνταποκρίθητι λέγων, οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· δίκαιος γάρ εἰμι, οὐχ ἵνα δικαίους σώσω, ἀλλὰ ἁμαρτωλοὺς ἐπιστρέψω. καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ὁ ἐκ πέντε ἄρτων, πέντε χιλιάδας εἰς κόρον διαθρέψας ἐν τῇ ἐρήμῳ, ὁ τὴν ἀπέρατον καταξηράνας θάλασσαν, καὶ καθάπερ διὰ χλοηφόρου πεδίου τῆς θαλάσσης τὸν Ἰσραὴλ διαγαγών, οὐρανόθεν αὐτοῖς τὸ μάννα ἐπομβρήσας, καὶ ὅλην τὴν ἡμέραν ἐκ τῆς λαμπρότητος τοῦ μάννα χιόνας· καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ἐν τοῖς ἀρίστοις τὰ ἄριστα τῶν μαθημάτων τοὺς καλοῦντας αὐτὸν ἐκδιδάσκων· ἀπέρχεται γὰρ εἰς ἄριστον, οὐχ ἵνα τῶν Φαρισαίου βρωμάτων ἐμφορηθῇ, ἀλλ' ἵνα ὁ Φαρισαῖος τῶν τοῦ Κυρίου διδαγμάτων ἐμπλησθῇ. καλεῖται εἰς ἄριστον, καὶ ἔρχεται εἰς οἶκον τοῦ Φαρισαίου, καλύπτων τὴν θεότητα ἀνθρωπότητι, ἵνα μὴ ἄφνω θεασάμενος τὴν ἐξαστράπτουσαν αἴγλην τῆς θεότητος, φύγῃ ἐκ τοῦ οἴκου ὁ καλέσας τὸν δεσπότην. εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον ὁ οὐράνιος βασιλεὺς πρὸς τὸν αἰχμάλωτον, καὶ καλύπτει τὸ βασιλικὸν ἀξίωμα τῷ δερματίνῳ καταφράκτῳ τῆς σαρκὸς, ἵνα μὴ θεωρήσας τὸν οὐράνιον βασιλέα τρομάξῃ ὁ αἰχμάλωτος, καὶ εἰς γῆν καταδύσῃ. εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον ὁ ἥλιος τῆς δικαιοσύνης, τὰς χρυσαυγαζούσας τῶν ἀκτίνων λαμπηδόνας καλύπτων τῇ νεφέλῃ τοῦ σώματος, ἵνα μὴ θεωρήσας ὁ ἄνθρωπος ἀπολέσῃ τὴν ὅρασιν. εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου ὁ οὐράνιος ποιμὴν ἐάσας ἐπὶ τῶν ὀρέων τὰ ἐννενήκοντα ἐννέα πρόβατα· εἰσέρχεται ἐπὶ τὸ ἀπολωλός· εἰσέρχεται εἰς τὴν μάνδραν αὐτοῦ καλύπτων τὸν ποιμένα ἐν τῷ ἀρνίῳ τοῦ σώματος· οὐ βακτηρίαν ἐπιφέρεται, οὐ ῥάβδον ἀπειλοῦσαν τὴν προτέραν πλάνην, ἵνα μὴ δειλιάσαν καὶ πτοηθὲν τὸ πρόβατον πάλιν ἀποδράσῃ τῆς ἰδίας ποίμνης· ἀλλ' εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου οὐχ ὡς Θεὸς, οὐχ ὡς βασιλεὺς, οὐχ ὡς ἥλιος δικαιοσύνης, ἀλλ' ὡς ἄνθρωπος πρὸς ἄνθρωπον, ὡς ἀρνίον πρὸς ἀρνίον· συνδιαιτᾶται αὐτῷ, συννέμεται, συγκαθέζεται, εἰσέρχεται, συναναπίπτει τῷ ἤδη πεπτωκότι ὑπὸ τὴν ἁμαρτίαν, ἵνα ἐν τῷ συναναπίπτειν αὐτῷ τὸν ἤδη πεπτωκότα συνεγείρῃ. καὶ εἰσελθὼν οὐκ ἐβαπτίσθη κατὰ τὸ ἔθος τῶν Φαρισαίων. τοῦτο δὲ ἐποίει κατὰ δύο τρόπους, ἵνα δώσῃ ἀφορμὴν τῷ προβάτῳ λαλεῖν πρὸς τὸν ποιμένα· ἵνα δὲ καὶ δόγμα Ἰουδαϊκὸν καταλύσῃ, καὶ βεβαιώσῃ πνευματικόν. εἶδε γάρ φησιν ὁ Φαρισαῖος, καὶ ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη. οὐκ ἐπαινῶν τὸν διδάσκαλον, ἀλλὰ ἀπορῶν τὸ γινόμενον· οὐκ ἐπαινῶν, ἀλλὰ κρίνων. καὶ ἦν ἰδεῖν, ἀγαπητοὶ, τὸν ζωοπλάστην ὑπὸ τοῦ πλάσματος κρινόμενον, καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ διορθούμενον. τοῦτο ἔπασχεν ὁ Φαρισαῖος μὴ θεωρῶν τοῖς κρυπτοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν

De Phariſæo. Tractatus.

Luc. 11. 36. ſeq.

Eodem interprete.

QUEMADMODUM pater liberorum amans, quem ad colloquia cum chariſſimis ſuis pignoribus miſcenda proprii amoris vis pellicit, cùm propter infantilem corporis habitudinem verba perfecta minimè capiant, immutata nonnihil voce, atque expeditæ linguæ volubilitate ſemota, balbutire cum ipſis incipit: atque ita dum loquitur, auditque dilectos liberos, ad verba meliùs percipienda ſenſim provehit: eodem etiam pacto Dominus noſter præ nimia in figmentum ſuum charitate, cùm ſit Deus Verbum, humanis verbis aſſumptis ad nos venit: ut, cùm ex ſuo colloquio atque convictu cœleſtem nobis revelationem manifeſtaſſet, nobis ad ſcalam cœleſtem, ſpei nimirū, gradum ſterneret. Ad prandium igitur à Phariſæo vocatur, ut ex Evangelii præconio paulo antè audivimus; neque vocantem averſatur. Non enim venit ut ſuæ divinitatis oſtenderet dignitatem, ſed ut colloplam vindicaret ab inferis humanitatem. Ad prandium à Phariſæo vocatur, nec recuſat: ut & divites inſtruat pauperum menſas non deſpicere, & juſtos doceat à peccatorum menſa non abhorrere: multi enim qui ſibi eſſe juſti videntur, à peccatorum, & divites à pauperum menſis abhorrent. Volens namque Dominus, omnes ut benevoli maximè ac fratrum amatores, charitate pleni, & humiles ſimus, primus opus aggreditur, ut factis ſuis nos doceat: idcirco ait, *Diſcite à me quia mitis ſum & humilis corde.* Tu ergo, qui in religione exerceris, ſi quando à quopiam peccatore vocatus, non recuſaveris, licet unus aliquis exprobret tibi ac dicat, Quid ita cum peccatoribus manducas, & bibis? viciſſim in hæc verba reſponde; non eſt opus valentibus medicus, ſed male habentibus: juſtus enim ſum, non ut juſtos ſalvem, ſed ut peccatores convertam. Vocatur ad prandium Dominus, nec recuſat, qui ex quinque panibus quinque millia ad ſatietatem in deſerto nutrivit: qui mare impervium arefecit, & quaſi per campum herbis virentem per mare Iſraëlem traduxit: qui pluit illis manna de cœlo, & toto die ex ſplendore mannæ nives. Vocatur ad prandium Dominus, nec recuſat, in prandiis eos optimis erudiens diſciplinis, à quibus vocatur. Ad prandium enim pergit non ut epulis Phariſæi ſaturetur, ſed ut Phariſæus Domini documentis expleatur: Vocatur ad prandium, & in ædes Phariſæi venit, ac divinitatem humanitate occultat: ne ſi fortè derepente fulgurantem divinitatis ſplendorem intuitus eſſet, ex ædibus fugeret is qui Dominum invitarat. Ingreditur domum Phariſæi Rex cœleſtis ad captivum, & pellea carnis lorica regiam obtegit majeſtatem: ne ſi regem cœleſtem captivus conſpexerit, contremiſcat terræque receſſibus ſe abdat. Ingreditur domum Phariſæi ſol juſtitiæ radiorum ſcintillas auri in modum fulgentes nube corporis obvelans: ne, ſi eum intuitus fuerit homo, viſum amittat. Ingreditur domum Phariſæi paſtor cœleſtis, nonaginta novem ovibus in montibus derelictis, ingreditur ad eam, quæ perierat: in ovile ſuum ingreditur, paſtorem ſub corporis agno abſcondens. Non baculum geſtat, non virgam ob errorem priorem minantem: ne perterrefacta & expaveſcens ovis rurſus ab ovili ſuo reſiliat: verùm ingreditur domum Phariſæi, non ut Deus, non ut Rex, non ut ſol juſtitiæ, ſed ut homo ad hominem, ut agnus ad agnum, ſimul cum illo veſcitur, ſimul paſcitur, ſimul ſedet; ingreditur ſimul, recumbit cum eo, qui jam ceciderat in peccatum: ut dum cum illo recumbit, eum, qui jam ceciderat, ſimul erigat. Et cùm ingreſſus eſſet, non eſt baptizatus ſecundùm conſuetudinem Phariſæorum, hoc autem duas ob cauſas faciebat: ut ovi paſtorem alloquendi occaſionem præberet, itémque ut Judaicam doctrinam everteret, ac ſpiritualem ſtabiliret. Vidit enim, inquit, Phariſæus, & miratus eſt, quare priùs baptizatus non eſſet, non laudans magiſtrum; ſed illud ignorans quod factum erat: non laudans, ſed indicans. Ac videre erat, dilectiſſimi, creatorem animantium à creatura judicatum, & figulum à luto correctum. Hoc accidebat Phariſæo, quòd oculis cordis occultis non intueretur eum,

Matt. 11. 29.

cùm primum leguntur Evangelia, ſtat ſummo cum timore ſummoque ſtudio, ac ne diademate quidem redimitum eſſe caput ſuum permittit, ſed Deum in Evangeliis loquentem inflexa cervice veneratur. Quid dicens? Nota eſt mihi dignitas ejus, qui hanc contulit dignitatem: adoro regnum ejus qui mihi tribuit regnum, & dum ejus ſancta leguntur oracula, ſto cum timore: quandoquidem, inquit, ipſum Principibus dedit, ut ſtarent quando legitur regium victoriæ monumentum. Ac ne fortè nobis exprobret hæreticus, ac dicat Reges ad perexiguum modò tempus ſimulatè Chriſto hunc honorem deferre, audi Prophetam dicentem: (jam enim ante multa ſecula imaginem eorum, quæ nunc geruntur, deſcripſit;) Reges videbunt te, & conſurgent principes & exurgent, & adorabunt eum omnes Reges terræ. Diſce igitur & crede, ô hæretice, Chriſti Dei noſtri regnum in infinita ſecula permanere, ſimulque gratiam ejus quæ Chriſtianos coronat & in regnum cœlorum quaſi manu ducit. Atque ita Chriſtiani omnes illum ſpectantes omnia faciunt: & obedivimus, dicente illo, Sic luceat lux veſtra coram hominibus, ut videant opera veſtra bona, & glorificent patrem veſtrum qui eſt in cœlis: ipſi gloria, & imperium, & poteſtas, & adoratio, cum unigenito ejus filio ac ſancto & bono & vivifico & omnipotenti Spiritu nunc & ſemper & in ſecula ſeculorum. Amen.

A εὐθέως τῶν εὐαγγελίων ἀναγινωσκομένων ἵσταται μετὰ παντὸς φόβου, καὶ μετὰ πάσης σπουδῆς, καὶ οὐδὲ τὸ διάδημα συγχωρεῖ περικεῖσθαι τῇ κεφαλῇ αὐτοῦ, ἀλλ' ὑποκύπτει διὰ τὸν ἐν τοῖς ἁγίοις εὐαγγελίοις ὁμιλοῦντα Θεόν. Τί λέγων; οἶδα τὴν ἀξίαν τοῦ δεδωκότος ἐμοὶ τὴν ἀξίαν. προσκυνῶ τὴν βασιλείαν τοῦ δεδωκότος μοι τὴν βασιλείαν, καὶ ἵσταμαι μετὰ φόβου, τῶν ἁγίων αὐτοῦ λογίων ἀναγινωσκομένων· ἐπειδήπερ, φησὶν, αὐτὸς ἔδωκεν ἄρχουσιν ἵστασθαι πρὸς τὸ βασιλικὸν B ἐπινίκιον ἀναγινωσκόμενον. καὶ ἵνα μὴ λοιδορήσῃ ὁ αἱρετικὸς, λέγων, ὅτι πρὸς καιρὸν ὀλίγον μόνον ὑποκρίνονται οἱ βασιλεῖς τοῦ Χριστοῦ τὴν τιμὴν, ἄκουσον τοῦ προφήτου λέγοντος· [πρὸ πολλῶν γὰρ γενεῶν τὴν νῦν γινομένην εἰκόνα λέγει] Βασιλεῖς ὄψονταί σε, καὶ ἐγερθήσονται ἄρχοντες, καὶ ἀναστήσονται, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. μάνθανε οὖν καὶ πίστευε ὦ αἱρετικὲ, ὅτι εἰς τοὺς ἀπεράντους αἰῶνας διαμένει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἡ βασιλεία, καὶ C ἡ χάρις αὐτοῦ στεφανοῦσα πάντας τοὺς Χριστιανοὺς, καὶ χειραγωγοῦσα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. οὕτως πάντες οἱ Χριστιανοὶ πάντα πράττουσι πρὸς ἐκεῖνον ἀποβλέποντες, καὶ ἐπείσθημεν αὐτοῦ λέγοντος, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ ἐξουσία, καὶ ἡ προσκύνησις σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ D καὶ παντοδυνάμῳ πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

De fugienda ſimulata ſpecie, ac minime vera, Tractatus.

Matt. 7, 15. RUrſus Evangelica nobis in manus ſumenda eſt tuba, & Domini vobis admonitio enarranda. *Attendite* enim inquit *à falſis Prophetis, qui veniunt ad vos in veſtimentis ovium, intrinſecus autem ſunt lupi rapaces: à fructibus eorum cognoſcetis eos*, nam ex iis, quæ in dies geruntur, ubique ſpecies ſimulata deprehenditur: ſiquidem à voluntate dimanant actiones; voluntatem porro venerandus habitus non immutat. Fruſtra igitur labores ſuſcipit vir doloſus apud ſapientes, qui eum ex fructibus indagare poſſunt; & quiſnam ſit cognoſcere, qualiſcumque tandem feratur. Quid igitur teipſum in alieno habitu occultas? quid ovina pelle lupum abſcondis? paulo pòſt namque te veritas patefaciet, & dum veritatem fugis, à veritate deprehenderis. Cur cùm moribus aſperſis ſis, ſermones præfers humanitatis? tametſi te occultas, non latebit aſperitas tua: licet admodum ſuavis eſſe videare. Cur habitum induis amicitiæ, cùm ſis hoſtis? non vivimus in tenebris: patefiunt occulta, & quod abſcondebas, odium comperitur. Cur amicitiam ſimulas? cur adularis, quum non ames? odium iſthæc tibi pariet adulatio, tanquam ab inimico noxam inferens, non commodum ut ab amico: Laudas etenim etiam ea quæ prava ſunt, aſſentationis cauſa: non eſt autem adeo ſtupidus is, cui adularis, quin potiùs odiſſe debet eum, à quo propter peccata laudetur, cur juſti atque temperantis tibi figuram affingis, cùm in ſceleribus ac laſciviis perſeveres? cur arrogantiam cultu ac ſermone humilitatis obvelas, & invidiam diſſi-

Matt. 10, 26. mulas obſervantia? *Nihil enim eſt opertum, quod non revelabitur; & occultum, quod non ſcietur.* Multum eſt hominis probrum, mendacium: fugiamus ob mendacium objectam criminationem: ne tibi ipſi apud amicum fidem deroges, ut ne tum quoque cùm vera narras, non ampliùs fides habeatur: nam qui in uno mendax deprehenſus eſt, non ampliùs dignus eſt cui, licet vera dicenti, credatur. Loqui juſta, inquit, & veracem eſſe, placita ſunt Deo magis quàm hoſtiarum ſanguis. donum acceptum offeres Deo fidem ac veritatem. Facile tibi eſt alioquin ut res, uti ſunt eloquaris, non ut eas, quæ nuſquam ſunt, comminiſcaris: non enim laborabis connitendo ut pro veritate mendacium admittatur, neque ulla in re fatiſces contraria tibi ipſi loquendo: non enim ſibi ipſi conſonus eſt ſermo mendax: non quòd aliis impoſueris erubeſces tu, qui veritatem cuſtodis: jurejurando fide digniorem amici tuam orationem cenſebunt, ac teſtimonio quovis jusjurando firmato certius illud quod dixeris, tanquam juſtum & indubitatum teſtimonium tuum admittent: quandocunque ad teſtimonium dicendum prodieris, præclaram quidem tibi gloriam ob veritatem, verſantibus autem in periculo reis ſalutem, & injuria oppreſſis utilitatem in judicio conciliabis. Labia veracia, inquit, dirigunt teſtimonium verum: teſtis autem injuſtorum doloſus: benigno vultu te contuebitur judex, teque omni judiciaria diſquiſitione liberabit. Verumenimvero laude digna ſunt apud Deum humilitatis rectè facta, ſiquidem exequi ea poſſimus, etenim multi cum aliquid boni egerint, deprimere ſemetipſos conantur præter ipſam veritatem,

Ὅτι ἐπίπλαστον σχῆμα, καὶ μὴ ἀληθὲς, φεύγειν χρή. Ὁμιλία.

ΠΆλιν χρὴ μεταχειρίσασθαι ἡμᾶς τὴν εὐαγγελικὴν σάλπιγγα, καὶ τὴν τοῦ Κυρίου παραίνεσιν πρὸς ὑμᾶς ἐκφᾶναι. Προσέχετε γάρ φησιν, ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι E ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· ἐλέγχεται γάρ, φησι, ἐπίπλαστον σχῆμα πανταχοῦ διὰ τῶν καθ' ἑκάστην πραττομένων· ἀπὸ γὰρ τῆς προαιρέσεως αἱ πράξεις· τὸ σεμνὸν σχῆμα τὴν προαίρεσιν οὐκ ἀλλάττει. ματαιοπονεῖ οὖν παρὰ τοῖς σοφοῖς ὁ δολερὸς, τοῖς δυναμένοις αὐτὸν θηρᾶσαι διὰ τῶν καρπῶν, καὶ καταμαθεῖν ὅστις ἂν ὁποῖος φέρεται. τί οὖν κρύπτεις ἐν ἀλλοτρίῳ σχήματι σεαυτόν; τί κατακρύπτεις τῇ δορᾷ τοῦ προβάτου τὸν λύ- A κον; ἐκφαίνει γάρ σε μικρὸν ὕστερον ἡ ἀλήθεια, καὶ φεύγων ἀλήθειαν, ἁλώσῃ διὰ τῆς ἀληθείας. τί προβάλλῃ λόγους χρηστότητος τὸ πικρὸν ἦθος· καὶ κατακαλύπτων, οὐ λάθῃς πικρὸς ὤν. κἂν πάνυ γλυκὺς εἶναι προσποιήσῃ. τί φιλίας ὑποδύῃ σχῆμα πολέμιος ὤν; οὐκ ἐν σκότει ζῶμεν· ἐκφαίνεται τὰ κρυπτὰ, καὶ διελέγχεται τὸ μῖσος, ὅπερ ἔκρυπτες. τί προσποιῇ τὴν φιλίαν; τί κολακεύεις μὴ φιλῶν; μισητόν σου καὶ τὸ τῆς κολακείας γενήσεται, βλάβην ὡς παρ' B ἐχθροῦ φέρον, οὐκ ὠφέλειαν, ὡς παρὰ φίλου. ἐπαινεῖς γὰρ καὶ τὰ φαῦλα κολακείας ἕνεκεν· οὐχ οὕτως δὲ ἀναίσθητος ὁ κολακευόμενος· μισῆσαι γὰρ ὀφείλει τὸν ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπαινοῦντα. τί δικαίου χαρακτῆρα καὶ σώφρονος ἐπιμορφάζεις ἐν ἀδικήμασιν ὢν καὶ ἀκολασίαις διατελῶν. τί καλύπτεις ὑπερηφανίαν σχήματι, καὶ ῥήματι ταπεινώσεως καὶ εὐλαβείας, ὑποκρίνῃ τὸν φθόνον; οὐκ ἔστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ C οὐ γνωσθήσεται· μῶμος πονηρὸς ἀνθρώπου ψεῦδος· φύγωμεν τὴν ἐπὶ τῷ ψεύδει διαβολήν· μὴ ποιήσῃς ἄπιστον τῷ φίλῳ σεαυτόν· ἵνα μὴ καὶ ὅτε λαλεῖς ἀλήθειαν, οὐκ ὅτι πιστεύσῃ· ὁ γὰρ ἐν ἑνὶ εὑρεθεὶς ψεύστης, οὐκ ἔτι ἐστὶν ἄξιος πιστευθῆναι, οὐδὲ ἂν ἀληθεύσῃ ποτέ. ὅτι τὸ λαλεῖν δίκαια, φησὶ, καὶ ἀληθεύειν, δεκτὰ Θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα· δῶρον δεκτὸν Θεῷ προσοίσεις πίστιν καὶ ἀλήθειαν· εὔκολον δὲ καὶ αὐτό σοι τὸ τὰ ὄντα λαλεῖν, καὶ μὴ τὰ μὴ ὄντα D τεχνάζεσθαι. οὐ γὰρ κάμῃς βιαζόμενος τὸ ψεῦδος εἰς ἀλήθειαν, οὐδὲ ἀτονιάσῃς μηδὲν, λέγων ἐναντία σεαυτῷ, ὅτι μὴ σύμφωνος ὁ ψευδὴς λόγος πρὸς ἑαυτόν. οὐκ αἰσχυνθήσῃ ψευσάμενος ἄλλως σὺ τὴν ἀλήθειαν φυλάττων· ὅρκου πιστότερον τὸν λόγον οἱ φίλοι ἡγήσονται, καὶ πάσης ἐνόρκου μαρτυρίας ἰσχυρότερον τὸ ῥῆμα τὸ σὸν δικαίαν καὶ ἀναμφισβήτητον καταδέξεταί σου μαρτυρίαν· ὁπότε μαρτυρήσεις παρελθὼν, δόξαν μὲν σεαυτῷ καλλίστην ἐπὶ E τὴν ἀλήθειαν, σωτηρίαν δὲ κινδυνεύουσι καὶ ἀδικουμένοις ὠφέλειαν ἐν δικαστηρίῳ προξενῶν. χείλη ἀληθινὰ, φησὶ, κατορθοῖ μαρτυρίαν ἀληθῆ. ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος· ὄψεταί σε δικαστὴς ἀσμένως ἀπαλλάττων τῆς περὶ τὴν δίκην ζητήσεως. ἀλλὰ γὰρ ἐπαινετὸν Κυρίῳ τῆς ταπεινοφροσύνης τὸ κατόρθωμα, εἰ δυνηθῶμεν κατορθῶσαι. πολλοὶ μὲν οὖν κατορθώσαντές τι ἀγαθὸν, ἑαυτοὺς σμικρύνειν βούλονται παρὰ τὴν ἀλήθειαν,

ψεύδεσθ

ψεύδεσθαι καθ' ἑαυτῶν βουλόμενοι μᾶλλον. ἐγὼ δέ σοι λέγω περὶ τὴν ἀλήθειαν ταπεινοφρόνησον ἄνθρωπε· εἰς ἀκοὰς Θεοῦ λάλει περὶ σεαυτοῦ ταπεινά, ὡς ὁ Ἀβραὰμ ἔλεγεν· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· ὡς Παῦλος ἔλεγεν, ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. πάλιν δὲ ἀλήθειαν ἐπήγαγεν· χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι. τούτων δὲ οὕτως πρὸς ἡμετέραν διδασκαλίαν προκειμένων πανταχόθεν, φύγωμεν τὸ ἐπίπλαστον σχῆμα. τί προσωπεῖα ἑαυτοῖς περιτιθέαμεν, μὴ ὄντες τοιοῦτοι οἵους ἑαυτοὺς ἐπιδεικνύομεν· τοὺς μὲν χιτῶνας μέχρι τῆς γῆς ἕλκοντες ἐν σχήματι ἁγίων, τὸν δὲ τρόπον ἠγριωμένοι, τῷ μὲν λόγῳ καὶ τῇ στολῇ ἅγιοι, τῇ δὲ γνώμῃ καὶ τοῖς ἔργοις ἀπάνθρωποι; στολισμὸς οὐκ εἰσάγει εἰς βασιλείαν οὐρανῶν, ἀλλ' ἔργα δικαιοσύνης. οὐχ οὕτως ὄψεται ἄνθρωπος ὡς ὄψεται Θεός· ἄνθρωπος μὲν εἰς πρόσωπον ὄψεται, ὁ δὲ Θεὸς εἰς καρδίαν· ἐτάζων γάρ, φησι, καρδίας καὶ νεφροὺς ὁ Θεός· καὶ διὰ τὸν ἐρχόμενον συναγαγεῖν τοὺς λογισμοὺς τῶν ἀνθρώπων· πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ· οὐκ ἔστι ἀποκρυβῆναι τῆς θέρμης αὐτοῦ. ἥξει καιρὸς ὅτε τὸ προσωπεῖον τοῦτο ῥίψας, γυμνὸς εὑρεθήσῃ, καὶ τότε ἔσῃ αἰσχυνόμενος ὀφθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὡς ὁ Ἀδὰμ ἐκπεσών· ἐκεῖ γὰρ οὐκ ἔτι σχῆμα ζητεῖται, ἀλλὰ ἔργα. ὧδε μὲν γὰρ πολλάκις πλανῶμεν, καὶ διαφεύγομεν τὸν ἔλεγχον, καὶ διὰ τοῦ σεμνοῦ σχήματος φαινόμεθα ὡς δίκαιοι, καὶ πολλάκις μακαριζόμεθα· ἐκεῖ δὲ οὐκ ἔτι ἐστὶ ψεύσασθαι· ἐκεῖ τὰ ἔργα ζητεῖται, οὐκ ἔτι τὸ σεμνὸν σχῆμα· μᾶλλον δὲ μείζονα τὴν κόλασιν καὶ τὸ κατάκριμα ἕξομεν, τὸ μὲν σχῆμα τὸ σεμνὸν φορέσαντες, τὰ δὲ ἔργα τοῦ σχήματος μὴ ποιήσαντες. ἄκουε τοῦ Σωτῆρος περὶ Ἰουδαίων μὲν λέγοντος, πρὸς ἡμᾶς δὲ διδασκαλίαν προτείνοντος· πλατύνουσι γάρ φησι τὰ κράσπεδα, καὶ ἐν ταῖς πλατείαις προσεύχονται, ὅπως φανῶσι τοῖς ἀνθρώποις δίκαιοι· οὗτοι δὲ λήψονται περισσότερον κρίμα. ἐπιθυμεῖς τὸ σεμνὸν σχῆμα, καὶ τὸ ὄνομα τοῦ Χριστιανισμοῦ ἐπεπόθησας· μὴ ἕως τούτου ἀπομείνῃς, ἀλλ' ὡς ὡμολόγησας Θεῷ, ἀπόδος τὴν ἐπαγγελίαν τῇ τῶν ἔργων ἐπιδείξει. τί προπετὴς εἶ εἰς τὴν ἐπαγγελίαν, μὴ ἔργοις βεβαιῶν αὐτήν; χρὴ οὖν καὶ εὔχεσθαι μετὰ ἀσφαλείας, καὶ ἀποδιδόναι τὸ χρέος τῆς ἐπαγγελίας μετὰ ἀκριβείας· εὔξασθε γὰρ καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἁγνῇ πολιτείᾳ ἀφθῆτι αὐτῷ· τοῦτ' ἔστι, σώματι καὶ πνεύματι, καὶ ψυχῇ· μήτι ὑφέλῃς τῆς ἐπαγγελίας, ἵνα μὴ πάθῃς τὰ Ἀνανίου καὶ Σαπφείρης· ἐκεῖνοι νοσφισάμενοι ἐκ τῆς τοῦ ἐπαγγελθέντος κτήματος τιμῆς θανάτῳ κατεδικάσθησαν· καὶ ἡμᾶς χρὴ ταῦτα φοβεῖσθαι. δεῖ γὰρ εἰδέναι, καὶ μὴ ἀγνοεῖν, ὅτι ἃ ἐπαγγελλόμεθα τῷ Θεῷ, οὐκ ἔτι λοιπὸν ἡμῶν ἐστιν, ἀλλὰ Θεῷ διαφέρει· Θεοῦ κειμήλιόν ἐστιν ἡ ἡμετέρα ἐπαγγελία· καὶ ἐὰν ἀπὸ τούτων σύρωμεν, οὐκ ἔτι τὰ ἡμέτερα ἐσμὲν λαμβάνοντες, ἀλλ' ὡς τὰ τοῦ Θεοῦ ἱεροσυλοῦντες κειμήλια, καὶ οὕτως ὡς ἱερόσυλοι κριθησόμεθα· ἡ δὲ ἐπαγγελία οὐ μόνον χρημάτων ἐστὶν, ἀλλὰ καὶ μέχρι λόγου, καὶ προαιρέσεως· ὑπὲρ παντὸς φησὶ λόγου ἀργοῦ ἀποδώσεις λόγον ἐν ἡμέρᾳ κρίσεως· τὸ γὰρ θεῖον καὶ μέγα μυστήριον οὐκ ἐπὶ χρήμασιν ἔχει τὴν ὑπόστασιν, ἀλλ' ἐπὶ προαιρέσει τελείᾳ καὶ τῇ κατὰ Θεὸν πίστει· πάντες γὰρ ἐπηγγειλάμεθα, καὶ πάντες ἐπαγγελίας ἐσμὲν χρεῶσται· ὥστε ἀνάγκη ἀποδιδόναι τὴν μὲν παρθένον τὴν παρθενίαν, ὅπερ καὶ ἐπηγγείλατο· τὸν δὲ ἐγκρατῆ, τὴν ἐγκράτειαν· τὸν δὲ ἐν γάμῳ, τὴν σωφροσύνην, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην· ἥτις γὰρ παρθενεύειν ἢ ἐγκρατεύεσθαι διὰ χηρείας ἐπαγγέλλεται, ψεύσηται δὲ τὴν ἐπαγγελίαν, καὶ εἰς γάμον μετενεχθῇ, κρίμα ἔχει, ὅτι τὴν πρώτην πίστιν ἠθέτησεν. εἰκότως δὲ καὶ ὁ πρεσβύτερος ὀφείλει ἀποδοῦναι τὴν ἱερωσύνην εὐάρεστον, καὶ ὁ διάκονος τὴν διακονίαν ἀμώμητον, μὴ κλοποφορῶν τὰ τῆς διακονίας, ἵνα μὴ κατακριθῇ ὡς ὁ Ἰούδας πωλῶν. πολλῆς οὖν ἀκριβείας ἐνταῦθα χρεία, μή πού τις ψεύσηται Θεὸν, μὴ ἀποδιδοὺς σώαν τὴν ἐπαγγελίαν, μᾶλλον δὲ τὴν παρακαταθήκην, ἥνπερ καὶ ἕκαστος ἡμῶν ἐπηγγειλάμεθα. οὐκ ἔτι ἡμέτερον ἐστιν· ἀλλ' οὕτως ὀφείλομεν λογίζεσθαι ὅτι παρακαταθήκην παρὰ Θεοῦ ἐλάβομεν· καὶ ἵνα μετὰ προσευχῆς φυλάξαντες ἀνόσφιστον τὸ ἐπάγγελμα παραστήσωμεν τῷ φοβερῷ βήματι Χριστοῦ· ἵνα μὴ ὡς ἀγνώμονας ἡμᾶς ἡ ἀπόφασις καταλάβῃ, κατὰ τὸ παράδειγμα Ἀνανίου. οὐκοῦν ἐνταῦθα πολλῆς ἀσφαλείας χρεία, μή ἐν τινι παίσαι, μηδὲν ὑφελέσθαι τῆς ἐπαγγελίας, ἀλλὰ μετὰ ἀκριβείας ἀποδοῦναι τὴν ἐπαγγελίαν σπουδάσωμεν· μὴ ἕως τοῦ σχήματος εἶναι νομίσωμεν τὸν Χριστιανισμὸν, μηδὲ τούτῳ τερπόμενοι ἐναπομείνωμεν, ἀλλὰ τῇ διὰ τῶν ἔργων βεβαιώσει ἀληθείας καὶ δικαιοσύνης οἰκεῖοι διαμείναντες τῆς ἑπομένης τῇ δικαιοσύνῃ τιμῆς τευξόμεθα παρὰ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

A & mentiri contra ſeipſos malunt. At ego tibi dico mi homo, Tu humiliter pro ſei veritate de te ſenti: apud Dei aures humilia de teipſo loquere, ſicut Abraham dicebat, *Ego autem ſum terra & cinis*: ut Paulus dicebat, *Ego ſum minimus Apoſtolorum, qui non ſum dignus vocari Apoſtolus quia perſecutus ſum Eccleſiam Dei*: ſurſus autem veritatem prolocutus adjecit, *Gratia autem Dei ſum id quod ſum*: His itaque ſic ad doctrinam noſtram propoſitis, ſimulatam ſpeciem omni ex parte fugiamus, cur nobiſmet- B ipſis larvas circumponimus, cùm tales non ſimus quales nos oſtentamus, dum veſtes quidem ad terram trahimus in habitu ſanctorum, moribus autem efferati, ſermone quidem, & amictu ſancti, animo verò & operibus inhomani? non veſtitus in regnum cœlorum introducit, ſed opera juſtitiæ. Non ita aſpiciet homo, ut aſpiciet Deus: homo quidem in faciem aſpiciet: Deus autem aſpiciet ad cor. Scrutans enim, inquit, corda & renes Deus: & propter eum qui venit, ut col- C ligat hominum cogitationes; omnia enim nuda ſunt & aperta oculis ejus: non eſt qui ſe abſcondat à calore ejus. Veniet tempus cùm hac abjecta perſona nudus reperieris, tùmque ut Adam poſt lapſum in conſpectu Dei apparere te pudebit. Illic enim non jam habitus quæritur, ſed opera. Nam hic quidem ſæpenumero fallimus, & indicium criminis evitamus, & venerandi habitus cauſa tanquam juſti apparemus ac ſæpenumero felices prædicamur: illic autem non jam ampliùs licet imponere: illic D opera quæruntur, non jam habitus venerabilis: imo vero majori ſupplicio ac damnatione plectemur, ſi venerabilem quidem honeſtúmque habitum geſtaverimus, nec tamen habitus opera perfecerimus. Audi de Judæis loquentem Salvatorem, ſed doctrinam quæ nos ſpectat proferentem: Dilatant enim, inquit, fimbrias, & in plateis orant ut hominibus juſti videantur: hi verò accipient damnationem majorem. Deſideras habitum venerandum, & Chriſtianiſmi nomen expetiſti, ne hîc tantum E conſiſtas, ſed operum exhibitione fac appareant promiſſa, quibus te obſtrinxiſti, cur ad promiſſum es præceps, cùm illud operibus non confirmes? oportet igitur & cautè vota nuncupare, & diligenter debitum voti perſolvere. Vovete námque & reddite Domino Deo veſtro: ſancta converſatione coram illo appare, hoc eſt corpore, & ſpiritu, & anima: nihil ſubtrahas de promiſſione, ne eadem tibi accidant, quæ Ananiæ & Sapphiræ. Illi cùm de pretio agri promiſſi fraudaſſent, morte puniti ſunt, & A nos oportet iſta reformidare, ſciendum enim eſt nec ignorandum ea quæ Deo promiſimus, non jam ampliùs noſtra eſſe, ſed ad Deum pertinere. Dei ſuppellex eſt & theſaurus promiſſio noſtra, & ſi quid inde ſubtrahamus, non jam noſtra accipimus, ſed ſacrilegè Dei theſauros compilamus, verèque tanquam ſacrilegi judicabimur. Porro non pecuniarum tantum, ſed vel ſermonis & voluntatis eſt promiſſio. *De omni*, inquit, *verbo otioſo reddes rationem in die judicii*: divinum enim magnúmque myſte- B rium non in pecuniis poſitum eſt, ſed in perfecta voluntate ac propoſito, & in Deum fide, omnes enim promiſimus & omnes promiſſionis debitores ſumus, itaque neceſſe eſt ut reddat virgo quidem virginitatem, quam promiſit: continens verò continentiam: qui autem matrimonio junctus eſt, temperantiam, & ad invicem charitatem, nam quæ virginitatem ſe ſervaturam, aut in viduitate continentiam, promittit, ſi promiſſi fidem fefellerit, atque ad nuptias ſe tranſtulerit, damnationem habet; C quia primam fidem irritam fecit. Meritò autem & Presbyter reddere debet ſacerdotium acceptum, & diaconus (ſeu miniſter) miniſterium irreprehenſibile: non ea quæ ad diaconi miniſterium pertinent, furtim auferendo, ne condemnetur ut Judas, dum vendit. Multa igitur hic opus eſt diligentia & cautione, ne quis forte Deum fallat, neque integrum reddat promiſſum, vel potiùs depoſitum quod noſtrum quiſque promiſit, non amplius noſtrum eſt: ſed ita nobiſcum reputare debemus à D Deo nos depoſitum accepiſſe: atque ut cùm minimè defraudatum promiſſum orando ſervaverimus, tremendo Chriſto tribunali ſiſtemus: ne tanquam debiti inficiatores ſententia ad Ananiæ exemplum nos opprimat. Itaque multa nobis hîc adhibenda eſt cautio, nec in aliquo ludere, aut de promiſſo quicquam ſubtrahere, ſed exactè promiſſum reddere ſtudeamus; ne habitu tenus Chriſtianiſmum profitendum eſſe cenſeamus; neque hoc contenti maneamus, ſed cum per operum confirma- E tionem veritatis ac juſtitiæ ſectatores ac domeſtici perſeveraverimus, eos honores, qui juſtitiam ſequuntur, Chriſti munere conſequamur: cui gloria in ſecula. Amen.

Gen. 18, 27.
1. Cor. 15, 9.
Matt. 12, 36

In principium indictionis novi anni, & in martyres, atque in mulierem quæ ſanguinis fluxum patiebatur.

Eodem interprete.

Matt. 9. 20 ALternum eſt quoddam continuúmque miraculum, à Chriſto Domino bonorum imber effuſus, & aliæ aliis ſuccedunt opes. Ecce nos etiam hodie victores martyres epulo excipiunt, & ſua nobis certamina tanquam lætitiæ commune convivium apponunt: oportebat enim oportebat ut martyres ſemper gratia juveneſcentes etiam ſub novi anni ingreſſum occaſionem convivii piis afferrent: oportebat, ut temporum mutationis exordia tanta nos cum benedictione ſuſciperemus: oportebat, ut diei hujus celebritatem choro ſanctorum exornatam exciperemus: oportebat ut anni circulus corona martyrum decoraretur: oportebat ut tali ſub adventantis anni initium jucunditate frueremur, eámque martyrum honore cumularemus. Hi ſunt enim illi omnis lætitiæ generi humano auctores generoſi milites Chriſti, ejúſque virtutis poſt mortem etiam præcones; qui deceptorem patientiæ pedibus conculcarunt, & tyrannico ſenſu tumidum leonem, amoris in Deum manibus ſuffocarunt, ac veritatem propalarunt, qui præſentem vitam ut vanam oderunt, & cœlorum regnum, ut filii matrem, adamarunt, qui per mortem januas immortalitatis reſerarunt, mortíſque genitorem morte propria enecarunt; qui in corpore incorporeos dæmones ſuperarunt, non corporis robore, ſed animæ fide, per fidem enim omnia, quæ mundi ſunt, ſubegerunt: qua nihil optabilius eſt Chriſtianis: Fide ſiquidem ſibi in auxilium aſcita verba operibus confirmarunt. Enimvero magnum eſt prorſus officium juſtitiæ! illuſtris eſt & virtus temperantiæ; utilis pariter & amoris in pauperes ſollicitudo; præclara, & pulchra ſimul cum illis eſt & exercitatio continentiæ; ſed præ omnibus his potentis fidei prærogativæ palma defertur. Hæc in Abrahamo quondam ſterilem uterum Saræ poſt multum tempus fertilem agrum reddidit: hac Moyſes mare quod navibus trajiciebatur, ut perambularetur, effecit: per hanc Helias cœlo imperavit, & auditus eſt: hæc ſexcenta morborum genera tempore Salvatoris fugavit. Per hanc leproſus ægritudinis ſuæ ſquamas excuſſit: per illam cæcus oculos, quos non tulerat natura,
Matt. 15. 22. recepit: hujus præſidio ſepta Chananæa cùm prolis ſuæ cauſa vim feciſſet, filiam ſuam invaſori dæmoni extorſit. Fides etiam dum lateret, ſanguinis fluxum exiccavit: atquein cæteris quidem, cùm petitio præceſſiſſet, donum ſequebatur: hìc verò ſilens à ſilente, ut putabat, gratiam furabatur. O mulierem miſeram ſimul & beatam! miſeram propter nuperum ſtatum, bea-
Luc. 8. 43. tam propter hunc ſequentem. *Ecce enim*, inquit, *mulier in fluxu ſanguinis ſui annis duodecim.* Si tantus fuiſſet dierum numerus quot jam annorum tempus elapſum erat, ipſam conficere potuiſſet, non anni tantum duodecim: in naturam, opinor, morbus evaſerat, quæ in medicos erogaverat omnem ſubſtantiam ſuam, ad corporis tabem pecuniarum jacturam adjunxit: nec potuit ab ullo ſanari. Hem non potuit! indomitum habuit mulier adverſarium morbum illum: venter nimirum mulieris fontis in modum ſcaturiebat, nec rivo fœtoris fœcunditatem tam longi temporis diuturnitas abſumebat: doloribus præterea mens ejus vexabatur, & curis: quo pacto vincula gravis infirmitatis abrumperet: quo pacto duodecim annorum morbum excuteret: quo pacto continuos dolores ſolveret: quo pacto effrænata illa fluenta ſiſteret: quomodo inſaniam venarum ſedaret, ad omnium medicorum fores noctu profecta, & diſtracta contabeſcebat: lucem enim declinabat, ne fortè labentes ſanguinis guttæ ſignata ſemita latentem incedentis ignominiam propalarent. In eos qui ſanare ipſam vellent, mercedis loco ſuas omnes facultates effudit, ad dandum neceſſitate compulſa: ſanitatis quippe deſiderium ut pecuniis minimè parcatur, ſuadet. Atque ita medici omnes morbum oppugnantes torpebant: variæ medicamentorum inventiones non poterant morbi ſævitiam mitigare: tanquam enim ſurda quædam bellua incantantium artem non audiens permanebat, atque os, à quibus urgebatur, talia quædam dicendo refragari videbatur; Quid fruſtra cum belluæ valentiore pugnatis? tantum me tempus corporis poſſeſſione non ſpoliavit: medentium peritiæ minimè cedo: nemo pecuniis redimet virtutem meam: nemo ex iis qui in terris verſantur, meam fœcunditatem exhauriet: unus me ſolus medicus ex virgine natus fugabit; ejus gloriæ ego quoque reſervor; ut cum cæteris ejus ſim teſtis virtutis, cuſtodior. Quid ergo incaſſum tot labores ſuſcipitis, & Domino victoriam præripere ſervi conamini? Non parcam creaturæ donec conſpexero

Εἰς τὴν ἀρχὴν τῆς ἰνδικτιῶνος τοῦ νέου ἔτους, καὶ εἰς μάρτυρας, καὶ εἰς αἱμόρρουν. Ὁμιλ. γ΄.

ΕΠΑΛΛΗΛΟΝ σημεῖον παρὰ τοῦ δεσπότου Χριστοῦ ἡ τῶν ἀγαθῶν ἐπομβρία, καὶ ἄλλος ἄλλον διαδέχεται πλοῦτος· ἰδοὺ καὶ σήμερον ἡμᾶς ἑστιῶσιν οἱ καλλίνικοι μάρτυρες τοὺς οἰκείους ἄθλους προτεθηκότες εἰς ἐπίκοινον εὐφροσύνης συμπόσιον. ἔδει γὰρ, ἔδει
B τοὺς ἀεὶ νάζοντας τῇ χάριτι μάρτυρας, καὶ τῇ τοῦ ἔτους εἰσόδῳ γενέσθαι τοῖς εὐσεβέσιν ἀφορμὴν δεξιώσεως· ἔδει τοιαύτην τοῦ νέου ἐνιαυτοῦ τοῖς πιστοῖς ὑπαντῆσαι τὴν ἀγαλλίασιν· ἔδει μετὰ τοσαύτης ἡμᾶς εὐλογίας ἀσπάσασθαι τὰ τοῦ χρόνου ἐναλλαγῆς τὰ προοίμια· ἔδει τῆς παρούσης ἡμέρας πανήγυριν τῷ χορῷ τῶν ἁγίων τετιμημένην ὑποδέξασθαι· ἔδει τὸν κύκλον τοῦ ἔτους τῷ τῶν μαρτύρων κοσμηθῆναι στεφάνῳ· ἔδει τοιαύτῃ χρήσασθαι ἐπὶ τοῦ ἐπιστάντος ἐνιαυτοῦ τῇ εὐωχίᾳ
C ἐπαγαγομένους, καὶ τῇ τῶν μαρτύρων λειμῶνι. αὐτοὶ γάρ εἰσι πάσης εὐφροσύνης τῷ γένει πρόξενοι οἱ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται· οἱ καὶ μετὰ θάνατον τῆς αὐτοῦ δυνάμεως κήρυκες, οἱ τὸν ἀπατεῶνα ὄφιν ποσὶ καρτερίας καταπατήσαντες, καὶ τὸν τυραννόφρονα λέοντα φιλοθείας χερσὶν ἀποπνίξαντες, καὶ τὴν ἀλήθειαν φανερώσαντες· οἱ τὴν παροῦσαν ζωὴν ὡς ματαίαν μισήσαντες, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ὡς υἱοὶ μητέρα, ποθήσαντες· οἱ διὰ θανάτου τὰς τῆς
D ἀθανασίας πύλας ἀνοίξαντες, καὶ τὸν τοῦ θανάτου γεννήτορα τῷ οἰκείῳ θανάτῳ νεκρώσαντες· οἱ ἐν σώματι τοὺς ἀσωμάτους νικήσαντες δαίμονας, οὐ δυνάμει σώματος, ἀλλὰ πίστει ψυχῆς· διὰ πίστεως γὰρ τῶν τοῦ κόσμου κατηγωνίσαντο πάντων. ἧς οὐδὲν Χριστιανοῖς αἱρετώτερον· πίστιν γὰρ κεκτημένοι συμπεράντορα τοὺς λόγους ἔργοις ἐβεβαίωσαν. μέγα μὲν γὰρ ὡς ἀληθῶς τὸ δικαιοσύνης κατόρθωμα· λαμπρὰ δὲ καὶ τῆς σωφροσύνης ἡ ἀρετή· χρήσιμος ὁμοίως καὶ ἡ
E φιλοπτωχίας ἡ ἐπιμέλεια· καλὴ μετὰ τούτων καὶ τῆς ἐγκρατείας ἡ ἄσκησις. φέρει δὲ τὴν κατὰ πάντων νίκην τὸ δυνατὸν τῆς πίστεως πλεονέκτημα. αὕτη ποτὲ τοῦ Ἀβραὰμ τὴν χερσωθεῖσαν τῆς Σάρρας γαστέρα μετὰ τὴν πολλὴν τοῦ χρόνου δαπάνην πολύγονον ἐγεώργησεν ἄρουραν· ταύτῃ καὶ Μωσῆς πεζεύεσθαι τὴν πλεομένην ἐποίησε θάλασσαν· διὰ ταύτης Ἠλίας προσέταξεν οὐρανῷ, καὶ ἠκούσθη· αὕτη μυρία τῶν παθῶν ἐπὶ τοῦ Σωτῆρος ἀπεδίωξε γένη· λεπρὸς διὰ πίστεως τῶν τοῦ
A πάθους ἀπηλλάγη φολίδων, τυφλὸς δι' ἐκείνης ὀφθαλμοὺς οὓς ἡ φύσις οὐκ ἐκύησεν, ἀπέλαβε· ταύτην συμμαχοῦσαν ἡ Χαναναία λαβοῦσα, βιασθεῖσα περὶ γονῆς ἀφήρπασε τὴν θυγατέρα τοῦ κατέχοντος δαίμονος· ἐξήρανε καὶ λανθάνουσα πίστις αἱμάτων ῥοάς. καὶ ἐπ' ἄλλων μὲν προλαμβανούσης αἰτήσεως ἠκολούθει τὸ δῶρον· ἐνταῦθα δὲ σιγῶσα παρὰ σιγῶντος, ὡς ἐνόμιζεν, ἀπεσύλα τὸ χάρισμα. ὦ γυναικὸς ἀθλίας καὶ μακαρίας ὁμοῦ· ἀθλίας διὰ
B τὰ πρῶτα· μακαρίας διὰ τὰ δεύτερα· ἰδοὺ γάρ, φησι, γυνὴ ἐν ῥύσει αἵματος αὐτῆς δώδεκα ἔτη. τοσοῦτος ἡμερῶν εἰ ἦν ἀριθμὸς, ὅσος ἐτῶν ἐνῆλθε χρόνος, κατεδάμασεν αὐτὴν ἄν. οὐχὶ δὲ ἔτη δώδεκα· εἰς φύσιν, ὡς οἶμαι, τὸ πάθος μετέπεσεν. ἡ τοῖς ἰατροῖς προσαναλώσασα τὸν βίον ὅλον, τῷ τοῦ σώματος μαρασμῷ καὶ τὴν τῶν χρημάτων προσέθηκε μείωσιν, ὑπ' οὐδενὸς δὲ ἴσχυσε θεραπευθῆναι. ὢ τό, οὐκ ἴσχυσεν· ἀδάμαστον εἶχεν ἡ γυνὴ
C τὸ τοῦ πάθους πολέμιον· ἐπήγαζεν ἄρα τῆς γυναικὸς ἡ γαστὴρ, καὶ κρουνοὺς τοὺς αἱμάτων ἀνελλιπῶς κατέφερεν· οὐδὲ τοσούτου χρόνου τὸ μῆκος τῷ τῆς δυσωδίας ὀχετῷ τὴν φορὰν ἐδαπάνα· ὀδύναις δὲ καὶ φροντίσιν ἐκόπτετο τὴν διάνοιαν· πῶς τοὺς δεσμοὺς διαρρήξει τοῦ χαλεποῦ ἀρρωστήματος· πῶς τὸ δωδεκαετὲς ἀποτινάξει πάθος· πῶς λύσει τὰς ἀνενδότους ὠδῖνας· πῶς στήσει τὰ ἀχαλίνωτα ῥεῖθρα· πῶς παύσει τὴν τῶν φλεβῶν τὴν μανίαν· πάντων ἰατρῶν νυκτοποροῦσα
D καὶ συρομένη κατέτριβε θύρας. παρῃτεῖτο γὰρ τὸ φῶς, μὴ αἱ τῶν αἱμάτων καλοῦσαι σταγόνες ἀτραπὸν ἐργασάμεναι στηλιτεύσωσι τὴν λανθάνουσαν τῆς βαδιζούσης αἰσχύνην. μισθὸν τοῖς θεραπεύειν ἐθέλουσι, πᾶσαν ἣν εἶχε, περιουσίαν ἐξήντλησε, τῆς ἀνάγκης βιαζομένης τὴν δόσιν· ἡ γὰρ ἐπιθυμία τῆς ὑγιείας πείθει χρημάτων μὴ φείδεσθαι. καὶ οὕτως ἰατροὶ πάντες τῇ νόσῳ πολεμοῦντες ἠτόνουν· ποικίλαι φαρμάκων ἐπίνοιαι τὸ τοῦ πάθους οὐκ ἴσχυον ἐξημεροῦν ἀγριό-
E τητα. ὥσπερ γάρ τι δύσκωφον θηρίον τῆς τῶν ἐπαδόντων τέχνης ἀνήκοον ἔμενεν, ὥσπερ ἀντιλέγον τοιαῦτα δοκοῦν τοῖς βιαζομένοις· ἀνόνητα τί μάχεσθε δυνατωτέρῳ θηρίῳ; χρόνος με τοσοῦτος τῆς ἐν σώματι νομῆς οὐκ ἐσύλησεν· ἰατρευόντων ἐπιστήμαις οὐκ εἴκω· χρήμασιν οὐδεὶς ἐξαγοράσει τὴν ἐμὴν δύναμιν· οὐδείς με τῶν φορῶν τῶν ἐπὶ γῆς ἀναλώσει· εἷς με μόνος ἐκ παρθένου γεννηθεὶς ἰατρὸς φυγαδεύσει· ἐκείνου κἀγὼ πρὸς δόξαν φυλάττομαι· μάρτυς μετὰ τῶν ἄλλων τῆς ἐκείνου τηροῦμαι δυνάμεως· τί οὖν ἀπεράντους ἐπιδείκνυσθε πόνους; δεσπότου προαρπάζειν οἱ δοῦλοι βιαζόμενοι νίκην; οὐ φείσομαι τοῦ πλάσματος, ἂν μὴ τὸν πλά-

στην

στιν θεάσωμαι. ὢ πόσα τῇ γυναικὶ τὰ μαχόμενα, χρόνου μῆκος, ἀλγηδόνες ἀνένδοτοι, δημεύσεις ἀνωφελεῖς, μαραινομένου σώματος λύπη, λογισμοὶ κεναῖς ἐλπίσι δαπανηθέντες, ἀλλὰ τοσοῦτοι πολέμιοι τὸ τῆς πίστεως τῆς κινδυνευούσης οὐκ ἐσύλησαν ὅπλον. τοσαῦται τῶν δεινῶν τρικυμίαι τῇ γυναικὶ τὸ ναυάγιον οὐκ εἰργάσαντο. τοσαῦται πειρασμῶν προσβολαὶ τὴν ὑπομένουσαν οὐ κατέβαλον γυναῖκα. εἶδε, φησί, τὸν Ἰησοῦν. εἶδεν ἡ δεδεμένη τὸν λυτρωτήν· εἶδεν ἡ χειμαζομένη τοῦ κόσμου τὴν ἄγκυραν· εἶδε τὸν ἄνωθεν ἐλθόντα τῶν παθῶν βασιλέα. εἶδεν ἐλπίδα χαρᾶς ἀπροσδόκητον· εἶδε θεραπείας ἀκαταγώνιστον δύναμιν· εἶδε πηγὴν ἰαμάτων ἀμισθὶ μερίζουσαν νάματα· εἶδε ζωὴν νεκρωμένοις ἐνδημήσασαν· εἶδε, καὶ τοιαύτην ἐνθυμίας ἀνέστρεψεν ἔννοιαν· εὗρον λέγουσα θεραπευτὴν ἐπιτήδειον· οὗτος ὁ ἰατρὸς μισθὸν οὐκ ἀπαιτήσει χρυσίου· ἕνα μισθόν, ὡς οἶμαι, γνώμην ἀπαιτήσει γνησίαν· μίαν πίστεως ἐπιζητήσει μου δόσιν. ἀλλ' ἔχω· ταύτης γάρ με μόνης ἡ νόσος οὐκ ἀπεστέρησεν· ἀλλὰ λογισμῶν ἀπορίαις ἀνθέλκομαι. τί γὰρ προσδραμοῦσα καταλάβω; τὸν ἀπὸ τοῦ πλήθους ὑποστέλλομαι κίνδυνον· βοήσω τὰ κατ' ἐμαυτήν; διώξουσιν ὡς ἀκάθαρτον· κρύψω τὴν συμφοράν; ἀλλὰ τὴν ὀδύνην οὐ φέρω· ὡς ἰατρῷ προσδράμω τῆς φύσεως; ἀλλ' ὡς βασιλέα φοβοῦμαι· ὡς ἱκετεύουσαν δέξεται, μὴ ὡς μολύνουσαν φύγῃ. ἐλεήσει τὸ πάθος, μὴ καταγνοίη φανείσης. τί οὖν δράσω; ποῖον ἀναδέξομαι λογισμόν; ἀναίσχυντος φανῶ; δέδοικα μὴ πάλιν ἀθεράπευτος μείνω· μὴ δειλιάσω τὸ πλῆθος, καταφρονήσω τοῦ δέους· θέατρον γένωμαι· φύγω τὸν ἔξωθεν γέλωτα· ἰάσομαι τὸν ἔνδοθεν πόλεμον· ὁ νόμος ὡς ἐρρυπωμένην μισεῖ· ὁ νομοθέτης ὡς νοσοῦσαν οἰκτείρει. προθυμία καὶ ὄκνος τὴν γυναικὸς τὴν ψυχὴν ἐμερίζοντο. ἀλλ' εὗρε πίστιν μεσίτην τῆς ἐγχειρήσεως. προσελθοῦσα γάρ, φησιν, ὄπισθεν τοῦ Ἰησοῦ ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι μόνον ἐὰν ἅψωμαι τοῦ κρασπέδου αὐτοῦ, σωθήσομαι. ὢ κλοπῆς πίστιν κτησαμένης μητέρα· ὢ κλοπῆς ἣν αὐτὸς ἐπῄνεσεν ὁ τὰς κλοπὰς τιμωρούμενος. ὢ κλοπῆς τὸν κλαπέντα τερπούσης, ὢ σύλου στεφανουμένου ἐκ δικαστοῦ. καὶ ὅρα τὸ θαυμαστόν. λῃστεύσασα τὸ κέρδος ὡς χαρισαμένη θαυμάζεται· ἔλεγε γὰρ ἐν ἑαυτῇ· ὁ Θεός, φησί, δεσπότης ἐστίν, οὐδὲν ἀγνοῶν· δεσπότης σωματικῶν ὀφθαλμῶν οὐ δεόμενος· ἰατρός ἐστι ψυχὰς ἰώμενος· ὀφθαλμός ἐστι λογισμοὺς ἐμβατεύων· ὁρᾷ καὶ κρυπτομένην με· ἀκούει καὶ μὴ λαλούσης ἐμοῦ· ἅπτεται, κἂν ἀφίστωμαι, οἶδεν ὅτι πάντως ὡς ἀναξία τὴν θέαν οὐκ ἤνεγκα. τί οὖν; λανθάνουσαν ποιήσομαι πρόσοδον, καὶ τῇ γνώμῃ τιμῶσα καὶ οὐ καθυβρίζουσα τῇ ὄψει κατόπιν ἅψομαι τοῦ χιτῶνος ἐλθοῦσα. ἀρκεῖ μοι καὶ τοῦτο μόνον, ἂν ἐπιτύχω, πρὸς ἴασιν. πάντως γάρ που καὶ αὐτὸς ὁ τοῦ φοροῦντος ἐνεργείας πεπλήρωται· οὐ δύναται γὰρ τὸ τῆς ζωῆς περιβόλαιον μὴ καὶ αὐτὸ σωτηρίας ἀποπέμπειν ἀκτῖνας· μέγας ἦν ἐν προφήταις Μωσῆς, καὶ λαοῦ δυσκόλου σωφρονιστής, ἀλλ' ὅμως ἄνθρωπος· οὗτος δεσπότης ἐκείνου καὶ φιλάνθρωπος. εἰ οὖν τοῦ δούλου ἡ ῥάβδος τὴν ἐρυθρὰν διέτεμε θάλασσαν, τειχοποιίαν ἐργασαμένη ἐν τοῖς ὕδασι, πῶς οὐκ ἂν τοῦ δεσπότου τὸ κράσπεδον πετρώσῃ τῶν αἱμάτων τὰ ῥεύματα; ζηλωτὴς ὁ Ἠλίας, καὶ θερμὸς τοῦ Θεοῦ ὑπηρέτης, ἀλλὰ καὶ αὐτὸς εἷς ὑπῆρχε τῆς φύσεως, καὶ ὅμως μηλωτὴν εἶχε θαυμάτων ἐργάτιν· αὖθις Ἐλισσαῖος κληρονομήσας μετὰ προσθήκης τοῦ διδασκάλου τὴν χάριν, ἐχαλίνου τῇ μηλωτῇ τοῦ Ἰορδάνου τὰ ῥεῖθρα. εἰ οὖν τοσαύτη παρὰ τοῖς προφήταις ἡ χάρις, πόση ἔσται τοῦ παρ' αὐτῶν προφητευομένου δύναμις; τί συντέμνω τὸν λόγον; Πέτρου ἡ σκιὰ θεραπεύει, καὶ τὸ τοῦ Χριστοῦ ἱμάτιον οὐκ ἰάσεται; καταμανθάνομαι πόσον μοι καὶ τὸ βουλεύσασθαι μόνον. τὴν τρέχουσαν ἐχαλίνωσε νόσον· ὢ πίστεως, ἀναβολὴν μὴ παρασχούσης τῷ πάθει. ἐπίστευσε γὰρ μόνον, καὶ τὸ πολεμοῦν ἐδραπέτευσεν· ἐπίστευσε, καὶ τὸ φιλόνεικον οὐκ ἀντεῖπε θηρίον· ἐπίστευσε, καὶ ἡ τῶν αἱμάτων ἀέναος ἐξηράνθη πηγή, καθάπερ ὑπό τινος ἀοράτου τυφλωθεῖσα καυτῆρος. ἀλλ' ἡ μὲν ἱματίου καθήψατο, καὶ τοῖς ἔξωθεν παρήγγιζε ποσίν· ὁ δὲ τοὺς ἔνδοθεν λογισμοὺς ἀνεγίνωσκεν. ἐκείνη μὲν ἀφανῶς τῷ σώματι τὴν θεραπείαν ἐξήντλησεν, ὁ Σωτὴρ δὲ αὐτῆς τὸ ψυχικὸν ἐδημοσίευσε κάλλος· οὐκ εἴασε γὰρ τοιαύτην εὐσεβείας [illegible] οὐκ ἀφῆκε δικαιοσύνης σπινθῆρα λήθης παραδοθῆναι [illegible]· ἐχαρίσατο τῷ βίῳ ἡ τοῦ εὐαγγελίου διήγησις, μιᾶς γυναικὸς πίστιν, Θεὸν καλῶς συλησάσης τῇ ἀδιστάκτῳ γνώμῃ. τίς ἡ διὰ κλοπὴν ὡς πίστιν τιμωμένη; προέλαβε τὸν λῃστὴν ἡ πίστις τῆς γυναικός· πρὸ τῆς ἐκείνου γλώσσης ἡ ταύτης εὐφημεῖται παλάμη· πρὶν ἐκεῖνος φωνῇ συλήσῃ τὸν παράδεισον, ἐλῄστευσεν αὕτη τὸν τῆς βασιλείας τὸν χορηγὸν τῇ σιωπῇ. γνοὺς γάρ, φησιν ὁ Ἰησοῦς, τὴν ἐξελθοῦσαν δύναμιν ἐξ αὐτοῦ, ἐπηρώτα τοὺς μαθητάς, Τίς μου ἥψατο; πῶς οὐκ ἔγνωτε τὴν κλοπήν; πῶς ἠγνοήσατε τὴν λῃστείαν; Τίς μου ἥψατο; Τίς νοῦς ἐν τῷ ὑμῶν θησαυρῶν ὑγιείας ἐσύλησεν; Τίς μου ἥψατο; Τί λέγεις ὦ δέσποτα; σὺ δέδωκας, καὶ τὴν δεξαμένην οὐκ οἶδας; τὴν πίστιν οἶδας, καὶ τὴν

A Creaturem. O quàm multa mulierem divexabant: temporis diuturnitas, continui dolores, inutiles bonorum publicationes, moleſtia corporis tabeſcentis, cogitationes vana ſpe abſumptæ: veruntamen tot adverſarii, fidei ejus quæ in periculo verſabatur, arma non eripuerunt: tam multi tentationum inſultus patientem fœminam non dejecerunt, tot adverſarum rerum decumanis fluctibus obruta naufragium fœmina paſſa non eſt. Vidit Jeſum: vidit ea quæ perierat, Servatorem vidit captiva redemptorem: B vidit anchoram mundi, ea quæ tempeſtate jactabatur: vidit ægritudinum regem, qui à ſedibus ſupernis advenerat: vidit ſpem gaudii inexpectatam: vidit inſuperabilem medicinæ virtutem, vidit fontem ſanitatum, gratis fluenta dividentem: vidit inter mortuos enectos vitam diverſantem: vidit, & talia quædam læto animi ſenſu verſare cœpit. Reperi, inquit, ſufficientem jam medicum, nec auri mercedem hic medicus repoſcet: unam, opinor, mercedem, ſinceram mentem repoſcet, unum ex me fidei donū C requiret: Ego verò illud habeo: nam me hoc ſolo morbus minimè ſpoliavit. Verùm anxietate cogitationum in contrarium diſtrahor, quid enim accurrens contingam? periculum quod à turba imminet, reformido, an meum hunc ſtatum voce declarabo? me ut immundam ablegabunt: occultabo miſeriam? at dolorem non fero: an tanquam ad medicum naturæ accurram? atqui ut regem pertimeſco: me ut ſupplicantem ſuſcipiet; niſi refugiat tanquam inquinantem: miſerebitur morbi niſi condemnet in D medium prodeuntem. Quid igitur faciam? quod conſilium ſequar? num audacter prodibo? vereor ne rurſus maneam incurata: non reformidabo turbam: metum omnem abjiciam: ſpectaculum fiam: exteriorem riſum effugiam, interius bellum malūmque ſanabo. Lex ut inquinatam odit; legiſlator ut ægrotantis miſeretur: cupiditas ac metus mulieris animum diſtrahebant. Veruntamen aggreſſionis conciliatricem fidem invenit. Cum acceſſiſſet à tergo Jeſu tetigit fimbriam veſtimenti ejus. *Dicebat* E *enim intra ſe, Si tetigero tantum fimbriam veſtimenti ejus ſalva ero.* O furtum quod parentem nactum eſt fidem! ô furtum quod ipſe laudavit, à quo furta vindicantur! O furtum, quod eum delectat, qui furtum eſt paſſus. O prædationem à judice coronatam. Ac miraculum vide: cùm furata lucrum, quaſi ſit largita, laudatur. Dicebat enim intra ſe, Deus, inquit, *D*ominus eſt, qui nihil ignorat. Dominus, qui corporeis oculis nequaquam indiget: medicus eſt, qui animabus medetur: oculus eſt cogitationes perluſtrans A etiam latentem me videt; audit etiam me non loquentem? tangis quamvis loco ſim diſſita: novit me ut indignam aſpectum non tuliſſe. Quid ergo? occulta acceſſione facta, & mente venerans, non aſpectu offendens, veniens retro veſtem attingam; ſufficit hoc unum mihi, ſi conſequar, ad obtinendam ſanitatem: nam & ipſa proculdubio geſtantis efficacitate redundat; non enim poteſt vitæ veſtimentum non & ipſum radios ſalutis emittere. Magnus erat inter Prophetas Moyſes, & moroſi pervicacis po- B puli moderator; ſed tamen homo: hic illius dominus eſt benignus. Si igitur virga ſervi mare rubrum diviſit, & ex aquis conflatum murum duxit, quomodo non domini ejus fimbria, fluxus ut ſanguinis lapidis in modum rigeſcat, efficiet? zelator erat ac fervidus Dei miniſter Elias: ſed & ipſe unus erat ex iis quibus hæc eſt natura communis & creata; veruntamen ovillam habuit pellem miraculorum effectricem. Rurſus Eliſæus cùm magiſtri gratiæ cum acceſſione factus eſſet hæres, ovilla pelle Jordanis C fluenta frænabat. Si ergo tanta extitit apud Prophetas gratia, quanta ejus erit, quem ipſi Prophetiis annuntiabant, potentia? Quin verò paucis iſta complector? umbra ipſa Petri ſanat, & Chriſti veſtis non medebitur? Intelligo quanti mihi ſit vel conſilium iniiſſe tantùm: currentem morbum frænavit. O fidem quæ morbo dilationem non conceſſit: credidit enim tantùm, & malum quod infeſtabat, aufugit: credidit, & contentioſa bellua non contradixit: credidit & exiccatus eſt ſanguinis fons perennis, non aliter ac ſi inviſibili quodam cauterio eſſet areſactus. Verùm hæc D quidem veſtem attigit & exterioribus pedibus appropinquavit; ille verò interiores cogitationes agnovit: illa quidem occultè corpore ſanitatem hauſit: Salvator autem ejus animæ pulchritudinem divulgavit: non enim talem paſſus eſt decorem non celebratum & ignotum latere: non permiſit juſtitiæ ſcintillam oblivionis tenebris obrui: unius mulieris fidem, quæ Deo bona non dubitanti mente ſubripuerat, mundo Evangelica communicavit hiſtoria. Quænam hæc eſt quæ ob furtum non aliter atque E ob fidem honorata eſt? latronem mulieris fides prævenit: ante linguam illius hujus manus commendatur: antè quàm ille paradiſum voce prædetur, hæc ipſum regni largitorem ſilentio compilavit. Cognoſcens enim, inquit, virtutem, quæ exierat de illo, interrogabat diſcipulos, Quis me tetigit? Quomodo furtum non animadvertiſtis? quomodo latrocinium vos latuit? *Quis me te-*

Matt. 9,21. Luc. 8,43.

tetigit? Quis ex meis theſauris morbi ſe ſanatione ditavit? Quis me tetigit? Quid ais Domine? tu dediſti, & eam quæ accepit non noſti? fidem advertiſti, & eam quæ credidit, non agnoviſti? mentem latentem percepiſti; & apparentem faciem non es conſpicatus? Quis me tetigit? quis te tetigit? cui medicamentum operationis miraculorum applicaſti? cui ſanationem impertiiſti? Domine morbum exegiſti, & eam quæ ſalva facta eſt, non noviſti? Quis me tetigit? quis me priùs mente quàm manibus contrectavit? quænam meam divinitatem cogitatio apprehendit? quis ille juſtus meæ miraculorum virtutis prædo? quis extinctæ ſalutis ſuæ lucernam ex mea lampade furtim accendit? Quis me tetigit? aut diſcam ex vobis, aut docebo. Vellem equidem ad finem uſque argumenti hujus decurrere, ſed jam tempus nos admonet ut deinceps huic miraculo alterum ad docendum diem reſervemus. Nam ſi illa duodecim annorum ſpatio morbo conflictata de ſua patientia nihil remiſit, nos alterum diem longis mulieris certaminibus non immorabimur? cujus fidem martyrum quoq; cœtus æmulatus eſt, non Domini fimbriam tangentes, ſed ipſum etiam corpus Chriſti gratia exuentes. Et nos igitur, dilectiſſimi, ad ſimilis fidei imitationem mentes noſtras excitemus; ne muliere una Gentili deteriores ſimus: quandoquidem majora nobis quàm illi ſunt objecta ſpectacula quibus ad pietatem accendamur, ſatis hoc illi tantùm fuit, quòd veſtimentū ſemel contigerit: nos vero quotidie, ut ſcitis, Salvatoris corpus contrectantes: Saltem ut qui Domini membris alamur, gratiarum actionem offeramus: ipſum enim decet gloria in ſecula ſeculorum. Amen.

Sancti Patris noſtri Joannis Chryſoſtomi Archiepiſcopi Conſtantinopolitani oratio Catechetica in dictum Evangelii: Simile eſt regnum cœlorum homini patrifamilias, qui exiit primo mane conducere operarios in vineam ſuam & quæ ſequuntur.

FRONTONE DUCÆO interprete.

Matt. 20. 1. VIdeo permixtas piorum gregi oves inſolitas, recens paſtoris cœleſtis ſignum in frontibus ferentes, & doctrinæ virentes herbas nancisci volo, quæ conveniant cùm illis qui gratiam jam guſtaverunt, tum his qui ſpiritus gramen decerpturi ſunt: ut ejuſdem catecheſis & inſtitutionis paſtus eis quidem, qui baptizati ſunt & illuminati, donorum Dei memoriam refricet, eos verò, qui illuminandi ſunt, ad baptiſmum acriùs cohortetur. Sic enim oportet, ut ad utroſque habitus ſermo ſit mixtus: quandoquidem turba Dei cultorum ex viris qui myſteriis initiati ſunt, & ex iis qui initiantur, eſt mixta. Nactus ſum igitur unde & nos omnes veteres Chriſti vernas epulo excipiam. & quo pacto noſtros nuper emptos ſervos ad vocationis libertatem cohortabor? enarrabo fratribus meis dicta dominica: quæ poſſunt & eos, qui olim regiam vineam occuparunt, promptiores efficere, & eos, qui non ita pridem ad eam inſpiciendam incubuerunt, ad ſimilem zelum accendere. Simile eſt regnum cœlorum homini patrifamilias, qui exiit primo mane conducere operarios in vineam ſuam. Patrem familias (ſeu dominum domus) Dominus ſeipſum appellat: operarios verò circa tertiam & ſextam & nonam & undecimam vocatos nuncupat, omnes pios, qui baptiſmum in diverſis ætatibus ſuſceperunt: vineam, ſalutaria dicit mandata, quibus parum laboris ineſt, at multum lucri. *Simile eſt regnum cœlorum homini patrifamilias, qui exiit primo mane conducturus operarios in vineam ſuam, conventione autem facta cum illis*, hoc eſt cum operariis, *ex denario diurno, miſit eos in vineam ſuam.* Paterfamilias ego ſum, quemadmodum enim dominus domus, prout libet, domos ædificat: ſic ego mundum univerſum, ut volo, diſpono: ego ſol juſtitiæ nube humanitatis indutus ad humanitatem me dejeci, & operarios ad vineam meam colendam quærens circumeo: non hominibus indigeo vinitoribus: habeo ſiquidem Angelos & Archangelos, qui ea, quæ volo, perficiunt: verum terrenos ſervos meos in meis villis ſtationem habentes cernere concupiſco. Ego circumeo, & quoquoverſum circumſpicio, quos inveniam, quos conducam, non ut laboribus alienis diteſcam, ſed ut eos qui mihi paruerint, opulentos reddam. Habeo Petrum & Joannem, alióſque diſcipulos, orbis terrarum impigros plantarum cultores, congregavi: conventionem cum illis ex denario diurno feci: vitam ipſorum omnem conduxi, próque omni opere quod mihi facient, daturum me illis mercedis loco cœlorum regnum promiſi: ſed ad explendum animum meum hi ſoli non ſufficiunt, non poſſum agricolas numero exiguos arvum meum colentes intueri: in anguſtum deduci videntur oculi mei, dum tot cerno tantummodo, adhuc alios aratores expeto: adhuc etiā alios mercenarios exopto: adhuc etiam alios myſtas quæro. Spatioſus eſt & ingens mandatorū meorum paradiſus: omnes qui mihi crediderint, capit: omnes virtutis amatores cùm receperit,

A πιστεύουσαν οὐκ ἐγνώρισας; τὴν λανθάνουσαν κατενόησας γνώμην, καὶ τὴν φαινομένην οὐκ ἐπιστήσας ὄψιν; τίς μου ἥψατο; τίς σου ἥψατο; τίνι τὸ φάρμακον τῆς ἐνεργείας ἐπέθηκας; τίνι τὴν ἴασιν ἐξέπεμψας; δέσποτα τὸ πάθος ἐδίωξας καὶ τὴν σωθεῖσαν ἠγνόησας; τίς μου ἥψατο, τίς μου τῇ διανοίᾳ πρὸ τῶν χειρῶν ἐψηλάφησε; τίς μου κατέσχε λογισμὸς τὴν θεότητα; τίς ὁ δίκαιος οὗτος τῆς ἐμῆς ἐνεργείας λῃστής; ὃς τὸν αὐτοῦ τῆς ἐσβεσμένης σωτηρίας τὸν λύχνον ἀφανῶς
B ὑφῆψεν ἐκ τῆς ἐμῆς λαμπάδος; τίς μου ἥψατο; ἢ μάθω παρ' ὑμῶν, ἢ διδάξω. ἐβουλόμην πρὸς τὸ τέλος τῆς ὑποθέσεως πέρας δραμεῖν· ὁ καιρὸς δὲ λοιπὸν ἑτέραν τῷ θαύματι φυλάττει διδασκαλίας ἡμέραν. εἰ γὰρ ἐκείνη δωδεκαέτῃ χρόνον παλαιμηθεῖσα τῷ πάθει τὸν τῆς ὑπομονῆς οὐκ ἐξέλυσε τόνον, ἡμεῖς ἄλλην μίαν ἡμέραν τοῖς μακροῖς ἀγῶσι τῆς γυναικὸς οὐκ ἐναπομείνωμεν, ἧς τὴν πίστιν καὶ ὁ τῶν μαρτύρων δῆμος ἐζήλωσεν· οὐ δεσποτικῶν κρασπέδων ἀψάμενοι, ἀλ-
C λὰ καὶ αὐτὸ τὸ σῶμα διὰ Χριστὸν ἐκδυσάμενοι, καὶ ἡμεῖς τοίνυν, ἀγαπητοί, πρὸς ζῆλον τῆς ὁμοίας πίστεως τὰς ἡμετέρας διαναστήσωμεν γνώμας· μὴ γενώμεθα χείρους μιᾶς γυναικὸς ἀλλοφύλου, οἱ εἰς ἐπίδειξιν πλέον ἡμεῖς ἢ ἐκείνη ἀπολαύσαντες θέας· ἐκείνη μόνον ἤρκεσεν ἅπαξ ἱματίου καθάψασθαι· ἡμεῖς δὲ καθ' ἑκάστην, ὡς ἴστε, τὸ τοῦ Σωτῆρος σῶμα κατέχοντες, κἂν ὡς τρεφόμενοι τοῖς τοῦ δεσπότου μέλεσιν, εὐχαριστίαν προσφέρωμεν· αὐτῷ γὰρ πρέπει
D δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου λόγος Κατηχητικὸς εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, καὶ τὰ ἑξῆς. ὁμιλ. γ.

E ΟΡΩ τῇ ποίμνῃ τῆς εὐσεβείας μεμιγμένα πρόβατα ξένα, νέαν τὴν σφραγῖδα τοῦ ἐπουρανίου ποιμένος ἐπὶ τῶν μετώπων ἐπιφερόμενα· καὶ βούλομαι διδασκαλίας χλόην εὑρεῖν κατάλληλον τοῖς γευσαμένοις ἤδη τῆς χάριτος, καὶ τοῖς μέλλουσι κεῖραι τὴν πόαν τοῦ πνεύματος· ἵνα τὸ αὐτὸ κατηχήσεως ἡ νομὴ τοῖς μὲν πεφωτισμένοις ὑπόμνησις γένηται τῶν τοῦ Θεοῦ δωρεῶν· τοῖς δὲ φωτισθησομένοις σφοδροτέρα προτροπὴ πρὸς τὸ βάπτισμα. δεῖ γὰρ πρὸς ἑκατέρους κεκρᾶσθαι
A τὸν λόγον, διὰ τὸ κεκρᾶσθαι τὸν φιλόθεον δῆμον ἔκ τε μεμυημένων καὶ μυουμένων ἀνδρῶν εὑρών. τοίνυν πανδαισίᾳ ἑστιάσω καὶ ἡμᾶς τοὺς οἰκογενεῖς ἀρχαίους ἅπαντας τοῦ Χριστοῦ· καί πως τοὺς νεωνήτους δούλους ἡμῶν προτρέψω πρὸς τὴν ἐλευθερίαν τῆς κλήσεως· ἐπαγγελῶ τοῖς ἐμοῖς ἀδελφοῖς ῥήσεις δεσποτικὰς δυναμένας καὶ τοὺς πάλαι καταλαβόντας τὸν βασιλικὸν ἀμπελῶνα προθυμοτέρους ἐργάσασθαι, καὶ τοὺς ἄρτι παρακύψαντας εἰς αὐτὸν διεγεῖραι πρὸς τὸν ὅμοιον ζῆλον· Ὁμοία ἐστὶν ἡ
B βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. οἰκοδεσπότην ὁ δεσπότης ἑαυτὸν ὀνομάζει· ἐργάτας δὲ περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην καὶ ἑνδεκάτην καλουμένους προσαγορεύει πάντας τοὺς εὐσεβεῖς τοὺς ἐν διαφόροις ἡλικίαις δεξαμένους τὸ βάπτισμα· ἀμπελῶνα τὰ σωτήρια λέγει προστάγματα, μικρὸν ἔχοντα πόνον, πολὺ δὲ τὸ κέρδος. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλ-
C θε πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Συμφωνήσας δὲ μετ' αὐτῶν, τουτέστι τῶν ἐργατῶν, ἐκ δηναρίου κατὰ τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπ. αὐτοῦ. ὁ οἰκοδεσπότης ἐγώ εἰμι· ὥσπερ γὰρ ὁ οἰκοδεσπότης οἰκίας, ὡς βούλεται, οἰκοδομεῖ, οὕτως τὸν κόσμον ὅλον, ὡς θέλω, διατάττω. ἐγὼ ὁ τῆς δικαιοσύνης ἥλιος φορέσας τὴν νεφέλην τῆς ἀνθρωπότητος, συγκατέβην τῇ ἀνθρωπότητι, καὶ περιέρχομαι ζητῶν ἐργάτας εἰς τὸν ἀμπελῶνά μου. οὐ χρῄζω ἀν-
D θρώπων ἀμπελουργῶν· ἔχω γὰρ ἀγγέλους καὶ ἀρχαγγέλους ποιοῦντας ἃ βούλομαι· ἀλλὰ ποθῶ τοὺς ἐπιγείους δούλους μου ἐν τοῖς ἐμοῖς κτήμασιν αὐλιζομένους ὁρᾶν· ἐγὼ περιτρέχω, καὶ περιβλέπομαι πανταχοῦ τίνας εὕρω, τίνας μισθώσομαι· οὐχ ἵνα μόχθοις ἀλλοτρίοις πλουτήσω, ἀλλ' ἵνα πλουτίσω τοὺς ὑπακούοντάς μοι. ἔχω τὸν Πέτρον καὶ Ἰωάννην, καὶ τοὺς ἄλλους μαθητάς, τοὺς ἀόκνους φυτουργοὺς τῆς οἰκουμένης, συνήγαγον, συνεφώνησα πρὸς αὐτοὺς ἐκ
E δηναρίου κατὰ τὴν ἡμέραν· ἀπεμισθωσάμην αὐτῶν πᾶσαν ζωήν, καὶ ἐπηγγειλάμην αὐτοῖς ὑπὲρ πάσης ὁμοῦ τῆς ἐργασίας δοῦναι μισθὸν τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' οὐκ ἀρκοῦσιν οὗτοι μόνοι τὴν ἐμὴν κορέσαι ψυχήν· οὐ δύναμαι βλέπειν εὐαριθμήτους γεωργοὺς γεωργοῦντάς μου τὸ γεώργιον· στενοχωροῦμαι τοὺς ὀφθαλμούς μου τοσούτους μόνον ὁρῶν, ἔτι καὶ ἄλλους γεωπόνους διψῶ, ἔτι καὶ ἄλλους μισθοφόρους ποθῶ, ἔτι καὶ ἄλλους μύστας ζητῶ, εὐρυχωρός ἐστι καὶ μέγας ὁ παράδεισος τῶν ἐμῶν ἐντολῶν· πάντας τοὺς πιστεύσαντάς μοι χωρεῖ. πάντας τοὺς φιλαρέτους ὑποδεχόμενος.

ἐν

ὅτι πλατύτερος γίνεται. τί οὖν ποιήσω; πόθεν πληρώσω τοὺς ἐμοὺς περιβόλους; πόθεν πλείονας ἀπογράφους περιγράψομαι; ἐξέλθω πάλιν εἰς τὰς τριόδους αὐτῶν· ἐξέλθω πρὸς τοὺς πλανωμένους τὴν ἑκούσιον πλάνην· ἐξέλθω πρὸς τοὺς ῥαθύμους· ἐξέλθω πρὸς τοὺς ἀπόρους ὁ εὔπορος· ἵνα τοὺς ἀπόρους εὐπόρους ἐργάσωμαι. ἐξέλθω πάλιν πρὸς τὴν τῶν ἐργατῶν συλλογήν· ἐγὼ τὸ ὀφειλόμενον ποιήσω· καλέσω καὶ πάλιν τοὺς πένητας· ἐμοῦ ἐστι τὸ προτρέψαι· ἐκείνων τὸ πεισθῆναι· ἐμόν ἐστι τὸ θελῆσαι δοῦναι μισθὸν· ἐκείνων ἐστὶ τὸ θελῆσαι λαβεῖν. ἐὰν ὑπακούσωσί μοι, καὶ ἐμοὶ καὶ ἑαυτοῖς εὐχαριστοῦσιν. ἐὰν δὲ παρακούσωσί μοι, ἑαυτοὺς ζημιώσουσιν· ἐμοὶ γὰρ οὐ λείψουσιν γεωργοὶ δυνάμενοι περισκάψαι, καὶ περιβοθρεῦσαι καὶ περικλαδεῦσαι τὰ κλήματα· οὐ δύναται ὁ ἐμὸς ἀμπελὼν μεῖναι κεχερσωμένος ἢ ἄκαρπος. καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν εἶδεν ἄλλους ἐν τῇ ἀγορᾷ ἀργούς· κἀκείνοις εἶπεν, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. καὶ ποῦ ἦτε πρωΐ; ποῦ ἦτε τὰς προλαβούσας ἡμέρας; πῶς οὐκ ἐζητήσατέ με τὸν εἰς ζήτησιν ὑμῶν ἀφικόμενον; πῶς οὐκ ὠρθρίσατε πρὸς τὸ συμφέρον ὑμῖν; οὕτως ἀγνοεῖτε τῆς εὐσεβείας τὰς ἀκτῖνας, ὅτι τὴν ἡμέραν νύκτα νομίζετε, καὶ λάμποντος τοῦ φωτὸς τῆς ἀληθείας, ὑμεῖς τί καρηβαρεῖτε καὶ νυστάζετε; νῦν γοῦν ἐξυπνίσθητε· νῦν γοῦν γρηγορήσατε· νῦν γοῦν ἐπιστρέψατε· νῦν γοῦν σωφρονήσατε· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. βλέπετε πῶς ὑμᾶς ἀγαπῶ· οὐ περιώρισα τῷ ὄρθρῳ τὸ κήρυγμα· οὐκ ἀπετείχισα τοῖς δευτέροις τὴν πρόσοδον· οὐ περιέκλεισα τῇ πρώτῃ κλήσει τὴν ὑμετέραν ἐπιστροφήν· πᾶσαν ὥραν ὑμῖν ἐχαρισάμην πρὸς μετάνοιαν· πᾶσαν ἡλικίαν ἐναγκαλίζομαι· κἂν βρέφη προσενεχθῇ μοι, χαίρων προσίεμαι· ἐγὼ γάρ εἰμι τῶν βρεφῶν δημιουργός, καὶ πατήρ, καὶ μήτηρ, καὶ τροφεύς, καὶ τροφή· κἂν παῖδες ὑποψελλίζοντες προσφύγωσιν, ἥδομαι· κἂν νεώτεροι προσχωρήσωσιν, μᾶλλον εὐφραίνομαι· κἂν ἄνδρες τέλειοι προσδράμωσιν, ὑποδέχομαι· πάντας τοὺς μετὰ πίστεως προστρέχοντας ὡς ἀδελφοὺς ἐμοὺς περιπτύσσομαι· οὐ λογίζομαι τῶν παρελθουσῶν ὡρῶν τὴν ζημίαν ἐὰν ἴδω προθυμίαν ταλαντευομένην τῇ ῥαθυμίᾳ, οὐ μειῶ τῆς ἡμέρας τοὺς μισθούς· ἐὰν τοὺς προφθάσαντας ὑμᾶς ἐπιφθῆναι σπουδάζητε. ἀφετε τὸν ἀμπελῶνα τῶν Ἰουδαίων τὸν ἀγνώμονα, τὸν ἀχάριστον, τὸν ὄξος μόνον ἐπιστάμενον γεωργεῖν· καταλίπετε τὴν ἄμπελον, τὴν ἐξ Αἰγύπτου μεταφυτευθεῖσαν, καὶ τῆς Αἰγυπτιακῆς εἰδωλολατρείας τὴν πικρίαν περιφέρουσαν, καὶ βότρυν πικρίας μαθοῦσαν βλαστάνειν τῷ φυτουργῷ, καὶ πρὸς τὸν ἐμὸν ἀμπελῶνα μετάστητε· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν· οὐκ εἰμὶ ἄδικος, κατὰ φύσιν δίκαιος πέφυκα· οὐκ εἰμὶ πλεονέκτης ὁ κατὰ τῆς πλεονεξίας νόμους ἐκθέμενος· οὐκ εἰμὶ ἀγνώμων περὶ τοὺς ἀγνώμονας δούλους· οὐκ εἰμὶ μικρόλογος ἢ μικρόψυχος περὶ τοὺς μεγαλοψύχους περίειμι· δώσω ὑμῖν μισθοὺς παραμένοντας τοὺς πόνους· χορηγήσω δωρεὰς νικώσας τοὺς ἱδρῶτας ὑμῶν· πάλιν ἐξῆλθε περὶ τὴν ἕκτην καὶ ἐννάτην ὥραν, καὶ ἐποίησεν ὡσαύτως· οὐ καταλιμπάνω καιρὸν οὐδένα· σαγηνεύων τοὺς θέλοντας, καὶ οὐ κάμνω τοὺς κάμνοντας ἐν τῇ ἁμαρτίᾳ, πρὸς δικαιοσύνην καλῶν. ἐξῆλθον ἅπαξ καὶ θηράσας ὑπέστρεψα· ἐξῆλθον δεύτερον, καὶ ζωγρήσας ἀνέκαμψα. ἐξῆλθον τρίτον καὶ πλουτήσας ἐπανελήλυθα· ἐξῆλθον τέταρτον περὶ τὴν ἐννάτην ὥραν, καὶ λαβὼν ἥκω τινάς· ὅσον συνεχῆ ποιοῦμαι τὸν δρόμον, τοσοῦτον θερμότερον ἀναφλέγομαι τῷ πόθῳ· ὅσους ἂν προσαγάγωμαι, τοσούτους ἄλλους ποθῶ· κἀκείνους εὑρών, ἑτέρους ἐπιζητῶ· θέλω γὰρ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθών, εὗρεν ἄλλους ἑστῶτας ἀργούς· οὐ παύομαι γυμνῶν τὸν διάβολον, ἕως ἂν ὁ βίος οὗτος παρείη. οὐ παύσομαι λῃστεύων τὸν θάνατον τὸν δεινὸν κλέπτην τῆς ἀνθρωπότητος· οὐκ ἀνέχομαι τοὺς ἀπὸ γνώμης οἰκείας γενομένους θνητούς, μὴ μεταβαλεῖν πρὸς ἀθανασίαν, ἕως ἂν τῆς αὐτῶν τελευταίας ἀναπνοῆς. διὰ τοῦτο οὐδὲ τῆς ἑνδεκάτης ὥρας καταφρονῶ· διὰ τοῦτο προσεδρεύω ταῖς πύλαις τοῦ ᾅδου, ἵνα δυνηθῶ τινας πρὸ τοῦ θανάτου μεταστῆσαι πρὸς τὴν ζωήν. περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; ἐκκλησίας οὐκ ἔχετε; προφήτας οὐκ ἔχετε; ἀποστόλους οὐκ ἔχετε; μάρτυρας οὐκ ἔχετε; θείας γραφὰς οὐκ ἔχετε; πνευματικὸν ἔργον οὐδέν; τί οὖν ἑστήκατε ὧδε ὅλην τὴν ἡμέραν ἀργοί; οὐ βλέπετε τὸν ἥλιον, τὸν τεταγμένον δρόμον ἀνύοντα, οὐ βλέπετε τὴν σελήνην διακονοῦσαν τῷ κτίσαντι; οὐ βλέπετε τὴν κτίσιν δουλεύουσαν τῷ ποιητῇ; οὐ βλέπετε τῶν στοιχείων ἕκαστον ἐργαζόμενον τὸ ἔργον, δι' ὅπερ ἐγένετο; διὰ τί οὖν ὑμεῖς μόνοι τῇ ἀργίᾳ τὴν φύσιν ὑβρίζετε; διὰ τί στήλας μιμεῖσθε νεκράς; οὐκ ἔχετε ὀφθαλμούς, ἵνα βλέποντες τοῦ κόσμου τὸ κάλλος τὸν κοσμοποιὸν εὐφημήσητε; οὐκ ἔχετε στόμα, ἵνα τὰς γλώσσας ὑμῶν πρὸς ὑμνῳδίας κινήσητε; οὐκ ἔχετε χεῖρας, ἵνα τὴν ἐλεημοσύνην ἐργάσησθε;

A adhuc fit latior. Quid igitur faciam? unde mea ſepta complebo?
unde plures accenſos invitabo? exibo rurſus in trivia ipſorum:
exibo ad eos, qui ſpontaneo errant errore: exibo ad negligentes:
exibo ad inopes opulentus, ut inopes reddam opulentos, exibo
rurſus ad operarios colligendos, ego quod debetur, præſtabo:
advocabo rurſus etiam pauperes, meum eſt cohortari, illorum
parere: meum eſt dare velle mercedem, illorum eſt velle accipe-
re, ſi mihi paruerint, & mihi & ſibi ipſis gratificabuntur, quòd
B ſi mihi non obediant, ſemetipſos damno afficient: nam mihi ne-
quaquam deerunt agricolæ, qui circumfodere, & ſcrobibus cin-
gere poſſint, & palmites putare: inculta vinea mea vel ſterilis
permanere non poteſt. Et egreſſus circa horam tertiam vidit a-
lios ſtantes in foro otioſos, & dixit illis, Ite & vos in vineam
meam. Ubi quæſo mane fuiſtis? ubi ſuperioribus diebus fuiſtis?
Cur non me quæſiviſtis, qui ad vos quærendos exieram? Cur
non ad utilitatem veſtram mane ſurrexiſtis? adeone pietatis ra-
C dios ignoratis, ut diem eſſe noctem arbitremini, & affulgente lu-
mine veritatis, vos caligatis & dormitatis? nunc ſaltem expergi-
ſcimini, nunc ſaltem evigilate: nunc ſaltem convertimini, nunc
ſaltem ſobrii eſtote. *Ite & vos in vineam meam.* Videte quantum
vos diligam: matutino tempore prædicationem Evangelii non
circumſcripſi: ſecundis aditum non obſtruxi; converſionem
veſtram prima vocatione non circumcluſi, quamvis horam ad
pœnitentiam vobis indulſi; quamvis ætatem obviis ulnis ex-
D cipio: licet infantes mihi offerantur, lætus admitto: nam ego
infantium creator ſum, & pater, & mater, & altor, & alimen-
tum: ſive pueri ad me balbutientes confugiant, illis delector:
ſive juniores accedant, majori voluptate perfundor: ſive per-
fecti viri accurrant, ſuſcipio: omnes cum fide accurrentes tan-
quam fratres meos complector. præteritarũ horarum damni ra-
tionem non habeo, ſi ſtudium & alacritatem animi videam, ig-
naviæ præponderantem: ſi eos qui vos ante verterunt, aſſequi
E ſtudueritis, de diurna mercede quicquam non detraho. Deſerite
vineam Judæorum ingratam, immemorem beneficii, quæ ſo-
lum acetum novit progignere: derelinquite vineam de Ægypto
translatam, & idololatriæ Ægyptiacæ acerbitatem ſecum cir-
cumferentem, quæ botrum amaritudinis vinitori didicit ger-
minare: atque ad vineam meam tranſite, & quod juſtum fue-
rit, dabo vobis. Non ſum injuſtus, natura ſum juſtus: non
ſum avarus, qui adverſus avaritiam leges tuli: non ſum in-
A gratus adverſus ingratos ſervos: non ſum parcus aut puſillani-
mis, magnanimos quoſvis ego ſupero: mercedem vobis labo-
ribus majorem perſolvam, dona quæ ſudores veſtros vincant,
impertiar. *Iterum exiit circa ſextam & nonam horam, & fecit
ſimiliter*: nullum tempus omitto: omnes volentes ſagena irre-
tio, neque in iis qui in peccatis defatigati ſunt, ad juſtitiam vo-
candis defatigor, ſemel egreſſus ſum, & venatus redii: iterum
ſum egreſſus, & auctus præda reverti: egreſſus ſum tertio, &
B ditatus reveni: quarto loco circa horam nonam exivi, & non-
nullis captis advenio, quanto frequentius revertor, tanto ar-
dentiori deſiderio inflammor: quo plures adduco, eo plures a-
lios exopto: & illos nactus, alios rurſum requiro, omnes enim
homines volo ſalvos fieri, & ad agnitionẽ veritatis venire. *Circa
undecimam autem horam exiit, & invenit alios ſtantes otioſos.*
Non ceſſo diabolum ſpoliare, quandiu vita iſta ſuperfuerit:
non ceſſabo mortem deprædari ſævum generis humani furem:
C non poſſum non eos qui proprio arbitratu mortales ſunt facti,
ad immortalitatem traducere uſque dum extremum ſuum ſpiri-
tum exhalarint. Propterea ne undecimam quidem horam con-
temno: propterea foribus inferorum aſſideo, ut aliquos ante
mortem ad vitam poſſim transferre. Circa undecimam autem
horam exiit, & invenit alios ſtantes otioſos. & dicit illis: *Quid
hic ſtatis tota die otioſi?* an Eccleſias non habetis? Prophetas non
habetis? Apoſtolos non habetis? martyres non habetis? ſcri-
D pturas divinas non habetis? ſpirituale nullum opus? Quid er-
go ſtatis hîc tota die otioſi? non Solem videtis ſtatum ſuum cur-
ſum peragentem? non Lunam videtis creatori ancillantem?
non creaturam videtis, conditori ſervientem? non elementum
unumquodque ſuum opus exequi videtis, cujus cauſa in lucem
eſt editum? cur igitur vos ſoli naturam inertia deturpatis?
cur columnas cippoſque mortuos imitamini? non manus ha-
betis, ut eleemoſynam impertiatis? non oculos habetis, ut
E pulchritudinem mundi videntes, opificem mundi celebretis? nõ
os habetis ut linguas veſtras ad concinendos hymnos moveatis,

non pedes habetis ut curſus animis utiles decurratis? *Quid hic ſtatis tota die otioſi? Illi autem dicunt ei, Nemo nos conduxit.* Ejuſmodi ſunt ii qui excuſant excuſationes in peccatis: qui præſens differunt in futurum: qui dicunt, Sine modò, & cùm juſſerit mihi Deus, tunc baptizabor, hoc mihi paſcha remitte, & in futuro illuminabor. Ejuſmodi ſunt qui dicunt, *Nemo nos conduxit.* Quid verò ipſis reſpondit is qui procraſtinationes eorum qui differunt gratiam, ſuperat benignitate? *Ite & vos in vineam.* Non eorum mendacia verba redarguit, non diſſimulatos erroneorum B morum ſermones infamavit, neq; negligentes his compellavit. Quid dicitis, quia nemo nos conduxit? cur negligentiæ mendacium quoque aſſuitis? nemo vos conduxit: non vos invitarunt Prophetæ? non vos cohortati ſunt Apoſtoli? nónne ad vos ego per meipſum adveni? nónne ſæpenumero vocavi, vos autem non obediſtis? nónne me cæteros ex vobis conducentem vidiſtis & paciſcentem cum illis? cur non igitur imitari voluiſtis eos qui mihi parebant, ſed ad ſenectutem uſque ſpectatores manſiſtis? C nihil horum dixit Salvator, ſed, Ite & vos in vineam meam, admitto & ſenes, qui opus facere cupiunt: admitto & canos pietate colluſtratos, admitto & tremula membra fide roborata; Libenter video ſenes ſcipiones ſimul & cruces tenentes. Ite & vos in vineam meam. Diabolo juventutem obtuliſtis, mihi ſaltem ſenectutem commodate: inimico robur corporis largiti eſtis, mihi ſaltem inutilem ætatem concedite; ſub tyranno toto tempore vitæ, prout illi placuit, ſtipendia meruiſtis, mihi legitimo Regi D quod reliquum eſt temporis operam date: efficiamini fideles, antequam mortui efficiamini; Immortalitatis ſtolam ante mortem accipite: voſmetipſos ante obitum immortalibus illis exequiis gratiæ ſepelite: currite, feſtinate, ante veſperam intra vineam reperiri: contendite ut derelinquat vos intus ſol occidens. Si ante Solis occaſum in amatorum meorum numerum vos retuleritis, divinitatis meæ gloriam, ut lucis amatores videbitis, ſicut illis qui vocati ſunt, è vinea egreſſi fueritis, tametſi non laboraveritis, quaſi laboraſſetis remunerabor. ſi vos extra diverſorium E ſtantes mortis nox comprehenderit, non jam amplius vos habere amicorum loco poſſum. mortuus namque non credit: mortuus non confitetur, mortuus non operatur, neque creditur illi myſterium: mortuus temperantiam non operatur: mortuus repoſcere mercedem non poteſt: mortuus non ſignatus, vel etiam ante judicium condemnatus eſt; vivus & ſanus laudabit Dominum: e-

Matt. 20. 8.

juſmodi mortuus poſt mortem etiam vivit: ejuſmodi mortuus A poſt ſepulturam iterum floret. *Ite & vos in vineam*: dum exiguũ adhuc vitæ ſpatium reſtat, negotiamini: ne expectetis, ut morbi neceſſitas arbitrii veſtri coronam accipiat. nolite ſub temp⁹ mortis viaticum vobis immortalitatis mercari: in vita vitam negotiamini: dum ſani eſtis, & ſobrii, talentum ſuſcipite, ut & quæſtum ac lucrum colligatis. *Ite & vos in vineam, & quod juſtum fuerit, accipietis*: & ſupra id quod juſtum eſt, accipietis. tantùm pœnitentiam agite: tantùm accedite: tantùm mecum verſamini, B ne cohortationẽ meam contemnatis: nullus enim qui mihi crediderit, non beneficio auctus: neque qui mihi miniſtraverit, adhuc ullus egenus relictus eſt. Ita paterfamilias domus iſtius vineam iſtã explevit: *Cùm ſerò autem factum eſſet*: cùm jam vita præſens tanquam dies ſenſim effluxiſſet: cùm jam longa nox mortis adveniſſet: cùm mortuorum reſurrectio tanquam diluculum, cui veſpera minimè ſuccedit, exorta eſſet, *dicit Dominus vineæ procuratori ſuo, Voca operarios*: voca omnes qui ex Adamo pro- C gnati ſunt: voca Abel, qui propter ſacrificium eſt mactatus. voca Enoch qui placuit, & tranſlatus eſt: voca Noë naufragium paſſæ naturæ gubernatorem egregium: voca fideliſſimum Abrahã, Dei amatorem; qui viſceribus ſuis bellum intulit: qui fidem ſervavit: voca Joſeph operarium continentiæ, voca Patriarchas omnes, voca Prophetas: voca Eliam qui rectè currũ moderatus eſt, & auriga curruum igneorũ eſt factus, voca novi teſtamenti lumina: voca Apoſtolos novi teſtamenti luminaria, voca martyres, eóſque, qui mortem meam, quam ipſorum cauſa pertuli, ſunt D imitati: voca Stephanum, qui propter me lapidatus eſt: voca Barlaã cui propter vineæ cuſtodiam exoſta eſt dextera: voca omnes qui egregiè laborarunt: voca eos qui mea prædia ſtrenuè coluerunt, & redde illis mercedem, aperi meos theſauros: aperi mea promptuaria: aperi ſplendida regni mei palatia, profer regales coronas: profer divina bravia: nulli gazæ ex cimeliis meis parcas? non enim iſti ſuis animabus propter me pepercerunt, corona capita eorum, qui, uti volui, decertarunt? projice præmia E in manus quæ laborarunt, nullus hinc non coronatus excedat?

A οὐκ ἔχετε πόδας ἵνα δράμητε δρόμους ψυχωφελεῖς; τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; μέχρι ποτὲ τὴν ἐμὴν δεσποτείαν ἐκφεύγετε; τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; οἱ δὲ λέγουσιν αὐτῷ, οὐδεὶς ἡμᾶς ἐμισθώσατο. τοιοῦτοί εἰσιν οἱ προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, οἱ τὸ παρὸν εἰς τὸ μέλλον ὑπερτιθέμενοι, οἱ λέγοντες, ἄφες ἄρτι, καὶ ὅτε καλεῖ με ὁ Θεὸς, τότε βαπτίσομαι· ἔνδος μοι τοῦτο τὸ πάσχα, καὶ εἰς τὸ μέλλον φωτίζομαι. τοιοῦτοί εἰσιν οἱ λέγοντες, οὐδεὶς ἡμᾶς ἐμισθώσατο. ἀλλὰ τί πρὸς αὐτοὺς ὁ τῇ χρηστό- B τητι νικῶν τὰς ὑπερθέσεις τῶν ἀναβαλλομένων τὴν χάριν; ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. οὐκ ἤλεγξε τὴν ψευδολογίαν αὐτῶν· οὐκ ἐστηλίτευσε τὴν εἰρωνείαν τῶν πεπλανημένων ἠθῶν· οὐκ εἶπε πρὸς τοὺς ῥαθύμους, τί λέγετε, ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο; τί τῇ ῥαθυμίᾳ καὶ τὸ ψεῦδος συρράπτετε· οὐδεὶς ὑμᾶς ἐμισθώσατο; οὐ παρεκάλεσαν ὑμᾶς οἱ προφῆται; οὐ προετρέψαντο ὑμᾶς οἱ ἀπόστολοι; οὐ παραγενόμενον ἐγὼ δι᾽ ἐμαυτοῦ πρὸς ὑμᾶς; οὐκ ἐκάλεσα πολλάκις, ὑμεῖς C δὲ οὐχ ὑπηκούσατε; οὐκ εἴδετέ με μισθούμενον τοὺς ἑταίρους ὑμῶν, καὶ ποιοῦντα μετ᾽ ἐκείνων σύμφωνα; διὰ τί οὐκ ἐβουλήθητε μιμήσασθαι τοὺς πεισθέντας μοι, ἀλλ᾽ ἐμείνατε μέχρι γήρους κατάσκοποι; τούτων οὐκ εἶπεν οὐδὲν ὁ Σωτήρ, ἀλλ᾽ ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. δέχομαι καὶ γέροντας ἐργατεύσασθαι θέλοντας· δέχομαι καὶ πολιὰς εὐσεβείᾳ λαμπρυνομένας. δέχομαι καὶ τρέμοντα μέλη πίστει νευρούμενα· ἡδέως ὁρῶ γέροντας κρατοῦντας βακτηρίας D ὁμοῦ καὶ σταυρούς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου· τῷ διαβόλῳ τὴν νεότητα προσηνέγκατε· ἐμοὶ κἂν τὸ γῆρας δανείσατε· τῷ ἐχθρῷ τὴν ἰσχὺν ἐχαρίσασθε· ἐμοὶ κἂν τὴν ἄχρηστον ἡλικίαν ἐπίδοτε· τῷ τυράννῳ τὸν χρόνον ὅλον, ὡς ἐκεῖνος ἠθέλησεν, ἐστρατεύσασθε· ἐμοὶ τῷ ἐννόμῳ βασιλεῖ τὸν ἐπίλοιπον χρόνον σχολάσατε. γένεσθε πιστοὶ, πρὶν γένησθε νεκροί· λάβετε πρὸ τοῦ θανάτου τὴν τῆς ἀθανασίας στολήν· ἑαυτοὺς πρὸ τῆς τελευτῆς ἐνταφιάσατε τοῖς ἀφθάρτοις ἐντα- E φίοις τῆς χάριτος· δράμετε, σπεύσατε, πρὸ τῆς ἑσπέρας ἔσω τοῦ ἀμπελῶνος εὑρεθῆναι· φιλοπονήσατε ἵνα ἔνδον ὑμᾶς καταλείπῃ δύνων ὁ ἥλιος. ἐὰν πρὸ ἡλίου δυσμῶν ἑαυτοὺς συναριθμήσητε τοῖς ἐμοῖς ἐρασταῖς, ὄψεσθε τῆς ἐμῆς θειότητος τὴν δόξαν, ὡς φωτὸς ἐρασταί. ἐὰν μετὰ τῶν κεκλημένων ἐκ τοῦ ἀμπελῶνος ἐξέλθητε καὶ μὴ καμόντας ὑμᾶς ὡς καμόντας ἀμείψομαι· ἐὰν ἔξω τῆς αὐλῆς ἑσταμένους ὑμᾶς καταλάβῃ τοῦ θανάτου ἡ νὺξ, οὐκ ἔτι λοιπὸν ὑμᾶς ὡς φίλους ἔχειν ἀνέχο- A μαι· νεκρὸς γὰρ οὐ πιστεύει· νεκρὸς οὐχ ὁμολογεῖ· νεκρὸς οὐκ ἐργάζεται καὶ θαρρεῖται μυστήριον· νεκρὸς οὐκ ἐργάζεται σωφροσύνην. νεκρὸς οὐ δύναται μισθὸν ἀπαιτεῖν· νεκρὸς ἀσφράγιστος καὶ πρὸ τῆς κρίσεως κατακρίνεται· ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν Κύριον· ὁ τοιοῦτος νεκρὸς καὶ μετὰ θάνατον ζῇ· ὁ τοιοῦτος νεκρὸς, μετὰ τὴν ταφὴν πάλιν ἀνθεῖ. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· ἕως ἔχετε μικρὰν ἔτι προθεσμίαν ζωῆς, πραγματεύσασθε· μὴ περιμείνητε τὴν ἀρρωστίας ἀνάγκην λαβεῖν τὸν B ὑμετέρας γνώμης τὸν στέφανον· μὴ βουλήθητε παρὰ τὸν καιρὸν τοῦ θανάτου μεταβαλέσθαι τὰ τῆς ἀθανασίας ἐφόδια· ἐν ζωῇ τὴν ζωὴν ἐμπορεύσασθε· ἐν ὑγείᾳ καὶ νήψει τὸ τάλαντον ὑποδέξασθε, ἵνα καὶ τὴν ἐργασίαν κερδάνητε. ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε· καὶ ὑπὲρ τὸ δίκαιον λήψεσθε· μόνον μετανοήσατε· μόνον προσέλθητε· μόνον γένεσθε μετ᾽ ἐμοῦ· οὐ μέμψεσθέ μου τὴν προτροπήν· οὐδεὶς γὰρ ἐμοὶ πιστεύσας ἀπῆλθεν ἀχάριστος. οὐδεὶς ὁ C ἐμοὶ διακονήσας ἔμεινεν ἔτι πτωχός. οὕτως ὁ οἰκοδεσπότης τοῦ οἴκου τούτου τὸν ἀμπελῶνα τοῦτον ἀνεπλήρωσεν. ὀψίας δὲ γενομένης, ἤδη τῆς παρούσης ζωῆς ὡς ἡμέρας ὑπορρυείσης, ἤδη παραγενομένης τῆς μακρᾶς τοῦ θανάτου νυκτός· ἤδη τῆς ἀναστάσεως τῶν νεκρῶν ἀνατειλάσης, ὥσπερ ὄρθρου τινὸς ἑσπέραν μὴ κεκτημένου διάδοχον, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας· κάλεσον πάντας τοὺς ἐξ Ἀδάμ· κάλεσον τὸν Ἄβελ, τὸν διὰ θυσίαν τυθέντα· κάλεσον τὸν Ἐνὼχ τὸν εὐαρεστήσαντα, καὶ μετατεθέντα· κάλεσον τὸν Νῶε τὸν D τῆς ναυαγησάσης φύσεως καλὸν κυβερνήτην· κάλεσον τὸν πιστότατον Ἀβραάμ, τὸν φιλόθεον μᾶλλον ἢ φιλότεκνον· τὸν στρατευσάμενον κατὰ τῶν σπλάγχνων αὐτοῦ, τὸν τηρήσαντα τὴν πίστιν· κάλεσον τὸν Ἰωσὴφ τὸν τῆς σωφροσύνης ἐργάτην· κάλεσον πάντας τοὺς πατριάρχας· κάλεσον τοὺς προφήτας· κάλεσον τὸν Ἠλίαν τὸν καλῶς ἡνιοχήσαντα καὶ γενόμενον ἡνίοχον πυρίνων ἁρμάτων· κάλεσον τοὺς ἀποστόλους, τοὺς τῆς καινῆς διαθήκης φωστῆρας· κάλεσον τοὺς μάρτυρας, καὶ τοὺς μιμη- E σαμένους μου τὸν ὑπὲρ αὐτῶν θάνατον· κάλεσον Στέφανον τὸν δι᾽ ἐμὲ λιθασθέντα. κάλεσον Βαρλαὰμ τὸν διὰ φυλακὴν τοῦ ἀμπελῶνος κατακαύσαντα τὴν δεξιάν. κάλεσον πάντας τοὺς καλῶς κοπιάσαντας· κάλεσον τοὺς τὰ ἐμὰ καλλιεργήσαντας κτήματα, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν. ἄνοιξον τοὺς ἐμοὺς θησαυρούς· ἄνοιξον τὰς ἐμὰς ἀποθήκας· ἄνοιξον τὰ φαιδρὰ τῆς ἐμῆς βασιλείας βασίλεια· προκόμισον τοὺς βασιλικοὺς στεφάνους· προκόμισον τὰ θεῖα βραβεῖα· μὴ φείσῃ μηδενὸς τῶν ἐμῶν κειμηλίων. οὐκ ἐφείσαντο γὰρ οὗτοι τῶν οἰκείων ψυχῶν δι᾽ ἐμέ· στεφάνωσον τὰς κεφαλὰς τῶν ἀθλησάντων, ὡς ἠβουλόμην ἰδεῖν· ἔμβαλε τὰ βραβεῖα ταῖς καμούσαις χερσίν· μηδεὶς ἀστεφάνωτος ἐντεῦθεν ἐξελθέτω.

μηδεὶς

Digitized by Google

μηδεὶς ἀγέραστος ὑποστρέψῃ· μηδεὶς ἀποστερηθῇ τῆς ἀμοιβῆς· πάντες πλουτήσωσιν· πάντες χορεύσωσι, καὶ ἴδωσιν ἐπὶ ποίοις ἐμισθωσάμην αὐτούς· ἴδωσι ποίων οἱ πειθόμενοι ἐμοὶ τυγχάνουσιν ἀγαθῶν· ἴδωσι ποίων δωρεῶν ἑαυτοὺς ἀποστεροῦσιν οἱ καλούμενοι, καὶ παραγενέσθαι μὴ βουλόμενοι. Ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων· τοὺς ἐσχάτους πρώτους εὐφραίνων ταῖς δωρεαῖς· οὗτοι γὰρ μάλιστα χρείαν ἔχουσι τῆς ἐμῆς ἀγαθότητος. ἐκεῖνοι μὲν τοι οἱ πρωΐθεν εὐθέως ἅμα τῇ ἡμέρᾳ τὸν πόνον δεξάμενοι, αὐτὴν τὴν ἡμέραν καὶ τὰς ὥρας, καὶ τὰς ἀρετὰς, καὶ τοὺς ἀγῶνας, καὶ τὰς συνθήκας συνηγόρους ἔχουσιν· οὗτοι δὲ ἔσχατοι, πάντων τούτων ἔρημοι καθεστῶτες, πρὸς μόνην τὴν φιλανθρωπίαν τὴν ἐμὴν ἀποβλέπουσιν· τούτοις οὖν τοῖς ἐσχάτοις πρώτοις ἐπιδίδοσθε τὰς ἀμοιβάς. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον, καὶ τοῦτο περιχαρῶς ἐν ταῖς ἑαυτῶν χερσὶ περιστρέφοντες ἔλεγον· ἐκινδυνεύσαμεν ἀπιστεῖν τοῖς ἀγαθοῖς· εἴδησαν γὰρ ὅτι οὐδὲν ἄξιον ἔλαβον ἐργασάμενοι. ὁρῶντες δὲ τὸ δῶρον τοῖς ὀφθαλμοῖς, καὶ ταῖς παλάμαις τῶν χειρῶν κατέχοντες, ἐχαίρον, ἐπανηγύριζον ἐπὶ τοῖς παρ' ἐλπίδα καλοῖς. Ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον αὐτοὶ ἀνὰ δηνάριον. λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· οὗτοι οἱ ἔσχατοι. ὁ δεσπότης τῷ λόγῳ προσήγαγεν, οὐχ ἵνα τοῖς τιμωμένοις φθονήσωσι· χαίρουσι γὰρ, οὐκ ἀγανακτοῦσι πάντων τῶν σωζομένων οἱ ὅσιοι· ἀλλ' ἵνα δείξῃ τὴν οἰκείαν φιλανθρωπίαν τοσαύτην οὖσαν, ὥστε καὶ τοὺς ἀφθόνους, εἰ ἐνεχώρει, φθόνον τεκεῖν· λαβόντες οὖν ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες, οὗτοι ἔσχατοι, οὗτοι οἱ γεγηρακότες, οὗτοι οἱ μόλις τὴν σὴν δεσποτείαν ἐπιγνωκότες· οἱ μόλις τὰ γόνατα πρὸς τὴν σὴν δεσποτείαν κάμψαντες· οἱ μόλις τοῖς ὑποτρέμουσι δακτύλοις τὸ σωτήριον σου σταυροῦ σύμβολον τοῖς μετώποις ἐπιχαράξαντες· οἱ μὴ βαστάσαντες κοφίνους πειρασμῶν· οἱ μὴ κρατήσαντες δικέλλας συμφορῶν· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν· ἰδὼν μόνον τὸν σὸν ἀμπελῶνα τοῖς ὀφθαλμοῖς· ἡμῖν μόνοις ἐκοινώνησαν. τῇ ἐργασίᾳ τὰς ὄψεις αὐτῶν ὑπέδειξαν, οὐ κατώρθωσαν πράξεις τινάς· μάρτυρες τῶν μόχθων, οὐ μέτοχοι γεγόνασιν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα· ἡμεῖς ἐφλέχθημεν ταῖς ἡδοναῖς, ἀλλ' οὐκ ἐσβέσθημεν ταῖς ἀρεταῖς· ἡμεῖς ἐδιώχθημεν διὰ σε, ἡμεῖς μυρίους ὑπεμείναμεν πόνους· ἵνα τὴν σὴν οὐσίαν πλατύνωμεν, καὶ βαδίζομεν ἐντεῦθεν λαβόντες μισθοὺς ὁμοίους τοῖς μὴ κεκμηκόσιν ὁμοίως ἡμῖν· ὁ πόνος ἀνόμοιος, καὶ τὸ κέρδος παρόμοιον· ὁ κόπος ἄνισος, καὶ τὸ κλέος ἐφάμιλλον· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, ἵνα μίαν ὥραν ἐγγύς σου κλαύσῃ γυνὴ πόρνη, καὶ λύσῃ τὰς τρίχας, ἃς ἔπλεκε περὶ τοῦτο κακῶς, καὶ φιλήσῃ τοὺς ἀχράντους σου πόδας σώφροσι χείλεσι, καὶ προσενέγκῃ σοι τῷ οὐρανίῳ μύρον ἐπίγειον· ἔδωκας αὐτῇ πρεσβεῖα θυγατρὸς καὶ παρθένου· ἵνα μίαν ὥραν ἐσταυρωμένος λῃστὴς, ἐπὶ τοῦ σταυροῦ σοι προσφύγῃ καὶ βοήσῃ· μνήσθητί μου Κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ὑπὲρ μόνης τῆς φωνῆς ταύτης ἀνοίξας αὐτῷ τὸν παράδεισον· ἵνα μίαν ὥραν μετανοήσῃ Παῦλος ὁ διώκτης, ὁ πολέμιος εὐαγγελιστὴς ἀναδείκνυται· οὗτοι οἱ ἔσχατοι, μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Τί οὖν πρὸς τοὺς οὕτως διακειμένους ὁ φιλάνθρωπος Κύριος ἀποκριθεὶς ἑνὶ αὐτῶν εἶπεν; ἑταῖρε, οὐκ ἀδικῶ σε. ὢ φιλανθρωπίας ἀνυπερβλήτου· ὁ δεσπότης ὑπὲρ τῶν δούλων τῷ δούλῳ δικάζεται. ὁ κριτὴς ὑπὲρ τῶν κρινομένων ἀπολογεῖται τῷ κατηγόρῳ· ἑταῖρε, οὐκ ἀδικῶ σε, δικάσαι μοι κατὰ λόγον ἑταῖρε, καὶ μὴ ἀδίκως λυπῇ. διαλέχθητί μοι νομίμως, καὶ μὴ παρανόμως δυσχέραινε· εἰπὲ τί ἠδικήθης αὐτὸς, τιμηθέντος τοῦ συνδούλου σου; εἰπὲ τί ἐβλάβης αὐτὸς, συμβασιλεύοντος ἔτι τοῦ σοῦ ἀδελφοῦ; οὐκ ἔλαβες, δι' ὃ ἔκαμες; οὐχ ὑπεδέξω τῆς ἡμέρας ὅλης τέλειον τὸν μισθόν; οὐκ ἀπέλαβες, ὅπερ ἐπόθεις; τί οὖν ἄλλο πλέον ζητεῖς; οὐχὶ δηναρίου συνεφώνησάς μοι; ὑπόμνησον ἑαυτὸν τῶν ἐμῶν ὑποσχέσεων, ἐφ' αἷς ἐμισθωσάμην σε τὴν ἀρχήν· εἰ παρὰ τὰ συγκείμενα ἐποίησά τι, δικαίως ἀγανακτεῖς. εἰ δὲ τὰς συνθήκας ἐπλήρωσα· μάτην ἐγκαλεῖς τῷ ἀνεγκλήτῳ. οὐχὶ δηναρίου συνεφώνησάς μοι; μή τι τῶν σῶν ἐμείωσα δωρεῶν; μὴ τὰ σὰ λαβὼν ἑτέροις προδέδωκα; μὴ τὴν σὴν δόξαν ἄλλοις ἀπένειμα; οὐχὶ τὴν ἐμὴν οὐσίαν, ὡς ἠθέλησα, κατεμέρισα; τί οὖν γογγύζεις βλαβεὶς ὡς δοῦλος, ὡς ἐλεύθερος τιμηθείς; τί οὖν γογγύζεις τοσοῦτον ὠφεληθείς; τί φθονεῖς τοῖς σοῖς ἀδελφοῖς ἄφθονον ἔχων δεσπότην; ἆρον τὸ σὸν, καὶ ὕπαγε. ἀρκέσθητι τοῖς παροῦσι· μὴ θέλε μόνος βασιλεύειν κεκλημένος μετὰ πολλῶν· ἀρκεῖ ἡ βασιλεία τῶν οὐρανῶν καί σοι, καὶ πᾶσι τοῖς ἀξίοις αὐτῆς. θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· τῷ θελήματί μου τίς ἀνθέστηκε; Θεὸς ὁ δικαιῶν, καὶ τίς ὁ κατακρίνων; Θεὸς ὁ χορηγῶν, τίς ὁ λογοθετῶν; Θεὸς ὁ πλουτίζων, τίς ὁ γυμνῶσαι δυνάμενος; ὁ κριτὴς συνήγορος, τίς ὁ κατήγορος, ὁ δικαστὴς σύνδικος.

nullus non damnatus revertatur: nullus mercede privetur: omnes ditentur; omnes exultent: videant omnes quibus pretiis à me conducti: videant qualia bona, qui mihi crediderint, cōſequantur: videant qualibus donis ſeipſos privent, qui vocantur, nec volunt venire. *Et redde illis mercedem, incipiens à noviſſimis uſque ad primos*, noviſſimos primos donis exhilarans: hi enim bonitate mea indigent maximè. Illi quidē, qui à manè ſtatim cum die prima luce labores inchoarunt, diem ipsū, & horas, & virtutes, & certamina, & pacta conventa patronos habent, hi verò noviſſimi, omnibus iſtis deſtituti, oculos ſuos ad ſolam meam benignitatem convertunt: his ergo noviſſimis primis præmia largieris. *Et cum veniſſent qui circa undecimam horam venerant, acceperunt ſingulos denarios*: & hos ſumma cum lætitia in manibus ſuis verſantes, dicebant: Parum abfuit, quin de bonis diffideremus: noverant enim ſecum quod acceperant nihil operis dignum feciſſe. cùm autem oculis donum intuerentur, manibúsque munus tractarent, exultabant, gaudio triumphabant; quòd bona ſibi præter ſpem ubveniſſent. *Venientes autem primi arbitrati ſunt, quòd plus eſſent accepturi: acceperunt autem & ipſi ſingulos denarios. Et accipientes murmurabant adverſus patremfamilias, dicentes: Hi noviſſimi*, &c. Dominus narrationi adjecit, non quò illis qui honoribus affecti erant, inviderent: gaudent enim non indignantur ſancti, ſi omnes ſalventur: ſed ut talem eſſe benignitatem ſuam demonſtret, ut etiam expertes invidiæ, ſi fieri poſſit, ad invidiam impellat. Et accipientes murmurabant adverſus patremfamilias dicentes, Hi noviſſimi, hi ſenio confecti, hi qui vixdum tuum agnovere dominatum; qui vixdum genua coram tua majeſtate flexerunt, qui vixdum tremulis digitis ſuis ſalutaris crucis tuæ ſignum frontibus impreſſerunt, qui tentationum cophinos non geſtarunt, qui calamitatum ligones non tenuerunt: *Hi noviſſimi una hora fecerunt*: vineam tuam tantum oculis uſurparunt: nobis ſolo viſu ſuo conſortes extiterunt: operationis ſuæ oſtenderunt non perfecerunt actiones aliquas: teſtes laborum non participes fuerunt. *Et pares nobis illos feciſti, qui portavimus pondus diei & æſtum?* nos libidinibus incenſi fuimus, ſed virtutibus non ſumus extincti: nos propter te paſſi perſecutionem ſumus: nos ſexcentos labores tua cauſa exantlavimus, ut tuam ſubſtantiam amplificaremus, & acceptis præmiis ſimilibus iis qui non laborarunt, hinc diſcedimus, labor diſſimilis eſt, & conſimile lucrum: inæqualis moleſtia, & gloria æqualis. Hi noviſſimi una hora fecerunt, ut una hora prope te mulier meretrix ploret, & capillos reſolvat quos antea malè concinnabat, & immaculatos pedes tuos caſtis labris oſculetur, ac tibi cœleſti offerat unguentum terreſtre: filiæ ac virginis illi honorarium detuliſti: Ut una hora cruci affixus latro à cruce ad te confugiat, & clamet, Memento mei Domine, cùm veneris in regnum tuum: unius hujus vocis gratia paradiſum illi reſeraſti: Ut una hora pœnitentiam agat Paulus perſequutor, hoſtis Evangeliſta creatus eſt. Hi noviſſimi una hora fecerunt, & pares illos nobis feciſti, qui portavimus pondus diei & æſtum. Quid igitur ad eos ſic affectos benignus Dominus? reſpondens uni eorum dixit, *Amice, non facio tibi injuriam.* O præſtantiſſimam benignitatem! Dominus pro ſervis cum ſervo litigat, judex pro reis apud accuſatorem defenſionem ſuſcipit. Amice, non facio tibi injuriam: cùm ratione mecum judicio contende, amice, & ne injuſtè contriſteris: diſputa mecum legitimè, & ne illegitimè indigneris, dic, qua in te injuria affectus es ipſe, dum conſervus tuus honore cumulatus eſt? dic, qua in te læſus es ipſe, dum frater etiam tuus in regni tecum ſocietatem eſt aſcitus? nonne id accepiſti cujus gratia labores ſuſcepiſti? nónne quod optabas, retuliſti? quid igitur amplius quæris? *Nónne ex denario conveniſti mecum?* revoca tibi in memoriam promiſſa mea, quibus te à principio conduxi, ſi quid præter conventa commiſi, meritò indignaris: ſin autem pacta complevi, fruſtra inculpatum culpæ arguis. Nónne ex denario conveniſti mecum? num res tuas arreptas aliis erogavi? num quippiam ex donis tuis imminui? num tuam gloriam cæteris impertivi? nónne facultates meas, quibus placuit, diviſi? quid ergo murmuras tanquam ſervus læſus, qui honore tanquam liber affectus es? quid ergo murmuras tanto beneficio cumulatus? quid fratribus tuis invides cùm ab invidia dominum habeas alienum? *Tolle quod tuum eſt, & vade*: præſentibus contentus eſto: noli ſolus regnare qui cum multis vocatus es, regnum cœlorum & tibi & omnibus qui eo digni ſunt ſufficit. *Volo autem & huic noviſſimo dare ſicut & tibi*: Voluntati meæ quis reſiſtet: *Deus eſt qui juſtificat, quis eſt qui condemnet?* Deus eſt qui largitur, quis eſt qui rationem repoſcat? Deus eſt qui ditat, quis eſt qui ſpoliare poſſit? judex patronus

Matt. 20. 14.
Rom. 8.34.

eſt

eſt, quis accuſator erit? diſceptator advocatus eſt, quis adverſarios reperietur? *Volo autem & huic noviſſimo dare ſicut & tibi.* Nō poſſum mea ſimulacra gloria deſtituta derelinquere: non poſſum meam imaginem deſpicere indigentem, mendicantem; non patior mecum non illos quoque regnare, quorum cauſa de cœlo deſcendi, volo dare huic noviſſimo ſicut & tibi; noviſſimè venit: hoc ego quoque probè novi; ſed mihi fidem obtulit, quæ præcedentem tarditatem excuſat, noviſſimè venit, ſed amorē oſtendit qualem amo: erravit tempore elapſo ſicut ovis, ſed paſtorem ovis agnovit, meus erat hic etiam quando vagabatur. Psal.118,176. Noviſſimè venit: at per meum lavacrum tranſivit ſicut & tu: noviſſimè venit, at menſæ meæ ſicut & tu factus eſt particeps: noviſſimè venit; at omnem vineæ meæ decorem conſpexit: ligni vitæ plantam conſpexit: exoſculatus eſt ſpinas quibus fui propter ipſum coronatus: amplexatus eſt crucem, quam propter ipſum ſuſtinui: non poſſum eum qui me tantopere adamavit, qui ita credidit, non omni ſtudio, omni honore decorare: ſicut credidiſti, credidit: ſicut abundaſti, abondavit: ſicut adoraſti, adoravit: ſicut regnaſti, regnavit: ſicut laboraſti, non laboravit; verùm ego gratia defectum ſupplevi. Aut non licet mihi facere quæ volo in iis quæ mea ſunt? num enim res tuas expendo? res meas dilargior: num tuis ſumptibus munificentiam meam exerceo? de rebus meis pro mea auctoritate ſtatuo: num te voluntatis meæ curatorem conſtitui? mercenarium te aſſumpli à principio; num enim te meæ poteſtatis dominum deſignavi? ut benignus participem rerum mearum te feci. Si oculus tuus nequam eſt, videre nequit ea quæ oculos non vidit, neque auris audivit, aſpectu minimè inquinato eſt opus ad hæc myſteria contuenda: anima pura eſt opus ad intelligenda quæ pura ſunt. Vidiſtis quo pacto bonus ſit Dominus noſter: vidiſtis quo pacto iis qui diverſis temporibus acceſſerunt, unam autem fidem, & animi ſtudium, & converſationem oſtenderunt, paribus honoribus muneribúſque dignatus ſit: vidiſtis quo pacto noviſſimos etiam æquales fecerit primis propter abyſſum miſerationum ſuarum. Adducti eſtis ad benignum dominum: ipſe nunc etiam vos conduxit: ipſe vobis etiam dicit, Ite & vos in vineam: Deus eſt qui conducit, merces cœleſtis, opus ſalutare, vinea ſpecioſa: vineæ janua lavacri piſcina conſtituta eſt. divina gratia pro foribus aſtans piſcinæ tanquam elegans oſtiaria ad omnes qui per eam ingrediuntur, clamat. Hæc porta Domini, recens illuminati intrabunt per eam. Nos vobis nequaquam invidemus, ut qui poſtremo veneritis: & quibus tamen eadem gloria nobiſcum obvenerit: ſed cum ejus conſortibus tanquam cum fratribus exultamus, atque gratulamur, & ſalutem veſtram noſtram gloriam arbitramur. Itaque eum, qui vocavit vos, adamate: accipite facilis in vineam ingreſſus certum & erroris neſcium ducem, fidem: fides enim ad baptiſmi piſcinam quaſi optimus ductor viam præit: fides, naturæ anchora tempeſtate jactatæ, fides, humani generis tranquillus portus; fides eorum quæ ſub oculos minimè cadunt, ſplendidum ſpeculum; fides, conſubſtantialis Trinitatis doctor exactus fides, ut illa ſalutaria verba proferremus, effecit: Credo in unum Deum patrem omnipotentem. Credo, non ſcrutor: credo, non perſequor id quod comprehendi non poteſt: credo, non metior id quod immenſum eſt. Si credam, mente illuminor: ſi curioſè inquiram, tenebras rationi meæ offundo: ſi rectè credam, in cœlum attollor: ſi curioſè quæram, præcipitor in profundum. Credo in unum ac ſolum verum & Deum & patrem omnipotentem. Deos à Paganis per errorem confictos abnego: non enim cœlum incolit multitudo Deorum, unum ſolum Deum celebro: Arianiſmum odi: non dico, Erat tempus, cùm non erat pater: ſed Deum, ſemper Deum, ſemper patrem eundem prædico: qui ſic eſt pater, ut novit ipſe, credo in Dominum noſtrum Jeſum Chriſtum, filium ejus unigenitum, ex ipſo genitum ante omnia ſecula, ut ſolus ipſe, qui eſt genitus, novit: genitum non factum, genitum, non creatum, genitum, non conditum, eum qui ſine tempore è ſubſtantia paterna reſplenduit, non exteriùs advenientem alicunde, non ſuppoſititium, aut ſpurium filium, ſed genuinum ſplendorem genuini patris, inviſibilis formæ per omnia ſimilem figuram. Chriſtum novi filium Dei & patris ut Deum: Chriſtum novi filium ancillæ ſuæ ac matris, ut hominem, apparentem; Chriſtum novi hominibus conſubſtantialem, ut hominem ex homine. Chriſtum novi cœleſtem & terrenum: novi Chriſtum inviſibilem & viſum. novi Chriſtū non contrectabilem, & à Thoma contrectatum: Chriſtum novi millia multa verbo nutriviſſe, per fluctus iter feciſſe, dæmonibus imperaſſe, mortuos ſuſcitaſſe, atque miracula infinita virtute propriæ divinitatis edidiſſe. Chriſtum novi eſuriſſe, ſitiviſſe, defatigatum fuiſſe, & angore correptum, ac ſudaſſe humanitatis natura. Chriſtū novi ut Deū paſſionis expertē: Chriſtū novi mortuū eſſe ac paſſionē carne ſubiiſſe. Chriſtū novi ſecūdùm eū, qui

A ὡς ἀδελφὸς εὑρεθήσεται; θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· οὐ φέρω τοὺς ἐμοὺς ἀνδριάντας γυμνοὺς δόξης καταλιπεῖν· οὐ φέρω τὴν ἐμὴν εἰκόνα πτωχεύουσαν παριδεῖν· οὐ φέρω μὴ συμβασιλεῦσαί μοι καὶ τούτους, δι' οὓς κατῆλθον ἐκ τῶν οὐρανῶν· θέλω δοῦναι τούτῳ τῷ ἐσχάτῳ ὡς καὶ σοί. ἐσχάτως ἦλθεν, οἶδα κἀγώ· ἀλλὰ προσήγαγέ μοι πίστιν ἀπολογουμένην περὶ τῆς γεγενημένης βραδύτητος, ἐσχάτως ἦλθεν· ἀλλ' ἐπεδείξατο πόθον οἷον ποθῶ· ἀπεπλανήθη τὸν παρελθόντα B χρόνον, ὡς πρόβατον, ἀλλ' ἐπέγνω τὸν ποιμένα τὸ πρόβατον· ἐμὸς οὗτος καὶ ὅτε ἐρρέμβετο· ἐσχάτως ἦλθεν, ἀλλὰ διὰ τῆς ἐμῆς κολυμβήθρας παρῆλθεν, ὥσπερ καὶ σύ· ἐσχάτως ἦλθεν, ἀλλὰ τῆς ἐμῆς τραπέζης ἀπήλαυσεν ὥσπερ καὶ σύ· ἐσχάτως ἦλθεν ἀλλ' εἶδέ μου πᾶσαν τοῦ ἀμπελῶνος τὴν εὐπρέπειαν· εἶδεν τοῦ ξύλου τῆς ζωῆς τὸ φυτόν· κατεφίλησε τὰς ἀκάνθας, ἃς ἐστεφανοφόρησα δι' αὐτόν· περιεπτύξατο τὸν σταυρὸν ὃν ὑπέμεινα δι' αὐτόν· οὐ δύναμαι οὖν τὸν οὕτω με ποθήσαντα, τὸν οὕτω πιστεύ- C σαντα, μὴ τιμῆσαι πάσῃ σπουδῇ καὶ τιμῇ· ὡς ἐπίστευσας, ἐπίστευσεν· ὡς εὐπόρησας, εὐπόρησεν· ὡς προσεκύνησας, προσεκύνησεν· ὡς ἐβασίλευσας, ἐβασίλευσεν· ὡς ἔκαμες οὐκ ἔκαμεν, ἀλλ' ἐγὼ τῇ χάριτι τὸ λεῖπον ἀνεπλήρωσα. ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; μὴ γὰρ τὰ σὰ δαπανῶ; τὰ ἐμὰ χορηγῶ· μὴ γὰρ ἐν τοῖς σοῖς φιλοτιμοῦμαι; ἐν τοῖς ἐμοῖς αὐθεντῶ· μὴ γὰρ ἐπίτροπόν σε τῆς ἐμῆς κατέστησα γνώμης; μισθωτόν σε ἔλαβον ἐξ ἀρχῆς· μὴ γὰρ κύριόν σε τῆς ἐμῆς D ἐξουσίας ἐχειροτόνησα; ὡς φιλάνθρωπος κοινωνὸν ἐποιησάμην τῶν ἐμαυτοῦ. εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, οὐ δύναται βλέπειν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν· ἀθολώτου χρεία βλέμματος εἰς τὴν τῶν μυστηρίων ἐπίσκεψιν· καθαρᾶς χρεία ψυχῆς εἰς τὴν τῶν καθαρῶν κατανόησιν· ἴδετε πῶς ἀγαθὸς ὁ δεσπότης ἡμῶν· ἴδετε πῶς τοὺς ἐν διαφόροις καιροῖς προσιοῦσι, μίαν δὲ πίστιν καὶ προθυμίαν καὶ πολιτείαν ἐπιδεικνυμένους, ὁμοίαις τιμαῖς καὶ δωρεαῖς ἠξίωσεν· ἴδετε E πῶς καὶ τοὺς ἐσχάτους ἴσους πρώτοις ἐποίησεν, διὰ τὴν ἄβυσσον τῶν αὐτοῦ οἰκτιρμῶν. ἐπήχθητε τοίνυν πρὸς τὸν φιλάνθρωπον· αὐτὸς καὶ νῦν ὑμᾶς ἐμισθώσατο· αὐτὸς λέγει καὶ πρὸς ὑμᾶς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· Θεὸς ὁ μισθούμενος· ὁ μισθὸς οὐράνιος· τὸ ἔργον σωτήριον· ὁ ἀμπελὼν εὐπρεπής. ἡ θύρα τοῦ ἀμπελῶνος ἡ κολυμβήθρα καθέστηκεν· ἡ θεία χάρις εἰς θύραν τῆς κολυμβήθρας προεσταμένη καθάπερ φαιδρὰ πυλωρὸς πρὸς πάντας τοὺς δι' αὐτοῦ εἰσιόν- A τας βοᾷ· αὕτη ἡ πύλη τοῦ Κυρίου, νεοφώτιστοι διελεύσονται δι' αὐτῆς. ἡμεῖς οὐ φθονοῦμεν ὑμῖν ὡς τελευταίοις ἐλθοῦσιν καὶ τῆς αὐτῆς ἡμῖν δόξης μετέχουσιν· ἀλλὰ συγχορεύομεν ὡς ἀδελφοῖς καὶ συγχαίρομεν, ὑμετέραν δόξαν τὴν ἡμετέραν σωτηρίαν ἡγούμενοι. ποθήσατε οὖν τὸν καλέσαντα· λάβετε τῆς εἰς τὸν ἀμπελῶνα εἰσπορείας τὴν πίστιν ὁδηγὸν ἀπλανῆ· πίστις γὰρ τῆς ἐπὶ τὴν κολυμβήθραν ὁδοῦ χειραγωγὸς ἀγαθός, πίστις χειμαζομένης φύσεως ἄγκυρα· πίστις ἀνθρωπότητος λιμὴν B γαληνός· πίστις τῶν ἀοράτων κάτοπτρον τηλαυγές· πίστις τῆς ὁμοουσίου τριάδος διδάσκαλος ἀκριβής· πίστις λέγειν ἡμᾶς παρεσκεύασεν ἐκεῖνα τὰ σωτήρια ῥήματα· πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα· πιστεύω οὐκ ἐρευνῶ· πιστεύω οὐ διώκω τὸ ἀκατάληπτον· πιστεύω οὐ μετρῶ τὸ ἀμέτρητον· ἐὰν πιστεύσω, φωτίζομαι τὴν ψυχήν· ἐὰν περιεργάζωμαι, σκοτίζω μου τοὺς λογισμούς· ἐὰν πιστεύσω καλῶς, ἀνυψοῦμαι πρὸς οὐρανόν· ἐὰν ζητήσω περιέργως, καταφέρο- C μαι πρὸς βυθόν· πιστεύω εἰς ἕνα καὶ μόνον ἀληθῆ καὶ Θεὸν πατέρα παντοκράτορα· ἀρνοῦμαι τοὺς παρὰ τῶν Ἑλλήνων πεπλασμένους θεούς· πολυθεΐαν γὰρ οὐρανὸς οὐκ οἰκεῖ· ἕνα καὶ μόνον Θεὸν ὑμνῶ· μισῶ τὸν Ἀρειανισμόν· οὐ λέγω, ἦν ποτε ὅτε οὐκ ἦν πατήρ· ἀλλὰ ἀεὶ Θεὸν τὸν Θεόν, ἀεὶ πατέρα τὸν αὐτὸν κηρύττω. οὕτως ὄντα πατέρα, ὡς οἶδεν αὐτός· πιστεύω εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν ἐξ αὐτοῦ γεννηθέντα, πρὸ πάντων τῶν αἰώνων, ὡς αὐτὸς D μόνος οἶδεν ὁ γεννηθείς· γεννηθέντα οὐ ποιηθέντα· γεννηθέντα οὐ κτισθέντα· γεννηθέντα οὐ δημιουργηθέντα· ἐκ τῆς πατρῴας οὐσίας ἀχρόνως ἐκλάμψαντα, οὐκ ἔξωθεν ἐπεισελθόντα ποθὲν οὐχ ὑποβολιμαῖον, ἢ νόθον υἱόν, ἀλλὰ γνήσιον ἀπαύγασμα τοῦ γνησίου πατρός· ἀπαράλλακτον χαρακτῆρα ἀοράτου μορφῆς· οἶδα τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ καὶ πατρὸς ὡς Θεόν· οἶδα τὸν Χριστὸν υἱὸν τῆς δούλης αὐτοῦ καὶ μητρός, φαινόμενον ὡς ἄνθρωπον, οἶδα τὸν Χριστὸν ὁμοούσιον τοῖς ἀνθρώποις, ὡς ἄνθρωπον ἐξ ἀνθρώπου. οἶδα τὸν Χριστὸν ἐπουράνιον καὶ ἐπί- E γειον· οἶδα τὸν Χριστὸν ἀόρατον καὶ ὁρώμενον· οἶδα τὸν Χριστὸν ἀψηλάφητον καὶ παρὰ τοῦ Θωμᾶ ψηλαφώμενον. οἶδα τὸν Χριστὸν χιλιάδας ῥήματι θρέψαντα, καὶ τοῖς κύμασιν ἐπιβαδίσαντα καὶ τοῖς δαίμοσιν ἐπιτάξαντα, καὶ νεκροὺς ἀναστήσαντα, καὶ μυρία ποιήσαντα θαύματα τῇ δυνάμει τῆς οἰκείας θεότητος· οἶδα τὸν Χριστὸν πεινάσαντα καὶ διψήσαντα, καὶ κοπιάσαντα, καὶ ἀγωνιάσαντα, καὶ ἱδρώσαντα τῇ φύσει τῆς ἀνθρωπότητος· οἶδα τὸν Χριστὸν ὡς Θεὸν ἀπαθῆ· οἶδα τὸν Χριστὸν ἀποθνήσκοντα, καὶ σαρκὶ τὸ πάθος δεξάμενον· οἶδα τὸν Χριστὸν κατὰ τὸ δυνατὸν ὑπομείναντα τὴν τελευτήν· οἶδα τὸν Χριστὸν ἀναστήσαντα τὸ σῶμα τὸ

αὐτοῦ

αὐτοῦ τὸν ναόν. γνωρίζω τὴν δύο φύσεων αὐτοῦ τὴν διαφοράν· οὐ μερίζω τὸν ἕνα υἱὸν εἰς δύο υἱούς· πιστεύω καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ πνεῦμα τῆς ἀληθείας τὸ παρὰ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ τῆς τριάδος συμπληρωτικόν· αὐτῷ θαῤῥῶ τὸν ἐμὸν ἁγιασμόν, αὐτῷ θαῤῥῶ τὴν ἐκ τῶν νεκρῶν ἐξανάστασιν· ταῦτα τῇ ψυχῇ, καὶ τῇ γλώττῃ μελετᾶτε διαπαντός· ταῦτα τῷ φρονήματι καὶ τῷ στόματι βοᾶτε διηνεκῶς· ἔχετε τὸν ἀποστολικὸν ὅρον τῆς πίστεως καὶ πολιτείας θεοφιλοῦς· ἄνευ γὰρ τῆς πίστεως τὰ ἔργα νεκρά· ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, οὕτως παραστήσατε τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ· ὁ πόρνος γινέσθω σώφρων· ὁ ἄδικος γινέσθω δίκαιος· ὁ ἅρπαξ εὐμετάδοτος· ὁ πλεονέκτης φιλόπτωχος· ὁ ἀπάνθρωπος καὶ φιλόχρυσος πρὸ τούτου, νῦν φαινέσθω φιλόχριστος· ὁ βλάσφημος, ὑμνολόγος· ὁ τρέχων εἰς θέατρα, τρεχέτω λοιπὸν εἰς τὰς αὐλὰς τοῦ Θεοῦ· ὁ τοῖς δρόμοις τῶν ἵππων ἐπιμαινόμενος, σχολασάτω τοῖς ἀποστόλοις· ὧν ὁ δρόμος τοῖς μιμουμένοις σωτήριος· ὡς μέλλοντες χρηματίζειν νύμφαι Χριστοῦ, οὕτως στολίσατε τὰς ὑμετέρας ψυχὰς καὶ τὰ σώματα· ἔστω ὑμῶν τὰ βλέμματα τῆς κατὰ ψυχὴν γαλήνης ἐξεικονίσματα· ἔστωσαν αἱ ὄψεις τῆς ἔνδον εὐλαβείας χαρακτῆρες σαφεῖς· ἔστω ὑμῶν τὰ στόματα ψαλμῶν καὶ ὕμνων εὐωδίαν ἐκπνέοντα, κόσμια, σώφρονα, πρέποντα παρθένῳ μελλούσῃ νυμφεύεσθαι· ἔστωσαν αἱ ψυχαὶ καθαραί, λευκαί, ἵνα γνησίως τῆς βασιλικῆς ἁλουργίδος τὴν βαφὴν ὑποδέξωνται. ἐπειδὰν δὲ καταλάβητε τὸν νυμφῶνα τοῦ πνεύματος, ἐπειδὰν εἰσδράμητε τὴν παστάδα τῆς χάριτος, ἐπειδὰν πλησίον γένησθε τῆς φοβερᾶς ἅμα καὶ ποθεινῆς κολυμβήθρας, ὡς αἰχμάλωτοι προσπίπτητε τῷ βασιλεῖ, ῥίψατε πάντες ὁμοίως ἐπὶ γόνατα, καὶ τὰς χεῖρας ἀνατείναντες εἰς τὸν οὐρανὸν ὅπου κάθηται βασιλικῶς ὁ πάντων ἡμῶν βασιλεύς, καὶ τοὺς ὀφθαλμοὺς εὐθύναντες πρὸς τὸν ἀκοίμητον ὀφθαλμόν, τούτοις πρὸς τὸν φιλάνθρωπον χρήσασθε ῥήμασιν· ἄνοιξον ἡμῖν τὸν ἀμπελῶνά σου κύριε· εἰ καὶ περὶ τὴν ἑνδεκάτην ὥραν ἐφθάσαμεν· μὴ ὀργισθῇς ἡμῖν ὡς βραδύνασι, δέσποτα· μηδὲ κλείσῃς εἰς τὰς ἡμετέρας ὄψεις τῆς σῆς φιλανθρωπίας τὰς θύρας· κατεγνώκαμεν τῆς φθασάσης ἡμῶν ἀργίας· κατεγνώκαμεν τῆς παρελθούσης ἡμέρας τῆς ῥαθυμίας· ἐβλάβημεν παρακούσαντες· ἐζημιώθημεν καθευδήσαντες· ἐναυαγήσαμεν τερπόμενοι· ἐγυμνώθημεν παίζοντες καὶ παιζόμενοι· ἀπωλλύμεθα τοῖς ματαίοις ψυχαγωγούμενοι· μόλις ἐγρηγορήσαμεν· μόλις ἐπήψαμεν, μόλις εὕρομεν τὸ συμφέρον· μόλις ἐφύγομεν τὸν πόλεμον· ἀπεταξάμεθα τῷ πονηρῷ παντελῶς· ἀπεταξάμεθα τοῖς ὀλεθρίοις κακοῖς καὶ τερπνοῖς σχολάσαι· τῷ Σωτῆρι λοιπὸν συντασσόμεθα, τῷ μόνῳ Θεῷ· δέξαι τὸ γραμματεῖον τῆς ὁμολογίας ἡμῶν· ἵνα φοβούμενοι τὸ πρόστιμον, ἐμμείνωμεν οἷς καὶ συνεθέμεθα· δέξαι τὸ σύμβολον τῶν πρός σε συνθηκῶν, ἵνα τὸ σύμβολον αἰσχυνόμενοι τὸν τρόπον ἡμῶν ἀμετάτρεπτον καταδυσώμεθα· οἰκτείρησον τοὺς σοὺς δούλους, τοὺς αἰχμαλώτους, καὶ γυμνούς, καὶ νεκρούς· ἀπόδος ἡμῖν τὴν ἀρχαίαν συγγένειαν· ἔνδυσον οὓς ὁ διάβολος ἀπεγύμνωσεν· χρῖσον ἡμᾶς τῷ ἐλαίῳ τῆς ἁγίας σου χρίσεως· ἵνα μὴ βλαβώμεθα ὅτι πάλιν δαχθῶμεν ὑπὸ τοῦ ὄφεως· θέλομεν ἐργάσασθαι τὰς σὰς ἐντολάς· θέλομεν εὑρεθῆναι τοῦ ἀμπελῶνος ἐντός· θέλομεν ὡς ἐγγίζοντές σοι χρηματίζειν ἐργάται· ἐζήσαμεν πάσας ἡμῶν τὰς ἡμέρας κακῶς· θέλομεν ζῆσαι τὰς ὑπολοίπους καλῶς· θέλεις ὡς πόρνοις συγχωρῆσαι, συγχώρησον· θέλεις ὡς τελώνας περιποιήσασθαι· θέλεις ὡς λῃστὰς φιλανθρωπεύσασθαι· θέλεις ὡς διώκτας περισῶσαι· περίσωσον, ὡς θέλεις· ἐλέησον μετανοοῦντας οὓς ἐμακροθύμησας ἐξαμαρτάνοντας· ἐλέησον προσπίπτοντας οὓς καὶ ἀπολακτίζοντας οἰκτείρησας· ἐλέησον καθικετεύοντας οὓς ὑβρίζοντας ἔφερες. ἄνοιξον ἡμῖν τοῖς χειμαζομένοις τὸν τῆς κολυμβήθρας λιμένα· ἄνοιξον ἡμῖν τοῖς τετραυματιζομένοις τὸ ἀνώδυνον ἰατρεῖον· ἄνοιξον τοῖς παλαιωθεῖσι τὸ ἄλυπον χωνευτήριον· ἄνοιξον τοῖς χρεωστοῦσι θάνατον τὸν ἀκίνδυνον τάφον. ἄνοιξον ἡμῖν τὸ τριήμερόν σου νεκρώσεως τὸ ζωηφόρον ἐκτύπωμα. ἄνοιξον ἡμῖν τῆς ἀθανασίας τὴν πύλην· ἄνοιξον ἡμῖν τὴν θύραν τῶν οὐρανῶν· ὅτι σὺ εἶπας, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· ἅπερ εἶπας, ἀληθείᾳ πλήρωσον· ἅπερ ἐλάλησας ὡς ἀψευδής, ἐπιτέλεσον. ἄνοιξον ἡμῖν τὴν παλιγγενεσίας τὴν παρθένον γαστέρα· ἄνοιξον ἡμῖν τὴν υἱοθεσίας τὴν ἄφθαρτον μητέρα· πιστεύομεν ὅτι δύνασαι πάντα ποιῆσαι· πιστεύομεν, ὅτι δύνασαι τὸν ἁμαρτημάτων ἡμῶν ἀποπλῦναι τὸν βόρβορον· πιστεύομεν ὅτι δύνασαι διὰ πνεύματος καὶ ὕδατος ἀναγεννῆσαι τοὺς ἐν ἁμαρτίαις γηράσαντας· πιστεύομεν ὅτι δύνασαι τὴν ξένην λοχείαν ἐργάσασθαι· πιστεύομεν ὅτι δύνασαι γυναῖκας, καὶ βρέφη, καὶ νέους, καὶ ἄνδρας, καὶ γέροντας ἐκ τῶν ὑδάτων νεοπλάστους ἀναγαγεῖν ὡς ἀρτίτοκα βρέφη· πιστεύομεν ὅτι δύνασαι τοῖς ὕδασιν ἀποπνῖξαι τὰς ἁμαρτίας ἡμῶν, καθάπερ τὸν Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ πᾶσαν κατέκλυσας· πιστεύομεν ὅτι δύνασαι σωτηρίας ὁδὸν ἐξευρεῖν, ὥς ποτε τοῖς Ἰσραηλίταις ἐδημιούργησας ὁδὸν ἐν μέσῳ θαλάσσης· πιστεύομεν ὅτι δύνασαι τοιαῦτα ὅσα καὶ

A corporis templum excitavit: duarum ejus naturarum diſcrimen intelligo: unum filium in filios duos non divido: Credo & in Spiritum ſanctum ſpiritum veritatis, qui à patre procedit, Trinitatis complementum. Hæc animo perpetuo linguâque meditamini: hæc affectu & ore continuo vociferamini, habetis Apoſtolicam fidei ac religioſæ converſationis regulam: ſine fide namq; mortua ſunt opera. Humanum dico propter infirmitatem carnis veſtræ: ſicut enim exhibuiſtis membra veſtra arma iniquitatis

B peccato: ita exhibete membra veſtra arma juſtitiæ Deo, fornicator, temperans fiat: injuſtus, fiat juſtus: raptor, liberalis: avarus, pauperum amator: inhumanus & auri cupidus olim, nunc Chriſti ſtudioſus appareat: blaſphemus, cantor hymnorum: qui ad theatra currebat, deinceps ad atria Dei currat: qui decurſionum equeſtrium amore inſaniebat, Apoſtolis operam det, quorum curſus eſt imitatoribus ſalutaris: ut qui futuri ſponſæ Chriſti ſitis, ita veſtras animas & corpora exornate: oculi veſtri ſint ejus quæ eſt

C in anima tranquillitatis imagines: vultus, interioris pietatis ſint effigies eminentes: ora veſtra pſalmorum ſuaves odores atque hymnorum expirent: ſint compta & modeſta, convenientia virgini mox nupturæ, ſint animæ puræ, candidæ, ut genuino regiæ purpuræ colore tingantur. Poſtquam autem ad thalamum Spiritus perveneritis: poſtquam in ſponſale gratiæ conclave irrepſeritis: poſtquam prope tremendam ſimul & expetendam baptiſmi piſcinam conſtiteritis, velut captivi coram Rege procideri-

D tis omnes ſimul in genua vos projicite, ac manibus in cœlum ſublatis, ubi regiè conſidet Rex omnium noſtrum, oculiſque in immobilem illum oculum directis, hujuſmodi verbis apud dominum benignum utimini: Aperi nobis vineam tuam Domine; tametſi nos circa undecimam horam advenimus, ne ſuccenſeas nobis, ut qui tardi fuerimus, Domine, neque manſuetos oculos tuos, humanitatis tuæ januas, claudas: præcedentem noſtram negligentiam damnamus: præteriti temporis pigritiam damna-

E mus: quòd non paruerimus, læſi ſumus: quòd dormierimus, damnum fecimus: dum oblectamur: naufragium ſumus paſſi: ſpoliati ſumus dum ludimus, ac deludimur: perimus, dum rebus vanis animum recreamus, vix tandem evigilamus: vix torporem excuſſimus: vix quod expediebat, invenimus: vix bellum effugimus: renuntiavimus penitus Malo: renuntiavimus pernicioſis malis & otioſis deliciis: Salvatori deinceps nos adjungimus, ſoli Deo: excipe confeſſionis noſtræ libellum, ut præfinitam

A mulctam reformidantes, ea, quæ pacti ſumus, obſervemus: excipe tecum initorum pactorum pignus ac teſſeram, ut pudore cogente mores conſtantes & immutabiles induamus, miſerere ſervorum tuorum captivorum, & nudorum, & mortuorum: priſtinam illam cognationem nobis reſtitue: quos denudavit diabolus, veſti: oleo nos unctionis tuæ ſanctæ inunge, ne à ſerpente lædamur, volumus tua mandata peragere: volumus intra vineam reperiri: volumus ut appropinquantes tibi

B degere: cùm operarii eſſemus, toto vitæ noſtræ tempore malè viximus: volumus quod reliquum eſt, bene vivendo traducere. Si placeat tibi tanquam fornicatoribus ignoſcere, ignoſce: ſi placeat, tanquam publicanos ſervare, ſi placeat tanquam latrones benignè tractare, ſi placeat tanquam perſecutores ſalvare, ſalva ut placet, miſerere pœnitentium, quos patienter tuliſti peccantes: miſerere ad genua procumbentium, quos etiam recalcitrantes miſeratus es: miſerere ſupplicantium, quos contu-

C meliam inferentes toleraſti. Aperi nobis tempeſtate jactatis ſacri portum lavacri: aperi nobis vulneratis dolores abigentem medici officinam: aperi inveteratis expertem moleſtiæ conflatoriam fornacem: aperi mortis reis periculo vacans ſepulchrum: aperi nobis vitam afferentem triduanæ tuæ necis effigiem: aperi nobis regenerationis virginem ventrem: aperi nobis adoptionis matrem incorruptam: aperi immortalitatis januam: aperi nobis cœlorum portam, quandoquidem tu dixiſti, *Pulſate, & aperietur*

D *vobis*; quæ dixiſti, veritate adimple: quæ loquutus es, ut qui mentiri non potes, perfice. Credimus omnia te facere poſſe: credimus poſſe te peccatorum noſtrorum cœnum abluere. credimus poſſe te eos, qui in peccatis conſenuerint, per Spiritum & aquam regenerare: credimus te mirabile illud puerperium poſſe perficere: credimus poſſe te mulieres, & infantes, & juvenes, & viros, & ſenes ex aquis recens formatos, quaſi modò genitos infantes educere: credimus poſſe peccata noſtra aquis ſuffocare, quem-

E admodum Pharaonem totúmq; ipſius exercitum ſubmerſiſti: credimus poſſe te viam ſalutis adinvenire, quemadmodum Iſraelitis quondam in maris medio viam ſtraviſti: credimus tam mul-

ta te poſſe, quàm multa vis. His ita Dominum compellantes perſeverate, ut vos etiam Salvator ſic alloquatur, Creditis quia hoc poſſum facere, ſecundùm fidem veſtram fiat vobis. Ipſi gloria in ſecula ſeculorum. Amen.

In Parabolam de Ficu. Tractatus.

CUm vel floridam arborem, vel fontem aquis ſcaturientem cernit oculus, ipſo aſpectu pellicitur, & illuc animi ſenſum convertit: pari quoque ratione is qui facta & hiſtorias verbis expoſitas audit, ad eas mentem intendit: ſic ut talis ſit corpore quidem hoc in loco, mente verò illo in loco ad quem hiſtoriæ narratio eum traducit. Tale mihi quiddam evenit, dilectiſſimi: dum enim res eas, quæ in Bethania circa ficum acciderunt, audio Evangeliſtam narrantem, hic quidem ſum corpore, mente verò meipſum imaginor illic eſſe: méque nunc arbitror Dominum Jeſum ſequi, ac ficum videre, ante juſſum quidem herile floridam atque frondentem, poſt dominicum autem juſſum horribilem & arentem. Mane ſiquidem, inquit, revertens Jeſus in civitatem, eſuriit. Et videns ficum, venit ad eam: & nihil invenit in ea niſi folia tantùm: & ait illi, *Nunquam ex te fructus naſcatur in ſempiternum, & ſubito areſacta eſt*: hoc enim paulo antè nobis recitatum eſt. Obſtupefacit me miraculum: varias in partes mens mea diſtrahitur. Cum enim hiſtoriæ factum narrare inſtituo continuò cum hiſtoria miracula ad ſe trahunt. Et quemadmodum cùm urnam auream pretioſos continentem lapillos quis conſpexerit, in quibus arcana depicta fuerint; cernere quidem urnam deſiderat propter formæ ſplendorem, ſed ab iis qui ſunt intus, lapillis, in diverſum trahitur, & lapillorum pulchritudinem & arcana depicta in ea ſpectare feſtinat: pari ratione videns ego quoque ſplendidam quidem ac perelegantem hiſtoriæ literam eſſe, illic mente detineor, ſed in diverſum rurſus trahor à ſpiritus intelligentia, quæ hiſtoria majora ſe mihi oſtenſuram miracula pollicetur. Mane ſiquidem inquit revertens Jeſus in civitatem, eſuriit, ò myſterium ineffabile atque inenarrabile; eſuriit ille qui univerſum orbem terrarum alit: eſuriit ille qui ex quinque panibus quinque hominum millia ad ſatietatem enutrivit: eſuriit ille, qui viventes oculos è luto fabricatus eſt: eſuriit ille, qui in fluctibus maris inambulavit, nec in aquam pedes immerſit: eſuriit ille, qui ſolo mentis juſſu aquam in vinum convertit: eſuriit ille qui è corporibus animas extraxit, & rurſus eas in ſuas ædes verbo introduxit. Et quomodo inquit Eſaias, Deus æternus non eſuriet, neque laborabit? Chriſtum autem Deum eſſe cuivis utiq; manifeſtum eſt, qui ſcripturæ credit, dicenti; In principio erat, Verbum & Verbum erat apud Deum, & Deus erat verbum, quomodo igitur eſurit Deus? eſurit forma ſervi: quinq; autem millia, quæ in ipſo erat, domini voluntas enutrivit: venit ad ficum homo, qui cernebatur, at erat ubique ea, quæ in ipſo divinitas intelligebatur. vidit infructuoſam ficum ut homo, verbo illam areſecit, ut Deus. Dixit: Numquam ex te fructus naſcatur in ſempiternum, & factum conſequutum eſt dictum, ſtatimque ficus areſacta eſt, dictum erat humanum; factum autem divinum. Sed multa nobis diſquiſitione opus eſt, dilectiſſimi, ad ſpiritualem ficus intelligentiam eruendam, quæ apud multos quidem expoſita eſt, ut mihi quidem videtur, minùs accuratè: veruntamen eorum qui præceſſerunt lucubrationes vobis dicam, tum quæ à nobis elaborata præclara opera proferemus. Eſt enim captu difficilis quæ in hiſtoria literæ eſt ſita ſententia, atque in receſſu abditum continet myſterii fulgorem. Quid enim neceſſarium erat verbo ficum areſieri, ac non verbo potiùs frugiferam fieri: quando is, qui eam dicto areſecit, potuit etiam fœcundam dicto reddere? Quid verò etiam peccavit ficus, dicit aliquis, quum tempus ejus non eſſet, dicente Marco Evangeliſta eum temporis hyemem fuiſſe? Quòd ſi non aliquod ſit in ipſam myſterium ſupra hominem adimpletum, ſaltem uno modo laudandus, altero verò reprehendendus Dominus reperietur, laudandus quidem quòd eam verbo areſecerit, reprehendendus autem quod immeritò illi maledixerit. Veruntamen deinceps intelligendum eſt, dilectiſſimi, cujuſnam imaginem gereret ficus, neque enim fuit quicquam eorum, quæ à Chriſto gerebantur, quod myſterio vacaret: in univerſum, nullum ab ipſo patratum eſt opus, quod non admodum fructuoſum eſſet: nihil quod veritatem non clamaret: nihil quod ad cœleſtium rerum ſuſceptionem animum non excitaret. Multi ex interpretibus ficum iſtam Judæorum ſynagogæ aſſimilatam eſſe dixerunt; ad quam venit Dominus, inquiunt, fructum in ea fidei quærens: non invenit niſi prophetarum ac legis ſermonibus quaſi foliis comantem: quapropter & areſecit dicens: *Nunquam ex te fructus naſcatur in*

Mat. 21,19.

Marc. 11,13.

θέλεις· ταῦτα λέγοντες πρὸς τὸν Κύριον ἐπιμείνατε, ἵνα εἴπῃ καὶ πρὸς ὑμᾶς ὁ σωτήρ· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν παραβολὴν περὶ συκῆς. ὁμιλία.

ΟΦΘΑΛΜΟΣ ὁρῶν ἢ δένδρον ἀνθοφόρον, ἢ πηγὴν ὑδροτόκον, ὑπ' αὐτῆς τῆς θέας ἕλκεται, καὶ τὸν τῆς καρδίας νοῦν μεταστρέφει ἐκεῖ. ὁμοίως δὲ καὶ ὁ ἀκούων διὰ λόγων πράξεις καὶ ἱστορίας, πρὸς ἐκείνας τὴν διάνοιαν ἀνατείνει· ὡς εἶναι τὸν τοιοῦτον τῷ μὲν σώματι ἐν τῷδε τῷ τόπῳ· τῇ δὲ διανοίᾳ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα ὁ λόγος τῆς ἱστορίας διαγράφει τὸ πρᾶγμα· τοιοῦτον ἔοικεν ἐμοὶ συμβέβηκεν, ἀγαπητοί. ἀκούσας γὰρ τοῦ εὐαγγελιστοῦ διηγουμένου τὰ ἐν Βηθανίᾳ κατὰ τὴν συκῆν γεγονότα πράγματα, ὧδε μὲν εἰμὶ τῷ σώματι· τῇ δὲ διανοίᾳ ἐμαυτὸν εἶναι ἐκεῖ φαντάζομαι· καὶ οἴομαι νῦν ἀκολουθεῖν τῷ δεσπότῃ Ἰησοῦ, καὶ ὁρᾶν τὴν συκῆν, πρὸ μὲν τοῦ δεσποτικοῦ προστάγματος ἀνθηρὰν καὶ κατάκομον, μετὰ δὲ τὸ κυριακὸν πρόσταγμα στυγνὴν καὶ κατάξηρον. πρωΐας γάρ φησιν ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασε. καὶ ἰδὼν συκῆν, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνον. καὶ λέγει αὐτῇ, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα, καὶ εὐθέως ἐξηράνθη. τοῦτο γὰρ ἀρτίως ἡμῖν ἀνεγνώσθη. ἐκπλήττει με τὸ θαῦμα. μεμέρισταί μου ἡ διάνοια· ὅταν γὰρ βουληθῶ τὸ πρᾶγμα τῆς ἱστορίας διηγήσασθαι, εὐθέως μετὰ τῆς ἱστορίας τὰ θαύματα πρὸς αὐτὰ ἐπισπᾶται. καὶ ὥσπερ ὁπόταν ἴδῃ τις στάμνον χρυσῆν ἔχουσαν ἔνδοθεν λίθους τιμίους, φέροντας ἐν ἑαυτοῖς γεγραμμένα μυστήρια, θέλει μὲν ὁρᾶν τὴν στάμνον διὰ τὸ τοῦ εἴδους στίλβοντα· ἀνθέλκεται δὲ ὑπὸ τῶν ἔνδοθεν λίθων· σπουδὴ γὰρ καὶ τὸ τῶν λίθων περιλαβεῖν κάλλος καὶ τὰ ἐν αὐτῇ γεγραμμένα μυστήρια γνῶναι· ὡσαύτως κἀγὼ ὁρῶ μὲν τὴν τοῦ γράμματος ἱστορίαν λαμπρὰν καὶ περικαλλῆ τυγχάνουσαν, ἐκεῖ κατέχομαι τὸν νοῦν· ἀνθέλκομαι δὲ πάλιν ὑπὸ τῆς τοῦ πνεύματος θεωρίας μείζονά μοι τῆς ἱστορίας ἐπαγγελλομένης δεικνύειν τὰ θαύματα. πρωΐας γάρ φησιν ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασεν. ὢ ἀνεκφράστου καὶ ἀνεκδιηγήτου μυστηρίου· ἐπείνασεν ὁ τρέφων πᾶσαν τὴν οἰκουμένην· ἐπείνασεν ὁ ἐκ πέντε ἄρτων πεντακισχιλίους εἰς κόρον ἐκθρέψας· ἐπείνασεν ὁ ἐκ πηλοῦ ζῶντας ὀφθαλμοὺς ἐργασάμενος· ἐπείνασεν ὁ ἐπὶ τῶν κυμάτων τῆς θαλάσσης περιπατήσας, καὶ τοὺς πόδας εἰς τὸ ὕδωρ μὴ βάψας· ἐπείνασεν ὁ ἐννοίᾳ μόνῃ τὸ ὕδωρ εἰς οἶνον μεταποιήσας· ἐπείνασεν ὁ ψυχὰς ἐκ τῶν σωμάτων ἐκσπάσας, καὶ πάλιν αὐτὰς εἰσοικίσας λόγῳ. καὶ πῶς λέγει ὁ Ἡσαΐας, ὁ Θεὸς ὁ αἰώνιος οὐ πεινάσει, οὐδὲ κοπιάσει; Χριστὸς δὲ ὅτι Θεός, παντί που δῆλον τῷ πιστεύοντι τῇ γραφῇ, λεγούσῃ· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. πῶς οὖν ἐπείνασεν ὁ Θεός; ἐπείνασεν ἡ τοῦ δούλου μορφή· διέτρεφε δὲ πεντακισχιλίους ἡ ἐν αὐτῷ τοῦ δεσπότου βουλή· ἦλθεν ἐπὶ τὴν συκῆν ὁ ὁρώμενος ἄνθρωπος· ἦν δὲ πανταχοῦ ἡ ἐν αὐτῷ νοουμένη θεότης. εἶδε τὴν συκῆν ἄκαρπον ὡς ἄνθρωπος, ἐξήρανε ταύτην λόγῳ ὡς Θεός· εἰπὼν, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· καὶ τὸ ἔργον ἠκολούθησε τῷ ῥήματι, καὶ εὐθὺς ἡ συκῆ ἐξηράνθη. τὸ ῥῆμα ἀνθρώπινον· τὸ δὲ ἔργον θεϊκόν· ἀλλὰ πολυζήτητος ἡμῖν, ἀγαπητοί, ἡ θεωρία ἡ κατὰ τὴν συκῆν, παρὰ πολλοῖς μὲν ἑρμηνευθεῖσα ὡς ἐμοί γε δοκεῖ, οὐκ ἠκριβωμένως· πλὴν τὰς τῶν προλαβόντων ὑμῖν λέξω λύσεις, καὶ τὰς ἡμῶν πεπονημένας προσκομίσομεν ἐργασίας. δυσληπτὸς γὰρ ὁ ἐν τῇ ἱστορίᾳ τοῦ γράμματος κείμενος νοῦς, πολλῷ τῷ βάθει κεκρυμμένην ἔχων τὴν τοῦ μυστηρίου στιλβότητα. τί γὰρ τὸ ἀναγκαῖον ἦν τῷ λόγῳ ξηρᾶναι τὴν συκῆν, καὶ μὴ λόγῳ ταύτην καρποφορεῖν· ὁ γὰρ ῥήματι ξηράνας αὐτὴν, ἐδύνατο καὶ ῥήματι εὔκαρπον αὐτὴν ποιῆσαι; τί δὲ καὶ ἥμαρτεν ἡ συκῆ, εἴποι τις ἄν, ὁπότε οὐκ ἦν αὐτῆς ὁ καιρός; Μάρκου τοῦ εὐαγγελιστοῦ λέγοντος, χειμῶνα εἶναι κατ' ἐκεῖνον τὸν καιρόν; καὶ εἰ μὴ τί ἐστι μυστήριον ὑπὲρ ἄνθρωπον ἐν αὐτῇ τελούμενον, εὑρεθήσεται ὁ Κύριος κατὰ μὲν ἕνα τρόπον ἐπαινετός, κατὰ δὲ ἕτερον μεμπτός· ἐπαινετὸς μὲν γὰρ ὅτι λόγῳ αὐτὴν ἐξήρανε· μεμπτὸς δὲ ὅτι ἀδίκως αὐτὴν κατηράσατο. ἀλλὰ δεῖ νοεῖν τοῦ λοιποῦ, ἀγαπητοί, τίνος ἔφερεν εἰκόνα ἡ συκῆ· οὐ γὰρ ἦν τι ὑπὸ Χριστοῦ γινόμενον πρᾶγμα ὃ οὐκ εἶχε μυστήριον. ὅλως οὐδὲν ἦν παρ' αὐτοῦ γινόμενον ἔργον ὃ μὴ σφόδρα ὠφέλιμον· οὐδὲ ὃ μὴ ἐβόα τὴν ἀλήθειαν· οὐδὲν ὃ μὴ πρὸς τὴν τῶν οὐρανίων παραδοχὴν ἐκίνει τὸν νοῦν· αὐτὴν τὴν συκῆν οἱ πολλοὶ τῶν ἑρμηνευτῶν εἰρήκασι τῇ τῶν Ἰουδαίων συναγωγῇ παρεικασμένην εἶναι, ἐφ' ἣν ἦλθέ φησιν ὁ Κύριος ζητῶν ἐν αὐτῇ καρπὸν πίστεως. οὐχ εὗρεν, εἰ μὴ μόνον λόγους προφητῶν καὶ νόμου καθάπερ φύλλοις κομῶσαν· διὸ καὶ ἐξήρανε, λέγων, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα·

ἐγὼ

ἐγὼ δὲ τῇ ἑρμηνείᾳ ταύτῃ πειρῶμαι ἀντιλέγειν, ἀγαπητοί· οὐ γὰρ οὕτως ἔχει ἡ ἀκρίβεια τοῦ νοήματος. πῶς γὰρ ἂν κατηράσατο ὁ Κύριος, λέγων, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε; πῶς δὲ καὶ τὴν συναγωγὴν κατηράσατο ἄν, καὶ ἐξήρανεν, ὁ λέγων, οὐκ ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἀπολέσαι, ἀλλὰ ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός; εἰ δέ τις ἔτι ἀντιλέγει καὶ φιλονεικεῖ, λέγων, τῇ τῶν Ἰουδαίων συναγωγῇ παρεικασμένην εἶναι τὴν συκῆν ἀκριβῶς, λεγέτω, πῶς ἡ ἀπὸ ῥιζῶν ξηρανθεῖσα συναγωγὴ τοιοῦτον ἔγκαρπον κλάδον ἐβλάστησε τὸν γλυκύτατον Παῦλον· πολλοὺς δὲ καὶ ἄλλους ἐπιστρέψαντας ἔγνωμεν ἐκ τῆς τῶν Ἰουδαίων συναγωγῆς. καὶ γὰρ καὶ Στέφανος ὁ λιθασθεὶς ὑπὸ τῶν Ἰουδαίων ἐξ ἐκείνης τῆς συναγωγῆς ἐτύγχανε καὶ Ἀκύλας καὶ Πρίσκιλλα καὶ πολλοὶ ἄλλοι, ὧν τὸν κατάλογον νῦν τῶν ὀνομάτων διὰ τὸ πλῆθος τῶν λέξεων παραιτούμεθα λέγειν. ὅτι δὲ οὐ παντελῶς ἀπώσατο ὁ Θεὸς τὸν λαὸν τῶν Ἰουδαίων; μαρτυρεῖ μοι Παῦλος, λέγων· λέγω οὖν, μὴ παντελῶς ἀπώσατο Κύριος τὸν λαὸν αὐτοῦ, μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν· οὐκ ἀπώσατο Κύριος τὸν λαὸν αὐτοῦ, ἀλλὰ καὶ σωτηρίαν τῷ λαῷ ἐκείνῳ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐπαγγέλλεται· ἐν τῷ λέγειν, ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται· εἰ γὰρ ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι τοῦ Θεοῦ, δι' ἡμᾶς γεγόνασιν· ἵνα τῇ ἐκείνων ἀπειθείᾳ ἡμεῖς ἐλεηθῶμεν· ὡς μαρτυρεῖ μοι Παῦλος, λέγων, κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ἡμᾶς· κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις ἁγία· ζητητέος τίνων ὁ περὶ τῆς συκῆς λόγος, τύπον φέρει εἰκόνος· ἀλλ' ἐὰν σὺ ὁ Ἀδὰμ μνησθῇς ὅτε ἐν τῷ παραδείσῳ ἐγυμνώθης, ποίου δένδρου φύλλα λαβὼν καὶ συῤῥάψας ἑαυτῷ περιβόλαιον ὕφανας, ὄψει πῶς δικαίως τὰ φύλλα ἐξήρανεν· ἢ γὰρ οὐχὶ φύλλα συκῆς λαβὼν τὴν σεαυτοῦ αἰσχύνην ἐκάλυπτες; ἦλθεν οὖν ὁ Χριστὸς, καὶ τὴν ἐν σοὶ ἀνθοῦσαν συκῆν τὸ τῆς αἰσχύνης κάλυμμα τῷ λόγῳ ἐξήρανεν. ἦρέ σου τὴν πενίαν, καὶ δέδωκέ σοι τὸν πλοῦτον· ἦρέ σου τὰ τῆς αἰσχύνης καλύμματα, καὶ δέδωκέ σοι χιονοφεγγῆ στολὴν, ἐξ ὕδατος καὶ πνεύματος ὑφανθεῖσαν· ἐξήρανε τὰ φύλλα τῆς συκῆς, καὶ ἀποδίδωσί σοι τὰ σκῦλα τῆς ψυχῆς· ποῖα σκῦλα; ἃ ὄφις ἐσυλαγώγησέ σοι ἐν τῷ παραδείσῳ, τὴν ἰσάγγελον ζωὴν, τὴν τοῦ παραδείσου τρυφὴν, τὴν τῆς ἀφθαρσίας στολήν. ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ κεφάλαιον. πρωὶ γάρ φησιν ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασε· πρωὶ μετὰ τὴν νύκτα τῆς πλάνης παραδεδραμηκυῖαν, καὶ τὸν ὄρθρον Χριστὸν τὸ τῆς ἀναστάσεως φέγγος αὐγάσαι τῷ κόσμῳ· ὄρθρος γάρ φησιν ὁ Χριστὸς, καθώς φησιν ὁ προφήτης, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν. πρωὶ ἐπανάγων ὁ Ἰησοῦς· πρωὶ μετὰ τὸν σκοτοφόρον θάνατον τῷ φωτὶ τῆς δόξης Χριστοῦ ἀφανισθῆναι, καὶ τὰς χρυσᾶς ἀκτῖνας τὸν τῆς δικαιοσύνης ἥλιον ἐν ταῖς τῶν ἐσκοτισμένων ἀνθρώπων καρδίαις ἐπιλάμψαι· πρωὶ μετὰ τὸ τὰς θερμὰς ἀκτῖνας τῆς θεότητος ἐκπετάσαι, καὶ τὰς νενεκρωμένας ψυχὰς ὑπὸ τοῦ διαβόλου ἐκθερμᾶναι· οὐκ ἔστι γὰρ ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. τῇ γὰρ ψυχροτάτῃ ἁμαρτίᾳ ὁ διάβολος τὰς τῶν ἀνθρώπων καρδίας ἐνέκρωσεν. ὅθεν ὁ προφήτης ἐπεύχεται λέγων, πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου· κρυμῷ γὰρ ἀσεβείας πᾶσα ἡ ἀνθρωπότης ἐσφίγγετο. διὸ πάντες οἱ προφῆται ὁμοθυμαδὸν ηὔχοντο πρὸς τὸν Θεὸν, λέγοντες, ἐπίστρεψον Κύριε τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ· τοῦτ' ἔστιν, ὥσπερ ὁ νότος θερμῶς ἐπιπνεύσας τὰ παγέντα ὕδατα, εἰς τὴν προτέραν φύσιν τοῦ ὕδατος ἐπανάγει· ὡσαύτως καὶ ἡμᾶς τοὺς τῇ ἁμαρτίᾳ τοῦ διαβόλου νεκρωθέντας, ὡς νότος θερμῶς ἐπιπνεύσας, ἐπὶ τὴν ἀρχαίαν φύσιν τῆς ἀφθαρσίας ἀνέλυσεν. ταύτην τὴν θέρμην ἐπιπνέοντος τοῦ νότου, καὶ ἡ νύμφη Χριστοῦ ἐκκλησία ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων ἐπικαλεῖται, λέγουσα, ἐξεγέρθητι βοῤῥᾶ, καὶ ἔρχου νότε· διάπνευσον κῆπόν μου καὶ ῥευσάτωσαν ἀρώματα. πρωὶ, φησιν, ἐπανάγων· καλῶς τὸ ἐπανάγων, ἵνα σημάνῃ ὅτι τὸν ἐκ τοῦ παραδείσου ἐκπεσόντα Ἀδὰμ πάλιν ἐλθὼν ὁ Κύριος ἡμῶν εἰς τὸν αὐτὸν τόπον ἐπανάγει. πρωὶ ἐπανάγων ὁ Ἰησοῦς ἐπὶ τὴν πόλιν, ἐπείνασε· πόλιν νῦν ἀκούσας μὴ κάτω περιβλέπου, ἀλλὰ πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἀνάβλεψον πρὸς τὴν οὐράνιον χώραν. καὶ γὰρ τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει. πρωὶ ὁ Ἰησοῦς ἐπανάγων ἐπὶ τὴν πόλιν, ἐπείνασεν, οὐ τὴν τροφὴν τῶν ἀνθρώπων· ἐμὸν γάρ ἐστι βρῶμα, ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου, ἵνα πιστεύσωσιν εἰς ὃν ἀπέστειλεν ἐκεῖνος· ὁ γὰρ πιστεύων εἰς αὐτὸν, καθὼς εἶπεν αὐτὸς, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα· πρωὶ ὁ Ἰησοῦς ἐπανάγων ἐπὶ τὴν πόλιν, ἐπείνασεν· καὶ ἰδὼν συκῆν ἦλθεν ἐπ' αὐτήν· εἰ γὰρ παρέδραμε τὴν συκῆν, εἶχεν ἂν ἐν τῇ συκῇ τὴν καλιὰν αὐτοῦ ὁ ὄφις ἀθάνατον· ἀλλ' ἦλθεν ἐπὶ τὴν συκῆν, καὶ ταύτην ἐξήρανεν· ὑπὸ τοιαύτην συκῆν τὸν Ναθαναὴλ ὄντα εἶδεν ὁ Κύριος· πρὸ τοῦ γάρ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. ταύτην τὴν συκῆν προορῶν ὁ προφήτης μέλλουσαν ἄκαρπον γίνεσθαι, ἔλεγε, ἀναβήσομαι εἰς λαὸν παροικίας μου· διότι συκῆ οὐ καρποφορήσει· ἐπὶ τοιαύτην συκῆν ἀνέβη Ζακχαῖος ἰδεῖν τὸν Ἰησοῦν· πρὸς ὃν ἔλεγε, σπεύσας κατάβηθι· ἐκεῖ ὁ ὄφις καμπτόμενος ὑπειλεῖται.

æternum. Ego verò huic expoſitioni contradicere conabor, dilectiſſimi: non enim ea eſt vera & exacta ſignificatio; quomodo namque maledixiſſet Dominus, qui dicit, *Benedicite, & nolite maledicere?* quomodo autem ſynagogæ maledixiſſet, & eam areſeciſſet, qui dicit, *Non venit filius hominis perdere, ſed quærere, & ſalvum facere, quod perierat?* (Luc. 9, 56. & 19, 10.) Quòd ſi quis adhuc contradicat & contendat, Judæorum ſynagogæ aſſimilatam eſſe ficum exactè, reſpondeat, quo pacto ab radice areſacta ſynagoga talem fructuoſum ramum ſuaviſſimum Paulum germinarit, multos verò etiam alios ex ſynagoga Judæorum converſos novimus: nam & Stephanus qui lapidatus eſt à Judæis, ex illa erat ſynagoga, & Aquila, & Priſcille, multique alii, quorum enumerationem propter dictionum multitudinem commemorare jam nolumus. Porro non prorſus Deum repuliſſe populum Judæorum teſtetur mihi Paulus dicens: Dico ergo: *Nunquid Deus prorſus repulit populum ſuum? abſit. Nam & ego Iſraelita ſum, ex ſemine Abraham de tribu Benjamin.* (Rom. 11, 1.) Non repulit Deus plebem ſuam, ſed & populo illi ſalutem in noviſſimis diebus pollicetur, dum ait: *Cùm autē plenitudo Gentium intraverit, tunc omnis Iſrael ſalvus fiet*; (Rom. 11, 12.) ſi enim inimici Dei facti ſunt, ut nos propter incredulitatem illorum miſericordiam conſequamur: ut teſtatur Paulus cùm ait: Secundùm Evangelium quidem inimici propter nos: ſecundùm electionem autem chariſſimi propter patres: ſine pœnitentia enim ſunt dona & vocatio ſancta. Quærendum eſt ergo cujuſnam rei figuram & imaginem præ ſe ferrent ea quæ de ficu narrata ſunt. Verumenimvero ſi recordatus fueris tu Adam, quo tempore in paradiſo denudatus es, cujuſnam arboris ſumptis frondibus & conſutis amictum tibi contexueris, videbis quo pacto jure folia areſecerit, num enim quæſo ſumptis foliis ficus tuam ignominiam occultabas? venit igitur Chriſtus & florentem in te ficum ignominiæ velamen verbo areſecit: ſuſtulit paupertatem tuam, & tibi divitias eſt largitus: ſuſtulit ignominiæ tuæ velamina, & tibi niveo colore ſplendentem ſtolam ex aqua & ſpiritu contextam largitus eſt, areſecit ficulneæ folia, & reſtituit tibi animæ ſpolia, quænam ſpolia? quibus te ſerpens in paradiſo ſpoliavit, æqualem Angelis vitam, paradiſi delitias, ſtolam immortalitatis. Verum ad parabolæ caput revertamus. Mane ſiquidem inquit revertens Jeſus in civitatem, eſuriit, mane poſtquam erroris nox præterierat, & diluculum Chriſtus mundo lumine reſurrectionis illuxerat: diluculum enim inquit eſt Chriſtus, prout ait Propheta: quaſi diluculum paratum inveniemus eum. Mane revertens Jeſus, mane cùm mortem tenebras invehentem Chriſtus luce gloriæ deleviſſet, & radiis aureis ſol juſtitiæ in obtenebratis hominum cordibus refulſiſſet. Mane cùm calentes divinitatis radios diffudiſſet, & enectas animas à diabolo concaleſeciſſet. *Non eſt qui ſe abſcondat à calore ejus*; (Pſal. 18, 7.) frigidiſſimo namque peccato diabolus animas enecavit: quamobrem precatur Propheta dicens: *Ure renes meos, & cor meum*, (Pſal. 25, 2.) ſiquidem frigore impietatis humanitas omnis conſtricta erat: ideoque Prophetæ omnes uno animo Deum obſecrabant dicentes, *Converte Domine captivitatem noſtram ſicut torrentes in Auſtro*: (Pſ. 125, 4.) hoc eſt, quemadmodum Auſter ubi congelatas aquas calidè perflaverit, ad priorem aquæ naturam eas reducit: pari modo nos quoq; diaboli peccato enectos, tanquam Auſter calidè perflans in antiquam immortalitatis naturam reſolvit. Hunc calorem Auſtri, ut aſpiret, ſponſa Eccleſia in Canticis Canticorum advocat, dicens, *Exurge Aquilo, & veni Auſter, perfla hortum meum, & fluant aromata.* (Cant. 4, 16.) Mane inquit revertens: rectè illud ſcripſit, revertens, ut ſignificet, cùm Adamus è paradiſo excidiſſet, rurſum veniſſe Chriſtū Dominū noſtrū ut in eundē locū ipſum reduceret. Mane revertens Jeſus in civitatē eſuriit. cùm civitatē nunc audieris, noli inferiùs circūſpicere, ſed ad Hieruſalē quæ ſurſum eſt, reſpice, ad ſedē cœleſtē: *Etenim converſatio noſtra in cœlis eſt.* (Phil. 3, 20.) Mane revertens Jeſus in civitatem, eſuriit, non cibum expetens humanum: Meus quippe cibus eſt, ut faciam voluntatem patris mei, ut credant in eum qui miſit illum. Qui enim credit in eum, ſicut dixit ipſe, non morietur in æternum. Mane Jeſus revertens in civitatem, eſuriit, & videns ficum, venit ad eam, ſi enim ficum præteriiſſet, immortalem in ficu nidum ſuum ſerpens habuiſſet: ſed venit ad ficum, & illam areſecit: ſub tali ficu Nathanael cùm eſſet, à Domino viſus eſt: *Prius enim quam te Philippus vocaret, cùm eſſes ſub ficu, vidi te:* (Joh. 1, 48.) hanc ficum prævidens infructuoſam redditum iri, Propheta dicebat, *Aſcendam ad populum peregrinationis meæ:* (Hab. 3, 17.) quoniam ficus non afferet fructum, talem in ficum Zachæus aſcendit, ut Jeſum videret: cui dixit: *Feſtinans deſcende*: (Luc. 19, 5.) illic ſerpens tortuoſus circunvolvitur: illic ni-

ξύλον μακάριον ὁ βασιλεῖς ἱμάσσιν καὶ ὕπαρχοι σώζονται, A ἄνδρες τε καὶ γυναῖκες καὶ πᾶσα φύσις καὶ κτίσις ἀνθρώπων φυλακτήριον κέκτηνται· οἱ δαίμονες φρίττουσι, καὶ ὁ διάβολος τρέμει· οἱ ἄγγελοι ὑμνοῦσι, καὶ οὐρανοὶ εὐλογοῦσιν. ἐκκλησίαι δὲ στεφανοῦσι τὸν ἐν αὐτῇ σταυρωθέντα Χριστόν· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸν Φαρισαῖον, ὁμιλία. B

ΩΣΠΕΡ πατὴρ φιλότεκνος προσομιλῶν τοῖς ἑαυτοῦ φιλτάτοις ὑπὸ τῆς οἰκείας ἀγάπης ἑλκόμενος, καὶ οὔπω νηπίων μὴ δυναμένων ἀκούειν τελείων ῥημάτων διὰ τὴν νηπιότητα τῆς ἡλικίας, ὁ πατὴρ ὑπαλλάξας τὴν φωνὴν, καὶ τὸ τροχαλὸν τῆς εὐγλωττίας ἀποθέμενος, ψελλίζειν αὐτοῖς ἄρχεται, καὶ ἐκ τοῦ λέγειν καὶ ἀκούειν πρὸς μείζονα ῥημάτων κατάληψιν τοὺς φιλτάτους ἑαυτοῦ ἐνάγει· τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος ἡμῶν διὰ πολλὴν τὴν περὶ τὸ ἴδιον πλάσμα C ἀγάπην Θεὸς λόγος ὑπάρχων, ἀνθρώπινον λόγον ἀναλαβὼν ἐλήλυθε πρὸς ἡμᾶς, ἵνα ἐκ τοῦ ὁμιλεῖν αὐτὸν καὶ συνδιατρίβειν, οὐράνιον ἀποκάλυψιν ἐπιδείξας ἐπὶ τὴν οὐράνιον κλίμακα, τουτέστι τὴν ἐλπίδος ἡμᾶς ὁδηγήσῃ. καλεῖται γοῦν εἰς ἄριστον ὑπὸ Φαρισαίου, ὡς ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελίου κηρύττοντος, καὶ οὐκ ἀποστρέφεται τὸν καλοῦντα. οὐ γὰρ ἦλθε τὸ ἀξίωμα τῆς θεότητος αὐτοῦ δεῖξαι, ἀλλὰ τὴν πεπτωκυῖαν ἀνθρωπότητα ἐκ τῆς καταχθονίου ῥύσασθαι. καλεῖται εἰς D ἄριστον ὑπὸ Φαρισαίου, καὶ οὐ παραιτεῖται, ἵνα καὶ πλουσίους παιδεύσῃ μὴ ὑπερορᾶν τραπέζας πενήτων, καὶ δικαίους διδάξῃ μὴ διαπτύειν τραπέζας ἁμαρτωλῶν· πολλοὶ γὰρ παρ' ἑαυτοῖς δοκοῦντες εἶναι δίκαιοι, καταπτύουσι τραπέζας ἁμαρτωλῶν, καὶ οἱ πλούσιοι τῶν πενήτων. βουλόμενος γὰρ ὁ Κύριος πάντας εἶναι φιλοτέκνους, φιλαδέλφους, ἀγαπητικοὺς, ταπεινόφρονας, πρῶτος ἄρχεται τοῦ ἔργου, ἵνα ἐκ τοῦ ποιῆσαι διδάξῃ. διὸ λέγει, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπει- E νὸς τῇ καρδίᾳ. σὺ οὖν ὁ ἐν εὐλαβείᾳ ἀσκούμενος ὁπόταν κληθῇς ὑπό τινος ἁμαρτωλοῦ, μὴ παραιτήσῃ κἂν ὀνειδίζῃ ὑπό τινος λέγοντος, διὰ τί μετὰ ἁμαρτωλῶν ἐσθίεις καὶ πίνεις; ἀνταποκρίθητι λέγων, οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· δίκαιος γάρ εἰμι, οὐχ ἵνα δικαίους σώσω, ἀλλὰ ἁμαρτωλοὺς ἐπιστρέψω. καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ὁ ἐκ πέντε ἄρτων, πεντακισχιλιάδας εἰς κόρον διαθρέψας ἐν τῇ ἐρήμῳ, ὁ τὴν ἀπέρατον καταξη- A ράνας θάλασσαν, καὶ καθάπερ διὰ χλοηφόρου πεδίου τῆς θαλάσσης τὸν Ἰσραὴλ διαγαγὼν, οὐρανόθεν αὐτοῖς τὸ μάννα ὑπομβρίσας, καὶ ἐν λευκῇ ἡμέρᾳ ἐκ τῆς λαμπρότητος τοῦ μάννα χιόνας· καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ἐν τοῖς ἀρίστοις τὰ ἄριστα τῶν μαθημάτων τοὺς καλοῦντας αὐτὸν ἐκδιδάσκων. ἀπέρχεται γὰρ εἰς ἄριστον, οὐχ ἵνα τῶν Φαρισαίου βρωμάτων ἐμφορηθῇ, ἀλλ' ἵνα ὁ Φαρισαῖος τῶν τοῦ Κυρίου διδαγμάτων ἐμπλησθῇ. καλεῖται εἰς ἄριστον, καὶ ἔρ- B χεται εἰς οἶκον τοῦ Φαρισαίου, καλύπτων τὴν θεότητα ἀνθρωπότητι, ἵνα μὴ ἄφνω θεασάμενος τὴν ἐξαστράπτουσαν αἴγλην τῆς θεότητος, φύγῃ ἐκ τοῦ οἴκου ὁ καλέσας τὸν δεσπότην. εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον ὁ οὐράνιος βασιλεὺς πρὸς τὸν αἰχμάλωτον, καὶ καλύπτει τὸ βασιλικὸν ἀξίωμα τῷ δερματίνῳ καταφράκτῳ τῆς σαρκὸς, ἵνα μὴ θεωρήσας τὸν οὐράνιον βασιλέα τρομάξῃ ὁ αἰχμάλωτος, καὶ εἰς γῆν καταδύσῃ. εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον ὁ ἥλιος τῆς δικαιοσύνης, τὰς C χρυσαυγαζούσας τῶν ἀκτίνων λαμπηδόνας καλύπτων τῇ νεφέλῃ τοῦ σώματος, ἵνα μὴ θεωρήσας ὁ ἄνθρωπος ἀπολέσῃ τὴν ὅρασιν. εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου ὁ οὐράνιος ποιμὴν ἐάσας ἐπὶ τῶν ὀρέων τὰ ἐνενήκοντα ἐννέα πρόβατα· εἰσέρχεται ἐπὶ τὸ ἀπολωλός· εἰσέρχεται εἰς τὴν μάνδραν αὐτοῦ καλύπτων τὸν ποιμένα ἐν τῷ ἀρνίῳ τοῦ σώματος. οὐ βακτηρίαν ἐπιφέρεται, οὐ ῥάβδον ἀπειλοῦσαν τὴν προτέραν πλάνην, ἵνα μὴ δειλιάσαν καὶ πτοηθὲν τὸ πρόβατον πάλιν D ἀποδράσῃ τοῦ ἰδίου ποιμνίου· ἀλλ' εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου οὐχ ὡς Θεὸς, οὐχ ὡς βασιλεὺς, οὐχ ὡς ἥλιος δικαιοσύνης, ἀλλ' ὡς ἄνθρωπος πρὸς ἄνθρωπον, ὡς ἀρνίον πρὸς ἀρνίον· συνδιαιτᾶται αὐτῷ, συννέμεται, συγκαθίζεται, εἰσέρχεται, συνανακλίνεται τῷ ἤδη πεπτωκότι ὑπὸ τῆς ἁμαρτίας, ἵνα ἐν τῷ συνανακλίνεσθαι αὐτῷ τὸν ἤδη πεπτωκότα συνεγείρῃ. καὶ εἰσελθὼν οὐκ ἐβαπτίσθη κατὰ τὸ ἔθος τῶν Φαρισαίων. τοῦτο δὲ ἐποίει κατὰ δύο τρόπους, ἵνα δώσῃ ἀφορμὴν E τῷ προβάτῳ λαλεῖν πρὸς τὸν ποιμένα· εἶτα δὲ καὶ δόγμα Ἰουδαϊκὸν καταλύσῃ, καὶ βεβαιώσῃ πνευματικόν. εἶδε γάρ φησιν ὁ Φαρισαῖος, καὶ ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη. οὐκ ἐπαινῶν τὸν διδάσκαλον, ἀλλὰ ἀγνοῶν τὸ γενόμενον· οὐκ ἐπαινῶν, ἀλλὰ κρίνων. καὶ ἦν ἰδεῖν, ἀγαπητοὶ, τὸν ζωοπλάστην ὑπὸ τοῦ πλάσματος κρινόμενον, καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ διορθούμενον. τοῦτο ἔπασχεν ὁ Φαρισαῖος μὴ θεωρῶν τοῖς κρυπτοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν

viríque ac mulieres, & omnis natura creaturáque hominum munimentum ac præſidium poſſident: dæmones horrent, & diabolus tremit, Angeli collaudant, & cœli benedicunt; Eccleſiæ verò Chriſtum, qui in ea crucifixus eſt honoribus proſequuntur. Cui gloria & imperium nunc & ſemper & in ſecula ſeculorum. Amen.

De Phariſæo. Tractatus.

Luc. 11, 36. ſeq.

Eodem interprete.

C QUEMADMODUM pater liberorum amans, quem ad colloquia cum chariſſimis ſuis pignoribus miſcenda propriæ amoris vis pellicit, cùm propter infantilem corporis habitudinem verba perfecta minimè capiant, immutata nonnihil voce, atque expeditæ linguæ volubilitate ſemota, balbutire cum ipſis incipit: atque ita dum loquitur, auditque dilectos liberos, ad verba meliùs percipienda ſenſim provehit: eodem etiam pacto Dominus noſter præ nimia in figmentum ſuum charitate, cùm ſit Deus Verbum, humanis verbis aſſumptis ad nos venit: D ut, cùm ex ſuo colloquio atque convictu cœleſtem nobis revelationem manifeſtaſſet, nobis ad ſcalam cœleſtem, ſpei nimirū, gradum ſterneret. Ad prandium igitur à Phariſæo vocatur, ut ex Evangelii præconio paulo antè audivimus; neque vocantem averſatur. Non enim venit ut ſuæ divinitatis oſtenderet dignitatem, ſed ut collapſam vindicaret ab inferis humanitatem. Ad prandium à Phariſæo vocatur, nec recuſat: ut & divites inſtruat pauperum menſas non deſpicere, & juſtos doceat à peccatorum E menſa non abhorrere: multi enim qui ſibi eſſe juſti videntur, à peccatorum, & divites à pauperum menſis abhorrent. Volens namque Dominus, omnes ut benevoli maximè ac fratrum amatores, charitate pleni, & humiles ſimus, primus opus aggreditur, ut factis ſuis nos doceat: idcirco ait, *Diſcite à me quia mitis ſum & humilis corde.* Tu ergo, qui in religione exerceris, ſi quando à quopiam peccatore vocatus, non recuſaveris, licet unus aliquis exprobret tibi ac dicat, Quid ita cum peccatori- A bus manducas, & bibis? viciſſim in hæc verba reſponde; non eſt opus valentibus medicus, ſed male habentibus: juſtus enim ſum, non ut juſtos ſalvem, ſed ut peccatores convertam. Vocatur ad prandium Dominus, nec recuſat, qui ex quinque panibus quinque millia ad ſatietatem in deſerto nutrivit: qui mare impervium areſecit, & quaſi per campum herbis virentem per mare Iſraëlem traduxit: qui pluit illis manna de cœlo, & toto die ex ſplendore mannæ nives. Vocatur ad prandium Domi- B nus, nec recuſat, in prandiis eos optimis erudiens diſciplinis, à quibus vocatur. Ad prandium enim pergit non ut epulis Phariſæi ſaturetur, ſed ut Phariſæus Domini documentis expleatur: Vocatur ad prandium, & in ædes Phariſæi venit, ac divinitatem humanitate occultat: ne ſi fortè derepente fulgurantem divinitatis ſplendorem intuitus eſſet, ex ædibus fugeret is qui Dominum invitarat. Ingreditur domum Phariſæi Rex cœleſtis ad captivum, & pellea carnis lorica regiam obtegit majeſtatem: C ne ſi regem cœleſtem captivus conſpexerit, contremiſcat terræque receſſibus ſe abdat. Ingreditur domum Phariſæi ſol juſtitiæ radiorum ſcintillas auri in modum fulgentes nube corporis obvelans: ne, ſi eum intuitus fuerit homo, viſum amittat. Ingreditur domum Phariſæi paſtor cœleſtis, nonaginta novem ovibus in montibus derelictis, ingreditur ad eam, quæ perierat: in ovile ſuum ingreditur, paſtorem ſub corporis agno abſcondens. Non baculum geſtat, non virgam ob errorem priorem D minantem: ne perterrefacta & expaveſcens ovis rurſus ab ovili ſuo reſiliat: verùm ingreditur domum Phariſæi, non ut Deus, non ut Rex, non ut ſol juſtitiæ, ſed ut homo ad hominem, ut agnus ad agnum, ſimul cum illo veſcitur, ſimul paſcitur, ſimul ſedet; ingreditur ſimul, recumbit cum eo, qui jam ceciderat in peccatum: ut dum cum illo recumbit, eum, qui jam ceciderat, ſimul erigat. Et cùm ingreſſus eſſet, non eſt baptizatus ſecundùm conſuetudinem Phariſæorum, hoc autem duas ob cauſas E faciebat: ut ovi paſtorem alloquendi occaſionem præberet, itémque ut Judaicam doctrinam everteret, ac ſpiritualem ſtabiliret. Vidit enim, inquit, Phariſæus, & miratus eſt, quare priùs baptizatus non eſſet, non laudans magiſtrum; ſed illud ignorans quod factum erat: non laudans, ſed indicans. Ac videre erat, dilectiſſimi, creatorem animantium à creatura judicatum, & figulum à luto correctum. Hoc accidebat Phariſæo, quòd oculis cordis occultis non intueretur eum,

Mat. 11, 29.

qui inſetius Angelicorum ordinum Princeps erat: ſi enim eum conſpexiſſet, illi ad genua provolutus eſſet, ejúſque pedes lacrymis proluiſſet, ac dixiſſet, Propitius eſto mihi peccatori, ſic enim eum affatus eſſet; Tu omnia, cùm ante non eſſent, ut eſſent, effeciſti: *tuo verbo cœli firmati ſunt, & ſpiritu tuo virtutes eorum conſtiterunt.* Tu congregas ſicut in utrem aquas maris, ponens in theſauris abyſſos: coram te totus orbis terrarum pertimeſcit ac fugit. Verùm cùm nihil horum aut cogitaſſet, aut dixiſſet, Dominum judicabat. Illi verò cùm Dominus occaſionem præbuiſſet, ſicut illi Samaritanæ, ex eo quòd aquam ab illa poſtulavit, cœleſtem ab ipſo aquam petendi anſam dedit. Incipit itaque Dominus ovem ſenſim convertere, atque ab errore ad veritatem ipſam manu ducere. Nunc enim vos Phariſæi quod de foris eſt calicis & catini, mundatis: quod autem intus eſt veſtrum, plenum eſt rapina & dolo: hoc eſt, vos quidem nunc corpus exornatis, animas autem deformatis. Quo verò pacto te delectabit, etſi aureum fuerit poculum, cùm lethiferam in ſe continet potionem? Nonne tales ſunt meretrices, quæ facies ſuas floridis coloribus pingunt, animas verò perdunt? An non enim, dum purpuriſſo vultus ſuos rubefaciunt, imaginem quandã ejus quæ exceptura eſt illas, flammæ digitis ſuis fabricantur? cùm eas potiùs oporteret corda ſua Jeſu ſanguine aſpergere, vel roſeo potiùs colore tingere, ac ſpiritu ſua corda dealbare; ut florida ſpecies animæ refulgens tanquam roſa permixta liliis appareret: jam verò facies ſuas inflammant, ut juvenum animos ad inſaniam accendant. Nunc vos, Phariſæi, quòd deforis eſt calicis & catini mundatis: quod autem intus eſt veſtrum, plenum eſt rapina & iniquitate: quaſi diceret; Quare corpus quidem aqua abluitur, delicta verò per ſpiritum non diluuntur? auſim enim dicere, dilectiſſimi, nihil illud homini proderit. etſi corpus mundet, niſi ſpiritum cooperatorem & eleemoſynam comitem habeat. Ut enim poculum licet exteriùs interiúſque mundatum, ſi potionem non contineat, ſitientis non poteſt cupiditatem explere: pari quoque ratione catinus: ſic & homo licet interiùs ſit exteriúſque mundatus, Domino non placebit, niſi conſervum ſuum paverit. Quapropter addit Dominus, & ait, Veruntamen quod ſupereſt, inquit, date eleemoſynam, & ecce omnia munda erunt vobis. Quod ſupereſt, inquit: non enim adeo donatiis opulentorum, ac ſincera minimeque ficta oblatione ſimplicium delectatur. Ne quæras tu pauper, quoniam aurum non habes, aut tot onerarias argenti naves projice in gazophylacium id, quod habes: etiam duo minuta juſtificant, recordare viduæ illius quòd præ opulentis juſtificata ſit. Deus ſiquidem non pecunias ponderare novit, ſed conſcientiam probat. Eleemoſyna maculas animarum abſtergit, bonorum præmia theſaurizat: eleemoſyna vitalis animæ commeatus: eleemoſyna dealbat animas: eleemoſyna fiducia animæ, militia præclara. Projicite aurum, & accipite Dominum: date argentum, & accipite id quod ſanctum eſt; æra ſpargite, ſimúlque cum illis peccati rubigo abſcedet, irrorate fornacem, & date veſtimenta, ut accipiatis ſanationes in Chriſto Jeſu Domino noſtro: cui gloria & poteſtas in ſecula ſeculorum, Amen.

De Lazaro & Divite Tractatus.

Eodem interprete.

MAxima quædam eſt ſchola ſtadium Eccleſiæ, divitum ludus literarius, ac perfugium egenorum. Age ergo, dilectiſſimi, quandoquidem in arenam doctrinæ deſcendimus, præcedentis Evangelii documenta perſequentes, iis quæ paulo antè dicta ſunt in manus ſumptis, vobis omnibus debitas à nobis orationis ſtillas, quaſi roris guttas, aſpergamus. Porro divitis nobis & pauperis converſationem lectio narrabat, divitis quidem vitam delitiis immerſam, pauperis autem vitam ſordibus mendicitatis compunctam. Homo quidam erat dives, & induebatur byſſo & purpura, qui epulabatur quotidie ſplendidè. Erat autem quidam mendicus nomine Lazarus, & jacebat ad januam divitis, ulceribus plenus, & cupiens particeps fieri micarum, quæ cadebant de menſa divitis: & nemo illi dabat, ſed & canes veniebant & lingebant ulcera ejus. Operæ pretium eſt itaque, dilectiſſimi, ſigillatim hæc exponamus: ut quemadmodum illi, qui navigant, ex eorum, qui navigatione antè perfuncti ſunt, malis edocti, nos quoque naufraga ſub mari latentia ſaxa vitemus: ut divites quidem ex præcedentis divitis ſupplicio ſeipſos corrigant; pauperes verò, dum præfulgentes in Lazaro ſpes ſuas intuentur, alacriter curſum afflictionis decurrant. Homo quidam erat dives. Homo. Non dignatus eſt eum nominis ſui appellatione decorare, quemadmodum Job juſtum, ſed hujus nomen ſilentio eſt ſuppreſſum, qui enim eſt infructuoſus, etiam

Psal. 32. 6

ἔνδοθεν τῶν ἀγγέλων ταξίαρχον. εἰ γὰρ ἐθεάσατο τοῦτον, προσέπεσεν ἂν τοῖς γόνασι, καὶ τοῖς δάκρυσιν ἔπλυνεν αὐτοῦ τοὺς πόδας· καὶ ἔλεγεν, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἔλεγε γὰρ ἄν· σὺ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παρήγαγες· τῷ σῷ λόγῳ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τῷ σῷ αἱ δυνάμεις αὐτῶν συνέστησαν· σὺ συνάγεις ὡς εἰς ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους· ἀπὸ σοῦ φοβεῖται πᾶσα ἡ οἰκουμένη· ἀλλ' οὐδὲν τούτων οὔτε ἐνοήσας, οὔτε εἰρηκὼς, ἔκρινε τὸν δεσπότην· ὁ δὲ Κύριος προφάσεις δίδωσιν, ὥσπερ ἐκείνῃ τῇ Σαμαρείτιδι, ἐκ τοῦ αἰτῆσαι παρ' αὐτῆς ὕδωρ, ἔδωκε καιρὸν τοῦ αἰτῆσαι παρ' αὐτοῦ τὸ οὐράνιον ὕδωρ· ἄρχεται δὲ ὁ Κύριος ἠρέμα ἐπιστρέφειν τὸ πρόβατον, καὶ ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν αὐτὸν χειραγωγεῖν. ἄρτι γὰρ ὑμεῖς οἱ Φαρισαῖοι πλύνετε τὸ ἔξω τοῦ ποτηρίου καὶ τοῦ πίνακος· τὸ δὲ ἔσωθεν γέμει ἁρπαγῆς καὶ δόλου· τουτέστιν, ὑμεῖς νῦν τὸ μὲν σῶμα καλλωπίζετε, τὰς δὲ ψυχὰς κακίζετε· πῶς δὲ καὶ τέρψει, χρυσοῦν ἂν ᾖ τὸ ποτήριον, ὅταν οἶνον ἔχῃ θανατηφόρον ποτόν; οὐχὶ τοιαῦταί αἱ πόρναι, τὰς ὄψεις αὐτῶν τοῖς χρώμασιν ἀνθίζουσαι, τὰς ψυχὰς ἀφανίζουσιν; ἢ γὰρ οὐχὶ τὰς ὄψεις αὐτῶν φοινικῷ ἐρυθραίνουσαι, εἴδωλον τῆς μελλούσης αὐτὰς ὑποδέχεσθαι φλογὸς οἰκείοις δακτύλοις ἐργάζονται; δέον αὐτὰς τῷ αἵματι τοῦ Ἰησοῦ τὰς καρδίας ῥαντίζειν, μᾶλλον δὲ ῥοδίζειν, καὶ τῷ πνεύματι τὰς καρδίας αὐτῶν λευκαίνειν· ἵνα τὸ ἄνθος τῆς ψυχῆς ἀστράπτον καθάπερ ῥόδον ἐν κρίνοις μεμιγμένον ὑπάρχῃ· νῦν δὲ τὰς ὄψεις αὐτῶν ἐκφλογίζουσιν, ἵνα τὰς τῶν νέων καρδίας πρὸς μανίαν ἐκκαύσωσιν. νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος πλύνετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας· ὡσανεὶ ἔλεγε, διά τι τὸ μὲν σῶμα ὕδατι λούετε, τὰ δὲ πταίσματα ἐν τῷ πνεύματι οὐ λούετε; τολμῶ γὰρ εἰπεῖν, ἀγαπητοὶ, οὐδὲν ὠφεληθήσεται ἄνθρωπος, κἂν τὸ σῶμα πλύνῃ, ἐὰν μὴ πνεῦμα ἔχῃ συνεργὸν, καὶ σύνδρομον τὴν ἐλεημοσύνην· ὥσπερ γὰρ ποτήριον καὶ ἔξωθεν πλυθὲν καὶ ἔσωθεν, μὴ ἔχον δὲ ποτὸν, οὐκ ἂν ἰάσηται τοῦ διψῶντος τὴν ἐπιθυμίαν· ὁμοίως δὲ καὶ πινάκιον· οὕτω καὶ ἄνθρωπος, κἂν ἔσωθεν ᾖ πεπλυμένος, καὶ ἔξωθεν, οὐ τέρψει τὸν Κύριον, ἐὰν μὴ θρέψῃ τὸν σύνδουλον. διὸ ἐπιφέρει ὁ Κύριος, καὶ λέγει, πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ἔσται ὑμῖν. πλὴν τὰ ἐνόντα λέγει· οὐ γὰρ τῇ τῶν πολυχρύσων προσκομιδῇ τέρπεται ὅσον τῇ τῶν ἀδόλων ἀνυποκρίτων προσφορᾷ· μὴ ζητήσῃς σὺ ὁ πένης, ὅτι οὐκ ἔχεις χρυσὸν καὶ ἀργυροῦ τοσάσδε ὁλκάδας· ῥῖψον εἰς τὸ γαζοφυλάκιον ἃ ἔχεις, καὶ δύο λεπτὰ δικαιοῖ· μνήσθητι τῆς χήρας ἐκείνης, ὅτι ἐδικαιώθη ὑπὲρ τοὺς πολυχρύσους. ὁ γὰρ Θεὸς χρήματα οὐκ οἶδε σταθμίζειν, ἀλλὰ συνείδησιν δοκιμάζει· ἡ ἐλεημοσύνη σπίλους ψυχῶν ἀποσμήχει, καὶ μισθοὺς ἀγαθῶν θησαυρίζει· ἡ ἐλεημοσύνη ψυχῆς ζωτικὴ χορηγία· ἡ ἐλεημοσύνη τὰς ψυχὰς ἐκλευκαίνει· ἡ ἐλεημοσύνη ψυχῆς παῤῥησία, καλὴ στρατηγία· ῥίψατε χρυσὸν, καὶ λάβετε Κύριον· δότε ἀργύριον, καὶ λάβετε τὸ ἅγιον· σκορπίσατε χαλκὸν, καὶ συνεξελεύσεται αὐτῷ ὁ ἰὸς τῆς ἁμαρτίας· δροσίσατε τὴν κάμινον, καὶ δότε ἱμάτια, ἵνα λάβητε ἰάματα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸν Λάζαρον καὶ εἰς τὸν πλούσιον. ὁμιλία ϛ'.

ΜΕΓΙΣΤΟΝ ἐστι διδασκαλεῖον τὸ τῆς ἐκκλησίας στάδιον, πλουσίων παιδευτήριον, πενήτων καταφύγιον. φέρε τοίνυν, ἀγαπητοὶ, ἐπειδήπερ ἐν τῷ σκάμματι τῆς διδασκαλίας ἑστήκαμεν, τοῖς τοῦ προλαβόντος διδάγμασιν ἐξακολουθήσαντες, τὰ ἀρτίως εἰρημένα ἐν χερσὶ λαβόντες, πᾶσιν ὑμῖν τὰς παρ' ἡμῶν ὀφειλομένας ψακάδας τοῦ λόγου δροσίσωμεν. ἰδοὺ δὲ ἡμῖν τὸ ἀνάγνωσμα διηγήσατο πλουσίου καὶ πένητος πολιτείαν· πλουσίου μὲν τὸν βίον τῇ τρυφῇ βεβαπτισμένον, πένητος δὲ τὸν βίον πτωχείᾳ κατεστιγμένον. ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς· πτωχὸς δέ τις ἦν Λάζαρος τῷ ὀνόματι, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα τοῦ πλουσίου ἡλκωμένος, καὶ ἐπιθυμῶν ἀπὸ τῶν πιπτόντων ψιχίων τῆς τραπέζης τοῦ πλουσίου μεταλαβεῖν, καὶ οὐδεὶς ἐδίδου αὐτῷ· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἔλειχον τὰ ἕλκη αὐτοῦ. ἀναγκαῖον τοίνυν διηγήσασθαι, ἀγαπητοὶ, τὰ κατὰ μέρος· ἵν' ὥσπερ οἱ πλωτῆρες ἐκ τῆς τῶν προπλευσάντων πείρας, φυλαττόμεθα καὶ ἡμεῖς τὰς ὑφάλους τῆς ναυαγίας πέτρας· ἵν' οἱ μὲν πλούσιοι ἐκ τῆς τοῦ προλαβόντος πλουσίου τιμωρίας ἑαυτοὺς σωφρονίσωσιν· οἱ δὲ πένητες, τὰς ἑαυτῶν ἐλπίδας ἐν Λαζάρῳ ὁρῶντες προλαμπούσας, προθύμως τὸν δρόμον τῆς θλίψεως διαδράμωσιν. ἄνθρωπός τις ἦν πλούσιος· ἄνθρωπος οὐ τετίμηται τῇ τοῦ ὀνόματος προσηγορίᾳ, ὥσπερ ὁ δίκαιος Ἰώβ· τούτου δὲ παρασεσιώπηται τὸ ὄνομα· ὁ γὰρ ἄκαρπος, ἐστέρηται

ται καὶ τοῦ ὀνόματος· δικαίων γὰρ καὶ τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς· ἁμαρτωλῶν δὲ ἐξαλειφθήσεται· μόνον ἔχων τὸ κοινὸν τῆς φύσεως ὄνομα ἄνθρωπος· τοῦτο γὰρ πάντων κοινὸν τὸ ὄνομα· ἰδιάζουσαν δὲ τῆς κακίας τὴν ὠμότητα. ἄνθρωπός τις ἦν πλούσιος συγγενὴς μὲν τοῦ πτωχοῦ Λαζάρου, κατὰ τὴν τοῦ σώματος φύσιν, ξένος δὲ τῆς ἐν Χριστῷ κληρονομίας, διὰ τὴν τῆς προαιρέσεως μοχθηρίαν· ἄνθρωπός τις ἦν· ἄνθρωπος μὲν ἦν τῷ σχήματι, τῷ δὲ φρονήματι θηρίον μονοφάγον. ἄνθρωπός τις ἦν πλούσιος· πλούσιος ἐν κτήμασι, πλούσιος ἐν ἐγκλήμασι· πλούσιος ἐν χαλκῷ, πλούσιος ἐν ἰῷ ἁμαρτίας· ἀργύρῳ περιλαμπόμενος, ἀλλ' ἁμαρτίαις σκοτιζόμενος· πλούσιος ἐν χρυσῷ, ἀλλὰ πτωχὸς ἐν Χριστῷ· ἐσθῆτα ἔχων πολλὴν, ἀλλὰ γυμνὴν ἔχων τὴν ψυχήν· πολυτελῆ ἐσθῆτα φυλάσσων, καὶ σῆτας ἐκτρέφων πολλούς· ἄνθρωπός τις πλούσιος, πλούτῳ κομῶν, ἄνθος δικαιοσύνης οὐκ ἔχων, δένδρον φθινοπωρινὸν, ἄκαρπον, δὶς ἀποθανόν. ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο βύσσον καὶ πορφύραν· πορφύραν μὲν εἶχε τὸ ἔνδυμα· τῆς βασιλείας δὲ τοῦ Θεοῦ ἀπερριμμένος· πορφύραν εἶχεν οὐ τῷ αἵματι τοῦ Χριστοῦ ἐρραντισμένην, ἀλλ' ἐξ αἵματος κοχλιοῦ θαλάσσης βεβαμμένην· οὐ βασιλείαν οὐρανῶν μνηστευομένην αὐτῷ, ἀλλὰ φοβερὰν φλόγα γεέννης αὐτῷ προλάμπουσαν. ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο βύσσον καὶ πορφύραν, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. εὐφραινόμενος οὐχ ὡς οἱ δίκαιοι ἐν Κυρίῳ· δικαίων γὰρ εὐφροσύνη μνήμη Θεοῦ, ὡς μαρτυρεῖ μοι Δαβὶδ, λέγων, Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην· εὐφραινόμενος ἐν μέθαις, ἐν ἀσωτίαις, ἐν κραιπάλαις, ἐν ἀσελγείαις, οὐδὲν ἀπεοικὼς χοίροις ἐν βορβόρῳ κυλινδουμένοις. πτωχὸς δέ τις ἦν Λάζαρος. εἶπε τοῦ πένητος τὸ ὄνομα, τιμῶν τὸν πτωχὸν διὰ τῆς τοῦ ὀνόματος προσηγορίας· πτωχὸς δέ τις ἦν Λάζαρος, ὃ ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ, τῇ τρικυμίᾳ τῆς πτωχείας σφοδρῶς κλονούμενος, ἀλλὰ μετ' οὐ πολὺ εἰς τὸν εὔδιον κόλπον τοῦ Ἀβραὰμ ὑπ' ἀγγέλων δορυφορούμενος· πτωχὸς δέ τις ἦν Λάζαρος, ὃς πρὸς τὸν πυλῶνα τοῦ πλουσίου ἐβέβλητο ἡλκωμένος. ὢ πόσοις κακοῖς ὁ πτωχὸς συνείχετο· ὑπὸ τῆς βαρυτάτης πενίας ὥσπερ ὑπὸ χαλάζης βιαίας ἐκολαφίζετο· ὑπὸ τῶν ἀναζεουσῶν φλυκταινῶν ὥσπερ ὑπὸ ἀνθράκων σπινθηροβόλων διετίθετο· πανταχόθεν χείμαρροι αὐτῷ θλίψεως περιερρήγνυντο, τὸ σῶμα διαλύοντες, τὴν καρδίαν συνθρύπτοντες· οὐδεμία αὐτῷ ἄνεσις γαλήνης ηὑρίσκετο· ἔξωθεν μάχαι, ἔσωθεν φόβοι· ἔξωθεν γὰρ τὸ σῶμα ὑπὸ τῶν φλυκταινῶν ἐδαμάζετο, καὶ ἔσωθεν ἡ καρδία ὑπὸ τῶν ἀπαραιτήτων φροντίδων διετίθετο. οὐ χώρα αὐτῷ σιτοφόρος σπέρμα ἄρτου προσέφερεν· οὐκ ἄμπελος αὐτῷ βότρυν γλυκύρρογον προσεκόμιζεν. οὐ δένδρον ὀπώρας ἥδιστον καρπὸν αὐτῷ ἐγεώργει, οὐδ' ἄλλο τι τῶν γηΐνων πρὸς τὴν τῆς πενίας παραμυθίαν ἦν. πῶς γὰρ ὁ οὐδὲ σπιθαμὴν γῆς ἀροσίμου τόπον ὑπάρχων, οὔτε πηχυαῖον ἔδαφος εἰς κατοίκησιν, ἀλλ' αἴθριος ἐβέβλητο ἐπὶ τῆς κοπρίας; ἡ κόπρος αὐτῷ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ περιβόλαιον ἦν, θάλπουσα μὲν ἐν τῷ χειμῶνι ἐκ μέρους, ἐν δὲ τῷ θέρει δεινῶς κατακαίουσα· κατεστιγμένον εἶχε τὸ σῶμα τοῖς τραύμασιν, ἀδρανὲς πρὸς γεωργίαν, ἄχρηστον πρὸς ὁδοιπορίαν, καὶ ἐμπορίαν, καὶ τὰς ἄλλας τῶν χρειῶν ἀφορμὰς ἀνεπιτήδειον· πανταχόθεν αὐτῷ ἀπορία, πανταχόθεν στένωσις· στεναγμοὶ αὐτῷ πρὸ δακρύων ἐπὶ τῇ καρδίᾳ τριβόλων δίκην ἐφύοντο· ὀχετοὶ δακρύων ἐπὶ παρειῶν αὐτῷ ἐφέροντο· τῇ συνεχείᾳ τῶν δακρύων ῥύμαις αὐλακιζόμεναι· θάνατον ἐν τοῖς ὕπνοις ἐμελέτα· θάνατον μετὰ τὸν ὕπνον περιέβλεπε, καὶ οὐδαμοῦ εὕρισκεν. πόνων γὰρ καὶ φροντίδων μακρῶν λυτήριον ἐπεζήτει τὸν θάνατον, οὐδὲν ἀπεοικὼς τῷ π ἄθλῳ Ἰώβ· καὶ γὰρ ἐκεῖνος ἀπωλέσας τὰ χρήματα, τὰ βοσκ τὰ κτήματα, τελευταῖον γυμνὸς τὸ σῶμα τοῖς σκώληξι συνειλημμένος, ἐπὶ τῆς κοπρίας ἐβέβλητο, καὶ θάνατον ἐπεθύμει. τί γὰρ ἔλεγε; διὰ τί δέδοται τοῖς ἐν πικρίᾳ φῶς; ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς; οἳ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσιν, ἀνορύττοντες αὐτὸν ὥσπερ θησαυρόν· περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατατύχωσι· θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις. ἀλλὰ καὶ ἐπεθύμει, φησὶν, ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου, χορτασθῆναι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. ὢ βίου ἀλλοκότου· ὁ μὲν πλούσιος ἐν τῷ πολυφόρτῳ ῥεύματι τῆς τρυφῆς καταβαπτιζόμενος ἐμεθύετο· ὁ δὲ πένης μηδεμίαν ἔχων εὐπορίας ἰκμάδα, τῷ καύσωνι τῆς πενίας ἐμαραίνετο. διὰ τί γὰρ αὐτοῖς οὐκ ἔστι ὁ πλοῦς τοῦ βίου ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ οὐ γέγονε; διὰ τί; ἵνα μὲν πένης λαμπροὺς τοὺς στεφάνους τῆς ὑπομονῆς ὑποδέξηται· ὁ δὲ πλούσιος τῆς ἀποτεθηριωμένης ψυχῆς τὰς ὄμφακας τοῖς οἰκείοις ὀδοῦσι μασήσηται. ἀλλὰ καὶ οἱ κύνες, φησὶν, ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. εὐγενέστεροι οἱ κύνες τοῦ πλουσίου, ἀγαθώτεροι τῆς ἐκείνου ἀπανθρωπίας· ἐκείνου μηδέποτε ψεκάδα ἐλαίου δροσίσαντος τῷ πένητι, οἱ κύνες τὴν ἀκμὴν τῶν ὀδόντων τῇ φιλανθρωπίᾳ πραΰναντες ἁπαλῇ τῇ γλώσσῃ αὐτὸν ἐθεράπευον· ὅπως πᾶσαν ῥυπαρίαν, καὶ πάντα ἰχῶρα τῶν τραυμάτων αὐτοῦ ἀπομάξοντες, καὶ τὰ ἄγρια ἕλκη τῷ λείτρῳ τῆς γλώσσης το-

A nomine privatur : nam juſtorum etiam nomina ſunt in libro vitæ, peccatorum verò nomina delebuntur ; tantùm habet naturæ commune nomen, homo ; hoc enim omnium eſt commune nomen: propriam autem nequitiæ ſuæ crudelitatem. Homo quidam erat dives, cognatus quidem pauperis Lazari, ſi naturam corporis ſpectes : peregrinus autem & alienus ab hæreditate Chriſti propter voluntatis improbitatem. Homo quidem erat, homo quidem corporis ſpecie, animi verò ſenſu bel-
B lua, quæ ſola paſcatur, dives poſſeſſionibus, dives criminibus : dives ære multo, dives ærugine peccati ; argento circum fulgens, ſed obtenebratus peccatis : dives in auro ; ſed egenus in Chriſto, cui multa quidem veſtis erat, ſed animam nudam habebat : qui pretioſas veſtes ſervabat, ac tineas multas alebat. Homo quidam erat dives, divitiis luxurians, florem juſtitiæ non habens, arbor autumnalis, infructuoſa, bis mortua. Homo quidam erat dives, & induebatur byſſo & purpura, pur-
C pura quidem illi veſtimentum erat, ſed à regno Dei rejectus erat, purpuram habebat non ſanguine Chriſti aſperſam, ſed marini conchylii ſanguine tinctam, quæ non regnum illi cælorum ſpondebat, ſed formidabilem gehennæ flammam ſuo ſplendore prænuntiabat. Homo quidam erat dives, & induebatur byſſo & purpura, qui epulabatur quotidiè ſplendidè. Epulabatur & delectabatur, non ut juſti in Domino : juſtorum quippe delectatio eſt Dei recordatio, cujus mihi rei teſtis eſt David
D dicens, *Memor fui Dei & delectatus ſum*, delectabatur & gaudebat in ebrietatibus, in luxurioſis comeſſationibus, in helluationibus, in inſulentiis, nihil diſſimilis porcis, qui in luto volutantur. Erat autem quidam mendicus Lazarus : nomen pauperis dixit, ac mendicum honore, nomine ipſius expreſſo, affecit. Erat autem mendicus quidam Lazarus, qui jacebat ad januam ejus, mendicitatis procella vehementer jactatus : at enim poſt non multùm temporis ad tranquillum Abrahæ ſinum ſti-
E pantibus ejus latus Angelis eſt provectus. Erat autem quidam mendicus Lazarus. O quantis erat malis mendicus obſeſſus ! à graviſſima paupertate, tanquam à violenta grandine diverberabatur : ab ebullientibus puſtulis tanquam carbonibus ſcintillas emittentibus, corrodebatur: undique in eum torrentes afflictionum irruebant, quibus & corpus conficiebatur & cor exedebatur : nullam tranquillitatis quietem poterat obtinere: exteriùs pugnæ, interiùs timores ; exterius ſiquidem corpus à pu-
A ſtulis vexabatur, & interiùs cor incurabilibus curis exedebatur. Non illi ſegerum ferax ager panis ſemen proferebat : non illi dulcibus turgidum acinis racemum vitis producebat : non dulciſſimos illi fructus Autumnales arbor ſuppeditabat : non aliud quippiam ex terræ frugibus ad egeſtatis ſolatium ſuppetebat. Qui poſſe, cùm illi ne ſpithama quidem arabilis terræ locus eſſet, neque unius cubiti ſolùm ad habitandum, verùm in fimo ſub dio jaceret ? Fimus illi nocte atque interdiu amictus e-
B rat, à quo hyemis quidem tempore paululum ſovebatur ; æſtate verò graviter urebatur : corpus illi erat vulneribus variegatum & compunctum, ad agros colendos imbecillum, ad iter conficiendum inutile, ad alios vitæ uſus & commoditates ineptum : undique illi difficultates, undique anguſtiæ : gemitus illi ante lacrymas tribulorum in modum in corde pullulabant : lacrymarum rivi per genas illi ferebantur, eáſque præ nimia aſſiduitate ſtrigis quibuſdam ſulcabant : mortem in ſomnis me-
C ditabatur : mortem poſt ſomnum circumſpiciebat, nec uſpiam inveniebat : laborum enim longarúmq; curarum comperiebat remedium : mortem exquirebat : nihil diſſimilis Job multis ærumnis exercito : nam & ille pecuniis amiſſis, armentis, prædiis, ad extremum corpore vermibus reſperſo in fimo jacebat, ac mortem optabat. Ut quid enim, ajebat, data eſt eis qui in amaritudine ſunt lux, & vita animabus, quæ ſunt in doloribus ?
D Qui deſiderant mortem & non contingit illis ; effodientes eam quaſi theſaurum, læti autem fiunt, ſi fuerint conſequuti : mors enim viro requies. Sed & cupiebat, inquit, ſaturari de micis, quæ cadebant de menſa divitis : & nemo illi dabat. O vitæ rationem inauditam ! dives quidem opibus circumfluens, deliciis ſeſe ingurgitabat & helluabatur ; pauper autem cui ne gutta quidem opum ſuppetebat, paupertatis æſtu torridus contabeſcebat. Quare verò non illis moderata cum proſperitate ob-
E tigit vitæ curſus cum mutuo inter ſe commercio tranſactus ? ut nimirum illuſtrem patientiæ coronam pauper acciperet, dives autem efferatæ animæ ſuæ acerbas uvas ſuis dentibus manderet. Sed & canes venientes lingebant ulcera ejus. Generoſiores divite canes, ejus inhumanitate meliores ; illo ne guttam quidem olei pauperi aſpergente, canes dentium cuſpidem humanitate mollientes cũ tenera lingua curabant ut ſordes õnes atq; vulnerũ ejus omnẽ ſaniẽ abſtergentes, & acerba ejus ulcera levitate

Pſal. 76. 4.

linguæ mitigantes, ejus vulnerum dolores ſubtraherent. At **A** illa dives ne aſpectu quidem placido pauperem unquam dignabatur: neque verbo quantumvis inutili: non illi veſtem laceram projiciebat, non reliquias tinearum, non conſumptum rubigine obolum unum, non panem, non exaſum mucore panis fruſtum, ſed omnia in ventrem ſuum tanquam in cauponam per gutturis infundibulum demittebat. Quid verò tandem? qualia cujuſque ſtipendia, tales & retributiones. Factum eſt autem ut moreretur pauper, & portaretur ab Angelis in ſinum A- **B** brahæ. Vix aliquando tandem ab hac procelloſa paupertate liberetur in tranquillum Abrahæ portum invectus eſt. Factum eſt enim, inquit, ut moreretur Lazarus, & portaretur ab Angelis in ſinum Abrahæ. Vides ut poſt diſceſſum ex hac vita, paupertas Angelos habeat ſtipatores? Accidit autem ut & dives moreretur, & ſepeliretur. Statim de divite ſepulturam commemoravit: juxta id quod dictum eſt à Davide. Et ſepulchra eorum

Pſ. 48, 12. 18.

domus illorum in æternum. Propterea dicitur tibi, mendice, **C** *Ne timueris cùm dives factus fuerit homo? quoniam, cùm interierit, non ſumet omnia: neque deſcendet cum eo gloria ejus.* Hic enim omnia derelinquit, ſervos, ſatellites, miniſtros, paraſitos, adulatores, currus, equos aureis frænis ornatos, balnea, domos aureis laquearibus ſplendidas, diſtincta lapillis ac teſſerulis pavimenta, regnum, potentiam, dominatum, omnia hic derelinquit & nudus abſcedit. Et cùm eſſet in inferno, elevans oculos ſuos. Cogita in quanta profunditate verſaretur dives, in quanta **D** verò altitudine pauper. Et elevans, inquit, oculos ſuos dives vidit Abraham & Lazarum in ſinu ejus: Cur non Lazarus divitem vidit? quoniam is, qui in luce verſatur, eum, qui in tenebris eſt, non videt: at is qui in tenebris eſt, eum videt, qui luce verſatur. Et dixit, Pater Abraham miſerere mei. jam dicis, Miſerere mei, quando miſericordiæ tempus non eſt, non illum au-

Jacob. 2, 13

diſti, qui dicit, *Judicium ſine miſericordia illi, qui non fecit miſericordiam*? nunc pœnitentiam agis, cùm non eſt confeſſio, non **E**

Pſal. 6, 6.

audiſti Davidem dicentem: *In inferno autem quis confitebitur tibi?* Miſerere mei & mitte Lazarum. Nunc Lazarum noſti: jam agnoſcis eum qui in fimo jacebat, quem olim pari honore quo canes, afficere recuſabas: Tua, dum inter opes vitam degeres, viſcera illi clauſiſti; jam ego quoque ſinum refrigerii hoc ſupplicii claudo tempore. Non Deum audiſti per omnes tibi prophetas proclamantem & dicentem, Miſericordiam & judicium cuſtodi, & appropinqua Deo tuo: quia miſericordiam **A** volo ſuper ſacrificium; &, Beati miſericordes quoniam ipſi miſericordiam conſequentur: & rurſus, Fœnerat Deo qui miſeratur pauperis: ubi ſeminaſti, ibi metere contende, ſin autem ſemen eleemoſynæ nequaquam ullo tempore jeciſti, neque per miſericordiam in pauperes Deo fœneraſti: ſed in tuo ventre omnia, velut in theſauro, condidiſti, ubi theſaurum tuum habes, ibi & cor tuum habeto. Miſerere mei, & mitte Lazarum, ut intingat extremum digiti ſui in aquam; ut refrigeret linguam **B** meam: quia graviter crucior in hac flamma. In lingua plectitur cujus miniſterio cibis vaſcebatur: aquæ guttam quærebat, quia ne calicem quidem aquæ frigidæ in nomine diſcipuli ſitienti unquam impertierat. Si tibi dum viveres conſortem bonorum Lazarum aſciviſſes, nunc cum illo regni particeps eſſes: ſi ſuper pauperem intellexiſſes, nunc à malo judicio liberatus eſſes. Beatus enim qui intelligit ſuper egenum & pauperem: in die mala liberabit eum Dominus: ardentiſſimum illud chaos **C** copioſa pecuniarum in pauperes diſtributione complana: aſperge nunc miſericordiam; & caminum extinxiſti, orphanos ale, & irrequietos vermes necaſti, ſiſte lacrymas viduæ, & ex anima tua lectum peccatorum abſterſiſti. Idcirco namque lecta ſunt hæc tibi, ne ſi eiſdem immiſericordis divitis inſiſtas veſtigiis, in eandem gehennæ ſupplicium prolabaris. Tu verò pauper ne menta concidas, neve animum deſpondeas, dum procella mendicitatis jactaris. Lazarum illum clariſſimum reſpice: ibi ſint **D** oculi tui nocte diéque defixi: ut vitam tuam patientiæ clavo gubernans, ad eundem quietis portum proveharis, in Chriſto Jeſu Domino noſtro, cui gloria in ſecula ſeculorum. Amen.

E

A θεραπεύοντες, τοὺς πόνους τῶν τραυμάτων αὐτοῦ ὑπετέμνοντο. ὁ δέ γε πλούσιος οὐδὲ ὄμμα ἱλαρὸν ἐχαρίσατο τῷ πένητί ποτε· οὐδὲ λόγον κἂν ἄκαρπον· οὐ ῥάκος αὐτῷ ἐπέρριψεν, οὐ σίτου λείψανον, οὐκ ὀβολὸν ἕνα ὑπὸ ἰοῦ δεδαπανημένον, οὐκ ἄρτον, οὐ κλάσμα ἄρτου ὑπ' εὐρῶτος διεφθαρμένον, ἀλλὰ πάντα ἐν τῇ αὐτοῦ γαστρὶ, ὥσπερ ἐν πανδοχείῳ διὰ τῆς τοῦ φάρυγγος χώνης ἐπέρριπτεν. ἀλλὰ τί; οἷα ἑκάστου τὰ ὀψώνια, τοιαῦται καὶ αἱ ἀνταποδόσεις. Συνέβη δέ, φησιν, ἀπο- **B** θανεῖν τὸν πένητα, καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ. μόλις ποτὲ ὁ πένης ἀπὸ τῆς ζαλώδους πενίας ῥυσθεὶς εἰς τὸν εὔδιον λιμένα τοῦ Ἀβραὰμ ἀπέπλευσεν· ἐγένετο γάρ, φησιν, ἀποθανεῖν τὸν Λάζαρον, καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ. ὁρᾷς πῶς ἡ πενία μετὰ τὴν ἐντεῦθεν ἔξοδον δορυφόρους ἀγγέλους ἔχει; Συνέβη δὲ καὶ τὸν πλούσιον ἀποθανεῖν καὶ ταφῆναι· εὐθὺς ἐπὶ τοῦ πλουσίου τέθεικεν ἡ ταφὴ, κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ λεγόμενον, καὶ οἱ τάφοι αὐ- **C** τῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. διὰ τοῦτο λέγεταί σοι πτωχὲ, μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται ἑαυτῷ ἡ δόξα αὐτοῦ. ἐνταῦθα γὰρ πάντα καταλιμπάνει, τοὺς δούλους, τοὺς ὑπασπιστάς, τοὺς ὑπηρέτας, τοὺς παρασίτους, τοὺς κόλακας, τὰ ὀχήματα, τοὺς χρυσοχαλίνους ἵππους, τὰ βαλανεῖα, τοὺς χρυσορόφους οἴκους, τὰ ἐψηφωμένα ἐδάφη, τὴν βασιλείαν, τὴν ἐξουσίαν, τὴν δεσποτείαν, πάντα **D** ἐνταῦθα καταλιμπάνει, καὶ γυμνὸς ἀπέρχεται. καὶ ὑπάρχων ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμούς· ἐνθυμήθητι εἰς ὅσον βάθος ὑπῆρχεν ὁ πλούσιος, εἰς δὲ οἷον ὕψος ὁ πένης. καὶ ἐπάρας, φησὶ, τοὺς ὀφθαλμοὺς αὐτοῦ ὁ πλούσιος ἰδὼν τὸν Ἀβραὰμ καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. διὰ τί μὴ ὁ Λάζαρος εἶδε τὸν πλούσιον; ἐπειδὴ ὁ ἐν τῷ φωτὶ τυγχάνων, τὸν ἐν τῷ σκότει ὄντα οὐ βλέπει· ἀλλ' ὁ ἐν τῷ σκότει, τὸν ἐν φωτὶ ὄντα ὁρᾷ. καὶ εἶπε, πάτερ Ἀβραὰμ, ἐλέησόν με. ἄρτι λέγεις, ἐλέη- **E** σον, ὅτε καιρὸς ἐλέους οὐκ ἔστιν· οὐκ ἤκουσας τοῦ λόγου λέγοντος, ἀνίλεως ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεος; νῦν μετανοεῖς, ὅτε οὐκ ἔστιν ἐξομολόγησις; οὐκ ἤκουσας τοῦ Δαβὶδ λέγοντος· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ἐλέησόν με καὶ πέμψον Λάζαρον. Λάζαρον νῦν γνωρίζεις· νῦν ἐπιγινώσκεις τὸν ἐπὶ τῆς κοπρίας ὄντα, ὅν ποτε ἴσα τῶν κυνῶν τιμᾶν οὐκ ἠβούλου· ἔκλεισας τὰ σὰ σπλάγχνα αὐτῷ ἐν τῷ βίῳ τῆς εὐπορίας, κλείω μου κἀγὼ νῦν τοὺς κόλπους τῆς ἀνέ- **A** σεως ἐν τῷ καιρῷ τῆς τιμωρίας. οὐκ ἤκουσας τοῦ Θεοῦ σοι ἐκβοῶντος διὰ τῶν προφητῶν πάντων, καὶ λέγοντος, ἔλεος καὶ κρίμα φύλασσε, καὶ ἔγγιζε τῷ Θεῷ σου. διότι ἔλεος θέλω ὑπὲρ θυσίαν· καὶ μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. καὶ πάλιν, ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ· ὅπου ἂν ἔσπειρας, ἐκεῖ ζήτει θερίσαι· ὅπου ἐδάνεισας, ἐκεῖ ζήτει θερίσαι. εἰ δὲ ἐλεημοσύνης σπέρμα οὐκ ἔρριψας πώποτε, οὔτε διὰ τῆς εἰς τὸν πένητα ἐλεημοσύνης Θεῷ ἐδάνεισας, ἀλλὰ πάντα τῇ ἑαυτοῦ γαστρὶ ἐθησαύρισας· ὅπου ἔχεις τὸν θησαυρόν σου, ἐκεῖ **B** ἔχε καὶ τὴν καρδίαν σου· ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ βάψῃ ὕδατος, καὶ καταψύξῃ μου τὴν γλῶσσαν. ὅτι δεινῶς ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. τὴν γλῶσσαν κολάζεται, δι' ἧς τὴν τροφὴν ἐλάμβανεν· ῥανίδα ἐζήτει ὕδατος, ἐπειδὴ κἂν ποτήριον ψυχροῦ ὕδατος εἰς ὄνομα μαθητοῦ πώποτε διψῶντι οὐ μετέδωκεν. εἰ κοινωνὸν ἐν τῷ βίῳ τῶν σῶν ἀγαθῶν ἐκτήσω τὸν Λάζαρον, νῦν ἂν τῆς βασιλείας σὺν αὐτῷ ἐμερίσω· εἰ συνῆκας ἐπὶ τὸν **C** πένητα, νῦν ἂν ἐρρύσθης τῆς πονηρᾶς κρίσεως· μακάριος γὰρ ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. ἐξομάλισον ἐκεῖνο τὸ χάος τὸ πολυφλεγὲς, τῇ πλουσίᾳ τῶν χρημάτων σου εἰς τοὺς πένη[illegible]βολῇ. διάσπειρον νῦν τὸ ἔλεος, καὶ ἔσβεσας τὴν κάμινον· θρέψον [illegible] ὀρφανοὺς, καὶ ἀπέκτεινας τοὺς ἀκοιμήτους σκώληκας· στεῖλον δάκρυον χήρας, καὶ ἀπέσμηξάς σου τῆς ψυχῆς τὸ πένθος τῶν ἁμαρτημάτων. διὰ τοῦτο γάρ σοι ταῦτα ἀνέγνωσται, ἵνα **D** μὴ τοῖς αὐτοῖς ἴχνεσι τοῦ ἀνελεήμονος πλουσίου ἐπιβὰς εἰς τὴν αὐτὴν τιμωρίαν τῆς γεέννης ἐμπέσῃς· σὺ δὲ ὁ πένης μὴ ὀλιγώρει, μηδὲ ἀπόκαμνε ἐν τῇ τρικυμίᾳ τῆς πενίας κλονούμενος· ἀπόβλεπε πρὸς τὸν Λάζαρον τὸν λαμπρότατον. ἐκεῖ ἔχε τὸ ὄμμα νύκτωρ καὶ μεθ' ἡμέραν· ἵνα τῷ οἴακι τῆς ὑπομονῆς κυβερνῶν σου τὴν ζωὴν εἰς τὸν αὐτὸν λιμένα τῆς ἀναπαύσεως φθάσῃς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

In Publicanum et Phariſæum, Sermo,

Eodem interprete.

QUi è longinquo prata fuerint contẽplati, vetiſ illi quidem florũ cõſpiciũt jucũditatẽ: tũ verò pulchritudinẽ eorũ cognoſcũt: cũ, ubi propè acceſſerint, flores propriis manib. cõtre-

Εἰς τὸν τελώνην καὶ τὸν Φαρισαῖον, λόγος.

ΟΙ πόρρωθεν τοὺς λειμῶνας θεασάμενοι, ποικίλλουσαν μὲν βλέπουσι τῶν ἀνθέων τὴν τερπνότητα· τότε δὲ αὐτῶν τὴν εὐωδίαν γινώσκουσιν, ὅταν πλησίον γενόμενοι, τὰ ἄνθη ταῖς χερσὶν αὐτῶν ψηλαφήσωσι

λαφήσωσι. τοιαύτην μοι νόει τὴν ἐκκλησίας τὴν κατάστασιν· ἐπειδὴ καθάπερ ἄνθη ἀμάραντα πρόκειται τοῖς βουλομένοις τὰ τῶν θεοπνεύστων γραφῶν ἀναγνώσματα. ἴδοι γὰρ ἄν τις ἐν τοῖς πνευματικοῖς παραδείσοις προφήτας χορεύοντας, ταξιαρχοῦντας ἀποστόλους, πρεσβεύοντας μάρτυρας, συμμαχοῦντας ἀγγέλους, διδασκάλους ἀγωνιζομένους τὸν τῆς εὐσεβείας ἀγῶνα, ἄφθονον τὴν τοῦ πνεύματος χάριν, αἵματι δεσποτικῷ λογικὰ σφραγιζόμενα ποίμνια, καὶ τὸ μεῖζον τῶν εἰρημένων τὴν τῶν ἀγαθῶν κορυφὴν, τὴν τῶν ἐλπίδων βεβαίωσιν, τῆς B τρυφῆς τὸ κεφάλαιον, τὴν τῆς χαρᾶς τελειότητα· λέγω δὴ τὰ τοῦ Χριστοῦ εὐαγγέλια, ἐν οἷς ἀπόκειται τῆς ἡμετέρας ζωῆς ἡ τελείωσις. δεῦρο οὖν θεωρήσωμεν τὸν δεσπότην Χριστὸν πᾶσαν ἀπόλαυσιν τοῖς ἑαυτοῦ χαριζόμενον δούλοις· ἐν οἷς βλέπομεν φυγαδευόμενα πάθη, ὑποφρίττουσαν θάλασσαν, ἀνέμους ἡσυχάζοντας, ἐπιτιμώμενον θάνατον, συλώμενον ᾅδην, ἐξοριζομένους τοὺς δαίμονας, ἐπιστρέφοντας ἁμαρτωλοὺς πρὸς τὸν ἴδιον δεσπότην. ταῦτα γὰρ ὁ Χριστὸς C ἐν τοῖς θείοις εὐαγγελίοις προτέθεικε τὰ χαρίσματα, ἐν οἷς τοὺς δικαίους δείκνυσιν ὑπὲρ τὸν ἥλιον λάμποντας, μέλη παρειμένων νευρούμενα, κλινοφόρους παραλύτους τρέχοντας, τελώνας λαμβάνοντας εὐαγγελιστῶν ἀξιώματα, λέπραν ὡς κόνιν ἀποσμηχομένην θελήματι, πυρετὸν ὑποφεύγοντα τῇ φωνῇ τοῦ δεσπότου, νεκροὺς ζωὴν εὐκόλως λαμβάνοντας, τάφους ἀπολύοντας πρὸς ζωὴν, οὓς ἐκράτουν· φαρισαίου ταπεινούμενον ὕψος, τελώνου ὑψουμένην ταπείνω- D σιν· * τοὺς γὰρ τοσούτοις ὑμᾶς κορεσθέντας καλοῖς, εὔκολον λοιπὸν καὶ ἡ διὰ τῶν ψιχίων δεξίωσις. πέπεισμαι δὲ ὡς μετὰ συγγνώμης συνήθους καὶ αὖθις τῶν ἡμετέρων ἐπακούσεσθε λόγων, τῇ πλησμονῇ τῶν προκεκηρυγμένων ἀγαθῶν τῶν ψυχῶν τὰ ταμεῖα πληρώσαντες. ἐπεὶ οὖν ἐπειδὴ καὶ ὑμεῖς σὺν εὐμενείᾳ Θεοῦ τῆς πενιχρᾶς τραπέζης ἀνέχεσθε, κἀγὼ πάλιν τῷ τῆς ὑμετέρας ἀγάπης τρόπῳ καταθαρρήσας, τῷ διδασκαλικῷ ζυγῷ τὸν τῆς ψυχῆς αὐχένα ὑποτέθεικα· φέρε τοίνυν E τὸ ἐναγχος ἀναγνωσθὲν προθήσω ὑμῖν· πᾶσι γὰρ ὑμῖν τοῖς πλουσίοις ὁ πτωχὸς ἑστιάτωρ ἐλήλυθα, τὸ τοῦ λόγου συμπόσιον συγκροτῶν. ἄνθρωποι, φησὶ, δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. φαρισαῖος ὁ κομπώδης τῆς δικαιοσύνης ἐργάτης, φαρισαῖος ὁ θερίσας ἄωρον τὸ τῶν κατορθωμάτων τὸ λήιον, ὁ πλέον ἀλαζονείᾳ πλουτῶν, ἢ τοῖς χρήμασιν, ὁ διὰ κενῷ φυσήματι τινάξας τὸν ἀρετῶν τὸν καρπὸν, ὁ τῆς ὑπερηφανίας ὁ A κτήτωρ, ὁ τῆς φύσεως ἁπάσης κατήγορος, ὁ ἀφιλάνθρωπος ἔλεγχος, ὁ ἀσυγγνώμων ὀνειδιστὴς, ἡ τρικυμία τῆς τοῦ τελώνου εὐχῆς. καί μοι μηδεὶς τὸν λόγον ὡς φιλολοίδορον δεχέσθω. ἀλλ' αὐτῶν ἀκούσας τῶν τοῦ φαρισαίου ῥημάτων, γνωριζέτω ἀληθῆ τὰ λεγόμενα· ὁ Θεὸς, φησὶν, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων. πάντων ἑαυτὸν κρίνεις δικαιότερον; οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων. τί ποιεῖς φαρισαῖε, μὴ τῷ κοινῷ τῆς φύσεως ὀνόματι πρόσεχε· ἄτρεπτος γέγονε καὶ ὁ φιλάνθρωπος ἄνθρωπος· κἂν ἐκεῖνο ἐννοήσῃς, B τῶν ἀλαζονικῶν ῥημάτων κατάσχου. εἰπὲ κἂν ὡς τινες τῶν ἀνθρώπων, καὶ μὴ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί· πάντες ἅρπαγες πλὴν σοῦ φαρισαῖε; πάντες ἄδικοι, σὺ δὲ μόνος τυγχάνεις δίκαιος; πάντες μοιχοὶ, σοὶ δὲ μόνῳ τὸ τῆς σωφροσύνης ὑπάρχει κατόρθωμα; οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νῦν ἤρξατο πτεροφυεῖν ἡ τοῦ ἀνθρώπου διάνοια· νῦν τινάσσει τὸ τῆς ψυχῆς πρὸς οὐρανὸν τὸ πτερόν. C τί καταβαρεῖς αὐτὸν τῇ τῶν ῥημάτων βαρύτητι, κωλύων ἀναπτῆναι τὴν ἐξομολόγησιν πρὸς τὸν φιλάνθρωπον; τί κατεμβαίνεις τῷ κειμένῳ; τί ἐπισωρεύσεις ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα; τί κατηγορεῖς τοῦ ἀνενδότως τυπτομένου τῇ συνειδήσει; ἢ καὶ ὡς οὗτος ὁ τελώνης. τί γὰρ εἶδες, ἄνθρωπε, τὸν τελώνην ποιοῦντα; λῃστεύοντα, τοὺς ἀλλοτρίους πόνους συλῶντα, τὰ ἀλλότρια ληιζόμενον; θερίζοντα ὅπου οὐκ ἔσπειρε; συνάγοντα, ὅθεν οὐ διεσκόρπισεν; ἁπλοῦντα τοῖς ὁδοιπόροις τὸ δίκτυον; οὐδὲν D τοιοῦτον τεθέασαι ὦ φαρισαῖε. ἀλλ' ὁρᾷς σχῆμα ἐλεεινὸν, οἴκτου καὶ βοηθείας ἀξιούμενον. κεῖται γὰρ ἐπὶ πρόσωπον, βασανίζει τὸ στῆθος ὡς κακῶν ἐργαστήριον· ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς οὐρανὸν οὐ τολμᾷ. τάχα καὶ παρ' αὐτῶν τῶν ἀστέρων κατηγορεῖσθαι ἐνδέχεται, ἢ μᾶλλον νομίζει τὸ τῶν πλημμελημάτων τὸ πλῆθος γεγράφθαι ἐν τῷ στερεώματι. πόρρωθεν ἑαυτὸν ὡσεὶ δικασθεὶς τοῦ ἱεροῦ ἀπέστησε· τὸ ἐλέησον κέκραγεν ὡς ἤδη καταδικαζόμενος· οὐκ ἀνέγνως τὸ γεγραμμένον, ὅτι E μὴ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ; ἄπορός ἐστι, πανταχόθεν ἐκύκλωσαν αὐτὸν οἱ λογισμοὶ ἀντὶ τοῦ πλήθους τῶν κατηγόρων· ἐχρήσατο τῇ δεξιᾷ ἡ συνείδησις κατὰ τοῦ στήθους μαστίζουσα· καθ' ἑαυτοῦ ἑαυτὸν ἀπειργάσατο δήμιον· οὐκ ἐπικάμπτει σε τρέμων; οὐκ ἐρεθίζει σε πρὸς συμπάθειαν οὕτω κάτω νεύων τὸ πρόσωπον; οὐ μαλάσσει σου τὴν ἀπάνθρωπον γνώμην, μὴ τολμῶν πρὸς οὐρανὸν ἀναβλέψαι; ὅτε μὲν γὰρ ἐτελώνει, ἐχρῆν σε τὰς τοιαύτας κατ' αὐτοῦ ἀναβοῆσαι φωνάς· πρέπον γὰρ αὐτῷ τότε οὐ μόνον παρά σου, ἀλλὰ καὶ παρὰ παντὸς ὀνειδίζεσθαι. ὅτε μέντοι τῶν οἰκείων κατέγνω κακῶν, ὅτι θεωρήσας τὰ τραύματα τῆς ψυχῆς ἔδραμε πρὸς τὸν ἰατρὸν

ctarint. talem eſſe velim cogites Eccleſiæ ſtatum: quandoquidem tanquam immarceſcibiles quidam flores volentib' ſeſe offerunt inſpiratarum divinitus ſcripturarum lectiones. Cuilibet enim videre licet, in ſpiritualibus paradiſis atq; viridariis choreas ducentes Prophetas, ordines ducentes Apoſtolos, martyres ſeniorum honore præcellentes, Angelos auxiliantes, doctores pugnam religionis pugnantes, gratiam ſpiritus redundantem, ratione præditos greges Dominico ſanguine obſignatos, &, quod iis quæ com- B memorata ſunt, majus eſt, bonorum culmen, ſpei noſtræ firmamentum, caput deliciarum, gaudii conſummationem, Evangelia nimirum Chriſti dico, in quibus vitæ noſtræ perfectio eſt recondita. Age ergo Chriſtum Dominum ſervos ſuos omni voluptate perfundentem ſpectemus: in quibus cernimus fugatos morbos, mare perterrefactum, ſedatos ventos, mortem reprehenſam, ſpoliatum infernum, pulſos dæmones & in exilium actos; peccatores ad Dominum ſuum converſos. Iſte ſiquidem II. C Chriſtus in diviſis Evangeliis dona ſpectanda propoſuit, in quibus juſtos oſtendit ſolis in modum fulgentes, corroborata membra languidorum, lectorum gerulos paralyticos currentes, ad Evangeliſtarum dignitatem aſcendentes publicanos, lepram excuſſam quaſi pulverem ſola voluntate, febrem Domini voce in fugam actam, mortuos vitam nullo negotio recipientes, ſepulcra quos detinebant, eos ad vitam relaxantia, humiliatam altitudinem Phariſæi, exaltatam humilitatem publicani. * Etenim D tantis exſatiatos bonis facile fuerit micarum convivio excepiſſe. Ego verò ſic exiſtimo vos bona cum venia de more rurſus etiam noſtram hanc orationem audituros, qui bonorum antè prædicatorum copia veſtrorum animorum promptuaria complevitis. Quando igitur & vos Deo benevolente paupere menſa contenti eſtis, & ego veſtræ charitatis ſtudiis obſequutus doctrinæ tradendæ jugo animæ cervices ſubjeci, age proponatur vobis à me, id quod paulo antè recitatum eſt: vobis enim omnibus opulentis E ad hoc orationis convivium apparandum egenus menſæ ſtructor adveni. *Duo homines*, inquit *aſcendebant in templum, ut orarent,* III. *unus Phariſæus, & alter publicanus.* Phariſæus qui nondum matu- Luc. 18. 10. ram ſegetem rectè factorum demeſſuit, ille ditior arrogantia, quàm pecuniis, qui vano flatu virtutum fructum decuſſit, ſuperbiæ poſſeſſor, naturæ totius accuſator: inhuman' criminator, immiſericors exprobrator, orationis publicani tempeſtas ac turbo. Neq; mihi quiſquam hæc contumeliæ cauſa jactata cenſeat, ſed A auditis ipſis Phariſæi verbis, vera eſſe, quæ ſunt dicta, cognoſcat. Deus, inquit, gratias ago tibi, quia non ſum ſicut cæteri hominum. Tune ergo tuo judicio juſtior es omnibus? Non ſum ſicut cæteri hominum. Quid agis Phariſæe? noli nomen naturæ commune ſpectare: immutabilis enim ille atq; hominum amator factus eſt homo: ſaltem ubi illud tecum reputaveris, arrogantia iſta dicta ne proferas. Dic potiùs ut nonnulli hominum; non autem ut cæteri hominum: raptores, injuſti, adulteri, omneſque raptores, B præter te unum Phariſæe? omnes injuſti, tu verò ſolus es juſtus? omnes injuſti, tu verò ſolus es juſtus? omnes adulteri, tu verò ſolus actiones temperantiæ laude dignas edis? Non ſum ſicut cæteri hominum, raptores, injuſti, adulteri: velut etiam hic publicanus. Jam ecce mens hominis producere pennas incepit: jam in cœlum animæ alas quatit. Quid tu ipſũ deorſum pertrahis gravitate verborum? & confeſſionem ad illum hominum amatorem vetas evolare? quid inſultas jacenti? quid in illius ignem ligna Eccl. 5. 4. C ſtruis? quid accuſas illum ſine remiſſione conſcientiam verbe- IV. rantem: Velut etiam hic publicanus. Quid vero facientem mi homo, publicanum vidiſti? num latrocinantem: alienos labores compilantem? aliena deprædantem? metentem, ubi non ſeminavit, & congregantem ubi non ſparſit? expandentem rete viatoribus? nihil tale vidiſti Phariſæe, ſed intueris ſpeciem mirabilem, commiſeratione ac ſubſidio dignam. Jacet enim vultu in terram proſtrato; pectus ut malorum officinam torquet; oculos tollere D in cœlũ non audet, fortaſſe ab ipſis etiam aſtris accuſari ſe putat: vel delictorũ potiùs multitudinem eſſe ſcriptam exiſtimat in firmamento. longè ſeipſum à templo quaſi judicatum removit: miſerere, clamavit, ut jam condemnatus. non legiſti, quod ſcriptum eſt, *Ne exaſperes virum in inopia ſua?* inops enim eſt atq; Eccl. 4. 2. omni ex parte in anguſtias redactus, circumdederunt eum cogitationes inſtar multitudinis accuſatorum; dexteram ad pect' verberandum conſcientia commodato accepit; ſui ipſius carnificem E ſeipſum reddidit. Non te ille inflectit contremiſcens? non te ad condolendum provocat vultu ſic ad terram demiſſo? non inhumanam emollit mentem tuam, dum ſuſpicere cœlum non audet? Enimvero tum quidem cùm publicani munus obibat, ejuſmodi te in illum jactare voces oportebat: tum enim ipſum decebat non à te modò probris, ſed à quovis inceſſi; jam verò cùm ſua mala

damnavit, cùm animadverſis animæ ſuæ vulneribus, ad medicum
gratis ſanantem cucurrit: cùm delictorum recordatus ad Domi-
num immemorem malorum confugit, tunc ſupervacaneè inſul-
tas Phariſæe? Neq; velut hic publicanus. Nunquid enim ſunt alii
publicani, qui nondum dulcem pœnitentiæ luctum amplexi ſunt?
ſi te tanta cupiditas tenet inſectandi peccatores, linguam in illos
converte, qui rapacitatis adhuc ſunt retibus implicati; adver-
ſus hunc quidem ſupervacanea eſt hæc hoſtilitas tua: non enim
tantum homini nocere non poteris, ſed & Dominum ad prom-
tiorem in illum demonſtrandam indulgentiam provocabis. Pu-
blicanus autem à longè ſtans, nolebat nec oculos ad cœlum leva-
re: Omnino Manaſſe vocem & ipſe mittebat, Non ſum dignus
intueri & aſpicere altitudinem cœli præ multitudine iniquita-
VI. tum mearum. Multa ſiquidem erant in anima publicani mala
congregata, cupiditas pecuniarum inexplebilis, injuriarum deſi-
derium nullis terminis circumſcriptum, rapacitas nullo fine con-
cluſa; naturæ malum commune publicanus, legitimus injuſtus,
raptor qui accuſari non poteſt, fur impavidus, latro extra omnem
aleam poſitus criminationum, noxa pœne inevitabilis, ratione
præditarum ovium lupus, humanam habens formam bellua: cum
tantis aſcendit in templum malis publicanus: nam cùm hæc
omnia perpetraſſet facinora, graveḿq; ſibi ac laborioſam effeciſ-
ſet oneris illius excuſſionem, agili tamen acrique mente pollebat,
juvit ſpeciem libertatis: recordatus enim eſt illius Domini vocis,
Marc. 11, 8. ita peccatoribus proclamantis, *Venite ad me omnes, qui laboratis,*
& onerati eſtis, & ego reficiam vos. Hujus vocis recordatus cum
onere malorum in Dei templum ſe contulit: cùm verò obtor-
puiſſet deinceps, neq; ſuſtinere amplius poſſet, in faciem conti-
nuò cecidit, & illis vocibus Dominum compellavit: Propitius
eſto mihi peccatori: omni opere bono ſum prorſus deſtitutus;
malis meis conturbor: ſuper numerum arenæ maris factæ ſunt
iniquitates meæ: multiplicatæ ſunt ſuper capillos capitis mei.
Jam tuum video tribunal eorum qui à me ſunt injuriis affecti
clamoribus perſonare: ante thronos tuos, Domine, fore ut aperti
libri ponantur, audivi, in quibus haud dubium quin & viatorum
gemitus ſint conſcripti. Nullum eſt genus injuſtitiæ, quod tuam
cognitionem nulla largitione corruptam effugerit: jam mihi
tempus defenſionis non ſupereſt; fugæ nullus relictus eſt locus.
Suſpicere cœlum non audeo: ipſam etiam terram pertimeſco,
velut teſtem & arbitrum actionum mearum: magnum enim pec-
catorem res etiam ipſæ anima carentes accuſant. Quamobrem ad
te omnium Dominum recurrens, hanc unam auxiliatricem repe-
VII. ri ſupplicationem, Deus propitius eſto mihi peccatori. Multa
quidem eſt malorum meorum ſumma: ſed quid hoc ad pelagus
tuæ bonitatis? ut ſalvus fiam, apud homines eſt impoſſibile; ve-
rum apud te omnia poſſibilia ſunt, Domine. Enimverò ſi propter
juſtos in terram veniſti, fruſtra telonium deteſtatus ad tuum tem-
plum accurri: ſin autem etiam peccatorum rationem aliquam
habens, quin eorum potius cauſa inter creaturas peregrinatus es,
ne ſinas ut ea quæ in te poſita ſit ſpes, infringatur, & evaneſcat;
ſed contritum ſana cor meum, & me peccatis enecatum ad vitam
revoca. Contigit nimirum te meretrix, & malorum ſordes abſterſit:
fideli mulierculæ fimbriam commodaſti, & ſanguinis ſtagnum
exſiccaſti: ad jacentem paralyticum acceſſiſti; & lecti vectorem
reddidiſti: cæcum præteriens vidiſti, & priſtinum viſus decus
reſtituiſti: etenim corporis quidem defectum luto inunxiſti, qui
vas illud è luto reparaſti; lumini autem aditum reſeraſti, ſimúlq;
VIII. homini rerum creatarum pulchritudinem oſtendiſti. Tu mulie-
rem collacrymantem vidiſti, atq; ante tempus reſurrectionis in-
fernum flagellaſti; dum inde Lazarum eduxiſti, dum tanquam ex
Leonis faucibus à morte raptum hominem revexiſti. Tu cùm ho-
minem tibi procidentem ad pedes conſpicatus eſſes duræ libero-
rum orbitatis naufragio pæne abſorptum & oppreſſum; conti-
nuo precibus inflexus es, ac puellam vocaſti; quam ubi primum
inclamaſti, ſurrexit quidem puella, mors autem aufugit. Clama-
vit & poſt te mulier Chananæa cùm à dæmone ſuam filiolam di-
ſcerpi videret, & cum magna voce, Miſerere, dixiſſet, ſpe ſua non
excidit: fidem enim ejus amplexus lupum ab ove repuliſti, ac ra-
bioſum inquilinum exegiſti: cúmq; puellula tuo munere ad ſa-
nam mentem rediiſſet, luctum parentis ſedaſti. In pauculis pani-
bus in deſerto multitudinem nutriſti, eſurio & ego juſtitiæ
eſuriem; perexiguam micam tuæ benignitatis expoſco; mei quo-
que ut unius ex illis commemoratis miſerere, animam habeo
maculis notiſq; compunctam non ſecus ac meretrix priùs, quàm
pœnitentia duceretur, omnibus ſum deteſtabilis, non ſecus ac
mulier ſanguinis fluxu laborans: quæ antequam ſanaretur, repu-
tabatur immunda. majore paralyſi laborat anima mea quàm pa-
ralytici corpus: excæcatos animæ oculos habeo, ſicut corporis à

A ἀμισθὶ θεραπεύοντα· ὅτε τῶν πλημμελημάτων μνημονεύσας τὸν
ἀμνησίκακον δεσπότην προσέφυγε· τότε περιττῶς αὐτῷ κατεπεμ-
βαίνεις ὦ Φαρισαῖε; οὔτε ὡς οὗτος ὁ τελώνης. μὴ γὰρ οὐκ εἰσὶν ἄλ-
λοι τελῶναι, μήπω τὸ γλυκὺ τῆς μετανοίας ἀγαπήσαντες θρῆνον;
εἰ πόθος σοι πολὺς κατηγορεῖν ἁμαρτωλῶν; ἐπ' ἐκείνους στρέψον
τὴν σὴν γλῶτταν, τοὺς ἔτι τοῖς δικτύοις τῆς πλεονεξίας ἐνειλημμένους.
πρὸς τοῦτον μὲν περιττή σου ἡ δυσμένεια. οὐ μόνον γὰρ τὸν ἄνθρωπον
βλάψαι οὐ δύνασαι, ἀλλὰ καὶ πλέον ἐρεθίσεις τὸν δεσπότην, ὥστε συν-
B τομωτέραν ἐπιδείξασθαι τὴν συγχώρησιν. ὁ δὲ τελώνης, φησὶ, μακρό-
θεν ἑστὼς οὐκ ἤθελεν, οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι·
τὴν τοῦ Μανασσῆ πάντως καὶ αὐτὸς φωνὴν ἀπεφθέγξατο· οὐκ εἰμὶ
ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ πλήθους τῶν ἀδικιῶν
μου. πολλὰ γὰρ ἦν τότε ἐν τῇ ψυχῇ τοῦ τελώνου συνειλεγμένα κακά,
ἐπιθυμία χρημάτων ἀκόρεστος, πόθος ἀδικίας μὴ δεχόμενος
πέρας, ἁρπαγὴ τέλος οὐκ ἔχουσα, κοινὸν τῇ φύσει τῶν ἀνθρώπων
C τελώνης κακὸν, νόμιμος ἄδικος, ἅρπαξ ἀκατηγόρητος, ἄφο-
βος κλέπτης, λῃστὴς ἀνέγκλητος, δυσφύλακτος βλάβη, λύκος τῶν
λογικῶν προβάτων, θηρίον ἀνθρωπόμορφον, μετὰ τοσούτων ἀνῆλ-
θεν ὁ τελώνης εἰς τὸ ἱερὸν, κακῶν. ὅτε γὰρ πάντα ταῦτα εἰργάσατο
τὰ δεινὰ, καὶ βαρὺ κατεσκεύασε τὸ τῶν πλημμελημάτων φορτίον
ἀποτινάξασθαι, εἶτα γοργὴν ἔχων ἔννοιαν, εὗρεν εἶδος ἐλευθερίας·
ἐμνημόνευσε γὰρ τῆς φωνῆς τοῦ δεσπότου πρὸς ἁμαρτωλοὺς ἐκβοώσης·
D δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ
ἀναπαύσω ὑμᾶς. ταύτης τῆς φωνῆς μνημονεύσας μετὰ τοῦ φορτίου τῶν
κακῶν ἐπὶ τὸ ἱερὸν τοῦ θεοῦ παρεγένετο· ἀτονήσας δὲ λοιπὸν, καὶ μη-
κέτι φέρειν δυνάμενος ἐπὶ πρόσωπον ἔπεσε· καὶ πρὸς τὸν δεσπό-
την, τὸ, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἔλεγεν. ἔρημος, φησὶ, πά-
σης εὐεργεσίας τυγχάνω, τοῖς ἐμαυτοῦ κυκλοῦμαι δεινοῖς· ὑπὲρ
ἀριθμὸν ψάμμου θαλάσσης γεγόνασιν αἱ ἀνομίαι μου· ἐπληθύν-
E θησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου· ὁρῶ παρὰ τῶν παρ' ἐμοῦ
ἠδικημένων ἤδη τὸ σὸν δικαστήριον καταβοώμενον. πρὸ τῶν θρόνων σου
δέσποτα, βίβλους ἀνεῳγμένας τεθήσεσθαι ἀκήκοα, ἐν αἷς πάντως
καὶ οἱ στεναγμοὶ τῶν ὁδοιπόρων ἐγράφησαν· οὐκ ἔστιν εἶδος ἀδικίας,
ὃ τὴν σὴν ἀδέκαστον διαπέφευγε γνῶσιν· ἀπολογίας μοι καιρὸς οὐ
περίεστι. φυγῆς μοι τόπος οὐ περιλέλειπται· πρὸς οὐρανὸν οὐ τολ-
μῶ ἀναβλέψαι· δέδοικα καὶ τὴν γῆν ὡς ἰδοῦσαν τὰς πράξεις μου. τοῦ
A γὰρ σφόδρα ἁμαρτωλοῦ κατηγορεῖ καὶ τὰ ἄψυχα· διὸ πρὸς σὲ τὸν
πάντων δεσπότην δραμὼν ταύτην μόνην εὗρον πρὸς βοήθειαν τὴν
ἱκεσίαν· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πολὺς ὁ κολοφὼν τῶν
κακῶν μου· ἀλλὰ τί πρὸς τὸ πέλαγος τῆς σῆς ἀγαθότητος; τὸ ἐμὲ
σωθῆναι παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλὰ παρὰ σοὶ, δέσποτα,
πάντα τὰ δυνατά. εἰ μὲν γὰρ διὰ δικαίους ἐπὶ τῆς γῆς παραγέγονας,
περιττῶς τὸ τελώνιον βδελυξάμενος, τῷ ναῷ σου προσέδραμον·
B εἰ δὲ καὶ τῶν ἁμαρτωλῶν ποιούμενος λόγον, μᾶλλον δὲ δι' αὐτοὺς τῇ
κτίσει ἐπεδήμησας, μὴ διαλύσῃς μου τὰς ἐπί σοι ἀνηρτημένας ἐλπί-
δας, ἀλλὰ τὴν συντετριμμένην μου καρδίαν θεράπευσον, νενεκρω-
μένον με τοῖς παραπτώμασι ζωοποίησον. ἥψατό σου πόρνη, καὶ τὸν
ῥύπον τῶν κακῶν ἀπενίψατο· ἐχάρισας πιστῇ γυναικὶ τὸ κράσπε-
δον, καὶ λίμνας αἱμάτων ἐξήρανας· ἐπλησίασας παραλυτῷ κει-
μένῳ, καὶ τὸν κλίνης ἐργάτην ἀνέδειξας· ἴδες παράγων τυφλὸν, καὶ
C τῇ ὄψει ἀπέδωκας τὴν εὐπρέπειαν· ἔχρισας μὲν γὰρ τὸ λεῖπον τοῦ
σώματος πηλῷ, τὸ ἐκ τοῦ πηλοῦ διορθωσάμενος σκεῦος· ἤνοιξας
δὲ τῷ φωτὶ τὴν εἴσοδον, δείξας τῷ ἀνθρώπῳ τε τῆς κτίσεως κάλλος·
ἴδες δακρύουσαν γυναῖκα, καὶ πρὸ καιροῦ τῆς ἀναστάσεως τὸν ᾅδην
μαστίξας, ἐξήγαγες ἐκεῖθεν τὸν Λάζαρον, ὥσπερ ἐκ στόματος λέον-
τος ἁρπάσας τοῦ θανάτου τὸν ἄνθρωπον. ἐλυπήθης σοι προσπίπτοντα
θεασάμενος ἄνδρα τῇ τῆς ἀπαιδίας ναυαγίᾳ δεινῶς βυθιζόμε-
νον, ἐπικάμφθης εὐθὺς τῇ ἱκεσίᾳ, καὶ ἐκάλεσας τὸ κοράσιον· σοῦ
D δὲ φωνήσαντος, ἀνέστη μὲν ἡ κόρη· ὁ δὲ θάνατος πέφευγεν· ἐβόησε
πρός σε καὶ Χαναναία γυνὴ τὸ οἰκεῖον θυγάτριον βλέπουσα ὑπὸ
δαίμονος σπαραττόμενον, καὶ βοήσασα τὸ, ἐλέησον, τῆς ἐλπίδος
οὐκ ἀπέτυχε· τὴν γὰρ πίστιν αὐτῆς ἀποδεξάμενος τοῦ προβάτου τὸν λύ-
κον ἐδίωξας, καὶ τὸν λυσσώδη ἀπήλασας ἔνοικον, τῷ κορασίῳ χα-
ρισάμενος νῆψιν, τὸν μητρὸς τὸν θρῆνον κατέπαυσας. μικροῖς
ἄρτοις πλῆθος ἐν ἐρήμῳ διέθρεψας· λιμώττω κἀγὼ δικαιοσύνης
E λιμὸν, μικρὸν τῆς σῆς φιλανθρωπίας ψιχίον ἐπιζητῶ· ὡς ἕνα καὶ
με τῶν μνημονευθέντων ἐλέησον. κατέστιγμαι τὴν ψυχὴν, ὡς πρὸ τῆς
μετανοίας ἡ πόρνη· βδελυκτός εἰμι πᾶσιν ὡς πρὸ τῆς θεραπείας
ἡ αἱμόρρους νομιζομένη ἀκάθαρτος· παρειμένος εἰμὶ τὴν ψυχὴν τοῦ
σώματος τοῦ παραλυτοῦ μειζόνως· πεπήρωμαι τοὺς τῆς ψυχῆς

ὀφθαλμοὺς, καθὼς ὁ ἐκ γενετῆς τυφλὸς τοῦ σώματος· νενέκρωμαι τοῖς παραπτώμασι, συγκεκλεισμένην ἔχων ἐν σώματι τὴν ψυχὴν

καθὼς

καθὼς ἔχει ὁ τάφος τὸν Λάζαρον· τὰ πάντα σχεδὸν περιφέρομαι
δεινά. ἀλλ' ὁ πάντας ἐλεήσας, κἀμὲ τὸν περιπίπτοντα οἰκτειρον, ὁ
Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. τί οὖν φιλάνθρωπος δικαστὴς,
ὁ φιλότιμος ἀγωνοθέτης τῶν τρεχόντων, τὸν τῆς μετανοίας δρόμον; καὶ
τοῦ Φαρισαίου μεγαλαυχοῦντος ἠνείχετο, καὶ τοῦ τελώνου μετανοοῦντος
ἐτέρπετο. ἐπειδὴ δὲ ὁ μὲν τοῖς ῥήμασιν ὥσπερ ἀνέμοις σφοδροῖς τὸν
ψυχῆς τὸν καρπὸν ἀπετίναξεν· ὁ δὲ συντρίψας ἑαυτὸν οὐκ ἐξεδέ-
χετο ἄλλον κατήγορον, ἑκάστῳ τὸ πρὸς τὴν ἀξίαν ἀπένειμε. τὸν μὲν
γὰρ τελώνην ἑαυτοῦ γενόμενον κατήγορον, ἐλεύθερον ἀφῆκε τῆς
καταδίκης· τὸν δὲ Φαρισαῖον εἰς μέσον προθέντα τὰ κατορθώ-
ματα πενέστερον τοῦ τελώνου ἀπέφηνεν· ἀμφοτέρους ὁ τρόπος, τῷ
μὲν ὑπόθεσις πενίας εἰς πλοῦτον· τῷ δὲ ἐκ πλούτου εἰς πτωχείαν
ὀλίσθημα. τί γάρ φησιν ὁ δεσπότης; ἀμὴν λέγω ὑμῖν, κατέβη
οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ ἐκεῖνος. ὢ πόσον κακὸν τὸ
ὑπερηφανίας τὸ νόσημα. καλλίκομος ἀνῆλθεν ὁ Φαρισαῖος ὥσπερ
ἄνθεσι τοῖς κατορθώμασι στεφανούμενος· συνώδευσε τούτῳ ὁ τε-
λώνης πάσης ἀπολογίας γυμνός. ἀλλ' ὁ μὲν εὐκαίρως, ἑαυτὸν τα-
πεινώσας ὑψώθη. ὁ δὲ πρὸς ἄκαιρον ὕψος ἀπολύσας ἑαυτὸν, κα-
ταγέλαστον ὑπέμεινε γύμνωσιν. οὐκ ἦν βέλτιον ὑφειμέναις χρή-
σασθαι ταῖς φωναῖς; οὐκ ἦν κρεῖττον ἀκοῦσαι τῆς προφητικῆς φωνῆς,
λεγούσης, ταπεινώθητε ἐνώπιον Κυρίου, καὶ ὑψώσει ὑμᾶς. οὐκ ἦν
μᾶλλον συμφέρον κρατῆσαι τῆς γλώσσης, καὶ φυλάξαι τὸν πλοῦτον
ὃν πόνοις πολλοῖς ἐκτήσατο; ἃς γὰρ ἐν χρόνῳ συνήγαγεν ἀρετὰς,
ταύτας ἐν ἀκαρεῖ ῥοπῇ τῇ φωνῇ διεσκόρπισεν. οὐκ ἤκουσε τάχα ὁ
Φαρισαῖος τὸ γεγραμμένον, ὅτι ἀκάθαρτος ἐναντίον Κυρίου πᾶς
ὑψηλοκάρδιος. οὐκ ἐδιδάχθη τὸ καλῶς εἰρημένον, ὃ ποιεῖ ἡ δε-
ξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου. τάχα δὲ ἔγνω ἀμφότερα· ἀλλ'
ἡ ἰσχὺς τῆς κενοδοξίας ἐνίκησεν. ἡμεῖς οὖν τοῦ τελώνου τὴν ταπείνωσιν
κτησώμεθα, καὶ τῶν ἁμαρτημάτων τὸ βάρος ἀποθώμεθα· ὑπερ-
ηφανίαν δὲ μισήσωμεν, δι' ἧς ὁ Φαρισαῖος τὸν πλοῦτον τῶν ἀρετῶν
ἀπώλεσεν· ὑπερηφάνοις γὰρ Κύριος ἀντιτάσσεται· ταπεινοῖς δὲ
δίδωσι χάριν. αὐτῷ ἡ δόξα καὶ κράτος, εἰς τοὺς αἰῶνας, τῶν
αἰώνων, Ἀμήν.

Εἰς τὸν τυφλὸν, ὃν ὁ Χριστὸς ἐθεράπευσεν, καὶ εἰς τὸν Ζακχαῖον, καὶ
περὶ κρίσεως, καὶ ἐλεημοσύνης.

ΠΟΛΛΑΙ καὶ διάφοροι τῶν ἁγίων γραφῶν αἱ διδασκαλίαι,
μία χάρις ἡ πᾶσιν ἐπιλάμπουσα, καὶ μία πηγὴ διδασκα-
λίας τὸ πνεῦμα τῆς ἀληθείας· καὶ ὅσα νόμος διαγορεύει· καὶ ὅσα
προφῆται διδάσκουσιν, ὅσα ἀπόστολοι κηρύττουσιν, ὅσα τὸ εὐαγγέ-
λιον τῆς εὐσεβείας ὑπαγορεύει, ἀπὸ μιᾶς ὥσπερ τινὸς εὐθαλοῦς πηγῆς
καὶ γονίμου προέρχεται τοῦ πνεύματος ἁγίου· καὶ οὐκ ἔστιν οὔτε εἰπεῖν
τι σεμνὸν, οὔτε νοῆσαι δεξιὸν, οὔτε πρᾶξαι θαυμαστὸν, μὴ τοῦ ἁγίου
πνεύματος ἐπιβεβαιοῦντος τὰ λεγόμενα, καὶ τὰ νοούμενα, καὶ τὰ
πραττόμενα. κἂν γάρ τις τῇ ἀνθρωπίνῃ σοφίᾳ κομᾷ, καὶ λογι-
σμοῖς ἀνθρωπίνοις ὠχυρωμένην ἔχῃ τὴν ψυχὴν, τὸν λόγον δὲ τοῦ Θεοῦ
ἀποστρέφηται, εἰς οὐδέν ἐστι, καὶ εἰς οὐδὲν λογισθήσεται. διὰ τοῦτό φη-
σιν ὁ προφήτης, τὸν λόγον τοῦ Κυρίου ἀπεποιήσαντο· σοφία τίς ἐστιν
ἐν αὐτοῖς; ἡμῖν τοίνυν ἄνθη τῆς ἀληθείας αἱ γραφαὶ τῆς εὐσεβείας·
καὶ πολλὰ μὲν τὰ ἄνθη, εἷς δὲ ὁ λειμὼν ὁ τὰ ἄνθη τρέφων· πολλοὶ
τῆς διδασκαλίας οἱ λαμπτῆρες, εἷς δὲ ὁ φωστὴρ ἀληθινός· πολλοὶ
οἱ ἀστέρες. εἷς δὲ ὁ οὐρανὸς ὁ φέρων τοὺς ἀστέρας· πολλοὶ οἱ κλάδοι,
μία δὲ ἡ ῥίζα· πολλοὶ οἱ δάκτυλοι, μία δὲ ἡ χεὶρ, ἡ διὰ τῶν δακτύ-
λων γράφουσα· πολλαὶ αἱ χορδαὶ, μία ἡ κιθάρα τοῦ πνεύματος·
πολλαὶ διδασκαλίαι, μία ἡ πηγὴ τῆς εὐσεβείας. ἀλλὰ θαυμάζω
πῶς ὁ τυφλὸς οὗτος οὐ νόμον ἀναγνοὺς, οὐ προφήτας διελθὼν, οὐκ
εὐαγγελίοις ἐντυχὼν, οὐκ ἀποστόλοις βεβαιωθεὶς, ἐπεκαλεῖτο τὸν
Σωτῆρα τῆς οἰκουμένης, λέγων, Ἰησοῦ υἱὸ Δαβὶδ, ἐλέησόν με. πόθεν
ἔμαθεν ταῦτα καλεῖν, μὴ μαθὼν ὃ ἐπικαλεῖ; οὐκ ἀνέγνως βι-
βλίους, τῶν ὄψεων ἀπεστερημένος· οὐκ ἐσχόλασας διδασκαλίαις,
μίαν ἔχων ὑπόθεσιν τῆς ζωῆς τὴν αἴτησιν, μᾶλλον δὲ τὸ προσαιτεῖν.
πόθεν οὖν ἔγνως τὸν φωστῆρα τοῦ κόσμου, ὃν οὔτε ἐν οὐρανοῖς ἐθεάσω,
οὔτε ἐπὶ γῆς, τῶν ὄψεων ἐστερημένος; ἀλλ' ἀληθῶς ἐπὶ τούτῳ ἐπλη-
ροῦτο τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, Κύριος σοφοῖ τοὺς τυφλούς.
ὄχλος πολὺς ἦν περὶ τὸν Ἰησοῦν, καὶ ὁ τυφλὸς τὸν φωστῆρα τῆς ἀλη-
θείας οὐκ ἤδει, τῆς δὲ ἐνεργείας ᾔσθετο· ἥρπασε τῇ διαθέσει, ὃ μὴ
παρέλαβεν ἡ ὄψις. τί, φησὶ, βούλεται ὁ ὄχλος; λέγουσιν αὐτῷ, Ἰη-
σοῦς ὁ Ναζωραῖος παρέρχεται. ὢ τοῦ θαύματος· ἄλλα διδάσκεται,
καὶ ἄλλα κηρύττει· ἀκούει Ἰησοῦν Ναζωραῖον, οὐ καλεῖ δὲ αὐτὸν Ἰησοῦν
Ναζωραῖον, ἀλλ' Ἰησοῦν υἱὸν Δαβίδ. οἱ βλέποντες, τὰ ἐξ ὑπονοίας
ἔλεγον· ὁ δὲ τυφλὸς τὰ ἐξ ἀληθείας ἐκήρυττεν· Ἰησοῦ υἱὲ Δαβὶδ

A nativitate cæcus: peccatis enecatus ſum, animam habens corpo-
ris membris concluſam, non ſecus ac Lazarum ſepulchrum habe-
bat; omnibus pæne videor malis onuſtus. verùm qui omnium
miſereris, mei quoque te miſereat, Deus propitius eſto mihi pec-
catori. Quid ergo contra judex benignus? quid munificus Ago-
notheta curſorum, qui in ſtadio pœnitentiæ currunt? Et Phari-
ſæo ſe jactante ſuſtinuit, & publicano pœnitente delectatus eſt:
poſtquam autem hic quidem verbis quaſi vehementibus ventis
B animæ fructum decuſſit; ille verò ſeipſum affligens alium accu-
ſatorem non expectavit, unicuique pro dignitate diſtribuit; nam
publicanum quidem qui ſuiipſius accuſator factus erat, liberum
ab omni damnatione dimiſit: Phariſæum verò qui ſua rectè facta
in medium protulerat, publicano ipſo pauperiorem pronuntia-
vit, utrique mores ſui & animi ſtatus, huic quidem ex paupertate
occaſionem divitiarum, illi verò ex divitiis lapſum in mendicita-
tem attulerunt. Quid enim ait Dominus? Amen dico vobis, de-
C ſcendit hic magis juſtificatus in domum ſuam ab illo. O quan-
tum malum eſt arrogantiæ morbus! bene comatus aſcendit Pha-
riſæus, quaſi floribus, rectè factis coronatus, itineris ſocius ei fuit
publicanus omni defenſione deſtitutus: ſed cùm hic ſeipſe op-
portunè humiliaſſet, exaltatus eſt; ille verò cùm ad immodicam
ſeſe altitudinem extuliſſet, ad ignominioſam redactus eſt nudi-
tatem. Nónne ſatius fuit remiſſis & humilibus uti vocibus? non-
ne melius Propheticam vocem audire, quæ ſic ait, Humiliamini
D in conſpectu Domini, & exaltabit vos? nonne utilius fuit lin-
guam comprimere, ac divitias cuſtodire, quas multis ſibi labori-
bus compararat? quas longo tempore congregarat virtutes, eas
per brevi momento voce diſperſit. Non audierat fortè Phariſæus
quod ſcriptum eſt: Immundus apud Deum omnis ſublimis cor-
de, non illud egregiè dictum didicerat, Quod facit dextera tua,
neſciat ſiniſtra tua: imò fortaſſe utrumque noverat, ſed vis cupi-
ditatis inanis gloriæ vicit. Nos igitur publicani humilitatē nobis
E comparemus, & peccatorum pondus abjiciamus: ſuperbiam au-
tem odio habeamus, cujus opera virtutum opes publicanus per-
didit: Superbis enim Dominus reſiſtit, humilibus autem dat gra-
tiam. Ipſi gloria, & poteſtas, in ſecula ſeculorum. Amen.

In cæcum à Christo ſanatum: & in Zacchæum: déque judicio atque eleemoſyna Tractatus.

FRONTONE DUCÆO interprete.

A MUltæ ac variæ ſunt ſcripturarum doctrinæ. una quæ omni-
bus affulget gratia, & fons unus eſt doctrinæ ſpiritus
veritatis. Et quæcunque lex edicit, & quæcunque docent
Prophetæ, quæcunque prædicant Apoſtoli, quæcunque ſubjicit
Evangelium pietatis à ſpiritu ſancto tanquam ab uno quodam
uberi fœcundóque fonte promanant: neq; licet aut dicere quid
B ſapiens, aut agere quicquam admirabile, niſi quæ dicuntur, quæ-
que cogitantur, & quæ aguntur, à Spiritu ſancto confirmentur.
Quantumvis enim quis humana ſapientia glorietur, & circum-
fluat, humaniſque ratiocinationibus animam habeat exaggera-
tam ac munitam, Dei verbum autem averſetur ac repellat, in ni-
hilum eſt, & in nihilum reputabitur. Propterea inquit Propheta,
Verbum Domini repudiarunt: ſapientia quæ eſt in eis? Nobis
itaque flores veritatis ſunt ſcripturæ pietatis: ac multi quidem
C ſunt flores, unum autem pratum, quod flores educat: multæ do-
ctrinæ ſunt lucernæ, unum autem verum luminare: multæ ſunt
ſtellæ, unum autem cœlum, à quo ſtellæ feruntur: multi rami,
una verò radix: multi digiti, ſed manus una, quæ digitorum ope-
ra ſcribit: multæ chordæ, una cithara Spiritus: multæ doctrinæ,
unus fons pietatis. Verum illud mihi ſanè mirum videtur, quo pa-
cto hic cæcus, qui legem non legerat, non Prophetas percurrerat,
non Evangelia pervolutarat, non ab Apoſtolis confirmatus erat,
D ita Salvatorem orbis terrarum invocaret, dicens, Jeſu fili David
miſerere mei. Unde ſic appellare didiciſti, qui quod invoces, non
didiciſti? non libros legiſti, oculorum uſu privatus: non vacaſti
diſciplinis, cùm non aliter quàm victum petendo, vel potiùs
oſtiatim emendicando, vitam ſuſtentes; unde igitur hoc mundi
luminare didiciſti, quod neque in cœlis conſpexiſti, neque in ter-
ris, oculorum lumine orbatus? At enim verè in hoc implebatur
quod dictum eſt à Davide, Dominus ſapientes facit cæcos. Multa
E circa Jeſum turba erat, & cæcus veritatis luminare non videbat,
efficacitatem verò ſentiebat: rapuit affectu quod viſus non com-
prehenderat. Quid, inquit, ſibi vult hæc turba? dicunt illi Jeſum
Nazarenum tranſire. O rem mirabilem, alia docetur & alia præ-
dicat: audit Jeſum Nazarenum, ipſum verò Jeſum Nazarenum
non appellat, ſed Jeſum filium David; qui videbant, quæ ex ſu-
ſpicione noverant, dicebant: cæcus autem, quæ ex veritate, præ-
dicabat, Jeſu fili David miſerere mei. Nunc itaque vocem hanc

ſibi quiſque propriam reddens, in talem ex corde confeſſionem A prorumpat, & verò quiſque hanc vocem pro ſe proferat, Fili David, miſerere mei. Non aliter, fratres, quàm cùm multi ad funebrem luctum ſe contulerint, & cadaver poſitum viderint defuncti, qui defſertur à propinquis, omnes lacrymas fundunt, alii quidem quòd pari affectu cum lugentibus commoveantur, alii verò quòd res ſuas revolvant, & frequenter mulier deflet ac luget, alia ſcilicet, non eum qui ibi poſitus eſt, alienus enim eſt, ſed virum ſuum jam defunctum: fitque aliena occaſio, propriorum B malorum commonefactio: ita quiſque veſtrûm fratres cùm ea, quæ à ſanctis prædicantur, didicerit, ſermonem ſibi accommodet, próq; ſuis vulneribus dicat, Fili David miſerere mei: & dicat nunc etiam unuſquiſque à propriis malis excitatus, hic quidem, ſe mente cæcum eſſe: illa verò ſe ſurdam habere animam, alius ſibi claudam eſſe rationem, alter, leproſum ſibi eſſe judicium; nam quos in corporibus morbos ſanavit Chriſtus, hi etiam in animabus exiſtunt, & ſupernam opem requirunt. Cæca eſt ani- C ma, quæ indiget reſtitutione uſus oculorum: cæca eſt anima, quæ mirabilia legis non cernit: cæca eſt anima, quæ ſeculum futurum non reſpicit: cæca eſt anima quæ Chriſti quidem corpus contuetur, divinitatem autem ejus non agnoſcit. Jam verò cæcam eſſe animam illam, quæ res divinas ignorat, teſtis eſt Eſaias, dicens: Et excæcati ſunt ſervi Dei. quomodo excæcati ſunt? Vidiſtis enim, inquit, ſæpe & non cuſtodiſtis: apertæ ſunt aures, & non audiſtis. Et, quis eſt cæcus, niſi pueri mei? & quis ſurdus, ni- D ſi, qui dominantur eorum? Et Salvator mentis excæcationem volens indicare, Phariſæos circa veritatem cæcutientes arguit, di-

Matt.15,14. cens, *Sinite illos, cæci ſunt & duces cæcorum*: cæcus autẽ ſi cæco ducatum præſtet, ambo in foveam cadent. Surda verò eſt anima quæ legem Dei non auſcultat, quæ dominicam vocem contemnit, ſurda non à natura, ſed ab omni propoſito: propterea dicebat

Matt.11,15. Salvator, *Qui habet aures audiendi, audiat*: Non quòd aliqui ex E iis qui aderant, aures non haberent: quomodo enim operam doctrinæ darent, ſi auditus organum non haberent? Verùm apertè declarat, aurem quidem quæ apparet, ad audiendum conditam eſſe, animi verò ſenſum ad divinæ legis auditum non applicari, nihil ergo prodeſt externus auditus, ſi mens interior & affectus obſurduerit. Leproſus eſt, animâ, non cui corpus offuſcatum & corruptum eſt, ſed cujus anima tenebris eſt offuſa: quid enim lepra eſt in corpore, niſi duplex color? quid eſt lepra in anima? du-

Eccl.2.14. A plex ſententia. *Væ peccatori ingredienti duabus viis*, cùm quis nunc quidem credit; nunc verò eſt incredulus; & nunc quidem ad miſericordiam inclinat, nunc verò ad inhumanitatem: leproſus eſt anima, cui color ſanus non eſt, ſed mente diviſus eſt. Et quemadmodum dividit lepra corpus, ita prava cogitatio mentem dividit. Unuſquiſque igitur pro vulneribus ſuis clamet, & medicum animarum invocet, corporúmque Jeſum, prout incla-

Luc.18.39. mabat cæcus, *Fili David miſerere mei*: atque ii quidem qui præi- B bant, increpabant: at enim ejus in loquendo fiducia illorum prohibitione minimè impeditur: novit adverſus omnia depugnare fides, & omnia vincere. Increpabant homines, & fidelis nihil ſtudium ſuum remittit, ſed Dominum ſequitur, ut qui probè ſciat honeſtam eſſe in cauſa pietatis impudentiam. Si enim ubi de pecuniis agitur, impudentes ſunt multi, ubi de ſalute animæ agitur, nónne honeſtiſſimum eſt honeſtam quandam impudentiam induiſſe? Jubet illum Jeſus adduci. effecit, ut ſtaret Dominus Jeſus, vox illius qui cum fide implorabat: juſſit illum adduci ad ſe, qui C prius fide appropinquârat ipſi, quàm corpore accederet. Juſſit

Joh.9.8. illum adduci ad ſe: & ait, *Quid tibi vis faciã?* non otioſè interrogat: poterat enim etiam ſedenti ſanitatem impertiri: Verùm Judæi qui veritatem calumniantur, dicere potuiſſent, ut de cæco à nativitate, non eſſe hunc, ſed ſimilem ei. In medium ergo iniquorum theatrum afflictum advocat, ut primum naturæ defectum ſuppleat, ac deinde gratiæ poteſtatem oſtendat. Quid tibi vis faciam? illum interrogat, præſentes autem docet. At ille dicit, ut D videam. Vide quanta pignora accipiat ab eo, qui ſanitatem recipit, ut calumniis improborum viam obſtruat. Ait ergo, Vade, fides tua te ſalvum fecit. Vides ut, quod à nobis ante dictum eſt heſterno die, ab ipſis operibus comprobetur: utque beneficia venalia non ſint, ſolâque fide venumdentur? non dat pro pecunia beneficia Jeſus: ſed ea fide vendit: niſi fidem numeraveris, beneficium non accipies. expanſa eſt gratia, fides autem præcedit. E Et quemadmodũ fons eſt unus, hauriunt autem ex fonte, hic quidem parvis, ille verò majoribus vaſis, atque hic quidem paulum aquæ: ille vero multum haurit, non quòd ita menſuras fons dividat, ſed quòd quiſque pro vaſis ſui capacitate aquam hauriat: ita gratia eſt expoſita quaſi fons quidam, propoſitum autem ejus qui accedit, vas & urceus fit gratiæ. Si ergo fidem exiguam applicueris tanquam vas parvum, parvam gratiam hauris: ſi verò magnum applicueris animum, magnum hauris beneficium: Pro-

A ἐλέησόν με. τοίνυν ἕκαστος τὴν φωνὴν ἰδιοποιούμενος, ῥήξῃ ἀπὸ τῆς καρδίας ἐξομολόγησιν, καὶ ἕκαστος ὑπὲρ ἑαυτοῦ ἐπάρῃ τὴν φωνήν, υἱὲ Δαβὶδ ἐλέησόν με. καὶ ὥσπερ, ἀδελφοί, ἐπειδὰν εἰς πένθος πολλοὶ ἀπέλθωσι, καὶ ἴδωσι σκήνωμα προκείμενον, καὶ δακρυόμενον ὑπὸ τῶν ἰδίων, πάντες δακρύουσιν, οἱ μὲν συνδιατιθέμενοι τῷ πένθει, οἱ δὲ τὰ ἑαυτῶν ἀνακυκλοῦντες πράγματα· καὶ κλαίει πολλάκις γυνή, ἀλλ᾽ οὐ τὸν προκείμενον, ἀλλότριος γάρ, ἀλλὰ τὸν ἑαυτῆς τὸν B ἀπελθόντα· καὶ γίνεται ἡ ἀλλοτρία ὑπόθεσις, ἰδίων κακῶν ὑπόμνησις. οὕτως ὑμῶν ἕκαστος, ἀδελφοί, ὅταν τὰ παρὰ τῶν ἁγίων κηρυττόμενα μανθάνῃ, ἰδιοποιείτω τὴν λέξιν ὑπὲρ τῶν ἰδίων τραυμάτων, λέγων, υἱὲ Δαβὶδ ἐλέησόν με· καὶ λεγέτω καὶ νῦν ἕκαστος ἀπὸ τῶν ἰδίων κακῶν διεγειρόμενος, ὁ μέν, ὅτι τυφλός ἐστι τὴν διάνοιαν, ἡ δέ, ὅτι κωφὴν ἔχει τὴν ψυχήν· ἄλλος, ὅτι χωλὸν ἔχει τὸν λογισμόν· ἕτερος, ὅτι λεπρὸν ἔχει τὴν γνώμην. τὰ γὰρ πάθη, ἃ ἐθεράπευσεν C ἐπὶ τῶν σωμάτων ὁ Χριστός, ταῦτα καὶ ἐπὶ τῶν ψυχῶν γίνεται, καὶ δεῖται τῆς ἄνωθεν βοηθείας. ἔστι τυφλὴ ψυχὴ δεομένη ἀναβλέψεως· τυφλὴ ψυχὴ ἡ τὸν μέλλοντα αἰῶνα μὴ καθορῶσα. τυφλὴ ψυχὴ ἡ τὸ σῶμα τοῦ Χριστοῦ βλέπουσα, τὴν θεότητα μὴ γνωρίζουσα· ὅτι δὲ τυφλή ἐστιν ἡ ψυχὴ ἡ ἀγνοοῦσα τὰ περὶ Θεοῦ, μαρτυρεῖ Ἡσαΐας, λέγων· καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ. πῶς ἐτυφλώθησαν; εἴδετε γάρ, φησι, πολλάκις, καὶ οὐκ ἐφυλάξασθε· ἀνεῳγμένα τὰ ὦτα, καὶ οὐκ D ἠκούσατε· καὶ τίς τυφλός, ἀλλ᾽ ἢ οἱ παῖδές μου; καὶ τίς κωφός, ἀλλ᾽ ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ὁ Σωτὴρ βουλόμενος δεῖξαι τύφλωσιν διανοίας, Φαρισαίους τυφλώττοντας περὶ τὴν ἀλήθειαν ἐλέγχει, λέγων· ἐάσατε αὐτούς, ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθρον ἐμπεσοῦνται. κωφὴ δέ ἐστιν ἡ ψυχὴ ἡ νόμου μὴ ὑπακούουσα, ἡ τὴν δεσποτικὴν φωνὴν παρακαταφρονοῦσα, κωφὴ οὐκ ἐκ φύσεως, ἀλλ᾽ ἐκ προαιρέσεως. διὰ τοῦτο E ἔλεγεν ὁ Σωτήρ, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· οὐχ ὅτι τινὲς τῶν παρόντων οὐκ εἶχον ὦτα· πῶς γὰρ ἂν ἐσχόλαζον τῇ διδασκαλίᾳ, τὸ ὄργανον τῆς ἀκοῆς οὐκ ἔχοντες; ἀλλὰ δείκνυσι σαφῶς ὅτι τὸ μὲν φαινόμενον οὖς πρὸς ἀκοὴν δεδημιούργηται· ἡ δὲ τῆς ψυχῆς αἴσθησις πρὸς τὴν ἀκοὴν τοῦ θείου νόμου οὐ συναρμόζεται. οὐδὲν οὖν ὄφελος τῆς ἔξωθεν ἀκοῆς ἀποκεκωφωμένης τῆς ἔσωθεν διανοίας. λεπρὸς τίς ἐστι τῇ ψυχῇ, οὐχ ὁ τὸ σῶμα ἀμαυρούμενος, ἀλλ᾽ ὁ τὴν ψυχὴν σκοτιζόμενος. A τί γάρ ἐστι λέπρα ἐν σώματι ἀλλ᾽ ἢ διπλοῦν χρῶμα; τί ἐστι λέπρα ἐν ψυχῇ; διπλοῦς διαλογισμός. οὐαὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους· ὅταν τίς ποτε μὲν πιστεύῃ, ποτὲ δὲ ἀπιστῇ, καί ποτε μὲν πρὸς ἐλεημοσύνην ῥέπῃ, ποτὲ δὲ πρὸς ἀπανθρωπίαν, λεπρός ἐστι τὴν ψυχήν, οὐκ ἔχων χρῶμα ὑγιές, ἀλλὰ μεριζόμενος τὴν διάνοιαν. καὶ ὥσπερ μερίζει λέπρα τὸ σῶμα, οὕτω μερίζει λογισμὸς πονηρὸς τὴν διάνοιαν. ἕκαστος οὖν ὑπὲρ τῶν ἑαυτοῦ τραυμάτων βοάτω, καὶ ἐπικαλείσθω Ἰησοῦν τὸν ἰατρὸν ψυ- B χῶν καὶ σωμάτων, καθὼς ἐβόα ὁ τυφλός, υἱὲ Δαβὶδ ἐλέησόν με. καὶ οἱ μὲν προάγοντες ἐπετίμων· ἀλλ᾽ οὐκ ἐμποδίζεται ἡ παρρησία διὰ τῶν κωλυόντων. οἶδεν ἡ πίστις πρὸς πάντα μάχεσθαι, καὶ πάντα νικᾶν. ἐπετίμων ἄνθρωποι, καὶ ὁ πιστὸς οὐχ ὑπεστέλλετο, ἀλλ᾽ ἀκολουθεῖ τῷ δεσπότῃ· εἰδώς, ὅτι καλὴ ἡ ὑπὲρ εὐσεβείας ἀναίδεια· εἰ γὰρ ὑπὲρ χρημάτων ἀναιδεῖς πολλοί, ὑπὲρ σωτηρίας ψυχῆς οὐ κάλλιστον τὴν καλὴν ἀναίδειαν ἐνδύσασθαι; κελεύει αὐτὸν C ὁ Ἰησοῦς ἀχθῆναι· ἔστησε τὸν Κύριον Ἰησοῦν ἡ φωνὴ τοῦ μετὰ πίστεως ἐπικαλουμένου· ἐκέλευσε πρὸς αὐτὸν ἀχθῆναι τὸν ἐγγίσαντα αὐτῷ τῇ πίστει πρότερον, καὶ πλησιάσαι τῷ σώματι· ἐκέλευσεν αὐτὸν ἀχθῆναι, καί φησι· τί σοι θέλεις, ποιήσω; οὐκ ἀργῶς ἐρωτᾷ. ἠδύνατο γὰρ καὶ καθημένῳ τὴν ἴασιν πέμψαι· ἀλλ᾽ Ἰουδαῖοι οἱ τὴν ἀλήθειαν συκοφαντοῦντες, ἠδύναντο εἰπεῖν, ὡς ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ, οὐκ ἔστιν οὗτος, ἀλλ᾽ ὅμοιος αὐτῷ. καλεῖ οὖν εἰς μέσον D τῶν ἀγνωμόνων τὸ θέατρον τὸν ἐνεχόμενον· ἵνα πρῶτον δείξῃ τὸ πλήρωμα τῆς φύσεως, καὶ τότε γνωρίσῃ τὴν αὐθεντίαν τῆς χάριτος· τί σοι θέλεις, ποιήσω; ἐρωτᾷ ἐκεῖνον, διδάσκει τοὺς παρόντας. ὁ δέ φησιν, ἵνα ἀναβλέψω. βλέπε, ὅσα λαμβάνει ἐνέχυρα παρὰ τοῦ θεραπείαν δεχομένου, ἵνα ἀποκλείσῃ τὴν συκοφαντίαν τῶν πονηρευομένων. λέγει οὖν, πορεύου, ἡ πίστις σου σέσωκέ σε. ὁρᾷς πῶς τὸ προειρημένον ἡμῖν κατὰ τὴν προτεραίαν δι᾽ αὐτῶν δείκνυ- E ται τῶν ἔργων; καὶ ὅτι ἄπρατοι αἱ εὐεργεσίαι, καὶ πωλοῦνται τῇ πίστει; οὐ δίδωσιν ἀργυρίου τὰς εὐεργεσίας Ἰησοῦς· πωλεῖ δὲ αὐτὰς τῇ πίστει. ἐὰν μὴ καταβάλῃς πίστιν, οὐ δέχῃ τὴν εὐεργεσίαν. ἡ χάρις ἥπλωται, ἡ δὲ πίστις προέχει. καὶ ὥσπερ πηγὴ μία, ἀντλοῦσι δὲ ἐκ τῆς πηγῆς· οἱ μὲν μικροῖς ἀγγείοις, οἱ δὲ μείζοσι· καὶ ὁ μὲν ὀλίγον αἴρεται ὕδωρ, ὁ δὲ πολύ, οὐ τῆς πηγῆς μεριζούσης τὰ μέτρα, ἀλλ᾽ ἑκάστου πρὸς τὸ οἰκεῖον ἀγγεῖον αἰρουμένου· οὕτως

ἡ χά-

ἡ χάρις ἥπλωται ὡς πηγή· ἡ προθέσις δὲ τοῦ προσερχομένου ἀγγεῖον καὶ σκεῦος γίνεται τῆς χάριτος. ἐὰν οὖν προσαγάγῃς πίστιν ὀλίγην ὡς σκεῦος μικρὸν, μικρὸν ἀντλεῖς τὴν χάριν· ἐὰν δὲ μεγάλην προσαγάγῃς τὴν διάνοιαν, μεγάλην ἀντλεῖς τὴν εὐεργεσίαν. διὰ τοῦτο ὁ Σωτὴρ λέγει, πιστεύεις ὅτι δύναμαι τοῦτο ποιῆσαι; ὁ δὲ, ναὶ, Κύριε. καὶ ὁ Σωτὴρ, κατὰ τὴν πίστιν σου γενηθήτω σοι. ἐντεῦθεν ὁ ἀπόστολος παραινῶν, κελεύεται Κορινθίοις, λέγων· πλατύνθητε ὑμεῖς, ἵνα δείξῃ ὅτι τῇ πλατυνομένῃ διανοίᾳ πλατυτέρα ἡ χάρις ἐπεισέρχεται· καὶ ὁ προφήτης, ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. οὐδὲν παρὰ τῇ εὐεργεσίᾳ τὸ κώλυμα, ἀλλὰ παρὰ τῇ ἡμετέρᾳ ῥαθυμίᾳ. Φωστὴρ τῆς δικαιοσύνης ἀνέτειλεν Ἰησοῦς, ἥπλωται πανταχοῦ ἡ ἀκτὶς τοῦ νοητοῦ ἡλίου· καὶ ὁ μὲν ἐλάττονος ἀπολαύει τῆς χάριτος, ὁ δὲ μείζονος· οὐ τῆς χάριτος μεριζούσης, ἀλλὰ τῆς διανοίας τὸ μέτρον ὑποβαλλούσης. ὥσπερ γὰρ εἷς ἥλιος εἰς πᾶσαν τὴν γῆν, καὶ μία ἀκτὶς, καὶ αὐγή· οὐ πᾶς δὲ ὁ κόσμος ὁμοίως πεφώτισται· ἀλλ' ὁ μὲν λαμπρὸν ἔχει τὸ φῶς, ὁ δὲ ἔλαττον, ὁ δὲ μεῖζον· καὶ ὁ μὲν στενὸν, ὁ δὲ πλατύτερον· οὐ τοῦ ἡλίου μερίζοντος τούτῳ τῷ οἴκῳ τὸ μεῖζον, κἀκείνῳ τὸ ἔλαττον· ἀλλὰ πρὸς τὰς θυρίδας, ἃς ἤνοιξαν οἱ οἰκοδομοῦντες, χώραν λαμβανούσης τῆς ἀκτῖνος, καὶ οὕτως εἰσχεομένης· οὕτως ἐπειδὴ θυρίδες ἡμῶν τῆς ψυχῆς οἱ λογισμοὶ, ὅταν πλατυτέρους ἀνοίξῃς τοὺς λογισμοὺς, πλατυτέραν δέχῃ τὴν εὐεργεσίαν· ὅταν στενώσῃς τὴν διάνοιαν, στενοῖς τὴν χάριν· ἀνακάλυψόν σου τὸν λογισμὸν, ἵνα δέξῃ τὴν αὐγήν. διὰ τοῦτό φησιν ὁ Παῦλος περὶ ἑαυτοῦ, ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν. εἷς τυφλὸς ἐθεραπεύθη διὰ τῆς ἱστορίας, καὶ πολλῶν ὀφθαλμοὶ διανοίγονται διὰ τῆς διδασκαλίας. κατὰ τὴν πίστιν σου γενηθήτω σοι. ὁ δὲ τυφλός, φησιν, ἠκολούθει κράζων τὸν Θεὸν, καὶ οὐ κωλύει ὁ Ἰησοῦς. ἐνταῦθα ἀναγκαῖον θεωρῆσαι, ὅτε τὸν δαιμονιῶντα ἐθεράπευσε, παρεκλήθη ὑπὸ τοῦ τὴν εὐεργεσίαν δεξαμένου, ὥστε ἀκολουθεῖν τῷ Ἰησοῦ· [ἐβούλετο γάρ, φησιν, ἀκολουθεῖν.] ὁ δὲ Σωτὴρ κωλύει, καὶ λέγει, ὕπαγε εἰς τὸν οἶκόν σου, καὶ διάγγελλε, ὅσα ἐποίησέ σοι ὁ Θεός. τίνος ἕνεκεν τὸν μὲν θελήσαντα ἀκολουθῆσαι κωλύει; διὰ τί τούτῳ μὲν ἐπιτρέπει τὴν ἀκολούθησιν, ἐκείνῳ δὲ οὐκ ἐπιτρέπει; κἀκείνῳ χρησίμως, καὶ τούτῳ συμφερόντως. τὸ μὲν ἀκολουθεῖν οὐ συγχωρεῖ δι' ἑτέραν αἰτίαν· ἐπειδὴ δαιμονιῶν ἦν· τοῦ δὲ δαιμονιῶντος καὶ ἡ λέξις, καὶ ἡ γλῶσσα διέστραπτο. ἀποστέλλει οὖν αὐτὸν κήρυκα, ἵνα ἐκ τῆς καταστάσεως κηρύξῃ τὸν εὐεργέτην. ξένον γὰρ ἦν θέαμα ἰδεῖν τόν ποτε μὴ καθεστῶτα, καθεστηκότας κηρύττειν λόγους. ποιεῖ οὖν αὐτὸ τὸ ὄργανον τοῦ εὐεργετηθέντος κήρυκα τοῦ σώματος. καὶ βλέπε τὸ θαυμαστὸν, βλέπε τοῦ Σωτῆρος ταπεινοφροσύνην, βλέπε τοῦ δαιμονιῶντος τὴν εὐγνωμοσύνην. ὁ μὲν Σωτὴρ λέγει, πορεύου, καὶ εὐαγγέλλου, ὅσα ἐποίησέ σοι ὁ Θεός· οὐ λέγει, ὅσα ἐποίησά σοι ἐγώ, ἀλλὰ ταπεινοφρονῶν τῇ τοῦ Θεοῦ προσηγορίᾳ ἐπιγράφει. ὁ δὲ δαιμονιῶν περιῄει κηρύττων, ὅσα ἐποίησεν αὐτῷ ὁ Θεὸς Ἰησοῦς. τὸν μὲν οὖν ἀποστέλλει κηρύττειν, ἵνα ἀπὸ τῆς καταστάσεως δείξῃ τὸ μέγεθος τῆς εὐεργεσίας· τῷ δὲ τυφλῷ ἐπιτρέπει ἀκολουθεῖν· διὰ τί; ἐπειδὴ εἰς Ἱεροσόλυμα ἀνῄει ἐπιτελέσων τὸ μέγα μυστήριον, καὶ τὴν ὑπὲρ τοῦ κόσμου οἰκονομίαν ἀναδεξόμενος, καὶ σταυρὸς ἔμελλεν ἀκολουθεῖν, καὶ ὕβρεις, καὶ πάντα τὰ ὑπὸ τῶν θεομάχων καινοτομηθέντα· διὰ τοῦτο ποιεῖ ἀκολουθεῖν τὸν τυφλὸν, ἵνα πρόσφατον ἔχωσι τὴν μνήμην τοῦ θαύματος, ἵνα ἡ μνήμη τῆς ἰάσεως στηρίξῃ τὴν διάνοιαν τῶν μελλόντων ὀλισθαίνειν· ποιεῖ ἀκολουθεῖν τὸν τυφλὸν, ἵνα μή τις ἀρνήσηται τὴν θαυματουργίαν, ἐπειδὴ ἔμελλε σαλεύεσθαι ὡς ἐν χειμῶνι τῶν ἀποστόλων ἡ διάνοια, καὶ τῶν ὁρώντων ἡ κατάστασις ἔμελλε χειμάζεσθαι, ὁρώντων τὸν μονογενῆ τοῦ Θεοῦ ἐπὶ σταυροῦ. ἵνα οὖν μὴ πρὸς τὸ πάθος βλέποντες ὀκλάσωσι, συγχωρεῖ τῷ τυφλῷ ἀκολουθεῖν· ἵνα πρόσφατον ἔχοντες τὴν μνήμην τῆς εὐεργεσίας ἀσάλευτον ἔχωσι τὸν λογισμὸν τῆς ἀληθείας. πολλὰ γὰρ τοιαῦτα ποιεῖ ὁ Χριστὸς, ἐπειδὴ ἦλθε τὴν ὑπὲρ τῶν ἀνθρώπων οἰκονομίαν ἀναδέξασθαι. καὶ ἵνα μή τις αὐτὸν ὑπολάβῃ δι' ἀσθένειαν πάσχειν, καὶ οὐ διὰ φιλανθρωπίαν ὑπομένειν, πρὶν εἰσέλθῃ εἰς Ἱεροσόλυμα, βλέπει συκῆν. καὶ ἀπῆλθε φησὶ ζητῶν παρ' αὐτῆς καρπὸν, καὶ οὐχ εὗρεν· ὡς δὲ οὐχ εὗρεν, ἐπετίμησε, λέγων· μηδέποτε ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. τί ἥμαρτεν ἡ συκῆ; μὴ γὰρ ἐξουσίαν λογικὴν ἔχει τῆς καρποφορίας; οὐχ ὅτε βούλεται ὁ κτίστης παρέχει ἐνέργειαν τῇ καρποφορίᾳ; εἶτα οὔτε ὁ καιρὸς ἦν τῶν σύκων. τοῦτο γὰρ ἐπιμαρτυρεῖται τὸ εὐαγγέλιον. τίς δὲ οὗτος τῶν κοινῶν ἀνθρώπων, μήτοι γε ὁ Θεὸς, ἐν ἀκαίρῳ καιρῷ καρπὸν ἀπαιτεῖ; τοὺς καιροὺς οὐ σὺ ἔπηξας ὁ δημιουργός; οὐ σὺ ἔδωκας καιροὺς καὶ χρόνους τῇ καρποφορίᾳ; τί τοίνυν ἀπαιτεῖς παρὰ τὸν καιρὸν, ὃν ἔταξας; εἰ δὲ καὶ καιρὸς ἦν σύκων, μὴ ἤνεγκε δὲ ἡ συκῆ καρπὸν, ἔγκλημα τῆς φύσεως· μὴ ὅτε βούλεται προσφέρει, οὐχ ὅτε βούλεται, προστάγει καρποφορίας; τίνος οὖν ἕνεκεν ἐπιτιμᾷ τῇ συκῇ;

A ptereaSalvator dicit, Credis, quia ego poſſim hoc facere? ille verò, utiq; Domine. tum Salvator, ſecundùm fidem tuam fiat tibi. Idcirco Apoſtolus Corinthios adhortatur, dicens: *Dilatamini & vos*, ut oſtendat in animum dilatum latiorem ampliorémq; gratiam introire; Propheta, Aperi os tuum, & implebo illud: ab ipſo nullus beneficio, ſed à noſtra negligentia obex opponetur: luminare juſtitiæ Jeſus exortus eſt, diffuſi ſunt omnem in partem ſpiritalis ſolis radii, atq; unus quidem, minorem percipit gratiã, al- 2. Cor. 6, 13.
B ter verò majorem; non quòd gratia ita ſe dividat, ſed quòd animus menſuram ſubjiciat. Ut enim ſol unus eſt qui univerſã terram illuſtrat, & radius unus, ac ſplendor unus, nec tamen æqualiter mundus totus illuſtratus eſt; atq; hic quidem amplum ac ſplendidum lumen habet: ille verò minus: atq; hic quidem anguſtius, ille autem latius, non quod ita ſol huic domui majus & illi minus diſtribuat, ſed quòd pro amplitudine feneſtrarum quas illi aperuerunt, qui domos exædificârunt, radiùs locum occupa-
C vit, itaq; ſeſe infuderit: Sic quoniam animæ noſtræ feneſtræ ſunt cogitationes & conſilia, quando latiores aperueris cogitationes, latius accipis ampliúſq; beneficium; cùm anguſtiorem mentem reddideris, anguſtiorem quoq; gratiam efficis: aperi & revela tuam cogitationem ac mentem ut ſplendorem poſſis admittere. Propterea Paulus de ſeipſo dicit, Nos verò omnes revelata facie gloriam Domini ſpeculantes transformati à claritate in claritatem. Unus cæcus ſanatus eſt per hiſtoriam, & multorum oculi a-
D periuntur per doctrinam. Secundum fidem tuam fiat tibi: cæcus autem ſequebatur ſignificans Deum; neq; prohibet Jeſus. Hoc loco fuerit operæ pretium, ut conſideremus, quo pacto, cùm illum qui à dæmonio vexabatur, ſanavit, cùm ab eo, quem beneficio affecerat, rogaretur, ut Jeſum ſequeretur; (volebat enim, inquit, ſequi) ille contra non permittat & dicat, *Vade in domũ tuã, & annuntia quanta tibi fecerit Deus.* Qua de cauſa hunc quidem Marc. 5, 19.
qui ſequi voluit, prohibet, illum vero non prohibet? cur iſti ut ſe Luc. 8, 39.
E ſequatur permittit, illi autem non permittit? Et illi utiliter, & huic fructuosè, huic quidem ut ſe ſequeretur non concedebat, aliam ob cauſam, propterea quòd à dæmone correptus fuerat: porrò à dæmonio correpti & dictio & lingua perverſa fuerat, atq; diſtorta. Mittit igitur illum præconem, ut ex bono ſtatu benefactorem prædicet, ſpectaculum quippe fuit illud admirabile, cernere eum, qui antea compos mentis non erat, ſana & compotis mentis verba profari atq; prædicare: ipſum itaq; membrum ejus
A corporis, in quod beneficium collatum erat, præconem reddit. Ac vide rem mirabilem; vide Salvatoris humilitatem; vide à dæmonio vexati gratum animum. Salvator quidem, vide, inquit, & annuntia quanta tibi fecerit Deus: non dicit quanta tibi fecerim ego: ſed humilitatem præ ſe ferens, Dei nomini illud aſcribit, qui verò à dæmone correptus fuerat, circuibat prædicans, quanta ſibi feciſſet Jeſus: hunc itaq; mittit, ut prædicet, quo ex ipſa ſua in peſſimam ſanitatem reſtitutione beneficii magnitudinem oſtẽ-
B dat. Cæcum autẽ ſequi permittit, quid ita? Propterea quòd Hieroſolymam aſcendebat, magnum illud myſterium conſummaturus, & illam pro mundo diſpenſationem ſuſcepturus ac futurum erat, ut crux ſequeretur, & contumelia, & omnia quæ ab impiis Deiq; adverſariis inuſitata nequitia patrata ſut; propterea vult ſequatur cæcus, ut recentem habeant miraculi memoriam: ut ſanationis memoria mentem eorum, qui lapſuri erant, confirmet ac ſtabiliat: curatus ſequatur cæcus, ut ne quis miraculum e- VII.
C ditum neget, quandoquidem tanquam tempeſtate jactanda cõcutiendaq; erat mens Apoſtolorum, & intuentium ſtatus & cõſtantia percellenda, dum in cruce unigenitum Dei cernerent. Ne igitur paſſionem ſpectantes ſuccumberent, cæco permittit, ut ſequatur, ut recentem beneficii memoriam conſervantes inconcuſſam habeant cogitationem ad ſenſum veritatis. Multa ſiquidem talia perficit Chriſtus, quandoquidem ab ſubeundam hanc pro hominibus diſpenſationem advenit: ac ne quis eum ex infir-
D mitate pati arbitretur, non ex benignitate ſua atq; ex amore in homines tolerare, antequam ingrediatur Hieroſolymam, ficum videt. Et abiit, inquit, quærens ex ea fructum, & non invenit, ut autem non invenit, increpavit dicens, Nunquã ex te fructus naſcatur in ſempiternum. Quid peccavit ficus? num enim facultate ratione prædita fructuum ubertatem habet? num verò quando vult creator ad fructuum ubertatem efficacitatem largitur? deinde neq; tempus illud fuit ficuum. Hoc enim Evangelium atte-
E ſtatur. Quis autem communium hominum, nedum Deus, tempore intempeſtivo, fructum requirit? nónne tu conditor tempora conſtituiſti? nónne tu ad fructus ferendos anni tempeſtates ac tempora dediſti? quid igitur præter temp' quod aſſignaſti, repoſcis? Enimverò ſi tempus ficuum fuiſſet, fructum autem ficus nõ tuliſſet, fuiſſet culpa naturæ, nũ enim profert cùm libet? an verò cùm imperatur, fruct' edit? quãnã igitur ob cauſã ficũ increpat?

Quoniam

Quoniam paſſionem ſubiturus erat, ne eum propter infirmita-
tem pati exiſtimarent, in re inanimata potentiã oſtendit, ut ſe o-
mnes qui contradicebant, areſacere potuiſſe, omnes numinis ho-
ſtes delere demonſtret. Sed quoniam non venit ut judicet mun-
dum, ſed ut ſalvet, ut ipſe dixit, potentiam quidem in re anima
carente oſtendit, benignitatem autem hominibus reſervat. Ita &
hic cæco ut ſequeretur concedebat, ut recens memoria ſcanda-
lum tolleret, ut miraculum coruſcans haberent. Sed ſucceſſit mi-
raculum alterum: nam ubi cæcus viſum recepit, alius animã cæ-
Luc. 19, 1. cus, viſum recipit. quis ille? Princeps publicanorum, qui in pe-
cuniis æ cutiebat, qui excæcatam avaritia animam habebat. nihil
enim ſic animam excæcat ut pecuniæ. propterea Moyſes ait. Do-
na enim cexcæcant oculos hominum, & verba juſta pervertunt.
venit princeps publicanorum. & præteribat qui tollit omne pec-
catum, qui vitium omne delet, qui tenebras convertit in lucem,
& tortuoſa ad rectitudinem redigit: Zacchæus brevis ſtatura,
X. deſiderio extentus ac procerus, brevis corpore, magnus affectu:
quærebat enim videre Jeſum, & non poterat ob brevitatem ſta-
turæ, & præoccupans machina quadam, ſibi comparat quod ſta-
turæ deerat: in arborem enim ſycomorum aſcendit. & prætere-
untem Jeſum videbat. At Dominus noſter Jeſus Chriſtus, de quo
Epeſ. 3. 20. dicit Paulus, *Qui novit facere ſuperabundanter, quàm petimus,
aut intelligimus*, non illi tantùm conceſſit, quantum deſiderabat,
ſed plus quàm expectabat. Ille eum videre tantùm deſiderabat;
ipſe verò dignatus eſt apud eum divertere, & convivio excipi;
quique mentem ejus intuitus erat, ait ad illum, (prius enim quàm
in ficum aſcenderet. animum ejus animadverterat,) Zacchæe,
feſtinans deſcende. Bonus auceps Salvator, qui ab arbore animã
dejicit. Zacchæe, feſtinans deſcende. calamum illi verbi exten-
dit, viſcum & glutinum charitatis circumpoſuit. ſepit eum pen-
nis intellectus, eúmque in cœtum Eccleſiæ ſuæ intulit. Ac vide
quid faciat, ut ſcilicet non exiſtimes dictum illud ei vim attuliſſe,
ſed Dei verbum eſſe id quod aucupatur & capit, ait beatus Za-
charias, Et oſtendit mihi Dominus vas aucupis, & dixit mihi,
Non præteribo populum meum quouſq; inquit, viſco eum ce-
pero. Ita veritas conteſtata eſt verbum Dei eſſe viſcum, quod tan-
quam viſco charitate animas implicet & irretiet: & ut glutinum
XI. illud non poteſt deinceps, quod tenetur, ab eo divellere quod te-
net; ita & animæ Salvatori unitæ quaſi glutino quodam aucupis
agglutinantur. Idcirco captus ille præclarus pullus David dice-
bat, agglutinata eſt anima mea poſt te: & rurſus Apoſtolus, qui
agglutinatus eſt Domino. unus Spiritus eſt: capit Zacchæum, &
ab arbore dejicit: ipſúmq; in tabernaculum ſuum immittit; quod
ipſe quondam peccatis quidem ſuis inobſcurarat hodie verò pie-
tatis luminare collustravit. ut igitur ingreſſus eſt Salvator, gau-
dens illum publicanus excepit. O eximiam Domini bonitatem!
qui peccare non poteſt. cum peccatoribus verſatur: fons juſtitiæ
cum materia & fomite injuſtitiæ; fomes quippe injuſtitiæ eſt
avaritia. Ingreſſus eſt in ædes publicani, non ut tenebris avaritiæ
læderetur, ſed ut juſtitiæ ſplendore avaritiam deleret. Ac vide
rem mirabilem, Continuò Zacchæus ſtans ante veſtibulum dicit,
Domine dimidium bonorum meorum do pauperibus: nondum
edoctus es & obedis? nondum didiciſti, & cuſtodis? nihil dixit
Salvator, nihil docuit: non de eleemoſyna præcepta dederat:
non ad pauperum amorem cohortatus erat tum temporis, ſed
tacebat. & lenſim irradiabat: Et ſolis in morem, qui infuſus per
radios in ædes, non verbo illuſtrat. ſed ipſa ſua efficacitate illu-
minat: ita & Salvator ingreſſus juſtitiæ radiis injuſtitiæ curſum
XII. ejecit. *Lux enim in tenebris lucet*, ut inquit Evangeliſta. Domine,
Joh. 1, 5. dimidium bonorum meorum do pauperibus; Rectè dividit ava-
ritiam, ſcindit injuſtitiam. Dimidium bonorum meorum, omne
quod integrum eſt robuſtum eſt & potens, diſciſſum autem im-
becillum. Dimidium bonorum meorum do pauperibus. O vocẽ
præclaram, quæ vincit naturam, vel potiùs, quæ conſuetudinem
vincit, altera ſiquidem natura conſuetudo. Inexplebilem cupi-
ditatem ejecit, veritatem agnovit: dimidium bonorum meorum
do pauperibus: & ſi quid aliquem defraudavi, ſi quid per calu-
mniam extorſi, reddo quadruplum. Hîc diligenter animadver-
tendum eſt non ex injuſtitia ſolùm, ſed ex paternis facultatibus
Zacchæi opes conſtituiſſe, ac partas fuiſſe, ſi enim ex injuſtitia
fuiſſent, quomodo quadrupla reſtituere potuiſſet ea quæ cepe-
rat? Cur enim ait, ſi quid aliquem defraudavi, reddo quadruplũ?
etſi enim in ſummo legum contemptu ac ſcelerum impunitate
vitam traduxerat, tamen legem noverat; jubet enim lex, furem
Exod. 22, 1. in quadruplum furtum reſtituere. *Si quis*, inquit, *furatus fuerit
ovem, & immolaverit, reddat quatuor oves*, quadruplicat pœnam
Deus, vel potiùs mulctã, ut ſi minùs lex timorem incutiat, mul-
cta pudore afficiat: ſæpenumero namq; multi, qui legem non re-
verentur, mulctam reverentur. Seipſum ergo condemnat, neq;

ἐπειδὴ ἔμελλε τὸ πάθος ὑφίστασθαι, ἵνα μὴ νομίσωσιν αὐτὸν δι' ἀσθένειαν πάσχειν, ἐν τῷ ἀψύχῳ ἐνδείκνυται τὴν δύναμιν, ἵνα δείξῃ, ὅτι πάντας ἠδύνατο ξηρᾶναι τοὺς ἀντιλέγοντας, πάντας ἀφανίσαι τοὺς θεομάχους. ἀλλ' ἐπειδὴ οὐκ ἦλθε κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι, ὡς αὐτὸς ἔφησε, τὴν μὲν δύναμιν ἐνδείκνυται ἐπὶ τοῦ ἀψύχου· τὴν δὲ φιλανθρωπίαν ταμιεύεται τοῖς ἀνθρώποις. οὕτω καὶ ἐνταῦθα συγχωρεῖ τῷ τυφλῷ ἀκολουθεῖν, ἵνα νεάζουσα ἡ μνήμη διαλύσῃ τὸ σκάνδαλον, ἵνα ἔχωσι τὴν θαυματουργίαν ἀπαστράπτουσαν. ἀλλὰ διαδέξατο τὸ θαῦμα ἕτερον. μετὰ γὰρ τὴν ἀνάβλεψιν τοῦ τυφλοῦ, ἀνέβλεψεν ἄλλος τυφλὸς τὴν ψυχήν. τίς οὗτος; ὁ ἀρχιτελώνης τυφλώττων περὶ τὰ χρήματα· ὁ τῇ πλεονεξίᾳ τυφλὴν τὴν ψυχὴν ἔχων. οὐδὲν γὰρ οὕτως ἀποτυφλοῖ τὴν ψυχὴν, ὡς τὰ χρήματα. διὰ τοῦτό φησι Μωσῆς· δῶρα γὰρ ἀποτυφλοῖ ὀφθαλμοὺς ἀνθρώπων, καὶ λυμαίνεται τὰ ῥήματα δίκαια. ἦλθεν ὁ ἀρχιτελώνης, καὶ παρῄει ὁ Ἰησοῦς, ὁ πᾶσαν ἁμαρτίαν διαλύων, ὁ πᾶσαν κακίαν ἀφανίζων, ὁ μεταβάλλων τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν ἄγων. ὁ Ζακχαῖος βραχὺς ἦν τὴν ἡλικίαν, ἐκτεταμένος δὲ τὸν πόθον· βραχὺς τὸ σῶμα, μέγας τὸ φρόνημα· ἐζήτει γὰρ τὸν Ἰησοῦν ἰδεῖν, καὶ οὐκ ἠδύνατο διὰ τὸ βραχὺ τῆς ἡλικίας, καὶ προλαβὼν μηχανῇ πορίζεται τὸ ἐλλεῖπον τῆς ἡλικίας. ἀναβαίνει γὰρ εἰς συκομορέαν, καὶ παριόντα τὸν Ἰησοῦν ἑώρα. ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, περὶ οὗ φησιν ὁ Παῦλος, ὁ εἰδὼς ἐκ περισσοῦ ποιεῖν, ὧν αἰτούμεθα, ἢ νοοῦμεν, οὐ τοσοῦτον αὐτῷ ἔδωκεν, ὅσον ἐπόθησεν, ἀλλ' ὑπὲρ ὃ προσεδόκησεν· ὁ μὲν γὰρ ἰδεῖν μόνον ἐπόθησεν, ὁ δὲ καὶ τὸ δεξιώσεως αὐτὸν ἠξίωσε. καί φησι πρὸς αὐτὸν ὁ θεασάμενος αὐτοῦ τὴν διάνοιαν· [πρὶν γὰρ ἀναβῆ εἰς τὴν συκῆν, οἶδεν αὐτοῦ τὴν διάνοιαν·] Ζακχαῖε σπεύσας κατάβηθι. καλὸς ἰξευτὴς ὁ Σωτὴρ, ἀπὸ δένδρου ψυχὴν καταφέρων. Ζακχαῖε, σπεύσας κατάβηθι· ἐξέτεινεν αὐτῷ τὸν κάλαμον τοῦ λόγου, περιέθηκε τὸν ἰξὸν τῆς ἀγάπης, ἔλαβεν αὐτὸν ἀπὸ τῶν πτερύγων τῆς διανοίας, καὶ συνάγει αὐτὸν ὑπὸ τὴν ἑαυτοῦ ἐκκλησίαν. καὶ ὅρα τί ποιεῖ. ἵνα δὲ μὴ νομίσῃς τὸ ῥῆμα εἶναι τὸ βιασάμενον, ἀλλ' ὅτι ὁ λόγος τοῦ Θεοῦ ὡς ἰξευτής ἐστι, λέγει ὁ μακάριος Ζαχαρίας· καὶ ἔδειξέ μοι Κύριος ἀγγεῖον ἰξευτοῦ, καὶ εἶπέ μοι· οὐ μὴ παρέλθω τὸν λαόν μου, ἕως ἂν φησιν ἰξεύσω αὐτόν· οὕτως ἀλήθεια μεμαρτυρημένη, ὅτι ὁ λόγος τοῦ Θεοῦ ἰξός ἐστι τῇ ἀγάπῃ, ὡς ἰξῷ τὰς ψυχὰς περιπλέκων. καὶ ὥσπερ ἐκείνη ἡ κόλλα οὐ δύναται λοιπὸν τὸ κατεχόμενον διασπάσαι τοῦ κατέχοντος, οὕτω καὶ αἱ ψυχαὶ αἱ τῷ Σωτῆρι ἡνωμέναι κολλῶνται ὥσπερ τῇ κόλλῃ τοῦ ἰξευτοῦ. διὰ τοῦτο ὁ πιασθεὶς καλὸς νεοσσὸς Δαβὶδ ἔλεγεν, ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· καὶ πάλιν ὁ ἀπόστολος, ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστιν. ἰξεύει τὸν Ζακχαῖον, καὶ κατάγει αὐτὸν ἀπὸ τοῦ δένδρου, καὶ εἰσάγει εἰς τὴν σκηνὴν ἑαυτοῦ, ἥν ποτε μὲν αὐτὸς τῆς ἁμαρτίας ἐγνόφωσε, σήμερον δὲ ὁ φωστὴρ τῆς εὐσεβείας κατηύγασεν. ὡς οὖν εἰσῆλθεν ὁ Σωτὴρ, ὑπεδέξατο αὐτὸν ὁ τελώνης χαίρων· ὢ τῆς πολλῆς ἀγαθότητος τοῦ δεσπότου· ὁ ἀναμάρτητος μετὰ ἁμαρτωλῶν. ἡ πηγὴ τῆς δικαιοσύνης, μετὰ τῆς ὕλης τῆς ἀδικίας· ὕλη γὰρ ἀδικίας, πλεονεξία. εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ τελώνου, οὐ τῷ γνόφῳ τῆς πλεονεξίας ὑβριζόμενος, ἀλλὰ τῇ αὐγῇ τῆς δικαιοσύνης τὴν πλεονεξίαν ἀφανίζων. καὶ ὅρα τὸ θαυμαστόν· εὐθέως ὁ Ζακχαῖος στὰς πρὸ τοῦ προθύρου, λέγει, Κύριε τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι τοῖς πτωχοῖς. οὐδέπω ἐδιδάχθης, καὶ ὑπακούεις; οὐδέπω ἔμαθες, καὶ ἐφύλαξας; οὐδὲν εἶπεν ὁ Σωτὴρ, οὐκ ἐδίδαξεν, οὐ περὶ ἐλεημοσύνης ὑπέθετο, οὐ φιλοπτωχίαν ὑπηγόρευσέ ποτε, ἀλλ' ἐσιώπα, καὶ ἠρέμα κατηύγαζε· καὶ ὥσπερ ἥλιος εἰσχεόμενος διὰ τῶν ἀκτίνων εἰς οἶκον, οὐ ῥήματι φωτίζει, ἀλλ' αὐτῇ τῇ ἐνεργείᾳ καταλάμπει· οὕτω καὶ ὁ Σωτὴρ εἰσελθὼν ταῖς ἀκτῖσι τῆς δικαιοσύνης, τὸν δρόμον τῆς ἀδικίας ἐξώρισε. τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, ὥς φησιν ὁ εὐαγγελιστής. Κύριε τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι τοῖς πτωχοῖς. καλῶς μερίζει τὴν πλεονεξίαν, τέμνει τὴν ἀδικίαν. τὰ ἡμίση τῶν ὑπαρχόντων μου. πᾶν ὁλόκληρον ἰσχυρὸς, τεμνόμενον δὲ ἀσθενές. τὰ ἡμίση τῶν ὑπαρχόντων μου. ὢ τῆς καλῆς φωνῆς νικώσης τὴν φύσιν· μᾶλλον δὲ νικώσης τὴν συνήθειαν· δευτέρα γὰρ φύσις ἡ συνήθεια. ἐξώρισε τὴν ἀπληστίαν, ἐπέγνω τὴν ἀλήθειαν. τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι πτωχοῖς, καὶ εἴ τινός τι ἠδίκησα ἢ ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. ἐνταῦθα προσέχειν ἀκριβῶς χρή· ὅτι ὁ πλοῦτος τοῦ Ζακχαίου οὐκ ἦν ἐξ ἀδικίας μόνον, ἀλλὰ καὶ ἐκ πατρικῆς περιουσίας· εἰ γὰρ ἦν ἐξ ἀδικίας, πῶς τετραπλασίονα ἠδύνατο ἀποδοῦναι, ἃ ἔλαβε; διὰ τί γὰρ λέγει, εἴ τινός τι ἠδίκησα, ἀποδίδωμι τετραπλοῦν; οὐ καὶ τῇ παρανομίᾳ συνέζησεν, ἀλλὰ καὶ τὸν νόμον ἐγνώριζεν· κελεύει γὰρ ὁ νόμος τὴν κλοπὴν εἰς τετραπλάσιον ἀποδίδοσθαι τὸν κλοπέα. ἐάν τις, φησι, κλέψῃ πρόβατον καὶ σφάξῃ, ἢ ἀποδῶται, ἀποδώσει τέσσαρα πρόβατα. τετραπλασιάζει τὴν τιμωρίαν ὁ Θεὸς, μᾶλλον δὲ τὴν ζημίαν, ἵνα κἂν ὁ νόμος μὴ φοβήσῃ, ἡ ζημία δυσωπήσῃ. πολλοὶ γὰρ πολλάκις νόμον μὴ αἰδούμενοι, ζημίαν αἰδοῦνται. ἑαυτὸν τοίνυν καταδικάζει, οὐκ ἐκδεχόμενος τὴν

ψῆφον

ψῆφον τοῦ νόμου, ἀλλ' αὐτὸς ἐφ' ἑαυτῷ νόμος γινόμενος· δικαίῳ γὰρ νόμος οὐ κεῖται. ὁ Σωτὴρ ταύτην δεξάμενος τὴν φωνήν φησι· σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ γέγονεν. αὐτὸς ἑαυτὸν ἐδικαίωσεν, οὐκ ἐπειδὴ Χριστὸν ἁπλῶς εἶδεν, ἀλλ' ἐπειδὴ τοῖς Χριστοῦ ὑπήκουσε νόμοις. σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ γέγονεν, ὅτι καὶ οὗτος υἱὸς Ἀβραάμ ἐστι. πρὶν ποιήσῃ τὰ ἔργα τοῦ Ἀβραάμ, οὐ καλεῖ αὐτὸν υἱὸν Ἀβραάμ, ἀλλὰ Ζακχαῖον ψιλῇ τῇ προσηγορίᾳ καλεῖ. ὅτε μέντοι ἐπλήρωσε τὰ ἔργα τοῦ πατριάρχου, φιλοπτωχίαν ἐπαγγειλάμενος, καὶ τῆς ἀδικίας τὴν ἀλλοτρίωσιν, τότε λέγει, καὶ οὗτος υἱὸς Ἀβραάμ ἐστι. καὶ ἡμεῖς τοίνυν, ἀδελφοί, εἰ καὶ Χριστιανοί ἐσμεν καὶ λεγόμεθα, οὐδὲν οὕτως ἡμᾶς δείκνυσι Χριστιανοὺς, ὡς τὸ ἔργον τῆς ἀληθείας. μὴ τοίνυν ὑβρίσωμεν τοῖς ἔργοις τὴν προσηγορίαν, ἀλλὰ σεμνύνωμεν τοῖς ἔργοις τὴν πίστιν. ἐκλήθημεν υἱοὶ Ἀβραὰμ διὰ πίστεως, κληθῶμεν υἱοὶ Ἀβραὰμ διὰ τῶν ἀγαθῶν ἔργων· ὃ γὰρ ἔφθην εἰπὼν, οὐ τοῦ σώματος εὐγένεια ζητεῖται, ἀλλ' ἡ τῶν τρόπων ἀκολουθία. διὰ τοῦτο Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ οἱ πατριάρχαι πάντες ἠρνήσαντο τὴν συναγωγὴν, ἐπειδὴ τῶν πατέρων τὴν πίστιν οὐκ ἐκληρονόμησαν. ἠρνήσατο Ἀβραὰμ οἰκείους, ἐπειδὴ οὐκ ἠκολούθησαν τῇ πίστει· ἠρνήσατο αὐτοὺς καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ πατριάρχαι πάντες· τὸν γὰρ ἀρνησάμενον Θεὸν καὶ ἡ φύσις ἀρνεῖται. καὶ τίς μαρτυρήσει λόγος, ὅτι Ἀβραὰμ Ἰουδαίους ἠρνήσατο, ἵνα μὴ δόξωμεν ὡς ἐπὶ ἐχθρῶν θρασύνεσθαι, ἀλλ' ὡς ἡμαρτηκότας ἐλέγχειν; λέγει ὁ μακάριος Ἱερεμίας ἐκ προσώπου τοῦ λαοῦ· Κύριε ἐλέησον ἡμᾶς. ἐγενήθη τὸ ὄρος καὶ ἡ πόλις, ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, πυρίκαυστος· σὺ Κύριε ἐλέησον ἡμᾶς, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. σὺ Κύριε φεῖσαι ἡμῶν· ἐπειδὴ, φησὶν, ἐκεῖνοι, ἐφ' οἷς σεμνυνόμεθα, ἠλλοτριώθησαν ἡμῶν, καὶ ἠρνήσαντο ἡμῶν τὸ γένος· σὺ ἐλέησον ἡμᾶς ὁ πάντας φιλανθρωπίᾳ νικῶν· ἐλέησον ἡμᾶς, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς· εἰ γὰρ οἰκειοῦτο τὰ ἡμέτερα, οὐκ ἂν ἐπρέσβευσεν ὑπὲρ τῶν ἰδίων τέκνων; ὑπὲρ Σοδομιτῶν ἐπρέσβευσε, καὶ ἠκούετο· καὶ ὑπὲρ τῶν ἰδίων πρεσβεύων οὐκ ἠκούετο; Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς· ἀρνεῖται Ἀβραὰμ τοὺς ἀλλοτρίους τοῖς τρόποις, οἰκειοῦται δὲ, ὡς ἔφθην, τοὺς ἀλλοτρίους μὲν τοῦ γένους, οἰκείους δὲ τῆς εὐσεβείας. διὰ τοῦτο ἡ γραφὴ βουλομένη δεῖξαι τοῖς Ἰουδαίοις, ὅτι ὧν τις τοὺς τρόπους αἱρεῖται, τούτων καὶ τὴν προσηγορίαν δέχεται, λέγει, ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία· ἡ ἀδελφή σου Σοδομῖτις. βλέπεις πῶς τὴν συγγένειαν ἀπὸ τῶν τρόπων κατασκευάζει. ἐπειδὴ τὰ τῶν Σοδομιτῶν ἐφρόνησεν, ἤκουσεν ἀδελφὴ Σοδόμων, ἤκουσε θυγάτηρ Χαναναίων. καὶ οὕτως ἐδείκνυεν, οὐ τὸ γένος δικαιῶν, ἀλλὰ τὸ ἦθος σεμνύνων. ἐγὼ δὲ νομίζω, ὅτι ὁ Χαναναῖος, καὶ ὁ Ἀμορραῖος ἀρνεῖται τὴν συγγένειαν· καὶ ὅταν ἴδῃ τοὺς θεομάχους, καὶ τοὺς ἀλλοτρίους τῆς εὐσεβείας προσχωροῦντας αὐτῷ, ἀρνεῖται, καὶ οὐ δέχεται ὁ Χαναναῖος κληθῆναι πατὴρ τῶν ἀσεβῶν. διὰ τί ἀρνεῖται; ἐὰν ἐπιτρέψῃς Χαναναίῳ, καὶ εἴπῃς, ὅτι ὁ πατήρ σου Χαναναῖος, καὶ ἐρεῖ· οὗτός μου υἱὸς ὁ ἀρνησάμενος τὴν πίστιν τῶν πατέρων; ἐγὼ οὐκ εἰμὶ ἄπιστος, εἰ καὶ Χαναναῖος· μαρτυρήσει γάρ μου τῇ πίστει ἡ Χαναναία βοῶσα, υἱὲ Δαβὶδ ἐλέησόν με· μὴ καλείσθωσαν δὲ υἱοὶ Χαναναίων· οὐ γὰρ ἐφύλαξαν τὴν πίστιν τῆς Χαναναίας· κληθήτωσαν υἱοὶ λίθων καὶ ξύλων οἱ λέγοντες τῷ λίθῳ, πατήρ μου εἶ σὺ, καὶ τῷ ξύλῳ, ὅτι σύ με ἐγέννησας. ἐγὼ δὲ νομίζω καὶ τοὺς λίθους ἀρνεῖσθαι, καὶ τὰ ξύλα ἀπαγορεύειν τὴν οἰκειότητα τῶν ἀπίστων. δύναται δὲ καὶ λίθος ἀρνεῖσθαι καὶ λέγειν, οὐκ ἔστι μου τέκνον ὁ υἱὸς τῆς εὐσεβείας· οὐκ ἔστι μου τέκνον ὁ υἱὸς τῆς ἀδικίας· ἐγὼ εἰ καὶ λίθος εἰμὶ, ἤκουσα τῆς γραφῆς λεγούσης. δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. εἶτα, ναὶ, φησὶ, προσωποποιεῖς ἐκ προσώπου τοῦ λίθου, καὶ λίθος λαλεῖ; ἄκουε τοῦ προφήτου λέγοντος, ὅτι λίθος ἐκ τοίχου φθέγξεται αὐτὰ, καὶ κάνθαρος ἐκ ξύλου λαλήσει· κἂν ὑμεῖς σιωπήσητε, οἱ λίθοι κεκράξονται. τί οὖν κληθήσεται τὸ γένος τῶν ἀπίστων, εἰ μήτε υἱοὶ Ἀβραάμ, μήτε Χαναναῖοι, διὰ τὴν Χαναναίαν; ἠμαύρωσε γὰρ αὐτῶν τὴν ἀπιστίαν ἡ αὐγὴ τῆς πίστεως τῆς Χαναναίας. μήτε υἱοὶ τῶν λίθων; ἀρνοῦνται γὰρ καὶ οἱ λίθοι τὴν οἰκειότητα. τί ὄνομα τοῖς ἀπίστοις; Ἱερεμίας αὐτοῖς ὄνομα ἔθετο· ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς Κύριος. φοβηθῶμεν τοίνυν ἡμεῖς ἀδελφοί· σεμνύνει σε ἡ τοῦ Χριστοῦ εὐγένεια; φοβείτω σε ἡ τοῦ Χριστοῦ δικαιοκρισία. περὶ ἐλεημοσύνης χθὲς ἐκηρύττετο, ὅτι δεῖ πάντα δεύτερα τίθεσθαι ἐλεημοσύνης· ὅτι δεῖ πάντων προτιμᾶν τὴν ψυχήν. ἐθαύμασα καὶ ἑτέραν ἀγνωμοσύνην. ὅτι πῶς οἱ τέκνα μὴ ἔχοντες υἱοποιητοὺς λαμβάνουσι, καὶ ὁ μὲν πατροποιεῖται, ὁ δὲ ἀδελφοποιεῖται· υἱοποιεῖ τὸν ἀλλότριον, καὶ φεύγεις τὸν δεσπότην; υἱοποίησαι τὸν ἀντιδιδόντα σοι τὸν μισθόν· γενέσθω σοι Χριστὸς υἱός. φοβερόν φησι τὸ ῥῆμα· βλέπε τί λέγεις, μὴ προφάσει τοῦ λόγου ἐκπέσῃς τοῦ λόγου· μὴ εἰς ἀλογίαν κατενεχθῇς· υἱὸν καλεῖς ἀνθρώπου τὸν Χριστόν; ἐγὼ δὲ οὐ μόνον υἱὸν καλῶ, ἀλλὰ καὶ ἀδελφὸν οὐκ ἀπ' ἐμαυτοῦ· ἀλλὰ ταῖς αὐτοῦ φωναῖς ἀκολουθῶν· λέγουσιν αὐτῷ ποτε, ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε.

A ſententiam legis expectat, ſed ipſe fit lex in ſeipſum: *Juſto enim lex non eſt poſita.* Salvator itaque hanc vocem excipiens ait: *Hodie ſalus domui huic facta eſt*, ipſe ſeipſum juſtificavit: non propterea quòd Chriſtum ſimpliciter videt, ſed quia Chriſti legibus obedivit. *Hodie ſalus domui huic facta eſt: eo quòd & ipſe filius ſit Abrahæ.* Antequam opera faciat Abrahæ, non filium Abrahæ, ſed Zacchæum ſimplici nomine appellat: ubi verò Patriarchæ opera implevit, fide data ſe pauperum amatorem fore, omniq; iniquitati nuntium remiſſurum, tum temporis ait, & iſte filius eſt Abrahæ. Et nos igitur, fratres, etſi Chriſtiani ſumus & dicimur, nihil ita nos Chriſtianos demonſtrat atq; opera veritatis. Ne ergo noſtris operibus nomen noſtrum ignominiæ nota inuramus, ſed condecoremus operibus fidem. Filii Abrahæ propter fidem vocati ſumus; vocemur & propter opera bona filii Abrahæ: quod enim dicere jam cœperam, non corporis nobilitas quæritur, ſed morum congruentia. Propterea Abraham, & Iſaac & Jacob, & Patriarchæ omnes ſynagogam abnegarunt, quia patrum fidei hæredes ſucceſſoréſque non fuerant. abnegavit ſuos Abraham, quoniam fidem ejus ſectati non ſunt: abnegavit eos & Iſaac & Jacob & Patriarchæ omnes: qui enim Deum abnegavit, eum abnegat & natura. Sed quis tandem locus teſtimonio ſuo probabit Abraham abnegaſſe Judæos, ne videamur tanquam in hoſtes audacter iſta jactare, ſed tanquam peccati reos convincere? Beatus Hieremias ex populi perſona ſic ait, Domine miſerere noſtri: mons & civitas quam benedixerunt patres noſtri, facta eſt igni combuſta: tu Domine miſerere noſtri, quia Abraham non cognovit nos, & Iſraël non agnovit nos: parce nobis: Quandoquidem, inquit, ii quibus gloriamur, à nobis alienati ſunt, & noſtrũ genus abnegarunt: tu noſtri miſerere, qui omnes ſuperas benignitate. Miſerere noſtri, quia Abraham non cognovit nos: ſi enim res noſtras ſuas duceret, nonne pro filiis ſuis deprecator & interceſſor fuiſſet? pro Sodomitis deprecatus eſt & auditus eſt: pro filiis ſuis deprecans auditus non eſſet? Abraham non cognovit nos, abnegat Abraham alienos moribus, ſuos autem ducit, ut dixi, eos qui alieni quidem ſunt generis, ſed domeſtici religionis. Idcirco volens oſtendere ſcriptura Judæis, quorum quis mores imitando ſectetur, eorum & appellationem ſortiri, ſic ait, Pater tuus Amorræus, & mater tua Chettæa, ſoror tua Sodomitis. Vide quo pacto cognationem ex moribus ipſis conſtituat, quandoquidem eadem ſapiebat quæ Sodomitæ, ſoror Sodomorum audivit; filia Chananæorum audivit: atque ita demonſtrabat, non ut genus juſtificaret, ſed ut mores honore afficeret. Ego verò ſic exiſtimo. Chananæum etiam & Amorrhæum cognationem iſtam abnegare: cúmque viderit impios Dei hoſtes & à pietate alienos ſibi accedentes, abnegat, neque dignatur Chananæus, impiorum pater appellari: quamobrem abnegat? Si hoc impoſueris Chananæo, & dixeris, Pater tuus Chananæus, & ipſe dicet: Hiccine filius meus qui patrum fidem abnegavit? Ego non ſum infidelis, tametſi Chananæus: meæ quippe fidei teſtimonium dicet Chananæa, quæ clamat, Fili David miſerere mei. Ne vocentur ergo filii Chananæorum; non enim fidem Chananææ ſervarunt: vocentur filii lapidum atque lignorum, qui dicunt lapidi, Pater meus es tu, & ligno, Tu me genuiſti. Imo ego lapides etiam arbitror abnegare, ac ligna cognationem infidelium repudiare: poteſt & lapis negare ac dicere, Non eſt filius meus, filius impietatis: non eſt filius meus, filius iniquitatis: ego enim tametſi lapis ſum, ſcripturam audivi dicentem, *Poteſt Deus & de lapidibus iſtis ſuſcitare filios Abrahæ:* deinde verò itáne inquit ex perſona lapidis orationem effingis, & loquitur lapis? audi prophetam dicentem, lapis de pariete loquetur ea, & ſcarabeus de ligno effabitur: etſi vos tacueritis, lapides clamabunt. Quid ergo appellabitur infidelium genus, ſi neque filii Abrahæ, neque Chananæi, propter Chananæam? ipſorum enim inobſcuravit infidelitatem ſplendor fidei Chananææ. neque lapidum filii? nam & lapides illorum repudiant propinquitatem: quod nomen erit incredulis? quod illis impoſuit nomen Hieremias. *Argentum reprobum vocate eos, quia reprobavit eos Dominus.* Timeamus itaq; nos fratres, exornat te Chriſti nobilitas? timorem incutiat tibi juſtum judicium Chriſti, de eleemoſyna heri prædicabatur, omnia eſſe eleemoſynæ poſthabenda, omnibus animam eſſe præferendam. Admiratus ſum & alteram indignitatem: quo nimirum pacto ii quibus non ſunt filii, adoptivos ſibi filios quærant: atque hic quidem fit pater, ille autem frater efficitur, alienum tibi adoptas in filium, & Dominum fugis? adopta tibi eum qui reddat tibi mercedem: fiat tibi filius Chriſtus. Tremendum inquit dictum hoc: vide quid dicas, ne occaſione orationis hujus excidas à ratione, atque in rationis judiciique inopiam devolvaris. Filium hominis appellas Chriſtum? Ego verò non filium modò, ſed & fratrem appello, non à me ipſo, ſed dicta ipſius ſequutus, dixerunt illi aliquando, *Mater tua & fratres tui quærunt te.*

1. Tim.1,9.
Luc.19,9.
XV.
Matth.3,9.
Jere.6,30.
XVI.
Matt.12,47

Ait Salvator, *quæ eſt mater mea, & qui ſunt fratres mei? qui-
cunque fecerit voluntatem patris mei, ipſe meus frater & ſoror,
& mater eſt*; ſi verò mater ejus eſt, utique filius matris eſt qui
hac appellatione juſtitiam exornavit. Fiat igitur omnis anima
Chriſti mater ſecundùm affectum. Quo modo mater Chriſti?
omnis anima in ſeipſa Chriſtum parturit: niſi verò pietate fue-
rit transformata, mater Chriſti non poteſt vocari. Cùm exce-
XVI. peris verbum Chriſti, & illud in tua mente formaris, ac tan-
quam in utero ratiocinatione transformaris, ipſius mater ap-
pellaberis. Atque ut intelligas in unoquoque formari Chri-
ſtum, & matrem Chriſti, verbi inquam nimirum Chriſti, a-
nimam cujuſque noſtrum fieri; ſic ait Paulus, Filioli mei,
quos iterum parturio, donec formetur Chriſtus in vobis, ope-
ratus es juſtitiam? in anima Chriſtum formaſti. eleemoſynam
impertiſti? figuram veritatis formaſti: non quòd in ſingulis
Chriſtus formetur, Chriſtum enim verbum pietatis appellat
cujus opera figuram recipimus veritatis. Illud ergo perpenden-
dum eſt qua ratione Chriſtum nos reddere fratrem noſtrum o-
porteat. Rerum ipſum tuarum conſortem aſſume, non vis illi
XIIX. cuncta largiri? ſaltem illi da dimidium, ut Zacchæus: ipſi e-
Prov.19,17 nim, inquit, dedit Zacchæus non pauperibus. Verum audi
quomodo *qui miſeretur pauperis, fœneratur Deo*: Si pauperi-
bus dederis, Chriſto dediſti. neſcis eum, quæ data ſunt, in ſe
recipere? neſcis, quo modo terribile tribunal propoſuerit?
Matt.25,32 dicens: *Cum venerit filius hominis in regeneratione, ſtatuet oves
quidem à dextris, hædos autem à ſiniſtris: & dicet his qui à dex-
tris erunt, Venite benedicti patris mei, poſſidete paratum vobis re-
gnum: quoniam eſurivi, & dediſtis mihi manducare?* vide, ut
ille cui per pauperes fœneratum eſt, debitum fateatur; ſitivi,
& dediſtis mihi bibere: nudus eram, & operuiſtis me. Itaque
ſi ſpeciem quidem apparentem ſpectes, nudum induis: re au-
tem vera Chriſtum operis: indue Chriſtum ut in judicii die te
induat: tege illum, ut in die iræ te protegat, audi Davidem di-
Pſal. 26, 5. centem: *Protexit me in abſcondito tabernaculi ſui*: protectio-
ne opus eſt: invadit ignis ille formidabilis, gehenna inevitabi-
lis: ac niſi Chriſti manus protexerit, ignis alienum agnoſcet:
novit enim apprehendere alienos: novit honorare ſanctos; pie-
tatem reveretur; impietatem invadit. Illic non opes, non pe-
cuniæ perſuadent, non poteſtas, non principatus: omnia æ-
qualiter ante tribunal Chriſti aſtant. Etſi enim apud homines
ſint diſcrimina; tamen apud Dominum æquali in honore ſunt
XIX. omnia, etſi multum inter ſe ſint diverſa. Angeli & hominis
quanta diverſitas? magna planè atque haud vulgaris: Solis &
lunæ atque ſtellarum quantum diſcrimen? atqui ad eandem a-
dorationis legem ſimul vocantur, quantum diſcrimen herbæ &
Angelorum & quorum hæc quidem immortalia ſunt, illa verò
mortalia? at horum unumquodque ſub jugo ſervitutis domi-
natum agnoſcit. Propterea David etiam ea, quæ conditione di-
ſtincta ſunt, connectit concentu atque concordia, dicens, Lau-
Pſal.148,1. date Dominum de cœlis: *Laudate eum in excelſis, omnes An-
geli ejus, omnes virtutes ejus, ſol & luna*: etſi enim ſubjecta &
inferiora ſunt conditione atque ordine, ſervitute tamen unita
ſunt. Non aliter fratres atque in mundo dignitates ſunt illæ qui-
dem inter ſe diſtinctæ, uno autem jugo ſervitutis unitæ ſunt:
omnes enim capita Regi ſubmittunt, omnes metuunt poteſta-
tem; atque inter dignitates diſcrimen eſt: apud ſervos autem
concordia: ſic & illic homines omnes æquales, ſoli verò inæqua-
XX. les, qui antecellunt; qui pietate collucent. Quocirca rectè di-
xit Daniel, Aſpiciebam in viſione noctis, & ecce, velut anti-
quus dierum ſedebat. hìc attende quæſo diligenter quo pacto tan-
quam incorporea imagine ac ſpecie judicem veritatis deſcribat,
& narrat: nam quoniam incorporeus eſt naturaliter Deus, tan-
quam in imagine per res ſenſibiles, ſpiritales deſcribit. Ait igitur
quomodo antiquus dierum non tempore inveteratus, ſed anti-
quitate honoratus: veſtimentum ejus candidum quaſi nix: ca-
pillus capitis ejus quaſi lana munda: thronus ejus flamma ignis,
rotæ ejus ignis ardens, fluvius ignis trahebatur in conſpectu ejus,
mille millia aſtiterunt ei, & dena millia denum millium mini-
ſtrant ei. O tremendum tribunal! O narrationem, quæ vel ſto-
lidis terrorem poſſit incutere! Si adeo terribilia ſunt, dum au-
diuntur, quanto terribiliora erunt, dum ſpectabuntur? *Et aſpicie-
Dan.7,9. bam in viſione noctis, & ecce libri aperti ſunt, & throni poſiti ſunt*,
throni? cui? hìc attentione animi opus eſt, ſi veritatis judex ſe-
det. & thronus ejus flamma ignis; quoſnam quæſo Daniel thro-
nos dicit? aſpiciebam quòd throni poſiti ſunt, & libri aperti ſunt;
quorum throni? ſanctorum nimirum Apoſtolorum. ad quos di-
Matt.19,28 cebat Salvator: *Cum venerit filius hominis in gloria ſua, ſedebi-
tis & vos ſuper ſedes duodecim judicantes duodecim tribus I-
ſrael.* Libri aperti ſunt: libri in quibus ſcripta ſunt mala, in
quibus ſcripta ſunt bona, in quibus ſcripta eſt cujuſque vita.

A λέγει ὁ Σωτὴρ, τίς ἐστι μήτηρ μου, ἢ τίνες εἰσὶν ἀδελφοί μου; ὃς ἂν
ποιῇ τὸ θέλημα τοῦ πατρός μου, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ
μήτηρ ἐστίν. εἰ δὲ μήτηρ αὐτοῦ, ἄρα υἱὸς τῆς μητρὸς, ὁ τῇ προσηγορίᾳ
λαμπρύνας τὴν δικαιοσύνην. γινέσθω τοίνυν πᾶσα ψυχὴ, μήτηρ Χρι-
στοῦ κατὰ διάθεσιν. πῶς μήτηρ Χριστοῦ; πᾶσα ψυχὴ ὠδίνει ἐν αὐτῇ τὸν
Χριστόν· ἐὰν δὲ μὴ μεταμορφωθῇ τῇ εὐσεβείᾳ, μήτηρ Χριστοῦ κα-
λεῖσθαι οὐ δύναται. ὅταν λάβῃς λόγον Χριστοῦ, καὶ πλάσῃς αὐτὸν ἐν τῇ
B διανοίᾳ σου, καὶ ὥσπερ ἐν μήτρᾳ τῷ λογισμῷ μεταμορφώσῃς, κα-
λῇ μήτηρ αὐτοῦ. καὶ ἵνα μάθῃς, ὅτι ἐν ἑκάστῳ Χριστὸς μορφοῦται, καὶ
μήτηρ Χριστοῦ γίνεται, λέγω δὴ τοῦ λόγου τοῦ Χριστοῦ ἑκάστου ἡμῶν ἡ ψυ-
χή· λέγει Παῦλος· τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορ-
φωθῇ Χριστὸς ἐν ὑμῖν· εἰργάσω δικαιοσύνην; ἐμόρφωσας ἐν τῇ
ψυχῇ Χριστόν· ἐπέδωκας ἐλεημοσύνην; ἐμόρφωσας τὸν χαρακτῆ-
ρα τῆς ἀληθείας· οὐχ ὅτι κατ' ἕκαστον Χριστὸς μορφοῦται· Χριστὸν γὰρ
C καλεῖ τὸν λόγον τῆς εὐσεβείας, δι' οὗ τὸν χαρακτῆρα τῆς ἀληθείας ἀνα-
λαμβάνομεν. ἐπέδωκας ἐλεημοσύνην; ἐμόρφωσας Χριστόν· ἐ-
ποίησας δικαιοσύνην; ἐμορφώθη ὁ χαρακτὴρ τῆς ἀληθείας. δεῖ σε
προσέχειν, πῶς χρὴ ἀδελφοποιῆσαι τὸν Χριστόν· λάβε αὐτὸν κοινωνὸν
τῶν σῶν πραγμάτων· οὐ θέλεις αὐτῷ χαρίσασθαι πάντα; κἂν τὰ ἡ-
μίση δὸς αὐτῷ ὡς ὁ Ζακχαῖος. αὐτῷ γάρ, φησιν, ἔδωκεν ὁ Ζακ-
χαῖος, οὐ τοῖς πτωχοῖς. ἀλλ' ἄκουε, ὅτι ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ·
D πτωχοῖς δέδωκας, Χριστῷ δέδωκας· οὐκ οἶδας ὅτι τὰ δοθέντα, εἰς ἑ-
αυτὸν ἀναλαμβάνει, οὐκ οἶδας πῶς φοβερόν σοι κριτήριον ἐνεχά-
ραξε, λέγων, ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ παλιγγενεσίᾳ, στήσει
τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ
τοῖς ἐκ δεξιῶν, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομή-
σατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, ὅτι ἐπείνασα, καὶ ἐδώκατέ
μοι φαγεῖν; βλέπε πῶς ὁ διὰ τῶν πτωχῶν δανειζόμενος, ὁμολογεῖ
E τὸ χρέος· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ περιεβά-
λετέ με. εἰ καὶ τῷ μὲν φαινομένῳ σχήματι, γυμνὸν ἐνδύεις, τῇ δὲ
ἀληθείᾳ Χριστὸν περιβάλλεις. ἔνδυσον Χριστὸν, ἵνα ἐνδύσῃ σε ἐν
ἡμέρᾳ κρίσεως· σκέπασον αὐτὸν, ἵνα σκεπάσῃ σε ἐν ἡμέρᾳ ὀργῆς·
ἄκουε τοῦ Δαβὶδ λέγοντος, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς
αὐτοῦ. χρεία σκέπης· καταλαμβάνει τὸ πῦρ ἐκεῖνο τὸ φοβερόν· ἡ
γέεννα ἡ ἀπαραίτητος· καὶ ἐὰν μὴ Χριστοῦ χεὶρ σκεπάσῃ, τὸ πῦρ τὸ
ἀλλότριον γνωρίζει· οἶδεν ἐπιλαβέσθαι ἀλλοτρίων· οἶδε τιμᾶν ἁγίους·
A αἰδεῖται τὴν εὐσέβειαν· ἐπιλαμβάνεται τῆς ἀσεβείας. ἐκεῖ οὐ πλοῦτος,
οὐ χρήματα πείθει· οὐκ ἐξουσία, οὐ δυναστεία. πάντα ἐξ ἰσοτιμίας
παρίσταται τῷ βήματι τοῦ Χριστοῦ· κἂν γὰρ αἱ διαφοραὶ ὦσι περὶ τοὺς
ἀνθρώπους, ἀλλὰ πρὸς τὸν δεσπότην ὁμότιμα πάντα, κἂν πολλὴν ἔχῃ
τὴν διαφοράν. ἀγγέλου καὶ ἀνθρώπου πόση διαφορά; πολλὴ, καὶ οὐχ ἡ
τυχοῦσα· ἡλίου, καὶ σελήνης, καὶ ἀστέρων πόση διαφορά; ἀλλ' εἰς τὸν
νόμον τῆς προσκυνήσεως ὁμοῦ καλοῦνται· πόση διαφορὰ βοτάνης καὶ
B ἀγγέλων, καὶ ὧν τὰ μὲν ἀθάνατα, τὰ δὲ θνητά; ἀλλ' ἕκαστον ἐν τῷ
ζυγῷ τῆς δουλείας ἐπιγινώσκει τὸν δεσπότην. διὰ τοῦτο καὶ Δαβὶδ τὰ
διῃρημένα τῇ τάξει συνάπτει τῇ συμφωνίᾳ λέγων, αἰνεῖτε τὸν Κύ-
ριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. πάντες ἄγγελοι
αὐτοῦ, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, ἥλιος καὶ σελήνη· εἰ γὰρ καὶ ὑποβέ-
βηκε τῇ τάξει, ἀλλ' ἥνωται τῇ δουλείᾳ· καὶ ὥσπερ ἀδελφοὶ τὰ ἐν τῷ
κόσμῳ ἀξιώματα διῄρηται μὲν πρὸς ἑαυτὰ, ἥνωται δὲ πρὸς τὸν ζυγὸν
C τῆς δουλείας, πάντες γὰρ ὑποκύπτουσι τῷ βασιλεῖ πάντες τρέμουσι
τὴν ἐξουσίαν· καὶ ἡ μὲν διαφορὰ περὶ τὰ ἀξιώματα· ἡ δὲ συμφωνία
παρὰ τοῖς δούλοις· οὕτως κἀκεῖ πάντες οἱ ἄνθρωποι ἴσοι, μόνοι δὲ
ἄνισοι οἱ ὑπερέχοντες, οἱ τῇ εὐσεβείᾳ διαλάμποντες. διὰ τοῦτο
καλῶς ἔλεγεν ὁ Δανιὴλ, ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ ὡς
παλαιὸς ἡμερῶν ἐκάθιζεν. ἐνταῦθα πρόσεχε ἀκριβῶς, παρα-
καλῶ, πῶς τὸν κριτὴν τῆς ἀληθείας ἱστορεῖ ὡς ἐν εἰκόνι σωματικῇ.
D ἐπειδὴ γὰρ ὁ Θεὸς ἀσώματός ἐστι τὴν φύσιν, ὡς ἐν εἰκόνι τοῖς αἰσθη-
τοῖς διαγράφει τὰ νοητά. φησὶ γοῦν ὡς παλαιὸς ἡμερῶν, οὐ χρόνῳ
πεπαλαιωμένος, ἀλλὰ τῇ ἀρχαιότητι τετιμημένος· ἡ στολὴ αὐτοῦ
ὡς χιὼν λευκή· ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ
θρόνος αὐτοῦ φλὸξ πυρός· οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς
πυρὸς ἑλκόμενος ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες παρειστήκει-
σαν αὐτῷ, καὶ μύριαι μυριάδες λειτουργοῦσιν αὐτῷ· ὢ φοβεροῦ κρι-
E τηρίου· οὐ μνήμης ἱκανῆς φοβῆσαι τοὺς ἀγνώμονας. εἰ ἀκουόμενα
οὕτω φοβερὰ, θεωρούμενα πόσῳ φοβερώτερα; καὶ ἐθεώρουν ἐν ὁρά-
ματι τῆς νυκτὸς, καὶ ἰδοὺ βίβλοι ἀνεῴχθησαν, καὶ θρόνοι ἐτέθη-
σαν. τίνων οἱ θρόνοι, ἢ δηλονότι τῶν ἁγίων ἀποστόλων, πρὸς οὓς ἔλε-
γεν ὁ Σωτὴρ, ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καθί-
σεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς
τοῦ Ἰσραήλ. βίβλοι ἠνεῴχθησαν, βίβλοι, αἷς ἐγγέγραπται τὰ φαῦ-
λα, αἷς ἐγγέγραπται τὰ ἀγαθὰ, ἐν αἷς ἀναγέγραπται ὁ ἑκάστου βίος

βίβλοι

βιβλίον δὲ καλεῖ οὐκ ἐπειδὴ δέρμα ἐστὶ παρὰ Θεῷ καὶ γράμματα, ἀλλ' ἐπειδὴ παρὰ σοὶ τὸ βιβλίον, μνήμης ἐστὶν ὄργανον, τὴν τοῦ Θεοῦ μνήμην ἱστορεῖ ὡς ἐν βιβλίῳ. βιβλίου γὰρ Θεὸς οὐ χρῄζει. βιβλίον γὰρ Θεοῦ ἡ μνήμη· οὐκ ἐπειδὴ ἡμεῖς οἱ ἄνθρωποι ἀναγινώσκοντες προφήτας, ἀποστόλους, εὐαγγέλια, ἐν καρδίᾳ οὐ περιφερόμεθα τὴν μνήμην ἄνευ βιβλίου, ὁ Θεὸς βιβλίου δεῖται· οὐ δεῖται ἡ πηγὴ τῆς μνήμης. ἐκεῖ γράφεται τὰ ἐνάρετα ἔργα, ἐκεῖ γράφεται τὰ φαῦλα, μὴ φοβηθῇς τὸ πρόκριμα, κἂν καταγραφῇ σου τὰ ἔργα τὰ πονηρά, δύναται ἐξαλειφθῆναι διὰ τῶν ἔργων τῶν ἀγαθῶν. ὥσπερ πάλιν ἐὰν γραφῇ τινος τὸ ὄνομα δι' εὐσέβειαν, ἀρνήσηται δὲ τοῖς τρόποις, πρόκριμα οὐ ποιεῖ τὸ γραφῆναι· ἀπαλείφεται γάρ. ἵνα δὲ μάθῃς ὅτι ἀπαλείφεται δι' εὐσέβειαν γραφεὶς, καὶ διὰ ῥαθυμίαν ἐκβληθεὶς, λέγει Δαβὶδ περὶ Ἰουδαίων τῶν ποτε γραφέντων, καὶ ὕστερον ἐξαλειφθέντων· "ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. ὥσπερ ἐξαλείφονται οἱ ἄπιστοι, οὕτω γράφονται οἱ πιστοί· "ἄκουε Παύλου λέγοντος, ἀσπάζεσθε τοὺς ἠγαπημένους ἡμῖν ἀδελφοὺς, καὶ τὸν σύζυγόν μου Κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. φοβηθῶμεν τὴν βίβλον ἐκείνην· φοβήθητι, μὴ καταγραφῇ σου τὰ ἁμαρτήματα· ἐννόει πῶς διατίθεσαι ἐπὶ κριτοῦ, ἐὰν ἀνοιχθῇ κατὰ σοῦ τὰ ὑπομνήματα ἐπὶ ἄρχοντος, ἐλέγχοντά σου τὴν ἀδικίαν, στηλιτεύοντά σου τὴν μανίαν· ἐννόησον ὅσος φόβος, ὅσος τρόμος, πῶς κλονεῖται τὰ μέλη, πῶς ἀναβράσσεται πάντα τὰ ἐντὸς ἀνθρώπου δικάζοντος· εἰ δὲ ἀνθρώπου δικάζοντος τοσοῦτος φόβος, τίς δυνήσεται τὸν φόβον ἐκεῖνον ἱστορῆσαι, καθ' ὃν μέλλει κρίνειν τὴν οἰκουμένην ὁ πάντων δεσπότης; ταῦτα λέγομεν, οὐχ ἵνα φοβήσωμεν, ἀλλ' ἵνα σωφρονίσωμεν, μὴ προτιμᾶσθαι τοῦ Χριστοῦ χρήματα· μὴ προτιμᾶσθαι τοῦ Θεοῦ ἀδικία καὶ πλεονεξία. ἤκουσας τῶν προειρημένων, ὅτι μέχρι τοῦ τάφου ἡ εὐεργεσία; ταύτην ἡμῖν χθὲς ἐγυμνάζετο· τί ἀναμένεις τὸν τάφον τέλος γενέσθαι σοι τοῦ βίου; ἀνάμενε τὸν τάφον τέλος τῆς ζωῆς, ἵνα διὰ τῆς παρούσης εἰς τὴν μέλλουσαν διαπορθμευθῇς· ἀγάπησον ἔργα δικαιοσύνης· τάφος ἐστὶν, ἐν ᾧ διαλυόμεθα· τάφος ἐν ᾧ ἀφανίζεται τὸ γήϊνον σκεῦος. φύγωμεν τὴν μέλλουσαν κρίσιν ἀδελφοὶ, δέομαι * * * *

* * * ταῦτα πάσχοντας ἀκούειν, ἀναλάβωμεν πόθον δικαιοσύνης· βλέπε πῶς βοᾷ ὁ προφήτης, οἴμοι ἐγὼ εἰς τὴν ἡμέραν τοῦ Κυρίου, ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου· εἰ προφήτης μεμνημένος τῆς ἡμέρας τρέμει, ἡμεῖς οἱ ὑπεύθυνοι μυρίοις ἁμαρτήμασιν, ἄνευ φόβου μνημονεύσομεν; δυσωπήσωμεν τὸν κριτὴν διὰ μετανοίας· ἐξαλείψωμεν ἡμῶν τὰ ἁμαρτήματα, φοβηθῶμεν ἐκείνην τὴν φοβερὰν φωνὴν τὴν λέγουσαν, ὃς ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων· [οὐχ ὁ λόγῳ δὲ ἀρνούμενος, ἀλλ' ὁ τοῖς τρόποις ἀρνούμενος ἀρνεῖται] ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου· ὃς ἂν ἐξομολογήσηταί με, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου· εἰ τὰ ῥήματα ἐξεταζόμενα φοβερὰ, τὰ πράγματα ὁρώμενα οὐ μᾶλλον φοβερώτερα; ἐννόησον, ἀδελφὲ, τὸν κριτὴν τῆς οἰκουμένης καθήμενον, ἀγγέλους παρεστῶτας, ἀρχαγγέλους δορυφοροῦντας, τὰ Χερουβὶμ δοξάζοντα, τὰς ὑπερκοσμίους δυνάμεις, τὰς ὑπερουρανίους στρατιὰς, καὶ ἐν τούτοις πᾶσι πατριάρχας, προφήτας, ἀποστόλους, εὐαγγελιστὰς, μάρτυρας, καὶ τοὺς ἐν τῷ κόσμῳ βασιλεῖς, ἄρχοντας, κριτὰς, δυνάστας, πλουσίους, πένητας, ἰδιώτας, σοφοὺς, πάντας τούτους πρὸ τοῦ βήματος ἑστῶτας, καὶ ἐπὶ τοσούτων μαρτύρων οὐρανίων καὶ ἐπιγείων λέγοντα τὸν κριτὴν, καὶ ἀρνούμενον τοὺς ἀλλοτρίους ἐπὶ τοῦ πατρός. ἀρνήσομαι γὰρ αὐτὸν, φησὶ, τὸν ἀρνησάμενόν με ἔμπροσθεν τοῦ πατρός· ἐννόησον αὐτὸν λέγοντα· πάτερ, οὗτός μου τὴν πίστιν ἐξουθένησεν· οὗτός μου τοὺς ἰδίους ἐδίωξεν· οὗτός μου τὴν ἐκκλησίαν ὕβρισεν· οὗτός μου τοὺς ἰδίους ἐστηλίτευσεν· οὗτός μου τὸ κήρυγμα κατεπάτησεν. λέγει δὲ ταῦτα, οὐκ ἀγνοοῦντα τὸν πατέρα διδάσκων, ἀλλὰ τὴν κατηγορίαν τῶν ἐχθρῶν στηλιτεύων. ἐννόησον λέγοντα τὸν κριτὴν, ὅταν καλέσῃ τοὺς ἐνδόξους τῆς γῆς δεδεμένους. τοῦ δῆσαι γάρ, φησι, τοὺς ἄρχοντας αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς, παρεστῶτας μετὰ φόβου τοὺς κρινομένους τοὺς δυνάστας· καὶ τὸν Σωτῆρα λέγοντα· οὗτοί μου τὸν λόγον τῆς ἀληθείας διέπτυσαν· οὗτοί μου τὸν νόμον παρεχέψαντο. οὗτοί μου τὸ δόγμα ἠκύρωσαν· οὗτοι τοὺς ἀποστόλους ἐκόλασαν· οὗτοι τοὺς μάρτυρας ἐβασάνισαν· ταῦτα λέγει· καὶ ἐννόησον βασιλέως φθεγγομένου, πῶς οἱ παρεστῶτες ἄγγελοι νεύουσι φοβερὸν, ἀπειλοῦσι φρικτὸν, τῷ βλέμματι ἤδη τὸν ἁμαρτωλὸν ἀναλίσκοντες. ἐννόησον τοὺς ἀγγέλους ἀγανακτοῦντας, ἀρχαγγέλους κινουμένους, τὰς δυνάμεις σαλευομένας, τὸν πατέρα ἀγανακτοῦντα, τὸ πνεῦμα τὸ ἅγιον ὀργιζόμενον, ἐκεῖνον μετὰ μεγάλης αἰσχύνης ἐκβαλλόμενον, ἐκβαλλόμενον δὲ οὐ τῆς σωτηρίας μόνον, ἀλλὰ καὶ εἰς κατάκρισιν ἐξελκόμενον· ἀλλὰ γὰρ οὐ φοβερὸν τὸ μὴ σωθῆναι μόνον, μηδὲ βασιλεῦσαι· ἀλλὰ καὶ

A librum autem vocat, non quòd pellis ac membrana ſit apud Deum & literæ, ſed quoniam apud te liber, memoriæ eſt inſtrumentum; Dei memoriam tanquam in libro poſitam narrat: libro ſiquidem Deus non indiget, liber enim Deo eſt memoria: non quia nos homines cùm Prophetas, Apoſtolos, Evangelia legimus, in corde memoriam non circumferimus ſine libris; Deus libro eget: non indiget fons memoriæ. Ibi ſcribuntur virtutis opera, ibi prava ſcribuntur: ne tibi timeas ob præjudicium. licet perver- B ſa tua perſcripta ſint opera, bonis operibus poſſunt deleri: uti rurſus ſi cujus nibi nomen pietatis ergo perſcriptum ſit, moribus autem abnegarit, nullum ex eo fit præjudicium quod ſcriptum ſit, ſed deletur. Ut autem intelligas deleri eum qui propter pietatem inſcriptus ſit, & propter ſocordiam ejectus, de Judæis dicit David, qui ſcripti olim fuerunt, ac deinde deleti; *Deleantur de libro viventium: & cum juſtis non ſcribantur.* Pſal. 68, 30 Quemadmodum infideles delentur, ita ſcribuntur fideles; audi Paulum dicentem, *Sa-* Phil. 4. 3 D *lutate dilectos nobis fratres, & comparem cum Clemente & cæteris adjutoribus meis, quorum nomina ſunt in libro vitæ.* Timeamus librum illum: nunc ne tua perſcribantur peccata: cogita quo pacto afficiaris coram judice ſi adverſum te aperiantur peccata, cogita quo pacto afficiaris coram judice, ſi contra te commentarii quibus iniquitas tua continetur, coram magiſtratu aperiantur, quibus tua dementia publicetur: cogita quantus timor, quantus tremor invadat te, quomodo membra contremi- C ſcant, quomodo interiora omnia concutiantur, homine judicante tantus eſt timor, quis illum timorem queat enarrare, qui tum ingruet, cùm univerſum orbem terrarum dominus omnium judicabit? Hæc à nobis dicuntur, non ut terrorem incutiamus, ſed ut meliorem mentem traducamus: ne præferantur Chriſto pecuniæ: ne Chriſto induſtria & avaritia præferatur. Audiſti quæ ante jam dicta ſunt, uſque ad ſepulchrum bene agendum eſſe? De his heſterno die ſermonem inſtituimus. Quid expectas ſepulchrum, ut E tibi ſit tuæ vitæ finis? expecta ſepulchrum, finem vitæ, ut per præſentem ad futuram tranſveharis, dilige juſtitiæ opera: ſepulchrum eſt, in quo diſſolvimur. Sepulchrum in quo vas terrenum deletur. Fugiamus illud judicium futurum obſecro fratres! * * audire iſta patientes: juſtitiæ deſiderium recipiamus. Vide ut clamet Propheta: *Heu mihi in diem Domini, quia prope eſt dies Domini.* Joel 1, 15. Si Propheta, dum diei recordatur, tremit, nos qui ſexcentorum ſumus peccatorum rei, ſine tremore recordabimur? A placemus judicem pœnitentia; peccata noſtra deleamus: terribilem illam vocem reformidemus, dicentem, *Qui negaverit* Mat. 10, 33. *me coram hominibus*, (neq; verò is qui verbo negat, ſed qui moribus negat,) *negabo & eum ego coram patre meo: qui me confeſſus fuerit, confitebor & ego eum coram patre meo.* Si verba dum expenduntur terribilia ſunt, nonne res ipſæ multo terribiliores erunt dum cernentur? Pone tibi ante oculos, mi frater, orbis terrarum judicem conſidentem, aſtantes Angelos, apparitorum vices obeuntes Archan- B gelos, Cherubim collaudantes, virtutes illas mundo ſuperiores, exercitus illos ſupercœleſtes, atque in his omnibus Patriarchas, Prophetas, Apoſtolos, Evangeliſtas, Martyres & hujus mundi Reges, magiſtratus, judices, Principes, divites, pauperes, idiotas, ſapientes, omnes iſtos ante tribunal ſtantes, & in tot cœleſtium terreſtriumque conſpectu dicentem judicem, & apud patrem alienos abnegantem: Negabo enim eum, inquit, qui me negaverit coram patre: Intuere illum animo, dicentem: Pater C mi, hic meam fidem neglexit, hic meos ſervos perſecutus eſt, hic meam Eccleſiam injuriis affecit, hic meos ignominiosè traduxit: hic mei verbi prædicationem conculcavit. Hæc autem dicit, non ut ignorantem doceat patrem, ſed ut adverſariorum accuſationes pervulget. Cogita quo pacto dicat judex cùm advocarit nobiles terræ alligatos, *Ad alligandos* enim, inquit, *principes eorum in compedibus, & nobiles eorum in manicis ferreis,* Pſal. 149, 8. ut aſtent cum timore principes, judicandi: & Salvator dicat: Iſti ver- D bum meum veritatis repudiarunt, iſti meam legem reſpuerunt: iſti mandatum meum irritum reddiderunt: iſti Apoſtolos ſuppliciis affecerunt: iſti martyres tormentis vexarunt: hæc ſunt quæ dicit: interea verò dum Rex loquitur, cogita quo pacto angeli aſtantes terrorem aſpectu, horrorem minis incutiant vel ſolis oculis peccatorem necantes: cogita ut Angeli indignentur, commoveantur Archangeli, concutiantur virtutes, Pater indignetur, Spiritus ſanctus excandeſcat: ille ingenti cum ignominia ejiciatur, neque E tantùm à ſalute excidat, ſed in damnationem trudatur. Enimvero tremendum eſt non modò non ſalvari, neque regnare, ſed

& ignibus tradi. Qui verò confeſſus in me fuerit, confitebor A in eo. Cogita quanta gloria, quantus honor, quanta corona illa futura ſit, cùm judex dicet, Iſte verbum meum ſervavit, iſte fidem meam prædicavit: iſte pauperem meum non deſpexit: iſte avaritiam conculcavit, & juſtitiam illi prætulit: iſte mundum quaſi non eſſet, deriſit, & futurum mundum adamavit: iſte regnum meum divulgavit: iſte verbum meum honore affecit: affice illum honore mi Pater. Verùm hæc nos cùm dicimus, & oratione affectus exprimimus, non dividimus dignitatem divinitatis, B neque partimur poteſtatem; ſed hac ſpecie accuſationis indignatio judicis demonſtratur, atque hæc omnia ad ſalutem quidem eorum qui confitentur: ad condemnationem verò eorum qui non credunt, referuntur. Illud porro eſt omnium formidoloſiſſimum, cùm tibi in mentem venerit ſtare Michaëlem & Gabrielem omneſque angelicos exercitus, ſedere autem filios Zebedæi ſedere Paulum & Petrum, qui ſunt ex hominibus: Angelos vero cum metu aſtare, & homines cum fiducia conſidere C

Pſal 30.20. Dicamus ergo nos quoque cum illis. *Quam magna multitudo dulcedinis tuæ Domine*: Sedet Zacchæus, ſedet Paulus & Petrus; & Michaël aſtat: Non peregrina nomina commemoramus, ſed eorum quæ ſcripta, veſtigiis inſiſtimus: non enim Angelorum nomina didicimus, ſed ea quæ ſcripta ſunt, ſequimur: nulla eſt invidia, nulla æmulatio, non enim res ſunt terrenæ, non ægre ferunt Angeli quod ita ſtent quidem ipſi, homines verò conſideant:

Luc 15, 10 ſanctorum quippe gloriæ ſunt conſortes: audi Dominum di- D centem: *Amen dico vobis, Gaudium erit coram angelis ſuper uno peccatore pœnitentiam agente.* Diligamus igitur gloriam Chriſti, eam verò quæ ut ſomnium præterit, aſpernemur. Dictum enim vobis eſt heri quo pacto gloriam mundi propheta ſomnium appellarit. Erunt enim, inquit, opes impiorum, ut ſomnium: nihil enim à phantaſmatibus præſens rerum ſtatus differt: qui heſterno die proſpera valetudine fruebatur, hodie morbo conflictatur: qui heſterno die poteſtate pollebat: hodie ad humilitatem E dejectus eſt: qui heri divitiis abundabat, hodie premitur egeſtate: qui heri ſuperbiâ efferebatur, hodie contemptus jacet:

Marc.13,31. omnia concutiuntur, omnia commutantur, neque res humanas tantùm dico, ſed & *cælum*, inquit, *& terra tranſibunt, verba mea non tranſibunt.* Idcirco beati Chriſtiani qui etiam in dignitate poſiti humiles ſunt. Humilis fuiſti in dignitate? Nihil tibi damni infert humilitas: talem enim te reperit, qualis eſſe debes, ſi A antevertens, teipſum ante humiliationem humiliaveris, nihil inuſitati ac novi perficiet adverſum te humiliatio: ſed mente paratum ad prælium diſpone. Rectè igitur dicebat David, Paratus ſum, & non ſum turbatus: fugiamus itaque arrogantiam. Fugiamus inanem gloriam: diligamus Chriſtum & pauperes propter Chriſtum, ut omnes ditans, qui omnium miſeretur, multitudinem Eccleſię largiatur, ut abundet pietate, ut juſtitiæ colorem obtineat, qui heſterno die diſpenſationis alterius causâ abfuit à nobis, B nobiſcum autem eſt propter ſollicitudinem ſpiritalem: Non enim Judaicus ille erat populus, ut dicam fuiſſe populum, tanquam o-

Coloſſ.2,5. ves non habentes paſtorem, ſed Apoſtolicus erat Evangelicum habens paſtorem qui dicebat, *Et ſi corpore abſens ſum, ſed ſpiritu vobiſcum ſum, gaudens, & videns firmamentum eius, quæ in Chriſto eſt fides veſtra*: Cui gloria & poteſtas nunc & ſemper & in ſecula ſeculorum. Amen. C

τῷ πυρὶ παραδοθῆναι. ὃς δ' ἂν ἐξομολογήσηται ἐν ἐμοὶ, ὁμολογήσω ἐν αὐτῷ. ἐννόησον, πόση δόξα, πόσον καύχημα, πόσος στέφανος, ὅταν εἴπῃ ὁ κριτής, οὗτός μου τὸν λόγον ἐτήρησεν· οὗτός μου τὴν πίστιν ἐκήρυξεν· οὗτός μου τὸν πτωχὸν οὐ παρεῖδεν· οὗτος τὴν πλεονεξίαν ἐπάτησε, καὶ τὴν δικαιοσύνην προετίμησεν· οὗτος κατεγέλασε τοῦ κόσμου ὡς μὴ ὄντος, καὶ ἠγάπησε τὸν μέλλοντα κόσμον· οὗτός μου τὴν βασιλείαν διεπορθμεύσατο· οὗτός μου τὸν λόγον ἐτίμησε· τίμησον αὐτὸν πάτερ. B ὅταν δὲ ταῦτα λέγωμεν ἠθοποιοῦντες, οὐ μερίζομεν τὴν ἀξίαν, οὔτε λύομεν τὴν ἐξουσίαν· ἀλλὰ τῷ σχήματι τῆς κατηγορίας δείκνυται ἡ ἀγανάκτησις τοῦ κριτοῦ, καὶ γίνεται ταῦτα πάντα εἰς σωτηρίαν μὲν τῶν ὁμολογούντων, εἰς κατάκρισιν δὲ τῶν ἀπιστούντων. τὸ δὲ πάντων φοβερώτερον, ὅταν ἐννοήσῃς ἑστῶτα μὲν τὸν Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ πάσας τὰς ἀγγελικὰς στρατιὰς, καθεζομένους δὲ τοὺς υἱοὺς Ζεβεδαίου, καθεζόμενον Παῦλον, καὶ Πέτρον τοὺς ἐξ ἀνθρώπων, C ἀγγέλους δὲ φόβῳ παρεστῶτας καὶ ἀνθρώπους παῤῥησίᾳ καθεζομένους. ἐννόησον παρεστῶτας ἀγγέλους, καὶ τοὺς ἁλιεῖς, καὶ τοὺς τελώνας καθεζομένους, καὶ εἴπωμεν καὶ ἡμεῖς μετ' αὐτῶν· ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε· κάθηται Ζακχαῖος, κάθηται Παῦλος καὶ Πέτρος, καὶ παρέστηκεν ὁ Μιχαήλ· οὐκ ὀνόματα ξένα λέγομεν, ἀλλὰ τοῖς γεγραμμένοις στοιχοῦμεν· οὐ γὰρ ἀγγέλων ὀνόματα μεμαθήκαμεν, ἀλλὰ τοῖς γεγραμμένοις ἀκολουθοῦμεν· οὐδεὶς φθόνος, D οὐδεὶς ζῆλος· οὐ γάρ ἐστι γήϊνα πράγματα· οὐ λυποῦνται ἄγγελοι διὰ τί μὲν αὐτοὶ ἑστήκασιν, ἄνθρωποι καθέζονται· κοινωνοὶ γάρ εἰσι τῆς δόξης τῶν ἁγίων. ἄκουε τοῦ Κυρίου λέγοντος· ἀμὴν λέγω ὑμῖν, ὅτι χαρὰ ἐστὶν ἐνώπιον πάντων τῶν ἀγγέλων ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. ἀγαπήσωμεν οὖν τὴν δόξαν τοῦ Χριστοῦ, τὴν δὲ δόξαν παρερχομένην εἰς ὄναρ διαπτύσωμεν. εἴρηται γὰρ καὶ χθὲς ὑμῖν, πῶς ὁ προφήτης τὴν δόξαν τοῦ κόσμου ἐνύπνιον ἐκάλεσεν. ἔσται γάρ, φησιν, ὁ πλοῦ- E τος τῶν ἀσεβῶν ὡς ἐνύπνιον. οὐδὲν γὰρ διαφέρει φαντασμάτων ἡ παροῦσα κατάστασις. ὁ χθὲς ἐν ὑγείᾳ, σήμερον ἐν νόσῳ· ὁ χθὲς ἐν ἐξουσίᾳ, σήμερον ἐν ταπεινώσει· ὁ χθὲς ἐν πλούτῳ, σήμερον ἐν πενίᾳ· ὁ χθὲς ἐν ὑπερηφανίᾳ, σήμερον ἐν ἐξουδενώσει· πάντα σαλεύεται· πάντα μεταβάλλεται, καὶ οὐ λέγω τὰ ἀνθρώπινα μόνον· ἀλλὰ καὶ ὁ οὐρανός φησι καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. διὰ τοῦτο μακάριοι οἱ Χριστιανοὶ, οἱ καὶ ἐν τῇ ἀξίᾳ ταπει- A νοφρονοῦντες. ἐταπεινοφρόνησας ἐν τῇ ἀξίᾳ; ἡ ταπεινοφροσύνη οὐδέν σε ἀδικεῖ· τοιοῦτον γάρ σε εὑρίσκει, οἷος ὀφείλεις γενέσθαι. ἐὰν προλαβὼν ταπεινώσῃς σεαυτὸν πρὸ τῆς ταπεινώσεως, οὐδὲν ξένον καινοτομήσει κατά σου ἡ ταπείνωσις, ἀλλ' ἑτοιμασθεὶς τὴν διάνοιαν παρασκεύαζε πρὸς τὴν μάχην. καλῶς οὖν ἔλεγεν ὁ Δαβὶδ, ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην. φύγωμεν οὖν ἀλαζονείαν, φύγωμεν κενοδοξίαν, ἀγαπήσωμεν Χριστὸν, καὶ διὰ Χριστὸν πένητας, ἵνα ὁ πάντας ἐλεῶν χαρί- B ζηται πλῆθος τῆς ἐκκλησίας, ὥστε κομᾷν ἐν εὐσεβείᾳ, ὥστε ἔχειν τὸ γιωεγὸν τῆς δικαιοσύνης, τὸν χθὲς ἀπολειφθέντα δι' ἑτέραν οἰκονομίαν, μεθ' ἡμῶν δὲ ὄντα διὰ τὴν πνευματικὴν ἐπιστασίαν. οὐ γὰρ ἦν ὁ λαὸς Ἰουδαϊκὸς, ἵνα εἴπω, ὅτι ἦν ὁ λαὸς ὡς πρόβατα μὴ ἔχοντα τὸν ποιμένα· ἀλλ' ἀποστολικὸς ἦν, ἔχων εὐαγγελικὸν ποιμένα λέγοντα, εἰ καὶ τῷ σώματι ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι χαίρων καὶ βλέπων τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως· ᾧ ἡ δόξα καὶ τὸ C κράτος νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Religioſum facetiis uti non debere.

FRONTONE DUCÆO interprete.

Epheſ.6,5. SAnctiſſimæ ſunt beati Pauli cohortationes, quæ jubent, *ut cum timore, ſalutem noſtram operemur*. Qui enim abſque timore ac multa ſollicitudine in virtutis exercitio verſatur, in multas D ad nequitiam converſiones incurrit: & tanquam à recta regiaque via aberrans in diverticula & digreſſiones per ſpinas vepreſque deducitur. Idcirco aſſiduæ ad Deum preces itineris duces

Pſal.24,5. ad bonum ſunt iis qui dicunt: *Deduc me Domine in veritatem tuam & perfice greſſus meos in ſemitis tuis.* Bonum eſt humanitas, & charitas caput eſt bonorum. Hæc verò conſequitur hilaritas multa, riſuſque modum excedens, & quæ gravitatem deprimunt facetiæ. Res ſanè indigna facetiis diffluere: riſus enim E temperantiæ vinculum laxat: riſus timoris Dei non recordatur: riſus gehennæ minas non reformidat; riſus ad fornicationem viam ſternit: facetiæ ſunt hominis intemperantis indicia: ſcurrilitas efficit, ut in diſſolutionem & inertiam incidamus: ſcurrilitas eſt contemptus occaſio. Propterea bea-

Epheſ.5,4. tus Apoſtolus prohibet, dicens, *Stultiloquium & ſcurrilitas, quæ ad rem non pertinent, ex ore veſtro non proce-*

Ὅτι οὐ χρὴ εὐτραπελίζειν τὸν ἀσκητήν.

ΠΑναγίαι αἱ παραινέσεις τοῦ μακαρίου Παύλου, μετὰ φόβου κελεύουσαι τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι. ὁ γὰρ μὴ μετὰ φόβου καὶ πολλῆς ἐπιμελείας τὴν ἄσκησιν τῆς ἀρετῆς ἐργαζόμενος, πολλὰς ὑφίσταται τὰς εἰς τὸ κακὸν ἐκτροπάς, καὶ ὥσπερ D ἐξ εὐθείας καὶ βασιλικῆς ὁδοῦ πλανώμενος εἰς τὰς δι' ἀκανθῶν καὶ σκολόπων πλαγίους καὶ ἀνοδίας· διὸ καὶ πρὸς τὸν Θεὸν εὐχαὶ ἀδιάλειπτοι ὁδηγοὶ εἰς τὸ ἀγαθὸν γίνονται· ὁδήγησόν με λεγόντων, ἐπὶ τῇ ἀληθείᾳ σου, καὶ κατεύθυνον τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου. ἀγαθὸν οὖν ἡ χρηστότης, καὶ ἡ ἀγάπη κεφάλαιόν ἐστι τῶν ἀγαθῶν. τούτοις δὲ ἀκολουθεῖ φαιδρότης πολλὴ, καὶ γέλως ὑπερβάλλων τὸ μέτρον, καὶ ἡ τὴν σεμνότητα ταπεινοῦσα εὐτραπελία. δεινὸν δὴ τὸ E διαχυθῆναι τῇ εὐτραπελίᾳ. ὁ γὰρ γέλως χαυνοῖ τὸν δεσμὸν τῆς σωφροσύνης· γέλως ἀπωθεῖ σεμνότητα· γέλως οὐ μεμνήσκεται φόβου Θεοῦ· γέλως οὐ φοβεῖται ἀπειλὴν γεέννης· γέλως πορνείας ὁδηγός· εὐτραπελία ἔλεγχος ἐστὶ τοῦ ἀκολάστου ἀνθρώπου· γελωτοποιΐα εἰς ῥᾳθυμίαν καταβληθῆναι ποιεῖ· γελωτοποιΐα καταφρονήσεως πρόφασις. διὰ τοῦτο ὁ μακάριος ἀπόστολος ἀπαγορεύει, λέγων· μωρολογία, ἡ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἐκ τοῦ στόματος ὑμῶν μὴ

ἐκ

H

Google

ἐκπορευέσθω· ἀλλὰ μᾶλλον εὐχαριστία· τοῦτο λέγων, ὅτι τὴν εὐθυμίαν μὴ πρόφασιν κτήσησθε ῥαθυμίας, ἀλλ' εὐχαριστίας ὑπόθεσιν πρὸς τὸν δεδωκότα. Διὰ τοῦτο μαρτυρεῖ μὲν Ἰὼβ ὑπὲρ ἑαυτοῦ, λέγων· εἰ δὲ καὶ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν. ἐπιπλήττει δὲ τῷ φιλογέλωτι τρόπῳ Σολομών. ἀγαθὸν φησὶ θυμὸς ὑπὲρ γέλωτα· ὅτι ἐν κακίᾳ προσώπου ἀγαθυνθήσεται καρδία. καρδία σοφῶν ἐν οἴκῳ πένθους, καρδία δὲ ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης. ἀγαθὸν τὸ ἀκοῦσαι ἐπιτίμησιν σοφοῦ ὑπὲρ ἄνδρα ἀκούοντα ᾆσμα ἀφρόνων, τὸ δὲ ἀπρεπὲς καὶ ἄτιμον τῶν εἰς γέλωτα ἐκκειμένων ἐλέγχων, φησί· φωνὴ ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων· πρὸς τί δὲ προσήκει τὸ πάνυ φαιδρὸν καὶ ἱλαρὸν εἰς τὸ σοφὸν ἡσύχιον καὶ σεμνὸν φαίνεσθαι καὶ διὰ φόβον καὶ μερίμνης τοῦ ὀφθῆναι Θεῷ περιαιρεῖν τὸ ἄγαν ἱλαρόν. οἱ γὰρ φαιδρότησιν ἀμέτροις καὶ γελοίοις διαχεόμενοι ἐοίκασιν ἀγνοεῖν τὰ καθ' ἑαυτοὺς λήθῃ τινὶ βεβαρημένοι τὴν ψυχήν, καὶ μηδὲ τοῦ δεσπότου τὴν παρουσίαν προσδοκῶντες. οὔπω τοῦ δεσπότου τὴν εὐμένειαν, ὦ ἄνθρωπε, οὔπω τῶν κακῶν βεβαίως ἔχεις τὴν ἀπαλλαγήν· οὐ γινώσκεις τὸ μικρὸν ὕστερον ἐσόμενον, ὅτι ὁ μὲν αὐτὸς ἔσῃ, τί δὲ σοι συμβήσεται· εἶτα γελᾷς ἀφροντίστως, καὶ εὐτραπελίζεις, καὶ ἄγεις σεαυτὸν ἀφόβως, δέον ἐγκεῖσθαι ταῖς πρὸς Θεὸν ἱκεσίαις, ἀγωνιᾶν δὲ ὑπὲρ τῶν μελλόντων, καὶ τρέμειν μὲν ὑπὲρ αὐτοῦ μήποτε τῆς ἀρετῆς ἐκτραπῇς, φροντίζειν δὲ καὶ δεδοικέναι περὶ τῶν ἀπαντησομένων μὴ χαλεπώτερα καὶ μείζονα τῆς σῆς δυνάμεως ἀπέλθοι, τοσούτων καὶ τηλικούτων ἐν μέσῳ πολέμων ἀπειλημμένης, ἀγῶνα ἐχέτω ἡ ψυχή σου. πολεμοῦσιν ἀόρατοι δαίμονες, πολεμοῦσι προφανῶς ἄνθρωποι, πολεμεῖ τὰ τῆς ψυχῆς ἔνδον πάθη, αἱ διὰ σώματος ἐγειρόμεναι ἡδοναί, καὶ αἱ περὶ τὸ σῶμα ἔξωθεν συμφοραί. τοῖς γὰρ πλησίον οὐ συναλγεῖς, οὐκ ἀσθενεῖς μετὰ τῶν ἀσθενούντων, οὐ κλαίεις μετὰ τῶν κλαιόντων· οὐ δέδοικας περὶ τῶν μὴ βεβαίως περὶ τὴν πίστιν διακειμένων, μὴ μετακινηθῶσι, καὶ πέσωσιν· οὐ θρηνεῖς τοὺς πεπτωκότας, οὐ χεῖρα ὀρέγεις τοῖς κειμένοις, οὐκ ἐπιλαμβάνῃ τοῦ γελῶντος, ἔνδοθεν στεναγμοῖς, ὁπότε δὴ ἐληθάργησε τὴν ἡτοιμασμένην κόλασιν· οὐκ ἀνατρέπει σου τὴν ἄκαιρον τρυφὴν ὁ τοῦ συνεσταλμένου καιροῦ λογισμός, οὐχ ἡ τῆς μελλούσης φοβερᾶς ἡμέρας παρουσία, ἀλλ' ἐκείνους μεμίμησαι τοὺς μετὰ κιθάρας καὶ ψαλτηρίου οἶνον πίνοντας· οἷς ἀντὶ τῆς εὐφροσύνης τὸ οὐαὶ ἠπείλησεν ὁ προφήτης. ἐγὼ μὲν γάρ φησιν ἐκήρυξα κλαυθμὸν καὶ κοπετὸν καὶ ξύρησιν κεφαλῆς, καὶ περίζωσιν σάκκων· αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην, καὶ χαρὰν λέγοντες· φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· καὶ ἀνακεκαλυμμένα εἰσὶ ταῦτα ἐν τοῖς ὠσὶ Κυρίου Σαβαώθ, ὅτι οὐκ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνωσιν. ἀκούων ταῦτα φοβήθητι, καὶ στέναξον· μὴ μιμήσῃ τοὺς φαγόντας, καὶ πιόντας, καὶ ἀναστάντας παίζειν· καὶ ἵνα τὸ πικρότερον εἴπω, θυσίαι, καὶ τρυφαί, καὶ παίγνια τοῦ πρὸς Θεὸν ληθαργῆσαι φόβου ἐποίησαν, καὶ πρὸς εἰδωλολατρείαν ἐξήλκυσαν. φοβήθητι μή σου γελῶντος ὁ δεσπότης ὀργίζηται, ὁ τοὺς μὲν κλαίοντας μακαρίσας, τοὺς δὲ γελῶντας ταλανίσας· μὴ τὴν παιγνίαν σου, καὶ τὸν ἐκκεχυμένον γέλωτα, ἀφοβίαν περὶ Θεοῦ, καὶ λήθην τῶν συμφερόντων ὁ διάβολος εὑρὼν ἐπιβῇ τῇ ψυχῇ σου, καὶ σπείρῃ τὰ ἑαυτοῦ ζιζάνια. ἦν ὅτε ἄνεσιν εἶχον οἱ καιροὶ μᾶλλον ἐπιτηδείαν· ἀλλ' ὅμως καὶ τότε πολὺ παρὰ τοῖς ἁγίοις ἦν τὸ σκυθρωπὸν ἀντὶ τοῦ περιχαροῦς· καί φησιν ὁ ψαλμῳδός, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην, καὶ λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δὲ δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· κατηφὴς ἐπὶ ταῖς ἁμαρτίαις γενόμενος, καὶ περὶ τῶν συμφορῶν ὀδυρόμενος, καὶ τὰς τῆς Ἱερουσαλὴμ συμφορὰς, κάθηται κλαίων ὁ προφήτης Ἱερεμίας· καὶ σὺ τοίνυν μὴ κραιπάλῃ καὶ μέθῃ χρώμενος, καὶ γελοίοις, καὶ εὐτραπελίαις ἐκδώσῃς σεαυτόν· διὰ τοῦτο γάρ σου καὶ κιθάρα περῄρηται, καὶ οὔτε τύμπανον ἔχεις ἐν χερσί· καὶ καρδίᾳ μᾶλλον ἢ τῷ στόματι ψάλλειν ὁ Παῦλος ἐδίδασκεν, ὁ πανταχόθεν συστέλλων τὸν ἄνθρωπον ἀπὸ πάσης ἐκλύσεως καὶ διαχύσεως· ἔπαιζεν ὁ πατὴρ Ἰσαὰκ πρὸς τὴν ἑαυτοῦ γυναῖκα· ἀλλά σοι καὶ τὰ πρὸς γυναῖκα σεμνότερα διατέτακται, ὅτι ὁ καιρὸς συνεσταλμένος ἐστίν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. σὺ δὲ οὐ βούλῃ συστέλλεσθαι, πάντων τῶν πραγμάτων συστελλομένων. ἀλλὰ καὶ ἐνώπιον γυναικῶν ἀδιαφόρως ἐκχέεις δάκρυα, καὶ πληθύνεις παίγνια, καὶ γελοῖα προτείνεις, καὶ διαχαλᾶσαι αἰσχρολογίας προφέρων; μὴ φέρων γὰρ τὴν ἐν τῷ ἀκολάστῳ σου σώματι πύρωσιν, λοιπὸν ἐκφέρεις τὸν βόρβορον ἔξω, καὶ ἑαυτὸν φανερὸν ποιεῖς· οἷος εἶ διὰ ῥημάτων, τοιοῦτος πάντως ἔσῃ, καὶ πολὺ χείρων ἐν τῷ ἔσω ἀνθρώπῳ. τί ἀφόβως συναναμίγνυσαι γυναιξί; τί σεαυτὸν εἰς τὴν παγίδα κατατρέχεις; τί εἰς τὸν κίνδυνον ἑαυτὸν ἐμβάλλεις; τί φαιδρῶς πρὸς θηλείας, καὶ συνδιάγειν τολμᾷς; διὰ τοῦτο νηστεία, διὰ τοῦτο

A *dant, ſed potiùs gratiarum actio* : hoc dicens, ne animi tranquillitatem ac lætitiam ad occaſionem inertiæ traducamus, ſed ad materiam gratiarum actionis erga bonorum largitorem. Qua propter Job quidem teſtator pro ſe dicens : *Si n autem cum ſcurris ambulans fui.* Job 31.5. Reprehendit etiam mores eorum, qui riſum amant. Salomon : *Melior*, inquit, *eſt ira riſu, quia in malitia vultus bonum reddetur cor.* Eccl. 7, 4. Cor ſapientum in domo luctus : cor autem ſtultorum in domo lætitiæ. Bonum audire correptionem ſapientis ſu- B per virum audientem cantum ſtultorum. Dedecus autem & ignominiam arguens eorum, qui riſui deditì, ait : *Sicut ſonitus ſpinarum ſub lebete, ſic riſus ſtultorum.* Eccl. 7, 7. Quid enim attinet valdè lepidum & hilarem eſſe, ut ſapiens & gravis appareas ? Quin potiùs præ timore ac ſollicitudine, quod à Deo ſpecteris, exceſſum hilaritatis auferre debes. Qui enim immodicis facetiis ac dicteriis diffluunt, res ſuas ignorare ipſi videntur, oblivione gravata anima ; neque Domini adventum expectare. Nondum Domini benignitatem, o ho- C mo, nondum certam malorum exemptionem & immunitatem conſequutus es : non noſti, quod paulo poſt eveniet : nempe te quidem ipſum futurum, tibi autem quid accidet : deinde abſque ulla cura rides, & ſcurram agis, & abſque metu vivis, cùm debetes in preces ad Deum incumbere, & de rebus futuris anxius ac ſollicitus eſſe, & de te formidare, ne forte à virtutis calle declines, curare verò ac metuere de iis quæ eventura ſunt, & occurſura, ne fortè difficiliora ſint & majora, quàm tuæ ferant vires ? Te itaque in medio tot D tantorumque præliorum deprehenſo, conſtitutam ſe in periculo exiſtimet anima tua ; bellum inferunt inviſibile dæmones, bellum inferunt homines manifeſtom, bellum inferunt interiores animi perturbationes, libidines à corpore excitatæ, & quæ exterius corpus obſident calamitates. Non enim propinquis condoles, non ægrotas cum ægrotantibus, non fles cum flentibus, non times de illis, qui non ſatis in fide ſunt firmi, ne concutiantur, & labantur. Non luges eos, qui lapſi ſunt : non porrigis E manum jacentibus : non eum qui ridet, interioribus gemitibus excipis, quandoquidem paratæ ſibi damnationis nullum ſenſum capit : non evertit intempeſtivas tuas delicias cogitatio temporis, quod contractum eſt, non futuri terribilis illius diei adventus ; ſed illos imitaris, qui cum cithara & pſalterio vinum bibunt, quibus lætitiæ loco Propheta, Væ comminatus eſt. Ego enim inquit, prædicavi fletum, & planctum, & calvitium, & cincturam ſacci : ipſi autem fecerunt lætitiam, & exultationem, dicentes : *Edamus, & bibamus,* Eſai. 22, 12. A *cras enim moriemur.* Et revelata ſunt hæc in auribus Domini Sabaoth, quoniam non dimittetur illis hoc peccatum, donec mortui fuerint. His auditis pertimeſce ac geme, noli imitari eos, qui comederunt, & biberunt, & ad ludendum ſurrexerunt, atque, ut id quod acerbius eſt, dicam, ſacrificia, & cibi, & luſus, timoris Dei oblivionem invexerunt, & ad idolatriam illos pellexerunt. Pertimeſce ne cùm tu rides, Dominus iraſcatur, qui beatos dixit eos, qui flēt, B & infelices eos, qui rident, ne luſum tuum, ac diſſolutū riſum, timoriſq. Dei defectum, ac rerum utiliū oblivionem cùm offenderit Diabolus, in animā tuam inſiliat & zizania ſua ſpargat. Fuerunt tempora, quibus magis conveniebat recreatio; veruntamen tum quoque apud ſanctos mœſtitiæ locus erat potiùs quàm lætitiæ. unde ait Pſalmiſta : *Tota die contriſtatus ingrediebar*, &, *Lavabo per ſingulas* Pſal. 37. 7. *noctes lectum meum* : Pſal. 6, 7. lacrymis autem ſtratum meum rigabo ; triſtis ob peccata ſua factus, & propter calamitates ſuas lugens, atque C Hieruſalem clades deplorans Hieremias ſedet. Ergo tu quoque ne crapulæ deditus aut ebrietati, facetiis & ſcurrilitati te addicas : propterea namque cithara tua ſublata eſt, neque tympanum in manibus habes ; & corde potiùs quàm ore pſallere Paulus docet, qui 1. Cor. 14. 15. undique hominem ab omni diſſolutione atque effuſione revocat. *Ludebat pater Iſaac cum uxore ſua*, Gen. 29, 8. tibi autem injunctum eſt, ut cum uxore honeſtiùs graviuſque te geras : quoniam tempus contractum eſt, ut & *ii qui habent uxores, tanquam non habentes ſint,* 1. Cor. 7, 29. D & qui gaudent, tanquam non gaudentes, & qui emunt, tanquam 1. Cor. 7, 31. non poſſidentes, & *qui utuntur hoc mundo, tanquam non abutentes.* Præterit enim figura hujus mundi. Tu autem contrahi non vis, cùm res omnes contrahantur, ſed & coram mulieribus temere lacrymas fundis, ludiera exerces, ridicula profers, & turpibus dicteriis effuſos ſolveris in cachinnos ? Dum enim intemperantis corporis æſtum ferre non potes, reliquum eſt, ut ſordes illas foris ejicias, &, qualis ſis, teipſum E prodas ; qualis es per verba, talis omnino eris, & multo deterior in interiori homine. Cur abſque ullo metu cum mulieribus congrederis ? cur tua ſponte in laqueos incurris ? cur teipſum in periculum conjicis ? cur hilariter cum mulieribus verſaris, & degere cum illis audes ? Idcirco jejunia, idcirco

preces, idcirco victus ille aridus, & auſterus, idcirco multiplices A exercitationes excogitant homines, idcirco ſolitudines ſectantur: nonnulli autem ne pane quidem & aqua ſatiantur: nulla alia de cauſa, niſi ut illa ſcandala evitent, ne, ſi in fœminas incidant, turpis aliqua prolapſio fiat. Tu verò his omnibus contemptis, ac nulla habita ratione periculi poſt laqueum, quo primus generis humani parens ab illa tanta felicitate excidit, non animadvertis telum Diaboli, quo vetus ille parens noſter confoſſus, proſtratus eſt? Ac Dominus quidem vel hoc ipſum prohibuit, ne mulierem reſpicere- B mus, fornicationem deſcribens: tu verò uſque adeo demens es, ut impoſitis confictis nominibus appellatione charitatis & occaſione humanitatis, ſerpentem ut Eva tibi contubernalem aſciveris. Cùm alligaveris ignem in ſinu & lucernam in fœno poſueris, periculum tibi creabitur ex utroque. Aut enim in ipſam barathri prolapſionem incidens amittendæ caſtitatis periculum adibis, aut ſi hoc tibi non accidat, turpem tibi infamiæ notam inures, cùm tibi mandatum ſit, ut non ſolùm coram Deo, ſed etiam coram hominibus bona pro- C videas. Quapropter hac Eccleſiaſtica cohortatione commonefactus obſervare debes quæcunque honeſta ſunt & pudica, neque id

Phil. 4. 8 tantùm, ſed & *quæcunque bona fama*. Metire ex honeſtate humanitatem: ſapientem tibi monitorem appone. Cur honeſtum Chriſtianiſmi nomen contaminas? cur aliorum etiam illaqueans animas, contubernalem tibi aſciſcis? Non enim ſolùm ut animam tuam defendas, rationem reddes, ſed ob eos, quibus ſcandalo fuiſti. Projice è ſinu tuo ſerpentem, objice à teipſo periculum. Si tibi à D fœminis miniſtrari deſideras, cur non antiquam legem obſervans nuptiis te legitimis copulaſti? Nuptiæ pœnis non ſunt obnoxiæ: adulterium ſupplicio eſt obnoxium inevitabili. Eſt enim adulterium atq; adeo magnum adulterium cohabitare cum fœminis. Conſcientiam tuam examina num quando detrimentum acceperis, num ſive noctu, ſive interdiu vulnus inflictum tibi ſenſeris. Sanè ego cor tuum reſerabo, tametſi mihi ſuccenſurus es: veruntamen non eſt mihi curæ: valde quippe doleo; cùm video religioſum ſubintro- E ductam mulierem ſibi aſciſcere. Ego verò tibi dico te in ſingulas horas vulnerari & ſingulis horis prædam belluæ fieri. Laxantur enim tibi vincula caſtitatis, corrumperis ac remiſſus evadis bellator generoſus, pro victore captivus efficeris. Num enim lapis es? homo es, communibus naturæ caſibus obnoxius. Ignem habes in ſinu, & non ureris? cui veriſimile illud videatur? Pone lucernam in fœno, tùmque vide, num dicere mihi poſſis fœnum, A non uri? quod ſi negaveris, ut fœnum, ne mihi dicas, ſed ei qui occulta novit qui venit, ut cogitationes congreget. Eſt

Matt. 5. 28. enim diſcretor cogitationum, & ratiocinationes cordis intelligit. Ait enim, *Qui viderit mulierem ad concupiſcendum eam, jam mœchatus eſt eam in corde ſuo.* Vide ne omni hora in te adulterium deprehendatur. Omnino dices, jejuniis, exercitationibus & arido auſteroque victu me communio, ne à propoſito excidam. Igitur ob aliud nihil inſtitutus exercitatio tua, niſi propter contubernalem tuam. Ita non jam tibi juſtitiam theſaurizas: tuam enim illa B exercitationem ſubtraxit. Abjice igitur à teipſo illam, quæ multorum bonorum tibi damnum invexit, ne te ejiciat è paradiſo ne te diabolo ludibrium reddat. Noli apud te illam collocare, ne fortè cùm te ſupplantarit, tecum in gehennam mittatur. Formidabilem judicem pertimeſce, ini tecum pactum, ut ne oculos quidem conjicias in mulierem. Præſentibus ſenioribus canitiem revereare, & tanquam Patres eos reveritus, parce ſcurrilibus verbis, & lu- C dicris, & ridiculis. Ne lude cum juniori, neque viam inertiæ monſtres, initio eam prior ipſe, multoque majorem contemptum ingenerans. Mulierem verò vel ſolo aſpectu tenus reverere. Sit illis forma quædam & exemplum vita tua, talem te præbe, ut te illæ revereantur, & forma atque initium verecundiæ illis fias, quandoquidem vir quiddam eſt muliere principalius, neque facilitatem adjicias faciliori naturæ muliebri. Verecunda ſit præcipua quadam ratione mulier, quanto gravius eſt dedecus mulieris impudentia. D Et ſi liberiùs etiam cum viris loqui admodum indignum eſt & au-

Ephes. 5. 33. daciæ plenum, cùm mulieri ſit impoſitum, ut timeat virum ſuum potiùs, quàm ut loquendi libertate apud illum utatur: *Mulier enim*, inquit, *virum ſuum timeat*: ſi igitur ei quæ virum habet, lex iſta propoſita eſt, quid tibi nunc quæ virum non habes, agendum reſtat? tibi verò nunc convenit, ut ne ullo quidem pacto viro appropinques, quantum fieri poteſt, neque ullo modo vir tuum vultum aſpiciat. Chriſti enim ſponſa es, ſic progredere ornata ut ſponſa, E vultu amictu velato, ne fortè ſi quidem tuo conſpectu vulneraveris, perditionis ejus pœnam luas. Atque hæc quidem nos ex arcana ſcripturarum doctrina deprompta dicimus: multæ verò quæ neque Dei timorem animo verſant, neque facilem ſuam prolapſionem reformidant, neque propoſitam pœnam provident, ea non admodum

A προσευχαὶ, διὰ τοῦτο καὶ ξηρὰ δίαιτα, διὰ τοῦτο πολυτρόπους ἀσκήσεις ἐπινοοῦσιν ἄνθρωποι, διὰ τοῦτο τὰς ἐρήμους μεταδιώκουσιν· ἔνιοι δὲ οὐδὲ ἄρτου, οὐδὲ ὕδατος κορέννυνται, δι᾽ οὐδὲν ἕτερον, ἢ διὰ τὸ φυγεῖν ἐκεῖνα τὰ σκάνδαλα, διὰ τὸ μὴ ἐμπεσόντας τῷ θηλείας, πτῶμα γενέσθαι αἰσχρόν. σὺ δὲ ταῦτα πάντα παραδραμὼν, καὶ μήτε τὸν κίνδυνον ἐννοήσας μετὰ τὴν παγίδα, δι᾽ ἧς ὁ πρωτόπλαστος ἐκ τῆς τηλικαύτης μακαριότητος ἐξέπεσεν, οὐκ ἐννοεῖς τὸ B ὅπλον τοῦ διαβόλου, δι᾽ οὗ ὁ ἀρχαῖος τρωθεὶς καταβέβληται; καὶ ὁ μὲν δεσπότης καὶ τὸ ἐμβλέψαι γυναικὶ ἀπηγόρευσε, πορνείαν διαγράφων· σὺ δὲ εἰς τοσοῦτον ἐμάνης, καὶ πλαστὰ ὀνόματα ἐπιθεὶς τῇ προσωνυμίᾳ τῆς ἀγάπης προφάσει χρηστότητος ἑαυτῷ σύνοικον ἐπεσπάσω ὡς ἡ Εὔα τὸν ὄφιν. ἀποδήσας τὸ πῦρ ἐν τῷ κόλπῳ, καὶ λύχνον εἰς χόρτον θήσας, κίνδυνον ἐξ ἀμφοτέρων ἕξεις· ἢ γὰρ εἰς αὐτὸ τὸ πτῶμα τοῦ βαράθρου ἐμπεσὼν περὶ τὴν σωφροσύνην C ἐκινδύνευσας· ἢ εἰ μὴ τοῦτο πάθῃς, φήμην αἰσχρὰν ἑαυτῷ περιάψεις, ὁ κελευόμενος προνοεῖσθαι καλὰ, οὐ μόνον ἐνώπιον Θεοῦ, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. διὸ παραίνεσιν ἔχων ἐκκλησιαστικὴν ὀφείλεις παραφυλάττεσθαι ὅσα σεμνά· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ὅσα εὔφημα. μέτρησον τῷ σεμνῷ τὸ χρηστόν· τὸν σοφὸν ἐπίθες σωφρονιστήν. τί χραίνεις τὸ καλὸν ὄνομα τοῦ Χριστιανισμοῦ; τί καὶ τὰς ἑτέρων παγιδεύεις ψυχὰς σύνοικον ἐπισπασάμενος; οὐ μόνον γὰρ D τὸν περὶ τῆς σῆς ψυχῆς ἀπολογίας δώσεις λόγον, ἀλλὰ καὶ περὶ ὧν διὰ σὲ ἐσκανδαλίσθησαν. ἔκβαλε τὸν ὄφιν ἐκ τοῦ κόλπου σου, ἔκβαλε τὸν κίνδυνον ἀπὸ σεαυτοῦ· εἰ ἐπιποθεῖς ὑπὸ θηλειῶν διακονεῖσθαι, διὰ τί ἀρχαῖον νόμον οὐκ ἐφύλαξας, καὶ γάμῳ νομίμῳ συνήφθης; ὁ γάμος κόλασιν οὐκ ἔχει· ἡ μοιχεία κόλασιν ἔχει ἀπαραίτητον. μοιχεία γάρ ἐστι, καὶ μεγάλη μοιχεία ἡ σὺν γυναιξὶν συνοίκησις. ἀνερεύνησον τὴν συνείδησιν, εἰ οὐδέποτε ἐβλάβης· εἰ οὔτε νυκτὸς, E οὔτε ἡμέρας ἐδέξω πληγήν. ἐγὼ δὲ ἀναπτύξω σου τὴν καρδίαν. εἰ καὶ μέλλεις ἄχθεσθαι. ἀλλ᾽ ἐμοὶ οὐ μέλει· πάνυ γὰρ ἀλγῶ, ὅταν εἴδω ἀσκητὴν συνείσακτον ἐπισπασάμενον· ἐγὼ δέ σοι λέγω, ὅτι κατὰ πᾶσαν ὥραν τραυματίζῃ, καὶ κατὰ πᾶσαν ὥραν θηριάλωτος γίνῃ. χαυνοῦσαι γάρ σου τῆς σωφροσύνης δεσμοί. ἐκλύῃ ὁ γενναῖος πολεμιστὴς, αἰχμάλωτος ἀντὶ νικητοῦ ἀναδείκνυσαι· μὴ γὰρ λίθος εἶ; ἄνθρωπος εἶ, τοῖς κοινοῖς τῆς φύσεως συμπτώμασιν ὑποκείμε- A νος· πῦρ ἔχεις ἐν τῷ κόλπῳ, καὶ οὐ καίῃ; καὶ πῶς ἔχει λόγος; θὲς λύχνον εἰς χόρτον, καὶ τότε ἴδε, εἰ δύνασαί μοι εἰπεῖν, ὅτι οὐ καίεται ὁ χόρτος; εἰ δὲ ἀρνήσαι, ὅτι οὐ καίεται ὁ χόρτος, ἐμοὶ μὴ λέγε, ἀλλὰ τῷ εἰδότι τὰ κρύφια, ὃς ἔρχεται συναγαγεῖν λογισμούς· κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων, καὶ λογισμῶν, καὶ ἐννοίας καρδιῶν συνιεῖ· λέγει γὰρ, ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. βλέπε μὴ κατὰ πᾶσαν B ὥραν μοιχεία ἐν σοὶ εὑρίσκηται· πάντως ἐρεῖς νηστείαις, καὶ ἀσκήσεσιν, καὶ τῇ κατὰ ξηρὰν διαίτῃ τειχίζω ἐμαυτὸν, ἵνα μὴ τοῦ προκειμένου ἐκπέσω· οὐκοῦν οὐδὲν ἕτερόν ἐστιν ἡ ἄσκησίς σου, ἀλλ᾽ ἢ διὰ τὴν συνοικοῦσάν σου· οὐκοῦν οὐκ ἔτι θησαυρίζεις δικαιοσύνην. ὑπέσυρε γάρ σου ἐκείνη τὴν ἄσκησιν. ἔκβαλε τοίνυν ἀπὸ σεαυτοῦ τὴν ζημιώσασάν σε πολλῶν ἀγαθῶν, μή σε ἐκβάλῃ ἐκ τοῦ παραδείσου, μή σε ποιήσῃ παίγνιον τῷ διαβόλῳ· μὴ στήσῃς αὐτὴν παρὰ σεαυτῷ, μήπως C καταστρέψασά σε σὺν σοὶ εἰς γέενναν κατενεχθῇ. φοβήθητι τὸν φοβερὸν δικαστὴν, διάθου σεαυτῷ διαθήκην μηδὲ ἀτενίσαι γυναικί· πρεσβυτέρων παρόντων αἰδοῦ πολιὰν, καὶ καθάπερ πατέρας αἰδούμενος φείδου μωρολογίας καὶ παιδνίας καὶ γέλωτος. νεωτέρῳ μὴ προσπαίζε, μηδὲ δείκνυε ῥαθυμίας ὁδὸν κατάρχων ταύτης αὐτὸς, καὶ πολὺ πλείονα τὴν καταφρόνησιν ἐμποιῶν· γυναῖκα δὲ καὶ μέχρι τῆς ἀναβλέψεως αὐτῆς αἰδοῦ· ὁ σὸς βίος ἐκείναις D γενέσθω τύπος· τοιοῦτον σεαυτὸν ἐπίδειξον, ἵνα σε ἐκεῖναι αἰδῶνται, καὶ τύπος καὶ ἀρχὴ τῆς αἰδοῦς ἐκείναις γένῃ, ὅτι καὶ ἡγεμονικώτερον ἀνὴρ γυναικὸς, καὶ μὴ τὴν σὴν εὐχέρειαν προσθῇς εὐχερεστέρᾳ φύσει τῇ γυναικείᾳ. γυνὴ αἰδείσθω διαφερόντως, ὅσῳ καὶ χαλεπώτερον ὄνειδος ἀναισχυντία γυναικός. εἰ καὶ παρρησιάζεσθαι πρὸς ἄνδρας πολὺ δεινὸν καὶ τολμηρὸν, φοβεῖσθαι προστεθέντος γυναικὶ πρὸς τὸν ἴδιον ἄνδρα μᾶλλον, ἢ παρρησιάζεσθαι. ἡ γὰρ γυνὴ, φη- E σὶν, ἵνα φοβῆται τὸν ἄνδρα. εἰ οὖν τῇ ἐχούσῃ ἄνδρα τοιοῦτος ὁ νόμος πρόκειται; τί λοιπὸν πρὸς σὲ τὴν μὴ ἔχουσαν ἄνδρα; σοὶ λοιπὸν τοῦτο πρέπει, μηδὲ ὅλως ἐγγίζειν ἀνδρὶ εἰ ἐνδέχεται, μηδὲ ὅλως βλεπέτω ἀνὴρ τὸ πρόσωπόν σου. νύμφη γὰρ Χριστοῦ εἶ. οὕτω πρόελθε, ὡς νύμφη κεκοσμημένη, ἐσκεπασμένη τῷ περιβολαίῳ τὴν ὄψιν, ἵνα μὴ ἵνα διὰ τὸ ὁρᾶσθαι τραυματίσασα τὴν ἐκείνου ἀπωλείας σὺ τὴν ἀμοιβὴν ἀπολήψῃ. καὶ ἡμεῖς μὲν ταῦτα λέγομεν κατὰ τὰς ἀρρήτους τῶν γραφῶν διδασκαλίας· πολλαὶ δὲ μηδὲ τὸν φόβον τοῦ Θεοῦ ἐν νῷ λαβοῦσαι, μήτε τὴν εὐχερῆ αὐτῶν πτῶσιν φοβηθεῖσαι, μήτε τὴν ἀποκειμένην κόλασιν προιδοῦσαι ἀδιαφόρως ἤνεγκαν, οὐκ

ὀνκίγα

Digitized by Google

ἐκείνῃ γνώμῃ προσῆλθον ὑπηρετεῖν ἀνδράσιν, οὔτε ἐξέστι τῷ κανόνι τῆς γαμηθείσης καὶ ἐχούσης ἄνδρα· σὺ δὲ οὐδὲ τοῦτον τὸν ὅρον φυλάττεις. οὐ γὰρ μετὰ φόβου συναναστρέφῃ; ἀλλὰ μετὰ πολλῆς ἀδείας καὶ καταφρονήσεως, καὶ συνεσθίεις, καὶ συμπίνεις, καὶ συνομιλεῖς, καὶ συγγελᾷς ἀτάκτως· καὶ ἐπὶ τούτοις πᾶσιν σὺ μὲν θέλεις παρθένος καλεῖσθαι· οὐκ ἔτι δὲ παρθένον ἐρῶ τὴν οὕτως ἑαυτὴν ῥίψασαν, καὶ μηδὲ φοβηθεῖσαν τὸν κίνδυνον. τολμήσω εἰπεῖν τὸ προφητικόν, ἐκστήτω ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ φριξάτω ἡ κτίσις. εἰς ὅσην ἀναισχυντίαν κεχωρήκαμεν, καὶ τῶν ἐν τοῖς ἐργαστηρίοις πορνῶν. ὥσπερ γὰρ ἐκεῖναι ὑπὸ μίμων ἀγελαζόμεναι ἀνθρώπων ἑτοιμότεραι πρὸς τὰς ἀσέμνους πράξεις γίνονται· οὕτως καὶ αὗται εὐδοκήσασαι ἀνδράσι συνοικεῖν. Θεὸς ἀγανακτεῖ, ἄνθρωποι διασύρονται, κἀκεῖναι τὸν ἄδικον κριτὴν μιμούμεναι, οὐδὲ τὸν Θεὸν φοβοῦνται, οὔτε ἄνθρωπον ἐντρέπονται· ἀλλ' ἐπὶ τούτοις πᾶσι μειζόνως παρρησιάζονται καὶ τῶν ἐν γάμῳ σεμνῶς παροικουσῶν ἀνδράσιν. αὗται μᾶλλον ἐπηρμένως τὰ μεθ' ὧν συνοικοῦσιν διατίθενται, καὶ ἐνταράσσουσιν, καὶ ἀνθυβρίζουσι, καὶ πάσης αὐτοῦ τῆς ὑπάρξεως δεσπόζειν βούλονται· κἂν ἐνίοτε βούληται εἰς εὐποιΐαν ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ, διακωλύει, καὶ λοιπὸν οὐκ ἔστιν ὑπηρέτις, ἀλλὰ δέσποινα γέγονεν. ἀποχώρει οὖν τῆς ἀλλοτρίας συνοικήσεως, ὦ παρθένε, καὶ οὐχὶ μόνον τῆς συνοικήσεως λέγω, ἀλλὰ καὶ τῆς συνομιλίας, ἢ συγγέλαν παρατήρησαι. εἰ γὰρ τῷ φρονίμῳ ἀνδρὶ μόλις ἡσυχῇ μειδιᾶν ἐπιτέτραπται, τῇ σοφῇ γυναικὶ μόλις καὶ τοῦτο κελεύει. καὶ γὰρ καὶ τὸ μειδιᾶσαι γυναικὶ ἐπαγγελλομένῃ θεοσέβειαν, βαρὺ καὶ ἐπικίνδυνον· πολὺ γὰρ βέλτιον ἐπὶ σεμνότητι θεωρεῖται γυνή, ἤπερ ἐπὶ τῇ φαιδρότητι καὶ ἱλαρότητι· καὶ δὴ ἐπὶ τὴν πνευματικὴν νύμφην ἀπὸ τῆς γυναικὸς ἐπιφέρων τοὺς ἐπαίνους ὁ τὸ μυστικὸν ᾆσμα γεγραφὼς τὴν σιωπὴν αὐτῆς θαυμάζων, καὶ τὸ τοῦ σχήματος αὐστηρὸν ἐπαινῶν, θάμβος ὀνομάζων αὐτό· τοῦτο γὰρ τὸ πάνυ σεμνὸν καὶ καταπληκτικὸν τοῖς ὁρῶσι γίνεται. δεῖ γὰρ αὐτῆς τὴν σεμνότητα φοβερὰν εἶναι τοῖς περιέργοις ὀφθαλμοῖς, καὶ τὸ πολυπράγμονος ἀναιδείας ἀποτρέπειν, ἧς διὰ τοῦτο καὶ τὸν κόσμον ἀφεῖλε· διὰ χρυσοῦ καὶ τριχῶν ἐμπλοκῆς καὶ ἐσθῆτος πολυτελοῦς, ἵνα μὴ καταστίλβῃ τοῖς περικειμένοις κοσμήμασι, καὶ φαιδρύνῃ τὸν ὀφθαλμὸν τῶν ὁρώντων, καὶ προσκαλῆται εἰς σκάνδαλον· διὰ τοῦτο νηστεῖαι, καὶ ἐγκράτειαι, καὶ ἀσκήσεις, καὶ ὠχρὸν καὶ στυγνὸν τὸ εἶδος, καὶ τὴν στολὴν εὐτελεστέραν ὀφείλει ἔχειν ἡ παρθένος διὰ τὸ τῆς φύσεως εὐόλισθον· διὰ τοῦτο καὶ ὁ Παῦλος τῷ γνησίῳ τέκνῳ Τιμοθέῳ γράφων τὴν πρὸς γυναῖκας αὐτοῦ τιμητικὴν χρηστότητα τῇ τῆς ἁγνείας ἀσφαλείᾳ προφυλάττει, λέγων· νεωτέρας χήρας τιμᾶν ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. εἰ δὲ γυναικὸς τὸν περὶ τὸ σῶμα κόσμον ἀφαιρεῖ τὰ θεῖα γράμματα, πόσῳ μᾶλλον ἀνδρὶ προσήκει τὸ παντελῶς ἀκαλλώπιστον, καὶ ἡ μέχρι τῆς χρείας περιβολή; ἵνα σκέπασμα ᾖ καὶ μὴ καλλώπισμα, καθάπερ ὠνόμασεν ὁ Παῦλος· ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. αἱ γὰρ εἰς καλλωπισμὸν ἐσθῆτες γυναικεῖαι μᾶλλον, ἢ ἀνδρεῖαι νομιζέσθωσαν· καὶ γὰρ ὁ νόμος λέγει, οὐκ ἐνδύσεται ἀνὴρ στολὴν γυναικείαν· μὴ τοίνυν θηλυνέσθω ἀνήρ, ὅπου οὐδὲ τὸ θῆλυ σφόδρα προσήκει θηλύνεσθαι παρὰ τῷ Θεῷ. ἐκ τριχῶν καμήλου ὁ Ἰωάννης ἐσθῆτα ἐφόρει, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ πρότερον Ἡλίας, οὗ τὸ πνεῦμα ὁ Ἰωάννης ἐφόρεσε, μηλωτὴν μόνον κἀκεῖνος ἠμφίεστο· νωθρᾶς καὶ ῥαθύμου ψυχῆς τὸ θαυμάζειν εὐανθὲς ἔνδυμα, καὶ κατὰ τὴν ἐργασίαν λεπτόν· ψυχὴ δὲ μεγαλοφυὴς ἡ τοῦ ὄντως κόσμου τοῦ ἀληθινοῦ αἰσθανομένη, διαπτύει πᾶσαν μαλακὴν ἐσθῆτα, τὴν ὑψηλοτέραν αὐτῆς ἐπιποθοῦσα, τὴν ἀπερίεργον, τὴν εὐπρεπεστέραν, τὴν σεμνότητα, τὴν ἁγνείαν πάντων προτιμήσασα. ἀρκέσθητε τοίνυν τῇ διὰ τῶν εἰρημένων ὑπομνήσει· φυλάξατε δὲ τὴν σεμνότητα μὴ πέρα τοῦ μέτρου ἐξαγαγεῖν ὡς πικρὰν τὴν ἀκρίβειαν· ἥτις γλυκυτέρα ὑπὲρ μέλι καὶ κηρίον αὐτῷ τε τῷ ἀκούοντι, καὶ τοῖς πλησιάζουσι γίνεται· ἡ γὰρ πνευματικὴ χαρὰ σεμνῶς καὶ μεγαλοπρεπῶς εἰς ἑνότητα Θεοῦ προσορμίζει τὴν ψυχήν, πληροῖ δὲ τῆς γλυκύτητος καὶ τοὺς συντυγχάνοντας· ἀλλὰ μὴ πρόφασιν λαβὼν ἐκ τῶν ἐμῶν λόγων, ὅτι ἐκωλύθης ἐν ἱλαρότητι διάγειν, ἄρξῃ σκυθρωπὸς καὶ χαλεπὸς εἶναι πρὸς τοὺς ἐρχομένους ἀδελφούς· μηδὲ ἀπηνής τις, καὶ δυσπρόσιτος, καὶ ἀπάνθρωπος ἀντὶ χρηστοῦ καὶ ἀγαπητικοῦ, μηδὲ ἐν ταῖς δεξιώσεσι τῶν προσιόντων ἀδελφῶν σκυθρωπός, καὶ περὶ ἀποκρίσεις καὶ λόγον ἀκοινώνητος. πάντοτε γὰρ χαίρειν πρόσταγμά ἐστιν ἀποστολικόν, καὶ τό, παρακαλεῖτε ἀλλήλους, καὶ γίνεσθε εἰς ἀλλήλους χρηστοί· καὶ ἡ ἀγάπη φησὶ χρηστεύεται, καὶ αἱ τῶν ἀποστόλων φιλοφροσύναι τοῖς γράμμασιν αὐτῶν ἔνεισιν, ὡς τέκνα φιλοφρονούμενοι τοὺς ἀκούοντας, ὡς ἀδελφοὺς παρακαλοῦντες τοὺς προσέχοντας· καὶ πολλὰ περὶ τῆς ἱερᾶς κατὰ τὴν ἀγάπην χρηστότητός ἐστιν ἐκ τῶν ἁγίων γραφῶν κατα-

curant, & ſuo ductæ conſilio virorum ſe obſequiis addixerunt, neq; ex præſcripto regulæ illi datæ, quæ nupſit, & juncta eſt marito. At tu ne hanc quidem legem obſervas, non enim cum timore converſaris, ſed multa cum ſecuritate atque contemptu & ſimul comedis, & ſimul bibis, & colloqueris, & incompoſitè ſimul rides, & ; uſt hæc omnia tamen virgo vis appellari: verumtamen ego te non ampliùs virginem dicam, quæ usque adeo te præcipitem agas, neque periculum reformides. Audebo propheticum illud uſurpare, *Obſtupeſcat cælum ſuper hoc, & horreat creatura*, in quantam devenimus impudentiam & dignam ſtantibus in proſtibulo meretricibus. (Hier. 2, 12.) Ut enim illæ ab hominibus hiſtrionibus congregatæ procliviores ad inhoneſtas actiones redduntur, ſic & iſtæ cùm in animum induxerunt, ut cum viris cohabitent. Indignatur Deus, homines probro afficiuntur; at illæ ut iniquum judicem imitentur, neque Deum timent, neque homines reverentur: ſed ad hæc omnia multo majori cum fiducia loquuntur, quàm vel ipſæ, quæ honeſto junctæ conjugio cum viris habitant. Hæ nimirum arrogantiùs eorum negotia, cum quibus degunt, adminiſtrant, & perturbant, patibusque contumeliis laceſſunt, omniumque bonorum, quæ ad illos pertinent, volunt obtinere dominatum. Quòd ſi velit ille nonnunquam manum ad beneficentiam protendere, prohibet ipſa, denique famula non eſt, ſed domina evaſit. Secede igitur ab aliena cohabitatione ô virgo, neq; à cohabitatione tantum, verùm & à colloquio & à riſu te mutuo abſtine. Nã ſi prudenti viro vix tacitè ſubridere permiſſum eſt, ſapienti mulieri vix etiam iſtud injunctu eſt. Etenim vel ipſe modicus riſus mulieri religionẽ profeſſæ gravis eſt & periculoſus. Multo enim melior eſt, quæ ob reverentiam ſpectatur mulier, quàm quæ ob hilaritatem & voluptatem. Enimvero dum ad ſpiritualẽ ſponſam à muliere laudes transfert, is, qui myſticum ſcripſit canticum, ejus ſilentium celebrans & habitus ejus gravitatem collaudat, pavorem illam appellans. Hoc enim eſt quod admodum venerabile atque admirandum ſpectantibus apparet. Siquidem oportet ut ejus honeſtas & gravitas curioſis oculis terrorem incutiat, & ad importunam impudentiam repellendam ſit idonea: quam etiam ob cauſam omnis aureus ornatus illi ereptus eſt, & tortorum crinium, & veſtis pretioſæ ne ornamentis quibus eſt cincta, refulgeat, & oculos exhilaret intuentium, atq; ad prolapſionẽ invitet. Propterea jejunia, abſtinentiæ, & exercitationes, vultumq; pallidum ac mœſtum, & veſtem viliorem habere virgo debet ob naturæ ad lapſum proclivitatem. Idcirco etiam Paulus ſcribens ad chariſſimum filium Timotheum, ejus in honorandis mulieribus humanitatem caſtitatis cuſtodiam præmunit, dicens: *Juniores viduas honora ut ſorores in omni caſtitate.* (1. Tim. 5.) Quòd ſi à muliere ornatum omnem corporis amovent ſacræ literæ, quanto magis viro convenit nullo modo comptum eſſe, tantumque neceſſario amictu veſtiri: ſic ut tegumentum ſit, & non ornamentum, quemadmodum id appellavit Paulus: Habentes alimenta & tegumenta, his contenti erimus. Nam quæ ad ornatum comparatæ ſunt veſtes, muliebres potiùs quàm viriles cenſeantur. Lex quippe dicit, Non induetur vir veſte fœminea. Ne igitur effœminetur vir, quandoquidem neq; muliebrem ſexum admodum convenit apud Deum effœminari. Ex pilis camelorum veſtem geſtabat: & zonam pelliceam circa lumbos ſuos Joannes: & ante illum Elias, cujus ſpiritum Joannes gerebat, ovina ſolùm pelle ipſe quoque amiciebatur. Stupidi eſt & mollis animi ſplendidum indumentum & ſubtili artificio contextum magni facere: animus autem ad altiora quæque natus, qui veri ornatus ſenſum capere poteſt, mollem omnem veſtem deſpicit, & ſublimiorem illa deſiderans, ſecuram, minimè ſuperfluam, honeſtiorem illam maximèq; venerandam caſtitatem omnibus exiſtimat præferendam. Contenti igitur eſtote verborum, quæ dicta ſunt, admonitione. Cavete autem, ne honeſtatem atque gravitatem ultra terminos mediocritatis tanquam moleſtam quandam ſeveritatem producatis: quæ & ipſi qui audit, & iis qui ejus conſortio fruuntur, melle ac favo dulcior efficitur. Spiritualis quippe lætitia honeſtè ac decorè ad unionem cum Deo provehit, eosque qui in congreſſum ejus veniunt, voluptate perfundit. Verumenimvero ne ex his quæ à me dicta ſunt, occaſione accepta, eò quod in hilaritate vivere ſis prohibitus, triſtis ac moroſus eſſe incipias erga fratres adventantes, neq; difficilis eſſe velis ac minimè affabilis aut inhumanus pro benigno atq; gratioſo, neq; dum comiter ſuſcipiendi ſunt, qui te inviſunt, fratres, moroſus ac triſtis, aut in reſponſionibus & alloquiis inacceſſus. Semper enim ut gaudeamus mandatum eſt Apoſtolicum, Et conſolamini invicem & invicem benigni eſtote: (Epheſ. 4. 32.) & charitas, inquit, benigna eſt: & Apoſtolorum ſalutationes in eorum inſunt epiſtolis tanquam filios complectentes eos qui audiunt, tanquam fratres cohortantes eos qui attendunt. Ac multa ſanè de hac ſancta benignitate, quæ ex charitate promanat, ex ſacris literis diſcere poſſumus.

Neque oportet ut ad immodicam hilaritatem traducamur, neque ut ſcurrilitate benignitatem ſe ad Dei imitationem comparantem labefactemus; ſed in meditullio quodam perfectæ hilaritatis conſiſtamus, & neque moleſti ſimus iis quibus familiariter utimur, neque diſſolutos eos & inertes reddamus: neque acerbè reprehendamus, neque fraudulenter adulemur, ſed utiliter corrigamus, & humaniter cohortemur. Qui parcit, inquit, emittere verbum durum, prudens eſt. Favus mellis ſermones boni, dulcedo autem eorum ſanitas animæ. Sunt qui dicentes vulnerant quaſi enſis, linguæ autem ſapientum ſanant. Bonum quidem eſt divinis canticis moderatè operam dare. Nam lætitia ejusmodi
Ephes. 5, 18. mentem ſanctificat, ut ait Apoſtolus: *Implemini Spiritu ſancto*, inquit, *cantantes & pſallentes in cordibus veſtris Domino.* Bonum igitur eſt, ad lætitiam ejusmodi conſequendam ſtudioſè vacare, neq; ob quandam morum aſperitatem ac duritiem negligenter in divinis cantibus verſari, quaſi nimirum vocem impendere Dei laudibus non dignemur. Nam ad ejusmodi rem ſanctam & ſacrum illum congreſſum hilariter affectos eſſe nos oportet, non in dulces modulos effundi, neque delicatè divinis concentibus mulceri, neque mollibus ac fractis ſonis gaudere, atque huc illucque oculos circumferre, ut videas, quo pacto lauderis: ſed in Deo lætandum eſt, eique ſoli placere ſtudendum, atque hic præcipuè, ut cum honeſtate hilaritas mixta repertatur: cùm à Dei timore gravitas & honeſtas proficiſcatur, divini verò cantus ad lætitiam nos provehant, & æternæ illius exultationis imitationem in nobis exprimant: in qua, illi qui honeſtè converſati fuerint, futuram tranſigent vitam apud Dominum, cui gloria & imperium in ſecula ſeculorum. Amen.

μαθεῖν. μηδὲ δεῖ πρὸς ἄμετρον ἱλαρότητα μετάγειν, μηδὲ γελωτοποιίᾳ λυμήνασθαι τὴν εἰς Θεὸν μίμησιν χρηστότητα, ἀλλὰ μεταξὺ στῆναι τῆς τελείας ἱλαρότητος, καὶ μήτε λυπεῖν τοὺς συντυγχάνοντας, μήτε ἐκλύειν καὶ ῥαθύμους ἀποτελεῖν, μήτε χαλεπῶς ἐπιπλήττειν, μήτε ἀπατηλῶς κολακεύειν· ἀλλὰ καὶ συμφερόντως ἐπιστρέφειν καὶ χρηστῶς παρακαλεῖν. Φειδόμενος, φησὶ, ῥῆμα προέσθαι σκληρὸν, νοήμων· κηρία δὲ μέλιτος λόγοι καλοί· γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς· εἰσὶν οἱ λέγοντες τιτρώσκουσιν ὡς μάχαιραι· γλῶσσαι δὲ σοφῶν ἰῶνται· καλὸν δὲ καὶ ταῖς θείαις ᾠδαῖς ἀνακεῖσθαι μετρίως· ἡ γὰρ τοιαύτη φαιδρότης ἁγιάζει τὴν ψυχὴν, κατὰ τὸν ἀπόστολον· πληροῦσθε, φησὶ, πνεύματι, ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ. καλὸν οὖν τῇ πρὸς τὴν τοιαύτην εὐφροσύνην σπουδῇ προσιέναι, καὶ μὴ διά τινα τρόπον πικρὸν καὶ σκληρὸν ὀκνηρῶς ἔχειν πρὸς τὴν θείαν ᾠδὴν, ὡς μὴ καταξιοῦντα φωνὴν προσκομίσαι πρὸς τὴν τοῦ Θεοῦ μελῳδίαν. πρὸς γὰρ τοιοῦτο θεῖον πνεῦμα, καὶ πρὸς τὴν ὁμιλίαν τὴν ἱερὰν φαιδρῶς ἔχειν δεῖ οὐκ εἰς ἡδυφωνίαν ἐκλυομένους, οὐδὲ βακχικῶς διακεῖσθαι εἰς τὰς θείας ᾠδὰς, οὐδὲ μελῳδικοῖς ἀνακλᾶν, καὶ περιβλέπεσθαι ὧδε κἀκεῖ, ὅπως ἐπαινεθῇς, ἀλλ' ἐν εὐφραινομένους Θεῷ, καὶ αὐτῷ μόνῳ ἀρέσκειν σπουδάζοντας, καὶ ἐνταῦθα δὴ μάλιστα, ἵνα τῷ σεμνῷ ἱλαρὸν κεκραμένον εὑρήσηται· τοῦ μὲν πρὸς Θεὸν φόβου τὴν σεμνότητα παρέχοντος ἡμῖν, τῆς δὲ θείας ᾠδῆς εἰς φαιδρότητα ἐπαγούσης, καὶ μίμησιν τῆς αἰωνίου χαρᾶς ἐμποιούσης, ἐν ᾗ τὴν μέλλουσαν ζωὴν οἱ καλῶς ἐμπολιτευσάμενοι ζήσονται παρὰ Κυρίῳ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ejusdem Sermo de ſancto Joanne Theologo.

Eodem interprete.

JOannes in Aſiæ urbe Epheſo, Joannes Aſiæ decus, vel potiùs orbis terrarum columna, Joannes dilectus Chriſti diſcipulus, & Dei Verbi tuba, Epheſiorum gloria, & extremorum orbis finium præco, Theologiæ cithara, Theologus merito appellatus: Cherubicum os, & Seraphicum myſteriorum oraculum, vel etiam quicquid his majus dicere non dubitabo. Quem enim ſupernæ Angelorum virtutes tremore glorificant, Joannes magna voce cum fiducia prædicavit: In principio erat verbum. Beata es civitas Epheſiorum: quòd in te primùm à Deo prolatum ejusmodi tonitru inſonuerit: Beata es civitas Epheſiorum, quòd in te tale volumen ſit compoſitum: beata es, quod talis in te Joannes ſit inventus. Atque alii quidem Joannes in toto orbe terrarum, & in te fuerunt; ſed nullus talis Joannes neque in te, neque in toto orbe terrarum. Quamobrem is cui mentes hominum ſunt perſpectæ, qui cordis novit occulta, cùm talem eum offendiſſet, ſanctum & impollutum, ratione vitæ ſublimem, corde purum, caſtitate decoratum, io charitate perfectum, huic tanquam inter omnes fideli credidit matrem ſuam, tradiditque columbam immaculatam, agnam impollutam, vitulam incorruptam, eam quæ inter homines incomparabilis, quæ omnibus eſt excellior creaturis, quod alii nulli ſanctorum eſt creditum. Beata es civitas Epheſiorum, quam talis viri pedes calcarunt, cujus puram converſationem ac veſtigia ipſi Angeli ſuſpexerunt. Beata es civitas Epheſiorum, quæ propter Joannem dilectum prima quavis urbe ſublimior reddita es. Beata es, quòd omnes orbis terrarum Eccleſiæ tuæ ſint diſcipulæ, ut pote quæ Theologiam iſtam ex te didicerint: In principio erat verbum. Nam quemadmodum ſi quopiam in loco lucerna fuerit, atque ad eam omnes accurrant, inde quisque ſua face accenſa diſcedit ſecurus, ac deinceps abſque ulla offenſione vel errore incedit, ſic & Epheſi accidit. Prima tu Lucernam Theologiæ accendiſti, tum omnes orbis terræ finium Eccleſiæ cùm ad te accurriſſent ſingulæ ſuam Theologiæ lampadem accenderunt, & gaudentes reverſæ ſunt: In principio erat verbum. Et Epheſi tamen proprium Theologiæ lumen imminutum non eſt, & orbis terrarum æqualia ceriſ nes lumina prædicat: In principio erat verbum. Porro illius etiam certamen & labores operæpretium fuerit in medium afferre quantum in nobis ſitum fuerit, pauca de multis. Nam ad omnia ejus rectè facta commemoranda nullum nobis tempus ſufficeret. Ac plurima quidem ex libro Actorum audivimus, quæ dum verſaretur cum Apoſtolis præclarè decertans præſtitit, deinde verò à Domitiano Romanorum Imperatore pulſus in exilium in inſulam quam Patmon appellant, venit, propter verbum Dei, & prædicationem pietatis, ac Prophetiam conſcribit, quam oſtendit illi Deus,

Τοῦ αὐτοῦ λόγος εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον.

ΙΩάννης ἐν Ἐφέσῳ τῆς Ἀσίας, Ἰωάννης τῆς Ἀσίας τὸ καύχημα, μᾶλλον δὲ τῆς οἰκουμένης ὁ στῦλος. Ἰωάννης ὁ ἀγαπητὸς τοῦ Χριστοῦ μαθητὴς, καὶ τοῦ Θεοῦ λόγου σάλπιγξ, τῶν Ἐφεσίων τὸ κλέος, καὶ τῶν περάτων ὁ κήρυξ, ἡ κιθάρα τῆς θεολογίας, Θεολόγος ἀξίως καλούμενος· τὸ Χερουβικὸν στόμα, καὶ τὸ Σεραφικὸν μυσταγώγημα· ἢ καὶ ὑπὲρ ταῦτα εἰπεῖν οὐ παραιτήσομαι· ὃν γὰρ ἄνω δυνάμεις ἀγγέλων τρόμῳ δοξάζουσιν, Ἰωάννης μεγάλῃ τῇ φωνῇ παρρησίᾳ ἐκήρυξεν, ἐν ἀρχῇ ἦν ὁ λόγος. μακαρία εἶ πόλις Ἐφεσίων, ὅτι ἐν σοὶ πρῶτον ἤχησεν ἡ τοιαύτη θεόλεκτος βροντή. μακαρία εἶ πόλις Ἐφεσίων, ὅτι ἐν σοὶ συνετάγη τὸ τοιοῦτον γραμματεῖον· μακαρία εἶ ὅτι ἐν σοὶ ὁ τοιοῦτος Ἰωάννης. καὶ ἄλλοι μὲν γὰρ Ἰωάνναι ἐν ὅλῃ τῇ οἰκουμένῃ καὶ ἐν σοί. ἀλλ' οὐδεὶς τοιοῦτος Ἰωάννης, οὔτε ἐν σοὶ οὔτ' ἐν ὅλῃ τῇ οἰκουμένῃ. ὅθεν ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, καὶ γινώσκων τὰ κρυφία τῆς καρδίας, εὑρὼν αὐτὸν τοιοῦτον ἅγιον καὶ ἀμίαντον, ὑψηλὸν τὸν βίον, καθαρὸν τῇ καρδίᾳ, κεκοσμημένον τῇ ἁγνείᾳ, τετελειωμένον ἐν ἀγάπῃ, τοῦτον ὡς πιστὸν ἐν πᾶσι πιστεύσαντι τὴν ἰδίαν μητέρα παρέδωκε, τὴν ἀμίαντον περιστερὰν, τὴν ἄσπιλον ἀμνάδα, τὴν ἀκηλίδωτον δάμαλιν, τὴν ἀσύγκριτον ἐν ἀνθρώποις, τὴν πάντων τῶν ποιημάτων Θεοῦ ἀνωτέραν· ὅπερ οὐδεὶς ἄλλος τῶν ἁγίων πεπίστευται. μακαρία εἶ πόλις Ἐφεσίων, ἣν τοιούτου σε ἀνδρὸς πόδες ἐπάτησαν, οὗ τὴν καθαρὰν διαγωγὴν καὶ τὰ ἴχνη ἄγγελοι ἐθαύμασαν. μακαρία εἶ πόλις Ἐφεσίων, ὅτι πρώτη πάσης πόλεως ὑψηλοτέρα ἀπεδείχθης, διὰ Ἰωάννην τὸν ἠγαπημένον. μακαρία εἶ ὅτι πᾶσαι τῆς οἰκουμένης αἱ ἐκκλησίαι σου μαθήτριαι τυγχάνουσι, παρά σου διδαχθεῖσαι θεολογεῖν, ἐν ἀρχῇ ἦν ὁ λόγος. ὥσπερ γὰρ ἐὰν ᾖ λύχνος ἔν τινι τόπῳ καιόμενος, καὶ πανταχόθεν πολλοὶ προστρέχοντες, ἐκεῖθεν ἕκαστος ἀνάψας θαρρῶν λοιπὸν πορεύεται, μηδαμῶς προσκόπτων, μηδὲ πλανώμενος· οὕτω καὶ ἐν Ἐφέσῳ γέγονε. πρώτη ἀνάψασα τὸν τῆς θεολογίας λύχνον, πᾶσαι τῶν περάτων αἱ ἐκκλησίαι πρός σε δραμοῦσαι, ἑκάστη τὴν ἑαυτῆς λαμπάδα τῆς θεολογίας ἀνῆψε, καὶ ὑπέστρεψε χαίρουσα, ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ ἐν Ἐφέσῳ τὸ τοῦ ἰδίου φωτὸς τῆς θεολογίας οὐκ ἠλαττώθη, καὶ ἡ οἰκουμένη τὰ ἴσα φῶτα κατέχουσα κηρύττει τὸ, ἐν ἀρχῇ ἦν ὁ λόγος. ἀναγκαῖόν τε καὶ τοὺς ἀγῶνας αὐτοῦ εἰς μέσον ἀγαγεῖν, ὅσον ἡμῖν δυνατὸν, ἐκ τῶν πολλῶν ὀλίγα. πάντα γὰρ αὐτοῦ τὰ κατορθώματα οὐκ ἐξαρκέσει πᾶς ὁ καιρὸς πρὸς διήγησιν. τὰ μὲν γὰρ πλεῖστα ἠκούσαμεν ἐκ τῆς βίβλου τῶν Πράξεων, ὅσα σὺν τοῖς ἀποστόλοις καλῶς ἠγωνίσατο. ὕστερον ἐξόριστος ὑπὸ Δομετιανοῦ τοῦ τῶν Ῥωμαίων βασιλέως εἰς τὴν νῆσον τὴν καλουμένην Πάτμον γίνεται διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ τὸ κήρυγμα τῆς εὐσεβείας, καὶ ἐκκλησίαν συγγράφει ἣν ἔδειξεν αὐτῷ ὁ Θεὸς,

καὶ

καὶ ἀποκάλυψιν μυστηρίων ἀῤῥήτων καὶ φοβερῶν, ἔπειτα καὶ τὰς ἁγίας αὐτοῦ τρεῖς ἐπιστολάς. σκόπει δὲ τὴν ἄφατον τοῦ Θεοῦ ἀγαθότητα, πανταχοῦ συνξενιτεύοντος τοῖς ἀγαπῶσιν αὐτὸν, κἂν ἐν φυλακῇ κατέχωνται, κἂν ἐν ἐξορίαις τυγχάνωσιν, εἴτε ἐν βυθῷ θαλάσσης, εἴτε ἐν λάκκῳ κατακλεισθῶσιν, κἂν ὅπου δ' ἂν παραῤῥιφῶσιν, οὐ χωρίζεται τούτων, συμμαχῶν καὶ ἐνισχύων, καὶ τῶν πόνων ἀποκουφίζων. ἀλλ' ἐπανελθὼν τῆς ἐξορίας, καταλαμβάνει τὴν Ἔφεσον, κἀκεῖσε διατρίβων συντάττει τὸ εὐαγγέλιον ὢν ἐτῶν ἑκατὸν, διαρκέσας ἕως ὅλων ἑκατὸν εἴκοσιν. ἐκεῖσε διάγων συγγράφει τὴν θεολογίαν, μᾶλλον δὲ ἐν οὐρανοῖς, ὅθεν αὐτὴν ἐκομίσατο. τῶν γὰρ τοιούτων ἐν οὐρανοῖς διάγει τὸ πολίτευμα. ἐν Ἐφέσῳ διάγων ἐν σαρκὶ, εἰς τὰ πέρατα τῆς οἰκουμένης τῆς θεολογίας τὴν σαγήνην ἐξεπέτασε, λέγων, ἐν ἀρχῇ ἦν ὁ λόγος. ὡς ἀληθῶς μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. ὁ εἰπὼν πρὸς αὐτοὺς, ἐγὼ δώσω ὑμῖν στόμα καὶ σοφίαν. πόσοι βασιλεῖς, καὶ δυνάσται, καὶ σοφοὶ ἐφώνησαν πολλάκις ἐν δυνάμει μεγάλῃ, ἀλλ' ἡ φωνὴ αὐτῶν οὐδ' ἕως τῶν τειχέων τῆς πόλεως ἔφθασε. καὶ ὁ πένης ὁ ἁλιεὺς ἐν Ἐφέσῳ ἐφθέγξατο, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ πᾶσαν τὴν γῆν ἡ φωνὴ ἐκάλυψεν. εἶδες στόμα πάσης φωνῆς ὑψηλότερον; εἶδες γλῶσσαν ἀστραπῆς ὀξυτέραν; εἶδες φωνὴν πάσης βροντῆς τρανοτέραν; εἶδες δύναμιν τοιαύτην; διδάσκαλον ἀπὸ τῆς Ἐφέσου πάντα τὰ ἔθνη μαθητεύοντα, καὶ θεολογεῖν διδάσκοντα, ἐν ἀρχῇ ἦν ὁ λόγος. αὕτη ἡ φωνὴ τὴν οἰκουμένην ἐπλήρωσε, καὶ σαλευομένην ἐστήριξεν. αὕτη ἡ φωνὴ τὸν κόσμον ἐφώτισε, καὶ κατὰ τοῦ ἀντιπάλου ἐνίσχυσεν. αὕτη ἡ φωνὴ τῶν πολλῶν ἀνάστασις καὶ σωτηρίας πρόξενος, ἑνίων δὲ πτῶσις καὶ καθαίρεσις, διὰ τὸ ἀντιλεγόμενον σημεῖον. τῶν μὲν πιστευόντων ὅτι ἐν ἀρχῇ ἦν, ἀνάστασις· τῶν δὲ λεγόντων ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, πτῶσις καὶ σιωπή. πολὺ γὰρ πλῆθος τῶν αἱρετικῶν τότε ἐπαναστάντες ἐσάλευον τὴν ἐκκλησίαν, ἀδικίαν εἰς τὸ ὕψος λαλοῦντες· καὶ λέγοντες, ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῇ οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο. ὢ στόματα μιαρὰ, καὶ γλῶσσαι ἐβδελυγμέναι, καὶ χείλη ἰοῦ ἀσπίδων πεπληρωμένα. τί ταύτης τῆς βλασφημίας χεῖρον; τί ταύτης τῆς ἀθεΐας ἀτιμότερον; ὅθεν ὁ ἀπόστολος Ἰωάννης μὴ φέρων ἀκούειν τὰς τούτων μιαρὰς φωνὰς, συντάττει τὸ εὐαγγέλιον, καὶ παρακατατίθησι τῇ ἐκκλησίᾳ μέγαν θησαυρὸν, τὸν τέταρτον ποταμὸν, τὸν πολύτιμον μαργαρίτην. ἐπανελθὼν γὰρ ὡς προείρηται ἀπὸ τῆς ἐξορίας εἰς Ἔφεσον, καὶ κατανοήσας λοιπὸν, ὅτι τῶν λοιπῶν εὐαγγελιστῶν αἱ βίβλοι κατηρτίσθησαν, καὶ πᾶσα σχεδὸν θεόπνευστος γραφὴ πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας, λείπει δὲ ὁ τέταρτος τῆς οἰκουμένης θεμέλιος· καὶ ὅτι τούτου ἐκτὸς τὴν οἰκουμένην σταθῆναι οὐκ ἔστι, ἐλογίζετο ἐν ἑαυτῷ λέγων, τί ἀναβάλλομαι; τί φησι μακροθυμῶ; τί οὐ προσφέρω εἰς μέσον τὸ ἀπὸ τῶν αἰώνων κεκρυμμένον μυστήριον; τί ἀποκρύβω ἐν ἐμαυτῷ τὴν ἀπὸ τῶν αἰώνων σοφίαν, ἣν ἐκ τῆς ἀθανάτου πηγῆς ἀναπεσὼν εἵλκυσα; τί οὐ δημοσιεύω, ὃν ἄγγελοι ἀγνοοῦσι; τί οὐκ ἀποκαλύπτω τοῖς πέρασι, ὃν οὐδεὶς ἐπιγινώσκει, εἰ μὴ ὁ πατήρ; τί οὐ γράφω, ὅπερ Ματθαῖος καὶ Μάρκος καὶ Λουκᾶς δι' ἐπαινουμένην δειλίαν ἀποσιωπήσαντες παρέδραμον, τελέσαντες τὰ προστεταγμένα αὐτοῖς; ὅθεν λαλήσω κἀγὼ κατὰ τὴν δοθεῖσάν μοι δωρεὰν ἄνωθεν. Ματθαῖος μὲν ὅσον ἐχώρει ἔγραψε κατὰ τὴν ἰδίαν δύναμιν, Μάρκος δὲ καὶ Λουκᾶς ὁμοίως κατὰ τὴν τοῦ ἁγίου πνεύματος χορηγίαν, τὰς ἑαυτῶν βίβλους θεοπρεπῶς ἐδογμάτισαν. γράψω κἀγὼ καὶ προσθήσω τοῖς ἔμπροσθεν τὴν τετάρτην πηγὴν τῆς ζωῆς. λείπει γὰρ εἰς β. σύστατιν φωνὴν ὁ περὶ θεολογίας λόγος, καὶ κινδυνεύει ὁ κόσμος ἐν τῷ μέρει τούτῳ. γράψω βίβλον, δι' ἧς ἐμφραχθῇ πᾶν στόμα λαλοῦν κατὰ Θεοῦ ἀδικίαν· γράψω βίβλον τὴν καλύψασαν πᾶσαν ἐν κόσμῳ σοφίαν. γράψω βίβλον, οὐ περὶ ἀνθρώπου διηγουμένην. οὐ γὰρ λείπει τῇ ἐκκλησίᾳ, ἃ περὶ τούτων ἔγραψε Μωσῆς περὶ οὐρανοῦ καὶ γῆς, καὶ θαλασσῶν, καὶ ἰχθύων, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν, καὶ φυτῶν, καὶ σπερμάτων, καὶ φωστήρων, καὶ βρωμάτων καὶ λοιπῆς κτίσεως· ἐγὼ δὲ πάντα τὰ ἀπὸ χρόνου καὶ ἐν χρόνῳ γινόμενα καταλείψας λαλήσω περὶ τοῦ ἀχρόνου καὶ ἀκτίστου τοῦ πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς ἀῤῥήτως γεννηθέντος Θεοῦ λόγου, περὶ οὗ Μωσῆς οὗτος εἰπεῖν οὐκ ἴσχυσεν. ἐγὼ δὲ πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. ταῦτα ἐν ἑαυτῷ συσκεψάμενος ὁ ἀπόστολος Ἰωάννης, καὶ τὸν γραφικὸν κάλαμον ἐν τῇ χειρὶ κατέχων, καὶ ἐννοῶν πῶς τῆς θεολογίας ἄρξηται, χαίρων μὲν τῇ ψυχῇ, τρέμων δὲ τῇ χειρὶ μετάρσιος γίνεται, καὶ τῷ σώματι ἐν Ἐφέσῳ ὢν τῇ καθαρᾷ καρδίᾳ τῷ πνεύματι μετέωρος ὑπῆρχε. καταλείψας οὖν πᾶσαν τὴν γῆν, διεπέρασε τὸν ἐν μέσῳ κεχυμένον ἀέρα, παρέδραμε τὰς τῶν ἀστέρων διαζεύξεις, παρῆλθε τὰς στρατιὰς τῶν ἀγγέλων, τὰς τῶν ἀρχαγγέλων χοροστασίας, καὶ πάσας τὰς νοερὰς δυνάμεις, Χερουβὶμ καὶ Σεραφὶμ τάγματα, καὶ πάντα τὰ ἐξ

A & revelationem arcanorum terribiliumq; myſteriorum, ac deinde tres ſanctas ſuas Epiſtolas. Tu verò mihi ineffabilem Dei bonitatem perpende, qui ubique terrarum cum iis qui ipſum diligunt, peregrinatur ſive in carcere detineantur, ſive in exiliis verſentur, ſive in profundo maris, ſive in lacu ſint incluſi, ſive quocunque ſint in locum detruſi, ſeparari ab illis nequit, ſed in pugna ſuccurrit, eoſque corroborat, ac laboribus levat. Poſtea verò quàm ab exilio reverſus eſt, pervenit Epheſum, ibique commorans Evangelium
B conſcribit, cum eſſet annorum centum; & uſque ad totos centum viginti vitam propagavit. Ibi cùm verſaretur, Theologiam conſcribit, vel potius in cœlis unde illam accepit: talium enim converſatio eſt in cœlis. Dum Epheſi degeret, in carne, Theologiæ ſagenam in ultimas orbis terrarum oras expandit, dicens: In principio erat Verbum. Vere magnus eſt Dominus noſter, & magna virtus ejus, & ſapientiæ ejus non eſt numerus: qui dixit Apoſtolis, Ego dabo vobis os & ſapientiam. Quàm multi Reges, & principes, & ſapientes vo-
C ciferati ſunt ſæpenumero magna virtute; ſed eorum vox ne ad mœnia quidem urbis pervenit: at pauper piſcator hic Epheſi proloquutus eſt, In principio erat verbum, & in totam terram vox iſta dimanavit. Vidiſti os voce quavis ſublimius, vidiſti linguam quovis fulgure celeriorem? Vidiſti vocem quovis tonitru clariorem? Vidiſti talem virtutem? doctorem qui ab Epheſo gentes omnes erudit, & Theologiam docet? In principio erat Verbum. Hæc nimirum vox orbem terrarum piſcata eſt eumque concuſſum ſtabilivit: Hæc
D vox mundum illuminavit, & contra adverſarium corroboravit: Hæc vox eſt plerorumque reſurrectio, & ſalutis conciliatrix, quorundam vero ruina & everſio, propter ſignum, cui contradicitur. Eorum quidem qui credunt eum in principio fuiſſe, reſurrectio: eorum verò qui dicunt eum fuiſſe creatum ex nihilo, ruina & ſilentium. Magna enim tunc hæreticorum multitudo inſurrexerat, qui Eccleſiam perturbabant, & iniquitatem adverſus Excelſum loquebantur, dicebantque fuiſſe tempus, cùm non eſſet & antequam fi-
E eret, eum non fuiſſe, & ex non exiſtentibus eum factum eſſe. O improba ora, & linguæ deteſtandæ, ac labia aſpidum veneno repleta. Quid hac blaſphemia pejus? quid hac impietate ignominioſius? Quapropter Apoſtolus Joannes cùm iſtorum improbas voces patienter audire non poſſet, Evangelium componit, & ingentem theſaurum Eccleſiæ commendat, quartum nempe fluvium, & pretioſam margaritam. Cùm enim ab exilio, ut dictum eſt, Epheſum reverſus eſſet, ac deinceps animadvertiſſet, reliquorum Evangeliſta-
A rum libros abſolutos eſſe, & omnem ferè à Deo inſpiratam ſcripturam ad ædificationem Eccleſiæ, deeſſe verò quartum orbis terrarum fundamentum, & neque fieri poſſe ut abſque illo terrarum orbis ſubſiſtat, ſic apud ſe cogitabat, dicens. Quid differo? Quid cunctor amplius? cur non illud abſconditum à ſæculis myſterium in medium profero? cur in meipſo ſapientiam illam æternam occulto, quam recumbens ex immortali fonte hauſi? Cur non divulgo, quem Angeli ignorant? Cur non ultimis terrarum oris eum revelo, quem
B nemo novit, niſi pater? Cur non ſcribo, quod Matthæus & Marcus & Lucas ex laudabili quodam metu ſilentio prætererunt, cum ea quæ ſibi mandata fuerant, perfeciſſent? Quamobrem loquar ego quoque juxta conceſſum mihi deſuper donum. Matthæus quidem quantum licebat ſecundum propriam virtutem ſcripſit, Marcus autem & Lucas ſimiliter ſecundum Spiritus ſancti largitionem, libros ſuos pro Dei dignitate conſcripſerunt. Scribam ego quoque, ac prioribus quartum vitæ fontem adjiciam. Deeſt quippe adhuc ut
C vocem habeamus ad numen commendandum idoneam ſermo de Theologia, & mundus ab hac parte periculo non caret. Librum itaque ſcribam, per quem obſtruetur os omne, quod loquitur adverſus Deum iniquitatem: ſcribam librum, qui omnem quæ in mundo eſt ſapientiam obſcuret: ſcribam librum, qui non de homine narrationem inſtituat (neque enim Eccleſiæ deſunt, quæ ſcripſit de his Moyſes, de cœlo & de terra, & mari & piſcibus & volucribus, & quadrupedibus, & ſerpentibus & plantis, & ſeminibus, &
D luminaribus, & cibis & cæteris creaturis) Ego verò omnibus quæ à tempore, & in tempore facta ſunt, prætermiſſis, de eo loquar, qui ſine tempore eſt & increatus, qui ante omnia ſæcula ineffabiliter ex patre genitus eſt Deus Verbum, de quo Moyſes iſte verba facere minimè potuit: *At ego omnia poſſum, in eo qui me confortat nempe* Phil. 4.
Chriſto. Hæc apud ſe conſiderans Joannes Apoſtolus & ſcriptorium calamum manu tenens, ac mente volvens unde initium duceret de divinitate verba faciendi, animo quidem gaudens, ſed manu
E tremens in ſublime tollitur, & corpore cum eſſet Epheſi, corde puro ac ſpiritu raptus in altum erat. Derelicta igitur univerſa terra fuſum in medio aërem penetravit, ſtellarum ordines præterivit, Angelorum exercitus prætervectus eſt, Archangelorum choros omneſque ſpirituales virtutes Cherubim & Seraphim agmina & omnia quæcunque producta ſunt

A ſunt ex nihilo, dereliquit, omneſque cœlos tranſcendit, & quæcun-
que non erant prætergreſſus eſt. Appropinquavit limitibus eorum
quæ nemo aſſequi poteſt, nec ullus obſtitit vel impedivit ejus aſcen-
ſum. Nam quicumque corpore eſt immaculatus & corde purus,
& anima innocens, & humilis ſpiritu, neque ab aëreis ſpiritibus im-
peditur, neque à cœleſtibus poteſtatibus in ſupernam aſcendere
Hieruſalem prohibetur, ubi cuncti beati congregantur, ſicut hic
beatus Apoſtolus minor Joannes, & magno ſancto Joanne major.
B Per omnes ergo pertranſiit, nec ullus ſe illi oppoſuit. Angeli quippe
cernentes hominem de terra progreſſum, Angelis glorioſiorem, ni-
hil habentes quod dicerent, conticeſcebant: Angelorum verò
chori alterum de terra Angelum, virginitate illuſtrem, ſanctitate
repletum, corde purum, ſuavi odore redundantem retinere non
auſi ſunt. Cœlorum portæ rurſus inuſitatum vultum videntes glo-
rificatum, qui ſacros radios ſolaribus ſplendidiores emittebat, &
eum eſſe ſuſpicantes, quem diligebat Jeſus, qui ſupra pectus ejus
C multa cum puritate recubuerat, unde tanta illum gloria circumfu-
dit, ſubito reſeratæ ingreſſum permiſerunt. Tum ad ea deinceps
pervenit quæ inacceſſa erant, ſupremum profundum attigit. Quid
igitur ad hæc dicemus? vera eſt illa vox divina Prophetæ ore pro-
lata, Sed ego eos qui me glorificant, glorificabo, quemadmodum
& de hoc Dei parens David prophetavit, Dei fortes terræ vehemen-
ter elevati ſunt: & rurſus, Sanctis, qui in terra ſunt ejus, mirifica-
vit Dominus omnes voluntates ſuas in eis. Quod enim majus eſt
D hoc miraculum, in tantam evehi ſublimitatem terrenum hominem?
Cum multa fiducia, & quantum ſpectari poſſibile eſt, ſpectavit, &
1.Tim. 6. 16. ad ulteriora contendere ſi voluiſſet** *quem nullus hominum vidit,*
ſed neque videre poteſt, ut Paulus Apoſtolus ſcribit, quemadmodum
1.Joan. 4. 14. & Joannes ipſe ſimilia, *Deum nemo vidit unquam*. Quid igitur ad
hæc dicemus? Paulum quidem rectè ſcripſiſſe, cùm dixit, Quem
nullus hominum vidit, ſed nec videre poteſt. In hac enim vita non
licet ſecundùm hominum facultatem, neque ſecundùm naturam,
Ἴσ. ἀνάμ-νη. ſed ſupra naturam: neque ſervitutis hoc eſt, ſed filiorum adoptio-
E nis & amicitiæ. Vos enim amici mei eſtis, non jam vocabo vos ſer-
vos: neque non pura, ſed pura & abluta, prout ad illos ait vox di-
vina: Vos mundi eſtis: at qui corde ſunt mundi, Deum videbunt.
Hæc ergo maxima & divina dona præ ſe ferens Joannes, & confi-
denter ad excelſa progrediens ad immenſum pelagus illud perve-
nit, & impollutis ſui cordis oculis contemplans in ſinu Patris initio
carentis Verbum & ipſum initio carens, quod ante ſecula ex patre
ineffabiliter natum eſt, nec jam valens in ſe ipſo gaudiũ illud inenar-
A rabile continere, ſanctum & ſeraphicum os ſuum aperuit, & magna
voce proclamavit, dicens, In principio erat verbum. Vide quæſo
prudentiam piſcatoris, conſidera hominis illiterati ſapientiam. Vi-
diſti doctoris inexplicabilem ſublimitatem, quæ Epheſi reſidebat,
& quæ ſupra cœlos ſunt, contemplabatur: ſpiritu ad ſupernum
illud profundum commigravit, & cùm è paterno ſinu Theologiam
expiſcatus eſſet, corpore in terris ſcripſit. In principio erat verbum.
Audite fideles, & confirmamini. In principio erat Verbum. Audite
B lingua petulantes adverſarii, & erubeſcite, In principio erat ver-
bum: nolite ampliùs confidenter loqui blaſphemi, nolite amplius
Eccleſiam oppugnare Antichriſti, non ampliùs iniquè agite, non
ampliùs exaltate cornu, neque extollite in altum cornu veſtrum,
neque loquimini adverſus Deum iniquitatem, dicentes: Fuit tem-
pus, cùm non erat, & antequam fieret, non erat, & ex non extanti-
Pſal 34. 14. bus factus eſt. *Prohibe linguam tuam à malo, & labia tua, ut non*
loquantur dolum. Ipſe enim erat, & ante erat, & ſemper erat, neq;
C initium habens, neque eſſe deſinens, neque in tempore eſt qui ex-
pers eſt temporis, neque creatura, vel figmentum: ipſe quippe
creator eſt, & conditor univerſorum, cùm eorum quæ aſpectabilia
ſunt, tum eorum quæ aſpectabilia non ſunt. Omnia enim per
ipſum facta ſunt. Verè nunc tempus eſt, ut propheticum illud di-
ctum uſurpemus: Hic eſt Deus noſter, & non æſtimabitur alius ad
eum. Adinvenit omnem viam ſcientiæ, & dedit eam Joanni dilecto
D ſuo. Vide enim quæſo, quo pacto per unam vocem univerſum or-
bem terræ contexit, qui non commovebitur. Intuere mihi unum
hominem Epheſi ſedentem, & mundum univerſum docentem:
conſidera quàm multæ in Oriente civitates, quàm multæ regiones,
quàm multæ ſint Eccleſiæ? quàm multæ rurſus ad Solis occaſum,
& magnam Romam ſimiliter, & ad latera parteſque Auſtrales, &
regionem Cappadocum, & quæ interjecta ſunt omnia, inſulas, de-
ſerta, & fines terræ: cogita rurſus Eccleſiarum multitudines, cle-
E rum, & turbas populi, cum virorum tum mulierum, ſi fortè dinu-
merare iſtos poſſis. Veruntamen arenam maris dinumerare faci-
lius fuerit, quàm tot turbas, & hi omnes diſcipuli ſunt Joannis,
de divinitate verba facere hoc pacto edocti: In principio
erat verbum, & in foro hoc decantant: In principio e-
rat verbum: & viatores, & qui navigant, & qui

A οὐκ ὄντων παρήχθη, κατέλιπε, καὶ ὑπερέβη πάντας τοὺς οὐρανούς,
καὶ ὅσα οὐκ ἦν παρέδραμε. προσήγγισε τοῖς ὅροις τῶν ἀνεφίκτων, καὶ
οὐδεὶς ὁ κωλύων ἢ ἐμποδίζων τὴν τούτου ἄνοδον. πᾶς γὰρ ὁ ἄσπιλος
τῷ σώματι, καθαρὸς δὲ τῇ καρδίᾳ καὶ τὴν ψυχὴν ἄκακος, καὶ ταπεινὸς τῷ πνεύματι, οὔτε ὑπὸ τῶν ἀερίων πνευμάτων ἐμποδίζεται· οὔτε ὑπὸ τῶν οὐρανίων δυνάμεων κωλύεται ἀνελθεῖν εἰς τὴν ἄνω
Ἱερουσαλήμ, ἔνθα πάντες οἱ μακάριοι συνάγονται. ὥσπερ οὗτος
B ὁ μακάριος ἀπόστολος ὁ μικρότερος Ἰωάννης καὶ μείζων τοῦ μεγάλου ἁγίου Ἰωάννου. διὰ πάντων οὖν παρῆλθε, καὶ οὐδεὶς ὁ ἀντιβαίνων.
ἄγγελοι γὰρ ὁρῶντες ἀπὸ γῆς ἄνθρωπον ἀγγέλων ἐνδοξότερον, μηδὲν ἔχοντες εἰπεῖν, ἐσιώπων. οἱ τῶν ἀγγέλων δὲ χοροὶ ἄλλον ἀπὸ γῆς
ἄγγελον λαμπρὸν τῇ παρθενίᾳ, πλήρη ἁγιασμοῦ, καθαρὸν τῇ
καρδίᾳ, ἐμπεπλησμένον εὐωδίας, κατασχεῖν οὐκ ἐτόλμησαν.
αἱ πύλαι τῶν οὐρανῶν πάλιν ἰδοῦσαι ξένον πρόσωπον δεδοξασμένον
C ὑπὲρ τὸν ἥλιον θείας ἀκτῖνας ἀποστίλβοντα, καὶ ὑπονοοῦσαι τοῦτον εἶναι, ὃν ἠγάπα ὁ Ἰησοῦς τὸν ἐν τῷ στήθει αὐτοῦ ἐν πολλῇ καθαρότητι
ἀναπεσόντα, ὅθεν καὶ ἡ τοιαύτη αὐτῷ δόξα περιεκέχυται, αἰφνιδίως
ἀνοιχθεῖσαι τὴν εἴσοδον παρεχώρουν. εἶτα ἐπλησίασε λοιπὸν τὰ
ἀνεπίβατα· ἔφθασεν εἰς τὸν ἄνω βυθόν. τί οὖν ἐροῦμεν πρὸς ταῦτα;
ἀληθὴς ἡ θεία φωνὴ διὰ τοῦ προφήτου λέγουσα, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω. καθὼς περὶ τούτου καὶ ὁ θεοπάτωρ Δαβὶδ προε-
D φήτευσεν, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν· καὶ
πάλιν τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. τί γὰρ μεῖζον τούτου τοῦ θαύματος,
εἰς τοσοῦτον ὕψος ἀφικέσθαι ἄνθρωπον χοϊκόν, ἐν πολλῇ παρρησίᾳ, καὶ ὅσα δυνατόν ἐστι θεαθῆναι, ἐθεάσατο, καὶ εἰς τὰ ἐπέκεινα αὐτὸν φιλονεικεῖν βουλόμενον. ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν
δύναται, καθὼς γράφει Παῦλος ὁ ἀπόστολος, καθὼς καὶ αὐτὸς
Ἰωάννης τὰ ὅμοια, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε. τί οὖν ἐροῦμεν
E πρὸς ταῦτα; ὅτι Παῦλος μὲν καλῶς ἔγραψε, λέγων, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται. ἐνταῦθα γὰρ οὐκ ἔστι, τὰ κατὰ
ἀνθρώπους, οὔτε τὰ κατὰ φύσιν, ἀλλὰ τὰ ὑπὲρ φύσιν· οὔτε τῆς δουλείας,
ἀλλὰ τῆς υἱοθεσίας καὶ φιλίας. ὑμεῖς γὰρ φίλοι μου ἐστέ, οὐκέτι καλέσω ὑμᾶς δούλους. οὔτε μὴ καθαροί, ἀλλὰ καθαροὶ καὶ * λελουμένοι.
καθὼς πρὸς αὐτοὺς ἡ θεία φωνὴ λέγει, ὅτι ὑμεῖς καθαροί ἐστε, οἱ δὲ
καθαροὶ τῇ καρδίᾳ τὸν Θεὸν ὄψονται. ταῦτα τοίνυν τὰ μέγιστα καὶ
A θεῖα χαρίσματα ἐπιφερόμενος ὁ Ἰωάννης, καὶ τεθαρρηκὼς ἐπὶ
τὰ ὑψηλὰ ἐπιβάς, ἔφθασεν εἰς τὸ ἀπέραντον πέλαγος, καὶ τοῖς ἀμιάντοις αὐτοῦ τῆς καρδίας ὀφθαλμοῖς θεασάμενος ἐν τοῖς κόλποις τοῦ ἀνάρχου πατρὸς τὸν συνάναρχον λόγον, τὸν πρὸ πάντων αἰώνων ἐκ τοῦ πατρὸς ἀρρήτως γεννηθέντα, καὶ μηκέτι τὴν ἀνεκλάλητον
ἐκείνην χαρὰν ἐν ἑαυτῷ κατέχειν ἰσχύων, τὸ ἅγιον καὶ Σεραφικὸν
αὐτοῦ στόμα ἤνοιξε, καὶ μεγάλῃ τῇ φωνῇ ἀνέκραξε λέγων· ἐν ἀρχῇ
B ἦν ὁ λόγος. βλέπε μοι σύνεσιν ἁλιέως. σκόπησον σοφίαν ἀνδρὸς ἀγραμμάτου. εἶδές μοι ὕψος διδασκάλου ἀδιήγητον, ἐν
Ἐφέσῳ καθεζόμενον, καὶ τὰ ὑπεράνω τῶν οὐρανῶν θεώμενον; τῷ
πνεύματι εἰς τὸν ἄνω βυθὸν ἀπεδήμησε, καὶ ἐκ τοῦ πατρικοῦ κόλπου
τὴν θεολογίαν ἁλιεύσας τῷ σώματι κατωτέρω ἔγραψεν· ἐν ἀρχῇ ἦν ὁ
λόγος· ἀκούσατε οἱ πιστοὶ καὶ στηρίχθητε, ἐν ἀρχῇ ἦν ὁ λόγος. ἀκούσατε, οἱ γλωσσαλγοῦντες ἀντίλογοι, καὶ αἰσχύνθητε, ἐν ἀρχῇ
C ἦν ὁ λόγος. μηκέτι παρρησιάζεσθε βλάσφημοι, μηκέτι πολεμεῖτε τὴν ἐκκλησίαν ἀντίχριστοι· μηκέτι παρανομεῖτε· μηκέτι ὑψοῦτε
κέρας, μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ μὴ λαλεῖτε κατὰ
τοῦ Θεοῦ ἀδικίαν, λέγοντες, ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γενέσθαι
οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο. παῦσον τὴν γλῶσσάν σου ἀπὸ
κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. αὐτὸς γὰρ ἦν καὶ προῆν, καὶ
ἀεὶ ἦν οὔτε ἀρξάμενος, οὔτε παυσάμενος τοῦ εἶναι, οὔτε ἐν χρόνῳ
D ὁ ἄχρονος, οὔτε κτίσμα, ἢ ποίημα· αὐτὸς γὰρ ποιητὴς καὶ δημιουργὸς
τῶν ἁπάντων, ὁρατῶν τε καὶ ἀοράτων. πάντα γὰρ δι' αὐτοῦ ἐγένετο. ἀληθῶς καὶ νῦν εἰπεῖν καιρός, ἐκεῖνο τὸ προφητικὸν λόγιον, οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν
ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰωάννῃ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ.
θέασαί μοι γὰρ διὰ μιᾶς φωνῆς πῶς τὴν οἰκουμένην πᾶσαν ἐκατορ-
θωσεν, ἥτις οὐ σαλευθήσεται. βλέπε μοι ἕνα ἄνθρωπον ἐν Ἐφέ-
E σῳ καθεζόμενον, καὶ τὸν κόσμον ὅλον θεολογίαν διδάξαντα· κατανόησον πόσαι κατὰ ἀνατολὴν πολιτεῖαι, πόσαι χῶραι, πόσαι
ἐκκλησίαι, πόσαι πάλιν ἐπὶ δυσμὰς ἡλίου, καὶ τὴν μεγάλην Ῥώμην
ὁμοίως, καὶ ἐπὶ τὰ πλάγια, καὶ ἐπὶ τὰ μέρη τοῦ νότου, τοῦτ' ἔστι Καππαδόκων χώραν, καὶ τὰ ἐν μέσῳ πάντα, νήσους, ἐρήμους, καὶ τὰ ἄκρα τῆς
γῆς. ἐννόησον πάλιν τῶν ἐκκλησιῶν τὰ πλήθη, τὸν κλῆρον, καὶ τὰ πλήθη τοῦ λαοῦ, ἀνδρῶν τε, καὶ γυναικῶν, εἰ δύνασαι ἐξαριθμῆσαι
τούτους, ἀλλ' εὐκοπώτερον ἄμμον θαλάσσης ἐξαριθμῆσαι ἢ τοσαῦτα πλήθη. καὶ οὗτοι πάντες μαθηταὶ Ἰωάννου παρ' αὐτοῦ διδαχθέντες θεολογεῖν. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ἐπὶ τῆς ἀγορᾶς τοῦτο ψάλλουσιν, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁδοιπόροι, καὶ πελάγιοι καὶ πλω-
τῆρες

Google

τῆρες τὸ μελῳδῆσιν· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ἐν ταῖς ἐρήμοις καὶ ἐν τοῖς ὄρεσι, καὶ ἰδιῶται καὶ σοφοὶ, καὶ μικροὶ, καὶ μεγάλοι, καὶ πᾶς ὅστις ἐννοεῖ, ταῦτα θεολογεῖ. ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ λοιπὸν ἐν τῷ πληθυνθῆναι πανταχοῦ κεκραγότας ἀπαύστως τὸ ἦν καὶ ἦν· ἐξέλιπον οἱ λέγοντες τὸ οὐκ ἦν· οἱ θεολογοῦντες ἐπληθύνθησαν, καὶ οἱ ματαιολογοῦντες ἐξέλιπον, οἱ εὐσεβεῖς προέκοψαν, καὶ οἱ ἀσεβεῖς προσέκοψαν· οἱ πιστοὶ εὐφράνθησαν, καὶ οἱ ἄπιστοι ἐτάκησαν. τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν· τὰ μωρὰ τοῦ κόσμου ἐξηλέγχθησαν, καὶ οἱ σοφοὶ τοῦ κόσμου κατηργήθησαν. ἀλλὰ μέχρι τίνος οὐ παύσω τὸν περὶ αὐτῶν λόγον; καὶ γὰρ εἰ ἐπιμείνω τῷ λόγῳ, οὐ μὴ φθάσω τὸ ὕψος διηγήσασθαι τῆς τούτων δόξης. τὴν γὰρ δόξαν, ἣν ἔλαβε παρὰ τοῦ πατρὸς ὁ διδάσκαλος, δέδωκεν αὐτοῖς· καὶ τί λοιπὸν ἐπιμένω διηγεῖν ἀνέφικτα; καὶ γὰρ καὶ ἅπερ εἰπεῖν ἐτολμήσαμεν, οὐχ ὅσον ἄξιον τοῦ προκειμένου χοροῦ τῶν ἁγίων μαθητῶν, ἀλλ' ὅσον δυνατὸν τῇ ἡμετέρᾳ δυνάμει. τὸ γὰρ τούτους ἐπαξίως ἐγκωμιάσαι πᾶς ἄνθρωπος ἀπορεῖ, ὅθεν κἀγὼ φόβῳ λαλῶ, ἃ λαλῶ περὶ τούτων, μήπως διὰ τὴν οἰκείαν ἀνικανίαν, καὶ τὸ σμικρὸν τοῦ λόγου καὶ πενιχρὸν, σμικρύνω τούτων τοὺς ἐπαίνους, καὶ ἀγανακτεῖν αὐτοὺς κατ' ἐμαυτοῦ παρασκευάσω. πλὴν οἵπερ ὡς πάντας συμπαθεῖς ὄντες καὶ τανῦν συγγνώσονται τῇ ἡμετέρᾳ ἀσθενείᾳ. οἱ γὰρ λοιδορούμενοι εὐλογοῦσι, διωκόμενοι ἀνέχονται, δυσφημούμενοι παρακαλοῦσι, πολλῷ μᾶλλον ἐγκωμιαζόμενοι κατὰ τὴν ἡμῶν δύναμιν οὐ μὴ ἀγανακτήσουσιν ἐπιστάμενοι τὴν ἀσθένειαν τῆς φύσεως. οἱ καὶ τὸ ὑπὲρ φύσιν νῦν εἰληφότες παρὰ τοῦ ἀγαπήσαντος θεοῦ. καὶ λοιπὸν οἵποτε πτωχοὶ γεγόνασι πλούσιοι, οἱ ἄδοξοι ἔνδοξοι, οἱ ἀγράμματοι σοφοὶ, οἱ τῶν ἰχθύων ἁλιεῖς, ἁλιεῖς ἀνθρώπων. καὶ οὕτω τὸν δρόμον τελέσαντες ἀποδεδήμησαν πρὸς τὴν οὐκ ἔχουσαν τέλος ζωὴν, πρὸς τὸν ἑαυτῶν διδάσκαλον καὶ Κύριον Ἰησοῦν Χριστόν. αὐτῷ ἡ δόξα, Ἀμήν.

Τοῖς αὐτῶν διαδόχοις παραδεδωκότες τὰς σαγήνας καὶ τὰ δίκτυα, καὶ τὴν ἐξουσίαν, ἣν εἰλήφασι παρὰ τοῦ πᾶσαν ἐξουσίαν ἔχοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· ἰδοὺ γάρ φησι δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. τούτων τοίνυν, ὡς προείρηται, τὴν ἐξουσίαν καὶ τὴν ἀρχηγίαν καὶ τὸν ζῆλον διαδέχονται οἱ τίμιοι διδάσκαλοι, οἱ ἱεράρχαι, καὶ ποιμένες τοῦ τοῦ Χριστοῦ ποίμνης κατ' ἴχνος τῶν ἀποστόλων βαδίζοντες, οἱ γενναῖοι τῆς τριάδος ὑπέρμαχοι, οἱ τὸ γράμμα τοῦ νόμου παραδεδραμηκότες, καὶ τὸ ζωοποιὸν πνεῦμα παραλαβόντες, οἱ δίκην ἀρότρου ἀναρρήξαντες καὶ βαθύνοντες, καὶ ἐρευνῶντες, καὶ τὸν νοῦν ἐν ταῖς θείαις γραφαῖς πᾶσι τηλαυγῶς φανερώσαντες, οἱ τὴν πίστιν τρανώσαντες, καὶ τὴν κακοπιστίαν ἀπελάσαντες, οἱ τοὺς ὀρθοδόξους τοῖς θείοις δόγμασι στηρίξαντες, καὶ τοὺς κακοδόξους τοῖς θείοις βέλεσι ῥήξαντες, οἱ τὸν κατανύξεως οἶνον κεκρυμμένον εὑρόντες, καὶ τὴν ποίμνην διψῶσαν ποτίσαντες, οἱ τὸν ποιμενικὸν αὐλὸν ἀναλαβόντες, καὶ τὰ θεῖα σαλπίσαντες· οἱ λειτουργοὶ καὶ φύλακες καὶ ἐργάται τοῦ ἀμπελῶνος, οἱ τῶν θείων δογμάτων ῥήτορες, καὶ ῥομφαῖαι κατὰ τῶν αἱρετικῶν, οἱ ὑπὸ τοῦ ἁγίου πνεύματος τεθέντες ἐπίσκοποι, ὡς ἔφη ὁ ἅγιος Παῦλος· ποιμάνατε τὴν ἐκκλησίαν τοῦ θεοῦ, οἱ τὰς ἐπερχομένας θλίψεις μὴ παραιτησάμενοι, καὶ τὸν ἐπηγγελμένον τῆς ζωῆς στέφανον κομισάμενοι, οἱ τὰς νεωτερικὰς ἐπιθυμίας ἀποφυγόντες, καὶ τὴν μακαρίαν ἐλπίδα κληρονομήσαντες· οἱ στρατηγοὶ τοῦ μεγάλου βασιλέως, οἱ ἐν τῷ λόγῳ τοῦ θεοῦ πλούσιοι, καὶ πτωχοὶ τῷ πνεύματι, οἱ μιμηταὶ τῶν ἀποστόλων, καὶ τύποι τῶν πιστῶν, οἱ τῶν πόλεων ἀγελάρχαι καὶ τῆς οἰκουμένης κήρυκες, οἱ τὰς ψυχὰς αὐτῶν ὑπὲρ τῆς ποίμνης θέντες, καὶ τὸ αἷμα αὐτῶν ὑπὲρ τῆς πίστεως ἐκχέαντες, οἱ τὸν παλαιὸν ἐκεῖνον Ἀβραὰμ μιμησάμενοι, καὶ ἐν τοῖς κόλποις αὐτοῦ ἀναπαυσάμενοι· τὸν αὐτὸν τρόπον καὶ οὗτοι ἐκδικηταὶ τοῦ Κυρίου τὴν φάσιν δεξάμενοι περὶ τῶν δυσωνύμων καὶ κακοδόξων· οἱ τὰς θείας γραφὰς στρεβλώσαντες καὶ τὴν ἀλήθειαν συσκιάσαντες, καὶ τῆς εὐθείας ὁδοῦ ἐκνεύσαντες ψυχὰς αἰχμαλωτεύουσιν, εἰς τὸ ἀΐδιον ἕλκοντες τῆς αἱρέσεως σκότος, συναθροισθέντες ἅμα πάντες ὁμοφρόνως οἱ πιστοὶ, Δαβιδικὸν ζῆλον, δίκην λίθων τὰ θεῖα λόγια ἐκ τοῦ χειμάρρου, ἤγουν τοῦ εὐαγγελίου, καὶ τὴν ἄρρηκτον πίστιν τῆς ἁγίας τριάδος ἀναλαβόντες παρετάξαντο πόλεμον κατὰ τῶν ἀναριθμήτων καὶ ἀθέων αἱρετικῶν σύμψυχοι, τὸ ἓν συμφωνοῦντες καὶ λέγοντες μετὰ τοῦ ἀποστόλου, εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς θεὸς καὶ πατὴρ πάντων, ἓν πνεῦμα ἅγιον, ὁ φωτισμὸς πάντων, μία θεότης, εἷς θεός· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

nauticam artem exercent, hoc concinunt; In principio erat verbum, & in deſertis atque in montibus, tam imperiti quam ſapientes, & parvi, & magni, & quicunque hæc intelligit de divinitate loquens ait, In principio erat verbum: ac deinceps dum ubique numerus auctus eſt eorum qui indeſeſſo ore clamant, Erat, Et erat, defecerunt qui dicunt, Non erat. Qui de divinitate loquuntur, multiplicati ſunt, & qui vana loquuntur, defecerunt. Qui pii ſunt, profecerunt, & qui impii, offenderunt, fideles exhilarati ſunt, & infideles tabefacti ſunt. *Arcus potentium infirmatus eſt, & infirmi accincti ſunt robore.* 1.Reg 2,4. Quæ ſtulta ſunt mundi, redarguta ſunt, & ſapientes mundi deſtructi. Verum enimvero quouſque tandem de illis verba facere non ceſſo? Licet enim diutius ſermoni huic immorer, ſublimitatem gloriæ iſtorum aſſequi minimè potero. Quam enim à Patre gloriam præceptor accepit, eam illis tradidit: cur ergo diutius inſiſtam enarrandis iis quæ nequeunt oratione deſcribi? Nam & hæc ipſa quæ dicere auſi ſumus, nequaquam pro dignitate propoſiti chori ſanctorum diſcipulorum prolata ſunt, ſed quantum in noſtra poteſtate ſitum fuit. Siquidem dignis eos celebrare præconiis nullus omnino mortalium poteſt. Quamobrem ego quoque cum timore loquor, ea quæ de illis loquor, ne fortè propter imbecillitatem meam, ac ſermonis jejunitatem & egeſtatem eorum laudes imminuam, & illorum indignationem in meipſum commoveam. At enim ut miſericordes ſunt erga omnes, nunc quoque noſtræ ignoſcent imbecillitati Si enim, convitiis affecti benedicunt: perſequutionem paſſi ſuſtinent & opprobriis onerati obſecrant, 1.Cor.12. multo magis à nobis pro viribus laudati minimè indignabuntur, cùm illis naturæ imbecillitas ſit explorata: licet jam Dei beneficio, qui dilexit eos, ſupra naturam ſint evecti, & deinceps qui quondam pauperes erant, evaſerint divites, & obſcuri ſint illuſtres, & illiterati ſapientes, piſcatores piſcium, mox hominum piſcatores, & ita curſu conſummato ad vitam nullo fine terminatam commigrarunt ad doctorem ſuum & dominum Jeſum Chriſtum. Ipſi gloria, Amen.

Qui ſuis ſucceſſoribus ſagenas & retia tradiderunt, & poteſtatem quam acceperunt ab eo, qui poteſtatem habet omnem in cœlo & in terra. *Ecce enim*, inquit, *do vobis poteſtatem calcandi ſupra ſerpentes, & ſcorpiones, & ſuper omnem poteſtatem inimici, & nihil vobis nocebit.* Luc.10,9. His igitur in poteſtate & principatu & zelo ſuccedunt, ut ante dictum eſt, venerandi doctores, ſacrorum antiſtites, & Chriſti gregis paſtores, veſtigiis Apoſtolos conſequentes, generoſi Trinitatis propugnatores, qui prætermiſſo legis ſtatu & vivifico ſpiritu accepto, ad modum aratri ſulcant, profundè excavant, & ſcrutantes, ſenſumque Scripturæ ſacræ omnibus apertè declarant, qui fidem illuſtrant, & prava dogmata exterminant, qui rectæ doctrinæ defenſores ſacris dogmatibus firmant, & doctrina minimè ſana infectos jaculis confodiunt, qui cùm vinum compunctionis mixtum inveniſſent, ſitientem gregem potarunt, & aſſumpta tibia paſtorali divinis cantibus eum oblectarunt: miniſtri & cuſtodes, & operarii vineæ, ſacrorum dogmatum prædicatores, & gladii adverſus hæreticos, qui poſiti ſunt à Spiritu ſancto Epiſcopi, ut ait ſanctus Paulus, Paſcite Eccleſiam Dei: qui ingruentes tribulationes non refugerunt, qui promiſſam coronam vitæ reportarunt, qui juveniles cupiditates evitarunt, & beatam ſpem hæreditate poſſederunt: magni Regis militiæ principes; Dei verbo divites, & ſpiritu pauperes, imitatores Apoſtolorum, & formæ fidelium, civitatum rectores, & orbis terrarum præcones, qui animas ſuas pro grege poſuerunt, & pro fide ſanguinem ſuum fuderunt, qui veterem illum Abrahamum imitati ſunt, & in ejus ſinu requiem invenerunt; eodem modo & iſti defenſores Domini ſententiam excipientes de abominandis & nefariis hoſtibus fidei: qui ſcripturas torquentes ac depravantes & veritatem obſcurant, atque à recta via deflectentes captivas abducunt animas, & in æternas hæreſis tenebras pertrahunt, congregati omnes unanimiter fideles Davidicum zelum præ ſe ferentes & tanquam lapides de torrente, hoc eſt, ex Evangelio, ſacra eloquia ſimúlque inviolatam ſanctæ Trinitatis fidem ſumentes adverſos innumeros & impios hæreticos unanimes bellum indixerunt, unáque conſpirantes cum Apoſtolo dixerunt, unus Dominus, una fides, unum baptiſma, unus Deus & Pater omnium, unus Spiritus ſanctus, illuminatio cunctorum, una divinitas, unus Deus: ipſi gloria & imperium omni tempore nunc & ſemper & in ſecula ſeculorum. Amen.

Sancti Patris noſtri Joannis Chryſoſtomi, in pretioſa vitaliſque Crucis adorationem, media hebdomada jejuniorum, Sermo.

[illegible]

Joachimo Periunio, interprete.

Ex edit. Pariſien. 1554. & Aug. 1611.

VEnit nobis anniverſarius dies omni religione colendus, ac lucem afferens ſanctorum jejuniorum media hebdomas, quæ & ter beatam vitalémque conſervatoris noſtri Jeſu Chriſti crucem profert, & adorandam proponit, & eos qui eam ſincero corde caſtiſque labris venerantur, ſanctos efficit, atque ad reliquum ſtadii ſanctorum jejuniorum curſum paratiores robuſtioréſque reddit. Quia igitur hodiernus dies precioſæ crocis adorandæ conſtitutus eſt, huc adeſte, chariſſimi, eam cum metu atque deſiderio amplectamur. Reſurrectionis enim Chriſti ſplendorem emittens, donis muneribúſque ſuis omnes illuſtrat & ſanctificat: ob eámque cauſam eam completi in animis noſtris gaudio ſalutemus. Hodie cœli atque terræ incolæ ingenti lœtitia afficiuntur, propterea quód lucem afferens vitaliſque Chriſti crux proponitur, cujus vi dæmones fugantur, morbi profligantur, caliginoſæ obſcuræque tenebræ pelluntur, omnéſque orbis terræ fines illuminantur. Hodierno die Chriſti Eccleſia, alter paradiſus efficitur, quæ & ſanctum pretioſæ crucis lignum proponit, & paſſionis Chriſti præviam pompam crucem facit, & ejus reſurrectionis tanquam præreſuſcitationem. Hodie propheticum verbum completum eſt: Adoramus enim in loco in quo Dei noſtri pedes ſteterunt. Lætare ergo & geſti gaudio Chriſti Eccleſiæ, liberóſque tuos fac adducas perturbationum continentia, jejunióque expiatos, ſplendidiſque virtutibus fulgentes, atque choream ducas novi inauditóque genere ſaltationis. Quemadmodum enim in ſolitudine ii qui vulnerati erant, aſpecto ſpectatóq; æneo ſerpente à morte liberabantur: ſic etiam nunc ii qui medium jejunii curſum confecerunt, hujus contactu, ſerpentem qui animo cernitur & intelligitur, interficiunt: iidemque immortalitatem aſſequuntur, ſociique eorum quæ Chriſtus pertulit, continentia effecti, ſocii atque participes ejus reſurrectionis redduntur. Neque hoc modo, verùm etiam ad id quod ſequitur, fortiter currentes, victrices laudes Deo offerunt. Crux enim Domini armatura eſt victrix, & tropæum reportans, quæ regum armis vinci bello non poteſt: eadem eſt cornu Eccleſiæ, hoſtium expugnatrix, ſalus fidelium. Beatique verè ſunt, atque admodum beati ii quibus caſtis labris, ſanctóque ore eam ut amplexentur conceſſum eſt. Re enim vera illud Domini verbum implent, *Si quis me ſequi vult, ſeſe ipſe abneget, tollátque crucem ſuam, & me ſequatur.* Vide quemadmodum nullam neceſſitatem verbis ſuis adjungit. Non enim dixit, velitis, nolitis, hoc vobis perferendum eſt. ſed quomodo? Si quis vult me ſequi, non vim affero, non cogo, ſed ſui quemq; judicii ac voluntatis dominum facio: ob eámque cauſam dico, Si cui in animo eſt me ſequi. Ob bonum enim, & honeſtatem, non ob malum & moleſtiam, non ob ſupplicium & pænam voco. Ipſa enim natura rerum ſatis virium habet ad trahendum. Si quis vult venire poſt me, ſive vir, ſive mulier, ſive is qui præeſt, ſive is qui alii paret, & ſervari vult, hanc ingrediatur viam. Tria ſunt quæ commemorat, abnegare ſeipſum, crucem portare, & ſequi, ſed primùm quid ſit ſeipſum negare, videamus. Diſcamus quid ſit alterum negare, ac tum denique negare ſe quid ſit, intelligemus. Quid ergo eſt negare alterum? Qui alium negat, exempli cauſa filium, vel fratrem, vel amicum, vel vicinum, aut quemvis alium, ſive flagris eum cædi videat, ſive in vincula conjici, aut quidvis aliud perpeti, non præſtò eſt, non fert auxilium, non vicem ejus dolere ſe lacrymis teſtatur, nullum ſenſum doloris ejus ſentit. Totus enim alieno ab eo eſt animo. Sic ergo vult nos Deus corpus noſtrum negligere, ut ſi qui nos ipſius cauſa verberent, vel ſupplicio afficiant, vel exagitent, aut aliquid aliud faciant, negligamus. Hoc eſt enim negare, id eſt, nihil rei ſecum habeat, ſed ſeipſe periculis objiciat, & certamini: atque eo modo affectus eſto, quo ſi quis alius pateretur, eſſet. Nec dixit, Neget ſeipſum, ſed abneget, hac parva adjunctione magnam declarans exuperantiam. Et tollat crucem ſuam. Vides quemadmodum eum militem, qui ipſum ſequitur, rex cœlorum armavit? non ſcutum dedit, non galeam, non ſagittam, non thoracem, non ocreas, non quippiam aliud ejuſdem generis, ſed quod his omnibus eſt firmius & valentius, præſidium quód à cruce proficiſcitur, ſignũ victoriæ quæ contra dæmonia parta eſt: hoc gladius eſt, hoc ſcutũ, hoc thorax, hoc galea, hoc ocreæ, hoc tutũ certũmq; præſidiũ, hoc portus, hoc perfugiũ, hoc corona, hoc certaminis præmiũ hoc bonorũ omniũ theſaurus, & quæ nunc ſunt, & quæ ſunt unquã futura. Ut enim aliquis ſumptis armis quibus facilè ſe tueri poſſit, ea etiam dat militibus ſuis: ſic etiam Chriſtus, Videte, inquit, omnia quæ crux mea

Pſal. 131, 7.

Num. 21.

Matt. 8, 34.

Εἰς τὴν προσκύνησιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῇ μέσῃ ἑβδομάδι τῶν * νηστειῶν.

ΗΚΕΝ ἡμῖν ἐνιαύσιος ἡμέρα, ἡ πανσέβαστος καὶ φωσφόρος τῶν ἁγίων νηστειῶν ἡ μέση ἑβδομάς, τὸν τρισόλβιον καὶ ζωοποιὸν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σταυρὸν προσκομίζουσα, καὶ τοῦτον προτιθεμένη εἰς προσκύνησιν, καὶ τοὺς προσκυνοῦντας αὐτὸν εἰλικρινεῖ καρδίᾳ, καὶ ἁγνοῖς χείλεσιν ἁγιάζουσα, καὶ πρὸς τὸν ἑξῆς τοῦ σταδίου τῶν ἁγίων νηστειῶν δρόμον εὐτονωτέρους καὶ ἀκμαιοτέρους δεικνύουσα. Σήμερον τοιγαροῦν προσκυνήσιμος ἡμέρα τοῦ τιμίου σταυροῦ καθέστηκε, καὶ δεῦτε, ὦ φίλοι, φόβῳ καὶ πόθῳ τοῦτον προσπτυξώμεθα. τὸ γὰρ ἐγέρσεως Χριστοῦ τὰς αὐγὰς φωτοβολῶν, πάντας φωτίζει καὶ ἁγιάζει τοῖς αὐτοῦ χαρίσι. διὸ τοῦτον ἀσπασώμεθα ψυχικῶς ἀγαλλόμενοι. Σήμερον χαρὰ γίνεται ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, ὅτι ὁ τοῦ Χριστοῦ φωσφόρος καὶ ζωοποιὸς σταυρὸς τῷ κόσμῳ ἐμφανίζεται, δι᾽ οὗ δαίμονες φυγαδεύονται, καὶ νόσοι θεραπεύονται, καὶ σκότος ζοφῶδες ἀπελαύνεται, καὶ πάντα τῆς γῆς τὰ πέρατα καταφωτίζεται. Σήμερον ἡ Χριστοῦ ἐκκλησία ἄλλος παράδεισος δείκνυται, τὸ παναγιον ξύλον τοῦ τιμίου σταυροῦ ἐν μέσῳ προθεῖσα, καὶ προπομπὴν τοῦ πάθους Χριστοῦ τὸν σταυρὸν ποιουμένη, καὶ τῆς ἀναστάσεως αὐτοῦ προέγερσιν. Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον, τὸ φάσκον, ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες τοῦ Θεοῦ ἡμῶν. εὐφραίνου τοιγαροῦν καὶ ἀγάλλου ἡ Χριστοῦ ἐκκλησία, καὶ προσάγαγε τὰ σὰ τέκνα, τῇ ἐγκρατείᾳ τῶν παθῶν, τῇ νηστείᾳ κεκαθαρμένα, ταῖς τε θεολαμπέσιν ἀρεταῖς ἐξαστράπτοντα, καὶ χόρευε χορείαν τὴν ἀλάλητον. Καθάπερ γὰρ πάλαι ἐν τῇ ἐρήμῳ τὸν χαλκοῦν ὄφιν οἱ δηχθέντες προσβλέποντες ἐρρύοντο θανάτου· οὕτω δὴ καὶ νῦν οἱ τὸ τῆς νηστείας μεσοπορήσαντες στάδιον, τούτου προσψαύοντες, τὸν νοητὸν ὄφιν νεκρὸν δεικνύουσι, καὶ αὐτοὶ ἀθανατίζονται, καὶ κοινωνοὶ τῶν παθημάτων τοῦ Χριστοῦ διὰ τῆς ἐγκρατείας δεικνύμενοι, κοινωνοὶ καὶ τῆς ἀναστάσεως αὐτοῦ ἀναδείκνυνται. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ πρὸς τὸ ἑξῆς νικηκῶς ἐνδραμόντες, ἐπινικίους ὕμνους τῷ Θεῷ προσκομίζουσι. τροπαιοφόρον γὰρ καὶ νικητικὸν ὅπλον ὁ τοῦ Κυρίου σταυρὸς καθέστηκε· βασιλέων ὅπλον ἀκαταμάχητον, ἐκκλησίας κέρας, ἐχθρῶν καθαιρέτης, καὶ τῶν πιστῶν σωτηρία· καὶ μακάριοι ἀληθῶς καὶ τρισμακάριοι, οἱ ἁγνοῖς χείλεσι καὶ στόμασι καθαροῖς τούτου ἀξιούμενοι περιπτύξασθαι· ἔργῳ γὰρ ἀληθῶς πληροῦσι τὸ φάσκον τοῦ Κυρίου ῥητόν, εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. καὶ ὅρα πῶς ἀκαταναγκάστως ποιεῖ τὸν λόγον· οὐδὲ γὰρ εἶπε, κἂν βούλησθε, κἂν μή, τοῦτο δεῖ ὑμᾶς παθεῖν, ἀλλὰ πῶς; εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. οὐ βιάζομαι, οὐκ ἀναγκάζω· ἀλλ᾽ ἕκαστον κύριον τῆς ἑαυτοῦ προαιρέσεως ποιῶ, δι᾽ ὃ καὶ λέγω, εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν. ἐπὶ γὰρ ἀγαθῷ καλῶ, οὐκ ἐπὶ κακῷ καὶ ἐπαχθεῖ, οὐκ ἐπὶ κολάσει καὶ τιμωρίᾳ. καὶ γὰρ αὐτὴ τῶν πραγμάτων ἡ φύσις ἱκανὴ ἐφελκύσασθαι. εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, κἂν ἀνήρ, κἂν γυνή, κἂν ἄρχων, κἂν ἀρχόμενος, καὶ θέλει σωθῆναι, ταύτην ἐρχέσθω τὴν ὁδόν. τρία δέ ἐστι τὰ λεγόμενα, τὸ ἀπαρνήσασθαι ἑαυτόν, τὸ ἆραι τὸν σταυρόν, καὶ τὸ ἀκολουθῆσαι. ἀλλ᾽ ἴδωμεν πρότερον, τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. μάθωμεν τί ἐστιν ἀρνήσασθαι ἕτερον, καὶ τότε εἰσόμεθα, τί ἐστι τὸ ἀπαρνήσασθαι ἑαυτόν. τί οὖν ἐστι τὸ ἀρνήσασθαι ἕτερον; ὁ ἀρνούμενος ἕτερον, οἷον ἢ ἀδελφόν, ἢ φίλον, ἢ γείτονα, ἢ ὁντιναοῦν, κἂν μαστιζόμενον ἴδῃ τοῦτον, κἂν δεσμούμενον, κἂν ὁτιοῦν πάσχοντα, οὐ προΐσταται, οὐ βοηθεῖ, οὐκ ἐπικλᾶται, οὐ πάσχει τι πρὸς αὐτόν· ἅπαξ γὰρ αὐτοῦ ἠλλοτρίωται. οὕτω τοίνυν βούλεται τοῦ σώματος ἀφειδεῖν τοῦ ἡμετέρου ὁ Θεός, ἵνα κἂν μαστίζωσιν ἡμᾶς δι᾽ αὐτόν τινες, κἂν κολάζωσι, κἂν ἐλαύνωσι, κἂν ἄλλο τι ποιῶσι μὴ φειδώμεθα. τοῦτο γάρ ἐστιν ἀρνήσασθαι· τουτέστι, μηδὲν ἐχέτω πρὸς ἑαυτόν, ἀλλ᾽ ἐκδιδότω ἑαυτὸν τοῖς κινδύνοις, τοῖς ἀγῶσι, καὶ ὡς ἑτέρου πάσχοντος, οὕτω διακείσθω, καὶ οὐκ εἶπεν, ἀρνησάσθω ἑαυτόν, ἀλλ᾽, ἀπαρνησάσθω, τῇ μικρᾷ ταύτῃ προσθήκῃ πολλὴν ἐμφαίνων τὴν ὑπερβολήν. καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ. εἶδες πῶς καθώπλισε τὸν ἑπόμενον αὐτῷ στρατιώτην ὁ τῶν οὐρανῶν βασιλεύς. οὐ θυρεὸν ἔδωκεν, οὐ κράνος, οὐ τόξον, οὐ θώρακα, οὐ κνημῖδα, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλ᾽ ὃ πάντων τούτων ἐστὶν ἰσχυρότερον, τὴν ἀσφάλειαν, τὴν ἀπὸ τοῦ σταυροῦ, τὸ σύμβολον τὸ κατὰ τῶν δαιμόνων νίκης. τοῦτο μάχαιρα, τοῦτο ἀσπίς, τοῦτο θώραξ, τοῦτο κράνος, τοῦτο κνημίς, τοῦτο φρούριον ἀσφαλές, τοῦτο λιμήν, τοῦτο καταφυγή, τοῦτο στέφανος, τοῦτο ἔπαθλον, τοῦτο τῶν ἀγαθῶν ἁπάντων θησαυρός, καὶ τῶν νῦν καὶ τῶν ἐσομένων ποτέ. καθάπερ γάρ τις ὅπλον ἰσχυρὸν λαβών, καὶ τοῖς αὐτοῦ δίδωσι στρατιώταις, οὕτω καὶ ὁ Χριστός. ἴδετε, φησί, τὸν ἐμὸν σταυρὸν ὅσα δύναται

ποιῆσαι.

ποιήσατε καὶ ὑμεῖς ὅπλα τοιαῦτα, καὶ ἀνύσατε τοιαῦτα ὅσα βούλεσθε. καίτοιγε καὶ ἀλλαχοῦ, καὶ μείζονα τούτων ἐπηγγείλατο λέγων· ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. τί δέ ἐστιν αὐτὸ τὸ ῥητὸν, τὸ, ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι; ἆρα ἵνα τὸ ξύλον βαστάζωμεν ἕκαστος; οὐδαμῶς· ποία γὰρ ἀρετὴ τοῦτο; ἀλλ' ἵνα πρὸς τοὺς κινδύνους ὦμεν παρατεταγμένοι, τὸ αἷμα ἡμῶν ἐν ταῖς ψυχαῖς περιφέροντες, πρὸς σφαγὴν καὶ θάνατον ἕτοιμοι καθ' ἡμέραν· οὕτως ἅπαντα πράττοντες, ὡς μηδέπω προσδοκᾶν μέχρι τῆς ἑσπέρας τὴν ἡμετέραν διαρκέσαι ζωὴν, ὡς ἀποθανούμενοι πάντως. ὅπερ καὶ ὁ ἀπόστολος ἔλεγε Παῦλος, καθ' ἡμέραν ἀποθνήσκω. οὐχὶ εἷς σοι παρὰ τῆς φύσεως δέδοται θάνατος; ἔξεστιν, ἂν θέλῃς, μυριάκις ἀποθανεῖν ὑπὲρ τοῦ δεσπότου σου. τοιαύτη γὰρ ἡ χάρις τὴν παρὰ τοῖς φίλοις πτωχείαν εἰς πολὺν ἐξάγει πλοῦτον, διὰ τὴν φιλοδωρίαν τοῦ δεσπότου, οὐ τῇ τῶν πραγμάτων ἐκβάσει μόνον, ἀλλὰ καὶ τῇ προθέσει τῶν ἀγωνιζομένων τοὺς στεφάνους ὁρίζοντος. τί δέ ἐστιν, ἀράτω; οὕτως ἔστω πρόθυμος εἰς τὸ σφαγιασθῆναι καὶ σταυρωθῆναι, φησὶν, ὡς ἐκεῖνος ὁ βαστάζων ἐπὶ τῶν ὤμων· οὕτως ἐγγὺς εἶναι νομιζέτω τοῦ θανάτου. τὸν τοιοῦτον ἅπαντες καταπλήττονται. οὐ γὰρ οὕτω δεδοίκαμεν τοὺς μυρίοις πεφραγμένους ὅπλοις ἀνθρωπίνοις, καὶ ἐπὶ ἀνδρείᾳ τοσαύτῃ τετειχισμένους, ὡς τοῦτον· ἐν τούτῳ ἐλευθερία. οὐδὲν γὰρ οὕτω ποιεῖ θάνατον ἐκφυγεῖν, ὡς τὸ καταφρονεῖν θανάτου. ἵνα δὲ μηδεὶς νομίσῃ τοῦτο μόνον ἀρκεῖν, τὸ πρὸς θάνατον ἑτοίμους εἶναι (εἰσὶ γὰρ καὶ λῃσταὶ καὶ γόητες τοιοῦτοι καὶ μιαιφόνοι πάντες) διὰ τοῦτο προσέθηκε, καὶ ἀκολουθείτω μοι. οὐ τὸν ἀνδρεῖον ζητῶ, φησὶ, μόνον, οὐδὲ τὸν ἀκατάπληκτον πρὸς τὴν τελευτὴν τοῦ βίου, ἀλλὰ τὸν ἐπιεικῆ καὶ σώφρονα καὶ μέτριον, καὶ πάσης γέμοντα ἀρετῆς. εἶδες σταυροῦ διακονίαν, οὐκ ἐπὶ τοῦ δεσπότου μόνου, ἀλλὰ καὶ ἐπὶ τῶν δούλων τοσαῦτα ἰσχύουσαν; τοῦτο Πέτρον κορυφαῖον εἰργάσατο· τοῦτο Παῦλον τοιοῦτον ἐποίησε. διὸ καὶ ἔλεγε, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἢ στενοχωρία; ἢ κίνδυνος; ἢ μάχαιρα; τοῦτο καὶ τοὺς νηστεύοντας οὐχὶ βρωμάτων μόνον, ἀλλὰ καὶ παθῶν ἀνδρείους ἀπειργάσατο. περιφράξωμεν ἑαυτοὺς, ἀγαπητοὶ, τῇ δυνάμει τοῦ σταυροῦ, καὶ καθοπλισάμενοι πρὸς τὰ ἑξῆς, προθυμότεροι τῇ νηστείᾳ προσέλθωμεν, καὶ πάντων τῶν τοῦ βίου τερπνῶν καταφρονήσωμεν. καὶ γὰρ πλοῦτος, καὶ δόξα, καὶ δυναστεία, καὶ ἔρως καὶ ὅσα τοιαῦτα, διὰ τοῦτο ἡδέα, ἐπειδὴ φιλοψυχοῦμεν, καὶ τῇ παρούσῃ προσηλώθημεν ζωῇ. ταύτης δὲ καταφρονηθείσης, οὐδεὶς ἐκείνων ἡμῖν λόγος. καλὴ γὰρ ἡ παροῦσα ζωὴ, καλὴ καὶ ἡδεῖα· δῶρον γάρ ἐστι Θεοῦ· ἀλλ' ὅταν ἡ μέλλουσα φανῇ, τότε καταφρονεῖται δικαίως αὐτή. μὴ τοίνυν αἰσχυνθῶμεν τοῖς σημείοις τῆς σωτηρίας ἡμῶν συμβόλοις, μηδὲ τὸ μέγα κεφάλαιον τῶν ἀγαθῶν, δι' οὗ ζῶμεν, καί ἐσμεν, ἀποκρυψώμεθα, τρυφῇ ἑαυτοὺς ἐκδόντες καὶ κραιπάλῃ καὶ γαστριμαργίᾳ, ἀλλ' ὡς στέφανον περιφέρωμεν τὸν σταυρὸν τοῦ Χριστοῦ, τουτέστι, τῶν παθῶν τὴν νέκρωσιν. καὶ γὰρ πάντα δι' αὐτοῦ τελεῖται τὰ καθ' ἡμᾶς. κἂν ἀναγεννηθῆναι δέῃ, σταυρὸς παραγίνεται· κἂν τραφῆναι τὴν μυστικὴν ἐκείνην τροφὴν, κἂν χειροτονηθῆναι, κἂν ἄλλο ὁτιοῦν ἕτερον ποιῆσαι, πανταχοῦ τὸ σύμβολον ἡμῖν τοῦ σταυροῦ παρίσταται. διὰ τοῦτο καὶ ἐπὶ οἰκίας, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τῶν θυρίδων, καὶ ἐπὶ τῶν μετώπων, καὶ ἐπὶ τῆς διανοίας μετὰ πολλῆς ἐπιγράφομεν αὐτὸν τῆς σπουδῆς. τὸ γὰρ ὑπὲρ ἡμῶν σωτηρίας καὶ τῆς ἐλευθερίας τῆς κοινῆς, καὶ τῆς ἐπιεικείας τοῦ δεσπότου, τοῦτ' ἔστι σημεῖον. διὰ τοῦτο σφραγὶς καλεῖται, ὅτι πάσας τοῦ Θεοῦ τὰς παρακαταθήκας, ὅσας ἂν λάβωμεν, τούτῳ, καθάπερ τινὶ σημαντῆρι βασιλικῷ καὶ δακτυλίῳ, σφραγίζομεν, καὶ προσελθεῖν οὐδὲν ἐκείνῳ τολμᾷ πονηρόν. ἂν προστασίαν δήμου τινὶ παρακαταθῶμεν, κἂν πρὸς τὸ τῆς ἱερωσύνης ἀγάγωμεν ἀξίωμα, μετὰ τὸ μυρία ἐπεύξασθαι, καὶ καλέσαι τοῦ πνεύματος τὴν χάριν ἐλθοῦσαν, τούτῳ σφραγιζόμεθα, ὥσπερ ἐναποκλείοντες ἐν ἀσφαλεῖ ταμιείῳ τὴν δοθεῖσαν δωρεάν. οὕτω καὶ ἐν ταῖς ἱερουργίαις παραλαμβάνεται. ὁ γὰρ σταυρὸς τοῦ Χριστοῦ, μάχαιρά ἐστι καὶ ξύλον, ἐν ᾧ σφαγεὶς ὁ Χριστὸς ὑπὸ τῶν θεοκτόνων Ἰουδαίων ἔλυσε τὰ ἔργα τοῦ διαβόλου, καὶ αὐτὸν τὸν διάβολον κατέβαλε, τὰς ἡμῶν ἁμαρτίας προσηλώσας ἐν αὐτῷ. τούτου χάριν ἐν ταῖς ἱερουργίαις παραλαμβάνεται, οἷά τις ῥομφαία καὶ μάστιξ βασιλικὴ, βασανίζουσα καὶ ἀποδιώκουσα πᾶσαν δαιμονικὴν ἔλευσιν, καὶ σατανικὴν ἐπιφοράν. διὰ τοῦτο οἱ θεῖοι ἱερομύσται, ὥσπερ τινὲς δορυφόροι, προθέντες τὴν βασιλικὴν μάστιγα, διὰ ταύτης ἀποδιώκουσι πᾶσαν ἀντιδίκων καὶ ἀντιπάλων φάλαγγα, τὰς θείας καὶ βασιλικὰς δωρεὰς τοῖς μυσταγωγοῖς ἀπονέμοντες, καὶ σὺν αὐτοῖς τὸν βασιλέα Χριστὸν γεραίροντες. ὅταν τοίνυν σφραγίζῃ, ἐννόει τοῦ σταυροῦ πᾶσαν τὴν ὑπόθεσιν, καὶ σβέσεις θυμὸν, καὶ πάντα τὰ λοιπὰ πάθη. ὅταν σφραγίζῃ, πολλῆς ἔμπλησον τὸ μέτωπον παρρησίας· τὸ στῆθος, τὰ ὄμματα καὶ πάντα μέλη παράστησον θυσίαν εὐάρεστον τῷ Θεῷ. τοῦτο γὰρ ἡ λογικὴ λατρεία. τοῦτο τὸ σημεῖον καὶ ἐπὶ τῶν προγόνων ἡμῶν θύρας ἀνέῳξε κεκλεισμένας. τοῦτο δηλητήρια ἔσβεσε φάρμακα, τοῦτο κωνείου δύναμιν ἔλυσε, τοῦτο θηρίων ἰοβόλων δήγματα ἰάσατο. εἰ γὰρ ᾅδου πύλας ἀνέῳξε

A perfecit: facite etiam vos arma ejuſmodi, & perficite ejuſmodi quæ vultis. Quanquam alicubi his etiam majora pollicitus eſt, his verbis, *Qui in me credit, is etiam opera quæ ego perficio, perficiet, atque his majora præſtabit.* Quid autem vult ſibi hoc verbum, tollat crucem ſuam, & me ſequatur? An ut lignum unuſquiſque noſtrum ferat? certè non, quæ enim hæc virtus eſt? ſed ut ad pericula inſtructi ſimus, & ſanguinem in animis noſtris circumferentes, ad cædem & mortem quotidie parati, ita omnia faciamus, B ut ſi ad veſperam nos victuros eſſe non ſperaremus, quaſi planè morituri. Id quod etiam Apoſtolus Paulus dicebat, *Quotidie morior.* An non tibi à natura mors una conſtituta eſt? Et tamen licet tibi, ſi libet, millies pro Domino mortem oppetere. Hic enim gratiæ mos eſt, egeſtatem quæ apud amicos manet, Domini benignitate ad magnas divitias perducere: qui non rerum modò eventu, verùm etiam certantium propoſito & voluntate coronas metitur. Quid autem illud eſt, Tollat? Ita eſto, inquit, paratus ad C cædem & crucem, ut is qui eam portat: ita paratus, ut is qui eam in humero ſuſtinet: ita vicinus morti eſſe exiſtimetur. Omnes talem obſtupeſcunt: neque enim adeò mille armis inſtructos homines, & hac fortitudine fretos ac munitos pertimeſcimus. In hoc libertas ſita eſt. Nihil enim tantopere mortem fugat, ut mortis contemptio. Sed ne quis exiſtimaret hoc unum ſatis eſſe, paratos eſſe ad mortem (ſunt enim & latrones, & venefici ejuſmodi, & parricidæ omnes) ob eam cauſam addidit: Et me ſequatur. D Non fortem, inquit, modò quæro, nec eum qui appropinquante morte non horreſcit, ſed etiam bonum, continentem, moderatum, omnique virtute præditum. Vidiſti crucis miniſterium, nec in Domino tantùm, verùm etiam in ſervis tantum valere? Hoc Petrum principem fecit, hoc Paulum talem reddidit. Itaque dicebat, *Quis nos à Chriſti charitate ſejunget? oppreſſio? an angor? an periculum? an gladius?* Hoc etiam eos qui jejuno ſunt ſtomacho, & ſe abſtinent non ab eſculentis modò, verùm etiam à perturba- E tionibus, fortes effecit. Armemus nos, chariſſimi, vi crucis, atque muniamus? armatique ad id quod reliquum eſt, ad jejunium veniamus paratiores, contemnamúſque omnia voluptatum genera, quæ hæc vita ſuppeditat. Etenim divitiæ, gloria, potentia, amor, omniáque ejuſdem generis propterea jocunda ſunt, noſtróſque ſenſus movent, quòd nimia vitæ cupiditate ducimur, & huic vitæ affixi ſumus. Hac autem contempta, nullam illorum rationem ducimus. Bona enim hæc vita eſt, bona & jucunda: (eſt A enim Dei donum) ſed cùm futura apparuit, tum æquum eſt eam contemnere. Ne igitur pudore afficiamur magnificis ſalutis noſtræ ſignis, nec magnum caput bonorum, quo & vivimus & ſumus, depellamus, nos deliciis, crapulæ, ingluvieique dedentes: ſed pro corona, Chriſti crucem feramus, id eſt, mortem perturbationum. Etenim ea quæ ad religionem noſtram pertinent, per eam perficiuntur omnia: ſive renaſcendum eſt, crux præſto eſt; ſive myſticus ille cibus ſumendus, ſive in clerum aliqui cooptan- B di ſunt, ſive quidvis aliud faciendum eſt, ubique ſignum nobis crucis adeſt. Ob eámque cauſam & in ædibus & in muris, & in feneſtris, & in frontibus, & in animo atque mente eam ſtudioſè depingimus & inſculpimus. Salutis enim noſtræ, communiſque libertatis & bonitatis Domini noſtri hoc ſignum eſt & certiſſimum & clariſſimum. Hinc ſignaculum ſive ſignum appellata eſt, quod depoſita divina omnia quæ accepimus, hac, quaſi ſigno quodam regio atque anulo, obſignamus: nec quicquam malitiam audet C accedere. Si quem populo præficiamus, eúmque ad ſacerdotii dignitatem provehamus, poſteaquam innumerabilia precati ſumus, ac ſpiritus ſancti munus appropinquans evocavimus, hac obſignamus, quaſi certo firmóque in loculo donum quod donatum eſt, includamus. Sic etiam in ſacrificiis adhibetur. Chriſti enim crux gladius eſt & lignum, quo interfectus eſt à Dei interfectoribus Judæis Chriſtus, & diaboli opera delevit, ipſúmque diabolum dejecit, noſtris in eo fixis criminibus. Ob eámque cauſam D in ſacrificiis uſurpatur, quaſi gladius quidam & flagrum, quod omnem diaboli adventum, ſatanæque impetum profligat & fundit. Hinc divini pontifices quaſi ſtipatores quidam regio flagro propoſito, en omnem hoſtium exercitum fundunt & fugant, cùm divina regiáque munera iis qui initiantur, tribuunt, in quo una cum eis regem Chriſtum colunt atque venerantur. Cùm ergo ſignatis, tibi in mentem veniat totum crucis argumentum, ac cum iram omnéſque à ratione averſos animi impetus E extinxeris. Cùm frons conſignabitur, cùm pectus, cùm oculi, cùm reliqua membra, fac te ipſe ut hoſtiam Deo gratam offeras. *Hoc eſt enim à ratione profectum obſequium.* Hoc etiam ſignum fores clauſas majorum noſtrorum memoria aperuit: hoc noxia mortiferáque venena extinxit: hoc cicutæ vim eluit: hoc denique belluarum venenatarum morſus curavit: Si enim

Joh. 14, 12.
1. Cor. 15, 31.
Rom. 8, 35.
Rom. 12, 1.

Si enim inferorum portas aperuit & cœlorum orbes laxavit, paradiſique aditum renovavit, & diaboli nervos fregit: quid mirum videri debet, ſi noxia venena vincit & ſuperat? Hoc ergo in mente tua inſculpe, animorúmque noſtrorum ſalutem amplectere. Hæc enim crux orbem terræ conſervavit, errorem expulit, veritatem revocavit, terram cœlum fecit, homines fecit Angelos. Ob eámque cauſam dæmones non jam horribiles ſunt, aut metuendi, ſed contemnendi: nec mors eſt mors, ſed ſomnus & vigilia. Hinc etiam non recti impetus, qui eis qui jejunant, adverſantur & obſiſtunt, obruuntur. Quòd ſi quis Judæus, hoc tibi dicat: Eum qui cruci ſuffixus fuit, adoras & veneraris? et alacri magnáque voce, ac læto vultu reſponde, Certè adoro, nec finem adorandi faciam: &, ſi rideat, luge eum quòd amens ſit, nec ſciat quid loquatur: Chriſtóque Domino age gratias, quòd ejuſmodi in nos beneficia contulit, quæ ſine cœleſti divináque enunciatione diſcere nemo poſſit. Ob eam enim cauſam iſte etiam ridet, quòd animalis homo & corporis voluptatibus deditus, ea quæ ſunt ſpiritus, minimè capit & probat. Sed quidnam ait amens, ingratus, perfidúſque Judæus? Si ergo Chriſtus eſt Deus, ut defenditis, ac Dei Filius, ſalutiſque hominum cauſa venit: cur tali morte quæ inhoneſta eſt, in crucem actus eſt? Cui paucis reſpondebimus, quæ ex Prophetis collecta ſunt. Oportuit Chriſtum cruci affigi, ô legis violator, & ingrate Judæe! propterea quòd lex & Prophetæ ita prædixerant, fore ut genus hominum à Chriſto

Deut. 28, 66. conſervaretur. Primum enim Moſes dicit: *Videbitis vitam veſtram ſuſpenſam in oculis veſtris*, nec vitæ veſtræ fidem habebitis. Et

Eſa. 53, 7. Eſaias, *Tanquam ovis ad cædem ductus eſt, & quaſi agnus coram*

Hier. 11, 19. *tondente, obmutuit.* Itémque Hieremias, *Venite*, inquit, *immittamus lignum in ejus panem.* Et, Dederunt pretium ejus in agrum figuli, quemadmodum mihi Dominus conſtituit. Deum autem eſſe Chriſtum qui in crucem ſublatus eſt, audi Eſdram aſſerentem, Benedictus eſt Dominus, qui manus ſuas extendit, ſalutémque Hieroſolymis ſpectantibus nobis dedit. Jam verò cùm ſer-

Num. 21. pentes populum interficiebant, juſſúque Dei Moſes in ligno ſerpentem ſublimem propoſuiſſet, monebat populum, ut ſerpentem intuerentur: ita fore ut minimè morerentur. Rurſúſque Hieremias ex eorum perſona, qui eum cruci ſuffixerunt, Venite, inquit, & eum ex vivorum terra exterminemus. Et rurſus Chriſtus per

Hier. 11, 19. eundem Prophetam, *Ego verò* inquit, *quaſi agnus innocens, qui ad victimam cædémque ducitur & non cognovi.* David quoque ex

Pſal. 21, 17. Chriſti perſona, *Foderunt manus meas, & pedes meos, diviſerúntque inter ſe veſtimenta mea, & ſorte egerunt, cujus eſſet veſtis mea.* Idémque

Eſa. 65, 2. rurſus, *Expandi manus meas toto die ad populum incredulum & contradicentem*, qui via bona & recta non incedebant, ſed peccata ſua ſequebantur. Colendam autem adorandámque eſſe Chriſti crucem ejúſque figuram & effigiem, hoc etiam Prophetæ do-

Pſal. 59, 6. cent: David quidem, dicens: *Dediſti metuentibus te ſignificationem,*

Pſ. 85, 17. *ut fugiant à facie arcus*, & rurſus: *Fac mecum ſignum in bonum, ut videant qui oderunt me, & confundantur.* Et per Ezechielem

Ezech. 9, 4. Prophetam dicit Deus: *Date ſignificationem in frontibus eorum qui ingemiſcunt & dolore afficiuntur ex peccatis ſuis omnibus*: tranſite, diſcerpite, nec parcite: ſenem, juvenem, mulieres, & infantes lactentes delete: ad eos porro qui ſignum habuerint ne accedito-

Sap. 10, 7. te. Salomon quoque his verbis, *Benedicite lignum, quo juſtitia ori-*

Eſa. 60, 13. *tur.* Eſaias etiam unde eſſent, & qualia crucis ligna eſſent, exponit

Exod. 15. his verbis. *In cupreſſo, pice & cedro ſimul locum ſanctum celebrate.* Quin etiam Moſes demiſſo ligno in Merrham, amaras aquas dulces reddidit in figuram crucis Chriſti, qui mundum ex diabo-

Num. 20. li amarore dulcem effecit. Moſis etiam virga, quæ ſilicem diſcidit, crucem Chriſti ſignificabat, qui corda voluntatémque hominum diſcidit, ſpiritúſque ſancti munus in eis inſeruit. Hæc etiam verè vitæ via eſt: omnéſque qui eam tenent, vivunt: qui autem eam reliquerunt, ab eaque deflexerunt, mortem ſuppliciúmque æternum habebunt. Lex enim & Prophetæ ſanctam Trinitatem prædicant: veréque hic eſt, qui à lege prophetiſque prædictus eſt, Jeſus Chriſtus Dominus, qui in Domini nomine venit: nec eſt alius, niſi is qui Bethleem, Judææ oppido, ex virgine & Dei parente Maria Auguſto Cæſare Imperatore natus eſt. Quòd ſi quis eum non recipit & probat, nec ei credit, is Dei deſertor eſt. Itaq; Eſaias de vobis qui erraſtis clamat his verbis, In captivitatem populus

Eſa. 5, 13. meus abductus eſt, quòd Dominum minimè norunt. Ex quo enim Chriſtus venit, vis exercitus veſtri, Judæi, diſſoluta eſt, ſublatumq; ſacerdotiũ, & à Romanis diſperſi eſtis. Ait enim Eſaias de iis qui Chriſtum in crucẽ egerunt, Propter peccata noſtra avertit faciem ſuam à nobis, & reliqui noſtrûm in peccatis. Si enim ipſe Chriſtus non eſſet, is qui ex Maria natus quis à Deo electus eſt,

A καὶ οὐρανῶν ἀψῖδας ἀνεπέτασε, καὶ τοῦ παραδείσου εἴσοδον ἀνεκαίνισε, καὶ τοῦ διαβόλου τὰ νεῦρα ἔκοψε, τί θαυμαστὸν εἰ φαρμάκων δηλητηρίων περιγίνεται; Τοῦτο τοίνυν ἐγκόλαψον τῇ διανοίᾳ τῇ σῇ, καὶ τὴν σωτηρίαν περίπτυξαι τῶν ἡμετέρων ψυχῶν. οὗτος γὰρ ὁ σταυρὸς τὴν οἰκουμένην ἔσωσε, τὴν πλάνην ἀπήλασε, τὴν ἀλήθειαν ἐπανήγαγε, τὴν γῆν οὐρανὸν ἐποίησε, τοὺς ἀνθρώπους ἀγγέλους εἰργάσατο. Διὰ τοῦτο οἱ δαίμονες οὐκ ἔτι φοβεροὶ, ἀλλ' εὐκαταφρόνητοι, οὐδὲ ὁ θά-

B νατος, θάνατος, ἀλλ' ὕπνος καὶ ἐγρήγορσις. Διὰ τοῦτο τὰ τῆς σαρκὸς πάθη τὰ πολεμοῦντα τοὺς νηστεύοντας, ἀπομαραίνονται. Ἂν τοίνυν εἴπῃ σοί τις τῶν Ἰουδαίων, τὸν ἐσταυρωμένον προσκυνεῖς; εἰπὲ φαιδρᾷ καὶ μεγάλῃ τῇ φωνῇ, καὶ γεγηθότι τῷ προσώπῳ, ναὶ, καὶ προσκυνῶ, καὶ οὐ παύσομαι προσκυνῶν· κἂν γελάσῃ, δάκρυσον αὐτὸν μαινόμενον, καὶ οὐ συνιέντα ὃ φθέγγεται· καὶ τῷ δεσπότῃ Χριστῷ εὐχαρίστησον, ὅτι τοιαῦτα ἡμᾶς εὐηργέτησεν, ἃ μηδεὶς μαθεῖν δύναται

C χωρὶς τῆς ἄνωθεν ἀποκαλύψεως. Διὰ τοῦτο καὶ οὗτος γελᾷ, ὅτι ψυχικὸς ἄνθρωπος, οὐ δέχεται τὰ τοῦ πνεύματος. ἀλλὰ τί φησιν ὁ φρενόληπτος καὶ ἀγνώμων καὶ ἀπειθὴς Ἰουδαῖος; εἰ οὖν Θεός ἐστιν ὁ Χριστὸς, ὡς φατε, καὶ Θεοῦ υἱὸς, καὶ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων ἐλήλυθε, διὰ τί τοιούτῳ θανάτῳ ἀσχήμῳ ἐσταυροῦτο; πρὸς ὃν ἐροῦμεν ὀλίγα τῶν προφητῶν ἐκλεξάμενοι· ὅτι ἔδει τὸν Χριστὸν σταυρωθῆναι, ὦ παράνομε καὶ ἀγνῶμον Ἰουδαῖε, ὅτι ὁ νόμος καὶ οἱ προ-

D φῆται οὕτως ἐκήρυξαν, σώζεσθαι τὴν ἀνθρωπότητα διὰ Χριστοῦ. πρῶτος γὰρ Μωσῆς λέγει, ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν, καὶ οὐ μὴ πιστεύσητε τῇ ζωῇ ὑμῶν. καὶ ὁ Ἡσαΐας, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. καὶ ὁ Ἱερεμίας, Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ. καὶ ἔδωκαν τὴν τιμὴν αὐτοῦ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος. καὶ ὅτι Θεός ἐστιν ὁ σταυ-

E ρωθεὶς Χριστὸς, ἄκουσον τοῦ Ἔσδρα λέγοντος, εὐλογητὸς Κύριος ὁ ἐκπετάσας τὰς χεῖρας αὐτοῦ, καὶ σώσας τὴν Ἱερουσαλὴμ κατέναντι τῶν ὀφθαλμῶν ἡμῶν. καὶ ὅτι οἱ ὄφεις ἐθανάτουν τὸν λαὸν, ὄφιν κελεύσαντος Θεοῦ κρεμάσας Μωσῆς ἐπὶ ξύλου, ἔλεγε, τοῦτον προσέχετε, καὶ οὐ μὴ ἀποθάνητε. καὶ πάλιν Ἱερεμίας λέγει, ὡς ἐκ προσώπου τῶν σταυρωσάντων αὐτόν· δεῦτε καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων. καὶ πάλιν ὁ Χριστὸς, διὰ τοῦ αὐτοῦ προφήτου, ἐγὼ δὲ ὡς

A ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων. καὶ πάλιν ὁ Δαβὶδ, ὡς ἐκ προσώπου τοῦ Χριστοῦ ὤρυξαν χεῖράς μου, καὶ πόδας μου, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ πάλιν, διεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα, οἳ οὐκ ἐπορεύθησαν ὁδῷ ἀγαθῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. ὅτι δὲ σεβάσμιος καὶ προσκυνητὸς ὁ τοῦ Χριστοῦ σταυρὸς, καὶ ὁ τύπος αὐτοῦ, καὶ

B τοῦτο οἱ προφῆται διδάσκουσι· Δαβὶδ μὲν γὰρ λέγων· ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου· καὶ πάλιν, ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν. καὶ ὁ Θεὸς δὲ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου λέγει· δὸς τὸ σημείωσιν ἐπὶ τὰ μέτωπα τῶν καταστεναζόντων καὶ κατοδυνωμένων ἐν πάσαις ἀνομίαις· καὶ διέλθετε, καὶ κόπτετε, καὶ μὴ ἐλεήσητε· πρεσβύτερον, καὶ νεανίσκον, καὶ γυναῖκας, καὶ νήπια θη-

C λάζοντα ἐξαλείψατε· ἐπὶ δὲ τοὺς ἔχοντας τὸ σημεῖόν μου μὴ ἐγγίσητε. καὶ ὁ Σολομὼν λέγει, εὐλογεῖται ξύλον, δι' οὗ γίνεται δικαιοσύνη. καὶ ὁ Ἡσαΐας, πόθεν ἦν, καὶ ποῖα τὰ ξύλα τοῦ σταυροῦ, λέγει· ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ, ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιον· καὶ Μωσῆς δὲ ξύλον βαλὼν εἰς Μέῤῥαν, τὰ πικρὰ ὕδατα ἐγλύκανεν εἰς τύπον τοῦ σταυροῦ τοῦ Χριστοῦ τοῦ γλυκάναντος ἐκ τῆς πικρίας τῶν δαιμόνων τὸν κόσμον. καὶ ἡ ῥάβδος Μωσέως, ἡ σχίσασα

D τὴν πέτραν, εἰς τύπον ἦν τοῦ σταυροῦ τοῦ Χριστοῦ, τοῦ σχίσαντος τὰς καρδίας τῶν ἀνθρώπων, καὶ ἐμβαλόντος τὸ χάρισμα τοῦ ἁγίου πνεύματος ἐν αὐταῖς. καὶ αὕτη ἐστὶν ὄντως ἡ ὁδὸς τῆς ζωῆς, καὶ πάντες οἱ κρατοῦντες αὐτὴν ζῶσιν· οἱ δὲ καταλιπόντες αὐτὴν θάνατον καὶ κόλασιν ἀτελεύτητον ἕξουσιν. ὁ νόμος γὰρ καὶ οἱ προφῆται κηρύττουσι τὴν ἁγίαν τριάδα, καὶ ἀληθῶς οὗτός ἐστιν ὁ κηρυχθεὶς ὑπὸ τῶν προφητῶν καὶ τοῦ νόμου. ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ἰησοῦς Χριστὸς Κύριος, καὶ

E οὐκ ἔστιν ἄλλος, εἰ μὴ ὁ γεννηθεὶς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐκ τῆς παρθένου καὶ θεοτόκου Μαρίας, ἐπὶ Καίσαρος Αὐγούστου· καὶ ὁ μὴ δεχόμενος αὐτὸν, καὶ μὴ πιστεύων εἰς αὐτὸν, ἀποστάτης ἐστὶ τοῦ Θεοῦ, καὶ ἀνάθεμα ἔστω. Διὰ τοῦτο καὶ ὁ Ἡσαΐας περὶ ὑμῶν τῶν πλανηθέντων βοᾷ, λέγων, Αἰχμάλωτος ὁ λαός μου ἐγενήθη διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον. ἐξ οὗ γὰρ ἦλθεν ὁ Χριστὸς, κατελύθη ἡ δύναμις τοῦ στρατοῦ ὑμῶν τῶν Ἰουδαίων, καὶ ἡ ἱερωσύνη ἠφάνισται, καὶ ὑπὸ τῶν Ῥωμαίων διεσκορπίσθητε. Φησὶ γὰρ Ἡσαΐας περὶ τῶν σταυρωσάντων τὸν Χριστόν· διὰ τὰς ἁμαρτίας ἡμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ὁ Θεὸς ἀφ' ἡμῶν, καὶ ἐγκατέλιπεν ἡμᾶς ἐν ἁμαρτίαις. εἰ γὰρ μὴ ἦν αὐτὸς ὁ Χριστὸς ὁ γεννηθεὶς ἐκ Μαρίας ὁ ἐκλεκτὸς τοῦ Θεοῦ

καὶ

υἱὸς ἀληθινὸς αὐτοῦ, ὁ κηρυχθεὶς ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν. A ἔμελλεν ἂν δοξασθῆναι τὸ ἔθνος ὑμῶν τῶν Ἰουδαίων, καὶ ἰσχυσθῆναι, καὶ βασιλεῦσαι, ὡς τὸν ἀντίθεον καὶ πλάνον ἀποκτείνας. ἀλλ' ἐξ οὗ ὁ σταυρὸς ἐσταυρώθη ἐν αὐτῷ ὑπὸ τῶν πατέρων ὑμῶν ὁ Χριστὸς, ἀπὸ τότε ἕως σήμερον εἰς ἀπώλειαν καὶ εἰς ἀτιμίαν ἐστὶ, καὶ χεῖρον ὠργίσθη ὑμῖν ὁ Θεὸς ὑπὲρ τὴν αἰχμαλωσίαν τὴν ἐν Βαβυλῶνι. ἐκεῖ γὰρ μετὰ ο΄ ἔτη ὁ Θεὸς ἠλέησε καὶ ἀνεκαλέσατο ὑμᾶς· ἐνταῦθα δὲ τελείως ἀπώσατο. B καὶ ἠλήθευσεν ὁ πατὴρ ὑμῶν καὶ προφήτης καὶ πατριάρχης Ἰακὼβ, καὶ πάντα τὰ νόμιμα ὑμῶν κατέπεσε, καὶ τῆς χώρας ὑμῶν τῆς Ἰουδαίας ἐξωρίσθητε, καὶ κατὰ τόπους διεσκορπίσθητε, καὶ ἐστὲ εἰς ἐξουθενισμὸν, καὶ εἰς κατάγελων εἰς πᾶσαν τὴν οἰκουμένην ἀπὸ ἑῴας ἕως ἐσχάτου τῆς γῆς. τὰ δὲ ἡμέτερα τῶν Χριστιανῶν καθ' ἑκάστην ἡμέραν ἀνθεῖ, καὶ αὔξει, καὶ κρατύνεται, καὶ εἰς πᾶσαν τὴν οἰκουμένην τὸ κήρυγμα τῆς εὐσεβοῦς ἡμῶν πίστεως διέδραμε, καὶ βασιλεύει Χριστὸς ἐν ἡμῖν, C καὶ τὸν τίμιον καὶ ζωοποιὸν αὐτοῦ σταυρὸν προσκυνοῦμεν, καὶ ὡς θησαυρὸν πολυτίμητον κατεχόμεθα. καὶ γὰρ οὗτος παντὸς στεφάνου βασιλικοῦ λαμπρότερός τε καὶ σεμνότερος ὁ τοῦ Κυρίου σταυρός. καὶ τί λέγω στεφάνου βασιλικοῦ; αὐτῶν τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερος. καὶ τὸ μὲν παλαιὸν, βίου πονηροῦ καὶ διεφθαρμένων πράξεων καταδίκη τὸ πρᾶγμα ἦν· νῦν δὲ δωρεᾶς θείας σύμβολον, εὐγενείας πνευματικῆς σημεῖον, θησαυρὸς ἀσύλητος, ἀναφαίρετος δωρεὰ, ὑπόθεσις ἁγιασμοῦ. τοῦτον καὶ ἐπὶ κλίνης, καὶ ἐπὶ τραπέζης προφέρομεν καὶ πανταχοῦ ὅπου ἂν ὦμεν. D καθάπερ γὰρ πολλοὶ τῶν στρατιωτῶν, χωρὶς ὅπλων οὔτε ἀριστοποιοῦνται, οὔτε καθεύδουσιν· οὕτω καὶ νῦν, ἀντὶ μαχαίρας ἐπὶ κλίνης κρεμάσωμεν, ἀντὶ μοχλοῦ ἐπὶ θύρας διαχαράξωμεν, ἀντὶ τείχους τῇ οἰκίᾳ πάσῃ περιβάλωμεν· τὰ ἔσω καὶ τὰ ἔξω τούτῳ περιφράξωμεν. οὗτος γὰρ θάνατον κατέλυσεν, οὐρανοὺς ἀνέῳξε, γῆν ἐκάθηρε, τὴν φύσιν τὴν ἡμετέραν ἐπὶ τὸν θρόνον ἀνήγαγε τὸν βασίλειον, τὴν τυραννίδα τοῦ διαβόλου κατέλυσε. τούτου τὸ εἶδος διπλοῦν, τὸ μὲν E ἐξ ὕλης, ἢ χρυσοῦ, ἢ μαργαριτῶν, ἢ λίθων τιμίων, ὃ καὶ ἀφαιρεῖται πολλάκις ὑπὸ βαρβάρων ἢ κλεπτῶν· τὸ δὲ ἄυλον. οὐ γὰρ ἐξ ὕλης αὐτοῦ ὑπόστασις, ἀλλ' ἀπὸ πίστεως ἡ οὐσία, ἀπὸ διαθέσεως τοῦ ποιοῦντος ἡ ὕλη. οὗτος καθεύδοντας τηρεῖ, οὗτος ἐγρηγορότας ἀσφαλίζεται, οὗτος κινδυνεύοντας διασώζει, διὰ τούτου πόλεμος καταλύεται, καὶ εἰρήνη συνίσταται. ὑμνῶ σου τοιγαροῦν τὸ μακρόθυμον καὶ ἀνεξίκακον περὶ ἐμὲ οἰκονομίας μυστήριον, Κύριε. προσκυνῶ τὸν τίμιον καὶ ζωοποιόν σου σταυρὸν, δέσποτα. A περιπτύσσομαι τὰ πάθη, φιλῶ τοὺς ἥλους, καὶ τὰς διατρήσεις τῶν μελῶν ἀσπάζομαι· τόν τε κάλαμον, καὶ τὴν λόγχην, καὶ τὴν σπόγγον ὑποδέχομαι· ὡς βασίλειον διάδημα, τὸν ἀκανθῶν περιτίθεμαι στέφανον. καὶ ὡς διαυγέσι λίθοις, τοῖς ἐμπτυσμοῖς ἐγκαλλωπίζομαι, ὡς λαμπροτάτῳ κόσμῳ τοῖς ῥαπισμοῖς ἐνσεμνύνομαι. καί σε ὁμολογῶ ἀληθινὸν Θεὸν τὸν ἕνα τῆς ἁγίας τριάδος Χριστὸν Ἰησοῦν, τὸν ὑπὲρ ἐμοῦ τὸ πάθος καταδεξάμενον, εἰληθέντα τε ἐν σινδόνι, καὶ ὑπὸ τῶν παρανόμων Ἰουδαίων μυκτηρισθέντα, τέλος ταφέντα, B καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. σοὶ γάρ ἐστιν ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

* Φίλους συντάττων ἐμὲ τῆς διανοίας; οὐ παρεκάλεις μὴ ἀνελθεῖν με εἰς Ἱεροσόλυμα, μὴ φέρων τὴν ἀπειλὴν τῶν Ἰουδαίων; ἐγὼ μὲν οὐκ ἐβουλόμην σε δημοσιεῦσαι, σὺ δὲ παρῃτήσω τὸν προγνωστικὸν τῆς θεότητός μου ὀφθαλμόν· ἰδοὺ σοὶ λέγω ἃ μέλλεις διαπράττεσθαι, ὅπως ἐκ τῶν καθ' ἑαυτὸν γνῷς ὅστις εἶ. ἀμὴν ἀμὴν λέγω σοι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. ὁ δὲ Πέτρος πάλιν κλαπεὶς τὴν διάνοιαν, μὴ συνειδὼς τὸ τρεπτὸν τῆς ἀνθρωπίνης ἕξεως, ἀπεκρίνατο πρὸς τὸν Κύριον, λέγων· τί με φοβεῖς; οἶδα θανάτου καταφρονεῖν, καὶ οὐ μή σε ἀπαρνήσομαι. ὁ δὲ Κύριος πρὸς τὸν Πέτρον, καλῶς μὲν οὖν συνετάξω· ἀλλ' οὐ μετὰ πολὺ γνώσῃ· ὁ γὰρ καιρὸς ἐπὶ θύραις· ὅπως φανερωθῇ καὶ ἡ σὴ σύνταξις, καὶ ἡ ἐμὴ πρόληψις. τί οὖν τὸ πέρας τοῦ λόγου; ἡ ἑσπέρα γὰρ ἐπίκειται. τοῦ γὰρ Κυρίου κρατηθέντος, καὶ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως ἀχθέντος, καὶ πάντων τῶν μαθητῶν σκορπισθέντων, ὁ Πέτρος μόνος ἠκολούθει εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, ὡς δῆθεν μέλλων ποιεῖν τὰ συναχθέντα. τοῦ δὲ Κυρίου ἐνδοτέρω ἀσφαλισθέντος, ὁ Πέτρος ἐν τῇ αὐλῇ τῇ ἐξωτέρᾳ ἐκαθέζετο θαρσαλέως ἀκαμπτής, ὡς δὴ τὴν νίκην ἀπενηνεγμένος. τί οὖν; ἐπὶ πολὺ καθεζομένου αὐτοῦ, μήτε ξίφος θεασαμένου ὀξυνόμενον, μήτε [illegible] προκειμένους, μὴ δήμευσιν ἐπαγγελλομένην, μήτε ἐξορίαν ἐπιγραφομένην· μικρὰ δὲ παιδίσκη ἀργυρώνητος εὐτελὴς προσελθοῦσα τῷ Πέτρῳ λέγει· τί ποιεῖς ἐνταῦθα, ἄνθρωπε; ποῦ ἡ δύναμις τοῦ διδασκάλου σου; ἰδοὺ συγκέκλεισται ἔνδον· ἰδοὺ μέλλει σταυρῷ προσηλοῦσθαι. ὁ Πέτρος ἀποπτύσας τῆς μνήμης τὴν παρρησίαν ἀπεκρίνατο λέγων, τί με περιθορυβεῖς κοράσιον; οὐκ οἶδα τὸν ἄνθρωπον. ὢ τῶν πραγμάτων· ὁ λέγων κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, ἄρτι ἀπαρνεῖται. ταύτης οὖν τῆς ἀρνήσεως πρώτης γενομένης, θορυβηθεὶς ὁ Πέτρος, ὡς ἀπὸ πυρὸς τῆς αὐλῆς ἐξεπήδησεν ἔξω τοῦ πυλῶνος τρέχων· καὶ τί πάλιν; ἑτέρα παιδίσκη συναντήσασα αὐτῷ. ὢ τῶν πραγμάτων· οὐδαμοῦ στρατιώτης, οὐδαμοῦ ξίφος· ἀλλ' εὐτελὲς κοράσιον συναντήσαν τῷ Πέτρῳ, ἀντέβαλε πρὸς αὐτὸν λέγουσα· τί θορυβῇ ἄνθρωπε, ποῦ σπεύδεις, τί ἀγωνιᾷς; οὐχὶ πάντοτέ σε ἐθεώρουν μετὰ τοῦ Γαλιλαίου περιπατοῦντα; πῶς οὖν ἐξελθὼν τοῦ πυλῶνος τρέχεις; ὁ δὲ Πέτρος λιτῶς οὐκ ἔτι ἀπεκρίνατο· ἀλλὰ μεθ' ὅρκου λέγει· οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον. εἶδες Θεοῦ πρόρρησιν, καὶ ἀνθρώπου ὄλισθον; εἶτα τῆς δευτέρας ἀρνήσεως πληρωθείσης ἡ τρίτη ἄρνησις πολιορκεῖ οὕτως· μετὰ μικρὸν προσελθόντες οἱ παρεστῶτες εἶπον τῷ Πέτρῳ, ἀληθῶς, καὶ σὺ ἐξ αὐτῶν εἶ. καὶ γὰρ καὶ ἡ λαλιά σου δῆλόν σε ποιεῖ· ὁ δὲ Πέτρος ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· ποῦ ἡ προσεκτικὴ τοῦ Πέτρου ἐπαγγελία; ὁ πρότερον εἰρηκώς, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὧδε λέγεις, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον; τάχα ὁ Πέτρος ἄκων περὶ τὴν λέξιν ταύτην ἐγρηγόρησεν· οὐκ εἶπεν, οὐκ οἶδα τὸν Θεὸν λόγον· ἀλλ' εἶπεν, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον· περὶ τὸ ὁρώμενον προσέκοψεν, οὐχὶ περὶ τὸ νοούμενον· διὸ καὶ ὁ Κύριος προειδὼς ἔλεγε, πᾶς ὅστις εἴπῃ βλασφημίαν εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. τί οὖν ὁ Πέτρος; οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον· καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν· ὁ * [illegible] τοῦ Πέτρου κατήγορος, ὁ προαναφωνητὴς τῆς δεσποτικῆς ἀποφάσεως συνήγορος, ὁ τῆς ἀρνήσεως δημοσιευτής, καὶ τῆς προγνώσεως ἐμφανιστής, καὶ τῶν μετανοητικῶν δακρύων ὑπομνηματιστής· καὶ ταῦτα μὲν ἀρκούντως εἰρήσθω· τὸν δὲ τῆς ἐλεημοσύνης λόγον γυμνάσωμεν, παραινοῦντες τὴν ὑμετέραν ἀγάπην, καὶ λέγοντες ὡς ἐν τῷ εὐαγγελίῳ εἴρηται· ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας· ἵνα ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. καλῶς εἶπεν αἰωνίους· ἐνταῦθα μὲν γὰρ κἂν λαμπρὰν ἔχῃς οἰκίαν, ἀπόλλυται πάντως φθειρομένη τῷ χρόνῳ· μᾶλλον δὲ καὶ πρὸ τῆς κατὰ χρόνον φθορᾶς θάνατος ἐμπεσὼν ἐκβάλλει σε τῆς λαμπρᾶς ταύτης οἰκήσεως· πολλάκις δὲ καὶ πρὸ τοῦ θανάτου πραγμάτων τινῶν δυσκολίαι, καὶ συκοφαντῶν ἔφοδοι, καὶ ἐπιβουλαὶ ἐκπεσεῖν αὐτῆς παρεσκεύασαν· ἐκεῖ δὲ οὐδὲν τούτων ἐστὶν ὑποπτεῦσαι, οὐ φθοράν, οὐ θάνατον, οὐ κατάπτωσιν, οὐ συκοφαντῶν ἐπήρειαν, οὐκ ἄλλο οὐδέν· ἀλλ' ἀκίνητος καὶ ἀθάνατός ἐστιν ἡ οἴκησις· διὸ καὶ τὰς αἰωνίους αὐτὰς ἐκάλεσεν· ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. ὁρᾷς πόση φιλανθρωπία τοῦ δεσπότου; πόση χρηστότης, καὶ ἐπιείκεια; οὐ γὰρ ἁπλῶς ταύτην ἔθηκε τὴν προσθήκην· ἀλλ' ἐπειδὴ πολλοῖς πλουσίοις ὁ πλοῦτος συνείλεκται ἐξ ἁρπαγῆς, καὶ πλεονεξίας· κακῶς μέν, φησιν, οὐκ ἔδει οὕτως συλλέξαι χρήματα· ἀλλ' ἐπειδὴ συνέλεξας, στῆθι τῆς ἁρπαγῆς, καὶ τῆς πλεονεξίας, καὶ χρῆσαι εἰς δέον τοῖς χρήμασιν. οὐ λέγω ἵνα ἁρπάζων ἐλεῇς, ἀλλ' ἵνα τῆς πλεονεξίας ἀποστάς, πρὸς ἐλεημοσύνην καὶ φιλανθρωπίαν ἀποχρήσῃ τῷ πλούτῳ· εἰ γάρ τις μὴ παύσαιτο τῆς ἁρπαγῆς, οὐδὲ ἐλεημοσύνην ἐργάσεται· ἀλλὰ κἂν μυρία καταβάλλῃ χρήματα εἰς τὰς τῶν δεομένων χεῖρας τὰ ἑτέρων ἁρπάζων καὶ πλεονεκτῶν, τοῖς ἀνδροφόνοις ἐξίσης λελόγισται τῷ Θεῷ. διὸ χρὴ πλεονεξίας

ηξίας ἀποςάντα πρότερον, οὕτω τοὺς δεομένους ἐλεεῖν. πολλὴ γὰρ τῆς ἐλεημοσύνης ἡ δύναμις. ἀλλὰ μηδεὶς τὸ συνεχὲς τῆς ὑπομνήσεως κατηγορίαν ἡγείσθω τῶν ἀκουόντων· καὶ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους τῶν δρομέων διεγείρουσιν οἱ θεαταὶ, οὓς ἂν ἴδωσιν ἐγγὺς τοῦ βραβείου γινομένους, καὶ πολλὰς τῆς νίκης ἐλπίδας ἔχοντας· καὶ ἐγὼ τοίνυν ἐπειδὴ μετὰ πολλῆς ἀεὶ προθυμίας ὁρῶ τοὺς περὶ ἐλεημοσύνης δεχομένους λόγους ὑμᾶς, διὰ τοῦτο καὶ αὐτὸς συνεχέστερον πλεῖον ὑπὲρ τούτων κινῶ παραίνεσιν. οἱ ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ πένητες, εὐεργέται, καὶ προστάται· οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις· δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις σεαυτῷ τὸν δεσπότην· ὁρᾷς ὅτι οὐκ ἴση ἡ ἀντίδοσις; ταῦτα ἐπὶ γῆς, ἐκεῖνα ἐν οὐρανῷ· ταῦτα ἀπόλλυται, ἐκεῖνα μένει· ταῦτα φθείρεται, ἐκεῖνα πάσης ἐστὶν ἀνώτερα ἀπωλείας. διὰ τοῦτο καὶ πρὸ τῶν θυρῶν τῶν εὐκτηρίων ἔστησαν τοὺς πένητας οἱ ἡμέτεροι πατέρες· ἵνα καὶ τὸν νωθρότατον καὶ ἀπανθρωπότατον αὕτη τῶν πενήτων ἡ ὄψις πρὸς ὑπόμνησιν ἐγείρῃ τῆς ἐλεημοσύνης. ὅταν γὰρ εἰσίῃ χορὸς γερόντων συγκεκυφότων, ῥάκια περιβεβλημένων, αὐχμώντων, ῥυπώντων, βακτηρίαν ἐχόντων, μόλις στηρίζεσθαι δυναμένων· πολλάκις δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκομμένων, καὶ τῷ σώματι ἀναπήρων· τίς οὕτω λίθος, τίς οὕτως ἀδάμας, ὃς καὶ τῆς ἀσθενείας, καὶ τῆς πηρώσεως, καὶ τῆς πενίας, καὶ τῆς εὐτελείας καὶ πάντων ἁπλῶς πρὸς συμπάθειαν ἐπικαλούντων αὐτὸν ἀντιστῆναι, καὶ μεῖναι πρὸς ἅπαντα ταῦτα ἀκίνητος; διὰ ταῦτα πρὸ τῶν θυρῶν ἡμῶν ἑστήκασι, παντὸς τοῦ λόγου δυνατώτερον, διὰ τῆς ὄψεως ἐπισπώμενοι πρὸς φιλανθρωπίαν τοὺς εἰσιόντας. καθάπερ γὰρ κρήνας εἶναι τῶν αὐλαῖς τῶν εὐκτηρίων οἴκων νενόμισται, ἵνα οἱ μέλλοντες εὔχεσθαι τῷ Θεῷ, πρότερον ἀπονιψάμενοι τὰς χεῖρας, οὕτως αὐτὰς εἰς εὐχὴν ἀνατείνωσιν· οὕτως καὶ τοὺς πένητας ἀντὶ πηγῶν καὶ κρηνῶν ἔστησαν οἱ πατέρες πρὸ τῶν θυρῶν· ἵνα ὥσπερ ὕδατι τὰς χεῖρας ἀπονίπτομεν, οὕτως φιλανθρωπίᾳ τὴν ψυχὴν ἀποσμήχοντες πρότερον οὕτως εὐχώμεθα. οὐδὲ γὰρ ὕδατος φύσις οὕτως ἀπονίπτει κηλῖδας σώματος, ὡς ἐλεημοσύνης δύναμις ἀποσμήχει ῥύπον ψυχῆς. ὥσπερ οὖν οὐ τολμᾷς ἀνίπτοις χερσὶν εἰσελθὼν εὔξασθαι, καίτοι ἔλαττον τὸ ἔγκλημα ἐκεῖνο· οὕτω μηδὲ χωρὶς ἐλεημοσύνης ἐπ' εὐχὴν ἔλθῃς ποτέ· καίτοι καθαρὰς πολλάκις ἔχοντες τὰς χεῖρας, ἂν μὴ πρότερον αὐτὰς ἀποπλύνωμεν ὕδατι, οὐκ ἀνατείνομεν εἰς εὐχήν· τοσοῦτόν ἐστιν ἡ συνήθεια. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν, κἂν μηδὲν ἑαυτοῖς ὦμεν συνειδότες μέγα ἁμάρτημα, ὅπως ἀποσμήχωμεν τὸ συνειδὸς διὰ τῆς ἐλεημοσύνης· πολλὰ ἀπὸ τῆς ἀγορᾶς ἐπεσπάσω δεινά· ἐχθρὸς παρώξυνεν· δικαστὴς ἠνάγκασέ τι ποιῆσαι τῶν οὐ προσηκόντων πραγμάτων· ῥήματα πολλάκις ἐξέβαλες ἄτοπα· φίλος ἐδυσώπησεν ἐργάσασθαί τι τῶν ἁμαρτίαν ἐχόντων· ἕτερα προστρῖψαι πολλὰ οἷα εἰκὸς ἄνθρωπον ὄντα προσεδρεύειν ἐν ἀγορᾷ στρεφόμενον, δικαστηρίοις προσεδρεύοντα, τὰ τῆς πόλεως πράττοντα πράγματα. ὑπὲρ τούτων ἁπάντων εἰσέρχῃ τὸν Θεὸν αἰτήσων συγγνώμην, καὶ ἀπολογησόμενος· κατάβαλε τοίνυν ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ ἀπόσμηξον τὰς κηλῖδας ἐκείνας, ἵν' οὕτως μετὰ παρρησίας καλέσῃς τὸν δυνάμενόν σοι ἀφεῖναι ταῦτα τὰ ἁμαρτήματα. ἂν ἐν συνηθείᾳ καταστήσῃς αὐτὸν, μηδέποτε χωρὶς ἐλεημοσύνης τῶν ἱερῶν τούτων προθύρων ἐπιβαίνειν, οὐδέποτε οὔτε ἑκὼν, οὔτε ἄκων ὑστερήσεις τῆς καλῆς ταύτης ἐργασίας· τοιοῦτον γὰρ ἡ συνήθεια· καὶ ὥσπερ, οὐδ' ἂν, ὁτιοῦν γένοιτο, χερσὶν ἀνίπτοις ὑπομένεις εὔξασθαι, ἐπειδὴ κατέστης εἰς συνήθειαν ἅπαξ· οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης ἂν τοῦτον σαυτῷ θήσῃς τὸν νόμον, καὶ ἑκὼν καὶ ἄκων καθ' ἑκάστην αὐτὸν ἐκπληρώσεις ἡμέραν, ὑπὸ τῆς συνηθείας ἑλκόμενος. πῦρ ἐστιν ἡ εὐχὴ, μάλιστα ὅταν ἀπὸ νηφούσης καὶ διεγηγερμένης ἀναπέμπηται ψυχῆς· ἀλλὰ τὸ πῦρ τοῦτο καὶ ἐλαίου δεῖται, ἵνα αὐτὸ ἅπτηται τῶν οὐρανίων ἁψίδων. ἔλαιον δὲ τοῦ πυρὸς τούτου οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ ἐλεημοσύνη. ἐπίχει τοίνυν τὸ ἔλαιον δαψιλῶς· ἵνα εὐφραινόμενος ἐπὶ τῷ κατορθώματι μετὰ παρρησίας πλείονος καὶ προθυμίας μείζονος τὰς εὐχὰς ἐπιτελῇς. ὥσπερ γὰρ οἱ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθὸν οὐδὲ εὔξασθαι μετὰ παρρησίας δύναιντ' ἄν, οὕτως οἱ κατορθώσαντές τι καὶ μετὰ τὴν δικαιοσύνην ἐκείνην ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι, τῇ μνήμῃ τοῦ κατορθώματος εὐφραινόμενοι μετὰ πλείονος τῆς προθυμίας ποιοῦνται τὴν ἱκετηρίαν. ἵν' οὖν καὶ διὰ τοῦτο δυνατωτέρα ὑμῖν ἡ εὐχὴ γίνηται, γρηγορούσης ἡμῶν τῆς διανοίας ἐν ταῖς δεήσεσιν ἀπὸ τῆς τῶν κατορθωμάτων μνήμης, μετὰ τῆς ἐλεημοσύνης ἐπὶ τὰς εὐχὰς ἐρχώμεθα, καὶ μνημονεύωμεν μετ' ἀκριβείας ἁπάντων τῶν εἰρημένων. καὶ πρὸ τῶν ἄλλων πάντων ἐκείνην τὴν εἰκόνα τηρεῖτε διηνεκῶς, καθ' ἣν εἶπον τοὺς πένητας πρὸ τῶν θυρῶν ἑστάναι τῶν εὐκτηρίων οἴκων, ταύτην ἐπὶ τῆς ψυχῆς ἀναπληροῦντας τὴν χρείαν ἣν ἐπὶ τοῦ σώματος ἡ κρήνη. ἂν γὰρ τοῦτο ὦμεν διηνεκῶς μεμνημένοι, συνεχῶς ἀπονιπτόμενοι τῶν λογισμῶν, καθαρὰς μὲν δυνησόμεθα τὰς εὐχὰς ἐπιτελεῖν, πολλὴν δὲ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ τὴν παρρησίαν, καὶ τῆς βασιλείας τῶν

A numero locóque ducetur. Quamobrem ut ab injuſtis quæſtibus
& rapinis prius abſtineamus oportet: atque deinde in egenos
eleemoſynam erogemus: magna quippe virtus eſt eleemoſynæ.
Verum enimvero nemo aſſiduitatem admonitionis noſtræ accu-
ſationem auditorum interpretetur: nam & in certaminibus eos
curſores excitant ſpectatores, quos ad præmium viderint
proximè accedere, magnáque victoriam ſpe præcipere. Sic ego
quoque cùm magna vos cum animi alacritate habitos de elee-
B moſyna ſermones excipere videam, idcirco & ipſe frequentiùs
nihilominus hiſce de rebus inſtituo cohortationem. Medici ſunt
animarum noſtrarum pauperes, benefactores ac patroni, non
enim tantum das, quantum accipis: das pecuniam, & accipis re-
gnum cœlorum: paupertatem diſcutis, & dominum reconcilias
tibi ipſi. Vides diſparem eſſe remunerationem? hæc in terris ſunt,
illa in cœlis: hæc pereunt, illa permanent: hæc intereunt illa
omni ſunt interitu ſuperiora. Propterea quoque pauperes, majo-
C res noſtri pro templorum foribus ſtatuerunt, ut vel ſtupidiſſi-
mum quemvis & immaniſſimum hic pauperum aſpectus ad me-
moriam excitet eleemoſynæ. Cùm enim ſteterit turba ſenum
incurvorum, pannis amictorum, ſqualentium, ſordidatorum,
ſcipiones tenentium, quique vix poſſint conſiſtere, ſæpe vero
effoſſis etiam oculis & corpore ipſo mutilorum, quis adeò ſa-
xeus, quis adeo adamas, qui cùm illum ætas, infirmitas, mutilatio,
paupertas, vilitas, omnia denique ad commiſerationem infle-
D ctant, reſiſtat, ac nihilo omnibus iſtis commotus rigidúſque per-
maneat? Idcirco præ foribus noſtris ſtant, & ipſo aſpectu vehe-
mentiùs, quàm ulla ratione fieri poſſet, ad humanitatem introe-
untes impellunt. Nam quemadmodum in more poſitum eſt, ut in
atriis templorum ſint fontes: ut qui preces ad Deum fuſuri ſunt,
ubi priùs manus abluerint, ſic deinde ad preces illas extendant:
ita & pauperes, fontium ac puteorum loco, præ foribus patres ſta-
tuerunt: ut quemadmodum aqua manus abluimus, ſic humani-
E tate priùs animas abſtergentes, deinde precemur. Non enim ita
labes corporis abluit aquæ natura, ut animæ ſordes eleemoſynæ
virtus abſtergit. Ut igitur illotis manibus ingreſſus, non audes
preces fundere, licet minus illud ſit crimen: ſic nec abſque elee-
moſyna tibi unquam ad orationem accedendum eſt: tametſi pu-
ras ſæpenumero manus habentes: niſi priùs illas abluerimus, ad
orationem eas non attollimus: tantum valet conſuetudo; hoc
igitur & in eleemoſyna faciamus, tametſi nullius magni peccati
A nobis conſcii ſimus, tamen eleemoſyna collata conſcientiam ab-
ſtergamus. Multa ex foro mala contraxiſti: inimicus irritavit:
judex agere quippiam eorum, quæ non conveniebant, coëgit:
verba tibi abſurda ſæpius exciderunt: amicus ut aliquid patrares
cum peccato conjunctum, ſuaſit: alia tibi multa adhæſerunt, qua-
lia veriſimile eſt tibi, quum homo ſis, dum in foro verſaris, adhæ-
rere: dum tribunalibus aſſides: dum negotia urbis conficis: pro
his omnibus veniam à Deo poſtulaturus ac defenſionem oblatu-
B rus ingrederis: projice itaque pecunias in pauperum manus, &
maculas illas abſterge: ut ita cum fiducia eum invoces, qui hæc
tibi peccata poteſt dimittere. Quòd ſi te ipſum aſſueſeceris, nun-
quam ſacra hæc veſtibula ingredi abſque eleemoſyna; nullo
tempore nec prudens, nec imprudens à bono opere iſto ceſſabis,
ea enim eſt vis conſuetudinis. Et quemadmodum, quicquid tan-
dem accidat, illotis manibus orare non potes, quando id ſemel ti-
bi in conſuetudinem vertit: ſic & in eleemoſyna, ſi hanc tibi le-
C gem impoſueris, cùm ſciens prudénſque tum imprudens ſingulis
eam diebus à conſuetudine impulſus obſervabis. Ignis eſt oratio,
præcipuè cùm à vigilanti attentáque anima offertur: at enim
oleo etiam indiget ignis iſte, ut ad cœleſtes fornices ipſos perve-
niat: oleum autem ignis hujus nihil aliud eſt, quàm eleemoſyna:
liberaliter igitur oleum infunde, ut lætitiam ex rectè facto perci-
piens majori cum fiducia & ardentiori animi ſtudio preces per-
agas. Nam quemadmodum qui nullius boni ſibi ſunt conſcii, ne
D preces quidem fundere cum fiducia poſſunt: ita qui præclarum
aliquod facinus ediderint, & poſt juſtitiam illam ad orationem ſe
converterint, præclari facinoris recordatione exhilarati majori
animi ſtudio preces offerunt. Ut igitur hac ratione validior ora-
tio noſtra reddatur, expergefacta in ſupplicationibus ex bono-
rum operum recordatione, mente noſtra, poſt eleemoſynam ad
preces accedamus, & omnium eorum quæ dicta ſunt, diligenter
recordemur, ac præ cæteris quidem omnibus ſimilitudinem il-
E lam perpetua memoria cuſtodite, qua pauperes dixi pro foribus
templorum ſtantes, eum nobis ad animæ cultum, quem fons ad
corporis, uſum præbere. Si enim hujus rei memores perpetuò
fuerimus, aſſiduè mentem noſtram abluentes, cùm puras offerre
preces poterimus; tum magnam apud Deum nobis fiduciam &
gratiam conciliare, ac regnum cœlorum adipiſci, gratia & be-
nignitate Domini noſtri Jeſu Chriſti, per quem, & cum quo

patri gloria, una cum ſancto ſpiritu, nunc & ſemper & in ſecula A
ſeculorum. Amen.

Ejuſdem oratio de jejunio & eleemoſyna.

Eodem interprete.

Ex Edit. Burdegalenſi an. 1604. BOnum eſt jejunium, bona eſt & lectio ſcripturarum: bona
verò eſt, quando & actio ex ea ſequitur: quoniam ſi legas, B
at non facias, in judicium tibi lectio vertit, & in occaſionem ſup-
Rom. 2, 13. plicii: *Non enim auditores legis*, inquit, *juſti ſunt apud Deum: ſed*
Joh. 15, 22. *factores legis juſtificabuntur*: & rurſus Chriſtus, *Si non veniſſem,*
& locutus fuiſſem eis, peccatum non haberant: nunc autem excuſa-
tionem non habent de peccato ſuo. Beatus autem, qui dicit in auri-
bus eorum, qui audiunt: ac tum præcipuè, cùm fœnus erogave-
rint: fœnus autem eſt obedientia, & Dei mandatorum exequu-
Matt. 25, 27. tio, ſicut Dominus ait: *Et ego veniens recepiſſem utique, quod meum* C
eſt, cum uſura. Quid ergo congregaſti, frater, ex jejunio? quando-
quidem & agricola idcirco ſeminat, ut etiam metat; & mercator
idcircò peregrinationes obit, ut pecunias colligat: & guberna-
tor idcirco multa maria emetitur, ut mercium ſarcinis navim re-
pleat. Ne mihi dixeris, tot dies jejunevi, hoc & illud non comedi,
vinum non bibi, illuviem pertuli: ſed oſtende mihi, an cùm ira-
cundus eſſes, lenis factus ſis, & cùm eſſes crudelis, benignus eva-
ſeris: quoniam ſi ebrius iracundia ſis, quid carnem affligis? ſi in- D
tus ſit invidia & avaritia, quid prodeſt aquæ potus? non quæro
nunc, qualis ſit menſa, ſed an malæ mentis facta ſit mutatio. Si
domina, nimirum anima, fornicatur, cur ancillam ventrem in-
quam flagellas? ſi anima ſeducitur, cur corpus maceras? Hæc
ego dico, non ut vos accuſem, ſed propter negligentes. Cùm enim
vos videam volantes, altiùs volare vos velim. tanta enim eſt vis
charitatis. Et quemadmodum avari quanto plus auri collegerint,
tanto plus expetunt: ſic & nos majori progreſſus veſtri deſide- D
rio tenemur. Si ergo velis excipi apud Deum, jejuna quemadmo-
dum Ninivitæ, mi frater: illi legem non acceperant: de quibus
Rom. 2, 14. ait Paulus, *Cùm enim Gentes, quæ legem non habent, naturaliter ea*
quæ legis ſunt, faciunt: ejuſmodi legem non habentes, ipſi ſibi ſunt lex.
Noli igitur otioſum jejunium exhibere: non enim ſolum jeju-
nium in cœlum aſcendit, niſi ſororem habeat ſuam eleemoſy-
nam, ſiquidem biga eſt eius; nec fraternitas & biga tantùm, ſed
etiam vehiculum. Unde id conſtat? Angelus Cornelio dicebat, E
Act. 10, 4. *Orationes tuæ & eleemoſynæ tuæ aſcenderunt in memoriam in con-*
ſpectu Dei, eſt enim ala orationis eleemoſyna: niſi orationi tuæ
alam addideris, minimè volat: cùm verò fuerit alis prædita anima
tua, in cœlum evolat. Quouſque tandem pecuniarum amor, &
opum cupiditas? hæc omnia, mi frater, una cum hac vita ter-
minantur. Sed mihi, ſat ſcio, dices, tibi ipſi commemora. Et mihi
ipſi commemoro, & vobis: eſt enim commune conſilium, ego
dum hæc audio, & corrigor, beneficium à vobis accipio: licet te A
ſervus ſit, qui dicit, conſilium admitto; licet liber: non enim
perſonarum excellentia, ſed utilitas conſilii efficit, ut ea quæ di-
Exo. 18, 24 cuntur, admittam. Nam ſi Moyſes ille tantus vir, qui cum Deo
fuerat colloquutus, ſoceri ſui conſilium non eſt averſatus, tametſi
barbarus erat, ſed cùm ipſe ſuſcepit, tum Deus confirmavit:
quanto magis nos? Non dico tibi, ut inops fias, ſed ut quod re-
dundat, in pauperes eroges, ut abundantia tua ſalutis occaſio ti-
bi fiat. Non vides multos in via pauperes? quo pacto ægri nu- B
dique remanent? atque hic quidem junior, ille verò ſenior eſt;
& alter ab altero fulcitur, & multa eſt illorum miſeria. Da igitur
conſervo; ut Dominum habeas debitorem, qui lubenter eſt de-
bitor, qui ſortem dat cum uſura. Nam in rebus quidem profanis,
crimen eſt uſura: at apud Deum, laus eſt. Non das pauperi? eum
attende, qui per illum petit, & ejus dignitatem, qui accipit, reve-
rere: pauper accipit, & Deo mutuum datur. Cogita quò deſcen-
derit ejus cauſa Dominus tuus, ut te inflecteret, ne crudelis eſſes C
Matt. 25, 42. & inhumanus. *Eſurientem enim me vidiſtis, & non aluiſtis: ſitien-*
tem, & non dediſtis mihi potum: hoſpitem, & non collegiſtis: nudum &
non operuiſtis: & quæ ſequuntur. Non das igitur Chriſto eſurienti?
tu & pauper corporis ejus communiter ex menſa participes eſtis,
& calici ejus pariter communicatis: in rerum magnarum ac tre-
mendarum communionem tecum venit, & tu illi exigua non
impertis? non enim illi, quæ tua ſunt largiris? quantvis
enim à parentibus acceperis, quamvis à majoribus; Dei
ſunt: quid in terram illa defodis? da pauperi, & multa cum
ſecuritate tibi Dominus ille ſervabit. Non vides, quid faciant
agricolæ? ſæpenumero is, cui præ inopia ſemen non ſuppe-
tit, veſtem ſuam pignori opponit, & quod vult, accipit, ac ter-

οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύ-
ματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ λόγος περὶ νηστείας καὶ ἐλεημοσύνης.

ΚΑΛΗ νηστεία, καλὴ καὶ ἡ τῶν γραφῶν ἀνάγνωσις· καλὴ δὲ
ἐστιν, ὅταν καὶ ἡ ἐκ ταύτης πρᾶξις ἕπηται. ἐπεὶ ἐὰν ἀναγινώ-
σκῃς, μὴ ποιῇς δὲ, γίνεταί σοι εἰς κρίμα ἡ ἀνάγνωσις, καὶ εἰς ἐφό-
διον κολάσεως. οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, φησὶ, δίκαιοι παρὰ τῷ
Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται· καὶ πάλιν ὁ Χριστός·
εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ
πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. μακάριος δὲ ὁ λέ-
γων εἰς ὦτα ἀκουόντων, ὅταν μάλιστα τὸν τόκον καταβάλωσι· τόκος
δέ ἐστιν ὑπακοὴ, καὶ ἡ τῶν ἐντολῶν τοῦ Θεοῦ ἐργασία, καθώς φησιν ὁ
Κύριος· κἀγὼ ἐλθὼν ἀπῄτησα ἂν τὸ ἐμὸν σὺν τόκῳ. τί οὖν συνή-
γαγες, ἀδελφὲ, ἀπὸ τῆς νηστείας; ἐπεὶ καὶ γεωργὸς διὰ τοῦτο σπεί-
ρει, ἵνα θερίσῃ· καὶ ἔμπορος διὰ τοῦτο τὰς ἀποδημίας ἀποτελεῖ,
ἵνα χρήματα συναγάγῃ· καὶ κυβερνήτης διὰ τοῦτο πολλὰ πελάγη
διαπερᾷ, ἵνα τὸ σκάφος φορτίων ἐμπλήσῃ. μή μοι εἴπῃς τόσας
ἡμέρας ἐνήστευσα, τὸ καὶ τὸ οὐκ ἔφαγον, οἶνον οὐκ ἔπιον, ἀλουσίαν
ὑπέμεινα, ἀλλὰ δεῖξόν μοι, εἰ θυμώδης ὢν πρᾶος ἐγένου, καὶ ὠ-
μὸς ὢν ἐγένου φιλάνθρωπος. ἐπεὶ ἐὰν μὲν μεθύῃς τῷ θυμῷ, τί
τὴν σάρκα καταθλίβεις; ἐὰν φθόνος ᾖ ἔνδον καὶ πλεονεξία, τίς ὠφέ-
λεια τῆς ὑδροποσίας; οὐ ζητῶ νῦν ποία ἡ τράπεζα, ἀλλ' εἰ γνώ-
μης κακῆς ἐγένετο μεταβολή. ἐὰν ἡ δέσποινα, ἡ ψυχὴ λέγω, πορ-
νεύῃ, τί τὴν θεράπαιναν τὴν γαστέρα φημὶ μαστίζεις; εἰ ἡ ψυχὴ πα-
ρασύρεται, τί τὸ σῶμα τήκεις; ταῦτα λέγω οὐχ ὑμῶν κατηγορῶν,
ἀλλὰ διὰ τοὺς ῥᾳθύμους. ὅσον γὰρ ἐὰν ἴδω ὑμᾶς πετομένους, βούλο-
μαι ὑμᾶς ἀνωτέρω πέτασθαι. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης τυραννίς· καὶ
ὥσπερ οἱ φιλάργυροι, ὅσον ἐὰν συνάγωσι χρυσίον, πλέον ἐπι-
ζητοῦσιν· οὕτω καὶ ἡμεῖς πλέον ὀρεγόμεθα τῆς ὑμετέρας προκοπῆς. εἰ
οὖν θέλεις παρὰ Θεῷ προσδεχθῆναι, νήστευσον ὡς οἱ Νινευῖται, ἀ-
δελφέ· ἐκεῖνοι νόμον οὐκ ἔλαβον· περὶ ὧν φησιν ὁ Παῦλος· ὅταν
γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῶσιν, οὗτοι νόμον
μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. μὴ τοίνυν ἀργὴν τὴν νηστείαν ἐπι-
δείκνυσο· οὐ γὰρ ἀναβαίνει μόνη εἰς τὸν οὐρανὸν ἡ νηστεία, ἐὰν μὴ ἔχῃ τὴν
ἀδελφὴν αὐτῆς τὴν ἐλεημοσύνην. συνωρὶς γὰρ αὐτῆς ἐστι, καὶ οὐ μόνον ἀ-
δελφότης καὶ συνωρὶς, ἀλλὰ καὶ ὄχημα· καὶ πόθεν τοῦτο; τῷ Κορνη-
λίῳ ἔλεγεν ὁ ἄγγελος· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου
ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. πτερὸν γάρ ἐστι τῆς εὐχῆς
ἡ ἐλεημοσύνη· ἐὰν οὖν μὴ παράσχῃς πτερὸν τῇ εὐχῇ, οὐ πέταται· ὅταν δὲ
πτερωθῇ ἡ ψυχή σου, ἵπταται εἰς τὸν οὐρανόν. ἕως πότε ἡ φιλαργυρία
καὶ τῶν κτημάτων ἡ ἐπιθυμία; ταῦτα πάντα, ἀδελφὲ, συγκατα-
λύεται τῷ παρόντι βίῳ. ἀλλὰ πάντως μοι ἐρεῖς· ταῦτα σεαυτῷ λέ-
γε· καὶ ἐμαυτῷ λέγω, ἀδελφὲ, καὶ ὑμῖν. κοινὸν γὰρ τὸ συμβούλιον.
ἐγὼ ταῦτα ἀκούων, καὶ διορθούμενος, παρ' ὑμῶν χάριν λαμβάνω·
κἂν δοῦλος ᾖ ὁ λέγων, δέχομαι τὴν συμβουλήν· κἂν ἐλεύθερος
ᾖ. οὐ γὰρ τὸ διάφορον τῶν προσώπων, ἀλλ' ἡ χρῆσις τῆς συμβουλῆς παρα-
σκευάζει δέχεσθαι τὰ λεγόμενα. ὁ γὰρ Μωσῆς ἐκεῖνος, ὁ τηλικοῦτος, ὁ τῷ
Θεῷ ὁμιλήσας, τὰς τοῦ κηδεστοῦ αὐτοῦ συμβουλίας οὐκ ἀπεστράφη,
καίτοι βαρβάρου ὄντος, ἀλλὰ καὶ κεῖνος κατεδέξατο, καὶ ὁ Θεὸς
ἐβεβαίωσε· πόσῳ μᾶλλον ἡμεῖς; οὐ λέγω σοι, ἀκτήμων γενοῦ, ἀλλὰ
τὸ περιττὸν εἰς τοὺς πένητας ἀνάλωσον, ἵνα ἡ περιουσία σου ὑπόθε-
σις σωτηρίας σοι γένηται. οὐχ ὁρᾷς πολλοὺς κατὰ τὴν ὁδὸν πένητας; πῶς
μένουσι νοσοῦντες καὶ γυμνητεύοντες; καὶ ὁ μὲν νεώτερος, ὁ δὲ πρεσβύ-
τερος, καὶ ἄλλος ὑφ' ἑτέρου στηρίζεται, καὶ πολλὴ ἡ τούτων τραγῳδία.
δὸς οὖν τῷ συνδούλῳ, ἵνα ἔχῃς τὸν δεσπότην χρεωφειλέτην, τὸν ἡδέως
χρεωστοῦντα, τὸν διδόντα τὸ κεφάλαιον μετὰ τοῦ τόκου. ἐπὶ μὲν γὰρ τῶν ἔξω
ἔγκλημα ὁ τόκος· ἐπὶ δὲ τοῦ Θεοῦ ἔπαινος. οὐ δίδως τῷ πένητι; πρόσ-
εχε τῷ δι' αὐτὸν αἰτοῦντι, καὶ αἰδέσθητι τὸ ἀξίωμα τοῦ λαμβάνοντος.
ὁ πένης λαμβάνει, καὶ ὁ Θεὸς δανείζεται. ἐννόησον ποῦ κατέβη ὁ δεσπό-
της σου δι' ἐκεῖνον, ἵνα σε ἐπικάμψῃ μὴ εἶναι ὠμὸν καὶ ἀπάνθρωπον·
πεινῶντα μὲν γάρ φησιν εἴδετέ με, καὶ οὐκ ἐθρέψατε· διψῶντα,
καὶ οὐκ ἐποτίσατε· ξένον, καὶ οὐ συνηγάγετε· γυμνὸν, καὶ οὐ περιε-
βάλετε· καὶ τὰ ἑξῆς. οὐ δίδως οὖν πεινῶντι τῷ Χριστῷ; σὺ καὶ ὁ πέ-
νης, τὸ σῶμα αὐτοῦ κοινῶς ἐκ τῆς τραπέζης μεταλαμβάνετε, τοῦ
ποτηρίου αὐτοῦ ὁμοίως μετέχετε· ἐν τοῖς μεγάλοις σοι καὶ φρικτοῖς
κοινωνεῖ, καὶ τῶν μικρῶν αὐτῷ οὐ μεταδίδως; μὴ γὰρ τὰ σὰ αὐτῷ παρ-
έχεις; κἂν γὰρ παρὰ τῶν γονέων ἐδέξω, κἂν παρὰ τῶν προγόνων, τοῦ
Θεοῦ εἰσι. τί κατορύττεις αὐτὰ εἰς τὴν γῆν; δὸς τῷ πένητι, καὶ μετὰ πολλῆς τῆς ἀσφαλείας φυλάξει σοι αὐτὰ ὁ δεσπότης. οὐχ ὁρᾷς τοὺς
γεωργοὺς, τί ποιοῦσιν; ὅτι πολλάκις ὑπὸ πενίας μὴ ἔχων σπείρειν, τίθησιν αὐτὸ τὸ ἱμάτιον, καὶ λαμβάνει ὃ βούλεται, καὶ τῇ γῇ κατα-
πιστεύει

πιστεύει· καίτοι πολλάκις ἦλθε καιρῶν ἀνωμαλία, καὶ ἀπῆλθε μηδὲν θερίσας, καὶ ὅμως πιστεύει τῇ γῇ διὰ τὴν ἐλπίδα. ὅπερ οὖν ἡ γῆ ποιεῖ, τοῦτο ὁ δεσπότης οὐ δύναται ποιῆσαι; μίμησαι ἐκείνην τὴν ἐν τῇ παλαιᾷ χήραν, τὴν ἔχουσαν δράκα ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ, ὅτι ἐξ αὐτῶν τὸν προφήτην ἐξενοδέχησεν· ἢ ταύτην τὴν ἐν τῷ εὐαγγελίῳ, ἥτις δύο ὀβολοὺς βαλοῦσα πάντας ὑπερηκόντισεν. ὅλον γὰρ τὸν πλοῦτον ἑαυτῆς ἔβαλεν. ἀλλὰ τί λέγεις; πένης εἰμί, καὶ οὐκ ἔχω χρήματα· δύο ὀβολοὺς οὐκ ἔχεις; εἰ δὲ καὶ οὐκ ἔχεις, γνώμης ἀγαθῆς προαίρεσιν ζητεῖ ὁ Θεός. διὰ τοῦτο ἔλεγεν, „ ὅστις ἐὰν δῷ ποτήριον „ ψυχροῦ ὕδατος, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ. βλέπε, τί λέγει· ψυχροῦ ὕδατος· οὐ θερμοῦ; ἵνα μὴ διὰ τὴν δαπάνην τῶν ξύλων στερηθῇς τοῦ μισθοῦ. καὶ βασιλεὺς μὲν ὅσον ἐὰν ἐπιβάλλῃ σοι χρυσίον, κρεμάμενος, χρονιζόμενος, δίδως ὅπερ βούλεται· κἂν πένης ᾖς, οὐ προσέχει τῇ δυνάμει τῶν προσώπων, ἀλλὰ τῷ ἰδίῳ κέρδει. ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ κατὰ τὴν ἑκάστου δύναμιν ἀπαιτεῖ. διὰ τί γάρ εἰσι πένητες; μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς ὄμβρον χρυσοῦ κατενεγκεῖν; ἀλλ' ἵνα σοι ἡ ἐκείνου πενία παραμυθία τῶν ἁμαρτημάτων γένηται. μέγα, ἄνθρωπος, καὶ τίμιον, ἀνὴρ ἐλεήμων. βλέπε πόσον ἐστὶν ἐλεημοσύνη. ἑαυτῷ „ παραβάλλει ὁ Θεὸς τὸν ἐλεήμονα· γίνεσθε γάρ φησιν οἰκτίρμονες, „ καθὼς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. ἐὰν ἔλθῃ ὁ θάνατος, ὧδε μένει τὰ χρήματα· διὰ τί οὖν οὐ προαποστέλλεις σεαυτῷ ἐκεῖ, ἵνα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ παραστῶσί σοι πένητες, ὅπου ῥήτωρ οὐκ ἔστιν, οὐδὲ συνήγορος; ἐπιδείκνυνται γὰρ οἱ πένητες τὰ ἱμάτια, καὶ τὰ στρόφια, καὶ ἁρπάζουσί σε τοῦ πυρός. οὐχ οὕτως ἥλιος εἰς πάγος ἐλθὼν λύει αὐτό, ὡς ἐλεημοσύνη ἐμπεσοῦσα εἰς πλῆθος ἁμαρτιῶν ἀφανίζει αὐτάς. ἵνα δὲ μάθῃς τῆς ἐλεημοσύνης τὸ ὕψος, τί τῆς παρθενίας ἐπιπονώτερον; οὐδέν· πολλαί εἰσιν αἱ ἀρεταί, αἱ μὲν μεγάλαι, αἱ δὲ μείζους, αἱ δὲ ἐλάττους. τῆς δὲ παρθενίας οὐδὲν ἐπιπονώτερον· πρὸς τὴν φύσιν παλαίει· ὁ πόλεμος οὗτος ἀνοχὴν οὐκ ἔχει. μάχη ἐστὶν εἰρήνην μηδέποτε ἔχουσα, εἰ μὴ διὰ τὸ ἔλεος τοῦ Χριστοῦ. ἕστηκεν ἡ παρθένος τὴν κάμινον πρὸς ἑαυτὴν συνάγουσα, καὶ μὴ καιομένη· παρθένος ἐπὶ τῶν ἀνθράκων ἑστῶσα οὐ κατακαίεται· ἐν τῇ καμίνῳ οὖσα οὐ φλέγεται, δρόσον ἔχουσα καθάπερ οἱ τρεῖς παῖδες· πρὸς τὰς ἀοράτους δυνάμεις ἁμιλλωμένη, τὸν Μιχαὴλ μιμεῖται, καὶ πρὸς τὸν Γαβριὴλ ἁμιλλᾶται. ἐν τῷ παραδείσῳ ἦν ἡ παρθενία, καὶ ὑπὸ τοῦ δράκοντος κατεφθάρη. διὰ τοῦτο ἐν τοῖς μέσοις χρόνοις οὐκ ἐφαίνετο· ὅτε δὲ ἦλθεν ὁ ἐκ παρθένου γεννηθεὶς Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, τότε ἐφάνη πάλιν. θέλεις δὲ γνῶναι τῆς παρθενίας τὸ μέγεθος; Μωσῆς τὴν θάλασσαν ἔσχισε, τὸν ἀέρα μετέβαλε, μάννα κατήγαγε, καὶ κατελάλησαν αὐτοῦ περὶ ἰδίας γυναικὸς τῆς Αἰθιοπίσσης, ὅτι γυναῖκας εἶχεν· καὶ Ἀβραὰμ δὲ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. ἀλλὰ καὶ Ἰωσήφ, εἰ καὶ σωφρονῶν· ἀλλ' ὅμως μετὰ ταῦτα γυναῖκα εἶχεν. θέλεις μαθεῖν, ὅσον ἐστὶν ἡ παρθενία; ὁ Χριστὸς ἐλθὼν οὐ κατέθηκεν αὐτὴν ἀνάγκῃ· ὁμοῦ γὰρ τὰς ἄλλας ἐπιτείνας ἀρετάς, ταύτην οὐκ ἐπέτεινεν· ἵνα ἐὰν ἑκουσίως κατορθώσῃς, στεφανωθῇς. οἱ ἐγκράτειαν ἀσκοῦντες, καὶ τὴν ἀκτημοσύνην, πρώτην αὐτὴν μεταχειρίζονται· εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· οὐ τὰ μέλη περικόψαντες, ἀλλὰ τὴν ἀκόλαστον ἐπιθυμίαν ἀποκοψάμενοι. ὁ δυνάμενος χωρεῖν, χωρείτω· καὶ ὁ ἀπόστολος τὰς ἀρετὰς ἐπελθὼν πάσας, εἰδὼς αὐτῆς τὸ πέλαγος, „ λέγει· περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω· εἶδες πῶς μεγάλη ἡ παρθενία; καὶ ὅμως χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν. ἐλεημοσύνη δὲ χωρὶς παρθενίας ἴσχυσεν. αἱ πέντε παρθένοι αἱ μωραί, ἐπειδὴ ἔλαιον οὐκ εἶχον, ἀλλὰ μόνην τὴν παρθενίαν, οὐκ εἰσῆλθον εἰς „ τὸν νυμφῶνα· λέγουσι γὰρ ταῖς φρονίμοις, δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν· δικαίως δὲ ἐκλήθησαν μωραί, ὅτι τὸ ἐπιπονώτερον κατορθώσασαι, τὸ χωρὶς πόνου οὐκ ἐποίησαν· τὸν μέγαν ἀνταγωνιστὴν κατηνέγκαν, καὶ ὑπὸ τοῦ ἐλάττονος ἡττήθησαν· καὶ ἐλθόντος τοῦ νυμφίου, ἦλθον αἱ φρόνιμοι εἰς τὸν νυμφῶνα, καὶ ἦλθον ἐκεῖναι κρούουσαι· καὶ λέγει αὐταῖς· οὐκ οἶδα ὑμᾶς. διὰ τί; ὅτι πεινῶντά με εἴδετε, καὶ οὐκ ἐθρέψατε. ἡμεῖς δὲ μὴ γένοιτο ἀκοῦσαι φωνῆς τοιαύτης· ταῖς δὲ τὴν ἐλεημοσύνην „ κατορθωσάσαις λέγει· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κλη- „ ρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. διὰ τί; ὅτι παρθενίαν ἐτηρήσατε; οὐδαμῶς· ἀλλ' ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνός, καὶ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. ἵνα δὲ μάθῃς πόσον ἐστὶν ἡ ἐλεημοσύνη, βούλομαι πάλιν ὑμᾶς ὑπομνῆσαι τῆς ἱστορίας ταύτης· δέκα παρθένοι ἦσαν αἱ πέντε φρόνιμοι, καὶ αἱ πέντε μωραί. καὶ φωνὴ ἐγένετο κατὰ τὸ μεσονύκτιον, ἀνάστητε, ὁ νυμφίος ἔρχεται· τὸ μεσονύκτιον ἡ ἀνάστασίς ἐστιν, ὅτε οἱ ἄγγελοι πάντας ἡμᾶς ἐξεγείρουσιν· ἀναστᾶσαι δὲ αἱ παρθένοι ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν· ἡ δὲ λαμπὰς ἡ παρθενία ἐστὶ τὸ καθαρόν, τὸ ὀξύ, τὸ φαιδρόν. λέγουσιν αἱ

A tæ committit: tametſi perſæpe cùm tempeſtatum intemperies ingruerit, nulla collecta meſſe diſcedit, & tamen propter ſpem terræ credit. Quod igitur terra præſtat, hoc Dominus præſtare non poteſt? Imitare illam in veteri teſtamento viduam, quæ (3.Reg. 17. 12.) pugillum farinæ in hydria, & paucum oleum in lecytho habuit: quoniam ex ipſis hoſpitio Prophetam excepit: aut iſtam in Evangelio, (Luc. 21. 2.) quæ cùm obolos duos miſiſſet, omnes ſuperavit: quippe quæ ſuas omnes opes miſerit. Quid vero dicis? Pauper ſum, B pecunias non habeo. Duos obolos non habes? quinetiam, ſi ne non habeas, bonæ mentis opes & affectus requirit Deus: propterea dicebat, *Quicunque dederit calicem aquæ frigidæ, non* (Matt. 10. 42.) *perdet mercedem ſuam.* Vide, quid dicat: aquæ frigidæ, non calidæ, ne propter lignorum ſumptum mercede priveris. Atque Imperator quidem ſi tributum auro tibi ſolvendum indicat, ſuſpenſus, fidiculis tortus, quantum ille voluerit, pendis: quamvis pauper ſis, non habet rationem facultatis perſonarum, ſed C proprii lucri: Deus autem non ita, verùm pro cujuſque facultate requirit. Cur enim ſunt pauperes? an verò non poterat Deus aureum imbrem demittere? ſed ut illius paupertas ſolatium tibi fiat peccatorum. Magnum quiddam eſt homo miſericors. Vide quanta res ſit eleemoſyna: ſecum Deus comparat miſericordem: *Eſtote* enim, inquit, *miſericordes, ſicut & pater veſter cæleſt.* (Prov. 20. 6. Luc. 6. 36.) Si venerit mors, hic manent pecuniæ: quin tu igitur eas illuc præmittis, ut in illa die tibi pauperes patro- D cinentur, ubi non eſt orator, nec advocatus? oſtendunt enim veſtes & ſtrophia pauperes, & ab igne te abripiunt. Non ita cùm in glaciem Sol inciderit, eam liquefacit, atque eleemoſyna, cùm in peccatorum inciderit multitudinem, ea delet. Ut autem ſublimitatem intelligas eleemoſynæ quid virginitate laborioſius? nihil. Multæ ſunt virtutes, aliæ magnæ, aliæ majores, aliæ minores; at virginitate laborioſius eſt nihil, cum natura luctatur, hoc bellum miſſionem non habet: pugna eſt quæ E pacem nunquam ſortitur niſi fortè per Chriſti miſericordiam. Stat virgo fornacem in ſeipſam conflans, nec tamen uritur: ſuper prunas conſiſtens, non tamen incenditur: cùm ſit in fornace, non exuritur, ſed ut tres pueri rore perfunditur: cum inviſibilibus certans virtutibus Michaëlem imitatur, & Gabrielem æmulatur. In paradiſo erat virginitas, & à dracone corrupta eſt: propterea mediis temporibus non apparebat: cùm autem venit is, qui ex virgine natus eſt Jeſus Chriſtus Dei filius, rurſus A apparuit. Vis autem virginitatis magnitudinem noſſe? Moyſes mare diviſit, aërem immutavit, manna demiſit, & illi propter uxorem ſuam Æthiopiſſam obloquuti ſunt, quòd uxores haberet. Et verò Abraham, Iſaac, & Jacob, immo & Joſeph, tametſi caſtus erat, poſtea tamen uxorem habuit. Vis intelligere, quanta res ſit virginitas? cùm veniſſet Chriſtus, eam neceſſitate non devinxit, ſimul enim alias virtutes cùm intendiſſet, hanc non intendit, ut cùm ſponte bene egeris, coroneris, qui in continen- (Matt. 19. 12.) B tia & paupertate ſe exercent, primam illam aggrediuntur. *Sunt enim eunuchi, qui ſic nati ſunt: & ſunt eunuchi qui facti ſunt ab hominibus: & ſunt eunuchi, qui ſeipſos caſtraverunt propter regnum cælorum*, non cùm ſibi membra amputaſſent, ſed cùm laſcivam libidinem reſecuiſſent. *Qui poteſt capere capiat.* Apoſtolus quoque virtutes omnes cùm recenſuiſſet, hujuſque immenſitatem (1. Cor. 7. 25.) probè noſſet, ait, *De virginibus præceptum Domini non habeo: conſilium autem do.* Vides ut magna ſit virginitas, & tamen abſ- C que eleemoſyna non ſervavit. Quinque virgines fatuæ, propterea quòd oleum non habebant, ſed virginitatem ſolam, in ſponſi (Matt. 25. 2.) thalamum non intrarunt. Sapientibus enim dicunt, *Date nobis de oleo veſtro.* Ac meritò ſanè fatuæ ſunt vocatæ, quòd cùm id, quod erat laborioſius, perfeciſſent, quod laboris expers erat, non præſtitiſſent: magnum adverſarium dejecerant, & à minori fuere ſuperatæ. Et cùm veniſſet ſponſus, ſapientes in thalamum ſponſi venerunt: atque illæ quoque pulſantes venerunt: D ait que illis, Neſcio vos. quid ita? quoniam eſurientem me vidiſtis, nec aluiſtis. Abſit autem, ut talem nos vocem audiamus. (Matt. 25. 34.) Illis verò quæ eleemoſynam erogaverunt, ait: *Venite benedicti patris mei, poſſidete paratum vobis regnum à conſtitutione mundi:* quid ita? num quia virginitatē ſervarunt? nequaquam, ſed quoniam eſurivi, & dediſtis mihi manducare: ſitivi, & potum mihi dediſtis: nudus erā, & operuiſtis me: infirmus, & in carcere, & viſitaſtis me. Ut autē intelligas, quanta res ſit eleemoſyna, rurſus E hanc volo vobis hiſtoriam in memoriam revocare. Decē erant virgines, quinque ſapientes, & quinque fatuæ: ac circa medium noctis vox eſt edita, *Surgite, ſponſus venit.* Medium noctis eſt reſurrectio: quo tempore nos omnes Angeli excitabunt. Cùm verò virgines ſurrexiſſent, ornaverunt lampades ſuas, porro lampas eſt virginitas, quæ eſt quiddam purum, acre, ac lucidum. Dicunt

ſapientibus fatuæ: Date nobis de oleo veſtro: reſpondent illis ſapientes. *Timemus, ne fortè non ſufficiat nobis & vobis*: et non quòd inviderent, minimè dederunt, quid enim amplius opus eſt auro? (non enim illic dives & pauper eſt:) Sed abeuntes emite. Quinam autem ſunt illi, qui vendunt? pauperes. Tu enim potius accipis quàm das. Tu das illis terrena, & accipis cœleſtia. Cum igitur emptum abiiſſent, venit ſponſus, & quæ paratæ erant, in ſponſi thalamum ſunt ingreſſæ, & clauſæ ſunt januæ. Illæ vero cùm veniſſent, pulſarunt, & ait illis: Neſcio vos. Vides, quoniam eleemoſynam non habebant, laborem etiam virginitatis amiſerunt, & extra thalamum ſponſi remanſerunt. Itaque perſpecta eleemoſynæ utilitate, fratres, eleemoſynam erogemus, ut & ſponſi thalamum conſequamur, & æternis bonis perfruamur, gratia Domini noſtri Jeſu Chriſti, cum quo patri gloria una cum ſancto, bono, ac vivifico Spiritu nunc & ſemper & in ſecula ſeculorum. Amen.

A μωραὶ τῶν φρονίμους· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ἡμῶν· λέγουσιν αὐταῖς αἱ φρόνιμοι· φοβούμεθα, μή ποτε οὐκ ἀρκέσῃ ἡμῖν, καὶ ὑμῖν· ἀλλ᾽ οὐχὶ βασκαίνουσαι οὐκ ἔδωκαν· ἐκεῖ γὰρ τίς χρεία χρυσίου λοιπόν; [οὐ γάρ ἐστιν ἐκεῖ πλούσιος καὶ πένης·] ἀλλ᾽ ἀπελθοῦσαι ἀγοράσατε. καὶ τίνες οἱ πωλοῦντες; πένητες· σὺ γὰρ μᾶλλον λαμβάνεις ἢ διδως. διδως αὐτῷ τὰ ἐπίγεια, καὶ λαμβάνεις ἐπουράνια· ὡς οὖν ἀπῆλθον ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ εἰσῆλθον εἰς τὸν νυμφῶνα αἱ ἕτοιμοι, καὶ ἐκλείσθη-
B σαν αἱ θύραι. ἐλθοῦσαι δὲ ἐκεῖναι ἔκρουσαν, καὶ λέγει αὐταῖς· οὐκ οἶδα ὑμᾶς. ὁρᾷς ἐπειδὴ ἐλεημοσύνην οὐκ εἶχον, καὶ τοῦ πόνου τῆς παρθενίας ἀπέτυχον, καὶ ἔξω τοῦ νυμφῶνος ἔμειναν. μαθόντες οὖν τῆς ἐλεημοσύνης τὸ κέρδος ἀδελφοὶ ποιήσωμεν ἐλεημοσύνην, ἵνα καὶ τοῦ νυμφῶνος ἐπιτύχωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωμεν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.
C

In Sacrum Paſcha, Oratio.

THEODORO PELTANO, interprete.

Pſal. 105, 2. COMMODE convenienterq; hoc die omnes cum beato David perſonamus: Quis loquitur potentias Domini, auditas faciet omnes laudes ejus? Ecce enim advenit deſideratum illud ſalutareq; feſtum, dies nimirum reſurrectionis Domini noſtri Jeſu Chriſti. Quæ una, & pacis eſt argumentum, & reconciliationis cauſa, & hoſtium internecio, & mortis diſſolutio, & diaboli calamitas. Hodie homines ſocietatem ineunt cum Angelis, hodie corpus induti, cum virtutibus corporeæ concretionis expertibus juncti, hymnos laudéſque Deo perſolvunt; hodie diaboli tyrannis eſt everſa, hodie mortis vincula ſoluta ſunt, hodie inferni victoria abſorpta eſt. Aptè proinde convenienterque hodie propheticam illam vocem depromimus: *Ubi eſt mors ſtimulus tuus? ubi eſt victoria tua inferne?* Hodie Dominus noſter Jeſus Chriſtus æneas portas confregit, ipſamq; mortis perſonam abolevit. Ecquid dico mortis perſonam ſuſtuliſſe, cùm ipſum quoque mortis vocabulum tranſtulerit. Neq; enim animi à corpore diſceſſus, mors ampliùs appellatur, ſed dormitio, vel ſomnus. Sanè ante Chriſti adventum, crucisq; œconomiam, vel ipſum ſolum mortis nomen terrorem incutiebat. Quare etiam primus homo, magno ſupplicii loco ejuſmodi ſententiam audivit: *Quacumq; die comederis ex illo, morte morieris.* Quin & beatus Job quoq; quietis nomine mortem deſignat: *Mors*, inquit, *viro requies.* Propheta autem David, peccatorum mortem peſſimam pronunciat. Imo verò non modò divulſio illa animæ à corpore, mortis vocabulo deſignatur; verumetiam inferni. Audi Patriarcham Jacob: *Deducetis canos meos cum mœrore ad inferos.* Audi alium ea de re vatem: Inferus dilatavit animam ſuam. Facit huc etiam illud Prophetæ Davidis: *Liberabit me ex inferno inferiori.* Mitto alia: jam vetus teſtamentum, tranſitum ex hac vita, hoc eſt, mortem, crebi quemodmodum infernum appellat. At quia Chriſtus Dominus noſter, ſemetipſum noſtri cauſa in ſacrificiū obtulit, & ex mortuis denuo reſurrexit, ſuáque reſurrectione viam nobis ad reſurrectionem munivit, pro ſua clementia, ipſa etiam inferni & mortis nomina ſuſtulit; novámq;, & quodammodo extraneam politiam in vitā induxit. Emigrationem námq; ex mortali hac vita, dormitionem, vel ſomnum potiùs, quàm mortem appellandam exiſtimavit. Et unde hoc habes, inquis? ex ipſiuſmet Chriſti oratione, ait enim: Lazarus amicus noſter dormit, ſed vado ut à ſomno exſuſcitem eum: ut enim nobis perfacile eſt, dormientem expergefacere, ita communi omnium Domino, mortuos exſuſcitare. At quia novum, & peregrinum quadantenus erat, quod à Chriſto dicebatur, ne ipſi quidem diſcipuli prius, quod dictum fuerat, aſſequebantur, quàm is ad illorum infirmitatem ſeſe demittens planiùs illud exponeret. Quin & communis orbis doctor beatus Paulus, ubi ad Theſſalonicenſes ſcribit, eodem illo locutionis genere utitur: ait namque: *Nolumus vos ignorare, fratres, de dormientibus, non ut contriſtemini, ſicut & cæteri, qui ſpem non habent.* Et alio rurſum loco: *Ergo & qui dormierunt in Chriſto, perierunt?* Item, *Nos autem, qui vivimus, & reſidui ſumus, non præveniemus eos, qui dormierunt?* Et paulo ante hunc locum, *Si enim credimus, quod Jeſus mortuus eſt, & reſurrexit, ita & Deus eos, qui dormierunt, per Jeſum adducet cum eo.* Vides hanc mortem dormitionis vocabulo paſſim exprimi, illámque, ante crucem, formidabilem vultū præ ſe ferebat, nunc poſt reſurrectionem facilè contemni? Vides hinc æquè præclarū reſurrectionis trophæū? per hanc enim innūera nobis bona obtigerūt. Propter hāc, mortē deſpicatui habem⁹, & propter hanc, præſētē vitā flocci facim⁹. Propter hāc, mētis deſiderio in futura

Reſurrectionis Chriſti effecta varia.

Oſee 13, 14.
1. Cor. 15. 55.

Mors Chriſti, & vim & appellationem mortis abolevit.

Gen 2, 17.
Job. 3, 13.
Pſal. 33, 21.

Pſal. 85, 12.

Mors ſomni nomine poſt Chriſti mortem & reſurrectionem deſignatur.

Joan. 11, 11

1. Theſſ. 4. 13.
1. Cor. 15. 18.
1. Theſſ. 4. 15.

Εἰς τὸ ἅγιον πάσχα. Λόγος.

D ΕΥΚΑΙΡΟΝ σήμερον ἅπαντας ἡμᾶς ἀναβοῆσαι τὸ ῥητὸν τοῦ μακαρίου Δαβὶδ εἰρημένον· τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἰδοὺ γὰρ ἡμῖν παραγέγονεν ἡ ποθεινὴ σωτήριος ἑορτή, ἡ ἀναστάσιμος ἡμέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἡ τῆς εἰρήνης ὑπόθεσις, ἡ τῆς καταλλαγῆς ἀφορμή, ἡ τῶν πολέμων ἀναίρεσις, ἡ τοῦ θανάτου κατάλυσις, ἡ τοῦ διαβόλου ἧττα· σήμερον ἄνθρωποι τοῖς ἀγγέλοις ἀνεμίγησαν, καὶ
E οἱ σῶμα περικείμενοι μετὰ τῶν ἀσωμάτων δυνάμεων λοιπὸν τὰς ὑμνῳδίας ἀναφέρουσι· σήμερον καταλέλυται τοῦ διαβόλου ἡ τυραννίς· σήμερον τὰ δεσμὰ τοῦ θανάτου ἐλύθη· τοῦ ᾅδου τὸ νῖκος ἠφάνισται· σήμερον εὔκαιρον πάλιν εἰπεῖν τὴν προφητικὴν ἐκείνην φωνήν· ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; σήμερον τὰς χαλκᾶς πύλας συνέθλασεν ὁ δεσπότης ἡμῶν Χριστός, καὶ αὐτὸ τοῦ θανάτου τὸ πρόσωπον ἠφάνισε· τί δὲ λέγω τὸ πρόσωπον; αὐτὴν τὴν προσηγο-
A ρίαν μετέβαλεν· οὐκ ἔτι γὰρ θάνατος λέγεται, ἀλλὰ κοίμησις καὶ ὕπνος· πρὸ μὲν γὰρ τῆς Χριστοῦ παρουσίας, καὶ τῆς τοῦ σταυροῦ οἰκονομίας, καὶ αὐτὸ τοῦ θανάτου τὸ ὄνομα φοβερὸν ἐτύγχανε. καὶ γὰρ ὁ πρῶτος ἄνθρωπος γενόμενος ἀντὶ μεγάλου ἐπιτιμίου τοῦτο κατεδικάζετο ἀκούων. ᾗ δ᾽ ἂν ἡμέρᾳ φαγῇ, θανάτῳ ἀποθανῇ· καὶ ὁ μακάριος δὲ Ἰὼβ τούτῳ τῷ ὀνόματι αὐτὸν προσηγόρευσε, λέγων· θάνατος ἀνδρὶ ἀνάπαυσις· καὶ ὁ προφήτης Δαβὶδ ἔλεγε· θάνατος ἁμαρτωλῶν πονηρός· οὐ μόνον δὲ θάνατος ἐκαλεῖτο ἡ διάλυσις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος,
B ἀλλὰ καὶ ᾅδης· ἄκουε γὰρ τοῦ μὲν πατριάρχου Ἰακὼβ λέγοντος· κατάξετε τὸ γῆράς μου μετὰ λύπης εἰς ᾅδου. τοῦ δὲ προφήτου πάλιν. ἔχανεν ὁ ᾅδης τὸ στόμα αὐτοῦ· καὶ πάλιν ἑτέρου προφήτου λέγοντος· ῥύσεταί με ἐξ ᾅδου κατωτάτου· καὶ πολλαχοῦ εὑρήσεις ἐπὶ τῆς παλαιᾶς θάνατον καὶ ᾅδην καλουμένην τὴν ἐντεῦθεν μετάστασιν· ἐπειδὴ δὲ Χριστὸς ὁ Θεὸς ἡμῶν θυσία προσηνέχθη καὶ τὰ τῆς ἀναστάσεως προεχώρησε, περιεῖλε δὲ τὰς προσηγορίας αὐτὰς ὁ φιλάνθρωπος δεσπότης. καὶ και-
C νὴν καὶ ξένην πολιτείαν εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον· ἀντὶ γὰρ θανάτου λοιπὸν κοίμησις καὶ ὕπνος λέγεται ἡ ἐντεῦθεν μετάστασις· καὶ πόθεν τοῦτο δῆλον; ἄκουε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ἀλλὰ πορεύομαι ἐξυπνίσαι αὐτόν. ὥσπερ γὰρ ἡμῖν εὔκολον τὸν καθεύδοντα διϋπνίσαι καὶ διεγεῖραι, οὕτω καὶ τῷ κοινῷ πάντων ἡμῶν δεσπότῃ τὸ ἀναστῆσαι· καὶ ἐπειδὴ καινὸν ἦν καὶ ξένον τὸ παρ᾽ αὐτοῦ εἰρημένον, οὐδὲ οἱ μαθηταὶ συνῆκαν τὸ λεχθέν, μέχρις ὅτε
D συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, φανερώτερον αὐτὸ εἴρηκε καὶ ὁ τῆς οἰκουμένης δὲ διδάσκαλος ὁ μακάριος Παῦλος, γράφων Θεσσαλονικεῦσί φησιν· οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. καὶ πάλιν ἀλλαχοῦ· ἄρα οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο; καὶ πάλιν, ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας; καὶ ἑτέρωθι πάλιν· εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε, καὶ ἀνέστη, οὕτω καὶ
E ὁ Θεὸς τοὺς κοιμηθέντας ἄξει σὺν αὐτῷ. εἶδες πανταχοῦ λοιπὸν κοίμησιν καὶ ὕπνον τὸν θάνατον καλούμενον, καὶ τὸν πρὸ τούτου φοβερὸν ἔχοντα τὸ πρόσωπον, νῦν εὐκαταφρόνητον μετὰ τὴν ἀνάστασιν γενόμενον; εἶδες λαμπρὸν τῆς ἀναστάσεως τὸ τρόπαιον; διὰ ταύτην ἡμῖν τὰ μυρία ἀγαθὰ εἰσενήνεκται· διὰ ταύτην ἡ τῶν δαιμόνων ἀπάτη κατελύθη· διὰ ταύτην καταγελῶμεν θανάτου· διὰ ταύτην ὑπερορῶμεν τῆς παρούσης ζωῆς· διὰ ταύτην πρὸς τὴν τῶν μελλόντων ἐπιθυμίαν ἐπειγόμεθα

μεθα· διὰ ταύτην σῶμα περικείμενοι, οὐδὲν ἔλαττον τῶν ἀσωμάτων ἔχομεν, ἐὰν βουλώμεθα· σήμερον ἡμῶν τὰ μεγάλα νικητήρια γέγονε· σήμερον ἡμῶν ὁ δεσπότης τὸ κατὰ τοῦ θανάτου τρόπαιον στήσας, καὶ τοῦ διαβόλου τὴν τυραννίδα καταλύσας, τὴν διὰ τῆς ἀναστάσεως ὁδὸν εἰς σωτηρίαν ἐχαρίσατο. πάντες τοίνυν χαίρωμεν, σκιρτῶμεν, ἀγαλλιώμεθα· εἰ γὰρ καὶ ὁ δεσπότης ἡμῶν ἐνίκησε, καὶ τὸ τρόπαιον ἔστησεν, ἀλλὰ κοινὴ καὶ ἡμῶν ἡ εὐφροσύνη καὶ ἡ χαρά· διὰ γὰρ τὴν ἡμετέραν σωτηρίαν πάντα εἰργάσατο, καὶ δι᾽ ὧν ἡμᾶς κατεπάλαισεν ὁ διάβολος, διὰ τούτων αὐτὸν περιεγένετο ὁ Χριστός· αὐτὰ τὰ ὅπλα ἔλαβε, καὶ τούτοις αὐτὸν κατηγωνίσατο· καὶ πῶς, ἄκουε. παρθένος, καὶ ξύλον, καὶ θάνατος τῆς ἡμετέρας ἥττης γέγονε τὰ σύμβολα· καὶ γὰρ παρθένος ἦν ἡ Εὔα. οὐδέπω γὰρ ἄνδρα ἐγίνωσκεν, ὅτε τὴν ἀπάτην ὑπέμεινε. ξύλον ἦν τὸ δένδρον, θάνατος τὸ ἐπιτίμιον τὸ κατὰ τοῦ Ἀδάμ· εἶδες πῶς παρθένος, καὶ ξύλον, καὶ θάνατος γέγονεν ἡμῖν τῆς ἥττης τὰ σύμβολα; ὅρα τοίνυν, πῶς καὶ τῆς νίκης αὐτὰ πάλιν γέγονε πρόξενα. ἀντὶ τῆς Εὔας ἡ Μαρία· ἀντὶ τοῦ ξύλου τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ, τὸ ξύλον τοῦ σταυροῦ· ἀντὶ τοῦ θανάτου τοῦ Ἀδάμ, ὁ δεσποτικὸς θάνατος· εἶδες δι᾽ ὧν ἐνίκησε, διὰ τούτων αὐτὸν ἡττώμενον; περὶ τὸ δένδρον κατηγωνίσατο τὸν Ἀδὰμ ὁ διάβολος· περὶ τὸν σταυρὸν κατεπάλαισε τὸν διάβολον ὁ Χριστός. κἀκεῖνο μὲν τὸ ξύλον εἰς ᾅδην ἔπεμπε· τοῦτο δὲ τὸ ξύλον τὸ τοῦ σταυροῦ, καὶ τοὺς ἀπελθόντας ἐκ τοῦ ᾅδου πάλιν ἀνεκαλεῖτο· κἀκεῖνο μὲν καθάπερ αἰχμάλωτον καὶ γυμνὸν ἀπέκρυπτε τὸν ἡττηθέντα· τοῦτο δὲ τὸν νικητὴν γυμνὸν προσηλωμένον ἐφ᾽ ὑψηλοῦ πᾶσιν ἐδείκνυ. καὶ θάνατος ὁ μὲν καὶ τοὺς μετ᾽ αὐτὸν κατέκρινεν· ὁ δὲ καὶ τοὺς πρὸ αὐτοῦ ἀνέστησεν ἀληθῶς. „τίς λαλήσει τὰς δυναστείας τοῦ „Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἀπὸ θανάτου γεγόναμεν ἀθάνατοι· ἀπὸ πτώσεως ἀνέστημεν, ἀπὸ ἡττήματος κατέστημεν νικηταί· ταῦτα τοῦ σταυροῦ τὰ κατορθώματα· ταῦτα τῆς ἀναστάσεως μεγίστη ἀπόδειξις. σήμερον ἄγγελοι σκιρτῶσι, καὶ πᾶσαι αἱ οὐράνιαι δυνάμεις ἀγάλλονται, συνηδόμεναι ἐπὶ τῇ σωτηρίᾳ τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, πολλῷ μᾶλλον ἐπὶ τῇ σωτηρίᾳ τῆς οἰκουμένης. σήμερον τὴν ἀνθρωπείαν φύσιν, τῆς τοῦ διαβόλου τυραννίδος ἐλευθερώσας, πρὸς τὴν προτέραν εὐγένειαν ἐπανήγαγεν· ὅταν γὰρ ἴδω τὴν ἀπαρχὴν τὴν ἐμὴν οὕτω τοῦ θανάτου περιγενομένην, οὐκ ἔτι δέδοικα, οὐκ ἔτι φρίττω τὸν πόλεμον· οὐδὲ πρὸς τὴν ἀσθένειαν ὁρῶ τὴν ἐμαυτοῦ, ἀλλ᾽ ἐννοῶ τοῦ μέλλοντός μοι συμμαχεῖν τὴν ἄφατον δύναμιν. ὁ γὰρ τῆς τοῦ θανάτου τυραννίδος περιγενόμενος, καὶ πᾶσαν αὐτοῦ τὴν ἰσχὺν ἀφελόμενος, τί λοιπὸν οὐκ ἐργάσεται ὑπὲρ τοῦ ὁμογενοῦς; ὁ καὶ τὴν μορφὴν ἀναλαβεῖν διὰ πολλὴν φιλανθρωπίαν καταξιώσας, καὶ διὰ ταύτης τὴν πρὸς τὸν διάβολον πάλην ποιησάμενος; σήμερον χαρὰ πανταχοῦ τῆς οἰκουμένης καὶ εὐφροσύνη πνευματική. σήμερον καὶ τῶν ἀγγέλων ὁ δῆμος καὶ πασῶν τῶν ἄνω δυνάμεων ὁ χορὸς διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀγάλλονται. ἐννόησον τοίνυν, ἀγαπητέ, χαρᾶς μέγεθος, ὅτι καὶ αἱ ἄνω δυνάμεις ἡμῖν συνεορτάζουσι· συγχαίρουσι γὰρ τοῖς ἡμετέροις ἀγαθοῖς. καὶ γὰρ εἰ καὶ ἡμετέρα ἡ χάρις ἡ παρὰ τοῦ δεσπότου, ἀλλὰ καὶ ἐκείνων ἡ ἡδονή. διὰ τοῦτο οὐκ ἐπαισχύνονται ἡμῖν συνεορτάσαι. καὶ τί λέγω, ὅτι οἱ σύνδουλοι ἡμῶν οὐκ ἐπαισχύνονται συνεορτάσαι; αὐτὸς ὁ δεσπότης αὐτῶν τε καὶ ἡμῶν οὐκ ἐπαισχύνεται ἡμῖν συνεορτάσαι. τί δὲ εἶπον οὐκ ἐπαισχύνεται; καὶ ἐπιθυμεῖ συνεορτάσαι ἡμῖν. πόθεν τοῦτο δῆλον; ἄκουε αὐτοῦ „λέγοντος· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ᾽ ὑμῶν· εἰ δὲ τὸ πάσχα ἐπεθύμησε φαγεῖν, καὶ συνεορτάσαι δηλονότι. ὅταν οὖν ἴδῃς μὴ μόνον ἀγγέλους, καὶ πάντων τῶν οὐρανίων δυνάμεων τὸν δῆμον, ἀλλὰ καὶ αὐτὸν τὸν δεσπότην τῶν ἀγγέλων ἡμῖν συνεορτάζοντα, τί σοι λείπεται λοιπὸν εἰς εὐφροσύνης λόγον; μηδεὶς τοίνυν ἔστω κατηφὴς σήμερον διὰ τὴν πενίαν· ἑορτὴ γάρ ἐστι πνευματική· μηδεὶς πλούσιος ἐπαιρέσθω διὰ τὸν πλοῦτον· οὐδὲ γὰρ ἀπὸ τῶν χρημάτων εἰσενεγκεῖν εἰς τὴν ἑορτὴν ταύτην δύναται. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν ἑορτῶν, τῶν βιωτικῶν λέγω, ἔνθα πολλὴ ἡ φαντασία καὶ τῆς ἔξωθεν περιβολῆς, καὶ τῆς ἐν τῇ τραπέζῃ πολυτελείας, εἰκότως ἐκεῖ ὁ μὲν πένης ἐν ἀθυμίᾳ καὶ κατηφείᾳ ἐστίν, ὁ δὲ πλούσιος ἐν ἡδονῇ καὶ φαιδρότητι. τί δήποτε; ὅτι ὁ μὲν λαμπρὰν ἐσθῆτα περιβάλλεται, καὶ πλουσιωτέραν παρατίθεται τὴν τράπεζαν· ὁ δὲ πένης ὑπὸ τῆς πενίας κωλύεται τὴν αὐτὴν φιλοτιμίαν ἐπιδείξασθαι. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· ἀλλὰ πᾶσα αὕτη ἡ ἀνωμαλία ἐκποδών, μία δὲ τράπεζα καὶ πλουσίῳ, καὶ πένητι, καὶ δούλῳ,

A bona ferimur. Propter hanc, corpus induti (ſiquidem ſtudium adhibere voluerimus) tantum conſequimur, quantum incorporei ſpiritus. Hodie nobile illud communis victoriæ noſtræ feſtū celebramus. Hodie namque Dominus noſter Jeſus Chriſtus, illuſtri trophæo, adverſus mortem erecto, tyrannidéq; diaboli per reſurrectionem calcata, planéq; everſa, ad ſalutem viam nobis aperuit. Omnes proinde gaudeamus & exultemus, chorósq; & feſtum diem agitemus: Nam etſi Dominus noſter ſolus vicerit, B trophæumque erexerit, lætitia nihilominus & gaudium ſunt nobis cum illo communia. Si quidem omnia propter nos noſtrámq; ſalutem operatus eſt. Cæterùm, per quæ diabolus primo nos ſtravit, per eandem gratiam Chriſtus devicit. Eadem inquam panoplia illa, qua diabolus genus noſtrum invaſerat & debellaverat: Chriſtus certamine contra illum inito, diabolum viciſſim pellendedit. Quomodo autem, audi: noſtræ calamitatis & cladis ſymbola fuere Virgo, lignum, & mors: Nam & Eva virgo fuerat, C quando enim ſeducta eſt, needum cum viro commercium habuerat. Lignum erat diſcretionis arbor, mors ſupplicium in Adamum conſtitutum. Ecce quomodo virgo, & lignum, & mors calamitatis noſtræ organa extiterint. Cerne iululo ſecius, quomodo eadem illa victoriæ noſtræ inſtrumenta extiterint. Pro Eva fuit Maria, pro ligno autem ſcientiæ boni & mali, lignum crucis; pro morte verò Adami, mors Domini. Intelligis hunc diabolum, iiſdem omnino armis ab homine expugnatum, quibus ipſe ho- D minem expugnaverat. Per lignum diabolus debellaverat Adamum: per crucem viciſſim Chriſtus proſtravit diabolum. Et illud quidem lignum ad inferos ablegabat: at crucis vero lignum, ex inferis eos revocat, qui eo ablegati quandoq; fuerunt: illud victum Adamum, veluti captivum, & nudum abſcondebat, hoc autem victorem nudum, clavisq; in ſublimi ſuffixum, omnibus palam oſtendit. Adam tandem eos etiam in mortis condemnationem conjecit, qui longo poſt tēpore ipſū cōſecuti ſūt: Chriſtus E autē illos quoque exſuſcitavit, qui multa āte illū ſæcula mortem obierāt. *Quis loquetur potentias Domini, auditas faciet ōnes laudes ejus?* Per mortē facti ſumus im̄ortales: per caſum ſurreximus, poſt cladem victores evaſimus. Hæc crucis ſunt ſtratagemata: hæc evidentiſſima reſurrectionis indicia. Hodie Angeli, univerſæq; cœleſtes virtutes choros ducunt, déque communi humani generis ſalute, magno citra controverſiam gaudio exultant; nam ſi Angeli in cœlo gaudent ſuper uno peccatore pœnitentiam a- A gente, multo ſanè magis ſuper totius orbis terrarum ſalute lætātur. Hodie Chriſtus humanam naturam à tyrannide diaboli liberatam, in priſtinæ dignitatis nobilitatiſq; locum denuo reſtituit. Etenim cùm naturæ meæ primitias, morte tot partibus ſuperiorem evaſiſſe conſidero, vim illius ampliùs non metuo, hoſtis impetum ampliùs non expaveſco, infirmitatem meam ampliùs nō ſpecto. Specto autem, immenſam illam virtutem, quæ, ut opem B ferat, præſto eſt. Qui enim mortis tyrannidem debellavit, omnémq; illius vim fregit, quid in poſterum pro cognato genere non eſt effecturus, qui formam noſtram, pro ſua ingenti clemētia, aſſumere non dubitavit, pérq; illam contra diabolum in arenam deſcendit, quid noſtra cauſa poſt hæc non præſtabit? Hodie Angelorum cœtus, omniúmq; ſupernarum virtutum multitudo propter hominum ſalutem exultat: perpende, dilecte, quanta hujus gaudii ſit magnitudo, cùm ipſæ etiam ſupernæ cœleſtéſq; C virtutes, una nobiſcum gaudeant, feſtúmq; diem agant. Congaudent enim, & congratulantur noſtris, noſtræq; felicitati. Nam etſi ſingulare hoc Dei Opt. Max. beneficium noſtrum ſit proprium, redundat hinc nihilo ſecius in illos nonnulla quoq; oblectatio. Quamobrem haud turpe ducunt, publicúmq; ſolemnémque conventum pariter nobiſcum celebrare. At quid dico conſervos, lætum feſtúmq; diem nobiſcum agere non erubeſcere, cùm ipſe etiam illorum noſtrúmq; omnium Dominus non vere- D cundetur nobiſcum epulari, diémq; feſtivum celebrare? Imo verò tantum abeſt, ut hujus illum pudeat, ut avidè quoq; hoc ipſum deſideret. unde hoc tibi conſtat? Audi quid ipſe dicat: *Deſiderio deſideravi hoc Paſcha manducare vobiſcum.* Jam ſi Paſcha una nobiſcum manducare deſideravit, ſimul utiq; & diem quoq; feſtū agere. Cùm ergo videas non ſolùm Angelos, Archangelos, & univerſum cœleſtium virtutum cœtum, ſed ipſum etiam Angelorum Dominum, lætam feſtámq; lucem communiter nobiſcum E agitare, quid excuſationis reliquum eſt, quominus tu quoq; lætum hilarémq; vultum ſumas? Nemo proinde ob rerum inopiam dejecti hoc die ſit animi: feſtum enim hoc ſpiritale eſt, nullus rurſus opibus affluens, propter divitiarum copiam ſe extollat, ſiquidem nihil pecuniarum ad hoc feſtum adferre valet. In externis ſolemnitatibus, publiciſq; convivus, ubi magna externi cultus, ſumptuſúmq; & apparatuum menſæ ratio, & cura haberi ſolet, pauper non injuria animo dejicitur, mœrorēque, & anxietate conſtringitur, dives è diverſo, gaudio & voluptate perfunditur. Cur ita? quia divitiis abūdans pretioſa veſte ſeſe ornare, menſámq; opulētiorē inſtruere & apponere poteſt. Pauper autē inopia impeditus eū veſtiū ſplendorē, epularúmq; ambitionē, & magnificentiā oſtentare nō valet. Hic autē nihil eſt tale; nulla enim omnino diſſimilitudo locū in hac re habet, una menſa apponitur pauperi & diviti, & ſervo

Chriſti victoria nobis cum illo communis.

Diabolus iiſdem armis debellatus eſt, quibus hominem antè ſtraverat.

Lignum ſcientiæ boni, & mali ad inferos agit: lignū autem crucis, ex inferis revocat. Inverſa vires ligni crucis, & ligni ſcientiæ boni & mali. Paſchatis magna ſolemnitas.

&

& libero. Quare ſi dives fueris, nihil plus habebis paupere: ſi inops, nihil minus divite. Quandoquidem ſpiritualis epuli hujus fructus, propter paupertatem non minuitur. Divina enim gratia, & liberalitas eſt, quæ hic donatur, ea autem perſonarum diſcrimen non ſpectat. Et quid dico, eandem divitibus & pauperibus menſam proponi, cùm una etiam, eademq; apponatur diademate redimito, & purpurato, ſupremóq; orbis Dynaſtæ, & mendico ad publicam eleemoſynam expoſito? Enimvero ſpiritualia ejuſmodi ſunt, ut non diſtribuantur ſecundùm externæ dignitatis qualitatem, ſed ſecundùm internam animorum diſpoſitionem, liberámq; illius, qui diſtribuit, voluntatem. Eadem fiducia, eodémq; honore, & fructu ad divinorum horum myſteriorum uſum, & communionẽ accedit pauper, & imperator. Quid dico, eodem honore & fructu accedit huc uterq;? Sæpenumerò inops majori operæ pretio, majoriq; fiducia ad has epulas accedit, quã ſummus mundi Monarcha. Quid ita? quia rex, vel ſumma alius in auctoritate, in republica ordinatus, rerũ mole preſſus, multiſq; negotiis & caſibus undequaq; vallatus, quaſi in æſtuanti pelago conſtitutus, omni ex parte fluctuum ſe invicem excipientium aſpergine humectatur, & quod hunc conſequitur, multis ſubinde peccatis contaminatur. Pauper autem ab iis omnibus immunis déq; ſolo neceſſario alimento ſollicitus, quietam, negotiiq; curis ſi expertem vitam ducens, veluti in tranquillo portu navigans, cum magna plerumq; pietate, & religione menſæ huic ſeſe adjungit. Neq; iſtud ſolùm affligit, verùm aliunde quoq; diverſæ moleſtiæ iis procreantur, qui circa ſæcularia convivia, & feſta occupantur. Neq; enim ſplendidus menſæ apparatus pauperem hîc tantùm cruciat, divitem contra recreat, gaudióque & lætitia delibutum reddit; ſed nitidus quoq; corporis cultus, ſũptuoſúſq; veſtium ornatus. Unde quod pauperes hac in re patiuntur propter menſam, hoc ipſum etiam ſuſtinent propter indumenta. Cùm enim inops divitem magni pretii ſtola indutum cõſpicatur, dolore excruciatus miſerum ſeipſum clamat, ſuámq; fortunam millies execratur. Hic autem ea etiam animi conſternatio, & ægritudo ſedem non habet. Unum enim omnibus veſtimentum, ſalutaréq; indumentum injicitur. *Quotquot*, clamat Paulus, *in Chriſto baptizati eſtis, Chriſtum induiſtis*. Omni proinde ruboꝛe, & verecundia poſthabita, feſtum hoc feſtivè habeamus, ſenſúmq;, & mentem muneribus, quæ per Chriſti gratiam nobis obvenerunt, dignum aſſumamus: nec non nuntiis ebrietatis, gulæq; in univerſum miſſis, Chriſti Domini noſtri munificentiam & liberalitatem animo pertractemus. Quandoquidem is, divites, & pauperes, ſervos itidem, & liberos pari honore affecit, cõmunéq; in omnes promiſcuè donum effudit. Quapropter æquũ eſt, ut benefactorem de ſingulari illa erga nos benevolentia, & gratia aliqua ſaltem parte remunerare ſtudeamus. Compenſatio autem idonea fuerit, vitæ converſatio ipſi non ingrata, animáq; ſobria, & experrecta. Hoc præſens feſtum, hic publicus conventus, non eget pecunia aut ulla alia impenſa, ſed bona tantùm voluntate, puraq; mente, & conſcientia. Nullum eſt operæ pretium, ut aliquid corporeum, aut pretio coemptum, huc adferamus: mentis oculos ad ea tantùm convertamus, quæ ſunt ſpiritalia, nempe ad orthodoxam divinorum eloquiorum explanationem, ad piis ſanctorum Patrum precationes, ad ſacerdotum benedictiones, ad divinorum ſecretorúmq; myſteriorum communionem, ad pacem, & concordiam, ad alia tandem ejuſmodi ſpiritalia dona, quæ largitoris munificentia ſint non indigna. Celebremus igitur feſtum hoc, in quo Dominus ſurrexit. Surrexit enim, & terrarum orbem ſecum pariter exſuſcitavit. Et ille quidem ſurrexit, mortis vinculis diruptis: nos autem exſuſcitavit peccatorum noſtrorum catenis diſſolutis. Peccavit Adam, & mortuus eſt. Chriſtus non peccavit, & mortem ſubiit. Res nova, & planè paradoxa: Ille peccavit, & vita defunctus eſt. Hic non peccavit, & æquè nihilominus mortuus eſt. Cujus autem rei cauſa, & propter quod illud? nimirum ut is, qui peccârat, & mortuus fuerat, per ejus, qui non peccârat, mortem, à mortis vinculis libere vaderet. Ejuſmodi quippiam in pecuniariis quoque debitis, uſu interdum venit: Debet exempli cauſa aliquis, alicui certam ejus ſummam: cùm eam autem pendere non queat, conjicitur in vincula: alius porro nihil quidem debens, conflatum tamen debitum exſolvere volens, contractum alienum æs alterius nomine ſolvit, eáq; ratione debitorem, à vinculo, quo obſtrictus tenebatur, abſolvit. Tale quid eſt, quod inter Adamum & Chriſtum interceſſit. Debebat Adamus mortem, & vinctus detinebatur à diabolo. Chriſtus autem neque quidquam debebat, nec ab ullo quoque vinctus detinebatur: venit nihilo ſecius, & pro mortis debitore, exſolvit mortem, quo illum à mortis laqueis expediat. Diſcis hinc illuſtrem, planeque egregium Dominicæ reſurrectionis fructum. Diſcis inſignem Domini clementiam, & benignitatem: diſcis curæ & providentiæ ejuſdem magnitudinem. Ne igitur tanto benefactori ingrati ſimus, neque decurſo jam, abſolutóque jejuniorum ſtadio, ſolito negligentius nos geramus. Quin potiùs majorem nunc, quàm antea unquam animæ curam, & ſollicitudinem impendere ſtudeamus, ne carne fortè ſaginata impinguatáque, ſpiritus infirmior evadat: aut ne ancilla lautius accuratiúſque curata Domina ipſa in pontemptũ veniat.

Vita cæleſtis menſa apponitur pauperi & diviti, ſervo & libero.

Spiritualia bona non diſtribuuntur ſecundum externam dignitatem.

Idem ſpiritale indumentum pauperi & diviti injicitur.

Gal. 3, 27.

Chriſtus pauperes & divites pari honore afficit.

Cur Chriſtus peccati expers mortuus.

Chriſtus Adami debitum, quod is ſolvendo non eſſet, in ſe tranſtulit, mortemque pro mortis debitore exſolvit.

Non minori cautione, & pietate opus extra quadrageſimam quàm in ipſa quadrageſima.

καὶ ἐλευθέρῳ. κἂν πλούσιος ᾖς, οὐδὲν πλεονάζεις τοῦ πένητος· κἂν πένης ᾖς, οὐδὲν ἔλαττον ἕξεις τοῦ πλουσίου. οὐδὲ διὰ τὴν πενίαν ἐλαττοῦται σοι τὰ τῆς εὐωχίας τῆς πνευματικῆς. θεία γάρ ἐστιν ἡ χάρις. καὶ οὐκ οἶδε προσώπων διαφοράν. καὶ τί λέγω, πλουσίῳ καὶ πένητι ἡ αὐτὴ τράπεζα πρόκειται; καὶ αὐτῷ τῷ τὸ διάδημα περικειμένῳ, καὶ τὴν ἁλουργίδα ἔχοντι, τῷ τὴν ἐξουσίαν τῆς οἰκουμένης ἀνηρτημένῳ, καὶ τῷ πτωχῷ τῷ πρὸς τὴν ἐλεημοσύνην καθημένῳ, μία τράπεζα πρόκειται. τοιαῦτα γὰρ τὰ δῶρα τὰ πνευματικά, οὐ τοῖς ἀξιώμασι διαιροῦ τὴν κοινωνίαν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ γνώμῃ. μετὰ τῆς αὐτῆς παῤῥησίας καὶ τιμῆς, καὶ ὁ βασιλεὺς καὶ ὁ πτωχὸς πρὸς τὴν ἀπόλαυσιν καὶ κοινωνίαν τῶν θείων τούτων μυστηρίων ὁρμῶσι· καὶ τί λέγω, μετὰ τῆς αὐτῆς τιμῆς; πολλάκις ὁ πένης μετὰ πλείονος τῆς παῤῥησίας· τί δήποτε; ὅτι ὁ μὲν βασιλεὺς κυκλούμενος πραγμάτων φροντίσι, καὶ ὑπὸ πολλῶν περιστάσεων περισοιχιζόμενος, ὥσπερ ἐν πελάγει τυγχάνων, οὕτω πανταχόθεν ὑπὸ τῶν ἐπαλλήλων κυμάτων περιῤῥαντίζεται, καὶ πολλὰ προστρίβεται τὰ ἁμαρτήματα· ὁ δὲ πένης, πάντων τούτων ἀπηλλαγμένος, καὶ ὑπὲρ τῆς ἀναγκαίας μόνης φροντίζων τροφῆς, καὶ τὸν ἀπράγμονα, καὶ ἡσύχιον βίον μετιών, ὥσπερ ἐν λιμένι καὶ γαλήνῃ καθήμενος, μετὰ πολλῆς τῆς εὐλαβείας τῇ τραπέζῃ προσίασι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν ἀθυμίαι διάφοροι τίκτονται τοῖς περὶ τὰς βιωτικὰς ἑορτὰς ἠσχολημένοις. πάλιν γὰρ ἐκεῖ μὲν πένης ἐν κατηφείᾳ, ὁ δὲ πλούσιος ἐν φαιδρότητι, οὐ διὰ τὴν τράπεζαν μόνην, καὶ τὴν πολυτέλειαν, ἀλλὰ καὶ διὰ τὰ ἱμάτια τὰ φαιδρά, καὶ τῆς ἐσθῆτος τὴν φαντασίαν. ὅπερ γοῦν ἐπὶ τῆς τραπέζης πάσχουσι, τοῦτο καὶ ἐπὶ τῶν ἱματίων ὑπομένουσιν· ἐπὰν γὰρ ἴδῃ τὸν πλούσιον ὁ πένης πολυτελεστέραν περιβεβλημένον στολήν, ἐπλήγη τῇ ὀδύνῃ, ἐταλάνισεν ἑαυτόν, μυρία ἐπηράσατο· ἐνταῦθα δὲ καὶ αὕτη ἡ ἀθυμία ἀνῄρηται· ἓν γὰρ ἅπασίν ἐστιν ἱμάτιον τὸ ἔνδυμα τὸ σωτήριον· καὶ βοᾷ Παῦλος λέγων· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· μὴ τοίνυν καταισχύνωμεν τὴν τοιαύτην ἑορτήν, παρακαλῶ, ἀλλὰ ἄξιον φρόνημα τῶν δεδωρημένων ἡμῖν παρὰ τῆς τοῦ Χριστοῦ χάριτος ἀναλάβωμεν· μὴ μέθῃ καὶ ἀδηφαγίᾳ ἑαυτοὺς ἐκδώσωμεν· ἀλλ᾽ ἐννοήσαντες τοῦ ἡμετέρου δεσπότου τὴν φιλοτιμίαν, καὶ ὅτι καὶ πλουσίους καὶ πένητας ὁμοίως ἐτίμησε καὶ δούλους, καὶ ἐλευθέρους, καὶ εἰς πάντας κοινὴν τὴν δωρεὰν ἐξέχεεν, ἀμειψώμεθα τὸν εὐεργέτην τῆς περὶ ἡμᾶς εὐνοίας. ἀμοιβὴ δὲ ἀρκοῦσα πολιτεία ἀρέσκουσα, καὶ ψυχὴ νήφουσα καὶ διεγηγερμένη. αὕτης ἑορτὴ καὶ πανήγυρις οὐ χρημάτων δεῖται, οὐ δαπάνης, ἀλλὰ προαιρέσεως μόνης καὶ διανοίας καθαρᾶς· οὐδὲν σωματικόν ἐστιν ἐντεῦθεν ὠνήσασθαι, ἀλλὰ πάντα πνευματικά· ἀκρόασιν θείων λογίων, εὐχὰς πατέρων, εὐλογίας ἱερέων, τὴν θείων καὶ ἀποῤῥήτων μυστηρίων κοινωνίαν, εἰρήνην καὶ ὁμόνοιαν, καὶ πνευματικὰ δῶρα καὶ ἄξια τῆς τοῦ δωρουμένου φιλοτιμίας· ἑορτάσωμεν τοίνυν τὴν ἑορτὴν ταύτην ἐν ᾗ ἀνέστη ὁ Κύριος. ἀνέστη γάρ, καὶ τὴν οἰκουμένην ἑαυτῷ συνανέστησε· καὶ αὐτὸς μὲν ἀνέστη τὰ δεσμὰ τοῦ θανάτου διαῤῥήξας, ἡμᾶς δὲ ἀνέστησε, τὰς σειρὰς τῶν ἡμετέρων ἁμαρτιῶν διαλύσας· ἥμαρτεν ὁ Ἀδάμ, καὶ ἀπέθανεν. οὐχ ἥμαρτεν ὁ Χριστός, καὶ ἀπέθανε· καινὸν καὶ παράδοξον· ἐκεῖνος ἥμαρτε καὶ ἀπέθανεν, οὗτος οὐχ ἥμαρτε καὶ ἀπέθανε· τινος ἕνεκεν, καὶ διὰ τί; ἵνα ὁ ἁμαρτών, καὶ ἀποθανὼν διὰ τοῦ μὴ ἁμαρτόντος, καὶ ἀποθανόντος, δυνηθῇ τῶν τοῦ θανάτου δεσμῶν ἐλευθερωθῆναι· οὕτω πολλάκις καὶ ἐπὶ τῶν ταῖς χρήμασι ὀφειλόντων γίνεται· ὀφείλει τις τινὶ ἀργύριον, καὶ οὐκ ἔχει καταβαλεῖν, καὶ διὰ τοῦτο κατέχεται· ἄλλος οὐκ ὀφείλων, δυνάμενος δὲ καταβαλεῖν, καταθεὶς ἀπέλυσε τὸν ὑπεύθυνον· οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονε, καὶ ἐπὶ τοῦ Χριστοῦ· ὤφειλεν ὁ Ἀδὰμ τὸν θάνατον, καὶ κατείχετο ὑπὸ τοῦ διαβόλου. οὐκ ὤφειλεν ὁ Χριστός, οὐδὲ κατείχετο· ἦλθε δὲ καὶ κατέβαλε τὸν θάνατον ὑπὲρ τοῦ κατεχομένου, ἵνα ἐκεῖνον ἀπολύσῃ τῶν τοῦ θανάτου δεσμῶν. εἶδες τῆς ἀναστάσεως τὰ κατορθώματα; εἶδες τοῦ δεσπότου τὴν φιλανθρωπίαν; εἶδες μέγεθος κηδεμονίας; μὴ τοίνυν ἀγνώμονες γινώμεθα περὶ τὸν οὕτως εὐεργέτην, μηδὲ ἐπειδὴ ἡ νηστεία παρῆλθε, ῥαθυμότερα κατασῶμεν· ἀλλὰ νῦν μᾶλλον ἢ πρότερον πλείονα τῆς ψυχῆς ποιώμεθα τὴν ἐπιμέλειαν. ἵνα μὴ τῆς σαρκὸς πιαινομένης, αὕτη ἀσθενεστέρα γένηται· ἵνα μὴ τῆς δούλης φροντίζοντες, τῆς δεσποίνης καταμελῶμεν.

τί γὰρ

τί γὰρ ὄφελος, εἰπέ μοι, ὑπὲρ τὴν χρείαν διαῤῥήγνυσθαι, καὶ τὴν συμμετρίαν ὑπερβαίνειν; οὕτω καὶ τὸ σῶμα λυμαίνεται, καὶ τῆς ψυχῆς τὴν εὐγένειαν προδίδωσιν. ἀλλὰ τῆς αὐταρκείας καὶ τῆς χρείας γινώμεθα, ἵνα καὶ ψυχῇ καὶ σώματι τὸ προσῆκον ἀποπληρώσωμεν· ἵνα μὴ τὰ ἀπὸ τῆς νηστείας συλλεγέντα ἀθρόον ἅπαντα ἐκχέωμεν. οὐ γὰρ κωλύω ἀπολαύειν τροφῆς καὶ ἀνέσεως· οὐ κωλύω τοῦτο, ἀλλὰ παραινῶ τῆς χρείας γίνεσθαι, οὐ τὴν πολλὴν τρυφὴν ἐκκόπτειν, καὶ μὴ τὸ μέτρον ὑπερβαίνοντας, λυμαίνεσθαι τῆς ψυχῆς τὴν ὑγείαν· οὐδὲ γὰρ ἡδονῆς λοιπὸν ἀπολαύσεται ὁ τοιοῦτος ὑπερβὰς τῆς χρείας τοὺς ὅρους· καὶ τοῦτο μάλιστα ἴσασιν ἀκριβῶς οἱ διὰ τῆς πείρας αὐτῆς ἐλθόντες, καὶ μυρία ἐντεῦθεν ἑαυτοῖς τεκόντες νοσημάτων εἴδη, καὶ πολλὴν τὴν ἀηδίαν ὑπομείναντες. ἀλλ' ὅτι μὲν πεισθήσεσθε τῇ ἡμετέρᾳ παραινέσει, οὐκ ἀμφιβάλλω. [οἶδα γὰρ ὑμῶν τὸ πειθήνιον.] καὶ διὰ τοῦτο ἐνταῦθα τὴν περὶ τούτου στήσας παραίνεσιν, πρὸς τοὺς κατὰ τὴν νύκτα τὴν φωταφόρον ταύτην καταξιωθέντας τῆς τοῦ θείου βαπτίσματος δωρεᾶς τρέψαι βούλομαι τὸν λόγον. τὰ καλὰ ταῦτα τῆς ἐκκλησίας φυτά, τὰ ἄνθη τὰ πνευματικά, τοὺς νέους τοῦ Χριστοῦ στρατιώτας. πρὸ τῆς χθὲς ὁ δεσπότης ἐν σταυρῷ ἐτύγχανεν· ἀλλ' ἀνέστη νῦν· οὕτω καὶ οὗτοι πρὸ τῆς χθὲς ὑπὸ τῆς ἁμαρτίας κατείχοντο, ἀλλὰ νῦν συνανέστησαν τῷ Χριστῷ. ἐκεῖνος σώματι ἀπέθανε καὶ ἀνέστη· οὗτοι ἁμαρτίᾳ ἦσαν τεθνηκότες, καὶ ἀπὸ ἁμαρτίας ἀνέστησαν. ἡ μὲν οὖν γῆ κατὰ τὸν καιρὸν τοῦτον τοῦ ἔαρος ῥόδα καὶ ἴα καὶ ἄλλα ἡμῖν ἐκδίδωσιν ἄνθη· τὰ μέντοι ὕδατα σήμερον, τῆς γῆς τερπνότερον ἡμῖν λειμῶνα ἀνέδειξε. καὶ μὴ θαυμάσῃς, ἀγαπητέ, εἰ ἀπὸ τῶν ὑδάτων λειμῶνες ἀνθῶν ἀνεδείχθησαν· οὐδὲ γὰρ ἐξ ἀρχῆς ἡ γῆ κατὰ τὴν οἰκείαν φύσιν τὴν βλάστην ἐξέδωκε τῶν βοτανῶν, ἀλλὰ τῷ ἐπιτάγματι εἴκουσα τοῦ δεσπότου. καὶ τὰ ὕδατα δὲ τότε ζῶα ἐξέδωκε κινούμενα, ἐπειδὴ ἤκουσεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· καὶ τὸ ἐπίταγμα ἔργον ἐγένετο· ἡ ἄψυχος οὐσία ἔμψυχα ζῶα ἐξέβαλεν· οὕτω καὶ νῦν τὸ αὐτὸ ἐπίταγμα πάντα εἰργάσατο. τότε, εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν· νῦν δὲ οὐχὶ ἑρπετὰ ἀλλὰ πνευματικὰ χαρίσματα ἀνέδωκε. τότε ἰχθύας ἀλόγους ἐξήγαγε τὰ ὕδατα· νῦν δὲ ἰχθύας λογικοὺς καὶ πνευματικοὺς ἡμῖν ἀπέτεκεν ὑπὸ τῶν ἀποστόλων ἁλιευθέντας. δεῦτε γάρ φησιν ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· καινὸς ὄντως τῆς ἁλείας ταύτης ὁ τρόπος· οἱ γὰρ ἁλιεύοντες ἐκ τῶν ὑδάτων ἐκβάλλουσι τοὺς ἰχθύας, καὶ νεκροῦσι τὰ ἁλιευόμενα· ἡμεῖς εἰς τὰ ὕδατα ἐμβάλλομεν, καὶ ζωογονοῦνται οἱ ἁλιευόμενοι. ἦν ποτε καὶ ἐπὶ τῶν Ἰουδαίων κολυμβήθρα ὕδατος· ἀλλὰ μάθε τί ἴσχυσεν, ἵνα γνῷς ἀκριβῶς τὴν πτωχείαν τὴν Ἰουδαϊκήν, καὶ εἰδέναι ἔχῃς τὸν πλοῦτον τὸν ἡμέτερον. κατήρχετο ἐκεῖ, φησίν, ἄγγελος, καὶ ἐτάρασσε τὸ ὕδωρ, καὶ ὁ πρῶτος καταβαίνων μετὰ τὴν ταραχὴν ἀπήλαυε τῆς θεραπείας. κατῆλθεν ὁ τῶν ἀγγέλων δεσπότης εἰς τὰ Ἰορδάνεια ῥεῖθρα, καὶ ἁγιάσας τῶν ὑδάτων τὴν φύσιν πᾶσαν τὴν οἰκουμένην ἐθεράπευσε. διὰ τοῦτο ἐκεῖ μὲν μετὰ τὸν πρῶτον, ὁ καταβὰς οὐκ ἔτι ἐθεραπεύετο. [Ἰουδαίοις γὰρ ἐδίδοτο ἡ χάρις τοῖς ἀσθενοῦσι, τοῖς χαμαὶ συρομένοις·] ἐνταῦθα δὲ μετὰ τὸν πρῶτον ὁ δεύτερος κάτεισι, μετὰ τὸν δεύτερον ὁ τρίτος, καὶ τέταρτος· κἂν μυρίους εἴπῃς, κἂν τὴν οἰκουμένην ἅπασαν ἐμβάλῃς εἰς τὰ νάματα ταῦτα τὰ πνευματικά, οὐκ ἀναλίσκεται ἡ χάρις, οὐ δαπανᾶται ἡ δωρεά, οὐ ῥυποῦται τὰ νάματα· οὐκ ἐλαττοῦται ἡ φιλοτιμία. εἶδες μέγεθος δωρεᾶς; ἀκούετε οἱ σήμερον καὶ κατὰ τὴν νύκτα ταύτην εἰς τὴν ἄνω Ἱερουσαλὴμ πολιτογραφηθέντες, καὶ ἀξίαν τοῦ μεγέθους τῶν δωρεῶν τὴν φυλακὴν ἐπιδείξασθε, ἵνα καὶ δαψιλεστέραν τὴν χάριν ἐπισπάσησθε· ἡ γὰρ ἐπὶ τοῖς ἤδη ὑπηργμένοις εὐγνωμοσύνη τὴν φιλοτιμίαν ἐκκαλεῖται τοῦ δεσπότου. οὐκ ἔξεστί σοι, ἀγαπητέ, λοιπὸν ἀδιαφόρως ζῆν· ἀλλὰ θὲς σαυτῷ νόμους καὶ κανόνας, ὥστε μετὰ ἀκριβείας ἅπαντα διαπράττεσθαι, καὶ πολλὴν τὴν φυλακὴν καὶ περὶ τὰ ἀδιάφορα νομιζόμενα εἶναι ἐπιδείκνυσθαι. ἀγὼν γάρ ἐστι καὶ πάλη πᾶς ὁ παρὼν βίος, καὶ τοὺς ἐν τῷ σταδίῳ τούτῳ τῆς ἀρετῆς ἅπαξ εἰσελθόντας προσήκει πάντα ἐγκρατεύεσθαι· πᾶς γὰρ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. οὐχ ὁρᾷς ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅπως πολλὴν ποιοῦνται τὴν ἑαυτῶν ἐπιμέλειαν οἱ πρὸς ἀνθρώπους τὴν πάλην ἀναδεχόμενοι, καὶ μετὰ πόσης ἐγκρατείας τὴν τοῦ σώματος ἄσκησιν ἐπιδείκνυνται; οὕτω δὴ ἐνταῦθα. ἐπειδὴ οὐ πρὸς ἀνθρώπους ἡμῖν ἐστιν ἡ πάλη, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας καὶ ἡ ἄσκησις ἡμῶν καὶ ἡ ἐγκράτεια πνευματικὴ ἔστω. ἐπειδὴ καὶ τὰ ὅπλα ἡμῶν ἃ περὶ ἡμᾶς ἐνέδυσεν ὁ δεσπότης, πνευματι-

A Dic, quæſo, quæ utilitas fuerit, ventre diſtento, penéque diſrupto, mediocritatis limites tranſire? Conſtat namque ejuſmodi immoderationem, & corpus graviter lædere, & animæ nobilitatem vehementer obſcurare. Eo proinde contenti ſimus, quod & ſat eſt, & naturæ conſervandæ ſimpliciter neceſſariũ: ne, ſi ſecus faciamus, quæ per jejunium collegeramus, uno quaſi momento, ſimul effundamus, animoque ſimul, & corpore, decori numeros perturbemus. Non inhibeo omnem animi relaxationem, aut corporis voluptatem, abſit. B Hortor autem, ut corporis neceſſitate honeſtè expleta, ſupervacaneas dapium illecebras præcidatis, nequando juſtam menſuram tranſcendentes, animæ ſanitatem offendatis. Neque enim is, qui neceſſitatis metas tranſilit, veræ alicujus voluptatis ſenſu potitur, ut optimè norunt illi, qui ejus rei periculum aliquando fecerunt. Immo verò innumeræ morborum ſpecies, multæque moleſtiæ, & animi ægritudines, plerumque hinc oriuntur. At quòd vos adhortationi meæ obſecuturos compertum habeam C (novi enim veſtram in parendo facilitatem, animique promptitudinem) hic finem imponens cohortationi, nunc ad eos orationis ſtylum convertere volo; qui lucida hac nocte, baptiſmatis gratiam conſecuti ſunt, nempe ad elegantes illas, novellaſque Eccleſiæ plantas, ad vernantes illos, ſpiritualeſque flores, ad Chriſtianæ militiæ tyrones. Nudius tertius Chriſtus Dominus pendebat è cruce, at nunc ex mortuis reſurrexit ad vitam. Pari modo iſti ante heſternum diem ſub peccati jugo adhuc detine- D bantur; nunc verò una cum Chriſto conſurrexerunt. Ille curſum ſecundum corpus, mortem obiit, corporeque exſuſcitato ad vitalem auram denuo rediit. Hi autem paulo ante, ob peccatum morti tenebantur obnoxii, nunc verò à peccati ſordibus expediti, una cum Chriſto ſurrexerunt. Et quidem terra, & grata hæc aëris tempeſtas, roſas, violas, aliaſque ejuſmodi flores profundunt; aquæ autem floridum, terra ipſa multo amœnius pratum hac luce nobis oſtendunt. Nec mireris, dilecte, ſi ex a- E quis florentia prata propria vi, herbarum germina, fundebat; ſed Domini ſui mandato obſecuta, ejuſdemque virtute fœcundata. Quin etiam ipſæ aquæ per idem tempus, animantia, quæ ſe moverent, produxere. Nam ubi primum audiverunt, Producant aquæ reptile animæ viventis, quaſi præcepti vim aſſecuta inanima natura, è veſtigio viva animantia protulit. Idem illud Dei præceptum, hoc ipſo quoque tempore, eadem vi pollens omnia conficit. Tunc non abſque divina virtute, & juſſione, a- A quæ reptile animæ viventis producebant; nunc non reptilia, ſed ſpiritalia chariſmata fundunt: Tunc undæ brutos piſces effundebant: nunc vero Apoſtolorum opera motæ, & agitatæ, ſpiritales, menteque & ratione ornatos piſces proferunt: *Venite poſt me* ait Dominus, *& faciam vos fieri piſcatores hominum.* Novus ſanè & inuſitatus piſcandi modus: nam cæteri piſcatores, quos capiunt piſces, ex aquis ejiciunt, eaque ratione quicquid piſcantur, extinguunt: Nos autem Apoſtolorum exemplo, ca- B ptos in aquas injicimus, & vita potiuntur. Extabat apud Judæos olim aquæ piſcina. Verùm quo Judaicarum rerum tenuitatem; hinc vero noſtram opulentiam perſpectiorem habeas, diſce, quàm exigui roboris illa extiterit, illic ut exponit Evangeliſta: *Deſcendebat Angelus, & turbabat aquam, & qui primus deſcendiſſet, poſt aquæ commotionem integram ſanitatem conſequebatur.* Deſcendit porro Angelorum Dominus, in Jordanis fluenta, aquæque naturam ſanctificans, univerſum terra- C rum orbem ſanavit. Ibi, qui poſt primum deſcendiſſet, non ſanabatur: (Judæis enim tanquam infirmis, humique adhuc repentibus puſilla gratia obtigit) hic autem poſt primum, ſecundus etiam deſcendit, & poſt ſecundum tertius, & quartus. Et quamvis decem millia, vel terrarum orbem univerſum in ſpiritales hos latices injicias, gratiam non abſumes, donum non exhauries, undas non inficies, Domini liberalitatem non diminues. Hinc tu jam magnitudinem collige. Audite, qui hodierna luce, D & nocte hac, in ſupernam illam Jeruſalem cives adſcripti eſtis, rerum veſtrarum ſatagite, curamque, & cautionem, donorum magnitudini parem, adhibete, quo hac ratione uberiorem gratiam attrahatis. Siquidem animi de beneficiis antè obtentis gratitudo, Domini liberalitatem acuit & provocat. Non licet tibi, dilecte, promiſcuam vitam in poſterum ducere. Quamobrem, quo omnia poſthac accuratè conficias, leges, & regulas tibi præfigas, multumque circa illa quoque, quæ alioquin E communia videntur, ſtudium, & diligentiam præ te geras. Tota enim præſens hæc vita, aliud nihil eſt, quàm perpetuum quoddam certamen, jugiſque lucta; adeoque æquum eſt, ut omnes illi, qui in hoc virtutis ſtadium ſemel ingreſſi ſunt, ab iis omnibus ſeſe contineant, quæ hunc curſum remorari poterunt: *Omnis enim, qui in agone contendit, ab omnibus ſe abſtinet.* Non vides, quantam in gymnicis certaminibus, ſui curam habeant, qui cum hominibus certamen ſuſceperunt; quantaque abſtinentia corpus exerceant, exercitiumque demonſtrent? Ad eum itaque modum, & hic quoque fieri conſentaneum eſt, quia *non eſt nobis colluctatio cum hominibus, ſed cum ſpiritualibus nequitiæ.* Noſtra autem exercitatio, & continentia ſit ſpiritalis; nam & arma, quibus Dominus noſter nos induit, ſunt

Immoderatus cibi & potus uſus animum & corpus offendit.
Luxus & gulæ innumera incommoda.
Tirones baptiſmi comparantur cum Domino exſuſcitato.
Matt. 4.
Apoſtoli quos capiunt piſces, vita donant, cæteri piſcatores quoſcumque capiunt, extinguunt.
Joan 5. 4.
Judæis tanquam imperfectis puſilla gratia obtigit.
Adhortatio ad Neophytos.
Animi gratitudo Domini liberalitatem acuit.
Præſens vita perpetua lucta.
1. Cor 9. 25.
Ephes 6.
Oculi & lingua & cætera omnia membra freno coercenda.

ſunt ſpiritalia. Habeat proinde oculus ſuos canones, & fines, ne temerè ſtatim in quodvis obvium feratur: habeat lingua ſuum itidem ſeptum, ne mentem antevertat: nam ob id dentes, & labra linguæ præſtructa ſunt, ne ipſa unquam inconſultè per oſtium erumpat, verumtantiſper impetum ſiſtat, dum ea, quæ ad munus illius ritè obeundum pertinent, rectè conſtituantur. Illis porro conſtitutis, tum demum, cum omni ornatu, & decoro procedat, eaque in medium adferat, & proloquatur, quæ audientium gratiam, & benevolentiam conciliare, ipſoſque ædificare valeant. Quin incompoſitus quoque riſus, inceſſuſque plus nimio incitatus ſummopere caveri, & vitari debent: Paucis: qui in virtutum palæſtram deſcendit, eum in omnibus, & per omnia compoſitum, & quaſi ad certos numeros redactum eſſe decet: ſicuti externa membrorum compoſitio honeſta, imago, & quaſi certus quidam index eſt interioris conſtitutionis animi.

Externa corporis & morum compoſitio index interioris conſtitutionis animi.

Quod ſi ab initio, ad ejuſmodi vitæ conſuetudinem nos compoſuerimus, ſenſim progredientes, citra difficultatem, omnem virtutis viam percurremus, parvoque labore, magnum nobis de cælo ſubſidium adſciſcemus. Hac enim ratione præſentis vitæ fluctus, tempeſtates tuto licebit tranſmittere, laqueiſque diaboli ſuperatis, ſempiternis illis bonis, tandem aliquando potiri, gratia, & clementia Domini noſtri Jeſu Chriſti, cum quo Patri ſimul & Spiritui ſancto ſit gloria, imperium, & honor, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

In ſecundum adventum Domini noſtri Jeſu Chriſti, & in illud, Omnes ſtabimus ante Tribunal Chriſti & unuſquiſque pro ſe rationem reddet Deo. Rom. 14, 10.

FRONTONE DUCÆO interprete.

Ex edit. Burdig. an. 1604.

MAgna quædam & mirifica heſterno die dixiſſe me vobis arbitrabar: etenim magna erant natura ſua, omnemq; facultatem orationis excedebant: veruntamen quę lecta ſunt hodie, tantum illa ſuperant, quantum ab illis noſtra ſuperantur. Tametſi non exiſtimabam quicquam ipſis antecellere, veruntamen cùm acceſſiſſent ea, quæ lecta ſunt hodie, multo illis ſplendidiora ſunt viſa. Quænam verò lecta ſunt hodie? Omnes ſtabimus ante tribunal Chriſti: ſcriptum eſt enim, Vivo ego, dicit Dominus, quoniam mihi flectetur omne genu, omnis lingua confitebitur Deo. Itaque unuſquiſque noſtrum de ſeipſo rationem reddet Deo. Vide, non dixit ſimpliciter, adorabit unuſquiſque, hoc eſt, eorum, quæ fecit, rationes repoſcetur. Semper igitur pavidus eſto, mi homo, pro tribunali ſedentem communem dominum cernens, nec ſcinde aut divide Eccleſiam à gratia ſeparatus: ſiquidem & à te Chriſtus, & ab omni genere humano rationem exiget. Sed ne iſta dicere videatur, ut data opera nobis terrorem incutiat: ex ipſa ſerie contextuque ſermonis rurſus in eodem verſatur argumento, dicens: Non ergo amplius invicem judicemus, ſed hoc judicate magis, ne ponatis offendiculum fratri, vel ſcandalum. Hoc vero nihilo magis ad illum quàm ad hunc pertinet: quamobrem utrique poteſt convenire: dum & perfectus ciborum obſervatione ſcandalizatur, & vehementiori objurgatione imperfectus offenditur. Tu verò mihi conſidera, dilectiſſime, quantas daturi ſimus pœnas, qui temere ſcandalizamus. Si enim ubi res erat iniqua, quæ gerebatur, quod importunè reprehenſio adhiberetur, hoc fieri vetuit, ne ſcandalizaretur frater & offenderetur: cùm ne corrigendo quidem quempiam ſcandalizamus, quid merebimur? Si enim crimen eſt non ſalvum facere; idque ex eo conſtat, qui talentum defodit: ipſum ſcandalizaſſe, quid non præſtabit? Quid ſi ſuapte culpa ſcandalizetur, cum ſit infirmus? dicet aliquis. Propter hoc ipſum æquum fuerit, ut omnia feras. Si enim validus eſſet, nequaquam tali cura indigeret: jam verò, quoniam imperfectior eſt, ideirco multum in eum ſtudii conferendum eſt. Hoc igitur ei concedamus, cumque omni ex parte ſupportemus: non enim noſtrorum tantum malorum rationem reddemus, ſed eorum etiam quibus alios ſcandalizamus. Quòd ſi ipſa per ſe moleſta eſt exactio rationum, cum adjecta fuerint etiam ſcandala, quo pacto ſalvabimur? Ne putemus enim, ſi peccatorum conſortes repererimus, nos excuſationem habituros: hoc nobis pœnas accumulabit: quandoquidem graviùs quàm mulier punitus eſt ſerpens, quemadmodum & mulier graviùs quàm vir, & Jezabel acerbiores pœnas quàm Achab dedit, qui vineam eripuerat. Tu quoque ſi cæteris perditionis cauſa fueris, acerbiora patieris quàm illi qui à te fuerint ſupplantati: non enim tantam nobis id perniciem creat quòd peccemus, quam quòd alios ad id agendum impellamus: quamobrem ait, *Non ſolum id faciunt, ſed etiam conſentiunt facientibus.* Cùm igitur peccantes quoſdam viderimus, non modo non eos impellamus, ſed etiam

Gen. 3.
4. Reg. 9.
Rom. 1, 32.

κα. τυγχάνει· ἐχέτω τοίνυν καὶ ὀφθαλμὸς ὅρους καὶ κανόνας, ὥστε μὴ ἁπλῶς ἐπιπηδᾶν πᾶσι τοῖς περιπίπτουσι, καὶ ἡ γλῶσσα τειχίον ἐχέτω, ὥστε μὴ προτρέχειν τῆς διανοίας. διὰ γὰρ τοῦτο καὶ οἱ ὀδόντες καὶ τὰ χείλη πρὸς τὴν τῆς γλώττης ἀσφάλειαν δεδημιούργηνται, ἵνα μηδέποτε ἁπλῶς ἀναπετάσασα τὰς θύρας ἡ γλῶσσα ἐξίῃ, ἀλλ' ἐπειδὰν καλῶς τὰ καθ' ἑαυτὰ διαθῇ, τότε μετὰ πάσης εὐκοσμίας προΐῃ, καὶ τοιαῦτα προφέρῃ ῥήματα, ἵνα δῷ χάριν τοῖς ἀκούουσι, κἀκεῖνα φθέγγηται, ἃ πρὸς οἰκοδομὴν συντείνει τῶν ἀκουόντων. καὶ τὸν ἄτακτον δὲ γέλωτα πάντη ἐκκλίνειν δεῖ, καὶ τὸ βάδισμα ἤρεμον ἔχειν καὶ ἡσύχιον, καὶ τὴν στολὴν κατεσταλμένην, καὶ διὰ πάντων ἁπαξαπλῶς ῥυθμίζεσθαι προσήκει τὸν ἀποδυσάμενον εἰς τὸ τῆς ἀρετῆς στάδιον· καὶ γὰρ ἡ τῶν μελῶν τῆς ἔξωθεν εὐταξία εἰκών τίς ἐστι τῆς ἐν τῇ ψυχῇ καταστάσεως.

Ἐὰν εἰς τοιαύτην συνήθειαν ἐκ προοιμίων ἑαυτοὺς καταστήσωμεν, ἐνταῦθα βαδίζοντες λοιπὸν μετ' εὐκολίας, τὴν ὁδὸν ἅπασαν διανύσομεν, καὶ οὐδὲ πολλοῦ πόνου δεησόμεθα, καὶ πολλὴν ἐπισπασόμεθα τὴν ἄνωθεν ῥοπήν. οὕτω γὰρ διανηξόμεθα καὶ τὰ κύματα τοῦ παρόντος βίου μετ' ἀσφαλείας διαδραμεῖν, καὶ τὰς τοῦ διαβόλου παγίδας ἀνώτεροι καταστάντες, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Εἰς τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τό, πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καὶ ἕκαστος ὑπὲρ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.

ΕΝόμιζον μεγάλα τινὰ καὶ ὑπερφυῆ τῇ προτέρᾳ ἡμέρᾳ ὑμῖν εἰρηκέναι· καὶ γὰρ ἦν φύσει μεγάλα, καὶ πάντα ὑπερβαίνοντα λόγον· ἀλλ' ὅμως τὰ σήμερον λεχθέντα τοσαύτην ἔχει τὴν ὑπερβολὴν πρὸς ἐκεῖνα, ὅσην ἐκεῖνα πρὸς τὰ ἡμέτερα. καίτοιγε οὐκ ᾤμην αὐτὰ ἔχειν ὑπερβολήν· ἀλλ' ὅμως ἐπελθόντα τὰ σήμερον ἀναγνωσθέντα πολὺ πλέον ἐκείνων ἐφάνησαν λαμπρότερα. τίνα δέ ἐστι τὰ σήμερον ἀναγνωσθέντα; ὅτι πάντες μὲν παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ· γέγραπται γάρ, ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ. ἄρα οὖν, ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ. βλέπε, οὐκ εἶπεν ἁπλῶς προσκυνήσει ἕκαστος, ἀλλὰ καὶ ἐξομολογήσεται ἕκαστος, τουτέστιν, εὐθύνας δώσει τῶν πεπραγμένων. ἔσο τοίνυν, ἄνθρωπε, ἐναγώνιος πάντοτε τὸν κοινὸν δεσπότην ὁρῶν ἐπὶ τοῦ βήματος καθήμενον. καὶ μὴ σχίζε, καὶ μὴ μέριζε τὴν ἐκκλησίαν, τῆς χάριτος ἀπορρηγνύμενος. καὶ γὰρ ὁ Χριστὸς καί σε καὶ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ἀπαιτήσει λόγον· ἵνα δὲ μὴ δόξῃ ὡς ἐπίτηδες φοβῶν ἡμᾶς ταῦτα λέγειν, ἐκ τῆς προκειμένης ἀκολουθίας πάλιν ἔχεται τῆς αὐτῆς ὑποθέσεως, λέγων· μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ [illegible] τινὰ πρόσκομμα τῷ ἀδελφῷ [illegible] ἢ σκάνδαλον· τοῦτο γὰρ [illegible] ἐκείνου μᾶλλόν ἐστιν, ἢ τούτου. διὸ ἀμφοτέροις ἁρμόζειν δύναται, καὶ τοῦ τελείου σκανδαλιζομένου τῇ τῶν βρωμάτων παρατηρήσει, καὶ τοῦ ἀτελοῦς προσκόπτοντος ἐπὶ τῇ σφοδρᾷ ἐπιπλήξει. σὺ δέ μοι σκόπει, ἀγαπητέ, πόσην δώσομεν τιμωρίαν οἱ σκανδαλίζοντες ἁπλῶς· εἰ γὰρ ἔνθα παράνομον ἦν τὸ γινόμενον, διὰ τὸ ἀκαίρως ἐπιτιμᾶν, ἐκώλυσε τοῦτο γίνεσθαι, ὥστε μὴ σκανδαλισθῆναι καὶ προσκόψαι τὸν ἀδελφόν· ὅταν μηδὲ διορθοῦντες σκανδαλίζωμέν τινα, τίνος ἐσόμεθα ἄξιοι; εἰ γὰρ τὸ μὴ σῶσαι, ἔγκλημα, καὶ δείκνυσιν ὁ τὸ τάλαντον κατορύξας, τὸ σκανδαλίσαι τί οὐκ ἐργάζεται; τί οὖν ἐὰν οἴκοθέν φησι σκανδαλίζηται ἀσθενὴς ὤν; δι' αὐτὸ μὲν οὖν τοῦτο ἂν εἴη δίκαιον πάντα ὑπομένειν· εἰ γὰρ ἰσχυρὸς ἦν, οὐδὲ τοσαύτης ἐπιμελείας αὐτῷ ἔδει· νυνὶ δὲ ἐπειδὴ ἀτελέστερός ἐστι, διὰ τοῦτο πολλῆς χρήζει τῆς σπουδῆς. παρέχωμεν τοίνυν αὐτῷ τοῦτο, καὶ πανταχόθεν αὐτὸν διαβαστάζωμεν· οὐδὲ γὰρ τῶν οἰκείων κακῶν ὑφέξομεν λόγον μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν ἑτέρους σκανδαλίζομεν· εἰ δὲ ἐκεῖναι καθ' ἑαυτὰς χαλεπαὶ αἱ εὐθύναι, ὅταν καὶ τὰ σκάνδαλα προστεθῶσι, πότε σωθησόμεθα; μὴ γὰρ νομίσωμεν, εἰ κοινωνοὺς εὕροιμεν τῶν ἁμαρτημάτων, ὡς ἀπολογίαν ἕξομεν· τοῦτο ἡμῖν καὶ προσθήκη γενήσεται τιμωρίας· ἐπεὶ καὶ ὁ ὄφις μᾶλλον ἐκολάσθη τῆς γυναικός. ὥσπερ οὖν καὶ ἡ γυνὴ τοῦ ἀνδρός· καὶ Ἰεζάβελ δὲ χαλεπωτέραν ἔδωκε δίκην τοῦ Ἀχαὰβ ἁρπάσαντος τὸν ἀμπελῶνα· καὶ σὺ τοίνυν ὅταν αἴτιος ἑτέροις ἀπωλείας γένῃ, χαλεπώτερα πείσῃ τῶν ὑποσκελισθέντων παρὰ σοῦ. οὐδὲ γὰρ οὕτως τὸ ἁμαρτεῖν, ὡς τὸ καὶ ἑτέρους εἰς τοῦτο ἐνάγειν ἀπόλλυσι· διό φησιν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσιν· ὥστε ὅταν ἴδωμέν τινας ἁμαρτάνοντας, μὴ μόνον ὠθῶμεν αὐτούς, ἀλλὰ καὶ ἀνέλκωμεν

μεθα ἐκ τοῦ βόθρου τῆς πονηρίας· ἵνα μὴ τῆς ἑτέρων ἀπωλείας αὐτοὶ τὴν δίκην ὑπόσχωμεν. ἀλλὰ γὰρ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν. πάντες γάρ φησι παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καὶ λόγον δώσομεν τῷ Θεῷ· τί οὖν ποιήσομεν οἱ ἐν ἁμαρτίαις προδιδόντες ἑαυτοὺς ἑκόντες; ποίαν ἕξομεν τὴν παραψυχήν; ποίαν παραμυθίαν; πῶς ἐξιλεωσόμεθα τὸν φοβερὸν δικαστήν; πόσης αἰσχύνης πλησθησόμεθα, ὁρῶντες πρὸ ὀφθαλμῶν τὰς ἀσεβείας ἡμῶν; ὅμως ἐὰν θελήσωμεν νῦν διεγερθῆναι πρὸς τὰ Θεῷ ἀρεστά, δυνησόμεθα καὶ πάντα ἁμαρτήματα ἀπονίψασθαι, καὶ τὰ φοβερὰ ἐκεῖνα κριτήρια διαφυγεῖν. τοῦτο δὲ ἔσται, ἐὰν μνημονεύσωμεν διηνεκῶς τῆς ἐντεῦθεν ἀποδημίας τοῦ σώματος ἡμῶν· μιμνήσκου γάρ, φησι, τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις· ἔπειτα ἀναλογιζώμεθα τὸ φοβερὸν βῆμα τοῦ Χριστοῦ, ἐν ᾧ πάντα γυμνά, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν διανοίᾳ· ἔπειτα τὸν ποταμὸν τοῦ πυρός, τοὺς δεσμοὺς τοὺς ἀλύτους, τοῦ σκότους τοῦ ἀφεγγοῦς, τὸν βρυγμὸν τῶν ὀδόντων, τοῦ σκώληκος τὸν ἰοβόλον, τὴν ἡμέραν ἐκείνην, τὴν ὀδυνηρὰν μὲν τοῖς ἁμαρτωλοῖς, φαιδρὰν δὲ καὶ ἡδεῖαν τοῖς ἔργα δικαιοσύνης ἐπιτελέσασιν. ἀλλ' εἰσί τινες τῶν ἀνθρώπων τοσαύτης ἀνοίας πεπληρωμένοι, ὡς ψευδεῖς ἡγεῖσθαι τὰς θεοπνεύστους γραφάς· καὶ τὸ δίκαιον τοῦ Θεοῦ ἀλληγοροῦντες. ἀκήκοα γάρ τινων φιλαμαρτημόνων, καὶ ὑπὸ πολλῆς φιληδονίας κατεχομένων, λεγόντων τοιαῦτα· εἰ [φασὶν] ὁ Θεὸς πρὸς φόβον τῶν ἀνθρώπων ἠπείλησε ταῦτα· μὴ γένοιτο γάρ, ὅτι ἐλεήμων ὢν κολάσει τινά, καὶ μάλιστα τῶν ἐπεγνωκότων αὐτόν. ἀκούσατε οὖν οἱ ἀπολωλεκότες τὰς καρδίας ἄνθρωποι, οἱ τῇ * ὑποβολῇ τοῦ μισοκάλου πειθόμενοι, τοῦ χαίροντος ὑμῶν τῇ ἀπωλείᾳ· ἵνα γὰρ μὴ φοβηθέντες εἰς χρηστὸν βίον ἑαυτοὺς μεταβάλωμεν, καὶ φύγωμεν τῆς κολάσεως βασανιστήρια, διὰ τοῦτο εἰς ταύτην ἡμᾶς ἤγαγε τὴν ἀφοβίαν· ὅπως ἐνταῦθα ἀμελήσαντες, εἰς αὐτὸν τὸν τοῦ ᾅδου πυθμένα ἑαυτοὺς ἐμβάλωμεν. λέγετε οὖν μοι οἱ ψεύστην τὸν Θεὸν ἀποφαίνοντες, οἱ ῥήματα μόνον ψιλὰ τὰς ἁγίας γραφὰς λογιζόμενοι, καὶ οὐχὶ ἀλήθειαν, τί νομίζετε ὦ ἀνόητοι; οὐχ ὁ πλούσιος ἐκεῖνος κολάζεται, ὁ τὸν Λάζαρον ὑπερορῶν; οὐχὶ αἱ μωραὶ παρθένοι τοῦ νυμφῶνος ἐκβάλλονται; οὐχὶ οἱ μὴ θρέψαντες Χριστόν, εἰς πῦρ ἀπέρχονται τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; οὐχ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἐνδεδυμένος, χεῖρας καὶ πόδας δεθεὶς ἐκβάλλεται εἰς τὸ πῦρ; οὐχὶ ὁ τὰ ἑκατὸν δηνάρια ἀπαιτήσας παραδέδοται τοῖς βασανισταῖς, οὐ τὸ περὶ τῶν μοιχῶν εἰρημένον ἀληθινά ἐστιν, ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· ἢ ἀπειλαὶ μόνον ταῦτά εἰσι; ναί φασι. καὶ πόθεν, εἴπατέ μοι ἄθλιοι, πρᾶγμα τοιοῦτον τολμᾶτε ἀποφήνασθαι, καὶ ταῦτα οἴκοθεν φέροντες τὴν ἄδικον ψῆφον; ἐγὼ δὲ καὶ ἀφ' ὧν εἴρηκεν ὁ Χριστός, καὶ ἀφ' ὧν πεποίηκε τοὐναντίον ἀποδεῖξαι πειράσομαι. εἰ γὰρ περὶ τῶν μελλουσῶν κολάσεων οὐ πιστεύομεν, κἂν ἀπὸ τῶν ἤδη γεγενημένων πιστεύσωμεν. οὐ γὰρ δὴ τὰ γεγενημένα καὶ εἰς ἔργον ἐξελθόντα ἀπειλαὶ καὶ ῥήματά εἰσι μόνον. τίς οὖν τὴν οἰκουμένην κατέκλυσεν ἅπασαν ἐπὶ τοῦ Νῶε, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον εἰργάσατο, καὶ τὸ γένος ἡμῶν πανωλεθρίαν παντὸς ἐποίησε; τίς πάλιν μετὰ ταῦτα τοὺς κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; τίς τὴν Αἴγυπτον ἅπασαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατέστρωσε; τίς τὴν συναγωγὴν Ἀβειρὰμ κατέφλεξε; τίς τοὺς περὶ Κορὲ καὶ Δαθὰν ἀνοῖξαι τῇ γῇ τὸ στόμα καὶ καταπιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατηνάλωσεν ἐπὶ τοῦ Δαβίδ; τίς τὰς ἑκατὸν ἑβδομήκοντα πέντε χιλιάδας ἐν μιᾷ νυκτὶ ἐθανάτωσεν ἐπὶ τῆς προφητείας Ἡσαΐου; εἴπω καὶ τοὺς κατ' ἰδίαν κολασθέντας, τὸν διηνεκεῖ παραδοθέντα τιμωρίᾳ Κάϊν, τὸν καταλευσθέντα μετὰ παντὸς τοῦ γένους Χάρμιν, τὸν ὑπὲρ συλλογῆς ξύλων τὸ αὐτὸ παθόντα ἐν σαββάτῳ, τοὺς ἐπὶ Ἐλισσαίου τεσσαράκοντα καὶ δύο παῖδας τοὺς ὑπὸ τῶν θηρίων δαπανηθέντας, μηδὲ ἀπὸ τῆς ἡλικίας τυχόντας συγγνώμης; εἰ δὲ καὶ μετὰ τὴν χάριν τοιαῦτα ἰδεῖν ἐθέλοις, ἐννόησον ὅσα ἔπαθον οἱ Ἰουδαῖοι, πῶς τὰ ἴδια τέκνα κατέφαγον αἱ γυναῖκες αὐτῶν, αἱ μὲν ὀπτῶσαι, αἱ δὲ καὶ ἄλλως δαπανῶσαι. πῶς λιμῷ παρεδόθησαν ἀνηκέστῳ, καὶ πολέμοις ποικίλοις καὶ χαλεποῖς, ὡς πάσας τὰς ἔμπροσθεν τραγῳδίας ἀποκρύψαι τῇ τῶν οἰκείων ὑπερβολῇ συμφορῶν. ὅτι γὰρ ὁ Χριστὸς αὐτοὺς ταῦτα εἰργάσατο, ἄκουσον αὐτοῦ ταῦτα προλέγοντος, καὶ διὰ παραβολῶν καὶ σαφῶς καὶ ἀνακεκαλυμμένως. διὰ παραβολῶν μέν, ὡς ὅταν λέγῃ· τοὺς δὲ μὴ θέλοντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε καὶ κατασφάξατε. καὶ διὰ τοῦ ἀμπελῶνος, καὶ διὰ τοῦ γάμου. σαφῶς δὲ καὶ διαρρήδην, ὅταν λέγῃ ἀπειλῶν, ὅτι πεσοῦνται ἐν στόματι μαχαίρας, καὶ ἔσται συνοχὴ ἐπὶ τῆς γῆς ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου, καὶ ἔσται θλῖψις τοιαύτη, οἵα οὐ γέγονε πώποτε, οὐδὲ μὴ γένηται· καὶ ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα ὑπὲρ κλοπῆς ὀλίγων ἀργυρίων ὅσην ἔδωκαν δίκην, ἅπαντες ἴστε. τὰς δὲ καθημερινὰς συμφορὰς

ex improbitatis fovea extrahamus, ne perditionis aliorum à nobis pœnæ repetantur. Verumenimvero ad rem propoſitam revertamur: Omnes enim, inquit, ſtabimus ante tribunal Chriſti, & rationem Deo reddemus: quid igitur faciemus qui peccatis nos ultro dedidimus? quod ſolatium? quam conſolationem obtinebimus? quomodo judicem tremendum placabimus? quanto pudore confundemur, cùm noſtræ nobis impietates ob oculos verſabuntur? Veruntamen ſi jam erigere animos ad ea conſectanda voluerimus, quæ Deo ſunt accepta; cùm omnia poterimus abſtergere à nobis commiſſa peccata, tum illa tremenda tribunalia devitare. Id verò fiet, ſi corporis noſtri ex hac vita diſceſſus perpetuò recordemur: *Memorare namque noviſſima tua, & in æternum non peccabis*: [Eccl. 7, 40.] deinde tremendum Chriſti tribunal mente verſemus, in quo nuda ſunt omnia & aperta oculis ejus, quæ verbo, quæ opere, quæ cogitatione commiſerimus; deinde fluvium igneum, vincula indiſſoluta, tenebras lucis expertes, ſtridorem dentium, vermem venenatum, diem illum luctuoſum quidem peccatoribus, hilarem autem ac jucundum illis, qui juſtitiæ opera perfecerint. Sed homines ſunt quidam tanta dementia præditi, ut mendaces arbitrentur ſcripturas divinitùs inſpiratas: quique jus divinum per allegoriam interpretantur. Audivi enim quoſdam peccatis deditos, & amore ſummo voluptatis irretitos, hujuſmodi verbis utentes: Deus, inquiunt, ad timorem hominibus incutiendum hæc minatus eſt: abſit enim: ut qui miſericors eſt, quemquam puniat ex illis præſertim, qui eum agnoverunt. Audite igitur homines corde deſtituti, qui probitatis hoſtis ſuaſioni paretis, interitu veſtro gaudentis: ne enim timore perculſi nos ad meliorem vitam convertamus, & tormenta pœnarum evitemus, idcirco nobis hanc ſecuritatem invexit, ut hic omni cura vacui nos præcipites in ipſum inferni fundum agamus. Dicite igitur mihi, qui mendacem Deum aſſeritis, qui verba tantùm nuda ſcripturas ſacras, non veritatem reputatis, quid cenſetis ò ſtulti? nonne dives ille punitur, qui Lazarum contempſerat? [Luc. 16, 19.] nonne fatuæ virgines è ſponſi thalamo ejiciuntur? nonne qui Chriſtum non paverunt, in ignem diſcedunt, qui paratus eſt diabolo & Angelis ejus? nonne qui ſordidis fuit indumentis veſtitus, ligatis manibus ac pedibus in ignem ejicitur? nonne qui centum denarios repetierat, [Matt. 18, 8.] tortoribus eſt traditus? nonne quod dictum eſt de adulteris, verum eſt, quia vermis eorum non morietur, & ignis eorum non extinguetur: an minæ tantum ſunt iſta? Etiam, inquiunt. unde verò, quæſo, fit, o miſeri, ut rem talem aſſerere audeatis, idq; cùm injuſtam ſponte ſententiam feratis? ego verò cùm ex iis quæ dixit, tum ex iis quæ fecit Chriſtus, contrarium conabor oſtendere. Si enim de futuris pœnis non credimus, ſaltem ob ea quæ jam evenerunt, credamus: non enim ea quæ jam evenerunt, & in opus exierunt, minæ ſunt ac verba tantùm. Quis ergo Noë tempore totum terrarum orbem undis obruit, triſte naufragium illud invexit, univerſumque genus humanum omnino delevit? quis rurſus poſtea fulmina illa & turbines igneos in Sodomorum terram miſit? [Num. 16, 1.] quis Ægyptum omnem ſubmerſit? quis ſexcenta millia in deſerto proſtravit? quis congregationem Abiron incendit? quis, Core & Dathan ut aperto ore deglutiret, terræ mandavit? quis [Pſ. 105, 17.] ætate Davidis uno temporis momento millia ſeptuaginta perdidit? [Num. 16, 9.] quis centum ſeptuaginta quinque millia una nocte, cùm prophetaret Eſaias, interemit? Dicam & eos qui privatim puniti [2. Reg. 9. 24. 15.] ſunt, addictum perpetuo ſupplicio Cain, lapidatum cum omni genere ſuo Charmin, eum qui quòd in ſabbato ligna collegiſſet, idem paſſus eſt: quadraginta duos pueros quos Eliſæi tempore devorarunt feræ, neque propter ætatem veniam impetrarunt? Quòd ſi poſt legem gratiæ cernere id cupis, cogita quanta ſint paſſi Judæi: quo pacto liberos matres ipſorum comederint, hæ aſſatos, illæ alia ratione conſumptos: quo modo fame vexati ſint intolerabili, belliſque variis ac moleſtis, ſic ut omnes priorum temporum tragicos caſus calamitatum ſuarum acerbitate ſuperarint. Ut enim ſcias hæc in eos Chriſtum immiſiſſe, prædicentem hæc, illud auditum per parabolas, tum clarè & apertè. Per parabolas quidem, ut cum ait, *Eos autem, qui noluerunt me regnare ſuper ſe, adducite huc & interficite*: [Luc. 19, 27.] itemque per vineam & per nuptias; clarè verò ac dilucidè, [Luc. 21, 24.] veluti cùm minans ait, Et cadent in ore gladii, & erit in terris preſſura gentium in anxietate, reſonante mari, & ſalo, exanimatis hominibus præ timore, & erit tribulatio talis qualis non fuit unquam, neque fiet. Ananias etiam & Sapphira [Act. 5, 1.] quas ob paucorum argenteorum furtum pœnas dederint, noſtis omnes: quotidianas autem calamitates quas feramus,

qui peccata committimus, nonne cernitis? an verò hæc ipſa non evenerunt? nonne videtis eos qui nunc etiam ſame contabeſcunt? qui elephantiaſi & probro corporis detinentur, qui perpetua degunt in egeſtate, qui mille graviſſimis & intolerandis malis affliguntur? quonam igitur pacto æquum fuerit quoſdam puniri, quoſdam vero non puniri? Nam ſi injuſtus non eſt Deus, ut profectò injuſtus non eſt, omnino tu quoque pœnas dabis ſi peccaveris: ſin autem, quia benignus eſt, Deus non punit: ne hos quidem puniri oportebat: jam vero propter hæc inepta veſtra verba multos hic etiam punit Deus, ut cum minarum verbis non credatis, ſaltem rebus ipſis pœnarum credatis: & quoniam non ita vobis antiqua timorem incutiunt, quæ ſingulis generationibus accidunt, his ſaltē credatis. quos ſi iis temporibus cum negligenter ſe gererent, conſtat eſſe correctos. Quare vero non omnes hic punit, dicet aliquis? Ut aliis ſpatium det pœnitentiæ. Cur autem non illic omnes caſtigat? ne multi ejus providentiā non credant. Quàm multi latrones alii quidem damnati ſunt, alii vero non affecti ſupplicio abierunt? ubi ergo Dei benignitas & juſtum judicium? meum enim eſt te interrogare. Nam ſi nullus prorſus puniretur, poſſent ad hoc quidem confugere: cùm vero alii quidem pœnas dent, alii vero non dent, tametſi pejora peccata committant, quomodo juſtum eſſet, ut cùm non eadem eſſent delicta, pœnæ tamen eædem luerentur? non enim illis injuria fieri videretur, qui puniuntur? Cur non igitur, inquit, omnes hic plectuntur? audi Dominum ipſum hac de re ſic tibi ſatisfacientem. Nam quia mortem obierant turri deturbata quidam, illis, qui ſuper his

Luc. 13, 3. dubitationem afferebant, dicebat; *Putatis, quia hi ſoli peccatores præter omnes ſint? Non dico vobis: ſed ſi pœnitentiam non habueritis, omnes ut ipſi peribitis:* admonens nos ac docens, ne nimium confidamus, cùm aliis dantibus pœnas ipſi multis commiſſis delictis non damus: niſi enim pœnitentiam agamus, omnino dabimus. Verum qui fit, ut in æternum puniamur, dicet aliquis: cum hic brevi tempore peccaverimus? Ut nimirum hic etiam vir aliquis brevi momento temporis una cæde patrata ad perpetuas metallorum miſe-

Ioan. 5, 5. rias damnatur. At enim ita non agit Deus, inquit. Quomodo igitur annos triginta octo paralyticum in tali ſupplicio detinuit? etenim ob peccata punitum illum ab eo fuiſſe ut noveris, audi quid dicat: *Ecce ſanus factus es: jam noli peccare, ne deterius tibi aliquid contingat.* Veruntamen finem accepit, inquit: at non talia ſunt quæ illic fiunt, ut enim ſcias illa nunquam finem acceptura, ipſum dicen-

Eſa 66, 24. tem audi: *Vermis eorum non morietur, & ignis eorum non extingue-*

Marc 9, 44. *tur, & ibunt hi in vitam æternam, & illi in ſupplicium æternum.* Si

Matt. 25, 46. ergo vita eſt æterna, & ſupplicium æternum, non vides quanta Judæis minatus ſit? num ea quæ minatus fuerat, evenerunt, an verò fuerunt verba quæ dixerat? & rurſus: Non remanebit lapis ſuper lapidem: num remanſit? quid vero, quod dixit, Erit tribulatio, qualis nunquam fuit: nunquid igitur non fuit? Lege hiſtoriam Joſephi, & ne reſpirare quidem poteris, dum quanta illi reipſa paſſi fuerint, audies: ait enim tragicos omnes caſus illa mala ſuperaſſe, nec ullum unquam tale bellum nationem ullam invaſiſſe. Hæc à me dicuntur, non ut dolorem vobis inuram, ſed ut tutos vos reddam, & non ſuperfluè blandiens efficiā, ut multo graviora patiamini. Cur enim quæſo dignum eſſe non judicas, ut, cùm pecces, puniaris? nonne tibi cuncta prædixit? nonne minatus eſt? nonne ſubſidium tulit? nonne tuæ ſalutis cauſa innumera præſtitit? nonne lavacrum regenerationis largitus eſt, & omnia priora dimiſit? nonne poſt hanc remiſſionem, & lavacrum & auxilium ex pœnitentia rurſus peccanti conceſſit? nonne facilem etiam poſtea reddidit viam remiſſionis peccatorum? Audi ergo qualia etiam præceperit. Si dimiſeris proximo, tibi ego

Eſa. 1, 17. quoque dimitto, inquit: quam habet hoc difficultatem? *Si judicetis pupillum, & juſtificetis viduam, venite, & diſputemus,* inquit, *Et ſi fuerint peccata veſtra quaſi phœniceum, ſicut nivem dealbabo:* quid

Eſa. 43, 26. in hoc eſt laboris? *Dic tu,* inquit, *peccata tua primus, ut juſtificeris:*

Dan. 4, 24. quid in hoc eſt difficultatis? *Peccata tua eleemoſynis redime:* quis

Luc. 18, 13. hoc grave cenſeat? Publicanus dixit, *Propitius eſto mihi peccatori,* & deſcendit juſtificatus: quis labor publicanum imitari? At neque poſt tot tantaſque demonſtrationes, ſupplicium & pœnam eſſe vis credere? nec igitur diabolum puniri dicere potes. *Diſcedite* nam-

Matt. 25, 41. que, inquit, *in ignem æternum, qui paratus eſt diabolo & Angelis ejus.* Si enim gehenna non eſt, nec ille punitur, ſi vero ille punitur, nos quoque puniri liquet, qui perficimus opera ejus: nam & nos minimè obtemperavimus, tametſi non eiſdem in factis. Quî fit autem, ut non timeas, ô homo, dum ſic audacter loqueris, cum dicis; Benignus eſt, & non punit: quòd ſi puniat, ſecundum te non jam amplius benignus eſſe reperitur, vides ad quænam verba diabolus vos impellat? Quid verò monachi illi, qui montes occuparunt, qui millies ſe religioſæ vitæ laboribus exercuerunt in montibus, in ſpeluncis & cavernis terræ: num corona minimè donati abibunt? Nam ſi mali non puniuntur, neq; rei ullius eſt retributio, dicet rurſus aliquis, neq; boni

A οὐχ ὁρᾶτε, ὅσας ὑποφέρομεν ἁμαρτάνοντες, ἢ οὐδὲ ταῦτα γεγένηται; οὐχ ὁρᾶτε, καὶ νῦν τοὺς λιμῷ τηκομένους, τοὺς ἐλεφαντιάσει καὶ λώβῃ σώματος κατεχομένους, τοὺς ἐν πενίᾳ διηνεκεῖ συζῶντας, τοὺς μυρία ἀνήκεστα καὶ θλιβερὰ πάσχοντας; πῶς οὖν ἀνέχοι λόγον τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; εἰ γὰρ οὐκ ἄδικος ὁ Θεὸς, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ δίκην δώσεις ἁμαρτάνων· εἰ δὲ, ἐπειδὴ φιλάνθρωπός ἐστιν ὁ Θεὸς, οὐ κολάζει, οὐδὲ τούτους ἔδει

B κολασθῆναι· νυνὶ δὲ διὰ ταῦτα ὑμῶν τὰ ψυχρὰ ῥήματα, πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ Θεὸς· ἵνα εἰ τοῖς ῥήμασι μὴ πιστεύσητε τῆς ἀπειλῆς, κἂν τοῖς πράγμασι πιστεύσητε τῆς τιμωρίας. καὶ ἐπειδὴ τὰ παλαιὰ οὐχ οὕτως ὑμᾶς φοβεῖ, τὰ ἐφ᾽ ἑκάστης γενεᾶς συμβαίνοντα, κἂν τούτοις πιστεύσητε, οὓς κατὰ καιρὸν διορθοῦται ῥαθυμοῦντας. καὶ τίνος ἕνεκεν οὐ πάντας ἐνταῦθα κολάζει, φησίν; ἵνα δῷ τοῖς ἄλλοις προθεσμίαν μετανοίας. τίνος οὖν ἕνεκεν οὐ πάντας τιμωρεῖται ἐκεῖ;

C ἵνα μὴ πολλοὶ διαπιστήσωσιν αὐτοῦ τῇ προνοίᾳ. πόσοι λῃσταὶ οἱ μὲν ἑάλωσαν, οἱ δὲ ἀπῆλθον μὴ δόντες δίκην, ποῦ τοίνυν ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ ἡ δικαιοκρισία; ἐμὸν γάρ ἐστιν ἐρέσθαι σε· εἰ μὲν γὰρ μηδεὶς ὅλως ἐτιμωρεῖτο, εἶχον ἐπὶ τοῦτο καταφυγεῖν· ὅταν δὲ οἱ μὲν δῶσι δίκην, οἱ δὲ μὴ δῶσι, καίτοι χείρονα ἁμαρτάνοντες, πῶς ἂν ἔχοι τοῦτο λόγον μὴ τῶν αὐτῶν πλημμελημάτων τὰς αὐτὰς εἶναι δίκας; πῶς δὲ οὐκ ἂν δόξαιεν ἀδικεῖσθαι οἱ κολασθέντες; τίνος οὖν

D ἕνεκεν, φησὶν, οὐ πάντες ἐνταῦθα κολάζονται; ἄκουσον αὐτοῦ περὶ τούτων σοι ἀπολογουμένου· ἐπειδὴ γὰρ ἀπέθανόν τινες πύργου καταχωσθέντος, ἔλεγε τοῖς ὑπὲρ τούτων διαπορῶσι· δοκεῖτε, ὅτι οὗτοι μόνοι ἁμαρτωλοὶ παρὰ πάντας εἰσίν; οὐχὶ λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοήσητε καὶ ὑμεῖς, πάντες ὡς αὐτοὶ ἀπολεῖσθε· παραινῶν ἡμῖν καὶ διδάσκων μὴ θαρρεῖν, ὅταν ἑτέρων δόντων δίκην, ἡμεῖς πολλὰ πλημμελήσαντες μὴ δῶμεν· ἂν γὰρ μὴ μετανοῶμεν,

E δώσομεν πάντως. καὶ πῶς, φησὶν, ἀθάνατα κολαζόμεθα ἐνταῦθα βραχὺν χρόνον ἁμαρτόντες; ὥσπερ δὴ καὶ ἐνταῦθα εἷς ἄνθρωπος ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἕνα φόνον ποιῶν τῇ τῶν μετάλλων διηνεκεῖ καταδικάζεται ταλαιπωρίᾳ. ἀλλ᾽ ὁ Θεὸς οὐχ οὕτω, φησί. πῶς οὖν τριάκοντα ὀκτὼ ἔτη ἐν τοιαύτῃ κολάσει τὸν παραλυτικὸν κατεῖχεν; ὅτι γὰρ διὰ ἁμαρτήματα αὐτὸν ἐκόλαζεν, ἄκουσον τί φησιν· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε· ἵνα μὴ χεῖρόν σοί τι γένηται·

A ἀλλ᾽ ὅμως ἔλαβε λύσιν, φησίν· ἀλλ᾽ οὐ τὰ ἐκεῖ τοιαῦτα· ὅτι γὰρ ἐκεῖνα οὐκ ἕξει λύσιν ποτὲ, ἄκουσον αὐτοῦ λέγοντος, ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ πορεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον. εἰ τοίνυν ἡ ζωὴ αἰώνιός ἐστι, καὶ ἡ κόλασις αἰώνιος, οὐχ ὁρᾷς πόσα ἠπείλησε τοῖς Ἰουδαίοις; ἆρα ἐξέβη τὰ ἠπειληθέντα, ἢ λόγος ἦν τὰ εἰρημένα; καὶ πάλιν, οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον· ἆρα ἔμεινε; τί δὲ ὅτι εἶπεν, ἔσται

B θλίψις, οἵα οὐ γέγονε πώποτε. ἆρα οὖν οὐκ ἐγένετο; ἀνάγνωθι τὴν ἱστορίαν τοῦ Ἰωσήππου, καὶ οὐδὲ ἀναπνεῦσαι δυνήσῃ ἀκούων, ἅπερ ἔπαθον ἐπὶ τῶν πραγμάτων ἐκείνων. φησὶ γὰρ, ὅτι πᾶσαν ἐνίκησε τραγῳδίαν ἐκεῖνα τὰ δεινὰ, καὶ ὅτι πόλεμος οὐδεὶς οὐδέ ποτε τοιοῦτος ἔθνος κατέλαβε. ταῦτα λέγω οὐχ ἵνα ὑμᾶς λυπήσω· ἀλλ᾽ ἵνα ὑμᾶς ἀσφαλίσωμαι, καὶ μὴ ψυχαγωγήσας ὑμᾶς περιττὰ, παρασκευάσω χαλεπώτερα ὑπομεῖναι. διὰ τί γὰρ, εἰπέ

C μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτάνων; οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠπείλησεν; οὐχὶ ἐφρόντισεν; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ τῆς σωτηρίας τῆς σῆς; οὐχὶ λουτρὸν παλιγγενεσίας ἐδωρήσατο, καὶ τὰ πρότερα πάντα ἀφῆκεν; οὐχὶ μετὰ τὴν ἄφεσιν ταύτην καὶ τὸ λουτρὸν καὶ τὴν ἐκ τῆς μετανοίας βοήθειαν πάλιν ἁμαρτάνοντί σοι δέδωκεν; οὐχὶ εὔκολόν σοι ἐποίησε τὴν ὁδὸν, καὶ μετὰ ταῦτα τῆς τῶν ἁμαρτημάτων ἀφέσεως; ἄκουε τοίνυν καὶ οἷα ἐπέταξεν· ἐὰν ἀφῇς τῷ πλησίον, ἀ-

D φίημί σοι κἀγώ, φησί. ποίαν τοῦτο δυσκολίαν ἔχει; ἐὰν κρίνητε ὀρφανὸν, δικαιώσητε χήραν, δεῦτε καὶ διαλεχθῶμεν, φησὶ, καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ποῖον τοῦτο ἔχει μόχθον; λέγε σὺ, φησὶ, τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς· τίνα τοῦτο δυσκολίαν ἔχει; τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι; ποῖος τοῦτο ἱδρώς; εἶπεν ὁ τελώνης, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ κατῆλθε δεδικαιωμένος. ποῖος πόνος μι-

E μήσασθαι τὸν τελώνην; ἀλλ᾽ οὐ βούλει πεισθῆναι οὐδὲ μετὰ τὰς τοσαύτας ἀποδείξεις, ὅτι κόλασίς ἐστι καὶ τιμωρία; οὐκοῦν οὐδὲ τὸν διάβολον εἴποις ἂν κολάζεσθαι· πορεύεσθε γάρ φησιν εἰς τὸ πῦρ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. εἰ γὰρ γέεννα οὐκ ἔστιν, οὐδὲ ἐκεῖνος κολάζεται· εἰ δὲ ἐκεῖνος κολάζεται, δῆλον ὅτι καὶ ἡμεῖς οἱ τὰ τούτου ἔργα ἐπιτελοῦντες, κολασθησόμεθα· καὶ γὰρ καὶ ἡμεῖς παρηκούσαμεν, εἰ καὶ μὴ ἐπὶ τοῖς αὐτοῖς. πῶς δὲ οὐ δέδοικας ἄνθρωπε τολμηρὰ φθεγγόμενος, ὅταν λέγῃς, ὅτι φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ οὐ κολάζει· καὶ ἐὰν κολάσῃ, εὑρίσκεται κατὰ σὲ οὐκ ἔτι φιλάνθρωπος ὤν; ὁρᾷς εἰς οἷα ῥήματα ὑμᾶς ὁ διάβολος ἄγει; τί δὲ οἱ τὰ ὄρη κατειληφότες μοναχοὶ, καὶ μυρίαν ἄσκησιν ἐπιδειξάμενοι ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἆρα ἀστεφάνωτοι ἀπελεύσονται; εἰ γὰρ οἱ πονηροὶ μὴ κολάζονται, μηδὲ ἔστι μηδενὸς ἀντίδοσις. ἐρεῖ πάλιν ἄλλος ἴσως, ὅτι οὔτε οἱ ἀγαθοὶ στεφα-

στεφανοῦνται. οὐχί φησιν, ἀλλὰ τοῦτο τῷ Θεῷ πρέπον ἐστί, τὴν βασιλείαν μόνην εἶναι παρ' αὐτῷ, καὶ μὴ γέενναν. οὐκοῦν ὁ πόρνος καὶ ὁ μοιχὸς καὶ ὁ μυρία κακὰ ἐργασάμενος τῶν αὐτῶν ἀπολαύσεται τῷ σωφροσύνην καὶ ἁγιωσύνην καὶ ἐγκράτειαν καὶ πᾶσαν ἀγγελικὴν πολιτείαν ἐπιδειξαμένῳ· εἰ δὲ μὴ ἔστι γέεννα, ἀνάστασις δὲ πάντως ἔσται, καὶ οἱ πονηροὶ τῶν αὐτῶν ἀγαθῶν τεύξονται τοῖς δικαίοις· καὶ τίς ἂν τοῦτο εἴποι καὶ τῶν σφόδρα ἐξεστηκότων ἀνθρώπων; μᾶλλον δὲ τίς ἂν τοῦτο εἴποι δαίμων; ἀλλὰ καὶ αὐτοὶ οἱ δαίμονες γέενναν ὁμολογοῦσιν εἶναι· διὸ καὶ ἐβόων λέγοντες, ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; πῶς οὖν οὐ δέδοικας καὶ φρίττεις, ἄνθρωπε, τῶν δαιμόνων ὁμολογούντων, αὐτὸς ἀρνούμενος; πῶς δὲ οὐ συνορᾷς τὸν διδάσκαλον τῶν πονηρῶν τούτων δογμάτων; ὁ γὰρ τὸν ἐξ ἀρχῆς ἀπατήσας ἄνθρωπον, καὶ προτείνας μειζόνων ἐλπίδα, καὶ τῶν ἐν χερσὶν ἐκβαλὼν αὐτὸν ἀγαθῶν, οὗτός ἐστιν ὁ καὶ νῦν ταῦτα ὑποβάλλων λέγειν τε καὶ νοεῖν, καὶ διὰ τοῦτο πείθει τινὰς ὑποπτεύειν μὴ εἶναι γέενναν, ἵνα ἐμβάλῃ εἰς γέενναν. καὶ γὰρ ὁ Θεὸς ἀπεναντίας ἀπειλεῖ γέενναν, καὶ ἡτοίμασε γέενναν, ἵνα ἡμεῖς μαθόντες, οὕτως εὐσεβῶς βιώσωμεν ὥστε μὴ ἐμπεσεῖν εἰς γέενναν. καίτοι γε εἰ γεέννης οὔσης ὁ διάβολός σε ταῦτα ἀναπείθει, πῶς ἂν μὴ οὔσης ὡμολόγησαν οἱ δαίμονες, οἷς περισπούδαστόν ἐστι μηδὲν τοιοῦτον ὑποπτεύειν ἡμᾶς· ἵνα τῇ ἀδείᾳ γενόμενοι ῥαθυμότεροι, μετ' αὐτῶν εἰς τὸ πῦρ ἐκεῖνο ἐμπέσωμεν; καὶ πῶς, φησί, τοῦτο ὡμολόγουν οἱ δαίμονες; τὴν ἀνάγκην οὐ φέροντες τὴν ἐπικειμένην αὐτοῖς. ἅπερ οὖν ἐννοοῦντες ἅπαντα, παυσάσθωσαν καὶ ἑαυτοὺς καὶ ἑτέρους ἀπατῶντες οἱ ταῦτα λέγοντες· ὁ Θεὸς γάρ, φησιν, ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά· πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. καὶ τίνες εἰσὶν οἱ ἐχθροὶ τοῦ Θεοῦ, ἀλλ' οἱ πόρνοι, οἱ μοιχοί, οἱ ἀρσενοκοῖται, οἱ μαλακοί, οἱ εἰδωλολάτραι, οἱ πλεονέκται, οἱ μέθυσοι, οἱ ἐπίορκοι, οἱ γογγυσταί, οἱ ὀργίλοι, οἱ μνησίκακοι, οἱ ὑπερήφανοι, οἱ ἀλαζόνες, οἱ τοῖς γονεῦσιν ἀπειθεῖς, οἱ ἀνελεήμονες, τούτοις πᾶσιν ἐν τῇ φοβερᾷ τῆς κοινῆς ἀναστάσεως ἡμέρᾳ παρακελεύεται ὁ κριτὴς λέγων, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. εἰ δὲ περὶ τούτων τῶν εἰρημένων δώσομεν δίκην· πολλῷ μᾶλλον ὑπὲρ τῶν ῥημάτων τούτων δώσουσιν εὐθύνας ἐπὶ τοῦ βήματος ἐκείνου τοῦ φοβεροῦ οἱ τὰ φοβερὰ καὶ φρικώδη διασύροντες τοῦ Χριστοῦ ἐντάλματα, καὶ πολλῶν τὸν τόνον τῶν σπουδάζειν βουλομένων ἐκλύοντες, καὶ οὐδὲ τοὺς βαρβάρους Νινευΐτας μιμούμενοι. ἐκεῖνοι γὰρ καίτοι τούτων πάντων ὄντες ἄπειροι, ἀκούσαντες, ὅτι ἡ πόλις καταστραφήσεται, οὐ μόνον οὐκ ἠπίστησαν, ἀλλὰ καὶ ἐστέναξαν, καὶ σάκκον περιεβάλοντο καὶ συνεχύθησαν· καὶ οὐ πρότερον ἀπέστησαν πάντα ποιοῦντες, ἕως ἂν ἔλυσαν τὴν ὀργὴν καὶ τὴν ἀγανάκτησιν τοῦ Θεοῦ. σὺ δὲ ὁ Χριστιανὸς ὁ τοσαύτην λαβὼν πεῖραν πραγμάτων καὶ ῥημάτων, ἐξουθενεῖς τὰ εἰρημένα ὑπὸ τοῦ Χριστοῦ; οὐκοῦν ἔσται σοι τὰ ἐναντία· ὥσπερ γὰρ οἱ Νινευΐται φοβηθέντες τὰ ῥήματα οὐχ ὑπέμειναν τὴν ἀπὸ τῶν πραγμάτων πεῖραν· οὕτω καὶ σὺ ἀπὸ τῶν ῥημάτων καταφρονῶν ἀπειλῆς τὴν ἀπὸ τῶν πραγμάτων ὑποστήσῃ κόλασιν. οὐχ ὁρᾷς τί πεποίηκεν ἐνταῦθα ὁ Χριστός; πῶς δύο λαβὼν λῃστὰς οὐ τῶν αὐτῶν αὐτοὺς ἠξίωσεν, ἀλλὰ τὸν μὲν εἰς βασιλείαν εἰσήγαγε, τὸν δὲ εἰς γέενναν ἔπεμψε; καὶ τί λέγω λῃστὴν καὶ ἀνδροφόνον; οὐδὲ γὰρ τοῦ μαθητοῦ αὐτοῦ ἐφείσατο, ἐπειδὴ προδότης ἐγένετο, ἀλλὰ καὶ ἐπὶ βρόχον ὁρῶν ὁρμῶντα αὐτὸν καὶ ἀγχόμενον καὶ μέσον ῥηγνύμενον· καὶ γὰρ ἐλάκησε μέσος καὶ τὰ σπλάγχνα αὐτοῦ ἐξεχύθη πάντα. ἀλλ' ὅμως ἅπαντα ταῦτα παθεῖν αὐτὸν συνεχώρησεν, ἀπὸ τῶν παρόντων πείθων σε καὶ περὶ τῶν ἐκεῖ πάντων. μὴ τοίνυν φενακίζητε ἑαυτούς, ἄνθρωποι, τῷ διαβόλῳ πειθόμενοι· ἐκείνου γάρ εἰσι ταῦτα τὰ νοήματα. εἰ γὰρ δικασταὶ καὶ δεσπόται, καὶ διδάσκαλοι, καὶ ἥμεροι καὶ βάρβαροι, τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονηροὺς κολάζουσι, πῶς ἂν ἔχοι λόγον παρὰ τῷ Θεῷ τὰ ἐναντία γίνεσθαι, καὶ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς ἀγαθοὺς καὶ τοὺς πονηρούς; πότε δὲ καὶ ἀπαλλαγήσονται τῆς κακίας οἱ πονηροί; ὅταν γὰρ προσδοκῶσι νῦν κόλασιν καὶ μεταξὺ τοσοῦτον φόβον ἔχωσι τὸν ἀπὸ τῶν δικαστῶν καὶ τῶν νόμων, καὶ οὐκ ἀφίστανται τῆς πονηρίας· ὅταν ἀπελθόντες ἐκεῖ καὶ τὸν φόβον τοῦτον ἀποθῶνται, καὶ μὴ μόνον εἰς γέενναν οὐκ ἐμπέσωσιν, ἀλλὰ καὶ βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι στήσονται; τοῦτο οὖν φιλανθρωπίας εἰπέ μοι τὸ τὴν πονηρίαν ἐπιτείνειν; τὸ τῇ κακίᾳ ἆθλον τιθέναι; τὸ τῶν αὐτῶν ἀξιοῦν τὸν σώφρονα καὶ τὸν ἀκόλαστον, τὸν πιστὸν καὶ τὸν ἀσεβῆ, τὸν ἐλεήμονα καὶ τὸν ἀπάνθρωπον; εἰ μὲν γὰρ μηδὲν μέλει τῷ Θεῷ μήτε ἁμαρτανόντων ἡμῶν μήτε κατορθούντων, ἴσως ἔχει τινὰ λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν· εἰ δὲ τοσαύτην σπουδὴν ποιεῖται ὁ Θεός, ὥστε μηδὲν ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται, ὥστε κατορθοῦν ἡμᾶς τὰς ἐντολάς, εὔδηλον ὅτι καὶ ἁμαρτάνοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ. σὺ δέ μοι σκόπει τῶν πολλῶν τὴν ἀνωμαλίαν· ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι τῷ Θεῷ.

A coronantur. Nequaquam, inquit: ſed hoc Deo conveniens eſt, ut apud eum ſit regnum ſolum & non gehenna. Itaque fornicator, & adulter, & qui ſexcenta ſcelera patravit, iiſdem rebus perfruetur cum eo qui temperantiam, ſanctitatem, continentiam, & omnem Angelicam converſationem exhibuit? quod ſi non ſit gehenna, reſurrectio verò planè futura eſt, mali quoque bona eadem quæ juſti conſequentur. Quis hoc dicere audeat vel etiam ex iis quibus mens eſt penitus de ſanitate deturbata? imò verò quis unquam dæ-
B mon hoc dixerit? Enimverò ipſi etiam dæmones gehennam eſſe confitentur, & clamabant dicentes: *Veniſti huc ante tempus torquere nos?* Matt. 8, 29 Quomodo igitur non vereris & perhorreſcis, ô homo, negare, dum dæmones confitentur? quomodo pravorum hujuſmodi dogmatum magiſtrum non animadvertis? qui enim principem generis noſtri hominem decepit, & majori ſpe propoſita bonis eum ejecit, quæ in manibus erant, hic eſt qui nunc iſta ſuggerit dicenda vel cogitanda, & idcirco perſuadet ut ſuſpicentur quidam non eſſe
C gehennam, ut injiciat in gehennam. Deus enim ex adverſo gehennam minatur, & gehennam paravit, ut cùm nos id noverimus, ita piè vivamus, ut in gehennam non incidamus. Quanquam ſi cum ſit gehenna, hæc diabolus tibi perſuadet, quomodo dæmones eam confeſſi ſunt, cùm non eſſet, quibus id eſt maximè curæ, ut nos nihil tale ſuſpicemur: quò ſecuritate negligentiores effecti cum ipſis in ignem illum incidamus? Qui factum eſt autem, dicet aliquis, ut tum dæmones faterentur, quippe qui neceſſitatem ipſis incumbentem
D minimè ferrent? Quæ quidem omnia mente verſantes deſinant & ſeipſos & alios fallere, qui hæc dicunt: *Deus* enim, inquit Propheta, *manifeſtè veniet, Deus noſter, & non ſilebit.* Pſal. 49, 3. *Ignis in conſpectu ejus exardeſcet: & in circuitu ejus tempeſtas valida.* Pſal. 96, 3. Ignis ante ipſum præcedet, & inflammabit in circuitu inimicos ejus. Quinam porro ſunt inimici Dei, niſi fornicatores, adulteri, maſculorum concubitores, molles, idololatræ, avari, ebrioſi, perjuri, murmuratores, iracundi, memores injuriarum, ſuperbi, elati, parentibus non
E obedientes, immiſericordes? his omnibus in tremenda communis reſurrectionis die judex imperat, dicens. *Diſcedite a me maledicti in ignem æternum, qui paratus eſt diabolo & Angelis ejus.* Mat. 25, 41. Quòd ſi propter ea, quæ dicta ſunt, pœnas dabimus, multo magis ob iſta verba coram illo formidabili tribunali plectentur, qui tremenda venerandaq; Chriſti mandata derident, ac multorum ſtudium & contentionem infringunt, qui ſerio rem agere ſtatuerunt, neque barbaros Ninivitas imitantur. Illi enim licet horum omnium eſſent ignari,
A cùm everſum iri civitatem audiſſent, non modo credere non recuſarunt, & ſacco amicti ſunt & perturbati ſunt, neque priùs omnem lapidem movere deſtiterunt, quàm tandem iram & indignationem Dei mitigarunt. At tu qui Chriſtianus es, tot rerum atque verborum edoctus experientia, quæ dicta ſunt à Chriſto, nihili facis? Nimirum ergo tibi contraria contingent: nam quemadmodum Ninivitæ cùm verbis territi eſſent, rerum ipſarum eventum paſſi non ſunt: ſic & tu cùm minas verbis intentatas contemnas, illatum re
B ipſa ſupplicium ſuſtinebis. Non vides quid hìc quoque fecerit Chriſtus? quomodo cùm duos latrones accepiſſet, non eodem illos modo tractaverit, ſed hunc quidem in regnum introduxerit, illum autem in gehennam miſerit? quid dico latronem & homicidam? neque enim diſcipulo ſuo pepercit, cùm traditor factus eſſet: ſed & cùm ad laqueum properantem eum videret & ſuſpenſum, mediumque diſruptum: ſiquidem *crepuit medius, & diffuſa ſunt omnia viſcera ejus:* Act. 1, 18. veruntamen hæc illum omnia pati permiſit,
C ut ex iſtius vitæ rebus de his quæ ad alterã pertinent, omnibus te doceret. Nolite igitur vobis ipſis ô homines fucum facere, Diabolo obtemperantes: hæc enim ſunt illius conſilia: Quòd ſi judices, domini, ac magiſtri, cùm manſueti tum barbari, bonos honoribus proſequuntur, malos puniunt: qui poteſt rationi conſentaneum videri, ut apud Deum contraria fiant, iiſdemq; rebus cùm boni tum mali digni cenſeantur? Quando verò mali ab improbitate revocabuntur? cùm enim nunc ſupplicium expectent, atque interea tanto judicum le-
D gumque timore percellantur, nec tamen ob improbitate diſcedunt: cùm illuc profecti metum etiam iſtum abjecerint, & non ſolùm in gehennam non inciderint, ſed etiam regnum fuerint aſſequuti, qua tandem ratione poterunt ob improbitate revocari? An hoc igitur benignitatis eſt, dic quæſo, malitiam augere, ac vitiis præmium proponere? iiſdem rebus dignum cenſere temperantem & libidinoſum, fidelem & impium, miſericordem & inhumanum? Nam ſiquidem nihil Deo curæ ſunt, neque qui peccant, neque
E qui rectè agunt, conſentaneum fortaſſe rationi videtur dicere ſupplicium non eſſe; ſin autem tantum adhibet ſtudium Deus, ut nos minimè peccemus, ac tanquam elaborat, ut nos mandata ſervemus, hoc quoque manifeſtum eſt, eum & peccantes, & rectè agentes coronare. Tu vero plerorumque inconſtantiam mihi conſidera: hic enim cum Deo expoſtulant,

quòd ſæpe patienter toleret & negligat multos ſceleſtos, protervos, avatos, qui non puniuntur: illic rurſus ſi caſtigaturum ſe illos minetur, acres ſunt in accuſando & importuni: quanquam ſi hoc moleſtum eſt, illud certè probandum erat atque laudandum: at o ſtultitiam! o ineptam & impudentem mentem! o animam peccatis addictam, voluptatibus obnoxiam, & ad vitia proclivem: ex nimio quippe voluptatum amore cuncta hæc dogmata oriuntur: ita ut, ſi illi qui talia dicunt virtutem amplecti vellent, cito de gehenna perſuaderentur, neque dubitarent. Ubinam autem, inquiunt, & quo tandem in loco gehenna hæc erit? Quid tu hac de re ſollicitus es? hoc eſt quod quæritur, ut eam eſſe demonſtretur: ubinam autem reſervetur, & in quo loco, noli quærere. Quidam enim fabulas narrantes dicunt, in valle Joſaphat gehennā eſſe, quod de bello

Joel 3, 2. lo quodam dictum eſt jam elapſo, ſiquidem in valle Joſaphat juſto

Ezech. 39, 9. judicio puniens adverſarios funditus perdidit, quorum ad ſeptem annorum ſpatium arma ſuffecerunt habitantibus Hieruſalem ad ignem ſuccendendum: & nunc ad gehennam hoc trahunt: at hoc non dicit Scriptura. Quonam autem in loco erit? inquiunt, alicubi extra totum hunc mundum, ut mea quidem fert opinio. Nam quemadmodum regum carceres & metalla longè diſtant, ſic alicubi extra hunc orbem terrarum eſt gehenna. Ne quæramus ergo ubinam ſit, ſed quo tandem pacto illam effugiamus; nec quoniam non omnes hîc punit Deus, idcirco futura credere recuſemus: benignus enim eſt, & patienter tolerat: atque idcirco interim com-

Ezech. 18, 23. minatur, neque derepente caſtigat: *Non enim volo mortem peccatoris, inquit, ſicut eum converti ac vivere*: quòd ſi mors non ſit peccatoris, ſupervacaneum eſt, quod dictum eſt. Ac ſcio equidem nihil verbis iſtis injucundius vobis eſſe: mihi vero nihil eſt his jocundius. Utinam enim ſemper, & continuò de gehenna verba faceremus nos, dum prandium ſumimus, dum cœnamus, dum lavamur: nihil ob ea mala, quæ nobis hic accidunt, contriſtaremur; nihil ob bona, quibus fruimur, gauderemus. Quod enim quæſo malum dicere potes? paupertatem, morbum, captivitatem, corporis mutilationem? at hæc omnia riſus ſunt, ſi cum alterius vitæ ſupplicio comparentur. Licet eos qui perpetuò fame cruciantur, proferas: licet eos, qui à prima jam ætate mutilati ſunt, & ſtipem petunt: deliciæ ſunt iſta cum illis malis collata. Semper igitur dilectiſſimi de rebus iſtis ſermonem habeamus, eaſque mente linguaque verſemus: non enim incidere nos in gehennam

2. Theſſ. 1, 9. ſinit gehennæ memoria. Non audis Paulum, dicentem, Qui pœnas dabunt æternas à facie Domini? non audis qualis fuerit Ne-

2. Theſſ. 2, 7. ro, quem etiam Antichriſti myſterium Paulus appellat? *Nam myſterium, inquit, jam operatur iniquitatis*. Quid igitur? nihil ne patietur Nero, qui ſupplicio Petrum & Paulum affecit? nihil patietur Antichriſtus? nihil Diabolus? itaque nec Antichriſtus nec Diabolus unquam ab improbitate diſcedent, cùm non puniantur? Immo, inquit: ſed gehennam quidem eſſe cuivis compertum eſt: at infideles tantùm in eam incident, quam ob cauſam? dic quæſo. Quoniam fideles, inquit, Dominum ſuum agnoverunt. Quid tum?

Rom. 2. 10. quando etiam impura fuerit vita, majores hac de cauſa quàm infideles pœnas dabunt: ſiquidem *quicumque ſine lege peccaverunt, ſine*

Luc. 12, 47. *lege quoq; peribunt, & quicunq; in lege peccaverunt, per legem judicabuntur, & ſervus qui cognovit voluntatē domini ſui & non fecit, va-*

Jac. 2, 19. *pulabit multis*. Quòd ſi nullæ tranſactæ vitæ dandæ ſunt pœnæ (ſed hæc temere dicta ſunt) neq; Diabolus punietur: nam & Deū novit, atq; adeo multo meliùs quàm homines, & verò dæmones omnes & ſciunt eum, & contremiſcunt, eumq; judicē confitentur. Si ergo vitæ ratio reddenda non eſt neq; pravarum actionum, iſti etiam evadent.

1. Cor. 6, 3. Hoc non ita ſe habet, non ita, inquā, ſe habet: nolite vos fallere, dilectiſſimi. Nam ſi non eſt gehenna, quomodo duodecim tribus Iſraël

Matt. 12, 41. judicant Apoſtoli? quomodo inquit Paulus, *Neſcitis, quoniam*

Matt. 10, 15. *Angelos judicabimus?* quanto magis ſæcularia? Quomodo autem rurſus dicebat Chriſtus, *Viri Ninivitæ ſurgent in judicio, & condemnabunt generationem iſtam: & tolerabilius erit terra Sodomorum & Gomorrha in die judicii?* Cur igitur ludis in rebus minimè ludicris? cur teipſum fallis, ac decipis animam tuam, mi homo? cur autem Dei quoque benignitati repugnas? propterea namque gehennam paravit, & minatus eſt, in eam incidamus, timore effecti meliores. Itaque is qui de rebus iſtis ſermonem è medio tollit, nihil aliud imprudens agit, niſi ſeipſum hac fraude in gehennam impellit ac projicit. Noli ergo manus eorum diſſolvere, qui ob virtutem laborant, neque ſocordiam augeas eorum qui dormiunt. Si enim pleriſque perſuaſum fuerit gehennam non eſſe, quando tandem ab improbitate diſcedent? ubi vero juſtitia apparebit? Non dico de peccatoribus & juſtis, ſed de peccatoribus & peccatoribus. Hac de cauſa hîc quidem punitus hic eſt, ille verò non eſt punitus, licet eadem peccata vel etiam multo graviora commiſiſſet. Nam ſi non eſt gehenna, nihil defenſionis afferre poteris apud eos qui accuſabunt.

A ὅτι μακροθυμεῖ πολλάκις, καὶ περιορᾷ πολλοὺς μιαρούς, ἀσελγεῖς, πλεονέκτας, μὴ διδόντας δίκην· ἐκεῖ πάλιν ἐὰν ἀπειλήσῃ κολάζειν αὐτούς, σφοδροὶ καὶ βαρεῖς εἰσιν αἰτιώμενοι· καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέχεσθαι ἐχρῆν καὶ θαυμάζειν· ἀλλ' ὢ τῆς ἀνοίας, ὢ τῆς ἀλόγου καὶ ἀναισχύντου γνώμης· ὢ φιλαμαρτήμονος καὶ φιλήδονος, καὶ πρὸς κακίαν ῥεπούσης ψυχῆς· καὶ γὰρ ἀπὸ πολλῆς φιληδονίας τὰ δόγματα ἅπαντα ταῦτα τίκτεται· ὡς εἴγε βουληθεῖεν B οἱ τὰ τοιαῦτα λέγοντες ἀρετῆς ἐπιλαβέσθαι, ταχέως καὶ περὶ τῆς γεέννης πεισθήσονται, καὶ οὐκ ἀμφιβαλοῦσι. καὶ ποῦ φησι, καὶ ἐν ποίῳ χωρίῳ αὕτη ἔσται ἡ γέεννα; τί γάρ σοι περὶ τούτου μέλει; τὸ γὰρ ζητούμενον ἐστὶ δεῖξαι, ὅτι ἔστιν. ὅπου δὲ ταμιεύεται, καὶ ἐν ποίῳ χωρίῳ, μὴ ζήτει. τινὲς μὲν γὰρ μυθολογοῦντές φασιν, ὅτι ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ ἐστιν ἡ γέεννα, ὃ περὶ πολέμου τινὸς εἴρηται παρελθόντος· καὶ γὰρ ἐν τῇ κοιλάδι Ἰωσαφάτ κρίσει δικαίᾳ τιμωρῶν τοὺς ἐναντίους C ἄρδην ἀπώλεσεν, ὧν ἐπὶ ἑπταετῆ χρόνον ἤρκεσεν εἰς καῦσιν τὰ ὅπλα τοῖς τὴν Ἱερουσαλὴμ κατοικοῦσι· καὶ νῦν τοῦτο εἰς τὴν γέενναν ἕλκουσιν· ἡ δὲ γραφὴ οὐ τοῦτό φησι. καὶ ἐν ποίῳ τόπῳ φησὶν ἔσται; ἔξω που ὡς ἔγωγε οἶμαι τοῦ κόσμου παντὸς τούτου, καθάπερ γὰρ τῶν βασιλείων τὰ δεσμωτήρια, καὶ τὰ μέταλλα πόρρω διέστηκεν, οὕτω καὶ τῆς οἰκουμένης ταύτης ἔξω πού ἐστιν ἡ γέεννα· μὴ ζητῶμεν τοίνυν ποῦ ἐστιν, ἀλλὰ πῶς ἂν αὐτὴν φύγοιμεν, μηδὲ ἐπειδὴ πάντας ἐνταῦθα οὐ D κολάζει ὁ Θεός, διὰ τοῦτο ἀπιστῶμεν τοῖς μέλλουσι· φιλάνθρωπος γάρ ἐστι, καὶ μακροθυμεῖ. καὶ διὰ τοῦτο τέως ἀπειλεῖ, καὶ οὐκ εὐθέως κολάζει· οὐ γὰρ θέλω φησὶ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· εἰ δὲ μή ἐστι θάνατος ἁμαρτωλοῦ, περιττὸν τὸ εἰρημένον. καὶ οἶδα μὲν ὅτι οὐδὲν ἀηδέστερον τούτων ὑμῖν τῶν λόγων· ἀλλ' ἐμοὶ τούτων οὐδέν ἐστιν ἥδιον· εἴθε γὰρ ἦν ἀεὶ καὶ διὰ παντὸς περὶ γεέννης διαλέγεσθαι ἡμᾶς, καὶ ἀριστοποιουμένους, καὶ δειπνοῦντας E καὶ λουομένους· οὐδὲ γὰρ ἂν ἠλγήσαμεν τοῖς ἐνταῦθα δεινοῖς, οὐκ ἂν ἥσθημεν τοῖς χρηστοῖς· τί γάρ μοι καὶ εἰπεῖν ἔχεις δεινόν; πενίαν, νόσον, αἰχμαλωσίαν, πήρωσιν σώματος; ἀλλὰ πάντα ταῦτα γέλως εἰσὶ πρὸς τὴν ἐκεῖ κόλασιν· κἂν τοὺς δι' ὅλου βασανιζομένους λιμῷ λέγῃς· κἂν τοὺς ἐκ πρώτης ἡλικίας πεπηρωμένους καὶ προσαιτοῦντας, τρυφὴ ταῦτά εἰσι πρὸς ἐκεῖνα τὰ κακά. συνεχῶς τοίνυν, ἀγαπητοί, στρέφωμεν τοὺς περὶ τούτων λόγους, καὶ ἐν διανοίᾳ A καὶ ἐπὶ γλώττης· οὐ γὰρ ἀφίησιν ἐμπεσεῖν εἰς γέενναν τὸ μεμνῆσθαι γεέννης. οὐκ ἀκούεις Παύλου λέγοντος, οἵτινες δίκην τίσουσιν αἰώνιον ἀπὸ προσώπου Κυρίου; οὐκ ἀκούεις οἷος ὁ Νέρων ἐγένετο, ὃν καὶ μυστήριον τῆς ἀνομίας καλεῖ ὁ Παῦλος; τὸ γὰρ μυστήριον, φησίν, ἤδη ἐνεργεῖται τῆς ἀνομίας· τί οὖν; οὐδὲν πείσεται ὁ Νέρων ὁ Πέτρον καὶ Παῦλον τιμωρήσας; οὐδὲν πείσεται ὁ Ἀντίχριστος, οὐδὲν ὁ διάβολος; οὐκοῦν ὁ Ἀντίχριστος καὶ ὁ διάβολος οὐκ ἀποστή- B σονταί ποτε τῆς κακίας μὴ κολαζόμενοι; ναί φησιν· ἀλλ' ὅτι μέν ἐστι γέεννα, παντί που δῆλον· οἱ δὲ ἄπιστοι ἐμπεσοῦνται μόνοι; τίνος ἕνεκεν εἰπέ μοι; ὅτι, φησίν, οἱ πιστοὶ τὸν δεσπότην ἐπέγνωσαν τὸν ἑαυτῶν· καὶ τί τοῦτο; ὅταν γὰρ ὁ βίος ἀκάθαρτος ᾖ, μείζονα καὶ διὰ τοῦτο δώσουσι δίκην τῶν ἀπίστων· ὅσοι γάρ, φησιν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται· καὶ ὁ οἰκέτης ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιή- C σας, δαρήσεται πολλά· εἰ δὲ οὐκ ἔστι βίου δοῦναι δίκην [ἀλλ' ἁπλῶς ταῦτα εἴρηται.] οὐδὲ ὁ διάβολος τιμωρηθήσεται· καὶ γὰρ τὸν Θεὸν οἶδε, καὶ ἀνθρώπων μᾶλλον πολλῷ· καὶ οἱ δαίμονες δὲ πάντες καὶ ἴσασιν αὐτόν, καὶ φρίττουσι, καὶ κριτὴν αὐτὸν ὁμολογοῦσιν. εἰ τοίνυν βίου οὐκ ἔστι δοῦναι λόγον, οὐδὲ πονηρῶν πράξεων, διαφεύξονται καὶ οὗτοι. οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· μὴ ἑαυτοὺς ἀπατᾶτε, ἀγαπητοί. εἰ γὰρ μή ἐστι γέεννα, πῶς κρινοῦσι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ D οἱ ἀπόστολοι; πῶς φησιν ὁ Παῦλος· οὐκ οἴδατε, ὅτι ἀγγέλους κρινοῦμεν μήτιγε βιωτικά; πῶς δὲ πάλιν ὁ Χριστὸς ἔλεγεν· ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην, καὶ ἀνεκτότερον ἔσται τῇ γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως; τί τοίνυν παίζεις ἐν οὐ παικτοῖς πράγμασι; τί ἀπατᾷς σεαυτόν, καὶ παραλογίζῃ τὴν ψυχήν σου, ἄνθρωπε; τί δὲ καὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἀντιμάχῃ; διὰ γὰρ τοῦτο καὶ ἡτοίμασε τὴν γέ- Eενναν, καὶ ἠπείλησεν, ἵνα μὴ ἐμπέσωμεν ἐν αὐτῇ, τῷ φόβῳ βελτίους γινόμενοι. ὥστε ὁ τὸν περὶ τούτων ἀναιρῶν λόγον οὐδὲν ἕτερον λανθάνει ποιῶν ἢ εἰς αὐτὴν γέενναν ἑαυτὸν ὠθεῖ, καὶ ἐμβάλλει διὰ τῆς ἀπάτης ταύτης. μὴ τοίνυν ἐκλύσῃς τὰς χεῖρας τῶν ὑπὲρ ἀρετῆς πονούντων, μηδὲ ἐπιτείνῃς τὴν ῥαθυμίαν τῶν καθευδόντων. εἰ γὰρ πεισθεῖεν οἱ πολλοί, ὅτι γέεννα οὐκ ἔστι, πότε ἀποστήσονται τῆς κακίας; ποῦ δὲ τὸ δίκαιον φανεῖται; οὐ λέγω ἐπὶ ἁμαρτωλῶν καὶ δικαίων, ἀλλ' ἐπὶ ἁμαρτωλῶν, διὰ τοῦτο ὁ μὲν ἐκολάσθη ἐνταῦθα, ὁ δὲ οὐκ ἐκολάσθη τὰ αὐτὰ ἁμαρτάνων, ἢ καὶ χαλεπώτερα πολλῷ. εἰ γὰρ οὐκ ἔστι γέεννα, οὐδὲν ὑπὲρ τούτων ἀπολογήσασθαι δυνήσεται τοῖς ἐγκαλοῦσι.

διὸ

Digitized by Google

διὸ παρακαλῶ πάντας ὑμᾶς παυσαμένους τοῦ γέλωτος τούτου τοῦ σατανικοῦ ἐπιστομίζειν τοὺς ὑπὲρ τούτων ὑμῖν ἀντιλέγοντας. καὶ γὰρ καὶ τῶν σμικροτάτων καὶ ἐν τοῖς ἁμαρτήμασι, καὶ ἐν τοῖς κατορθώμασιν ἀκριβὴς ἔσται ἡ ἐξέτασις. καὶ γὰρ καὶ ὀφθαλμῶν ἀκολάστων δώσομεν δίκην, καὶ ῥήματος ἀργοῦ, καὶ γέλωτος ἀτάκτου, καὶ λοιδορίας ἁπλῶς, καὶ ἐνθυμήσεως κακῆς, καὶ μέθης εὐθύνας ὑφέξομεν, ὡς πάλιν ἐν τοῖς ἀγαθοῖς καὶ ποτηρίου ψυχροῦ ληψόμεθα μισθόν, καὶ λόγου ἀγαθοῦ, καὶ στεναγμοῦ μόνου. δὸς γάρ, φησι, τὸ σημεῖον ἐπὶ πρόσωπον τῶν στεναζόντων καὶ κατωδυνωμένων. πῶς οὖν τολμᾷς εἰπεῖν, ὅτι μετὰ τοσαύτης ἀκριβείας ἐξετάζων τὰ ἡμέτερα ὁ Θεὸς ἁπλῶς καὶ εἰκῆ τὴν γέενναν ἠπείλησε; μή, παρακαλῶ, μή, δέομαι ὑμῶν, μὴ ταῖς κεναῖς ταύταις ἐλπίσιν ἑαυτοὺς ἀπολέσητε, καὶ τοὺς πειθομένους ὑμῖν· εἰ γὰρ τοῖς ἡμετέροις λόγοις ἀπιστεῖτε, ἐξετάσατε Ἰουδαίους Ἕλληνας, αἱρετικοὺς ἅπαντας, καὶ πάντες ὡς ἐξ ἑνὸς στόματος ἀποκριθήσονται, ὅτι κρίσις ἔσται καὶ ἀνταπόδοσις. ἀλλ᾽ οὐκ ἀρκοῦσιν οἱ ἄνθρωποι; ἐρώτησον καὶ τοὺς δαίμονας αὐτούς, καὶ ἀκούσῃ λεγόντων αὐτῶν· τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; καὶ ἅπαντα ταῦτα συναγαγόντες πείσατε ἑαυτοὺς μὴ μάτην λαλεῖν· ἵνα μὴ διὰ τῆς πείρας μάθητε τὴν γέενναν· ἀλλ᾽ ἐντεῦθεν σωφρονισθέντες τὰς βασάνους ἐκείνας δυνήσησθε ἐκφυγεῖν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

A Quamobrem omnes vos hortor, ut ab hoc Satanico riſu abſtinentes, eorum obturetis ora, qui pro his vobis contradicunt. Nam & eorum, quæ minima ſunt, cùm in peccatis, tum in rectè factis exacta erit disquiſitio: ſiquidem & laſcivorum oculorum rationem reddemus, & verbi otioſi, & riſus immoderati, & temerariæ contumeliæ, & pravæ cogitationis, & ebrietatis à nobis rationes repoſcentur; ut rurſus in bonis & calicis frigidi mercedem recipiamus, & boni ſermonis, & ſolius gemi-
B tus: Da enim, inquit, ſignum in faciem gementium & dolentium. Quomodo ergo dicere audes, Deum tanta cum diligentia in res noſtras inquirentem temere & inconſulto gehennam minatum eſſe? ne, oro obteſtorque vos, ne vanâ ejuſmodi ſpe deceptos vos eosque, qui vobis credunt, perditum eatis. Si enim verbis noſtris fidem non adhibetis, interrogate Judæos, Gentiles, hæreticos omnes tanquam uno ore reſpondebunt judicium futurum ac retributionem. At non ſufficiunt homines? ex dæmonibus ipſis
C quære, ac dicentes eos audies; Cur veniſti huc ante tempus torquere nos? & omnibus hiſce collectis perſuadete vobiſipſis, ut non temerè loquamini; ne gehennam experimento noſcatis, ſed hinc ſapientiores effecti tormenta illa poſſitis effugere, bonisque futuris potiri, gratia & benignitate Domini noſtri Jeſu Chriſti.

ΒΙΒΛΙΟΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΤΟ ΟΝΟΜΑΖΟΜΕΝΟΝ,

ΑΠΑΝΘΙΣΜΑΤΑ.

SANCTI PATRIS NOSTRI

JOANNIS ARCHIEPISCOPI CONSTANTINOPOLITANI, COGNOMENTO CHRYSOSTOMI, LIBER, QVI APPELLATUR,

FLORES ſive FLORILEGIA.

In quo continentur homiliæ XXXII. ex variis & fermè omnibus D. CHRYSOSTOMI operibus, tum extantibus, tum non extantibus excerptæ; quæ hactenus vel Græcè vel Latinè non ſunt vulgatæ.

Ex pervetuſto manuſcripto codice, in bibliotheca Monaſterii S. JACOBI Moguntiæ invento, deſcriptæ, cum adjecta Latina interpretatione ibidem editæ.

Studio & opera R. P. BALTHASARIS ETZELII Bremenſis, Societatis JESU, in Archiepiſcopali Collegio Moguntino, linguæ ſanctæ profeſſoris.

Admodum Reverendo in CHRISTO PATRI ac Domino, D. JACOBO, monaſterii S. JACOBI apud Moguntinos Abbati vigilantiſſimo religioſiſſimo.

REdit tandem, admodum Reverende in Chriſto Domine, ad te, liber tuus, qui ex antiqua tua & per te jam reflorescente bibliotheca, ad legendum bona tua voluntate acceptus, te annuente, Latina verſione auctus, te gratulante nunc typis excuſus & evulgatus eſt. Redit aureus hic fluviolus ad montem & fontem ſuum, unde profluxit: non ut ibi quietus & ignotus deliteſcat; ſed ut iterum fluens in omnes partes, alveo ſuo non contentus, ſeſe diffundat; terram aridam, ad producendum fragrantiſſimos virtutum flores, fructûsq; optimos, irriget; hominibus & beſtiis potum ſalutarem præbeat. Quis enim adeo brutis cupiditatibus & voluptatibus perditus eſt, cui non aquæ iſtæ aliquid refrigerii adferre poſſint? Quis adeo religioſus & à rebus ſpiritualibus inſtructus, quem latex iſte, aureo manans ab ore, adhuc admirantem non mirificè recreet & oblectet? Quàm longè præſtantior fluvius iſte, quàm vel Ganges, vel aurifer Tagus? Extant magno labore & ſtudio collecti tum Latinorum,

Ex editione Græco Latina Moguntina Anno 1603.

tum

tum Græcorum quorundam flores. Gratus quidem & utilis labor. Sed quanto pluris faciendi flores, hic hortus jucundiſſimus, ἔνθα μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν· ἄνθεμα δὲ χρυσοῦ φλέγει, τὰ μὲν χερσόθεν ἀπ᾽ ἀγλαῶν δενδρέων, ὕδωρ δ᾽ ἄλλα φέρβει; Quod igitur antea tuum fuit, admodum Reverende in Chriſto Pater ac D. hoc eadem, qua utendum conceſſiſti, animi benevolentia ac humanitate à me R. T. P. amantiſſimo recipe & ſuſcipe: librum inquam hunc, & ante, & nunc, & perpetuò tuum, tuóque nomini dicatum. Quod verò exigua mea opella acceſſit in Latina verſione, id à me, quando aliud nihil habeo, gratitudinis ergo oblatum benignus amplectere. Nihil certè minùs facere me decebat, quàm ut librum tuum Græce loquentem & tandiu mecum commorantem, Latinè loqui edoctum quantum potui, remitterem. Vale Reverende admodum in Chriſto Pater: Et ſicuti hactenus feciſti, Religioſus Religioſo amore proſequere. Datum Moguntiæ, in Collegio Societatis JESU 12. Calend. Octob. Anno Domini 1603.

Pind. Ode 2. Olymp.

Admodum Reverendæ P. & D. T.

Amantiſſimus in Chriſto
ſervus

Balthaſar Etzelius, Societ.
JESU.

ADMONITIO AD LECTOREM.

CUm librum hunc, benigne lector, typis mandandum viderem, neceſſariò te quorundam admonendum duxi: quorum 1. eſt: Nullum in autographo extare authoris ſive collectoris harum orationum nomen; nec temporis, quo ſcriptus ſit, mentionem fieri. Quisquis autem ille fuerit, certè non minorem laudem promeritus eſt, quàm ii, qui ingenti cum labore poetarum prophanorum flores, ſententias, anſtologias collegerunt, & in lucem dederunt. Nomen verò illius Theodori, hom. 30. præfixum, ad alias referendum non videtur. Eſt porrò liber ipſe perantiquus in membrana, elegantiſſimo charactere conſcriptus: in quibusdam locis à tineis & vetuſtate læſus & detritus, cum aliquot vocum licèt paucarum, jactura; quas aliunde, ne hiſceret ſcriptura, reſtitui. Invenies in margine ſuo loco notatum.

2. Non indignas nomine S. Chryſoſtomi cenſendas has homilias, cùm omnia quæ in his continentur ex operibus ipſius deprompta & excerpta ſint. Aut ſi hæc oratio non ſufficiat, aliæ non paucæ, quæ ante annos aliquot ipſius tomis, Pariſiis impreſſis, inſertæ ſunt, rejiciendæ erunt: cùm ejuſdem tamen ſint generis cum noſtris, ut ex hoc libro patet. Exempli gratia, oratio de Avaritia circa annum 1552. ſeorſum impreſſa, tomo 5. inſerta hoc in libro ex 19. diverſis commentariorum S. Chryſoſtomi locis collecta notatur: cùm nulla penitus hujus rei fiat ab aliis mentio. Nec te movere debet, ſi fortè non ſemper iiſdem in locis quædam inveniantur, quæ notis indicantur, cum idem S. Chriſoſtomi ſcriptum à variis ad varios ſcripturæ libros aut loca, quandoque referatur. Sunt verò notæ illæ ſæpius ambiguæ.

3. Nuſquam in hoc libro adhibitam fuiſſe interrogationis notam, ubi alia particula huic uſui deſtinata extat. Diſtinctionem etiam vix unquam niſi ex ſenſu, certam apparere. Unde colligi poſſe videtur amanuenſem aliquem non ſatis peritum ſcripſiſſe.

4. Errores ſcriptoris in margine aſteriſco à me notatos, & circa initium libri maximè extra textum poſitos, aliàs in textu relictos, & in margine correctos eſſe: Aliquando etiam diverſam lectionem per ejuſmodi ſignum indicari.

5. Adjectam eſſe à me Latinam verſionem, partim ex aliis, quantum habere licuit, partim proprio ſtudio: idque in gratiam adoloſcentum Chriſtianorum (docti enim hac mea oppella nihil indigent) quibus vel Græcæ linguæ ſtudium, vel optima doctrina cordi eſt. His enim liber hic, ob ſtyli facilitatem & materiæ utilitatem, à viris prudentibus apprimè utilis fore judicatus eſt. Quanquam nec alii commodo ſuo carebunt, cùm multa paſſim in operibus S. Chryſoſtomi omiſſa vel mutila hinc reſtaurare liceat. Conatus porrò ſum, verbum verbo reddere, ne Latina Græcis ipſis difficiliora eſſent.

Poſtremum eſt, ut ſi quid in hoc libro vel rectè vel utiliter à me præſtitum ſit, benigno animo ſuſcipias: ſi quid minùs ad guſtum tuum, aut non ut debuit, ſi & ipſe homo ſis, ignoſcas. Nec enim diffiteor, conjectura nonnunquam me uſum potiùs, quàm certa ſcientia, vel quia malè diſtincta, vel quia dubia aut penè extrita quædam fuerunt, vel denique quia communis naturæ uſus ſum conditione. Vale, & ne obliviſcaris illius

Luciani: Οὐδὲν ἐν ἀνθρώποισι διάκριτόν ἐστι νόημα.
Ἀλλ᾽ ὃ σὺ θαυμάζεις, τοῦθ᾽ ἑτέροισι γέλως.

Εὐλογία

Ἐκλογαὶ ἀπὸ διαφόρων λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Ecloga ex diverſis Homiliis S. Patris noſtri Joannis Chryſoſtomi.

A

Περὶ ἀγάπης.
Λόγος α'.

Βουλόμενος ὁ φιλάνθρωπος Θεὸς ἡμῶν συνδῆσαι πάντας ἀλλήλοις, ἀγαπητοί, τοιαύτην τοῖς πράγμασιν ἐνέθηκεν ἀνάγκην, ὡς ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ τοῦ ἑτέρου δεδέσθαι. καὶ γὰρ ὁ γεωργὸς οὐ τοσοῦτον σπείρει σῖτον, ὅσον ἀρκέσαι ἑαυτῷ· ἐπεὶ πάλαι καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους ἀπώλεσεν ἄν. καὶ ὁ στρατιώτης οὐχ ἵνα ἑαυτὸν διασώσῃ, παραβάλλεται πρὸς κινδύνους, ἀλλ' ἵνα καὶ τὰς πόλεις ἐν ἀσφαλείᾳ καταστήσῃ· καὶ ὁ ἔμπορος, οὐ τοσαῦτα κομίζει ὅσα αὐτῷ μόνῳ ἀρκέσαι, ἀλλ' ὅσα καὶ ἑτέροις πολλοῖς. ἐπειδὴ γὰρ ἑτέρως οὐκ ἠνείχοντο ἄνθρωποι τὰ τοῦ πλησίον ζητεῖν, εἰ μὴ εἰς ταύτην κατέστησεν τὴν ἀνάγκην, διὰ τοῦτο οὕτως αὐτὰ συνέζευξεν ὁ Θεός, καὶ οὐκ ἀφίησι πρότερον ἐπὶ τὸ οἰκεῖον συμφέρον ἐλθεῖν, μὴ διὰ τῶν ἀλλοτρίων συμφερόντων ὁδεύσαντας. οὐδὲ γὰρ ἔνι σωθῆναι μὴ τοῦτο ἔχοντα· ἀλλὰ κἂν τὴν ἄκραν φιλοσοφίαν ἀσκῇς, τῶν δὲ λοιπῶν ἀπολλυμένων ἀμελῇς, οὐδεμίαν κτήσῃ παρὰ τῷ Θεῷ παρρησίαν. ἐὰν γὰρ ψωμίσω τὰ ὑπάρχοντά μου, φησὶν ὁ θεῖος ἀπόστολος, καὶ παραδῶ τὸ σῶμά μου ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. εἰ δὲ βούλει μαθεῖν ἡλίκον ὅπλον ἐστί, τὸ τοὺς ἀδελφοὺς ἐπισπάσασθαι, κἂν ἄπιστοί τινες ὦσιν, καὶ τὸ πρᾶον εἶναι καὶ ἥμερον, καὶ γλυκὺν παρεχόμενον τρόπον, ἄκουσον τί φησιν αὐτὸς οὗτος ὁ μακάριος Παῦλος, πρὸς δικαστὴν εἰσιὼν ἄπιστον, κριθησόμενος. μακάριον ἥγημαι ἐμαυτὸν μέλλων ἐπὶ σοῦ κρίνεσθαι. ταῦτα δὲ ἔλεγεν οὐ κολακεύων αὐτόν· ἄπαγε· ἀλλὰ διὰ τῆς ἡμερότητος κερδᾶναι βουλόμενος. διὸ καὶ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν, ὁ τέως κατάδικος εἶναι νομιζόμενος. καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ παρόντων ἁπάντων λέγων· ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. τί οὖν ὁ Παῦλος; εὐξαίμην ἂν ἔγωγε μὴ μόνον σε, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας τοῦτο γενέσθαι ὅπερ ἐγώ. ὅταν οὖν ἐκεῖνος μὲν τοσοῦτον ἀπαιτῇ μέτρον, ἡμεῖς δὲ μηδὲ τὸ ἔλαττον παρέχωμεν, τίνος ἐσόμεθα συγγνώμης ἄξιοι; καὶ μὴ τὸ δεῖσθαι ἑτέρου, αἰσχρόν τι εἶναι νόμιζε. τῆς γὰρ ἀφάτου σοφίας τοῦ Θεοῦ τοῦτο γέγονεν ἔργον. εἰ γὰρ ἀλλήλων χρῄζομεν, καὶ οὐδὲ ἡ τῆς χρείας ἀνάγκη συνάγει εἰς φιλίαν ἡμᾶς, εἰ αὐτάρκεις ἦμεν, οὐκ ἂν ἦμεν θηρία ἀτιθάσσευτα; βίᾳ καὶ ἀνάγκῃ ἡμᾶς ὑπέταξεν ὁ Θεὸς ἀλλήλοις· καὶ καθ' ἑκάστην συγκρουόμεθα ἀλλήλοις ἡμέραν. εἰ τοῦτον περιεῖλε τὸν χαλινόν, τίς ἂν ταχέως ἠράσθη τῆς τοῦ πλησίον φιλίας; διὰ γὰρ τοῦτο μίαν οἰκίαν ἡμῖν τὸν κόσμον ἔδωκεν ὁ Θεός, καὶ ἕνα ἀνῆψε πᾶσι λύχνον, τὸν ἥλιον, καὶ ἕνα ἐξέτεινεν ὄροφον, τὸν οὐρανόν, καὶ μίαν ἀνῆκε τράπεζαν τὴν γῆν. καὶ οὔτε τῷ μὲν πλουτοῦντι πλέον, καὶ τιμιώτερον, τῷ πένητι δὲ εὐτελέστερον καὶ ἔλαττον ἐχαρίσατο, ἵνα πολλὴν καὶ ἀδιάσπαστον τὴν πρὸς ἀλλήλους ἕνωσιν ἔχωμεν, καὶ μή τις ἔχῃ λέγειν, ὁ δεῖνά μοι φίλος οὐκ ἔστιν, οὐδὲ συγγενής, οὐδὲ γείτων, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν. πῶς προσελεύσομαι, πῶς διαλέξομαι; οὐδὲ γὰρ ὅσην φίλους πρὸς φίλους ἐπιδείκνυσθαι χρὴ τὴν ἐγγύτητα, τοσαύτην ἡμᾶς ἔχειν δεῖ τὴν πρὸς ἀλλήλους οἰκειότητα· ἀλλ' ὅσην μέλος πρὸς μέλος. καὶ ὥσπερ οὐκ ἂν δυνηθείης λέγειν, πόθεν μοι οἰκειότης καὶ ἐγγύτης πρὸς αὐτόν· καταγέλαστον γὰρ τοῦτο· οὕτως οὐδὲ περὶ τοῦ ἀδελφοῦ δυνήσῃ τοῦτο εἰπεῖν. εἰ γὰρ μηδὲ συγγενής, μηδὲ φίλος ἐστίν, ἀλλ' ἄνθρωπός ἐστι, τῆς αὐτῆς σοι μετέχων φύσεως, τὸν αὐτὸν ἔχων δεσπότην, καὶ ἐν τῷ αὐτῷ κόσμῳ γενόμενος. ἐπὶ μὲν γὰρ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν. ἐπὶ δὲ τῆς ἀγάπης, τοὺς διηνεκῶς ὀφείλοντας ἀποδεχόμεθα καὶ θαυμάζομεν. πειθώμεθα τοίνυν, καὶ συνάπτωμεν ἑαυτοὺς ἀλλήλοις, κἂν βούληταί τις ἀποστῆναι, μὴ σὺ ἀπορραγῇς, μηδὲ τὸ ψυχρὸν ἐκεῖνο φθέγξῃ ῥῆμα· ἐὰν φιλῇ με, φιλῶ, ἐὰν δὲ μὴ φιλῇ με ὀφθαλμὸς ὁ δεξιός, ἐξορύττω αὐτόν. ἀλλ' ὅταν σε μὴ βούληται φιλεῖν, τότε πλείονα ἐπιδείκνυσο τὴν ἀγάπην, ἵνα αὐτὸν ἐπισπάσῃ· καὶ γὰρ μέλος ἐστί· τὸ δὲ μέλος ὅταν ὑπό τινος ἀνάγκης ἀποσχίζηται τοῦ λοιποῦ σώματος, πάντα ποιοῦμεν, ὥστε ἑνῶσαι πάλιν αὐτό. καὶ πλείονα πρόνοιαν ἐπιδεικνύμεθα τότε. καὶ γὰρ πλείων ὁ μισθός, ὅταν μὴ βουλόμενον φιλεῖν ἐφελκύσῃ. εἰ δὲ ἐπὶ ἀρίστου κελεύει καλεῖν τοὺς μὴ δυναμένους ἡμῖν ἀντιδοῦναι, ἵνα αὐξηθῇ τὰ τῆς ἀντιδόσεως· πολλῷ μᾶλλον ἐπὶ φιλίας τοῦτο δεῖ ποιεῖν. ὁ μὲν γὰρ φιλούμενος φιλῶν, ἀπέδωκέ σοι τὴν ἀμοιβήν· ὁ δὲ φιλούμενος καὶ μὴ φιλῶν, τὸν Θεὸν ἀνθ' ἑαυτοῦ σοι χρεώστην κατέστησε· καὶ χωρὶς δὲ τούτων, ὅταν μὲν φιλῇ σε, οὐ πολλῆς δεῖται τῆς

DE DILECTIONE.
Homilia I.

CUM benignus Deus noſter omnes mutuo vinculo connectere vellet, chariſſimi, ejuſmodi rebus impoſuit neceſſitatem, ut ſemper unius utilitati alterius quoque emolumentum conjunctum eſſet. Agricola ſiquidem
B non illud tantummodo ſeminat frumentum, quod ſibi ſufficiat; ſic enim & ſeipſum & alios aliquando perditum iret. Miles quoque non ut ſeipſum conſervet, ſed ut civitates quoque in tuto collocet, periculis exponitur. Præterea mercator non tantum mercium ſolum apportat, quantum ſibi ſatis ſit, ſed etiam, quod multis aliis ſufficiat. Nam cum aliter homines proximi commodis ſtudere nollent, niſi in ejuſmodi neceſſitate Deus illos conſtituiſſet, id-
C circo hac ratione connexas inter ſe res voluit, ut nos ad proprium commodum pertingere non concedat, niſi per aliorum perreximus utilitatem. Nec enim ſalutem conſequi licet, ſi quis hoc careat: ſed licet ſummam ſecteris Philoſophiam, alios verò pereuntes nihil cures, tamen apud Deum fiduciam habiturus es. *Si enim facultates meas diſtribuero*, inquit divinus Apoſtolus, *& tradidero corpus meum ita ut ardeat, charitatem verò non habuero, nihil mihi prodeſt.* Si vero intelligere velis, quantum præſidium ſit, ſi quis fra-
D tres, licet alioqui infideles, amplectatur; ſi item quis manſuetus ac mitis ſit, moreſque ſuaves oſtendat, audi quid idem hic beatus Apoſtolus Paulus ad Judicem infidelem, ut judicaretur, ingreſſus, dicat: *Beatum me æſtimo*, ait, *quod apud te judicandus ſim.* Hæc verò non dicebat illi adulans: abſit: ſed quòd illum hac manſuetudine lucrari vellet. Ac ideò etiam illum ex parte lucratus eſt, & Judicem cepit, qui eouſque damnatus eſſe putabatur. Quam victoriam ipſe judex, jam ſubactus, illuſtri voce, omnibus præſentibus confi-
E tetur dicens: In modico perſuades mihi, Chriſtianum fieri. Quid igitur Paulus? Optarem ego quidem non ſolùm te, ſed etiam omnes qui adſunt, hoc fieri quod ego ſum. Cùm ergo ille quidem tantam expoſcas menſuram, nos verò ne illud quidem, quod minus eſt, præſtemus, quam veniam merebimur? Nec verò abſurdum tibi videatur alium rogare: Hoc ſiquidem ineffabilis Sapientiæ Dei opus eſt. Si enim cum mutua ope egeamus, nos tamen indigentiæ neceſſitas ad amicitiam non induceret; ſed ſe ſolo unuſquiſque noſtrum contentus viveret, an non veluti immanſuetæ quædam beſtiæ eſſemus? vi ac neceſſitate quadam nos invicem ſubjecit Deus;
A & nos tamen quotidie inter nos confligimus. Si igitur frenum iſtud Deus nobis detraxiſſet, quis facilè ſui proximi amicitiam deſideraret? Hac enim de cauſa unam domum, mundum hunc, Deus nobis tradidit, unamque lucernam, ſolem, nobis accendit; unum item tectum ſuper nos expandit, cœlum videl. & unam menſam, i. d. terrã, conceſſit. Ac diviti quidem nihil plus aut præſtantius, nec pauperi vilius quid, aut minus largitus eſt; ut magnam nimirũ ac divulſam inter nos haberemus unitatem; nec quiſquam dicere poſſet, hic aut
B ille amicus meus non eſt, neque cognatus, neque vicinus: neque ullum mihi cum illo commercium eſt: quomodo illum conveniam? quomodo alloquar? Non enim qualem amicus erga amicũ oſtendere debet propinquitatem, talem nos quoq; invicem habere familiaritatem oportet, ſed qualem membrũ ad membrũ habet. Et quemadmodũ dicere non poſſes, unde mihi cum illo familiaritas aut cognatio? ridiculum enim illud foret; ita nec de fratre tuo hoc dicere poteris. Quamvis enim neque cognatus ſit neque amicus; at ho-
C mo tamen eſt, eandem tecum communem habẽs naturam, eundem dominum, & in eodem mundo natus. In pecuniis quidem eos, qui nihil debent, laudamus: in charitate autem eos amplectimur & admiramur, qui ſibi perpetuò debitores ſunt. Obſequamur itaque & nos ipſos aliis conjungamus, ac ſi deficere velit, tu ne fractus cedito, neq. abſurdum illud verbum dixeris: Si me diligit, diligo; ſi verò non diligit me dexter oculus meus, ipſum eruo: ſed potiùs cum diligere te non vult, majorem in ipſum allicias; membrum enim
D eſt: membrum autem cùm neceſſitas aliqua à reliquo corpore præcidendum ſuadet, omnia molimur, ut illud iterum connectamus, majoremque tunc curam adhibemus. Et verò amplior tibi merces erit, ſi diligere nolentem attraxeris: Si verò ad prandium invitare jubet, non eos, qui reddere nobis valeant, quo ſc. retributio major fiat, multo magis in amicitia id facere neceſſe eſt. Qui enim cũ diligitur, te viciſſim diligit, ille vices tibi reddidit: qui verò, cum diligitur, te non diligit, ille Deum pro ſe debitorem tibi conſtituit.
E Et præterea, cum te diligit, non indiget res multa diligentia:

Ex epiſt. 1. ad Corint.

1. Cor. 13, 3.

Act. 26, 2.

Ex interp. Evang. ſecundum Joann.

Ex hom in illud, Ne timueris cum dives factus fuerit homo.

Ex interp. epiſt. ad Cor.

cùm verò te minimè diligit, tunc tuo opus habet adminiculo. Ne A igitur cauſam diligentiæ, cauſam facias negligentiæ; neque dicas, quoniam jam languet, ideo ipſum negligo: nam languor iſte charitatis refrigeratio eſt: tu verò quod refrigeratum eſt, foveto, nam vehementer amari velle, ortus ex eo, quòd quis alium vehementer amet. Cùm enim non admodum erga aliquem affecti ſumus, non etiam ſingularem ipſius expetimus amicitiam, quamvis magnus, quamvis conſpicuus ille ſit. Cùm verò ardenter quempiam ſincereque diligimus, etiamſi homo tenuis & abjectus ſit qui amatur, B honorificentiſſimum tamen illud ducimus, quod in ipſo nobis extat cauſa amoris. Si autem fratre non uti noviſti, quomodo rectè uti poteris alieno? Si proprium tuum membrum tractare neſcis, quomodo externum tibi conciliare & conjungere poteris? Non vis apud alios malè audire? ne igitur tu malè de eis loquaris. Laudari cupis? lauda igitur & tu alios. Miſericordiam conſequi optas? ſis & tu miſericors. Veniam obtinere deſideras? ipſemet ergo aliis veniam dato. Non vis ut bona tua diripiantur? aliena ergo rapere noli. C Tales ergo proximos noſtros ſimus, quales ipſos erga nos eſſe optamus. Sicut enim anima ſine corpore non appellatur homo neque etiam corpus abſque anima: ita nec charitas erga Deum, niſi proximi dilectionem conjunctam habeat. Viſne hunc aut illum demereri? non prohibeo; ſed vide ne ad alterius moleſtiam id fiat: non enim ut contra nos mutuo pugnemus, nobis magiſtri dati ſunt, ſed ut

Ex interp. Evang. S. Joann.

omnes mutuo vinculo nobis conjungamur? Quare igitur ſolus es? quare non multos efficis tibi amicos. Quare non charitatis author D es? Quare amicitiam, ſummam virtutis laudem non comparas? Sicut enim ex conſenſu & pacto improbos aliquos eſſe vehementius Deum exaſperat: ita in concordia bonum eſſe, magis delectat. Ne ſis cum multis impius. Ante habitacula & omnia alia, para tibi amicos. Si homo pacificus filius Dei eſt, quanto magis, qui amicos facit? Si ille Dei filius appellatur, qui alios ſolùm reconciliat; quo ille non erit dignus præmio, qui reconciliatos amicos facit? Si enim diabolus omnibus inimicos fieri nos jubet; Deus illos contra am- E plecti & diligere mandat: Et ille quidem luto & lateribus (hoc enim ſunt divitiæ) affixus ne noctu quidem vel modicum reſpirare ſinit: hic verò ſupervacanea iſta & inutili cura nos liberat, colligere verò theſauros in cœlis jubet; non cum alterius quidem injuria, ſed ex propria juſtitia: ac rurſus, ille poſt multos labores & ærumnas, cùm ibi punimur, & mala propter violatas Dei leges patimur, non ſolùm non defendere nequit, ſed etiam flammam auget: A hic verò qui poculum frigidæ aquæ dare nobis præcepit, nunquam iſtius mercedem & retributionem nos perdere ſinit, ſed liberaliſſimè remuneretur: Quomodo non extremæ dementiæ fuerit tam clementem tantiſque bonis abundantem dominum non amare, ſed ingrato & improbo tyranno, qui neque in hac, neque in altera vita ſibi obſequentibus & conjunctis quicquam prodeſſe valet, ſervire? Ne igitur moleſtè feratis quæ à me dicta ſunt. Ego enim non tantùm, cùm me laudat amicus, ſed cùm corrigendi cauſa me repre- B hendit, tunc maximè ipſum me diligere dixerim. Etenim omnia ſimpliciter laudare, & quæ rectè facta ſunt & quæ ſecus, non amatis, ſed impoſtoris & deriſoris eſt: laudare verò, cùm quid rectè fit & opportunè, ac reprehendere cùm aliquid delinquitur, id nimirū amici & benefici eſt hominis. Non igitur hoſtem cùm me laudat, amplector; ſed amicum qui me arguit, approbo. Ille, etiam ſi me amet, mihi ingratus eſt: hic verò, licet vulnus infligat, amabilis tamen eſt, fideliora enim ſunt, inquit, vulnera amici, quam ſpontanea oſcula inimici. Amicus enim ſive juſtè ſive injuſtè incuſet, C probro tamen non afficit: ſed id facit, me corrigere volens: hoſtis verò etiam ſi juſtè corripiat, non tamen emendandi cauſa, ſed conviciandi libidine accuſat. Nihil igitur cum concordia comparandum, dilectiſſimi: ſic enim ſinguli multorum inſtar erunt. Si enim unanimes fuerint duo aut decem: jam unus non eſt unus, ſed ſinguli illorum quaſi decem fiunt: ac ſi inimicum habeant, qui illorum unum invadat, ille non ſecus, ac ſi decem adortus fuiſſet, ita capitur. Si fortè unus illorum egeſtate prematur, in egeſtate tamen nō D erit: à majore enim parte indigentia velut umbra occulitur, quilibet illorum viginti manus habet, & viginti oculos, & totidem pedes, animas quoque decem poſſidet. Non enim ſuis ſinguli tantum operantur, ſed etiam iis quæ ſunt reliquorum. Si verò etiam centum fuerint, rurſus eodem modo ſe res habet. Idem & in Perſia & Romæ eſſe poteſt: & quod natura nequit, id charitatis vis potuit. Si itaque mille tibi ſint amici aut bis mille, cogita quantum rurſum exupe- E ratura ſit illorum poteſtas. Admirabile enim hoc eſt, quòd ex uno mille poſſit facere charitas. Quam igitur ob cauſam hanc charitatis facultatem nobis non comparamus & nos in tuto collocamus? Quouſque ad unum aut duos illam reſtringimus? Quemvis enim pauper alioqui ſit, qui amicos habet, multo tamen divitibus opulentior eſt. Nam quæ ipſe de ſe ipſo dicere non præſumit, ea amicus pro ipſo dicet: & quæ ſibi ipſe amicus tribuere

A ἀσθενής· ὅταν δὲ μὴ φιλῇ, τότε σου χρείαν ἔχει τῆς ἀντιλήψεως. μὴ τοίνυν τὴν αἰτίαν τῆς ἀσθενείας, αἰτίαν ποίει ῥᾳθυμίας, μηδὲ λέγε, ἐπειδὴ ἤδη νοσεῖ, διὰ τοῦτο αὐτοῦ ἀμελῶ· καὶ γὰρ νόσος ἐστὶν ἡ κατάψυξις τῆς ἀγάπης· ἀλλὰ σὺ θέρμανον τὸ καταψυχθέν. τὸ γὰρ σφόδρα φιλεῖσθαι ἐθέλειν, ἀπὸ τοῦ σφόδρα φιλεῖν γίνεται. ὅταν μὲν γὰρ μὴ σφόδρα περί τινα ὦμεν διακείμενοι, οὐδὲ τῆς παρ' ἐκείνου σφοδρᾶς δεόμεθα φιλίας, κἂν μέγας ᾖ, κἂν περιφανής. ὅταν δὲ θερμῶς τινα καὶ γνησίως B φιλῶμεν, κἂν εὐτελὴς ᾖ, κἂν μικρὸς ὁ φιλούμενος, μεγίστην τιθέμεθα δόξαν, τὸ παρ' ἐκείνου φίλτρον. εἰ δὲ ἀδελφῷ χρήσασθαι οὐκ οἶδας, πότε δυνήσῃ ἀλλοτρίῳ χρήσασθαι καλῶς; εἰ τὸ μέλος τὸ σὸν οὐκ ἐπίστασαι μεταχειρίσασθαι, πότε τὸν ἔξωθεν ἐπισπάσασθαι δυνήσῃ, καὶ συνάψαι ἑαυτῷ; βούλει μὴ ἀκούειν κακῶς; οὐκοῦν μηδὲ λέγε. ἐπιθυμεῖς ἐπαινεῖσθαι, οὐκοῦν ἐγκωμίαζε. ἐλεεῖσθαι βούλει; οὐκοῦν ἐλέει. συγγνώμης θέλεις τυχεῖν; οὐκοῦν μεταδίδου. θέλεις μὴ πλεο- C νεκτεῖσθαι; οὐκοῦν μὴ ἅρπαζε. τοιοῦτοι περὶ τοὺς πλησίον γινώμεθα, οἵους περὶ ἡμᾶς ἐκείνους εἶναι βουλόμεθα. ὥσπερ γὰρ ψυχὴ ἄνευ σώματος οὐ καλεῖται ἄνθρωπος, οὐδ' αὖ σῶμα ἄνευ ψυχῆς, οὕτως οὐδὲ ἀγάπη πρὸς Θεὸν, ἐὰν μὴ ἔχῃ ἀκόλουθον καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην. βούλει θεραπεύειν τὸν δεῖνα; οὐ κωλύω, ἀλλὰ μὴ εἰς ἑτέρου λύπην· οὐ γὰρ ἵνα κατ' ἀλλήλων συνταττώμεθα, διδάσκαλοι ἡμῖν ἐδόθησαν, ἀλλ' ἵνα πάντες ἀλλήλοις συναπτώμεθα. διατί εἷς εἶ; D διατί οὐκ ἐργάζῃ πολλούς; διατί μὴ γίνῃ δημιουργὸς ἀγάπης; διατί μὴ κατασκευάζεις φιλίαν τὸ μέγιστον τῆς ἀρετῆς ἐγκώμιον; ὥσπερ γὰρ τὸ ἐκ συνθήκης εἶναι κακοὺς μᾶλλον παροξύνει τὸν Θεόν, οὕτως τὸ ἐν ὁμονοίᾳ εἶναι ἀγαθοὺς, μᾶλλον εὐφραίνει. μὴ γίνου μετὰ πολλῶν ἐπὶ κακίᾳ. κατασκεύασαί σοι φίλους πρὸ τῶν οἰκιῶν, πρὸ τῶν ἄλλων ἁπάντων. εἰ ὁ εἰρηνοποιὸς υἱὸς Θεοῦ, καὶ ὁ φίλους κατασκευάζων, πόσῳ μᾶλλον; εἰ ὁ καταλλάττων μόνον, υἱὸς Θεοῦ καλεῖται, ὁ E τοὺς καταλλαττομένους φίλους ποιῶν, τίνος οὐκ ἔσται ἄξιος; εἰ γὰρ ὁ μὲν διάβολος ἐχθροὺς ἡμᾶς κελεύει πᾶσι γίνεσθαι, ὁ δὲ Θεὸς ἀσπάζεσθαι καὶ φιλεῖν. καὶ ὁ μὲν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώσας, [οὗτος γάρ ἐστιν ὁ πλοῦτος] οὐδὲ τὰς νύκτας ἀφίησιν ἀναπνεῦσαι μικρόν. ὁ δὲ τῆς μὲν περιττῆς ταύτης καὶ ἀνοήτου φροντίδος ἀφίησι, κελεύει δὲ συνάγειν τοὺς θησαυροὺς ἐν τοῖς οὐρανοῖς, οὐκ ἐκ τῆς εἰς ἑτέρους ἀδικίας, ἀλλ' ἐκ τῆς οἰκείας δικαιοσύνης. κἀκεῖνος μετὰ τοὺς πολλοὺς A ἱδρῶτας καὶ ταλαιπωρίας, οὐ μόνον οὐ δύναται προστῆναι κολαζομένοις ἡμῖν ἐκεῖ, καὶ κακῶς πάσχουσι διὰ τοὺς αὐτοῦ νόμους, ἀλλὰ καὶ ἐπιτείνει τὴν φλόγα· οὗτος δὲ καὶ ποτήριον ἡμῖν ἐπιτάξας δοῦναι ψυχροῦ, οὐδὲ τούτου τὸν μισθὸν καὶ τὴν ἀμοιβὴν ἀφίησιν ἡμᾶς ἀπολέσαι ποτέ, ἀλλὰ μετὰ πολλῆς ἀντιδίδωσι τῆς δαψιλείας. πῶς οὐκ ἐσχάτης ἀνοίας, τὸν οὕτω προσηνῆ δεσπότην, καὶ τοσούτων γέμοντα ἀγαθῶν μὴ φιλοῦντας, ἀχαρίστῳ καὶ ἀγνώμονι δουλεύειν τυράννῳ, καὶ οὐδὲν B οὔτε ἐνταῦθα, οὔτε ἐκεῖ δυναμένῳ τοὺς πειθομένους αὐτῷ καὶ προσήκοντας ὠφελεῖν; μὴ οὖν δυσχεράνητε τοῖς εἰρημένοις· καὶ γὰρ ἐγὼ τὸν φιλοῦντά με, οὐχ ὅταν ἐπαινῇ με μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαλῇ διορθοῦσθαι, τότε φαίην ἂν μάλιστά με φιλεῖν. τὸ μὲν γὰρ ἁπλῶς πάντα ἐπαινεῖν, καὶ τὰ καλῶς ἔχοντα καὶ τὰ μὴ καλῶς, οὐκ ἔστι φιλοῦντος, ἀλλ' ἀπατεῶνος καὶ εἴρωνος· τὸ δὲ ἐπαινεῖν μὲν ὅτε τὰ δέοντα γίνεται, ἐγκαλεῖν δὲ ἂν τι διαμάρτῃ, τοῦτο φίλου καὶ κηδεμόνος ἐστί. τὸν μὲν οὖν ἐχθρὸν οὐδὲ ἐπαινοῦντα δέχομαι, τὸν δὲ φίλον, καὶ ἐγκαλοῦντα προσίεμαι· C ἐκεῖνος κἂν φιλῇ με, ἀηδής ἐστιν· οὗτος κἂν τραυματίζῃ με, ποθεινός ἐστιν. ἀξιοπιστότερα γάρ φησι τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. ὁ μὲν γὰρ κἂν δικαίως κἂν ἀδίκως ἐγκαλῇ, οὐκ ὀνειδίσαι, ἀλλὰ διορθῶσαι βουλόμενος τοῦτο ποιεῖ. ὁ δὲ κἂν δικαίως ἐγκαλῇ, οὐχὶ διορθῶσαι ἀλλ' ἐκπομπεῦσαι μᾶλλον σπουδάζων τοὺς ἐλέγχους ἐπάγει. οὐδὲν ὁμονοίας ἴσον ἀγαπητοί· ὁ γὰρ εἷς, πολλοστός ἐστιν οὕτως. ἂν γὰρ ὁμοψυχῶσι δύο ἢ δέκα, οὐκέτι εἷς ἐστιν ὁ εἷς, ἀλλὰ δε- D καπλασίων ἕκαστος αὐτῶν γίνεται, καὶ εὑρήσεις ἐν τοῖς δέκα τὸν ἕνα, καὶ ἐν τῷ ἑνὶ τοὺς δέκα. κἂν ἐχθρὸν ἔχωσιν, ὁ τῷ ἑνὶ προσβαλὼν, ὡς τοῖς δέκα προσβαλὼν οὕτως ἁλίσκεται. ἠπόρησεν ὁ εἷς· ἀλλ' οὐκ ἔστιν ἐν ἀπορίᾳ· τῷ γὰρ μείζονι μέρει, τὸ ἀπορεῖν συσκιάζεται. ἕκαστος τούτων εἴκοσι ὀφθαλμοὺς, καὶ πόδας τοσούτους, καὶ ψυχὰς ἔχει δέκα. οὐ γὰρ τοῖς ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τοῖς ἐκείνων ἐργάζεται E πάντα. εἰ δὲ καὶ ἑκατὸν γένοιντο, τὸ αὐτὸ ἔσται πάλιν. ὁ αὐτὸς καὶ ἐν Περσίδι, καὶ ἐν Ῥώμῃ δύναται εἶναι. καὶ ὅπερ ἡ φύσις οὐ δύναται, ἰσχύει ἡ τῆς ἀγάπης δύναμις. ἐὰν οὖν χιλίους ἔχῃ φίλους ἢ δισχιλίους, ἐννόησόν που πάλιν ἐπιδώσει τὴν δύναμιν. τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστι, τὸ χιλιοστὸν ποιῆσαι τὸν ἕνα. τίνος οὖν ἕνεκεν οὐ κτώμεθα τὴν δύναμιν τῆς ἀγάπης, καὶ ἐν ἀσφαλείᾳ ἑαυτοὺς καθιστῶμεν; μέχρι τίνος εἰς ἕνα καὶ δύο περιιστῶμεν αὐτήν; κἂν γὰρ πένης ᾖ ὁ φίλους κεκτημένος, πολλῷ τῶν πλουσίων εὐπορώτερος καθέστηκεν. ἅπερ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ εἰπεῖν οὐκ ἐπιχειρεῖ, ταῦτα ὁ φίλος ἀντ' ἐκείνου ἐρεῖ· καὶ ἅπερ οὐ δύναται ἑαυτῷ χαρίσασθαι, δι' ἑτέ-

ρου

ρυχαρεῖσι)· καὶ οὐκ ἔστι παθεῖν κακῶς, τὸν ὑπὸ τοσούτων δορυφόρων φυλαττόμενον. οὐ γὰρ οὕτως οἱ τοῦ βασιλέως σωματοφύλακες ἀκριβεῖς, ὡς οὗτοι. οἱ μὲν γὰρ ἀνάγκῃ καὶ φόβῳ τὴν φυλακὴν ἐπιδείκνυνται· οἱ δὲ εὐνοίᾳ καὶ ἀγάπῃ. κἀκεῖνος μὲν τοὺς φύλακας αὐτοῦ δέδοικεν, οὗτος δὲ τούτοις μᾶλλον ἢ ἑαυτῷ θαῤῥεῖ. καὶ ἄλλως· ποῖον οὕτω τεῖχος ἀῤῥαγὲς, ἁρμονίᾳ λίθων εὐμεγέθων ὀχυρωμένον ἀπόρθητον γίνεται ταῖς τῶν ἐχθρῶν ἐφόδοις, ὡς τὸ σύστημα τῶν ἀλλήλους ἀγαπώντων, καὶ ἐν ὁμοφροσύνῃ περισφιγγομένων; τὰς γὰρ τοῦ διαβόλου προσβολὰς ἀποκρούεται. καὶ μάλα εἰκότως· οἱ γὰρ μετ' ἀλλήλων κατ' ἐκείνου παραταττόμενοι, ἀνάλωτοι γίνονται ταῖς αὐτοῦ μηχανήμασι· τὰ λαμπρὰ τῆς ἀγάπης ἐγείρονται τρόπαια. καὶ καθάπερ αἱ τῆς λύρας νευραὶ πολλαὶ μὲν οὖσαι, εἰς μίαν δὲ νεύουσαι συμφωνίαν, τερπνότατόν τι μέλος ἠχοῦσιν· οὕτως οἱ πρὸς μίαν συγκεκραμένοι γνώμην, εὔηχον ἀνακρούονται τῆς ἀγάπης φθόγγον. καὶ γὰρ οὐδὲν τῆς ἀγάπης γλυκύτερον γένοιτ' ἄν. τί οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος, πόσην μὲν οὐκ ἂν ἐμποιήσειεν ἡδονὴν, πόσην δὲ ὠφέλειαν, πόσην δὲ ἀσφάλειαν; κἂν μυρίους θησαυροὺς εἴποις, οὐδὲν ἀντάξιον γνησίου φίλου. καὶ καθάπερ τῶν λαμπρῶν σωμάτων, ἄνθος ἀποῤῥεῖ πρὸς τοὺς πλησίον τόπους, οὕτω καὶ φίλοι, εἰς ἂν παραγίνωνται τόπους, τὴν ἑαυτῶν χάριν ἀφιᾶσι. κρεῖττον ἦν ἐν σκότῳ διάγειν, ἢ φίλων εἶναι χωρίς. οὐ γὰρ οὕτω πυρετὸς κατατείνειν εἴωθε σώματος φύσιν, ὡς τὰς ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων. τοιοῦτος γάρ ἐστιν ὁ τῆς ἀγάπης ἔρως, ὡς τοὺς μὴ συμπαρόντας ἡμῖν, ἀλλ' ἀπόντας, ποθουμένους δὲ, καθ' ἑκάστην φαντάζεσθαι ποιεῖν ἡμᾶς τὴν ἡμέραν. καὶ τῶν μὲν ἐν χερσὶ πάντων ἀφίστησι, μόνῳ δὲ τῷ ποθουμένῳ προσδεσμεῖ τὴν τοῦ φιλοῦντος ψυχήν· εἰ δὲ ἀγαπώμενόν τις ὁρῶν, μᾶλλον δὲ μεμνημένος τούτου διανίσταται τῇ ψυχῇ, καὶ ὑψηλὸς γίνεται τὴν διάνοιαν, καὶ πάντα εὐκόλως φέρει ἐντρυφῶν τῇ μνήμῃ· ὁ τὸν ὄντως ἀγαπῆσαι ἡμᾶς καταξιώσαντα ἔχων ἐν διανοίᾳ, καὶ μεμνημένος αὐτοῦ, πότε ἢ λυπηρόν τινος αἰσθήσεται, ἢ φοβερόν τι καὶ ἐπικίνδυνον φοβηθήσεται; οὐδέποτε. εἰ γὰρ παρὰ ἀνθρώπων δυνατῶν ἀγαπώμενοι φοβεροὶ πᾶσίν ἐσμεν, πολλῷ μᾶλλον παρὰ τοῦ Θεοῦ. κἂν χρήματα δέῃ, κἂν σώματα, κἂν αὐτὴν τὴν ψυχὴν ὑπὲρ ταύτης δοῦναι τῆς ἀγάπης, μὴ φεισώμεθα. οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων λέγειν, ὅτι ἀγαπῶμεν, ἀλλὰ χρὴ καὶ τὴν ἐκ τῶν πραγμάτων δεικνύειν ἀπόδειξιν. οὐδὲ γὰρ αὐτὸς διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀγάπην. εἰ γὰρ ἐν τῇ τῶν μεγάλων οἰκίᾳ οἰκέτης ὁ τὰ αὐτοῦ τοῦ δεσπότου ποιησάμενος, οὐ τὰ αὐτοῦ τοῦ δεσπότου πεποίηκεν, ἀλλὰ τὰ τοῦ δεσπότου ἑαυτοῦ, καὶ ὁμοίως αὐτοῖς τοῖς ἐκείνου κέχρηται· καὶ πολλοὶ τῶν οἰκετῶν μᾶλλον αὐτὸν δεδοίκασιν ἢ ἐκεῖνον· καὶ ἐπειδὴ τῶν ἑαυτοῦ κατεφρόνησεν, οὐχὶ κατεφρόνησε τῶν ἑαυτοῦ, ἀλλὰ μᾶλλον μειζόνων ἐπέτυχε· πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. μὴ τοίνυν φροντίζωμεν τῶν ἡμετέρων, ἵνα φροντίζωμεν τῶν ἡμετέρων· ἀλλὰ καταφρονῶμεν αὐτῶν, ἵνα κτησώμεθα αὐτά. ἂν γὰρ ἡμεῖς αὐτῶν καταφρονήσωμεν, ὁ Θεὸς αὐτῶν ἐπιμελήσεται· ἂν δὲ ἡμεῖς αὐτῶν ἐπιμελώμεθα, ὁ Θεὸς αὐτῶν καταφρονήσει. εἴ τις οὖν φιλεῖν ἐθέλει γνησίως, καὶ δύναμιν ἀγάπης ἐπίστασθαι, ἐπὶ τὸν ταύτης τρόφιμον, τὸν μακάριον Παῦλον δραμέτω, κἀκεῖνος αὐτὸν διδάξει, ἡλίκος ἐστὶν ἆθλος ἐνεγκεῖν χωρισμὸν φιλουμένου, καὶ ἡλίκης δεόμενος ψυχῆς. οὗτος γὰρ οὗτος ὁ τὴν σάρκα ἀποδυσάμενος, καὶ τὸ σῶμα ἀποθέμενος, καὶ γυμνῇ σχεδὸν τὴν οἰκουμένην περιιὼν τῇ ψυχῇ, καὶ πᾶν πάθος ἐξορίσας τῆς διανοίας, καὶ τῶν ἀσωμάτων δυνάμεων τὴν ἀπάθειαν μιμούμενος, τὰ μὲν ἄλλα πάντα ῥᾳδίως ἔφερεν, ὡς ἐν ἀλλοτρίῳ πάσχων σώματι, καὶ δεσμωτήρια καὶ ἀλύσεις, καὶ ἀπαγωγὰς, καὶ μάστιγας, καὶ ἀπειλὰς, καὶ θάνατον, καὶ πᾶν κολάσεως εἶδος, μιᾶς δὲ ψυχῆς ἀγαπωμένης παρ' αὐτοῦ χωρισθεὶς, οὕτως συνεχύθη καὶ διεταράχθη, ὡς ἐν ᾗ τὸν ἀγαπώμενον προσεδόκα ἰδεῖν, οὐχ εὑρὼν, εὐθέως καὶ τῆς πόλεως ἀποπηδῆσαι. τί τοῦτο, ὦ μακάριε Παῦλε, ξύλῳ μὲν δεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ἔχων ἐπικειμένας, καὶ τὰ νῶτα αἵματι περιῤῥεόμενος, καὶ ἐμυσταγώγεις, καὶ ἐβάπτιζες, καὶ θυσίαν προσῆγες, καὶ ἑνὸς οὐ κατεφρόνησας μέλλοντος σώζεσθαι· εἰς δὲ τὴν Τρωάδα ἐλθὼν, καὶ τὴν ἄρουραν εὑρὼν ἐκκεκαθαρμένην, καὶ ἑτοίμην οὖσαν τὰ σπέρματα δέξασθαι, τοσοῦτον ἔῤῥιψας ἀπὸ τῶν χειρῶν κέρδος, καὶ ἀπεπήδησας εὐθέως; ναί φησι. πολλῇ γὰρ κατειχόμην ἀθυμίας τυραννίδι, καὶ σφόδρα μου συνεῖχε τὴν διάνοιαν ἡ Τίτου ἀπουσία· καὶ οὕτως μου ἐκράτησε καὶ περιεγένετο, ὡς ἀναγκάσαι τοῦτο ποιῆσαι. εἶδες πῶς μέγιστος ἆθλος τὸ δυνηθῆναι ἐνεγκεῖν πρᾴως ἀγαπωμένου χωρισμόν; πῶς ὀδυνηρὸν πρᾶγμα καὶ πικρόν; πῶς ὑψηλῆς δεομένου καὶ γενναίας ψυχῆς; οὐδὲ γὰρ ἀρκεῖ τοῖς ἀγαπῶσι μόνον τὸ τῇ ψυχῇ συνδεδέσθαι, οὐδὲ ἀποχρῶνται τοῦτο εἰς παραμυθίαν,

A non poteſt, per alium tribuit. Fieri etiam non poteſt; ut adverſi quid eveniat ei, qui tot ſatellitibus cuſtoditur. Non enim ita ſinceri & fideles ſunt Regis ſtipatores, ſicut iſti. Illi ſiquidem coactione & timore cuſtodiam præſtant; hi verò benevolentia & amore. Et Rex quidem cuſtodes ſuos metuit, amicus verò plus amicis quàm ſibi ipſi confidit. Ac præterea quinam adeò firmus eſt, adeò prægrandium lapidum coagmentatione munitus, & hoſtium incurſibus inexpugnabilis murus, ſicuti eſt mutuo amore ſeſe proſequen- *Ex orat. de perfecta charitate.*
B tium, atque in concordia ſibi devinctorum congregatio? hæc enim etiam diaboli inſultus repellit. Et meritò illud quidem, qui enim ſe invicem contra ipſum conſociant & inſtruunt, illius molitionibus inſuperabiles fiunt, atque illuſtria charitatis erigunt trophæa. Et quemadmodum fides in lyra, licet multæ ſint; ad unam tamen conſonantiam ſpectantes, ſuaviſſimum carmen reſonant: ita qui in una voluntate conjuncti ſunt, canorum charitatis ſonitum reddunt. Nihil enim dilectione dulcius eſſe poteſt. Quid igitur amicus ſin- *Ex epiſt. ad Theſſ.*
C cerus non præſtet? quam voluptatem, quod emolumentum, quam ſecuritatem non adferat? Etiamſi ſexcentos theſauros dixeris, nihil tamen cum ſincero amico conferendum dices. Et ſicuti fulgida corpora colorem in vicina loca emittunt; ita amici quoque, quò locorum perveniunt, ſuam beneficentiam veluti ſpargunt. Melius igitur eſt in tenebris vitam agere, quàm amicis carere. Non enim ita febris corporum naturam perurere ſolet, ſicut animos abſentia eorum quos amamus, Talis enim res eſt charitatis dilectio ut eos, qui
D nobiſcum unà non ſunt præſentes, ſed disjuncti, interim à nobis deſiderantur, quotidie apparere nobis faciat: Et à præſentibus quidem omnibus cor amantis avertit, & cum deſiderato conjungit. Si verò *Ex Evang. ſecundum Joann.* quis, cùm dilectum videt, imò etiam cùm illius recordatur, animo erigitur & mente ſublimis fit, omniaque leviter fert, iſta recordatione oblectatus; quando aut triſte aliquid ſentiet, aut formidabile ac periculoſum quid extimeſcet ille, qui in mente habet ac memor eſt illius qui verè nos diligere dignatus eſt? Nunquam ſanè. Si enim,
E cum ab hominibus præpotentibus diligimur, omnibus terribiles & metuendi ſumus, multo magis ſi à Deo diligamur. Quamvis igitur aut opes, aut corpus aut animam ipſam pro charitate iſta impendere oporteat, ne parcamus. Nec enim ſufficit, quòd verbis dicamus nos diligere, ſed rebus ipſis id demonſtrare oportet, cùm ille non verbis duntaxat, ſed rebus ipſis ſuam in nos charitatem oſtenderit. Si enim in potentum ædibus famulus quis, ubi res domini ſui probè curaverit, non quæ ſua ſunt domini ſui fecis, ſed quæ ſunt domi-
A ni, ſua fecit, & perinde ipſius rebus utitur ac ſuis, multique è domeſticis magis ipſum quàm herum timent, & quia ſua ipſius negotia ſprevit, non ſprevit ſua, ſed majora adeptus eſt: multo magis in ſpiritualibus id verum erit Ne igitur res noſtras curemus, ut res *Ex epiſt. 2. ad Cor.* noſtras curemus, ſed eas deſpiciamus, ut eas poſſideamus. Si enim eas nihili pendamus, Deus illas curabit: Si verò nos illas curemus, Deus eadem deſpiciet. Si itaque quis ſincerè diligere velit, & charitatis vim cognoſcere, ad hujus alumnum, Beatum Pau-
B lum dico, curras, & docebit ipſum, quantus ſit labor, quan- *Ex epiſt. ad Tim.* toque animo opus ſit, ut dilecti ſeparationem quis ſuſtineat. Iſte enim, iſte inquam, qui veluti carne exuta & corpore depoſito, nuda propemodum totum terrarum orbem anima peragravit, qui omni ex animo perturbatione eliminata, incorporearum virtutum liberam doloribus naturam imitans, alia omnia facilè ferebat, perinde ac ſi in alieno corpore & carceres, & vincula, & exilia, & flagella, & minas, & mortem, omneque ſuppliciorum genus patere-
C tur, ab una verò ſibi dilecta anima ſeparatus, adeò confuſus & conturbatus fuit, ut in qua dilectum viſurum ſe ſperabat, non invento eo, protinus è civitate proſiliret. Quid hoc, ô Beate Paule? tu vinctus quidem compedibus, & in carcere poſitus, & flagella incumbentia ſuſtinens, & ſcapulas ſanguine habens circumfuſas, myſteria docebas, ſacro baptiſmate initiabas, & ſacrificium offerebas, nec unicum ſalvandum deſpiciebas; in Troadem verò profectus, cùm terram expurgatam, & ad ſatus exci-
D piendos præparatam inveniſſes, tam præclarum ex manibus lucrum abjeciſti, & confeſtim inde exiluſti? Utique, inquit; magna enim mœroris vi occupatus fui, & vehementer mentem perturbabat Titi abſentia; atque ita me vicit & ſuperavit, ut me id facere cogeret. Videſne quomodo maximum ſit negotium, dilecti ſeparationem placidè ferre poſſe: quàm grave ſit & acerbum? quàm excelſo opus ſit & forti animo? Non enim diligentibus ſatis eſt, animo duntaxat amore copula-
E tum eſſe, neque hoc illis ad conſolationem ſufficit,

ſed corporali etiam indigent præſentia : ac ſi deſtituantur, haud exigua pars lætitiæ præciſa eſt. Papæ, quàm ignitus eſt charitatis amor! En, Paulus qui contra ignem imperterritus erat, adamantinus ille, firmus, immotus, inflexibilis, dicens : Quis ſeparabit nos à charitate Chriſti ? tribulatio, aut anguſtia, aut fames, aut perſecutio, aut nuditas, aut periculum, aut gladius ? qui terræ & mari ſe opponit, qui adamantinas portas mortis irridet, hic ut charorum vidit aliquorum lachrymas, ita confractus & contritus eſt, ut affectum jam non occultaret, ſed continuo diceret: Quid facitis plorantes & cor meum affligentes? Quid quæſo, inquis: num adamantinum illum animũ lachrymæ frangere potuerunt? Utique dicis, magna enim charitatis eſt vis : ipſa me ſuperat & vincit. Etenim adverſus omnia reluctor; ſola charitate excepta. Quis non obſtupeſcat? Quis non miretur? Imò verò quis dignè ſatis admiretur & obſtupeſcat generoſam illam & ad cœlos pertingentem animam, quod ligatus & carcere concluſus à tanta diſtantia Philippenſibus literas ſcriberet? Noſtis enim quantum ſpatium interſit inter Macedoniam & Romam. At neque viæ longitudo, neq; temporis diuturnitas, neque negotiorum multitudo, neque periculum & ſibi continuo ſuccedentia mala, neque aliud quicquam dilectionem & memoriam diſcipulorum exemit, ſed omnes illos in mente continuit. Non ita manus illius catenis conſtrictæ erant, ſicut diſcipulorum deſiderio animus conjunctus & affixus fuerat. Et quemadmodum Rex aliquis conſcenſo ſub auroram ſolio, ubi in regali aula conſedit, ſexcentas protinus ex omni loco recipit Epiſtolas : ita porrò ille in carcere velut in regia quadam aula conſidens, multo frequentiores accipiebat & tranſmittebat literas eorum, qui cunctis in locis ad ipſius ſapientiam de omnibus negotiis ſuis omnia referebant. Et tanto quidem plura negotia adminiſtrabat quàm Rex, quanto amplius illi imperium creditum fuerat. Ejuſmodi enim eſt vis charitatis, ut non præſentes duntaxat, & qui propinqui nobis ſunt atque videntur, ſed etiam longè diſtantes complectatur, conglutinet & conjungat: atque nec temporum diuturnitas, neque viarum diſtantia, nec quicquam ejuſmodi rerum, animæ amicitiam dirimere poſſit & divellere. Et verò ita diligere amantem oportet, ut ſi etiam anima ab ipſo peteretur, & fieri poſſet, non deneges. Nihil enim cum ſincero amico conferendum. Exultat enim amicus, dum eum cernit, quem diligit, lætitiaque perfunditur : connectitur etiam illi nexu quodam animæ, ineffabilem habente voluptatem. Ac ſi recordatus illius tantummodo fuerit, mox cogitatione aſſurgit & elevatur: ac in ſingulos dies ipſum videns, non ſatiatur, nec quicquam habet, quod alterius non ſit : eadem illi, quæ ſibi, optat. Novi ego quemdam, qui, cùm ſanctos viros pro amico interpellaret, rogabat, ut pro illo primùm, deinde pro ſe orarent. Novi etiam Paulum, qui non rogatus libenter animam ſuam dabat, & in gehennam incidere pro ſibi dilectis optabat. Sic nimirùm ignito affectu diligere oportet, ne quis debitorem illum habere videatur. Qui enim diligit, non imperare ſolùm, ſed etiam ſibi imperari vult: magis optat ſubditus eſſe, quàm aliis pro poteſtate jubere. Qui diligit, mavult beneficium tantum conferre, quàm accipere : Debitorem enim habere amicum potiùs cupit, quàm ſe illi debere. Qui diligit, ille & gratiam conferre vult amico, & gratiam tamen conferre non vult videri : & ipſe author beneficentiæ eſſe vult, & author tamen ejuſmodi eſſe videri non vult. Nec tamen mihi hîc ſimpliciter amicos intelligite menſæ ſocios, & qui ſolo nomine amici appellantur. Si quis amicum habeat, qualem dico, verba facilè intelliget. Vita præſenti amicus dulcior eſt. Multi itaque poſt amicorum mortem non ampliùs vivere optaverunt : revera enim amicus ipſa luce deſiderabilior eſt. Melius enim nobis foret ſolem extinctum eſſe, quàm amicis eſſe privatos. Non pauci enim ſolem videntes, in tenebris ſunt : qui verò abundè habent amicos, in anguſtia minimè eſſe poſſunt. Si tamen cujuſquam amicitia tibi obſit, prorſus eam à te reſcinde. Si enim non rarò aliqua è membris noſtris reſecamus, cùm inſanabilia ea ſunt ac cæteris noxia, multò magis in anima id faciendum eſt. Nihil enim tam pernicioſum eſt, quàm improba ſocietas : quæ enim neceſſitas non poteſt, illa perſæpè tum ad perniciem, tum ad utilitatem poteſt amicitia. Qui porrò cum hoſtibus Regis amicitiam init, Regis amicus eſſe nequit. Longè verò præſtantius eſt odium, quod propter Chriſtum ſuſtinemus, quàm amicitia, quam propter Chriſtum habemus. Cùm enim propter Deum diligimus, nos debitores illi ſumus honoris, cum verò odium ſuſtinemus, ille nobis honorem debet. Quicunque igitur non propter Chriſtum contemnimus pecunias, ſed potiùs propter nos, horreamus, cum mente revolimus illud, quod Beatum Paulum ad Chriſtum amandum permovit. Ille ſiquidem non Chriſtum, propter ea quæ Chriſti ſunt,

Ex 1. ad Theſſ.

Ex Evang. ſecundum Matth.

A ἀλλὰ καὶ σωματικῆς δέονται παρουσίας· κἂν μὴ τοῦτο προσῇ, οὐ μικρὸν τῆς εὐφροσύνης ἀποτέτμηται μέρος. Βαβαὶ τοῦ διαπύρου ἔρωτος τῆς ἀγάπης. ὁ πυρὸς καταστολμῶν Παῦλος, ὁ ἀδαμάντινος, ὁ στερρὸς, ὁ ἀκλινὴς, ὁ ἀκαμπής· ὁ λέγων Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμὸς, ἢ κίνδυνος, ἢ μάχαιρα; ὁ γῆς καὶ θαλάττης καταστολμῶν, ὁ τῶν ἀδαμαντίνων τοῦ θανάτου πυλῶν καταγελῶν· οὗτος
B ἐπειδή τινων ἀγαπητῶν εἶδε δάκρυα, οὕτως κατεκλάσθη καὶ συνετρίβη, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ' εἰπεῖν εὐθέως· Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; Τί λέγεις, εἰπέ μοι; ἐκείνην τὴν ἀδαμαντίνην ψυχὴν συντρῖψαι δάκρυον ἴσχυσε; ναί φησι· πολλὴ γὰρ ἡ τῆς ἀγάπης ἰσχύς. αὕτη με περιγίνεται καὶ κρατεῖ· πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης. Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειε; μᾶλλον δὲ τίς κατ' ἀξίαν ἐκπλαγείη
C καὶ θαυμάσειεν ἂν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη ψυχὴν, ὅτι δεδεμένος καὶ κατειργμένος ἀπὸ τοσούτου διαστήματος Φιλιππησίοις ἐπέστελλεν; ἴστε γὰρ ὅσον τὸ μέσον Μακεδονίας καὶ Ῥώμης. ἀλλ' οὔτε τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν πραγμάτων ὄχλος, οὔτε ὁ κίνδυνος καὶ τὰ ἐπάλληλα δεινὰ, οὔτε ἄλλο οὐδὲν, τὴν ἀγάπην καὶ τὴν μνήμην ἐξέβαλε τῶν μαθητῶν, ἀλλ' εἶχεν αὐτοὺς ἅπαντας ἐν διανοίᾳ· οὐχ οὕτως αὐτοῦ ταῖς ἁλύσεσιν αἱ χεῖρες ἐδέδεν-
D το, ὡς τῷ πόθῳ τῶν μαθητῶν ἡ ψυχὴ συνδέδετο καὶ προσήλωτο. καὶ καθάπερ βασιλεὺς ἐπὶ τὸν θρόνον ἀναβὰς ὑπὸ τὴν ἕω, καὶ καθίσας ἐν ταῖς βασιλικαῖς αὐλαῖς, μυρίας εὐθέως δέχεται πανταχόθεν ἐπιστολὰς, οὕτω δὴ κἀκεῖνος, καθάπερ ἐν ταῖς βασιλικαῖς αὐλαῖς τῷ δεσμωτηρίῳ καθήμενος, πολλῷ πλείω καὶ ἐδέχετο καὶ ἔπεμπε συνεχῶς τὰ γράμματα, τῶν πανταχόθεν ἐπὶ τὴν ἐκείνου σοφίαν, ὑπὲρ τῶν καθ' ἑαυτοὺς πραγμάτων ἀναφερόντων ἅπαντα· καὶ τοσούτῳ πλείονα πράγματα τοῦ βασιλέως ᾠκονόμει, ὅσῳ καὶ μείζονα
E ἀρχὴν ἐμπεπίστευτο. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης ἐστὶ δύναμις, ὡς οὐ τοὺς παρόντας μόνον καὶ πλησίον ὄντας ἡμῶν καὶ ὁρωμένους, ἀλλὰ καὶ τοὺς μακρὰν ἀφεστῶτας περιλαμβάνειν, καὶ συγκολλᾶν καὶ συνδεῖν. καὶ οὔτε χρόνων πλῆθος, οὔτε ὁδῶν διαστήματα, οὔτε ἄλλο τι τῶν τοιούτων οὐδὲν, ψυχῆς φιλίαν δύναιτ' ἂν διακόψαι καὶ διατεμεῖν. καὶ γὰρ οὕτω δεῖ φιλεῖν τὸν φιλοῦντα, ὡς εἰ καὶ τὴν ψυχὴν αἰτηθῇ, καὶ δυνατὸν ᾖ, μὴ κωλῦσαι· οὐδὲν γὰρ ἀντάξιον γνησίου φί-
A λου. ἥδεται γὰρ ὁ φιλῶν ὁρῶν τὸν φιλούμενον, καὶ διαχεῖται, συμπλέκεται αὐτῷ συμπλοκήν τινα κατὰ τὴν ψυχὴν, ἄρρητον ἔχουσαν τὴν ἡδονήν. κἂν ἀναμνησθῇ μόνον αὐτοῦ, διανίσταται τῇ διανοίᾳ καὶ ἀναπτεροῦται, καὶ βλέπων τοῦτον καθ' ἑκάστην ἡμέραν, οὐ κορέννυται, οὐδέ ἐστιν αὐτῷ ὅπερ μή ἐστιν ἐκείνου. ταῦτα αὐτῷ ἐπεύχεται ἅπερ καὶ ἑαυτῷ. οἶδα ἐγώ τινα ὃς ὑπὲρ φίλου τοὺς ἁγίους ἄνδρας παρακαλῶν, παρεκάλει πρότερον εὔχεσθαι ὑπὲρ αὐτοῦ, καὶ τότε ὑπὲρ ἑ-
B αυτοῦ. οἶδα καὶ Παῦλον τὴν ψυχὴν ἡδέως διδόντα τὴν ἑαυτοῦ, καὶ μὴ αἰτηθέντα. καὶ εἰς γέενναν ἐμπεσεῖν ὑπὲρ τῶν φιλουμένων εὐχόμενον· οὕτω χρὴ φιλεῖν διαθέσει πεπυρωμένῃ, ὡς μὴ δοκεῖν ὀφειλέτην ἔχειν ἐκεῖνον. ὁ γὰρ ἀγαπῶν, οὐκ ἐπιτάττειν βούλεται μόνον, ἀλλὰ καὶ ἐπιτάττεσθαι· χαίρει μᾶλλον ἐπιταττόμενος ἤπερ ἐπιτάττων. ὁ ἀγαπῶν χαρίζεσθαι βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν· θέλει γὰρ ὀφειλέτην ἔχειν τὸν φίλον, ἤπερ αὐτὸς ὀφείλειν
C ἐκείνῳ. ὁ ἀγαπῶν, καὶ βούλεται χαρίζεσθαι τῷ ἀγαπωμένῳ, καὶ οὐ βούλεται δοκεῖν χαρίζεσθαι· καὶ ἄρχειν αὐτὸς εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν εὐεργεσίας. καὶ μή μοι τοὺς ἁπλῶς φίλους ἐννοεῖτε, τοὺς κοινωνοὺς τῶν τραπεζῶν, καὶ ἀπὸ προσηγορίας μόνης φίλους λογιζομένους· εἴ τις ἔχει φίλον, οἷον λέγω, ἐπιγνώσεται τὰ ῥήματα. τῆς παρούσης ζωῆς φίλος ἡδύτερος. πολλοὶ γοῦν μετὰ τὴν τῶν φίλων τελευτὴν, εὔξαντο μηκέτι ζῆσαι λοιπόν· καὶ γὰρ ὄντως καὶ τοῦ φωτὸς αὐ-
D τοῦ ποθεινότερος φίλος. βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον, ἢ φίλων ἀποστερηθῆναι. πολλοὶ γὰρ τὸν ἥλιον ὁρῶντες, ἐν σκότῳ εἰσί· φίλων δὲ εὐποροῦντες, οὐδ' ἂν ἐν θλίψει γένοιντο. εἰ δέ τινός σε φιλία βλάπτει, ἔκκοπτε ἀπό σου. εἰ γάρ τινα τῶν ἡμετέρων μελῶν πολλάκις ἀποτέμνομεν, ὅταν αὐτά τι ἀνίατον ἔχῃ, καὶ τοῖς λοιποῖς λυμαίνηται, πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς ποιεῖν χρή. οὐδὲν γὰρ οὕτω βλαβερὸν, ὡς συνουσία πονηρά. ὅσα γὰρ ἀνάγκη μὴ δύναται, δύναται φιλία πολλάκις εἰς βλάβην καὶ ὠφέλειαν. ὁ δὲ τοῖς ἐχ-
E θροῖς τοῦ βασιλέως συμφιλιάζων, οὐ δύναται φίλος τοῦ βασιλέως εἶναι· τῆς γὰρ φιλίας τῆς διὰ τὸν Χριστὸν, τὸ μῖσος τὸ δι' αὐτὸν, πολλῷ βέλτιον. ὅταν μὲν γὰρ φιλώμεθα διὰ τὸν Θεὸν, ἡμεῖς ὀφειλέται αὐτοῦ ἐσμεν τῆς τιμῆς· ὅταν δὲ μισώμεθα, αὐτὸς ἡμῖν ὀφειλέτης ἐστὶ τῆς τιμῆς. ὅσοι τοίνυν μηδὲ χρημάτων διὰ τὸν Χριστὸν καταφρονοῦμεν, μᾶλλον δὲ δι' ἡμᾶς, φρίξωμεν τὸ περὶ τὸν Χριστὸν τοῦ Παύλου φίλτρον ἐν διανοίᾳ λαμβάνοντες. οὐδὲ γὰρ τὸν Χριστὸν οὗτος ἐφίλει διὰ τὰ τοῦ Χριστοῦ,

ἀλλὰ

ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου· καὶ ἓν ἐδεδοίκει μόνον, τὸ τῆς ἀγάπης ἐκπεσεῖν τῆς πρὸς ἐκεῖνον. τοῦτο γὰρ αὐτῷ καὶ γεέννης φοβερώτερον ἦν· ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ, βασιλείας ποθεινότερον. ὅταν μὲν οὖν ἐκεῖνος διὰ τὸν τοῦ Θεοῦ πόθον, καὶ εἰς γέενναν καταδέχηται ἐμπεσεῖν, εἴγε ἀμφότερα ταῦτα προὔκειτο, ἡμεῖς δὲ μηδὲ τοῦ παρόντος καταφρονῶμεν βίου, ἆρα ἄξιοι τῶν γοῦν ὑποδημάτων ἐσμὲν τῶν ἐκείνου, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῆς μεγαλονοίας; διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. καὶ ὃς ἐὰν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. καὶ γὰρ πολὺς ὁ πόνος τοῦ κατορθώματος τούτου πρόσεστι, καὶ αὐτὴν σχεδὸν ὑπερβαίνων τὴν φύσιν. καὶ τοῦτο ἴσασιν οἱ καταξιωθέντες τῶν στεφάνων τούτων καλῶς. λόγος γὰρ οὐδεὶς αὐτὸ παραστῆσαι δυνήσεται, οὕτω γενναίας τὸ πρᾶγμά ἐστι ψυχῆς, καὶ μεθ' ὑπερβολῆς θαυμαστόν. ἀλλ' ὅμως τὸ θαυμαστὸν τοῦτο, οὐδὲν μέγα εἴρηκεν ὠφελεῖν, ἀγάπης χωρὶς, ὁ Παῦλος, κἂν τὴν ἀκτημοσύνην συνεζευγμένην ἔχῃ. τίνος οὖν ἕνεκεν οὕτως εἴρηκε, τοῦτο ἤδη δεῖξαι πειράσομαι, πρότερον ἐκεῖνο ζητήσας, πῶς ὁ τὰ ὑπάρχοντα ψωμίζων πάντα, δύναται μὴ ἔχειν ἀγάπην; τὸν μὲν γὰρ ἕτοιμον ὄντα καίεσθαι, καὶ τὰ χαρίσματα ἔχοντα, οὐ χωρεῖ ἴσως καὶ μὴ ἀγαπῆσαι· ὁ δὲ μὴ μόνον διδοὺς τὰ ὑπάρχοντα, ἀλλὰ καὶ ψωμίζων, πῶς οὐκ ἀγαπᾷ; τί οὖν ἔστιν εἰπεῖν; ἢ ὅτι τὸ οὐκ ὂν ὡς ὂν ὑπέθετο, ὅπερ ἀεὶ φιλεῖ ποιεῖν, ὅταν ὑπερβολὴν παραστῆσαι βουληθῇ. ὡς ὅταν Γαλάταις γράφων λέγῃ· ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καίτοι οὔτε αὐτὸς, οὔτε ἄγγελος ἔμελλε τοῦτο ποιεῖν. ἀλλ' ἵνα δείξῃ τὴν ὑπερβολὴν τοῦ πράγματος, καὶ τὸ μηδ' ὅλως ἐσόμενον τέθεικε. καὶ πάλιν ὅταν Ῥωμαίοις ἐπιστέλλῃ καὶ λέγῃ· οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. οὐδὲ γὰρ τοῦτο ἔμελλον ποιεῖν ἄγγελοι, ἀλλὰ κἀνταῦθα τὸ μὴ ὂν ὑποτίθεται. ὥσπερ οὖν καὶ ἑξῆς λέγων· οὔτε κτίσις ἑτέρα· καίτοιγε ἑτέρα οὐκ ἔστι κτίσις. πᾶσαν γὰρ αὐτὴν περιέλαβε· καὶ τὰ ἄνω καὶ τὰ κάτω πάντα εἰπών· ἀλλ' ὅμως κἀνταῦθα τὸ μὴ ὂν καθ' ὑπόθεσιν τίθησιν, ὥστε δεῖξαι τὸν μεθ' ὑπερβολῆς αὐτοῦ πόθον. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ, λέγων, ὅτι κἂν πάντα τις δῷ, ἀγάπην δὲ μὴ ἔχῃ, οὐδὲν ὠφελεῖται. ἢ τοῦτο ἔστιν εἰπεῖν, ἢ ὅτι βούλεται τοὺς παρέχοντας καὶ συγκολλᾶσθαι τοῖς λαμβάνουσι, καὶ μὴ ἁπλῶς διδόναι ἀσυμπαθῶς, ἀλλ' ἐλεοῦντας καὶ κατακαμπτομένους, ἐπικλωμένους καὶ συναλγοῦντας τοῖς δεομένοις. διὰ τοῦτο γὰρ ἡ ἐλεημοσύνη παρὰ τοῦ Θεοῦ νενομοθέτηται. καὶ γὰρ ἠδύνατο τοὺς πένητας διατρέφειν ὁ Θεὸς καὶ χωρὶς τούτου· ἀλλ' ἵνα ἡμᾶς εἰς τὴν ἀγάπην συνδήσῃ, καὶ ἵνα διαθερμαινώμεθα πρὸς ἀλλήλους, παρ' ἡμῶν αὐτοὺς ἐκέλευσε τρέφεσθαι. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· κρείσσων λόγος ἀγαθὸς ἢ δόσις· καὶ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν. καὶ αὐτός φησιν· ἔλεον θέλω καὶ οὐ θυσίαν. ἐπειδὴ γὰρ ἔθος τούς τε εὐεργετουμένους φιλεῖν, τούς τε εὖ πάσχοντας πρὸς τοὺς εὐεργετοῦντας οἰκειότερον διακεῖσθαι, σύνδεσμον φιλίας ποιῶν, τοῦτο ἐνομοθέτησε. καὶ ἵνα μάθητε ὅσον ἐστὶ τὸ κατόρθωμα, ὑπογράψωμεν αὐτὴν τῷ λόγῳ, ἐπειδὴ τοῖς πράγμασιν αὐτὴν οὐχ ὁρῶμέν που φαινομένην· καὶ ἐννοήσωμεν, εἰ πανταχοῦ μετὰ δαψιλείας ἦν αὕτη, πόσα ἂν ἐγένετο ἀγαθά· οὔτε γὰρ νόμων, οὔτε δικαστηρίων ἔδει, οὐ κολάσεων, οὐ τιμωριῶν, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός. εἰ γὰρ ἅπαντες ἠγάπων καὶ ἠγαπῶντο, οὐδὲν ἂν ἠδίκησεν οὐδείς· ἀλλὰ καὶ φόνοι, καὶ μάχαι, καὶ πόλεμοι, καὶ στάσεις, καὶ ἁρπαγαὶ, καὶ πλεονεξίαι, καὶ πάντα ἂν ἐκποδὼν ἐγεγόνει τὰ πονηρὰ, καὶ μέχρις ὀνόματος ἂν ἠγνοήθη ἡ κακία. τὰ μέντοι σημεῖα οὐκ ἂν τοῦτο εἰργάσαντο, ἀλλὰ καὶ εἰς κενοδοξίαν ἐπαίρει τοὺς μὴ προσέχοντας, καὶ ἀπόνοιαν. καὶ τὸ δὴ θαυμαστὸν τῆς ἀγάπης, ὅτι τὰ μὲν ἄλλα ἀγαθὰ ἔχει παρεζευγμένα τὰ κακά· οἷον ὁ ἀκτήμων φυσᾶται πολλάκις διὰ τοῦτο· ὁ λέγειν εἰδὼς, καὶ δοξομανίαν νοσεῖ· ὁ ταπεινόφρων, δι' αὐτὸ τοῦτο πολλάκις κατὰ τὸ συνειδὸς μέγα φρονεῖ· ἡ δὲ ἀγάπη πάσης τῆς τοιαύτης ἀπήλλακται λύμης· κατὰ γὰρ τοῦ ἀγαπωμένου, οὐκ ἄν τις ἐπαρθείη ποτέ. καὶ μή μοι θῇς ἕνα ἀγαπῶντα, ἀλλὰ πάντας ὁμοίως, καὶ τότε αὐτῆς εἴσῃ τὴν ἀρετήν. μᾶλλον δὲ εἰ βούλει πρῶτον ἕνα ἀγαπώμενον, καὶ ἕνα φιλοῦντα ὑπόθες, φιλοῦντα μέντοι ὡς φιλεῖν ἄξιον. τὴν γὰρ γῆν οὕτως ὡς τὸν οὐρανὸν οἰκήσει, πανταχοῦ γαλήνης ἀπολαύων, καὶ μυρίους ἑαυτῷ πλέκων στεφάνους. ὁ γὰρ τοιοῦτος καὶ φθόνου καὶ ὀργῆς, καὶ βασκανίας, καὶ ἀπονοίας, καὶ κενοδοξίας, καὶ πονηρᾶς ἐπιθυμίας, καὶ παντὸς ἔρωτος ἀτόπου, καὶ παντὸς νοσήματος καθαρεύουσαν διατηρήσει τὴν ἑαυτοῦ ψυχήν. ὥσπερ γὰρ ἑαυτῷ οὐκ ἄν τις ἐργάσαιτό τι κακόν, οὕτως οὐδὲ τοὺς πλησίον οὗτος. τοιοῦτος δὲ ὢν, μετ' αὐτοῦ στήσεται τοῦ Γαβριὴλ ἐπὶ τῆς γῆς βαδίζων. καὶ ὁ μὲν ἀγάπην ἔχων τοιοῦτος. ὁ δὲ σημεῖα ποιῶν καὶ γνῶσιν ἔχων ἀπηρτισμένην, ταύτης ἄνευ κἂν μυρίους ἐγείρῃ νεκροὺς, οὐδὲν μέγα ὀνήσει, πάντων ἀπερρηγμένος, καὶ οὐδενὶ τῶν συνδούλων

A ſed hæc propter illum diligebat, *atque unum hoc timebat, ne charitate erga Christum excideret: hoc enim illi gehenna ipſa formidabilius erat: ſicut in dilectione manere, regno deſiderabilius. Cùm igitur ille ob Dei amorem etiam in gehennam incidere eligat, ſi utraque hæc ipſi proponerentur, nos verò ne præſentem quidem vitam deſpiciamus, nunquid vel calceis ipſius digni ſumus, qui tantum à magnanimitate ipſius diſtamus? Ob hanc cauſam etiam Chriſtus dicebat, Qui perdiderit animam ſuam propter me, inve- *Ex epiſt. ad Cor.*
B niet eam: &, qui me confeſſus fuerit coram hominibus, confitebor & ego eum coram Patre meo, qui in cœlis eſt. Grandis enim huic facto labor ineſt, & qui ipſam propemodum naturam tranſcendat. Atqui hoc probè noverunt illi, qui hiſce coronis digni ſunt habiti. Nullus enim ſermo id exprimere poterit; adeò generoſi opus eſt animi, & ſupra modum admirabile. Nihilominus tamen hanc tam præclaram rem remota charitate nihil magnopere nobis conferre aſſerit Paulus, etiamſi paupertatem conjunctam habeat. Quam
C igitur ob cauſam ita locutus ſit, id jam oſtendere conabor, ubi illud prius quæſivero, quomodo ille, qui univerſas ſuas facultates egenis diſtribuit, non habere poſſit charitatem. Nam ut ille, qui paratus eſt ut ardeat, quique dona gratis data habet, non diligat, fieri fortaſſe poteſt: at qui non ſolùm facultates ſuas elargitur, ſed etiam fruſtratim diſtribuit, quomodo non diligit? Quid igitur dicendum eſt? An, quia id, quod non eſt, tanquam id quod eſt, ſuppoſuit? quod quidē ſemper facere conſuevit, quando exceſſum ſeu exuperantiam aliquam
D vult exprimere: ut cùm ad Galatas ſcribens, inquit; Licet nos Angelus de cœlo Evangelizet vobis præter quā quod evangelizamus vobis, anathema ſit: Et verò neque ipſe, neque Angelus hoc facturus erat: ſed ut rei exuperantiam oſtenderet, poſuit etiam illud, quod omninò futurū non erat. Rurſum quando ad Romanos ſcribit & inquit: Neq; Angeli, neq; principatus, neque poteſtates poterunt nos ſeparare a charitate Chriſti: neq; id Angeli erant facturi; ſed etiam hîc, quod non eſt, ſupponitur. Quemadmodum & in ſequen-
E tibus, cùm dicit, neq; creatura alia; etenim nulla alia eſt creatura: ſed totam ipſam complexus fuit; atq; omnia tum ſupera, tum infera edixit. At nihilominus etiam hic, quod non eſt, ſecundùm ſuppoſitionem dicit, quo excellentiſſimum ſuum amorem declaret: id nimirùm, quod & hoc loco, inquiens, quòd licet quis omnia ſua det, ſi Chriſtum non habeat, nihil ei proſit. Aut igitur hoc dicere vult; aut quia vult, ut dantes conglutinentur accipientibus, & non nudè ſine affectu dent, ſed ut miſericordia & commiſeratione flectantur, &
A mitigentur. Et eleemoſyna à Deo lege ſancita eſt, ſiquidem ſine iſta pauperes alere Deus potuit: ſed ut nos charitatis vinculo connecteret, atq; ut erga nos mutuo incaleſcamus, illos a nobis ali mandavit. Idcirco etiam alibi dicit: Melior eſt ſermo bonus quam donum Et ecce ſermo præſtantior, quam datum bonum. Et ipſe dicit: miſericordiam volo & non ſacrificium. Cùm enim ita fieri ſoleat, ut in quos beneficia contulerimus, eoſdem amore amplectamur; & qui beneficia acceperint, erga benefactores ſuos melius afficiantur, ille
B amicitiæ conſtituens vinculum, hoc ita lege confirmavit. Atque ut noveritis quàm res præclara ſit, verbis ipſam depingemus, quando eam rebus ipſis nuſquam apparentem cernimus; & conſideremus, ſi ipſa ubiq; locorum abunde foret, quanta bona fierent. Neq; enim legibus, neq; carceribus ullis opus eſſet; non punitionibus, non ſuppliciis, nec ulla ejuſmodi re. Si enim omnes diligerent & diligerentur, nihil injuriæ quiſquam alteri inferret, ſed & cædes, & pugnæ, & bella, & ſeditiones, & rapinæ, bonorum direptiones, ac univerſa
C demum ejuſmodi mala è medio tollerentur, & ſolo nomine nota foret improbitas. Hoc porrò miracula minimè efficiunt, ſed potius vana gloria & arrogantia incautos efferunt. Et quod in charitate planè ſtupendum eſt, alia quidem omnia bona conjuncta habent quædam mala; veluti cùm quis paupertatem colit, non raro ob idipſum inflatur: ſi quis dicendi peritus ſit, etiam inſana gloriæ cupiditate laborat: humilis verò frequenter ob hoc ipſum in conſcientia ſuperbit. At verò charitas ab omni ejuſmodi corruptela libera eſt
D & exempta. Neque enim contra ſibi charum hominem aliquando ſeſe quis extulerit. Nec tamen mihi unum aliquem proponas amātem, ſed indifferenter omnes, & tunc charitatis virtutē perſpicies. Imò verò ſi placet, primum unum aliquem, qui diligitur, & unum qui diligit, ponas, diligentem, inquam, ſicut oportet. Etenim ejuſmodi homo non ſecus terram incolet, quam ipſum cœlum, ubique ſcilicet tranquillitate fruens, & innumeras ſibi ipſe coronas contexens. Talis enim ab invidia, ab ira & livore & arrogan-
E tia, ab inani gloria & prava cupiditate, ab omni turpi amore, omnique vitio immunem ſuum animum conſervabit. Quemadmodum enim nemo ſeipſum malo affecerit; ſic nec iſte ſuos proximos. Qui verò talis eſt, cum ipſo Gabriële in terra verſans erit. Ac talis eſt qui charitatem habet. Qui verò miracula facit, & ſcientiam ſummam habet abſque illa, etiamſi innumeros excitet mortuos; nihil tamen illi magnopere proderit, dum videlicet ab omnibus ſeparatus, nulli

conſervorum ſe conjungere ſuſtinet. Hac porrò de cauſa etiã Chriſtus Dominus ſinceræ erga ſe charitatis ſignum eſſe aſſeruit, proximũ diligere. Inquit enim, ſi me plus his diligis, *Petre, paſce oves meas.* Vides quomodo hic demũ inſinuaverit, diligere, martyrio eſſe præſtantius? Equidem ſi filium quis haberet percharum, pro quo etiam vitam profunderet, ac deinde quis patrem quidem ejuſmodi amaret, filii vero planè rationem nullam haberet, ille vehementer patrem exacerbaret, ut qui proprium amorem ob filii contemptum non agnoſceret. Quod ſi in patre & filio hoc evenire ſolet, quanto magis in Deo & hominibus? Omnibus ſiquidem patribus filiorum ſuorum amantior Deus eſt. Atque idcirco, cùm dixiſſet: Primum & maximum mandatum eſt: *Diliges Dominum Deum tuum*, ſubdidit, ſecundum vero, & non conticuit, ſed adjecit ſimile huic? *Diliges proximum tuum, ſicut teipſum.* Et vide, quomodo eadem propemodum excellentia etiam hoc præceptum exigat. De Deo enim loquens, ait, Ex toto corde tuo: de proximo verò, Sicut teipſum: quod æquale eſt illi, Ex toto corde tuo. Et quidẽ ſi ſtudioſè hoc obſervaretur, nõ ſervus, nõ liber eſſet, non princeps, non ſubditus, non dives, non pauper, non parvus, non magnus; nec etiam diabolus unquam cognitus fuiſſet: qui non dico de hoc tantùm, ſed & ſi etiam alius aliquis talis, imo ſi & centum, & ſexcenti ejuſmodi forent, nihil tamen poſſent, illa exiſtente. Faciliùs enim fœnum ignis inſultum ſuſtinuerit, quàm diabolus flammam charitatis. Ipſa eſt muro fortior, adamante firmior, & ſi quam aliam fortiorem illa materiam dixeris, omnia longè ſuperat firmitudo charitatis. Hanc neque divitiæ, neque paupertas vincit: imò ne paupertas quidem ulla ibi fuerit, aut nimiæ opes, ubi charitas erit: ſed ea duntaxat, quę ab utroque ſunt, bona. Ex illis ſiquidem abundantiam aſſequimur, ex hac verò tranquillitatem; ita ut neque divitiarum curas, neq; egeſtatis metum ſuſtineamus. Et quid dico quæ ex illa proveniunt lucra? Ipſum enim diligere ſecundum ſe quantum ſit, animadverte, quantam lætitiam adferat? in quanta animam conſtituit gratia? id quod ipſa maximè habet eximium. Etenim reliquæ partes virtutis dolorem aliquem habent conjunctum, ut ſunt jejunium, ſobrietas, vigilantia, æmulatio, deſiderium, deſpicientia: Charitas vero unà cum lucro etiam ingentem habet voluptatem, dolorem vero nullum. Et hæc quemadmodum impigra quædam apis undequaq; quæ utilia ſunt, colligens, in amantis animam reponit. Ac ſi privatus aliquis ſerviat, liberum tamen ſervum exhibet. Qui enim amat, non tam imperare quàm ſibi imperari gaudet. Et ipſum quidem imperare per ſe dulce eſt; charitas tamen rerum naturam commutat, ac omnia bona in manibus habens opitulatur, quavis matre benignior, omni regina opulentior. hæc, quæ laborioſa ſunt, levia facillimaque reddit: virtutem nobis expeditam, vitium autem difficillimum efficiens. Conſidera vero, quod, cum ſumptus facere hominibus moleſtum eſſe videatur, ipſa hoc ipſum jucundum efficiat. Auferre res aliorum dulce apparet; at ipſa hoc jucundum videri non permittit, ſed facit ut veluti rem ærumnoſam fugiamus. Rurſus vituperare omnibus dulce eſſe videtur: ipſa vero hoc quidem acerbum efficit, laudare vero dulce. Nihil enim nobis ita gratum eſt, ac laudare, quem diligimus. Rurſus, ira voluptatem quandam habet: ſed in charitate nequaquam: quin omnes illius nervi ſucciſi ſunt, ac ſi fortè amantẽ amatus contriſtet, ira tamen nuſquam apparet, ſed lachrymæ & obteſtationes & ſupplices preces: tantũ abeſt, ut exaſperetur. Et ſicubi peccantem cernat, luget & contriſtatur quidem: ſed ipſe tamen dolor, aliquam etiam voluptatem adfert. Charitatis ſiquidem & lachrymæ & mœſtitia, omni riſu gaudioque ſuaviores ſunt. Non ita certè recreantur ridentes, ſicut qui propter amicos plorant. Quod ſi minimè credis, cohibe illorum lachrymas, & comperies, quod haud aliter affligantur, quàm ſi atrocia quæque paſſi eſſent. Sed obſcœna voluptas, dicet aliquis, & in amando. Apage, & malè loqui deſine ô homo: nihil enim ab ejuſmodi voluptate tã immune eſt, quàm vera charitas. Nec enim mihi popularem & ſordidum illum amorem dixeris, & qui vitium potius eſt, quàm charitas: ſed eam dilectionem quam Paulus requirit, quæ eorum, quos amplectitur, commodum ſpectat: & videbis, quod ejuſmodi, ipſos parentes amore vincant. Et quemadmodum qui pecunias amant, eas expendere nequaquam volunt, ſed malunt in anguſtiis eſſe, quàm videre pecunias diminui: ſic ille qui erga quempiam benè affectus eſt, innumera mala perferre mavult, quàm ſibi dilectum detrimentis affici videre. Quid ergo, dicis aliquis, ſi inimici fuerint & gentiles, an non odiſſe oportet? Oderis quidem, verùm non ipſos ſed doctrinam illorum: Non hominem, ſed improba facta, & perverſam mentem, homo ſiquidem opus Dei eſt, error vero opus diaboli. Si enim hoſtes Dei odio proſequi oporteat, non impios modò, ſed peccatores etiam odiſſe oportebit, atque ipſis beſtiis pejores erimus, omnes ſcilicet averſantes, & veluti Phariſæus ille, ſuperbia inflati. Verùm non ita Paulus cenſuit: ſed quomodo? *Corripite*, ait, inquietos, *conſolamini puſillanimes, ſuſcipite infirmos, patientes eſtote ad omnes.* Quid

A ἀναμιγνύναι ἑαυτὸν ἀνεχόμενος. Διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς, τῆς εἰς
αὐτὸν ἀκριβοῦς ἀγάπης σημεῖον ἔφησεν εἶναι, τὸ τὸν πλησίον φιλεῖν·
εἰ γὰρ φιλεῖς με, φησὶν, ὦ Πέτρε τούτων πλεῖον, ποίμαινε τὰ πρό-
βατά μου. εἶδες πῶς καὶ ἐντεῦθεν πάλιν ᾐνίξατο, ὅτι μαρτυρίου μεῖζον
τοῦτο; καὶ γὰρ εἰ παιδίον τις εἶχεν, ἀγαπητὸν καὶ ὑπὲρ οὗ καὶ τὴν ψυχὴν
ἂν ἐπιδέδωκεν, εἶτά τις τὸν μὲν πατέρα ἐφίλει, τῷ δὲ παιδὶ μηδ᾽ ὅλως
προσεῖχε, σφόδρα ἂν παρώξυνε τὸν πατέρα, καὶ οὐκ ἂν ᾔσθετο τῆς
B οἰκείας ἀγάπης, διὰ τὴν τοῦ παιδὸς ὑπεροψίαν. εἰ δὲ ἐπὶ πατρὸς καὶ
παιδὸς τοῦτο συμβαίνει, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ καὶ ἀνθρώπων. καὶ
γὰρ πατέρων ἁπάντων ἐστὶ φιλοστοργότερος ὁ Θεός. Διὰ δὴ τοῦτο
εἰπὼν, πρώτη καὶ μεγάλη ἐντολὴ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου,
ἐπήγαγε, δευτέρα δὲ, καὶ οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν ὁμοία
αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. καὶ ὅρα πῶς μετὰ τῆς αὐ-
τῆς σχεδὸν ὑπερβολῆς ἀπαιτεῖ καὶ ταύτην· περὶ μὲν γὰρ τοῦ Θεοῦ φησιν,
ἐξ ὅλης τῆς καρδίας σου· περὶ δὲ τοῦ πλησίον σου, ὡς σεαυτόν. ὅπερ ἴσον
C ἐστὶ τῷ ἐξ ὅλης τῆς καρδίας σου. καὶ γὰρ εἰ μετὰ ἀκριβείας τοῦτο ἐφυλάτ-
τετο, οὐ δοῦλος, οὐκ ἐλεύθερος ἦν, οὐκ ἄρχων, οὐκ ἀρχόμενος, οὐ
πλούσιος, οὐ πένης, οὐ μικρὸς, οὐ μέγας, οὐ διάβολος ἂν ἐγνώσθη
ποτέ. οὐ λέγω αὐτὸς, ἀλλ᾽ εἰ καὶ ἕτερος τοιοῦτος, μᾶλλον δὲ εἰ καὶ ἑκα-
τὸν καὶ μυρίοι τοιοῦτοι ἦσαν, οὐδὲν ἂν ἴσχυσαν ἐκείνης οὔσης. μᾶλλον γὰρ
χόρτος ἂν ἐνέγκοι πυρὸς ἐπαγωγὴν, ἢ φλόγα ἀγάπης διάβολος.
αὕτη τείχους ἰσχυροτέρα, αὕτη ἀδάμαντος στερροτέρα· κἂν ἑτέ-
D ραν αὐτῆς ἰσχυροτέραν εἴπῃς ὕλην, πάντα ὑπερβάλλει τῆς ἀγά-
πης στερρότης. ταύτην οὐ πλοῦτος, οὐ πενία νικᾷ· μᾶλλον δὲ οὐδ᾽ ἂν
ἦν πενία, οὐκ ἀμετρία πλούτου, εἰ ἀγάπη ἦν, ἀλλὰ τὰ ἐξ ἑκατέ-
ρων ἀγαθὰ μόνον· καὶ γὰρ τὴν ἐξ ἐκείνου ἀφθονίαν ἐκαρπωσάμε-
θα ἂν, καὶ τὴν ἐκ ταύτης ἀμεριμνίαν, καὶ οὔτε τοῦ πλούτου τὰς φροντί-
δας, οὔτε τῆς πενίας τὸ δέος ὑπεμείναμεν ἄν. καὶ τί λέγω τὰ ἐξ
αὐτῆς κέρδη; αὐτὸ γὰρ καθ᾽ ἑαυτὸ τὸ φιλεῖν, ἐννόησον ἡλίκον ἐστί·
E πόσην φέρει τὴν εὐφροσύνην· ἐν πόσῃ καθίστησι χάριτι τὴν ψυ-
χήν· ὃ μάλιστα αὐτῆς ἐστιν ἐξαίρετον. τὰ μὲν γὰρ ἄλλα τῆς
ἀρετῆς μέρη, συνεζευγμένον ἔχει τὸν πόνον· οἷον νηστεία,
σωφροσύνη, ἀγρυπνία, βασκανία, ἐπιθυμία, ὑπερ-
οψία· ἡ δὲ ἀγάπη, μετὰ τοῦ κέρδους, πολλὴν ἔχει καὶ τὴν
ἡδονὴν, καὶ πόνον οὐδένα· καὶ καθάπερ μέλιττα ἀγαθὴ, τὰ παν-
ταχόθεν συνάγουσα ἀγαθὰ, εἰς τὴν τοῦ φιλοῦντος κατατίθεται ψυ-
A χήν. κἂν δουλεύῃ τις οἰκέτης, ἐλευθερίας ἀποφαίνει τὴν δουλείαν.
ὁ γὰρ φιλῶν οὐχ οὕτως ἐπιτάττων ὡς ἐπιταττόμενος χαίρει· καίτοι γε τὸ
ἐπιτάττειν ἡδύ· ἀλλὰ μετατίθησιν αὕτη τῶν πραγμάτων τὴν φύσιν, καὶ
πάντα ἐν χερσὶν ἔχουσα προσέρχεται τὰ ἀγαθὰ, πάσης μητρὸς ἠ-
πιωτέρα, πάσης βασιλίδος εὐπορωτέρα· καὶ τὰ ἐπίπονα κοῦφα,
καὶ ῥᾷστα ποιεῖ, τὴν μὲν ἀρετὴν εὔκολον, τὴν δὲ κακίαν πικροτάτην ἡμῖν
ἀποφαίνουσα. σκόπει δὲ, τὸ δαπανᾶν, λυπηρὸν εἶναι δοκεῖ, καὶ ποιεῖ
B αὐτὸ αὕτη ἡδύ. τὸ λαμβάνειν τὰ ἑτέρων ἡδὺ, καὶ οὐκ ἀφίησιν αὐτὸ
φαίνεσθαι ἡδύ. ἀλλὰ φεύγειν ὡς μοχθηρὸν παρασκευάζει. πάλιν
τὸ κακῶς λέγειν, γλυκὺ πᾶσιν εἶναι δοκεῖ· αὕτη δὲ τοῦτο μὲν πικρὸν ἀ-
ποφαίνεται, τὸ δὲ καλῶς λέγειν ἡδύ. οὐδὲν γὰρ οὕτως ὡς τὸν φιλούμενον
ἐγκωμιάζειν ἡμῖν ἡδύ. πάλιν ὁ θυμὸς ἔχει τινὰ ἡδονήν· ἀλλ᾽ ἐν-
ταῦθα οὐκέτι, ἀλλὰ πάντα αὐτοῦ τὰ νεῦρα ἀνῄρηται. κἂν λυπήσῃ τὸν
φιλοῦντα ὁ ἀγαπώμενος, θυμὸς μὲν οὐδαμοῦ φαίνεται, δάκρυα δὲ
C καὶ παρακλήσεις καὶ ἱκετηρίαι· τοσοῦτον ἀπέχει τοῦ παροξυνθῆναι·
κἂν ἴδῃ ἁμαρτάνοντα, πενθεῖ καὶ ὀδυνᾶται· ἀλλὰ καὶ ὀδύνη αὕτη ἡ-
δονὴν φέρει. τῆς γὰρ ἀγάπης, καὶ τὰ δάκρυα, καὶ ἡ λύπη, γέλωτος παν-
τὸς ἡδίω καὶ χαρᾶς. οὐχ οὕτω γοῦν ἀναπαύονται οἱ γελῶντες, ὡς ὑπὲρ
φίλων κλαίοντες. κἂν ἀπιστῇς, ἐπίσχες αὐτῶν τὰ δά-
κρυα· καὶ ὡς τὰ ἀνήκεστα παθόντες, οὕτως δυσχεραίνουσιν.
ἀλλ᾽ ἡδονὴν ἔχει, φησὶν, ἄτοπον τὸ φιλεῖν. ἄπαγε, καὶ εὐφήμει ἄν-
θρωπε· οὐδὲν γὰρ οὕτως ἡδονῆς καθαρεύει τοιαύτης, ὡς ἀγάπη γνησία.
D μὴ γάρ μοι ταύτην εἴπῃς τὴν δημώδη καὶ ἀγοραίαν, καὶ νόσον μᾶλλον
ἢ ἀγάπην οὖσαν, ἀλλὰ ταύτην ἣν ὁ Παῦλος ἐπιζητεῖ, τὴν τὸ συμ-
φέρον τῶν ἀγαπωμένων σκοποῦσαν, καὶ ὄψει τῶν πατέρων οὕτω φιλο-
στοργοτέρους. καὶ ὥσπερ οἱ χρήματα φιλοῦντες, οὐκ ἂν ἕλοιντο δα-
πανῆσαι χρήματα, ἀλλ᾽ ἥδιον ἂν ἐν στενοχωρίᾳ γένοιντο, ἢ ἐκεῖνα
ἴδοιεν ἐλαττούμενα, οὕτω καὶ πρός τινα ἡδέως ἔχων, μυρία ἂν ἕλοιτο
E παθεῖν, ἢ τὸν ἀγαπώμενον καταβλαπτόμενον ἰδεῖν. τί οὖν, φησὶν, ἐὰν
ἐχθροὶ ὦσι καὶ Ἕλληνες, οὐ δεῖ μισεῖν μοι; οὐκ ἐκείνους δὲ, ἀλλὰ τὸ
δόγμα· οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὴν πονηρὰν πρᾶξιν, τὴν διεφθαρμέ-
νην γνώμην. ὁ μὲν γὰρ ἄνθρωπος ἔργον Θεοῦ, ἡ δὲ πλάνη ἔργον τοῦ
διαβόλου. εἰ γὰρ δεῖ τοὺς ἐχθροὺς τοῦ Θεοῦ μισεῖν, οὐχὶ ἀσεβεῖς δεῖ
μισεῖν μόνον, ἀλλὰ καὶ ἁμαρτωλούς. καὶ οὕτως ἐσόμεθα θηρίων
χείρους, πάντας ἀποστρεφόμενοι, καὶ ἀπονοίᾳ φυσώμενοι, καθάπερ ὁ Φαρισαῖος ἐκεῖνος. ἀλλ᾽ οὐχ ὁ Παῦλος οὕτως ἐκέλευσεν.
ἀλλὰ πῶς; νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενούντων· μακροθυμεῖτε πρὸς πάν-

τας

Digitized by Google

τας, ἵν' οὖν ὅταν λέγῃ, φησὶν, εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ· μάλιστα μὲν περὶ ἀδελφῶν τοῦτ' εἴρηται. πλὴν οὐχ ἁπλῶς, ἀλλὰ καὶ τοῦτο μετ' ἠπιότητος. μὴ γὰρ δὴ περικόψῃς τὰ ἑξῆς, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα προστίθει· καὶ γὰρ εἰπὼν, μὴ συναναμίγνυσθε, ἐπήγαγε, καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ὁρᾷς πῶς τὸ ἔργον μισεῖν τὸ φαῦλον, οὐ τὸν ἄνθρωπον ἐκέλευσε; καὶ γὰρ ἔργον τοῦ διαβόλου, τὸ διασπᾶν ἡμᾶς ἀπ' ἀλλήλων· καὶ σφόδρα ἐσπούδακεν ἀνελεῖν τὴν ἀγάπην, ἵνα ἐκκόψῃ τῆς διορθώσεως τὴν ὁδὸν, καὶ κατάσχῃ ἐκεῖνον ἐν πλάνῃ, σὲ δὲ ἐν ἀπιστίᾳ τε καὶ ἀπεχθείᾳ· οὕτως ἀποτειχίσῃ τῆς ἐκείνου σωτηρίας τὴν ὁδόν. ὅταν γὰρ καὶ ὁ ἰατρὸς μισῇ τὸν κάμνοντα καὶ φεύγῃ, καὶ ὁ κάμνων τὸν ἰατρὸν ἀποστρέφηται, πότε ἀναστήσεται ὁ νοσῶν, ὅταν μήτε ἐκεῖνος αὐτὸν καλῇ, μήτε οὗτος πρὸς αὐτὸν ἀπίῃ; τίνος δὲ ἕνεκεν καὶ ἀποστρέφῃ καὶ φεύγεις αὐτὸν, εἰπέ μοι; ὅτι ἀσεβής ἐστιν; ἐκεῖνον διὰ τοῦτο δεῖ προσιέναι καὶ θεραπεύειν, ἵνα ἀναστήσῃς νοσοῦντα. εἰ δὲ ἀνίατα νοσεῖ, ἀλλὰ σὺ τὸ σαυτοῦ ποιεῖν ἐκελεύσθης· ἐπεὶ καὶ ὁ Ἰούδας ἀνίατα ἐνόσει, καὶ οὐ διέλειπεν αὐτὸν ὁ Θεὸς θεραπεύων. μὴ τοίνυν μηδὲ σὺ ἀποκάμῃς· κἂν γὰρ πολλὰ σπουδάσας μὴ ἀπαλλάξῃς τῆς ἀσεβείας αὐτὸν, καὶ ὡς ἀπαλλάξας λήψῃ τὸν μισθὸν, καὶ παρασκευάσῃς αὐτὸν θαυμάζειν σου τὴν ἡμερότητα· καὶ οὕτως εἰς τὸν Θεὸν ἡ δόξα ἅπασα αὕτη διαβήσεται. κἂν γὰρ θαύματα ποιῇς, κἂν νεκροὺς ἐγείρῃς, κἂν ὁτιοῦν ἐργάσῃ, οὐδέποτέ σε οὕτω θαυμάσονται Ἕλληνες, ὡς ὅταν ἴδωσι πρᾷον καὶ ἥμερον, καὶ γλυκὺν παρεχόμενον τρόπον. οὐ μικρὸν δὲ καὶ τοῦτο κατόρθωμα· πολλοὶ γὰρ καὶ τέλεον ἀπαλλαγήσονται τῆς κακίας. οὐδὲν γὰρ οὕτως ἐπισπάσασθαι δύναται, ὡς ἀγάπη. ἐπ' ἐκείνοις μὲν γάρ σε καὶ ζηλοτυπήσουσι, τοῖς σημείοις λέγω καὶ τοῖς θαύμασιν· ἐπὶ τούτῳ δὲ καὶ θαυμάσονται καὶ φιλήσουσι· φιλοῦντες δὲ καὶ τῆς ἀληθείας ἐπιλήψονται ὁδῷ προβαίνοντες. εἰ δὲ οὐκ εὐθέως γίνεται πιστὸς, μὴ θαύμαζε, μηδὲ ἐπείγου, μηδὲ ἅπαντα ὁμοῦ ζήτει, ἀλλ' ἔασον αὐτὸν τέως ἐπαινεῖν, φιλεῖν, καὶ εἰς τοῦτο ὁδῷ προϊὼν ἥξει. ἐπεὶ οὖν δημιουργὸς ἀρετῆς ἡ ἀγάπη, μετ' ἀκριβείας ἁπάσης ἐν ταῖς ἑαυτῶν καταφυτεύσωμεν αὐτὴν ψυχαῖς, ἵνα ἡμῖν πολλὰ κομίσῃ τὰ ἀγαθὰ, καὶ βρύοντα αὐτῆς διηνεκῶς τὸν καρπὸν ἔχωμεν, τὸν ἀεὶ τεθηλότα, καὶ οὐδέποτε μαραινόμενον. οὕτω γοῦν καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A igitur vult, cum inquit; Si quis non obedit verbo noſtro per epiſtolam, hunc notate: & ne commiſceamini cum illo? Maximè quidem de fratribus id dictum eſt: non tamen ita ſimpliciter, ſed & hoc ipſum cum aliqua manſuetudine. Nec enim ab his ſequentia diſtraxeris, ſed & quæ ſubjiciuntur, apponas. Nam ubi dixiſſes, *Ne commiſceamini*: adjunxit. Et nolite quaſi inimicum exiſtimare, ſed corripite ut fratrem. Videſne, quomodo opus malum, & non hominē, odiſſe juſſerit? Diaboli enim illud opus eſt: ab invicem nos divellere. B Et magnopere ille ſemper ſtuduit charitatis nexum diſſolvere, ut correctionis viam interciperet, ac illum quidem in errore, te verò in perfidia & odio retineret; atque hac ratione tandem viam ad illius ſalutem veluti muro includat. Cum enim & medicus ægrotantem odit ac fugit, æger verò medicum averſatur, quando tandem ægrotans revaleſcet, ſi videl. neque hic illum accerſat, neque ille hunc adeat? Quam verò ob cauſam ipſum averſaris & fugis? An quia impius eſt? atqui ob id ipſum accedere oportet & mederi, C ut morbo afflictum erigas. Si verò deſperatè laboret, tu quod tuum eſt, facere juſſus es: nam & Judas incurabili morbo laborabat, nec tamen Deus illi curam adhibere omiſit. Ne igitur & tu defatigeris, quamvis enim magna adhibita diligentia ab impietate ipſum minimè liberes, mercedem nihilominus, perinde ac ſi liberaſſes, recipies, & ut ille manſuetudinem tuam miretur, efficies: atque hac ratione omnis gloria in Deum redundabit. Etiamſi enim miracula facias, nunquam tamen ita gentiles ſuſpicient, quam ſi mitem te ac D manſuetum, morumque ſuavitate utentem conſpiciant. Nec verò & hoc vulgare & exiguum officium eſt: multi enim protſus ab improbitate deſiſtent. Nec enim quicquam eſt, quòd ita allicere homines poſſit, ſicut charitas. In illis quidem (ſignis dico & miraculis) invidia te perſequentur homines; in charitatis autem officio & te obſervabunt & amore complectentur: dum verò amant, etiam veritati progredientes inhærebunt. Quòd ſi non confeſtim quis fidelis evadat ne obſtupeas, nec præceps ſis, nec ſimul omnia requiras, ſed E illum interea, donec approbet, amare ſinas, & eò paulatim progrediens pertinget. Cùm igitur virtutum opifex ſit charitas, omni diligentia eam animis noſtris inſerere ſtudeamus, ut nobis quàm plurima bona proferat atque affluentem aſſiduè ipſius fructum, qui perpetuò floreat, & nunquam marceſcat, habeamus. Hac enim ratione etiam ſempiterna bona conſequemur. Quæ nos omnes conſequi contingat, gratia & benignitate Domini noſtri Jeſu Chriſti cum quo Patri & ſancto ac bono Spiritui gloria, in ſecula ſeculo- A rum, Amen.

Περὶ εὐχῆς.

Λόγος β'.

Μέγα ἀγαθὸν ἡ εὐχὴ, ἐὰν μετὰ διανοίας εὐχαρίστου γίνηται. ἐὰν παιδεύσωμεν ἑαυτοὺς, μὴ μόνον λαμβάνοντες, ἀλλὰ καὶ μὴ λαμβάνοντες, εὐχαριστεῖν τῷ Θεῷ. καὶ γάρ ποτε μὲν δίδωσι, ποτὲ δὲ οὐ δίδωσιν. ἀμφότερα χρησίμως· ὥστε κἂν λάβῃς, κἂν μὴ λάβῃς, ἔλαβες ἐν τῷ μὴ λαβεῖν· κἂν ἐπιτύχῃς, κἂν μὴ ἐπιτύχῃς, ἔτυχες ἐν τῷ μὴ ἐπιτυχεῖν. ἔστι γὰρ ὅτε τὸ μὴ λαβεῖν, λυσιτελέστερον. εἰ γὰρ μὴ συνέφερεν ἡμῖν πολλάκις τὸ μὴ λαβεῖν, πάντως ἔδωκεν ἄν. τὸ δὲ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστι. μὴ δὴ πρὸς τὴν βραδυτῆτα τῆς τῶν αἰτουμένων δόσεως δυσχεραίνωμεν, ἀλλὰ ταύτῃ μᾶλλον πολλὴν τὴν καρτερίαν καὶ τὴν μακροθυμίαν ἐπιδεικνύμεθα. μὴ γὰρ πρὶν ἢ αἰτήσομεν, οὐκ ἠδύνατο παρασχεῖν ὁ Θεός; ἀλλὰ διὰ τοῦτο ἀναμένει, ἵνα ἀφορμὴν λάβῃ παρ' ἡμῶν, τοῦ δικαίως ἡμᾶς ἀξιοῦν τῆς παρ' αὐτοῦ προνοίας. κἂν ἐπιτύχωμεν τοίνυν τῶν αἰτηθέντων, εἰ κἂν μὴ ἐπιτυγχάνωμεν, προσμένωμεν τῇ αἰτήσει· καὶ μὴ μόνον ἐπιτυγχάνοντες εὐχαριστῶμεν, ἀλλὰ καὶ ἀποτυγχάνοντες. τὸ γὰρ ἀποτυχεῖν ὅταν ὁ Θεὸς βούληται, οὐκ ἔλαττόν ἐστι τοῦ ἐπιτυχεῖν. οὐδὲ γὰρ ἴσμεν ἡμεῖς τὰ συμφέροντα ἡμῖν, ὡς αὐτὸς ἐπίσταται. ὥστε οὖν κἂν ἐπιτύχωμεν, κἂν ἀποτύχωμεν, εὐχαριστεῖν ὀφείλομεν, καὶ μετὰ χαρᾶς δέχεσθαι ἅπερ αὐτὸς δοκιμάσει. οὐ γὰρ ἀνανεύων ἡμῶν πρὸς τὰς αἰτήσεις ὑπερτίθεται πολλάκις ὁ Θεός, ἀλλὰ σοφιζόμενος ἡμῶν τὴν προσεδρείαν, καὶ βουλόμενος ἡμᾶς πρὸς ἑαυτὸν ἐφέλκεσθαι· ἐπεὶ καὶ πατὴρ φιλόστοργος αἰτούμενος πολλάκις παρὰ τοῦ παιδὸς οὐκ ἐπινεύει, οὐχὶ βουλόμενος μὴ δοῦναι, ἀλλὰ τοῦ παιδὸς τὴν προσεδρείαν διὰ τούτου ἐπισπώμενος. τὸ γὰρ ἀκουσθῆναι εὐχόμενον, πρῶτον μὲν ἐκ τοῦ ἄξιον εἶναι λαβεῖν γίνεται· δεύτερον δὲ ἐκ τοῦ κατὰ τοὺς νόμους τοῦ Θεοῦ προσεύχεσθαι· τρίτον, ἐκ τοῦ συνεχῶς· τέταρτον, ἐκ τοῦ συνεχῶς καὶ τὸ μηδὲν βιωτικὸν αἰτεῖν· πέμπτον, ἐκ τοῦ τὰ συμφέροντα ζητεῖν· ὥσπερ οὖν ἐκ τούτων τὸ ἀκουσθῆναι γίνεται, οὕτως ἑτέρωθεν τὸ μὴ ἀκουσθῆναι, κἂν δίκαιοι ὦσιν οἱ αἰτοῦντες. τί γὰρ τοῦ Παύλου δικαιότερον γέγονεν; ἀλλ' ἐπειδὴ

DE ORATIONE.

Homilia II.

B Magnum quoddam bonum eſt oratio, ſi grato animo fiat; ſi inquam, nosipſos aſſuefaciamus, ut non ſolùm accipientes, ſed etiam non accipientes, gratias Deo agamus: Ille ſiquidem aliquando dat, aliquando non dat. Ac utrumque quidem utiliter: adeo ut ſive accipias, ſive non accipias, acceperis tamen, dum non accepiſti; & ſive impetres, ſive non impetres, impetraveris tamen dum non impetraſti. Nonnunquam enim non accepiſſe utilius eſt. Niſi enim ſubinde præſtaret nos petita non conſequi, omnino nobis C daret. Utiliter autem fruſtratum eſſe, eſt obtinuiſſe. Nec porrò indignè feramus, quod tardiùs nobis, quæ petimus, dentur; ſed ob id ipſum magnam tolerantiam & æquanimitatem oſtendamus. Nunquid enim etiam antequam peteremus, dare nobis Deus non poterat? Sed idcirco expectat, ut occaſionem à nobis accipiat juſtè nos dignandi ſua providentia. Sive igitur poſtulata conſequamur, ſive non conſequamur, in oratione perſeveremus: Nec ſolùm cùm impetramus, gratias agamus, ſed etiam cùm D non impetramus. Nam fruſtrari, cùm Deus ita vult, non deterius eſt, quàm aliquid conſecutum eſſe. Nec enim nos ſcimus, quæ nobis conducant, ſicut ipſe novit. Quamobrem ſive aliquid conſequamur, ſive non conſequamur, gratias agere debemus, & cum gaudio ſuſcipere quæ ipſi placita fuerint. Nec enim Deus quaſi preces noſtras abnuens, ſed perſeverantiam noſtram ſapienter quærens, noſque ad ſe attrahere volens, ſæpè cunctatur. Quoniam & benignus in liberos pater ſæpè, cùm à filio rogatur, non annuit: E non denegare volens, ſed perſeverantiam filii per hoc eliciens. Nam quòd orans exaudiatur, primò quidem ex eo oritur, quòd quis dignus ſit qui accipiat: deinde quod juxta Dei leges oret: tertiò quòd frequenter: quartò quòd aſſiduè, & nihil temporale petat: quintò quòd utilia quærat. Quemadmodum igitur ex iſtis rebus fit, ut preces exaudiantur, ſic ex adverſo fit, ut non exaudiantur, etiamſi, qui petunt, juſti ſint. Quid enim Paulo juſtius erat, quia tamen inuti-

Ex hom. in ſtatuas.

Ex hom in Exacmer.

Ex expoſ. Pſalm. 7.

2. Cor. 12. inutilia petebat, exauditus non eſt. *Propter quod ter Dominum* A *rogavi*, inquit, *& dixit mihi, Sufficit tibi gratia mea.* Quid verò iterum Moyſe juſtius? Sed neque ille exaudiebatur, dicente Deo; Sufficiat tibi. Cùm enim peteret, ut in terram promiſſionis ingrederetur, atque hoc non expediret; Deus non permiſit. Præter hæc verò etiam aliud eſt, quod facit ne preces exaudiantur: ſi nimirum in peccatis permanentes oremus: quod de Judæis quoque ad Jere-

Jerem. 7. miam Deus dicebat, *Ne ores pro populo iſto*: An non vides quid iſti faciant? Non deſtiterunt, inquit, ab impietate, & tu pro ipſis pre- B ces offers? At non exaudiam te? Rurſus ſi contra inimicos oremus, non modo non audimur, ſed Deum etiam irritamus. Medicina enim eſt oratio: ſed ſi ignoremus, quomodo adhibere medicinam o-

Evang. ſecundum Matth. porteat, virtutem etiam ipſius nunquam percipiemus. Tantum igitur orationis perſeverantia bonum eſt. quemadmodum ab illa Cananæa diſcimus: quoniam quod Apoſtolis rogantibus Chriſtus nõ conceſſit, ipſa perfecit, & ſua tolerantia ad opus perduxit. Nam pro noſtris delictis, à nobis potius, qui rei ſumus, quàm ab aliis pro C nobis vult rogari. Hominibus enim cùm ſupplicamus, & pecuniarum expenſis: & ſervili adulatione opus habemus. Sæpe enim non continuò beneficium conferre domini ſolent, aut colloqui; ſed neceſſe eſt, priùs miniſtros & rei familiaris diſpenſatores ac procuratores ipſorum, pecuniis & verbis, omnique ratione demereri, ut deinde per illos petita quis accipere valeat. Apud Deum verò non ita res habet: nec enim mediatoribus indiget cùm rogatur; nec ita cùm per alios rogatur, ad beneficentiam proclivis eſt, quàm ſi per D

Ex hom. in eos qui nõ ſeſte utuntur dicto illo Apoſt. dicentis, Sive per veritatem Chriſtus annunt. Phil. in exempl. nosipſos rogetur. Multa enim Deus vult ut ab ipſo poſtulemus; & magnam pro hac re habet gratiam. Solus enim iſte debitor, cum ab eo aliquid exigitur, gratiam habet, & quæ mutuò non dedimus, præſtat. Et ſiquidem vehementer urgere videat exigentes, etiam quæ a nobis non accepit, ſolvit: Si verò ſegniter, etiam ipſemet cunctatur; non idcirco quidem quòd dare nolit, ſed quòd gratum ei ſit a nobis poſtulari. Nec enim odio quodam, aut nos adverſans, dare petita differt, ſed cunctantur dando nos apud ſe aſſiduè retine- E re volens. Quemadmodum etiam patres filios ſuos tenere amantes, faciunt: illi ſiquidem filiorum ſegniorum aſſiduitatem ipſa donationis procraſtinatione velut arte quadam moliuntur. Exauditus es? Propter hoc gratias age, quòd exauditus ſis. Non es exauditus? perſevera ut exaudiaris. Nihil tibi opus interceſſoribus, nec magno circuitu, nec ut blandimentis alios tibi concilies; ſed quamvis deſertus ſis, quamvis ſine patrono, ſi ipſemet Deum precatus fueris, omninò impetrabis. Si enim inter homines, licet infinities A offenderimus, ſi tamen ſub auroram, & media die & veſperi in illorum conſpectum veniamus qui nobis offenſi ſunt, ipſa aſſiduitate & perpetuo aſpectus occurſu facilè illorum odium diſſolvimus,

Ex hom. in eos poſ. hiſt. Cananææ. multo magis apud Deum id fieri poterit. Non enim ita annuere conſuevit, cum ab aliis pro nobis rogatur, quàm ſi nos ipſimet oremus, licet innumeris malis referti ſimus. Audiant qui ſegniter orant, quique tarditatem in dando graviter ferunt. Cum enim dico, precare Deum, ora eum, ſupplica illi; ait: rogavi ſemel, iterum, B tertio, decimo, vigeſimo, & necdum accepi. Ne deſiſtas, donec

Ex hom in ſtatuas. acceperis; imò ne tunc quidem, ſed etiam tum perſevera. Et ſi nondum acceperis, pete ut accipias: cum verò acceperis, gratias agito, quòd acceperis. Multi in Eccleſiam ingrediuntur, innumeros orando abſolvunt verſus; & egrediuntur, & neſciunt quid dixerint. Labia moventur, auditus verò non percipit. Tu non audis orationem tuam, & Deum vis illam exaudire? Genua, inquis, flexi: at mens tua extra volitabat; corpus intra erat, & animus tuus extra. C Os tuum preces recitabat, & mens tua numerabat fœnora, commercia, commutationes, poſſeſſiones, amicorum congreſſus. Diabolus enim cum nequam ſit, & noverit quòd orationis tempore res magnas conficiamus, tunc nos aggreditur (ſæpè enim in lecto ſupini jacemus & nihil cogitamus; venimus ad orandum, & mox infinitæ cogitationes ſeſe ingerunt) ut nos fructu illius vacuos, & penitus in interitum laborare faciat: Ac non rarò abſoluta oratione diſceſſimus tanquam qui nec auditu perceperimus, quæ diximus. D Cum igitur hoc animadverterimus, confeſtim ipſam reſumamus: ac ſi hoc ipſum denuo nobis contingat, etiam tertio & quarto eam recitemus. nec prius ab oratione deſiſtamus, donec integram ipſam ſobria mente & attenta cogitatione coram Deo effundamus. Quòd ſi diabolus ſentiat, nõ ante nos ceſſare quàm ſtudioſè & advigilante animo ipſam dixerimus, ceſſabit vobis ultra inſidias ſtruere, ſciens, nihil amplius ex inſidiis emolumenti ſe habiturum, quàm ut nos

Ex com. in Hexaem. eandem orationem frequenter repetere compellat. Si enim E hominem adeuntes tantum adhibeamus ſtudium, ut perſæpe ne propè quidem adſtantes conſpiciamus, ſed

A ἀσύμφορα ᾔτησεν, οὐκ ἠκούσθη· ὑπὲρ τούτου τρεῖς τὸν Κύριον παρεκάλεσα, φησί, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. Τί δὲ Μωϋσέως πάλιν δικαιότερον; ἀλλ᾽ οὐδὲ ἐκεῖνος ἠκούετο. λέγοντος τοῦ Θεοῦ· ἱκανούσθω σοι. ἐπειδὴ γὰρ ᾔτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν, ἀσύμφορον δὲ ἦν τοῦτο, οὐκ ἐπέτρεψεν ὁ Θεός. μετὰ τούτων καὶ ἕτερόν ἐστι τὸ μὴ ποιοῦν ἀκούεσθαι· ὅταν ταῖς ἁμαρτήμασιν ἐπιμένοντες προσευχώμεθα· ὃ καὶ περὶ τῶν Ἰουδαίων ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ, μὴ B προσεύχου περὶ τοῦ λαοῦ τούτου· ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν; οὐκ ἀπέστησάν φησι τῆς ἀσεβείας, καὶ σὺ ὑπὲρ αὐτῶν δέησιν ἀναφέρεις; ἀλλ᾽ οὐκ ἀκούσομαί σου. πάλιν ὅταν κατ᾽ ἐχθρῶν αἰτῶμεν, οὐ μόνον οὐκ ἀκουόμεθα, ἀλλὰ καὶ παροξύνομεν τὸν Θεόν. φάρμακον γάρ ἐστιν εὐχή· ἀλλ᾽ ἐὰν μὴ εἰδῶμεν τὸ φάρμακον πῶς ἐπιθεῖναι χρή, οὐδὲ τὴν δύναμιν αὐτοῦ καρπούμεθα πώποτε. τοσοῦτον οὖν ἐστιν ἡ τῆς εὐχῆς προσεδρεία καλόν, ὡς ἀπὸ τῆς Χαναναίας ἐκείνης παιδευόμεθα. ὅτι ὃ C τῶν ἀποστόλων ἀξιωσάντων ὁ Χριστὸς οὐκ ἐπένευσεν, αὕτη ἤνυσε, καὶ τῇ καρτερίᾳ εἰς ἔργον ἐξήνεγκε. καὶ γὰρ ὑπὲρ τῶν ἡμετέρων παρ᾽ ἡμῶν βούλεται μᾶλλον τῶν ὑπευθύνων ἀξιοῦσθαι, ἢ παρ᾽ ἑτέρων ὑπὲρ ἡμῶν. ἀνθρώπων μὲν γὰρ δεόμενοι, καὶ δαπάνης χρημάτων δεόμεθα, καὶ κολακείας δουλοπρεποῦς, καὶ πολλῆς περιόδου καὶ πραγματείας· οὐ γὰρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἔστι καὶ διαλεχθῆναι πολλάκις, ἀλλ᾽ ἀνάγκη πρότερον διακόνους καὶ οἰκονόμους D αὐτῶν καὶ ἐπιτρόπους καὶ χρήμασι καὶ ῥήμασι, καὶ παντὶ θεραπεῦσαι τρόπῳ, καὶ τότε δι᾽ ἐκείνων δυνηθῆναι τὴν αἴτησιν λαβεῖν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως· οὐ γὰρ δεῖται μεσιτῶν ἐπὶ τῶν ἀξιούντων, οὐδὲ οὕτως δι᾽ ἑτέρων παρακαλούμενος, ὡς δι᾽ ἡμῶν αὐτῶν δεομένων ἐπινεύει τῇ χάριτι. πολλὰ γὰρ βούλεται ἀπαιτεῖσθαι παρ᾽ ἡμῶν ὁ Θεός· καὶ χάριν ἔχει τούτου πολλήν· μόνος γὰρ οὗτος ὁ χρεώστης ὅταν ἀπαιτῆται, χάριν * ἔχει, καὶ ἃ μὴ ἐδανεισάμεθα, δίδωσι· κἂν μὲν σφοδρῶς ἴδῃ ἐγκείμενον τὸν ἀπαιτοῦντα, καὶ ἃ μὴ ἔλαβε παρ᾽ ἡμῶν, κα- E ταβάλλει· ἂν δὲ νωθρῶς, καὶ αὐτὸς διαναβάλλεται, οὐ διὰ τὸ μὴ βούλεσθαι δοῦναι, ἀλλὰ διὰ τὸ ἡδέως ἔχειν παρ᾽ ἡμῶν ἀπαιτεῖσθαι. οὐδὲ γὰρ μισῶν, οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ἀναβάλλεται τῶν αἰτουμένων τὴν δόσιν ὁ Θεός· ἀλλὰ τῇ μελλήσει τῆς δόσεως, διηνεκῶς παρ᾽ ἑαυτῷ κατέχειν βουλόμενος· καθάπερ καὶ πατέρες φιλόστοργοι ποιοῦσι· καὶ γὰρ ἐκεῖνοι τῶν ῥαθυμοτέρων παίδων τὴν προσεδρείαν τῇ τῆς δόσεως ἀναβολῇ σοφίζονται. ἠκούσθης; ἐπὶ τούτῳ εὐχαρίστησον, ἐπειδὴ ἠκού- A σθης. οὐκ ἠκούσθης; παράμενον ἵνα ἀκουσθῇς. οὐ χρεία σοι μεσιτῶν, οὐδὲ πολλῆς τῆς περιδρομῆς, καὶ τοῦ κολακεῦσαι ἑτέρους· ἀλλὰ κἂν ἔρημος ᾖς, κἂν ἀπροστάτευτος, αὐτὸς διὰ σαυτοῦ παρακαλέσας τὸν Θεὸν ἐπιτεύξῃ πάντως. εἰ γὰρ ἐπ᾽ ἀνθρώπων, κἂν μυρία προσκεκρουκότες ὦμεν, ὅταν καὶ ὑπὸ τὴν ἕω, καὶ μέσης ἡμέρας, καὶ ἐν ἑσπέρᾳ φαινώμεθα τοῖς πρὸς ἡμᾶς λελυπημένοις, τῇ συνεχείᾳ καὶ τῇ διηνεκεῖ τῆς ὄψεως συντυχίᾳ καταλύομεν ῥᾳδίως αὐτῶν τὴν ἔχθραν, B πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο γένοιτ᾽ ἄν. οὐ γὰρ οὕτως δι᾽ ἑτέρων ὑπὲρ ἡμῶν παρακαλούμενος ἐπινεύειν εἴωθεν, ὡς δι᾽ ἡμῶν αὐτῶν τῶν δεομένων, κἂν μυρίων ἀμαρτημάτων γέμοντες κακῶν. ἀκουέτωσαν οἱ μετὰ ῥαθυμίας εὐχόμενοι, καὶ τῇ μελλήσει τῆς δόσεως δυσχεραίνοντες· ὅταν γὰρ εἴπω, παρακάλεσον τὸν Θεόν, δεήθητι αὐτοῦ, ἱκέτευσον αὐτόν, λέγει· παρεκάλεσα ἅπαξ, δεύτερον, τρίτον, δέκατον, εἰκοστόν, καὶ οὐκ ἔλαβον. μὴ ἀποστῇς, ἕως ἂν λάβῃς· μᾶλλον δὲ μηδὲ τότε, ἀλλὰ καὶ τότε C προσμένε. κἂν μὴ λάβῃς, αἴτει ἵνα λάβῃς· ὅταν δὲ λάβῃς, εὐχαρίστησον ὅτι ἔλαβες. εἰσέρχονται πολλοὶ ἐν τῇ ἐκκλησίᾳ, ἀπαρτίζουσι μυρίους στίχους εὐχῆς, καὶ ἐξέρχονται, καὶ οὐκ οἴδασι τί εἶπον. τὰ χείλη κινεῖται, ἡ δὲ ἀκοὴ οὐκ ἀκούει. σὺ οὐκ ἀκούεις τῆς εὐχῆς σου, καὶ τὸν Θεὸν θέλεις ταύτης ἀκοῦσαι; ἔκλινα, λέγεις, γόνατα· ἀλλ᾽ ἡ διάνοιά σου ἔξω ἐπέτετο· τὸ σῶμα ἔνδον καὶ ἡ γνώμη σου ἔξω. τὸ στόμα σου ἔλεγε τὴν εὐχήν, καὶ ἡ διάνοιά σου ἠρίθμει τοὺς τόκους, τὰ συμβό- D λαια, τὰ συναλλάγματα, τὰ κτήματα, τὰς τῶν φίλων συνουσίας. ὁ γὰρ διάβολος πονηρὸς ὤν, καὶ εἰδὼς ὅτι ἐν καιρῷ εὐχῆς μεγάλα ἀνύομεν, τότε ἐπέρχεται· πολλάκις καὶ ὕπτιοι κείμεθα ἐν κλίνῃ, καὶ οὐδὲν λογιζόμεθα· ἤλθομεν εὔξασθαι, καὶ τότε μυρίοι λογισμοὶ ἐπεισέρχονται, ἵνα ἀπὸ τοῦ ἐκεῖθεν, κενοὺς καὶ ἀπράκτους δι᾽ ὅλου ποιήσηται· καὶ πολλάκις πληρώσαντες τὴν εὐχήν, μηδὲ ὡς ἀκούσαντες ἃ εἰρήκαμεν, ἀπήλθομεν. ἂν οὖν ἐννοήσωμεν τοῦτο, εὐθέως αὐ- E τὴν ἀναλάβωμεν, κἂν τὸ αὐτὸ πάθωμεν πάλιν, καὶ τρίτον, καὶ τέταρτον αὐτὴν εἴπωμεν, καὶ μὴ πρότερον ἀποστῶμεν εὐχόμενοι, ἕως ἂν ἅπασαν αὐτὴν μετὰ διανοίας νηφούσης καὶ λογισμοῦ προσέχοντος ἐκχέωμεν ἔμπροσθεν τοῦ Θεοῦ. κἂν αἴσθηται ὁ διάβολος ὅτι οὐ πρότερον ἀφιστάμεθα, ἕως ἂν μετὰ σπουδῆς αὐτὴν καὶ διανοίας νηφούσης εἴπωμεν, ἀποστήσεται λοιπὸν ἐνεδρεύων, εἰδὼς ὅτι οὐδὲν πλέον ἔσται αὐτῷ τῆς ἐπιβουλῆς, ἢ τὸ πολλάκις ἀναγκάζειν, τὴν αὐτὴν ἡμᾶς ἀναλαμβάνειν εὐχήν. εἰ γὰρ ἀνθρώποις προσιόντες τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδήν, ὡς μηδὲ τοὺς πλησίον παρεστῶτας πολλάκις ὁρᾶν, ἀλλὰ συν-

τείνειν

τείνειν ἑαυτῶν τὴν διάνοιαν, κἀκεῖνον μόνον φαντάζεσθαι ᾧ προσιέμεθα. πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιεῖν ἡμᾶς χρὴ, καὶ τῆς εὐχῆς προσκαρτερεῖν, μὴ ὧδε κἀκεῖσε τὸν λογισμὸν περιαγομένους. ἂν γὰρ ἡ γλῶττα μὲν προφέρῃ τὰ ῥήματα, ἡ δὲ διάνοια ἔξω ῥέμβηται, τὰ κατὰ τὴν οἰκίαν περισκοποῦσα, τὰ κατὰ τὴν ἀγορὰν φανταζομένη, οὐδὲν ἡμῖν ὄφελος ἔσται λοιπὸν, ἀλλὰ καὶ πλείων ἡ κατάκρισις. εἰ γὰρ ἀνθρώποις μὲν τοσοῦτον προσεδρεύομεν χρόνον, στρατευόμενοι καὶ ταλαιπωρούμενοι, διακονοῦντες δουλοπρεπῶς, καὶ πρὸς τῷ τέλει πολλάκις καὶ αὐτῆς τῆς ἐλπίδος ἐκπίπτοντες· τῷ δεσπότῃ τῷ ἡμετέρῳ, ἔνθα πάντως ἐστὶν ἀπολαβεῖν τὴν ἀμοιβὴν, πολλῷ μείζω τῶν πόνων οὐ καρτεροῦμεν προσεδρεῦσαι μετὰ τῆς προσηκούσης σπουδῆς; καὶ πόσης ταῦτα κολάσεως ἄξια; εἰ γὰρ καὶ μηδὲν λαβεῖν ἦν, αὐτὸ τοῦτο τὸ συνεχῶς αὐτῷ διαλέγεσθαι, οὐχὶ μυρίων ἀγαθῶν; καὶ γὰρ μέγα ἀγαθὸν εὐχὴ, καὶ τὸ διὰ ταύτης τῷ Θεῷ διαλέγεσθαι. εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ἐναρέτῳ οὐ μικρὰν ἐξ αὐτοῦ καρποῦται τὴν ὠφέλειαν, ὁ Θεῷ διαλέγεσθαι καταξιωθεὶς, πόσων ἀπολαύσεται ἀγαθῶν; πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν οἰκέτας ἡμῶν κελεύειν ἅπαντα δουλεύειν τὸν χρόνον, ἡμᾶς δὲ μηδὲ τὴν ἐλάττω σχολὴν ἀπονέμειν τῷ Θεῷ; οὐκ οἶδας σὺ τὰ συμφέροντα, ἄνθρωπε, πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά. ἀλλ' ἐκεῖνος ὁ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει σου προσέχει, ἀλλὰ πρὸ τῆς αἰτήσεως τὸ συμφέρον σοι προνοεῖται. εἰ γὰρ οἱ πατέρες σαρκικοὶ, οὐ πάντως ἃ αἰτοῦσιν οἱ παῖδες, διδόασιν, οὐκ ἐπειδὴ καταφρονοῦσι τῶν αἰτούντων, ἀλλ' ἐπειδὴ αὐτῶν μᾶλλον κήδονται· πολλῷ μᾶλλον ὁ Θεὸς, ὁ καὶ μᾶλλον φιλῶν, καὶ πλέον ἁπάντων εἰδὼς, τὸ συμφέρον ἡμῖν ποιεῖ. ὅταν οὖν ἀποκάμῃς εὐχόμενος, καὶ μὴ λαμβάνῃς, ἐννόησον ποσάκις ἤκουσας πένητός σε καλοῦντος, καὶ οὐχ ὑπήκουσας, καὶ οὐκ ἠγανάκτησεν ἐκεῖνος, οὐδὲ ὕβρισέ σε. καίτοι σὺ μὲν ἀπὸ ὠμότητος τοῦτο ποιεῖς, ὁ δὲ Θεὸς ἀπὸ φιλανθρωπίας. εἰ τοίνυν αὐτὸς ὁμόδουλον δι' ὠμότητα μὴ ἀκούων οὐκ ἀξιοῖς ἐγκαλεῖσθαι, τῷ δεσπότῃ οὐ δι' ἄλλο διὰ φιλανθρωπίαν οὐκ ἀκούοντι ἐγκαλεῖς; εἰ οὖν ὁ μακάριος Δαβὶδ βασιλεὺς ὢν, καὶ μυρίαις βαπτιζόμενος φροντίσι, καὶ πανταχόθεν περιελκόμενος, ἑπτάκις τῆς ἡμέρας παρεκάλει τὸν Θεὸν, τίνα ἂν ἔχοιμεν ἀπολογίαν καὶ συγγνώμην ἡμεῖς, τοσαύτην σχολὴν ἄγοντες, καὶ μὴ συνεχῶς αὐτὸν ἱκετεύοντες, καὶ ταῦτα τοσοῦτον μέλλοντες καρποῦσθαι κέρδος; ἀμήχανον γὰρ, ἀμήχανον, ἄνθρωπον μετὰ τῆς προσηκούσης προθυμίας εὐχόμενον, καὶ παρακαλοῦντα τὸν Θεὸν συνεχῶς, ἁμαρτεῖν ποτε. ὁ γὰρ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἁμαρτημάτων ἀναμνησθεὶς, καὶ περὶ τῆς συγχωρήσεως τούτων αὐτῷ διαλεχθεὶς, καὶ παρακαλέσας ἵλεων γενέσθαι καὶ ἥμερον, ἀπὸ τῆς ἐν τοῖς λόγοις τούτοις διατριβῆς, πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα, καὶ πτεροῦται, καὶ τῶν ἀνθρωπίνων ὑψηλότερος γίνεται. οὐδὲ γὰρ οὕτω τοὺς κήπους αἱ πηγαὶ τῶν ναμάτων εὐθαλεστέρους ποιοῦσιν, ὡς τὸ φυτὸν τῆς εὐχῆς αἱ πηγαὶ τῶν δακρύων ποτίζουσαι, πρὸς ὕψος μέγιστον ἀνατρέχειν ποιοῦσι, καὶ ἐνώπιον Κυρίου τὸν εὐχόμενον ἑστάναι παρασκευάζουσιν· ἐντεῦθεν γὰρ μάλιστα καὶ τὸ ἀκουσθῆναι γίνεται. ἐπειδὰν δὲ τοῦ σώματος ἐπὶ γῆς κειμένου, καὶ τοῦ στόματος εἰκῇ ληροῦντος, ἡ διάνοια πανταχοῦ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς διέρχηται, πῶς ὁ τοιοῦτος δυνήσεται εἰπεῖν, ὅτι ἐνώπιον τοῦ Θεοῦ ηὔξατο; ἐνώπιον γὰρ Κυρίου εὔχεται ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν, ἀλλὰ πρὸς αὐτὸν ἑαυτὸν μετοικίσας τὸν οὐρανὸν, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών. οὕτω γὰρ δεῖ τὸν εὐχόμενον εὔχεσθαι, ὡς ὅλην ἑαυτοῦ συναγαγόντα καὶ συντείνοντα τὴν διάνοιαν, καλεῖν τὸν Θεὸν μετ' ὀδυνωμένης ψυχῆς, καὶ μηδὲ μακροὺς ἀποτείνοντα λόγους, μηδὲ εἰς μῆκος τὴν ἱκετηρίαν ἐκτείνοντα, ἀλλ' ὀλίγα καὶ ψιλὰ λέγοντα ῥήματα. οὐ γὰρ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τῇ νήψει τῆς διανοίας κεῖται τὸ ἀκουσθῆναι. καὶ τοῦτο ἀπὸ τῆς κατὰ τὴν τοῦ Σαμουὴλ μητέρα, τὴν Ἄνναν ἐστὶν ἰδεῖν· φησὶ γοῦν ἐκείνη, Ἀδωναῒ Κύριε, Ἐλωὶ
» Σαβαὼθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δού-
» λης σου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, δώσω αὐτὸ ἐνώ-
» πιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, καὶ οἶνον καὶ σίκερα οὐ μὴ
» πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ποῖον τοῦτο πλῆθος ῥημάτων; ἀλλ' ὅμως, ἐπειδὴ μετὰ προσοχῆς καὶ νήψεως ταύτην ἐποιήσατο τὴν εὐχὴν, πάντα ὅσα ἠθέλησεν, ἤνυσε, καὶ φύσιν πεπηρωμένην διώρθωσε, καὶ μήτραν ἀποκεκλεισμένην ἀνέῳξε, καὶ πρὸς παῤῥησίαν ἑαυτὴν πολλὴν ἐπανήγαγεν, ἐκ πέτρας ἀγόνου στάχυν κομῶντα θερίσασα. δεῖ τοίνυν τὸν εὐχόμενον, καὶ μὴ μακροὺς ἀποτείνειν λόγους, καὶ συνεχῶς εὔχεσθαι· βραχείας γὰρ καὶ πυκνὰς ποιεῖσθαι τὰς εὐχὰς, καὶ ὁ Χριστὸς, καὶ ὁ Παῦλος ἐκέλευσαν, ἐξ ὀλίγων διαλειμμάτων. ἂν μὲν γὰρ εἰς μῆκος ἐκτείνῃς τὸν λόγον, ὀλιγωρήσας πολλάκις, πολλὴν δώσεις τὴν ἄδειαν τῷ διαβόλῳ προσελθεῖν καὶ ὑποσκελίσαι, καὶ τὴν διάνοιαν ἀπαγαγεῖν τῶν λεγομένων. ἂν δὲ συνεχεῖς καὶ πυκνὰς ποιῇ τὰς εὐχὰς, τόν τε

A mentem noſtram contendamus, ſolum illum, quem accedimus, imaginemur; multo magis nos coram Deo hoc facere oportet, precibúſque eſſe intentos, nec huc atque illuc cogitationem circumducentes. Si enim lingua quidem verba proferat, mens verò foris circumſpectans, aut forenſia negotia ſibi cogitatione formans, nulla nobis reliqua erit utilitas, ſed major condemnatio. Si enim hominibus quidem tanto aſſiſtimus tempore, militantes & ærumnas ferentes, ſervilia munia obeuntes, & ſæpè circa finem *Ex com. in Evang. Io.* B ipſa ſpe excidentes, Domino noſtro à quo omnino remunerationem longè laboribus majorem eſt accipere, debita cum ſollicitudine aſſiſtere non ſuſtineamus? Et quanta hæc punitione digna? Etiamſi enim nihil accepturi eſſemus, nonne id ipſum aſſiduè cum ipſo colloqui, innumerorum bonorum inſtar eſt? Enimvero magnum bonum eſt oratio, & per ipſam cum Deo colloqui. Si enim virtute præditum hominem quis alloquens, non exiguam inde percipiat utilitatem; quantis ille bonis fruetur, qui Deum alloqui *Ex com. in hexaem.* C dignus habitus eſt? Quomodo igitur non abſurdum fuerit, ſervos jubere ut toto tempore nobis ſerviant, nos verò minimum otii Deo tribuere? Non noſti tu utilia homo: frequenter pernicioſa & periculoſa petis; ſed ille magis curam gerens tuæ ſalutis, non ad tuam perditionem reſpicit, ſed antequam petas, quid tibi conducat, providet. Nam ſi patres carnales, non prorſus quæ filii petunt, concedunt; non quòd petentes aſpernentur, ſed quoniam eorum majorem curam gerunt; multo magis Deus id fa- *Ex com in Evang. S. Ioh.* D cit, qui & plus diligit, & exactiùs omnibus, quid nobis proſit, perſpectum habet. Cùm ergo defatigatus orando fueris, & non acceperis, cogita tecum quoties audiveris pauperem te invocantem, & non exaudiveris: & ille indignatus non eſt, nec te contumeliis affecit. Ac tu quidem ex crudelitate hoc facis, Deus verò ex benignitate. Si ergo tu conſervum propter crudelitatem non audiens, te accuſatione dignũ non cenſes; Dominũ propter benignitatem ſervum non audientem accuſas? Si ergo beatus David, *Ex hom. in S. Apoſt. Paulum.* E cùm Rex eſſet, & innumeris immerſus curis, & undique diſtractus, ſepties in die Deum invocabat: quæ nobis excuſatio & venia eſſe poſſit, qui tantum habemus otii, nec aſſiduè ipſi ſupplicamus; atque hæc, cùm tantum lucrum percepturi ſimus? fieri enim non poteſt, non, inquam, fieri poteſt, hominem eo, quo par eſt, ſtudio orantem, & continuè Deo ſupplicantem, aliquando peccare. Qui enim mentem ſuam accendit, animúmque erexit, ac in cœlum ſeipſum tranſtulit; & ita dominum ſuum invocavit, *Ex com. in ep. ad Theſſ.* A ſuorúmque peccatorum recordatus, de ipſorum remiſſione ei locutus eſt, & propitium ac mitem fieri rogavit, ab ipſa in his ſermonibus mora, omnem deponit ſecularem curam, & ſpe elevatur, & humanis perturbationibus ſuperior efficitur. Non enim ita fontes aquarum hortos florentiores reddunt, ſicut plantam orationis fontes lacrymarum irrigantes ad maximam excreſcere faciunt altitudinem, & orantem coram Domino conſiſtere faciunt: hinc enim maximè etiam fit ut exaudiatur. *Ex hom. 5 in Prophet. Annam.* Quoniam ſi B corpore in terra proſtrato, & ore incaſſum nugante, mens totam domum & forum pervagetur, quomodo talis dicere poterit, quòd in conſpectu Dei oraverit? In conſpectu enim Domini orat, qui totam animam ſuam colligit, & nihil habet cum terra commune, ſed in ipſum ſe transfert cœlum, atque omnem ex animo expellit humanam cogitationem. *Ex hom. 3. in Prophet. Annam.* Sic enim orantem oportet orare, ut totam ſuam mentem colligens & contendens, animo dolente Deum invocet, & neque prolixos extendat ſermones, neque in longum D orationem producat, ſed pauca & ſimplicia verba dicat. *Ex hom. 2. Prophet. Annam.* Non enim in verborum multitudine, ſed in mentis ſobrietate poſitum eſt, ut quis exaudiatur. Atque hoc ex precibus Annæ matris Samuëlis videre eſt. Illa quippe dicit, *Adonai Domine, Deus Sabaoth, ſi reſpiciens reſpexeris ad humilitatem ancillæ tuæ, & dederis ancillæ tuæ ſemen viri, dabo ipſum in conſpectu tuo dicatum, uſque ad diem mortis ipſius, & vinum & ſiceram non bibet, & ferrum non aſcendet ſuper caput ipſius.* Qualis hæc verborum multitudo? Nihilo- C minus, quoniam cum attentione & ſobrietate hanc orationem fecit, omnia quæ voluit, perfecit, & deficientem naturam correxit, & matricem concluſam aperuit, & in multam ſeipſam induxit fiduciam, ex ſterili petra abundantem ſegetem metens. Oportet igitur orantem nec longos extendere ſermones, & aſſiduè orare. Breves enim & frequentes orationes fieri & Chriſtus & Paulus præceperunt, parvis ex intervallis. Nam ſi ſermonem in longum extenderis, in negligentiam frequenter lapſus, E multam diabolo ſubrependi & ſupplantandi & cogitationem abducendi facultatem, dederis, ab his quæ dicuntur. Si verò

continuas & crebras orationes facias, & totum tempus frequentia interpolans, facilè modeſtiam exhibere poteris, & ipſas orationes cum multa perages ſolertia. Vis orationis vigilantiam diſcere, ſolertiam & aſſiduitatem? abeas ad Annam, diſce quid illa fecerit. Surrexerunt, inquit, omnes à menſa, & illa ſtatim non ad ſomnum converſa eſt, non ad requiem. Unde mihi etiam ad menſam ſedens ſobria fuiſſe, nec ullis cibis onerata videtur: nec enim tot emitteret lacrymas. Si enim nos cùm ſobrii ſumus & jejuni, vix ita oramus, imò verò nunquam ita oramus: multo magis illa B poſt menſam ita non oraſſet, niſi etiam in menſa jejunantibus ſimilis fuiſſet. Revereamur viri, mulierem; revereamur, inquam, qui pro regno ſupplicantes oſcitamus, pro filio precantem & lacrymas fundentem. Et hìc quoque mihi pietatem mulieris conſidera: *Vox*, inquit, *ejus non audiebatur, labia verò ipſius movebantur*. Sic qui obtinere aliquid vult, ad Deum accedat, non ignavus, non oſcitans, non deficiens, neque ſe ſcabens aut negligenter arguens. Nunquid enim etiam ante orationem deſiderium mu- C lieris noverat? Sed ſi ante petitionem dediſſet, non apparuiſſet mulieris ſtudium, non virtus fuiſſet manifeſta, non tantum inde præmium acquiſiviſſet. Sed & ipſius ſapientiam videamus: poſtquam enim eam Heli ſacerdos ebriam exiſtimavit, vide quid ad ipſum dicat: Ne des ancillam tuam in filiam peſtis; quoniam ex multitudine ſermonum meorum extendi uſque nunc. Hoc verè contriti cordis eſt, cùm injuria nos afficientibus offenſi non ſumus, nec indignamur; ſed etiam nos excuſamus. Nihil enim ita cor D ſapiens facit ſicut tribulatio, & ſecundùm Deum luctus. Opus eſt itaque nos & menſam auſpicantes & finientes, Deo gratias agere. Qui enim ad hoc paratus eſt, nunquam in ebrietatem incidet aut vinolentiam: nunquam crapula diſrumpetur: ſed orationis expectationem pro freno ſenſibus impoſitam habens cum debita modeſtia ex omnibus appoſitis ſumet, & multa quidem animam, multa verò corpus benedictione implebit. Menſa namque ab oratione ſumens initium, & in orationem deſinens, nun- E quam deficiet; ſed fonte largiùs, omnia nobis bona adferet. Ne tantum itaque prætermittamus emolumentum. Abſurdum enim eſt, ſervos quidem noſtros, ſi aliquando partem aliquam appoſitorum à nobis accipiant, & gratias nobis agere, & cum benedictione recedere: nos autem tot bonis perfruentes, nec tantum honoris Deo rependere. Propterea enim multa tam in communibus, quàm in privatis rebus præter ſententiam nobis eveniunt, quoniam non circa ſpiritualia primùm, tum vero circa ſecularia A negotia ſtudium exhibemus. Nonne ſcis, quòd ſi veniens Deum adoraveris, & præſentis hic occupationis ſis particeps, magis tibi illa, quæ in manibus habentur, facilia reddantur? Sed ſeculares habes curas? Propter has ſaltem huc occurre, ut allecta per hanc exercitationem Dei benevolentia: ita totus prodeas, ut ipſum habeas auxiliatorem, ut ſuperna currente manu, dæmonibus inexpugnabilis fias. Nam ſi preces conſequaris ſpirituales, ſi communis orationis particeps fias, ſi Dei compares auxilium, ſi ipſius B armis munitus ita progrediaris; jam neque diabolus ipſe contra te reſpicere poterit, nedum homines improbi, qui injuria te afficere & calumniari ſtudent. Quod ſi è domo in forum egreſſus & hujuſmodi armis nudus inventus fueris, omnibus inſidiantibus expugnabilis eris. Neque mihi quiſpiam dicat, fieri non poſſe, ut homo ſecularis, foro affixus, continuè per diem oret, & ad Eccleſiam excurrat: poteſt enim, & quàm facillimè, nam licet in C Eccleſiam currere facile non ſit, pro foribus illic conſtitutus, & foro aſſiduus orare poteſt. Et hoc multi fecere frequenter; & clamante intùs magiſtratu, comminante, contendente, furente, pro foribus ſtantes ſigno muniti, & pauca verba mente orantes, ingreſſi mutaverunt eum atque mitigaverunt, & mitem ex fero reddidere; nihilque aut à loco, aut à tempore, aut à ſilentio ad orationem iſtam impediti ſunt. Nec enim tam voce opus eſt, quàm cogitatione: neque manuum extenſione, quàm animi in- D tentione: neque figura, ſed intellectu. Quoniam & Samuelis mater Anna, non quia claram & magnam edidit vocem, propter hoc audiebatur; ſed quia intus in corde multum clamabat: ait enim: Vox ejus non audiebatur, & exaudivit eam Deus. Ne igitur nos excuſemus dicentes, non eſſe facile quempiam orare ſecularibus negotiis implicitum, & prope ſe oratoriam domum nō invenientem. Nam ubicumq; ſis, potes altare tuū conſtruere.

Ex com. in epiſt. 1. ad Epheſ.

Ex hom. 2. in Prophet. Annam.

Ex hom in illud dictum: Si eſurierit inimicus tuus, ciba illum.

Ex hom. 5. in Prophet. Annam.

A καιρὸν ἅπαντα τῇ συνεχείᾳ διαλαμβάνων, δυνήσῃ σωφρονεῖν εὐκόλως, καὶ αὐτὰς τὰς εὐχὰς μετὰ πολλῆς ποιήσῃ τῆς νήψεως. βούλει μαθεῖν ἀγρυπνίαν προσευχῆς καὶ νῆψιν καὶ προσεδρείαν; ἄπιθι πρὸς τὴν Ἄνναν, μάθε τί ἐποίησεν ἐκείνη. ἀνέστησαν, φησι, πάντες ἀπὸ τῆς τραπέζης, καὶ ἐκείνη εὐθέως, οὐ πρὸς ὕπνον ἐτράπετο, οὐ πρὸς ἀνάπαυσιν· ὅθεν μοι δοκεῖ καὶ ἐπὶ τῆς τραπέζης καθημένη, νήφουσα εἶναι καὶ μὴ βεβαρημένη σιτίοις τισίν· οὐ γὰρ ἂν τοσαῦτα ἠφίει δάκρυα. B εἰ γὰρ ἡμεῖς νήστεις ὄντες καὶ ἄσιτοι μόλις οὕτως εὐχόμεθα, μᾶλλον δὲ οὐδέποτε οὕτως εὐχόμεθα, πολλῷ μᾶλλον ἐκείνη μετὰ τράπεζαν οὐκ ἂν ηὔξατο οὕτως, εἰ μὴ καὶ ἐν τῇ τραπέζῃ τοῖς ἀσίτοις ἐῴκει. αἰσχυνθῶμεν οἱ ἄνδρες τὴν γυναῖκα. αἰσχυνθῶμεν οἱ ὑπὲρ βασιλείας ἱκετεύοντες καὶ χασμώμενοι, τὴν ὑπὲρ παιδίου δεομένην καὶ δακρύουσαν. καὶ θέα μοι κἀνταῦθα τὴν εὐλάβειαν· φωνὴ αὐτῆς, φησιν, οὐκ ἠκούετο, τὰ δὲ χείλη αὐτῆς ἐκινεῖτο. οὕτως ὁ βουλόμενος ἀνύσαι, C προσέρχεται τῷ θεῷ, οὐ μαλακιζόμενος, οὐδὲ χασμώμενος, οὐδὲ ἐκλελυμένος, οὐδὲ κνώμενος, οὐδὲ ἀκηδιῶν. μὴ γὰρ οὐκ ᾔδει καὶ πρὸ τῆς αἰτήσεως τὴν ἐπιθυμίαν τῆς γυναικός; ἀλλ' εἰ ἔδωκε πρὸ τῆς αἰτήσεως, οὐκ ἂν ἐφάνη τῆς γυναικὸς ἡ προθυμία, οὐκ ἂν ἡ ἀρετὴ αὐτῆς δήλη, οὐκ ἂν τοσοῦτον ἐντεῦθεν ἐκτήσατο μισθόν. ἀλλ' ἴδωμεν αὐτῆς καὶ τὴν φιλοσοφίαν. ἐπειδὴ γὰρ ἐλογίσατο αὐτὴν Ἠλὶ ὁ ἱερεὺς εἰς μεθύουσαν, ὅρα καὶ πρὸς αὐτὸν τί φησι· μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λοιμήν, ὅτι ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέταμαι καὶ ἕως τοῦ νῦν. D τοῦτο ἀληθῶς καρδίας συντετριμμένης, ὅταν πρὸς τοὺς ὑβρίζοντας μὴ χαλεπαίνωμεν μηδὲ δυσχεραίνωμεν, ἀλλὰ καὶ ἀπολογώμεθα. οὐδὲν γὰρ οὕτω ποιεῖ καρδίαν φιλόσοφον ὡς θλῖψις καὶ πένθος τὸ κατὰ θεόν. Δεῖ οὖν ἡμᾶς καὶ ἀρχομένους τραπέζης καὶ λήγοντας εὐχαριστεῖν τῷ θεῷ. ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος, οὐδέποτε εἰς μέθην καὶ παροινίαν ἐκπεσεῖται· οὐδέποτε ὑπὸ ἀδηφαγίας διαρραγήσεται· E ἀλλὰ τὴν προσδοκίαν τῆς εὐχῆς, ἀντὶ χαλινοῦ τοῖς λογισμοῖς ἐπικειμένην ἔχων, μετὰ τοῦ προσήκοντος μέτρου τῶν παρακειμένων ἅψεται πάντων, καὶ πολλῆς μὲν τὴν ψυχήν, πολλῆς δὲ τῆς εὐλογίας ἐμπλήσει τὸ σῶμα. τράπεζα γὰρ ἀπὸ εὐχῆς ἀρχομένη, καὶ εἰς εὐχὴν καταλήγουσα, οὐδέποτε ὑστερηθήσεται, ἀλλὰ πηγῆς δαψιλέστερον ἅπαντα ἡμῖν οἴσει τὰ ἀγαθά. μὴ δὴ τοσοῦτον παρῶμεν κέρδος. καὶ γὰρ ἄτοπον τοὺς μὲν οἰκέτας ἡμετέρους, εἴ ποτέ τι τῶν παρακειμένων λάβοιεν παρ' ἡμῶν μέρος, A εὐχαριστεῖν τε ἡμῖν, καὶ μετ' εὐφημίας ἀναχωρεῖν, ἡμᾶς δὲ τοσούτων ἀπολαύοντας ἀγαθῶν, μηδὲ τοσαύτην ἀποδιδόναι τῷ θεῷ τὴν τιμήν. διὰ γὰρ τοῦτο πολλὰ καὶ ἐν τοῖς κοινοῖς, καὶ ἐν τοῖς ἰδίοις πράγμασι παρὰ γνώμην ἡμῖν ἀπαντᾷ, ὅτι οὐ περὶ τὰ πνευματικὰ πρῶτον καὶ τότε περὶ τὰ βιωτικὰ σπουδάζομεν πράγματα. οὐκ οἶδας ὅτι ἐὰν ἐλθὼν προσκυνήσῃς τὸν θεόν, καὶ μετάσχῃς τῆς ἐνταῦθα διατριβῆς, μᾶλλόν σοι τὰ ἐν χερσὶν εὐμαρίζεται πράγματα; B ἀλλὰ βιωτικὰς ἔχεις φροντίδας; διὰ ταύτας μὲν οὖν ἐνταῦθα ἀπάντησον, ἵνα τὴν εὔνοιαν ἐπισπασάμενος τοῦ θεοῦ, διὰ τῆς ἐνταῦθα διατριβῆς, οὕτω μετὰ ἀσφαλείας ἐξέλθῃς, ἵνα ἔχῃς αὐτὸν σύμμαχον, ἵνα ἀκαταγώνιστος γένῃ τοῖς δαίμοσιν, ὑπὸ τῆς ἄνωθεν χειρὸς βοηθούμενος. ἂν γὰρ ἀπολαύσῃς εὐχῶν πνευματικῶν, ἂν μετάσχῃς εὐχῆς κοινῆς, ἂν ἐπισπάσῃ τοῦ θεοῦ τὴν βοήθειαν, ἂν αὐτοῖς τοῖς ὅπλοις C φραξάμενος οὕτως ἐξέλθῃς, οὐδὲ αὐτὸς ὁ διάβολος ἀντιβλέψαι δυνήσεταί σοι λοιπόν, μήτι γε ἄνθρωποι πονηροὶ σπουδάζοντες ἐπηρεάζειν καὶ συκοφαντεῖν. ἂν δὲ ἀπὸ τῆς οἰκίας ἐπὶ τὴν ἀγορὰν ἔλθῃς, καὶ γυμνὸς τῶν ὅπλων τούτων εὑρεθῇς, εὐχείρωτος ἔσῃ τοῖς ἐπηρεάζουσιν ἅπασι. καὶ μή μοι λεγέτω τις, ὡς ἀδύνατον ἄνθρωπον βιωτικόν, δικαστηρίῳ προσηλωμένον, συνεχῶς εὔχεσθαι τῆς ἡμέρας, καὶ εἰς ἐκκλησίαν ἐντρέχειν· δυνατὸν γάρ, καὶ σφόδρα εὔκολον. D κἂν γὰρ εἰς ἐκκλησίαν δραμεῖν μὴ ῥᾴδιον, ἑστῶτα ἐκεῖ πρὸ τῶν θυρῶν, καὶ τῷ δικαστηρίῳ προσηλωμένον, εὔξασθαι δυνατόν, καὶ τοῦτο πολλοὶ ἐποίησαν πολλάκις, καὶ βοῶντος τοῦ ἄρχοντος ἔνδοθεν, ἀπειλοῦντος, διατεινομένου, μαινομένου, πρὸ τῶν θυρῶν ἑστῶτες σφραγισάμενοι, καὶ ὀλίγα ῥήματα κατὰ διάνοιαν εὐξάμενοι, εἰσελθόντες μετέβαλον αὐτὸν καὶ ἐπράϋναν, καὶ ἥμερον ἐξ ἀγρίου κατέστησαν· καὶ οὐδὲν οὔτε ἀπὸ τοῦ τόπου, οὔτε ἀπὸ τοῦ καιροῦ, οὔτε ἀπὸ E τῆς σιγῆς, πρὸς τὴν εὐχὴν ταύτην ἐνεποδίσθησαν. οὐδὲ γὰρ οὕτω φωνῆς χρεία, ὡς διανοίας· οὐδὲ ἐκτάσεως χειρῶν, ὡς συντεταμένης ψυχῆς· οὐδὲ σχήματος, ἀλλὰ φρονήματος. ἐπεὶ καὶ ἡ τοῦ Σαμουὴλ μήτηρ Ἄννα, οὐκ ἐπειδὴ λαμπρὰν καὶ μεγάλην ἀφῆκε φωνήν, διὰ τοῦτ' ἠκούετ', ἀλλ' ἐπειδὴ μεγάλα ἔνδον μετὰ τῆς καρδίας ἐβόα. ἡ φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησι, καὶ εἰσήκουσεν αὐτῆς ὁ θεός. μὴ δὴ οὖν προφασιζώμεθα λέγοντες, ὡς οὐκ ἔστιν εὔκολον εὔξασθαί τινα, τοῖς βιωτικοῖς ἐνασχολούμενον πράγμασι, καὶ μηδὲ πλησίον εὐκτήριον οἶκον εὑρίσκοντα. ὅπου γὰρ ἂν ᾖς, δύνασαι στῆσαι τὸ θυσιαστήριον· οὐδὲν γὰρ κωλύει τόπος, οὐδὲ ἐμποδίζει καιρός. ἀλλὰ κἂν μὴ γόνατα κλίνῃς, κἂν μὴ στῆθος τύψῃς, καὶ τὰς

χεῖρας

χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνῃς, διάνοιαν δὲ μόνον ἐπιδείξῃ θερμὴν, τὸ πᾶν ἀπήρτισας τῆς εὐχῆς. ἔξεστι γὰρ καὶ εἰς ἀγορὰν ἐμβάλλοντα, καὶ καθ' ἑαυτὸν βαδίζοντα, εὐχὰς ἐκτενεῖς ποιεῖσθαι. ἔξεστι καὶ ἐπ' ἐργαστηρίῳ καθήμενον, καὶ δέρματα ῥάπτοντα, τὴν ψυχὴν ἀναθεῖναι πρὸς τὸν δεσπότην. ἔξεστι καὶ οἰκέτῃ, καὶ ὠνουμένῳ, καὶ ἀναβαίνοντι, καὶ καταβαίνοντι, καὶ μαγειρείῳ παρεστῶτι, ὅταν μὴ δυνατὸν εἰς ἐκκλησίαν ἐλθεῖν, εὐχὴν ποιεῖσθαι ἐκτενῆ καὶ διεγηγερμένην. οὐ γὰρ ἐπαισχύνεται τόπον ὁ Θεὸς, ἀλλ' ἓν ζητεῖ μόνον, διάνοιαν θερμὴν, καὶ ψυχὴν σωφρονοῦσαν. καὶ γὰρ ὁ Παῦλος οὐκ ἐν οἴκῳ εὐκτηρίῳ, ἀλλ' ὕπτιος ἐπὶ τοῦ δεσμωτηρίου κείμενος, καὶ οὐκ ὀρθὸς ἑστὼς οὐδὲ γόνατα κλίνων· [οὐ γὰρ ἠφίει τὸ ξύλον ᾧ τοὺς πόδας ἐδέδετο·] ἐπειδὴ μετὰ προθυμίας ηὔξατο κείμενος, τὸ δεσμωτήριον ἔσεισε, καὶ τὰ θεμέλια διεσάλευσε, καὶ τὸν δεσμοφύλακα ἐδόνησε, καὶ πρὸς τὴν ἱερὰν μετὰ ταῦτα μυσταγωγίαν ἐχειραγώγησε. καὶ ὁ Ἐζεκίας οὐκ ὀρθὸς ἑστὼς, οὐδὲ γόνατα κλίνων, ἀλλ' ὕπτιος ἐπὶ τῆς κλίνης κείμενος διὰ τὴν ἀῤῥωστίαν, στρέψας ἑαυτὸν ἐπὶ τὸν τοῖχον, ἐπειδὴ τὸν Θεὸν θερμῶς ἐκάλεσε, καὶ μετὰ ψυχῆς σωφρονούσης, καὶ τὴν ἀπόφασιν ἐξενεχθεῖσαν ἀνεκαλέσατο, καὶ πολλὴν ἐπεσπάσατο τὴν εὔνοιαν, καὶ πρὸς τὴν προτέραν ἐπανῆλθεν ὑγίειαν. καὶ ὁ λῃστὴς ἐπὶ τοῦ σταυροῦ τεταμένος, ἀπὸ ῥημάτων ὀλίγων τῆς βασιλείας τῶν οὐρανῶν ἔτυχε· καὶ ὁ Ἱερεμίας ἐν βορβόρῳ καὶ λάκκῳ, καὶ ὁ Δανιὴλ ἐν λάκκῳ καὶ θηρίοις, καὶ ὁ Ἰωνᾶς ἐν αὐτῇ τοῦ κήτους τῇ νηδύϊ τὸν Θεὸν παρακαλέσαντες, τὰ ἐπικείμενα δεινὰ διέλυσαν ἅπαντα, καὶ τὴν ἄνωθεν εὔνοιαν ἐπεσπάσαντο. Τί τοίνυν λέγειν ὀφείλεις εὐχόμενος; ὅπερ ἡ Χαναναία. ὡς γὰρ ἐκείνη ἔλεγεν· ἐλέησόν με, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται· οὕτως λέγε καὶ σύ· ἐλέησόν με, ἡ ψυχή μου κακῶς δαιμονίζεται. μέγας γὰρ δαίμων ἡ ἁμαρτία· ὁ δαιμονῶν, ἐλεεῖται· ὁ ἁμαρτάνων μισεῖται. ἐλέησόν με. βραχὺ τὸ ῥῆμα, καὶ πέλαγος τῆς φιλανθρωπίας· ὅπου γὰρ ἔλεος, πάντα τὰ ἀγαθά. κἂν ἔξω ἐκκλησίας ᾖς, κράζε, καὶ λέγε· ἐλέησόν με· εἰ καὶ μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν· καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός. οὐ ζητεῖται τόπος, ἀλλ' ἀρχὴ * τρόπων. ὁ Ἱερεμίας ἐν βορβόρῳ ἦν, καὶ τὸν Θεὸν ἐπεσπάσατο· καὶ ὁ Ἰὼβ ἐν κοπρίᾳ ἦν, καὶ τὸν Θεὸν ἵλεων κατεσκεύασεν· ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, καὶ τὸν Θεὸν ὑπήκοον ἔσχε. κἂν ἐν βαλανείῳ ᾖς, εὔχου· ὅπου ἐὰν ᾖς, εὔχου. Ναὸς εἶ, μὴ ζήτει τόπον. Θάλαττα ἦν ἔμπροσθεν, ὄπισθεν Αἰγύπτιοι, καὶ μέσος ὁ Μωσῆς μηδὲν λαλῶν· πολλὴ γὰρ ἐν τῇ εὐχῇ ἡ στενοχωρία· καὶ λέγει αὐτῷ ὁ Θεός, Τί βοᾷς πρός με; καὶ σὺ τοίνυν ὅταν πειρασμὸς ἐπέλθῃ σοι, ἐπὶ τὸν Θεὸν κατάφυγε, τὸν δεσπότην κάλεσον. μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπέλθῃς εἰς τόπον; Θεὸς ἀεὶ ἐγγύς ἐστιν. ἔτι λαλοῦντός σου, ἐρῶ· ἰδοὺ πάρειμι. οὐδέπω τελεῖς τὴν εὐχὴν, καὶ αὐτὸς τὴν ἴασιν δίδωσιν. ἂν γὰρ τὴν διάνοιαν ἔχῃς καθαρεύουσαν τῶν ἀτόπων παθῶν, κἂν ἐν ἀγορᾷ ᾖς, κἂν ἐν ὁδῷ, κἂν ἐν δικαστηρίῳ παρεστὼς, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πανδοχείῳ, κἂν ἐπ' ἐργαστηρίῳ ἑστηκὼς, κἂν ὁπουοῦν ἂν ᾖς, δυνήσῃ τὸν Θεὸν καλέσας ἐπιτυχεῖν τῆς αἰτήσεως. τί γὰρ βούλεται τῶν χειρῶν ἡ ἔκτασις ἐν τῇ εὐχῇ; πολλαῖς πονηρίαις διακονοῦσιν αὗται· καὶ διὰ τοῦτο κελευόμεθα αὐτὰς ἀνατείνειν, ἵνα ἡ τῆς εὐχῆς διακονία δεσμὸς αὐταῖς γένηται τῆς κακίας, καὶ ἀπαγωγὴ τῆς πονηρίας· ἵν' ὅταν μέλλῃς ἁρπάζειν, ἢ πλεονεκτεῖν, ἢ τύπτειν ἕτερον, ἀναμνησθῇς, ὅτι ταύτας μέλλεις αὐτὰς συνηγόρους πρὸς τὸν Θεὸν πέμπειν, καὶ διὰ τούτων τὴν θυσίαν ἀναφέρειν ἐκείνην τὴν πνευματικὴν, καὶ μὴ καταισχύνῃς αὐτὰς, μηδὲ ἀπαῤῥησιάστους ἐργάσῃ τῇ διακονίᾳ τῆς πονηρᾶς ἐργασίας. κάθαιρε τοίνυν αὐτὰς ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, προστασίᾳ τῶν δεομένων, καὶ οὕτως αὐτὰς εἰς εὐχὴν ἄγε. εἰ γὰρ ἀνίπτους αὐτὰς οὐκ ἐπιτρέπεις εἰς εὐχὴν, πολλῷ μᾶλλον ἐν ἁμαρτήμασιν οὐκ ἂν εἴης δίκαιος αὐτὰς * ἀνατείνειν. εἰ τὸ ἔλαττον δέδοικας τὸ ἀνίπτοις χερσὶν εὔχεσθαι, πολλῷ μᾶλλον τὸ μεῖζον φρίξον· τὸ μὲν γὰρ ἀνίπτοις χερσὶ προσεύχεσθαι, οὐ τοσοῦτον ἄτοπον· τὸ δὲ καταῤῥυπανθείσας αὐτὰς μυρίοις ἁμαρτήμασι, τοῦτο πολλὴν φέρει τὴν ὀργὴν καὶ τὸν ὄλεθρον. βούλει μαθεῖν πόση ἡ δύναμις τῆς εὐχῆς, τῆς ἐν τῇ ἐκκλησίᾳ γινομένης; ἐδέδετό ποτε ὁ Πέτρος, καὶ ἁλύσεις περίκειτο πολλάς· προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας περὶ αὐτοῦ γινομένη, καὶ εὐθέως αὐτὸν ἀπήλλαξε τοῦ δεσμωτηρίου. τί τοίνυν δυνατώτερον ταύτης γένοιτ' ἂν τῆς εὐχῆς, ἣ τὸν στύλον, καὶ πύργον τῆς ἐκκλησίας ὠφέλησε; καὶ τοῖς μὲν κατηχουμένοις οὐδέπω τοῦτο ἐπιτέτραπται, ἐπειδὴ οὐδέπω πρὸς τὴν παῤῥησίαν ἔφθασαν ταύτην· ὑμῖν δὲ καὶ ὑπὲρ τῆς οἰκουμένης, καὶ ὑπὲρ τῆς ἐκκλησίας τῆς μέχρι τῶν περάτων τῆς γῆς ἐκτεταμένης, καὶ ὑπὲρ τῶν διοικούντων ταύτην καὶ ἐπιστατούντων, προστέτακται ποιεῖσθαι τὰς δεήσεις. καὶ ὑπακούετε μετὰ προθυμίας, ἔργῳ μαρτυροῦντες, ὅτι μεγάλη τῆς εὐχῆς ἡ δύναμίς ἐστι, τῆς ἐν ἐκκλησίᾳ ἀπὸ τοῦ δήμου συμφώνως ἀναφερομένης. εἰ γὰρ ἐπὶ ἀνθρώπων καταδίκους ἄνδρας ἀπαγομένους εἰς θάνατον, δῆμος παρακαλῶν ἐξῃτήσατο, καὶ τὸ πλῆθος δυσωπηθεὶς ὁ βασιλεὺς τὴν γνώμην ἀνῆκε, πολλῷ μᾶλλον παρ' ὑμῶν ὁ ἐπουράνιος δυσωπηθήσεται.

A Nihil enim locus prohibet, nec impedit tempus. Sed etſi genua nō flectas, etſi pectus non percutias, nec manus in cœlū extendas ſi mentē ſolùm ferventem exhibeas, orationem perfectam conſummaveris. Licet enim, & forum petentem, & ſolum ambulantem, prolixas orationes facere. Licet & in officina ſedentem, & pelles ſuentem, animam Domino dedicare. Licet enim ſervo & ementi, & aſcendenti, & deſcendenti, & culinæ aſtanti, cùm ad Eccleſiam ire non poterit, orationem facere prolixam & ſolertem. B Non enim locum Deus veretur, ſed unum ſolum exquirit, fervidā mentem & continentē animā. Nam & Paulus non in oratorio, ſed ſupinus in carcere jacens, neq; erectus ſtans, neq; genua flectens: (Non enim ſinebat lignū, quo pedibus vinctus tenebatur:) quoniam jacens ſtudioſè oravit, carcerem concuſſit, & labefactavit fundamenta, carceriſque cuſtodem ligavit, & poſt hæc ad ſacram initiationem deduxit. Et Ezechias haut rectus ſtans, neque genua flectens, ſed ſupinus propter ægritudinem C in lectulo jacens, cùm ad parietem ſeipſum convertiſſet, quoniam Deum ferventer & caſto animo invocavit; & prolatam revocavit ſententiam, & magnam ſibi conciliavit benevolentiam, atque ad priſtinam rediit ſanitatem. Et latro in cruce diſtentus paucis verbis cæleſte regnum aſſecutus eſt: Et Jeremias in cœno & in lacu feriſque Daniel, & Jonas in ipſo ceti ventre Deum deprecati, imminentia mala univerſa diſſolverunt, & cæleſtem gratiam ſibi conciliaverunt. D Quid igitur orans dicere debes? Quod Cananæa. Sicut enim illa dicebat: *Miſerere mei, filia mea malè a dæmonio vexatur*, ita & tu dicito: Miſerere mei, anima mea malè à dæmonio vexatur. Magnus ſiquidem dæmon, peccatum: dæmonium habens, miſericordiam invenit; peccans odio habetur. Miſerere mei, breve verbum, & clementiæ pelagus continet, ubi enim miſericordia, ibi ſunt omnia bona. Etiamſi extra Eccleſiam ſis, clama, & dic: Miſerere mei; etſi non movens labia, ſed mente clamans: E nam & tacentes Deus exaudit. Non quæritur locus, ſed loci principium. Hieremias in cœno erat, & Deum exoravit: & Job erat in ſterquilinio, & Deum reddidit propitium: Jonas etiam in ventre ceti Deum facilem habuit. Etiamſi in Balneo ſis, ora, ubicunque ſis, ora. Templum es, ne locum quæras. Mare erat ante Judæos, & poſt terga Ægyptii; & medius Moyſes, nihil loquens (multa enim in oratione anguſtia) & dicit ei Deus: Quid clamas ad me? Et tu igitur, cùm tibi advenerit tentatio, ad Deum confuge, Dominum invocā. Nunquid enim homo eſt, A ut locum petas? Deus ſemper prope eſt. *Adhuc loquente te audiam: Ecce adſum.* Nondum orationem feciſti, & ipſe medicinam præbet. Si enim mentem puram ab impuris affectibus habeas, licet in foro ſis, ſive in via, ſive in Judicio conſtitutus, ſive in diverſorio, ſive in officina ſtans, ſive ubicunque tandem ſis, Deo poteris invocato petitionem obtinere. Quid enim manuum in oratione vult extenſio? Hæ multis ſceleribus miniſterium exhibent: & idcirco jubemur eas extollere, ut orationis B miniſterium ſit eis vinculum nequitiæ, & à malitia abductio: ut cùm rapturus eris, aut alterum oppreſſurus vel percuſſurus, recorderis, quòd has pro patronis ad Deū ſis emiſſurus, & per has ſpirituale illud ſacrificiū oblaturus: quodq; ipſas non confundere, nec actionis pravæ miniſterio fiducia privare debeas. Eas igitur emunda per eleemoſynam, per clementiam, per indigentium tutelam, & ita eas ad orationem offer. Si enim illotis illis ad C orationem uti non velis, multò minùs in peccatis eas extendens fueris juſtus. Si, quod minus eſt, illotis manibus orare times, multo magis quod gravius eſt, expaueſce. Illotis enim manibus orare non adeo abſurdum eſt: eas autem innumeris criminibus contaminatas habere, hoc multam indignationem affert & exitium. Vis diſcere quanta ſit orationis in Eccleſia factæ potentia? Vinctus aliquando fuit Petrus, multiſque circundatus erat catenis: oratio autem fiebat ſine intermiſſione ab Eccleſia pro eo, & ſtatim eum à carcere liberavit. Quid igitur hac oratione poD tentius fuerit, quæ columnam & turrim Eccleſiæ adjuvit? Et catechumenis quidem permiſſum hoc nondum eſt, quoniam necdum ad hanc pervenere fiduciam: vobis autem & pro terrarum orbe, & pro Eccleſia, quæ uſque ad terminos terræ extenditur, & pro gubernantibus ipſam & præſidentibus orationes facere præcipitur. Cùm animi igitur alacritate obedite, opere teſtantes, quòd magna vis eſt orationis in Eccleſia à poE pulo concorditer oblatæ. Nam cùm inter homines, populo, ſontes viros, cùm ad mortem trahuntur, petente, Rex

Ex hom. in repulſ. Cananææ.

Hier 38. In cœno. Job 2. Jon. 2. Exod 14.15

Ex Heſaia.

Ex homil. de non maledicendo.

Ex expoſit. 2 ad Theſſ.

multitudine motus, ſententiam deponat; multo magis Rex cœleſtis à vobis placatus petitę præſtabit. Non audiſtis, quòd ita Petrus de carcere ereptus ſit, quoniam erat oratio prolixe quæ pro eo fiebat? Quanto majus eſſe noſtra credidis exiguitate, ad Deum pro tanto accedere populo & ſupplicare? Nam ſi pro meipſo precari fiduciam non habeo, multo minus pro aliis: beneplacentium enim hoc eſt. Cùm igitur etiam ipſe offenderim, quomodo pro alio deprecabor? Quod enim unus pro multis oret, res magnæ eſt fiduciæ, multæque indigens libertatis: Multos autem ſimul congregatos pro uno ſupplicationem facere, nil grave videbitur. Oratio quidem domi etiam fieri poteſt: ſic autem, ut in Eccleſia, non poteſt; ubi tanta patrum multitudo, ubi clamor ad Deum unanimiter emittitur. Non ita Dominum per te ſolum orans audiris, ſicut cum fratribus tuis. Hîc enim mejus quid eſt unanimitas videlicet & conſonantia, charitatiſque vinculum, & ſacerdotum orationes. Propterea namque ſacerdotes præpoſiti ſunt, ut multitudinis orationes, cùm ſint infirmiores, horum velut potentiorum precibus ſe conjungentes, pariter cum illis in cœlum aſcendant. Si namque Petrum Eccleſiæ adjuvit oratio, & illam ex carcere columnam eduxit, quomodo tu quæſo, ipſius potentiam contemnis? Quemadmodum enim charitatis virtus intervallo non arcetur, ita nec orationis efficacia: ſed ſicut illa inter ſe diſtantes conjungit, ita & hæc procul poſitos plurimum adjuvare poterit. Nam & Moyſes, quanquam corpore pugnantibus non aderat, non tamen minus quàm pugnantes, ſed & multo plus ad illam contulit pugnam, manuum extenſione ſuorum extollens vires, & tremendas faciens adverſariis. Nullum enim officium adeò magnum fuerit, niſi aliis etiam lucrum communicarit. Sive enim jejunus maneas, ſive humi dormias, ſive favillam comedas, ſive lugeas continuè, & nulli proſis alteri, nil magnum efficis. Nam & à Moyſe multa magnáque miracula & ſigna ſunt edita: ſed nihil ipſum tam magnum effecit, quàm illa beata vox, quam ad Deum emiſit, dicens: Si dimittis quidem eis peccatum, dimitte: ſin autem minus, & me dele. Et verò David hoc ipſum oſtendens, ajebat: Ego paſtor peccavi, & ego malum feci: & hi, grex, quid fecerunt? Fiat manus tua ſuper me & ſuper domum patris mei. Magna quidem & hæc, & Angelica converſatione digna, Pauli verò dicta multum hæc ſuperexcedunt. Gloria namque futura optavit excidere pro aliorum ſalute. Jonas verò, quoniam propriam utilitatem quæſivit, etiam de vita periclitatus eſt; & civitas quidem ſtabat, ipſe verò ſubmergebatur. Magna quidem & reliqua Moyſi virtutis merita: ſummum tamen & ſanctæ illius animæ culmen: quoniam ex libro deleri elegit pro Judæorum ſalute. Pauli verò votum ex multa ſuperavit abundantia. Nam ille quidem cum aliis perire malebat, hic autem non ſimul perire, ſed ſoſpitibus aliis ab æterna ſolus gloria excidere optabat. Bonum eſt igitur Sanctorum oratione frui; ſed cùm & nos ſumus cooperatores: quod ſi non effuerit, nihil aliorum prodeſt auxilium, verùm etiam cum illo perimus. Quid enim Judæis profuit Hieremias? Nónne ter ad Deum acceſſit, & ter audivit; ne ores neque preceris pro populo iſto, quoniam te non exaudiā? Quid Sauli profuit Samuël, ad ultimum uſque diem orans, & pro eo lugens? Quid autem & Iſraëlitis profuit? nonne dicebat, Abſit autem à me hoc peccatum in Domino, ut ceſſem orare pro vobis? nónne cuncti perierunt? Nam Deum audi dicentem per Prophetam: *Si ſteterint Noe, Job, & Daniel, non liberabunt filios ſuos & filias, quoniam nimium invaluit illorum malitia.* Quid ergo? nihil proſunt orationes? Proſunt & quam plurimum: ſed cùm nos quoque cooperamur. Et ſi ſcire cupis quantum contulerint, cogita mihi Cornelium & Tabitham: audi quoque Deum dicentem: Protegam civitatem iſtam propter me, & propter David puerum meum. Sed quando? Tempore Ezechiæ juſti. Alioqui ſi malorum quoque valebant preces, quare non etiam cùm Nabuchodonoſor veniret, Deus hoc dixit, ſed civitatem tradidit? quoniam magis invaluerat peccatum. Et hic ipſe rurſum Samuël pro Iſraëlitis oravit, & obtinuit: ſed quo tempore? cùm & ipſi Deo grati fuerunt, tunc hoſtes in fugam convertit. Et quid mihi opus eſt, dicet aliquis, aliorum oratione, cùm ego Deo placeo? Quis ais homo? Paulus non dixit, quid mihi opus eſt oratione? nec Petrus dixit, quorſum mihi oratio? licet oratores eo digni non eſſent, imò nec pares: & tu dicis, quid mihi opus eſt oratione? Petrus non dixit, quid mihi opus eſt oratione? *Oratio*, inquit, *fiebat ſine intermiſſione ab Eccleſia ad Deum pro eo*; & ſtatim liberavit eum ex vinculis.

A βασιλεὺς παρέξει τὴν αἴτησιν. οὐκ ἠκούσατε ὅτι Πέτρος οὕτως ἐξηρπάγη τοῦ δεσμωτηρίου, ἐπειδὴ ἦν εὐχὴ ἐκτενὴς ὑπὲρ αὐτοῦ γινομένη; πόσῳ νομίζετε μεῖζον εἶναι τῆς ἡμετέρας σμικρότητος, τὸ ὑπὲρ δήμου τοσούτου προσιέναι καὶ παρακαλεῖν τὸν Θεόν; εἰ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ δεηθῆναι παῤῥησίαν οὐκ ἔχω, πολλῷ μᾶλλον ὑπὲρ ἑτέρων· τῶν γὰρ εὐδοκιμούντων ἐστὶ τοῦτο. ὅταν οὖν καὶ αὐτὸς προσκεκρουκὼς ὦ, πῶς ὑπὲρ ἄλλου δεηθήσομαι; ἕνα μὲν γὰρ ὑπὲρ πολλῶν ἀξιοῦν, B σφόδρα τολμηρὸν καὶ πολλῆς δεόμενον παῤῥησίας· πολλοὺς δὲ ὁμοῦ συνελθόντας, ὑπὲρ ἑνὸς ποιήσασθαι τὴν δέησιν, οὐδὲν φορτικὸν φανήσεται. εὔξασθαι μὲν γὰρ καὶ ἐπὶ τῆς οἰκίας δυνατόν· οὕτω δὲ εὔξασθαι, ὡς ἐπὶ τῆς ἐκκλησίας, ἀδύνατον· ὅπου πατέρων πλῆθος τοσοῦτον, ὅπου βοὴ πρὸς τὸν Θεὸν ὁμοθυμαδὸν ἀναπέμπεται. οὐχ οὕτως ἀκούῃ καθ' ἑαυτὸν τὸν δεσπότην παρακαλῶν, ὡς μετὰ τῶν ἀδελφῶν τῶν σῶν. ἐνταῦθα γάρ ἐστι τὸ πλέον, οἷον ἡ ὁμόνοια, καὶ ἡ συμφωνία, καὶ τῆς C ἀγάπης ὁ σύνδεσμος, καὶ αἱ τῶν ἱερέων εὐχαί. διὰ γὰρ τοῦτο ἱερεῖς παρεστήκασιν ἵνα αἱ τοῦ πλήθους εὐχαὶ ἀσθενέστεραι οὖσαι, τῶν δυνατωτέρων τούτων ἐπιλαβόμεναι, ὁμοῦ συνέλθωσιν αὐταῖς εἰς τὸν οὐρανόν. εἰ γὰρ Πέτρον ὠφέλησε τῆς ἐκκλησίας ἡ εὐχὴ, καὶ τὸν στύλον ἐκεῖνον ἐξέβαλε τοῦ δεσμωτηρίου, πῶς σὺ καταφρονεῖς τῆς δυνάμεως αὐτῆς, εἰπέ μοι; ὥσπερ γὰρ ἡ τῆς ἀγάπης δύναμις οὐ διείργεται διαστήματι τόπου, οὕτως οὐδὲ ἡ τῆς εὐχῆς ἐνέργεια. ἀλλ' ὥσπερ ἐκείνη D τοὺς ἀλλήλων ἀφεστηκότας συνδεῖ, οὕτως καὶ αὕτη τοὺς πόῤῥωθεν ὄντας τὰ μέγιστα ὠφελεῖν δύναται. καὶ γὰρ Μωσῆς, εἰ καὶ μὴ παρῆν τῷ σώματι τοῖς πολεμοῦσιν, οὐδὲν ἔλαττον τῶν πολεμούντων, ἀλλὰ καὶ πολλῷ πλέον εἰς τὴν μάχην συνετέλεσεν ἐκείνων τῇ τῶν χειρῶν ἐκτάσει τὰ πράγματα τῆς οἰκείας ἐπαίρων, καὶ φοβερὰ τοῖς ἐναντίοις ποιῶν. οὐδὲν γὰρ κατόρθωμα σφόδρα μέγα εἶναι δύναιτ' ἄν, ὅταν μὴ τὸ κέρδος καὶ εἰς ἑτέρους διαβαίνῃ. κἂν γὰρ ἄσιτος μένῃς, κἂν E χαμαὶ καθεύδῃς, κἂν τέφραν ἐσθίῃς, κἂν θρηνῇς διαπαντὸς, καὶ μηδένα ἕτερον ὠφελῇς, οὐδὲν μέγα ἐργάζῃ. καὶ γὰρ τῷ Μωσεῖ, πολλὰ καὶ μεγάλα εἰργάσθη θαύματα καὶ σημεῖα· ἀλλ' οὐδὲν οὕτως αὐτὸν μέγαν ἐποίησεν, ὡς ἡ μακαρία ἐκείνη φωνὴ, ἣν πρὸς τὸν Θεὸν ἀφῆκε λέγων· εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον. καὶ ὁ Δαβὶδ δὲ τὸ αὐτὸ τοῦτο ἐνδεικνύμενος, ἔλεγεν· ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγὼ ἐκακοποίησα· καὶ οὗτοι A τὸ ποίμνιον τί ἐποίησεν; γενέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. μεγάλα μὲν οὖν καὶ ταῦτα, καὶ ἀγγελικῆς ἄξια πολιτείας· τὰ δὲ τοῦ Παύλου πολλὴν ἔχει τὴν ὑπερβολὴν πρὸς ταῦτα. τῆς γὰρ δόξης τῆς μελλούσης ηὔξατο ἐκπεσεῖν ὑπὲρ τῆς ἑτέρων σωτηρίας. ὁ δὲ Ἰωνᾶς ἐπειδὴ τὸ ἑαυτοῦ συμφέρον ἐζήτησε, καὶ ἀπολέσθαι ἐκινδύνευσε. καὶ ἡ μὲν πόλις εἱστήκει, αὐτὸς δὲ κατεποντίζετο. μεγάλα μὲν οὖν καὶ τὰ ἄλλα τῆς τοῦ Μωσέως ἀρετῆς κατορθώματα· τὸ δὲ κεφά-B λαιον καὶ ἡ κορωνὶς τῆς ἁγίας ψυχῆς ἐκείνης, τὸ ἐξαλειφθῆναι ἑλέσθαι τῆς βίβλου, ὑπὲρ τῆς σωτηρίας τῶν Ἰουδαίων. τὸ δὲ τοῦ Παύλου, ἐκ πολλῆς τῆς περιουσίας ὑπερηκόντισεν. ὁ μὲν γὰρ συναπολέσθαι ἑτέροις ᾑρεῖτο· οὗτος δὲ οὐ συναπολέσθαι, ἀλλ' ἑτέρων σωζομένων, αὐτὸς ἐκπεσεῖν ηὔχετο τῆς δόξης τῆς ἀπεράντου. καλὸν οὖν εὐχῆς ἀπολαύειν τῆς τῶν ἁγίων, ἀλλ' ὅταν καὶ αὐτοὶ ἐνεργοὶ ὦμεν· ὡς ἂν μὴ τοῦτο προσῇ, οὐδὲ ἡ ἑτέρων ὀνήσει βοήθεια· ἀλλὰ καὶ μετ' ἐκείνης ἀπολλύμεθα. τί γὰρ ὠφέλησεν Ἱερεμίας τοὺς Ἰουδαίους; οὐχὶ τρίτον προσῆλθε τῷ Θεῷ, καὶ C τρίτον ἤκουσε, μὴ προσεύχου, καὶ μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου; τί ὠφέλησε τὸν Σαοὺλ ὁ Σαμουὴλ, μέχρις ἐσχάτης ἡμέρας εὐχόμενος, καὶ πενθῶν περὶ αὐτοῦ; τί δὲ καὶ τοὺς Ἰσραηλίτας ὠφέλησεν; οὐχὶ ἔλεγεν, ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν διαλείποντα εὐχόμενον ὑπὲρ ὑμῶν; οὐχὶ πάντες ἀπώλοντο; ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου· ἐὰν στῇ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, οὐκ ἐξελοῦνται τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας, ἐπειδὴ ὑπερίσχυσεν D ἡ κακία αὐτῶν. τί οὖν, οὐδὲν ὠφελοῦσιν αἱ εὐχαί; ὠφελοῦσι καὶ μεγάλα· ἀλλ' ὅταν καὶ ἡμεῖς συμπράττωμεν. καὶ εἰ βούλει μαθεῖν ὅσα ὠφέλησαν, ἐννόει μοι τὸν Κορνήλιον, τὴν Ταβιθάν· ἄκουε δὲ καὶ τοῦ Θεοῦ λέγοντος· ὑπερασπιῶ τῆς πόλεως ταύτης, δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. ἀλλὰ πότε; ἐπὶ Ἐζεκίου τοῦ δικαίου. ἐπεὶ εἴγε ἴσχυον εὐχαὶ καὶ ἐπὶ τῶν σφόδρα πονηρῶν, διὰ τί μὴ καὶ ὅτε ὁ Ναβουχοδονόσορ ἦλθεν, εἶπεν τοῦτο ὁ Θεὸς, ἀλλ' ἐξέδωκε τὴν πόλιν· ἐπειδὴ μεῖζον ἴσχυσεν ἡ πονηρία. καὶ αὐτὸς πάλιν οὗτος ὁ Σαμουὴλ ηὔξατο ὑπὲρ E τῶν Ἰσραηλιτῶν, καὶ ἐνίκησεν. ἀλλὰ πότε, ὅτε καὶ αὐτοὶ εὐηρέστησαν, τότε ἐτροπώσατο τοὺς ἐχθρούς. καὶ τί μοι δεῖ τῆς παρ' ἑτέρων εὐχῆς, φησὶν, ὅταν ἐγὼ ἀρέσκω; τί λέγεις, ἄνθρωπε; Παῦλος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; Πέτρος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; καίτοιγε τῶν εὐχομένων οὐκ ὄντων ἀξίων αὐτοῦ, μᾶλλον δὲ οὐδὲ ἴσων· καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; Πέτρος οὐκ εἶπε τί μοι δεῖ εὐχῆς; εὐχὴ γὰρ ἦν, φησὶν, ὑπὸ τῆς ἐκκλησίας ἐκτενὴς γινομένη πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ· καὶ εὐθέως αὐτὸν ἐξείλετο τῶν δεσμῶν· καὶ σὺ λέγεις τί μοι δεῖ εὐχῆς; διὰ τοῦτο δεῖ, ἐπειδὴ νομίζεις μὴ δεῖσθαι. ἂν γὰρ ὁ Θεὸς ἐξετάσῃ

λύσῃ τὴν ῥαθυμίαν ἡμῶν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὴν ὀλιγωρίαν, καὶ ὅτι A μὴ προσελθόντες αὐτῷ ἑστῶτες καὶ παρακαλοῦντες αὐτὸν, οὐδὲ τοσαύτην αὐτῷ παρεχόμεθα τιμὴν, ὅσην τοῖς δεσπόταις οἱ δοῦλοι, ὅσην τοῖς ἄρχουσιν οἱ στρατιῶται, ὅσην τοῖς φίλοις οἱ φίλοι· φίλῳ μὲν γὰρ διαλεγόμενος, μετὰ τοῦ προσέχειν τοῦτο ποιεῖς· Θεῷ δὲ ἐντυγχάνων ὑπὲρ ἁμαρτημάτων, ὑπὲρ πλημμελημάτων τοσούτων συγχώρησιν αἰτῶν, καὶ συγγνώμην ἀξιῶν σοι δοθῆναι, ῥαθυμεῖς· καὶ τῶν γονάτων σου χαμαὶ κειμένων, πολλάκις περὶ τὴν ἀγορὰν καὶ τὴν οἰκίαν B περιπλανᾶσθαι τὴν διάνοιαν ἐᾷς, τοῦ στόματός σου ληροῦντος κενὴ καὶ μάτην· καὶ τοῦτο οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις πάσχομεν. ἐὰν τοῦτο μόνον θελήσῃ ὁ Θεὸς ἐξετάσαι, ἆρα ἕξομεν συγγνώμην; ἆρα δυνησόμεθα ἀπολογίας τυχεῖν; οὐκ ἔγωγε οἶμαι. ἐὰν δὲ τὰς περιέργους ἡμῶν ὄψεις ὁ Θεὸς ἐξετάσῃ, καὶ τὰς πονηρὰς ἐπιθυμίας ἃς ἔχομεν ἐν διανοίᾳ, αἰσχροὺς καὶ ἀκαθάρτους δεχόμενοι λογισμοὺς ἀπὸ τῆς ἀνεξετάστου τῶν ὀφθαλμῶν πλάνης, ἐὰν τὰς κατηγορίας ἃς C καθ' ἑκάστην ἡμέραν ἀλλήλους λέγομεν κακῶς, εἰς μέσον παραγάγῃ, καὶ τὰς κρίσεις τὰς ἀκαίρους ἃς κατακρίνομεν τὸν πλησίον, μηδὲν ἔχοντες πρᾶγμα, τούς τε δόλους οὓς κατ' ἀλλήλων ῥάπτομεν, νῦν μὲν παρόντα ἐπαινοῦντες τὸν ἀδελφὸν, καὶ ὡς φίλῳ διαλεγόμενοι, ἀπόντα δὲ κατηγοροῦντες· ἆρα ἀποδωσόμεθα τὰς ὑπὲρ τούτων εὐθύνας; τί δεῖ τὴν βασκανίαν λέγειν, ἣν βασκαίνομεν πολλάκις εὐδοκιμοῦσιν, οὐ μόνον ἐχθροῖς, ἀλλὰ καὶ φίλοις· καὶ ἡδόμεθα πασχόντων D ἑτέρων κακῶς, καὶ νομίζομεν παραμυθίαν εἶναι τῶν οἰκείων συμφορῶν, τὰς ἀλλοτρίας δυσημερίας. εἰ γὰρ τῶν βιωτικῶν καὶ παρόντων ἀπέχεσθαι κελευόμεθα, πῶς οὐκ ἐσμὲν ἄθλιοι καὶ ταλαίπωροι, ταῦτα αἰτοῦντες παρὰ τοῦ Θεοῦ, ἃ ἐκέλευσε καὶ ἔχοντας ἐκβάλλειν; εἰ δὲ οὐχὶ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῶν ἀπίστων ὑπερεύχεσθαι προστάττομεθα, ἐννόησον πόσον ἐστὶ κακὸν, κατεύχεσθαι τῶν ἀδελφῶν. τί ποιεῖς, ἄνθρωπε; προσέρχῃ τὸν Θεὸν ἵλεων ποιῆσαι, καὶ ἑτέρου κατεύχῃ; ἐὰν E μὴ ἀφῇς, οὐκ ἀφεθήσεταί σοι· καὶ οὐ μόνον αὐτὸς οὐκ ἀφίης, ἀλλὰ καὶ τὸν Θεὸν παρακαλεῖς μὴ ἀφεῖναι; εἰ τῷ μὴ ἀφιέντι οὐκ ἀφίεται, τῷ καὶ τὸν δεσπότην παρακαλοῦντι μὴ ἀφιέναι, πῶς ἀφεθήσεται; εἰ γὰρ τὸ ἔχειν ἐχθροὺς, ὄνειδος, τὸ κατεύχεσθαι αὐτῶν ἐννόησον ἡλίκον κακόν. δέον γάρ σε ἀπολογήσασθαι, διὰ τί ἐχθροὺς ἔχεις, σὺ δὲ αὐτῶν καὶ κατηγορεῖς; καὶ ποίας τεύξῃ συγγνώμης, καὶ κατηγορῶν, καὶ ἐν καιρῷ τοιούτῳ, ὅτε ἐλέους σοι δεῖ πολλοῦ; καὶ γὰρ ὑπὲρ οἰκείων A προσῆλθες ἁμαρτημάτων δεόμενος. μὴ τοίνυν μνημονεύσῃς τῶν ἀλλοτρίων, ἵνα μὴ τῶν ἰδίων ἀναμνήσῃς. ἂν γὰρ εἴπῃς, πάταξον τὸν ἐχθρὸν, ἐνέφραξάς σου τὸ στόμα, οὐκέτι παρρησίαν ἔδωκας τῇ γλώττῃ. πρῶτον μὲν, ὅτι παρώξυνας τὸν δικαστὴν ἐκ προοιμίων εὐθέως· δεύτερον, ὅτι ἐναντία αἰτεῖς τῷ σχήματι τῆς εὐχῆς. εἰ γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων προσέρχῃ, πῶς ὑπὲρ κολάσεως διαλέγῃ; τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν, καὶ δεηθῆναι ὑπὲρ αὐτῶν, ἵνα καὶ ὑπὲρ B ἑαυτῶν μετὰ παρρησίας παρακαλέσωμεν. εἰ τοίνυν οὐδὲν ψυχῆς ἀρωμένης μιαρώτερον, οὐδὲ γλώσσης τοιαῦτα φθεγγομένης ἀκαθαρτότερον, τίνος ἕνεκεν οὐ πάντα ποιεῖς, ὥστε μηδὲν εἰπεῖν εὐχόμενος τῶν παροξυνόντων σου τὸν δεσπότην; ἄνθρωπος εἶ, μὴ γένῃ θηρίον. διὰ τοῦτό σοι στόμα γέγονεν, οὐχ ἵνα δάκνῃς, ἀλλ' ἵνα θεραπεύῃς. ἀναμνήσθητι τί σοι παρήνεσα, φησὶν ὁ Θεός· συγχωρεῖν καὶ ἀφιέναι· σὺ δὲ καὶ ἐμὲ παρακαλεῖς κοινωνὸν γενέσθαι τῆς ἀνατροπῆς C τῶν ἐμῶν προσταγμάτων, καὶ ἐσθίεις τὸν ἀδελφὸν, καὶ φοινίσσεις τὴν γλῶτταν, καθάπερ οἱ μαινόμενοι ἀπὸ τῶν οἰκείων μελῶν τοὺς ὀδόντας. πῶς οἴει τὸν διάβολον ἥδεσθαι καὶ γελᾶν, ὅταν τοιαύτης εὐχῆς ἀκούσῃ; πῶς τὸν Θεὸν παροξύνεσθαι, καὶ ἀποστρέφεσθαι, καὶ μισεῖν, ὅταν τοιαῦτα παρακαλῇς; ἐννόησον τίνι προσέρχῃ κατὰ τῶν ἐχθρῶν, ἄνθρωπε. μὴ γὰρ ἄλλῳ προσέρχῃ Θεῷ; ἐκείνῳ προσέρχῃ εἰπόντι, εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν. πῶς οὖν αὐτοῦ καταβοᾷς; πῶς παρακαλεῖς τὸν Θεὸν, τὸν οἰκεῖον λῦσαι νόμον; οὐκ ἔστι τοῦτο ἱκέτου σχῆμα· οὐδεὶς ἱκετεύει ἵνα ἄλλος ἀπόληται, ἀλλ' ἵνα αὐτὸς σωθῇ. τί τοίνυν σχῆμα μὲν ἱκέτου περίκεισαι, ῥήματα δὲ ἔχεις κατηγόρου; καὶ ὅταν μὲν D ὑπὲρ ἑαυτοῦ εὐχώμεθα, καὶ κνώμεθα καὶ χασμώμεθα· ὅταν δὲ κατ' ἐχθρῶν, νήφοντες τοῦτο ποιοῦμεν. ἐπειδὴ γὰρ οἶδεν ὁ διάβολος, ὅτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦμεν, οὐ περιέλκει, οὐδὲ περισπᾷ τότε, ἵνα μειζόνως ἡμᾶς λυμήνηται. ἀλλ' ἠδίκημαι, φής, καὶ θλίβομαι. E οὐκοῦν κατὰ τοῦ διαβόλου εὖξαι, τοῦ πάντων μάλιστα ἀδικοῦντος ἡμᾶς· οὗτος γὰρ τίκτει καὶ τοὺς ἐχθρούς. ἐὰν δὲ κατ' ἐχθρῶν εὔξῃ, τὴν εὐχὴν ἣν ἐκεῖνος βούλεται, εὔχῃ· ὥσπερ οὖν ἂν ὑπὲρ ἐχθρῶν, κατὰ τούτου. οὗτος γάρ ἐστιν ὁ ἀκατάλλακτος ἐχθρός· ἄνθρωπος δὲ ὅσα ἂν ποιῇ, φίλος ἐστὶ καὶ ἀδελφός. τί τοίνυν τὸν ὄντως ἐχθρὸν ἀφεὶς, τὰ μέλη σπαράττεις τὰ σά; ταῦτα οὖν εἰδότες, ἀγαπητοί, σπουδάσωμεν κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου καὶ τὰ θελήματα αὐτοῦ πολιτεύεσθαι, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A & tu dicis, quid mihi opus eſt oratione? Propter hoc indiges, *Ex hom. ſtatuas.* quoniam te indigere non credis. Nam ſi Deus noſtrum in orationibus torporem & negligentiam exquirat, & quòd in ipſius conſpectu poſiti & orantes ipſum, neque tantum ei exhibemus honorem, quantum dominis ſervi, quantum ducibus milites, quantum amicis amici: amicum enim alloquens hoc cum attentione facis: Deo autem pro peccatis occurrens, pro tot criminibus veniam petens, & remiſſionem rogans tibi fieri, torpes, B & genibus tuis humi poſitis, circa forum & domum mentem tuam vagari frequenter permittis, ore tuo fruſtra nugante & incaſſum: nec hoc ſemel & bis, verum & frequenter patimur. Si hoc tantum exquirere Deus voluerit, nunquid veniam habebimus? nunquid excuſationem aſſequi poterimus? Non, arbitror ego. Si verò curioſos aſpectus noſtros Deus examinet, & pravas concupiſcentias quas in mente habemus, turpes & impuras cogitationes admittentes ex incauta oculorum vagatione: ſi C detractiones, quibus per ſingulos dies alter alterum vituperat, in medium producat: & intempeſtiva judicia quibus proximum condemnamus, nullum habentes negotium, doloſque quos alter in alterum ſtruimus, nunc quidem præſentem laudantes fratrem, & tanquam amicum alloquentes, abſentem vero criminantes: nunquid pro his rationes reddere poterimus? Quid verò loquar invidiam, per quam benè ſe gerentibus frequenter *Ex com. in Evang. ſecund. Io.* invidemus, non inimicis tantùm, verum etiam amicis: & aliis D male patientibus, lætamur, propriæ ærumnæ putamus conſolationem alienas calamitates? Nam ſi ſecularibus & præſentibus abſtinere jubemur: quomodo miſeri non ſumus & infelices, hæc à Deo poſcentes, quæ præcipit etiam habentes abjicere? *Ex com in ep. 1. ad Tim.* Si verò non pro infidelibus tantùm, ſed etiam pro fidelibus orare jubemur, cogita quantum mali ſit, contra fratres imprecari: Quid agis homo? Ad Deum accedis, ut propitium reddas, & imprecaris alteri? Niſi dimittas, nec tibi dimittetur: & tu non E ſolum ipſe non dimittis, ſed & Deum, ne dimittat, expoſcis? Si non dimittenti non dimittitur, etiam Dominum, ne dimittat, oranti, quomodo dimittetur? Si enim inimicos habere dedecus eſt, ipſis imprecari cogita quantum ſit malum. Cum enim te purgare debeas, quòd inimicos habeas, tu ne ipſos etiam accuſas? Et quam veniam conſequeris, etiam maledicens, ac tali *Ex com in ep. 2. ad Corinth.* in tempore, quo non mediocri tibi opus ſit miſericordia? Nam & pro tuis oraturus peccatis acceſſiſti. Noli igitur alienorum re-A cordari, ne propria commemores. Si enim dixeris, percute inimicum, os tuum obſtruxiſti, & linguæ jam abſtuliſti libertatem. Primum quidem, quoniam judicem ſtatim ab ipſius exordio irritaſti: Deinde, quoniam contraria petis, & orationis formæ repugnantia. Nam ſi pro remiſſione peccatorum accedis, quomodo de punitione verba facis? Contrarium enim facere oportebat & pro adverſantibus ſupplicare, ut cum fiducia pro nobis quoque poſſemus orare. Si igitur anima imprecante ni-B hil ſceleſtius, nec lingua talia loquente quicquam impurius, quamobrem omnia non expedis, ut orans nihil dicas, quod tuum irritet Dominum? Homo es, fera ne fias. Propterea tibi factum eſt os, non ut mordeas, ſed ut medearis. Recordare quid te monuerim, inquit Deus; ut parcas & remittas. tu verò etiam me rogas meorum fieri mandatorum everſionis participem, & devoras fratrem, & linguam cruentas, ſicuti furentes ex propriis artubus dentes. Quomodo diabolum lætari credis C atque ridere cùm talem audierit orationem? quomodo irritari Deum & everti ſimul & odiſſe, cùm talia rogaveris? Conſidera, ad quem accedas homo, contra inimicos tuos. Nunquid enim ad alium accedis Deum? ad illũ accedis, qui dixit: Orate pro inimicis veſtris. Quomodo igitur adverſus eos clamas? Quomodo Deum rogas, ut propriam diſſolvas legem? Non eſt iſta ſupplicis forma. Nemo rogat ut alius pereat, ſed ut ipſe ſalvetur. Quid igitur ſupplicis quidem habitum induis, verba autem habes accuſatoris? D Et cum pro nobis quidem oramus, ſcalpimus nos & oſcitamus; cùm vero adverſus inimicos, vigilantes hoc agimus. Quoniam enim diabolus novit, quod in nosipſos enſem agimus, tunc nos non circumfert neque diſtrahit, ut magis nobis noceat. Sed injuriam, inquis, perpeſſus ſum, & affligor. Itaque contra diabolum ora, qui nos ſuper omnes afficit injuria, hic enim & inimicos parit. Sin autem adverſus inimicos oraveris, orationem, quam ille quærit, orabis: Sicut è contra, ſi pro inimicis, adverſus E iſtum. Hic enim eſt impacatus hoſtis: et homo, quæcunque faciat, amicus eſt & frater. Quid igitur verè inimicum omittens, membra propria morderes? Hæc ergo ſcientes, dilectiſſimi, ſtudeamus juxta mandata & voluntatem Domini converſari, ut cœlorum quoque regnum conſequamur, in Chriſto Jeſu omnino noſtro: cui gloria & imperium cum patre & ſancto Spiritu, nunc & ſemper & in ſecula ſeculorum. Amen.

DE POENITENTIA.
HOMILIA III.

Eſt hom. 50 inter eas, quæ ad pop. Antioch. habita cenſentur 10. 5. Ex eis, quæ incipit Ετί; heſterna die vobis objecimus.

PROPTEREA de Pœnitentia continuè ſermonem moveo, ut neque peccans deſperet, neque rectè vivens elatum ſapiat. Juſtus es? ne deficias: es peccator? ne deſperes: ac ſi quotidie peccas, quotidie pœnitentiam agas: id quod in antiquis domibus facere ſolemus, cum putredine labefactatæ fuerint, putrida ſubducimus, & nova ſupponimus, nec unquam ab aſſidua cura deſiſtimus. Si antiquatus fueris à peccato, per pœnitentiam te renova. Num igitur fieri poteſt, dicat aliquis, ut reſipiſcens ſalvus fiat? Et maximè poteſt. Totam vitam in peccatis conſumpſi, & ſi pœnitentiam egero, ſalvabor? & maximè. Unde conſtat? Ex Domini clementia. Ne tuæ confidas pœnitentiæ: non enim tua pœnitentia tanta valet peccata abſtergere. Si ſola foret pœnitentia jure timeres, ſed quoniam cũ pœnitentia commiſcetur Dei benignitas, confide: quoniam tuam vincit nequitiam. Multum enim miſericors eſt Deus, atque adeò clemens, ut neque unigenito parceret, ut ingratos ſervos redimeret. Nec mihi dicas, multa & magna crimina commiſi, & quomodo poſſum ſalvari? Tu non potes, Dominus tuus poteſt, & ita delet peccata, ut nec eorum veſtigium remaneat. In corporibus quidem hoc non licet: ſed quamvis millies elaboret medicus, & vulneri remedia adhibeat, vulnus quidem tollit, cicatrix verò permanet, vulneris circumferens argumentum aſpectus deformitatem: Et licet in infinitum medicus contendat, non tamen cicatricem obducere poteſt: Ipſi namque naturæ imbecillitas obſiſtit, & artis impotentia, vilitáſque medicamentorum. Deus autem, cùm delet peccata, neque cicatricem relinquit, neque veſtigium remanere permittit, ſed cum ſanitate pulchritudinem quoque largitur; cum liberatione à pœna etiam juſtitiam dat, & prævaricatum non prævaricatori ſimilem reddit. Si enim vel innumera homo aliquis vulnera habens, pœnitentiam egerit, & boni quippiam fecerit, ita Deus ea delet, ut neque cicatrix, neque veſtigium, neque indicium appareat peccatorum. Sicut igitur in corpore vulnera ſunt & medicamenta; ſic idem in anima ſunt peccata & pœnitentia. Et animadverte, quid dicam: vulnus & medicina; peccatum & pœnitentia. Vulnus quidẽ eſt peccatum, medicina vero pœnitentia: vulnus putredinẽ habet, medicamentum putredinis purgationẽ obtinet. Nunquid eſt putredo in medicamento? nunquid in vulnere curatio? Nonne proprium hæc & proprium illa habent ordinem? Nunquid poteſt hoc in illud, aut illud in hoc tranſmutari? nequaquam. Veniamus & ad animæ vitia. Peccatum confuſionem habet: Pœnitentia fiduciam poſſidet. Sciens itaque Satanas, quòd peccatum quidem confuſionem habeat, rem ſcilicet, quæ peccantem ſatis repellare queat: pœnitentia verò fiduciam contineat, rem idoneam, quæ pœnitentem alliciat; permutavit ordinem & confuſionem pœnitentiæ, fiduciam autem peccato addidit. Ac in peccato quidem hominem erubeſcere non ſinit; novit enim, quòd, ſi erubeſceret, peccatum fugeret: In pœnitentia vero facit ut erubeſcat; novit enim quòd erubeſcens pœnitentiam non agat. Quem enim pœnitet malorum quæ geſſit, licet peccatis condignam non exhibeat pœnitentiam, hujus tamen ipſius habiturus eſt remunerationem.

Ex epiſt. 2 ad Theod. lapſum.

Qui igitur à vitio nondum occupati ſunt, hos admoneo, ne capiantur: facilius enim eſt caſum evitare, quàm lapſos reſurgere. Detentis autem atque confractis, ſi ſe continuò pœnitentiæ tradere velint, magnam ſalutis ſpem polliceor.

Ex interpr. ep. 1 ad Cor.

Etenim tam bona quam mala, cùm diutius nobis adhæſerint, potentiora fiunt. Et planta quidem nuper terræ inſita, facilè revellitur: multo verò tempore radicibus firmata, non itidem. Ædificium quoque recens fundatum, haud difficulter ab infeſtantibus ſubvertitur: benè verò firmatum multa diruere conantibus exhibet negotia. Fera etiam, quibus in locis multo tempore cum delectatione eſt commorata, difficulter inde expellitur. Et quemadmodum febris ab initio aggreſſa laborantes non vehementer ſiti exurit; cum verò invaluerit & flammam extulerit, jam ſitim excitat inſanabilem: ac ſi quis ipſis conceſſerit, ut affatim potu ſe impleant, non extinguit, ſed accendit fornacem: ſic & vitioſo affectui contingit. Hunc niſi circa initium in animam noſtram ſe inſerentem prohibuerimus, & fores occluſerimus, ingreſſus porrò inſanabilem ſuſcipientibus adfert morbum.

Ex hom. in Prophet. Jonam. & Daniel & tres pueros.

Quemadmodum igitur animo degener & ſegnis, licet multum ad pœnitentiam tempus accipiat, magni nihil efficiet, nec, ob torporem, ſibi Deum reconciliabit: ita excitatus & animi alacritate fervens, multóque cum ſtudio pœnitentiam oſtendens, brevi etiam temporis momento,

Περὶ μετανοίας. Λόγος γ'.

A ΔΙΑ τοῦτο συνεχῶς τὸν περὶ μετανοίας κινῶ λόγον, ἵνα μήτε ὁ ἁμαρτάνων ἀπογινώσκῃ, μήτε ὁ κατορθῶν μέγα φρονῇ. δίκαιος εἶ; μὴ ἐκπέσῃς· ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς. κἂν καθ' ἡμέραν ἁμαρτάνῃς, καθ' ἡμέραν μετανόει. ὅπερ ἐπὶ τῶν οἰκιῶν ποιοῦμεν τῶν παλαιῶν, ὅταν σαθρωθῶσιν, ὑπεξαιρούμεθα τὰ σεσαθρω-B μένα, καὶ καινὰ ἐπισκευάζομεν, καὶ οὐδέποτε συνεχοῦς ἐπιμελείας ἀπολειπόμεθα. ἐὰν παλαιωθῇς ἀπὸ τῆς ἁμαρτίας, ἀνακαίνισον σεαυτὸν ὑπὸ τῆς μετανοίας. καὶ ἔστι, φησί, μετανοήσαντα σωθῆναι; καὶ πάνυ ἐστί. πάντα τὸν βίον ἐν ἁμαρτίαις διέτριψα, καὶ ἐὰν μετανοήσω, σώζομαι; καὶ πάνυ. πόθεν δῆλον; ἀπὸ τῆς τοῦ δεσπότου φιλανθρωπίας. μὴ τῇ μετανοίᾳ σου θάρρει· μὴ γὰρ ἡ μετάνοιά σου ἰσχύει τοσαῦτα κακὰ ἀποσμήξασθαι. εἰ ἡ μετάνοια μόνη ἦν, εἰκότως ἐφοβοῦ· C ἐπειδὴ δὲ τῇ μετανοίᾳ κεράννυται Θεοῦ φιλανθρωπία, θάρρει ὅτι περιγίνεταί σου τῆς κακίας. πολὺ γὰρ φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ τοσοῦτον φιλάνθρωπος, ὡς οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο, ἵνα ἀγοράσῃ δούλους ἀγνώμονας. καὶ μή μοι λέγε, ἥμαρτον πολλὰ καὶ μεγάλα, καὶ πῶς δύναμαι σωθῆναι; σὺ οὐ δύνασαι, ὁ δεσπότης σου δύναται. καὶ οὕτως ἐξαλείφει τὰ ἁμαρτήματα, ὡς μήτε ἴχνος αὐτῶν μεῖναι. ἐπὶ μὲν γὰρ τῶν σωμάτων οὐκ ἔνι τοῦτο· ἀλλὰ κἂν μυριάκις σπουδάσῃ ὁ ἰατρὸς, D καὶ φάρμακα ἐπιθήσῃ τῷ τραύματι, τὸ μὲν τραῦμα ἠφάνισεν, ἡ δὲ οὐλὴ ἐναπέμεινεν, ἔλεγχον τοῦ τραύματος περιφέρουσα τὴν ἀμορφίαν τῆς ὄψεως· κἂν φιλονεικῇ μυρία ὁ ἰατρὸς, καὶ τὴν οὐλὴν ἐξαλεῖψαι οὐ δύναται· ἀντιπίπτει γὰρ αὐτῷ ἡ ἀσθένεια τῆς φύσεως, καὶ ἡ ἀμηχανία τῆς τέχνης, καὶ ἡ εὐτέλεια τῶν φαρμάκων. ὁ δὲ Θεὸς, ὅταν ἐξαλείφῃ ἁμαρτήματα, οὐδὲ οὐλὴν ἀφίησιν, οὐδὲ ἴχνος συγχωρεῖ μεῖναι, ἀλλὰ μετὰ τῆς ὑγείας καὶ τὴν εὐμορφίαν χαρίζεται· μετὰ τῆς ἀπαλλαγῆς τῆς E κολάσεως, καὶ δικαιοσύνην δίδωσι, καὶ ποιεῖ τὸν ἡμαρτηκότα ἴσον εἶναι τῷ μὴ ἡμαρτηκότι. κἂν γὰρ μυρία τραύματα ἔχων ἄνθρωπος μετανοήσῃ καὶ ποιήσῃ τι χρηστὸν, οὕτως αὐτὰ ἐξαλείφει ὁ Θεὸς, ὡς μηδὲ οὐλὴν, μηδὲ ἴχνος, μηδὲ ἐπίσημα φαίνεσθαι τῶν ἁμαρτημάτων. ὥσπερ οὖν ἐν τῷ σώματι τραύματα καὶ φάρμακα, οὕτω καὶ ἐν τῇ ψυχῇ ἁμαρτήματα καὶ μετάνοια. καὶ πρόσεχε τί λέγω· τραῦμα, καὶ φάρμακον· ἁμαρτία καὶ μετάνοια. τὸ τραῦμα μέν ἐστιν ἡ ἁμαρτία, τὸ φάρ-A μακον ἡ μετάνοια. τὸ τραῦμα μὲν τὴν σηπεδόνα ἔχει, τὸ φάρμακον τὸν καθαρισμὸν τῆς σηπεδόνος κέκτηται. μὴ ἐν τῷ φαρμάκῳ σηπεδών; μὴ ἐν τῷ τραύματι ἴασις; οὐκ ἔχει ταῦτα τὴν οἰκείαν τάξιν, κἀκεῖνα τὴν οἰκείαν; μὴ δύναται μεταβληθῆναι τοῦτο πρὸς ἐκεῖνο, ἢ ἐκεῖνο πρὸς τοῦτο; οὐδαμῶς. ἔλθωμεν καὶ ἐπὶ τῆς ψυχῆς τῶν ἁμαρτημάτων· ἡ ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ μετάνοια τὴν παῤῥησίαν κέκτηται. εἰδὼς οὖν ὁ Σατανᾶς, ὅτι ἡ μὲν ἁμαρτία ἔχει τὴν αἰσχύνην, πρᾶγμα ἱκανὸν ἀπο-B κροῦσαι τὸν ἁμαρτάνοντα δυνάμενον· ἡ δὲ μετάνοια ἔχει τὴν παῤῥησίαν, πρᾶγμα ἱκανὸν ἐπισπάσασθαι τὸν μετανοοῦντα, ἐνήλλαξε τὴν τάξιν, καὶ ἔδωκε τὴν αἰσχύνην τῇ μετανοίᾳ, καὶ τὴν παῤῥησίαν τῇ ἁμαρτίᾳ. καὶ ἐν μὲν τῇ ἁμαρτίᾳ οὐκ ἀφίησιν αὐτὸν αἰσχύνεσθαι· οἶδε γὰρ, ὅτι ἐὰν αἰσχυνθῇ, φεύγει τὴν ἁμαρτίαν· ἐν δὲ τῇ μετανοίᾳ ποιεῖ αὐτὸν αἰσχύνεσθαι· οἶδε γὰρ ὅτι αἰσχυνόμενος οὐ μετανοεῖ. ὁ γὰρ μετανοήσας ἐφ' οἷς ἔπραξε δεινοῖς, κἂν μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐπιδείξηται τὴν C μετάνοιαν, καὶ αὐτῆς ταύτης ὅμως ἕξει τὴν ἀντίδοσιν. τοὺς μὲν οὖν οὐδέπω καταχωσθέντας ὑπὸ τοῦ πάθους παραινῶ μὴ ἁλῶναι· εὐκολώτερον γὰρ φυλάξασθαι μὴ ἐμπεσεῖν, ἢ ἐμπεσόντας ἀναστῆναι. τοῖς δὲ καταχωσθεῖσι καὶ κατεῤῥαγμένοις, ἐὰν θέλωσιν ἐπιδοῦναι ἑαυτοὺς ταχέως τῇ μετανοίᾳ, πολλὴν ἐπαγγέλλομαι σωτηρίας ἐλπίδα. καὶ γὰρ καὶ τὰ καλὰ καὶ τὰ κακὰ, ὅταν ἐπὶ πλεῖον ἡμῖν ἐνδιατρίψῃ, δυνατώτερα γίνεται. καὶ φυτὸν ἄρτι μὲν φυτευθὲν ἐπὶ γῆς, εὐκόλως ἀνασπᾶται· D χρόνῳ δὲ πολλῷ ῥιζωθὲν, οὐκέτι. καὶ οἰκοδομὴ νεοπαγὴς μὲν οὖσα, περιτρέπεται εὐκόλως ὑπὸ τῶν ἐνοχλούντων· παγεῖσα δὲ καλῶς πολλὰ παρέχει τοῖς καθαιρεῖν ἐπιχειροῦσι τὰ πράγματα. καὶ θηρία τόπους ἐμφιλοχωρήσαντα πολλῷ χρόνῳ, δυσκόλως ἐλαύνεται. καὶ καθάπερ πυρετὸς παρὰ μὲν τὴν ἀρχὴν προσβαλὼν, οὐ σφόδρα φλέγει τῇ δίψῃ τοὺς κάμνοντας· ἐπιδοὺς δὲ, καὶ τὴν φλόγα ἐγείρας, ἀνίατον δίψαν παρασκευάζει λοιπόν· κἂν παράσχῃ τις αὐτοῖς ἐμφορηθῆναι E τοῦ πόματος, οὐ σβέννυσιν, ἀλλ' ἐξάπτει τὴν κάμινον· οὕτω καὶ ἐπὶ τοῦ πάθους συμβαίνει. ἐὰν παρὰ τὴν ἀρχὴν εἰσελαῦνον εἰς τὴν ψυχὴν τὴν ἡμετέραν μὴ κωλύσωμεν, μηδὲ ἀποκλείσωμεν τὰς θύρας, εἰσελθὸν λοιπὸν ἀνίατον ἐργάζεται τοῖς δεξαμένοις τὸ νόσημα. ὥσπερ οὖν ὁ νωθρὸς τὴν ψυχὴν καὶ ὀλίγωρος, κἂν πολὺν λάβῃ πρὸς μετανοίας χρόνον, οὐδὲν μέγα ἐργάσεται, οὐδὲ καταλλάξει τὸν Θεὸν ἑαυτῷ, διὰ τὴν ῥαθυμίαν· οὕτω καὶ ὁ διεγηγερμένος, καὶ τῇ προθυμίᾳ ζέων, καὶ μετὰ πολλῆς σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενος, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ

πολ-

Digitized by Google

πολλῷ χρόνῳ ἁμαρτήματα ἀφανίσαι δυνήσεται· καὶ ὅπως, ἄκουσον. οὐχὶ τρίτον ὁ Πέτρος ἠρνήσατο; οὐχὶ θεραπαινίδος εὐτελοῦς ῥήματα δείσας; τί οὖν; πολλοῦ χρόνου ἐδεήθη αὐτῷ πρὸς μετάνοιαν; οὐδαμῶς· ἀλλ' αὐτῇ τῇ νυκτὶ, καὶ ὠλίσθησε καὶ ἀνέστη. μετὰ γὰρ τὸ χαλεπὸν ἐκεῖνο πτῶμα, ἀρνήσεως γὰρ οὐδὲν ἴσον κακὸν, πάλιν αὐτὸν πρὸς τὴν προτέραν ἐπανήγαγε τιμὴν ἡ μετάνοια, καὶ τὴν ἐπιστασίαν τῆς ἐκκλησίας τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐνεχείρισε· καὶ ὃ πάντων μεῖζον, ἀπέδειξεν ἡμῖν αὐτὸν πλείονα τῶν ἀποστόλων ἁπάντων ἔχοντα τὴν εἰς τὸν δεσπότην ἀγάπην. τί δαὶ οἱ Νινευῖται; ἦλθε πρὸς αὐτοὺς ὁ προφήτης, ἀνέγνω τὴν ἀπόφασιν καθάπερ ἐπιστολὴν βασιλικὴν, κόλασιν ἔχουσαν· καὶ ἰδοὺ λέγων ὅτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. ἤκουσαν ταῦτα ἐκεῖνοι, καὶ οὐκ ἠπίστησαν, καὶ κατεφρόνησαν, ἀλλ' εὐθέως δρόμος ἁπάντων ἐπὶ τὴν νηστείαν, ἀνδρῶν, γυναικῶν, παιδίων, καὶ οὐδὲ ἡ τῶν ἀλόγων φύσις ταύτης ἀτελὴς τῆς λειτουργίας ἦν. πανταχοῦ σάκκος, πανταχοῦ σποδὸς, πανταχοῦ θρῆνος καὶ οἰμωγαί. καὶ γὰρ καὶ αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ βασιλικοῦ, σάκκον ὑπεστρώσατο, καὶ σποδὸν κατεπάσατο. καὶ ἦν ἰδεῖν πρᾶγμα φοβερὸν καὶ παράδοξον· ὑπὸ σάκκῳ πορφυρίδα παρευδοκιμηθεῖσαν. ὅπερ γὰρ οὐκ ἴσχυσεν ἡ ἁλουργὶς, τοῦτο ἴσχυσεν ὁ σάκκος· ὅπερ οὐκ ἤνυσε τὸ διάδημα, τοῦτο κατώρθωσεν ἡ σποδός. ἐννοήσωμεν τοίνυν ἕκαστος ἡμῶν ὅσα ἁμαρτημάτων ἔχει φορτία, καὶ ἀντιρρόπους ποιησώμεθα τὰς φιλανθρωπίας· μᾶλλον δὲ καὶ πολλῷ πλείους, ἵνα μὴ μόνον σβεσθῶσιν αἱ ἁμαρτίαι, ἀλλ' ἵνα καὶ εἰς δικαιοσύνην ἡμῖν λογισθῶσιν αἱ δικαιοσύναι. ἂν γὰρ μὴ τοσαῦτα ᾖ τὰ ἀγαθὰ, ὡς καὶ τὰ ἐγκλήματα ἀποδύσασθαι, καὶ ἐκ τῶν ὑπολειφθέντων εἰς δικαιοσύνην ἡμῖν λογισθῆναι, οὐδεὶς ἡμᾶς ἐξαρπάσεται τῆς κολάσεως. ἄνθρωπον μὲν γὰρ παροξύνας, καὶ φίλους, καὶ γείτονας, καὶ θυρωροὺς παρακαλεῖς, καὶ χρήματα δαπανᾷς, καὶ πολλὰς ἀναλίσκεις ἡμέρας * προσιὼν, καὶ δεόμενος. κἂν ἅπαξ, κἂν δὶς, κἂν μυριάκις σε διακρούσηται παροξυνθεὶς, καθάπαξ οὐκ ἀναπίπτεις, ἀλλ' ἐναγώνιος μᾶλλον γενόμενος πλείονα τὴν ἱκετηρίαν τίθεις. ὅταν δὲ τὸν ὅλων Θεὸν παροξύνωμεν, χασμώμεθα καὶ ἀναπίπτομεν καὶ τρυφῶμεν, καὶ πότε αὐτὸν ἐξιλεώσασθαι δυνησόμεθα; πῶς δὲ οὐκ αὐτῷ τούτῳ μειζόνως παροξυνοῦμεν μᾶλλον αὐτόν; οὐ γὰρ ἁμαρτάνειν, τὸ μηδὲ ἀλγεῖν ἁμαρτάνοντας, μᾶλλον ἀγανακτεῖν αὐτὸν ποιεῖ καὶ ὀργίζεσθαι. καὶ μὴ εἴπῃς, ὅτι πολλὰ ἥμαρτον, καὶ οὐ δύναμαι παρακαλέσαι τὸν Θεὸν ὀργιζόμενον. εἰ γὰρ τὸν ἄρχοντα ἐκεῖνον, τὸν μήτε Θεὸν φοβούμενον, μήτε ἀνθρώπους αἰσχυνόμενον ἐπέκαμψεν ἡ χήρα, πολλῷ μᾶλλον τὸν ἀγαθὸν ἐπισπάσεται ἡ συνεχὴς ἔντευξις. ὥστε κἂν μὴ φίλος ᾖς, κἂν μὴ τὰ ὀφειλόμενα ἀπαιτῇς, κἂν τὰ πατρῷα κατεδηδοκὼς ᾖς καὶ καταναλωκὼς, καὶ πολὺν χρόνον ἐξ ὄψεως γενόμενος· κἂν ὀργιζομένῳ, κἂν ἀγανακτοῦντι προσέλθῃς, θελήσῃς μόνον ἐπανελθεῖν, καὶ πάντα ἀπολήψῃ, καὶ τὴν ὀργὴν, καὶ τὴν καταδίκην σβέσεις εὐθέως. σκοπὸς γὰρ τῷ Θεῷ, ἀδελφοὶ, μακροθυμεῖν τοῖς ἁμαρτάνουσι. διπλοῦς ἐστιν εἰς σωτηρίαν ἵλεως, μνηστευόμενος αὐτοῖς τὴν ἐκ μετανοίας σωτηρίαν, καὶ τοῖς ἐξ αὐτῶν ἀπογόνοις, τοῖς εἰς τὴν ἀρετὴν ἐπιδιδόναι μέλλουσι, ταμιευόμενος τὴν εὐεργεσίαν. καὶ ἵνα πάλιν ἀναλάβω τὸν λόγον, ὁ Θεὸς μακροθυμεῖ, ἵνα καὶ ὁ ἁμαρτάνων μετανοήσῃ, καὶ τοὺς ἐξ αὐτοῦ λειπομένους μὴ ἀποκλείσῃ τῆς σωτηρίας· κἂν γὰρ αὐτὸς ὁ ἁμαρτάνων ἀμετανόητα πλανᾷ, φείδεται τῆς ῥίζης πολλάκις, ἵνα φυλάξῃ τοὺς καρπούς· πολλάκις μὲν οὖν, καὶ αὐτῶν ἀναμένων τὴν σωτηρίαν. καὶ ὅπως, ἄκουε. Θάρρα ὁ πατὴρ Ἀβραὰμ, εἰδώλων ἦν καὶ προσκυνητὴς καὶ ποιητής· ἀλλ' οὐκ ἔδωκεν ἐνταῦθα τῆς ἀσεβείας τὴν δίκην· καὶ εἰκότως. εἰ γὰρ προλαβὼν ὁ Θεὸς ἀπέτεμε τὴν ῥίζαν, πόθεν ὁ τοσοῦτος καρπὸς τῆς πίστεως ἀνεδίδοτο; τί τοῦ Ἡσαῦ μοχθηρότερον; τί τῆς κακίας ἐκείνης ἀναιδέστερον; οὐ πόρνος καὶ βέβηλος, ὥς φησιν ὁ Παῦλος; οὐ μητρολῴας καὶ πατρολῴας; οὐκ ἀδελφοῦ φονεὺς, ὅσον εἰς πρόθεσιν, οὐχ ὑπὸ τοῦ Θεοῦ μισούμενος, ὡς ἡ γραφὴ μαρτυρεῖ, λέγουσα, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα; εἰ τοίνυν πόρνος καὶ ἀδελφοκτόνος καὶ βέβηλος, καὶ μισούμενος, διατί μὴ ἀφανίζεται; διατί μὴ ἐκκόπτεται; διατί παραχρῆμα τὴν προσήκουσαν τιμωρίαν οὐ δίδωσι; διατί; καλὸν ὡς ἀληθῶς, ἀδελφοὶ, τὴν αἰτίαν εἰπεῖν. εἰ ἐξεκόπη, μέγιστον καρπὸν δικαιοσύνης ὁ κόσμος ἀπώλλυε· καὶ ποῖον, ἄκουε. Ἡσαῦ ἐγέννησε τὸν Ῥαγουήλ· Ῥαγουὴλ τὸν Ζαρά· Ζαρὰ τὸν Ἰώβ. ὁρᾷς πηλίκον ὑπομονῆς ἄνθος ἠφανίζετο, εἰ προλαβὼν ὁ Θεὸς δίκην ἀπῄτησε τὴν ῥίζαν; μηδεὶς τοίνυν ἐν κακίᾳ ὢν, ἀπογινωσκέτω· μηδεὶς ἐν ἀρετῇ ὢν νυσταζέτω. μήτε οὗτος θαρρείτω· πολλάκις γὰρ αὐτὸν καὶ ἡ πόρνη * παρασάλευσε· μήτε ἐκεῖνος ἀπογινωσκέτω· δυνατὸν γὰρ αὐτῷ καὶ τοὺς πρώτους παρελθεῖν. ὅταν γὰρ ἐπανέλθωμεν εἰς τὴν σφοδρὰν ἀγάπην τοῦ Θεοῦ, οὐ μέμνηται τῶν προτέρων· οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεός· οὐ γὰρ ὀνειδίζει τὰ παρελθόντα, οὐδὲ λέγει, διατί τοσοῦτον ἀπελείφθης χρόνον, ἂν μετανοήσωμεν· ἀλλὰ ἀγαπᾷ, ὅταν ἂν προσέλθωμεν, μόνον ὡς χρὴ προσέλθωμεν.

A molti temporis crimina delere poterit. Et qua ratione, audi. Nonne ter Petrus negavit? Nonne vilis ancillæ verba veritus? Quid ergo? multúmne temporis ad pœnitentiam ei neceſſarium fuit? Nequaquam: ſed eadem nocte & lapſus eſt, & reſurrexit. Poſt illum namque gravem caſum (negationi enim nullum malum eſt æquale) rurſus eum ad priorem reduxit honorem pœnitentia, & Eccleſiæ præſidentiam ei per totum orbem terrarum tradidit, & quod omnibus majus eſt, ipſum majorem omnibus B Apoſtolis in Dominum charitatem habere nobis monſtravit. Quid verò Ninivitæ? Venit ad ipſos Propheta, ſententiam aperuit veluti regalem quandam Epiſtolam, ſupplicium continentem. & clamabat dicens: *Adhuc tres dies, & Ninive ſubvertetur.* (Jonæ 3. 4.) Audierunt illi talia, & non increduli fuerunt, neq; contempſerunt, ſed continuò omnium fit ad jejunium concurſus, virorum, mulierum, puerorum; neque brutorum natura à tali immunis fuit miniſterio. Ubique ſaccus, ubique cinis, ubiq; C luctus & lamentationes. Etenim & ipſe Rex diademate coronatus, è regali ſolio deſcendit, ſaccum ſibi ſubſtravit, & cinere ſe conſperſit: & erat rem cernere terribilem atque inuſitatam, obſcuratam ſub ſacco purpuram. Quod enim purpurea veſtis non valuit, hoc potuit ſaccus: quod diadema non expedivit, hoc feliciter perfecit cinis. Cogitemus igitur quot quilibet noſtrum habeat onera peccatorum, & æquivalentes exhibeamus miſericordias: (*Ex eadem ep. ad Epheſ.*) imo verò & longè plures, ut non modò peccata dele-D antur, ſed ot etiam in juſtitiam nobis eleemoſynæ computentur. Niſi enim tot fuerint bona, ut & crimina exuant, & ex relictis aliquid in juſtitiam nobis reputetur, nemo nos à ſupplicio liberabit. Cùm enim hominem irritas, amicos rogas & vicinos & janitores, & pecunias impendis, moltóſque dies conſumis (*Ex com. Evang. Matth. forte.*) accedens & ſupplicans: Etiamſi ſemel, aut bis, aut millies te irritatos rejiciat, omnino tamen animum non deſpondes, ſed magis contendere pergens majorem adhibes ſupplicationem. Cùm E verò Deus univerſorum provocatur, nos oſcitamus, & ſupini jacemus & delitiis vacamus: & quando tandem reconciliare ipſum poterimus? quomodo verò eum hoc ipſo non magis irritamus? Ad majorem enim indignationem & iram commovetur, cùm peccantes non dolent, quàm cùm peccata admittunt. Neque dicas, nimium peccavi, & Deum indignantem invocare non poſſum. Nam ſi judicem illum, qui neque Deum timebat, neque homines verebatur, vidua flectere potuit, multò magis (*Ex hom. quamcipiw. Semper quadam drvinam Apoſt.*) A bonum conciliabit aſſidua deprecatio. Itaque licet amicus non ſis, licet indebita poſcas, licet paterna bona devoraveris & abſumpſeris, longóque tempore ab aſpectu abfueris, etiamſi ſuccenſentem & indignantem adieris, modò redire velis, & univerſa recipies, irámque & condemnationem ſtatim extingues. Propoſitũ enim Deo eſt, fratres, patiente ac leni in peccatores animo eſſe. Dupliciter ad ſalutem miſericors eſt; tum ex pœnitentia ipſis ſalutem comparans, & ipſorum poſteris in virtute B perfectum facturis beneficium reſervans. Et ut denuò ſermonem reſumam, Deus longanimitate utitur, ut & peccans pœnitentiam agat, & ne ex eo genitis ſalutem præcludat. Quamvis enim peccator ſine pœnitentia delinquere pergat, parcit frequenter radici, ut fructus conſervet; frequenter tamen etiam ipſorum expectans ſalutem. Et quomodo, audi. Thare pater Abraham idolorum fuit & cultor & factor: ſed in hac vita impietatis pœnas non dedit: & meritò. Nam ſi Deus antevertens, C radicem præcidiſſet, unde tantus fidei fructus exortus fuiſſet? Quid Eſau malignius? Quid illa nequitia impudentius? Nonne fornicator erat, & im̃undus, ut inquit Paulus? Nonne matricida & parricida? Non̄ e fratricida, quantum in ipſius fuit propoſito? Non̄e à Deo ſuis odio habit*, ut ſcriptura teſtatur, dicens: Jacob dilexi, Eſau vero odio habui? Si ergo fuit fornicator, & fratricida & immundus, & odio habitus, quare non è medio tollitur? quare non exciditur? quare non illico debitum patitur ſuppli-D cium? Quare? Verè bonum eſt, fratres, cauſam dicere. Si ſucciſus fuiſſet, maximum juſtitiæ fructum mundus omiſiſſet: & qualẽ audi: Eſau genuit Raguel, Raguel Zara, Zara Job. Vides quantus tolerantiæ flos perditus fuiſſet, ſi præveniens Deus à radice pœnas exegiſſet? Nullus igitur in vitio poſitus deſperet: in virtute dormitet nemo. Neq; hic confidat; nam frequenter ipſum etiam meretrix antevertit: neq; ille deſperet: poterit enim etiam primos anteire. (*Ex interpr. ep. ad Hebr. pono tracta.*) Cùm enim in vehementem Dei Charitatem E redierimus, priorum non meminit, non eſt Deus ut homo: Non enim exprobrat præterita, neque dicit, quare tanto tempore defeciſti, cùm pœnitentiam agimus: ſed gratos habet, quandocunque acceſſerimus, dummodò, ſicut decet, accedamus.

Quid

Quid enim Manaſſe pejus ? Quid verò beatius Salomone ? Attamen ille quidem Deum reconciliare potuit : hic autem, quia dormitavit, lapſus eſt. Propterea etiam Eſau veniam conſecutus non eſt, quia pœnitentiam, ut oportebat, non egit. Lacrymæ enim non ex pœnitentia erant, ſed ex offenſione & ira. Oſtendit etiam Judas pœnitentiam ; nam ſeipſum ſtrangulavit. Si verò perfectam pœnitentiam videre velis, audi Petri pœnitentiam poſt negationem. Quoniam enim veriſimile erat ipſum altum ſapere, ut qui ſibi conſcius eſſet, quod plus quàm alii Chriſtum diligeret, idcirco foras egreſſus flevit amarè. Nec hoc ſolùm, verùm innumeris ſe poſt hæc immiſit periculis. Pœnitentiam egit & David, ita dicens : Lavabo per ſingulas noctes lectum meum, lacrymis meis ſtratum meum rigabo : & jam olim commiſſum peccatum, poſt tot annos, poſt tot generationes, quaſi nuper accidiſſet, lugebat. Pœnitentem enim non oportet iraſci, nec efferari, ſed quaſi judicatum conteri, quaſi non habentem fiduciam, quaſi jam condemnatum, tanquam qui ex ſola miſericordia ſalvari debeat, ut viſum ſit benefactorem ingratum, & reprobum, & innumeris dignum ſuppliciis. Ne igitur ſcenicus deſperet, neque præſumat Eccleſiaſticus. Nam ad hunc quidem ait Deus : *Qui videtur ſtare, videat ne cadat* : ad illum autem, Nunquid qui cadit, non reſurget ? Ille enim quod habet, cuſtodire debet ; hic verò fieri, quod non eſt : ille ſanitatem conſervare, hic ab ægritudine liberari : laborat enim. Ad illum itaque dicit, *Ecce ſanus factus es, jam noli peccare, ne deterius tibi aliquid contingat* : ad hunc verò, *Tolle grabatum tuum & abi in domum tuam.* Licet enim octo & triginta annos habeas, ſicut paralyticus ille, ſi modò ſanus fieri ſtudeas, qui prohibeat, nemo eſt : tantùm ſe ſurgere velis. Ingrediaris modò viam eò tendentem, & velociter progrediaris. Ne fores occludas, ne obſtruas ingreſſum. Breve eſt præſens tempus, exiguus labor : qui etiamſi multus foret, neque ita tamen deficere oporteret. Si enim hunc pulcherrimum pœnitentiæ laborem non ſubeas, omnino in illo mundo laborabis, & alijuſmodi ærumnas patieris. Si verò & hic & illic labor, quare non hunc eligimus, qui copioſum affert fructum, magnámque retributionem ? Nam ſi nos qui indigni ſumus, beneficiis Deus afficit, & erga eos, qui peccaverunt, benignus eſt ; ſi deſerta malitia virtutem fuerimus ſectati, quæ non aſſequemur ? quibus non fruemur bonis ? Meriti enim compotes beneficia potiùs, quàm pœna, ad obediendum mandatis attrahunt. Si igitur etiam priuſquam bonum aliquod exhibeamus, imò cùm ultione digna fecerimus, tanta nos beneficentia Deus dignatus eſt : ſi grati ſimus, & pro jam acceptis beneficiis gratiarum actionem exhibeamus, & in melius faciamus mutationem, quanta rurſus nos ſua munificentia non dignabitur ? Nam ſi nos, offendentes ſervos, ſi meliores ſe fore promiſerint, & acceptamus, & priſtino reſtituimus honori, frequenter autem ipſis majorem impertimur libertatem : multo magis Deus in nobis hoc faciet, ſi æqualem peccatis pœnitentiam exhibeamus. Et hoc ex iis quæ circa beatum Davidem contigerunt, manifeſtum eſt. Quoniam enim ſupplantatus cecidit, adulterii reus & cædis crimine, non manſit deinceps in ruina jacens : ſed & denuò ſurrexit, & contra hoſtem cum Deo ſe oppoſuit ; quem & tam generoſè devicit, ut etiam defunctus ex ſe progenitos tueretur. Salomoni enim grandem illam iniquitatem auſo, milléque digno mortibus facto, propter Davidem Deus ait, ſe regnum permittere integrum, ita dicens : *Diſrumpens ſcindam regnum de manu tua, & dabo ipſum ſervo tuo : verumtamen in diebus tuis hæc non faciam, propter David patrem tuum ; De manu filii tui tollam illud.* Et verò Ezechiæ de ſupremis periclitaturo, licet juſtus eſſet, rurſus propter beatum illum ſe ſuccurrere dixit : Protegam, inquit, civitatem hanc propter me, & propter David puerum meum. Sicut igitur in iis qui ſuam oſtendunt gratitudinem, propter congruentem ſibi bonitatem ſententias à ſe latas Deus revocat, & pœnitentiam agentes admittit, & ab imminente liberat pœna : ita rurſum, cùm aut bona aliqua daturum ſe promittit, aut præfinitum pœnitentiæ tempus : indignos autem factos cernit, & tunc ſua revocat promiſſa. Non enim tam malum eſt peccare, quàm in peccatis permanere. Idcirco etiam Deus præveniens, beneficia in nos confert, & rurſum prævaricatos venia dignos efficit, & pœnas ſtatim non infert ; ut per omnia nos ad pœnitentiam attrahat, & per quæ beneficia præſtat, & per quæ longanimitatem ſuam oſtendit : frequenter verò etiam per quæ quoſdam caſtigat, ut per omnia correcti, pœnæ effugiant periculum.

Ex com. Evang. ſecundum Joan. — Joan. 5. 14. — *Ex epiſt. ad Theod. lapſum.* — 3. Reg. 11. 11. — *Ex com. in Geneſ.*

τί γὰρ τοῦ Μανασσῆ χεῖρον; τί δὲ τοῦ Σολομῶντος μακαριώτερον; ἀλλ' ὁ μὲν ἠδυνήθη τὸν Θεὸν ἐξιλεώσασθαι· ὁ δὲ ἀπονυστάξας ἔπεσε. διὰ τοῦτο καὶ Ἡσαῦ οὐκ ἔτυχε συγγνώμης, ἐπεὶ μὴ μετενόησεν, ὡς ἐχρῆν. τὰ γὰρ δάκρυα οὐκ ἦν μετανοίας, ἀλλὰ ἐπηρείας καὶ θυμοῦ. μετενόησε καὶ Ἰούδας· ἀπήγξατο γάρ. εἰ δὲ μετάνοιαν ἀκριβῆ θέλεις ἰδεῖν, ἄκουσον τὴν τοῦ Πέτρου μετάνοιαν μετὰ τὴν ἄρνησιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὸν μέγα φρονεῖν, συνειδότα ἑαυτῷ, ὅτι μᾶλλον τῶν ἄλλων ἀγαπᾷ τὸν Χριστόν, διὰ τοῦτο ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μυρίοις ἑαυτὸν παρέβαλλε μετὰ ταῦτα κινδύνοις. μετενόησε καὶ ὁ μακάριος Δαβίδ, οὕτω λέγων· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· καὶ τὴν πάλαι γεγενημένην ἁμαρτίαν, μετὰ τοσαῦτα ἔτη, μετὰ τοσαύτας γενεάς, ὡς νῦν συμβᾶσαν ἐπένθει. τὸν γὰρ μετανοοῦντα οὐκ ὀργίζεσθαι χρή, οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντετρῖφθαι ὡς κατεγνωσμένον, ὡς οὐκ ἔχοντα παρρησίαν, ὡς καταδεδικασμένον, ὡς ἀπὸ ἐλέους σωθῆναι ὀφείλοντα μόνου, ὡς ἀγνώμονα περὶ τὸν εὐεργέτην φανέντα, καὶ ἀδόκιμον, καὶ μυρίων κολάσεων ἄξιον. μήτε οὖν ὁ ἐπὶ τῆς σκηνῆς ἀπογινωσκέτω, μήτε ὁ ἐν τῇ ἐκκλησίᾳ θαρρείτω. πρὸς μὲν γὰρ τοῦτόν φησιν ὁ Θεός, ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· πρὸς δὲ ἐκεῖνον, μὴ ὁ πίπτων οὐκ ἀνίσταται; οὗτος μὲν γὰρ φυλάξαι δεῖται, ὅπερ ἔχει, ἐκεῖνος δὲ, γενέσθαι ὅπερ οὐκ ἔστιν. οὗτος διατηρῆσαι τὴν ὑγείαν, ἐκεῖνος τῆς ἀρρωστίας ἀπαλλαγῆναι· κάμνει γάρ. πρὸς μὲν οὖν ἐκεῖνόν φησιν, ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· πρὸς δὲ τοῦτον, θέλεις ὑγιὴς γενέσθαι; ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. κἂν γὰρ τριακονταοκτὼ ἔτη ἔχῃς, ὡς ὁ παράλυτος ἐκεῖνος, σπουδάσῃς δὲ γενέσθαι ὑγιής, οὐδεὶς ὁ κωλύων. μόνον θέλησον διαναστῆναι· ἅψαι μόνον τῆς ἐκεῖ φερούσης ὁδοῦ, καὶ πρόβηθι ταχέως· μὴ τὰς θύρας ἀποκλείσῃς, μὴ τὴν εἴσοδον φράξῃς. βραχὺς ὁ παρὼν καιρός, ὀλίγος ὁ πόνος· εἰ δὲ καὶ πολὺς ἦν, οὐδὲ οὕτως ἀπαγορεύειν ἔδει. κἂν γὰρ μὴ κάμῃς τὸν κάλλιστον τοῦτον κάματον, ἐν τῇ μετανοίᾳ, ἐν τῷ κόσμῳ ἐκείνῳ πάντως καμῇ, καὶ ταλαιπωρήσεις ἑτέρως. εἰ δὲ καὶ ἐνταῦθα κἀκεῖ κάματος, διὰ τί μὴ τοῦτον αἱρούμεθα τὸν πολὺν ἔχοντα τὸν καρπόν, καὶ μεγάλην τὴν ἀμοιβήν; εἰ γὰρ ἀναξίους ὄντας ἡμᾶς εὐεργετεῖ ὁ Θεός, καὶ ἡμαρτηκότας φιλανθρωπεύεται, εἰ τῆς κακίας ἀποστάντες τὴν ἀρετὴν μεταδιώξομεν, τίνων οὐκ ἐπιτευξόμεθα, τίνων οὐκ ἀπολαυσόμεθα τῶν ἀγαθῶν; τοὺς γὰρ νοῦν ἔχοντας αἱ εὐεργεσίαι μᾶλλον, ἢ αἱ τιμωρίαι ἐφέλκονται πρὸς τὴν ὑπακοὴν τῶν ἐπιταγμάτων. εἰ τοίνυν καὶ πρὶν ἤ τι ἀγαθὸν ἡμᾶς ἐπιδείξασθαι, μᾶλλον δὲ καὶ κολάσεως ἄξια ἐργασαμένους, τοσαύτης ἠξίωσε τῆς εὐεργεσίας ὁ Θεός, εἰ εὐγνώμονες γενοίμεθα, καὶ τὴν ἐπὶ τοῖς προλαβοῦσιν εὐχαριστίαν ἐπιδειξόμεθα, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ποιησόμεθα, πόσης οὐκ ἂν πάλιν ἀξιώσει τῆς παρ' αὐτοῦ φιλοτιμίας; εἰ γὰρ ἡμεῖς τοὺς προσκεκρουκότας τῶν οἰκετῶν, ἐὰν ἐπαγγέλλωνται γενέσθαι βελτίους, καὶ προσιέμεθα, καὶ πάλιν ἐπὶ τῆς προτέρας ἄγομεν τιμῆς, πολλάκις δὲ καὶ πλείονος αὐτοῖς τῆς παρρησίας μεταδίδομεν· πολλῷ μᾶλλον ὁ Θεὸς ἐπὶ ἡμῶν τοῦτο ποιήσει, εἰ ἀντίρροπον τῶν ἁμαρτημάτων ἐπιδειξόμεθα τὴν μετάνοιαν. καὶ τοῦτο ἀπὸ τῶν κατὰ τὸν μακάριον Δαβὶδ δῆλον. ἐπειδὴ γὰρ ὑποσκελισθεὶς κατέπεσε, μοιχείας καὶ φόνου ἁλοὺς ἐγκλήματι, εἶτα οὐκ ἔμεινε κείμενος ἐν τῷ πτώματι· ἀλλὰ καὶ διανέστη πάλιν, καὶ πρὸς τὸν ἐχθρὸν μετὰ τοῦ Θεοῦ παρετάξατο. οὕτως αὐτὸν γενναίως κατεπάλαισεν, ὡς καὶ τελευτήσαντα προστῆναι τῶν ἐκγόνων τῶν αὐτοῦ. τῷ γὰρ Σολομῶντι τὴν μεγάλην ἐκείνην παρανομίαν τετολμηκότι, καὶ μυρίων ἀξίῳ γενομένῳ θανάτων, διὰ τὸν Δαβὶδ ὁ Θεός φησιν, ἀφεῖναι τὴν βασιλείαν ὁλόκληρον· οὑτωσὶ λέγων· διαρρήσσων διαρρήξω τὴν βασιλείαν ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου, πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω ταῦτα, διὰ Δαβὶδ τὸν πατέρα σου· ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν. καὶ τῷ Ἐζεκίᾳ δὲ μέλλοντι κινδυνεύειν ὑπὲρ τῶν ἐσχάτων, καίτοιγε ὄντι δικαίῳ, πάλιν διὰ τὸν μακάριον ἐκεῖνον ἔλεγε βοηθεῖν· ὑπερασπιῶ γάρ, φησι, τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. ὥσπερ οὖν ἐπὶ τῶν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνυμένων, διὰ τὴν πρέπουσαν αὐτῷ ἀγαθότητα ἀνακαλεῖται τὰς παρ' αὐτοῦ ἀποφάσεις ὁ Θεός, καὶ μεταβαλλομένους προσίεται, καὶ τῆς ἐπικειμένης ἀπαλλάττει τιμωρίας· οὕτω πάλιν ἐπειδὰν ἐπαγγείληται ἢ ἀγαθά τινα παρέξειν, ἢ προθεσμίαν μετανοίας, ἴδῃ δὲ ἀναξίους γενομένους, καὶ τότε πάλιν ἀνακαλεῖται αὐτοῦ τὰς ὑποσχέσεις. οὐ γὰρ οὕτως τὸ ἁμαρτάνειν χαλεπόν, ὡς τὸ τοῖς ἁμαρτήμασιν ἐπιμένειν. διὰ τοῦτο καὶ προλαμβάνων τὰς εὐεργεσίας εἰς ἡμᾶς κατατίθεται ὁ Θεός, καὶ ἡμαρτηκότας πάλιν συγγνώμης ἀξιοῖ καὶ τὰς τιμωρίας περὶ πόδας οὐκ ἐπάγει, ἵνα διὰ πάντων πρὸς μετάνοιαν ἡμᾶς ἐφελκύσηται, καὶ δι' ὧν εὐεργετεῖ, καὶ δι' ὧν μακροθυμεῖ· πολλάκις δὲ καὶ δι' ὧν ἐνίους κολάζει ἑτέρους ἐκκόψαι βούλεται, ἵνα διὰ πάντων σωφρονισθέντες, τῆς τιμωρίας τὴν πεῖραν διαφύγωσιν.

ἡμαρτης

Digitized by Google

ἥμαρτες πολλά; στῆθι λοιπὸν, ἐπίστρεψον τὴν ἐναντίαν· ὁμολόγησον τῷ Θεῷ χάριν, ὅτι σε οὐκ ἐν μέσοις ἀνήρπασε τοῖς ἁμαρτήμασι, μὴ καὶ ἑτέραν ζήτει προθεσμίαν, εἰς τὸ κακῶς ἐργάζεσθαι. μὴ λέγε, ἔσται καιρὸς, ὅταν ἐπιστρέψαι δέῃ· πολλοὶ μεταξὺ πλεονεκτοῦντες ἀνηρπάγησαν· καὶ ἀπῆλθον ἐπὶ φανερὰν δίκην. φοβήθητι μὴ καὶ σὺ ταῦτα πάθῃς ἀναπολογήτως· ἀλλὰ πολλοῖς ἔδωκε προθεσμίαν ὁ Θεὸς ἐξομολογήσασθαι ἐν ἐσχάτῳ γήρᾳ. τί οὖν καὶ σοὶ δώσει; ἴσως δώσει φησί. τί λέγεις ἴσως, καὶ ἐνίοτε καὶ πολλάκις; ἐννόησον ὅτι περὶ ψυχῆς βουλεύῃ, καὶ θὲς καὶ τὸ ἐναντίον. καὶ λογίζου καὶ λέγε· τί δαὶ ἐὰν μὴ δῷ; τί δαὶ ἐὰν δῷ φησιν. ἔδωκε μὲν αὐτός· πλέον δὲ τοῦτο ἐκείνου ἀσφαλέστερον καὶ κερδαλεώτερον. ἐὰν μὲν γὰρ ἤδη ἄρξῃ, τὸ πᾶν ἐκέρδανας, ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς προθεσμίαν· ἐὰν δὲ ἀεὶ μένῃς; δι' αὐτὸ τοῦτο πολλάκις οὐ λήψῃ. σὺ δὲ εἰς μὲν πόλεμον ἐξιὼν, οὐ λέγεις, οὐκ ἀνάγκη διαθέσθαι, ἴσως ἐπανήξω· οὐδὲ περὶ γάμου βουλευόμενος λέγεις, λάβω γυναῖκα πενιχράν, πολλοὶ παρὰ δόξαν καὶ οὕτως ἐπλούτησαν· οὐδὲ οἰκίαν οἰκοδομούμενος, καταβαλῶ θεμελίους σαθρούς, πολλαὶ καὶ οὕτως ἔστησαν οἰκίαι· ὑπὲρ δὲ ψυχῆς βουλευόμενος, τοῖς σαθροτέροις ἐγχειρεῖς, τὸ ἴσως καὶ ἐνίοτε καὶ πολλάκις θεὶς, καὶ τοῖς ἀδήλοις ἐπιτρέπεις σαυτόν; οὐ τῷ ἀδήλῳ φῂς, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ· φιλάνθρωπος γὰρ ὁ Θεός· οἶδα κἀγώ· ἀλλ' ὁ φιλάνθρωπος οὗτος κἀκείνους, οὕσπερ εἶπον, ἀνήρπασε. βούλει μαθεῖν πῶς ἐστιν ἡμῶν ἀγαθὸς ὁ δεσπότης; ἀνῆλθεν ὁ τελώνης μυρίων γέμων κακῶν, καὶ εἰπὼν, ἱλάσθητί μοι, μόνον, κατῆλθε δεδικαιωμένος. καὶ διὰ τοῦ προφήτου δέ, φησιν, ὁ Θεὸς, δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτόν· καὶ εἶδον ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. τί τῆς φιλανθρωπίας ταύτης ἴσον; ἵνα στυγνάσῃ μόνον, ἀφίησι τὰ ἁμαρτήματα. ἡμεῖς δὲ οὐδὲ αὐτὸ τοῦτο ποιοῦμεν. διὸ μάλιστα αὐτὸν παροξύνομεν. ὁ γὰρ καὶ διὰ μικρῶν ἵλεως γινόμενος, ὅταν μηδὲ τούτων τύχῃ, ἀγανακτεῖ, καὶ τὴν ἐσχάτην ἀπαιτεῖ τιμωρίαν ἡμᾶς· ὑπερβαλλούσης γάρ ἐστι καταφρονήσεως. τίς γοῦν ἐλυπήθη ποτὲ δι' ἁμαρτίας; τίς ἐστέναξε; τίς τὸ στῆθος ἔπληξεν; οὐδένα ἔγωγε οἶμαι· ἀλλὰ μυρίας μὲν ἡμέρας θρηνοῦσιν ἄνθρωποι, ὑπὲρ οἰκετῶν ἀποθανόντων, ὑπὲρ ζημίας χρημάτων, τὴν δὲ ψυχὴν ἀπολλύντες καθ' ἑκάστην ἡμέραν, οὐδὲ εἰς νοῦν βαλλόμεθα. πῶς οὖν δυνήσῃ τὸν Θεὸν ἐξιλεώσασθαι, ὅταν μηδὲ ὅτι ἥμαρτες εἰδῇς; ναί, φησιν, ἥμαρτον· ναί μοι λέγεις τῇ γλώττῃ. εἰπὲ τῇ διανοίᾳ, καὶ μετὰ τοῦ ῥήματος στέναξον, ἵνα διηνεκῶς εὐθυμῇς· καὶ γὰρ εἰ ἠλγοῦμεν ἐπὶ τοῖς ἁμαρτήμασιν, εἰ ἐστενάζομεν ἐπὶ τοῖς πλημμελήμασιν, οὐδὲν ἂν ἄλλο ἡμᾶς ἐλύπησεν, τῆς ὀδύνης ταύτης πᾶσαν ἀθυμίαν παρωθουμένης. ὥσπερ οὖν τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδὲν ὑπὸ τῆς παγίδος ἁλόντι, ἀλλ' εἰκῇ καὶ μάτην πτερύσσεται· οὕτω καὶ τῶν λογισμῶν οὐδὲν ὄφελος, ἐὰν μετὰ κράτους ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς. εἰ γὰρ ἐπὶ ἑνὸς οὐ θέλομεν ἀσχημονῆσαι ἐνταῦθα, ἐπὶ μυριάδων ἐκεῖ τοιούτων, τί ποιήσομεν; οὐδὲ γὰρ τὸ τῶν προτέρων ἀποστῆναι κακῶν μόνον, ἀλλὰ καὶ τὸ ἀμείνονα ἐπιδείξασθαι καλὰ, λέγεται μετάνοια. ἔκκλινον γάρ, φησιν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. οὐδὲ γὰρ ἀρκεῖ εἰς ὑγίειαν ἡμῖν τὸ βέλος ἐξελεῖν μόνον, ἀλλὰ καὶ τὰ φάρμακα ἐπιθεῖναι τῷ τραύματι. συμβαίνει δέ τινα μεταγνόντα κατορθῶσαι πολλὰ καὶ μεγάλα, μεταξὺ δὲ ἁμαρτεῖν πάλιν, τῶν κατορθωμάτων ἐκείνων ἁμαρτίαν ἀντίρροπον. καὶ τοῦτο μάλιστα ἱκανὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ὡς τῶν οἰκοδομηθέντων καθαιρεθέντων, καὶ πάντων ἐκείνων μάτην καὶ εἰς κενὸν πονηθέντων αὐτῷ. δεῖ δὲ ἐκεῖνο λογίζεσθαι, καὶ τοῦτον ἐκκρούειν τὸν λογισμὸν, ὅτι εἰ μὴ φθάσαντες κατορθωμάτων μέτρον ἀντίρροπον τοῖς μετὰ ταῦτα γινομένοις ἁμαρτήμασιν ἀπεθέμεθα, οὐδὲν ἂν ἡμᾶς σφόδρα καὶ ὁλοσχερῶς καταδῦναι ἐκώλυσε. νυνὶ δὲ καθάπερ τις θώραξ ἰσχυρὸς, βέλος ὀξὺ καὶ πικρὸν οὐκ ἀφῆκεν ἐργάσασθαι τὸ αὐτοῦ, ἀλλ' αὐτὸς διατμηθεὶς τὸν πολὺν ἤμυνε τῷ σώματι κίνδυνον. οὐ δεινὸν τοίνυν τὸ πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι καὶ ἀμελῆσαι τοῦ τραύματος. οὐδεὶς ἔμπορος ἅπαξ ναυαγίῳ περιπεσὼν καὶ τὸν φόρτον ἀπολέσας, ἀφίσταται τοῦ πλεῖν, ἀλλὰ πάλιν τὴν θάλασσαν, καὶ τὰ μακρὰ διαβαίνει πελάγη, καὶ τὸν πρότερον ἀνακτᾶται πλοῦτον. πολλάκις ἀθλητὰς θεωροῦμεν μετὰ πολλὰ πτώματα, στεφανίτας γινομένους. ἤδη δὲ καὶ στρατιώτης πολλάκις φυγὼν, ἔσχατον ἀριστεὺς ἀνεδείχθη, καὶ τῶν πολεμίων ἐκράτησε. πολλοὶ δὲ καὶ τῶν τὸν Χριστὸν ἀρνησαμένων διὰ τὸν τῶν βασάνων φόβον, ἀνεμαχέσαντο πάλιν, καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀπῆλθον ἀναδησάμενοι. εἰ δὲ τούτων ἕκαστος ἐκ τῆς προτέρας πληγῆς ἀπέγνω, οὐκ ἂν τῶν δευτέρων ἀπέλαυσεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A Multum peccaſti? jam deſiſte, contrariâ viâ revertere, Deo perſolve gratias, quod te non in mediis ſuſtulerit peccatis; noli & alium quærere terminum, ut malè opereris. Ne dicas; erit tempus, quando converti oporteat. Multi dum aliena rapuerunt, obrepti ſunt, & ad certum abierunt ſupplicium. At multis, inquit aliquis, Deus tempus dedit, ut in extrema ſenectute confiterentur. Quid ergo, nunquid & tibi dabit? fortè dabit, inquis. Quare dicis fortè, & aliquando, & frequenter? Conſidera quòd de anima B conſilium agites; contrarium quoque ponas, & cogites, atque dicas: quid verò ſi non det? Quid verò, inquis, ſi det? Dedit quidem ipſe; verùm hoc illo ſecurius eſt & utilius. Si enim jam inceperis, totum lucratus es, ſive accipias tempus, ſive non accipias: ſi verò ſemper maneas, propter hoc ipſum frequenter non accipies. Si verò ad bellum quidem egreſſus, non dicis, nil opus eſt de rebus meis diſponere, fortè redibo: neque cùm de conjugio deliberas, inquis: ducam uxorem pauperem; C multi enim etiam hac ratione præter opinionem divites evaſerunt: neque cum domicilium extruis, ponam fundamenta carioſa: multæ etiam ita domus conſtiterunt: de anima verò conſilium capiens imbecilliora capeſſis, ponens illud Fortè & Aliquando & Sæpe, incertiſque teipſum rebus committis? Non incerto, inquis, ſed Dei clementiæ, Deus enim clemens eſt, ſcio & ego: ſed hic idem miſericors etiam illos, quos dixi, abripuit. Vis cognoſcere, quàm benignus ſit Dominus noſter? Aſcendit D publicanus innumeris plenus vitiis, & uno hoc dicto, Propitius eſto mihi, deſcendit juſtificatus. Et per Prophetam verò inquit Deus, Propter peccatum contriſtavi illum: & vidi quod contriſtatus ſit, & mœſtus inceſſerit, & ſanavi vias ipſius. Quid cum iſta clementia conferendum? ut ſolùm triſtaretur, peccata dimiſit. Nos verò nec ipſum hoc facimus: propter quod etiam maximè Deum irritamus. Qui enim ob exigua quædam propitius factus eſt, ſi nec iſta aſſequatur, graviter & indignè fert, exE tremáſque de nobis pœnas ſumit: enormis ſiquidem hoc contemptus eſt. Quis ob peccata aliquando ſaltem contriſtatus fuit? quis ingemuit? quis pectus ſuum percuſſit? Nullum eſſe exiſtimo: ſed plurimis quidem diebus homines lamentantur propter defunctos domeſticos, propter pecuniarum jacturam; cùm verò ſingulis diebus animam perdamus, minimè ad animum reducimus. Qua igitur ratione Deum placare poteris, quando te peccaſſe ne quidem cognoſcis? Certè, inquis, peccavi. Certè A mihi lingua dicis: dic mente, & ſimul cum verbo ingemiſce, ut continuè gaudio perfundaris. Etenim ſi propter delicta indoleremus, ſi ingemiſceremus ob iniquitates, nihil præterea nos contriſtaret, dolore iſto omnem animi ægritudinem depellente. Quemadmodum igitur paſſerem laqueo comprehenſum nihil juvant alæ, ſed fruſtra & incaſſum alas concutit: ita nec tibi quicquam cogitationes proderunt, ſi à mala cupiditate captus fueris. Quod ſi in hac vita ne in uno quidem dedecus pati nolumus, in B tot millibus quid ibi faciemus? Non enim à priſtinis malis tantùm deſiſtere, ſed etiam meliora oſtendere bona, pœnitentia dicitur. Inquit enim: declina à malo, & fac bonum. Nec enim nobis ad ſanitatem ſatis eſt, ſagittam tantùm extraxiſſe, ſed etiam medicamenta vulneri adhibenda ſunt. Contigit autem, aliquem pœnitentia ductum multa & magna bona facere, interea verò crimen illis rectè factis æquale denuò committere. Et hoc validiſſimum eſt, quod in deſperationem conjiciat; tanquam iis, quæ extructa fuerunt, ſubverſis, fruſtràque ab ipſo elaboratis. C Illud verò conſiderare oportet, & hanc expellere cogitationem: quod niſi prævenientes rectè factorum menſuram æqualem peccatis poſthæc commiſſis repoſuiſſemus, nihil nos vehementer & funditus ſubmergi prohibuiſſet. Nunc verò quaſi fortis quidem thorax, acutam & amaram ſagittam effectum ſuum habere non permiſit: ſed ipſe diviſus magnum à corpore periculum avertit. Non igitur tam grave eſt pugnantem vulnerari, ſed poſt acceptam plagam deſperare, vulnúſque negligere. Nullus mercator D ſemel naufragium paſſus & mercibus amiſſis, navigare deſiſtit: ſed mare ac profunda freta denuò permeat, priſtináſque recuperat divitias. Frequenter athletas conſpicimus poſt multos lapſus, coronatos. Jam verò miles quoque non rarò, poſtquam fugit, ſtrenuum ſeſe exhibuit, hoſtéſque devicit. Multi etiam qui Chriſtum ob tormentorum metum abnegarunt, denuò certamen inierunt, & martyrii corona redimiti abierunt. Quòd ſi iſtorum quilibet ex primo vulnere deſperaſſet, nequaquam ſequentibus E bonis potitus fuiſſet: quæ adipiſci omnibus nobis contingat, gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria & imperium in ſecula ſeculorum. Amen.

Ex com in epiſt 2. ad Cor.

Ex com in ep. 1. ad Corinth.

Ex hom. in ſtatuas.

Ex com. in Evang ſecundum Pſal. 36.

Ex epiſt. 10 ad Theod. lapſum.

De jejunio & temperantia.

HOMILIA IV.

VIS intelligere quantum hominibus ornamentum ſit jejunium, quanta munitio, quantum præſidium? Conſidera mihi beatum illud & admirandum genus monachorum. Hi enim vitæ hujus tumultus fugientes, & ſurſum ad montium cacumina feſtinantes, compoſitiſque in tranquilla ſolitudine, velut in tuto portu, tuguriis, jejunium tanquam totius vitæ comitem & conſortem, aſſumpſerunt. Idcirco ipſos ex hominibus Angelos effecit: nec illos ſolùm, ſed quoſcunque in urbibus ſui cupidos invenerit, ad idem philoſophiæ culmen exaltat. Illud etiam qui antehac deſidioſi & molles erant, ſub maternas manus hodie reduxit. Quod ſi tantum in vobis ſtudium excitavit, dum adhuc in expectatione eſt, quantam in vobis pietatem efficiet, ubi advenerit & præſens adfuerit? Si huic voci Adamus obedivisset, non illam ſecundam audiviſſet dicentem, Terra es & in terram reverteris. Sed quoniam huic obſequi noluit, hinc mors, triſtitia, ſolicitudines, vitáque omni morte gravior exiſtit. Et quemadmodum per injuriam contempta, mortem contemptori attulit: ita viciſſim cum honore excepta, pro morte vitam revocavit. Magnam enim illam & admirandam Ninivitarum urbem, quæ humi proſtrata, & inclinato ad barathrum capite jacebat, & jam jam deſuper imminentem acceptura erat plagam, veluti cœlitus adveniens quædam virtus, ex ipſis tortoris manibus eripuit, vitæque reſtituit. Videamus itaq. quomodo Ninivitæ jejunaverint, & qua ratione à divina ira liberati ſint. Homines, inquit, & jumenta, oves & boves ne paſcantur. Quid quæſo dicis? Etiam bruta animantia jejunant, & equi & muli ſacco induuntur? Planè, inquit. Quemadmodum enim divite aliquo homine mortuo, non famulos duntaxat & famulas, ſed equos etiam ſacco indutos cognati ad ſepulchrum ſequi jubent; quò videlicet calamitatis magnitudinem indicent, & ad commiſerationem omnes permoveant: eadem ratione, cùm urbs illa interitura eſſet, animalia rationis expertia ſacco conſpeciunt, & mediæ jugo gravant. Brutæ, inquit, animantes ratione cognoſcere iram Dei nequeunt, per famem igitur eam diſcant: Ad quas enim punitionis aliqua pars perventura eſt, eaſdem jejunii quoque participes fieri oportet. Quòd ſi forte aliqui ex hoc cœtu, corporis imbecillitate prohibeantur, quominus jejuni maneant; illos ego moneo, ut & infirmitati corporis ſolatium quærant, & diſciplina hac ſpirituali ſeipſos non privent, ſed tanto majus ſtudium & ſolicitudinem oſtendant. Ea enim de cauſa à cibis Deus abſtinere jubet, ut videlicet carnis laſciviam refrenantes, ad mandatorum Dei perfectam obſervationem domitam ipſam reddamus. Si verò nullum ex jejunio ſ adjumentum nobis ipſis allaturi ſimus, ob corporis imbecillitatem; ac inſuper majorem ſocordiam oſtenſuri, maximis utique detrimentis afficiemur. Nam cùm nihil nobis proſit jejunium, ſi interim facienda omittamus, multo magis damnum patiemur, ſi jejunii remedio non valentes uti, ſegniores nos ad implenda mandata Dei exhibeamus. Ac ſi illi, qui ſecularia tractant negotia, nunquam munus aliquod capeſſunt, niſi provenienſ ex eo lucrum proſpexerint: multò magis conveniens eſt, & nos id ipſum factitemus: nec jejunii hebdomadas leviter prætereamus, ſed ſuam quiſque conſcientiam perſcrutetur, & rationem examinemus, videamúſque, quid hac quidem hebdomade emendatum ſit, & quid illa, quid augmenti in inſequentem conceperimus, & quantum in noſtris affectibus correxerimus. Niſi enim res hoc modo noſtras inſtituerimus, & tantam propriarum animarum curam egerimus, nihil prorſus emolumenti ex jejunio atque abſtinentia, quam ſuſtinemus conſequemur. Quamobrem ſi ob corporis debilitatem jejunus totam diem permanere nequeas, nemo verè prudens te ob id accuſare poterit. Mitem enim ac benignum habemus Dominum, & qui nihil, quod vires noſtras ſuperet, à nobis requirit. Neque enim ſimpliciter ciborum abſtinentiam ac jejunium à nobis exigit fieri, neque ob id, ut impaſti maneamus ſolùm: ſed ut nosipſos à mundanis negotiis avertentes, omne otium ſpiritualibus rebus impendamus. Quòd ſi ſobrio animo vitam noſtram peregeremus, atq; erga res ſpirituales omnem ſolicitudinem oſtenderemus; ad cibum quoq; capiendum non niſi ut ſatisfaceremus neceſſitati, accederemus, & in bonis operibus omnem vitam conſumeremus, non magnopere jejunii adjumento nobis opus foret. Sed quoniam mollis atque ignava eſt humana natura, & voluptati ac diſſolutioni potius dedita; idcirco veluti amantiſſimus quidam parens, jejunii remedium

Ex hom. in Proph. Ionam, & Daniel. & 3. pueros.

Ex hom. in ſtat.

Ex Hexaem.

Ex hom. in Proph. Ionam. & Daniel & 3. pueros.

Περὶ νηστείας καὶ σωφροσύνης. Λόγος δ'.

ΒΟΥΛΕΙ μαθεῖν ὅσος κόσμος ἀνθρώποις ἡ νηστεία; ὅση ἀσφάλεια καὶ φυλακή; ἐννόησόν μοι τὸ μακάριον καὶ θαυμαστὸν γένος τῶν μοναζόντων. οὗτοι γὰρ τοὺς ἐν μέσῳ θορύβους φυγόντες, καὶ πρὸς τὰς κορυφὰς τῶν ὀρέων ἀναδραμόντες, καὶ τὰς καλύβας ἐν τῇ τῆς ἐρημίας ἡσυχίᾳ, καθάπερ ἐν εὐδιεινῷ τινι λιμένι πηξάμενοι, ταύτην συνέμπορον καὶ συγκοινωνὸν τοῦ βίου παντὸς ἔλαβον. διὰ τοῦτο ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων ἐποίησεν· οὐκ ἐκείνους δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς πόλεσιν ὅσους ἂν εὕρῃ προσιεμένους αὐτήν, πρὸς τὸ αὐτὸ τῆς φιλοσοφίας ὕψος ἀνάγει. ἐκείνη καὶ νῦν ἡμᾶς πρὸς τὸν πατέρων συνήγαγεν οἶκον· ἐκείνη καὶ τοὺς πρὸ τούτου ῥαθυμοτέρους, σήμερον πρὸς τὰς μητρικὰς ἐπανήγαγε χεῖρας. εἰ δὲ προσδοκωμένη μόνον τοσαύτην ὑμῶν ἐκίνησε τὴν σπουδήν, φανεῖσα καὶ παραγενομένη πόσην ὑμῖν ἐργάσεται τὴν εὐλάβειαν; εἰ ταύτης ἤκουσε τῆς φωνῆς ὁ Ἀδάμ, οὐκ ἂν ἤκουσε τῆς δευτέρας τῆς λεγούσης, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἀλλ' ἐπειδὴ ταύτης παρήκουσε, διὰ τοῦτο θάνατος, καὶ ἀθυμία, καὶ φροντίδες, καὶ ζωὴ θανάτου παντὸς χαλεπωτέρα. καὶ ὥσπερ ὑβρισθεῖσα θάνατον ἐπήγαγε τῷ ὑβρίσαντι, οὕτω πάλιν τιμηθεῖσα, θάνατον ἀνεκαλέσατο. τὴν γὰρ τῶν Νινευιτῶν πόλιν τὴν μεγάλην καὶ θαυμαστὴν ἐπὶ γόνυ κειμένην, παρ' αὐτὸ τὸ βάραθρον τὴν κεφαλὴν κλίνασαν, καὶ μέλλουσαν τὴν ἄνωθεν φερομένην δέχεσθαι πληγήν, καθάπερ τις ἄνωθεν ἐπιστᾶσα δύναμις, ἐξ αὐτῶν ἥρπασε τῶν τοῦ δημίου χειρῶν, καὶ πρὸς τὴν ζωὴν ἐπανήγαγεν. ἴδωμεν τοίνυν πῶς ἐνήστευσαν οἱ Νινευῖται, καὶ πῶς τῆς ὀργῆς ἀπηλλάγησαν ἐκείνης. οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ τὰ πρόβατα, καὶ οἱ βόες μὴ νεμέτωσαν φησί. τί λέγεις, εἰπέ μοι; καὶ τὰ ἄλογα νηστεύει, καὶ ἵπποι καὶ ἡμίονοι σάκκον περιβάλλονται; ναί φησι· καθάπερ γὰρ εὐπόρου τινὸς τελευτήσαντος, οὐκ οἰκέτας μόνον, οὐδὲ θεραπαινίδας, ἀλλὰ καὶ ἵππους οἱ προσήκοντες σάκκον περιβαλόντες, ἀκολουθεῖν ἐπὶ τὸ μνῆμα κελεύουσι, τὸ μέγεθος τῆς συμφορᾶς ἐπιδεικνύμενοι, καὶ πρὸς ἔλεον ἅπαντας διασπώμενοι, οὕτω δὴ καὶ τῆς πόλεως ἐκείνης ἀπόλλυσθαι μελλούσης, καὶ τὴν ἄλογον φύσιν σάκκον περιέβαλον, καὶ ζυγὰ νηστείας. οὐκ ἔστι τὰ ἄλογα λόγῳ μαθεῖν, φησί, τὴν τοῦ θεοῦ ὀργήν· μανθανέτωσαν διὰ τοῦ λιμοῦ· καὶ γὰρ τὰ μέλλοντα κοινωνεῖν τῆς κολάσεως, κοινωνείτω καὶ τῆς νηστείας. εἰ δέ τινες τῶν ἐνταῦθα συνιόντων ὑπὸ ἀσθενείας σωματικῆς κωλυόμενοι, οὐ δύνανται ἄσιτοι διαμένειν· τούτοις παραινῶ, καὶ τὴν ἀσθένειαν τὴν σωματικὴν παραμυθεῖσθαι, καὶ τῆς διδασκαλίας ταύτης τῆς πνευματικῆς μὴ ἀποστερεῖν ἑαυτούς, ἀλλὰ ταύτῃ μᾶλλον πλείονα τὴν σπουδὴν ἐπιδείκνυσθαι. διὰ γὰρ τοῦτο τὴν ἀποχὴν τῶν βρωμάτων κελεύει γίνεσθαι ὁ Θεός, ἵνα χαλινοῦντες τὰ σκιρτήματα τῆς σαρκός, εὐήνιον αὐτὴν ἀπεργαζόμεθα, πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. εἰ δὲ μέλλοιμεν μηδὲν τὴν ἀπὸ τῆς νηστείας βοήθειαν ἑαυτοῖς προσάγειν, διὰ τὴν τοῦ σώματος ἀσθένειαν, καὶ πλείονα τὴν ῥᾳθυμίαν ἐπιδείκνυσθαι, τὰ μέγιστα ζημιούμεθα. εἰ γὰρ μετὰ νηστείας τῶν κατορθωμάτων ἐλλείποντες οὐδὲν ἡμᾶς ὀνίνησι, πολλῷ μᾶλλον εἰ μηδὲ τῷ φαρμάκῳ τῆς νηστείας χρήσασθαι δυνάμενοι πλείονα τὴν ῥᾳθυμίαν ἐπιδειξόμεθα πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. εἰ γὰρ οἱ τῶν βιωτικῶν μετέχοντες πραγμάτων, οὐκ ἄν ποτε ἀνάσχοιντο ἐπιτηδεύματος ἅψασθαι, μὴ πρότερον τὸ ἐκεῖθεν κέρδος περισκοπήσαντες, πολλῷ μᾶλλον ἡμᾶς δίκαιον τοῦτο ποιεῖν· καὶ μὴ ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν παρατρέχειν, ἀλλ' ἀνερευνᾶσθαι τὴν ἑαυτοῦ συνείδησιν, καὶ τὸν λογισμὸν βασανίζειν, καὶ σκοπεῖν, τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθωσάμεθα. εἰ γὰρ μὴ μέλλοιμεν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν, καὶ τοσαύτην ἐπιμέλειαν ποιεῖσθαι τῆς ἑαυτῶν ψυχῆς, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῆς νηστείας καὶ τῆς ἀσιτίας, ἧς ὑπομένομεν. εἰ τοίνυν δι' ἀσθένειαν σωματικὴν οὐ δύνασαι ἄσιτος παρατείνειν τὴν ἡμέραν, οὐδεὶς εὖ φρονῶν ὑπὲρ τούτου σε ἐγκαλέσαι δυνήσεται. δεσπότην γὰρ ἔχομεν ἥμερον καὶ φιλάνθρωπον, καὶ οὐδὲν τῶν ὑπὲρ δύναμιν παρ' ἡμῶν ἐπιζητοῦντα. οὐδὲ γὰρ τὴν ἀποχὴν τῶν βρωμάτων καὶ τὴν νηστείαν ἁπλῶς ἀπαιτεῖ παρ' ἡμῶν γίνεσθαι, οὐδὲ διὰ τοῦτο, ἵνα ἄσιτοι διαμείνωμεν μόνον, ἀλλ' ἵνα ἀφιστῶντες ἑαυτοὺς ἀπὸ τῶν βιωτικῶν πραγμάτων, πᾶσαν τὴν σχολὴν ἐν τοῖς πνευματικοῖς ἀναλίσκωμεν. ὡς εἰ μετὰ νηφούσης διανοίας τὸν ἑαυτῶν βίον ᾠκονομοῦμεν, καὶ περὶ τὰ πνευματικὰ πᾶσαν τὴν σπουδὴν ἐπεδεικνύμεθα, καὶ τῇ τροφῇ οὕτω προσῄειμεν, ὡς τὴν χρείαν μόνον πληροῦν, καὶ ἐν ταῖς ἀγαθαῖς πράξεσιν ἅπαντα τὸν βίον καταναλίσκειν, οὐδὲ χρεία ἦν ἡμῖν τῆς βοηθείας τῆς ἀπὸ τῆς νηστείας. ἀλλ' ἐπειδὴ ῥᾳθυμίας ἐστὶν ἡ φύσις ἡ ἀνθρωπίνη, καὶ τῇ τρυφῇ καὶ τῇ ἀνέσει μᾶλλον ἑαυτὴν ἐπιδίδωσι, διὰ τοῦτο καθάπερ πατὴρ φιλόστοργος, τὴν ἀπὸ τῆς νηστείας ἡμῖν ἰατρείαν ἐπενόησεν ὁ

φιλάν-

φιλάνθρωπος δεσπότης, ἵνα καὶ τὰ τῆς τρυφῆς ἡμῶν ἐκκόπτηται, καὶ τὴν περὶ τὰ βιωτικὰ φροντίδα μεταγάγωμεν ἐπὶ τὴν τῶν πνευματικῶν ἐργασίαν. ἀλλ' εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ καθάπερ θηρία τὴν νηστείαν πυκτεύειν μέλλοντες, οὕτω τῇ γαστριμαργίᾳ καθοπλίζονται, καὶ διαρρήξαντες ἑαυτοὺς καὶ σκοτώσαντες, μετὰ πολλῆς τῆς ἀφροσύνης ὑποδέχονται τὸ γαληνὸν καὶ ἥμερον τῆς νηστείας ὄμμα. καὶ ἐὰν ἐρωτήσω, τίνος ἕνεκεν εἰς βαλανεῖον τρέχεις σήμερον, λέγεις, ἵνα καθαρῷ τῷ σώματι τὴν νηστείαν ὑποδέξωμαι· ἐὰν δὲ ἐρωτήσω, τίνος ἕνεκεν μεθύεις, πάλιν ἐρεῖς, ἐπειδὴ τῇ νηστείᾳ εἰσιέναι μέλλω. πῶς οὖν οὐκ ἄτοπον, σώματι μὲν καθαρῷ, ψυχῇ δὲ ἀκαθάρτῳ καὶ μεθυούσῃ τὴν καλλίστην νηστείαν ταύτην ὑποδέχεσθαι; τοσοῦτον τοίνυν ἑαυτοὺς ἐθίσωμεν ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι. οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν, ἀλλὰ διὰ τοῦτο ἐσθίομεν, ἵνα ζῶμεν. οὐ γὰρ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. πρὸς χρείαν, ἀδελφοί, οὐ πρὸς ἡδονὴν ἡ ζωὴ συμμεμέτρηται. τὸ οὖν περιττὸν τῆς φύσεως ἀποθέμενοι, τὸ ἀναγκαῖον μόνον ἀσπασώμεθα. τί γὰρ τῆς τραπέζης ἐκείνης ἁγιώτερον γένοιτ' ἄν, ἔνθα μέθη μὲν καὶ ἀδηφαγία, καὶ πᾶσα ἀσωτία ἀπελήλαται, θαυμαστὴ δέ τις ἀντεισῆκται περὶ τὴν φυλακὴν τῶν θείων νόμων ἅμιλλα; καὶ παρατηρεῖ μὲν ἀνὴρ τὴν γυναῖκα, καὶ ὅπως εἰς τὰ τῆς ἐπιορκίας μηδέποτε ἐμπέσῃ βάραθρα· φυλάττει δὲ γυνὴ τὸν ἄνδρα, καὶ καταδίκη τῷ παραβαίνοντι κεῖται μεγίστη. οὐκ ἐπαισχύνεται δὲ οὐδὲ ὑπὸ τῶν δούλων ὁ δεσπότης ἐλέγχεσθαι, οὐδὲ τοὺς οἰκέτας αὐτοῦ ἐπὶ τούτοις διορθοῦν; οὐκ ἄν τις ἁμάρτοι τὴν τοιαύτην οἰκίαν ἐκκλησίαν προσειπών. ὅπου γὰρ σωφροσύνη τοσαύτη, ὡς ἐν καιρῷ μεριμνᾶν ὑπὲρ τῶν θείων νόμων, καὶ τοὺς παρόντας ἅπαντας ὑπὲρ τούτου πρὸς ἀλλήλους ἀγωνίζεσθαι καὶ φιλονεικεῖν, εὔδηλον ὅτι δαιμόνων μὲν ἅπασα πονηρὰ δύναμις ἀπελήλαται, ὁ Χριστὸς δὲ πάρεστι ἐπὶ τῇ καλῇ τῶν δούλων φιλονεικίᾳ. ἀλλὰ πολλὴ μὲν ἡ ἡδονὴ τῇ κακίᾳ, φησί, πολὺς δὲ τῇ ἀρετῇ συνέζευκται ὁ πόνος καὶ ὁ ἱδρώς. καὶ ποία σοι χάρις ἦν, τίνος δ' ἂν ἔλαβες μισθόν, εἰ μὴ ἐπίπονον τὸ πρᾶγμα ἦν; καὶ γὰρ πολλοὺς ἔχω δεῖξαι φύσει τὸ μίγνυσθαι γυναιξὶ μισοῦντας. τούτους οὖν σώφρονας καλέσομεν ἢ στεφανώσομεν; οὐδαμῶς. σωφροσύνη γάρ ἐστιν ἐγκράτεια, καὶ τὸ μαχομένων περιεῖναι τῶν ἡδονῶν. πολλάκις γὰρ ἡμῶν τὴν διάνοιαν κύματα καταλαμβάνει παθῶν, τῶν θαλαττίων ἀγριώτερα, καὶ πολλὴν αὐτῇ ἐμποιοῦντα τὴν σύγχυσιν. ἀλλ' ὁ μὲν ῥᾴθυμος καὶ κατημελημένος, ἀρχομένου τοῦ χειμῶνος, εὐθέως θορυβεῖται, ταράττεται, κλονεῖται, περιφερῆ γινομένην ὑποβρύχιον τὴν ψυχὴν ὑπὸ τῶν παθῶν, καὶ ναυάγιον ὑπομένουσαν. ὁ δὲ καρτερὸς καὶ γενναῖος, καθάπερ κυβερνήτην ἐπὶ τῶν οἰάκων, οὕτω τὸν λογισμὸν ἐπάνω τῶν παθῶν καθίσας, οὐ πρότερον ἀφίσταται πάντα ποιῶν, ἕως ἂν κατευθύνῃ τὸ σκάφος πρὸς τὸν εὔδιον τῆς φιλοσοφίας λιμένα. μὴ δὴ καταμαλάττωμεν ἡμῶν τὴν ἰσχύν, μηδὲ ἐκκόπτωμεν τὰ νεῦρα ὑπὸ τῆς τῶν γυναικῶν ὁμιλίας· καὶ γὰρ ἄφατος καὶ πολλὴ ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. τί γὰρ εἰ καὶ μὴ αἰσθανόμεθα τῇ φιλίᾳ μεθύοντες; τοῦτο γὰρ αὐτὸ πάντων ἐστὶ δεινότατον, ὅτι οὐδὲ ἴσμεν ὅπως ἐκνευριζόμεθα, καὶ κηροῦ παντὸς γινόμεθα μαλακώτεροι. καθάπερ γάρ τις λέοντα γαῦρον καὶ βλοσυρὸν λαβών, εἶτα ἀποκείρας μὲν τὴν κόμην, ἀνελὼν δὲ τοὺς ὀδόντας, καὶ περιελὼν τοὺς ὄνυχας, αἰσχρὸν ποιεῖ καταγέλαστον, καὶ παιδίοις εὐκαταγώνιστον, τὸν φοβερὸν καὶ ἀφόρητον καὶ ἀπὸ μόνου τοῦ βρυχήματος πάντα σείοντα· οὕτω δὴ καὶ αὗται πάντας ὅσους ἂν λάβωσιν, εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι, μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀκροχόλους, θρασεῖς, ἀκαίρους, ἀγεννεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμούς, φλυάρους, καὶ ἁπλῶς πάντα τὰ γυναικεῖα πάθη τὰ διεφθαρμένα φέρουσαι εἰς τὴν τούτων ἐναπομάττονται ψυχήν. ἀμήχανον οὖν τὸν γυναιξὶ συνοικοῦντα μετὰ συμπαθείας τοσαύτης καὶ τὴν * ἐκείνων ἐντριβόμενον ὁμιλίαν, μὴ ἀγύρτην τινὰ εἶναι καὶ ἀγοραῖον καὶ συρφετώδη· κἂν γὰρ φθέγγηταί τι, πάντα ἀπὸ τῶν ἱστῶν καὶ τῶν ἐρίων φθέγξεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων. κἂν ποιῇ τι, μετὰ πολλῆς τοῦτο ἐργάζεται δουλοπρεπείας, πόρρω τῆς Χριστιανοῖς πρεπούσης ἐλευθερίας ἑαυτὸν ἀποικίσας, καὶ πρὸς οὐδὲν τῶν μεγάλων κατορθωμάτων γινόμενος χρήσιμος. εἰ τοίνυν βούλει δεῖξαι σαφῶς ἡμῖν ὅτι οὐ χαίρεις αἰσχρὰ φθεγγόμενος, μηδὲ ἀκούων ἀνέχου. πῶς δέ ποτε δυνήσῃ τοὺς ὑπὲρ τῆς σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν, κατὰ μικρὸν ὑπορρέων ὑπὸ τοῦ γέλωτος καὶ τῶν αἰσχρῶν τούτων ῥημάτων; οὐ γὰρ ἀγαπητόν, ἁπάντων τούτων καθαρεύουσαν ψυχήν, δυνηθῆναι γενέσθαι σεμνὴν καὶ σώφρονα. καὶ μή μοι λεγέτω τις, ὅτι οὐ δύναμαι σωθῆναι, ἐὰν μὴ ἀποτάξωμαι γυναικί, ἐὰν μὴ ἀποτάξωμαι παιδίοις, ἐὰν μὴ ἀποτάξωμαι πραγ-

A benignus Dominus nobis excogitavit, quo videlicet & voluptatum illecebræ in nobis exciderentur, & curam, quam pro rebus ſecularibus gerimus, ad ſpiritualium operum exercitationem transferremus. Sed inveniuntur multi homines, qui contra jejunium ceu beſtias pugnaturi, ita helluatione ſeſe armant; ac ſeipſos diſcerpentes, ſibique caliginem offundentes magna cum dementia jejunii placido ac ſereno aſpectui occurrunt. Ac ſi quidem interrogavero, quam ob cauſam hodie ad balneum curris? B reſpondes, ut mundo corpore jejunium ſuſcipiam. Et ſi rurſus quæſiero, quare te inebrias? iterum reſpondes: quoniam jejunium jam ingreſſurus ſum. Quomodo verò non abſurdum eſt, puro quidem corpore, impuro autem ac temulento animo pulcherrimum ac honeſtiſſimum jejunium excipere? Aſſuefaciamus igitur nos tantum comedere, quantum ad vitæ conſervationem neceſſarium eſt; non autem eſcis diſtendamur & gravemur. Nec enim ideò facti ſumus aut vivimus, ut comedamus & C bibamus, ſed ut vivere poſſimus, manducamus. Non enim vita propter alimentum, ſed alimentum propter vitam à principio factum eſt: ad neceſſitatem, fratres, non ad voluptatem vitæ ſumptus comparatus eſt. Abjecto igitur eo, quod naturæ ſuperfluum eſt, neceſſarium duntaxat amplectamur. Quid enim menſa illa ſanctius eſſe poſſit, ubi temulentia quidem & edacitas, omniſque luxuria ſubmota exulat, & loco illius admiranda quædam de divinorum mandatorum cuſtodia contentio intro- D ducta eſt? & vir quidem uxorem obſervat, ne in perjurii barathrum incidat; cuſtodit autem virum uxor, & mulcta graviſſima tranſgreſſori conſtituitur: ubi præterea nec herum à famulis reprehendi pudet? nec dominum domeſticos corrigere piget? Ejuſmodi domum ſi quis Eccleſiam diceret, nihil à vero aberraret. Ubi enim tanta ſobrietas viget, ut pro divinis legibus in tempore ſolliciti ſint, atque omnes præſentes de hoc inter ſe certent & contendant; ibi omnem diaboli malignam poteſtatem propul- E ſatam, Chriſtum verò in tam præclara ſuorum ſervorum contentione præſentem adeſſe, manifeſtum eſt. Sed magna, inquit, peccato conjuncta eſt voluptas; virtuti autem labor & ſudor non exiguus. Et quæ tibi, quæſo, gratia habebitur, aut unde mercedem accipies, ſi res cum labore conjuncta non fuerit? Etenim non paucos oſtendere poſſum, qui fœminis commiſceri naturaliter horrent. hos igitur caſtos appellabimus, aut coronis dignos cenſebimus? Neutiquam. Caſtitas enim continentia quædam A eſt, & eùm impugnantes voluptates ſuperamus. Sæpe enim perturbationum fluctus, marinis æſtibus immaniores, mentem noſtram obruunt, atque ingentem ei inferunt confuſionem. Sed qui ignavus eſt & negligens, continuò ingruente tempeſtate tumultuatur, conſternatur, turbatur, ſubverſam ab affectionibus animam & naufragium patientem circumſpectat: fortis autem & animoſus tanquam rectore navis in gubernaculis, ita ratione ſupra affectionẽ conſtituta, non antè omnia tentare deſiſtit, quàm B naviculam ad tranquillum Philoſophiæ portum direxerit. Nec porrò fœminarum converſationibus robur noſtrum molliri, nervóſque infringi patiamur: grandis enim ex ea te, & ineffabilis in noſtros animos irrepit malitia. Et quid quòd amore ebrii eam non animadvertamus? Etenim vel hoc ipſum omnium eſt graviſſimum, quòd ne quidem intelligamus, nos adeò enervari & cera ipſa molliores evadere. Quemadmodum enim aliquis leonem ſuperbum & terribilem comprehenſum, villis ipſius detonſis, C dentibus evulſis, & unguibus reſciſſis, turpem & deridiculum reddit, & pueris ſuperatu facilem, qui antè formidabilis atque intolerabilis erat, ſoloque rugitu omnia concutiebat; eadem ratione etiam fœminæ, quoſcunque ceperint, diabolo obſequentes & captu faciles reddunt; molliores, magis præcipites, impudentes, veſanos, iracundos, temerarios, importunos, ignavos, crudeles, ſervili ingenio, illiberales, improbos, garrulos: &, ut ſummatim dicam, quoslibet muliebres & pravos affectus ipſo- D rum mentibus imprimunt. Fieri igitur non poteſt, ejuſmodi cum tanta affectionum ſimilitudine fœminis cohabitantem, & in earum converſatione viventem, non circulatorem aliquem aut futilem hominem eſſe. Si enim locutus aliquid fuerit, totum de tela & lana erit, lingua jam ſimili muliebrium ſermonum colore infecta: Si verò quid agat, planè ſervili modo id facit, longè à Chriſtiana libertate ſeipſum abducens, atque ad res magnas gerendas factus inutilis. Si igitur planum nobis facere velis, quòd ſcur- E rilia loqui minimè gaudeas; eadem audire etiam ne ſuſtineas. Jam verò quando tandem labores pro continentia ferre poteris, ſi riſu verbiſque obſcœnis paulatim diffluas? Bene enim nobiſcum agi putandum eſt, ſi pura ab omnibus iſtis anima, religioſa ſit & caſta. Nec mihi quiſquam dicat: Salvari non poſſum, niſi dimittam uxorem, niſi dimittam liberos, niſi dimittam occupa-

Ex hom. in Divitem & Lazarum.

Ex hom. in illud, Simile eſt regnum cœlorum homini patrifamilias, qui volebat ponere rationem cum ſervis ſuis.

Ex com. Evang. ſecundum Ioan.

Ex ſerm. quam ſit utile, prophetias de Chriſto & gentibus, & Iudæorum ruina obſcuras eſſe.

Ex com. in Evang. ſecundum Ioh. Matt.

pona. ciscinur.

Ex hom. in Oziam.

tiones. Nunquid enim conjugium tibi impedimentu eſt? Adjutrix tibi data eſt mulier. Nunquid enim matrimonium inimicum aut malum? At potiùs malum quoddam eſt fornicatio. Ego meo periculo ſpondeo tibi ſalutem. Quòd ſi improba ſit uxor, ne hoc in excuſationem adducas: ſiquidem & ipſius Job uxor maligna erat & perverſa, eique ut Deum blaſphemaret, ſuadebat. Quid igitur? num turrim illam concuſſit? num adamantem illum ſubegit? petrámne illam ſuperavit? Nequaquam; ſed illa quidem incurrit, turris autem firmior facta eſt: fructus quidem decerptus eſt, ſed arbor non concuſſa: folia deciderunt, & radix immota permanſit. Quemadmodum ergo rector navis, qui in portu naufragium faceret, nullam veniam conſequeretur: ita etiam homo qui ex conjugio cautelam obtinuit, ſi aliena violet matrimonia, aut aliam quamlibet fœminam curioſè aſpiciat, neque apud homines, neque apud Deum ullam habere poterit veniam, etiamſi millies naturæ cupiditatem prætendat. Quæ enim ex ejuſmodi libidine voluptas oriri poſſit, ſi timor adſit, ſi ſolicitudo & periculum, ſi carcerum & ſuppliciorum metus, ſi judicis ira & gladius, & tortor & infernus & exilium cogitetur? Enimvero homo talis etiam umbras & parietes, ipſóſque lapides tanquam vocem emittentes ita ſuſpectos habet & veretur; omnia inquam timet & formidat, tantorúmque malorum expectatione in animo mordetur. Non igitur impedimentum eſt conjugium, ſed cuſtodia potiùs eſt continentiæ. Ejuſmodi enim res eſt virginitas, tantóque opus habet labore, ut cum è cœlo Chriſtus ex hominibus Angelos facturus veniſſet, ut hic ſupernam civitatem plantaret, ne tunc quidem eam præcipere ſit auſus, aut inter leges referre: ſed mortem quidem (qua quid gravius eſſet poſſit?) pro ſe oppetere, crucem quoque continuè ferre, & inimicis bene facere juſſit: Virginitatem ſervare nequaquam lege ſancivit, ſed in auditorum libera voluntate manere reliquit, dicens: Qui poteſt capere, capiat. Enimverò magna hujus rei eſt dignitas, & admodum occultus iſte virtutis ager. Atque hoc etiam illi manifeſtum faciunt, qui in veteri teſtamento multa alioqui præclara geſſerunt. Magnus enim ille Moyſes caput illud Prophetarum, familiaris Deo amicus, qui tanta uſus eſt dicendi libertate, ut ſexaginta hominum millia, qui culpabiles erant, punitioni & divinitus immiſſæ plagæ ſubtraheret; ille talis tantúſque vir, mari quidem præcepit, & pelagus diviſit, & ſaxa dirupit & aërem mutavit; qui Nili aquas in ſanguinem convertit, & omnem creaturam transformavit, aliáque decem millia admiranda, & multa virtutis opera monſtravit: ad hæc vero certamina ne oculos quidem intendere potuit, ſed conjugii ejúſque præſidio opus habuit: nec auſus eſt in virginitatis pelagus ſeſe dare, ejuſdem fluctus veritus. Et patriarcha, ille filii ſacerdos crudeliſſimum illum in naturam affectum ſuperare valuit, filiúmq; occidere potuit, & puerum Iſaac in ipſo ætatis flore, in ipſo adoleſcentiæ vigore, unigenitum, & præter omnem expectationem ſibi datum, eúmque in montem educere potuit, gladium arripuit, & per jugulum adegit, adegit & cruentavit: ſed tamen qui tale & tantum facinus perficere potuit, ut naturæ excederet limites, ad virginitatis certamina ſe accingere non eſt auſus; ſed & ipſe iſthæc certamina timuit, & connubii ſolamen amplexus eſt. Job etiam vir juſtus, qui diaboli faciem contudit, qui dum feritur, non ferit: qui omnia tentationum genera ſuſtinuit, & harum ſingula cum quadam exuperantia, (quæcunque enim acerba eſſe videntur & ſunt, ea omnia in unum ipſius corpus effuſa, atque in ejuſdem animam inſperſa ſunt) ille igitur cùm talis & tantus vir eſſet, qui tot naturæ tormenta proculcavit, ille idem inquam non eſt auſus in hanc pugnam ſeſe dimittere: ſed & conjuge uſus eſt, & tot liberorum factus parens. Nequaquam enim cœlibatum lege juſſit Deus: Quem decet gloria & honor, & adoratio, nunc & ſemper, & in ſecula ſeculorum, Amen.

Ex hom. in Oziam.

Ex ep. 2. ad Olymp.

Ex hom. in eos qui non rectè utuntur dicto Apoſtolico, agente, ſive per occaſionem, ſive per veritatem Chriſtus annuntie.

γμασι· μὴ γὰρ κώλυμα ὁ γάμος; βοηθός σοι δέδοται ἡ γυνή· μὴ γὰρ ἐπίβουλος; οὐχὶ φαῦλος ὁ γάμος· ἀλλὰ κακὸν ἡ πορνεία. ἐγὼ τῷ ἐμῷ κινδύνῳ ἐγγυῶμαί σοι τὴν σωτηρίαν. εἰ δὲ φαύλη ἐστὶ, μὴ προφασίζου· καὶ γὰρ ἡ γυνὴ τοῦ Ἰὼβ πονηρὰ ἦν καὶ φαύλη, καὶ βλασφημεῖν αὐτῷ συνεβούλευε. τί οὖν; ἔσεισε τὸν πύργον; κατέβαλε τὸν ἀδάμαντα; περιεγένετο τῆς πέτρας; οὐδαμῶς· ἀλλ' ἐκείνη προσέκρουσε, καὶ ὁ πύργος ἀσφαλέστερος ἐγένετο· ὁ καρπὸς ἐτρυγήθη, καὶ τὸ δένδρον οὐκ ἐσαλεύθη· τὰ φύλλα ἔπεσε, καὶ ἡ ῥίζα ἔμεινεν ἀσάλευτος. ὥσπερ οὖν κυβερνήτης ἐν λιμένι ναυάγιον ἐργαζόμενος οὐκ ἂν τύχοι συγγνώμης τινὸς, οὕτως οὐδὲ ἄνθρωπος μετὰ τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ γάμου τοὺς ἑτέρων διορύττων γάμους, ἢ γυναῖκα ἥντινα οὖν περιέργως ὁρῶν, οὐκ ἂν τύχοι τινὸς ἀπολογίας, οὔτε παρὰ ἀνθρώποις, οὔτε παρὰ Θεῷ, κἂν μυριάκις τὴν τῆς φύσεως ἐπιθυμίαν προβάλληται. ποία γὰρ ἐκ τῆς τοιαύτης ἐπιθυμίας γένοιτ' ἂν ἡδονὴ, ὅταν φόβος παρῇ, καὶ ἀγωνία, καὶ κίνδυνος, καὶ δεσμωτηρίων φόβος, καὶ εὐθυνῶν, καὶ δικαστοῦ θυμὸς λογίζηται, καὶ ξίφος, καὶ δήμιος, καὶ βάραθρον, καὶ ἀπαγωγή. ὁ γὰρ τοιοῦτος καὶ τὰς σκιὰς, καὶ τοὺς τοίχους, καὶ αὐτοὺς τοὺς λίθους καθάπερ φωνὴν ἀφιέντας οὕτως ὑφορᾶται καὶ ὑποπτεύει, καὶ πάντα τρέμει καὶ δέδοικε, καὶ τῇ προσδοκίᾳ τῶν τοσούτων δεινῶν, τὴν ψυχὴν κατασπαράττεται. ὥστε οὐχὶ κώλυμα ὁ γάμος, ἀλλ' ἀσφάλεια μᾶλλον τῆς σωφροσύνης ἐστί. τοιοῦτον γάρ ἐστιν ἡ παρθενία πρᾶγμα, καὶ τοσούτου δεῖται πόνου, ὡς κατελθὼν ἐξ οὐρανοῦ ὁ Χριστὸς ἵνα τοὺς ἀνθρώπους ἀγγέλους ποιήσῃ, καὶ τὴν ἄνω πολιτείαν ἐνταῦθα καταφυτεύσῃ, οὐδὲ τότε ἐθάρρησεν ἐπιτάξαι τοῦτο, οὐδὲ εἰς νόμου τάξιν ἀγαγεῖν· ἀλλ' ἀποθνήσκειν μὲν δι' αὐτὸν ἐνομοθέτησεν, οὗ τί βαρύτερον γένοιτ' ἄν; καὶ σταυροῦσθαι διηνεκῶς, καὶ τοὺς ἐχθροὺς εὐεργετεῖν· παρθενεύειν δὲ οὐκ ἐνομοθέτησεν, ἀλλ' ἀφῆκεν ἐν τῇ τῶν ἀκουόντων κεῖσθαι προαιρέσει· εἰπὼν, ὁ δυνάμενος χωρεῖν, χωρείτω. καὶ γὰρ μέγας ὁ ὄγκος τοῦ πράγματος, καὶ σφόδρα ἀποκεκρυμμένον τοῦτο τῆς ἀρετῆς τὸ χωρίον. καὶ τοῦτο δηλοῦσι καὶ οἱ ἐν τῇ παλαιᾷ πολλὰ κατορθώσαντες. καὶ γὰρ Μωσῆς ἐκεῖνος ὁ μέγας τῶν προφητῶν ὁ κεφάλαιος, ὁ γνήσιος τοῦ Θεοῦ φίλος, ὁ τοσαύτης ἀπολαύσας παῤῥησίας, ὡς ἑξακοσίας χιλιάδας γενομένας ὑπευθύνους κολάσει ἐξαρπάσαι θεηλάτου πληγῆς, ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνὴρ, θαλάττῃ μὲν ἐπέταξε, καὶ πέλαγος ἔσχισε, καὶ πέτρας διέῤῥηξε, καὶ ἀέρα μετέβαλε, καὶ τὸ Νειλῷον ὕδωρ εἰς αἷμα μετέστησε, καὶ πᾶσαν τὴν κτίσιν μετεστοιχείωσε, καὶ μυρία ἕτερα ἐπεδείξατο θαύματα, καὶ ἀρετῆς πολλὰ κατορθώματα· πρὸς δὲ τοὺς ἀγῶνας τούτους, οὐδὲ ἀναβλέψαι ἴσχυσεν, ἀλλ' ἐδεήθη γάμου, καὶ τῆς ἐντεῦθεν ἀσφαλείας, καὶ οὐκ ἐτόλμησεν εἰς τὸ τῆς παρθενίας πέλαγος ἑαυτὸν ἐκδοῦναι, τὰ ἐκεῖθεν κύματα δεδοικώς. καὶ ὁ πατριάρχης δὲ, ὁ τοῦ παιδὸς ἱερεὺς, τὸ μὲν τυραννικώτατον τῆς φύσεως ἴσχυσε καταπαλαῖσαι πάθος, καὶ παῖδα ἀπολέσαι ἐδυνήθη, καὶ παῖδα τὸν Ἰσαὰκ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, ἐν αὐτῇ τῆς νεότητος τῇ ἀκμῇ, μονογενῆ, γνήσιον, καὶ παρ' ἐλπίδα πᾶσαν αὐτῷ δεδομένον, καὶ ἀναγαγεῖν αὐτὸν ἐπὶ τὸ ὄρος ἴσχυσε· καὶ μάχαιραν ἥρπασε, καὶ διὰ τοῦ λαιμοῦ τοῦ παιδὸς τὸ ξίφος ὤθησε· καὶ γὰρ ὤθησε καὶ ᾕμαξεν· ἀλλ' ὅμως ὁ τοιοῦτον καὶ τηλικοῦτον ἰσχύσας διανύσαι ἆθλον, ὡς ἐξελθεῖν τῆς φύσεως, πρὸς τοὺς ἀγῶνας τῆς παρθενίας ἀποδύσασθαι οὐκ ἐτόλμησεν, ἀλλ' ἔδεισε καὶ αὐτὸς τὰ σκάμματα ταῦτα, καὶ τὴν ἐκ τοῦ γάμου παραμυθίαν ἐπεσπάσατο. καὶ ὁ δίκαιος δὲ Ἰὼβ, ὁ τὴν τοῦ διαβόλου συντρίψας ὄψιν, παιόμενος οὐ παίων, καὶ ἅπαν ὑπομείνας πειρασμῶν εἶδος· καὶ ἕκαστον μεθ' ὑπερβολῆς ἁπάσης· [τὰ γὰρ δοκοῦντα εἶναι λυπηρὰ καὶ ὄντα, ταῦτα πάντα εἰς ἓν ἐξεχύθη σῶμα, καὶ μιᾶς κατεσκεδάσθη ψυχῆς τῆς ἐκείνου] ὁ τοιοῦτος οὖν καὶ τηλικοῦτος ἀνὴρ, ὁ τοσαύτας ἀνάγκας φύσεως καταπατήσας, οὐκ ἐτόλμησεν οὐδὲ αὐτὸς εἰς τὸν ἀγῶνα τοῦτον καθεῖναι· ἀλλὰ καὶ γυναικὸς ἀπέλαυσε, καὶ πατὴρ ἐγένετο παίδων τοσούτων. οὐδαμοῦ γὰρ ἀγαμίαν ἐνομοθέτησεν ὁ Θεός· ᾧ πρέπει δόξα καὶ τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

De proſperitate & adverſitate.

HOMILIA V.

Ex interp. Pſal. 2.

VUlgus hominum, cùm divitiis abundant, cùm celebres fiunt, cùm ad voluntatem omnia illis fluunt, cùm hoſtes ſuos ſibi ſubjecerunt, tum ipſorum Deum meminiſſe arbitrantur: Atque hac de cauſa etiam ignorant quando ipſorum obliviſcatur. qui enim memoriæ ſignum non noverunt, ipſum quoque oblivionis neſciunt. Memoriam ſiquidem nihil ita apud

Περὶ εὐτυχίας καὶ δυστυχίας.

Λόγος ε'.

ΟΙ πολλοὶ τῶν ἀνθρώπων ὅταν πλουτῶσιν, ὅταν εὐδοκιμῶσιν, ὅταν αὐτοῖς κατὰ ῥοῦν ἅπαντα φέρηται, ὅταν τῶν ἐχθρῶν κρατῶσι, τότε μεμνῆσθαι νομίζουσιν αὐτῶν τὸν Θεόν· διὰ τοῦτο οὔτε ὅταν αὐτῶν ἐπιλανθάνηται, ἴσασιν. οἱ γὰρ τῆς μνήμης τὸ σημεῖον οὐκ εἰδότες, οὐδὲ τὸ τῆς λήθης ἐπίστανται. μνήμην γὰρ οὐδὲν οὕτω ποιεῖ παρὰ τῷ

Θεῷ

Θεῷ, ὡς τὸ τῆς ἀρετῆς ἐπιμελεῖσθαι· ὥσπερ οὖν λήθην οὐδὲν ἕτερον, ἢ τὸ ἐν ἁμαρτίαις εἶναι. καὶ σὺ τοίνυν ὅταν ἐν συμφοραῖς ἧς, ἄνθρωπε, μὴ λέγε, ὅτι ἐπελάθετό μου ὁ Θεός· ἀλλ᾽ ὅταν ἐν ἁμαρτίαις ἧς, καὶ πάντα σοι κατὰ ῥοῦν φέρηται, τότε μᾶλλον. ἡ γὰρ νήφουσα καὶ ἐγρηγορυῖα ψυχὴ, οὐ μόνον ἐπειδὰν κατὰ ῥοῦν φέρηται τὰ πράγματα, τὴν οἰκείαν εὐσχημοσύνην ἐπιδείκνυται, ἀλλὰ κἂν ἐναντία τις πραγμάτων περίστασις ἐπακολουθήσῃ, καὶ τότε τὴν ἴσην εὐχαριστίαν ἀναφέρει, οὐδὲν ὑπὸ τῆς τῶν πραγμάτων μεταβολῆς χαυνουμένη. ὥσπερ γὰρ ἡ τῶν πολλῶν ὑδάτων φορὰ δεξαμένη τὴν ἐπίρροιαν, πομφόλυγας διανίστησι, καὶ αἱ μὲν αὐτῶν ἅμα τῷ γενέσθαι ἐρράγησαν, αἱ δὲ πλεῖον οἰδήσασαι μετέπειτα καὶ αὐταὶ ἐρράγησαν· τὸν αὐτὸν τρόπον ἡ θάλασσα τοῦ βίου τούτου, τοὺς μὲν ὀλίγον φανέντας ἐκάλυψε, τοὺς δὲ ἐπὶ πλεῖον διαρκέσαντας, καὶ αὐτοὺς κατεπόντισε. καὶ τί ταράττῃ, φησὶν, εἰ ὁ δεῖνα ἐξεβλήθη, καὶ ὁ δεῖνα εἰσενήνεκται; ὁ Χριστὸς ἐσταυροῦτο, καὶ Βαραββᾶς ὁ λῃστὴς ἐξητεῖτο· προεκρίθη τοῦ Σωτῆρος ὁ ἀνδροφόνος. ὅταν γὰρ μεταβολή τις γένηται πρὸς τὸ χεῖρον, τότε τῶν κολάκων ἀφαιρεῖται τὰ προσωπεῖα· τότε ὁ χορὸς ἐλέγχεται τῶν ὑποκριτῶν, καὶ ἡ σκῆψις τοῦ πράγματος· ἀνοίγεται πάντων τὰ στόματα, ὦ μιαρὲ, λέγοντες, ὦ πονηρὲ, ὦ παμπόνηρε, οὐ χθὲς αὐτὸν ἐκολάκευες; οὐ τὰς χεῖρας αὐτοῦ κατεφίλεις; προσωπεῖον ἦν ἐκεῖνο· ἦλθεν ὁ καιρὸς, καὶ ἔρριψα τὸ προσωπεῖον, καὶ ἀπεγυμνώθην τῇ διανοίᾳ. πολλοὶ δὲ κακοπραγοῦσι τοῖς φίλοις, εὐδοκιμοῦσι δὲ οὐκ ἔτι συνήδονται. τὸ γὰρ μετὰ χαιρόντων χαίρειν, οὐ μικρόν ἐστι κατόρθωμα· ἀλλὰ καὶ τοῦ κλαίειν μετὰ κλαιόντων, καὶ τοῦ προΐστασθαι τῶν ἐν κινδύνοις, κατὰ πολὺ μεῖζον. πολλοὶ γὰρ κινδυνεύουσι μὲν συνεκινδύνευσαν· εὐδοκιμοῦσι δὲ οὐ συνήσθησαν, ἀλλὰ καὶ ἐδήχθησαν, καὶ τὸ χαλεπώτερον ὑπομείναντες πρὸς τὸ εὐκολώτερον ἠτόνησαν. ἀλλ᾽ οἱ τρεῖς παῖδες εἰς κάμινον ἐμβληθέντες, καὶ οὐδὲ οὕτως ἐπελάθοντο τῆς εὐλαβείας· διὰ τοῦτο τεῖχος αὐτοῖς ἐγένετο τὸ πῦρ, καὶ στολὴ ἡ φλὸξ, καὶ πηγὴ ἡ κάμινος· καὶ δεδεμένους λαβοῦσα, λελυμένους παρέδωκεν· ἔλαβε θνητὰ σώματα, καὶ ὡς ἀθανάτων ἀπέσχετο· οὐκ ἔγνω τὴν φύσιν, ἀλλ᾽ ᾐδέσθη τὴν εὐλάβειαν. ἔδησε τοὺς παῖδας ὁ τύραννος, καὶ ἔδησαν οἱ παῖδες τοῦ πυρὸς τὴν ἐνέργειαν. ὢ παραδόξου θαύματος. τοὺς δεδεμένους ἔλυσεν ἡ φλὸξ, καὶ αὐτὴ λοιπὸν ὑπὸ τῶν δεσμίων ἐδέδετο. μετέβαλε γὰρ τῶν πραγμάτων τὴν φύσιν ἡ τῶν νεανίσκων εὐλάβεια, μᾶλλον δὲ οὐ τὴν φύσιν μετέβαλεν, ἀλλ᾽ ὃ πολλῷ θαυμαστότερον ἦν, μενούσης τῆς φύσεως, τὴν ἐνέργειαν ἔστησεν· οὐ γὰρ ἔσβεσε τὸ πῦρ, ἀλλὰ καιόμενον ἀργὸν ἐποίησε. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, οὐκ ἐπὶ τῶν σωμάτων τούτων τῶν ἁγίων μόνον ἐγένετο, ἀλλὰ καὶ ἐπὶ τῶν ἱματίων αὐτῶν. καὶ καθάπερ ἐπὶ τῶν ἀποστόλων τὰ ἱμάτια Παύλου νοσήματα καὶ δαίμονας ἤλαυνε, καὶ αἱ σκιαὶ Πέτρου θάνατον ἐφυγάδευον, οὕτω δὴ καὶ ἐνταῦθα, τῶν παίδων τούτων τὰ ὑποδήματα τὴν τοῦ πυρὸς δύναμιν ἔσβεσαν. οὐκ οἶδα πῶς εἴπω· τὸ γὰρ θαῦμα πᾶσαν ὑπερβαίνει λόγου διήγησιν· καὶ γὰρ ἐσβέσθη ἡ ἐνέργεια, καὶ οὐκ ἐσβέσθη. ὅτε μὲν γὰρ τοῖς σώμασιν ὡμίλει τῶν ἁγίων ἐκείνων, ἐσβέσθη· ὅτε δὲ διαρρῆξαι τὰ δεσμὰ ἔδει, οὐκ ἐσβέσθη. τὰ γοῦν δεσμὰ διέρρηξε, καὶ τῶν ἀστραγάλων οὐχ ἥψατο. εἶδες πόση ἡ ἐγγύτης, καὶ οὐκ παρετάθη τὸ πῦρ, οὐδὲ ἐνδοτέρω τῶν δεσμῶν προελθεῖν ἐτόλμησε; τίνος δὲ ἕνεκεν ἔδησεν ἐμβαλεῖν μέλλων, ἵνα μεῖζον τὸ θαῦμα γένηται· ἵνα παραδοξότερον τὸ σημεῖον δειχθῇ· ἵνα μὴ νομίσῃς ὀφθαλμῶν ἀπάτην εἶναι τὰ ὁρώμενα. εἰ γὰρ μὴ πῦρ ἦν ἐκεῖνο τὸ πῦρ, οὐκ ἂν τὰ δεσμὰ κατέφαγεν· οὐκ ἂν τοὺς ἔξω καθημένους ἥρπασε. νῦν δὲ, ἐν μὲν τοῖς ἔξω, τὴν δύναμιν ἐπεδείξατο· ἐν δὲ τοῖς ἔνδον τὴν ὑπακοὴν ἔδειξε. καὶ ἐπειδὴ εἶδεν ὁ τύραννος τοὺς παῖδας μηδὲν παθόντας δεινὸν, ἄκουσον πῶς μετεβάλλετο. οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου ἐξέλθετε καὶ δεῦτε, φησίν. οὐ πρὸ βραχέος ἔλεγε, καὶ τίς ἐστι Θεὸς ὃς δυνήσεται ἐξελέσθαι ὑμᾶς ἐκ τῶν χειρῶν μου; τί γέγονε; πόθεν ἡ μεταβολὴ αὕτη; τοὺς ἔξω διαφθαρέντας εἶδες, καὶ τοὺς ἔνδον καλεῖς; πόθεν ἐπῆλθέ σοι τοιαῦτα φιλοσοφεῖν; εἶδες πόση μεταβολὴ τῷ βασιλεῖ γέγονε; διὰ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησεν ἅπαντα γενέσθαι, ὅσα ὁ τύραννος ἠθέλησεν, ἵνα δείξῃ, ὅτι τοὺς ὑπ᾽ αὐτοῦ φυλαττομένους οὐδεὶς παραβλάψαι δυνήσεται. καὶ γὰρ καὶ ἐπὶ τοῦ Ἰὼβ τοῦτο ἐποίησεν· ἀφῆκε τὸν διάβολον πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπιδείξασθαι· καὶ ὅτε ἐκένωσε τὰ βέλη πάντα, καὶ οὐδεὶς ἐπιβουλῆς ἐλείπετο τρόπος, τότε ἀνεβίβασε τὸν ἀθλητὴν ἀπὸ τοῦ σκάμματος, ἵνα λαμπρὰ καὶ ἀναμφισβήτητος ἡ νίκη γένηται. διὰ τοῦτο δὲ καὶ τὸν Λάζαρον ἐν τοῖς κόλποις ὄντα τοῦ Ἀβραὰμ ἑώρα ὁ πλούσιος, ἵνα ὥσπερ ἐκεῖνος χαλεπωτέραν ἐποιεῖτο τὴν βάσανον, τὸ ἐν τῷ πυλῶνι τοῦ πλουσίου κεῖσθαι, καὶ ὁρᾶν τὰ ἀλλότρια ἀγαθά· οὕτω δὴ καὶ τούτῳ χαλεπωτέραν ποιῆται νῦν τὴν τιμωρίαν τὸ ἐν τῇ γεέννῃ κεῖσθαι,

A Deum parit, quàm virtutis ſtudium: Sicut è contra oblivionem nihil aliud quam peccatis obnoxium eſſe. Et tu ergo, homo, cùm in periculis verſaris, ne dixeris, Deus oblitus eſt mei; ſed tum, cùm in peccatis es: & maximè cùm omnia felicia tibi eveniunt. *Ex hom. in Geneſ.* Sobria enim & vigilans anima, non ſolùm quando res proſperæ ſuccedunt, probitatem ſuam & candorem oſtendit, verum etiam cum contraria aliqua rerum viciſſitudo conſequitur, parem gratiarum actionem offert, nihil ab ejuſmodi rerum mutatione facta mollior & remiſſior. Sicut enim B abundantium aquarum curſus, ubi affluentem aquam ſuſcepeit, bullas excitat, quarum aliæ quidem ſimul ac enatæ ſunt, rumpuntur; aliæ verò plus intumeſcentes paulo poſt & ipſæ eliduntur: ad eundem modum hujus vitæ pelagus, alios vix dum oſtenſos abſcondit; alios verò diutiùs ſuperſtites eoſdem tandem ſubmergit. Et quid turbaris, inquit, ſiquidem ejectus, quidam introductus eſt? Chriſtus crucifigebatur, & Barabbas latro noxæ eximebatur, prælatúſque eſt homicida C Servatori. Et cùm in deterius res aliquando mutantur, mox adulatorum auferuntur larvæ; tunc chorus deprehenditur ſimulatorum, & rei ſimulatio: omnium ita aperiuntur dicentium: ſceleſte, improbe, perverſiſſime, nonne hodierna die iſti aſſentabaris? nonne manus ipſius exoſculabaris? Larvæ erant illæ: venit tempus opportunum, & abjeci larvam, ingeniúmque prodidi. *Ex epiſt. ad Olymp.* Multi etiam laborantibus quidem condolent amicis; benè verò audienti- D bus minimè collætantur, & illud quidem. *Ex hom. in epiſt. ad Rom.* Gaudere cum gaudentibus, non minimum eſt ex iis quæ rectè & cum laude fiunt: imo & longè majus illo, flere cum flentibus, & adeſſe periclitantibus. Multi enim in diſcrimine quidem verſantibus compericlitati ſunt, laudem verò conſecutis non ſunt collætati; imo etiam ægrè tulerunt: atque ita graviora cùm ſuſtinuiſſent, in levioribus defecerunt. At tres pueri ne in fornacem quidem conjecti pietatis in Deum obliti ſunt. Propterea E etiam ad inſtar muri factus eſt illis ignis, & flamma veluti veſtimentum, & tanquam fons, ipſa fornax; quæ cùm antè revinctos ſuſcepiſſet, ſolutos reddidit: accepit mortalia corpora, & velut ab immortalibus abſtinuit: Non agnovit naturam, ſed pietatem reveritus eſt, ligavit tyrannus pedes puerorum, ligarunt ipſi poteſtatem ignis. O novum & inauditum miraculum! vinctos ſolvit flamma, atque ipſa deinde à vinctis ligatur. Ipſam enim rerum naturam adoleſcentum pietas im- A mutavit, aut potiùs non mutavit, ſed quod multò mirabilius erat, natura manente, vim ipſius cohibuit. *Ex hom. in ſtatuas.* Non enim ignem extinxit, ſed ardentem languidum reddidit. Et, quod planè mirabile ac inuſitatum eſt, iſtud non in corporibus Sanctorum iſtorum duntaxat, ſed & in eorundem veſtimentis factum eſt. Et ſicuti Pauli aliorúmque Apoſtolorum veſtes, morbos dæmonéſque expulerunt, & umbra Petri mortem abegit, ſic & puerorum iſtorum calceamenta vim ignis extinxerunt. Qui- B bus hoc verbis explicem, neſcio: majus enim eſt miraculum hoc, quàm ut ullo ſermone explicari poſſit. Extincta enim vis ignis, nec tamen extincta erat. Quando enim cum corporibus agebat Sanctorum iſtorum, extincta erat: quando verò vincula diſrumpenda erant, minimè extincta erat. Vincula igitur dirupit, & calcaneos non attigit. Vides quàm vicinus fuerit, & nequaquam abductus ignis, nec tamen intra vincula graſſari auſus ſit? Sed quare igitur vinxit, cùm eos in fornacem C conjicere vellet? Nimirum, ut illuſtrius evaderet miraculum: ut ne exiſtimes, oculorum eſſe illuſionem, quæ videbantur. Si enim ille ignis non fuiſſet ignis, nequaquam vincula abſumpſiſſet, nec foris ſedentes corripuiſſet. Jam verò in eos qui foris erant, ſuam vim oſtendit; in eos verò qui intus erant, obſequium ſuum monſtravit. Et tyrannus quidem, ubi pueris nihil mali accidere conſpexit, adverte quomodo mutatus fuerit. Servi Dei altiſſimi, inquit, egredimini, adeſte. Nonne paulò an- D tè dicebat: Et quis eſt Deus qui vos de manibus meis valebit eripere: quidnam contigit? Unde iſta mutatio? Foris enectos cernis, & eos, qui intra fornacem ſunt, vocas? Unde ſubiit tibi ejuſmodi inquirere? Vidéſne quantopere Rex immutatus ſit? Ac Deus quidem ideò hæc omnia ita evenire permiſit, quæ tyrannus voluit, quo manifeſtum faceret, neminem eos lædere poſſe, quos ipſe protegit. Etenim in Job id ipſum præſtitit. Permiſit diabolo, ut omnem ſuam in illo E poteſtatem oſtenderet: & poſtquam is omnia tela ſua exhauſiſſet, neque ullus inſidiarum relinqueretur modus, tunc è certamine Athletam eduxit, ut illuſtris & planè indubitata fieret victoria. Propter hanc etiam cauſam Lazarum in ſinu Abrahæ videbat dives, ut quemadmodum graviorem ille ſenſerat dolorem, quòd in janua divitis jacens bona aliena intueretur: ita potrò huic gravior eſſet pœna, *Ex hom. in divitem & Lazarum.*

 Laza-

Lazari videre delicias, quàm gehennæ flammis cremari: atque A ita non natura ſolùm tormentorum, ſed etiam illius honoris comparatione intolerabilius ſuſtineret ſupplicium. Et quemadmodum Deus Adamum è paradiſo ejiciens, ante hortum collocavit, ut jugis aſpectus affectum renovans majorem amiſſorum bonorum pararet cognitionem; ſic etiam divitem ex adverſo Lazari conſtituit, ut cognoſceret, quibus bonis ſeipſum privaſſet. Et quam ob cauſam non ad Lazarum, ſed ad Abrahamum dives preces fudit? Puduit ſcilicet ipſum, & erubuit, dum B omnia ſecundùm res vitæ hujus æſtimans, illum omnino acceptæ injuriæ memorem exiſtimaret. Si enim ego, inquiebat, tanta rerum fruens copia, nec ulla laceſſitus injuria, tot malis oppreſſum hominem deſpexi, & ne micas quidem impertitus ſum; multo magis ipſe tantopere antea contemptus mihi benefacere abnuet. Abrahamum itaque invocavit, quem ignorare putabat, quæ contigiſſent; neſcius quòd non ex ſe diceret Patriarcha quæ dicebat, ſed divinas ei recitaret leges. Digitum et- C iam deſiderabat illum, quem linguis canum frequenter objici paſſus eſt. Sed vide interim S. Abrahami charitatem. Non ajebat: Inhumane, crudelis, ſcelеſte, cùm tantis incommodis affeceris hominem, humanitatis jam & veniæ, & miſericordiæ, meminiſti? non pudet te, neque erubeſcis? nihil iſtorum dicebat, ſed quid? Fili, accepiſti bona tua. Animam enim afflictam, dicit, ne ampliùs contriſta: ſufficit illi ſupplicium: ne illius adhuc calamitatibus inſultemus: quod in mea eſt poteſta- D te, inquit, hoc tibi do: hinc verò iſtùc migrare non eſt noſtrum. Cernis quanto ille fruatur honore & dignitate, qui ante portam deſpectus, inops, aſſiduè cum fame luctans, ab ulceribus obſeſſus, canibus objectus jacebat? Libenter enim iſta continuè repeto, ut nemo eorum, qui aut egeſtate, aut morbis affliċtantur & inedia, ſeipſum ceu miſerum & infelicem deſpiciat: ſed cùm patientia & gratiarum actione omnia perferens bona ſpe ſuſtentetur, dum ineffabiles illas retributiones, laborúmque remune- E rationes expectat. quas omnes nos obtinere contingat, gratia & benignitate Domini noſtri Jeſu Chriſti, quem decet gloria, poteſtas, honor, & adoratio, cum patre & ſancto ſpiritu nunc & ſemper & in ſecula ſeculorum. Amen.

τὰ ὁρᾶν τοῦ Λαζάρου τὴν τρυφήν· ἵνα μὴ τῇ φύσει τῶν βασάνων μόνον, ἀλλὰ καὶ τῇ παραθέσει τῆς ἐκείνου τιμῆς, ἀφορητοτέραν ἔχῃ τὴν κόλασιν. καὶ καθάπερ τὸν Ἀδὰμ ἐκβαλὼν τοῦ παραδείσου, κατέναντι τοῦ παραδείσου κατῴκισεν ὁ Θεὸς, ἵνα συνεχὴς ὄψις ἀνανεοῦσα τὸ πάθος ἀκριβεστέραν αὐτῷ παρέχῃ τῆς ἐκπτώσεως τῶν ἀγαθῶν τὴν αἴσθησιν· οὕτω δὴ καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατῴκισεν, ἵνα ἴδῃ τίνων ἀγαθῶν ἑαυτὸν ἀπεστέρησε. καὶ τίνος ἕνεκεν οὐχὶ πρὸς τὸν Λάζαρον τὴν ἱκεσίαν, ἀλλὰ πρὸς τὸν Ἀβραὰμ ὁ πλούσιος ἐποιήσατο; ᾐσχύνθη καὶ ἠρυθρίασε, καὶ ἐκ τῶν καθ' ἑαυτὸν πραγμάτων ἐνόμισεν αὐτὸν μνησικακήσειν πάντως. εἰ γὰρ ἐγὼ, φησὶ, τοσαύτης ἀπολαύων εὐπορίας, καὶ οὐδὲν ἠδικημένος, ἐν τοσούτοις ὄντα κακοῖς ὑπερεῖδον τὸν ἄνθρωπον, καὶ οὐδὲ ψιχίων μετέδωκα, πολλῷ μᾶλλον αὐτὸς οὕτως ὑπεροφθεὶς, οὐκ ἐπινεύσει τῇ χάριτι. καὶ τὸν Ἀβραὰμ ἐκάλεσεν, ὃν ἐνόμιζεν ἀγνοεῖν τὰ γεγενημένα, οὐκ εἰδὼς, ὡς οὐκ οἴκοθεν ἔλεγεν ὁ πατριάρχης ἅπερ ἔλεγεν, ἀλλὰ θείους ἀνεγίνωσκεν αὐτῷ νόμους· καὶ τὸν δάκτυλον ἐπεζήτησεν ἐκείνου, οὗ τὴν γλῶσσαν τῶν κυνῶν ἀφῆκε προσδοθῆναι πολλάκις. ἀλλ' ὅρα φιλοσοφίαν δικαίου· οὐκ εἶπεν, ἀπάνθρωπε, καὶ ὠμὲ, παμπόνηρε, τοσαῦτα κακὰ διαθεὶς τὸν ἄνθρωπον, φιλανθρωπίας μέμνησαι νῦν, καὶ ἐλέους, καὶ συγγνώμης; οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς; οὐδὲν τούτων εἶπεν· ἀλλὰ τί; τέκνον ἀπέλαβες τὰ ἀγαθά σου. ψυχὴν γὰρ τεθλιμμένην μὴ προσταράξῃς, φησίν· ἀρκεῖ τὰ τῆς τιμωρίας αὐτῷ, μὴ προσεπεμβαίνωμεν κατὰ τῆς συμφορᾶς. οὗ κύριός εἰμι, φησὶ, μεταδίδωμί σοι· τὸ δὲ ἐντεῦθεν ἀπελθεῖν ἐκεῖ, οὐκ ἔστιν ἡμέτερον. ὁρᾷς πόσης ἀπολαύει τῆς τιμῆς καὶ τῆς προεδρίας, ὁ παρὰ τὸν πυλῶνα κείμενος, ὁ καταφρονητὸς, ὁ πένης, ὁ τῷ λιμῷ διηνεκῶς παλαίων, ὁ τοῖς ἕλκεσι πολιορκούμενος, ὁ τοῖς κυσὶ προκείμενος; ἡδέως γὰρ ταῦτα στρέφω συνεχῶς, ἵνα μηδεὶς τῶν ἐν πενίᾳ, ἢ τῶν ἐν νόσοις ὄντων ἢ λιμῷ καταφρονήσῃ ἑαυτὸν ταλανίζων· ἀλλὰ μεθ' ὑπομονῆς καὶ εὐχαριστίας ἅπαντα φέρων, ἤδη τῶν χρησταῖς ἐλπίσι τρέφηται, τὰς ἀπορρήτους ἐκείνας ἀναμένων ἀμοιβὰς, καὶ τῶν πόνων τὰς ἀντιδόσεις· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A

DE DOCTRINA ET correptione.

HOMILIA VI.

Ex hom. 4. de incomprehenſib.

NUPER quidem contra eos agebamus, qui oratione deſerta, per illud tempus extra Eccleſiam verſantur: Jam verò cum iis expoſtulaturus ſum, qui in Eccleſia ſunt; non quia intra B eam manent, ſed quia manentes nihilò melius ſeſe habent, quam qui foris commorantur; dum nimirum tremendo illo tempore inter ſe confabulantes, divinos ſermones contemnunt. Quid facis, ô homo? vidéſne tot de fratribus tuis captivos hîc propè aſtantes? ſceleſta enim & immanis catena eſt dæmonum exagitatio, omniq; ferro gravior; & tu de rebus inconvenientibus interim colloquia miſces? At non aſpectus ſolus ſufficiebat, ut te timore percelleret atque ad condolendum aliis permoveret? En C frater tuus in carcere eſt, & tu in ſocordia. Quam tandem, obſecro te, veniam habebis, qui adeò ſine affectu es, adeò inhumanus, adeo crudelis: fratri tuo condolere non vis? at tibi ipſi ſaltem metuas & exorgas. Non times, ne fortè dum aliis colloqueris, dum otio & deſidia langues, dum ſecurus agis, dæmon aliquis inde proſiliens, anima tua otioſa & ſcopis purgata inventa, magna cum ſecuritate domum tuam ſine oſtio repertam invadat? Nonne univerſos homines in communi fontes lacryma- D rum illo tempore emittere oportebat, ac madidos vultus, omniúmque fletum apparere, & gemitus fieri ab Eccleſia univerſa? Poſt perticipationem myſteriorum, poſt uſum lavacri, poſt conjunctionem cum Chriſto factam, lupus ille ex grege agnos rapere, & in ſua poteſtate retinere potuit; ac tu tam grande malum cernens non lacrymaris? quomodo iſta excuſatione ſunt digna? Si vicini tui ædes incendio correptas videres, etiamſi omnium mortalium tibi infeſtiſſimus eſſet, dic quæſo, an non ad incen- E dium reſtinguendum accurreres, metuens, ne paulatim progreſſa flamma, etiam tua veſtibula apprehendat? Idem ergo tuis quoque fratribus miſerè à dæmonibus exagitatis facito: Rogus enim quidam eſt & immane incendium dæmonum vis. Obſerva porrò animam tuam, ne dæmon progrediens eam occupet: ac ſi præſentem cernas, magno ſtudio ad Dominum confugito, ut dæmon videns ardentem & excitatum animum tuum,

Περὶ διδαχῆς καὶ ἐπιθεσίας.

Λόγος ζ.

ΠΡΩΗΝ μὲν ἐνεκαλοῦμεν τοῖς καταλιμπάνουσι τὴν εὐχὴν, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἔξω τῆς ἐκκλησίας διατρίβουσιν. νυνὶ δὲ τοῖς ἔνδον οὖσιν ἐγκαλέσαι βούλομαι, οὐχ ὅτι μένουσιν ἔνδον, ἀλλ' ὅτι μένοντες, τῶν ἔξω διατριβόντων οὐδὲν ἄμεινον διάκεινται, κατὰ τὸν φρικωδέστατον ἐκεῖνον καιρὸν ἀλλήλοις διαλεγόμενοι, καὶ τῶν θείων ὑπερορῶντες λογίων. τί ποιεῖς, ἄνθρωπε; ὁρᾷς τοσούτους δεσμώτας ἀπὸ τῶν ἀδελφῶν τῶν σῶν ἑστηκότας πλησίον; καὶ γὰρ ἅλυσις πονηρὰ καὶ χαλεπὴ τῶν δαιμόνων ἐστὶν ἡ ἐνέργεια, καὶ παντὸς σιδήρου χαλεπωτέρα, καὶ σὺ περὶ τῶν οὐδὲν προσηκόντων διαλέγῃ πραγμάτων; ἡ γὰρ ὄψις μόνη οὐχ ἱκανή σε καταπλῆξαι, καὶ εἰς συμπάθειαν ἀγαγεῖν; ὁ ἀδελφός σου ἐν δεσμοῖς, καὶ σὺ ἐν ῥᾳθυμίᾳ· ποίας ἕξεις συγγνώμης, εἰπέ μοι, οὕτως ἀσυμπαθὴς ὢν, οὕτως ἀπάνθρωπος, οὕτως ὠμός; οὐ θέλεις συναλγῆσαι τῷ ἀδελφῷ; κἂν ὑπὲρ σαυτοῦ δεῖσον καὶ ἀνάστηθι. οὐ δέδοικας μή ποτέ σου διαλεγομένου, ῥᾳθυμοῦντος, δαίμων τις ἐκεῖθεν ἐκπηδήσας, σχολάζουσαν καὶ σεσαρωμένην εὑρὼν τὴν ψυχὴν, ἐπεισέλθῃ μετὰ ἀδείας πολλῆς, ἀθύρωτον τὴν οἰκίαν εὑρών; οὐ γὰρ ἔδει πάντας κοινῇ πηγὰς δακρύων ἀφεῖναι κατὰ τὴν ὥραν ἐκείνην, καὶ διαβρόχους ὁρᾶσθαι πάντων τοὺς ὀφθαλμοὺς καὶ θρήνους, καὶ οἰμωγὰς γίνεσθαι παρὰ τῆς ἐκκλησίας ἁπάσης; μετὰ τὴν κοινωνίαν τῶν μυστηρίων, μετὰ τὴν ἀπόλαυσιν τοῦ λουτροῦ, μετὰ τὸ συνταχθῆναι τῷ Χριστῷ, ἴσχυσεν ὁ λύκος ἐκεῖνος ἁρπάσαι ἐκ τῆς ποίμνης τοὺς ἄρνας, καὶ κατέχει μεθ' ἑαυτοῦ, καὶ σὺ ὁρῶν τὴν συμφορὰν, οὐ δακρύεις; καὶ πῶς ταῦτα ἀπολογίας ἄξια; εἰ τὴν τοῦ γείτονος οἰκίαν εἶδες ἐμπυριζομένην, εἰπέ μοι, εἰ καὶ πάντων πολεμιώτατός σοι ἦν ὁ γείτων, οὐκ ἂν ἔδραμες ἐπὶ τὸ σβέσαι τὴν πυρὰν, δεδοικὼς, μὴ τὸ πῦρ ὁδῷ βαδίζον καὶ τῶν σῶν ἅψηται προθύρων; οὕτω καὶ ἐπὶ τῶν ὑπὸ τῶν πονηρῶν δαιμόνων ἐπηρεαζομένων ἀδελφῶν ποίει· καὶ γὰρ πυρά τίς ἐστι καὶ ἐμπρησμὸς χαλεπὸς δαιμόνων ἡ ἐνέργεια· σκόπει δὲ καὶ τὴν σὴν ψυχὴν, μὴ προκαταλάβῃ ὁδῷ βαδίζων ὁ δαίμων· καὶ ὅταν ἴδῃς παρόντα, μετὰ πολλῆς τῆς σπουδῆς πρόσφυγε τῷ δεσπότῃ, ἵν' ἰδών σου τὴν θερμὴν καὶ διηγερμένην ψυχὴν ὁ δαίμων,

ἀνα

ἄβατον αὐτῷ νομίσῃ λοιπὸν εἶναι τὴν διάνοιαν τὴν σήν. ἂν μὲν γὰρ ἴδῃ χασμώμενον καὶ ῥαθυμοῦντα ὡς ἔρημον καταγώγιον, ταχέως ἐπεισελεύσεται· ἂν δὲ καὶ συντεταμένον καὶ διεγηγερμένον, καὶ τῶν οὐρανῶν αὐτῶν ἐκκρεμάμενον, οὐδὲ ἀντιβλέψαι τολμήσει λοιπόν. ὥστε εἰ καὶ τῶν ἀδελφῶν καταφρονεῖς, ἀλλὰ σαυτοῦ φεῖσαι, καὶ τὴν κατὰ τῆς ψυχῆς εἴσοδον ἀπόφραξον τῷ πονηρῷ δαίμονι. οὐδὲν γὰρ οὕτως αὐτῷ τὴν καθ' ἡμᾶς ἔφοδον ἀποτειχίζειν εἴωθεν, ὡς εὐχὴ καὶ δέησις ἐκτενής. εἰ δὲ βούλει μαθεῖν ὅσον ἐστὶν ἀγαθὸν τὸ δυνηθῆναι μετὰ τῆς οἰκείας σωτηρίας καὶ ἕτερον κερδᾶναι, ἄκουσον ἐκ προσώπου τοῦ Θεοῦ λέγοντος τοῦ προφήτου· ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἐστίν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁ ἐκ τῆς πλάνης, φησί, πρὸς τὴν ἀλήθειαν χειραγωγῶν, ἢ ἀπὸ τῆς κακίας πρὸς τὴν ἀρετὴν ὁδηγῶν τὸν πλησίον κατὰ δύναμιν τὴν ἀνθρωπίνην, ἐμὲ μιμεῖται. εἰ γὰρ αὐτὸς Θεὸς ὤν, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου τυγχάνων, καὶ σταυρὸν κατεδέξατο, καὶ τὰ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπέμεινε δι' ἡμᾶς, καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν, τί οὐκ ἂν εἴημεν αὐτοὶ δίκαιοι περὶ τοὺς ὁμογενεῖς ἐπιδείξασθαι, καὶ τὰ μέλη τὰ ἡμέτερα, ὥστε καὶ τῆς φάρυγγος αὐτοὺς ἐξαρπάσαι τοῦ διαβόλου, καὶ πρὸς τὴν τῆς ἀρετῆς χειραγωγῆσαι ὁδόν; εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων, οἱ τὰ τῆς τραπέζης τοῖς αὐτῶν γνωρίμοις διαφυλάττοντες, μέγιστον ἀγάπης τεκμήριον ἐκφαίνουσι, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο γινόμενον πλείω ἡμῖν παρέξει τὸν ἔπαινον. ὁ γὰρ τὸν πλησίον διδάσκειν σπουδάζων, οὐ τοσοῦτον ἐκεῖνον εὐεργετεῖ, ὅσον ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθόν, καὶ διπλοῦν καρποῦται τὸ κέρδος, τό τε παρὰ τοῦ Θεοῦ ἀμοιβῆς πλείονος ἀπολαύειν· καὶ αὐτὸς ὁ τὸν ἀδελφὸν διδάσκειν ἐπιχειρῶν εἰς ὑπόμνησιν ἐρχόμενος, καὶ ἀνανεῶν τὴν μνήμην τῶν παρ' ἑαυτοῦ εἰρημένων. εἰ γὰρ εἰκόνα τις ἄψυχον ἀναθεὶς παιδός, ἢ φίλου, ἢ συγγενοῦς, νομίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται τῆς ἀψύχου, πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων γραφῶν τῆς τῶν ἁγίων παρουσίας ἀπολαύομεν, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες. τὰ γὰρ παρ' αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσίν. ὥσπερ οὖν οἱ ἰατροὶ οὐκ ἀναγκάζουσι τοὺς ἀρρώστους ἐπὶ τῶν κλινιδίων κατακειμένους εἰς τὰς οἰκίας αὐτῶν φέρεσθαι, ἀλλ' αὐτοὶ τρέχουσι πρὸς ἐκείνους τὰς ἀρρωστίας θεραπεύοντες, οὕτω καὶ σὺ ποίησον κατὰ δύναμιν τὴν σήν, καὶ πᾶσαν σπουδὴν ἐπιδείξαι καὶ πρόνοιαν, εἰς τὴν τῶν ἀρρωστούντων κατὰ ψυχὴν ἀδελφῶν ἀνάρρυσιν, εἰδὼς ὅτι βραχὺς ὁ παρὼν βίος. κἂν μὴ ταῦτα κερδαίνωμεν τὰ κέρδη, οὐδὲ μίαν ἕξομεν ἐκεῖ σωτηρίαν· δύναται γὰρ πολλάκις μία κερδηθεῖσα ψυχὴ μυρίων ὄγκον ἁμαρτημάτων ἀφανίσαι, καὶ γενέσθαι ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν ἀντίψυχον. εἰ γὰρ χήρας ἐνδύσασα καὶ πενίαν διορθωσαμένη ἡ Ταβιθὰ ἐκείνη, ἀπὸ θανάτου πάλιν εἰς ζωὴν ἐπανήλθη, καὶ τὰ δάκρυα τῶν ἐλεηθέντων ψυχὴν ἀπελθοῦσαν ἐπανήγαγεν εἰς σῶμα πάλιν, οὔπω τῆς ἀναστάσεως φανείσης· τί οὐκ ἂν ἐργάσηται τῶν ἀνθρώπων τὰ δάκρυα, ὅσα ὑπὸ σοῦ διασωθῶσιν; ὥσπερ γὰρ ταύτην περιστᾶσαι αἱ χῆραι ζῶσαν ἀπὸ νεκρᾶς ἔδειξαν, οὕτω καί σε περιστάντες οἱ διασωθέντες νῦν, ποιήσουσι πολλῆς ἀπολαῦσαι φιλανθρωπίας, καὶ τῆς γεέννης τοῦ πυρὸς ἐξαρπάσουσιν. εἰ γὰρ ὅπου χρημάτων δαπάνη, τοσοῦτοι οἱ στέφανοι, τοσοῦτος ὁ μισθός, τοσαύτη ἡ ἀμοιβή· ὅπου ψυχὰς ὠφελεῖν, πῶς οὐ πολλὰ ἡμῖν ἔσται τὰ ἀγαθά; οὐδεὶς τὸ ἑαυτοῦ κατορθῶσαι δύναται χωρὶς τῆς τοῦ πλησίον σωτηρίας. καὶ γὰρ ὁ Παῦλός φησι· μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος, εἰδὼς ὅτι τὸ ἑαυτοῦ ἐν τῷ τοῦ πλησίον κεῖται συμφέροντι. καθάπερ γὰρ οἱ ἀδικοῦντες καὶ πλεονεκτοῦντες, ἀπελθόντες ἐκεῖ, καὶ τοὺς ταῦτα παθόντας ἰδόντες· [ὄψονται γὰρ πάντως, καὶ δῆλον ἐκ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου ὄντος] οὐδὲ ἀνοῖξαι τὸ στόμα δυνήσονται, οὐδὲ εἰπεῖν τι, καὶ ἀπολογήσασθαι, ἀλλ' αἰσχύνης πολλῆς ἐμπλησθέντες καὶ καταγνώσεως ἀπὸ τῆς ὄψεως τῆς ἐκείνων ἐπὶ τὴν κόλασιν ἀπελεύσονται· οὕτω καὶ οἱ διδάσκοντες καὶ νουθετοῦντες, ἰδόντες τοὺς ὑπ' αὐτῶν διασωθέντας συνηγοροῦντας αὐτοῖς ἐκεῖ, πολλῆς ἐμπλησθήσονται τῆς παρρησίας. καὶ μή μοι λεγέτω τις· τί γάρ ἐστι κοινὸν πρὸς ἐκεῖνον; ἀλλότριός ἐστι καὶ ἄγνωστος. ἕως ἂν ᾖ πιστός, καὶ τῶν αὐτῶν σοι μετέχει μυστηρίων, καὶ εἰς τὴν αὐτὴν ἐκκλησίαν ἀπαντᾷ, καὶ ἀδελφῶν καὶ συγγενῶν ἁπάντων ἐστὶν οἰκειότερος. ὥσπερ γὰρ οὐχ οἱ κλέπτοντες μόνον, ἀλλὰ καὶ οἱ κύριοι μὲν ὄντες κωλῦσαι, μὴ ποιοῦντες δέ, τὴν αὐτὴν ἐκείνοις διδόασι δίκην· οὕτως οὐχ οἱ ἀσεβοῦντες μόνον, ἀλλὰ καὶ οἱ δυνάμενοι μὲν ἀπαγαγεῖν τῆς ἀσεβείας, μὴ βουλόμενοι δέ, τὴν αὐτὴν ἐκείνοις ὑποστήσονται τιμωρίαν. ἕκαστος ὑμῶν ἕνα τῶν ἀδελφῶν ἀνασωσάτω, περιεργασάσθω, πολυπραγμονησάτω, ἵνα εἰς τὴν ἐπιοῦσαν σύναξιν μετὰ πολλῆς παρρησίας ἀπαντήσωμεν, δῶρα τῷ Θεῷ κομίζοντες, δῶρα πάντων τιμιώτερα, τὰς ψυχὰς τῶν πεπλανημένων ἐπαναγαγόντες· κἂν ὑβρισθῆναι δέῃ, κἂν πληγὰς λαβεῖν, κἂν

inacceſſam ſibi deinceps mentem tuam exiſtimet. Si enim oſcitantem & otio diffluentem, ac velut deſertum hoſpitium conſpiciat, ſubito invadet: Si verò paratum te, alacrem & velut è cœlis pendentem videat, ne quidem intueri te in poſterum audebit. Quamvis igitur fratres tuos deſpicias, at tibi ſaltem parcas, & improbo dæmoni acceſſum ad animam tuam obſtruas. Nihil enim viam ad nos ita intercludere illi ſolet, ſicut oratio & prolixa precatio. Si verò intelligere velis, quantum bonum ſit unà cum propria ſalute etiam alios homines Deo lucrifacere poſſe: audi Prophetam in perſona Dei dicentem: *Qui ſeparat, inquit, pretioſum à vili, tanquam os meum erit.* Quod autem dicit, hunc ſenſum habet: Qui ab errore ad veritatem proximum velut manu ducit; aut à peccato ad virtutem, quantum homo valet, viam ei monſtrat, ille me imitatur. Si enim ipſe, cùm Deus eſſet & ineffabilis illius eſſentiæ particeps, crucem ſibi amplexus, & alia omnia humana propter nos & ſalutem noſtram ſuſtinuerit; quid nos non teneremur præſtare iis, qui eandem nobiſcum naturam habent, & membra noſtra ſunt, quo eoſdem è faucibus diaboli eripere & ad virtutis iter traducere valeamus? Si enim in ſenſibilibus epulis ita res habeat, ut homines familiaribus ſuis & amicis aliquid aſſervantes, maximum id charitatis indicium exhibeant: multò magis eximiam nobis laudem pariet, ſi in ſpiritualibus id præſtemus. Etenim ſi quis proximum ſuum docere ſtudeat, non tam beneficio illum afficit, quàm ampliorem ſibi retributionem procurat, & duplex lucrum conſequitur: quia videlicet majorem à Deo remunerationem obtinet, & præterea conando erudire fratrem, à ſe dictorum reminiſcitur, memoriámque renovat. Si enim quis poſita filii aut amici aut cognati inanimi ſtatua præſentem eſſe putet, ac per mortuam illam effigiem ſibi imaginetur eum, qui jam pridem abiit: multo magis nos per divinas ſcripturas Sanctorum præſentia fruimur, habentes, non corporum quidem, ſed animorum ipſorum imagines expreſſas: ſiquidem dicta ipſorum imagines quædam ſunt eorundem animorum. Quemadmodum igitur medici infirmos lectulis affixos non cogunt domum ſuam aſportari, ſed ipſimet, ut illorum morbis medeantur, ad illos currunt: ita tu quoque pro viribus labora, atque omnem diligentiam & curam adhibe, ut fratres animo ægrotantes liberare poſſis, memor, admodum brevem eſſe hanc præſentem vitam. Quòd ſi iſta lucra non conſectemur, nulla in altero ſeculo nobis ſperanda reſtat ſalus. Sæpè una anima lucrifacta innumerorum acervum peccatorum tollere valet, & in illo die nobis eſſe piaculum. Si enim Tabitha illa, quæ viduas veſtivit, earúmque inopiam ſublevavit, à morte ad vitam denuo rediit, eorúmque quibus ipſa miſericordiam impertiverat, lacrymæ animam defunctæ ad corpus reduxerunt, cum mortuorum reſurrectio nondum apparuiſſet: quid hominum opera tua conſervatorum lacrymæ efficere non poſſint? Sicut enim iſtam viduæ circumſtantes à morte ad vitam revocarunt: ita te quoque circumſiſtentes qui hîc ſervati fuerint, efficient, ut magnam experiaris humanitatem, téque ab inferni flammis eripient. Nam ſi pro pecuniarum ſumptibus & largitionibus tot coronæ, tanta merces, tanta fiat retributio: quomodo non plurima bona, pro allato animabus auxilio, nobis reddentur? Nemo rectè ſuum commodum quærere poteſt, abſque proximi ſui ſalute. Siquidem Paulus inquit, nemo quod ſuum eſt quærat, ſed ſinguli quæ ſunt alterius; probè ſciens, quod proprium cujuſque emolumentum in proximi utilitate contineatur. Sicut enim qui injuriam aliis inferunt, & aliena diripiunt; ubi iſtuc abiverint, & eos qui talia ſunt paſſi, conſpexerint (omnino enim videbunt eos, ut ex hiſtoria de divite & Lazaro manifeſtum eſt) nec os aperire, nec verbulum efferre & ſeſe defendere poterunt, ſed ingenti pudore & deſperatione pleni ex illorum conſpectu ad ſupplicia abibunt: ſic qui alios erudiunt & admonent, ubi illos viderint, qui illorum opera ſervati ſunt, ſibi in altero ſeculo patronos eſſe, magna fiducia replebuntur. Nec mihi quiſquam dicat: quid mihi cum illo eſt negotii? peregrinus eſt & ignotus. Quandiu enim fidelis fuerit, & eorundem tecum myſteriorum particeps, atque ad eandem tecum Eccleſiam convenerit, omnibus fratribus & cognatis tibi conjunctior eſt. Quemadmodum enim qui furantur ſolùm, ſed etiam qui, cùm poſſit, non impediunt, eaſdem pœnas dant: ita etiam non ſolùm impii, ſed etiam qui ab impietate eos abducere poſſunt, id tamen facere renuunt, idem omnino cum ipſis ſupplicium luent. Quilibet igitur ex nobis unum aliquem fratrem recuperet, diligenter adlaboret, anxius & ſollicitus ſit, ut ad craſtinam congregationem magna cum fiducia, munera Deo offerentes conveniamus, munera, inquam, omnibus pretioſiora, animas nimirum eorum reducentes, qui in errore verſati ſunt. Etiamſi injuriam ferre oporteat, etiamſi vulnera accipere, etiamſi aliud quid-

Ex com. in Geneſ. *Ierem. 15, 19.*

Ex hom. 2. in ſtatuas.

Ex hom. in ſtatuas.

Ex contra Iudæos.

Act. 9, 39. *Ex ... contra Iud.*

quidlibet ſuſtinere neceſſe ſit, omnia tamen faciamus, ut recuperare tandem illos poſſimus. Nam etiam illi, qui adverſa valetudine afflictantur, non raro calcitrare & contumelias dicere ſolent: ſuſtinemus nihilominus iſta, nec ejuſmodi conviciis movemur, votum duntaxat in optatis habentes, ut nimirum hominis ita indecorè ſe gerentis ſanitatem videamus. Quomodo igitur non abſurdum fuerit, eos qui corporis incolumitati proſpiciunt, tantum adhibere ſtudium & diligentiam: tot verò animabus miſerè pereuntibus, ignavum eſſe & nihil gravius nobis contingere exiſtimare, dum membra noſtra computreſcunt? Quid agis, ô homo; Videſne, dic mihi, fratrem tuum ad præcipitium ferri, ſuæque curam abjeciſſe ſalutis, & quid faciendum ſit non intelligere, et tamen manum non porrigis? non incuſas, non arguis, ſed mavis ipſum non offendere aut moleſtus videri, quàm ſalutem ejuſdem procurare? Et quam apud Deum veniam aut excuſationem es habiturus? Non audiviſti, quid olim Judæis præceperit Deus, ut jumenta videlicet inimicorum ſuorum errantia non negligerent; aut ſi cecidiſſent, præterirent. Ergóne Judæis quidem præcipitur, ne inimicorum ſuorum jumenta negligant? nos verò fratrum noſtrorum animas quotidie ſupplantatas deſpiciemus? Et quomodo non extremæ crudelitatis & feritatis fuerit, ne tantam quidem curam nos impendere hominibus, quantam illi beſtiis? nimirum una hæc res omnia evertit, hæc vitam noſtram perturbavit, quòd neque cum corripimur, fortiter feramus, neque corripere ipſi alios velimus. Idcircò enim moleſti aliis ſumus, cum reprehendimus; quoniam cum ab illis reprehendimur, exaſperamur. Si enim vidiſſet frater tuus ſe à te laudari, cum te reprehenderet, ipſe quoque eandem tibi pro reprehenſione gratiam referret. Fratrem corrigere deſideras? lacrymas profunde, preces Deo offer, ſeorſim illum acceptum admone, conſilium da, obſecra, charitatem tuam erga ipſum oſtende: perſuadeas illi, te non oſtentandi & inſultandi libidine, ſed cura quadam & ſollicitudine commotum de errore ipſum commonefacere: amplectere pedes ipſius; ne erubeſcas, ſiquidem revera ipſi medicinam afferre & ſanare velis. Hæc enim etiam medici frequenter facere conſueverunt, dum ægrotos, moroſos fortè ac implacidos, deoſculantur, & rogantes eis perſuadere conantur, ne ſalutarem medicinam repudient. Quamvis mortem ſubire pro correctione fratris neceſſe eſſet; nihil tamen reformides: martyrium tibi hoc eſt: ſiquidem & Joannes martyr erat; & quidem nec ſacrificare idolis, nec eadem adorare juſſus eſt, ſed pro ſacris legibus, quas violari cernebat, caput ſuum depoſuit. Tu igitur ſimiliter uſque ad mortem pro veritate decerta, & Dominus pro te propugnabit. Sufficit homo unus zelo inflammatus, ad univerſum populum corrigendum. Et ne mihi aliquis dicat, Nihil mihi cum fratre commercii eſt: cum ſolo diabolo nihil cum mercii habemus, cum hominibus verò multa habemus communia. Nam ejuſdem nobiſcum naturæ ſunt participes, eandem terram incolunt, iiſdem alimentis nutriuntur, eundem habent Dominum, eaſdem leges acceperunt. Ne igitur iſta dicerimus, ſed quam par eſt, pro fratribus noſtris ſollicitudinem oſtendamus. Quomodo enim non abſurdum eſt, nos quidem, ſi pugnam fortè in platea ortam videamus, accedere & pugnantes inter ſe reconciliare: & quid dico pugnam? ſi vel aſinum lapſum conſpiciamus, cuncti manus porrigimus, eúmque elevare contendimus: fratrum verò pereuntium nullam rationem habere, quomodo id non nefarium eſt? Noli igitur deſiſtere, fratrem tuum, quem ad exitium ruere cernis, cohortari; etiamſi convicia in te jaciat, etiam ſi contumeliis te afficiat, etiamſi inimicum ſe fore tibi comminetur, etiam ſi quidvis aliud intentet; omnia forti conſtantique animo perferas, quo ſalutem ipſius lucrifacias. Si hic tibi inimicus fiat, Deus amicus tuus erit, & amplis in illa die bonis te remunerabitur. Magnum quidem bonum eſt, inopia preſſorum miſereri, ſed nihil tale tamen, quale eſt ab errore alios avocare: Nihil enim cum anima conferendum, ne mundus quidem univerſus. Quamvis igitur immenſam pecuniæ vim pauperibus elargiaris, nihil tamen tale præſtabis, quale ſi vel unam animam convertas. Qui enim iſtud faciat, Paulum imitatur & Petrum, non periculo quidem, ſicut illi, ſubeundo, famem item & corruptionem atque alia incommoda perferendo (tempus enim jam pacis eſt) ſed alacris ad omnia & prompti animi ſigna oſtendendo. Et quid dico Petrum & Paulum? Os Chriſti erit, qui enim ſeparat pretioſum à vili, inquit, tanquam os meum erit. Licet igitur etiam domi ſedentibus iſtum piſcatum exercere, ſi quis amicum aut cognatum aut familiarem habeat, hæc faciat, & ſimilis erit Petro & Paulo. Et quamvis nec hodie perſuaſeris, nec ullo tempore, ut obtemperet, induxeris, tu tamen perfectam mercedem conſequeris: & ſi non omnibus, è multis tamen aliquibus perſuadere poteris. Quoniam & ipſi Apoſtoli, etſi non omnibus perſuaſerint, quia tamen ad omnes ſermonem habuerunt, mercedem quoque pro omnibus receperunt. Noli igitur, cùm multos docere & inſtituere non potes, etiam pauculos contemnere: noli majora deſiderando à minoribus teipſum abſtrahere. Si centum convertere non poſſis, decem tamen curam impende: & ſi decem nequeas, ne quinque contempſeris: ac ſi nec iſtos convertere valeas, unum negligere ne velis. Non

Ex com. in ſtatuas.

Ex hom. contra Iud.

Ex expli. epiſt. 1. ad Corint.

A ἐστιν ἕτερον ὑπομεῖναι, πάντα ποιήσωμεν, ὥστε αὐτοὺς ἀνακτήσασθαι. καὶ γὰρ οἱ νοσοῦντες πολλάκις λακτίζουσι καὶ ὑβρίζουσιν· ἀλλ᾽ ὅμως ἀνεχόμεθα καὶ τῆς ὕβρεως οὐ δακνόμεθα· ἀλλ᾽ ἓν μόνον ἐπιθυμοῦμεν, τοῦτον ἀσχημονοῦντα τὸν ὑγιαίνοντα ἰδεῖν. πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν τῶν σωμάτων προνοοῦντας τοσαύτην ποιεῖσθαι τὴν ἐπιμέλειαν, ψυχῶν δὲ τοσούτων ἀπολλυμένων ῥαθυμεῖν, καὶ μηδὲν ἡγεῖσθαι πάσχειν δεινὸν, τῶν μελῶν ἡμῶν σηπομένων; τί ποιεῖς, ἄνθρωπε; ὁρᾷς τὸν ἀδελφὸν, εἰπέ μοι, κατὰ κρημνοῦ φερόμενον, ἠμεληκότα τῆς σωτηρίας, οὐ συνορῶντα τὸ δέον, καὶ οὐκ ὀρέγεις χεῖρα; οὐκ ἐγκαλεῖς καὶ ἐλέγχεις; ἀλλὰ τὸ μὴ
B
προσκροῦσαι αὐτῷ, καὶ φανῆναι ἐπαχθὴς, προτιμᾷς τῆς ἐκείνου σωτηρίας; καὶ ποίαν ἕξεις συγγνώμην παρὰ τῷ Θεῷ, καὶ τίνα ἀπολογίαν; οὐκ ἤκουσας τί τοῖς Ἰουδαίοις ἐκέλευσεν ὁ Θεός; τὰ ὑποζύγια αὐτῶν ἐχθρῶν μὴ περιορᾶν πλανώμενα, μηδὲ παρατρέχειν πεπτωκότα. εἶτα Ἰουδαῖοι μὲν τὰ ἄλογα κελεύονται μὴ περιορᾶν τῶν ἐχθρῶν, ἡμεῖς δὲ τὰς ψυχὰς τῶν ἀδελφῶν καθ᾽ ἑκάστην ὑποσκελιζομένας περιοψόμεθα;
C
καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ὠμότητος καὶ θηριωδίας, μηδὲ τοσαύτην ἀπονέμειν ἀνθρώποις πρόνοιαν, ὅσην τοῖς ἀλόγοις ἐκεῖνοι; τοῦτο πάντα ἀνέστρεψε, τοῦτο τὸν βίον ἡμῶν συνέχεεν, ὅτι οὔτε ἐλεγχόμενοι φέρομεν γενναίως, οὔτε ἑτέρους ἐλέγχειν βουλόμεθα. διὰ γὰρ τοῦτο καὶ ἐπαχθεῖς ἐσμεν ἐλέγχοντες, ἐπειδὴ ἐκθηριούμεθα ἐλεγχόμενοι. εἰ γὰρ ᾔδει ὁ ἀδελφὸς ὅτι ἐλέγξας σε ἐπῃνεῖτο παρὰ σοῦ, καὶ αὐτὸς ἐλεγχόμενος τὴν αὐτὴν ἀμοιβὴν ἀπέδωκεν ἄν. βούλει διορθῶσαι τὸν ἀδελφόν;
D
δάκρυσον· εὔξαι τῷ Θεῷ· κατ᾽ ἰδίαν λαβὼν παραίνεσον, συμβούλευσον, παρακάλεσον· δεῖξον ἀγάπην περὶ τὸν ἡμαρτηκότα· πεῖσον αὐτὸν ὅτι κηδόμενος καὶ φροντίζων, οὐκ ἐκπομπεῦσαι βουλόμενος περὶ τῆς ἁμαρτίας αὐτὸν ὑπομιμνήσκεις· κατάσχε πόδας, μὴ ἐπαισχυνθῇς, εἴγε ἀληθῶς ἰατρεῦσαι βούλει. ταῦτα γὰρ καὶ ἰατροὶ ποιοῦσι πολλάκις, δυσαρέστως ἔχοντας τοὺς κάμνοντας καταφιλοῦντες, παρακαλοῦντες, ἀναπείθουσι σωτήριον δέξασθαι φάρμακον. κἂν ἀπο-
E
θανεῖν δέῃ ὑπὲρ τοῦ σωφρονίσαι τὸν ἀδελφὸν, μὴ ἀποκνήσῃς· μαρτύριόν σοι τοῦτό ἐστιν. ἐπεὶ καὶ Ἰωάννης μάρτυς ἦν· καίτοιγε οὐχὶ θῦσαι ἐκελεύσθη οὐδὲ εἴδωλον προσκυνῆσαι, ἀλλ᾽ ὑπὲρ τῶν ἱερῶν νόμων ὑβριζομένων τὴν κεφαλὴν ἀπέθετο. καὶ σὺ τοίνυν ἀγώνισαι μέχρι θανάτου ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ. ἀρκεῖ εἷς ἄνθρωπος ζήλῳ πεπυρωμένος ὁλόκληρον διορθῶσαι δῆμον. καὶ μή μοι τις λεγέτω, οὐδὲν ἔχω κοινὸν πρὸς τὸν ἀδελφόν· πρὸς τὸν διάβο-
A
λον οὐδὲν ἔχομεν κοινὸν μόνον, πρὸς δὲ τοὺς ἀνθρώπους πολλὰ ἔχομεν κοινά· τῆς φύσεως ἡμῖν τῆς αὐτῆς μετέχουσι, τὴν αὐτὴν γῆν οἰκοῦσι, καὶ ταῖς αὐταῖς τρέφονται τροφαῖς, τὸν αὐτὸν ἔχουσι δεσπότην, τοὺς αὐτοὺς ἐδέξαντο νόμους. μὴ τοίνυν ταῦτα λέγωμεν, ἀλλὰ τὴν πρέπουσαν ἀδελφοῖς κηδεμονίαν ἐπιδειξώμεθα. πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν μάχην ἴδωμεν ἐπὶ τῆς ἀγορᾶς, προσιέναι καὶ καταλλάττειν τοὺς μαχομένους· καὶ τί λέγω μάχην; εἰ καταπεσόντα ἴδωμεν ὄνον, πάντες χεῖρα ὀρέ-
B
γομεν καὶ ἀναστῆσαι σπεύδομεν· τῶν δὲ ἀδελφῶν ἀπολλυμένων ἀμελεῖν καὶ πῶς οὐ δεινόν; μὴ τοίνυν παύσῃ παραινῶν τὸν ἀδελφὸν ὁρῶν ἀπολλύμενον, κἂν λοιδορῇ, κἂν ὑβρίζῃ, κἂν ἀπειλῇ ἐχθρὸν γενέσθαι, κἂν ὁτιοῦν ἕτερον ἐπανατείνηται, πάντα φέρε γενναίως, ὅπως αὐτοῦ κερδάνῃς τὴν σωτηρίαν. ἐὰν οὗτος ἐχθρός σου γένηται, ὁ Θεὸς ἔσται σοι φίλος, καὶ μεγάλοις σε κατὰ τὴν ἡμέραν ἐκείνην ἀμείψεται τοῖς ἀγαθοῖς. μέγα μὲν γὰρ ἀγαθὸν, καὶ τὸ ἐλεεῖν τοὺς πενομένους· ἀλλ᾽
D
οὐδὲν τοιοῦτον οἷον τὸ πλάνης ἀπαλλάττειν. οὐδὲν γὰρ ψυχῆς ἀντάξιον, οὐδὲ ὁ κόσμος ἅπας. ὥστε κἂν μυρία δῷς χρήματα πένησιν, οὐδὲν τοσοῦτον ἐργάσῃ οἷον μίαν ἐπιστρέψαν ψυχήν. ὁ γὰρ τοῦτο ποιῶν, κατὰ Παῦλον γίνεται καὶ Πέτρον, οὐχὶ κινδυνεύων καθάπερ ἐκεῖνοι, καὶ λιμοὺς καὶ λοιμοὺς, καὶ τὰ ἄλλα ὑποφέρων κακά· εἰρήνης γὰρ ὁ παρὼν καιρός· ἀλλὰ τὰ ἀπὸ τῆς προθυμίας ἐπιδεικνύμενος. καὶ τί λέγω Πέτρον καὶ Παῦλον; στόμα ἔσται τοῦ Χριστοῦ. ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀνα-
C
ξίου, ὡς στόμα μου ἔσται, φησίν. ἔξεστι τοίνυν καὶ οἴκοι καθημένοις ταύτην τὴν ἁλιείαν ἐργάζεσθαι· εἴτις ἔχει φίλον, καὶ συγγενῆ, καὶ οἰκεῖον, ταῦτα ποιείτω, καὶ ἔσται κατὰ Πέτρον καὶ Παῦλον. κἂν μὴ σήμερον πείσῃς, κἂν μηδέποτε πείσῃς, σὺ τὸν μισθὸν ἕξεις ἀπηρτισμένον· κἂν μὴ πάντας πείσῃς, ὀλίγους ἀπὸ τῶν πολλῶν δυνήσῃ. καὶ γὰρ οἱ ἀπόστολοι, οἱ καὶ μὴ πάντας ἔπεισαν, ἐπεὶ πᾶσι διελέχθησαν, τὸν ἐπὶ πᾶσι μισθὸν ἐκαρπώσαντο. μὴ τοίνυν, ἐπειδὴ πολλοὺς οὐ δύνασαι διδάξαι, καὶ τῶν ὀλίγων καταφρόνει, μηδὲ τῇ τῶν μεγάλων ἐπιθυμίᾳ, καὶ τῶν μικρῶν σεαυτὸν
E
ἀφελκύσῃς. κἂν ἑκατὸν μὴ δυνηθῇς, τῶν δέκα ἐπιμελήθητι· κἂν μὴ δέκα δυνηθῇς, μηδὲ τῶν πέντε καταφρονήσῃς· κἂν πέντε μὴ δυνηθῇς, τοῦ ἑνὸς μὴ ὑπεριδῇς. οὐ γὰρ πρὸς τὸ τέλος τῶν κατορ-

θωμάτων

θυμένων, ἀλλὰ πρὸς τὴν γνώμην τῶν κατορθούντων ὁ Θεὸς τοὺς στεφάνους ὁρίζειν εἴωθε. καὶ γὰρ τοῦ μὴ πεῖσαι τοὺς ἀκούοντας, οὐκ ἐσμὲν ὑπεύθυνοι οἱ διδάσκοντες, ἀλλὰ τοῦ μὴ συμβουλεῦσαι μόνον· τὸ μὲν γὰρ παραινέσαι μόνον ἡμέτερον, τὸ δὲ πεισθῆναι, ἐκείνων. καὶ καθάπερ ἡμῶν μὴ παραινεσάντων, κἂν μυρία κατορθώσωσιν ἐκεῖνοι, μόνοις αὐτοῖς ἅπας ὁ μισθὸς κείσεται, ἡμῖν δὲ οὐδὲν ἔσται κέρδος· οὕτως ἐὰν ἡμῶν παραινεσάντων ἐκεῖνοι μὴ προσέχωσιν, ἅπασα αὐτοὺς ἡ τιμωρία καταλήψεται, ἡμῖν δὲ οὐδὲν ἔσται ἔγκλημα, ἀλλὰ καὶ πολὺς ὁ μισθὸς ἀπαντήσεται παρὰ τοῦ Θεοῦ. ὁ μὲν γὰρ τοῖς προσέχουσι λέγων, ἔχει παραμυθίαν τοῦ λέγειν, τὴν πειθὼ τῶν ἀκροωμένων· ὁ δὲ συνεχῶς λέγων, καὶ μὴ ἀκουόμενος, εἶτα οὐ παυόμενος τοῦ λέγειν, πλείονος ἂν εἴη τιμῆς ἄξιος, διὰ τὸ τῷ Θεῷ δοκοῦν, καὶ μηδενὸς προσέχοντος τὸ αὐτοῦ πληροῦν πᾶν. ἀλλ' εἰ καὶ ἡμῖν ὁ μισθὸς μείζων ἐκ τῆς ὑμετέρας παρακοῆς, ὅμως ἐπιθυμοῦμεν τοῦτον ἐλαττωθῆναι μᾶλλον, καὶ τὴν ὑμετέραν αὐξηθῆναι σωτηρίαν, μισθὸν μέγαν τὴν ὑμετέραν εὐδοκίμησιν εἶναι νομίζοντες. ἂν τοίνυν ἴδῃς τινὰ δεόμενον ψυχικῆς ἢ σωματικῆς θεραπείας, μὴ λέγε πρὸς ἑαυτὸν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸν οὐκ ἐθεράπευσεν; ἤ, ὅτι ἐγὼ κοσμικός εἰμι, γυναῖκα ἔχω καὶ παιδία. ταῦτα τῶν ἱερέων ἐστί· ταῦτα τῶν μοναχῶν. εἰπὲ δή μοι, ἐὰν εὕρῃς χρυσίον κείμενον, μὴ λέγεις πρὸς ἑαυτὸν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸ οὐκ ἀνείλοντο; οὐδαμῶς· ἀλλὰ σπουδάζεις πρὸ τῶν ἄλλων διαρπάσαι. οὕτω καὶ ἐπὶ τῶν πεπτωκότων ἀδελφῶν λογίζου, καὶ νόμιζε θησαυρὸν εὑρηκέναι τὴν ἐπιμέλειαν τὴν ἐκείνων. ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, φησὶν, ὡς στόμα μου ἔσται. καὶ τί τούτου γένοιτ' ἂν ἴσον; ὃ γὰρ οὔτε νηστεία, οὔτε χαμευνία, οὐκ ἄλλο τι δύναται ἐργάσασθαι, τοῦτο ἡ τοῦ ἀδελφοῦ σωτηρία ποιεῖ. μὴ γὰρ ἐγὼ ταῦτα ἐπαγγέλλομαι· αὐτὸς ὁ Θεὸς τοῦτο εἴπων· ὅτι κἂν ἕνα τινὰ ἐξαγάγῃς, φησὶν, ὡς στόμα μου ἔσται τὸ στόμα σου. μὴ τοίνυν παριόντες λέγωμεν τί ἥμαρτον, ἀλλὰ σπουδάζωμεν, ὅπως αὐτοὺς διορθώσωμεν· καὶ μὴ τοῦτο σκοπῶμεν μόνον, εἰ πολλοὶ οἱ παρασυρόμενοι· ἀλλ' ἐκεῖνο σκοπήσωμεν, ὅπως αὐτοὺς ἀπαγάγωμεν. τὸ μὲν γὰρ πρὸ τῆς ἁμαρτίας ἀσφαλίζεσθαι τοὺς ἀδελφοὺς, μὴ πεσεῖν, οὐκ ὀλίγην ἡμῖν προξενεῖ σωτηρίαν· τὸ δὲ καὶ μετὰ τὴν ἁμαρτίαν, πολλὴν τὴν περὶ αὐτοὺς ἐπιδείκνυσθαι ἐπιμέλειαν, οὐ μικρὸν καὶ τοῦτο παρέχει τὸν ἔπαινον. καὶ ἰατροὶ λέγουσι μὲν καὶ ὑγιαίνουσι τοῖς ἀνθρώποις ἃ δύναται τὴν ὑγίειαν διατηρῆσαι αὐτοῖς, καὶ πᾶσαν ἀποκρούσασθαι νόσον· ἀμελήσαντας δὲ καὶ ἀῤῥωστίᾳ περιπεσόντας, οὐ παρορῶσιν· ἀλλὰ καὶ πολλὴν τότε μάλιστα ἐπιδείκνυνται προθυμίαν, ὅπως αὐτοὺς ἀπαλλάξωσι τῶν νοσημάτων. καὶ σὺ τοίνυν, ὅταν ἀδελφὸν δέῃ διορθῶσαι, κἂν τὴν ψυχὴν ἐπιδοῦναι δέῃ, μὴ παραιτήσῃ. ὁ δεσπότης ἡμῶν δι' ἡμᾶς ἀπέθανε· σὺ δὲ οὐδὲ λόγον προέσθαι; καὶ ποίαν ἕξεις συγγνώμην, ποίας ἀπολογίας τεύξῃ; πῶς ἐπὶ τοῦ βήματος στήσῃ τοῦ Χριστοῦ μετὰ παῤῥησίας, εἰπέ μοι, τοσούτων ψυχῶν ἀπώλειαν παρορῶν; εἴθε μοι δυνατὸν ἦν τούτους εἰδέναι, καὶ οὐκ ἂν ἐδεήθην ὑμῶν, ἀλλὰ τὴν ταχίστην ἐποιησάμην διόρθωσιν. εἰπὲ δή μοι, εἴ τινα εἶδες ἀπαγόμενον δικαίᾳ ψήφῳ καταδικασθέντα, εἶτα κύριος ἦς ἐξαρπάσαι τῶν τοῦ δημίου χειρῶν· οὐκ ἂν ἅπαντα ἔπραξας, ὥστε αὐτὸν ἀπαλλάξαι τῆς ἀπαγωγῆς; τὸν δὲ ἀδελφὸν ὁρῶν οὐχ ὑπὸ δημίου, ἀλλ' ὑπὸ τοῦ διαβόλου πρὸς τὸ βάραθρον τῆς ἀπωλείας ἑλκόμενον, οὐδὲ συμβουλὴν προσφέρειν ὑπομένεις, ὥστε αὐτὸν ἐξελέσθαι τοῦ χαλεποῦ τούτου θηρίου; καὶ ποίας ἂν τύχοις συγγνώμης; ἀλλ' ἰσχυρότερός σου καὶ δυνατώτερός ἐστιν; ἐμοὶ δῆλον αὐτὸν κατάστησον, αἱρήσομαι τὴν κεφαλὴν ἀποθέσθαι μᾶλλον ἢ τῶν ἱερῶν αὐτὸν ἀφεῖναι ἐπιβῆναι προθύρων. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παῖδας μετὰ ταλαιπωρίας ἄγειν τὴν ἀρχὴν ἐπὶ πράγματα, προοίμια μὲν ἔχοντα ἐπίμοχθα, τὸ δὲ τέλος χρηστὸν, ἡμᾶς δὲ αὐτοὺς ἀπ' ἐναντίας περὶ τῶν πνευματικῶν διακεῖσθαι πραγμάτων; καὶ γὰρ εἴ τις ἔξωθεν ποθὲν ἡμῖν ἐπιστὰς, καὶ τῆς Χριστοῦ διδασκαλίας τὰ πράγματα, καὶ τῆς πολιτείας τῆς ἡμετέρας καταμάθοι τὴν σύγχυσιν καλῶς, οὐκ οἶδα τίνας ἑτέρους μᾶλλον ἢ ἡμᾶς ἐχθροὺς ὑπολήψεται εἶναι τοῦ Χριστοῦ. καθάπερ γὰρ ἐσπουδακότες τὴν ἐναντίαν αὐτοῦ ἐλθεῖν τοῖς ἐπιτάγμασιν, οὕτω ταύτην ὠδεύσαμεν τὴν ὁδόν. ὅταν γὰρ ἃ μὲν ἐπιτάττῃ ποιεῖν, εὔκολα καὶ ῥᾷστα τοῖς βουλομένοις, ἃ δὲ ἀπαγορεύῃ, χαλεπὰ καὶ ἐπίπονα· ἡμεῖς δὲ τὰ προστεταγμένα ἀφέντες, τὰ κεκωλυμένα πράττωμεν, ἆρα οὐχὶ φιλονεικοῦντας αὐτῷ, ταῦτα ἁμαρτάνειν φήσουσιν ἡμᾶς ὡς ἐχθρούς; ἀλλ' ὥσπερ τοῖς ἀγαθοῖς ἔθος ταῦτα τοῖς πλησίον παραινεῖν, δι' ὧν αὐτοὶ γεγόνασιν ἀγαθοί· οὕτω καὶ τοῖς πονηροῖς ἔθος ταῦτα εἰσηγεῖσθαι τοῖς πλησίον, δι' ὧν αὐτοὶ γεγόνασι φαῦλοι. ἓν γὰρ αὐτὸ καὶ τοῦτο τῆς πονηρίας αὐτῶν εἶδός ἐστι· καὶ παραμυθίαν ἡγοῦνται τῆς οἰκείας κολάσεως, τὴν ἑτέρων ἀπώλειαν. τίς ἡμῶν, εἰπέ μοι, ἐν οἰκίᾳ γενόμενος πυκτίον ἔλαβε

A mam, ſed juxta mentem corrigentiũ Deus coronas definire conſuevit. Enimverò non ideò culpabiles ſumus, ſi auditoribus, quæ proponimus, non perſuadeamus, ſed ſi illos monere negligamus: hortari enim ſolum noſtrarum partium eſt; illorum verò obtemperare. Et quemadmodum nobis non admonentibus, illiſque interim innumera rectè gerentibus, tota merces ipſis ſolis reponetur, nobis verò nihil emolumenti inde accedet: ita ſi viciſſim nobis adhortantibus ipſi non pareant, omnis pœna eoſdem compre- B hendet, nobis verò crimen non erit, ſed amplum à Deo præmium tribuetur. Qui enim ſibi dicenti faciles attentóſque habet auditores, facilè illorum obedientia dicendi laborem ſulatur: ſi verò quis aſſiduè verba faciens non audiatur, ac interim à dicendo non deſiſtat, is utique majore honore dignus fuerit, eo quod Deo ita videatur, & quod nemine etiam obſequente, omnes ſui muneris partes impleat. Sed quamvis tamen nobis major ex veſtra inobedientia merces exiſtat; eam nihilominus imminui potiùs deſide- C ramus, ſalutémque veſtram augeri, quod magni præmii loco gloriam veſtram ducamus. Si itaque quempiam ſive animæ, ſive corporis medela indigentem conſpicias, ne apud te dixeris, quam ob cauſam iſte vel iſte hunc non curavit? aut: ego ſecularis ſum, uxorem & liberos habeo: Sacerdotum iſta ſunt, monachorum ſunt. Dic mihi, obſecro, ſi aurum alicubi poſitum invenias, diciſne apud teipſum, quare iſte aut iſte hoc aurum non ſuſtulit? Minimè verò: ſed aliis omnibus præripere ſtudes. Idem igitur D tibi animus ſit, ſi quando lapſos errore fratres videris; curamq; eorum veluti theſaurum inventum reputes: qui enim ſeparat pretioſum à vili, inquit, tanquam os meum erit. Et quidnam cum iſta re conferri poterit? Quod enim neque jejunium, neque humi dormitio, neque aliud quicquam præſtare nobis poteſt, hoc procurata fratris ſalus efficere poteſt. Nec ego iſta enuncio; ipſemet Deus hoc aſſeruit, inquiens: quòd ſi vel unum aliquem liberaveris, tanquam os meum, erit os tuum. Ne igitur prætereuntes di- E camus, quænam commiſerint, ſed ſtudium diligentiamq; adhibeamus, ut ipſos corrigamus: nec illud conſideremus, utrum magnus ſit perverſorum numerus, ſed potius cogitemus, qua ratione eos ab errore abducamus. Etenim ante peccatum fratres obfirmare ne labantur, non exiguam nobis incolumitatem comparat: erga verò errore jam lapſos magnam oſtendere ſollicitudinem, & ipſum non mediocrem laudem parit. Ac medici quidem, ipſis quoque rectè valentibus ea indicant, quæ ſanitatem A conſervare, omnémq; depellere languorem valeant: illos autem, qui rebus his neglectis in adverſam valetudinem inciderunt, minimè negligunt, ſed tunc vel maxime curam ſuam ac induſtriam demonſtrant, ut eos à morbis liberent. Sit tu igitur, ſi quando fratrem corrigere neceſſe ſit, etiamſi vitam profundere oporteat, ne recuſes. Dominus noſter propter nos mortem ſubiit; & tu ne verbum quidem emitteres? Et quam habebis veniam, quámve adferes excuſationem? Quomodo ante tribunal Chriſti cum fi- B ducia conſiſtes, quæſo, qui jam tot animarum interitum nihil penſi habes? Utinam mihi noviſſe illos liceat: veſtram utiq; non expeterem operam, ſed ipſe quàm citiſſimè emendarem. Age porrò, ſi juſta ſententia aliquem condemnatum ad ſupplicia duci videres, eúmq; è carnificis manibus eripere valeres, nonne quidvis faceres, ut à vinculis eum liberares? Fratrem igitur cùm conſpicias, non à carnifice, ſed à diabolo ad barathrum perditionis trahi, ne conſilium quidem adferre dignaris, ut ipſum ab immani C illa bellua eripias? Et quam veniam tandem hujus impetrabis? Sed fortior te eſt ac potentior? Mihi illum manifeſtum ob oculos ſtatue: caput mihi potiùs auferri patiar, quàm permittere, ut ſacra veſtibula ingrediatur. Quomodo enim non abſurdum eſt, pueros quidem cum vexatione ac moleſtia ad negotia principio inducere, quæ exordia quidem habent laborioſa, finem verò utilem ac bonum; nos verò contrario modo in ſpiritualibus rebus affectos eſſe? Enimvero ſi quis extraneus aliunde ad nos veniret, D & tum religionis diſciplinæque Chriſtianæ negotia, tum politiæ noſtræ confuſionem probè intelligeret, neſcio quoſnam alios magis, quàm nos ipſos, hoſtes Chriſti judicaturus eſſet. Ita enim vitæ noſtræ rationem inſtituimus, perinde ac ſi de induſtria viam mandatis ipſius contrariam ambulare decreviſſemus. Cum enim, quæ facere nobis præcipit, volentibus levia ſint ac facilia: quæ verò prohibet, aſpera difficiliáque exiſtant: cúmque interim nos E quæ prohibita ſunt, facimus; quæ verò præcepta, negligamus; nonne nos ei obnitentes, tanquam hoſtes iſta committere dicent? Sed quemadmodum bonis in more poſitum eſt, ea proximis ſuis ſuadere, per quæ ipſi probi evaſerunt: ita improbi illarum rerum proximis authores eſſe conſueverunt, per quas ipſi facti ſunt perverſi, unum enim & idem improbitatis illorum genus eſt: & loco conſolationis pœnæ ſuæ ducunt aliorum perditionem. Quis noſtrum quæſo, cùm domi fuit, Chriſtianum aliquem libellum in manus ſumpſit, & quæ in eo continentur, evolvit, ſcripturámque

Ex hom. 2. contra Iud.

Ex expli. epiſt. 1. ad Cor.

Ex hom. in Oſeam.

Ex interpret. Evang. ſecundum Ioan.

ſcrutatus eſt? Nemo facilè repetietur, qui hæc dicere poſſit. Calculos quidem & teſſeras apud proximos reperiemus, libros verò aut nuſquam, aut apud paucos: Et hi quidem non habentibus nihilo ſunt meliores; quòd eos colligatos & in arculis repoſitos perpetuò ſervant, quodque omne ipſorum ſtudium ſit, ut ſubtilis ſit membrana, eleganter efformatæ literæ; nullum autem, ut legant. Non enim hi propter utilitatem & uſum ſibi libros compararunt; ſed ut opulentiam ſcilicet & ambitionem ſuam oſtendant, tantum in illis ſtudium poſuerunt. Tanta eſt hæc vaniſſima jactantia. Neminem enim ambitioſum dicere audio, quòd ea, quæ in ejuſmodi libellis continentur, calleat, ſed quòd aureis literis intus ſint perſcripti. Eunuchus ille barbarus & innumeris curis implicatus curru inſidens legebat, licet non intelligeret, quæ legebat. Si verò tantum etiam in via legendi ſtudium oſtenderit, cogita quantum domi agens impenderit: Si tempus illud, quo iter faciebat, ſine lectione abire non patiebatur; quanto magis, dum domi ſederet? Si, cum nihil intelligeret, nunquam à lectione ceſſavit: quanto magis poſtquam doctrina imbutus fuit? Quemadmodum enim famem ſentire bonæ valetudinis corporis indicium eſt: ita divinos ſermones ſtudioſè libentérque audire, ſanitatis animæ maximum argumentum meritò quis fecerit. Qua enim de cauſa vobis tam frequenter quæſtiones proponimus, earum verò ſolutionem non adferimus? Nimirum ut vos aſſuefaciamus, non ſemper præmanſum cibum capere, ſed ut ſubinde etiam ipſimet reſponſionem ad propoſitam ſententiam inferatis. Atque hac in re columbas imitamur, quæ pullos ſuos, quandiu quidem in nido manent, proprio ore ſuo nutriunt: cùm verò ipſos ex nido jam exigere poſſunt, alâſque firmatas conſpiciunt, non ampliùs id deinde faciunt, ſed granum quidem in ore portantes pullis oſtendunt: quibus avidè expectantibus & accedentibus, matres eſcam in pavimentum demittentes, ipſos per ſe colligere monent. Eodem igitur modo & nos facimus, ſpirituale videlicet nutrimentum ore tenentes & convocantes, ut vobis pro conſuetudine ſolutionem indicemus: Quando verò jam acceſſiſtis, & vos accepturos ſperatis, verba omittimus, ut ipſi per vos intellectum ſeu ſenſum percipiatis. Et ſicut citharœdi digitos diſcipulorum ſuorum accipientes, eos vocibus formandis ſenſim aptant, & ad peritè tangendum inſtruunt, ut ex mutis tum digitis tum fidibus eos qualibet voce ſuaviorem & dulciorem ſonum efficere doceant: ita nos quoque facimus. Nam quemadmodum in cithara aliqua, fides ipſas quidem tum artifex pulſat, tum imperitus: & hic quidem contriſtat moleſtiáque afficit auditorem, ille verò demulcet & oblectat. & iidem quidem digiti eædémque fides ſunt, ſed non eadem peritia; Ita in divinis quoque ſcripturis res ſeſe habet; multi ſiquidem divina eloquia ſeu oracula aggrediuntur, ſed non omnes tamen lucrum inde reportant, nec omnes fructum percipiunt. Cauſa verò eſt, quoniã ea quæ dicta ſunt, nec intellectu penetrant, nec arte inſtructi citharam capeſſunt: Quod enim in citharæ pulſu ars eſt, id in divinis legibus eſt operum demonſtratio. Et quemadmodum adverſa valetudine laborantibus non oportet brevem & opere ſubitario paratam menſam apponere, ſed præparare ſtudioſè cibos neceſſe eſt: ut ſi æger hoc nolit, aliud ſumat: & ſi illud non admittat, aliud capiat: & ſi hoc rejiciat, aliud acceptet: atque hac ratione, diverſitate ciborum, moleſtiam vincamus, variéque inſtructa menſa animi moroſitatem deliniamus: eodem modo in ſpirituali epulo agendum eſt, cùm imbecilles ſumus; quo ſcilicet ex multis variiſque exemplis facilior vobis utilium electio fiat. Ne igitur graviter adhortationem meam feratis. ſi enim quid indignè ferendum alicui erat, mihi maximè erat, qui toties verba ad vos faciens non audior: nequaquam autem vobis, qui ſemper quidem auditis, nunquam tamen obtemperatis. An neſcitis, quod divinam diſciplinam negligentes, propter contemptum & humanæ naturæ dignitatem perdiderint, & tanta nobilitate exciderint? Altiſſima voce propheta Iſaias, in civitatem Judæorum metropolim, Hieroſolymam dico, hominibus frequentem, ingreſſus, in mediis plateis ſtans, univerſo populo circumſiſtente clamabat (volens oſtendere, eum, qui divina oracula non auſcultaret, hominem non eſſe) Veni & non erat homo: vocavi, & non erat, qui audiret. Cùm igitur veniſſet, & nemo eſſet qui audiret, ad elementa ſermonẽ convertit, & ait: Audi cœlum, & auſculta terra, ego enim, inquit, ad homines miſſus ſum, ad homines inquam mente præditos: quoniam verò neque rationem neque ſenſum habent, ideò ad elementa ſenſu carentia verba facio, in eorum accuſationem qui intelligentia præditi ſunt, dignitate, verò iſta non utuntur. Et Jeremias in media Judæorum turba ſtans, in ipſa urbe, tanquam nullo præſente, ita clamabat: cui loquar, & quem conteſtabor? Quid dicis? Tantam hominum multitudinem vides, & adhuc quæris, cui loquar? utique inquit, hæc enim turba multitudo eſt corporum auditu

In exemplari eſt καλιᾷ μένωσι.

Hier. 6. 10.

A Χριστιανοὺς μετὰ χεῖρας, καὶ τὰ ἐγκείμενα ἐπῆλθε, καὶ ἠρεύνησε τὴν γραφήν; οὐδεὶς ἂν ἔχοι ταῦτα εἰπεῖν· ἀλλὰ πεττοὺς μὲν καὶ κύβους παρὰ τοῖς πλησίον εὑρήσομεν, βιβλία δὲ οὐδαμοῦ, ἀλλὰ παρ' ὀλίγοις· καὶ οὗτοι δὲ, τοῖς οὐκ ἔχουσιν ὁμοίως διάκεινται, δήσαντες αὐτὰ καὶ ἀποθέμενοι ἐν κιβωτίοις διὰ παντός· καὶ ἡ πᾶσα αὐτοῖς σπουδὴ, περὶ τὴν τῶν ὑμένων λεπτότητα, καὶ τὸ τῶν γραμμάτων κάλλος, οὐ περὶ τὴν ἀνάγνωσιν. οὐ γὰρ ὑπὲρ ὠφελείας ἢ κέρδους τὴν κτῆσιν αὐτῶν πε-
B ποίηνται· ἀλλὰ πλούτου καὶ φιλοτιμίας ἐπίδειξιν ποιούμενοι, περὶ ταῦτα ἐσπουδάκασι. τοσαύτη τῆς κενοδοξίας ἡ ὑπερβολή. οὐδενὸς γὰρ ἀκούω φιλοτιμουμένου, ὅτι οἶδε τὰ ἐγκείμενα, ἀλλ' ὅτι χρυσοῖς ἔχει γράμμασιν ἐγγεγραμμένα. ὁ εὐνοῦχος ἐκεῖνος βάρβαρος ὢν, καὶ μυρίαις συνεχόμενος φροντίσιν, οὐκ εἰδὼς ἅπερ ἀνεγίνωσκεν, ἐπὶ τοῦ ὀχήματος καθήμενος· εἰ δὲ ἐν ὁδῷ τοσαύτην σπουδὴν ἐπεδείκνυτο, ἐννόησον πῶς ἦν ἐν οἴκῳ διατρίβων· εἰ τὸν καιρὸν
C τῆς ὁδοιπορίας οὐκ ἠνείχετο χωρὶς ἀναγνώσεως μένειν, πολλῷ μᾶλλον ἐν τῇ οἰκίᾳ καθήμενος· * εἰ μηδὲν ἔστι σημεῖον, οὕτω καὶ τὸ περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων ἐσπουδακέναι, τῆς κατὰ ψυχὴν ὑγείας τεκμήριον ἄν τις μέγιστον ποιήσαιτο. τούτου γὰρ ἕνεκεν πολλάκις ὑμῖν ζητήματα κινοῦντες ἵνα, τὴν λύσιν αὐτῶν οὐκ ἐπάγομεν, ἐθίζοντες ὑμᾶς μὴ διαπαντὸς μεμασημένην δέχεσθαι τροφὴν, ἀλλὰ πολλαχοῦ καὶ αὐτοὺς ἐπάγειν τὴν λύσιν τοῦ νοήματος· ὅπερ γὰρ ποιοῦ-
D σιν αἱ περιστεραί· καὶ γὰρ ἐκεῖναι τοὺς νεοττοὺς ἕως μὲν ἂν ἐν τῇ καλιᾷ μένωσι, τῷ οἰκείῳ τρέφουσι στόματι· ἐπειδὰν δὲ αὐτοὺς δυνηθῶσιν ἐξαγαγεῖν τῆς νοσσιᾶς, καὶ ἴδωσιν αὐτοῖς παγέντα τὰ πτερὰ, οὐκ ἔτι τοῦτο λοιπὸν ποιοῦσιν, ἀλλὰ φέρουσι μὲν τὸν κόκκον ἐπὶ τοῦ στόματος, καὶ δεικνύουσιν· ἐπειδὰν δὲ οἱ νεοττοὶ προσδοκήσαντες πλησίον ἔλθωσιν, αἱ μητέρες ἀφεῖσαι τὴν τροφὴν ἐπὶ τοῦ ἐδάφους, δι' ἑαυτῶν κελεύουσιν ἀναλέγεσθαι· οὕτω καὶ ἡμεῖς ποιοῦμεν, λαμβάνοντες τὴν
E πνευματικὴν τροφὴν ἐπὶ τοῦ στόματος, * καλοῦμεν ὑμᾶς, ὡς δηλώσοντες ὑμῖν συνήθως τὴν λύσιν· ἐπειδὰν δὲ προσέλθητε καὶ προσδοκήσητε δέξασθαι, ἀφίεμεν ῥήματα, ὥστε ὑμᾶς δι' ὑμῶν αὐτῶν ἀναλέξασθαι τὰ νοήματα. καὶ καθάπερ οἱ κιθαρῳδοὶ, τοὺς δακτύλους τῶν μαθητῶν αὐτῶν λαμβάνοντες, ἠρέμα τοῖς φθόγγοις προσάγουσι, καὶ διαψηλαφᾷν μετ' ἐμπειρίας παιδεύουσι, διδάσκοντες ἐκ τῶν ἀφώνων δακτύλων τε καὶ νεύρων πάσης φωνῆς ἡδίω τε καὶ
A γλυκυτέραν κατασκευάζειν φωνήν· οὕτω δὴ καὶ ἡμεῖς ποιοῦμεν. ὥσπερ γὰρ ἐπὶ τῆς κιθάρας ἅπτεται μὲν ὁ τεχνίτης τῶν νευρῶν, ἅπτεται δὲ καὶ ὁ ἄτεχνος· καὶ ὁ μὲν λυπεῖ τὸν ἀκροατὴν, ὁ δὲ ψυχαγωγεῖ καὶ τέρπει· καίτοιγε οἱ αὐτοὶ δάκτυλοι, καὶ αἱ αὐταὶ νευραὶ, ἀλλ' οὐχ ἡ αὐτὴ ἐμπειρία· οὕτω δὴ καὶ ἐπὶ τῶν θείων γραφῶν· ἐπέρχονται μὲν πολλοὶ τὰ θεῖα λόγια, ἀλλ' οὐ πάντες κερδαίνουσιν, οὐδὲ καρποῦνται πάντες. τὸ δὲ αἴτιον, ἐπειδὴ οὔτε τοῖς εἰρημένοις ἐμβα-
B θύνουσιν, οὔτε μετὰ τέχνης τῆς κιθάρας ἅπτονται. ὃ γὰρ ἐπὶ τῆς κιθαρῳδίας ἡ τέχνη, τοῦτο ἐπὶ τῶν τοῦ Θεοῦ νόμων ἡ διὰ τῶν ἔργων ἐπίδειξις. καὶ καθάπερ ἐπὶ ἀρρωστούντων οὐκ ἀναγκαῖον σύντομον καὶ ἐσχεδιασμένην παραθεῖναι τράπεζαν, ἀλλὰ δεῖ παρασκευάσαι τὰ σιτία, ἵνα ἂν τοῦτο ὁ κάμνων μὴ βουληθῇ, τὸ ἕτερον λάβῃ, κἂν ἐκεῖνο μὴ προσῆται, ἄλλο δέξηται· κἂν τοῦτο διακρούσηται, ἐπιλάβηται θατέρου, καὶ τῇ ποικιλίᾳ τὴν δυσκολίαν νικήσωμεν, καὶ τῷ πολυτρόπῳ τῆς τραπέζης τὸ δυσάρεστον τῆς γνώμης θεραπεύσωμεν· οὕτω καὶ
C ἐπὶ τῆς πνευματικῆς ἑστιάσεως χρὴ ποιῆσαι, ὅταν ἀσθενεῖς ὦμεν· ἵνα ἐκ ποικίλων καὶ πολλῶν παραδειγμάτων ῥᾳδία γένηται ἡμῖν τῶν συμφερόντων ἡ αἵρεσις. μὴ δὴ βαρύνεσθε τὴν παραίνεσιν· εἰ γὰρ βαρύνεσθαι ἔδει, ἐμὲ ἔδει τὸν πολλάκις λέγοντα καὶ οὐκ ἀκουόμενον, οὐχὶ δὲ ὑμᾶς, τοὺς ἀεὶ μὲν ἀκούοντας, ἀεὶ δὲ παρακούοντας. ἢ οὐκ οἴδατε, ὅτι οἱ θείας ἀκροάσεως ὑπερορῶντες, καὶ τὸ εἶναι ἄνθρωποι, διὰ τῆς ὑπεροψίας ταύτης ἀπώλεσαν, καὶ τῆς εὐγενείας αὐτῆς ἐξέ-
D πεσον; ὁ μεγαλοφωνότατος Ἡσαΐας, εἰς τὴν πόλιν τῶν Ἰουδαίων τὴν μητρόπολιν εἰσελθὼν τὴν πολυάνθρωπον, τὰ Ἱεροσόλυμα λέγω, ἐν μέσαις ταῖς ἀγοραῖς ἑστὼς, τοῦ δήμου παντὸς περιεστῶτος, βουλόμενος δεῖξαι, ὅτι ὁ μὴ τοῖς θείοις προσέχων λογίοις, οὐκ ἔστιν ἄνθρωπος, ἐβόα λέγων· ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουόμενος. διὰ τοῦτο ἐπειδὴ ἦλθε καὶ οὐκ ἦν ὁ ὑπακουόμενος, πρὸς τὰ στοιχεῖα τρέπει τὸν λόγον. καί φησιν· ἄκουε, οὐρανὲ,
E καὶ ἐνωτίζου γῆ· ἐγὼ μὲν γάρ φησι, πρὸς ἀνθρώπους ἀπεστάλην, πρὸς ἀνθρώπους νοῦν ἔχοντας· ἐπειδὴ δὲ οὔτε λόγον, οὔτε αἴσθησιν ἔχουσι, διὰ τοῦτο τοῖς οὐκ ἔχουσιν αἴσθησιν στοιχείοις διαλέγομαι εἰς κατηγορίαν τῶν αἰσθήσει τετιμημένων μὲν, οὐ χρωμένων δὲ τῇ τιμῇ. καὶ ὁ Ἱερεμίας ἐν μέσῳ τῷ πλήθει τῶν Ἰουδαίων ἑστὼς ἐν αὐτῇ τῇ πόλει, ὥσπερ οὐδενὸς παρόντος, οὕτως ἐβόα· πρὸς τίνα λαλήσω καὶ

διαμαρτύρομαι; τί λέγεις; τοσοῦτον πλῆθος ὁρῶν ἐρωτᾷς πρὸς τίνα λαλήσεις; ναί φησι· τὸ πλῆθος γὰρ τοῦτο, σωμάτων ἐστὶ πλῆθος

οὐκ

οὐκ ἐχόντων ἀκοάς· ἀπερίτμητα γὰρ τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν. εἰ δὲ τοὺς παρόντας, ἐπειδὴ μὴ προσεῖχον μετὰ σπουδῆς τοῖς λεγομένοις, οὐδὲ ἀνθρώπους εἶναι, φασὶν οἱ προφῆται· τί ἂν εἴποιμεν ἡμεῖς περὶ τῶν οὐ μόνον οὐκ ἀκροωμένων, ἀλλ' οὐδὲ ἐπιβαίνειν τῶν ἱερῶν τούτων προθύρων ἀνεχομένων; οὐδὲ γὰρ εἴ τις σῶμα ἀνθρώπου καὶ φωνὴν ἔχοι, οὗτος ἄνθρωπος· ἀλλ' εἴ τις ψυχὴν ἀνθρώπου καὶ διάθεσιν ἔχοι. οἶδα ὅτι πολλοὶ ἀηδεῖς τοὺς περὶ νουθεσίας ἀκούουσι λόγους· ἀλλὰ τί τὸ κέρδος τῆς σιγῆς; κἂν γὰρ σιγήσω καὶ μηδὲν ἐνοχλήσω διὰ ῥημάτων, ἀδύνατον διὰ τῆς σιγῆς ταύτης κολάσεως ἀπαλλάξαι ὑμᾶς· ἀλλὰ καὶ τοὐναντίον ἅπαν ἐντεῦθεν γίνεται· ἐπιτείνεται τὰ τῆς τιμωρίας, καὶ οὐχ ὑμῖν μόνον, ἀλλὰ καὶ ἐμοὶ προξενεῖ τὴν κόλασιν ἡ τοιαύτη σιγή. τίς οὖν ἡ τῶν ῥημάτων χάρις, ὅταν εἰς τὰ ἔργα μὴ βοηθῇ, ἀλλὰ καὶ καταβλάπτῃ; τί τὸ κέρδος εὐφρᾶναι λόγῳ, καὶ λυπῆσαι πράγματι, τέρψαι τὴν ἀκοήν, καὶ κολάσαι τὴν ψυχήν; διόπερ ἀναγκαῖον ἐνταῦθα λυπεῖν, ἵνα μὴ τὴν ἐσχάτην ἀποδῶμεν ἐκεῖ τιμωρίαν, καὶ τὴν ἀνύποιστον ὑποστησώμεθα κόλασιν. οὐ τοίνυν δυσχεραίνειν ὑπὲρ τῶν εἰρημένων χρή, ἀλλ' ἀποδέχεσθαι καὶ ἐπαινεῖν. εἰ δὲ ἴσως ἀσθενέστερον διάκεινται, καὶ οὐκ ἀνέχονται ταύτης ἡμῶν τῆς ἀπολογίας, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι οὐκ ἐμαυτοῦ νόμους ὑμῖν ἐξηγοῦμαι, ἀλλ' ἐκ τῶν οὐρανῶν καταβάντα ἀναγινώσκω γράμματα· καὶ ἀνάγκη τὸν ταύτην πιστευθέντα τὴν διακονίαν, ἢ πάντα μετὰ παρρησίας εἰπεῖν τὰ ἐγκείμενα, [τὸ συμφέρον, ἀλλὰ μὴ τὸ ἡδὺ πανταχοῦ τοῖς ἀκροαταῖς ἐκζητοῦντα.] ἢ τὴν τῶν ἀκουόντων ὑποπτεύσαντα ἀπέχθειαν, καὶ τὴν ἑαυτοῦ, καὶ τὴν ἐκείνων προδοῦναι σωτηρίαν, διὰ τὴν ἄκαιρον ταύτης χάριτος. ὅτι γὰρ καὶ τῷ λέγοντι, καὶ τοῖς ἀκούουσι σφόδρα ἐπικίνδυνον, τὸ τῶν θείων ἀποκρύπτεσθαί τι νόμων· καὶ ὅτι φόνων ὑπεύθυνοι οἱ διδάσκαλοι κρίνονται, ὅταν μὴ πάντα χωρὶς ὑποστολῆς ἐξηγῶνται τοῦ θεοῦ τὰ δικαιώματα, Παῦλον ὑμῖν πάλιν παρέξομαι μάρτυρα. διὰ γὰρ τοῦτο συνεχῶς ὑπὲρ ἅπαντας ἐπὶ τὴν ἁγίαν ἐκείνην καταφεύγω ψυχήν, ὅτι χρησμοί τινές εἰσι θεῖοι νόμοι τὰ Παύλου ῥήματα· οὐ γὰρ Παῦλός ἐστιν ὁ λαλῶν, ἀλλὰ Χριστός, ὁ τὴν ἐκείνου ψυχὴν κινῶν. δι' ἐκείνου γὰρ φθέγγεται πάντα, ἅπερ ἐκεῖνος εἶπεν. τί τοίνυν φησί; „καθαρός εἰμι „ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. διατί; οὐ γὰρ ὑπεστειλάμην τοῦ ἀν„αγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. ὡς εἰ ὑπεστείλατο τοῦ μὴ ἀναγγεῖλαι, οὐκ ἦν καθαρὸς ἐκ τοῦ αἵματος, ἀλλ' ὡς ἀνδροφόνος ἐκρίνετο. καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ ἀνδροφόνος, τὸ σῶμα ἀναιρεῖ μόνον, καὶ τῷ παρόντι παραδίδωσι θανάτῳ· ὁ δὲ πρὸς χάριν δημηγορῶν, καὶ ῥᾳθυμοτέρους ποιῶν τοὺς ἀκροατάς, τὴν ψυχὴν ἀπόλλυσι, καὶ πρὸς ἀθανάτους παραπέμπει κολάσεις καὶ τιμωρίας. τίς οὖν οὕτως ὠμὸς καὶ ἀπάνθρωπος, καὶ ἀσυμπαθής, ὡς ἐγκαλεῖν τῷ λέγοντι καὶ διαλεγομένῳ περὶ τῆς τοῦ θεοῦ συνεχῶς ὀργῆς, τοσαύτην κόλασιν ὑφίστασθαι μέλλοντι, εἰ σιγήσειεν; εἰ μὲν γὰρ ἐγὼ σιγήσας ἀπέκρυπτον τῇ σιγῇ τὰ ἁμαρτήματα, καλῶς ἐδυσχέραινεν ἕκαστος, καὶ ἠγανάκτει δικαίως, μὴ σιγῶντος ἐμοῦ. εἰ δὲ καὶ ἡμῶν σιγώντων νῦν, ἀνάγκη πάντως ἐκεῖ φανῆναι τὰ πλημμελήματα, τί τὸ ὄφελος ἀπὸ τῆς σιγῆς γένοιτ' ἄν; ὁ πρὸς τὸ συμφέρον τῶν ἀκουόντων ὁρῶν, κἂν ἐγκωμιάζῃ αὐτόν, οὐ μόνον οὐκ ἐγκαλεῖσθαι ἄξιος, ἀλλὰ καὶ στεφανοῦσθαι· κἂν σιγᾷ, τότε ἐγκαλεῖσθαι. ἐπεὶ καὶ ὁ Δαβὶδ εἰ ἐσίγησεν ἐπὶ τοῦ Γολιάθ, οὐκ ἂν εἴασαν αὐτὸν ἐξελθεῖν εἰς τὴν παράταξιν, οὐδὲ τὸ λαμπρὸν ἐκεῖνο στῆσαι τρόπαιον. διὰ τοῦτο καὶ ἤδη διελέχθην ὑμῖν πολλάκις, καὶ νῦν προλέγω, οὐκέτι παραινῶν, ἀλλ' ἐπιτάττων καὶ παραγγέλλων· ὁ βουλόμενος, ἀκουέτω, ὁ δὲ μὴ βουλόμενος, ἀπειθείτω· ὅτι ἂν ἐπιμείνητε τοῖς παρ' * ὑμῶν γινομένοις κακοῖς, οὐκ ἀνέξομαι, οὐδὲ δέξομαι ὑμᾶς, οὐδὲ ἀφήσω τὸν οὐδὸν ἐπιβῆναι τοῦτον. τί γάρ μοι δεῖ πλήθους νοσούντων; δώδεκα ἦσαν μαθηταί, καὶ ἄκουσον τί φησιν ὁ Χριστὸς πρὸς αὐτούς, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἂν γὰρ δι' ὅλου κολακεύωμεν, πότε ἀνακτησόμεθα, πότε ὠφελήσομεν; ἀλλ' εἰσί φησιν αἱρέσεις πολλαὶ ἕτεραι, καὶ μεταβαίνουσι. ψυχρὸς οὗτος ὁ λόγος· κρείττων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. ἐπεὶ καὶ σὺ τί βούλει, εἰπέ μοι, μυρίους δραπέτας ἔχειν καὶ κλέπτας οἰκέτας, ἢ ἕνα εὔνουν; ὁ βουλόμενος ἀποπηδάτω, οὐκ ἀνέχομαι οὐδενός. ταῦτα ῥήματα τὰ πάντα διέφθειρεν, ἵνα μὴ ἀπόληται, φησί, καὶ μετατεθῇ πρὸς ἑτέραν αἵρεσιν· ἀσθενής ἐστι, συγκατάβηθι. μέχρι τίνος, μέχρι πότε; ἅπαξ καὶ δὶς καὶ τρίς; μὴ διαπαντός; ἰδοὺ παραγγέλλω πάλιν καὶ διαμαρτύρομαι κατὰ τὸν μακάριον Παῦλον· ὅτι ἂν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. καὶ γὰρ ὅταν μέλλω κρίνεσθαι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, μακρὰν καὶ ὑμεῖς ἑστήξεσθε, καὶ ἡ παρ' ὑμῶν χάρις, ἐμοῦ τὰς εὐθύνας παρέχοντος. ὥστε συμφέρει δακνῆσθαι διὰ τῆς τῶν ῥημάτων ἀλγηδόνος τοὺς ἁμαρτάνοντας, ἵνα τῆς διὰ τῶν πραγμάτων αἰσχύνης ἀπαλλαγῶσιν. οἶδα ὅτι

carentium. Incircumciſæ enim aures eorum, & audire non poſſunt. Si igitur Prophetæ eos homines, qui præſentes quidem adſunt, non tamen ſtudioſè iis quæ dicuntur, auſcultant, homines eſſe negent; quid nos de illis dicemus, qui non ſolùm non audiunt, ſed ne quidem intrare hæc ſacra limina volunt? Non enim ſi quis corpore humano & voce præditus ſit, ille homo eſt; ſed ſi quis animum hominis & affectum habeat. Scio quòd non pauci illibenter ſermonem de correptione audiant: Sed quid prodeſt, ſi taceamus? Etiamſi enim ſiluero, nec quicquam verbis movero, fieri tamen non poteſt, ut ejuſmodi ſilentio vos à pœnis liberem: ſed contrarium omnino inde evenit, auget ſupplicium talis taciturnitas & diſſimulatio; nec vobis duntaxat, ſed etiam mihi pœnam accerſit. Quid porrò boni nobis verba conferunt, cùm ad opera nihil proſunt & juvant, imò etiam obſunt & retardant? Quid prodeſt ſermone aliquem exhilarare, & opere contriſtare? delectare auditum, & pœnis afficere animam? In hac igitur vita triſtitiam inferre neceſſe eſt, ne extremum in altera luamus ſupplicium, & intolerabilem ſuſtineamus pœnam. Non igitur moleſtè graviterque ferre dicta oportet, ſed ſuſcipere & laudare. Si verò aliqui fortè infirmiores ſint, & hanc noſtram defenſionem non æquo animo ferant, illis ego reſponderim, me non leges proprias vobis exponere, ſed cælitus delapſas prælegere literas, atq; omnino eſſe neceſſe illi cui tale miniſterium creditum eſt, aut omnia illis literis contenta liberè dicere (ſi modò utilitatem auditorum, & non delectationem ubique exquirat) aut auditorum inimicitias ſuſpicando, & propriam & aliorum ſalutem per ineptam iſtam benevolentiam prodere. Quòd enim de divinis aliquid mandatis celare, tum dicenti, tum auditoribus admodum periculoſum ſit: & magiſtri, niſi omnia Dei præcepta citra prævaricationem exponant, homicidii rei judicentur, Paulum rurſus teſtem vobis conſtituo. Idcirco autem præ omnibus ſemper ad ſanctam illam animam me confero, quoniam Pauli verba oracula quædam ſunt & divinæ leges, cùm non Paulus ſit, qui loquitur, ſed Chriſtus qui animam illius movet, atque per eum omnia loquitur, quæ ille dixit: Quid igitur inquit? Mundus ego ſum à ſanguine omnium. Quare? *Non enim ſubterfugi, quominus annunciarem vobis omne conſilium Dei.* Si ergo ſubterfugiſſet, quominus annunciaret, non fuiſſet mundus à ſanguine, ſed veluti homicida judicatus fuiſſet. Et meritò ſanè. homicida enim ſolum corpus interimit & præſenti morti tradit: qui verò ad gratiam concionatur, & ſegniores reddit auditores, ille animas perdit, eaſque ad ſempiternas pœnas ac cruciatus tranſmittit. Quis igitur adeò crudelis & inhumanus, quis adeò rigidus eſt, & affectuum expers, ut aſſiduè de ira Dei dicentem & diſſerentem accuſare audeat, cùm is, ſi taceat, talem pœnam toleraturus ſit? Equidē ſi ego tacens peccata ſilentio occultare poſſem, meritò quilibet indignè ferret, & juſtè conquereretur, quod nō tacerem. Jam verò, cum nobis tacentibus omnino neceſſe ſit ibi manifeſta fieri delicta, quidnam emolumenti ſilentium meum adferre poſſit? Qui ad auditorum commodum reſpicit, etiamſi ſeipſum laudibus efferat, non ſolùm reprehendendus non eſt, ſed corona etiam dignus: ac ſi quidem taceat, vitio illi vertendum eſt. Etenim ſi David de Goliath tacuiſſet, minimè ipſum ad pugnam exire permiſiſſent, neque illuſtre illud ſtatuere trophæum. Idcirco etiam ad vos jam frequenter ſermonem habui, & jam prædico, non ampliùs adhortans, ſed præcipiens & denuncians (qui vult, audiat, qui verò non vult, negligat) quòd ſi in his quæ à vobis perpetrantur, ſceleribus perſeveretis, non patiar, neque admittam vos, neque vos hæc limina tranſire concedam. Ad quid enim morbo laborantium multitudine indigeo? Duodecim erant diſcipuli, & audi quid ad illos Chriſtus dicat: Voltis & vos abire? Si enim ſemper aſſentemur, quando tandem amiſſa reparabimus, quando proderimus? Sed multæ, inquit, ſunt aliæ ſectæ, & ad alias ſententias tranſeunt. At frigida eſt hæc ratio. melior enim eſt unus, qui facit voluntatem Domini, quàm decem millia iniquorum. Et tu verò, dic mihi, utrum malles decem millia habere ſervorum fugitivorum, & furum, an unum bonum & benevolum? Qui vult, exiliat: non tolero quemquam. Hæc verba omnia everterunt; ut abeat, inquiet aliquis, & ad diverſam ſectam ſeſe transferet: imbecillis eſt, animum nonnihil inflecte. At quouſque? quamdiu? ſemel, iterum, & tertiò? an perpetuò? Et ſpondeo & conteſtor ſecundum B. Paulum, quoniam, ſi iterum veniam, non parcam. Etenim, quando ego coram tribunali Chriſti judicabor, vosquoque procul ſtabitis, & gratia apud vos parta, me rationem reddente. Præſtat igitur dolore verborum delinquentes pungi, ut à rerum turpitudine liberentur. Non ignoro, omnes nos reprehenſione aliquo modo dignos eſſe, quódque nemo noſtrum gloriari poſſit ſe cor mundum habere: ſed

Act. 20, 27

Ex interpr. ep. 1. ad Corinth.

Ex interpr. ep. ad Col. In exemplari eſt ἀπειθ.

Ex hom. in Seraphim.

ſed non iſtud adeò malum eſt, quòd mundum cor non habeamus, ſed quòd non habentes, ad eum nos non conferemus, qui ipſum mundum efficere poteſt. Novi quòd verba iſta mordeant: ſed quid faciam? Si non acerba medicamenta adhibeamus, vulnera non tollentur: ſin adhibeamus, dolorem non ſuſtinetis. Anguſtiæ mihi ſunt undique. Sed manum pauliſper cohibere neceſſarium eſt: ſufficiunt enim dicta, ad obtemperantium correctionem. Quod ſi inemendabiles perſeveremus, in ipſas Judicis manus trademur. Quam verò horribile ſit incidere in manus Dei viventis, ſatis cognitum vobis eſt. *Ex hom. in Statuas.* Et quidem qui nihil prorſus rectè geſſit, omnino torpet, ac deſes citò animum deſpondet: qui verò conſcius ſibi eſt, quod vel unum aliquod præceptum impleverit, is concepta ex eo bona ſpe, majore iterum ſtudio ad reliqua procedit: additóque deinde alio, ad aliud progredietur. Si enim in divitiis ita ſe res habet, ut quo quis plures accumulaverit, tanto plures ſemper concupiſcat, multò magis in ſpiritualibus id contingere quis animadverterit. Quocirca vos oro atque obteſtor, ut horum meorum verborum, non iſto ſolùm præſenti die memineritis, ſed etiam domi veſtræ, & in platea, & ubicunque tandem verſemini. Utinam verò mihi vobis ſemper præſentem eſſe liceat: nec prolixa iſta reprehenſione quicquam opus foret. Quoniam verò id fieri non poteſt, verba mea loco mei memoriæ vobis inhæreant: & cùm menſæ aſſidetis, me ad vos ingredi arbitremini, vobiſque aſtantem ea, quæ modò hîc dico, inculcare. Ubicunque enim de me apud vos ſermo habebitur, ante omnia hujus præcepti memineritis, eique has, pro mea erga vos dilectione, mihi vices rependite. Atque hoc quidem non ſolùm his, qui maledictis alios laceſſunt, ſed iis etiam, qui alios diſſerentes audiunt, ſuadeo, ut aures ſuas diligenter muniant, ac Prophetam imitentur, dicentem: Detrahentem ſecretò proximo ſuo, hunc perſequebar. Et dic ad detractorem; ſi quidem laudare aliquem & commendare tibi animus foret, aperirem aures meas, ſermonémque tuum libens amplecterer: ſi verò vituperare velis, dictis tuis aditum præcludo: non enim ſtercus & ſordes ſuſcipere poſſum. Quod enim mihi emolumentum fuerit, audire hunc aut illum improbum eſſe? Quin graviſſimum potiùs damnum & ſumma calamitas inde naſcitur. Quam enim habituri ſumus excuſationem aut veniam, ſi res noſtras minimè conſiderantes, tam anxiè inquiremus & curioſè ſcrutemur alienas? Præſtat utique bene ignorare, quam malè diſcere. Qui enim cauſam planè neſcit, citiùs ad veriſimilem cauſam pertingere poteſt, alius verò quoniam veram cauſam non novit, dum ſibi aliam fingit, quæ non eſt, haud facilè veram cauſam capere poterit; ſed majore labore ac ſudore indiget, ut priorem ex animo tollat. Si fortè aliquem videas ſacra vaſa præparantem, aut alium Eccleſiæ, circa parietes & pavimentum, ornatum; noli id, quod propè jam paratum eſt, vendi aut deſtrui jubere, ne mancam ac mutilem reddas animi ipſius promptitudinem. Si verò quis te interroget priuſquam paraverit; pauperibus ut eroget, moneas. Deſpicias autem vitæ hujus delectamenta, tanquam non permanentia: & ſimiliter triſtia, tanquam quæ nihil nobis obſint. Quemadmodum enim qui in aliena regione commorantur, omnia faciunt & moliuntur, ut felicem in patriam reditum parent, & in dies ſollicitantur, ut patriam videant: Ita qui futura bona amore complectitur, néque præſentis vitæ moleſtiis deprimetur, neque commodis extolletur, ſed utraque inſtar iter facientis tranſcurret. Sic igitur & nos affectos eſſe oportet: & quamvis paucos annos hîc vivere contingat, multi tamen, ob futurorum deſiderium, nobis ii videri debent. Hæc autem dico, non quòd præſentem hanc vitam incuſem; abſit; nam & hæc ipſa Dei quoddam opus eſt: verum ut ad futurorum vos amorem incitem, ne nimio affectu præſentibus inhæreatis: aut corporibus affixi, inſtar illiberalis vulgi affecti ſitis, qui ſi vel infinitos annos vivant, paucos tamen eſſe dicunt. Quibus quid veſanius eſſe poſſit? ſiquidem cœlo poſtpoſito ac cœleſtibus bonis, quæ nec oculus vidit, nec auris audivit, umbris inhiant: & dum aſſiduis fluctibus, tempeſtatibus ac naufragiis exercentur, tranſmittere tamen Euripum hujus præſentis vitæ nolunt. Verùm non ita B. Paulus: ſed is feſtinabat & contendebat: atque unica tantùm res ipſum retinebat, hominum ſcilicet ſalus, & ne regno Dei exciderent: Quod nobis omnibus adipiſci contingat gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria in ſecula ſeculorum. Amen.

A πάντες ἐσμὲν ἐν ἐπιθυμίαις, καὶ οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν· ἀλλ' οὐ τοῦτό ἐστι τὸ δεινὸν, ὅτι ἁγνὴν καρδίαν οὐκ ἔχομεν, ἀλλ' ὅτι τοιαύτην μὴ ἔχοντες, οὐδὲ τῷ δυναμένῳ ποιῆσαι ταύτην ἁγνὴν προσερχόμεθα. οἶδα ὅτι δάκνει τὰ ῥήματα· ἀλλὰ τί πάθω; ἂν μὴ πικρὰ ἐπιθῶμεν τὰ φάρμακα, τὰ τραύματα οὐκ ἀφαιρεθήσεται· ἂν πικρὰ ἐπιθῶμεν, ὑμεῖς τὴν ὀδύνην οὐ φέρετε. στενά μοι πάντοθεν· πλὴν ἀναγκαῖον ἀνασχεῖν τὴν χεῖρα μικρόν. B καὶ γὰρ ἱκανὰ τὰ εἰρημένα, πρὸς διόρθωσιν τῶν προσεχόντων. ἂν δὲ ἀδιόρθωτοι μένωμεν, εἰς αὐτὰς τὰς τοῦ κριτοῦ παραδοθησόμεθα χεῖρας· ἴστε δὲ πάντως, ὡς φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. καὶ γὰρ ὁ μηδὲν κατωρθωκὼς ὅλως ῥαθυμεῖ καὶ ἀναπίπτει ταχέως· ὁ δὲ συνειδὼς ἑαυτῷ, ὅτι γοῦν μίαν ἐντολὴν ἐπλήρωσε, τινὰ ἐλπίδας ἀπὸ ταύτης γενόμενος, μετὰ πλείονος σπουδῆς ἐπὶ τὰς λοιπὰς βαδιεῖται πάλιν· εἶτα ἑτέραν προσλαβὼν ἐφ' ἑτέραν C ἀπαντήσεται. εἰ γὰρ ἐπὶ τῶν χρημάτων ὅσωπερ ἄν τις πλείονα περιβάληται, τοσούτῳ πλειόνων ἐφίεται, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν κατορθωμάτων τοῦτο συμβαῖνον ἴδοι τις ἄν. διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ, τούτων μου τῶν ῥημάτων, μὴ κατὰ τὴν παροῦσαν ἡμέραν μεμνῆσθε μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ὅπουπερ ἂν διατρίβητε. εἴθε μοι δυνατὸν ἦν ὑμῖν ἀεὶ συγγίνεσθαι, καὶ οὐκ ἂν μοι τῆς μακρᾶς ταύτης ἐδέησε κατηγορίας. νυνὶ δὲ ἐπειδὴ τοῦτο οὐκ D ἔστι, ἀντ' ἐμοῦ τῶν ἐμῶν μέμνησθε ῥημάτων· καὶ ἐπὶ τραπέζης καθήμενοι, ἐπεισιέναι με νομίζετε, καὶ παρεστάναι, καὶ ταῦτα ἐνηχεῖν, ἅπερ ἐνταῦθα λέγω νῦν. καὶ ὅπουπερ ἂν περὶ ἐμοῦ λόγος γένηται ὑμῖν, ἀντὶ πάντων ταύτης μέμνησθε τῆς ἐντολῆς· καὶ ταύτην μοι τῆς περὶ ὑμᾶς ἀγάπης ἀπόδοτε τὴν ἀμοιβήν. καὶ τοῦτο δὲ παραινῶ μὲν, οὐ τοῖς κακῶς μόνον λέγουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσι διαλεγομένων ἑτέρων τὰς ἀκοὰς ἀποφράττειν, καὶ τὸν προφήτην μιμεῖσθαι τὸν λέγοντα· τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. E καὶ εἰπὲ πρὸς τὸν κατηγοροῦντα, εἰ ἔχεις ἐπαινέσαι τινὰ καὶ ἐγκωμιάσαι, ἀνοίξω ἂν τὰς ἀκοὰς, καὶ ἐδεξάμην τὸν λόγον· ἂν δὲ κακῶς θέλῃς εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν· οὐ γὰρ ἀνέχομαι κόπρον καὶ βόρβορον δέξασθαι. τί γάρ μοι κέρδος μαθεῖν ὅτι πονηρὸς ὁ δεῖνα; μέγιστον μὲν οὖν ἀπὸ τούτου βλάβος καὶ ἐσχάτη ζημία. ποίαν γὰρ ἕξομεν ἀπολογίαν ἢ συγγνώμην, ὅταν τὰ ἡμέτερα μηδὲ εἰς νοῦν λαμβάνοντες, οὕτω τὰ ἀλλότρια πολυπραγμονῶμεν καὶ A περιεργαζώμεθα. βέλτιον γὰρ ἀγνοεῖν καλῶς, ἢ μανθάνειν κακῶς. ὁ μὲν γὰρ οὐκ εἰδὼς τὴν αἰτίαν, ταχέως ἐπὶ τὴν εὔλογον ἥξει· ὁ δὲ, ἐπειδὴ τὴν οὖσαν οὐκ οἶδε, τὴν οὐκ οὖσαν πλάττων, οὐ δυνήσεται τὴν οὖσαν ῥᾳδίως δέξασθαι· ἀλλὰ δεῖ πλείονος αὐτῷ, καὶ πόνου καὶ ἱδρῶτος, ὥστε τὴν προτέραν ἀνελεῖν. κἂν εἴ τινα ἴδῃς σκεύη κατασκευάσαντα ἱερὰ, ἢ ἄλλον τινὰ ἐκκλησίας κόσμον περὶ τοίχους καὶ ἔδαφος, μὴ κέλευε πραθῆναι ἢ ἀνατραπῆναι τὸ γινόμενον, ἵνα B μὴ πηρώσῃς αὐτοῦ τὴν προθυμίαν· ἂν δὲ πρὶν ἢ κατασκευάσαι τις ἔρηται, κέλευε δοθῆναι πτωχοῖς. καταφρόνει δὲ καὶ τῶν τοῦ βίου τερπνῶν ὡς οὐ μενόντων. καὶ τῶν λυπηρῶν ὡς οὐ βλαπτόντων. ὡς γὰρ οἱ ἐπ' ἀλλοτρίας διατρίβοντες πάντα ποιοῦσι καὶ πραγματεύονται πρὸς τὴν ἐπὶ τὴν πατρίδα κατάστασιν, καὶ καθ' ἑκάστην ἐπείγονται τὴν ἡμέραν, τὴν ἐνεγκοῦσαν ἰδεῖν· οὕτω καὶ τῶν μελλόντων ἐρῶν, οὔτε τοῖς λυπηροῖς παροῦσι ταπεινωθήσεται, οὔτε τοῖς χρηστοῖς ἐπαρθήσεται, ἀλλ' ἑκάτερα παραδραμεῖται, καθάπερ ὁδῷ βαδίζων. οὕτω τοίνυν καὶ C ἡμᾶς διακεῖσθαι χρή. κἂν ὀλίγα ἔτη ζήσωμεν ἐνταῦθα, πολλὰ νομίζειν αὐτὰ τῇ ἐπιθυμίᾳ τῶν μελλόντων. ταῦτα δὲ λέγω, οὐ τῆς παρούσης ζωῆς κατηγορῶν· μὴ γένοιτο· καὶ γὰρ καὶ τοῦτο ἔργον Θεοῦ, ἀλλὰ πρὸς τὸν ἔρωτα τῶν μελλόντων ὑμᾶς ἀλείφων, ὥστε μὴ ἐμφιλοχωρεῖν τοῖς παροῦσι, μηδὲ προσηλῶσθαι τῷ σώματι, μηδὲ κατὰ τοὺς μικροψύχους τῶν πολλῶν διακεῖσθαι, οἳ κἂν μυρία ζήσωσιν ἔτη, ὀλίγα ταῦτα εἶναί φασιν. οὗ τί γένοιτ' ἂν ἀλογώτερον; οἱ οὐρανοῦ προ- D κειμένου, καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, πρὸς τὰς σκιὰς κεχήνασι· καὶ τὸν Εὔριπον τοῦ παρόντος διαπερᾶν οὐ βούλονται βίου, κύμασι διηνεκέσι, καὶ χειμῶσι καὶ ναυαγίοις ἐγκαλινδούμενοι. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ἔσπευδε καὶ ἠπείγετο· καὶ ἓν αὐτὸν κατεῖχε μόνον, ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ μὴ τῆς βασιλείας τοῦ Θεοῦ αὐτοὺς ἐκπεσεῖν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυ- E ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A

Περὶ ταπεινοφροσύνης. Λόγος ζ.

ΟΤΑΝ ἁμαρτία συμβεβλημένη ᾖ τῇ ταπεινοφροσύνῃ, οὕτω τρέχει μετ' εὐκολίας, ὡς δικαιοσύνην μετὰ ἀπονοίας οὖσαν ὑπερβῆναι καὶ προλαβεῖν· ἂν δὲ μετὰ δικαιοσύνης αὐτὴν συζεύξῃς, ποῖ οὐκ ἂν ἀφίξεται; παρ' αὐτὸν πάντως στήσεται τοῦ Θεοῦ τὸν θρόνον, ἀνὰ μέσον τῶν ἀγγέλων μετὰ παρρησίας πολλῆς. εἰ γὰρ οἱ τὰ οἰκεῖα ὁμολογοῦντες ἁμαρτήματα, τοσαύτην ἑαυτοῖς προξενοῦσι τὴν παρρησίαν, οἱ τὰ πολλὰ μὲν ἑαυτοῖς συνειδότες ἀγαθὰ, ταπεινοῦντες δὲ ἑαυτῶν τὴν ψυχὴν, πόσων οὐκ ἐπιτεύξονται στεφάνων; ὥστε κἂν μυρία ἄνωθεν οἰκοδομήσῃς, κἂν ἐλεημοσύνην, κἂν εὐχὰς, κἂν νηστείας, κἂν πᾶσαν ἀρετὴν, ταύτης μὴ προκαταβληθείσης, εἰκῇ καὶ μάτην ἐποικοδομηθήσεται. οὐδὲν γάρ ἐστιν οὐδὲν τῶν ἡμετέρων κατορθωμάτων, ὃ χωρὶς αὐτῆς στῆναι δυνήσεται· ἀλλὰ κἂν σωφροσύνην εἴπῃς, κἂν παρθενίαν, κἂν χρημάτων ὑπεροψίαν, κἂν ὁτιοῦν, πάντα ἀκάθαρτα καὶ ἐναγῆ καὶ βδελυρὰ, ταπεινοφροσύνης ἀπούσης. διὰ γὰρ τοῦτο ἐκ δύο οὐσιῶν κατεσκεύασεν ἡμᾶς ὁ Θεὸς, ἵν' ὅταν μὲν εἰς ἀπόνοιαν ἐπαρθῇς, καταστείλῃ σε τὸ εὐτελὲς τῆς σαρκός· ὅταν δὲ ἀνάξιόν τι καὶ ἀγεννὲς τῆς δοθείσης σοι παρὰ Θεοῦ τιμῆς ἐννοήσῃς, ἀναγάγῃ σε πρὸς τὸν τῶν κρειττόνων δυνάμεων ζῆλον ἡ τῆς ψυχῆς εὐγένεια. μέγα γὰρ ἀγαθὸν τὸ οἰκείαν ἐπισκέπτεσθαι συγγένειαν, καὶ εἰδέναι, πόθεν συνεστήκαμεν· καὶ γὰρ αὕτη ἀρκοῦσα διδασκαλία, ἡ τῆς φύσεως ἐπίσκεψις, πάντα πάθη καταστεῖλαι δυναμένη, καὶ ποιῆσαι γαλήνην ἐν διανοίᾳ. ἀναλογίσαι τὴν φύσιν σου καὶ τὴν κατασκευὴν, καὶ ἀρκεῖ σοι τοῦτο πρὸς τὸ κατεστάλθαι διηνεκῶς. ἐπλάσθη ὁ Ἀδὰμ ἀπὸ τῆς γῆς, ἀλλ' οὐκ οἶδεν ὅπως ἐπλάσθη. οὐ γὰρ ἐχρῆν αὐτὸν μάρτυρα παρεῖναι τῶν γινομένων, ἵνα μὴ ἐπαίρηται κατὰ τοῦ Θεοῦ. εἰ γὰρ τοσαύτῃ ταπεινώσει περιβεβλημένος, ἐπαίρεται, καὶ ἀγνοεῖ τὸν κτίσαντα, καὶ ἀθετεῖ τὸν πλάσαντα, τίς ἂν ἐχώρησεν αὐτοῦ τὴν ὑπερηφανίας ἀμετρίαν; διὰ τοῦτο ὁ Θεὸς πλάσας τὸν ἄνθρωπον, καὶ δυνάμεις πολλὰς ἐνθεὶς τῷ πλάσματι, καὶ ταπεινώσεις πολλὰς, ἵνα διὰ μὲν τῆς ἐγκειμένης δυνάμεως ἡ χάρις τοῦ τεχνίτου θαυμάζηται, διὰ δὲ τῆς ταπεινώσεως, τὸ φρόνημα τὸ ἀνθρώπινον καταστέλληται. ἔδωκεν αὐτῷ γλῶτταν φθεγγομένην, Θεὸν ὑμνοῦσαν, τὰ θεῖα ᾄδουσαν, ἑρμηνεύουσαν τὰ κάλλη τῆς κτίσεως. διαλέγεται περὶ οὐρανοῦ καὶ γῆς μικρὸν σαρκίον γλῶττα, οὐδὲ δύο δακτύλων ἔχουσα μέτρον· καὶ τί λέγω δακτύλων; οὐδὲ ἄκρου ὄνυχος· ἀλλ' ὅτι τὸ ἄκρον ἐκεῖνο τὸ μικρὸν φθέγγεται περὶ οὐρανοῦ καὶ γῆς. καὶ ἵνα μὴ νομίσῃ ὅτι μεγάλη τίς ἐστι, καὶ ὑπὲρ τὴν ἑαυτῆς φύσιν ἐπαίρηται, πολλάκις καὶ φύματα καὶ τραύματα αὐτῇ περιπλέκεται, ἵνα μάθῃ ὅτι θνητὴ οὖσα περὶ ἀθανάτων λαλεῖ, καὶ ὀφείλῃ γνωρίζειν, τίς μὲν ἡ τοῦ κηρυττομένου δύναμις, καὶ τίς ἡ ἀσθένεια τοῦ κηρύττοντος. ἔδωκεν αὐτῷ ὀφθαλμὸν, τὸν μικρὸν ἐκεῖνον * κόκκον, καὶ δι' αὐτοῦ καθορᾷ πᾶσαν τὴν κτίσιν. καὶ ἵνα μὴ περιλαμβάνων πᾶσαν τῇ ὄψει τὴν κτίσιν ἐπαίρηται, πολλάκις καὶ ὀφθαλμίαι, καὶ λῆμαι, καὶ δάκρυα, καὶ ὅσα θολοῖ τὴν ὄψιν ἐπιγίνεται· ἵνα ἀπὸ μὲν τῆς ἀσθενείας ἑαυτὸν γνωρίζῃ, ἀπὸ δὲ τῆς δημιουργίας τὸν τεχνίτην ἐκθειάζῃ. εἰ οὖν τοιαύτην ἀσθένειαν περιφέρων ὁ ἄνθρωπος, οὕτω τῆς ἰδίας εὐτελείας ἐπιλανθάνεται, ὡς κατὰ τοῦ δημιουργοῦ θρασύνεσθαι· εἰ ταύτης παντελῶς ἀπήλλακτο τῆς ἀσθενείας, τίς ἂν αὐτὸν ἤνεγκεν ἐπαιρόμενον; ἐννόησον τίνι κοινωνεῖς, ἄνθρωπε, φυσιούμενος, καὶ πρὸς ἀλαζονείαν ἐπαιρόμενος, καὶ τοῦ ξένου τὴν θεραπείαν ἐπαισχυνόμενος. καὶ πῶς τοῦτο γένοιτ' ἄν, φησί; εἰ γὰρ εὐγενής τις εἴη καὶ περιφανὴς, καὶ λαμπρὸς καὶ ἐπίσημος, αὐτὸς τοῦ ξένου νίψει τοὺς πόδας; καὶ πῶς οὐκ αἰσχρόν; αἰσχρὸν μὲν οὖν τὸ μὴ νίπτειν μᾶλλον ἐστί. κἂν γὰρ μυριάκις αὐτοῦ τὴν εὐγένειαν * ἐπάρῃ, καὶ τὴν περιφάνειαν, καὶ τὴν λαμπρότητα, τῆς αὐτῆς μετέχει τῷ νιπτομένῳ φύσεως, καὶ σύνδουλός ἐστι τοῦ θεραπευομένου, καὶ ὁμότιμος. ἐννόησον τίς τῶν μαθητῶν τοὺς πόδας ἔνιψε, καὶ παῦσαι περὶ εὐγενείας διαλεγόμενος. τὸ γὰρ μὴ μέγα φρονεῖν ἐπὶ τοῖς οὖσιν, οὐ πρὸς τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ πρὸς τὰ παρόντα ἐπιτήδειον. οὐδὲν γὰρ οὕτως ἐπίφθονον, ὡς ἄνθρωπος πλουτῶν· ὅταν δὲ ἀπόνοια προσῇ τούτῳ, διπλοῦς ὁ κρημνὸς γίνεται. ὁ δὲ μετριάζων ἀεὶ, ὑποτέμνει τῇ ταπεινοφροσύνῃ τῆς βασκανίας τὴν τυραννίδα, καὶ μετὰ ἀσφαλείας ἔχει ἅπερ ἔχει· τοσοῦτον τὸ μέγεθος τούτου. οὐ γὰρ πρὸς τὰ μέλλοντα ἡμᾶς ὠφελεῖ μόνον, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη δίδωσι τὰς ἀμοιβάς. μὴ τοίνυν μέγα φρονῶμεν ἐπὶ πλούτῳ, ἀλλὰ μηδὲ ἐφ' ἑτέρῳ μηδενί. εἰ γὰρ ὁ ἐπὶ τοῖς πνευματικοῖς μέγα φρονῶν ἐκπέπτωκε καὶ ἀπόλωλε, πολλῷ μᾶλλον ὁ ἐπὶ τοῖς σαρκικοῖς. ἐννοήσωμεν ἡμῶν τὴν φύσιν, ἀναλογισώμεθα τὰ ἁμαρτήματα, μάθωμεν τίνες ἐσμὲν, καὶ ἀρκεῖ τοῦτο εἰς πάσης τα-

De Humilitate Animi.

HOMILIA VII.

B CUM peccatum cum animi humilitate coiverit, ita expeditè currit, ut Juſtitiam, quæ cum arrogantia eſt, ſuperet & antevertat. Si vero cum juſtitia eam copulaveris, quò non evadet? Apud ipſum planè Dei tribunal conſiſtet, in medio Angelorum, magna cum fiducia. Si enim propria confitentes delicta, tantam ſibi fiduciam conciliant, quas non adipiſcentur coronas ii, qui cùm multorum ſibi bonorum conſcii ſint, animum tamen ſuum humiliant? Quamvis igitur innumera deſuper conſtruxeris, ſive eleemoſynam, ſive orationes, ſive jejunia, ſive C omnem virtutem, niſi hanc pro fundamento jeceris, fruſtra & abs te ſuperſtruentur. Nihil eſt enim nihil in noſtris rectè factis quod abſq; ea conſiſtere poſſit: ſed ſive temperantiam dixeris, ſive virginitatem, ſive pecuniarum contemptum, ſive quidvis tandem, omnia impura, deteſtanda & execranda ſunt, ſi animi humilitas deſit. Idcirco enim duabus ex ſubſtantiis Deus nos compoſuit, ut cùm ſuperbia quidem elatus fueris, reprimat te carnis vilitas: cùm honore divinitus tibi dato indignum quid D & liberale animo verſaveris, animi nobilitas ad cœleſtium virtutum æmulationem te ſublevet. Magnum enim bonum eſt, cognationem ſuam conſiderare, & noſſe unde conſtiterimus. Etenim ſufficiens ea doctrina eſt, naturæ ſcilicet contemplatio, quippe quæ omnes perturbationes reprimere, & tranquillitatem in animo efficere poſſit. Reputa tecum naturam tuam & fabricam, & ſufficit tibi iſtud, ut perpetuò te in officio contineas. Formatus eſt è terra Adam, ſed ignorabat quomodo for- E matus eſſet: non enim oportebat ipſum adeſſe teſtem eorum, quæ fiebant, ut ne contra Deum ſeſe efferret. Si enim tante humilitate circundatus ſeſe erigit, & ignorat conditorem, eúmque à quo formatus eſt, aſpernatur; quis immenſam ipſius caperet ſuperbiam, ſi quod ſupra naturam eſt, accepiſſet? Propterea Deus, cùm hominem formaſſet, & virtutes magnas figmento indidit, & humilitates multas; ut propter inditam quidem virtutem, opificis gratia admirationi eſſet; propter humi- A litatem verò humanus faſtus reprimeretur. Dedit ei linguam loquentem, Deum laudantem, divina decantantem, explicantem pulchritudines creaturæ. Diſſerit de cœlo & terra, parva caruncula lingua, ne duorum quidem digitorum habens menſuram: Et quid dico digitorum? ne extremi quidem unguis: ſed extremum illud parvum loquitur de cœlo & terra. Et ne magnum quid ſe eſſe putet, ac ſupra naturam ſuam ſeſe extollat, ſæpè & tumores ipſi implicantur & vulnera, ut diſcat quòd B mortalis ipſa de immortalibus loquatur: debéreque agnoſcere, quænam virtus ſit ejus, quem prædicat; quæque imbecillitas prædicantis. Dedit illi oculum, exiguum illud granum, quo univerſam creaturam perſpicit. At ne viſu creaturam omnem comprehendens ſeſe erigat, frequenter & oculorum ægritudines, & lippitudo & lacrymæ, quæque alia viſum turbant, ipſi innaſcuntur: ut ex imbecillitate quidem ſeipſum agnoſcat, ex opificio verò artificem divinis laudibus celebret. Si igitur ta- C lem imbecillitatem homo circumferens, ita vilitatis ſuæ obliviſcitur: ut etiam adverſus opificem inſoleſcat: quis eum tuliſſet efferentem ſeſe, ſi ea imbecillitate omnino caruiſſet? Cogita homo cum quo conſocieris, cùm inflaris & arrogantia te extollis, & cùm te hoſpitem curare pudet. At quonam id modo fieret, inquit? Si enim quis claro ſit genere natus, & illuſtris, & ſplendidus ac inſignis, ipſéne hoſpitis lavabit pedes? Et quomodo non turpe id foret? Immò non lavare, magis turpe eſt. D Quamvis enim decies millies ſuam nobilitatem extollat, claritatem & ſplendorem, ejuſdem tamen particeps naturæ eſt cum eo qui lavatur, & conſervus ejus eſt quem curat, ejuſdémque conditionis. Conſidera quiſnam diſcipulorum laverit pedes, & ceſſa de nobilitate diſſerere. Ob divitias animo non efferri, non ad futura ſolum, ſed etiam ad præſentia utile eſt. Nihil adeo invidiæ obnoxium eſt, quàm divitiis pollens: ſi verò etiam arrogantia huic inſit, duplex oritur præcipitium. Qui verò modeſtè E de ſe loquitur, humilitate animi vim invidiæ ſuccidit, & ſecurè, quæ habet, poſſidet: Tanta eſt hujus potentia. Nec enim ad futura duntaxat nobis prodeſt ſed jam in hac quoque vita dat præmia Ne igitur in divitiis animos tollamus, imò nec ulla in re. Si enim qui in ſpiritualibus altum ſapit, evaneſcit & perit, multo magis qui in carnalibus. Cogitemus naturam noſtram, reputemus peccata, diſcamus qui ſimus, & ſatis nobis eſt ad totius humili-

Ex hom. de non accuſando.

fortè [illegible]

Ex hom. de leg. natur.

In ex. [illegible]

Ex hom. in illud: Vidua eligatur.

militatis materiam. Hic enim maximè ſe novit, qui nihil ſe eſſe putat. Nihil enim Deo tam charum eſt, quàm in extremis ſeipſum numerare. Venite enim, diſcite à me, quia mitis ſum, & humilis corde. Niſi enim mitis eſſem, cum ſim Regis filius, ſervamne matrem elegiſſem? Niſi mitis eſſem, anne præſepis paupertatem ſuſcepiſſem, qui univerſæ creaturæ divitias obtineo? Niſi mitis eſſem, dorſúmne meum flagris pro captivis præbuiſſe? Quid id quod majus eſt, non dico: niſi mitis eſſem, cùm alii pati deberent, egóne qui nihil debeam, mortis debitum pro ipſis exolviſſem. Ita ſum mitis, ut cùm tu peccaveris, ego flagellis cæſus ſim. Ita ſum mitis, ut me ſervis meis ſupplicare non pudeat: ſed malo obſecrare, ut ne punire cogar. Cum igitur in hanc cogitationem deveneris, ob animi humilitatem teipſum admireris, cogita Dominum tuum, quò deſcenderit, & jam te ipſe non admiraberis, nec laudabis. Imò te etiam deridebis, tanquam qui nihil feceris. Humilis es, & omnium hominum humillimus? ne ob id magnificè de te ſentias, neque aliis exprobres, & * perdes gloriam. Propterea te humilias, ut ſuperbiam effugias: Si igitur per humilitatem in ſuperbiam incidas, melius fuerit non humiliare temetipſum. Quòd ſi quis dicat, melius eſſe rectè viventes efferri, quàm lapſos ſeſe humiliare, admodum is & ſuperbiæ ignorat damnum & humilitatis emolumentum. Certò enim ſcias quòd homo cum ſuperbia rectè vivens (ſiquidem hoc ſit rectè vivere) ſubitò in extremam perniciem incaſurus ſit. Et quidem qui labi permiſſus eſt, modeſtéque de ſe loqui ex ſuo caſu didicit, is & citiùs reſurget & ſeipſum, ſi modò velit, recuperabit celerius: Qui verò benè feliciterque agere videtur, cum ſuperbia, nihil interim mali ſuſtinens, is ne ſenſum quidem unquam percipiet prævaricationis ſuæ, ſed & malum augebit, & imprudens abiis, quæ hinc exiſtunt, vacuus diſcedet. Cæterum quid cauſæ eſt, inquit aliquis, quod qui ante tentationes rectà gradiebantur, poſt tentationes frequenter prolapſi ſint? Quis igitur eſt, qui rectè ambulantes exactè noverit, præter illum, qui ſolus corda noſtra formavit, & ad omnia opera noſtra animadvertit? Multi enim frequenter, qui nobis boni eſſe videntur, omnibus ſunt nequiores. Ut verò omiſſis iſtis, ad eos, qui omnino rectè vivunt, ſermone progrediamur, quis novit, ſi alia quidem rectè ab ipſis facta ſint, caput vero bonorum, humilitas ſit neglecta? atque ob id Deus ipſos reliquerit, ut diſcant, quòd non propria virtute, ſed gratia Dei, rectè illa geſſerint? Modeſtia enim dicitur, non quando quis à potentibus injuria affectus, fert placidè: ſed quando etiam ab his qui inferiores videntur eſſe, læſus, cedit. Vide enim Dei benignitatem, & cujuſmodi curam erga ſervos ſuos oſtendat. Cùm enim Iſaac à rege Gerarorum & paſtoribus & indigenis injuſtè ſuis laboribus arceretur, non indignatus eſt, nec puſillanimem ſeſe oſtendit, neque intra ſe vociferatus eſt, neque dixit; an non fruendi puteis jus habeo? anne deſtitutus ſum ope ſuperna? enne providentia Domini orbatus ſum? Nihil hujuſmodi neque cogitavit neque ratiocinatus eſt; ſed moderatè omnia ferebat: eóq; plus honoris & auxilii deſuper eſt conſecutus. Apparuit enim ei Dominus nocte illa, & dixit: *Ego ſum Deus Abraham patris tui; ne timeas, ego enim tecum ſum & benedicam tibi.* Volens enim juſtum refocillare, & confidentiam addere, apparet ipſi, dicitq;: Ego ſum Deus qui patrem tuum celebrem feci, & in tanta claritate conſtitui, & peregrinum indigenis ſplendidiorem reddidi: ego ſum ille, qui illum eouſque creſcere feci. Ne igitur timeas; tecum enim ſum; & multiplicabo ſemen tuum, propter Abraham patrem tuum: multa enim illi obedientiæ erga me præmia debeo. Hæc ubi audivit juſtus ille, bono deinceps fit animo. Qui enim dixit, tecum ſum, & benedicam tibi, & multiplicabo ſemen tuum; hic & ſplendorem donavit. Vide quanta ſit vis humilitatis: qui enim priùs ipſum exagitaverant, nunc venientes ad juſtum illum, non modò de iis quæ jam fecerant, ſeſe excuſant, & veniam petunt, ſed etiam laudibus celebrant. Quis enim eſſet eo fortior, qui Deum ſecum habebat? Cernentes enim, inquit, vidimus, quòd Deus tecum ſit. Videamus autem quomodo & hujus filius Jacob peregrinationem faciat, dum perſecutionem patitur: neque enim parum inde quoque fructuum decerpemus. Proficiſcente enim ipſo in Haran, occidebat Sol; & ſumpſit de lapidibus loci illius, & poſuit ad caput ſuum & dormivit. Vides ineffabilem Philoſophiam? Vides quomodo antiqui peregrinebantur? Vir domi magna cura indulgentiáque nutritus, acceptum lapidem poſuit ſubter caput ſuum. Vide pueri virilem animum: lapide pro cervicali utebatur & humi dormiebat: & ob id etiam Domini aſpectu dignus habetur. Et inquit:

Ex hom. in illud Diſcite à me, quia mitis ſum, & humilis, &c.

Ex interpr. ep. ad Philemon. *oin áv, non perd.*

Ex ſerm. ad Stagirium.

Ex com. in Geneſ. Gen. 26.

ταπεινοφροσύνης ἡμῖν ὑπόθεσιν. οὗτος γὰρ μάλιστά ἐστιν ὁ αὑτὸν εἰδώς, ὁ μηδὲν ἑαυτὸν εἶναι νομίζων. οὐδὲν γὰρ οὕτως τῷ Θεῷ φίλον, ὡς τὸ μετὰ τῶν ἐσχάτων ἑαυτὸν ἀριθμῆσαι. δεῦτε γάρ, φησι, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. εἰ γὰρ μὴ ἤμην πρᾶος, τοῦ βασιλέως ὢν υἱός, δούλην ἐπελεξάμην μητέρα; εἰ μὴ ἤμην πρᾶος, φάτνης ἐδεχόμην πενίαν, ὁ τῆς κτίσεως ὅλης κεκτημένος τὸν πλοῦτον; εἰ μὴ ἤμην πρᾶος, τὸν νῶτόν μου παρεῖχον ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας; τί δέ; τὸ μεῖζον οὐ λέγω· εἰ μὴ πρᾶος ἤμην, ἄλλων τὸ παθεῖν χρεωστούντων, ὁ μηδὲν ὀφείλων ἐγώ, τὸ τοῦ θανάτου χρέος ὑπὲρ ἐκείνων κατέβαλλον; οὕτως εἰμὶ πρᾶος, ὅτι ἥμαρτες σύ, καὶ ἐμαστιγώθην ἐγώ. οὕτως εἰμὶ ταπεινός, ὡς ἱκετεύειν τοὺς ἐμοὺς οὐκ αἰσχύνομαι δούλους· ἀλλ' αἱροῦμαι παρακαλεῖν, ἵνα μὴ κολάζειν ἀναγκασθῶ. ὅταν οὖν εἰς ἔννοιαν ἔλθῃς, θαυμάσαι σαυτὸν ἐπὶ ταπεινοφροσύνῃ, ἐννόησον τὸν δεσπότην σου ποῦ κατῆλθε, καὶ οὐκέτι θαυμάσεις σαυτόν, οὐδὲ ἐπαινέσεις· ἀλλὰ καὶ καταγελάσεις σαυτοῦ, ὡς οὐδὲν πεποιηκότος. ταπεινὸς εἶ, καὶ πάντων ἀνθρώπων ταπεινότερος, μὴ διὰ τοῦτο μέγα φρόνει, μηδὲ ἑτέροις ὀνείδιζε, καὶ * ἀπολέσεις τὸ καύχημα. διὰ τοῦτο ταπεινοφρονεῖς, ἵνα ἀπονοίας ἀπαλλαγῇς· εἰ ταπεινοῖ δι' αὐτῆς εἰς ἀπόνοιαν ἐμπέσῃς, κρεῖττον μὴ ταπεινοφρονεῖν. εἰ δέ τις λέγει βέλτιον εἶναι κατορθοῦντας ἐπαίρεσθαι, ἢ ταπεινωθῆναι πεσόντας, πολὺ καὶ τῆς ἀλαζονείας ἀγνοεῖ τὴν ζημίαν, καὶ τῆς ταπεινοφροσύνης τὸ κέρδος. εὖ γὰρ ἴσθι σαφῶς, ὅτι ἄνθρωπος μετὰ ἀπονοίας κατορθῶν, [εἴγε ὅλως τοῦτό ἐστι κατορθοῦν,] ταχέως ἐμπεσεῖται εἰς τὴν ἐσχάτην ἀπώλειαν. καὶ ὁ μὲν ὀλισθῆσαι συγχωρηθείς, καὶ μετριάζειν μαθὼν ἀπὸ τοῦ πτώματος, καὶ ἀναστήσεται καὶ ἀνακτήσεται ἑαυτὸν ταχέως, εἴγε βούλοιτο· ὁ δὲ δοκῶν μὲν εὖ πράττειν μετὰ ἀλαζονείας, μηδὲν δὲ πάσχων δεινόν, οὔτε αἴσθησιν τῆς οἰκείας παρανομίας λήψεταί ποτε, ἀλλὰ καὶ αὐξήσει τὸ δεινὸν καὶ λήσει τῶν ἐντεῦθεν κενὸς ἀπερχόμενος. καὶ τί δήποτέ φησιν, οἱ τὰ ὀρθὰ βαδίζοντες πρὸ τῶν πειρασμῶν, μετὰ τοὺς πειρασμοὺς πολλάκις κατέπεσον; τίς οὖν ὁ καλῶς τοὺς τὰ ὀρθὰ βαδίζοντας ἐπιστάμενος, πλὴν τοῦ πλάσαντος καταμόνας τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν; πολλοὶ γὰρ πολλάκις τῶν δοκούντων ἡμῖν εἶναι χρηστῶν, πάντων εἰσὶ πονηρότεροι. ἵνα δὲ τοὺς τοιούτους ἀφέντες, ἐπὶ τοὺς ὄντως βιοῦντας ὀρθῶς ἔλθωμεν τῷ λόγῳ, τίς οἶδεν εἰ τὰ μὲν ἄλλα αὐτοῖς κατώρθωται, τὸ δὲ κεφάλαιον ἠμέληται τῶν ἀγαθῶν, ἡ ταπεινοφροσύνη· καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ὁ Θεός, ἵνα μάθωσιν, ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει κατώρθουν ἐκεῖνα, ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ; ἐπιείκεια γὰρ λέγεται, οὐχ ὅταν τις παρὰ τῶν ἐν δυναστείᾳ ἀδικούμενος φέρῃ πρᾴως, ἀλλ' ὅταν καὶ ὑπὸ τῶν νομιζομένων ὑποδεεστέρων εἶναι ἐπηρεαζόμενος παραχωρῇ. ὅρα γὰρ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ οἵαν εἰς τοὺς αὐτοῦ δούλους ἐπιδείκνυται θεραπείαν. ἡνίκα γὰρ Ἰσαὰκ παρὰ τοῦ βασιλέως Γεράρων, καὶ τῶν ποιμένων, καὶ τῶν ἐγχωρίων, ἀδίκως ἀπηλαύνετο τῶν ἰδίων πόνων, οὐκ ἐδυσχέραινεν, οὐδὲ μικρόψυχον ἐπεδείξατο, οὐδὲ ἀνεβόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπεν, ὅτι οὐδὲ ἀπολαύειν φρεάτων εἰμὶ κύριος; ἆρα μὴ ἔρημος γέγονα τῆς ἄνωθεν ῥοπῆς, ἆρα μὴ τῆς προνοίας ἀπεστέρημαι τῆς παρὰ τοῦ δεσπότου; οὐδὲν τούτων οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο, ἀλλὰ μετ' ἐπιεικείας πάντα ἔφερε· διὰ τοῦτο καὶ πλείονος ἀπέλαυσε τῆς τιμῆς, καὶ τῆς ἄνωθεν συμμαχίας. ὤφθη γὰρ αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπεν· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι καὶ εὐλογήσω σε. θέλων γὰρ τὸν δίκαιον ἀνακτήσασθαι, καὶ θαρρεῖν παρασκευάσαι, ἐπιφαίνεται αὐτῷ, καί φησιν· ἐγώ εἰμι ὁ Θεὸς ὁ τὸν πατέρα τὸν σὸν ἐπίδοξον ποιήσας, καὶ ἐν τοσαύτῃ περιφανείᾳ καταστήσας, καὶ ξένον ὄντα τῶν ἐγχωρίων λαμπρότερον ἀπεργασάμενος· ἐγώ εἰμι ἐκεῖνος, ὁ ἐκεῖνον οὕτως αὐξηθῆναι παρασκευάσας. μὴ τοίνυν φοβοῦ, μετὰ σοῦ γάρ εἰμι· καὶ πληθυνῶ τὸ σπέρμα σου, δι' Ἀβραὰμ τὸν πατέρα σου· πολλὰς γὰρ ὀφείλω τὰς ἀμοιβὰς ἐκείνῳ, τῆς εἰς ἐμὲ ὑπακοῆς. ταῦτα ἀκούσας ὁ δίκαιος, ἐν ἀδείᾳ λοιπὸν γίνεται. ὁ γὰρ εἰπών, μετὰ σοῦ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου, οὗτος καὶ τὴν περιφάνειαν ἐχαρίσατο. ὅρα πόση τῆς ταπεινώσεως ἡ ἰσχύς· οἱ γὰρ πρότερον ἐλάσαντες, νῦν παραγινόμενοι πρὸς τὸν δίκαιον, οὐ μόνον ἀπολογοῦνται ὑπὲρ τῶν ἤδη γεγενημένων, καὶ συγγνώμην αἰτοῦσιν, ἀλλὰ καὶ ἀνακηρύττουσι. τίς γὰρ ἂν εἴη τούτου ἰσχυρότερος, τοῦ μεθ' ἑαυτοῦ τὸν Θεὸν ἔχοντος; ἰδόντες γάρ, φασι, ἑωράκαμεν ὅτι Κύριος μετὰ σοῦ. ἴδωμεν δὴ πῶς καὶ ὁ τούτου υἱὸς Ἰακὼβ τὴν ἀποδημίαν ποιεῖται διωκόμενος. οὐ μικρὰν γὰρ κἀντεῦθεν καρπωσόμεθα τὴν ὠφέλειαν. πορευομένου γὰρ εἰς Χαρράν, ἔδυ ὁ ἥλιος, καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη. εἶδες ἄφατον φιλοσοφίαν; εἶδες πῶς οἱ παλαιοὶ τὰς ὁδοιπορίας ἐποιοῦντο; ἀνὴρ οἴκοι τραφείς, πολλῆς ἀπολαύσας θεραπείας, λαβὼν λίθον, ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ. ὅρα τοῦ παιδὸς τὴν ἀνδρείαν, τῷ λίθῳ ἀντὶ προσκεφαλαίου ἐχρήσατο, καὶ ἐπὶ τοῦ ἐδάφους ἐκάθευδε· διὰ τοῦτο καὶ τῆς τοῦ δεσπότου ὄψεως καταξιοῦται. καί φησιν·

ἐγὼ

ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ τοῦ πατρός σου· ἐγὼ τὸν πατριάρχην, καὶ τὸν πατέρα τὸν σὸν, εἰς τοσαύτην περιφάνειαν αὐξηθῆναι πεποίηκα. μὴ τοίνυν φοβοῦ, ἀλλὰ πίστευε, ὅτι ἐγὼ ὁ κἀκείνοις τὰς ὑποσχέσεις πληρώσας, καὶ σὲ τῆς ἐμῆς ἀξιώσω προνοίας. ἀλλὰ καὶ νῦν μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ, οὗ ἐὰν πορευθῇς. μὴ νομίσῃς, φησὶ, μόνος τὴν ὁδοιπορίαν ποιεῖσθαι· ἐμὲ ἕξεις συνοδοιπόρον, ἐμὲ ἕξεις φύλακα ἐν πάσῃ ὁδῷ· μετὰ σοῦ γάρ εἰμι. εἰ τοίνυν βούλει μεγάλα σου ποιῆσαι τὰ κατορθώματα, μὴ νόμιζε αὐτὰ εἶναι μεγάλα, ἀλλὰ χάριτι ὁμολόγει σώζεσθαι, ἵνα ὀφειλέτην ἑαυτῷ τὸν Θεὸν καταστήσῃς, οὐχὶ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῆς τοιαύτης εὐγνωμοσύνης. ὅταν μὲν γὰρ κατορθῶμεν, τῶν κατορθωμάτων ὀφειλέτην ἔχομεν μόνον· ὅταν δὲ μηδὲ ἡγώμεθα κατωρθωκέναι, καὶ αὐτῆς τῆς οὕτω διαθέσεως, καὶ μειζόνως ἢ ἐκείνων. εἰ οὖν ταπεινοφρονεῖν βούλει, μὴ ἐν ῥήμασι μηδὲ ἐν σχήμασι μόνον, ἀλλὰ καὶ ἐν πράγμασι, καὶ ἐν φθέγμασι, τὴν ἀρετὴν ἐπιδείκνυσο· καὶ μὴ πρὸς τοῦτον μὲν ταπεινὸς, πρὸς δὲ ἐκεῖνον θρασὺς, ἀλλὰ πρὸς πάντας ἔσο ταπεινὸς, κἂν φίλος ᾖ κἂν ἐχθρὸς, κἂν μέγας, κἂν μικρός. τοῦτο γὰρ ταπεινοφροσύνη. ἔστι γὰρ ταπεινὸν μὲν εἶναι, ὀξὺν δὲ καὶ ὀργίλον, ἀλλ' οὐδὲν ὄφελος· πολλάκις γὰρ ὑπὸ τῆς ὀργῆς κατεχόμενος πάντα ἀπώλεσε. τὴν γὰρ ἀληθῆ ταπεινοφροσύνην ἐντεῦθεν μάλιστά ἐστι διδάσκεσθαι τοὺς προσέχοντας. ἐλθόντος τοῦ Ἰησοῦ εἰς Καπερναοὺμ, προσῆλθον οἱ τὰ „ δίδραχμα λαμβάνοντες, τῷ Πέτρῳ, καὶ εἶπον, ὁ διδάσκαλος ὑμῶν „ οὐ τελεῖ τὰ δίδραχμα; καὶ ὅρα, αὐτῷ μὲν τῷ Χριστῷ οὐκ ἐτόλμησαν προσελθεῖν, τῷ Πέτρῳ δέ· καὶ οὐδὲ τούτῳ μετὰ πολλῆς τῆς σφοδρότητος, ἀλλ' ἐπιεικέστερον. οὐδὲ γὰρ ἐγκαλοῦντες, ἀλλ' ἐρωτῶντες ἔλεγον, ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; τὴν μὲν γὰρ προσήκουσαν περὶ αὐτοῦ δόξαν οὐδέπω εἶχον, ἀλλ' ὡς περὶ ἀνθρώπου οὕτω διέκειντο· πλὴν ἀπονέμοντά τινα αἰδῶ καὶ τιμὴν, διὰ τὰ προλαβόντα σημεῖα. τί οὖν ὁ Πέτρος; ναὶ, φησί· καὶ τούτοις μὲν εἶπεν ὅτι τελεῖ· αὐτῷ δὲ οὐκ εἶπεν, ἴσως ἐρυθριῶν ὑπὲρ τούτων αὐτῷ διαλεχθῆναι. τί οὖν ὁ πάντα σαφῶς εἰδὼς Θεός; προλαβὼν αὐτὸν, φησί· τί σοι δοκεῖ Σίμων; οἱ βασιλεῖς τῆς γῆς, ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; ἔφη, ἀπὸ τῶν ἀλλοτρίων. λέγει αὐτῷ ὁ Ἰησοῦς, ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί. ἵνα γὰρ μὴ νομίσῃ ὁ Πέτρος, ὅτι παρ' ἐκείνων ἀκηκοὼς λέγει, προλαμβάνει αὐτὸν, τοῦτο τε αὐτὸ δηλῶν, καὶ παῤῥησίαν αὐτῷ παρέχων ἐκεῖνον πρότερον περὶ τούτων εἰπεῖν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐλεύθερος μέν εἰμι τοῦ δοῦναι κῆνσον· εἰ γὰρ οἱ τῆς γῆς βασιλεῖς παρὰ τῶν υἱῶν αὐτῶν οὐ λαμβάνουσιν, ἀλλὰ παρὰ τῶν ἀρχομένων, πολλῷ μᾶλλον ἐμὲ ἀπηλλάχθαι δεῖ τῆς ἀπαιτήσεως ταύτης, οὐκ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ τῶν οὐρανῶν ὄντα υἱὸν καὶ βασιλέα. καὶ ταῦτα εἰπὼν φησίν· ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν αὐτῷ στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅρα πῶς οὐ παραιτεῖται τὸν φόρον, οὐδὲ ἁπλῶς κελεύει δοῦναι, ἀλλὰ πρότερον δείξας οὐκ ὄντα ὑπεύθυνον, τότε δίδωσι· τὸ μὲν, ἵνα ἐκεῖνοι μὴ σκανδαλισθῶσι· τὸ δὲ, ἵνα μὴ οὗτοι. οὐδὲ γὰρ ὡς ὀφείλων δίδωσιν, ἀλλ' ὡς τὴν ἐκείνων ἀσθένειαν διορθούμενος. καὶ τίνος ἕνεκεν οὐκ ἐξ ἀποκειμένων κελεύει δοῦναι; ἵνα καὶ ἐν τούτῳ δείξῃ Θεὸν ἑαυτὸν ὄντα τῶν ὅλων, καὶ ὅτι τῆς θαλάσσης κρατεῖ. οὐδὲ γὰρ μικρὸν ἦν ἀπὸ τῶν βυθῶν ἐκείνων προειπεῖν, ὅτι πρῶτος ἐμπεσεῖται ὁ τὸν φόρον τελῶν ἰχθὺς· καὶ ὥσπερ ἀμφίβληστρον εἰς τὴν ἄβυσσον ἐκείνην ἀφέντα αὐτοῦ τὸ πρόσταγμα, ἀναγαγεῖν τὸν κομίζοντα τὸν στατῆρα, καὶ τὴν θάλασσαν οὕτω ποιῆσαι δωροφορεῖν, καὶ πάντοθεν τὴν ὑποταγὴν αὐτῆς ἐπιδείκνυσθαι. εἰ τοίνυν βούλει δεῖξαί σου τὸ κατόρθωμα, μὴ μέγα φρόνει, καὶ τότε τοῦτο μεῖζον ἀπέφηνας. εἰ γὰρ ὅταν ἁμαρτωλοὶ ὦμεν, ἂν νομίσωμεν τοῦθ' ὅπερ ἐσμὲν, δίκαιοι γινόμεθα, ὥσπερ οὖν ὁ τελώνης· ὅταν δίκαιοι ὄντες ἁμαρτωλοὺς ἑαυτοὺς εἶναι νομίζωμεν, πόσῳ μᾶλλον; ἂν μὲν γὰρ εἴπῃς σαυτὸν εὐδόκιμον, γέγονας ἄχρηστος, κἂν εὐδόκιμος ᾖς· ἂν δὲ ἀχρεῖον ὀνομάσῃς, γέγονας εὔχρηστος, κἂν ἀδόκιμος ᾖς. οἷς γὰρ ὑπερηφάνοις οἶδεν ὁ Θεὸς ἀντιτάσσεσθαι, οὕτως διδόναι χάριν τοῖς ταπεινοῖς· ὅτι αὐτῷ πρέπει δόξα, * κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Περὶ ψυχῆς. Λόγος η΄.

ΕΟΙΚΑΣΙΝ οἱ ἔργοις κομῶντες ἀγαθοῖς, καὶ τὴν πρὸς τὸν Θεὸν πίστιν ἀγνοήσαντες, λειψάνοις νεκρῶν, καλὰ μὲν ἐνδεδυμένοις, αἴσθησιν δὲ τῶν καλῶν οὐκ ἔχουσι. τί γὰρ ὄφελος ἀνθρώπῳ ψυχὴν μὲν ἔχειν νεκρὰν, τοῖς δὲ ἀγαθοῖς ἔργοις περιβεβλημένην; τὰ ἔργα ἐπ' ἐλπίδι γίνεται ἀμοιβῆς καὶ στεφάνων· εἰ δὲ τὸν ἀγωνοθέτην ἀγνοεῖς ὑπὲρ

A Ego ſum Deus Abraham, & Deus Iſaac patris tui: Ego & illum principem generis, & hunc patrem tuum ad tantam claritatem evexi. Ne igitur timeas, ſed crede, quia ego ſum, qui & illis promiſſa præſtiti, & te mea providentia dignabor. Sed & jam tecum ſum, cuſtodiens te in viis, quocunque profectus fueris. Ne exiſtimes, ait, ſolum te iter facere: me habebis comitem, me habebis cuſtodem in omni itinere: tecum enim ſum. Si igitur magna facere velis tua recte facta, ne putes ea magna eſſe, B ſed fatearis te gratia ſalvari, quo tibi ipſi Deum debitorem conſtituas, non rectè factorum duntaxat ſed etiam ejuſcemodi gratitudinis. Cùm enim rectè agimus, bonorum tantùm operum debitorem habemus, cùm verò nihil boni nos feciſſe arbitramur, tunc etiam pro eo, quòd ita affecti ſimus, & multo magis quàm pro illis. Si ergo humilis eſſe velis, ne verbis nec habitu ſolùm, ſed & re & voce hanc virtutem oſtendito; & ne ſis erga iſtum humilis, adverſus illum verò inſolens, ſed erga omnes C humilis, ſive amicus ſit, ſive inimicus: ſive magnus ſit, ſive parvus. Hæc enim eſt humilitas animi. Contingit enim humilem aliquem eſſe, & interim & facilè irritabilem & iracundum: ſed nullo operæ pretio: ſæpè enim ira correptus omnia perdidit. Veram enim humilitatem animi hinc maximè diſcere licet animum advertentibus. Cùm veniſſet Jeſus in Capernaum, acceſſerunt qui didrachma accipiebant, ad Petrum, dixeruntque: *Præceptor veſter non ſolvit didrachma?* Et vide: ad ipſum qui- D dem Chriſtum adire auſi non ſunt: ſed ad Petrum: Ac nec ad hunc quidem magna cum vehementia, ſed modeſtiùs. Non enim expoſtulantes, ſed interrogantes dicebant: *Præceptor veſter non ſolvit didrachma?* Necdum enim convenientem de eo habebant opinionem, ſed quaſi de homine ſentiebant: reverentiam porrò aliquam & honorem exhibebant, propter præcedentia ſigna. Quid igitur Petrus? Etiam, inquit: Et his quidem ſolvere eum, ipſi verò non dixit: fortaſſe quod puderet eum, de E his ipſum compellare. Quid igitur, qui omnia exactè novit, Deus? Antevertens eum inquit: quid tibi videtur Simon? Reges terræ à quibus accipiunt tributum vel cenſum? à filiis ſuis, an ab alienis? Ab alienis, inquit. Dicit ei Jeſus: Ergo liberi ſunt filii. Ne enim exiſtimaret Petrus, quòd, quia ab illis audiviſſet, hæc diceret, antevertit ipſum, cùm hoc ipſum aperiens, tum fiduciam ei addens ambigenti priùs de his dicere. Quod autem dicit, hujuſmodi eſt: Immunis quidem ego ſum à dando cenſu. A Si enim reges terræ à filiis ſuis non accipiunt, ſed à ſubditis; multo magis me immunem eſſe oportet ab hac exactione, cùm non ſim terreni Regis, ſed cœleſtis filius & Rex. Et hæc ubi dixiſſet, inquit: Ut autem non ſcandalizemus eos, vade ad mare, mitte hamum, & piſcem qui primus aſcenderit, tolle, & invenies in ore ejus ſtaterem; illum ſumens, da eis pro me & te. Vide quomodo non detrectat tributum, nec ſimpliciter dare jubet: ſed cum primò oſtendiſſet, non debere ſe, tum demum B dat: illud quidem faciens, ne illi offenderentur; hoc verò, ne hi. Neque enim quaſi qui deberet, dat, ſed ut infirmitatem illorum corrigens. Sed quare non ex repoſitis dare jubet? Ut in hoc etiam ſe univerſorum Deum oſtendat, & quòd mari dominetur. Neque enim parvum erat, prædicere, fore, ut ex illis profundis primus piſcis incideret, qui tributum penderet: & juſſu ipſius, tanquam reti quodam in illud profundum immiſſo, educere eum, qui ſtaterem ferret, & facere, ut ita mare dona ferC ret, atque undique ſuam ſubjectionem oſtenderet. Si igitur oſtendere velis tuum rectè factum, ne magnificè de te ſentias, & tunc majus hoc effeciſti. Nam ſi, cùm peccatores ſumus, & hoc nos eſſe putamus, quod ſumus, juſti efficimur, ſicut publicanus; quanto magis cùm juſti ſumus, & peccatores nos eſſe arbitramur? Nam ſi teipſum probum dixeris, factus es inutilis, etiamſi probus fueris: ſi verò inutilem te nominaveris, factus es utilis, etiamſi improbus fueris. Ut enim ſuperbis novit D Deus reſiſtere, ita dare gratiam humilibus; quia ipſum decet gloria, & imperium, in ſecula ſeculorum, Amen.

De istor. Evang. Matt.

Matt. 17, 24.

E

De Anima.

HOMILIA VIII.

QUI bonis operibus ornati ſunt, fidem verò in Deum ignorant, ſimiles eſſe videntur mortuorum reliquiis, quæ pulchrè quidem veſtitæ ſunt, ſed ſenſum pulchrorum nullum habent. Nam quid prodeſt homini, mortuam, & bonis operibus veſtitam habere animam? Opera ſpe præmii ſunt & coronarum. Quòd ſi præſidem certaminis ignoras, qua de

Ex hom. de legat.

de re certas? Sicuti enim hominibus prius eſt, ut vivant, drin-
de ut nutriantur: ita vitam noſtram ſpes in Chriſtum antecedere
oportet, nutriri verò inſuper etiam bonis operibus debet. Sæ-
pè eum fieri poteſt, ut is qui non nutritur, vivat: qui verò non
vivit, is nutriri nequaquam poteſt. Et ſine fide quidem opera
Juſtitiæ facientem vixiſſe, nullum addocere poteris: abſque
operibus autem fidelem oſtendere poſſum & vixiſſe, & regno di-
gnum eſſe habitum. Nemo ſine fide vixit: latro verò cùm tan-
tùm credidiſſet, juſtus factus eſt. Ne enim mihi dixeris, quod
tempus vitæ inſtituendæ, accommodatum non habuerit: Nam
ſi fidei ſuperſtes fuiſſet, operáque neglexiſſet, ſalute excidiſſet.
Habuerat & Cornelius de eleemoſynis & precibus teſtimo-
nium; ſed Chriſtum ignorabat. Et quoniam cernebat verita-
tis oculus, magnus ipſe judex, pulchra quidem eſſe opera;
mortua verò, fidem non habentia, mittit præmium parantem
operibus Angelum, ut præclarè certantem fide coronaret: qui
ait ad ipſum: Corneli, orationes tuæ & eleemoſynæ tuæ aſcen-
derunt in memoriam coram Deo. Si igitur exauditæ ſunt pre-
ces, & eleemoſynæ ſuſceptæ, quid mihi reliquum eſt ad juſti-
tiam? Sed mitte, inquit, in Joppen & accerſe Simonem co-
gnomento Petrum, qui cùm venerit, loquetur tibi verba, in
quibus ſalvus fies tu, & univerſa domus tua. Si igitur ex iis,
quæ dicit Petrus, ſalvus fit ipſe domúſque ipſius, nequaquam
adhuc ſalutem ex operibus habebat, quoad fides operibus ipſius
præmium paravit. Fertur etiam exterorum Philoſophorum
quiſpiam, ſplendidam domum, multo quidem auro fulgentem,
multóque marmorum & columnarum ornatu coruſcantem, in-
greſſus: cùm pavimentum ubique tapetibus ſtratum cerne-
ret, in faciem domini domus inſpuiſſe: deinde verò eùm in-
cuſaretur, dixiſſe, ideò ſe faciem illius contumelia affeciſſe,
quòd nuſquam alibi in domo id facere liceret. Vides quàm
ſit ridiculus, qui exteriora ſollicitè nimis exornat, & apud o-
mnes, qui mentis compotes ſunt, contemptibilis? Et meritò
ſanè. Nam eùm parietes quidem & ſolum aliaque omnia accu-
ratè exornes, animam verò velut pannis obſitam, ſqualentem,
eſurientem, plenam vulneribus, ab innumerabilibus canibus
laceratam negligas, quodnam ſupplicium non ſuſtinebis? Pe-
cuniam enim ſi perdideris, dare poteris pecuniam; & ſi domum,
ſi mancipia, ſi quidvis aliud eorum quæ poſſides: animam ve-
rò ſi perdas, aliam reddere animam non poteris, ſed licet vel u-
niverſum mundum habeas, etiamſi rex ſis orbis terrarum,
licet univerſa quæ ſunt in orbe terrarum, una cum ipſo or-
be terrarum dependas, non poteris emere unam animam. Si
enim in corpore, quamvis infinitis coronis redimitus ſis, cor-
pus interim habeas natura morbidum & inſanabile, etiamſi
regnum totum impenderis, ut etiam innumerabilia corpora &
urbes & pecunias adjicias, non poteris corpus corrigere:
quanto id magis in anima? Omnia duplicia dedit Deus natu-
ræ noſtræ: duos oculos, duas aures, duas manus, duos
pedes: ut ſi alterum horum læſum ſit, per alterum indigen-
tiam relevemus. Animam verò unam nobis dedit: hanc ſi
perdiderimus, quonam vivemus? Anima enim ſemel avari-
tia capta, non facilè neque expeditè recuſabit & facere & dice-
re aliquid eorum quæ Deum irritant: quippe quæ alterius do-
mini ſerva facta ſit, & omnia contra ac Deus, imperantis.
Anima cùm ſemel ſalutem ſuam deſperaverit, nuſquam ab in-
ſania deſiſtit, ſed habenis ſalutis ſuæ remiſſis, ſtultis cupidita-
tibus quoquo verſum rapitur, & occurrentibus intolerabilis eſt,
ſubterfugientibus omnibus, ac nemine audente retinere: ſed
omnia vitii loca percurrit, donec ad extrema profunda delata,
ſuam ipſius ſalutem det in præceps. Anima quando omnino
cum peccato fœdus iniit & doloris expers facta eſt, magnum
præbet morbo augmentum. Nam ſicut ſus in luto ſeſe volutans
delectatur, ita & anima à prava conſuetudine obruta, ne ſen-
tit quidem peccatorum fœtorem: & ut terra quæ non irrigatur,
licet infinita quis ſemina jaciat, non poteſt ſpicas producere:
ita & anima, niſi divinis ſcripturis priùs illuſtretur, etiamſi
innumera quis verba effundat, non valet fructum ullum exhi-
bere. Et ſicuti terra, niſi ſeminetur & plantetur, herbam
tantùm profert; ita & anima, ubi quid neceſſariarum rerum,
quod agat, non habet, quoniam otioſa eſſe non poteſt, omni-
no agendi cupida, pravis ſeipſam negotiis tradit. Quemad-
modum enim in corporibus inflammatio, ita ſe ſe habet in ani-
ma ſocordia: deinde ex ſocordia cupiditas rerum indecen-
tium conſequi ſolet. Et ſicut in corporibus ii, qui vulnera
negligunt, febres & putredines & mortem ſibi pariunt; ita
& in animis, qui ad parva peccata convivent, majora in-
ducunt. Propterea nobis è terra corpus dedit Deus,

Ex interpret. ep. ad Rom.

Ex interp. Evang. ſecundum Matth.

Ex hom. in Ozaam.

Ex com. in Geneſ.

Ex interp. ep. ad Gal.

Ex interp. ep. 1. ad Tim.

A τινος ἀθλητής; ὥσπερ γὰρ τοῖς ἀνθρώποις προηγεῖται τὸ ζῆν, καὶ οὕτω τρέ-
φεσθαι· οὕτω δεῖ προηγεῖσθαι ἡμῶν τῆς ζωῆς, τὴν εἰς Χριστὸν ἐλπίδα, τρέ-
φεσθαι δὲ καὶ τοῖς ἔργοις τοῖς ἀγαθοῖς. τὸν γὰρ μὴ τρεφόμενον ἐνεχώρει
ζῆν πολλάκις· τὸν δὲ μὴ ζῶντα οὐκ ἐνεχώρει τρέφεσθαι. καὶ ἄνευ μὲν πί-
στεως τὸν ἐργαζόμενον ἔργα δικαιοσύνης, οὐ δυνήσῃ παραστῆσαι ζή-
σαντα· ἄνευ δὲ ἔργων, τὸν πιστὸν δύναμαι δεῖξαι καὶ ζήσαντα, καὶ βα-
σιλείας ἀξιωθέντα. οὐδεὶς ἄνευ πίστεως ἔζησεν· ὁ δὲ λῃστὴς, πιστεύ-
B σας μόνον ἐδικαιώθη. μὴ γάρ μοι λέγε, οὐκ ἔσχε καιρὸν πολι-
τεύσασθαι· εἰ γὰρ ἐπέζησε τῇ πίστει, καὶ ἔργων ἠμέλησεν, ἐξέπιπτε τῆς
σωτηρίας. μεμαρτύρηται καὶ Κορνήλιος ἐπὶ ἐλεημοσύναις καὶ προσ-
ευχαῖς, ἀλλὰ Χριστὸν ἠγνόει. καὶ ἐπειδὴ εἶδεν ὁ τῆς ἀληθείας ὀφθαλμὸς,
ὁ μέγας κριτὴς, ὅτι καλὰ μὲν τὰ ἔργα, νεκρὰ δέ ἐστιν οὐκ ἔχοντα
πίστιν, ἀποστέλλει βραβεύοντα τοῖς ἔργοις ἄγγελον, ὥστε τὸν καλῶς
ἀθλοῦντα στεφανῶσαι τῇ πίστει, ὅς φησι πρὸς αὐτὸν, Κορνήλιε, αἱ
C προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώ-
πιον τοῦ Θεοῦ. εἰ τοίνυν εἰσηκούσθη ἡ δέησις, καὶ αἱ ἐλεημοσύναι ἐδέχθη-
σαν, τί μοι τὸ λοιπὸν εἰς δικαιοσύνην; ἀλλὰ πέμψον, φησὶν, εἰς
Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, ὃς ἐλ-
θὼν λαλήσει σοι τὰ ῥήματα, ἐν οἷς σωθήσῃ σὺ καὶ ὅλος ὁ οἶκός σου.
εἰ τοίνυν ἐξ ὧν λέγει Πέτρος, σώζεται καὶ αὐτὸς καὶ ὁ οἶκος αὐτοῦ, οὐκ εἶχεν
οὐδέπω ἐκ τῶν ἔργων τὴν σωτηρίαν, ἕως αὐτὴν τοῖς ἔργοις ἐβράβευσεν
D ἡ πίστις. λέγεταί τις καὶ τῶν ἔξωθεν φιλοσόφων, εἰς οἰκίαν λαμπρὰν
εἰσελθὼν, πολλῷ μὲν καταλαμπομένην χρυσίῳ, πολλῷ δὲ ἀστρά-
πτουσαν τῷ τῶν μαρμάρων καὶ τῶν κιόνων κάλλει· ἐπειδὴ δὲ τὸ ἔδαφος εἶδε
πανταχοῦ τάπητας ἔχον ἐστρωμένους, εἰς τὴν ὄψιν ἐμπτύσαι τοῦ τῆς οἰκίας
δεσπότου· εἶτα ἐγκαλούμενος εἰπεῖν, διὰ τὸ μηδαμοῦ τῆς οἰκίας ἑτέρω-
θι τοῦτο ἐξεῖναι ποιῆσαι, εἰς τὴν ὄψιν ἀναγκασθῆναι ὑβρίσαι τὸν ἐκείνου.
ὁρᾷς ὡς καταγέλαστος ὁ τὰ ἔξωθεν καλλωπίζων ἐστὶ, καὶ παρὰ πᾶ-
E σιν εὐκαταφρόνητος τοῖς νοῦν ἔχουσι; καὶ μάλα εἰκότως. ὅταν γὰρ τοὺς
μὲν τοίχους καὶ τὸ ἔδαφος, καὶ τὰ ἄλλα πάντα καλλωπίζῃς, τὴν δὲ ψυ-
χὴν περιορᾷς, ῥακενδυτοῦσαν, αὐχμῶσαν, πεινῶσαν, τραυμάτων
γέμουσαν, ὑπὸ μυρίων σπαραττομένην κυνῶν, ποίαν οὐκ ἂν εἰπέ μοι
ὑποστήσῃ τιμωρίαν; χρήματα μὲν γὰρ ἂν ἀπολέσῃς, δυνήσῃ δοῦναι
χρήματα, κἂν οἰκίαν, κἂν ἀνδράποδα, κἂν ὁτιοῦν ἕτερον τῶν κτημάτων·
ψυχὴν δὲ ἂν ἀπολέσῃς, ἑτέραν ἐπιδοῦναι οὐ δυνήσῃ· ἀλλὰ κἂν τὸν
A κόσμον ἔχῃς ἅπαντα, κἂν βασιλεὺς τῆς οἰκουμένης ᾖς, οὐχ οἷός τε ἔσῃ
τὰ τῆς οἰκουμένης ἅπαντα καταβαλὼν μετὰ τῆς οἰκουμένης αὐτῆς, ψυ-
χὴν ἀγοράσαι μίαν. εἰ γὰρ ἐπὶ σώματος, κἂν μυρία διαδήμα-
τα περικείμενος ᾖς, σῶμα δὲ ἔχῃς ἐπίνοσον, καὶ ἀνιάτως ἔχον, οὐ
δυνήσῃ. κἂν τὴν βασιλείαν ἅπασαν ἐπιδῷς, τὸ σῶμα διορθῶσαι
τοῦτο, κἂν μυρία σώματα προσθῇς, καὶ πόλεις καὶ χρήματα· ἐπὶ τῆς
ψυχῆς πόσῳ μᾶλλον; πάντα διπλᾶ δέδωκεν ἡμῖν ὁ Θεὸς τῇ φύ-
B σει· δύο ὀφθαλμοὺς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας· ἵνα ἐὰν τὸ
ἕτερον τούτων βλαβῇ, διὰ τοῦ ἑτέρου τὴν χρείαν παραμυθώμεθα. ψυχὴν
δὲ μίαν δέδωκεν ἡμῖν, ἂν ταύτην ἀπολέσωμεν, μετὰ τίνος ἐμβιωτεύ-
σομεν; ψυχὴ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας ἁλοῦσα, οὐ ῥᾳδίως,
οὐδὲ εὐκόλως παραιτήσεται, καὶ πρᾶξαι, καὶ εἰπεῖν τι τῶν παροξυνόντων
Θεὸν, ἅτε καὶ ἑτέρου γενομένη δεσπότου δούλη, καὶ πάντα ἀπεναντίας
ἐπιτάττοντος τῷ Θεῷ. ψυχὴ καθάπαξ τῆς οἰκείας ἀπογνοῦσα σωτη-
C ρίας, οὐδαμοῦ τῆς μανίας ἀφίσταται, ἀλλὰ τὰς ἡνίας τῆς σωτηρίας αὐτῆς
ἀφεῖσα ταῖς ἀλόγοις ἐπιθυμίαις, πανταχοῦ φέρεται, καὶ τοῖς ἀπαντῶ-
σιν ἐστὶν ἀφόρητος, ὑποφευγόντων μὲν ἁπάντων, κατασχεῖν δὲ τολ-
μῶντος οὐδενὸς, ἀλλὰ πάντα τῆς κακίας κατατρέχει τὰ χωρία, ἕως
ἂν εἰς αὐτὰ τῆς ἀπωλείας τὰ βάραθρα φέρουσα κατακρημνίσῃ τὴν ἑαυ-
τῆς σωτηρίαν. ψυχὴ καθάπαξ ἁμαρτίᾳ σπεισαμένη, καὶ ἀναλγήτως
διατεθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην. ὥσπερ
D γὰρ ὗς ἐγκυλινδούμενος βορβόρῳ ἥδεται, οὕτω καὶ ψυχὴ ὑπὸ κακῆς
συνηθείας καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τὴν τῆς ἁμαρτη-
μάτων δυσωδίας· καὶ ὥσπερ γῆν μὴ βρεχομένην οὐκ ἔστι, κἂν μυ-
ρία τις βάλῃ σπέρματα, στάχυας ἐξενεγκεῖν, οὕτως ψυχὴν οὐκ
ἔστι μὴ ταῖς θείαις γραφαῖς φωτισθεῖσαν πρότερον, κἂν μυρία τις
ἐκχέῃ ῥήματα, καρπόν τινα ἐπιδείξασθαι. καὶ καθάπερ ἡ γῆ, ὅταν
μὴ σπείρηται μηδὲ φυτεύηται, βοτάνην ἀναδίδωσιν ἁπλῶς· οὕτω καὶ
E ἡ ψυχὴ ὅταν μὴ ἔχῃ τι πρᾶξαι τῶν ἀναγκαίων, ἐπειδὴ ἀργεῖν οὐ δύναται,
πάντως τι πράττειν ἐπιθυμοῦσα, πονηροῖς ἑαυτὴν ἐκδίδωσι πράγμα-
σιν. ὥσπερ γὰρ ἐπὶ τῶν σωμάτων φλεγμονὴ, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ἀπό-
νοια. εἶτα ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων ἐπακολουθεῖν εἴω-
θεν. καὶ ὥσπερ ἐν τοῖς σώμασιν οἱ τραυμάτων καταφρονήσαντες,
πυρετοὺς ἔτεκον, καὶ σηπεδόνας καὶ θάνατον, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν,
οἱ τῶν μικρῶν ὑπερορῶντες ἁμαρτημάτων, τὰ μείζονα ἐπεισάγου-
σι. διὰ τοῦτο τὸ σῶμα ἡμῖν ἔδωκεν ἀπὸ τῆς γῆς ὁ Θεὸς, ἵνα καὶ
αὐτὸ

ἑαυτὸ εἰς οὐρανὸν ἀναγάγωμεν, οὐχ ἵνα δι' αὐτοῦ καὶ τὴν ψυχὴν εἰς τὴν γῆν καταστρέψωμεν. Ὢ τοῦ θαύματος· πῶς πάντες εἰς τὰ παρόντα κεχήνασι πράγματα, καὶ τῶν μελλόντων οὐδέποτε λαμβάνουσιν ἔννοιαν· ἀλλ' εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπείγονται, τὰς δὲ ψυχὰς ἐῶσιν ἐν λιμῷ τήκεσθαι· καὶ μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνοντες τραύματα, οὐδέποτε αἴσθησιν λαμβάνουσι τῶν ἐν οἷς εἰσι κακῶν, ἀλλὰ τὴν μὲν τοῦ σώματος θεραπείαν ἑαυτοῖς περιποιοῦνται, τῆς δὲ ψυχῆς ὑπερορῶσιν, αὐχμώσης τε καὶ ῥυπώσης, καὶ ὑπὸ μυρίων ἐνοχλουμένης κακῶν. Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ πόνους, οὐδὲ τὸ θνητὸν σῶμα θανάτου κρεῖττον ἐργάζονται, ἀλλὰ καὶ τὴν ἀθάνατον μετὰ τοῦ θνητοῦ, ταῖς ἀθανάτοις ὑποβάλλουσι τιμωρίαις. Διὰ τοῦτο λίαν ὀλοφυρόμενος τὴν περικεχυμένην ἄνοιαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καὶ τὴν περικειμένης αὐταῖς ἀχλύος τὴν παχύτητα, ἐβουλόμην εὑρεῖν σκοπιάν τινα ὑψηλήν, ὑποδεικνύουσάν μοι πάντα τὰ τῶν ἀνθρώπων γένη. Ἐβουλόμην δὲ καὶ φωνῆς τυχεῖν πάντα περιηχούσης τὰ πέρατα, καὶ πᾶσιν ἀρκούσης τοῖς ἀπὸ γῆς, καὶ στῆναι, καὶ βοῆσαι, καὶ τὴν Δαυιδικὴν ἐκείνην ἀνακηρύξαι φωνήν· Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; Πῶς γὰρ οὐκ ἄτοπον, ἐπὶ μὲν τοῦ σώματος κἂν τὸ τυχὸν καταλάβῃ πάθος, καὶ ἰατροὺς καλεῖν, καὶ χρήματα ἀναλίσκειν, καὶ καρτερίαν ἐπιδείκνυσθαι, καὶ οὐ πρότερον ἀφίστασθαι ἅπαντα πράττοντας, ἕως ἂν ἀπωσώμεθα τὸ λυποῦν· τῆς δὲ ψυχῆς καθ' ἑκάστην ἡμέραν κεντουμένης, κρημνιζομένης, καὶ πάντα τρόπον ἀπολλυούσης ἑαυτήν, οὐδὲ βραχὺν ἔχειν λόγον; Οὐ γὰρ τὸν ἔχοντα σηπεδόνα θρηνεῖν ἁπλῶς δεῖ, ἀλλὰ τὸν ἔχοντα καὶ εἰκῇ κείμενον, καὶ μὴ τυγχάνοντα ἰατρικῶν χειρῶν. Τὸν δὲ τεμνόμενον καὶ καιόμενον, τοῦτον μάλιστα φαίημεν ἂν πρὸς ὑγίειαν ὁδεύειν, οὐ τὴν ἀπὸ τῆς τομῆς ὀδύνην βλέποντες, ἀλλὰ τὴν ἀπὸ τῆς ὀδύνης ὑγίειαν. Οὕτως ἐπὶ τῆς ψυχῆς διακεῖσθαι χρή· οὐχὶ τοὺς κολαζομένους [οὗτοι γὰρ πρὸς ὑγίειαν ἕλκονται] ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητί, πενθεῖν δεῖ καὶ ὀδύρεσθαι. Ὁ γὰρ χρησταῖς * συντρεφόμενος ἐλπίσι, καὶ περὶ τῶν μελλόντων θαρρῶν, ἀπεντεῦθεν ἤδη τῆς βασιλείας ἐγεύσατο. Οὐδὲν γὰρ οὕτω ψυχὴν εἴωθεν ἀναπαύεσθαι καὶ ἀμείνω ποιεῖν, ὡς ἡ χρηστὴ τῶν μελλόντων ἐλπίς. Εἰ μὲν γὰρ ἅπασαν τὴν σπουδὴν εἰς τὸν καλλωπισμὸν κινοῦντες τῶν ἑαυτῶν οἰκιῶν, ἐν τοῖς ἔξω πλουτοῦντες, ἀμελοῦσι τῶν ἔνδον, καὶ ἔρημον καὶ αὐχμῶσαν, καὶ ἀραχνίων γέμουσαν περιορῶσι τὴν ἑαυτῶν ψυχήν· ἂν δὲ τῶν ἔξωθεν ἀμελήσαντες εἰς τὴν ἑαυτῶν διάνοιαν τὴν προθυμίαν καταναλώσωσιν ἅπασαν, πανταχόθεν αὐτὴν καλλωπίζοντες, καταγώγιον οὕτω τοῦ Χριστοῦ, τῶν τοιούτων ἀνθρώπων ἡ ψυχή. Τοῦ δὲ τὸν Χριστὸν ἔχοντος ἔνοικον, τί γένοιτ' ἂν μακαριώτερον; Τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν συγγνώμην, ὅταν μὲν τοῦ σώματος νοσοῦντος, ἔνθα καὶ ἀργύριόν ἐστι καταβαλεῖν, καὶ ἰατροὺς παρακαλέσαι, καὶ ὀδύνην ὑπομεῖναι πολλήν, τοσαύτην ποιώμεθα πρόνοιαν· ψυχῆς δὲ καταφρονοῖμεν· καὶ ταῦτα μήτε ἀργύριον καταβαλεῖν μέλλοντες, μήτε ἑτέρους διενοχλεῖν, μήτε ὀδύνας ὑφίστασθαι· ἀλλὰ χωρὶς τούτων πάντων, διὰ τοῦ προελέσθαι καὶ βουληθῆναι μόνον, πᾶσαν αὐτῆς δυνάμενοι ποιήσασθαι τὴν διόρθωσιν, καὶ ἀκριβῶς εἰδότες, ὡς εἰ μὴ τοῦτο ποιήσαιμεν, τὴν ἐσχάτην ὑποστησόμεθα δίκην, καὶ τὰς ἀπαραιτήτους κολάσεις καὶ τιμωρίας. Καὶ καθάπερ οἱ τὸ δεσμωτήριον οἰκοῦντες, ἀεὶ μὲν ἐν κατηφείᾳ καὶ ὀδύναις εἰσί, μάλιστα δὲ κατὰ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἂν μέλλωσιν ἐξάγεσθαι, καὶ παρ' αὐτὰς τὰς τοῦ δικάζοντος ἄγεσθαι θύρας, καὶ πρὸ τῶν κιγκλίδων ἑστῶτες, καὶ τὸ τοῦ κρίνοντος φωνῆς ἔνδοθεν ἀκούοντες, ἀποπήγνυνται τῷ φόβῳ, καὶ τῶν νεκρῶν οὐδὲν ἄμεινον διάκεινται· οὕτω καὶ ἡ ψυχή, μάλιστα μὲν καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἁμαρτίας ὀδυνᾶται, καὶ στενοχωρεῖται, πολλῷ δὲ πλέον, ὅταν ἐντεῦθεν ἀποσπασθεῖσα, πρὸς τὰς εὐθύνας τὰς ἐκεῖ, καὶ τὸ φοβερὸν ἀπάγεσθαι μέλλῃ δικαστήριον. Διὰ τοῦτο πολλάκις ἀναδύεται, καὶ πρὸς τὸ βάθος κάτω χωρεῖ, καὶ δέδοικε καὶ φρίττει, μέλλουσα τῆς σαρκὸς ἀφίστασθαι. Τότε γὰρ εἴτε ἥρπασέ τις, εἴτε ἐπλεονέκτησεν, εἴτε τινὰ ἐπηρέασεν, εἴτε τινὸς ἐχθρὸς γέγονεν ἀδίκως, εἴτε ἄλλο ὁτιοῦν εἰργάσατο δεινόν, ἅπας ὁ τῶν ἁμαρτημάτων χορὸς ἀνανεοῦται, καὶ πρὸ τῶν ὀφθαλμῶν φαίνεται, πικρὸς ἑστηκὼς τοῦ συνειδότος κατήγορος. Διὰ τοῦτο καὶ ἀθάνατος ἡμῖν γέγονεν ἡ ψυχή· καὶ τὸ σῶμα δὲ ἔσται ἀθάνατον, ἵνα τῶν ἀτελευτήτων ἀπολαύσωμεν ἀγαθῶν. Ἂν δὲ τῇ γῇ προσηλωμένος ᾖς, τῶν οὐρανίων προκειμένων, ἐννόησον ὅση γίνεται εἰς τὸν δεδωκότα ὕβρις· ὅταν ἐκεῖνος μὲν τὰ ἄνω σοι προτείνῃ, σὺ δὲ οὐ πολὺν αὐτῶν ποιούμενος λόγον, τὴν γῆν ἀνταλλάσσῃ τῶν οὐρανίων. Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A ut ipſum etiam ad cœlum educamus, non ut per id etiam animam in terram detraheremus. O rem mirandam! quomodo omnes præſentibus rebus inhiant, & futurarum intelligentiam nunquam accipiunt: ſed ad corporeas quidem voluptates jugiter feruntur, animas verò fame contabeſcere ſinunt. Et cum innumera quotidie accipiant vulnera, nunquam ſentiunt mala in quibus verſantur, ſed corpus quidem arte & diligentia ſingulari curant, animam verò negligunt, & ſquallentem & ſordentem, & innumera- B bilibus vexatam malis: & quod gravius eſt, quod poſt multos ſudores & labores, nec mortale hoc corpus morte ſuperius efficiunt; ſed & immortalem illam cum mortali hoc æternis ſubjiciunt pœnis. Quocirca magnopere deplorans circumfuſam hominum animis dementiam, denſamque ipſis incumbentem caliginem, invenire vellem ſpeculam aliquam excelſam, quæ omnia mihi genera hominum cernenda ſubjiceret: vellem autem & vocem adipiſci, quæ per omnes terminos reſonaret, & omnibus qui in terra C ſunt, ſufficeret, ſtareque & vociferari, ac Davidica illa voce exclamare: Filii hominum, quouſque gravi corde? Quomodo enim non abſurdum eſt, in corpore ſi id qualiſcunque etiam morbus invaſerit, & medicos vocare, & pecunias expendere, & tolerantiam oſtendere, nec priùs deſiſtere omnia facere, quouſque id quod nos infeſtat, amoverimus: cùm verò anima in ſingulos dies ſtimulatur, percipitatur, atque omni modo ſeipſam perdit, ne brevem quidem habere ſermonem? Non enim eum qui putreſcens D ulcus tantū habet, lamentari oportet, ſed eum qui habet & temerè jacet, nec medicas nanciſcitur manus. Qui verò ſecatur & uritur, hunc maximè ad ſanitatem tendere dixerimus, non dolorem qui ex ſectione oritur, aſpicientes, ſed eam quæ ex dolore ſequitur, ſanitatem. Ita, quod ad animam attinet, affecti eſſe debemus: non eos qui pœnas dant, lugere & deflere oportet; ad ſanitatem enim hi trahuntur; ſed eos qui impunè delinquunt. Qui enim bona in ſpe eſt, & de futuris confidit, abhinc jam regnum E deguſtavit. Nihil enim ita animam recreare & præſtantiorem reddere ſolet, ſicut bona de futuris concepta ſpes. Nam qui omne ſtudium in ornatum ſuarum ædium exhauriunt, cùm in exterioribus divites ſint, interiora negligunt, animamque ſuam deſolatam, ſquallentem & arenearum telis plenam deſpiciunt. Quòd ſi exterioribus neglectis menti ſuæ omnem diligentiam impenderent, undequaque ipſam accurate exornantes, Chriſto hoſpitium ejuſmodi hominum anima foret. Quid autem eo, qui Chriſtum A incolam habet, beatius eſſe poſſet? Quam igitur defenſionem habebimus, aut quam veniam? cum corporis ægrotantis, ubi & argentum expendendum eſt, & medici accerſendi, & dolor magnus perferendus, tantam habeamus curam; animam verò negligamus? præſertim neque argentum expenſuri, neque negotium aliis exhibituri, neque dolores ſubituri: ſed abſque his omnibus, electione & voluntate ſola, omninò corrigere nos ipſi valentes? & exactè ſcientes, quòd niſi id fecerimus, extremum luituri ſi- B mus ſupplicium, & irrecuſabiles pœnas & cruciatus. Et quemadmodum qui carcerem inhabitant, ſemper quidem in anxietate ac doloribus ſunt, ſed maximè eo die, quo educendi ſunt, & ad ipſas Judicis fores ducendi; & ante cancellos ſtantes, vocemque Judicantis intus audientes, metu obrigeſcunt, & nihilo meliore ſunt ſpecie quàm mortui: ſic & anima, ipſo quidem etiam prævaricationis tempore maximè affligitur & C premitur, ſed multò magis quando hinc avulſa ad rationes illic reddendas, & ad terribile illud judicium abducenda eſt. Propterea ſæpè refugit & intrò recedit, metuit & exhorreſcit, cùm à carne diſceſſura eſt. Tunc enim ſive quis rapuerit, ſive aliena invaſerit, ſive alios infeſtaverit, ſive injuſtè alicujus inimicus fuerit, ſive aliud quodlibet malum deſignaverit, univerſus peccatorum chorus renovatur, & oculis ſeſe offert, ſtatque acerbus conſcientiæ accuſator. Ideoque & animam nacti ſumus immortalem: & corpus verò immortale futurum eſt, ut infinitis perfruamur bo- D nis. Quòd ſi terræ affixus fueris, cùm cœleſtia proponantur, cogita quanta hinc contumelia in donantem oriatur; cùm ille quidem cœleſtia tibi porrigat, tu verò non magnam eorum rationem ducens terram commutes cœleſtibus. Quæ utinam omnes adipiſcamur gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria, & imperium in ſecula ſeculorum, Amen.

Ex Interp. ep. 1. ad Tim.

Ex orat. ad Demetr. monach.

Ex orat. 1. ad Demet.

Ex Interp. Pſal. 7.

Ex hom. in ſtatuas pono συντρεφόμενος. Bona ſpe nutritus.

Ex hom. in Lazar.

De non contemnenda Eccleſia Dei & ſanctis myſteriis.

Edita primum Baſiliæ an. 1551. Mart. Cromero interprete. Ex interp. Evang. ſeeu: dum Joan.

Homilia IX.

PErpauci nobis hodie adſunt. Quidnam hoc cauſæ eſt? Martyrum memoriam peragimus, & nemo ad nos accurrit, ſed B prolixius viæ ſpatium, in ſocordiam ipſos conjecit: imò verò non viæ ſpatium, ſed ſegnitia eos impedivit. Quemadmodum enim ſtudioſum & arrecto animo præditum, prohibere nihil poteſt; ita ſocordem & languidum retardare omnia poſſunt. Martyres ſanguinem ſuum pro veritate profuderunt, & tu ne brevis quidem viæ ſpatium pro nihilo ducere potes? Illi caput p. ſuerunt propter Chriſtum: tu verò nec exiguum ſpatium vis accurrere propter Dominum: Dominus tua cauſa mortuus eſt, C & tu cauſa ipſius cunctaris? Memoria martyrum fit, & tu ſegnis, & ſupinus jaces? Æquum eſt ut adſis & videas diabolum vinci, martyremque vincere, Deum glorificari, & Eccleſiam coronari. Atqui peccator ſum, dicet aliquis, & non poſſum occurrere. Quandoquidem peccator es, accurre, ut juſtus fias. Quis verò hominum abſque peccato eſt, dic mihi? An neſcis quòd & ipſi qui altari aſſident, peccatis affixi ſunt? Carne enim amicti, & corpori D implicati ſunt: Quin & nos ipſi, qui in ſolio ſedemus, ac docemus, peccatis implicati ſumus: ſed non deſperamus de divina benignitate, neque immanitatem ipſi affingimus. Propterea namque ipſos etiam Sacerdotes affectionibus ſervire fecit Deus, ut ex iis quæ ipſi patiuntur, aliis etiam ignoſcere diſcant. Quantæ igitur amentiæ & abſurditatis fuerit, quòd, cùm nos quidem citharœdus aut ſaltator, aut alius aliquis ejuſmodi hominum vocaverit, ſtudioſè omnes currimus, & gratiam ei, quòd nos E vocaverit, habemus, & integri diei mediam partem conſumimus, illi ſoli attendentes: Deo verò per Prophetas & Apoſtolos nobiſcum loquente, oſcitamus, ſcalpimus nos, & hæſitamus? Ac in circo quidem, nullo tecto, quod pluviam ſuſtineat, ſuperpoſito, complures, largis imbribus decidentibus, & vento aquam in ora ſufflante, ſtant inſani friguſque & pluviam ac viæ prolixitatem parvipendunt, neque quicquam ipſos vel domi continet, vel illuc tranſire vetat: ad Eccleſiam verò quo minus eamus, pluvia nobis atque lutum impedimentum eſt. A Ac ſi quidem interrogentur, quiſnam ſit Amos aut Abdias, ſive quis ſit numerus Prophetarum aut Apoſtolorum, ne hiſcere quidem poſſunt: pro equis verò & aurigis, ſi quis defenſiones componat, & ſophiſtas & oratores ſuperat. Et quonam pacto quæſo hæc tolerabilia ſunt? Admonui ſæpenumero, in theatrum, non eſſe aſcendendum. Audiviſti, nec obſecutus es: aſcendiſti in theatrum, non paruiſti orationi meæ: ne te pudeat rurſus ingredi & audire. B Audivi, nec tamen ſervavi, inquis; quomodo poſſum ingredi & audire? Interim hoc ipſum intelligis, te non ſervaſſe, interim te pudet, interim erubeſcis, interim nemine arguente frenum adhibes, interim orationem meam certam ac infixam retines, interim me non comparente, doctrina mea te dejicit. Non ſervaſti? magis ingredere, & cùm rurſus audieris, obſerves. Medicamentum ſi tibi adhibeatur, nec tamen te purget, nonne altera die rurſus idipſum adhibes? Sit C quiſpiam lignarius faber, ò homo, velitque quercum incidere: accipit aſciam, deinde radicem incidit: ſi det unum ictum, & arbor non concidat, nonne addit & alterum ictum? non quartum? non quintum? non decimum? itidem tu quoque facito. Hæc dico non ut ſegniores reddam, ſed ut diligentiores efficiam. Ingreſſus es in Eccleſiam, ô homo, dignus habitus es Chriſti conſortio: ne exeas, niſi dimittaris. nam ſi ante dimiſſionem exieris, tanquam fugitivus rationem repoſceris. D Totum diem in rebus quæ ad corpus ſpectant, conſumis, & duas horas ſpiritualibus non vacas? Ad theatrum ſæpè abis, neque inde diſcedis donec di[mi]ttaris: & in Eccleſiam ingreſſus, priuſquam divina myſteria [per]agantur, egrederis? Time eum qui dixit: Qui contemnit eam, contemnetur ab ea. Ac Regi quidem cùm aſtas, ne ridere quidem omninò audes: omnium verò Domino cùm aſtas, non ſtas cum timore & tremore, ſed rides ipſo ſæpè iraſcente? E Non cogitas, quòd hoc facto multò magis, quàm peccatis ipſis, eum irritas? Neque enim uſque adeò peccantes, ſicut [eos], qui poſt peccatum, animum non demittunt & contrahunt, Deus adverſari ſolet. Quid agis, ò homo, in Eccleſia ſtans formas mulierum curioſè contemplaris, & non perhorreſcis tanta injuria templum Dei afficiens? Lupanar tibi eſſe videtur Eccleſia Dei, & foro deſpicabilior? Nam in foro quidem metuis & erubeſcis videri mulierē curioſè contēplari: in templo verò Dei, ipſo tecū lo-

Ex hom. in Magnum Genezareth.

Ex orat. de incomprehenſib.

Περὶ τοῦ μὴ καταφρονεῖν τῆς τοῦ Θεοῦ ἐκκλησίας, καὶ τῶν ἁγίων μυστηρίων.

Λόγος θ.

Ὀλίγοι ἡμῖν σήμερον οἱ παραγινόμενοι. ἄρα τί τὸ αἴτιον; μνήμην μαρτύρων ἐπιτελοῦμεν, καὶ οὐδεὶς ἡμῖν ἀπήντησεν. ἀλλὰ τὸ διάστημα τῆς ὁδοῦ εἰς ῥᾳθυμίαν αὐτοὺς ἐνέβαλε· μᾶλλον δὲ οὐ τὸ διάστημα τῆς ὁδοῦ, ἀλλ' ἡ ῥᾳθυμία αὐτοὺς ἐνεπόδισεν. B ὥσπερ γὰρ τὸν σπουδαῖον καὶ διεγηγερμένον τῇ προαιρέσει, οὐδὲν δύναται κωλῦσαι· οὕτως τὸν ῥᾴθυμον καὶ ἀναπεπτωκότα πάντα δύναται κωλῦσαι. οἱ μάρτυρες τὸ ἴδιον αἷμα ἐξέχεον ὑπὲρ τῆς ἀληθείας· καὶ σὺ οὔτε βραχείας ὁδοῦ διάστημα καταφρονῆσαι δύνασαι; ἐκεῖνοι τὴν κεφαλὴν ἀπέθεντο διὰ τὸν Χριστόν· σὺ δὲ οὔτε μικρὸν ἀπαντῆσαι θέλεις, διὰ τὸν δεσπότην; ὁ δεσπότης διά σε ἀπέθανε, καὶ σὺ δι' αὐτὸν ὀκνεῖς; μνήμη μαρτύρων, καὶ σὺ ῥᾳθυμεῖς καὶ ἀναπέπτωκας; δέον ἐστί C σε παραγενέσθαι, καὶ ἰδεῖν τὸν διάβολον ἡττώμενον καὶ μάρτυρα νικῶντα, καὶ Θεὸν δοξαζόμενον, καὶ ἐκκλησίαν στεφανουμένην. ἀλλ' ἁμαρτωλός εἰμι, φησὶ, καὶ οὐ δύναμαι ἀπαντῆσαι· ἐπειδὴ ἁμαρτωλὸς εἶ, ἀπάντησον, ἵνα γένῃ δίκαιος. τίς δὲ τῶν ἀνθρώπων ἄνευ ἁμαρτίας, εἰπέ μοι; ἢ οὐκ οἶδας ὅτι καὶ αὐτοὶ οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες ἁμαρτίαις εἰσὶ προσηλωμένοι; σάρκα γάρ εἰσιν ἐνδεδυμένοι, καὶ σώματι συμπεπλεγμένοι· καὶ ἡμεῖς αὐτοὶ οἱ ἐπὶ D θρόνου καθήμενοι καὶ διδάσκοντες, ἁμαρτίαις συμπεπλέγμεθα· ἀλλ' οὐκ ἀπογινώσκομεν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, οὐδὲ ἀπανθρωπίαν αὐτῷ περιάπτωμεν. διὰ γὰρ τοῦτο καὶ αὐτοὺς τοὺς ἱερέας πάθεσι δουλεύειν παρεσκεύασεν ὁ Θεὸς, ἵνα ἐξ ὧν αὐτοὶ πάσχουσι, καὶ τοῖς ἄλλοις συγγνώμην διδῶσι. πόσης οὐκ ἂν εἴη παραπληξίας, καὶ ἀλογίας, ὅτι ἂν μὲν κιθαρῳδὸς ἢ ὀρχηστὴς, ἢ ἄλλος τις τῶν τοιούτων ἡμᾶς καλέσῃ, μετὰ σπουδῆς ἅπαντες τρέχομεν, καὶ χάριν αὐτῷ τῆς E κλήσεως ἴσμεν, καὶ ἡμέρας ὁλοκλήρου τὸ ἥμισυ μέρος ἀναλίσκομεν ἐκείνῳ προσέχοντες μόνῳ· τοῦ δὲ Θεοῦ διὰ προφητῶν καὶ ἀποστόλων ἡμῖν διαλεγομένου χασμώμεθα, κνώμεθα, καὶ ἰλιγγιῶμεν; καὶ ἐν μὲν ἱπποδρομίαις, οὐκ ὀροφῆς ἐπικειμένης τοῦ τὸν ὑετὸν στέγοντος, οἱ πλείους πολλῶν ὄμβρων καταφερομένων, καὶ ἀνέμου τὸ ὕδωρ εἰς τὰς ὄψεις ῥαπίζοντος, ἑστήκασι μαινόμενοι, καὶ ψύχους καὶ ὑετοῦ, καὶ μήκους ὁδοῦ καταφρονοῦσι, καὶ οὐδὲν αὐτοὺς οὔτε οἴκοι κατέχει, οὔτε ἐκεῖ A κωλύει διαβῆναι· εἰς δὲ τὴν ἐκκλησίαν ἀπελθεῖν ὁ ὑετὸς ἡμῖν καὶ ὁ πηλὸς κώλυμα γίνεται. κἂν μὲν ἐρωτηθῶσι, τίς ἐστιν ὁ Ἀμὼς, ἢ ὁ Ἀβδίας, ἢ ποῖος τῶν προφητῶν ὁ ἀριθμὸς, ἢ τῶν ἀποστόλων, οὐδὲ χάναι δύνανται· ὑπὲρ δὲ ἵππων καὶ ἡνιόχων, καὶ σοφιστῶν, καὶ ῥητόρων δεινότερον τὰς ἀπολογίας συντίθησι. καὶ πῶς ταῦτα ἀνεκτὰ, εἰπέ μοι; παρῄνεσα πολλάκις εἰς θέατρα μὴ ἀναβαίνειν. ἤκουσας, οὐκ ἐπείσθης· ἀνέβης εἰς τὸ θέατρον, παρήκουσάς μου τοῦ λόγου. μὴ αἰσχυνθῇς, πάλιν εἰσελθεῖν καὶ ἀκοῦσαι. ἤκουσα, καὶ οὐκ ἐτήρησα, φησὶ, πῶς δύναμαι B εἰσελθεῖν καὶ ἀκοῦσαι. τέως αὐτὸ τοῦτο οἶδας, ὅτι οὐκ ἐτήρησας. τέως αἰσχύνῃ, τέως ἐρυθριᾷς, τέως μηδενὸς ἐλέγχοντος τὸν χαλινὸν ἐπιφέρεις, τέως τὸν λόγον μου ἔχεις ἐρριζωμένον, τέως μὴ φαινομένου μου, ἡ διδασκαλία μου καθαιρεῖ σε. οὐκ ἐτήρησας; μᾶλλον εἴσελθε, ἵνα πάλιν ἀκούσας τηρήσῃς. φάρμακον ἐὰν ἐπιτεθῇ σοι, καὶ μὴ καθαρίσῃ σε, τῇ ἄλλῃ ἡμέρᾳ οὐκ * ἐπιτίθεις αὐτὸ πάλιν; ἔστω τις δρυτόμος, ὦ ἄνθρωπε, καὶ θελέτω τεμεῖν C δρῦν· λαμβάνει ἀξίνην, εἶτα κόπτει τὴν ῥίζαν· ἐὰν δῷ μίαν πληγὴν, καὶ μὴ πέσῃ τὸ δένδρον, οὐ δίδωσιν ἄλλην πληγήν; οὐ τετάρτην, οὐ πέμπτην, οὐ δεκάτην; οὕτω καὶ σὺ ποίει. ταῦτα λέγω, οὐχ ἵνα ῥᾳθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα σπουδαιοτέρους καταστήσω. εἰσῆλθες εἰς τὴν ἐκκλησίαν, ἄνθρωπε, ἠξιώθης τῆς τοῦ Χριστοῦ συντυχίας· ἐὰν μὴ ἀπολυθῇς, μὴ ἐξέλθῃς. ἐὰν D γὰρ πρὸ τῆς ἀπολύσεως ἐξέλθῃς, ὡς δραπέτης εὐθύνῃ. τὴν ὅλην ἡμέραν ἐν τοῖς σωματικοῖς ἀναλίσκεις, καὶ δύο ὥρας ἐν τοῖς πνευματικοῖς οὐκ ἀσχολῇ; εἰς θέατρον πολλάκις ἀπέρχῃ, καὶ ἕως τῆς ἀπολύσεως οὐ κατέρχῃ· καὶ εἰς τὴν ἐκκλησίαν εἰσέρχῃ, καὶ πρὸ τῶν θείων μυστηρίων ἐξέρχῃ; φοβήθητι τὸν εἰρηκότα, ὁ καταφρονῶν πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ. καὶ βασιλεῖ μὲν παρεστὼς, οὐδὲ ἁπλῶς μειδιᾶσαι ἀνέχῃ· τῷ δὲ τῶν ἁπάντων δεσπότῃ παρεστηκὼς, οὐχ ἵστασαι μετὰ φόβου καὶ τρόμου, ἀλλὰ γελᾷς αὐτοῦ πολλάκις ὀργιζομένου; οὐκ E ἐννοεῖς ὅτι τῶν ἁμαρτημάτων ταύτῃ μειζόνως παροξύνεις αὐτόν; οὐ γὰρ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς μὴ μετὰ τὴν ἁμαρτίαν συστελλομένους ἀποστρέφεσθαι εἴωθεν ὁ Θεός. τί ποιεῖς, ἄνθρωπε, ἐν ἐκκλησίᾳ ἑστώς; κάλλη γυναικῶν περιεργάζῃ, καὶ οὐ φρίττεις οὕτως ἐνυβρίζων εἰς τὸν ναὸν τοῦ Θεοῦ; πορνεῖόν σοι δοκεῖ εἶναι ἡ ἐκκλησία καὶ τῆς ἀγορᾶς ἀτιμοτέρα; ἐν ἀγορᾷ μὲν γὰρ δέδοικας καὶ αἰσχύνῃ φανῆναι γυναῖκα περιεργαζόμενος· ἐν δὲ τῷ ναῷ τοῦ Θεοῦ, αὐτοῦ διαλεγομένου σοι καὶ ἀπει-

ἀπειλοῦντος ὑπὲρ τούτων, τοιαῦτα καὶ τολμᾷς κατὰ τὸν καιρὸν καθ' ὃν ἀκούεις μὴ ταῦτα ποιεῖν, καὶ οὐ φρίττεις, οὐδὲ ἐξίστηκας, ἐργαστήριον παρανομίας τὴν καρδίαν ἀποτελῶν, καὶ τοὺς ὀφθαλμούς; βέλτιον τοὺς τοιούτους πηροὺς εἶναι, ἢ εἰς ταῦτα κεχρῆσθαι τοῖς ὀφθαλμοῖς. ἐννόησον τίνος πλησίον ἕστηκας ἐν τῇ ἱερᾷ καὶ φρικώδει μυσταγωγίᾳ, ἄνθρωπε, μετὰ τίνων μέλλεις καλεῖν τὸν Θεόν· μετὰ τῶν Χερουβίμ, μετὰ τῶν Σεραφίμ, καὶ τῶν ἄλλων οὐρανίων δυνάμεων. ἀναλόγισαί σου τοὺς συγχορευτάς. ἀρκέσει τοῦτο εἰς νῆψιν, ὅταν ἐνθυμηθῇς, ὅτι σῶμα περικείμενος, καὶ σαρκὶ συμπεπλεγμένος, μετὰ τῶν ἀσωμάτων δυνάμεων κατηξιώθης ἀνυμνεῖν τὸν κοινὸν δεσπότην ἁπάντων. μὴ τοίνυν διαλελυμένος τὴν προθυμίαν τῶν ἱερῶν κοινώνει καὶ μυστικῶν ὕμνων ἐκείνων, μὴ βιωτικοὺς κατ' ἐκεῖνον τὸν καιρὸν ἔχε λογισμούς· ἀλλὰ πάντα γήϊνα τῆς διανοίας ἐξορίσας, καὶ πρὸς τὸν οὐρανὸν ὅλον ἑαυτὸν μεταθείς, ὡς αὐτοῦ πλησίον ἑστὼς τοῦ θρόνου τῆς δόξης, καὶ μετὰ τῶν Σεραφὶμ ἱπτάμενος, οὕτως τῷ Θεῷ τὸν πανάγιον ὕμνον ἀνάφερε. διὰ γὰρ τοῦτο ἑστάναι καλῶς κατὰ τὸν τῆς θείας μυσταγωγίας καιρὸν κελευόμεθα, ἵνα τοὺς χαμαὶ συρομένους λογισμοὺς ἀνορθώσωμεν, ἵνα τὴν ἔκλυσιν τὴν ἐκ τῶν βιωτικῶν γινομένην ἡμῖν πραγμάτων ἐκβαλόντες, ὀρθὴν ἔμπροσθεν τοῦ Θεοῦ ἀναστῆσαι δυνηθῶμεν ἡμῶν τὴν ψυχήν. οὐ γὰρ περὶ χειρῶν καὶ γονάτων λέγει τοῦ σώματος [οὐδὲ γὰρ δρομεῦσιν ἀνθρώποις, οὐδὲ παγκρατιασταῖς διαλέγεται] ἀλλὰ τὴν ἰσχὺν τὴν τῶν ἔνδον λογισμῶν προκαταβεβλημένην ὑπὸ τῶν πειρασμῶν, ἀναστῆσαι διὰ τῶν ῥημάτων τούτων παρακελεύεται. κατὰ γὰρ τὸν τῆς θείας συνάξεως καιρόν, ἀδελφοί, οὐκ ἄνθρωποι μόνοι βοῶσι τὴν φρικωδεστάτην ἐκείνην βοήν, ἀλλὰ καὶ ἄγγελοι προσπίπτουσι τῷ δεσπότῃ, καὶ ἀρχάγγελοι δέονται. ἔχουσι γὰρ καὶ τὸν καιρὸν αὐτοῖς συμμαχοῦντα, καὶ τὴν προσφορὰν βοηθοῦσαν. καὶ καθάπερ ἄνθρωποι κλάδους ἐλαιῶν ἐκκόψαντες ἐπισείουσι τοῖς βασιλεῦσι, διὰ τοῦ φυτοῦ, ἐλέους καὶ φιλανθρωπίας αὐτοὺς ἀναμιμνήσκοντες· οὕτω δὴ καὶ οἱ ἄγγελοι τότε ἀντὶ κλάδων ἐλαιῶν, τὸ σῶμα τὸ δεσποτικὸν διατεινόμενοι, τὸν δεσπότην παρακαλοῦσιν ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, μονονουχὶ λέγοντες· ὑπὲρ τούτων δεόμεθα, οὓς αὐτὸς φθάσας οὕτως ἀγαπῆσαι κατηξίωσας, ὡς τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτοῦ· ὑπὲρ τούτων ἐκχέομεν τὰς ἱκετηρίας, ὑπὲρ ὧν αὐτὸς τὸ αἷμα ἐξέχεας. ὑπὲρ τούτων παρακαλοῦμεν, ὑπὲρ ὧν τὸ σῶμα τοῦτο κατέθυσας. ἕκαστος τοίνυν ἀναλογιζέσθω παρ' ἑαυτῷ, ποῖον ἐλάττωμα διώρθωσε, ποῖον κατόρθωμα προσεκτήσατο, ποίαν ἁμαρτίαν ἀπενίψατο, καὶ τί βελτίων ἐγένετο· κἂν μὲν εὕρῃ πλέον τι γενόμενον ἀπὸ τῆς νηστείας αὐτῷ πρὸς τὴν καλὴν ταύτην ἐμπορίαν, καὶ συνειδῇ ἑαυτῷ πολλὴν πεποιημένῳ τῶν τραυμάτων ἐπιμέλειαν, προσερχέσθω· εἰ δὲ ἠμελημένος ἔμεινε, νηστείαν μὲν ἔχων ἐπιδείξασθαι μόνην, τῶν δὲ ἄλλων οὐδὲν κατορθωκώς, ἔξω μενέτω, καὶ τότε εἰσίτω, ὅταν ἅπαντα ἐκκαθάρῃ τὰ ἁμαρτήματα. τὸν μὲν γὰρ μὴ νηστεύοντα, εἰκὸς καὶ συγγνώμης τυχεῖν, σώματος ἀσθένειαν προβαλλόμενον· τὸν δὲ μὴ διορθώσαντα ἑαυτοῦ τὰ πλημμελήματα, ἀδύνατον ἀπολογίας τυχεῖν. τί γὰρ ἐν ταῖς συνάξεσι ῥᾳθυμίας, ἐὰν ἀπαιτήσῃ τὰς εὐθύνας ὁ Θεός, τί ποιήσομεν; ἴστε γὰρ δήπου τοῦτο, ὅτι πολλάκις αὐτοῦ διαλεγομένου πρὸς πάντας ἡμᾶς διὰ τοῦ προφήτου, πολλοὺς καὶ μακροὺς ποιούμεθα πρὸς τοὺς πλησίον λόγους, περὶ τῶν οὐδὲν ἡμῖν προσηκόντων πραγμάτων. ἂν τοίνυν πάντα παρεὶς τὰ ἄλλα, ταύτης τῆς ἁμαρτίας θελήσῃ δίκην ἀπαιτῆσαι ἡμᾶς, ποία σωτηρίας ἔσται ἡμῖν ἐλπίς; μὴ γὰρ δὴ μικρὸν εἶναι νομίσῃς τὸ πλημμέλημα, ἀλλ' εἰ βούλει τὸ μέγεθος αὐτοῦ καταιδεῖν, ἐπ' ἀνθρώπων τοῦτο αὐτὸ ἐξέτασον, καὶ τότε ὄψει τῆς ἀτοπίας τὸ μέγεθος. τόλμησον ἄρχοντος πρός σε φθεγγομένου, μᾶλλον δὲ φίλου τινὸς τῶν ὀλίγῳ σεμνοτέρων, ἀφεὶς αὐτὸν πρὸς οἰκέτην διαλέγεσθαι τὸν σαυτοῦ, καὶ τότε ὄψει ἡλίκον τολμᾷς ἐπὶ Θεοῦ τοῦτο ποιῶν. ἐὰν γὰρ ᾖ τις τῶν ἐπιφανεστέρων ἐκεῖνος, καὶ δίκην σε ἔχει ἀπαιτῆσαι τῆς ὕβρεως. ἀλλ' ὁ Θεὸς τοσαῦτα καὶ πλείονα τούτων καθ' ἑκάστην ὑβριζόμενος τὴν ἡμέραν, οὐ παρ' ἑνὸς καὶ δύο καὶ τριῶν ἀνθρώπων, ἀλλὰ παρὰ πάντων ἡμῶν σχεδόν, ἀνέχεται καὶ μακροθυμεῖ. καὶ βασιλέως μὲν ὀργὴν ἐπιγείου καταλῦσαι βουλόμενοι, μετὰ τῶν παίδων καὶ γυναικῶν συντρέχετε πάντες, καὶ τῆς βασιλικῆς ὀργῆς πολλάκις τὸν καταδίκην ἐξαρπάζετε· τὸν δὲ οὐράνιον βασιλέα * μέλλοντες ἵλεων ποιῆσαι καὶ ἐξαρπάσειν τῆς ὀργῆς αὐτοῦ, οὐχ ἕνα, οὐδὲ δύο καὶ τρεῖς καὶ ἑκατόν, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκουμένην ἁμαρτωλούς, ἔξω καθέζεσθε, καὶ οὐ συντρέχετε κοινῇ πάντες, ἵνα ὁ Θεὸς τὴν συμφωνίαν ὑμῶν αἰδεσθεὶς, κἀκείνοις ἀφῇ τὴν κόλασιν, καὶ ὑμῖν συγχωρήσῃ τὰ ἁμαρτήματα; εἰ γὰρ ἐπ' ἀγορᾶς τύχῃς ὢν κατὰ τὸν καιρὸν ἐκεῖνον, εἰ γὰρ ἐπὶ τῆς οἰκίας, εἰ γὰρ ἀπαραιτήτοις πράγμασιν, οὐχὶ παντὸς λέοντος σφοδρότερον ἅπαντα διαρρήξας τὰ δεσμὰ πρὸς τὴν κοινὴν ἱκετηρίαν αὐτομολήσεις; καὶ ποίαν ἕξεις σωτηρίας ἐλπίδα; τί γὰρ τῆς τοῦ Θεοῦ ἐκκλησίας δυνατώτερον γένοιτ' ἄν; μή μοι λέγε τείχη καὶ ὅπλα· τείχη τῷ χρόνῳ παλαιοῦνται, ἐκκλησία δὲ οὐδέ ποτε γηρᾷ. τείχη βάρβαροι καταλύουσιν, ἐκκλησίας δὲ οὐδὲ δαίμονες περιγίνονται. καὶ

A quente, & pro his comminante, talia audes eo ipſo tempore, quo audis hæc facienda non eſſe, & non perhorreſcis neq; mente commoveris, cor & oculos officinam iniquitatis faciens? Præſtaret hujuſcemodi eſſe cæcos, quàm ad iſta oculis ſuis uſos fuiſſe. Cogita, propè quem aſtiteris, in ſacro illo tremendoque ſacrificio, cum quibus ſis invocaturus Deum: cum Cherubim, cum Seraphim, & cum aliis virtutibus cœleſtibus. Reputa, quos tecum Deum concelebrantes habeas. Sufficit hoc tibi ad ſobrietatem, cùm B perpenderis, quòd corpore circumſeptus & carni implicatus, cum incorporeis virtutibus communem omnium Dominum collaudare dignus ſis habitus. Ne igitur diſſoluto animo ſacris & laudibus illis arcanis communices; ne ſeculares cogitationes per illud tempus habeas: verùm omnibus terrenis rebus ex mente ejectis, & ad cœlum totus translatus, perinde ac ſi propè ipſius ſolium gloriæ adſtares, & cum Seraphim volares, ita Deo ſanctam per omnia laudem affer. Propterea enim C honeſtè tempore divini ſacrificii ſtare jubemur, ut humi repentes cogitationes erigamus: ut languore, qui ex vitæ hujus negotiis oritur, excuſſo, rectum coram Deo animum exſuſcitare poſſimus. Non enim de manibus & genibus corporis dicit, (neque enim cum curſoribus aut pancratiaſtis loquitur) ſed interiorum cogitationum vires à tentationibus proſtratas, exſuſcitare his verbis hortatur. Divinæ enim communionis tempore, fratres, non homines ſolùm horrendum illum clamorem vociferantur, ſed & Angeli D procumbunt Domino & Archangeli orant: nacti enim ſunt tempus opportunum, & oblationem auxiliantem. Et quemadmodum homines ramos olearum reciſos Regibus protendunt, per ſtirpem illam, miſericordiæ & humanitatis ipſos admonentes: ita ſe & Angeli tunc pro ramis olearum, corpus Domini protendentes, Dominum pro natura humana precantur, tantum non dicentes: Pro his rogamus, quos tu prior ita diligere dignatus es, ut tuam ipſius animam traderes: pro his ſupplices preces profundimus, pro E quibus ipſe ſanguinem fudiſti: pro his oramus, pro his oramus, hanc hoſtiam obtuliſti. Unuſquiſque igitur ſecum reputet; quemnam defectum emendaverit, quod bonum opus inſuper acquiſierit, quod peccatum abſterſerit, in quo melior ſit factus. Ac ſi quidem augmenti aliquid ex jejunio ſibi acceſſiſſe deprehendat ad præclaram hanc mercaturam, ſibiq; conſcius ſit multam ſe vulneribus curam adhibuiſſe, accedat: ſi verò ſine cura manſerit, ſolum quidem jejunium oſtendere habens, in aliis verò nihil profecerit, A foris maneat; & tunc ingrediatur, ubi omnia delicta expurgaverit. Eum enim, qui corporis imbecillitatem prætendens, non jejunat, veniam obtinere conſentaneum eſt: qui verò errores non correxerit, hunc excuſationem invenire, fieri non poteſt. Quid enim facturi ſumus, ſi ignaviæ in conventibus Deus rationes expoſcat? Certè enim noſtis, quod frequenter ipſo per Prophetam nobis colloquente, multos & prolixos cum proximis ſermones, de rebus nihil ad nos pertinentibus, habeamus. Si igitur omnibus a- B liis prætermiſſis hujus delicti à nobis pœnas poſcere voluerit, quænam ſalutis ſpes nobis futura eſt? Nec vero exiguum hoc peccatum exiſtimare debes, ſed ſi ejus magnitudinem cernere velis, in hominibus hoc ipſum perpendito, & tum abſurditatis magnitudinem videbis. Audeas, Principe, imò etiam paulo honeſtiore aliquo amico tibi loquente, ipſo deſerto, cum famulo tuo ſermonem jungere? & tunc videbis quantum facinus audeas, coram Deo hoc faciens. Si enim ille ex illuſtrioribus aliquis ſit, etiam à C te pœnas ob illatam contumeliam ſumere poteſt: Deus autem, qui tot & his multò pluribus injuriis in ſingulos dies afficitur, idque non ab uno aut duobus aut tribus hominibus, ſed ferè ab omnibus nobis, ſuſtinet & patienter fert. Ac cùm terreni quidem Regis iram placare vultis, omnes cum liberis & uxoribus concurritis, frequenterque judicio condemnatum Regis iræ eripitis: cœleſtem verò Regem propitium reddituri, & ab ipſius ira non unum, aut duos, aut tres, aut centum, ſed omnes in orbe terrarum pec- D catores liberaturi foris conſidetis, nec in communi concurritis, ut Deus veſtram concordiam reveritus, & illis pœnam remittat, & vobis det veniam delictorum? Sive enim in foro, illo tempore verſeris, ſive domi, ſive in negotiis inevitabilibus, nonne quovis leone vehementiùs, omnibus vinculis diruptis, ad communem ſupplicationem profugies? & quam habebis ſpem ſalutis? Quid enim Dei Eccleſia potentius eſſe poteſt? Ne mihi mœnia & arma dicas. Mœnia tēpore veteraſcunt; Eccleſia verò nunquā ſeneſcit. Mœ- E nia barbari deſtruunt: Eccleſiā verò ne dæmones quidem ſuperant.

Ex hom. 22. in ſtatuas.

Ex hom. de ir.comprehenſib. Dei natura.

exempl. μέλλοντα.

Et quòd non ad inanem ſpeciem hæc dicantur, res ipſæ teſtantur. A Quàm multi oppugnarunt Eccleſiam ? atque ipſi quidem oppugnatores perierunt, ipſa verò ſupra cœlum aſcendit ? Tanta magnitudine prædita eſt Eccleſia. cùm oppugnatur, vincit: cùm appetitur inſidiis, ſuperat ; cùm injuria afficitur, ſplendidior efficitur. Scitis diem illum, quo contra nos movebantur arma, & furor militaris incendio ſævior, & nos ad regia palatia abducebamur, & ſpectaculum fiebamus orbi terrarum ? ſed per divinam gratiam nihil nos illorum attonitos & conſternatos reddit. Quid ita ? Quia B nullum in rebus præſentibus eſt malum. Quod enim malum eſt ? an mors ? at hæc malum nullum eſt ? continuò enim ad portum proficiſcimur. An bonorum publicatio ? Nudus egreſſus ſum, nudus quoque abibo. An exilium ? Domini eſt terra & plenitudo ejus. An calumnia ? Gaudete cùm dixerint omne malum verbum adverſum vos, quia merces veſtra copioſa eſt in cœlis. Etſi enim abducebar, ea tamen res mihi probro non fuit : ſolum enim peccatum probrum eſt, licet totus terrarum orbis te infamaverit, tu C verò teipſum non infamaveris, non es infamatus. Sola proditio eſt conſcientiæ : ne te prodat conſcientia, & nullus te prodet. Reducebar, videbamque opera, imò verò verba mea opera fieri ; & quod verbis vobiſcum egeram, in foro operibus prædicari. Vellem igitur ſcire, ubi agant hi, qui communionem neglexerunt, quiq; hac ſacra menſa ſeſe abſtinent. Imò verò probè ſcio. Aut enim de abſurdis & ridiculis rebus colloquuntur, aut vitæ hujus affixi ſunt curis ; utrorumque verò ſtudium venia caret, extremamque me- D retur animadverſionem. Ac de priore quidem neque verbis opus eſt, neque demonſtratione. Quod autem neque ii, qui rem familiarem & intolerabilem inde neceſſitatem orientem nobis prætendunt, veniam conſequi poſſunt, eò quod non pluris faciant ſpiritualia quam terrena, cuivis manifeſtum eſt. Quis enim famulus, quæſo, rei ſuæ domeſticæ curam unquam geret, priuſquam herile miniſterium impleverit? Quomodo igitur abſurdum non eſt, inter homines quidem, ubi nudum nomen eſt dominatio, tantam dominis exhi- E bere reverentiam & obedientiam ; eum verò, qui non modo noſter, ſed & ſupernarum virtutum dominus eſt, ne eo quidem ipſo, quo conſervos noſtros dignamur, cultu dignari ? Utinam fieri poſſet, ut illorum animum oculis veſtris oſtenderem, & videretis ſordeſcentem, ſqualentem, profligatum, dejectum atque diffidentem. Sicuti enim corpora, quibus balnea non adhibentur, multo ſqualore & ſordibus plena ſunt ; ſic anima quoque, quæ ſpirituali non fruitur doctrina, multas peccatorum ſibi circumpoſitas habet macu- A las. Utinam fieri poſſet, ut corda eorum, qui ſe à communione abſtinent, aperiremus : utinam poſſetis in conſcientiam ipſorum penetrare, tunc ſanè videretis, quàm multis vulneribus referti ſint, quàm multas ſpinas habeant. Nam quemadmodum terra, niſi agricolarum manibus colatur, horreſcit & ſilveſcit : ſic animus quoque ſpirituali doctrina deſtitutus, ſpinas ac tribulos producit. Nam ſi nos, qui quotidie Prophetarum & Apoſtolorum auſcultationis participes ſumus, & aſſidua carmina ex ſacris ſcripturis affe- B ctionibus noſtris occinimus, vix tamen excandeſcentem animum cohibemus, vix iram frænamus, vix invidiæ tabem ejicimus, vix ſedamus concupiſcentiam, vix impudentes feras coërcemus : quam ſpem ſalutis habebunt illi, qui hanc medicinam non adipiſcuntur, neque divina doctrina fruuntur ? Quemadmodum enim qui è portu egreſſus eſt, ubique errat, & qui lumine caret, in multa impingit : ita etiam, qui in oblivionem incidit timoris Dei, ſollicitudinibus & curis ac doloribus continuè traditur. Et ſicut quando Deus nos C aſſerit & nobiſcum eſt, triſtia è medio tolluntur ; ita ipſo recedente, noſque oblivioni tradente, & anima diſcinditur, & cor dolore cruciatur ; & contriſtantes inſultant ; ut ſegniores, dum ab omnibus mordentur, majore ſtudio redeant unde exciderunt. *Corripiet enim te averſio tua*, inquit, *& malitia tua arguet te.* Divinæ igitur etiam providentiæ ſpecies eſt derelictio. Cum enim providens atque proſpiciens contemnitur, dimittit aliquantulum & derelinquit, quo deinde profligata ſocordia, qui negligentes erant, di- D ligentiores evadant. Multos ex iis qui pridem nos deſeruerunt, & ad ſpectacula iniquitatis transfugerunt, hodie præſentes eſſe arbitror : Et optarem me iſtos certò cognoſcere, ut eos ſacris liminibus ejicerem ; non ut continuè foris maneant, ſed ut correcti denuò revertantur. Quoniam & patres, ſuos filios, ſi offendant, domo ejiciunt, & à menſa arcent : non quidem, ut ſemper hiſce priventur, ſed ut meliores etiam iſta correctione facti, cum debito honore ad paternam hæreditatem revertantur. Hoc E porrò etiam paſtores facere ſolent. Oves enim ſcabie plenas à ſanis arcent, ut à morbo liberatæ, ſecurè denuò ad ſanas re-

Ex hom. quæ eſt increpatio contra eos, qui ſe abſentant. & in præfat ep ad Corinth.

malè in exempl. κατηχο-μένην.

Ex interpr. Pſal. 11.

Jer. 2, 19.

Ex hom. de David & Saule.

A ὅτι οὐ κόμπος τὰ ῥήματα, μαρτυρεῖ τὰ πράγματα. πόσοι ἐπολέμησαν τὴν ἐκκλησίαν, καὶ οἱ πολεμήσαντες ἀπώλοντο, αὐτὴ δὲ ὑπὲρ τὸν οὐρανὸν ἀναβέβηκε; τοιοῦτον ἔχει μέγεθος ἡ ἐκκλησία· πολεμουμένη νικᾷ· ἐπιβουλευομένη περιγίνεται· ὑβριζομένη λαμπροτέρα καθίσταται. συνήκατε τὴν ἡμέραν ἐκείνην, ὅτε ἐκινεῖτο καθ' ἡμῶν ὅπλα, καὶ θυμὸς στρατιωτικὸς πυρὸς σφοδρότερος, καὶ ἡμεῖς πρὸς τὰς βασιλικὰς αὐλὰς ἀπηγόμεθα, καὶ θέατρον ἐγινόμεθα B τῇ οἰκουμένῃ; ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ χάριν, οὐδὲν ἡμᾶς ἐκείνων κατέπληξε. διὰ τί; ὅτι οὐδὲν τῶν παρόντων δεινόν. τί γάρ ἐστι δεινόν; θάνατος; ἀλλ' οὐκ ἔστι δεινόν· ταχέως γὰρ ἐπὶ τὸν λιμένα ἀπερχόμεθα. ἀλλὰ δήμευσις; γυμνὸς ἐξῆλθον, γυμνὸς καὶ ἀπελεύσομαι. ἀλλ' ἐξορία; τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλὰ συκοφαντία; χαίρετε ὅταν εἴπωσι πᾶν πονηρὸν καθ' ὑμῶν ῥῆμα, ὅτι μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. εἰ γὰρ καὶ ἀπηγόμην, ἀλλ' οὐκ ἦν ὕβρις C μοι τὸ γινόμενον· ὕβρις γὰρ ἓν μόνον, ἁμαρτία· κἂν οἰκουμένη σε ὑβρίσῃ, σὺ δὲ σαυτὸν μὴ ὑβρίσῃς, οὐχ ὑβρίσθης. προδοσία μόνη ἡ τοῦ συνειδότος· μὴ προδῷ σε τὸ συνειδός, καὶ οὐδείς σε προδίδωσιν. ἐπηγόμην, καὶ ἑώρων τὰ πράγματα, μᾶλλον δὲ τὰ ῥήματά μου πράγματα γινόμενα, καὶ τὴν προσομιλίαν μου τὴν διὰ τῶν ῥημάτων, ἐπὶ τῆς ἀγορᾶς διὰ πραγμάτων κηρυττομένην. ἐβουλόμην τοίνυν εἰδέναι, ποῦ διατελοῦσιν οἱ τῆς συνάξεως καταφρονήσαντες, D καὶ τῆς ἱερᾶς ταύτης ἀπολειφθέντες τραπέζης. μᾶλλον δὲ οἶδα σαφῶς· ἢ γὰρ περὶ ἀτόπων καὶ καταγελάστων πραγμάτων διαλέγονται, ἢ βιωτικαῖς εἰσι περιπλεκόμενοι φροντίσιν· ἀμφοτέρων δὲ ἡ διατριβὴ συγγνώμης ἀπεστέρηται, καὶ κόλασιν ἔχει τὴν ἐσχάτην. καὶ περὶ μὲν τῶν προτέρων οὐδὲ λόγων δεῖ, οὐδὲ ἀποδείξεως. ὅτι δὲ καὶ οἱ τὰ τῆς οἰκίας ἡμῖν προβαλλόμενοι πράγματα, καὶ τὴν ἀφόρητον ἐκεῖθεν ἀνάγκην λέγοντες, οὐδὲ οὗτοι δύνανται συγγνώμης τυχεῖν, μὴ E τὰ πνευματικὰ τῶν γηΐνων προτιμῶντες πραγμάτων, παντί που δῆλον. τίς γὰρ οἰκέτης, εἰπέ μοι, πρὶν ἢ δεσποτικὴν πληρῶσαι διακονίαν, τῆς κατὰ τὴν ἰδίαν οἰκίαν ἐπιμελήσεταί ποτε; πῶς οὖν οὐκ ἄτοπον, ἐπ' ἀνθρώπων μὲν ἔνθα ψιλὸν ὄνομα ἡ δεσποτεία, τοσαύτην τοῖς κυρίοις παρέχειν τὴν αἰδῶ, καὶ τὴν ὑπακοήν; τὸν δὲ ἀληθῶς δεσπότην οὐχ ἡμῶν μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, μηδὲ τῆς αὐτῆς τοῖς ἡμετέροις συνδούλοις ἀξιοῦν θεραπείας; εἴθε ἦν μοι δυνατὸν δεῖξαι A τοῖς ὑμετέροις ὀφθαλμοῖς τὴν ἐκείνων ψυχὴν, καὶ ἴδετε ἂν ῥυπῶσαν, αὐχμῶσαν, * καλυχυμένην, τεταπεινωμένην καὶ ἀπαρρησίαστον. ὥσπερ γὰρ τὰ βαλανείων οὐκ ἀπολαύοντα σώματα, αὐχμοῦ καὶ ῥύπου γέμει πολλοῦ, οὕτω καὶ ψυχὴ μὴ διδασκαλίας ἀπολαύουσα πνευματικῆς, πολλὴν τῶν ἁμαρτημάτων ἔχει περικειμένην αὐτῇ τὴν κηλῖδα. εἴθε ἦν δυνατὸν ἀναπτύξαι τὰς καρδίας τῶν ἀπολιμπανομένων τῆς θείας συνάξεως· εἴθε ἦν δυνατὸν ὑμῖν εἰς τὸ συνειδὸς B αὐτῶν εἰσεληλυθέναι· καὶ τότε εἴδετε ἂν καλῶς, πόσων τραυμάτων γέμουσιν, ὅσας ἀκάνθας ἔχουσι. καθάπερ γὰρ γῆ γεωργικῶν οὐκ ἀπολαύουσα χειρῶν, χερσοῦται καὶ ὑλομανεῖ· οὕτω καὶ ψυχὴ πνευματικῆς οὐκ ἀπολαύουσα διδασκαλίας, ἀκάνθας καὶ τριβόλους ἐκπέμπει. εἰ γὰρ ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τῆς τῶν προφητῶν καὶ ἀποστόλων μετέχοντες ἀκροάσεως, καὶ συνεχεῖς ἐπῳδὰς τὰς ἀπὸ τῶν θείων γραφῶν ἐπᾴδοντες τοῖς ἡμετέροις πάθεσι, μό- C λις κατέχομεν θυμὸν, μόλις χαλινοῦμεν ὀργὴν, μόλις ἐκβάλλομεν τήκεδόνα φθόνου, μόλις καταπαύομεν ἐπιθυμίαν, μόλις καταστέλλομεν τὰ ἀναίσχυντα θηρία· ἐκεῖνοι οἱ μηδέ ποτε ταύτης ἀπολαύοντες τῆς ἰατρείας, μηδὲ τῆς θείας ἀπολαύοντες διδασκαλίας, ποίαν ἐλπίδα σωτηρίας ἕξουσιν; ὥσπερ γὰρ ὁ τοῦ λιμένος ἐξελθὼν, πανταχοῦ πλανᾶται, καὶ ὁ τοῦ φωτὸς ἀποστερηθεὶς, πολλοῖς προσπταίει· οὕτω καὶ ὁ εἰς λήθην ἐμπεσὼν τοῦ φόβου τοῦ Θεοῦ, D φροντίσι, καὶ μερίμναις, καὶ ὀδύναις ἐκδίδοται διηνεκῶς. καὶ καθάπερ ἀντεχομένου τοῦ Θεοῦ καὶ μεθ' ἡμῶν ὄντος, τὰ λυποῦντα ἐκποδὼν γίνεται, οὕτως ἀφισταμένου καὶ ἐπιλανθανομένου καὶ ψυχὴ διακόπτεται, καὶ καρδία ὀδυνᾶται, καὶ οἱ λυποῦντες ἐπεμβαίνουσιν, ὥστε διὰ πάντων δακνομένους τοὺς ῥαθυμοτέρους, σπουδαιότερον ἐπανελθεῖν, ὅθεν ἐξέπεσον. παιδεύσει γάρ σε ἡ ἀποστασία σου φησὶ, καὶ ἡ κακία σου ἐλέγξει σε. ὥστε καὶ ἐγκατάλειψις τοῦ Θεοῦ προνοίας εἶδός ἐστιν. ὅταν γὰρ προνοῶν καὶ κηδόμενος καταφρονῆται, E ἀφίησι μικρὸν καὶ ἐγκαταλιμπάνει, ἵνα τότε τῆς ῥαθυμίας ἐκβληθείσης, σπουδαιότεροι οἱ ὀλίγωροι γένωνται. πολλοὺς οἶμαι τῶν πρώην καταλιπόντων ἡμᾶς, καὶ πρὸς τὰ θέατρα τῆς παρανομίας αὐτομολησάντων, παρεῖναι σήμερον· καὶ ἐβουλόμην τούτους εἰδέναι σαφῶς, ὥστε αὐτοὺς τῶν ἱερῶν ἐκβαλεῖν προθύρων, οὐχ ἵνα μένωσιν ἔξω διηνεκῶς, ἀλλ' ἵνα διορθωθέντες ἐπανέλθωσι πάλιν. ἐπεὶ καὶ πατέρες παῖδας σφαλλομένους τῆς οἰκίας ἐκβάλλουσι, καὶ τῆς τραπέζης εἴργουσιν· οὐχ ἵνα διαπαντὸς τούτων ἐκπέσωσιν, ἀλλ' ἵνα καὶ βελτίους τῇ νουθεσίᾳ ταύτῃ γενόμενοι, μετὰ τῆς προσηκούσης δόξης, πρὸς τὸν πατρῷον ἐπανέλθωσι κλῆρον. οὕτω δὴ καὶ ποιμένες ποιοῦσι· τὰ ψώρας ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων εἴργουσι, ἵνα ἀποθέμενα τὴν ἀρρωστίαν, μετὰ ἀσφαλείας

λείας πρὸς τὰ ὑγιαίνοντα ἐπανέλθῃ πάλιν, καὶ μὴ νοσοῦντα τὴν ἀγέλην ἅπασαν ἐμπλήσῃ τῆς ἀῤῥωστίας ἐκείνης. Διὰ τοῦτο καὶ ἡμεῖς ἐβουλόμεθα τούτους εἰδέναι. ἀλλ' εἰ καὶ μὴ τοῖς ὀφθαλμοῖς αὐτοὺς διακρῖναι δυνάμεθα, ὁ λόγος αὐτοὺς ἐπιγνώσεται πάντως, καὶ τοῦ συνειδότος αὐτῶν ἐπιλαβόμενος, πείσει ῥᾳδίως ἑκόντας αὐτοὺς ὑποσταλῆναι. διδάσκων ὅτι ἐκεῖνος ἔνδον ἐστὶ μόνος, ὁ τὴν ἐν ταῦθα διατριβῆς ἀξίαν παρέχων τὴν γνώμην· ὡς ὁ μετὰ πολιτείας διεφθαρμένης τοῦ ἱεροῦ τούτου μετέχων συλλόγου, κἂν τὸ σῶμα ἐνταῦθα εἰσάγῃ, ἐκβέβληται, καὶ τῶν ἀποκεκλεισμένων ἔξω, καὶ μὴ δυναμένων τῆς ἱερᾶς μεταλαχεῖν τραπέζης, μᾶλλον ἀπελήλαται. ἐκεῖνοι μὲν γὰρ κατὰ τοὺς τοῦ Θεοῦ νόμους ἐκβληθέντες καὶ μένοντες ἔξω, τέως χρηστὰς ἔχουσιν ἐλπίδας, κἂν ἐθέλωσι τὰ πλημμελήματα διορθῶσαι διὰ τῆς ἐκκλησίας ἧς ἐξέπεσεν, δυνήσονται μετὰ καθαροῦ τοῦ συνειδότος πάλιν ἐπανελθεῖν. οἱ δὲ μολύναντες ἑαυτοὺς, καὶ κελευσθέντες μὴ πρότερον ἐπιβῆναι ἕως ἂν ἀποκαθάρωνται τὴν κηλῖδα τὴν ἐκ τῶν ἁμαρτημάτων· εἶτα ἀναισχυντοῦντες, χαλεπώτερον τὸ τραῦμα ἐργάζονται· οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν χαλεπὸν, ὡς μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία. πολλοὶ τῶν μυστηρίων ἅπαξ μεταλαμβάνουσι τοῦ ἐνιαυτοῦ, ἕτεροι δὲ δὶς, ἄλλοι δὲ πολλάκις. τίνας οὖν τούτων ἀποδεξόμεθα, τοὺς ἅπαξ, ἢ τοὺς πολλάκις, ἢ τοὺς ὀλιγάκις; οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις. ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀνεπιλήπτου· οἱ τοιοῦτοι ἀεὶ προσιέτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ· κρίμα γὰρ ἑαυτοῖς λαμβάνουσι καὶ κατάκριμα. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ φθείρει, καὶ γίνεται νόσου ἀφορμὴ, οὕτω δὴ καὶ τὰ τῶν φρικτῶν μυστηρίων. τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ σῶμα; μύρῳ χρίεις, καὶ πάλιν δυσωδίας πληροῖς; μετὰ ἐνιαυτὸν τὴν μετάληψιν μετέχων εἶτ' ἀρκεῖν σοι πρὸς καθαρισμὸν τῶν ἁμαρτημάτων τοῦ παντὸς χρόνου, καὶ πάλιν ἑβδομάδος παρελθούσης ἐκδίδως σαυτὸν τοῖς προτέροις; εἰπὲ δή μοι· ἐὰν ὑγιάνας εἰς τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν σαυτὸν ἐκδῷς τοῖς νοσοποιοῖς ἐκείνοις, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας; εἰ τοίνυν τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. κἂν μὲν ὄζῃ τὸ στόμα, οὐδὲ τῶν κοινῶν μετέχεις σιτίων. τοσαύτης δὲ δυσωδίας οὔσης ἐν τῇ ψυχῇ, μυστηρίων τολμᾷς κοινωνεῖν, εἰπέ μοι; καὶ ποίας τεύξῃ συγγνώμης; φησὶ γὰρ ὁ θεῖος ἀπόστολος, ὁ ἐσθίων καὶ πίνων τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει· τουτέστι, τὴν αὐτὴν δώσουσι δίκην, ἥνπερ ὑποστήσονται τιμωρίαν οἱ σταυρώσαντες τὸν Χριστόν. καθάπερ γὰρ ἐκεῖνοι οἱ σφαγῆς ἔνοχοι ἐγένοντο τοῦ σώματος, οὕτω καὶ οὗτοι οἱ ἀναξίως κοινωνοῦντες τῶν μυστηρίων. ὥσπερ γὰρ ἄν τε διαῤῥήξῃ τις τὴν πορφυρίδα τὴν βασιλικὴν, ἄν τε μολύνῃ βορβόρῳ, παραπλησίως εἰς τὸν ἐνδεδυμένον αὐτὴν ἐνύβρισε βασιλέα, οὕτω δὴ καὶ ἐνταῦθα, εἴτε ἀνελόντες τὸ σῶμα τὸ δεσποτικὸν, εἴτε ἀκαθάρτῳ δεχόμενοι τῇ διανοίᾳ, ὁμοίως ἐμπαροινοῦσι τῷ ἐνδύματι τῷ βασιλικῷ. διέῤῥηξαν μὲν οὖν αὐτὸ οἱ Ἰουδαῖοι τῷ σταυρῷ, μολύνει δὲ καὶ ὁ ἀκαθάρτῳ δεχόμενος αὐτὸ τῇ ψυχῇ. ὥστε εἰ καὶ διάφορα τὰ τῆς παρανομίας, ἀλλὰ τὰ τῆς ὕβρεως ἴσα. τοῦτο πολλῶν καθήψατο, τοῦτο πολλοὺς ἐθορύβησεν, ἔδακνε τὸ συνειδὸς τῶν ἀκουόντων, μᾶλλον δὲ οὐχὶ τῶν ἀκουόντων μόνον, ἀλλὰ καὶ ἐμοῦ τοῦ λέγοντος, πρὸ ὑμῶν. κοινὴ γὰρ ἡ διδασκαλία, κοινὰ τὰ τραύματα· διὸ καὶ κοινὰ τὰ φάρμακα ἐπιτίθημι. τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο ἔργον, ὥστε καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας τοῖς αὐτοῖς ὑποκεῖσθαι νόμοις, τῆς αὐτῆς κοινωνεῖν φύσεως, ὁμοίως ἕκαστον ὑπεύθυνον εἶναι τὸν παραβαίνοντα. διατί; ἵνα μετὰ συμμετρίας ποιήσηται τὴν ἐπιτίμησιν· ἵνα συγγνωμονικὸς γίνηται τοῖς ἁμαρτάνουσιν· ἵνα ἀναμιμνησκόμενος τῆς οἰκείας ἀσθενείας, μὴ ἀφόρητον ποιῆται τὸν ἔλεγχον. ἂν τοίνυν ἴδῃς τινὰ τῶν μετὰ σοῦ συναγομένων, πορνεύοντα, καὶ μυστηρίοις προσερχόμενον, εἰπὲ τῷ διακονουμένῳ τὴν τούτων διανομήν· ὁ δεῖνα ἀνάξιος μυστηρίων, κώλυσον τὸν βέβηλον τῶν ἁγίων. εἰ γὰρ μηδὲ διηγεῖσθαι τὰ δικαιώματα τοῦ Θεοῦ ὁ τοιοῦτος ἄξιος, ἐννόησον οἷαι προσθήσονται τὰ τῆς κολάσεως αὐτῷ, ἐὰν καὶ τῆς ἱερᾶς ἅπτηται τραπέζης· οὐκ αὐτῷ δὲ μόνῳ, ἀλλὰ καὶ σοὶ τῷ συσκιάζοντι. οὐ γὰρ εἶπεν, καὶ ἐμοίχευες, ἀλλὰ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. βαβαὶ, ἡλίκον ἐστὶ κακὸν περιστέλλειν τὴν ἄλλων τὰς σηπεδόνας. κοινωνὸν γάρ σε, φησὶν, εἶναι τῆς ἐπὶ τῷ πλημμελήματι τιμωρίας. καὶ εἰκότως. ὁ μὲν γὰρ ἔχει τὸ πάθος εἰπεῖν, εἰ καὶ ἀσύγγνωστος ἡ πρόφασις· σὺ δὲ οὐδὲ τοῦτο. τίνος οὖν ἕνεκεν τῆς ἡδονῆς οὐκ ἀπολαύων, τῆς κολάσεως κοινωνὸς καὶ μέτοχος γίνῃ; μὴ γάρ μοι ἐκεῖνο τὸ ῥῆμα λέγε, τὸ πολλῆς γέμον ἀναλγησίας. τί δέ μοι μέλει; τὰ ἐμαυτοῦ μεριμνῶ. τότε γὰρ μάλιστα μεριμνήσεις τὰ σὰ, ὅταν τὰ σὰ ζητῇς ἐν τῷ τοῦ πλησίον συμφέροντι· καθὰ καὶ Παῦλος εἶπε, μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἵνα εὕρῃ τὸ ἑαυτοῦ. ὅταν γὰρ ὁ ἡμαρτηκὼς πάντας ἀποστρεφομένους αὐτὸν ἴδῃ, μέγα τι καὶ πονηρὸν ἡγήσεται εἰργάσθαι.

deant, & ne morbidæ univerſum gregem illo vitio repleant. Hanc ob cem nos quoque illos ſcire cuperemus. At quamvis eos diſcernere oculis nequeamus, omninò tamen ſermo ipſos deprehendet, & ubi conſcientiæ ipſorum inhæſerit, facilè perſuadebit, ut ſponte ſeipſos ſubducant: docens, illum ſolum intus eſſe, qui dignam præſenti converſatione mentem oſtendit; ſicuti qui perverſo vitæ inſtituto hujus ſacri cœtus eſt particeps, licet corpus huc adducat, ejectus tamen eſt, magiſque, quam qui foris excluſi ſunt, nec ſacra menſa participare poſſunt, expulſus. Illi ſiquidem juxta Dei leges ejecti & extra manentes, bonam interim ſpem habent; ac ſi errata corrigere velint, per Eccleſiam, qua expulſi ſunt, pura conſcientia denuò redire poterunt: qui verò ſeipſos contaminarunt, & moniti ne priùs ingrediantur, donec à macula peccatorum ſint expurgati, deinde impudenter ſe gerunt, gravius ſuum vulnus reddunt. Non enim tam grave eſt peccatum, quàm poſt peccatum impudentia. Multi ſemel in anno myſteriorū fiūt participes, alii bis, alii verò crebrò. Quos igitur ex iſtis probabimus? eos qui ſemel? an qui crebro? an qui rariùs? Neque qui ſemel, neque qui crebrò, neque qui rarò: verùm eos, qui cum pura conſcientia, qui cum puro corde, qui cum irreprehenſibili vita! Hujuſmodi ſemper accedant. Qui vero ejuſmodi non ſunt ne ſemel quidem: Judicium enim ſibi accipiunt atque damnationem. Ut enim alimentum natura alendi vim habens, ſi in eū, qui ſtomachi vitio cibū faſtidit, incidat, omnia deſtruit & corrumpit fitque morbi occaſio, ita ſanè & tremenda illa myſteria. Menſa ſpirituali frueris, menſa Regia, & corpus rurſum cœno inquinas? unguento id ungis, & rurſus fœtore reples? Putas tibi ſufficere ad peccatorum univerſi temporis expurgationem, ſi anno vertente commune participas, & rurſus exacta ſeptimana, te prioribus tradis? Age, dic mihi, ſi, cùm ex diuturno morbo ad quadraginta dies convaluiſſes, ad illas res, quæ morbum tibi conciliaverant, te curſum referres, nonne & priorem laborem perderes? Quòd ſi mutantur naturalia, multo magis quæ electionis & arbitrii ſunt. Ac ſi os quidem oleat, ne communibus quidem cibis veſceris: tanta verò graveolentia in animo cùm ſit, myſteriis quæſo, participare audes? Et quam veniam conſequeris? ait enim divinus Apoſtolus: Qui manducat & bibit calicem Domini indignè, judicium ſibi manducat & bibit: hoc eſt, eandem pœnam dabit, quod ſupplicium ſuſtinebunt illi, qui Chriſtum cruci affixerunt. Quemadmodū enim illi jugulatores rei facti ſunt corporis, ita & hi qui indignè myſteriis participant. Sicut enim, ſive quis diſrumpat regiam purpuram, ſive luto contaminet, ex æquo contumelia Regem, qui eam induit, affecerit: ita hîc quoque, & qui peremerunt corpus Dominicum, & qui impura mente id acceperunt, juxta ludibrio habent, ac qui regium indumentum. Judæi quidem cruce id diſruperunt; qui vero impuro ipſum animo accipit, contaminat. Quocirca, licet diverſa peccata ſint, at æqualis tamen contumelia. Hoc multos pupugit, hoc multos perturbavit, momordit audientium conſcientiam: imo vero non audientium modo, ſed & meam ipſius dicentis, priuſquam veſtram. Communis enim hæc doctrina, communia vulnera: quocirca etiam communia documenta appono. Hoc divinæ benignitatis opus extitit, ut & qui dicit, & qui audit, iiſdem legibus ſubjaceant; eadem natura participent; ex æquo obnoxius ſit, quiſquis tranſgreditur. Quid ita? ut moderatè increpet; ut pronus ſit ad ignoſcendum peccantibus ut memor propriæ infirmitatis, non intolerabiliter corripiat. Si igitur aliquem ex iis, qui tecum congregantur, ſcortantem, & ad myſteria accedentem videris, dic eorum diſpenſatori: iſte indignus eſt myſteriis, prohibe prophanum ſacris. Nam ſi talis dignus non eſt, qui juſta Dei facta enarret, cogita quoniſque augeſcet illi ſupplicium, ſi ſacram etiam menſam attingat: Neque vero ipſi tantùm, ſed & tibi occulenti. Non enim dixit, & adulterium patrabas; ſed, Cum adulteris portionem tuam ponebas. Papæ, quantum malum eſt occultare aliorum putredines! Socium enim te eſſe dicit ſupplicii, quod illi delicto debetur. Et merito. Ille enim affectionem dicere habet, tametſi hic prætextus veniam non meretur. Quam igitur ob cauſam, cum voluptate non fruaris, pœnæ te facis ſocium & participem? Nec enim mihi verbum illud, multa ſtoliditate plenum dicas Quid mihi curæ eſt? ego res meas curo. Tunc enim maximè res tuas curabis, ſi eas in proximi commodo quæras: prout enim Paulus dixit, Nemo quæ ſua ſunt, quærat; ut quod ſuum eſt, inveniat. Cùm enim qui peccavit, viderit, quod omnes ipſum averſentur, grande quid & ſceleſtum ſe commiſiſſe exiſtimabit;

Ex hom. in illud Voluntariè enim peccantibus nobis accepta agnit. veritas.

Ex orat. quòd periculoſum ſit tum dicentibus tum audientibus ad gratiam loqui.

Ex Interp. Pſal. 42.

Si verò non modò non indignari alios, aut improbare conſpexerit, ſed etiam placidè ferre & adjuvare, tum conſcientiæ quoque corrumpit judicium, multorum ſuffragio corruptæ ipſius menti opitulante. Multi non ferentes graves in vos reprehenſiones, poſt reditum accedentes indignati ſunt, & conqueſti; abducis nos, dicentes, à ſacra menſa, & à communione repellis? Ideò verò hæc dicere coactus ſum, quia non abduco, ſed potiùs congrego: neque repello aut arceo, ſed potiùs reprehenſionibus allicio. Metus enim ſupplicii in delinquentium conſcientiam, velut ignis in ceram, incidens, deſtruit ac conſumit peccata, continuè inſidens; ac interim purum & nitidum reddens animum.* Et ſicut qui acerbas medicinas cibos faſtidientibus porrigit, & pravos humores expurgat, appetitum proſtratum excitat, efficitque ut majore cupiditate conſuetum cibum ſumat; ita ſcilicet qui aſperis verbis utitur, & pravas animi cogitationes expiat, & gravem peccatorum ſarcinam tollit, conſcientiam reſpirare facit, & ad corpus dominicum magna cum voluptate deguſtandum præparat. Meritò igitur B. Paulus dixit: *Obedite præpoſitis veſtris, & ſubjacete eis; ipſi enim pervigilant quaſi rationem reddituri pro animabus veſtris.* Tu quidem, quæ tua ſunt, curas: ac ſi hæc benè conſtituta ſint, nullam jam cæterorum rationem habes: Sacerdos autem, licet vitam ſuam benè inſtituat, tuæ vero non diligentem curam habeat, cum improbis in gehennam abibit. Et frequenter à ſuis delictis non proditus, propter aliena perit. Sed quoniam acriùs eos, qui indignè divinis myſteriis participant, pupugimus, operæ pretium eſt, ut ad vos quoque, qui miniſtratis, ſermonem deinceps convertamus, ut multa cum diligentia hæc dona diſpenſetis. Neque enim parva vobis pœna impendet. Nam ſi ſcientes aliquem eſſe improbum, hac menſa participare eum permittatis, ſanguis ejus è manibus veſtris exquiritur. Sive is dux exercitus, ſive præfectus ſit, ſive ille ipſe, qui diademate circumdatus eſt, ſi indignus accedat, prohibe: majorem ipſo poteſtatem habes: cave ne irrites Dominum, non expurgans corpus hujus. Ne gladium loco alimenti porrigas: Verùm, etiamſi ille ob infirmitatem veniat, ut accipiat, prohibete ne metuas. Metue Dominum Deum, non hominem. Si hominem metueris, & ab ipſo irrideberis, & Dominum irritabis? Sin Deum, & hominibus venerabilis eris, & ipſi charus. Quòd ſi ipſe non audes, ad me adduc; non patiar eum hæc audere: anima deficiat priùs, quàm ſanguinem Dominicum præter dignitatem porrigam; & meum ipſius ſanguinem profundam priùs, quàm ſanguinem tam tremendum, ſecus quàm convenit, porrigam. Melius enim eſt multo, vita privari propter Deum, quàm propter vitam, ipſo Deo. Quem decet gloria, imperium nunc & in ſecula ſeculorum, Amen.

Ex hom. quòd periculoſum ſit & dicentibus & audientibus ad gratiam concionari.

Ex Interp. Evang. S. Joann.

Hebr. 13.

A ἂν δὲ μὴ μόνον μὴ ἀγανακτοῦντας μηδὲ δυσχεραίνοντας θεάσηται, ἀλλὰ καὶ πράως φέροντας καὶ συνεφαπτομένους, καὶ τὸ ἐκ τοῦ συνειδότος διαφθείρει δικαστήριον, τῆς τῶν πολλῶν ψήφου συμπραττούσης αὐτοῦ τῇ διεφθαρμένῃ γνώμῃ. πολλοὶ τὸ βάρος τῶν πρὸς ὑμᾶς εἰρημένων ἐλέγχων οὐκ ἐνεγκόντες, μετὰ τὴν ἀναχώρησιν προσελθόντες, ἐδυσχέραινον, ἠγανάκτουν, ἀπάγεις ἡμᾶς λέγοντες, τῆς ἱερᾶς τραπέζης, καὶ τῆς κοινωνίας ἀποσοβεῖς; διὰ τοῦτο δὲ ταῦτα B ἠναγκάσθην εἰπεῖν, ὅτι οὐκ ἀπάγω, ἀλλὰ συνάγω μᾶλλον· οὐδὲ ἀποσοβῶ, οὐδὲ ἀπείργω, ἀλλ' ἐπισπῶμαι διὰ τῶν ἐλέγχων πλέον. ὁ γὰρ φόβος τῆς τιμωρίας, καθάπερ πῦρ εἰς κηρὸν, οὕτως εἰς τὸ συνειδὸς τῶν ἁμαρτανόντων ἐμπίπτων, λύει μὲν ἡμῶν καὶ τήκει τὰ πλημμελήματα διηνεκῶς ἐγκαθήμενος, καθαρὰν δὲ καὶ ἀποστίλβουσαν ἐργαζόμενος τὴν διάνοιαν, πλείονα τὴν παῤῥησίαν ἡμῖν ἐντίθησι. καὶ καθάπερ ὁ πικρὰ φάρμακα τοῖς ἀποσιτοῦσι διδοὺς, καὶ τοὺς πονη- C ροὺς ἐκκαθαίρων χυμοὺς, διεγείρει τὴν καταβεβλημένην ὄρεξιν, καὶ μετὰ πλείονος παρασκευάζει τῆς προθυμίας τῆς συνήθους ἅπτεσθαι τροφῆς· οὕτω δὴ καὶ ὁ πικρὰ λέγων ῥήματα, καὶ καθαίρων τοὺς πονηροὺς λογισμοὺς τῆς διανοίας, καὶ τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποσκευαζόμενος φορτίον, δίδωσιν ἀναπνεῦσαι τῷ συνειδότι, καὶ μετὰ πολλῆς ἡδονῆς ἀπογεύσασθαι τοῦ σώματος παρασκευάζει τοῦ δεσποτικοῦ. εἰκότως ἄρα ὁ μακάριος Παῦλος ἔλεγε· πείθεσθε τοῖς ἡγουμέ- D νοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. σὺ μὲν γὰρ τὰ ἑαυτοῦ μεριμνᾷς· κἂν ταῦτα διάθῃ καλῶς, οὐδείς σοι τῶν ἄλλων ἔσται λόγος λοιπόν. ὁ δὲ ἱερεὺς, κἂν τὸν οἰκεῖον οἰκονομήσῃ βίον καλῶς, τῆς δὲ σῆς μὴ μετὰ ἀκριβείας ἐπιμελήσηται, μετὰ τῶν πονηρῶν εἰς τὴν γέενναν ἄπεισι. καὶ πολλάκις ἀπὸ τῶν οἰκείων οὐ προδοθεὶς, ἀπὸ τῶν ἀλλοτρίων ἀπόλλυται. ἀλλ' ἐπειδὴ σφοδρότερον τῶν ἀναξίως τῶν θείων μεταλαμβανόντων μυστηρίων καθηψάμεθα, ἀναγκαῖον καὶ πρὸς ὑμᾶς E τοὺς διακονουμένους διαλεχθῆναι λοιπὸν, ὥστε μετὰ πολλῆς τῆς σπουδῆς διανέμειν ταῦτα τὰ δῶρα· οὐ μικρὰ γὰρ κόλασις ὑμῖν ἐστιν. εἰ γὰρ συνειδότες τινὶ πονηρίαν, συγχωρήσετε ταύτης μετασχεῖν τῆς τραπέζης, τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ἐκζητηθήσεται τῶν ὑμετέρων. κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀναξίως δὲ προσίῃ, κώλυσον· μείζονα ἐκείνου τὴν ἐξουσίαν ἔχεις· μὴ παροξύνῃς τὸν δεσπότην, οὐκ ἐκκαθαίρων τὸ σῶμα τούτου. μὴ ξίφος δῷς ἀντὶ A τῆς τροφῆς· ἀλλὰ κἂν ὑπὸ ἀσθενείας ἐκεῖνος ἔρχηται μεθέξων, κώλυσον· μὴ φοβηθῇς. φοβήθητι τὸν δεσπότην Θεὸν, μὴ τὸν ἄνθρωπον. ἂν τὸν ἄνθρωπον φοβηθῇς, καὶ ὑπ' αὐτοῦ καταγελασθήσῃ, καὶ τὸν δεσπότην παροξυνεῖς· ἂν δὲ τὸν Θεὸν, καὶ ἀνθρώποις αἰδέσιμος ἔσῃ, καὶ αὐτῷ φιλητός. εἰ δὲ αὐτὸς οὐ τολμᾷς, ἐμοὶ πρόσαγε, οὐ συγχωρήσω ταῦτα τολμᾶσθαι· τῆς ψυχῆς ἀποστήσομαι πρότερον, ἢ τοῦ αἵματος μεταδώσω τοῦ δεσποτικοῦ παρ' ἀξίαν, καὶ τὸ αἷμα τὸ ἐμαυτοῦ προήσομαι πρότερον, ἢ μεταδώσω αἵματος οὕτω φρικώδους, πα- B ρὰ τὸ προσῆκον. κρεῖττον γὰρ στερηθῆναι τοῦ βίου μᾶλλον διὰ τὸν Θεὸν, ἢ διὰ τὸν βίον αὐτοῦ Θεοῦ. ᾧ πρέπει δόξα, *κράτος, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

De Providentia.

Homilia X.

QUem ob cauſam non ab initio Deus inimicum, poſtquã decepiſſet, delevit? Si vi dominaretur, haberet rationem aliquam hæc quæſtio: ſi verò hæc facultas ipſi ablata eſt, tantumque ſuadet, ac non parere, in noſtra eſt poteſtate; quare laudis occaſionem nobis adimis, & coronarum excutis materiam? Item aliter, ſi reliquit eum, ſciens ipſum omnes ſuperaturum, nec ſi res eſt digna cur vocetur in dubium. Nam quòd ille vincit, à nobis eſt, qui volentes inclinamur, non cogimur. Quod ſi multi fuerunt jam ſuperiores, multi verò etiam deinceps erunt, quid futuros in exiſtimatione, tanto privas honore? Sed non omnes erunt illo ſuperiores. Generoſos tamen multo juſtius eſt occaſiones accipere, in quibus inſtitutum probent: eos verò qui tales non ſunt, à propria ſocordia puniri, quàm propter hos, illos damno affici. Malus enim etſi patitur injuriam, non tamen ab adverſario, ſed à ſua ſegnitie: quod multitudo vincentium declarat. Verùm tunc boni inſidiis appetiti eſſent à malis, ſi non haberent ubi fortitudinem exercerent. Sic autem oris etiam & oculorum formationem accuſare poterunt. His enim appetunt multi, quæ non oportet, & in adulterium incidunt: illo autem convitiantur, & pernicioſa decreta efferunt alii. Nunquid igitur ſine lingua & oculis homines factos oportebat? Ergo & manus & pedes amputabimus: nam illæ ſunt plenæ ſanguinis, hi verò ad malitiam currunt. Ad hæc verò, aures quoque, quòd vanum auditum recipiant,

Ex orat. in ſtagunia.

Περὶ προνοίας.

Λόγος ι΄.

Τίνος ἕνεκεν οὐ τὸν ἐξ ἀρχῆς ἐπαιτήσαντα ἐχθρὸν ἠφάνισεν ὁ Θεός; εἰ πρὸς βίαν ἐκράτει, εἶχεν ἄν τινα λόγον τὸ ζητούμενον· εἰ δὲ ταύτης μὲν ἀφῄρηται τῆς δυνάμεως, πείθει δὲ μόνον, τὸ μὴ πεισθῆ- C ναι δὲ ἐφ' ἡμῖν, τίνος ἕνεκα τῆς εὐδοκιμήσεως τὴν πρόφασιν περιαιρεῖς, καὶ τὴν τῶν στεφάνων ἐκκόπτεις ὑπόθεσιν; καὶ ἄλλως, εἰ μὲν εἰδὼς αὐτὸν πάντων περιεσόμενον εἴασεν, οὐδ' οὕτως ἄξιον ἀπορεῖν· παρ' ἡμῶν γὰρ τὸ κρατεῖν ἐκεῖνον, ἑκόντων ὑποκλινομένων, οὐ βιαζομένων. εἰ δὲ πολλοὶ μὲν οἱ ἤδη περιγενόμενοι, πολλοὶ δὲ καὶ αὖθις ἔσονται, τοὺς μέλλοντας εὐδοκιμεῖν τοσαύτης ἀποστερεῖς τιμῆς; ἀλλ' οὐ πάντες αὐτοῦ περιέσονται· ἀλλὰ πολλῷ δικαιότερον τοὺς μὲν γεν- D ναίους λαμβάνειν ἀφορμὰς, ἐν αἷς ἐπιδείξονται τὴν προαίρεσιν. τοὺς δὲ μὴ τοιούτους, ἀπὸ τῆς οἰκείας κολάζεσθαι ῥᾳθυμίας, ἢ διὰ τούτους ἐκείνους ἐπηρεάζεσθαι. ὁ μὲν γὰρ φαῦλος, κἂν ἀδικῆται, οὐ παρὰ τὸν ἀνταγωνιστὴν, ἀλλὰ παρὰ τὴν αὐτοῦ νωθείαν· καὶ δηλοῖ τὸ πλῆθος τῶν νικώντων. τότε δὲ ἂν οἱ σπουδαῖοι διὰ τοὺς φαύλους ἐπεβουλεύθησαν, οὐκ ἔχοντες ὅπου χρήσονται τῇ ἀνδρείᾳ. οὕτω δ' ἂν καὶ τὴν τοῦ στόματος, καὶ τὴν τῶν ὀφθαλμῶν κατηγορήσωσι διάπλασιν· διὰ τούτων γὰρ ἐπιθυμοῦσιν ὧν οὐ δεῖ, καὶ εἰς μοιχείαν ἐμπίπτουσιν οἱ πολ- E λοί· δι' ἐκείνου δὲ βλασφημοῦσι, καὶ τὰ ὀλέθρια τῶν δογμάτων ἐκφέρουσιν ἕτεροι. ἆρ' οὖν διὰ τοῦτο χωρὶς γλώττης καὶ ὀφθαλμῶν τοὺς ἀνθρώπους γενέσθαι ἐχρῆν; οὐκοῦν καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἀποτεμοῦμεν; αἱ μὲν γὰρ αἱμάτων πλήρεις, οἱ δὲ εἰς κακίαν τρέχουσι. πρὸς τούτοις δὲ, καὶ τὰ ὦτα, ὅτι ματαίαν παραδέχεται ἀκοὴν,

καὶ

καὶ τὴν τῶν δογμάτων φθορὰν τῇ ψυχῇ παραπέμπει; εἰ δὲ ταῦτα, καὶ σιτία, καὶ ποτά, καὶ οὐρανὸν καὶ γῆν καὶ θάλασσαν, καὶ σελήνην, καὶ τὸν τῶν ἄστρων χορόν. πῶς γὰρ ἔσται ταῦτα χρήσιμα, τοῦ δι' ὃν ἐγένετο, κατακοπέντος οὕτως ἐλεεινῶς; ὁρᾷς τὸν γέλωτα καὶ τὴν ἀτοπίαν εἰς ἣν ὁ λόγος καταστρέφειν ἀναγκάζεται; ὁ διάβολος ἑαυτῷ κακός, οὐχ ἡμῖν. ἡμεῖς γὰρ εἰ βουλοίμεθα, καὶ πολλὰ καρπωσόμεθα δι' αὐτοῦ καλά, ἄκοντος μὲν καὶ μὴ βουλομένου· τὸ δὲ θαῦμα καὶ ἐν τούτῳ μεῖζον, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἡ ὑπερβολή. B τὸ γὰρ βελτίους γίνεσθαι τοὺς ἀνθρώπους, δάκνει μὲν αὐτὸν καὶ καθ' ἑαυτὸ καὶ λυπεῖ· ὅταν δὲ καὶ δι' αὐτοῦ τοῦτο προξενῆται ἡμῖν, οὐδὲ ἐνεγκεῖν δύναται τὴν ἐπήρειαν. φασί τινες, ὡς εἰ μὴ συνεχώρησεν ὁ Θεός, οὐκ ἂν προσῆλθεν ὁ διάβολος, οὐκ ἂν ἠπάτησε τὴν ἀρχὴν τὸν ἄνθρωπον. τί οὖν ἐροῦμεν πρὸς ταῦτα; ὅτι εἰ μὴ τοῦτο ἐγεγόνει, οὐδ' ἂν ἔμαθεν ὁ Ἀδὰμ ὅσον εἶχεν ἀγαθόν· οὐδ' ἂν ἐκ τῆς ἀπονοίας ἐκείνης κατέβη ποτέ. ὁ γὰρ τοσοῦτον ἑαυτὸν καταξιῶν, ὡς καὶ Θεὸς γενέσθαι προσδοκῶν, τί οὐκ ἂν ἐτόλμησεν οὗτος μὴ σωφρονισθείς; C θῶμεν δὲ μηδὲ συμβεβουλευκέναι τὸν διάβολον· ἆρα ἂν ἄπταιστος διετέλεσε μὴ γενομένου τούτου; οὐκ ἔστιν εἰπεῖν· ὁ γὰρ ὑπὸ γυναικὸς οὕτως εὐκόλως ἀναπεισθείς, οὗτος καὶ διαβόλου οὐκ ὄντος, ταχέως ἂν ἀφ' ἑαυτοῦ πρὸς τὴν ἁμαρτίαν κατέπεσεν. ὁ γὰρ τὴν παρ' ἑτέρου δεξάμενος οὕτως ἀπάτην εὐκόλως, οὗτος καὶ πρὸ τῆς ἀπάτης ῥαθύμως καὶ χαύνως διέκειτο. οὐδὲ γὰρ ἂν ἴσχυσε τοσοῦτον ἐκεῖνος, εἰ νηφούσῃ καὶ ἐγρηγορυίᾳ διελέγετο ψυχῇ. καὶ τίνος ἕνεκεν τοῦτο ἐδίδου πρόσταγμα D τῷ Ἀδὰμ ὁ Θεός, ἁμαρτήσαντα εἰδώς; ὅτι καὶ τὸ δοῦναι τὴν ἐντολὴν μείζονος κηδεμονίας ἐστίν, ἢ τὸ μὴ δοῦναι. ἔστω γὰρ ὁ Ἀδὰμ τὴν μὲν προαίρεσιν ἔχων οὕτω ῥᾴθυμον ὡς τὸ τέλος ἀπέδειξε. δεχέσθω δὲ μηδεμίαν ἐντολήν, ἀλλὰ μενέτω τρυφῶν· ἆρα ἡ ἀσθένεια καὶ ἡ ῥᾳθυμία ἀπὸ τῆς ἀνέσεως ταύτης ἐπὶ τὸ χεῖρον, ἢ ἐπὶ τὸ κρεῖττον ἐπέδωκεν ἄν; ἀλλὰ παντί που δῆλον, ὅτι πρὸς ἐσχάτην κατέπεσε κακίαν ἄφροντις ὤν. E ὁ γὰρ μηδέπω θαρρεῖν ὑπὲρ τῆς ἀθανασίας ἔχων, ἀλλ' ἔτι μετέωρον τὴν ἐλπίδα ταύτην εἰδὼς οὕτως ἀναιδῶς, καὶ πρὸς τοσοῦτον ἀλαζονείας καὶ ἀνοίας ἀρθείς, ὡς ἐλπίσαι γενέσθαι Θεός, καὶ ταῦτα, οὐδαμόθεν τὸν ταῦτα ἐπαγγειλάμενον πιστὸν ὁρῶν· εἰ βεβαίαν εἶχε τὴν ἀθανασίαν, ποῦ οὐκ ἂν ἔφθασεν ἀπονοίας; τί δὲ οὐκ ἂν ἐξήμαρτε; πότε δ' ἂν ὑπήκουσε τοῦ Θεοῦ; ὁ γὰρ μετὰ τὴν τοῦ προστάγματος δόσιν οὕτω καταφρονήσας τοῦ δεδωκότος αὐτῷ τὸ πρόσταγμα, εἰ μηδὲν ὅλως ἠκηκόει παρ' αὐτοῦ, ταχέως ἂν ὅτι καὶ ὑπὸ δεσπότην A ἐστίν, ἠγνόησεν. εἰ μηδεὶς ὅλως ἐνταῦθα ἐκόλαζε τῶν πονηρῶν, μηδὲ ἐτίμα τῶν χρηστῶν, πολλοὶ τῶν διαπιστούντων τῷ τῆς ἀναστάσεως λόγῳ, τὴν μὲν ἀρετὴν ὡς κακῶν αἰτίαν ἔφευγον· τὴν δὲ πονηρίαν, ὡς ἀγαθῶν πρόξενον ἐδίωκον. εἰ δὲ πάλιν ἐνταῦθα τὸ κατ' ἀξίαν ἅπαντες ἀπελάμβανον, περιττὸν ἂν ἡγήσαντο εἶναι καὶ ψευδῆ τὸν τῆς κρίσεως λόγον. ἵν' οὖν μήτε * οὕτως διαπιστῆτε, μήτε ὁ πολὺς καὶ χυδαῖος λαὸς φαυλότερος γίνηται καταφρονῶν, ἐπεξέρχεται καὶ ἐνταῦθα τῶν B ἁμαρτανόντων πολλοῖς, καὶ ἀμείβεται τῶν κατορθούντων ἐνίους, τῷ μὲν μὴ εἰς πάντας τοῦτο ποιεῖν, τὸν τῆς κρίσεως πιστούμενος λόγον· τῷ δὲ καὶ πρὸ τῆς κρίσεως κολάζειν τινάς, τοὺς πολὺν ὕπνον καθεύδοντας διεγείρων. ἀπὸ μὲν γὰρ τοῦ τιμωρεῖσθαι τοὺς πονηρούς, διανίστανται πολλοὶ τῷ φόβῳ τοῦ μὴ ταὐτὰ παθεῖν· ἀπὸ δὲ τοῦ μὴ πάντας ἐνταῦθα τὸ κατ' ἀξίαν ἀπολαβεῖν, ἀναγκάζονται λογίζεσθαι, ὅτι εἰς ἕτερον εἶναι τοῦτο ταμιεύεται καιρόν. διὰ τοῦτο Κάιν ἁμαρτήσαντα οὐκ * C ἀνεῖλεν εὐθὺς ὁ Θεός, ὥστε δι' αὐτοῦ τοὺς ἑξῆς ἅπαντας σωφρονίζεσθαι, καὶ γίνεσθαι βελτίους διὰ τῆς ἐκείνου ἐπιτιμήσεως. οὐδὲ γὰρ ἴσον ἀκούειν, ὅτι Κάιν τις ἀνελὼν ἀδελφὸν ἀπέθανε, καὶ ὁρᾶν τὸν ἀνελόντα δίκην τίνοντα. τότε μὲν γὰρ κἂν ἠπιστήθη τοῦτο λεγόμενον διὰ τὴν τοῦ μίσους ὑπερβολήν· νυνὶ δὲ φαινόμενος καὶ παρών, καὶ πολλοὺς διὰ ἐπὶ πολὺν χρόνον μάρτυρας τῆς τιμωρίας ποιούμενος, κατάδηλον καὶ πιστὸν καὶ τοῖς τότε καὶ τοῖς ἐφεξῆς καθίστη τὸ γεγονός. ἄλλως τε εἰ D μὲν αὐτὸν ἀπέκτεινεν εὐθέως ὁ Θεός, οὐκ ἄν τινα προθεσμίαν αὐτῷ μετανοίας καὶ βελτιώσεως ἔδωκε. τότε δὲ τρέμων καὶ δεδιὼς ζῶν, εἰ μὴ λίαν ἀναίσθητος ἦν, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπος, πολλὰ ἂν ἀπὸ ταύτης ἐκέρδανε τῆς ζωῆς· χωρὶς δὲ τούτων ἐλάττονα αὐτῷ τὴν μέλλουσαν κόλασιν, διὰ ταύτης αὐτοῦ τῆς τιμωρίας εἰργάζετο. τὰ γὰρ ἐν τῷ παρόντι βίῳ ἐπαγόμενα ἡμῖν παρὰ τοῦ Θεοῦ λυπηρὰ ἢ κολαστήρια, οὐ μικρὸν τῶν ἐκεῖ βασάνων ὑποτέμνεται μέρος. E διὰ τοῦτο τοὺς τῶν αὐτῶν ἀξίους τιμωριῶν, οὐχ ὁμοῦ πάντας κολάζει ἄνωθεν ὁ Θεός, ἵνα οἱ λειπόμενοι βελτίους ταῖς ἐκείνων γένωνται συμφοραῖς· κολάζει δὲ καὶ πάντας ὁμοῦ πολλάκις, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ, ἵνα ἐκεῖνοι μὲν περαιτέρω προελθεῖν τῆς κακίας κωλυθῶσιν· οἱ δὲ μετ' ἐκείνους, ἐκείνων μειζόνως κερδάνωσι, τῆς ζύμης ὡς ἄν τις εἴποι, καὶ τῆς ὑποθέσεως τῶν κακῶν ἀφανισθείσης ἐκ μέσου, μετὰ τῶν τολμησάντων αὐτά·

A & doctrinarum depravationem in animum tranſmittant ? Quod ſi hæc, etiam eſculenta & poculenta, & cœlum & terram & mare, lunam etiam & ſtellarum chorum. Ubi enim hæc erunt utilia, ſi is, propter quem facta ſunt, tam miſerabiliter ſit conciſus ? Vides riſum & abſurditatem, in quam orationem perduci neceſſe eſt ? Diabolus ſibi malus eſt, non nobis. Nos enim, ſi velimus, etiam bona multa, per eum, veluti fructus, conſequemur : invito quidem ipſo & nolente : miraculum verò in hoc majus erit, ac beni- B gnitas Dei uberior. Quòd enim homines meliores evadant, ipſum quidem mordet etiam per ſe, ac dolore afficit. Quando autem etiam per ipſum hoc nobis conciliatur, nec ferre poteſt contumeliam. Niſi Deus, dicunt quidam, conceſſiſſet, non potuiſſet adoriri diabolus, nec decipere hominem ab initio. Quid igitur ad hæc dicemus ? nimirùm, Si hoc factum non eſſet, ſcire non potuiſſe Adamum, quantum bonum habuerit; nec unquam ab illa amentia recedere. Is enim cùm tanti ſe faceret, ut etiam Deum ſe futurum ſperaret, quid non fuiſſet auſus, non compreſ- C ſus moderatione ? Ponamus verò, diabolum nec conſilium dediſſe ; an propterea, hoc non facto, peccare non potuiſſet ? Non eſt hoc dicendum : qui enim tam facilè fuit à muliere perſuaſus, hic etiam, ſi diabolus non fuiſſet, citò per ſe in peccatum incidiſſet. Qui enim tam facilè deceptionem admittebat ab alio, is etiam antequam deciperetur, ſegniter ac molliter affectus erat: neque enim tantum ille potuiſſet, ſi ſobrio ac vigilanti animo collocutus fuiſſet. Et qua de cauſa Deus tale præceptum Adamo de- D dit, cùm eum peccaturum ſciret ? Quod etiam præceptum dare, eſt majoris curæ, quàm non dare. Habeat enim Adamus propoſitum ita languidum, ut eum habuiſſe finis docuit; ac nullum præceptum accipiat, ſed pergat delicatè vivere : an infirmitas & ſocordia ex iſta remiſſione ad pejus, an ad melius promoviſſet ? ſed omnibus manifeſtum eſt, quòd ſine cura vivens, in extremam malitiam incidiſſet. Cùm enim is, qui nondum ſperare immortalitatem poterat, ſed ſublimem adhuc iſtam ſpem eſſe E noverat, ad tantam inſolentiam & arrogantiam elatus ſit, ut Deum ſe fore ſperaverit, idque cùm nuſquam fidelem eum eſſe conſpiceret, qui hæc promittebat; quò amentiæ progreſſus non fuiſſet, ſi firmam habuiſſet immortalitatem ? Quare autem non peccaſſet? quando verò Deo paruiſſet? Nam qui poſt acceptũ mandatum tantopere eum cõtempſit, qui mandatum ipſi dederat, ſi nihil omninò ab eo audiviſſet, fortaſſis etiã ignoraſſet ſe dominum habere. Si nemo improborũ hîc punitetur, neq; probus honore afficere- A tur, multi ex iis, qui reſurrectionis doctrinam non credunt, virtutem quidem tanquam cauſam malorum, fugerent : vitium autem veluti bonorum conciliatorem, ſectarentur. Si rurſus hîc omnes juxta meritum reciperent, ſuperflua putaſſent ac falſa, quæ de judicio dicuntur. Ne igitur vel ſic diffideretis, neque multitudo vilioris populi deterior fieret contemnendo, multos peccantium etiam hîc, ulciſcitur, & quibusdam rectè facientibus dat præmia : eo quidem, quòd non omnibus hoc facit, doctrinam B de judicio confirmans: quòd autem aliquos etiam ante judicium punit, profundo ſomno demerſos excitans. Ex eo enim, quòd mali puniuntur, fit, ut multi exurgant, timentes ne eadem patiantur : eo autem quòd non omnes hîc pro merito accipiant, coguntur cogitare, quòd hoc in aliud opportunum tempus reſervetur. Quapropter cùm Cain peccaſſet, Deus non ſtatim eum ſuſtulit, ut omnes deinde per eum caſtigarentur, melioreſque fierent per ipſius reprehenſionem. Nec enim æquale eſt audire, quòd Cain aliquis, C occiſo fratre mortuus ſit, & eum, qui occidit, pœnas luentem videre. Etiamſi enim tunc, quod dicebatur, ob nimium odium non crederetur; jam tamen in conſpectu poſitus & præſens, & multos & in longum tempus ſupplicii ſui teſtes faciens, manifeſtum ac terribile factum redderet, & iis qui tum erant, & qui deinceps futuri erant. Præterea, ſi ipſum quidem Deus ſtatim interemiſſet, non dediſſet illi tempus pœnitentiæ ac emendationis. Tunc verò in tremore & metu vitam agens, D niſi admodum ſtolidus fuiſſet, & beſtia potiùs quàm homo, magna ex iſta vita referre potuiſſet emolumenta. Præter hæc verò, minus futurum ſupplicium ipſi per hanc pœnam reddebat. Quæ enim in præſenti vita à Deo triſtia aut ſupplicia nobis immittuntur, ea non modicam futurorum ſuppliciorum partem tollunt. Idcircò Deus non omnes ſimul punire conſuevit, qui iiſdem ſunt pœnis digni, ut reliqui illorum periculis fiant meliores. Sæpè tamen etiam omnes ſimul punit, ſicut in diluvio, ut illi qui- E dem longiùs in malitia progredi prohibeantur, poſteri verò ipſorum, plus illis lucrentur : fermento, ut ita dixerim, & materia vitiorum è medio ſublata, unà cùm iis, qui ea perpetrarunt :

In ex. τῷ διαπιστῆτε.

In ex. ἀνῆλθεν.

Et

& tot improbitatis magiſtros habeant. Cùm enim etiam abſque A exemplo homines facile invenire mala poſſint, quid facturi fuiſſent, multis exiſtentibus, qui eos ad pravas actiones cohortarentur? Hoc ergo unum perſuaſum nobis eſſe debet, omnia nobis utiliter à Deo adminiſtrari: modum autem non ampliùs eſſe quærendum, aut animum demittendum. Nec enim poſſibile eſt hæc ſcire, neque utile: alterum, quia mortales ſumus: alterum, quia citò in dementiam rapimur. Vult enim Deus etiam eos, qui ipſi non credunt, mutatione ſervari: ſicut & ipſe B dicit, Non veni vocare juſtos, ſed peccatores ad pœnitentiam. Et ſi tantam curam nacti meliores fieri nolint, & veritatem agnoſcere; ne ſic quidem ipſos deſerit: ſed poſtquam ſeipſos cœleſti vita volentes privarunt, præſenti ſaltem vitæ neceſſaria ipſis largitur, oriri faciens ſolem ſuper malos & bonos, & pluens ſuper juſtos & injuſtos; atque alia omnia præſtans, quæ ad hujus vitæ ſtatum pertinent. Quòd ſi inimicorum tantam habet curam, quomodo illos, qui ei credunt, & pro viribus ipſum co- C lunt, negliget? Et quare non è medio ſublatus eſt diabolus? Sit unus adverſarius, ſint & pugiles duo cum illo certaturi: & horum duorum athletarum alter quidem ingluvie corruptus, neglectus, infirmatus, enervatus: alter verò aliquid agat honeſtè, bono ſit habitu corporis; verſetur in luctis, in multis exercitationibus, atque omne ſtudium in certando oſtendat. Si igitur adverſarium tollas; utri ex illis nocuiſti? An ignavo & negligenti; an diligenti & qui tanta fecit laborando? Patet, quòd di- D ligenti & acri nocueris. Hic enim propter ignavum affectus eſt injuria, ſublato adverſario: Sed ignavus hoc relicto, nequaquam propter diligentem, læſus eſt: ex propria namque ignavia prolapſus eſt. Infirmus igitur inſtituto & neglectus & ignavus, cùm nullus etiam diabolus eſt, citò cadit, ac in multa barathra vitioſitatis ſeipſum præcipitat. Si etiam ad noſtra membra veniamus, eaſdem quoque perditionis cauſas inveniemus, ubi non advigilamus. Sed vide: oculus eſt datus, ut videas quod eſt con- E ditum, conditorem prædices & dominum. Si autem non honeſtè oculo fueris uſus, adulterii tibi fit conciliator. Lingua data eſt, ut laudes cantes, & conditori benedicas: verùm ſi non rectè advertis, maledicentiæ tibi & turpiloquii fit cauſa. Manus datæ ſunt, ut eas ad orationes extendas: at ſi non ſis ſobrius, ad avaritiam eas extendis. Pedes dati ſunt, ut ad bona opera curras: ſed ſi negligas, malas per eas habebis actiones. Vides, quòd omnia lædant infirmum, atque ipſa etiam ſalutaria remedia in mortem protrudant? non tamen A ex propria natura, ſed ex illius imbecillitate. Solus divinus aſpectus ad perdendū malos ſatis eſt. Nam ſi dæmonum robur infirmat ſanctorum præſentia, multò magis Dei. Quando videmus rerum diſſipationem & perturbationem, ne Deum accuſemus, ne putemus improviſa eſſe præſentia: Non enim rerum curſus eſt verè diſſipatio & perturbatio, ſed in hunc modum affecta cogitatio; quæ licet decies millibus ordinibus utatur, quouſque diſſipationem, quæ in ipſa eſt, & perturbationem correxerit, nihil ei B ordo in rebus prodeſt: ſed quemadmodum oculus cùm ægrotat, in meridie clariſſima videbit tenebras, & alia pro aliis, ac nihilo radiorum plus ei erit; benè autem valens & firmus, ad veſperum etiam ſecurè corpus ducere poterit: ſic & mentis noſtræ oculus, donec firmus erit, etiamſi cernat quæ confuſa videri poſſint, tanquam pulchra intuebitur: ſi autem fuerit corruptus, etiamſi in ipſum cœlum eum induxeris, ea quæ ibi ſunt, magnæ diſſipationis & perturbationis condemnabit. Idcirco Deus nec ab C omnibus pœnas in hac vita ſumit, ne condemnes reſurrectionem, nec judicium deſperes, quaſi omnes hîc rationem reddant: nec ſinit omnes impune abire, ut ne putes omnia carere providentia. Si quis non credit eſſe reſurrectionem, cogitet quàm multa ex iis quæ non ſunt, fecerit Deus, & neceſſariam etiam de illa recipiat probationem. Etenim terram ſumptam miſcuit & fecit hominem, terram inquam quæ antea non erat. Quomodo igitur terra facta eſt homo? Et quomodo ipſa, quæ non erat, addo- D cebatur? Quòd verò fulcrum habet? Et quid poſt terram eſt? Et quid rurſus poſt illud? Quomodo verò ex ipſa producta ſunt omnia ratione carentium infinita genera, & ſeminum & ſtirpium? Hoc enim eſt reſurrectione incertius. Non enim eſt æquale, iterum accendere lucernam extinctam, & oſtendere ignem omninò non apparentem: nec, domum collapſam reparare, ac producere quæ non ſit omninò. Illic enim, ſi aliud nihil, materia tamen adfuit: hîc autem nec ſubſtantia viſa eſt. Propterea quod no- E bis difficilius videtur, priùs fecit, ut ex eo proponeret exemplum illius quod eſt facilius. In ortu etiam noſtro, nonne parum ſeminis rudis & indiſtincti injicitur in uterum ipſum ſuſcipientem?

Ex hom. de pœnitentia.

A καὶ μὴ τοσούτους διδασκάλους φαυλότητος ἔχουσιν. εἰ γὰρ καὶ χωρὶς παραδείγματος εὐκόλως δύνανται ἐφευρεῖν οἱ ἄνθρωποι τὰ κακά, τί ἂν ἔπραξαν, πολλῶν ὄντων τῶν παρακαλούντων αὐτοὺς ἐπὶ τὰς πράξεις τὰς πονηράς; τοῦτο οὖν μόνον πεπεῖσθαι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα οἰκονομεῖται παρὰ τοῦ Θεοῦ. τὸν δὲ τρόπον μηκέτι ζητεῖν, μηδὲ ἀγνοοῦντας ἀσχάλλειν ἢ ἀθυμεῖν. οὔτε γὰρ δυνατὸν ταῦτα εἰδέναι, οὔτε συμφέρον. τὸ μὲν διὰ τὸ θνητοὺς εἶναι, τὸ δὲ διὰ τὸ ταχέως B εἰς ἀπόνοιαν αἴρεσθαι. βούλεται μὲν γὰρ καὶ τοὺς μὴ πιστεύοντας αὐτῷ σωθῆναι μεταβαλλομένους ὁ Θεός· καθὼς καὶ αὐτός φησιν, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. ὅταν δὲ μὴ τοσαύτης ἐπιμελείας ἀπολαύσαντες ἐθελήσωσι γενέσθαι βελτίους, καὶ ἐπιγνῶναι τὴν ἀλήθειαν, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν· ἀλλ' ἐπειδὴ τῆς οὐρανίου ζωῆς ἑαυτοὺς ἑκόντες ἀπεστέρησαν, τά γοῦν εἰς τὸν παρόντα βίον ἅπαντα αὐτοῖς χορηγεῖ, τὸν ἥλιον ἀνατέλλων ἐπὶ πο- C νηροὺς καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ τὰ ἄλλα πάντα τὰ πρὸς τὴν σύστασιν τῆς παρούσης παρέχων ζωῆς. εἰ δὲ ἐχθρῶν τοσαύτην ποιεῖται πρόνοιαν, τοὺς πιστεύοντας αὐτῷ, καὶ θεραπεύοντας αὐτὸν κατὰ δύναμιν τὴν αὐτῶν, πῶς παρίδοιτο; καὶ τίνος ἕνεκεν οὐκ ἐκ τοῦ μέσου γέγονεν ὁ διάβολος; ἔστω ἀνταγωνιστὴς εἷς, ἔστωσαν καὶ ἀθληταὶ δύο πρὸς ἐκεῖνον παλαίειν μέλλοντες· καὶ τούτων τῶν δύο ἀθλητῶν, ὁ μὲν ὑπὸ γαστριμαργίας ἔστω διεφθαρμένος, ἠμελημέ- D νος, ἐξησθενημένος, ἐκνενευρισμένος· ὁ δὲ σπουδάζων, εὐεκτῶν, ἐν παλαίστραις διατρίβων, ἐν γυμνασίοις πολλοῖς, πᾶσαν σπουδὴν περὶ τὴν ἄθλησιν ἐπιδεικνύμενος. ἂν τοίνυν ἀνέλῃς τὸν ἀνταγωνιστήν, τίνα ἐπηρέασας τούτων; ἆρα τὸν ῥάθυμον καὶ ἀμελῆ, ἢ τὸν σπουδαῖον καὶ τοσαῦτα πεπονηκότα; εὔδηλον ὅτι τὸν σπουδαῖον. ὁ μὲν γὰρ διὰ τὸν ῥάθυμον ἠδίκηται, ἀναιρεθέντος τοῦ ἀνταγωνιστοῦ. ὁ δὲ ῥάθυμος, μένοντος τούτου, οὐκ ἐκεῖνον διὰ τὸν σπουδαῖον ἐπηρέασαι· ἀπὸ γὰρ E τῆς οἰκείας ῥαθυμίας κατέπεσεν. ὁ τοίνυν ἀσθενὴς τὴν προαίρεσιν καὶ ἠμελημένος καὶ ῥάθυμος, καὶ διαβόλου οὐκ ὄντος, καταπίπτει ταχέως, καὶ εἰς βάραθρα πολλὰ κακίας ἑαυτὸν καταβάλλει. κἂν γὰρ ἐπὶ τὰ ἡμέτερα μέλη ἔλθωμεν, καὶ ταῦτα εὑρήσομεν ἀπωλείας αἴτια, ἐὰν μὴ προσέχωμεν. σκόπει δέ· ὀφθαλμὸς ἐδόθη, ἵνα βλέπων τὴν κτίσιν δοξάσῃς τὸν κτίστην καὶ δεσπότην· ἀλλ' ἐὰν μὴ καλῶς χρήσῃ τῷ ὀφθαλμῷ, μοιχείας σοι γίνεται πρόξενος. γλῶττα A ἐδόθη, ἵνα ὑμνῇς καὶ τὸν ποιητὴν εὐφημῇς· ἀλλ' ἐὰν μὴ καλῶς προσέχῃς, βλασφημίας καὶ αἰσχρολογίας σοι γίνεται αἰτία. χεῖρες ἐδόθησαν, ἵνα ἂν ἀνατείνῃς αὐτὰς εἰς εὐχάς· ἀλλ' ἐὰν μὴ νήφῃς, εἰς πλεονεξίαν ταύτας ἐκτείνεις. πόδες ἐδόθησαν, ἵνα τρέχῃς εἰς καλὰ ἔργα· ἀλλ' ἐὰν ἀμελῇς, τὰς πονηρὰς δι' αὐτῶν ἕξεις πράξεις. ὁρᾷς ὅτι τὸν ἀσθενῆ πάντα βλάπτει, καὶ αὐτὰ τὰ σωτήρια φάρμακα εἰς θάνατον ἐμβάλλει; οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν B ἀσθένειαν τὴν ἐκείνου. ἀρκεῖ μόνον ἡ θεοπτία ἀπολέσαι τοὺς πονηρούς. εἰ γὰρ ἁγίων παρουσία ἀσθενῆ τῶν δαιμόνων ποιεῖ τὴν ἰσχύν, πολλῷ μᾶλλον τοῦ Θεοῦ. ὅταν ἴδωμεν πραγμάτων ἀταξίαν καὶ ταραχήν, μὴ τὸν Θεὸν αἰτιώμεθα, μηδὲ ἀπρονόητα εἶναι νομίζωμεν τὰ παρόντα· οὐ γὰρ ὄντως ἀταξία καὶ ταραχή, οὐχ ἡ τῶν πραγμάτων ἐστὶ φορά, ἀλλ' οὕτω διακείμενος λογισμός, ὃς κἂν μυρίας εὐταξίας ἀπολαύῃ, ἕως ἂν μὴ τὴν ἀταξίαν τὴν ἐν αὐτῷ, καὶ τὴν ταραχὴν διορθώσηται, οὐδὲν C αὐτῷ τῆς ἐν τοῖς πράγμασιν εὐταξίας ἔσται τὸ πλέον. ἀλλ' ὥσπερ ὀφθαλμὸς νοσῶν μὲν καὶ ἐν μεσημβρίᾳ φανοτάτῃ σκότος ὄψεται, καὶ ἕτερα ἀνθ' ἑτέρων, καὶ οὐδὲν αὐτῷ τῆς ἀκτῖνος ἔσται πλέον· ὑγιαίνων δὲ καὶ ἐρρωμένος, καὶ ἐν ἑσπέρᾳ δυνήσεται τὸ σῶμα χειραγωγεῖν μετὰ ἀσφαλείας· οὕτω καὶ τῆς διανοίας τῆς ἡμετέρας ὁ ὀφθαλμός, ἕως μὲν ἂν ἐρρωμένος ᾖ, κἂν ἄτακτα δοκοῦντα ἴδῃ, καλὰ ὄψεται· ὅταν δὲ διεφθαρμένος, κἂν εἰς αὐτὸν ἀναγάγῃς αὐτὸν τὸν οὐρανόν, καὶ τὴν ἐκεῖ πολλὴν ἀταξίαν καταδικάσει καὶ ταραχήν. διὰ τοῦτο οὔτε πάν- D τας ἐνταῦθα ἀπαιτεῖ δίκην ὁ Θεός, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν, καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντας ἀφίησιν ἀζημίους ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα τὰ πάντα εἶναι νομίσῃς. εἴ τις ἀπιστεῖ τῇ ἀναστάσει, ἐννοείτω πόσα ἐξ οὐκ ὄντων ἐποίησεν ὁ Θεός, καὶ δεχέσθω καὶ περὶ ἐκείνης ἀπόδειξιν. καὶ γὰρ γῆν λαβὼν ἔφυρε καὶ ἐποίησεν ἄνθρωπον, γῆν οὐκ οὖσαν πρὸ τούτου. πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὐτὴ E οὐκ οὖσα παρήγετο. ποίαν δὲ ὑποβάθραν ἔχει; καὶ τί μετὰ τὴν γῆν καὶ μετ' ἐκεῖνο πάλιν τὸ μετὰ τὴν γῆν; πῶς δὲ ἐξ αὐτῆς παρήχθησαν ἅπαντα τὰ τῶν ἀλόγων ἀπειρογενῆ, τὰ τῶν σπερμάτων, τὰ τῶν φυτῶν; τοῦτο γὰρ τῆς ἀναστάσεως ἀπορώτερον. οὐ γάρ ἐστιν ἴσον σβεσθέντα ἀνάψαι λύχνον, καὶ μηδαμῶς φαινόμενον δεῖξαι πῦρ. οὐδὲ κατενεχθεῖσαν οἰκίαν ἀναστῆσαι, καὶ μηδὲ ὅλως ὑφεστῶσαν παραγαγεῖν. ἐνταῦθα μὲν γὰρ εἰ μηδὲν ἄλλο, ἀλλ' ἡ ὕλη ὑπέκειτο· ἐκεῖ δὲ οὐδὲ ἡ οὐσία ἐφαίνετο. διὰ τοῦτο τὸ δυσκολώτερον ἡμῖν εἶναι δοκοῦν ἐποίησε πρότερον, ἵνα ἐκ τούτου τὸ εὐκολώτερον παραδείξῃ. καὶ ἐπὶ τῆς γεννήσεως δὲ τῆς ἡμετέρας, οὐ σπέρμα βραχὺ πρῶτον ἄμορφον καὶ ἀτύπωτον ἐνίεται εἰς τὴν ὑποδεχομένην μήτραν αὐτό;

πόθεν

πόθεν οὖν ἡ τοσαύτη τοῦ ζώου διάπλασις; τί δὲ ὁ σῖτος; οὐ γυμνὸς εἰς τὴν γῆν καταβάλλεται; οὐ μετὰ τὸ καταβληθῆναι σήπεται; πόθεν ἀστάχυς καὶ ἀνθέρικες καὶ καλάμη καὶ τὰ ἄλλα πάντα; οὐ κεγχρὶς σύκου μικρὰ πολλάκις ἐμπεσοῦσα εἰς γῆν, καὶ ῥίζαν καὶ κλάδους καὶ καρπὸν ἤνεγκεν; εἶτα τούτων μὲν ἕκαστον δέχῃ καὶ οὐ περιεργάζῃ, τὸν δὲ Θεὸν μόνον ἀπαιτεῖς εὐθύνας, μετασκευάζοντα ἡμῶν τὸ σῶμα; καὶ πῶς ταῦτα συγγνώμης ἄξια; καὶ τίνος ἕνεκεν ἀφῆκε τὸν διάβολον ὁ Θεός, τοιοῦτον πονηρὸν ὄντα, ὥστε ὑποσκελίζειν ἡμᾶς; B ἵνα τῷ φόβῳ συνωθούμενοι, καὶ τοῦ πολεμίου τὴν ἔφοδον προσδοκῶντες, πολλὴν τὴν ἀγρυπνίαν καὶ διηνεκῆ τὴν νῆψιν ἐπιδεικνύμεθα. καὶ τί θαυμάζεις εἰ τὸν διάβολον διὰ τοῦτο κατέλιπε; κηδόμενος ἡμῶν τῆς σωτηρίας, καὶ διεγείρων ἡμῶν τὴν ῥαθυμίαν, καὶ ὑπόθεσιν στεφάνων κατασκευάζων, αὐτὴν τὴν γέενναν διὰ τοῦτο κατεσκεύασεν, ἵνα ὁ τῆς τιμωρίας φόβος, καὶ τῆς κολάσεως τὸ ἀφόρητον, πρὸς τὴν βασιλείαν ἡμᾶς συνωθήσῃ. C ἂν οὖν ποιήσῃς τι χρηστόν, καὶ μὴ λάβῃς αὐτοῦ τὴν ἀντίδοσιν ἐνταῦθα, μὴ ταράττου· μετὰ προσθήκης ἐν τῷ μέλλοντι καιρῷ, ἀναμένει σε τούτων ἡ ἀμοιβή. κἂν ποιήσῃς τι πονηρόν, καὶ μὴ δῷς δίκην, μὴ θάρρει· ἐκεῖ γάρ σε ἐκδέξεται ἡ τιμωρία, ἂν μὴ μεταβάλῃ καὶ γένῃ βελτίων. θορυβῇ καὶ ἀλύεις καὶ πάντα ταραχῆς πληροῖς, ὁρῶν πολλοὺς ἐν πονηρίᾳ ζῶντας καὶ εὐθυνουμένους, καὶ τῶν παρόντων ἀπολαύοντας, καὶ ἀλγεῖς ἐπὶ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ. τί ποιεῖς, εἰπέ μοι, πόσοι τὰς ὁδοὺς ἐφεδρεύουσι· πόσοι τοίχους διορύττουσι· πόσοι δηλητηρίοις φαρμάκοις πολλοὺς ἀπώλεσαν; D ἆρ' οὖν ὑπὲρ τούτων ἐγκαλοῦμεν τῷ δικαστῇ; οὐδαμῶς. εἰ μὲν γὰρ λαβὼν αὐτούς, ὑπὸ τὴν ψῆφον ἀφῆκε, καὶ τὸν μὲν παθόντα κακῶς κολάσῃ, τὸν δὲ ποιήσαντα τιμήσῃ, καὶ στεφανώσας πέμψῃ, κατηγορίας ὄντως ἄξιος, καὶ ἐγκλημάτων ἐσχάτων· ὅταν δὲ μηδέπω ὦσι παραδοθέντες, αὐτὸς τὰς εὐθύνας ἀπαιτεῖς, καὶ προλαβὼν καταγινώσκεις; ἐννόησον τὰ σαυτῷ βεβιωμένα, ἄνθρωπε, εἰς τὸ συνειδὸς εἴσελθε σύ· E καὶ οὐ μόνον οὐκ ἐπαινέσεις τὴν ψῆφον, ἀλλὰ καὶ μεταθήσῃ τὴν γνώμην, καὶ μακροθυμίας ἀποδέξῃ τὸν φιλάνθρωπον, καὶ χάριν εἴσῃ τῆς ἀνοχῆς, θαυμάσας τῆς ἀνεξικακίας αὐτόν. εἰ γὰρ ἔμελλεν ἕκαστος παρ' αὐτὰ τὰ ἁμαρτήματα δίκην ἀπαιτεῖσθαι τῶν πεπλημμελημένων, οὐκ ἂν ἡμῶν ἔφθασε τὸ γένος πάλαι ἀνάρπαστον γενόμενον. μὴ τοίνυν, ἀδελφοί, καταπέσωμεν· οὐ γὰρ οὕτως φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς· A καὶ οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινόν, ὡς τῷ τὴν ψυχὴν ἡμῖν χαρισαμένῳ Θεῷ. οὔτε γὰρ ἐν συμφοραῖς ἀφίησιν ἀεὶ τοὺς ἀνθρώπους ὁ Θεός, ἵνα μὴ ἀποκάμωσιν, οὔτε ἐν ἀνέσει, ἵνα μὴ ῥᾳθυμότεροι γένωνται· ἀλλὰ τῇ ἐναλλαγῇ ποικίλλει τὴν σωτηρίαν αὐτῶν. εἰ γὰρ πλοῖον ἄνευ κυβερνήτου οὐ συνίσταται, ἀλλὰ καταποντίζεται εὐκόλως· ὁ κόσμος πῶς ἂν συνέστη ἐπὶ τοσοῦτον χρόνον, μηδενὸς αὐτὸν κυβερνῶντος; καὶ ἵνα μηδὲν πλέον εἴπω, νόμισον πλοῖον εἶναι τὸν κόσμον, τρόπιν ὑποκεῖσθαι τὴν γῆν· ἱστίον τὸν οὐρανόν· ἐπιβάτας τοὺς ἀνθρώπους, πέλαγος τὴν ὑποκειμένην ἄβυσσον· πῶς οὖν ἐπὶ τοσούτοις χρόνοις ναυάγιον οὐκ ἐγένετο; B ἔασον γοῦν πλοῖον μίαν ἡμέραν χωρὶς κυβερνήτου καὶ ναυτῶν, καὶ ὄψει καταποντιζόμενον εὐθέως. ἀλλ' ὁ κόσμος οὐδὲν τοιοῦτον ἔπαθε, πεντακισχίλια καὶ πολλῷ πλείονα λοιπὸν ἔχων ἔτη. καὶ τί λέγω πλοῖον; καλύβην μικρὰν ἐπήξατό τις ἐν ταῖς ἀμπέλοις, καὶ τοῦ καρποῦ συναχθέντος C ἀφῆκεν ἔρημον, καὶ οὐδὲ δύο πολλάκις διαμένει ἡμέρας, ἀλλὰ καὶ διαλύεται καὶ καταπίπτει ταχέως. εἶτα καλύβη μὲν οὐκ ἂν στῇ χωρὶς τοῦ προνοοῦντος αὐτῆς· δημιούργημα δὲ τοσοῦτον οὕτω καλὸν καὶ θαυμαστόν, πῶς ἂν διέμενεν ἐπὶ τοσοῦτον ἀδιάπτωτον χρόνον, χωρὶς προνοίας τινός; ἐννόησόν μοι τὸ κάλλος τοῦ οὐρανοῦ, πόσον ἔχει χρόνον καὶ οὐκ ἠμαυρώθη. ἐννόησόν μοι τῆς γῆς τὴν δύναμιν, πῶς οὐκ ἠτόνησεν αὐτῆς ἡ γαστήρ, τοσοῦτον τίκτουσα χρόνον. ἐννόησόν μοι τὰς πηγάς, πῶς ἀναβλύζουσι, καὶ οὐκ ἀπέλιπον ἐξ οὗ γεγόνασιν. D ἐννόησόν μοι τὴν θάλασσαν, πόσους δεχομένη ποταμοὺς οὐχ ὑπερέβη τὸ μέτρον. ἄξιον ἐφ' ἑκάστῳ τῶν εἰρημένων λέγειν· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. πῶς γὰρ οὐκ ἄτοπον, τέκτονι μὲν παρακαθήμενοι, καὶ διακλῶντα ξύλα καὶ διαπρίζοντα θεώμενοι, μὴ ἀπαιτεῖν λόγον μηδὲ εὐθύνας· καὶ ἰατρὸν καίοντα καὶ τέμνοντα σάρκα, καὶ ἐν οἰκίσκῳ κατακλείοντα, καὶ λιμῷ ἄγχοντα τὸν κάμνοντα, E μὴ περιεργάζεσθαι, ἀλλ' ἡσυχάζειν, καὶ σιωπᾶν· τὴν δὲ ἄφατον σοφίαν, τὴν ἄφατον φιλανθρωπίαν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; καὶ βοηθῆσαι μὲν καὶ προέσθαι χρήματα ὑπὲρ ἀδικουμένων οὐκ ἂν ῥᾳδίως ἕλοιντο. ἐξετάζουσι δὲ διατί, διατί ὁ δεῖνα πένης, διατί ὁ δεῖνα πτωχός· διατί ὁ δεῖνα πλούσιος. οὐ κύπτεις κάτω καὶ καταγινώσκεις σαυτοῦ, καὶ ἐπιτιθεὶς χαλινὸν τῇ γλώσσῃ, καὶ καταστέλλεις τὴν διάνοιαν, καὶ ἀφεὶς τὸ ταῦτα πολυπραγμονεῖν, τὴν περιεργίαν ταύτην ἐπὶ τὸν βίον στρέφεις τὸν σόν; διάκυψον εἰς τὰ πεπραγμένα σοι, εἰς τὸ πέλαγος τῶν ἁμαρτημάτων σου. καὶ εἰ περίεργος εἶ καὶ πολυπράγμων, ἀπαίτησον σαυτὸν εὐθύνας τῶν ῥημάτων, τῶν πραγμάτων, ἂν κακῶς ἀ-

A Unde ergo eſt tanta animantis efformatio? Quid verò frumentum? nonne granum nudum in terram injicitur? nonne poſtquam injectum eſt, putreſcit? Unde ſpicæ & ariſtæ, culmi & alia omnia? Nonne fici parvum granum ſæpè in terram illapſum, radicem tulit, & ramos & fructum? Ergone horum quodlibet accipis, nec ea curioſè ſcrutaris, Deum verò ſolùm rationem ad pœnam poſcis in formando noſtro corpore? Et quomodo merentur hæc veniam? Cujus autem rei cauſa diabolum, qui tam pravus B eſt, ut nos ſupplantet, reliquit Deus? ut dum metu compelleremur, & hoſtis aggreſſionem expectantes multas vigilias & continuam ſobrietatem oſtenderemus. Et quid mirum tibi, ſi diabolum propter hoc reliquit? Nam cùm curam gereret noſtræ ſalutis, noſtramque ſocordiam excitaret, ac materiam coronarum præpararet, ipſam ideò paravit gehennam, ut ſupplicii metus & pœnæ gravitas ad regnum nos compelleret. Si ergo boni aliquid feceris, & mercedem ejus hîc non acceperis, noli turbari: cum augC mento, in futuro tempore, horum retributio te manet. Ac ſi mali quid egeris, nec pœnam dederis, ne confidas: nam ibi te pœna expectat, ſi non mutatus & melior factus fueris. Tumultuaris & impatienter fers, atque omnia perturbatione comples, cùm vides multos in pravitate viventes & bene faciliterque habere, & frui præſentibus; doleſque de patientia Dei. Quid facis? dic mihi. Quot inſident & infeſtas faciunt vias? Quot parietes perfodiunt? quot mortiferis venenis multos perdiderunt? Num D igitur judicem de his accuſamus? nequaquam. Si enim hos comprehenſos cenſuræ ſubjiceret, & injuria quidem affectum puniret, eum verò qui feciſſet, honoraret & coronatum dimitteret, accuſatione revera dignus eſſet, & extremis criminationibus: Cùm autem nondum ſint judicio traditi, actionem ipſe intentas & præveniendo condemnas? Cogita actiones vitæ tuæ, homo: in conſcientiam tuam ingredere; & non modò non laudabis calculum tuum, ſed ſententiam etiam mutabis; & manſuetudinem ampleE ctêris tam benigni Domini, gratiamque habebis pro patientia, injuriarum tolerantiam in ipſo admiratus. Nam ſi unuſquiſque peſſurus eſſet peccatorum pœnam, ſtatim cùm ſunt commiſſa, non poſſet fieri, quin jam olim noſtrum genus ſublatum eſſet. Ne igitur fratres, labamur. Non enim tam ſalutem noſtram nos curamus, quàm is qui nos fecit: nec tam nobis curæ eſt, ut nihil adverſi patiamur, quàm eſt, qui nobis animam eſt largitus, Deo. Nec enim in calamitatibus ſemper homines relinquit Deus, ut non ſucA cumbant; nec in quiete, ut non ſegniores fiant: ſed viciſſitudinibus ſalutem ipſorum variat. Nam ſi navigium abſque rectore non conſiſtit, ſed facile demergitur, quomodo mundus tamdiu conſtitiſſet, ſi nemo ipſum gubernaret? Et ne quid nimium dicam, finge navim eſſe mundum, velut carinam ſubjacere terram, velum ejus cœlum, homines conſcenſores, mare ſubjectam profunditatem: Quomodo igitur per tam longa tempora non factum eſt naufragium? Relinque navim igitur unum diem ſine rectore ac nautis, & ſtatim B videbis eam demergi. Sed mundus nihil tale paſſus eſt, cùm duraverit quinquies mille, & multo plures annos. Et cur dico de navigio? parvum quis tugorium inter vites conſtruxit, & poſtea collecto fructu, illud deſeruit, ac ſæpè nec duos dies perdurat, ſed diſſolvitur & citò proſternitur. Ergone tugurium ſtare non poterit, niſi ſit qui ei proſpiciat; & tantum opus, tam pulchrum & tam admirandum, quomodo ſine alicujus providentia in tempus tam lonC gum ſtabile manebit? Conſidera mihi pulchritudinem cœli, quanto tempore duraverit, & non ſit obſcurata. Conſidera mihi vim terræ, quomodo venter ipſius tanto jam tempore pariens, non defecerit. Conſidera mihi fontes, quomodo ſcaturiant, non defecerint, ex quo ſunt conditi. Conſidera mihi mare, quot fluvios recipiens, modum ſuum non tranſierit. Jure de illorum quæ dicta ſunt, unoquoque dicitur: *Quàm magnificata ſunt opera tua Domine! omnia in ſapientia feciſti.* Quomodo enim abſurdum non eſt, fabro quidem aſſidere, & lignum dividentem ac diſſecanD tem videre, nec rationem petere aut reprehendere; In medicum item, qui carnem urit & ſecat, & in caveam includit, fameque affligit morbo laborantem, non inquirere, ſed quieſcere & tacere; Ineffabilem verò ſapientiam & immenſam bonitatem curioſè ſcrutari, & anxio nimioque labore inquirere? Et auxiliari quidem pecuniaſq; profundere pro injuriam patientibus non facilè volent: Examinant verò omnino quare hic pauper, cur ille mendicus, ille verò dives ſit. Non deorſum vultum demittis, & teipſum condemnas, ac E frænum linguæ imponens, animum cohibes, abjectaque nimia iſtarum rerum inquiſitione, curioſitatem hanc ad propriam tuam vitam convertis? Inſpice ea quæ à te ſunt geſta, in pelagus peccatorum tuorum: ac ſi curioſus es & negotioſus in alienis, à teipſo exige rationes dictorum & factorum, quæ malè protuliſti, quæ turpi-

Ex com. in Geneſ.

Ex interpret. Evang. S. Matth.

Ex hom. de Fato.

Ex hom. in Statuas.

Ex interpret. Pſal. 28.

Pſ. 103, 24.

ter feciſti. Nunc verò teipſum quidem inexcuſſum relinquis, ſedens verò Deo jus dicis, & peccatis tuis addis peccata. Et quomodo hæc non ſunt digna punitione? quam utinam omnes nos effugiamus, gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui ſit gloria & imperium in ſecula ſeculorum. Amen.

De divitiis & paupertate.

Homilia. XI.

Edita eſt primùm in lucem apud Oporinum Baſiliæ an. 1550. Mart Cremero interprete.

CUm præter meritùm quempiam divitem eſſe videris, ne beatum judices, ne dignum æmulatione cenſeas, ne condemnes Dei providentiam, ne arbitrere caſu ac temerè ferri præſentia. Recordare Lazari & divitis, quomodo hic quidem ad ſummum opulentiæ ac luxuriæ progreſſus eſt, cum eſſet crudelis, immitis, inhumanus & quibuſvis canibus efferatior. Et quidem hi pauperem miſerabantur & curabant, non refugientes lingua attingere ulcera, quæ totum corpus oppleverant: hic verò nec micas ipſi porrigebat; Pauper verò ille, revera dives, revera copioſus, in extremam paupertatem decidit, & ipſo etiam neceſſario alimento deficiebatur, & cum morbo ac fame continuè luctabatur. Ac ille quidem plura, quàm uſus poſtularet, habebat: hic verò ne modicis quidem potiebatur. Sed tamen non gravatè tulit, non incuſavit Deum, non conqueſtus eſt de providentia. Quomodo igitur abſurdum non ſit, eos quidem, qui malo afficiuntur, ita de omnibus gratias Deo agere: te verò extra certamina poſitum de his Deum conviciis inceſſere, quæ alii gratis animis perferunt? Nam is quidem, cui adverſi quid accidit, ſi quod verbum odioſum & grave dixerit, etſi non tantam quantam alius, ſed tamen minorem duntaxat veniam conſequitur. At qui extra res adverſas poſitus, ipſe aliorum cauſa perditum it animam ſuam, quanam venia dignus fuerit, ſi de his Deo convitietur, pro quibus is, qui malo afficitur, gratias agit, nec unquam ceſſat eum laudibus extollere? Quam enim ob rem, ô homo, ejuſmodi tibi divitiæ videntur, quas oporteat magno ſtudio conſectari? Propter voluptatem ſcilicet eam, quæ ex menſis percipitur? An propter honorem, propter ſatellitium eorum, qui propter talia te colunt? An, ut eos qui tibi moleſti ſint, ulciſci, atque omnibus formidabilis eſſe poſſis? neque enim alias cauſas habes dicere præter voluptatem, adulationem, & metum & ultionem. Non enim ſapientiorem, neque temperantiorem divitiæ reddere ſolent: non commodum, non humanum, non ullam aliam virtutis partem in animam inducere & inſerere. Nec dicere potes, te propter horum aliquid eas conſectari ac deſiderare. Non ſolùm enim non norunt quippiam horum bonorum inſerere aut excolere: ſed etiam cùm repoſita inveniunt, vitiant & obturbant: quædam verò etiam revellunt, & his contraria inducunt. Sed de his non dicam: nam qui hoc morbo capti ſunt, non ſuſtinent audire accuſari ſe & argui: toti voluptatibus addicti, & ob idipſum ſervi facti. Propter hoc igitur, dic mihi, divitiæ vobis deſiderabiles ac certamine dignæ eſſe videntur, quòd graviſſimas in nobis perturbationes alunt, iram ad opus excitantes, & inſani gloriæ ſtudii ampullas majorem in modum attollentes, & ad ſuperbiam exſuſcitantes? Quin ob hoc maximè obſtinatè eas fugere oportet, quòd feras quaſdam immanes & moleſtas in animum noſtrum inducunt, per quas eo quidem honore, qui ab omnibus defertur, privant: illi verò adverſum coloribus illius illinunt atque ita deceptis offerunt perſuadentque, hunc illo majorem eſſe, cùm non ſit natura, ſed in ſpeciem potiùs eſſe videatur. Quemadmodum enim meretricantium mulierum formæ frictionibus & fucis compoſitæ, pulchritudine quidem ipſa carent, turpem verò ac deformem faciem pulchram ac formoſam ſeductis apparere faciunt, ita divitiæ quoque infamiam loco honoris exhibent. Ne enim mihi eas acclamationes, quæ in propatulo propter metum & aſſentationem fiunt, intueare, ſed conſcientiam cujuſque ex iis qui ſic adulantur, explica, & videbis intus innumerabiles accuſatores, qui contra te vociferantur, teque magis, quàm qui maximè tibi inimici hoſteſque ſunt, averſantur & oderunt. Quòd ſi aliquando perſonam ex metu compoſitam rerum commutatio ſuperveniens è conſpectu ſubduxerit & redarguerit, ſicuti facit ſol radio calidiori immiſſo, tunc probè cernes ſuperiori tempore in extremo fuiſſe contemptu, apud eos qui te colebant: honorem verò tibi haberi putaſſe ab iis, qui te in primis oderant, & in extremis calamitatibus te videre cupiebant. Quale enim quid eſt homo, animal ſcilicet vile, debile, exiguo tempore durans: tale quid & ipſæ divitiæ ſunt: imò verò non tale, ſed & infirmius quid. Nec enim una cum homine, ſed etiam ante hominem frequenter extinguuntur: Et noſtis omnes quàm innumera hîc exemplaria immaturarum divitiarum animadverteritis. Et

Ex hom. quòd nemo poſſit lædere eum, qui ſeipſum injuria non afficit.

Ex hom. in illud Ne timueris cum dives factus fuerit, &c.

A πας, ὧν καλῶς ἐποίησας· νυνὶ δὲ σαυτὸν μὲν ἀνεξέταστον ἀφίης, τῷ Θεῷ δὲ κάθῃ δικάζων, καὶ προστίθης σου τοῖς ἁμαρτήμασιν ἁμαρτήματα. καὶ πῶς ταῦτα οὐκ ἄξια κολάσεως; ἧς γένοιτο πάντας ἡμᾶς ἀποφυγεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Περὶ πλούτου καὶ πενίας.

B Λόγος ιά.

Ὅταν ἴδῃς πλουτοῦντά τινα παρ' ἀξίαν, μὴ μακαρίσῃς, μὴ ζηλωτὸν νομίσῃς, μὴ καταγνῷς τῆς τοῦ Θεοῦ προνοίας, μὴ μάτην φέρεσθαι καὶ εἰκῆ τὰ παρόντα νόμιζε. ἀναμνήσθητι τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, πῶς ὁ μὲν πρὸς ἄκρον ἐληλάκει εὐπορίας καὶ τρυφῆς, ὠμὸς ὢν καὶ ἀπηνὴς καὶ ἀπάνθρωπος, καὶ κυνῶν ἀγριώτερος ἁ-
C πάντων. καίτοι οἱ μὲν τὸν πένητα ἠλέουν, καὶ ἐθεράπευον, οὐκ ὀκνοῦντες τῇ γλώττῃ ἅπτεσθαι τῶν ἑλκῶν τῶν κατὰ παντὸς τοῦ σώματος· ὁ δὲ οὐδὲ ψιχίων αὐτῷ μετεδίδου. ὁ δὲ πένης ἐκεῖνος, ὁ ὄντως πλούσιος, ὁ ὄντως εὔπορος, εἰς αὐτὸ τὸ τῆς πενίας ἔσχατον κατέπεσε, καὶ αὐτῆς τῆς ἀναγκαίας ἐστερεῖτο τροφῆς, καὶ νόσῳ καὶ λιμῷ διηνεκεῖ προσεπάλαιε. καὶ ὁ μὲν πλείω τῆς χρείας εἶχεν, ὁ δὲ οὐδὲ τῆς συμμετρίας ἀπέλαυεν· ἀλλ' ὅμως οὐκ ἐδυσχέρανεν, οὐ κατηγόρησε τοῦ Θεοῦ, οὐκ ἐμέμψατο τὴν πρόνοιαν. πῶς οὖν οὐκ ἄτοπον, ὅταν αὐτοὶ μὲν οἱ πά-
D σχοντες κακῶς, οὕτω τὸν δεσπότην εὐλογῶσιν ἐν πᾶσι, σὺ δὲ ὁ τῶν παλαισμάτων ἑστηκὼς ἔξω, ὑπὲρ τούτων βλασφημῇς τὸν Θεὸν, ὑπὲρ ὧν εὐχαρίστως ἕτεροι φέρουσιν; ὁ μὲν γὰρ πάσχων δεινῶς, κἂν εἴπῃ τι ῥῆμα φορτικὸν καὶ ἐπαχθές, εἰ καὶ μὴ τοσαύτης ὅσης ἕτερος, ἀλλ' ὅμως γοῦν καὶ ἐλάττονος μετέχει συγγνώμης· ὁ δὲ ἔξω τῶν δεινῶν ἑστὼς, καὶ ὑπὲρ ἑτέρων τὴν ἑαυτοῦ ψυχὴν ἀπολλὺς, ποίας ἂν εἴη συγγνώμης ἄξιος, ὑπὲρ τούτων βλασφημῶν τὸν Θεὸν, ὑπὲρ ὧν ὁ πα-
E θὼν κακῶς εὐχαριστεῖ, καὶ διαπαντὸς αὐτὸν ἀνυμνῶν οὐκ ἀφίσταται; διὰ τί γὰρ ὁ πλοῦτος, ἄνθρωπε, περισπούδαστος εἶναί σοι δοκεῖ· διὰ τὴν ἡδονὴν πάντως τὴν ἀπὸ τῶν τραπεζῶν, διὰ τὴν τιμὴν καὶ δορυφορίαν τὴν ἀπὸ τῶν τοιούτων σε θεραπευόντων; διὰ τὸ δύνασθαι τοὺς λυποῦντας ἀμύνειν καὶ πᾶσιν εἶναι φοβερόν; οὐδὲ γὰρ ἑτέρας αἰτίας ἔχοις εἰπεῖν, ἀλλ' ἡδονὴν καὶ κολακείαν, καὶ φόβον καὶ τιμωρίαν. οὔτε γὰρ σοφώτερον, οὔτε σωφρονέστερον ὁ πλοῦτος ποιεῖν εἴωθεν· οὐ
A χρηστὸν, οὐ φιλάνθρωπον, οὐκ ἄλλο τι μέρος τῆς ἀρετῆς εἰς τὴν ψυχὴν εἰσάγειν καὶ καταφυτεύειν. οὐδ' ἂν ἰσχύσῃς εἰπεῖν ὅτι διὰ ταῦτα τούτων περισπούδαστός ἐστί σοι καὶ ποθεινὸς οὗτος· οὐ γὰρ δὴ μόνον οὐδὲν οἶδε τούτων καταφυτεύειν ἢ γεωργεῖν τῶν ἀγαθῶν, ἀλλὰ κἂν ἀποκείμενα εὕρῃ, λυμαίνεται καὶ κωλύει, ἔνια δὲ καὶ ἀνασπᾷ, καὶ τὰ ἐναντία τούτων ἐπεισάγει. ἀλλὰ μὴ εἴπω περὶ τούτων· οἱ γὰρ τῇ νόσῳ ταύτῃ ἑαλωκότες, οὐκ ἂν ἀνάσχοιντο ἀκούειν, τῆς ἡδονῆς ὄντες, ὅλοι
B καὶ διὰ τοῦτο αὐτὸ γενόμενοι δοῦλοι, κατηγορουμένων αὐτῶν ὁμοῦ καὶ ἐλεγχομένων. διὰ τοῦτο οὖν εἰπέ μοι ποθεινὸς ὑμῖν ὁ πλοῦτος καὶ περιμάχητος εἶναι δοκεῖ, ὅτι τὰ χαλεπώτατα ἐν ὑμῖν τρέφει πάθη, ὀργήν τε εἰς ἔργον διεξάγων, καὶ τῆς δοξομανίας τὰς πομφόλυγας εἰς μείζονα ὄγκον ἐπαίρων, καὶ πρὸς ἀπόνοιαν διεγείρων; διὰ ταῦτα μὲν οὖν μάλιστα ἀμεταστρεπτὶ φεύγειν αὐτὸν χρὴ, ὅτι θηρία τινὰ ἄγρια καὶ χαλεπὰ, εἰς τὴν διάνοιαν εἰσοικίζει τὴν ἡμετέραν, δι'
C αὐτῶν τῆς μὲν παρὰ πάντων ἀποστερῶν τιμῆς· τὴν δὲ ἐναντίαν ἐκείνης, τοῖς ἐκείνου χρώμασιν ἀναχρωννὺς, καὶ οὕτω προσάγων τοῖς ἠπατημένοις, καὶ πείθων, ταύτην ἐκείνης εἶναι μείζω, οὐκ οὖσαν μὲν τῇ φύσει, ἀλλὰ τῇ ὄψει μᾶλλον δοκοῦσαν εἶναι. καθάπερ γὰρ τὰ κάλλη τῶν ἑταιριζομένων γυναικῶν, ἐπιτρίμμασι καὶ ὑπογραφαῖς συγκείμενα, κάλλους μὲν ἀπεστέρηνται, τὴν δὲ αἰσχρὰν ὄψιν καὶ δυσειδῆ καλλίω τε καὶ εὐειδῆ παρὰ τοῖς ἠπατημένοις εἶναι δοκεῖ, οὕτω δὴ καὶ
D ὁ πλοῦτος ἀτιμίαν τὴν τιμὴν μᾶλλον δείκνυσιν εἶναι. μὴ γάρ μοι τὰς ἐν τῷ φανερῷ διὰ φόβον καὶ θεραπείαν γινομένας εὐφημίας ἴδῃς, ἀλλὰ τὸ ἑκάστου συνειδὸς τῶν τὰ τοιαῦτά σε κολακευόντων ἀνάπτυξον, καὶ ὄψει μυρίους ἔνδον καταβοῶντάς σου κατηγόρους, καὶ τῶν μάλιστα ἐχθρῶν καὶ πολεμίων, μᾶλλον ἀποστρεφομένους σε καὶ μισοῦντας. καὶ εἴποτε τὸ ἐκ τοῦ φόβου τοῦτο συγκείμενον προσωπεῖον, μεταβολὴ πραγμάτων ἐπελθοῦσα ἀφανίσειέ τε καὶ διελέγξειε, καθά-
E περ τὰς ὄψεις ἐκείνας ἥλιος θερμοτέραν ἀκτῖνα ἀφεὶς, τότε ὄψει καλῶς, ὅτι παρὰ τὸν ἔμπροσθεν χρόνον, ἐν ἐσχάτῃ μὲν ἦς ἀτιμίᾳ τοῖς θεραπεύουσι· τιμῆς δὲ ἐνόμιζες ἀπολαύειν ὑπὸ τῶν μάλιστά σε μισούντων, καὶ ἐν ἐσχάταις συμφοραῖς ἐπιθυμούντων ἰδεῖν. ὅπερ γάρ ἐστιν ἄνθρωπος ζῶον εὐτελὲς, ἐπίκηρον, ὀλιγοχρόνιον, τοιοῦτον καὶ ὁ πλοῦτος· μᾶλλον δὲ οὐ τοιοῦτον, ἀλλὰ καὶ ἀσθενέστερον. οὐ γὰρ μετὰ τοῦ ἀνθρώπου, ἀλλὰ καὶ πρὸ τοῦ ἀνθρώπου τελευτᾷ πολλάκις· καὶ ἴστε πάντες ὡς μυρία ἐνταῦθα ὑποδείγματα τοῦ ἀώρου πλούτου μεμαθήκατε.

καὶ

καὶ ὁ μὲν κεκτημένος ζῇ, τὸ δὲ κτῆμα ἀπώλετο· καὶ εἴθε ἀπώλετο μόνον, καὶ μὴ καὶ τὸν κεκτημένον συναπώλλυεν. οὐκοῦν οὐκ ἂν ἁμάρτοι τις, τὸν πλοῦτον ἀγνώμονα οἰκέτην, καλέσας οἰκέτην αἱμοβόρον καὶ ἀνδροφόνον· οἰκέτην ἀμοιβὰς ἀποδιδόντα τῷ δεσπότῃ τὴν σφαγήν. καὶ τὸ δὴ χαλεπώτερον, οὐχ ὅταν αὐτὸν καταλίπῃ, περιβάλλει κινδύνοις, ἀλλὰ καὶ πρὶν ἢ καταλίπῃ, θορυβεῖ αὐτὸν καὶ ταράττει. τίς ἄρα Εὐτροπίου γέγονεν ὑψηλότερος; οὐ πᾶσαν τὴν οἰκουμένην παρῆλθε τῷ πλούτῳ; οὐ πρὸς αὐτὰς τῶν ἀξιωμάτων ἀνέβη τὰς κορυφάς; οὐχὶ πάντες αὐτὸν ἔτρεμον καὶ ἐδεδοίκεισαν; ἀλλ' ἰδοὺ γέγονε καὶ δεσμωτῶν ἀθλιώτερος, καὶ οἰκετῶν ἐλεεινότερος, καὶ τῶν λιμῷ τηκομένων πτωχῶν ἐνδεέστερος, καθ' ἑκάστην ἡμέραν ξίφη βλέπων ἠκονημένα, καὶ βάραθρον, καὶ δημίους, καὶ τὴν ἐπὶ θάνατον ἀπαγωγήν· καὶ οὐδὲ εἴποτε γέγονεν ἐπὶ τῆς ἡδονῆς ἐκείνης οἶδεν, οὐδὲ αὐτῆς αἰσθάνεται τῆς ἀκτῖνος· ἀλλ' ἐν μεσημβρίᾳ μέσῃ, καθάπερ ἐν πυκνοτάτῃ νυκτὶ περιεσχισμένος, οὕτω τὰς ὄψεις πεπήρωται. μᾶλλον δὲ ὅσα ἂν φιλονεικήσωμεν, οὐ δυνησόμεθα λόγῳ παραστῆσαι τὸ πάθος, ὅπερ ὑπομένειν αὐτὸν εἰκὸς, καθ' ἑκάστην ὥραν ἀποτέμνεσθαι προσδοκῶντα. πύξινον γὰρ αὐτοῦ βλέπω τὸ πρόσωπον, καὶ τοῦ νῦν νεκρωθέντος ἅπαξ οὐδὲν ἄμεινον διακείμενον· κτύπος δὲ τῶν ὀδόντων συνεχὴς, καὶ τρόμος αὐτῷ τοῦ παντὸς σώματος πρόσεστι, καὶ φωνὴ διακοπτομένη, καὶ γλῶττα διαλυομένη, καὶ σχῆμα τοιοῦτον, οἷον εἰκὸς τὴν λιθίνην ἔχειν ψυχήν. οὐκ ἔλεγόν σοι συνεχῶς, ὅτι δραπέτης ἐστὶν ὁ πλοῦτος, σὺ δὲ αὐτοῦ οὐκ ἠνείχου; οὐκ ἔλεγον ὅτι ἀγνώμων ἐστὶν οἰκέτης, σὺ δὲ οὐκ ἐβούλου πείθεσθαι; ἰδοὺ ἐκ τῶν πραγμάτων ἔδειξεν ἡ πεῖρα, ὅτι οὐ δραπέτης μόνον οὐδὲ ἀγνώμων, ἀλλὰ καὶ ἀνδροφόνος· οὗτος γάρ σε νῦν τρέμειν καὶ δεδοικέναι παρεσκεύασεν. οὐκ ἔλεγόν σοι ἡνίκα συνεχῶς ἐπετίμας μοι, λέγοντι τἀληθῆ, ὅτι ἐγώ σε φιλῶ μᾶλλον τῶν κολακευόντων; ἐγὼ ὁ ἐλέγχων, πλέον κήδομαι τῶν χαριζομένων; οὐ προσετίθην τοῖς ῥήμασι τούτοις, ὅτι ἀξιοπιστότερα τραύματα φίλων, ὑπὲρ ἑκούσια φιλήματα ἐχθρῶν; εἰ τῶν ἐμῶν ἠνείχου τραυμάτων, οὐκ ἄν σοι τὰ φιλήματα ἐκείνων τὸν θάνατον τοῦτον ἔτεκεν. τὰ γὰρ ἐμὰ τραύματα ὑγίειαν ἐργάζεται· τὰ δὲ ἐκείνων φιλήματα νόσον ἀνίατον κατεσκεύασε. πόθεν δὴ τοῦτο; ἐκ τοῦ μὴ τὰς μεταβολὰς τῶν ἀνθρωπίνων ἐννοεῖν σε πραγμάτων· εἰ γὰρ ἐδεδοίκεις μεταβολὴν, οὐκ ἂν ὑπέμεινας μεταβολήν. ἀλλ' ἐπειδήπερ οὔτε οἴκοθεν, οὔτε παρ' ἑτέρων ἐγένου βελτίων, διὰ τοῦτο τὴν πεῖραν τῶν διὰ τῶν ῥημάτων, διὰ τῶν πραγμάτων ὑπέμεινας. ἀεὶ λέγω, ὅτι ὁ πλοῦτος τοὺς κακῶς αὐτῷ χρωμένους προδίδωσι, καὶ ἦλθεν ὁ καιρὸς δεικνὺς τῶν πραγμάτων τὴν ἀλήθειαν. τί κατέχεις αὐτὸν ἐν πειρασμοῖς σε μὴ ὠφελοῦντα; εἰ ἔχει ἰσχὺν, ὅταν ἐμπέσῃς εἰς ἀνάγκην, παρέστω σοι· εἰ δὲ τότε φεύγει, τί χρείαν αὐτοῦ ἔχεις; ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι· καίτοι πολλοὶ ἐγκαλοῦσιν ἡμῖν· ἀεὶ, λέγει, κεκόλληται τοῖς πλουσίοις· καὶ γὰρ κἀκεῖνοι ἀεὶ κεκόλληνται τοῖς πένησιν. ἐγὼ δὲ κεκόλλημαι τοῖς πλουσίοις, μᾶλλον δὲ οὐ τοῖς πλουσίοις, ἀλλὰ τοῖς κακῶς τῷ πλούτῳ κεχρημένοις. ἀεὶ λέγω, οὐ τὸν πλούσιον διαβάλλων, ἀλλὰ τὸν ἅρπαγα. ἄλλο πλούσιος, ἄλλο ἅρπαξ· διαίρει τὰ πράγματα, μὴ σύγχεε τὰ ἄμικτα. πλούσιος εἶ; οὐ κωλύω· ἁρπάζεις; κατηγορῶ. ἔχεις τὰ σά; ἀπόλαυε· λαμβάνεις τὰ ἀλλότρια; οὐ σιωπῶ. θέλεις με λιθάσαι; ἕτοιμός εἰμι καὶ τὸ αἷμά μου ἐκχέειν· μόνον τὴν ἁμαρτίαν σου κωλύσω, ἐμοὶ οὐ μέλει μῖσος, οὐ μέλει πόλεμος· ἕν μοι μέλει, ἡ προκοπὴ τῶν ἀκουόντων. καὶ οἱ πένητες ἐμὰ τέκνα, καὶ οἱ πλούσιοι ἐμὰ τέκνα· ἡ αὐτὴ γαστὴρ ἀμφοτέρους ὤδινεν. αἱ αὐταὶ ὠδῖνες ἀμφοτέρους ἔτεκον. ὁ βουλόμενος λιθαζέτω, ὁ βουλόμενος μισείτω, ὁ βουλόμενος ἐπιβουλευέτω· ὑποθῆκαί μοι στεφάνων αἱ ἐπιβουλαὶ, καὶ ἀριθμὸς βραβείων τὰ τραύματα. οὐ δέδοικα ἐπιβουλήν· ἓν δέδοικα μόνον, ἁμαρτίαν. μή με τις ἐλέγξει ἁμαρτάνοντα, καὶ ἡ οἰκουμένη πολεμείτω μοι. εἴδετε τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν; εἴδετε τῆς δυναστείας τὸ ἐπίκηρον; εἴδετε τὸν πλοῦτον ὃν ἀεὶ δραπέτην ἐκάλουν, οὐ δραπέτην δὲ μόνον, ἀλλὰ καὶ ἀνδροφόνον; οὐ γὰρ καταλιμπάνει τοὺς ἔχοντας, ἀλλὰ καὶ σφάζει τοὺς ἔχοντας· ὅταν τις αὐτὸν θεραπεύσῃ, τότε μάλιστα αὐτὸν προδίδωσι. τί θεραπεύεις πλοῦτον μηδέποτε κατασχεθῆναι δυνάμενον; βούλει αὐτὸν κατασχεῖν; μὴ κατορύξῃς αὐτὸν, ἀλλὰ δὸς εἰς τὰς χεῖρας τῶν πενήτων. θηρίον ἐστὶν ὁ πλοῦτος· ἐὰν κατέχηται, φεύγει· ἐὰν σκορπίζηται, μένει. σκόρπισον, ἵνα μένῃ· μὴ κατορύξῃς, ἵνα μὴ φύγῃ. ποῦ ὁ πλοῦτος; ἡδέως ἂν ἠρόμην τοὺς ἀπελθόντας. ποῦ ὁ πλοῦτος; ταῦτα δὲ λέγω οὐκ ὀνειδίζων, μὴ γένοιτο· οὐδὲ ἀναξαίνων τὰ ἕλκη· ἀλλὰ τὰ ἑτέρων ναυάγια, ὑμῖν λιμένα κατασκευάζων. καὶ γὰρ ὁ σήμερον πλούσιος, αὔριον πένης. διὸ καὶ πολλάκις ἐγέλασα διαθήκας ἀναγινώσκων λεγούσας, ὁ δεῖνα μὲν ἐχέτω τὴν δεσποτείαν τῶν ἀγρῶν ἢ τῆς οἰκίας, τὴν δὲ χρῆσιν ἄλλος· πάντες γὰρ τὴν χρῆσιν ἔχομεν, δεσποτείαν δὲ οὐδείς. κἂν γὰρ παρὰ πᾶσαν ἡμῶν τὴν ζωὴν παραμένῃ μηδεμίαν μεταβολὴν ὁ πλοῦτος δεχόμενος, καὶ ἑκόντες καὶ ἄκοντες ἐν τῇ τελευτῇ παραχωρήσομεν αὐτὸν ἑτέροις· τὴν χρῆσιν μὲν καρπωσάμενοι καὶ

ἄλλο οὐδὲν διασῶσαι δύναται τὴν οὕτω χειμαζομένην ψυχήν. ἀλ-
λὰ καὶ πρὸς τὴν παροῦσαν ζωὴν ὁ τοιοῦτος ἄχρηστος γίνεται, καὶ πρὸς
πᾶν ἔργον ἀγαθὸν ἀδόκιμος· ἐντεῦθεν οὐκ ἄλλοθεν χαλεποῖς
καὶ ἀνιάτοις ἁλίσκονται νοσήμασιν οἱ τρυφῇ συζῶντες διηνεκεῖ, καὶ
διὰ τοῦτο νομίζοντες εἰς τόνδε παρῆχθαι τὸν βίον, ἵνα τρυφήσαντες,
καὶ τὴν γαστέρα διαρρήξαντες, τὸ σῶμα πιάναντες, οὕτως ἀπέλθωσι,
δαψιλεστέραν τοῖς σκώληξι παρασκευάζοντες τράπεζαν, τὴν ἐξ οἰ-
κείων σαρκῶν. καὶ γὰρ τρόμοις, καὶ παρέσει, καὶ φθόῃ, καὶ κορύζαις,
καὶ ποδαλγίαις, καὶ ἑτέροις πλείοσιν, ἅπερ ἰατρῶν λέγουσι παῖδες,
ἁλώσιμοι γίγνονται. δηλητηρίων γὰρ φαρμάκων οὐδὲν ἄμεινον αἱ
τοιαῦται διακείσονται τράπεζαι· μᾶλλον δὲ εἰ δεῖ τἀληθὲς εἰπεῖν,
καὶ πολλῷ χεῖρον. τὰ μὲν γὰρ εὐθέως ἀπήνεγκε τὸν λαβόντα, καὶ τὴν τελευ-
τὴν ἀναισθήτως ἐπήγαγεν, ὡς μηδὲ αὐτῷ τούτῳ λυπῆσαι τὸν ἀπο-
θανόντα· αὗται δὲ ζωὴν μυρίων θανάτων χαλεπωτέραν ἐπάγου-
σι, τοῖς αὐτὰς περὶ πολλοῦ ποιουμένοις. καὶ τὰ μὲν ἄλλα πάθη πολλοὺς
ἔχει τοὺς συναλγοῦντας· ὅσα δὲ ἀπὸ τρυφῆς καὶ μέθης γέγονεν, οὐδὲ
βουλομένους τοὺς ὁρῶντας ἀφίησι συναλγῆσαι τοῖς ὑπ' αὐτῶν χει-
ρωθεῖσιν· ἀλλ' ἡ μὲν ὑπερβολὴ τοῦ κακοῦ πρὸς ἔλεον ἐπικάμπτει,
ἡ δὲ ὑπόθεσις τοῦ νοσήματος παροξύνει τὸν εἰδότα. οὐδὲ γὰρ ὑπὸ τῆς
φύσεως ἐπηρεάσθησαν καθάπερ ἐκεῖνοι, οὐδὲ ὑπὸ τῶν ἀνθρώπων
ἐπιβουλεύθησαν· ἀλλ' αὐτοὶ δημιουργοὶ τῶν νοσημάτων ἑαυτοῖς τού-
των ἐγένοντο, ἑκόντες ἑαυτοὺς ἐμβαλόντες εἰς τὸ τῶν κακῶν βάραθρον.
οὐχ οὕτω σκορπίος ἢ ὄφις τοῖς σπλάγχνοις ἡμῶν ἐγκαθήμενος λυ-
μαίνεται πανταχόσε, ὡς ἡ τῆς τρυφῆς ἐπιθυμία πάντα ἀνατρέπει
καὶ ἀπόλλυσι. τοῖς μὲν γὰρ θηρίοις ἐκείνοις μέχρι τοῦ σώματος ἡ
ἐπιβουλή· αὕτη δὲ ὅταν ἐγκαθεσθῇ, μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν
προσαπόλλυσιν. ἐπεὶ οὖν λύμη πάντων ἐστὶ καὶ καταγέλως ἔσχατος,
ὑμῶν αὐτῶν φείσασθε τῆς τοῦ σώματος ὑγείας· οὐ λέγω πρὸς σκλη-
ραγωγίαν ἑαυτοὺς ἀγαγεῖν, ἂν μὴ βούλεσθε· τὸ περιττὸν ἀνέλωμεν,
τὸ τῆς χρείας ἔξω περικόψωμεν. ποίαν συγγνώμην ἕξομεν, ὅταν ἑτέ-
ροι μὲν μηδὲ τῆς χρείας ἀπολαύωσι κύριοι ὄντες, ἡμεῖς δὲ ὑπὲρ τὴν χρείαν τρυφῶντες ὦμεν; τίνα γὰρ ἂν εἴποιμεν τρυφᾶν μᾶλλον, τὸν
λαχάνοις τρεφόμενον καὶ ὑγιαίνοντα, καὶ μηδὲν ἔχοντα ἀηδὲς, ἢ τὸν Συβαριτικὴν παρατιθέμενον τράπεζαν, καὶ μυρίων γέμοντα νοσημάτων;
εὔδηλον ὅτι ἐκεῖνον. οὐκοῦν μηδὲ πλέον ζητῶμεν τῆς χρείας. ἀλλ' ὁ μὲν ὀσπρίοις δυνάμενος ἀρκεῖσθαι καὶ ὑγιαίνειν, μηδὲν πλέον ἐπιζη-
τείτω

τούτου. ὁ δὲ ἀσθενέστερος, καὶ τῆς διὰ τῶν λαχάνων δεόμενος θεραπείας, μὴ κωλυέσθω. εἰ δὲ καὶ τούτου τις ἀσθενέστερος εἴη, καὶ τῆς συμμέτρου τῆς ἀπὸ τῶν κρεῶν δέοιτο βοηθείας, οὐδὲ τούτου ἀπειρξόμεθα. οὐδὲ γὰρ ἵνα ἀναιρῶμεν τοὺς ἀνθρώπους καὶ διαφθείρωμεν, ταῦτα συμβουλεύομεν, ἀλλ' ἵνα τὰ περιττὰ περικόψωμεν. περιττὸν δέ ἐστιν, ὃ τῆς χρείας πλέον ἐστίν. ὅταν γὰρ καὶ χωρὶς τούτου δυνώμεθα διάγειν ὑγιεινῶς καὶ εὐσχημόνως, περιττὸν πάντως ἐκεῖνό ἐστι προστεθέν. οὐχ ὁρᾶτε πρὸς τίνας ἡμῖν ἡ πάλη; πρὸς τὰς ἀσωμάτους δυνάμεις. πῶς οὖν σάρκας ὄντες τούτων περιεσόμεθα; εἰ γὰρ πρὸς ἀνθρώπους τις παλαίων δεῖται σωφρόνως ἐσθίειν, πολλῷ μᾶλλον πρὸς δαίμονας. ὅταν δὲ μετὰ τῆς πολυσαρκίας καὶ τῷ πλούτῳ ὦμεν προσδεδεμένοι, πόθεν κρατήσομεν τῶν ἀντιπάλων; ὥσπερ γὰρ ἐπὶ τῆς κιθάρας ὅταν ὦσι φθόγγοι ἁπαλοί, καὶ μαλθακοί, καὶ μὴ διατεταμένοι καλῶς, καὶ ἡ τῆς τέχνης ἀρετὴ ἀποτέμνεται, ἀναγκαζομένη δουλεύειν τῇ κακίᾳ τῶν νευρῶν· οὕτω καὶ ἐπὶ τοῦ σώματος, ὅταν πολλῆς ἀπολαύῃ παρ' ἡμῶν τῆς θεραπείας, πικρὰν ὑπομένει τὴν δουλείαν ἡ ψυχή. μὴ τοίνυν λιπαίνωμεν τὸ σῶμα, μηδὲ ἐξίτηλον αὐτὸ καὶ χαῦνον τῇ τρυφῇ καθιστῶμεν. οὐ λέγω κατατρύχειν ἑαυτούς, οὐδὲ σκληραγωγεῖν· ἀλλὰ τοσοῦτον σιτεῖσθαι, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονήν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ἡμῖν καὶ ἐνάρμοστον πρὸς τὰς ἐνεργείας παρέχειν τῆς ψυχῆς, πεπηγὸς καλῶς καὶ συνηρμοσμένον. ὅταν γὰρ ὑπέραντλον γένηται τῇ τρυφῇ, τοὺς γόμφους αὐτοὺς ὡς ἄν τις εἴποι, καὶ τὰς ἁρμονίας, τῇ πλημμύρᾳ κατέχειν οὐ δύναται συμπεπηγυίας· ἐπεισελθοῦσα γὰρ ἡ πλημμύρα τὸ πᾶν διαλύει καὶ διαχεῖ. τὸ μὲν γὰρ αὔταρκες, καὶ τροφή, καὶ ἡδονή, καὶ ὑγίεια· τὸ δὲ πλέον, λύμη καὶ ἀηδία, καὶ νόσος, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ αὐτὴν τὴν ψυχὴν μετὰ τοῦ σώματος προσαπολλύει. καὶ καθάπερ ἡ σφόδρα διύγρος γῆ τίκτει τοὺς σκώληκας, οὕτω καὶ ἡ ἔμφυτος ἐπιθυμία, τῇ τροφῇ διαβρεχομένη, τίκτει τὰς ἡδονάς· καὶ τοῦ σώματος γινομένου μαλακωτέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς λύμης. εἰ γὰρ οἱ τὸν διυλισμένον οἶνον πίνοντες, ἐν μέμψει, τί ἂν εἴποιμεν πρὸς τοὺς ἀποδημίας διαποντίους στελλομένους ὑπὲρ οἴνου, καὶ πάντα κινοῦντας, ὥστε μηδὲν γένος λαθεῖν ἀμπέλου; καθάπερ μέλλοντας εὐθύνας διδόναι, εἰ μὴ παντὸς γένους ἐμφορηθεῖεν οἴνου. οὕτως οὐδὲν οὕτως τῷ δαίμονι φίλον, ὡς τρυφὴ καὶ γαστριμαργία. τί γὰρ οὐκ ἐργάζεται κακὸν ἡ τρυφή; χοίρους ἐξ ἀνθρώπων ποιεῖ, καὶ χοίρων χείρους. ὁ μὲν γὰρ χοῖρος βορβόρῳ ἐγκαλινδεῖται, καὶ κόπρῳ τρέφεται· οὗτος δὲ ἐκείνης βδελυκτοτέραν σιτεῖται τράπεζαν, μίξεις ἐπινοῶν ἀθέσμους, καὶ παρανόμους ἔρωτας. ὁ τοιοῦτος οὐδὲν δαιμονῶντος διενήνοχε. καὶ τὸν μὲν δαιμονῶντα κἂν ἐλεοῦμεν, τοῦτον δὲ ἀποστρεφόμεθα καὶ μισοῦμεν. τί δήποτε; ὅτι αὐθαίρετον ἐπισπᾶται μανίαν, καὶ τὸ στόμα, καὶ τοὺς ὀφθαλμοὺς καὶ ῥῖνας, καὶ πάντα ἁπλῶς τὰ μέλη, ὀχετοὺς *ἁμαρτίας ἐργάζεται. εἰ δὲ καὶ τὰ ἔνδον ἴδῃς, ὄψει καὶ τὴν ψυχὴν καθάπερ ἐν χειμῶνι καὶ κρυμῷ πεπηγυῖαν καὶ ναρκῶσαν, καὶ οὐδὲ τὸ σκάφος ὠφελῆσαι δυναμένην διὰ τὴν τοῦ χειμῶνος ὑπερβολήν. οἱ γὰρ μέθῃ καὶ ἀδηφαγίᾳ δεδουλωμένοι, οὔτε ὕπνου αἱροῦνται γνησίου καὶ εἰλικρινοῦς, οὔτε ὀνειράτων ἀπαλλάττονται φοβερῶν. πῶς οὖν οὐκ ἄτοπον, τὰ μὲν ἄλογα ζῶα μηδὲν πλέον τῆς χρείας ἐπιζητεῖν, ἀνθρώπους δὲ λογικοὺς καὶ εἰκόνι Θεοῦ τετιμημένους, κἀκείνων ἀλογωτέρους γίνεσθαι, τοὺς τῆς συμμετρίας ὑπερβαίνοντας ὅρους; πόσῳ γὰρ τῶν οὕτω διακειμένων ἀνθρώπων βελτίων ὁ ὄνος; πόσῳ ἀμείνων ὁ κύων; τὰ μὲν γὰρ ἄντε φαγεῖν, ἄντε πιεῖν δέῃ, ὅρον τὴν αὐτάρκειαν οἶδε, καὶ πέρα τῆς χρείας οὐ πρόεισι· κἂν μυρίοι καταναγκάζοντες ὦσι πολλάκις, οὐκ ἀνέχεται ἐξελθεῖν εἰς ἀμετρίαν· οὗτοι δὲ, καὶ τούτων ἑαυτοὺς ἀτιμοτέρους εἶναι κατέκριναν. καὶ τὰ μὲν ἄλογα πέρα τοῦ μέτρου τροφῆς ἀπολαύειν οὐκ ἀναγκάζουσι· κἂν ἔρηταί τις διὰ τί; ἵνα μὴ καταβλάψωσιν, ἐροῦσιν· ἑαυτοῖς δὲ οὐδὲ ταύτην παρέχουσι τὴν πρόνοιαν, οὕτω κἀκείνων ἑαυτοὺς εὐτελεστέρους εἶναι νομίζουσι, καὶ περιορῶσι χειμαζομένους διηνεκῶς. οὐδὲ γὰρ ἐν τῇ ἡμέρᾳ τῆς μέθης μόνον, τὴν ἐκ τῆς μέθης βλάβην ὑπομένουσιν, ἀλλὰ καὶ μετὰ τὴν ἡμέραν ἐκείνην. καὶ καθάπερ πυρετοῦ παρελθόντος, ἡ ἐκ τοῦ πυρετοῦ μένει λύμη· οὕτω καὶ μέθης ἀπελθούσης, ἡ τῆς μέθης ζάλη, καὶ ἐν τῇ ψυχῇ, καὶ ἐν τῷ σώματι στρέφεται· καὶ τὸ μὲν ἄθλιον σῶμα κεῖται παραλυθὲν, καθάπερ ὑπὸ ναυαγίου σκάφος· ἡ δὲ τούτου ταλαιπωροτέρα ψυχὴ, καὶ τούτου διαλυθέντος, τὸν χειμῶνα διεγείρει, καὶ τὴν ἐπιθυμίαν ἀνάπτει σφοδρότερον. ὅσα μὲν οὖν ἀπὸ μέθης προσγίνεται τοῖς ἀνθρώποις κακά, εἰπεῖν αἰσχύνομαι, τῷ δὲ αὐτῶν καταλείπω συνειδότι, τῷ ταῦτα ἀκριβέστερον εἰδότι. τί γὰρ αἰσχρότερον τοῦ μεθύοντος, καὶ ἁπλῶς φερομένου, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον ὑπομένοντος, καὶ τὰ τοῦ Θεοῦ δῶρα παρὰ τῶν ἀνοήτων βλασφημεῖσθαι παρασκευάζοντος; πολλῶν γὰρ ἀκούω λεγόντων ὅταν ταῦτα συμβαίνῃ τὰ πάθη· μὴ ἔστω οἶνος. ὢ τῆς ἀνοίας, ὢ τῆς παραπληξίας· ἄλλων ἁμαρτανόντων, τὰς τοῦ Θεοῦ δωρεὰς ἐγκαλεῖς; μὴ γὰρ οἶνος ἐποίησεν, ἄνθρωπε, τὸ

verò imbecillior eſt, olerúmque miniſterio indiget, non prohibeatur. Si verò & hoc aliquis infirmior ſit, & moderato carnium adjumento indigeat, neque iſtum prohibebimus. *Ex interpr. ep. 1. ad Cor.* Non enim ut occidamus homines & perdamus, iſta ſuademus; ſed ut ſuperflua amputemus. Superfluum verò eſt, quod ultra neceſſitatem eſt. Quòd ſi abſque iſto ſanam honeſtámque vitam agere poſſimus, planè ſuperfluum illud eſt, quod adjectum eſt. Non videtis cum quibus nobis lucta eſt? cum incorporeis poteſtatibus. Quonam igitur pacto, caro cùm ſimus, eos ſuperabimus? Nam ſi, qui cum hominibus luctatur, temperanter edat neceſſe eſt, longè magis qui cum dæmonibus. Cùm autem ad corpulentiam divitiis inſuper fuerimus aſtricti, unde vincemus adverſarios? Sicut enim in cithara, ſi ſoni fuerint molles ac remiſſi, nec benè intenti, artis quoque præſtantia ſuccíditur, nervorúmque vitio ſervire cogitur: ita & in corpore, cùm id multam curationem à nobis indeptum fuerit, acerbam ſervitutem animus perfert. *Ex interpr. ep. ad Hebr.* Ne igitur ſaginemus corpus, neque iners id atque laxum luxuria reddamus. Non dico, ut nos exhauriamus aut duriter nimis tractemus; ſed ut tantum cibi ſumamus, quantum & voluptatem habeat, veram, inquam, voluptatem, & alere corpus, & obſequens nobis aptúmque ad functiones animi exhibere poſſit, benè compactum & coagmentatum. Cùm enim luxuria redundans fuerit, ipſos clavos, ut ita dixerim, & compages coalitas, ob inundationem, retinere nequit: Inundatio enim ubi invaſerit, univerſum diſſolvit & confundit. Per ſe namque ſatis eſt, emolumentum, voluptas & ſanitas: quod autem plus eſt, pernicies & faſtidium & morbus: quodque his eſt gravius, quia ipſam quoque animam unà cum corpore perdit. *Ex hom. de Fato.* Et ſicuti terra valdè humida vermes producit, ſic inſita quoque cupiditas, quando luxu perfunditur, voluptates parit: cúmque corpus factum eſt mollius, neceſſe eſt animam ſimul perniciem capere. Si enim qui defæcatum vinum bibunt, reprehenſione non carent, quid dicemus ad eos, qui peregrinationes tranſmarinas vini cauſa ſuſcipiunt, quique omnia movent, ne quod vitis genus ipſos lateat? quaſi rationes repoſcendi ſint, niſi omni vini genere ſeſe ingurgitaverint. Revera nihil ita amicum eſt dæmoni, ut luxuria & edacitas. Quid enim non mali facit luxuria? Porcos facit ex hominibus, ac porcis etiã deteriores. Nam porcus quidẽ in luto volutatur, & ſtercore paſcitur, iſte verò abominabiliore, quã illa eſt, menſa veſcitur, illicitos concubitus excogitans & exleges amores. Talis nihil à dæmoniaco differt. Ac dæmoniacum quidẽ ſaltem miſeramur; iſtum verò averſamur & odimus. Quamobrem? quoniam ultroneam ſibi inſaniam attrahit, & os, oculos, nares, & omnia prorſus membra peccati cloacas efficit. Quòd ſi interiora quoque inſpicias, videas & animum ipſum tanquam in tempeſtate & frigore gelatum atque torpentem, *lege, ἁμαρτίας.* ita ut ne ſcapham quidem propter tempeſtatis magnitudinem ſervare poſſit. Nam qui ebrietati & ingluviei mancipati ſunt, neque ſomnum verum & ſincerum capiunt, neque à terribilibus ſomniis liberi ſunt. Quonam igitur modo abſurdum non eſt, expertes quidem rationis animantes nihil ultra neceſſitatem quærere: homines verò præditos ratione, & imagine Dei cohoneſtatos, illis etiam minus compotes rationis fieri, mediocritatis fines prætergredientes? *Ex interpr. Evang. Matth.* Quanto enim melior hujuſmodi hominibus aſinus eſt? quanto melior canis? Nam hi quidem, ſive edendum eſt ſive bibendum, finem norunt, id quod ſatis eſt, neque ultra neceſſitatem progrediuntur: etiamſi innumerabiles ſæpè cogant, non ſuſtinebunt modum excedere: Iſti verò his etiam deſpicabiliores ſe eſſe indicarunt. Et beſtias quidem ultra modum cibum capere non cogunt: ac ſi quis interroget, quamobrem? ne noceamus, dicunt: ſibi verò ipſis hanc providentiam non adhibent: adeò etiam illis viliores ſeſe exiſtimant, dúmque aſſiduè tempeſtate vexantur, negligunt. Nec illa die ſolùm, qua ebrii ſunt, damnum quod ex ebrietate oritur, ſuſtinent, ſed etiam poſt illum diem. Et ſicuti poſtquam febris tranſiit, noxa, quæ eſt ex febri, remanet: ita quoque cùm ebrietas receſſit, ebrietatis procella in animo & in corpore verſatur: ac miſerum quidem corpus jacet reſolutum ſicuti navis à naufragio: anima verò corpore ærumnoſior, etiam cùm hoc diſſolutum eſt, tempeſtatem ſuſcitat, ac cupiditatem accendit vehementiùs. Quàm igitur multa ab ebrietate hominibus mala accidant, pudet me dicere: ſed ipſorum relinquo conſcientiæ, ut quæ exactiùs ea cognita habeat. Quid enim turpius ebrio & temerè vagante, & grave illud naufragium perferente, ac Dei dona ſtultorum conviciis exponente? Multos enim, cùm hæ affectiones acciderint, dicere audio: Utinam ne ſit vinum. O amentiam! ô ſtuporem! aliis peccantibus Dei dona accuſas? An enim vinum, ô homo, malum illud fecit? non

ὥσπερ νεκρὸν ἀνενέργητον δεσμοῖς τισιν ἀλύτοις πεδήσασα κεῖσθαι παρασκευάζῃ; μᾶλλον δὲ καὶ νεκροῦ χεῖρον. ὁ μὲν γὰρ καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος· οὗτος δὲ κοινὸς ἅπασι γέλως πρόκειται. οἱ μὲν γὰρ φίλοι, οἰκείαν τὴν αἰσχύνην λογιζόμενοι, ἐγκαλύπτονται καὶ αἰσχύνονται· οἱ δὲ ἐχθροὶ ἐφήδονται καὶ κωμῳδοῦσι καὶ ἐπαρῶνται, μονονουχὶ ταῦτα λέγοντες τὰ ῥήματα· οὗτος δεῖ ὅλως ζῆν; οὗτος δεῖ ἀναπνεῖν τὸν ἀέρα; τὸ βόσκημα, τὸν χοῖρον; καὶ τὰ ἐκ τούτων χαλεπώτερα φθεγγόμενοι. ἅπερ φεύγοντες, ἀγαπητοί, B ὅση δύναμις, τοσοῦτον σιτεῖσθαι σπουδάσωμεν, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονὴν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ἡμῖν καὶ εὐάρμοστον πρὸς τὰς ἐνεργείας παρασχεῖν τῶν ἐντολῶν τοῦ Χριστοῦ· ἵνα καὶ τὸν παρόντα βίον εὐμαρῶς διανύσωμεν, καὶ τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. C

Περὶ ἀρρωστίας καὶ ἰατρῶν.

Λόγος ιγ.

ΟΤΑΝ ἀρρωστίᾳ περιπέσῃς, ἄνθρωπε, ἀναμνήσθητι τοῦ σώματος τοῦ Ἰὼβ, καὶ τῆς ἁγίας ἐκείνης σαρκός. ἁγία γὰρ ἦν καὶ καθαρὰ, τοιαῦτα ἔχουσα τραύματα. τίς γὰρ οὕτως ἠρρώστησέ ποτε· τίς τοσαύτην πληγὴν ἐδέξατο, ἢ ἕτερον δεξάμενον εἶδεν; οὐκ ἔστιν D οὐδείς, οὐκ ἔστι. κατὰ μικρὸν * αὐτῷ τὸ σῶμα ἐδαπανᾶτο, καὶ πηγὴ σκωλήκων αὐτῷ πανταχόθεν ἐβρύετο ἀπὸ τῶν μελῶν, καὶ διηνεκὴς ἦν αὕτη ἡ ἐπιρροὴ, καὶ πολλὴ πανταχόθεν ἡ δυσωδία, καὶ τὸ σῶμα κατὰ μικρὸν διαιρούμενον, καὶ τοιαύτῃ σηπεδόνι τηκόμενον, ἀηδῆ τὰ σιτία ἐποίει. καὶ λιμὸς ἦν αὐτῷ ξένος καὶ παράδοξος. οὐ γὰρ διδομένης ἠδύνατο τῆς τροφῆς ἀπολαύειν. βρόμον γὰρ, φησιν, ὁρῶ τὰ σιτά μου. ἀλλ' ἱκανὴν εἶχεν οὗτος παράκλησιν καὶ παραμυθίαν, φησὶ, E τὸ εἰδέναι τὸν Θεὸν αὐτῷ ταῦτα ἐπάγοντα. τοῦτο μὲν οὖν αὐτὸν μάλιστα ἐτάραττε καὶ ἐθορύβει, ὅτι τὸν δίκαιον Θεὸν, καὶ παντὶ τρόπῳ παρ' αὐτοῦ θεραπευθέντα, τοῦτον ἐνόμιζεν αὐτῷ πολεμεῖν, καὶ πρόφασιν τινα εὔλογον εὑρεῖν τῶν γινομένων οὐκ εἶχεν. εἰ δὲ ἀρκεῖν τοῦτο εἰς παράκλησιν νομίζεις, δυνήσῃ δὴ καὶ αὐτὸς ταύτην τὴν παραμυθίαν ἔχειν. κἂν γὰρ μὴ διὰ τὸν Θεὸν πάθῃς τι τῶν δεινῶν, ἀλλ' ἐξ ἀνθρώπων ἐπηρείας, εὐχαριστήσῃς δὲ καὶ μὴ βλασφημήσῃς τὸν δυνάμενον κωλῦσαι A μὲν, ἀφέντα δὲ τῆς σῆς ἕνεκεν δοκιμῆς, ὥσπερ οἱ διὰ τὸν Θεὸν παθόντες στεφανοῦνται, οὕτω καὶ σὺ τῶν αὐτῶν ἐπιτεύξῃ μισθῶν, ὅτι τὰς παρὰ ἀνθρώπων ἐπαχθείσας σοι συμφορὰς γενναίως ἤνεγκας, καὶ τῷ δυναμένῳ αὐτὰς κωλῦσαι, μὴ βουληθέντι δὲ, ηὐχαρίστησας. οὔτε γὰρ ἀγαθός τίς ἐστι χωρὶς ἁμαρτίας, οὔτε κακός τις ἐστι χωρὶς δικαιοσύνης· ἀμφοτέροις δὲ ἀμοιβὴ καὶ ἀντίδοσις. ἐὰν δέ τις δίκαιος καὶ φαῦλον ἐργάσηταί τι, καὶ νοσήσῃ, καὶ τιμωρίᾳ παραδοθῇ, μὴ θορυβηθῇς, B ἀλλ' εἰπὲ, ὅτι οὗτος ὁ δίκαιος μικρόν ποτε κακὸν ἐποίησε, καὶ ἀπολαμβάνει ὧδε, ἵνα ἐκεῖ μὴ κολασθῇ. πάλιν ἐὰν ἴδῃς ἁμαρτωλὸν ἁρπάζοντα, πλεονεκτοῦντα, εὐθηνούμενον, μυρία ποιοῦντα κακὰ, μηδὲ οὕτως θορυβηθῇς, ἀλλ' εἰπέ· οὗτος ὁ ἁμαρτωλὸς ὁ μυρία κακὰ ποιῶν, ποτέ τι ἀγαθὸν ἐποίησε, καὶ ἀπολαμβάνει ὧδε τὰ ἀγαθὰ, ἵνα μὴ μισθὸν ἐκεῖ ἀπαιτήσῃ. τοῦτο δὲ καὶ ἐπὶ τοῦ Λαζάρου ἐστὶν ἰδεῖν· ἐπειδὴ συνέβαινε καὶ αὐτὸν ἔχειν τινὰ ἁμαρτήματα, καὶ τὸν πλούσιον C πάλιν τι ἔχειν ἀγαθόν. ἄκουσον τί φησιν ὁ Ἀβραάμ· ἀπέλαβες τὰ ἀγαθά σου ἐκεῖ, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ. ὁποῖα; ἐποίησας τι ἀγαθόν; ἀπέλαβες ἀντ' ἐκείνου τὸν πλοῦτον, τὴν ὑγίειαν, τὴν τρυφὴν, τὴν δυναστείαν, τὴν τιμὴν, καὶ οὐδέν σοι κεχρεώστηται. τί οὖν ὁ Λάζαρος; οὐδὲν ἥμαρτε; ναί· διὰ τοῦτο λέγει, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ· ὅτε γὰρ σὺ τὰ ἀγαθά σου ἀπελάμβανες, τότε καὶ ὁ Λάζαρος τὰ κακά. ὥστε ὅταν ἴδῃς δίκαιον κολαζόμενον, μακάριζε αὐτὸν, καὶ λέγε· οὗτος ὁ δί- D καιος ἁμαρτίαν τινὰ ἔχει, καὶ ἀπολαμβάνει αὐτὴν, καὶ ἀπέρχεται ἐκεῖ καθαρός. εἰ δὲ πλέον τῶν ἁμαρτημάτων κολάζεται, προσθήκη δικαιοσύνης αὐτῷ λογίζεται. καὶ πρόσεχε ὃ λέγω. ὁ Ἰὼβ, δίκαιος ἦν, ἄμεμπτος, ἀληθινός, θεοσεβής· καὶ ἐκολάσθη αὐτῷ τὸ σῶμα ὧδε, ἵνα ἐκεῖ μισθὸν ἀπαιτήσῃ. φησὶ γὰρ ὁ Θεὸς πρὸς αὐτόν· οὐκ ἄλλως σοι οἴει με κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; ἆρα οὖν μή τι παρέτρεψε τὸν ἅγιον ἐκεῖνον Ἰὼβ ἡ τῆς γυναικὸς συμβουλή; τοὐναν- E τίον μὲν οὖν μᾶλλον ἐποίησε, καὶ ἐπτέρωσε μειζόνως αὐτὸν, ὡς καὶ ἐπιτιμῆσαι τῇ γυναικί. ᾑρεῖτο γὰρ μᾶλλον ὀδυνᾶσθαι καὶ ταλαιπωρεῖσθαι, καὶ μυρία πάσχειν δεινὰ, ἢ μετὰ βλασφημίας ἀπαλλαγήν τινα τῶν τοσούτων εὑρέσθαι κακῶν. ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ἐπειδὰν ἀρρωστίᾳ περιπέσωσι, βλασφημοῦσιν εὐθέως, καὶ τὸν μὲν πόνον ὑφίστανται τοῦ νοσήματος, τοῦ κέρδους δὲ τοῦ ἐξ αὐτοῦ διὰ τῆς ὑπομονῆς ἀποστεροῦνται. τί ποιεῖς, ἄνθρωπε; τὸν εὐεργέτην, καὶ σωτῆρα, καὶ προστάτην, καὶ κηδεμόνα βλασφημεῖς; οὐκ αἰσθάνῃ κατὰ κρημνοῦ φερόμενος, καὶ εἰς βάραθρον σαυτὸν ἐμβάλλων ἀπωλείας ἐσχάτης;

A velut inutile cadaver indiſſolubilibus quibuſdam vinculis conſtrictum jacere faciat? Imò verò & cadavere pejus. Hoc enim & ad bona & ad mala inutile eſt? ille verò publicè omnibus riſui exponitur. Nam amici quidem proprium dedecus reputantes, pudore afficiuntur & erubeſcunt: inimici verò inſultant & mordent atque execrantur, tantum non hæc verba dicentes: Húncne omnino vivere par eſt? anne par eſt hunc aërem reſpirare? illam pecudem, illum porcum? & quæ ex his conſequun- B tur, graviora dicentes. Quæ nos pro viribus fugientes, dilectiſſimi, tantum comedere ſtudeamus, quantum & voluptatem habeat, veram dico voluptatem, & alere corpus poſſit, & obſequens nobis aptúmque ad functiones mandatorum Chriſti præſtet: ut & præſentem vitam feliciter peragamus, & futura bona conſequamur, gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria & imperium, in ſecula ſeculorum. Amen.

De adverſa Valetudine & Medicis.

HOMILIA XIII.

Edita primum anno 1552 Baſil. Martin. Cromo interprete.

CUm in adverſam valetudinem incideris, ô homo, recordare corporis Jobi, & ſanctæ illius carnis: ſancta enim erat & pura, ejuſmodi vulnera habens. Nam quis ita ægrotavit unquam? quis tantam plagam accepit, aut alterum accepiſſe vidit? Non eſt quiſquam, non eſt. Paulatim corpus * ipſi conſumeba- D tur, & vermium fons undique ex membris ei ſcatebat, eratque perennis hic affluxus, & multus undequáque fœtor, & corpus paulatim dividebatur; talique liqueſcens putredine, inſuaves cibos reddebat: & erat ipſi fames peregrina & inaudita. Neque enim oblatis alimentis veſci poterat: Nam venti ſonitum, inquit, video cibos meos. At enim ſatis inquit, iſte ſolatii & levaminis habuit, quòd ſciret Deum hæc ſibi inferre. Imo hoc maximè eum perturbabat & commovebat, quòd juſtum Deum, E quique omni modo à ſe cultus eſſet, ſibi infeſtum eſſe putaret, neque ullam probabilem cauſam eorum, quæ fiebant, invenire poſſet. Quod ſi hoc ſufficere ad ſolatium putas, poteris ſatis & ipſe hocce levamen habere. Quamvis enim non propter Deum adverſi quicquam patiaris, ſed ex hominum vexatione, gratias interim agas, & non convitieris ei, qui poteſt quidem prohibere, ſed permittit tamen, probationis tuæ gratia: quemadmodum A qui propter Deum paſſi ſunt, coronantur, ita & tu eadem præmia conſequeris, quod ab hominibus oblata incommoda generoſè tuliſti, & ei, qui poterat quidem, ſed noluit prohibere, gratias egiſti. Neque enim bonus quiſpiam ſine peccato eſt, neque malus quiſpiam ſine juſtitia: utriſque autem compenſatio eſt, & remuneratio. Si quis ſit juſtus, & mali quid egerit & ægrotaverit, & ſupplicio addictus ſit, ne turberis, ſed dic: Hic juſtus paululum quid mali fecit aliquando, & recipit hic, ut ne illic punia- B tur. Rurſum, ſi videas peccatorem rapientem, avarè agentem, jucundè vivere, cùm innumerabilia mala faciat, ne ita quidem turberis, ſed dic: Hic peccator qui innumera mala perpetrat, boni quippiam fecit aliquando, & recipit hic bona, ut nec illic mercedem repetat. Hoc autem & in Lazaro eſt videre: quoniam contingebat ut & ille peccata quæpiam, & dives rurſus boni aliquid haberet. Audi quid Abraham dicat: *Recepiſti bona tua illic, & Lazarus mala ſua.* Qualia? egiſti quid boni? recepiſti pro eo C divitias, bonam valetudinem, delicias, potentiam, honorem; & nihil tibi debetur. Quid igitur Lazarus? nihilne peccavit? ſanè verò: propterea dicit, & Lazarus mala ſua. Cùm enim tu bona tua recipiebas, tunc & Lazarus mala. Cùm igitur juſtum puniri videris, beatum ipſum prædica & dic: Hic juſtus peccatum aliquod habet, & pro eo pœnas luit, & mundus illuc abit. Quod ſi ultra quàm peccata promerebantur, puniatur, augmentum juſtitiæ ipſi reputatur. Animadverte autem quid di- D co. Job juſtus erat, irreprehenſibilis, verax, pius: & caſtigatum eſt corpus ipſius hic, ut illic mercedem repeteret. Ait enim Deus ad eum: Non aliter tibi exiſtimas me oraculo reſpondiſſe, niſi ut appareas juſtus? Num igitur pervertit ſanctum illum Job uxoris conſilium? Imo verò contrarium magis fecit, majorémque in modum eum erexit, ita ut etiam increparet uxorem. Maluit enim dolere & affligi, & innumerabiles adverſitates pati, quam cum convicio exitum horum malorum ullum invenire. Sed vul- E gus hominum cùm in adverſam valetudinem inciderint, conviciantur illicò; & ærumnam quidem morbi ſuſtinent: lucro verò, quod ex morbo per patientiam percepturi erant, fraudantur. Quid facis, ô homo? In benefactorem, & ſervatorē, & defenſorem, & curatorem tuum convicia jactas? Nō ſentis quòd in præceps feraris, & in profundū extremi interitus teipſum conjicias?

Ex hom. quòd vitium ex ignavia, fortè invitis.

Ex hom. in terræ motum, & in divitem & Lazarum.

Luc. 16.

Ex hom. contra Iud.

Ex hom. in divitem & Lazarum.

Propterea namque diabolus innumera mala infert, ut in profundum illud deducat: ac ſi quidem conviciantem te viderit, facilè dolorem auget, majorémque facit, ut cum pungeris, iterum ſtomacheris & ægrè feras. Sin fortiter ferentem animadverterit, & quo magis morbus intenditur, eo magis gratias agentem Deo, confeſtim abſtinet, velut temerè & fruſtrà deinceps inſidias tenſurus. Quam enim ob rem indignaris, ô homo, & maledicis, ſi in quippiam quod diſpliceat, unquam incideris? B An enim ſi maledicta jactes, leviorem morbum facis? Imo verò intendis ipſum, & multo graviorem dolorem reddis. At non potes tacere, cum à dolore pungeris? Verùm tu pro convicio gratias age, lauda, glorifica Deum. Nam ſi convicieris, tum Dei auxilium propulſaſti, tum diabolum acriorem contra te effeciſti. Si verò gratias agas, & improbi dæmonis inſidias repuliſti, & Dei Rectoris curam tibi adjunxiſti. At conſuetudine lingua ſæpè fertur incitata, ut improbum illud verbum C proloquatur? Verùm tu, ubi impetu feretur, priusquam verbum proferat mordicus eam dentibus undique vehementer preme. Melius eſt, ut nunc ſanguine perfluat, quàm ut illa die guttam appetens, levamen conſequi non poſſit, quemadmodum in divite. Præſtat, ut temporalem dolorem perferat, quàm ut tunc perpetuò & in æternum frigatur. Cùm igitur in gravem morbum incideris, & multi adfuerint qui cogant, alii quidem incantationibus, alii amuletis, alii porrò aliis rebus le-D vare malum: tu verò propter Dei timorem generoſo & infracto animo morbi moleſtiam tuleris, & omnia pati malueris, quàm ut ejuſmodi quid facere ſuſtineas, hoc tibi martyrii coronam affert. Et ne dubita. Quemadmodum enim ille tormentorum cruciatus fert fortiter, ut ne adoret ſimulachrum: ita & tu morbi dolorem perfers, ut ne ullius rei ab illo indigeas, neque facias ea quæ imperat. At enim vehementiores illi ſunt: Verùm hi diuturniores: quocirca par exitus; nonnunquam etiam a-E cerbior. Nam cùm febris ardor intus moleſtus eſt & urit, tu verò aliis hortantibus incantationem rejicis, nonne martyrii coronam induiſti? Cùm enim incantatores magna cum contumelia domo ejeceris, omnes qui audierint, laudabunt & admirabuntur, dicéntque ad ſe mutuò: Hic ægrotans, cùm innumerabilia hortarentur quidam, & monerent, & conſulerent magicis quibuſdam incantationibus uti, non admiſit, ſed dixit: Præſtat ſic mori, quàm prodere pietatem. Quòd ſi hîc tantæ laudes A ſunt, cogita quantas illic coronas ſis accepturus, cùm præſentibus Angelis & archangelis Chriſtus tranſiens, & manu te apprehenſum in medium theatrum illud producet, & omnibus audientibus dicet: Hic homo febri correptus aliquando, cùm innumeri eum hortarentur, ut è febri evaderet, propter nomen meum, & timorem erga me, ut nulla in re offenderet, repulit ac deſpexit eos, qui ſe illo modo curaturos recipiebant: maluitque morbo emori, quàm benevolentiam erga me pro-B dere. Nam ſi eos, qui ſe potarunt & cibum præbuerunt, & veſtiverunt, in medium producit, multò magis eos, qui propter ſe febres ſuſtinere in animum induxerunt. Neque enim par eſt, dare panem & veſtimentum, & morbum diuturnum ſuſtinere; ſed longè hoc illo majus eſt: atque ita corona etiam erit ſplendidior. Iſta etiam ſani dicamus, & inter nos meditemur. Memineris beati Timothei, quia nunquam ab infirmitate reſpiravit, ſed hæc aſſiduè cum corpore nutriebatur. C Quòd ſi juſtus & ſanctus ille, quique orbis terrarum curam ſibi creditam habebat, & mortuos ſuſcitabat, & dæmones ejiciebat, atque innumeros in aliis morbos ſanabat, tam multa paſſus eſt mala; quam tu habiturus es excuſationem, qui in temporariis morbis tumultuaris & mœres? Ac filii quidem frequenter, cùm parentes ipſos etiam immeritò puniunt, id ſuſtinere monentur: tu verò non ſuſtinebis Deum, qui te caſtigat, quique magis quàm ipſi patres, te diligit, atque omnia D ad commodum tuum molitur? ſed licet exiguus aliquis ſit morbus, continuò è dominatu ipſius exilis & ad dæmones curris? Et quam habebis veniam? quomodo verò apud Chriſtum te excuſabis? quomodo in precibus eum invocabis? Qua conſcientia deinceps in Eccleſiam ingredieris? Quibus oculis aſpicies ſacerdotem? Qua manu ſacram menſam continges? Quibus auribus, quæ tibi leguntur, ſcripturas audies, ejuſmodi contra teipſum faciens iniquitates? Quomodo verò iterum E Deum invocare poteris? Imò verò neque alius, licet Moyſis habeat libertatem, pro te orare poterit. An non audis quid de Judæis dicat ad Jeremiam: *Noli orare pro populo iſto: quia ſi ſteterit Moyſes & Samuel, non exaudiam ipſos.* Et ſicut plagiarii placentas & bellaria, atque alia quædam ejuſmodi ſæpè parvis proponunt pueris, eoſq; ineſcantes & libertate & vita ipſa privant:

Ex expoſit. 1. ep. ad Theſſ.

Ex hom. contra Judæos.

A Διὰ γὰρ τοῦτο ὁ διάβολος μυρία ἐπάγει δεινά, ἵνα εἰς ἐκεῖνό σε καταγάγῃ τὸ βάραθρον. κἂν μὲν ἴδῃ βλασφημοῦντα, ῥᾳδίως αὔξει τὴν ἀλγηδόνα, καὶ μείζονα ποιεῖ, ἵνα κεντούμενος ἀποδυσπετήσῃς πάλιν. ἂν δὲ ἴδῃ γενναίως φέροντα, καὶ ὅσῳ τὸ πάθος ἐπιτείνεται, τοσούτῳ μᾶλλον εὐχαριστοῦντα τῷ Θεῷ, ἀφίσταται εὐθέως, ὡς εἰκῇ καὶ μάτην παρεδρεύων λοιπόν. τίνος γὰρ ἕνεκεν δυσχεραίνεις, ἄνθρωπε, καὶ βλασφημεῖς, ὅταν τι τῶν ἀδοκήτων περιπέσῃς ποτέ; μὴ γὰρ ἐὰν βλασ-B φημήσῃς, κουφότερον τὸ πάθος ποιεῖς; ἐπιτείνεις μὲν οὖν αὐτό, καὶ χαλεπωτέραν ἐργάζῃ μάλιστα τὴν ὀδύνην. ἀλλ' οὐ δύνασαι σιγᾷν ὑπὸ τῆς ὀδύνης κεντούμενος; ἀλλ' ἀντὶ τῆς βλασφημίας εὐχαρίστησον, εὐφήμησον, δόξασον τὸν Θεόν. ἂν μὲν γὰρ βλασφημήσῃς, καὶ τὴν τοῦ Θεοῦ συμμαχίαν ἀπεκρούσω, καὶ σφοδρότερον εἰργάσω κατά σου τὸν διάβολον· ἂν δὲ εὐχαριστήσῃς, τάς τε ἐπιβουλὰς ἀπεκρούσω τὰς τοῦ πονηροῦ δαίμονος, καὶ τὴν τοῦ κηδομένου Θεοῦ θεραπείαν πρὸς ἑαυτὸν C ἐπεσπάσω. ἀλλ' ὑπὸ τῆς συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶσσα τὸ πονηρὸν ἐκεῖνο φθέγξασθαι ῥῆμα; ἀλλ' ἐπειδὰν ὁρμήσῃ, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάδακε τοῖς ὀδοῦσιν αὐτὴν πάντοθεν σφοδρῶς. βέλτιον αὐτὴν αἱμαρρεῖν νῦν, ἢ κατ' ἐκείνην τὴν ἡμέραν σταγόνος ἐπιθυμοῦσαν, μὴ δυνηθῆναι τῆς παραμυθίας τυχεῖν, ὡς ἐπὶ τοῦ πλουσίου. βέλτιον αὐτὴν πρόσκαιρον ὑπομεῖναι πόνον, ἢ διηνεκῆ καὶ ἀθάνατα τηγανίζεσθαι τότε. ὅταν εἰς νόσον ἐμπέσῃς χαλεπὴν, καὶ D πολλοὶ παραγίνωνται ἀναγκάζοντες, οἱ μὲν ἐπῳδαῖς, οἱ δὲ περιάμμασιν, οἱ δὲ ἑτέροις τισὶ παραμυθήσασθαι τὸ κακόν· σὺ δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον ἐνέγκῃς γενναίως τὸν ἐκ τῆς νόσου πόνον, καὶ ἀκλινῶς, καὶ πάντα ἀνέλῃ παθεῖν ἢ ὑποστῆναί τι τῶν τοιούτων πρᾶξαι, τοῦτό σοι μαρτυρίου στέφανον φέρει. καὶ μὴ ἀμφίβαλλε. καθάπερ γὰρ ἐκεῖνος τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει γενναίως, ὥστε μὴ προσκυνῆσαι τὸ εἴδωλον· οὕτω καὶ σὺ τὰς ἀπὸ τῆς νόσου φέρεις ἀλγηδόνας, ὥστε μηδενὸς E δεηθῆναι τῶν παρ' ἐκείνου, μηδὲ πρᾶξαι ἅπερ ἐπιτάττει. ἀλλὰ σφοδρότεραι ἐκεῖναι; ἀλλ' αὗται μακρότεραι· ὥστε εἰς ἴσον καταλήγει, πολλάκις δὲ καὶ σφοδρότερον. ὅταν γὰρ καύσων ἔνδοθεν ἐνοχλῇ καὶ φλέγῃ, καὶ τῶν ἄλλων παραινούντων ἀποσείσῃ τὴν ἐπῳδὴν, οὐχὶ μαρτυρίου στέφανον ἀνεδήσω; ὅταν γὰρ ἐκβάλῃς τοὺς ἐπῳδοὺς μετὰ πολλῆς τῆς ὕβρεως ἐκ τῆς οἰκίας, πάντες ἀκούσαντες ἐπαινέσονται καὶ θαυμάσονται, καὶ πρὸς ἀλλήλους ἐροῦσιν· ὁ δεῖνα ἀρρωστῶν, μυρία παρακαλούντων τι-A νῶν καὶ παραινούντων καὶ συμβουλευόντων ἐπῳδαῖς χρήσασθαι μαγικαῖς τισιν, οὐ προσήκατο, ἀλλ' εἶπε· βέλτιον ἀποθανεῖν οὕτως, ἢ προδοῦναι τὴν εὐσέβειαν. εἰ δὲ ἐνταῦθα τοσοῦτοι ἔπαινοι, ἐννόησον πηλίκους ἐκεῖ λήψῃ στεφάνους, ὅταν τῶν ἀγγέλων παρόντων, τῶν ἀρχαγγέλων, παρελθὼν ὁ Χριστὸς καὶ τῆς χειρός σου λαβόμενος, εἰς μέσον παραγάγῃ τὸ θέατρον ἐκεῖνο, καὶ πάντων ἀκουόντων, εἴπῃ· οὗτος ὁ ἄνθρωπος πυρετῷ ποτε ληφθεὶς, μυρίων αὐτῷ παραινούντων ἀπαλλαγῆναι B τοῦ πυρετοῦ, διὰ τὸ ὄνομα τὸ ἐμὸν, καὶ τὸν φόβον τὸν εἰς ἐμὲ, ἵνα ἐν μηδενὶ προσκρούσῃ, διέσεισε καὶ ἠτίμασε τοὺς ὑπισχνουμένους αὐτὸν θεραπεύειν τούτῳ τῷ τρόπῳ· καὶ εἵλετο μᾶλλον ἐναποθανεῖν τῷ νοσήματι, ἢ προδοῦναι τὴν εἰς ἐμὲ εὔνοιαν. εἰ γὰρ τοὺς ποτίσαντας αὐτὸν καὶ θρέψαντας καὶ ἐνδύσαντας εἰς μέσον παράγει, πολλῷ μᾶλλον τοὺς δι' αὐτὸν ἑλομένους ἀνέχεσθαι πυρετοῦ. οὐ γάρ ἐστιν ἴσον δοῦναι ἄρτον καὶ ἱμάτιον, καὶ νόσον μακρὰν ὑπομένειν, ἀλλὰ πολλῷ μεῖζον τοῦτο ἐκείνου· C οὕτω καὶ ὁ στέφανος ἔσται λαμπρότερος. ταῦτα καὶ ὑγιαίνοντες λέγωμεν, καὶ πρὸς ἀλλήλους μελετῶμεν. ἀναμνήσθητι τοῦ μακαρίου Τιμοθέου, ὅτι οὐδέποτε ἐκ τῆς ἀρρωστίας ἀνέπνευσεν, ἀλλὰ σύντροφος ἦν διηνεκῶς τῷ σώματι. εἰ δὲ ὁ δίκαιος καὶ ἅγιος ἐκεῖνος, καὶ τὴν τῆς οἰκουμένης προστασίαν ἐγκεχειρισμένος, καὶ νεκροὺς ἐγείρων, καὶ δαίμονας ἐλαύνων, καὶ μυρία νοσήματα διορθωσάμενος ἐν ἑτέροις, τοσαῦτα ἔπασχε δεινὰ, τίνα ἕξεις ἀπολογίαν σὺ θορυβούμενος, καὶ D ἀσχάλλων ἐπὶ προσκαίροις νοσήμασι; καὶ υἱοὶ μὲν πολλάκις πατέρων οὐδὲ δεόντως κολαζόντων αὐτοὺς, ὑπομένειν κελεύονται· σὺ δὲ οὐκ ἀνέξῃ τοῦ Θεοῦ παιδεύοντός σε, τοῦ καὶ πατέρων μᾶλλόν σε φιλοῦντος, καὶ πάντα πρὸς τὸ συμφέρον πραγματευομένου, ἀλλὰ κἂν μικρά τις γένηται νόσος, εὐθέως ἀποπηδᾷς αὐτοῦ τῆς δεσποτείας, καὶ πρὸς τοὺς δαίμονας τρέχεις; καὶ ποίας τεύξῃ συγγνώμης; πῶς δὲ ἀπολογήσῃ τῷ Χριστῷ; πῶς αὐτὸν καλέσεις ἐν ταῖς εὐχαῖς; ποίῳ συνειδότι λοι-E πὸν ἐπιβήσῃ τῆς ἐκκλησίας; ποίοις ὀφθαλμοῖς ὄψει τὸν ἱερέα; ποίᾳ χειρὶ τῆς ἱερᾶς ἅψῃ τραπέζης; ποίαις ἀκοαῖς ἀκούσῃ τῶν ἀναγινωσκομένων ἐκεῖ γραφῶν, τοιαῦτα κατὰ σαυτοῦ πράττων παρανομήματα; πῶς δὲ δυνήσῃ τὸν Θεὸν παρακαλέσαι πάλιν; μᾶλλον δὲ οὐδὲ ἕτερος, κἂν τὴν Μωσέως ἔχῃ παρρησίαν, δυνήσεται περὶ σοῦ δεηθῆναι. ἢ οὐκ ἀκούεις τί περὶ τῶν Ἰουδαίων φησὶ πρὸς τὸν Ἱερεμίαν· μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου· ὅτι ἂν στῇ Μωσῆς καὶ Σαμουὴλ, οὐκ εἰσακούσομαι αὐτῶν. καὶ καθάπερ οἱ ἀνδραποδισταὶ πλακοῦντας καὶ τραγήματα, καὶ ἕτερά τινα τοιαῦτα πολλάκις, τοῖς μικροῖς προτείνοντες παιδίοις, καὶ δελεάζοντες τῆς ἐλευθερίας αὐτὰ καὶ τῆς ζωῆς ἀποστεροῦσιν αὐτά·

οὕτω

οὕτω δὴ καὶ οἱ γόητες, μέλους ἐπαγγελλόμενοι θεραπείαν, ὅλην τῆς ψυχῆς καταποντίζουσι τὴν σωτηρίαν. πολλοὶ δὲ τῶν εἰς ἐσχάτην ἀλογίαν ἐκπεπτωκότων, οὐ μόνον πλοῦτον καὶ δυναστείαν καὶ ὅσα τοιαῦτα παρὰ τοῦ θεοῦ τῶν ὅλων αἰτοῦσιν, ἀλλὰ καὶ τοῖς ἐχθροῖς ἐπαρῶνται, καί τινα τιμωρίαν ἐπενεχθῆναι αὐτοῖς ἱκετεύουσι· καὶ ὃν ἑαυτοῖς ἥμερον εἶναι καὶ φιλάνθρωπον εὔχονται, τοῦτον τοῖς ἐχθροῖς ἀνήμερον γενέσθαι καὶ ἀπάνθρωπον βούλονται. καὶ τὸν μὲν κυβερνήτην, οἱ πλέοντες οὐ κελεύουσι τοιῶσδε κατέχειν τοὺς οἴακας, καὶ τὸ σκάφος ἰθύνειν· ἀλλ' ἐπὶ τῶν καταστρωμάτων καθήμενοι τῆς ἐκείνου ἐπιστήμης ἀνέχονται, οὐ μόνον ἐξ οὐρίας φερομένης τῆς νηός, ἀλλὰ καὶ τὸν ἔσχατον κίνδυνον ἀπειλούσης· τῷ θεῷ δὲ μόνῳ τῷ τὰ συμφέροντα ἡμῖν ἀκριβῶς οἰκονομοῦντι παραχωρεῖν οὐκ ἀνέχονται, ἀρρωστοῦσιν ἐοικότες τῷ τὸν ἰατρὸν δοῦναι αὐτῷ παρακαλοῦντι, οὐχ ὅσα λύει τὴν νόσον, ἀλλ' ὅσα τρέφει τὴν ὕλην τὴν τῆς νόσου μητέρα. ἀλλ' οὐκ ἀνέξεται ὁ ἰατρὸς τῆς τοῦ κάμνοντος ἱκεσίας· ἀλλὰ κἂν δακρύοντα ἴδῃ καὶ ὀλοφυρόμενον, τῷ νόμῳ τῆς τέχνης ἀκολουθεῖ μᾶλλον, ἢ τοῖς τούτου δακρύοις ἐπικάμπτεται· καὶ τὴν ἀπείθειαν, οὐκ ἀπανθρωπίαν, ἀλλὰ φιλανθρωπίαν ὀνομάζομεν. πειθόμενος γὰρ τῷ νοσοῦντι καὶ τὰ πρὸς ἡδονὴν χαριζόμενος, τὰ πολεμίων εἰς αὐτὸν ἐργάζεται· ἀντιτείνων δὲ, καὶ τῇ ἐπιθυμίᾳ μαχόμενος τῇ ἐκείνου, ἐλέῳ κέχρηται καὶ φιλανθρωπίᾳ. ἀλλὰ καὶ οἱ φιλόστοργοι πατέρες τοῖς κομιδῇ νηπίοις μαχαίρας ἐπιζητοῦσιν, ἢ πυρὸς ἄνθρακας, οὐδαμῶς ὀρέγειν ἀνέχονται· ἴσασι γὰρ σαφῶς βλαβερὰν οὖσαν αὐτοῖς τὴν τούτων ἐπίδοσιν. οὕτω καὶ ὁ θεὸς τοῖς αἰτοῦσιν ὡς ὠφέλιμα τὰ ὀλέθρια, οὐκ ἀνέχεται δοῦναι, ὡς βλάβην αὐτοῖς γινώσκων ἐσόμενα. οἶμαι καὶ τοὺς ἀρχαίους τῶν ἰατρῶν οὐχ ἁπλῶς, οὐδὲ ἀλόγως νομοθετῆσαι, δημοσιεύεσθαι τὴν τῶν ποικίλων ἐργαλείων ἐπίδειξιν· ἀλλ' ἵνα τοὺς ὑγιαίνοντας ἀσφαλίζωνται, προδεικνύντες αὐτοῖς, ὅσων ἀτακτοῦντες δεήσονται. τὸν Χριστὸν τοίνυν καὶ γεέννης φοβερώτερον ἡμῖν εἶναι δεῖ, καὶ βασιλείας ποθεινότερον· κἂν νοσήσωμεν, βέλτιον ἐν τῇ ἀρρωστίᾳ μένειν, ἢ διὰ τὴν ἀπαλλαγὴν τῆς ἀσθενείας εἰς ἀσέβειαν καταπεσεῖν. κἂν γὰρ θεραπεύσῃ γόης, μείζω κατέβλαψεν ἢ ὠφέλησεν· ὠφέλησε μὲν γὰρ πολλάκις τὸ σῶμα, τὸ πάντως ἀποθανούμενον μικρὸν ὕστερον καὶ σήπεσθαι μέλλον, κατέβλαψε δὲ τὴν ψυχὴν τὴν ἀθάνατον. τὸν γὰρ οὐκ ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακα· ὁ μὲν οὖν μὴ ἔχων, οὔτε ἀπόλλυσιν, οὐκ εἰδὼς ὅπως χρήσεται· ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος. οὐκ ἄρα τὸ ὄνομα ἔχειν ἰατροῦ, ἰατρόν ἐστιν εἶναι. ἠκούσατε τὰ περὶ τοῦ Λαζάρου, πῶς λιμῷ, καὶ νόσῳ καὶ ἐρημίᾳ πάντα τὸν αὐτοῦ χρόνον ἐπάλαισεν, ὡς καὶ αὐτὴν τὴν ζωὴν καταλῦσαι ἐν τῷ τοῦ πλουσίου πυλῶνι, καταφρονούμενος, λιμώττων, τοῖς κυσὶ βορὰ προκείμενος; οὕτω γὰρ αὐτοῦ τὸ σῶμα παρεῖτο, ὡς μηδὲ τοὺς κύνας ἀποσοβεῖν δύνασθαι ἐπιόντας, καὶ τὰ τραύματα λειχμωμένους· ἀλλ' ὅμως οὐκ ἐπαοιδὸν ἐζήτησεν, οὐ πέταλα περιῆψεν, οὐ μαγγανείας ἐκίνησεν, οὐ γόητας πρὸς ἑαυτὸν ἐκάλεσεν, οὐκ ἄλλο τι τῶν κεκωλυμένων ἐποίησεν· ἀλλ' εἵλετο μᾶλλον ἐναποθανεῖν τοῖς κακοῖς ἐκείνοις, ἢ τῆς εὐσεβείας μικρόν τι προδοῦναι μέρος. τίνα οὖν ἕξομεν συγγνώμην ἡμεῖς, τοσαῦτα παθόντος ἐκείνου δεινὰ καὶ καρτερήσαντος, εἰ διὰ πυρετὸν ἢ τραύματα φαρμακοὺς καὶ γόητας εἰς τὰς οἰκίας καλοῦμεν τὰς ἑαυτῶν; πολλοὶ μὲν γὰρ πολλάκις ἀρρωστοῦσιν, ἀλλὰ τῆς ἀναγκαίας εὐποροῦσι τροφῆς. ἄλλοι πενίᾳ συζῶσιν ἐσχάτῃ, ἀλλ' ὑγιείας ἀπολαύουσιν. ὁ δὲ Λάζαρος οὕτως ἦν ἐξησθενηκώς, ὡς μηδὲ τοὺς κύνας ἀποσοβῆσαι δύνασθαι, ἀλλὰ νεκρὸς ἔμψυχος ἔκειτο. ἐπιόντας μὲν αὐτοὺς θεωρῶν, ἀμύνασθαι δὲ οὐκ ἰσχύων. οὕτως αὐτοῦ τὰ μέλη παρεῖτο, οὕτω τεταρίχευτο τῇ ἀρρωστίᾳ, οὕτω δεδαπάνητο τῷ πειρασμῷ. εἰ δὲ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον καὶ δεινόν, ὅταν ὁμοῦ συμπεπλεγμένα ᾖ, πῶς οὐκ ἀδάμας τις ἦν ὁ ταῦτα ὑπομένων· εἰ μὲν γὰρ ἐπὶ τῆς ἐρήμου καὶ τῆς ἀοικήτου κείμενος ταῦτα ἔπασχε, καὶ παρεωρᾶτο, οὐκ ἂν οὕτως ἤλγησε· τὸ γὰρ μηδένα παρεῖναι, καὶ ἄκοντα φέρειν ἔπειθε τὰ συμβαίνοντα· τὸ δὲ ἐν μέσῳ τοσούτων κείμενον καὶ εὐημερούντων, παρὰ μηδενὸς μηδὲ τῆς τυχούσης ἐπιμελείας τυγχάνειν, δριμυτέραν ἐποίει τῶν ὀδυνῶν γίνεσθαι τὴν αἴσθησιν. ἐννόησον οἷον εἰκὸς αὐτὸν εἶναι, ὁρῶντα παρασίτους, κόλακας, καταβαίνοντας, ἀναβαίνοντας, ἐξιόντας, εἰσιόντας, θορυβοῦντας, μεθύοντας. ἡμεῖς μὲν γὰρ, κἂν μυρία πάθωμεν δεινά, ἀλλ' ἔχομεν πρὸς ἐκεῖνον ἰδόντες, ἱκανὴν δέξασθαι παράκλησιν. τὸ γὰρ κοινωνοὺς εὑρίσκειν τῶν οἰκείων κακῶν, πολλὴν φέρει τοῖς ὀδυνωμένοις παράκλησιν· ἐκεῖνος δὲ οὐδένα ἕτερον εἶχεν ἰδεῖν τὸν τὰ αὐτὰ αὐτῷ παθόντα· ἀλλὰ καὶ μέχρι τοῦ παρόντος βίου πάντα ἐνόμιζε συγκεκλεῖσθαι πράγματα· τῶν γὰρ πρὸ τῆς χάριτος ἦν. εἰ δὲ νῦν ἐφ' ἡμῶν μετὰ τοσαύτην θεογνωσίαν, καὶ τὰς χρηστὰς τῆς ἀναστάσεως ἐλπίδας, καὶ τὰ ἡτοιμασμένα τοῖς κατορθοῦσιν ἀγαθά, οὕτω μικροψύχως τινὲς διάκεινται, ὡς μηδὲ ταύταις διορθοῦσθαι ταῖς προσδοκίαις, τί πάσχειν ἐκεῖνον εἰκὸς ἦν; ζηλώσωμεν

A ita ſanè incantatores, membri promittentes curationem, totam animæ ſalutem ſubmergunt. Multi verò ex iis qui in extremam dementiam deciderunt, non modò divitias & potentiam, & quæcunque ejuſmodi ſunt, à domino univerſorum petunt, ſed & inimicis maledicunt, & ut ſupplicium aliquod ipſis inferatur, ſupplices orant: & quem ſibi mitem eſſe ac clementem optant, hunc inimicis immitem fieri atque inclementem volunt. Et rectorem quidem navis non jubent navigantes tali B modo gubernacula tenere, & navem dirigere; ſed in foris ſedentes artem illius ſuſtinent, non modò cùm navis ſecundo vento provehitur, ſed cùm etiam extrema pericula minatur: Deo verò ſoli, commoda noſtra diligenter procuranti, cedere nolunt; ſimiles ægroto, qui medicum ſibi dare rogat, non quæ morbum tollant, ſed quæ materiam veluti matrem morbi alant. At non ſuſtinebit medicus ægrotantis preces: ſed quamvis lacrymantem videat & plorantem, artis tamen ſuæ legem C potiùs ſequitur, quàm ut hujus lacrymis flectatur, atque hanc contumaciam, non crudelitatem, ſed humanitatem appellamus. Si enim ægrotanti obſequatur, & quæ ei voluptati ſunt, concedat, hoſtiliter ſe in ipſum gerit: obnitens autem, & illius cupiditati repugnans, miſericordia utitur atque benignitate. Sed & parentes parvis ſuis infantibus cultros aut ignis carbones petentibus, nequaquam eos dare ſuſtinent: probè enim norunt, perniciosam ipſis eſſe horum conceſſionem. Eodem modo D Deus quoque iis, qui noxia tanquam utilia petunt, non ſuſtinet dare, cognoſcens, ipſis hæc damno futura. Exiſtimo etiam antiquos medicos non temerè & ſine cauſa lege ſanxiſſe, ut publicè diverſorum generum inſtrumenta demonſtrarentur: ſed ideò id factum, ut eos, qui ſani eſſent, cautos redderent, dum ipſis oſtenderent, quod opus habituri eſſent, ſi inordinatè viverent. Chriſtum igitur magis quàm gehennam timere nos oportet; magiſque quàm regnum deſiderare. Ac ſi morbo la-E boraverimus, melius eſt in infirmitate manere, quàm per liberationem ab imbecillitate in impietatem delabi. Etſi enim medeatur maleficus, plus tamen nocuit quàm profuit. Profuit enim ſæpè corpori, quod paulo poſt omnino mori & putrefieri debet, nocuit verò animæ quæ immortalis eſt. Eum enim, qui medicus non eſt: præſtat medicamenta non habere. Nam qui non habet, nec ſanat, nec perdit, ignorans quomodo utatur: quoniam non in medicinarum tantùm natura ſalus

Ex hom. in Pater noster.

A eſt, ſed & in arte afferentis. Non igitur medici nomen habere, eſt medicum eſſe. Audiviſti quæ de Lazaro dicta ſunt; quomodo cum fame & morbo & ſolitudine, per omne tempus ſuum luctatus eſt, ita ut & vitam ipſam in veſtibulo divitis finiret, neglectus, eſuriens, canibus eſca expoſitus? Adeò namque corpus ipſius debilitatum erat, ut ne abigere quidem poſſet canes invadentes; & vulnera lambentes: ſed tamen non quæſivit incantatorem, non applicavit folia, non magica movit, B non præſtigiatores ad ſe vocavit, non quicquam aliud vetitum fecit: ſed maluit immori malis illis, quàm exiguam prodere pietatis partem. Quæ igitur venia nobis dabitur, tantas adverſitates patiente illo, & tolerante fortiter; ſi propter febrem aut vulnera, veneficos, præſtigiatoréſque, domos noſtras accerſamus? Multi enim ſæpenumero ægrotant, ſed neceſſario alimento non egent. Alii in extrema paupertate vivunt, ſed bona valetudine fruuntur. Lazarus verò ita debilitatus e-C rat, ut ne canes quidem poſſet abigere, ſed mortuus ſpirans jacebat, invadentes quidem eos cernens, ſed arcere non valens. Ita ipſi membra debilitata erant, ita tabeſcebant adverſa valetudine, ita conſumebatur tentatione. Quòd ſi per ſe harum quidvis intolerabile & acerbum eſt; quando ſimul conjuncta ſunt, quomodo non adamas quiſpiam erat, qui ea ſuſtinebat? Nam ſi in ſolitudine & inhabitabili poſitus hæc paſſus eſſet, & neglectus fuiſſet, non ita doluiſſet: hoc ipſum etiam quòd nemo D adeſſet, etiam invitum adduxiſſet, ut ferret ea, quæ acciderent: Ei verò, qui in medio jacebat horum, quibus res erant ſecundæ, nulla, ne vulgari quidem, cura dignum haberi, acerbiorem dolorum ſenſum faciebat. Cogita, quonam modo affici eum par erat, cernentem paraſitos, adolatores deſcendentes, aſcendentes, exeuntes, introeuntes, tumultuantes, temulentos. Nos quidem certè etiamſi innumeras adverſitates patiamur, habemus tamen intuentes in illum, unde affatim ſolatii accipiamus. Nam ſocios E reperire ſuorum malorum, multum affert dolentibus ſolatii: Ille verò neminem alium videre potuit, qui eadem illa, quæ ipſe patiebatur, paſſus eſſet: quin etiam præſente hac vita, res præſentes concludi putabat. Erat enim ex iis, qui erant ante gratiam. Quòd ſi nunc noſtris temporibus poſt tantam Dei cognitionem, & bonas ſpes reſurrectionis, & præparata iis qui rectè agunt, bona, tam puſillo quidam ſunt animo, ut ne his quidem expectationibus corrigantur; quonam modo illum par fuit

Ex hom. in Divitem & Lazarum.

Luc. 16.

afficì? Imitemur Lazarum & divites & pauperes. Non enim unum, aut duo, aut tria duntaxat, ſed multo plura virtutis certamina ſubivit: paupertatem, ſolitudinem opitulatorum, adverſam valetudinem: quòd non duos tréſve dies, verùm per omnem vitam, & ſe in his, & divitem in contrariis videbat: quod alium Lazarum intueri non habebat: quòd nihil de reſurrectione philoſophari poterat: quòd cum prædictis malis, malam etiam ſuſpicionem apud vulgus hominum ex illis calamitatibus ſibi collegerat. Quam igitur defenſionem habebimus, ſi cùm hic omnia ſimul adverſa tam fortiter tulerit, nos ne dimidium quidem feramus? Non enim potes, non potes oſtendere, neque dicere alium quempiam, qui tot & talia paſſus ſit mala. Propterea namque ipſum Chriſtus in medium propoſuit, ut in quodcunque adverſitatis genus inciderimus, exuberantiam ultra id videntes, luculentum ex ipſius Philoſophia ſolatium & levamen accipiamus. Communis enim totius orbis terrarum magiſter propoſitus eſt iis, quicunque adverſi quid patiuntur, omnibus intuendum ſeſe exhibens, & omnes vincens malorum ſuorum exuberantia.

Ex hom. in Oziam.

Etenim ſapientes medici putrida membra ſecturi, aut lapides meatibus inhæreſcentes extracturi, aut aliud quodpiam naturæ peccatum correcturi, non in angulum abducto ægroto id faciunt: ſed cùm in medio foro eum propoſuerint, & theatrum ex prætereuntibus conſtituerint, ita demum ſectionem adhibent. Atque id faciunt non quòd velint humanis miſeriis inſultare, ſed ut eos qui aſpiciunt, in alienis corporibus doceant, multam ſanitatis ſuæ gerere providentiam.

Ex orat. in Statuas.

Cùm igitur videris juſtum premi & vexari, in adverſa valetudine & innumeris aliis adverſitatibus præſentem vitam finire, dic ad teipſum. Niſi eſſet reſurrectio & judicium, nequaquam Deus tanta mala paſſum, nullo bono fruitum ſineret hinc demigrare. Unde planum eſt, quod aliam ipſis vitam paravit, præſente hac ſuaviorem, & multo tolerabiliorem. Enimvero quanam id ratione conſiſteret, quod improbos multos præſentem hanc vitam in deliciis vivere permiſit, juſtos verò multos in innumerabilibus relinquit malis; cùm ſit & appellatur juſtus, novitque juſtè cuique pro meritis gratiam referre? Quem decet gloria, imperium, honor & adoratio, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

τοὺς Λάζαρον καὶ πλούσιοι, καὶ πένητες. οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς μόνον, ἀλλὰ καὶ πολλῷ πλείους ἄθλους ἀρετῆς ὑπέμεινε· τὴν πενίαν, τὴν ἐρημίαν τῶν προστησομένων, τὴν ἀρρωστίαν· τὸ μὴ μέχρι δύο καὶ τριῶν ἡμερῶν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, καὶ ἑαυτὸν ἐν τούτοις, καὶ τὸν πλούσιον ἐν τοῖς ἐναντίοις ὁρᾷν· τὸ μὴ πρὸς Λάζαρον ἕτερον ἔχειν ἰδεῖν· τὸ μηδὲν περὶ ἀναστάσεως δύνασθαι φιλοσοφεῖν· τὸ μετὰ τῶν εἰρημένων κακῶν, καὶ πονηρὰν παρὰ τοῖς πολλοῖς ἔχειν ὑπόληψιν ἀπὸ τῶν συμφορῶν ἐκείνων. τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰ τούτου πάντα ὁμοῦ δεινὰ μετὰ τοσαύτης φέροντος ἀνδρείας, ἡμεῖς μηδὲ τὸ ἥμισυ τούτου οἴσομεν; οὐ γὰρ ἔχεις, οὐκ ἔχεις δεῖξαι οὐδὲ εἰπεῖν ἄλλον τινὰ, τοσαῦτα καὶ τοιαῦτα πεπονθότα κακά. διὰ γὰρ τοῦτο αὐτὸν καὶ εἰς μέσον προήνεγκεν ὁ Χριστὸς, ἵνα ὅπερ ἂν ἐμπέσωμεν τῶν δεινῶν, ὁρῶντες παρὰ τούτῳ τὴν ὑπερβολὴν οὖσαν, ἱκανὴν ἐκ τῆς ἐκείνου φιλοσοφίας ἀναλαβώμεθα παράκλησιν καὶ παραμυθίαν. καὶ ἔστι γὰρ τῆς οἰκουμένης διδάσκαλος πρόκειται τοῖς ὁτιοῦν πάσχουσι δεινὸν, πρὸς αὐτὸν παρέχων πᾶσιν ὁρᾷν, καὶ πάντας νικῶν τῇ τῶν οἰκείων κακῶν ὑπερβολῇ. καὶ γὰρ οἱ σοφοὶ τῶν ἰατρῶν, ὅταν σεσηπότα μέλλωσι τέμνειν μέλη, ἢ λίθους τοῖς πόροις ἐναποφραττομένους ἐξέλκειν, ἢ ἄλλο τι τῆς φύσεως ἁμάρτημα διορθοῦν, οὐκ εἰς γωνίαν λαβόντες τὸν κάμνοντα τοῦτο ποιοῦσιν· ἀλλ' ἐν μέσαις αὐτὸν προθέντες ταῖς ἀγοραῖς, καὶ θέατρον ἐκ τῶν παριόντων περιστήσαντες, οὕτως ἐπάγουσι τὴν τομήν. ποιοῦσι δὲ τοῦτο, οὐχὶ τὰς ἀνθρωπίνας ἐμπομπεῦσαι βουλόμενοι συμφορὰς, ἀλλὰ τοὺς ὁρῶντας ἐν ἀλλοτρίοις παιδεύοντες σώμασι, πολλὴν τῆς οἰκείας ὑγιείας ποιεῖσθαι τὴν πρόνοιαν. ὅταν οὖν ἴδῃς δίκαιον συνεχόμενον, κακούμενον, ἐν ἀρρωστίᾳ καὶ μυρίοις ἑτέροις δεινοῖς τὸν παρόντα βίον καταλύσαντα, εἰπὲ πρὸς ἑαυτὸν, ὅτι εἰ μὴ ἀνάστασις ἦν καὶ κρίσις, οὐκ ἂν ὁ Θεὸς τοσαῦτα δι' αὐτὸν πεπονθότα κακὰ ἀφῆκε, μηδενὸς ἀπολαύσαντα ἀγαθοῦ, ἀπελθεῖν ἐντεῦθεν. ἐστὶν δῆλον, ὅτι ἑτέραν αὐτοῖς ἡτοίμασε ζωὴν, ἡδίω τῆς παρούσης, καὶ ἀνεκτοτέραν πολλῷ. ἐπεὶ πῶς ἂν ἔχοι λόγον, ὅτι τοὺς μὲν πονηροὺς εἴασε πολλοὺς τρυφᾶν κατὰ τὸν παρόντα βίον, τοὺς δὲ δικαίους πολλοὺς ἐν μυρίοις ἀφῆκε κακοῖς, δίκαιος ὢν καὶ ὀνομαζόμενος, καὶ δικαίως ἑκάστῳ κατὰ τὴν ἀξίαν ἀποδίδοσθαι εἰδώς; ᾧ πρέπει δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

De Mulieribus & Pulchritudine,

HOMILIA XL.

Edita primum anno. 1552. Baſil. Mar. Crom. interprete.

Hæc eſt pars illius homiliæ, quæ à Cromero Latinè verſa, inſcribitur, de pulchritudine & uxore.

MUlti ex iis, qui meretricibus adhærent, non modò æternam mortem inde ſubierunt, ſed & hic mali malè perierunt, ærumnas à meretricantibus mulieribus perpeſſi. Cùm enim contenderent illæ, ut adhærentem ſibi amore ſui penitus aſtringerent, magicas artes excitarunt, amatoria pocula appararunt, multáſque præſtigias conſarcinarunt: ita deinde in gravem morbum conjectum, & lui tabique lentæ traditum, ex hac vita ſuſtulerunt. Si igitur, homo, gehennam non metuis, at præſtigias earum metue.

Ex expoſ. Evang. Matth.

Cùm enim per hanc laſciviam, Dei auxilio te privaveris, & ſupernam opem tibi præcideris, ſuſcipiens, excluſo omni metu, meretrix, cùm dæmones ſuos invocarit, & folia ſcripſerit, & inſidias ſtruxerit, facilè ſanè tuam ſalutem opprimit, probrum te & ludibrium omnibus qui urbem inhabitant, conſtituens. Si igitur animum tuum oblectare vis, ne ad theatra eas, ſed ad viridaria, ad præterlabentem amnem, & ſtagna: perdiſce hortos, audi canentes cicadas: frequenta martyrum monumenta, ubi corporis ſanitas eſt, & animi emolumentum, & nocumentum nullum. Habes uxorem, habes liberos: quid par huic voluptati? Habes domum, habes amicos. Hæc multum jucunda ſunt, cum Temperantia, & lucrum præbent. Quid enim liberis dulcius, dic mihi? Quid verò uxore, ei qui temperans eſſe velit? Barbari ſanè, feruntur, quondam verbum Philoſophia plenum dixiſſe. Cum enim de exlegibus iſtis theatris, & importuna oblectatione audiviſſent: Romani, dicunt, quaſi liberos & uxores non habeant, ita hujuſmodi voluptates excogitarunt. Cum igitur venuſtam mulierem conſpexeris, fulgidum habentem oculum, vultu hilarè coruſcantem, eximium quendam decorem aſpectu præ ſe ferentem, urentem mentem tuam, & concupiſcentiam augentem; cogita terrã eſſe id, quod miraris; cinerem, quod te urit, & conquieſcet furens animus. Detege cutem

Περὶ Γυναικῶν καὶ κάλλους.

Λόγος ιδ'.

ΠΟΛΛΟΙ τῶν πόρναις προσεχόντων, οὐ τὸν αἰώνιον καὶ ἀθάνατον θάνατον μόνον ἐκεῖθεν ὑπέστησαν, ἀλλὰ καὶ ἐνταῦθα κακοὶ κακῶς ἀπώλοντο, περιεργίας ὑπομείναντες ὑπὸ τῶν πορνευομένων γυναικῶν. φιλονεικήσασαι γὰρ ἐκεῖναι τῷ αὐτῶν ἔρωτι προσδῆσαι τέλεον τοὺς αὐταῖς προσέχοντας, μαγγανείας ἐκίνησαν, καὶ φίλτρα κατεσκεύασαν καὶ πολλὰς γοητείας ἔρραψαν· εἶτα οὕτως εἰς ἀρρωστίαν αὐτὸν ἐμβαλοῦσαι χαλεπὴν, καὶ φθορᾷ παραδοῦσαι, κακῶς ἀπήνεγκαν τῆς παρούσης ζωῆς. εἰ τοίνυν μὴ φοβῇ τὴν γέενναν, ἄνθρωπε, κἂν τὰς γοητείας αὐτῶν φοβήθητι. ὅταν γὰρ σαυτὸν διὰ τῆς ἀσελγείας ταύτης ἔρημον ποιήσῃς τῆς τοῦ Θεοῦ συμμαχίας, καὶ γυμνώσῃς σαυτὸν τῆς ἄνωθεν βοηθείας, λαβοῦσά σε μετὰ ἀδείας ἡ πόρνη, καὶ τοὺς αὐτῆς καλέσασα δαίμονας καὶ τὰ πέταλα γράψασα, καὶ τὰς ἐπιβουλὰς ἐργασαμένη, μετὰ πολλῆς τῆς εὐκολίας περιγίνεταί σου τῆς σωτηρίας, ὄνειδός σε, καὶ γέλωτα, τοῖς τὴν πόλιν οἰκοῦσιν ἅπασι καταστήσασα. εἰ τοίνυν βούλει ψυχαγωγεῖσθαι, μὴ εἰς θέατρα βάδιζε, ἀλλ' εἰς παραδείσους, ἐπὶ παραρρέοντα ποταμὸν καὶ λίμνας· καταμάνθανε κήπους, ἄκουε τεττίγων ᾀδόντων· ἐπιχωρίαζε σηκοῖς μαρτύρων, ὅπου σώματος ὑγίεια καὶ ψυχῆς ὠφέλεια, καὶ βλάβος οὐδέν. ἔχεις γυναῖκα, ἔχεις παιδία· τί ταύτης τῆς ἡδονῆς ἴσον; ἔχεις οἰκίαν, ἔχεις φίλους. ταῦτα πολὺ τερπνὰ, μετὰ τῆς σωφροσύνης. καὶ τὸ κέρδος παρέχοντα· τί γὰρ παίδων γλυκύτερον εἰπέ μοι· τί δὲ γυναικὸς, τῷ σωφρονεῖν βουλομένῳ; λέγονται γὰρ βάρβαροί ποτε εἰπεῖν ῥῆμα φιλοσοφίας γέμον. περὶ γὰρ τῶν θεάτρων ἀκούοντες τῶν παρανόμων τούτων, καὶ τῆς ἀκαίρου τέρψεως, Ῥωμαῖοι, φησὶν, ὡς οὐκ ἔχοντες παιδία καὶ γυναῖκας, οὕτω τοιαύτας ἐπενόησαν ἡδονάς. ὅταν οὖν ἴδῃς γυναῖκα εὔμορφον, λάμποντα ἔχουσαν ὀφθαλμὸν, φαιδρὸν στίλβουσαν ἀπὸ τῆς ὄψεως, ἀμήχανόν τινα ὥραν ἐπὶ τῆς ὄψεως φέρουσαν, φλέγουσάν σου τὸν λογισμὸν, καὶ τὴν ἐπιθυμίαν αὔξουσαν· ἐννόησον ὅτι γῆ τὸ θαυμαζόμενον, ὅτι σποδὸς τὸ ἐκκαῖον, καὶ παύσεται λυττῶσα ἡ ψυχή. ἀνακάλυψον αὐτῆς τὸ

τὸ δέρμα τῆς ὄψεως· καὶ τότε πᾶσαν ὄψει τῆς εὐμορφίας τὴν εὐτέλειαν. A μὴ τῆς μέχρι τῆς ἐπιφανείας, ἀλλ' ἐνδοτέρω διάβηθι τῷ λογισμῷ, καὶ οὐδὲν ἕτερον εὑρήσεις, ἀλλ' ἢ ὀστᾶ καὶ νεῦρα καὶ φλέβας. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; λόγισαί μοι ταύτην ἀλλοιουμένην, γηράσκουσαν, ἀρρωστοῦσαν, ὑφιζάνοντας ὀφθαλμοὺς, καὶ κοιλαινομένας παρειάς, ἅπαν καταῤῥέον τὸ ἄνθος ἐκεῖνο· ἐννόησον ὃ θαυμάζεις, καὶ αἰσχύνθητί σου τὴν κρίσιν. πηλὸν θαυμάζεις καὶ σποδὸν καὶ κόνις σε ἐκκαίει καὶ τέφρα. ἡ γὰρ τοῦ βλεπομένου κάλλους ὑπόστασις οὐδὲν ἕτερον ἐστὶν ἢ φλέγμα, B καὶ ῥεῦμα, καὶ αἷμα, καὶ τροφῆς διαμασηθείσης χυλός. τούτοις γὰρ καὶ ὀφθαλμοὶ καὶ παρειαὶ καὶ τὰ λοιπὰ πάντα ἄρδεται. κἂν μὴ καθ' ἑκάστην ἡμέραν δέξηται τὴν ἄρδευσιν ἐκείνην ἀπὸ τῆς γαστρὸς καὶ τοῦ ἥπατος ἀνιοῦσαν, τοῦ δέρματος παρὰ τὸ προσῆκον ὑφιζάνοντος, τῶν ὀφθαλμῶν κοιλαινομένων, εὐθέως ἅπασα ἀφίπταται ἡ τῆς ὄψεως ὥρα. ὥστε ἂν ἐννοήσῃς, τί μὲν τῶν καλῶν ἔνδον ἀπόκειται ὀφθαλμῶν, τί δὲ τῆς εὐθείας ῥινός· τί δὲ τοῦ στόματος καὶ τῶν παρειῶν, οὐδὲν ἕτερον ἢ τάφον C κεκονιαμένον εἶναι φήσεις, τοῦ σώματος τὴν εὐμορφίαν· τοσαύτης ἔσωθεν ἀκαθαρσίας ἐστὶ μεστά. εἶτα ῥάκος μὲν ἰδὼν ἔχον τοιοῦτον, οἷον ἢ φλέγμα ἢ σίελον, οὐδὲ ἄκροις ψαῦσαι τοῖς δακτύλοις ὑπομένεις, ἀλλ' οὐδὲ ἰδεῖν ἀνέχῃ· πρὸς δὲ τὰ ταμεῖα τούτων καὶ τὰς ἀποθήκας ἐπτόησαι; ὁ τοίνυν φιλοσώματος καὶ πρὸς κόνιν ἐπτοημένος εὔμορφον, εἰ βούλοιτο μαθεῖν τῷ λόγῳ τὸ εἰδεχθὲς τῆς οὐσίας, δι' αὐτῆς αὐτὸ τῆς ὄψεως εἴσεται. καὶ γὰρ πολλαὶ τῆς ἐρωμένης ὁμήλικες, πολλάκις δὲ καὶ D λαμπρότεραι ἀποθανοῦσαι, μετὰ μίαν καὶ δευτέραν δυσωδίαν παρέσχον καὶ ἰχῶρα καὶ σηπεδόνα σκωλήκων. ἐννόησον τοίνυν οἷον κάλλος φιλεῖς, ἄνθρωπε, καὶ πρὸς ποίαν εὐμορφίαν ἐπτόησαι. τίς γὰρ ἀρετὴ ὀφθαλμῶν; ἆρα τὸ ὑγροὺς εἶναι καὶ εὐστρόφους, καὶ στρογγύλους καὶ κυανοῦς, ἢ τὸ ὀξεῖς καὶ διορατικούς; καὶ τίς ἀρετὴ λύχνων· τὸ λαμπρὰς φαίνειν καὶ πᾶσαν καταυγάζειν τὴν οἰκίαν, ἢ τὸ καλῶς πεπλάσθαι καὶ στρογγύλους εἶναι; οὐ γὰρ ἀπὸ τῆς διαπλάσεως, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ E τῆς κοσμιότητος τὸ κάλλος χαρακτηρίζεται. διὰ γὰρ τοῦτο τὸν ἀκολάστως εἰς γυναῖκα ὁρῶντα ἐκόλασεν ὁ Χριστὸς, ἵνα τοῦ πλείονος ἡμᾶς ἀπαλλάξῃ πόνου. οὐ γὰρ τοσοῦτος πόνος μὴ ὁρᾷν γυναῖκας ὡραίας, ὅσος ὁρῶντα κατέχειν. ὁ μὲν γὰρ μὴ ἰδὼν εὔμορφον ὄψιν, καὶ τῆς ἐπιθυμίας ἔσται τῆς ἐντεῦθεν καθαρός· ὁ δὲ ἐπιθυμήσας ἰδεῖν πρότερον καταβαλὼν τὸν λογισμὸν, καὶ μολύνας αὐτὸν μυριάκις, τότε τὴν ἀπὸ τῆς ἐπιθυμίας ἐκβάλλει κηλῖδα· ἐὰν ἄρα ἐκβάλλῃ. ὅταν οὖν καὶ ὁ πό- A νος ἐκεῖνος τοῖς ἀκολάστοις ἐλάττων ᾖ, καὶ τὸ κέρδος μεῖζον, τί σπουδάζομεν εἰς τὸ πέλαγος τῶν μυρίων ἐκείνων κακῶν ἐμπεσεῖν; ὅταν οὖν ἴδῃς γυναῖκα καλὴν, καὶ πάθῃς τι πρὸς αὐτὴν, μηκέτι ἴδῃς, καὶ ἀπηλλάγης. καὶ πῶς δυνήσομαι μηκέτι ἰδεῖν ὑπὸ τῆς ἐπιθυμίας ἑλκόμενος, φησίν; ἂν ἐννοήσῃς, ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ὁρώμενον, ἢ φλέγμα, καὶ αἷμα, καὶ τροφῆς διασεσηπυίας χυλός. ἀλλὰ φαιδρὸν τὸ ἄνθος τῆς ὄψεως φησιν. ἀλλ' οὐδὲν τῶν ἀνθέων τῶν ἐπὶ γῆς φαιδρότερον· B ἀλλὰ καὶ ταῦτα σήπεται καὶ μαραίνεται. μὴ τοίνυν μηδὲ ἐνταῦθα τῷ ἄνθει πρόσεχε, ἀλλ' ἐνδοτέρω διάβηθι τῇ διανοίᾳ, καὶ τὸ δέρμα τὸ καλὸν ἐκεῖνο περιελὼν τῷ λογισμῷ, περιεργάζου τὰ ὑπ' αὐτὸ κείμενα. ἐπεὶ καὶ τῶν ὑδεριώντων σῶμα ἀποστίλβει λαμπρὸν, καὶ οὐδὲν ἡ ἐπιφάνεια φαῦλον ἔχει· ἀλλὰ τῇ ἐννοίᾳ τοῦ ἔνδον ἀποκειμένου χυμοῦ πληττόμενοι, φιλεῖν τοὺς τοιούτους οὐ δυνάμεθα.

A vultûs ipſius, & tunc videbis omnem venuſtatis vilitatem. Ne ſubſiſtas ſuperficie tenus, ſed interiùs penetra cogitatione: nihil aliud invenies, quàm oſſa, & nervos, & venas. Sed non ſufficiunt iſta? Cogita mihi, eam alterari, ſeneſcere, ægrotare, ſubſidentes oculos, cavas genas, florem illum omnem defluentem: animadverte quid admireris, & pudeat te judicii tui. Lutum admiraris & ſtercus, & pulvis te urit atque cinis. Pulchritudinis enim ejus, quam aſpicis, ſubſtantia nihil aliud eſt quàm B pituita, diſtillatio, ſanguis, & manſi alimenti ſuccus. His enim & oculi, & genæ, & reliqua omnia rigantur. Quòd niſi quotidie rigationem illam accipiant, ab alvo & jecore prodeuntem, continuò omnis decor aſpectus avolat, ſubſidente plus æquo cute, & oculis in cavum recedentibus. Quocirca ſi tecum repotes, quidnam intra pulchros illos oculos ſubſit, quid intra rectum naſum, quid item intra os & genas, nihil aliud dicturus es eſſe venuſtatem corporis, quàm ſepulchrum calce illitum: Tantis C ſordibus intus plena eſt. Ergòne panniculum quidem, hujuſcemodi aliquid, velut pituitam vel mucum habentem ſi aſcias, ne extremis quidem digitis contrectare, imò nec aſpicere ſuſtines: ad horum autem cellas & horrea obſtupeſcis? Is igitur, qui corporis eſt amator, & ad venuſtum pulverem obſtupeſcit, ſi velit ſermone diſcere deformitatem ſubſtantiæ, eam ex ipſo aſpectu cognoſcet. Etenim multæ æquales amicæ illius, ſæpè verò ſplendidiores etiam, defunctæ, poſt unum atque alterum D diem fœtorem & ſaniem vermiúmque putredinem exhibuerunt. Cogita ergo, cujuſmodi pulchritudinem amas, ô homo, & ad qualem venuſtatem obſtupeſcis. Quæ enim eſt oculorum præſtantia? utrùm, ut humidi ſint & volubiles & rotundi, & nigri; an verò ut acuti ſint & perſpicaces? & quæ præſtantia lychnorum? ut clarè luceant & totam domum illuſtrent; an verò ut affabrè facti, & teretes ſint? Non enim à figura, ſed à moribus & honeſtate pulchritudo notatur. Propterea enim E Chriſtus intemperanter in mulierem aſpicientem caſtigavit, ut majore nos moleſtia liberaret. Neq; enim tantus eſt labor formoſas non aſpicere fœminas, quantus eſt continere, ſi aſpicias. Qui enim non videt formoſum vultum, etiam à cupiditate, quæ inde oritur, liber erit: qui autem videre deſideravit, ille cùm priùs mentem proſtravit, & decies millies eam inquinavit, tum demum maculam concupiſcentiæ ejicit; ſi quidem ejiciat. Cùm igitur & labor ille intemperantibus minor ſit, lucrum ve- A rò majus, quare in mare innumerabilium illorum malorum illabi contendimus? Cùm igitur pulchram videris mulierem, & erga eam affectus fueris, ne ampliùs intuearis, & liberaberis. Et quomodo, dicit aliquis, non amplius intueri potero, qui à cupiditate trahor? Si cogitaveris, id quod videtur aliud nihil eſſe, quàm pituitam & ſanguinem, & alimenti putrefacti ſuccum. Sed nitidus eſt, inquit, color faciei. At nihil floribus in terra nitidius: verùm & hi putreſiunt & marceſcunt. Ne igitur et- B iam ad hunc florem attende, ſed mente interiùs penetra, & pelle illa tam eleganti per cogitationem revulſa, diligentiùs quæ ſub ea latent, ſcrutare. Quoniam & hydrope laborantium corpus clarè renitet, nec quicquam ſuperficies mali habet; at cùm cogitatione intus reſidentis humoris percellimur, tales amare non poſſumus.

Ex orat. 1. ad Theod. lapſum fortè.

C

Περὶ πλεονεξίας. Λόγος α'.

ΤΙΝΟΣ ἕνεκεν ἀπὸ πλεονεξίας πλουτεῖν ἐπιθυμεῖς, ἄνθρωπε, ἵνα ἑτέροις μὲν τὸ χρυσίον ἀπόκειται καὶ τὸ ἀργύριον, σοὶ δὲ ἀραὶ καὶ κατηγορίαι; καὶ ὁ ἀποστερηθεὶς ὑπέρ τε τῆς ἀναγκαίας δάκνηται τροφῆς καὶ ὀλοφύρηται, καὶ μυρίους ἐφέλκηταί σοι κατηγόρους; καὶ ὃ τούτου πολὺ φρικωδέστερον, ὅταν κατὰ τὴν ἡμέραν ἐκείνην D πρὸ τοῦ βήματος τοῦ φοβεροῦ, ὁ κακῶς παθὼν καὶ τὰ αὐτοῦ πάντα ἀπολωλεκὼς παράγηται εἰς μέσον, σὺ μηδένα ἔχοντα συνήγορον, τί πρὸς τὸν δικάζοντα ἐρεῖς; νῦν μὲν γὰρ καὶ διαφθεῖραι τὸ δικαστήριον δυνήσῃ ἴσως, τὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ τότε οὐκ ἔτι. μᾶλλον δὲ οὐδὲ τοῦτο. καὶ γὰρ ὁ Θεὸς ὁρᾷ τὰ γινόμενα, καὶ ἐγγύθεν ἐστὶ τοῖς ἀδικουμένοις καὶ μὴ καλούμενος. ὁ γὰρ κακῶς παθὼν, κἂν αὐτὸς ἀνάξιος ᾖ τυχεῖν τινος ἐκδικήσεως· ἀλλ' ὅμως ἐπειδὴ τῷ Θεῷ τὰ γινόμενα οὐκ E ἀρέσκει, ἔχει τὸν ἀμυνοῦντα πάντως. καὶ μή μοι λέγε· πῶς ὁ δεῖνα εὐπραγεῖ πονηρὸς ὤν; εἰ γὰρ καὶ εὐπραγεῖ, ἀλλ' οὐκ εἰς τέλος. μὴ παραζήλου γάρ, φησι, ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. ἡ πλεονεξία, ζύμη τίς ἐστι παλαιὰ, καὶ ὅπουπερ ἂν ἐμπέσῃ καὶ εἰς οἵαν οἰκίαν εἰσέλθῃ, ἀκάθαρτον αὐτὴν ἐργάζεται· κἂν μικρὸν ἐξ ἀδικίας κερδάνῃς, ὁλόκληρόν σου τὴν οὐσίαν ἐζύμωσε.

De Avaritia.

HOMILIA XV.

Ex ed. Baſ. Mar. Cran. interprete. Ex ep. 1 ad Corint.

QUanam de cauſa ex avaritia diteſcere cupis homo, ut aliis quidem aurum & argentum reponatur, tibi verò diræ & accuſationes? & ut is, à quo abſtuliſti, alimenti indigentia mordeatur, & lamentetur, & innumeras accuſationes tibi con- D ciliet? Et quod horrendum eſt magis, quando ad illum diem ante terribile tribunal in medium producetur is, qui malo affectus eſt, & omnia ſua amiſit, tu autem nullum habebis advocatum, quid judicanti dices? Nunc enim vel corrumpere judicium hoc hominum poteris: tunc autem illud nequaquam. Imò ne hoc quidem. Etenim Deus videt ea quæ fiunt, & propè adeſt iis qui injuria afficiuntur, etiam non vocatus. Nam ſi cui malè fit, ut ip- E ſe quidem indignus ſit qui vindicetur; ſed tamen, quoniam ea quæ fiunt, Deo non placent, habet omnino ultorem. Nec mihi dicas: Quomodo ille proſpero rerum ſucceſſu fruitur, cùm ſit improbus? Ut enim fruatur: ſed non ad extremum uſque. Noli enim, inquit, æmulari in malignantibus; quoniam ut fœnum cito areſcent, & ut olera herbæ cito decident. Avaritia fermentum quoddam vetus eſt, quæ quocunq; inciderit, & quamcunque domum intraverit, impurum eam facit: etiamſi parum ex injuſtitia lucratus fueris, univerſas facultates tuas fermentavit.

Pro-

Propterea ſæpè pauca malè illata, multa bene repoſita ejecerunt bona. Quid igitur, inquit, quando ex multis avarè agentibus non omnes eadem patiuntur? Maximè verò patientur, etiamſi non mox in ipſo peccato patiantur. Quod ſi nunc effugerint, tunc verò magis metue: Majori enim ſupplicio aſſervantur. Quin, ſi ipſi effugerint, et hæredes earum eadem patientur. Et quomodo hoc juſtum eſt, inquit? Juſtum ſanè, etenim qui hæreditatem injuſtitia refertam accepit, etiamſi ipſe non rapuerit, ſed tamen probè novit aliena ſe habere, atque ideo dignus erat, qui pateretur. Hæc autem & externorum leges norunt, quæ omiſſis iis, qui

Ex expoſit. Evang. S. Joan.

repetunt & ſuſtulerunt, ab illis jubent repetere, apud quos repererit quis omnia. Si igitur quidem noviſti eos, qui injuria affecti ſunt, redde cum multo fœnore, quemadmodum Zacchæus: ſin minus noviſti, diſtribue illa inter egenos, & ſic malum relevabis. Nam ſi omnia aliena demus, nihil compendii faciemus. Judicat hoc Zecchæus, qui tum demum placare ſe Deum dixit,

Ex expoſit Evang. S. Matth.

cùm daret quadrupla eorum quæ abſtulerat. Nos verò cùm dena millia rapiamus, & pauca demus, placare nos Deum arbitramur. Si enim Caïn, quod minùs præcipua obtuliſſet, idque non injuria alterum afficiendo, extremum luit ſupplicium? nos cùm de rapina & avaritia offerimus, quomodo non graviora patiemur? Cur Dominum afficis contumelis, impura illi dona offerens? Non vult ali Chriſtus avaritia, neque hujuſmodi alimentum ſuſcipit. Melius eſt fame tabeſcentem negligere, quàm ab ejuſmodi ipſum alere. Melius eſt nihil, quàm aliena aliis dare. Dic enim mihi: ſi quos duos videres, alterum nudum, alterum verò veſtem habentem: deinde exuto eo, qui veſtem habebat, nudum veſtires, nonne injuſtè faceres? Cuilibet manifeſtum eſt. Quòd ſi omne id quòd abſtuliſti, alteri dans, tamen injuriatus, non miſeratus es: quod non expendes ſupplicium, ſi vix minimam partem eorum quæ rapuiſti, dederis, & eleemoſynam id

Ex Evang. S. Joan.

vocaveris? Si Lazarus nulla affectus injuria à divite, ſed quòd iis modò quæ illius erant, fruitus non eſt, acerbus illi extitit accuſator: qua defenſione utentur ii, qui præterquam non miſerantur

Ex ep 2. ad Olymp.

de ſuo, aliena etiam auferunt? Si illi qui Chriſtum eſurientem non aluerunt, cum diabolo inextinguibili igni addicuntur: quantum ſupplicii dependent ii, qui fame etiam eum enecant, per id quod rapiunt: & veſtitum denudant: & hoſpitem non modò non recolligunt, verum etiam abigunt: & infirmum non modò non viſitant, ſed magis etiam conterunt: & non ſolùm vinctum non cognoſcunt, verum etiam ſolutum in carcerem conjici curant? Si

Evang. S. Joan. οἱ μεν.

is qui diligentes ſe diligit, nihilo meliore erit conditione, quàm Ethnici: quam veniam obtinebit is, qui lædit eos, à quibus nulla injuria affectus eſt? Si qui ſua non impartitur, accuſatorem habet eum, cujus miſertus non eſt: quam veniam merebitur is, qui

Ex hom in Lazarum.

etiam aliena rapit? Non ſolùm enim aliena rapere, ſed etiam ſua non impartiri aliis, rapina eſt, & avaritia, & ſpoliatio. Si, qui

Ex expoſit Evang. S. Joan.

Chriſtum eſurientem non paverunt, tantum ignem in ſua capita attraxerunt, quod levamen conſequentur ii, qui nihil ad ſe pertinentia rapiunt, & aliena ſibi injuſtè acquirunt, & pupillorum ac viduarum domos evertunt? Perhorreſcamus itaque rem hanc, fugiamus peccatum. Fugiemus autem, ſi cogitemus eos, qui ante nos injuriam fecerunt, qui avari fuerunt, & deceſſerunt. Nonne facultatibus & laboribus eorum fruuntur alii, ipſi verò in cruciatu & ſupplicio ſunt, & incurabilibus malis? An non extremæ igitur dementiæ eſt, diſrumpi & affligi, ut viventes laboribus diſtineamur, & mortui intolerabiles cruciatus & ſupplicia

Ex expoſit. Annam.

perferamus? Quidnam ergo raptore miſerius? eo quòd collecta ſæpè inimici & hoſtes inter ſe partiuntur: ille verò accumulata ſibi ex his peccata auferens decedit, magna cum diligentia repoſcendus de iis quæ in illis deliquit. Quid igitur avaris fuerit ærumnoſius? quòd ad vitam ſuam omni morte ærumnoſiorem faciunt, cura & anxietate animi & perpetua vigilia ipſam depaſcente & paulatim abſumente; & omnem voluptatem, ac virtutis vitiique diſcrimen inde propellunt. Et in lucrando quidem, etiamſi omnia omnium acquirant, nullam ſentiunt voluptatem, eò quòd plura appetant: in detrimento verò accipiendo, cùm vel obolum amiſerint, omnium acerbiſſima ſeſe paſſos eſſe, & vitæ ipſa excidiſſe arbitrantur. Quòd ſi uxorem talis habeat, ſi liberos, ſi amicos, niſi undequaque lucrari ipſi liceat, omnibus qui natura ei hoſtes ſunt, hi magis hoſtes eſſe videntur. Jure quidam inquit; Avaro nihil eſſe crudelius. Nam qui ejuſmodi eſt, ſeſe vendit, & communis totius orbis terrarum inimicus obambulat; dolens, non terram pro ariſtis, & fontes pro fluentis, & montes pro lapidibus, aurum producere: aliorum ſucceſſibus ſeſe crucians, & in communibus bonis animum contrahens:

Ex expoſit. ep ad Rom.

Latina verſio indicat legendum; καὶ κακίας διαφορὰν, vide not. in fine.

A διὰ δὲ τοῦτο πολλάκις τὰ εἰσενεχθέντα κακῶς ὀλίγα, τὰ καλῶς κείμενα ἐξέβαλε πολλὰ ὄντα. τί οὖν, φησιν, ὅταν πολλοὶ πλεονεκτοῦντες, μὴ τὰ αὐτὰ πάσχωσι; μάλιστα μὲν πείσονται, κἂν μὴ παραυτὰ πάθωσιν. εἰ δὲ νῦν ἐκφύγωσι, τότε φοβήθητι μᾶλλον· ἐπὶ μείζονι γὰρ κολάσει τηροῦνται. μᾶλλον δὲ κἂν αὐτοὶ διαφύγωσιν, ἀλλ' οἱ κληρονομήσαντες αὐτῶν τὰ αὐτὰ πείσονται. καὶ πῶς τοῦτο δίκαιον, φησί; καὶ σφόδρα δίκαιον. καὶ γὰρ ὁ διαδεξάμενος κλῆρον ἀδικίας γέ-
B μοντα, εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅμως οἶδεν ἀκριβῶς, ὅτι τὰ ἑτέρων ἔχει. καὶ διὰ τοῦτο δίκαιος ἦν παθεῖν. ταῦτα δὲ καὶ οἱ τῶν ἔξωθεν ἴσασι νόμοι, οἱ τοὺς ἁρπάσαντας καὶ ἀφελομένους ἀφέντες, ἐκείνους κελεύουσιν ἀπαιτεῖν, παρ' οἷς ἂν εὕροι τις τὰ αὐτοῦ κείμενα ἅπαντα. εἰ μὲν οὖν οἶδας τοὺς ἠδικημένους, ἀπόδος μετὰ πολλῆς τῆς προσθήκης κατὰ τὸν Ζακχαῖον· εἰ δὲ ἀγνοεῖς, εἰς τοὺς δεομένους ταῦτα διάνειμαι, καὶ παραμυθήσῃ οὕτω τὸ δεινόν. ἐὰν γὰρ πάντα τὰ παρ' ἑτέρων δῶμεν,
C οὐδὲν κέρδος ἡμῖν. καὶ δείκνυσιν ὁ Ζακχαῖος, ὃς τότε ἔφησιν ἐξιλεοῦσθαι τὸν Θεόν, δοὺς τῶν ἀφαιρεθέντων τετραπλάσιονα. ἡμεῖς δὲ μυρία ἁρπάζοντες καὶ ὀλίγα διδόντες, νομίζομεν ἵλεων ποιεῖν τὸν Θεόν. εἰ γὰρ τὰ δεύτερα προσενεγκὼν ὁ Κάϊν, καὶ ταῦτα οὐδὲ ἠδικηκὼς ἕτερον, ἔδωκε δίκην ἐσχάτην· ὅταν ἐξ ἁρπαγῆς καὶ πλεονεξίας προσφέρωμεν, πῶς οὐ πεισόμεθα χαλεπώτερα; διὰ τί γὰρ τὸν δεσπότην ὑβρίζεις ἀκάθαρτα προσάγων αὐτῷ; οὐ βούλεται Χριστὸς πλεονεξίᾳ τρέφεσθαι, οὐδὲ δέ-
D χεται τοιαύτην τροφήν. βέλτιον λιμῷ τηκόμενον περιορᾶν, ἢ τρέφειν ἀπὸ τοιούτων αὐτόν. βέλτιον οὐδὲν δοῦναι, ἢ τὰ ἄλλων ἑτέροις. εἰπὲ γάρ μοι, εἰ ἴδοις τινὰς δύο, τὸν μὲν γυμνόν, τὸν δὲ ἱμάτιον ἔχοντα· εἶτα τὸν ἔχοντα τὸ ἱμάτιον ἀποδύσας περιβάλλεις τὸν γυμνόν, ἆρ' οὐκ ἠδίκησας; παντί που δῆλον. εἰ δὲ ὅπερ ἔλαβες ἑτέρῳ δοὺς ἅπαν, ἠδίκησας, οὐκ ἠλέησας· ὅταν μηδὲ τὸ πολλοστὸν μέρος δῷς ὧν ἁρπάζεις, καὶ ἐλεημοσύνην τὸ πρᾶγμα καλῇς, ποίαν οὐχ ὑποστήσῃ τιμωρίαν;
E εἰ ὁ Λάζαρος ἀδικηθεὶς μὲν οὐδὲν παρὰ τοῦ πλουσίου, μὴ ἀπολαύσας δὲ τῶν ἐκείνου, πικρὸς ἔστηκε κατήγορος· τίνος ἀπολογίας τεύξονται οἱ πρὸς τῷ μὴ ἐλεεῖν οἴκοθεν, καὶ τὰ ἀλλότρια λαμβάνοντες; εἰ οἱ μὴ θρέψαντες πεινῶντα τὸν Χριστόν, μετὰ τοῦ διαβόλου καταδικάζονται τῷ πυρὶ τῷ ἀσβέστῳ· οἱ καὶ λιμῷ αὐτὸν παραδιδόντες δι' ὧν ἁρπάζουσι, καὶ ἐνδεδυμένον γυμνοῦντες, καὶ ξένον ὄντα οὐ μόνον συναγαγόντες, ἀλλὰ καὶ ἐλάσαντες, καὶ ἀρρωστοῦντα οὐ μόνον οὐκ ἐπι-
A σκεψάμενοι ἀλλὰ καὶ ἐπὶ πλεῖον συντρίψαντες, καὶ οὐ μόνον δεδεμένον οὐκ ἰδόντες, ἀλλὰ καὶ λελυμένον εἰς δεσμωτήριον παρασκευάσαντες ἐμβληθῆναι, πόσην ὑποστήσονται τιμωρίαν; εἰ ὁ τοὺς φιλοῦντας ἀγαπῶν, οὐδὲν ἄμεινον τῶν ἐθνικῶν διακείσεται· ὁ τοὺς μηδὲν ἠδικηκόσιν ἐπηρεάζων, ποίαν ἕξει συγγνώμην; εἰ ὁ τῶν ἑαυτοῦ * μεταδιδοὺς κατήγορον ἔχει τὸν οὐκ ἐλεηθέντα· ὁ καὶ τὰ ἀλλότρια ἁρπάζων ποίας τεύξεται συγγνώμης; οὐ γὰρ τὸ ἀλλότρια ἁρπάζειν
B μόνον, ἀλλὰ καὶ τὸ τῶν ἑαυτοῦ μὴ μεταδιδόναι ἑτέροις, καὶ τοῦτο ἁρπαγή, καὶ πλεονεξία, καὶ ἀποστέρησίς ἐστιν. εἰ μὴ οἱ θρέψαντες πεινῶντα τὸν Χριστὸν τοσοῦτον ἐπὶ τὴν κεφαλὴν αὐτῶν εἵλκυσαν πῦρ· οἱ καὶ τὰ μηδὲν αὐτοῖς προσήκοντα ἁρπάζοντες, καὶ τὰ ἑτέρων ἀδίκως περιβαλλόμενοι, καὶ τὰς τῶν ὀρφανῶν καὶ χηρῶν ἀνατρέποντες οἰκίας, ποίας ἀπολαύσονται παραμυθίας; φρίξωμεν τοίνυν τὸ πρᾶγμα. φύγωμεν τὴν ἁμαρτίαν. φύγοιμεν δέ, ἂν ἐννοήσωμεν
C τοὺς πρὸ ἡμῶν ἀδικήσαντας, τοὺς πλεονεκτήσαντας καὶ ἀπελθόντας. οὐχὶ τῶν μὲν χρημάτων αὐτῶν καὶ πόνων ἀπολαύουσιν ἕτεροι· αὐτοὶ δὲ ἐν κολάσει, καὶ τιμωρίᾳ, καὶ τοῖς ἀνηκέστοις κακοῖς; πῶς οὖν οὐκ ἐσχάτης ταῦτα ἀνοίας, κόπτεσθαι καὶ ταλαιπωρεῖν, ἵνα καὶ ζῶντες τοῖς πόνοις κατατεινώμεθα, καὶ ἀπελθόντες τὰς ἀφορήτους ὑπομένωμεν κολάσεις καὶ τιμωρίας; τί τοίνυν τοῦ ἅρπαγος ἐλεεινότερον γένοιτ' ἄν; ὅταν τὰ μὲν συλλεγέντα ἅπαντα πολλάκις
D ἐχθροὶ καὶ πολέμιοι πρὸς ἀλλήλους διενείμαντο· τὰ δὲ ἐκ τούτων ἐπισωρευθέντα αὐτῷ ἁμαρτήματα λαβὼν ἄπεισι, τὰς ὑπὲρ τούτων παρανομίας μετὰ πολλῆς ἀπαιτούμενος τῆς ἀκριβείας. ἆρα οὐ τῶν πλεονεκτῶν γένοιτ' ἂν χαλεπώτερον, οἳ καὶ τὴν ζωὴν αὐτῶν θανάτου παντὸς χαλεπωτέραν ἐργάζονται, τῆς φροντίδος καὶ τῆς ἀθυμίας καὶ τῆς διηνεκοῦς ἀγρυπνίας κατεσθιούσης αὐτήν, καὶ κατὰ μικρὸν δαπανώσης, καὶ πᾶσαν ἡδονήν, καὶ ἀρετῆς * κακίας ἐντεῦθεν ἐλαύνοντες. καὶ ἐν
E μὲν τῷ κερδαίνειν κἂν τὰ πάντα περιβάλωνται, οὐδεμιᾶς αἰσθάνονται ἡδονῆς, τῷ τῶν πλειόνων ἐφίεσθαι· ἐν δὲ τῷ ζημιοῦσθαι, κἂν ὀβολὸν ἀπολέσωσι, πάντων ἡγοῦνται χαλεπώτερα πεπονθέναι, καὶ αὐτῆς ἐκπεπτωκέναι νομίζουσι τῆς ζωῆς. κἂν γυναῖκα τοιοῦτος ἔχῃ, κἂν παιδία, κἂν φίλους· ἂν μὴ πάντοθεν ἐξῇ κερδαίνειν αὐτῷ, τοὺς φύσει πολεμίων αὐτῷ, οὗτοι πολεμιώτεροι φαίνονται. δικαίως τίς φησι, εἶναι φιλαργύρου μηδὲν ὠμότερον. ὁ γὰρ τοιοῦτος καὶ ἑαυτὸν ἀποδίδοται, καὶ κοινὸς περιέρχεται τῆς οἰκουμένης ἐχθρός, ἀλγῶν ὅτι μὴ χρυσίον φέρει ἀντὶ τῶν ἀσταχύων ἡ γῆ, καὶ ἀντὶ τῶν ναμάτων αἱ κρῆναι, καὶ ἀντὶ τῶν λίθων τὰ ὄρη· δυσχεραίνων πρὸς τὴν ἄλλων εὐετηρίαν, ἐν τοῖς κοινοῖς ἀγαθοῖς συστελλόμενος·

πᾶσαν

πᾶσαν ἀποστρεφόμενος πρόφασιν, ὅθεν οὐκ ἔστιν ἀργύριον λαβεῖν. πάντα ὑπομένων ὅθεν καὶ δύο συλλέξαι μόνον ὀβολοὺς ἔστι· ἅπαντας μισῶν, τοὺς πένητας, τοὺς πλουτοῦντας· τοὺς μὲν μή ποτε προσελθόντες αἰτήσωσι· τοὺς δὲ, ὅτι μὴ τὰ ἐκείνων ἔχει· ἅπαντας τὰ αὐτοῦ νομίζει κεκτῆσθαι, καὶ ὡς παρὰ πάντων ἠδικημένος, οὕτω πρὸς ἅπαντας διάκειται. καὶ ὅπερ ἐστὶ μαινομένῳ ξίφος, τοῦτο καὶ φιλαργύρῳ πλοῦτος, μᾶλλον δὲ καὶ χαλεπώτερον. ὁ μὲν γὰρ μαινόμενος τὸ ξίφος λαβὼν καὶ ὤσας δι' ἑαυτοῦ, τῆς τε μανίας ἀπηλλάγη, καὶ οὐκ ἔτι δευτέραν λαμβάνει πληγήν· ὁ δὲ φιλάργυρος μυρία χαλεπώτερα ἐκείνου τραύματα καθ' ἑκάστην δέχεται τὴν ἡμέραν, οὐκ ἀπαλλάττων τῆς μανίας ἑαυτὸν, ἀλλ' ἐπιτείνων μᾶλλον· καὶ ὅσῳπερ ἂν λάβῃ πλείονα τραύματα, τοσούτῳ μᾶλλον ὑπόθεσιν ἑτέρας παρέχει πληγῆς χαλεπωτέρας. τί τοίνυν τοῦ πλεονέκτου γένοιτ' ἂν χαλεπώτερον; ὅτι μετὰ τὸ τὴν ψυχὴν ἀπολέσαι τὴν ἑαυτοῦ, καὶ τὸ σῶμα μυρίαις κατατείνας φροντίσι, καὶ τρυφῆς, καὶ ἡδονῆς καὶ δόξης ἁπάσης ἐστέρηται, δι' ἣν μάλιστα πολλὰ ἁμαρτάνουσιν ἄνθρωποι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι μηδὲν ἠδικημένος κατὰ τῶν οὐδὲν ἠδικηκότων ἐκθηριοῦται καὶ ὁπλίζεται, καὶ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας τὰ καλὰ, πρὸς πάντας ἐκπεπολέμωται. οἱ μὲν γὰρ ἀδικούμενοι μισοῦσιν αὐτὸν ἅτε καὶ κακῶς παθόντες· οἱ δὲ μηδέπω παθόντες, δεδοικότες μὴ πάθωσι, καὶ συναλγοῦντες τοῖς πεπονθόσι, τὸν αὐτὸν ἐπιδείκνυνται πόλεμον. οἱ δὲ μείζους καὶ δυνατώτεροι δακνόμενοι καὶ ἀγανακτοῦντες ὑπὲρ τῶν ταπεινοτέρων, ἔτι δὲ καὶ βασκαίνοντες, ὁμοίως εἰσὶν ἐχθροὶ καὶ μισοῦσι. καὶ τί λέγω πρὸς τοὺς ἀνθρώπους; ὅταν γὰρ καὶ τὸν Θεὸν ἐκπεπολεμωμένον ἔχῃ, τίς αὐτῷ λοιπὸς ἐλπὶς ἔσται ἢ παραψυχή; τοῦτο πλοῦτος ἀδικεῖν, εἰπέ μοι; τοῦτο οὐ χαλεπώτερον καταδίκης; ὁ κατάδικος δέδεται σῶμα, οὗτος δέδεται τὴν ψυχήν. ὁρᾷς αὐτὸν δεσμώτην, καὶ οὐκ ἐλεεῖς αὐτόν; διὰ τοῦτο αὐτὸν, φησὶ, μισῶ, ὅτι δέδεται οὐκ ἀνάγκῃ, ἀλλὰ προαιρέσει τὴν ἅλυσιν ἐπισπασάμενος. πάλιν σὺ πρὸς τοὺς πλουτοῦντας· πάλιν ὑμεῖς κατὰ τῶν ἁρπαζομένων. ὑμεῖς οὐ κορέννυσθε ἐσθίοντες, καὶ καταδάκνοντες τοὺς πένητας· καὶ ἐγὼ οὐ κορέννυμαι διορθούμενος ὑμᾶς. ἀεὶ σὺ τοῖς πλουσίοις κεκόλλησαι, ἀεὶ καὶ σὺ τῷ πένητι κεκόλλησαι. ἀπόστηθι τοῦ προβάτου μου, ἀπόστηθι τοῦ ποιμνίου μου. εἰ δὲ λυμαίνῃ μου τὸ ποίμνιον, ἐγκαλεῖς, ὅτι διώκω σε· εἰ δὲ διώκω σε, σαυτὸν αἰτιῶ ὅτι λύκος ἐγένου. ἐὰν μὲν βασιλεὺς κελεύσῃ ἀπέχεσθαι τῶν ἑτέρου χρημάτων, μᾶλλον δὲ καὶ τὰ αὐτῶν δοῦναι, πάντες ὁμοίως εἰσφέρομεν· τοῦ δὲ Θεοῦ κελεύοντος μὴ ἁρπάζειν, οὐκ ἀνεχόμεθα, ἀλλὰ προτιμῶμεν τοῦ Θεοῦ τοὺς ἀνθρώπους. καὶ πῶς οὐ δεινόν; εἰ γὰρ καὶ ἐξ ἴσου τιμῶντες ἄνθρωπον τῷ Θεῷ, ὑβρίζομεν τὸν Θεόν· πόσῳ μᾶλλον, ὅταν προτιμῶμεν ἀνθρώπους; βαρὺ τὸ ῥῆμα καὶ ἐπαχθὲς· οἶδα κἀγώ. ἀλλὰ δείξατε ὅτι φορτικὸν, φυγόντες τὸ ἔργον· εἰ δὲ τὸ ἔργον οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δυνάμεθα λέγουσιν, ὅτι τὰ ῥήματα δεδοίκαμεν, καὶ βαρεῖς ἡμεῖς; ὑμεῖς ἑαυτοὺς τοῖς ἔργοις βαρεῖτε, καὶ οὐδεὶς λόγος. ἐγὼ δὲ ἂν τὰ ῥήματα εἴπω, ὧν ὑμεῖς τὰ πράγματα πράττετε, ἀγανακτεῖτε; καὶ πῶς οὐκ ἄτοπον; γένοιτο ψεῦδος εἶναι τὰ παρ' ἐμοῦ λεγόμενα. βούλομαι αὐτὸς λοιδορίας δόξαν λαβεῖν κατ' ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῇ καὶ μάτην λοιδορησάμενος ὑμῖν, ἢ ὑμᾶς ἰδεῖν ὑπὲρ τούτων * ἐγκαλουμένους. ὁ γὰρ ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται. καὶ καθάπερ αἱ ὠδίνουσαι γυναῖκες ὑπὸ τῶν ὀδυνῶν διαρρήγνυνται· οὕτω καὶ ὁ δόλον ἐργαζόμενος, πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς διασπᾶται καὶ ὀδυνᾶται· καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς δριμύτητος. κἂν γὰρ μυριάκις πονηρός τις ᾖ, τὸ κριτήριον τοῦ συνειδότος οὐ διαφθείρεται· φυσικὸν γάρ ἐστι καὶ παρὰ τοῦ Θεοῦ ἡμῖν παρὰ τὴν ἀρχὴν ἐντεθέν· κἂν μυρία φιλονεικήσωμεν, ἐφέστηκεν ἐκεῖνο καταβοῶν, κολάζον, καταδικάζον. καὶ οὐκ ἔστιν οὐδεὶς τῶν ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίαν ὀδύνην ὑπομένει, καὶ βουλευόμενος τὰ κακὰ, καὶ εἰς ἔργον ἐκφέρων τὴν βουλήν. τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον; ἀλλ' ὅμως ἐκεῖνος ἐπιθυμήσας τοῦ ἀμπελῶνος, ἐννόησον πόσην ὀδύνην ἔσχε. βασιλεὺς γὰρ ὢν καὶ πάντων κρατῶν, καὶ οὐδένα ἔχων τὸν ἀντιλέγοντα, ἐπειδὴ τοῦ συνειδότος τὴν ψῆφον οὐκ ἤνεγκεν, εἰσῆλθε σκυθρωπάζων, κατωκνώστων, συγκεχυμένος, πολλὴν ἀχλὺν ἐπὶ τῆς ὄψεως φέρων, τῆς ἀπὸ τοῦ συνειδότος καταδίκης τὸν ἔλεγχον ἐπὶ τοῦ προσώπου κηρύττων, τὸ οὐ δυνάμενος συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας ἐγγινομένην αὐτῷ ὀδύνην. βούλεσθε γνῶναι σαφῶς, πῶς οὐκ ἀφίησιν ἀνθρώπους εἶναι τοὺς ἀνθρώπους ὁ πλοῦτος, ἀλλὰ θηρία καὶ δαίμονας; αὐχμὸς κατέλαβέ ποτε τὴν πόλιν τὴν ἡμετέραν· καὶ ἦν ἰδεῖν χαλκοῦν τὸν οὐρανὸν γεγενημένον, καὶ τὸν θάνατον τὸν ἁπάντων θανάτων χαλεπώτερον καθ' ἑκάστην προσδοκώμενον τὴν ἡμέραν, καὶ Θεὸν παρακαλούμενον λῦσαι τοῦτο τὸ δέος· ὁ δὲ τῇ φιλανθρωπίᾳ παρ' ἐλπίδα ἅπασαν, πολὺς καὶ ἄπειρος ὑετὸς ἄνωθεν κατεφέρετο. πάντων οὖν ἐν πανηγύρει καὶ ἑορτῇ κατεστηκότων, ἅτε ἐξ αὐτῶν ἀναβάντων τῶν τοῦ θανάτου πυλῶν, τῶν πλουτούντων τις, συννοὼς, κατηφὴς ἀποτεθνηκὼς, ὑπὸ ἀθυμίας περιῄει· καὶ πολλῶν τὴν αἰτίαν πυνθανομένων, οὐδὲ κατασχεῖν ἔνδον ἴσχυσε,

omnem occaſionem averſans, unde argentum ſumere non licet: omnia perferens, unde vel duos obolos corradere liceat: omnes peroſus, pauperes juxta ac divites: illos quidem, ne accedentes ſtipem poſcant: hos verò, quòd non ea quoque quæ illi habent, habeat. Omnes ſua poſſidere putat, & quaſi eb omnibus injuria afficiatur, ita in omnes animatus eſt. Et quod furenti gladius eſt, hoc cupido divitiæ, imò verò longè acerbius quiddam. Nam is qui furit, accepto & adacto in ſeipſum gladio, & furore ſe liberat, & alteram plagam non accipit: cupidus verò dena millena vulnera graviora, quàm ille, quotidie accipit, non liberans ſe furore, ſed intenſiorem eum efficiens: & quo plura accepit vulnere, eo magis materiam aliis præbet gravioris plagæ. Quid igitur avaro ærumnoſius fuerit? quando is præterquam quòd animam ſuam perdit, etiam corpus innumerabilibus curis extenuat, etiam alimento, & voluptate, & honore, & gloria, propter quam multa imprimis peccant homines, ſeſe defraudat. *Ex expoſit. Evang. S. Ioan.* Et quod durius eſt, nihil læſus efferatur & armat ſe in eos, qui ipſum neutiquam læſerunt, & honeſta omnia ab animo projiciens, omnibus hoſtis efficitur. Nam qui injuria ab ipſo affecti ſunt, oderunt eum, utpote malo affecti. At qui nihil etiamdum paſſi ſunt, metuentes ne patiantur, & eorum qui paſſi ſunt, vicem dolentes, eandem hoſtilitatem præ ſe ferunt. Majores porrò atque potentiores, quòd mordeantur & indignentur pro humilioribus, imò verò invidentes etiam, juxta, inimicitiis eum odio proſequuntur. Sed quid loquor de hominibus? cùm Deum etiam infeſtum habeat, quæ ſpes ei reliqua erit, aut quæ conſolatio? Hocne ſunt divitiæ, injuriam facere, dic mihi? Non hoc acerbius eſt, quàm pœnæ ſervum eſſe? Nam pœnæ quidem ſervus corpus vinctum habet, hic verò animum. Vides ipſum vinctum, & non miſereris? Propterea, inquit, eum odi, qui e vinctus eſt non neceſſitate, ſed ultrò, voluntate ſua catenam ſibi ettrahens. Rurſus tu adverſus divites; rurſus vos adverſus eos qui diripiuntur. Vos non ſatiamini edendo, & commordendo pauperes: neque ego ſatior vos corrigendo. Semper tu divitibus inhæres: ſemper & tu pauperi inhæres. Abſtine ove mea: ebſtine grege meo. Quòd ſi vaſtas gregem meum, ſuccenſes, quòd te perſequar? Si verò perſequar te, tibi ipſi imputa, quia lupus factus es. Si Rex quidem jubeat alterius pecuniis abſtinere, imò verò etiam ſuas dare, omnes ſimiliter conferimus: Deo verò mandante ne quis rapiat, non ferimus, ſed homines pluris facimus quàm Deum. Et quomodo hoc indignum non eſt? Si enim æqualem homini cum Deo tribuentes honorem, ignominia Deum afficimus: quanto magis, ſi homines præferamus? *Ex epiſt. ad Philem.* Grave eſt hoc verbum & moleſtum: Scio & ego, ſed oſtendite moleſtum eſſe, ipſum opus fugiendo: Quòd ſi factum non timeatis, quomodo vobis credere poſſum dicentibus, vos verba timere, & nos graves eſſe? ipſimet vos factogravatis, nullus vero ſermo. Quid ſi ego verba proferam, quorum vos opera facitis, indignamini? Et quomodo hoc ebſurdum non eſt? Utinam falſa ſint, quæ à me dicta ſunt. Malo ipſemet calumniator videri in illa die, tanquam vos temerè & ſine cauſa reprehendiſſem, quàm videre vos de iſtis reos peragi. Qui enim proximo foveam fodit, incidet in eam. *Ex interpr. Pſal. 7.* Et quemadmodum mulieres parturientes doloribus diſrumpuntur: ſic qui fraudem facit, antequam proximum injuria efficiat, ipſe prius diſcerpitur & dolore cruciatur: idque non quomodocunq;, ſed multa cum acerbitate. Etiamſi enim decies millies quis improbus ſit, judicium conſcientiæ tamen non corrumpitur: naturale enim eſt, & à Deo nobis ab initio inditum. Etiamſi in infinitum contendamus, illud eſtabit contra clamans, caſtigans, condemnans. Nec quiſquam eſt ex iis qui in vitio vitam agunt, qui non immenſum dolorem ferat, & quando de malis perpetrandis conſilium in opus educit. Quid enim Achab improbius? Et tamen is, cùm vineam concupiviſſet, animadverte, quantum dolorem ceperit. Rex igitur cum eſſet, & omnibus dominaretur, nec haberet quemquam contradicentem, tamen cùm conſcientiæ calculum non ferret, ingreſſus eſt triſtis, demiſſo vultu, confuſus, multam caliginem ferens in oculis, conſcientiæ condemnantis ſe, redargutionem vultu prædicans; nec valens tegere dolorem, qui ex mœſtitudine in eo exiſtebat. Vultis liquido noſſe, quomodo divitiæ homines non ſinant eſſe homines, ſed feras atque dæmonas? *Ex ep. 1. ad Corinth.* Siccitas quondam occuparat civitatem noſtram, & videre erat cœlum factum æneum, & mortem omnium graviſſimam indies expectari, Deúmque invocari, ut metu illo liberaret: Cujus benignitate, præter omnem ſpem multa & immenſa pluvia supernè decidit. Omnibus igitur celebritatem & feſtum diem agentibus, quippe qui ab ipſis portus mortis reverterentur, dives quidam triſtis, dejecto animo, mœrore mortuus obambulabat.

labat. Cúmq; multi eum cauſam rogarent, ne continere quidem intus potuit, ſed eum tyrannide acerbi iſtius morbi pungeretur, cauſam in medium protulit: Decies enim mille, inquit, frumenti menſuris deinceps quid faciam, non habeo. Quid ais? Doles quòd non omnes perierint, ut tu aurum accumules? Non audiſti quid dicat Salomon: Qui ad pretium augendum aſſervat frumentum, vulgo eſt exectabilis. Sed obambulas communis bonorum totius orbis inimicus, & liberalitatis Domini hoſtis, & mammonæ amicus, atque adeo ſervus? An non præcidi linguam illam oportuit? An non extingui cor, quod talia verba peperit? Quid enim poteſt eſſe divite ipſo miſerius, propterea dolente & indignante, & periiſſe ſe putante, quod infinita poſſideat: & quotidie optante famem, ut aurum ipſi augeatur! Quomodo vultis vobis delineem avari & raptoris affectiones & morbos? Quid enim manibus illis ſceleratius? Quid oculis illis impudentius, & caninum magis? Non aſpicit homines ut homines, neque cœlum ut cœlum, ſed omnia pecuniam eſſe putat. Hominum enim oculi, cùm pauperes vident afflictos, vicem eorum ſolent indolere: raptores verò cùm intuentur pauperes, magis efferantur. Hominum oculi ea, quæ aliis data ſunt, non appetunt, ſed ſua quoque in alios effundunt: iſti verò non ſecunt, niſi quæ omnium ſunt, accipientes, ſua faciant. Hominum oculi nudum proximi corpus aſpicere non ſuſtinent: iſti verò niſi omnes denudaverint, & quæ omnes habent, domi ſuæ recondant, nunquam ſatiantur. Quin ne eo quidem explentur: eóque non modo ferarum manus, manus ipſorum quiſpiam eſſe dixerit, ſed his etiam truculentiores multo & acerbiores. Ut ſi enim & lupi ubi ſaturati ſunt, abſtinent ſe tali cibo: iſti verò non ſatiantur. Enimvero propterea manus nobis fecit Deus, ut aliis opitulemur, non ut inſidiemur. Etenim ſi ad hoc eis uſuri ſimus, ſatius eſſet eas præcidi, & abſque eis eſſe. Cùm enim ovem à fera diſcerpi quis videns, dolet & angitur animo, in contribulem verò idem ipſe patrans, nihil acerbi ſe putat facere; quomodo homo hic fuerit, ac non fera potiùs, & fera deterior? Feræ enim natura ſunt hujuſcemodi: avari autem cùm natura lenitatem habeant, præter naturam in feritatem ſeſe transferre vi contendunt. Talium ora etiam, ferarum ora ſunt, quin his etiam truculentiora. Etenim verba promunt, magis quàm illarum dentes venenum emittentia, & necem patrantia. Quòd ſi mentem quoque talium quis excutiat, jam non feras modò, ſed etiam dæmones ipſos appellabit. Multa ſiquidem immanitate pleni ſunt & hoſtilitate adverſus conſervum. Dæmones enim adjutores habent eos homines, quibus inſidiantur, Quòd ni adjuvarent, plurimum inſidiarum in nos, ipſis in irritum caderet: Iſti verò reſiſtentes, etiam ſibi eos, quos impetunt, ſubigere nituntur. Ac neque regni amator eſt illic, neque gehennæ metus, non pudor hominum, non miſericordia, non condolentia: ſed impudentia & violentia, & futurorum omnium contemptio: & fabula ipſis verba Dei videntur eſſe. Verè ſævisſimarum beſtiarum eſt, nulla à quoquam injuria affectum primo injuria alios laceſſere. Imò * non beſtiarum. Hæc ſiquidem, ſi in ſolitudine eas victitare permiſeris, & non anguſtando intuendi ſe in neceſſitatem adegeris, nunquam nocebunt, neque accedent, neque mordebunt; ſed vias ſuas abibunt. Tu verò cùm homo ſis rationis particeps, tanto principatu, honore & gloria honeſtatus, ne beſtias quidem imitaris, erga eos, qui ejuſdem tecum ſunt generis, ſed fratrem injuria lædis & devoras? Et unde defendi poteris? Non vides apem, cujus opus & Reges & idiotæ ad ſanitatem accommodant, quomodo nihil ei proſit, quominus moriatur ſi * malè agat, ſed una cum ſtimulo intereat? Per hanc diſcas non lædere proximum: Ipſi enim primi mortem hinc capiemus. Et illos quidem parum fortè læſimus, nos verò non ampliùs vivemus, ſicut neque illa. Propterea pecuniæ vocantur χρήματα, quaſi tu dicas, utilia, ut utamur, quemadmodum par eſt, non ut cuſtodiamus. hoc enim non poſſidere eſt, ſed poſſideri. Nam ſi hoc ſpectemus, ut ſemper eam augeamus, non ut quemadmodum par eſt, ipſa fruamur, perverſus eſt ordo, & illa potiùs nos habet, non nos illam. Qui pecuniam amat, non ſolùm inimicos non diliget, verum etiam amicos oderit. Neque enim cognationem novit talis, neque familiaritatis meminit, neque ætatem reveretur, neque amicum habet quemquam: ſed in omnes hoſtili eſt animo, & præ aliis omnibus in ſeipſum; non modò quòd animam ſuam perdit, ſed etiam quòd innumerabilibus curis ſeſe extenuat. Et is quidem qui pecuniam contemnit, modum ponit cupiditati: Qui verò vult diteſcere & plus coacervare, longè magis eam accendit, & nuſquam ſiſtit: verùm etiamſi decem millia talentorum accipiat, alia totidem concupiſcit.

Ex expoſit. ep. 1. ad Corinth.

Ex expoſit. epiſt. 1. ad Theſſal.

** ne beſtiæ quidem id fecerint.*

** ſi pungat.*

Ex expoſit. Evang. S. Ioan.

Ex expoſit. Evang. S. Matth.

A ἀλλ' ὑπὸ τῆς τυραννίδος τοῦ χαλεποῦ τούτου πάθους κεντούμενος, εἰς μέσον τὴν αἰτίαν ἐξήνεγκε· μυρία γὰρ σίτου μέτρα κεκτημένος, φησὶν, οὐκ ἔχω πῶς διαθῶμαι ταῦτα λοιπόν. τί λέγεις; ἀλγεῖς ὅτι μὴ πάντες ἀπώλοντο, ἵνα σὺ συναγάγῃς χρυσίον; οὐκ ἤκουσας τί φησιν ὁ Σαλομών; ὁ τιμιουλκῶν σῖτον, δημοκατάρατος; ἀλλὰ περιέρχῃ κοινὸς ἐχθρὸς τῶν τῆς οἰκουμένης ἀγαθῶν, καὶ τῆς τοῦ δεσπότου φιλοτιμίας πολέμιος, καὶ τοῦ μαμωνᾶ φίλος, μᾶλλον δὲ δοῦλος; οὐ γὰρ ἐκκοπῆναι B τὴν γλῶτταν ἐκείνην ἔδει; οὐ γὰρ σβεσθῆναι τὴν καρδίαν τὴν ταῦτα τικτοῦσαν τὰ ῥήματα; τί γὰρ αὐτοῦ ἐλεεινότερον γένοιτ' ἂν τοῦ πλουσίου, τοῦ διὰ τοῦτο ἀλγοῦντος, ὅτι ἄπειρα κέκτηται, καὶ δυσχεραίνοντος ὡς ἀπολωλεκέναι νομίζοντος, καὶ καθ' ἑκάστην ἡμέραν εὐχομένου γενέσθαι λιμὸν, ἵνα αὐτῷ χρυσίον προστεθῇ; πῶς ὑμῖν ὑπογράψω βούλεσθε τὰ τοῦ πλεονέκτου πάθη καὶ ἅρπαγος; τί γὰρ τῶν χειρῶν ἐκείνων μιαρώτερον; τί τῶν ὀφθαλμῶν ἐκείνων ἀναισχυντότερον, ἢ ἀναιδέστερον καὶ C κυνικώτερον; οὐ βλέπει τοὺς ἀνθρώπους ἀνθρώπους, οὐδὲ τὸν οὐρανὸν οὐρανόν. ἀλλὰ πάντα χρήματα εἶναι νομίζει. οἱ γὰρ ἀνθρώπων ὀφθαλμοὶ πένητας αἰσθόμενοι ὁρᾷν καταπεπονημένους, καὶ ἐπικλᾶσθαι· οἱ δὲ ἅρπαγες ὁρῶσι πένητας, καὶ μᾶλλον ἐκθηριοῦνται. οἱ ἀνθρώπων ὀφθαλμοὶ, οὐ τῶν ἄλλοις δεδομένων ἐφίενται· ἀλλὰ καὶ τὰ αὐτῶν εἰς ἑτέρους κενοῦσιν· οὗτοι δὲ οὐκ ἀνέχονται, εἰ μὴ τὰ πάντων λαβόντες ἰδιοποιήσωνται. οἱ ἀνθρώπων ὀφθαλμοὶ γυμνὸν ἰδεῖν τὸ σῶμα τοῦ πλησίον οὐκ ἀνέχονται. D οὗτοι δὲ εἰ μὴ πάντας γυμνώσωσι, καὶ τὰ πάντων οἴκοι κατάθωνται, οὐδέποτε κόρον λαμβάνουσι. μᾶλλον δὲ οὐδὲ τότε ἐμπίπλανται. διόπερ οὐδὲ θηρίων τὰς χεῖρας τὰς τούτων ἄν τις φαίη μόνον, ἀλλὰ καὶ τούτων ἀγριωτέρας πολλῷ καὶ χαλεπωτέρας. ἄρκοι μὲν γὰρ καὶ λύκοι, ἐπειδὰν λάβωσι κόρον τῆς τοιαύτης τροφῆς, ἀφίστανται· οὗτοι δὲ κόρον οὐκ ἴσχουσι. καίτοι διὰ τοῦτο χεῖρας ἡμῖν ἐποίησεν ὁ Θεὸς, ἵνα ἑτέροις βοηθῶμεν, οὐχ ἵνα ἐπιβουλεύωμεν· ἐπεὶ εἰ μέλλομεν εἰς τοῦτο αὐταῖς E κεχρῆσθαι, βέλτιον αὐτὰς ἐκκοπῆναι καὶ χωρὶς τούτων εἶναι. ὅταν γὰρ πρόβατον μὲν σπαρασσόμενον ὑπὸ θηρίου τις ἰδὼν ἀλγῇ, καὶ τὴν ψυχὴν δάκνηται· εἰς δὲ τὸν ὁμόφυλον τοῦτο αὐτὸ ἐργαζόμενος, οὐ νομίζῃ τι ποιεῖν δεινὸν, πῶς ἂν εἴη ἄνθρωπος, ὁ τοιοῦτος, ἀλλ' οὐ θηρίον, καὶ τοῦ θηρίου χεῖρον; τὰ μὲν γὰρ θηρία τῇ φύσει ἐστὶ τοιαῦτα· οἱ δὲ πλεονέκται κατὰ φύσιν τὸ ἥμερον ἔχοντες, παρὰ φύσιν τὸ θηριῶδες ἑαυτοὺς ἐξάγειν βιάζονται. τὰ τούτων καὶ τὰ στόματα, θηρίων ἐστὶ στόματα. A μᾶλλον δὲ καὶ τούτων ἀγριώτερα· καὶ γὰρ ῥήματα φθέγγονται μᾶλλον ἐκείνων τῶν ὀδόντων ἰὸν ἀφιέντα, φόνον ἐργαζόμενα. εἰ δὲ καὶ τὴν διάνοιάν τις ἐξετάσειε τῶν τοιούτων, οὐκέτι θηρία μόνον, ἀλλὰ καὶ δαίμονας αὐτοὺς προσερεῖ. καὶ γὰρ πολλῆς γέμουσι τῆς ἀπηνείας, καὶ τῆς πρὸς τὸν ὁμόδουλον ἔχθρας. οἱ μὲν γὰρ δαίμονες τοὺς ἐπιβουλευομένους ἀνθρώπους συμπράττοντας ἑαυτοῖς ἔχουσιν· ὡς εἰ μὴ συνέπραττον, τὸ πλέον τῆς ἐπιβουλῆς τῆς καθ' ἡμῶν ἐκείνοις ἀνῄρητο· οὗτοι δὲ φιλονεικοῦσιν αὐτοὺς B τοὺς ἐπηρεαζομένους κρατεῖν ἐπιχειροῦσι. καὶ οὔτε βασιλείας ἔρως ἐκεῖ, οὔτε γεέννης φόβος, οὐκ αἰδὼς τῶν ἀνθρώπων, οὐκ ἔλεος, οὐ συμπάθεια, ἀλλ' ἀναισχυντία καὶ ἰταμότης καὶ ὑπεροψία τῶν μελλόντων ἁπάντων, καὶ μῦθος αὐτοῖς εἶναι δοκεῖ τὰ τοῦ Θεοῦ ῥήματα. ὄντως θηρίων χαλεπωτάτων, τὸ μὴ ὑπό τινος ἀδικουμένους αὐτοὺς ἄρχειν ἀδικίας. μᾶλλον δὲ οὐδὲ θηρίων. ἐκεῖνα γὰρ ἂν ἀφῇς ἐπὶ τῆς ἐρημίας νέμεσθαι, καὶ μὴ στενοχωρήσας εἰς ἀνάγκην καταστήσῃς, C οὐδέποτε λυμανεῖται, οὔτε προσελεύσεται, οὔτε δήξεται, ἀλλ' ἀπελεύσεται τὴν οἰκείαν ὁδόν. σὺ δὲ ἄνθρωπος ὢν λογικὸς, τετιμημένος ἀρχῇ τοσαύτῃ, καὶ τιμῇ, καὶ δόξῃ, οὐδὲ τὰ θηρία μιμῇ περὶ τοὺς ὁμοφύλους, ἀλλὰ τὸν ἀδελφὸν ἀδικεῖς καὶ κατεσθίεις; καὶ πόθεν ἀπολογηθῆναι δυνήσῃ; οὐχ ὁρᾷς τὴν μέλισσαν, ἧς τὸ ἐργασίαν βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, πῶς οὐδὲν αὐτὴν προΐσταται τὸ μὴ ἀποθανεῖν ποιοῦσαν κακῶς, ἀλλ' ἐναποθνήσκει τῷ D κέντρῳ; διὰ ταύτης παιδεύθητι μὴ λυπεῖν τὸν πλησίον· αὐτοὶ γὰρ τὸν θάνατον δεχόμεθα πρότεροι. ἐκείνους μὲν γὰρ ἴσως μικρὸν ἴσως ἐλυπήσαμεν, αὐτοὶ δὲ οὐκέτι ζησόμεθα, ὥσπερ οὐδὲ ἐκείνη. διὰ τοῦτο χρήματα λέγεται, ἵνα χρώμεθα εἰς δέον, οὐχ ἵνα φυλάττωμεν. τοῦτο γὰρ οὐκ ἔτι κτήσασθαι, ἀλλὰ κτηθῆναι. εἰ γὰρ τοῦτο μέλλοιμεν σκοπεῖν, ὅπως αὐτὰ πολλὰ ποιήσωμεν, οὐχ ὅπως εἰς δέον ἀπολαύσωμεν, ἀνατέτραπται ἡ τάξις, καὶ ἐκεῖνα μᾶλλον ἡμᾶς κέκτηται, οὐχ ἡμεῖς E ἐκεῖνα. ὁ γὰρ χρημάτων ἐρῶν, οὐ μόνον τοὺς ἐχθροὺς οὐκ ἀγαπήσει, ἀλλὰ καὶ τοὺς φίλους μισήσει. οὐδὲ γὰρ συγγενείας οἶδεν ὁ τοιοῦτος, οὐ συνηθείας μέμνηται, οὐχ ἡλικίαν αἰδεῖται, οὐ φίλον ἔχει τινά· ἀλλὰ πρὸς πάντας ἀπεχθῶς διακείσεται, καὶ πρὸ τῶν ἄλλων πάντων, πρὸς ἑαυτόν· οὐ τῷ μόνον ἀπολλύναι τὴν ψυχὴν τὴν ἑαυτοῦ, ἀλλὰ καὶ τῷ μυρίαις ἑαυτὸν κατατείνειν φροντίσι. καὶ ὁ μὲν χρημάτων καταφρονῶν, ἔστησε τὴν ἐπιθυμίαν· ὁ δὲ πλουτεῖν βουλόμενος καὶ πλεονάζειν, πλεῖον αὔξει μᾶλλον, καὶ οὐδέποτε ἵσταται· ἀλλὰ κἂν μυρία λάβῃ τάλαντα, ἑτέρων τοσούτων ἐπιθυμεῖ.

καὶ

πάντων τούτων ἐπιτύχῃ, πάλιν δὶς τοσούτων ἄλλων ἐφίεται. καὶ περιιὼν A καὶ τὰ ὄρη, καὶ τὴν γῆν, καὶ τὴν θάλατταν, καὶ πάντα εὔχεται αὐτῷ γενέσθαι χρυσᾶ, καινήν τινα μανίαν μαινόμενος, καὶ φοβεράν, καὶ οὐδέποτε σβεσθῆναι δυναμένην. ὅταν γὰρ ἑτέροις τὰ ἑαυτῶν δοῦναι προστεταγμένοι, τὰ ἑτέρων ἁρπάζωμεν, τίς ἄρα ἡμῖν ἐστι σωτηρίας ἐλπίς; εἰ μὴ πεινῶντα θρέψας, κολάζῃ, σὺ καὶ ἀπέδυσας ἐνδεδυμένον, ποίας τεύξῃ συγγνώμης; εἰπὲ δή μοι· εἴ τίς σε εἰς Περσικὴν ἀγαγὼν γῆν ἀφιέμενον τὰ ἐκεῖ, καὶ ὑπαναζεῦξαι, εἶτα ἐκέλευσεν οἰκίαν B δείμασθαι, ἆρα οὐκ ἂν αὐτοῦ κατέγνως ἄνοιαν τὴν ἐσχάτην, ὡς ἀκαίρως δαπανᾶν κελεύοντος; πῶς οὖν ἐπὶ τῆς γῆς τὸ αὐτὸ τοῦτο ποιεῖς, ἣν μικρὸν ὕστερον ἀπολείψεις; ἀλλὰ τοῖς παισὶ καταλείψω, φησίν. ἀλλὰ καὶ ἐκεῖνοι μικρὸν ὕστερον καταλείψουσι μετὰ σέ, πολλάκις δὲ καὶ πρὸ σοῦ. διὰ τοῦτο οὖν πλεονεκτεῖς, καὶ τὰ τῶν ἄλλων ἁρπάζεις, ἵνα σοι ὁ τοῦ ἵππου χαλινὸς ἀλείφηται πολλῷ τῷ χρυσῷ, καὶ ὁ τῆς οἰκίας ὄροφος καὶ αἱ τῶν κιόνων κεφαλαί; καὶ πόσης οὐκ ἂν εἴη ταῦτα γεέννης C ἄξια, ὅταν τὸν ἀδελφὸν τὸν τοσαύτης παρὰ τοῦ δεσπότου σου τιμηθέντα, ἵνα λίθους καλλωπίσῃς καὶ ἔδαφος, καὶ σώματα ζώων ἀλόγων οὐδὲ αἰσθανομένων τοῦ κόσμου, εἰς μυρίας ἐμβάλλῃς συμφοράς; καὶ ὁ μὲν * κίων ἐν ἐπιμελείᾳ πολλῇ, ὁ δὲ ἄνθρωπος, μᾶλλον δὲ ὁ Χριστὸς διὰ τὸν κίονα, καὶ τὰ εἰρημένα ἅπαντα, εἰς ἐσχάτην καταντλεῖται λιμόν. κἂν μὲν θρόνον κατασκευάσαι δέῃ, κἂν ὑποπόδιον, πάντα ἀπὸ χρυσοῦ καὶ ἀργύρου κατασκευάζεται· τὸ δὲ τοῦ Χριστοῦ μέλος, καὶ δι' ὃν ἐξ D οὐρανοῦ παραγέγονεν, οὐδὲ τῆς ἀναγκαίας ἀπολαύει τροφῆς. ἀλλὰ πάντων σοι γέγονεν ὁ Χριστὸς ἀτιμότερος. καὶ τί τῆς τοιαύτης παρανομίας χαλεπώτερον; πόσοι ποταμοὶ πυρὸς ἀρκέσουσι τῇ τοιαύτῃ ψυχῇ, ὅταν τὰ μὲν ἄλογα ἀγαπᾷ τὰ συγγενῆ, καὶ ἀρκῆται τῇ συγγενείᾳ τῆς φύσεως εἰς τὴν πρὸς ἄλληλα φιλοστοργίαν· σὺ δὲ μετὰ τῆς φύσεως καὶ μυρίας ἔχων ὑποθέσεις φιλίας ἐκείνων ἀγριώτερος δείκνυσαι; μὴ δὴ ἀμφοτέρωθεν παροξύνωμεν τὸν Θεόν, καὶ συνάγοντες E ὅθεν οὐ χρή, καὶ σκορπίζοντες εἰς ἃ μὴ δεῖ. πόσης γὰρ οὐκ ἂν ἄξιος εἴη ὀργῆς, ὅταν τῇ πόρνῃ διδῷς, παρατρέχων τὸν πένητα; εἰ γὰρ καὶ ἐκ δικαίων πόνων παρεῖχες, οὐχὶ ἔγκλημα ἦν τὸ πρᾶγμα, μισθὸν κακίας παρέχειν, καὶ ὑπὲρ ὧν κολάζειν ἐχρῆν, ὑπὲρ τούτων τιμᾶν; ὅταν δὲ καὶ ὀρφανοὺς ἀποδύων, καὶ χήρας ἀδικῶν τρέφῃς ἀσέλγειαν, ἐννόησον ἡλίκον τοῖς τοιαῦτα τολμῶσιν ἔσται τὸ πῦρ. A φοβήθητε ὅσοι τοὺς πένητας ἀδικεῖτε. ἔχετε δύναμιν ὑμεῖς καὶ πλοῦτον, καὶ χρήματα, καὶ δικαστῶν εὔνοιαν· ἀλλ' ἔχουσιν ἐκεῖνοι πάντων ἰσχυρότερον ὅπλον, τοὺς στεναγμούς, καὶ τοὺς θρήνους, καὶ αὐτὸ τὸ ἀδικεῖσθαι, ὅπερ τὴν ἐκ τῶν οὐρανῶν ἐπισπᾶται συμμαχίαν. ταῦτα τὰ ὅπλα οἰκίας ἔρυξε, θεμελίους κατέσκαψε, πόλεις ἀνεῖλεν, ὁλόκληρα ἔθνη κατεπόντισε. τοσαύτη τῶν ἐπηρεαζομένων παρὰ τῷ Θεῷ ἡ πρόνοια. μέγα γὰρ ὅπλον, στεναγμὸς ἀδικουμένων ἀνθρώπων. B αἰδεῖται τὴν εὐγνωμοσύνην αὐτῶν ὁ Θεός, ὅταν κακῶς πάσχοντες μηδὲν μὲν πονηρὸν ἐκφέρωσι ῥῆμα, στενάζωσι δὲ μόνον ἢ ἀποδύρωνται τὰ οἰκεῖα κακά. καὶ τούτοις μὲν ἵλεως γίνεται, τιμωρεῖται δὲ τοὺς ἐπηρεάζοντας. φύγωμεν τοίνυν τὸ ἀδικεῖν, ἵνα ἵλεων ἕξωμεν τὸν Θεόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Ac ſi hæc adeptus ſit, rurſus alias totidem appetit: & porrò pergens, etiam montes, terram, mare & omnia aurum ſibi fieri optat, novam quandam inſaniam inſaniens, & eam quidem terribilem, & quæ nunquam extingui poſſit. Nam cùm aliis dare juſſi, aliena rapiamus: quænam quæſo nobis ſalutis ſpes eſt? Si, quòd non alueris eſurientem, punieris: quam veniam merebere, ſi veſtitum etiam exuiſti? Dic mihi porrò, ſi quis te in Perſarum terram duceret, viſurum quæ ibi ſunt, & rediturum, B deinde juberet domum ædificare, nonne extremam ipſius damnares ſtultitiam: quippe qui tam intempeſtivè ſumptus facere juberet? Quomodo igitur hoc ipſum in terra facis, quam paulo poſt deſerturus es? At liberis relinquam, inquis. Sed & illi paulo poſt relinquunt poſt te: frequenter etiam ante te. Propterea igitur avarè agis, & aliena rapis, ut equi frenum multo auro tibi perungatur? itémque culmen domus, & capita columnarum? Et quanam gehenna hæc digna non fuerint, C quando fratrem, quem Dominus tuus tanto honore dignatus eſt, in innumerabiles calamitates conjicis, ut lapides, & pavimentum, & expertium rationis animalium, ne ſentientium quidem ornatum, corpora exornes? Et columna quidem diligenter curatur; homo verò, imò Chriſtus ipſe, propter columnam, & quæ dicta ſunt omnia, ad extremam famem adigitur. Sive autem ſolium parare opus ſit, ſive ſcabellum ſuſtentandis pedibus, omnia ex auro & argento parantur: membro autem D Chriſti, & ei propter quem ille de cœlo deſcendit, ne neceſſarium quidem alimentum ſuppetit, ſed omnibus vilior factus eſt tibi Chriſtus. Quid hujuſmodi iniquitate acerbius? Quod flumina ignis hujuſmodi animæ ſufficiant? cùm aliæ quidem animantes cognatas diligant, & naturæ cognatio ſatis momenti apud eas habeat ad mutuum inter ſe amorem: at tu una cum natura innumerabiles amicitiæ cauſas habens, truculentior illis oſtenderis? Ne quæſo utrinque irritemus Deum, nempe & E congregantes unde non oportet, & diſpergentes ubi non convenit. Quanam enim ira dignus non fueris, cùm das meretrici, præteriens pauperem? Nam ut ex juſtis laboribus præbueris: nonne reprehenſionem res hæc haberet, quòd flagitii mercedem præbeas, & pro quibus punire oporteat, pro iis muneres? Quando autem & pupillos exuens, & viduas injuria afficiens, aliis libidinem, cogita quantus erit ignis his qui talia ſunt auſi. Timete, qui pauperibus injuriam facitis. Habetis vos A potentiam, divitias, & pecuniam judicúmque favorem: ſed habent illi omnium validiſſima arma, gemitus & lamentationes; & illud ipſum, injuriam pati, quæ auxilium de cœlo trahunt. Hæc arma domos ſuffodiunt, fundamenta diruunt, urbes everterunt, integras gentes ſubmerſerunt. Tantam gerit Deus eorum, qui læduntur, providentiam. Magna enim & valida arma ſunt injuria patientium hominum gemitus. Reve- B retur hanc eorum æquanimitatem Deus, cùm malo afficiuntur, neque improbum verbum proferunt, ſed gemunt modò ac deplorant ſua mala. Ex his quidem fit propitius, de vexatoribus verò ſumit ſupplicium. Fugiamus igitur injuriam facere, ut propitium habeamus Deum, gratia & benignitate Domini noſtri Jeſu Chriſti, cui gloria & Imperium in ſecula ſeculorum, Amen.

Ex exp. ſu. Ev. Ioan.

Ex expoſit. ep. ad Rom.

exem. nlav.

Ex interp. Pſal. 11.

C

Περὶ ἀλαζονείας καὶ κενοδοξίας.

Λόγος ιϛ´.

ΒΟΥΛΟΜΕΝΟΣ τὸν πεφυσιωμένον ἄνθρωπον καταστεῖλαι, μὴ μακροὺς κίνει λόγους, ἀλλ' ἀναμίμνησκε αὐτὸν τῆς φύσεως μόνον, καὶ ἐπιτίμα σφοδρῶς, οὑτωσὶ λέγων· „Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; εἰ δὲ μετὰ τὸν θάνατον εἶναι ταῦτα λέγει, κατάστειλον αὐτὸν ζῶντα, καὶ δίδαξον ὅτι γῆ καὶ σποδός ἐστι· νῦν γὰρ D οὐκ οἶδεν ὅτι ταῦτά ἐστιν. ὁρᾷ τὴν εὐπρέπειαν τοῦ σώματος, ὁρᾷ τὴν δυναστείαν, τὴν θεραπείαν τῶν κολάκων, τοὺς παρασίτους ἀκολουθοῦντας· ἱμάτια περίκειται πολυτελῆ, ὄγκον ἀρχῆς περιβέβληται μέγαν· ἡ φαντασία αὐτὸν ἀπατᾷ, καὶ ἐπιλανθάνεσθαι ποιεῖ τῆς φύσεως· αὐτὴν ἀναμένει μόνην τὴν ἀπὸ τοῦ τέλους ἀπόδειξιν· οὐκ ἔρχεται πρὸς τὰς σοροὺς καὶ τὰς θήκας τῶν προγόνων. πρὸς τὰ παρόντα βλέπει μόνον, καὶ οὐδὲν τῶν μελλόντων ἐννοεῖ. δίδαξον τοίνυν αὐτὸν ἐντεῦθεν ἤδη, E ὅτι γῆ καὶ σποδός ἐστιν, ἵνα ζῶν λάβῃ τὸ φάρμακον. εἰπὼν γάρ, „Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐπήγαγεν, „ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ· ἐνδόσθια τὰ ἔγκατα λέγων, τὴν γαστέρα τὴν γέμουσαν σκυβάλων καὶ πολλῆς ἀκαθαρσίας καὶ δυσωδίας. ἰδὲ τὸ εὐτελὲς καὶ ἐπίκηρον τῆς οὐσίας· μὴ ἀναμείνῃς τὴν ἡμέραν τῆς τελευτῆς, ἵνα μάθῃς σου τὴν ἀσθένειαν. ἔτι μοι ζῶντα τὸν ἄνθρωπον διερεύνησον, καὶ εἰς τὰ ἔγκατα αὐτοῦ διαβῆθι τῷ λόγῳ,

De Superbia & Inani Gloria.

HOMILIA XVI.

SI hominem inflatum reprimere velis, ne longos moveto ſermones, ſed in memoriam ipſi ſolùm reducito naturam, & acriter ipſum objurgato, ita dicens: *Quid ſuperbit terra &* [Eccl. 10. 9.] D *cinis?* Quod ſi poſt mortem hæc eſſe dicat, viventem ipſum ad modeſtiam revoca, & doce quòd terra & cinis ſit: Jam enim ſe hæc eſſe, ignorat. Aſpicit decorem corporis, aſpicit potentiam, adulatorum obſequium, paraſitos aſſectantes. Veſtibus indutus eſt pretioſis, magna poteſtatis amplitudine munitus eſt: Imaginatio ipſum decipit, naturæque ut obliviſcatur efficit; ſolum mortis ſpectaculum expectat: Non venit ad ſepulchra & loculos majorum. Ad præſentia E duntaxat reſpicit, nec quicquam futurorum cogitat. Igitur ipſum hic jam doceas, quia terra & cinis eſt, ut vivens medicinam accipiat. Qui enim dixit, *Quid ſuperbit terra & cinis, ſubjicit, quoniam etiam in vita abjecta ſunt intima ipſius*; intima vocans viſcera; ventrem illum ſtercoribus, multáque immunditia & fœtore plenum. Vide vilitatem & imbecillitatem eſſentiæ. Ne expectes diem mortis, ut tuam diſcas infirmitatem: Adhue viventem mihi hominem perſcrutare, & ad viſcera ipſius animo deſcende, & univerſam

verſam noſtram vanitatem conſpicies. Sed ne animo concide, neque enim odio noſtri, ſed parcens, hoc modo Deus fecit, magnas humilitatis animi cauſas nobis præbens. Si enim homo, cùm terra ſit & cinis, dicere auſus eſt, in cœlum conſcendam: quo non animo erupiſſet, ſi naturæ frenum non haberet? Cum igitur videris aliquem inflatum, cervicem erigentem, ſupercilia contrahentem, curru vehi, minantem, in carcerem conjicientem, infeſtantem, morti tradentem; dic ad ipſum: *Quid ſuperbit terra & cinis? Quoniam etiam in vita ſua abjecta ſunt intima ipſius.* Hæc non de homine privato ſolum dicta ſunt, ſed & de illo ipſo, qui in regio ſolio conſidet. Ne enim purpuram aſpexeris, neque diadema, neque veſtimenta aurea: ſed naturam ipſam excutias, & harum rerum fundamentum videbis eſſe terram. *Omnis enim gloria hominis tanquam flos fœni.* Cujus rei cauſa altum ſapis, ô homo, & propter quid? Deſcende ab inani iſto ſtatu: conſidera naturæ vilitatem. Terra & cinis es; cinis & pulvis; fumus & umbra; herba & flos herbæ. Cum tali vero natura vivens, altum ſapis, dic mihi? Et quid magis ridiculum eſſe poteſt? At multis dominaris hominibus? Sed quid prodeſt, ſi hominibus quidem domineris, affectionum vero tuarum captivus ſis & ſervus? Quemadmodum ſi quis domi quidem à ſervis vapularet, vulneráque acciperet, extra autem in forum erumpens ob aliorum dominatum ſeſe efferret. Omnium affectionum ſervus es, & gloriaris, quòd iis, qui ejuſdem tecum ſunt generis, domineris? Utinam illis domineris, & horum ſis æqualis. Si enim, qui in veris bonis ſuperbit, dignus eſt accuſatione, omnémque illorum mercedem perdit, quomodo non omnium erit riſu digniſſimus, qui in iis, quæ nihil ſunt, ſeſe extollit, & propter præſentem gloriam ſeipſum inflat? Miſer & ærumnoſe, dum anima tua graviſſimo morbo contabeſcit, dumq; extrema paupertate laboras, animo efferris, quòd tot & tot auri habeas talenta? quòd turbam mancipiorum? Atqui hæc non ſunt tua. Quod ſi verbis meis fidem non adhibes, ab experientia rerum præcedentium diſcas. Si verò ita ebrius ſis, ut neque iis, quæ cæteris contingunt, erudiare: paululum expecta, & ex iis quæ ad te pertinent, cognoſces, quòd nihil tibi iſta conferant; quòd animo deficiens, & nullius horæ, neque brevis momenti, poteſtatem habens, invitus præſentibus iſta tranſmittas; & ſæpè quidem his, quibus tu minimè cupis: ſed coactus illis concedes, quos iſta prius ne aſpicere quidem volebas. Hominum enim ſubſtantia aliud nihil eſt, quam cinis, & pulvis, & fumus, & umbra, & ſi quid iſtis vanius eſt. Quid enim, dic mihi, magnum putas? Quamnam exiſtimas magnam dignitatem eſſe? Num conſulis? Nihil enim hac dignitate majus eſſe vulgus arbitratur. Eo igitur, qui in tanto ſplendore conſtitutus eſt, qui in tanta admiratione eſt, nihilo minus habet is, qui conſul non eſt: ſed in ipſa eadem ille quoque dignitate eſt. Similiter enim uterque paulo pòſt non eſt. Quando fuit, & quanto tempore, dic mihi? per duos dies? Hoc etiam in ſomniis fit. Sed ſomnium eſt, inquit. Et quid tum poſtea? Quæ enim per diem fiunt, nonne ſomnium ſunt, dic mihi? Quare non iſta potius ſomnium dicimus? Quemadmodum enim ſomnia, poſtquam dies illuxit, nihil eſſe deprehenduntur: ſic nocte adveniente, illa quoque nihil eſſe arguuntur. Et ſicut de die nemo gaudet iis quæ noctu fuerunt, ita nec fieri poteſt, ut quis nocte iis fruatur, quæ in die ſunt. Conſul factus es? Et ego nocte. Aſt ego (inquis) de die, & tu de nocte. Sed quid tum poſtea. Neque ſic plus aliquid habes quàm ego, niſi fortè quod dicatur, hic Conſul eſt; eatenus ex verbis voluptatem amplius capere facit. Quomodo facit? Si dicam: hic Conſul eſt, & indulgeam verbo; nonne ſimul dictum eſt, & receſſit? eodem modo ſe etiam res habent: ſimul ac conſul apparuit, non amplius eſt. Sed ponamus etiam annum, & tres, & quatuor: ubi ſunt qui decem annis conſules fuerunt? nuſquam. At Paulus non ita. Semper enim etiam vivens, ſplendidus erat, non per unum diem, non duos, non decem aut viginti: ſed & mortuus eſt, & quadringenteſimum deinde annum ſuperavit, & etiamnum ſplendidus eſt, multoq; ſplendidior quàm cùm viveret. Et hæc quidem in terra: quem verò in cœlo habet ſplendorem, quis ſermo oſtendere poterit? Et quemadmodum videre eſt, fluctus maris, jam quidem in immenſam altitudinem elevari, ſubitò verò rurſus deprimi: ad eundē quoq; modum eos, qui ſuperbiam perſequuntur, videmus modo efferentes animum, & ſupercilia contrahentes, rebúſq; præſentis vitæ geſtientes: repentè verò humiliari & ad extremam inopiam devenire. Hos beatus quoque David inſinuans dixit: *Ne timueris cum dives factus fuerit homo, aut cum multiplicata fuerit gloria domus ipſius.* Benè dixit, ne timueris. Ne te turbet, inquit, divitiarum abundantia, & gloriæ ſplendor: videbis enim non multo poſt, humi jacentem, inutilem, mortuum, projectum, vermium eſcam factum, nudum

Eſa. 14. — *Ex Evang. S. Ioan.* — *Ex Epiſt. ad Hebr.* — *Ex Hexaem.*

καὶ πᾶσαν ἡμῶν τὴν οὐθένειαν ὄψει. ἀλλὰ μὴ καταπέσῃς. οὐδὲ γὰρ μισῶν ἡμᾶς, ἀλλὰ φειδόμενος οὕτως ἐποίησεν ὁ Θεὸς, προφάσεις ἡμῖν ταπεινοφροσύνης παρέχων μεγάλας. εἰ γὰρ ἄνθρωπος γῆ ὢν καὶ σποδὸς ἐτόλμησεν εἰπεῖν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβήσομαι· εἰ μὴ τὸν τῆς φύσεως χαλινὸν εἶχε, πῶς οὐκ ἂν ἐξέπεσε τῇ διανοίᾳ; ὅταν ἴδῃς τινὰ πεφυσιωμένον, τὸν αὐχένα ἀνατείνοντα, τὰς ὀφρῦς ἀνασπῶντα, ἐπὶ ὀχήματος φερόμενον, ἀπειλοῦντα, εἰς δεσμωτήριον ἐμβάλλοντα, ἐπηρεάζοντα, θανάτῳ παραδιδόντα, εἰπὲ πρὸς αὐτόν, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ. ταῦτα οὐ περὶ ἀνθρώπου μόνον ἰδιώτου εἴρηται, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ. μὴ γὰρ τὴν ἁλουργίδα ἴδῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ· ἀλλ᾽ αὐτὴν τὴν φύσιν ἐρεύνησον, καὶ τούτων ὄψει τὴν γῆν τὴν οὖσαν ὑπόθεσιν. πᾶσα γὰρ δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. τίνος ἕνεκα μέγα φρονεῖς, ἄνθρωπε, καὶ διὰ τί; κατάβηθι ἀπὸ τοῦ φυσήματος τοῦ κενοῦ. διάσκεψαι τῆς φύσεως τὸ εὐτελές. γῆ καὶ σποδὸς εἶ, τέφρα καὶ κόνις, καπνὸς καὶ σκιά· χόρτος καὶ ἄνθος χόρτου. τοιαύτῃ δὲ φύσει συζῶν μέγα φρονεῖς, εἰπέ μοι; καὶ τί τούτου γένοιτ᾽ ἂν καταγελαστότερον; ἀλλὰ πολλῶν ἄρχεις ἀνθρώπων; καὶ τί τούτου τὸ ὄφελος, ὅταν ἀνθρώπων μὲν ἄρχῃς, τῶν δὲ παθῶν αἰχμάλωτος ᾖς καὶ δοῦλος; ὥσπερ ἂν εἴ τις οἴκοι μὲν ὑπὸ τῶν οἰκετῶν τύπτοιτο καὶ τραύματα λαμβάνοι, ἔξω δὲ εἰς τὴν ἀγορὰν ἐμβαλὼν μέγα φρονῇ ἐπὶ τῇ τῶν ἄλλων ἀρχῇ. πάντων παθῶν δοῦλος εἶ, καὶ μέγα φρονεῖς ὅτι τῶν ὁμοφύλων ἄρχεις; εἴθε ἐκείνων ἦρχες καὶ τούτων ἦς ἰσότιμος. εἰ γὰρ ἐπὶ τοῖς ὄντως καλοῖς ὁ ἀλαζονευόμενος κατηγορίας ἄξιος, καὶ πάντων ἐκείνων τὸν μισθὸν ἀπόλλυσιν· ὁ ἐν τοῖς μηδὲν οὖσιν ἐπαιρόμενος, καὶ διὰ τὴν παροῦσαν δόξαν φυσῶν ἑαυτὸν, πῶς οὐκ ἂν εἴη πάντων καταγελαστότερος; ἄθλιε καὶ ταλαίπωρε, τῆς ψυχῆς σου διαφθειρομένης χαλεπωτάτῃ νόσῳ, καὶ τὴν ἐσχάτην πενομένου πενίαν, μέγα φρονεῖς, ὅτι χρυσοῦ τάλαντα ἔχεις τόσα καὶ τόσα; ὅτι πλῆθος ἀνδραπόδων; ἀλλὰ ταῦτα οὐ σά. καὶ εἰ μὴ πείθῃ τοῖς ἐμοῖς ῥήμασιν, ἀπὸ τῆς πείρας τῶν προλαβόντων μάνθανε. ἐὰν δὲ οὕτω μεθύῃς, ὡς μήτε ἐκ τῶν ἑτέροις συμβαινόντων ταῦτα παιδεύεσθαι, μικρὸν ἀνάμεινον, καὶ εἴσῃ διὰ τῶν σῶν, ὅτι σοι τούτων ὄφελος οὐδέν, ὅτι ψυχορραγῶν καὶ οὐδεμιᾶς ὥρας οὐδὲ ῥοπῆς βραχείας κύριος ὤν, ἄκων εἰς τοὺς παρόντας αὐτὰ παραπέμπεις. καὶ τούτους πολλάκις, οἷς οὐκ ἤθελες· ἀλλὰ μετὰ βίας παραχωρεῖν, οἷς οὐδὲ καθορᾶν αὐτὰ ἤθελες τὸ πρότερον. ἡ γὰρ τῶν ἀνθρωπίνων ὑπόστασις οὐδὲν ἕτερόν ἐστιν, ἀλλ᾽ ἢ τέφρα, καὶ κόνις, καὶ καπνὸς, καὶ σκιὰ, καὶ τὸ εἴ τι τούτων οὐδαμινώτερον. τί γὰρ, εἰπέ μοι, μέγα νομίζεις; ποῖον ἡγῇ μέγα ἀξίωμα εἶναι; τὸ τοῦ ὑπάτου; οὐδὲν γὰρ τούτου τοῦ ἀξιώματος μεῖζον εἶναι νομίζουσιν οἱ πολλοί. τοῦ ἐν τοσαύτῃ τινὶ λαμπρότητι γεγενημένου, τοῦ μεγάλως θαυμασθέντος, ὁ μὴ ὕπατος, ἔλαττον ἔχει οὐδέν. ἐν τῷ αὐτῷ κἀκεῖνος καὶ οὗτός ἐστιν ἀξιώματι. ὁμοίως γὰρ ἑκάτεροι μετ᾽ ὀλίγον οὐκ εἰσί. πότε ἐγένετο, πόσον χρόνον εἰπέ μοι; ἡμερῶν δύο; τοῦτο καὶ ἐν ὀνείροις γίνεται. ἀλλ᾽ ὄναρ, φησίν, ἐστι. καὶ τί τοῦτο; τὰ γὰρ ἐν ἡμέρᾳ οὐκ ὄναρ, εἰπέ μοι; διατί μὴ ταῦτα μᾶλλον λέγομεν ὄναρ; ὥσπερ γὰρ τὰ ὀνείρατα τῆς ἡμέρας καταλαβούσης ἐλέγχεται οὐδὲν ὄντα· οὕτω τῆς νυκτὸς καταλαμβανούσης καὶ ταῦτα οὐδὲν ὄντα ἐλέγχεται. καὶ ὥσπερ ἐν ἡμέρᾳ τοῖς ἐν νυκτὶ γενομένοις οὐ γάννυταί τις, οὕτως οὐδὲ ἐν νυκτὶ τῶν μεθ᾽ ἡμέραν ἀπολαῦσαι δυνατόν. γέγονας ὕπατος; κἀγὼ ἐν νυκτί. ἀλλ᾽ ἐγὼ ἐν ἡμέρᾳ, καὶ σὺ ἐν νυκτί. καὶ τί τοῦτο; οὐδὲ οὕτως μου πλέον ἔχεις, εἰ μὴ ἄρα τὸ λέγεσθαι, ὁ δεῖνα ὕπατος· τέως καὶ τὸ τὴν ἀπὸ τῶν ῥημάτων ἡδονὴν, πλέον ἔχειν ποιεῖ. πῶς ποιεῖ; ἐὰν εἴπω, ὁ δεῖνα ὕπατός ἐστι, καὶ χαρίσωμαι τῷ ῥήματι· οὐχ ἅμα ἐλέχθη καὶ ἀπῆλθεν; οὕτω καὶ τὰ πράγματά ἐστιν· ἅμα ἐφάνη ὕπατος, καὶ οὐκ ἔστι. θῶμεν δὲ καὶ ἐνιαυτὸν, καὶ τρεῖς, καὶ τέσσαρας· ποῦ εἰσιν οἱ δέκα ἔτη ὑπατευσάμενοι; οὐδαμοῦ. ἀλλ᾽ ὁ Παῦλος οὐχ οὕτως. ἀεὶ μὲν γὰρ καὶ ζῶν διαπαντὸς λαμπρὸς, οὐ μίαν ἡμέραν, οὐδὲ δύο, οὐδὲ δέκα καὶ εἴκοσιν, οὐδὲ ἐνιαυτοὺς δέκα καὶ εἴκοσιν, ἀλλὰ καὶ ἐτελεύτησε, καὶ τετρακοσιοστὸν λοιπὸν ἔτος παρελήλυθε, καὶ ἔτι καὶ νῦν ἐστι λαμπρὸς, καὶ πολλῷ λαμπρότερος ἢ ὅτε ἔζη. καὶ ταῦτα μὲν ἐν τῇ γῇ· τὴν δὲ ἐν τοῖς οὐρανοῖς λαμπρότητα τίς ἂν καὶ παραστήσειε λόγος; καὶ καθάπερ ἐστὶν ἰδεῖν τὰ τῆς θαλάττης κύματα, νῦν μὲν εἰς ὕψος ἄφατον αἰρόμενα, ἀθρόον δὲ πάλιν ταπεινούμενα· τὸν αὐτὸν τρόπον καὶ τοὺς τὴν ἀλαζονείαν μετιόντας ὁρῶμεν, νῦν μέγα φρονοῦντας, καὶ τὰς ὀφρῦς ἀνασπῶντας, καὶ ἐπὶ τοῖς τοῦ παρόντος βίου πράγμασιν ἐπηρμένους· ἀθρόον δὲ ταπεινουμένους, καὶ εἰς ἐσχάτην ἐλαύνοντας πενίαν. τούτους καὶ ὁ μακάριος Δαβὶδ αἰνιττόμενος ἔλεγε· μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. καλῶς εἶπε, μὴ φοβοῦ. μή σε θορυβείτω, φησὶν, ὁ πλούτου περιουσία, καὶ ἡ τῆς δόξης περιφάνεια· ὄψει γὰρ μετ᾽ οὐ πολὺ, χαμαὶ κείμενον, ἀνενέργητον, νεκρὸν, ἐῤῥιμμένον, σκωλήκων γινόμενον τροφὴν,

γυμνὸν

γμένον τούτων ἁπάντων καθιστάμενον, καὶ οὐδὲν ὅλως μεθ' ἑαυτοῦ ἀπενεγκεῖν δυνηθέντα [οὐδὲν γὰρ συναποδημοῦσι τοῖς ἐντεῦθεν μεθισταμένοις] ἀλλ' ἐνταῦθα ἅπαντα καταλιπόντα, καὶ μόνην τὴν κακίαν περιβεβλημένον, καὶ τὰ ἐκ ταύτης αὐτῷ τῶν ἁμαρτημάτων συλλεγέντα φορτία. εἰκότως ἄρα εἴρηται παρὰ τῶν παλαιῶν κενοδοξία· διάκενος γάρ ἐστιν ἔνδον, οὐδὲν ἔχουσά τι χρήσιμον· ἀλλ' ὥσπερ τὰ προσωπεῖα δοκεῖ μὲν εἶναι λαμπρὰ καὶ ἐπέραστα, κενὰ δὲ ἔνδοθεν ἐστι [διὸ καὶ τῶν σωματικῶν ὄψεων εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρὸς τὸν ἔρωτα ἐπέσπασε τὸν ἑαυτῶν] οὕτω, μᾶλλον δὲ ἀθλιώτερον καὶ ἡ παρὰ τῶν πολλῶν δόξα. οὐδὲν γὰρ οὕτω τῆς τοῦ θεοῦ φιλανθρωπίας ἀλλοτριοῖ, καὶ τῷ τῆς γεέννης παραδίδωσι πυρί, ὡς ἡ τῆς ὑπερηφανίας τυραννίς. ταύτης γὰρ ἡμῖν παρούσης, κἂν σωφροσύνην, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν εὐχάς, κἂν ἐλεημοσύνην, κἂν ὁτιοῦν ἐπιτελῶμεν, ἅπας ἡμῶν ὁ βίος ἀκάθαρτος γίνεται. ἀκάθαρτος γάρ, φησι, παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος· τοσοῦτόν ἐστιν ἡ κενοδοξία κακόν. ὅτι οὐ μόνον πρὸς κακίαν ὠθεῖ τοὺς ἁλόντας, ἀλλὰ καὶ ταῖς ἀρεταῖς παρυφίσταται· καὶ ὅταν ἡμᾶς ἐκεῖθεν ἐκβαλεῖν μὴ δυνηθῇ, ἐν αὐτῇ τῇ ἀρετῇ πολλὴν τὴν ζημίαν ἐργάζεται, τοὺς μὲν πόνους ὑπομένειν ἀναγκάζουσα, τῶν δὲ καρπῶν ἀποστεροῦσα. οὐ γάρ ἐστιν ἀμφοτέρων ἐφιέμενον, ἀμφοτέρων τυχεῖν. τυχεῖν μὲν γάρ ἐστιν ἀμφοτέρων, εἰ μὴ ἀμφοτέρων, ἀλλὰ τῆς μιᾶς ἐπιθυμοῦμεν τῆς ἐκ τῶν οὐρανῶν· ἀμφοτέρων δὲ ἐρῶντα οὐκ ἔστιν ἀμφοτέρων τυχεῖν. ὁ γὰρ διὰ τὸ κρατεῖν τὴν παρὰ τῶν ἀνθρώπων δόξαν ἐργαζόμενός τι τῶν ἀγαθῶν, κἂν ταύτης ἀπολαῦσαι δυνηθῇ κἂν τε μή, ἀρκοῦσαν ἐνταῦθα εἴληφε τὴν ἀμοιβήν· καὶ οὐδεμίαν λήψεται ἐκεῖ ὑπὲρ τούτου τὴν ἀντίδοσιν. διὰ τί; ἐπειδὴ προλαβὼν ἑαυτὸν ἀπεστέρησε τῆς παρὰ τοῦ κριτοῦ φιλοτιμίας, προτιμήσας τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ψήφου τοῦ δικαίου κριτοῦ. ὁ δὲ δι' αὐτὸ τοῦτο μόνον ἐργαζόμενός τι τῶν πνευματικῶν ὥστε μόνῳ ἐκείνῳ ἀρέσαι τῷ ἀκοιμήτῳ ὀφθαλμῷ, καὶ ὁ θησαυρὸς αὐτῷ ἀνάλωτος μένει, καὶ τὰ τῆς ἀρετῆς ἀνέπαφα, καὶ ἡ χρηστὴ προσδοκία ἐντεῦθεν ἤδη πολλὴν αὐτῷ παρέχει τὴν παραμυθίαν· καὶ μετὰ τοῦ ἐν ἀσύλῳ ταμιείῳ ἐκείνην αὐτῷ διαφυλάττεσθαι τὴν ἀμοιβήν, καὶ ἡ τῶν ἀνθρώπων ἀκολουθήσει δόξα. τότε γὰρ αὐτῆς μᾶλλον μετὰ δαψιλείας ἀπολαυσόμεθα, ὅταν αὐτῆς ὑπερορῶμεν, ὅταν αὐτὴν μὴ διώκωμεν. καὶ γὰρ ἐν ταῖς ἱπποδρομίαις, οἱ τοὺς ἵππους ἐλαύνοντες, παντὸς τοῦ δήμου κροτοῦντος, καὶ μυρίας εὐφημίας καταχέοντος, οὐκ ἐπιστρέφονται, οὔτε ἡδονήν τινα ἐκ τῶν ἐκείνων εὐφημιῶν καρποῦνται· ἀλλὰ πρὸς ἕνα μόνον ὁρῶσι, τὸν βασιλέα τὸν ἐν μέσῳ καθήμενον, καὶ τῷ νεύματι ἐκείνου προσέχοντες παντὸς ὑπερορῶσι τοῦ πλήθους, καὶ τότε μέγα φρονοῦσιν, ἐπειδὰν ἐκεῖνος αὐτοὺς στεφανώσας δοξάσῃ. τί οὖν γένοιτ' ἂν ἐκείνων ἀθλιώτερον, τῶν πρὸς ἐπίδειξιν ἀνθρώπων τὴν ἀρετὴν μετιόντων, καὶ ταῖς νηστείαις ἀφανιζόντων τὰ πρόσωπα, καὶ τὰς εὐχὰς ἐν ταῖς ἀμφόδοις ποιουμένων; ὅταν τοὺς μὲν πόνους ὑπομένωσι, τῆς δὲ ἀμοιβῆς ἀποστερῶνται πάσης. τί ποιεῖς, ἄνθρωπε; ἑτέρῳ μέλλεις εὐθύνας διδόναι τῶν πεπραγμένων, καὶ ἕτερον μάρτυρα καλεῖς τῶν γινομένων; ἕτερον ἔχεις δικαστήν, καὶ ἕτερον καθίζεις θεατήν; οὐχ ὁρᾷς τοὺς ἡνιόχους, οἳ τῆς πόλεως ἁπάσης ἄνω καθημένης ἐν ταῖς τῶν ἵππων ἁμίλλαις ἅπαν τοῦ σταδίου παρατρέχοντες τὸ μέρος, ἐκεῖ φιλονεικοῦσι τὰ τῶν ἀντιτέχνων ἅρματα καταστρέφειν, ἔνθα ἂν ἴδωσι τὸν βασιλέα καθήμενον· καὶ τοσούτων ὄψεων ἕνα νομίζουσιν ἀξιοπιστότερον ὀφθαλμόν; σὺ δὲ αὐτὸν τὸν τῶν ἀγγέλων βασιλέα τοῖς σοῖς δρόμοις ἀγωνοθετοῦντα ὁρῶν, ἐκεῖνον ἀφεὶς ἐπὶ τὰς τῶν ὁμοδούλων καταφεύγεις ὄψεις; διὰ τοῦτο μετὰ μυρίας πάλας, μετὰ πολλοὺς ἱδρῶτας ἀστεφάνωτος ἀναχωρεῖς, καὶ χωρὶς βραβείων πρὸς τὸν ἀγωνοθέτην ἀπέρχῃ. πῶς γὰρ οὐκ ἄτοπον, τὸν μὲν οἰκέτην πάντα ὅσαπερ ἂν ποιῇ, εἰς ἀρέσκειαν τοῦ δεσπότου ποιεῖν, καὶ μηδὲν πλέον ἐπιζητεῖν τῆς θεωρίας τῆς τούτου, μηδὲ ἑτέρων ὀφθαλμοὺς ἐφέλκεσθαι πρὸς τὴν πρᾶξιν, κἂν μεγάλοι οἱ θεωροῦντες ὦσιν, ἀλλ' ἓν μόνον σκοπεῖν ὅπως ὁ δεσπότης θεάσηται· ἡμᾶς δὲ τοιοῦτον ἔχοντας κύριον, ἑτέρους ἐπιζητεῖν θεατὰς τοὺς ὠφελῆσαι μὲν οὐδέν, βλάψαι δὲ ἐκ τῆς θεωρίας δυναμένους, καὶ κενῶσαι πάντα τὸν πόνον ἡμῶν; εἰ δὲ ἐπὶ τῷ κατορθώματι φυσώμενός τις τὸ πᾶν ἀπώλεσεν· ὁ μετὰ ἁμαρτημάτων τοῦτο ποιῶν, πόσης οὐκ ἂν εἴη τιμωρίας ἄξιος; τοῦ γὰρ ἁμαρτάνειν, τὸ καὶ ἁμαρτάνοντα μέγα φρονεῖν, πολὺ χαλεπώτερον. εἰ τὸ ἐπὶ τοῖς ὄντως ἀγαθοῖς καυχᾶσθαι ἀφροσύνη, τὸ ἐπὶ τοῖς μηδὲν οὖσι πόσῳ μᾶλλον; καὶ γὰρ οὐδὲν οὕτω παρανόμους ποιεῖ καὶ ἀνοήτους, ὡς τὸ πρὸς τὴν τῶν πολλῶν κεχηνέναι δόξαν· καὶ οὐδὲν εὐδοκίμους καὶ ἀδαμαντίνους ποιεῖ, ὡς τὸ ταύτης ὑπερορᾶν. διὸ καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς τῷ μέλλοντι πρὸς τοσαύτην ἀντέχειν ῥύμην καὶ βίαν πνεύματος. καὶ γὰρ ὅταν μὲν εὐημερῇ, πάντων ἑαυτὸν τῶν ἄλλων προτίθησιν· ὅταν δὲ τἀναντία ὑπομένῃ, κατορύξαι ἑαυτὸν βούλεται, ὑποβρύχιος ὑπὸ τοῦ πάθους γινόμενος. καὶ πρόσεχε ᾧ λέγω. ὁ βασιλεὺς Ὀζίας ποτὲ τὰ ἴδια σκάμματα ὑπερβάς, καὶ τὸ μέτρον διαπηδήσας τῆς βασιλείας, εἰσῆλθεν εἰς τὸ ἱερὸν μετ' αὐθεντίας θυμιᾶσαι θέλων.

ab omnibus iſtis ſtantem, nec quicquam omnino ſecum aſportare potuiſſe, (non enim ſimul peregrinantur cum iis, qui hinc decedunt) ſed omnia hîc reliquiſſe, ſoláque malitia collectíſque ſibi ex ea peccatorum ſarcinis circundatum. Meritò ſanè ab antiquis dicta eſt inanis gloria: inanis enim eſt intus, non quicquam utile habens: ſed ſicuti larvæ ſplendidæ quidem & amabiles eſſe videntur, intrinſecus autem inanes ſunt, (idcirco etiam faciebus corporeis ut venuſtiores ſint, neminem tamen unquam ad ſui aſpectus amorem allexerunt) ſic etiam, imò miſerius quid eſt, apud vulgus quæſita gloria. Nihil enim ita Dei benignitatem abalienat, & gehennæ incendio tradit, ſicut ſuperbiæ tyrannis. Hæc enim ſi nobis adſit, ſive temperantiam, ſive virginitatem, ſive jejunium, ſive preces, ſive eleemoſynam, ſive quidvis aliud præſtemus, tota noſtra vita fit impura. Immundus enim, inquit, apud Deum eſt omnis arrogans: Tantum malum eſt inanis gloria. Quoniam non modò eos, quos ſemel cepit, ad vitium impellit, ſed etiam una cùm virtutibus exiſtit. Et cùm nos inde ejicere nequit, in ipſa eadem virtute magnum damnum operatur, moleſtias quidem ſuſtinere cogens, fructibus verò privans. Non enim qui utramque * deſiderat, utramque conſequi valet. Licet quidem utramque conſequi; ſi non utramque, ſed unam quæ ex cœlo eſt, concupiſcamus: qui verò utramque amat, utramque adipiſci nequit. Qui ideò quòd gloriam apud homines veretur, aliquid boni operatur, ſive iſta frui valeat ſive non, ſufficientem hîc accepit mercedem, nec ullam ibi recipiet pro eo retributionem. Quamobrem? Quia præveniens ſeipſum privavit Judicis liberalitate, præferens humanam gloriam juſti Judicis calculo. Qui verò ob hoc ipſum duntaxat ſpirituale aliquod opus peragit, ut ſoli illi placeat pervigili oculo, huic & theſaurus inexpugnabilis manet, & virtutis integritas; bonáque ex eo ſpes multam jam ipſi ſuggerit conſolationem: ac præterquam quod in tuta penu illa aſſervetur ei retributio, hominum quoque ſequetur bona exiſtimatio. Tunc enim ipſam abundantius aſſequemur, ſi eam deſpiciamus, ſi eam non quæramus, ſi eam non ſectemur. Enimverò in ludis Circenſibus, qui equos agitant, univerſo populo plaudente, & ſexcentas fauſtas acclamationes profundente, non convertunt ſe, nec voluptatem aliquam ex læta illorum acclamatione percipiunt: ſed ad unum ſolùm reſpiciunt, Regem ſcilicet in medio conſidentem, & ad nutum illius attendentes, totam contemnunt multitudinem, ac tum demum gloriantur, cùm ipſos ille coronatos honoraverit. Quid igitur illis miſerius fuerit, qui ad oſtentationem hominum, virtutem exercent, & jejuniis exterminant faciem, precéſque in triviis faciunt? quoniam labores quidem ſuſtinent, retributione verò omni carent. Quid facis, ô homo? an alii rationem es redditurus de factis, & alium invocas teſtem eorum quæ fiunt? alium habes judicem, & alium conſtituis ſpectatorem? Non vides aurigas, qui civitate univerſa ſupernè conſidente, in equorum certaminibus, totam ſtadii percurrentes partem, ibi contendunt æmulorum ſuorum currus ſubvertere, ubi viderint Regem ſedentem: & ex tot oculis unum exiſtimant oculum fide digniorem? Tu verò ipſum Angelorum Regem, qui tuis curribus agonotheta adeſt, cernens, illo relicto ad conſervorum confugis oculos? Propter hoc equidem, poſt infinitas luctas, poſt multos ſudores ſine corona recedis, & abſque præmio ad certaminis præſidem abis. Quomodo enim non abſurdum eſt, famulum quidem omnia quæcunque agit, ad placitum heri ſui facere, & nihil magis requirere quàm hujus aſpectum, neque aliorum oculis ad actionem attrahi, etiamſi magni ſint, qui ſpectant, ſed unum ſolum obſervare, ut herus ſpectator ſit: nos verò talem habentes dominum, alios requirere ſpectatores, qui prodeſſe quidem nihil, nocere autem aſpectu poſſunt, omnémque laborem noſtrum inanem reddere? Quòd ſi in recto facto quis ſuperbiens totum perdidit: quanta pœna dignus non fuerit, qui cum peccans iſtud facit? Peccantem enim inſuper etiam animo efferri, longè gravius eſt, quàm peccare. Si gloriari in illis, quæ verè bona ſunt, inſipientia eſt, quanto magis in iis, quæ nihil ſunt? Etenim nihil ita ſceleratos facit & dementes, ſicuti ad vulgi opinionem intentum eſſe: nec quicquàm ita probos & conſtantes facit, quàm eandem contemnere. Idcirco etiam forti admodum opus eſt animo ei, qui tantum impetum & violentiam ſpiritus ſuſtinere debet. Etenim ſi proſperè vivat, ipſe ſe omnibus aliis præponit: ſin contraria ſuſtineat, defodere ſeipſum vult, ab ægritudine ſubmerſus. Et adverte quod dico. Rex Ozias aliquando metas tranſgreſſus, & modum regiæ poteſtatis tranſiliens intravit in templum, cum authoritate incenſum adolere volens.

Ex interpr. Evang. S. Ioan. — gloriam, cœleſtem & terrenam. — Ex interpr. hexaem. — Ex hom. in Oziam. — Ex interpr. Evang. S. Ioan. — Ex interpr. ep. ad Rom. — Ex interpr. ep. 2. ad Cor. — Ex interpr. Evang. S. Matth. — Ex orat. in Oziam. 2. Paral. 26.

Quid igitur Sacerdos? Non licet tibi, ait, incenſum adolere: limites tranſilis: non conceſſa quæris, idcirco etiam quæ accepiſti, perdis: non eſt hoc tuum, ſed meum. Non ego tuam purpuram rapui, ne meum tu rapias ſacerdotium. Ille verò non obedivit, ſed arrogantia inflatus templum ingreſſus eſt, aperuit ſancta ſanctorum, volens incenſum offerre. Quoniam igitur Sacerdos ſpretus fuit, & ſermo ſacerdotii conculcatus, nec quicquam jam ulteriùs potuit, niſi reprehendere, libertatémque oſtendere, ille verò arma movebat, & opum ſuarum abundantia utebatur; Sacerdos inquit: Ego quod meum eſt, feci, nihil ultra poſſum; adjuva ſacerdotium, Domine, quod conculcatur, cujus nunc leges violantur, & jura ſubvertuntur. Et vide quid accidat, continuò erupit lepra in fronte ipſius: ubi impudentia erat, ibi & pœna. Vidiſti Dei in puniendo clementiam? Non fulmen demiſit: non terram concuſſit; non conturbavit cœlum, ſed erupit lepra. & non alio in loco, niſi in fronte: ut tanquam in columna literæ eſſent poſitæ, & veluti lex in ſublimi loco, quæ dicerent: Ne feceritis talia, ne talia patiamini. Quid igitur cervicem extendis, dic mihi? quid in ſummis unguibus incedis? quid ſupercilium contrahis? quid pectus inflas? crinem non potes facere album aut nigrum, & tanquam omnium habens poteſtatem, ita ſuperbis? Forte velles tibi etiam alas eſſe natas, ut non ambulares in terra. Quomodo te appellabo, & demoliar tuam arrogantiam? Appellabo te cinerem & pulverem, & fumum, & ſordes? Sed nondum exacte ſimilitudinem aſſecutus fuero. Videris mihi ſtupæ combuſtæ aſſimilis eſſe. Illa etenim dum tumere videtur poſt incenſionem, & aſſurgere, exiguum manus attactum ſi ſuſtineat, tota depreſſa eſt, & quovis cinere vilior apparet. Et quemadmodum aquarum bullæ, dum in altum elevantur, perquam facilè rumpuntur; ita qui inani gloria inflantur, facilè pereunt. Nullum enim ſuperbiæ æquale malum. Nam & cum diabolus antea non eſſet talis, hoc modo diabolus factus eſt. Et cum primus homo iſta ſpe à diabolo inflatus eſſet, præcipitatus & mortalis factus eſt. Sperans enim ſe Deum fore, etiam id quod habuit, perdidit. Quod ideo etiam Deus ei exprobrans, mentémque ipſius perſtringens, dixit: Ecce Adam factus eſt, ſicut unus ex nobis. Ac ſi diabolus exigua poteſtate contra beatum Jobum accepta, radicitùs domum ipſius convulſit, corpus commanducavit, ſubſtantiam perdidit, liberos obruit, carnem perforavit, uxorem adhibuit; amicos, inimicos, famulos, ut talia dicerent, promptos effecit: ſi non innumeris cohiberetur vinculis, quomodo non omnes vaſtaſſent? malitioſa enim eſt hæc & inſatiabilis bellua: & niſi aſſiduè frænaretur, omnia ſubverteret & confunderet. Idcirco ipſi Dominus, utpote benignus, non contra omnes poteſtatem dat. Quem decet gloria & imperium nunc & ſemper, & in ſecula ſeculorum, Amen.

Ex interpr. ep. ad Rom.

Ex interpr. Evang. S. Matth.

τί οὖν ὁ ἱερεύς; οὐκ ἔξεστί σοι, βασιλεῦ, θυμιᾶσαι· ὑπερβαίνεις τὰ σκάμματα· τὰ μὴ διδόμενα ζητεῖς· διὰ τοῦτο καὶ ἃ ἔλαβες, ἀπολεῖς· οὐκ ἔστι σὸν τοῦτο, ἀλλ᾽ ἐμόν. μὴ ἥρπασά σου τὴν πορφυρίδα· μὴ ἁρπάσῃς μου τὴν ἱερωσύνην. ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ τῇ ἀπονοίᾳ φυσώμενος ἐπεπήδησεν εἰς τὸ ἱερὸν, ἀνεπέτασε τὰ ἅγια τῶν ἁγίων θέλων θυμιᾶσαι. ἐπεὶ οὖν ὁ ἱερεὺς κατεφρονήθη, καὶ λόγος ἱερωσύνης ἐπατεῖτο, καὶ οὐδὲν ἠδύνατο οὐκέτι λοιπὸν, ἢ μόνον ἐλέγχειν, καὶ παῤῥησίαν ἐπιδείκνυσθαι, ὁ δὲ καὶ ὅπλα ἐκίνει, καὶ περιουσίᾳ ἐνέχειτο τῇ ἑαυτοῦ, ὁ ἱερεύς φησιν· ἐγὼ τὸ ἐμαυτοῦ ἐποίησα, οὐδὲν πλέον δύναμαι, βοήθησον ἱερωσύνῃ, Κύριε, πατουμένῃ, ἧς νῦν οἱ νόμοι ἀδικοῦνται, καὶ οἱ θεσμοὶ ἀνατρέπονται. καὶ ὅρα τί γίνεται. εὐθέως ἐξήνθησε λέπρα εἰς τὸ μέτωπον αὐτοῦ· ὅπου ἡ ἀναισχυντία, ἐκεῖ καὶ ἡ τιμωρία. εἶδες φιλανθρωπίαν τοῦ Θεοῦ τιμωρίας; οὐ κεραυνὸν ἀφῆκεν· οὐ γῆν ἔσεισεν. οὐ συνετάραξε τὸν οὐρανὸν, ἀλλ᾽ ἐξήνθησεν ἡ λέπρα· καὶ οὐκ ἐν ἄλλῳ τόπῳ, ἀλλ᾽ ἐπὶ τοῦ μετώπου· ἵνα ὡς ἐν στήλῃ τὰ γράμματα ᾖ κείμενα, καθάπερ νόμος ἐν ὑψηλῷ τινι τόπῳ, λέγοντα, μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. τί τείνων τὸν αὐχένα ἀνατείνεις, εἰπέ μοι; τί βαδίζεις ἐπ᾽ ἄκρων ὀνύχων· τί τὰς ὀφρῦς ἀνασπᾷς· τί τὸ στῆθος φυσᾷς· τρίχα οὐ δύνασαι ποιῆσαι λευκὴν ἢ μέλαιναν, καὶ ὡς πάντων κρατῶν οὕτως ἀκροβατεῖς; τάχα ἐβούλου σοι καὶ πτερὰ φῦναι, ἵνα μὴ βαδίζῃς ἐπὶ τῆς γῆς. τί σε καλέσω καὶ καθέλω σου τὴν ἀπόνοιαν. εἴπω σε τέφραν, καὶ κόνιν, καὶ καπνὸν, καὶ κονιορτόν; ἀλλ᾽ οὐδέπω ἀκριβῶς τῆς εἰκόνος ἐπελαβόμην. ἐμοὶ δοκεῖς στυππείῳ καταφλεχθέντι προσεοικέναι· καὶ γὰρ ἐκεῖνο δοκοῦν οἰδεῖν μετὰ τὸν ἐμπρησμὸν, καὶ διανεστηκέναι, μικρὰν χειρὸς ἀφὴν ἂν ὑπομείνῃ, κατηνέχθη τε ἅπαν, καὶ τέφρας ἁπάσης εὐτελέστερον ἐφάνη. καὶ ὥσπερ αἱ πομφόλυγες εἰς ὕψος αἰρόμεναι μέγα εὐκόλως ῥήγνυνται, οὕτω καὶ οἱ τῇ κενοδοξίᾳ φυσώμενοι ῥᾳδίως ἀπόλλυνται. οὐδὲν γὰρ ἀπονοίας ἴσον κακόν. ὅτε γὰρ διάβολος οὐκ ἦν πρὸ τούτου τοιοῦτος, οὕτω διάβολος γέγονεν. ὅτε πρῶτος ἄνθρωπος ταύταις παρὰ τοῦ διαβόλου φυσηθεὶς ταῖς ἐλπίσιν, ἐξετραχηλίσθη καὶ θνητὸς ἐγένετο. προσδοκήσας γὰρ ἔσεσθαι θεὸς, καὶ ὅπερ εἶχεν, ἀπώλεσεν. ὅπερ οὖν καὶ ὁ Θεὸς ὀνειδίζων αὐτῷ, καὶ τὴν διάνοιαν αὐτοῦ κωμῳδῶν ἔλεγεν· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν. καὶ ἐπὶ τοῦ μακαρίου δὲ Ἰὼβ, εἰ μικράν τινα λαβὼν ἐπιτροπὴν ὁ διάβολος, πρόῤῥιζον αὐτοῦ τὸν οἶκον ἀνέσπασε, τὸ σῶμα διεμασήσατο, τὴν οὐσίαν διέφθειρε, τοὺς παῖδας κατέχωσε, τὴν σάρκα ἐνέτρησε, τὴν γυναῖκα ἐπέστησε, τοὺς φίλους, τοὺς ἐχθροὺς, τοὺς οἰκέτας τοιαῦτα εἰπεῖν παρεσκεύασεν· εἰ μὴ μυρίοις κατείχετο δεσμοῖς, πῶς οὐκ ἂν πάντας ἐλυμήνατο; πονηρὸν γὰρ τὸ θηρίον τοῦτο καὶ ἀκόρεστον· καὶ εἰ μὴ συνεχῶς ἐχαλινοῦτο, πάντα ἂν ἀνέτρεψε καὶ συνέχεε. διὰ τοῦτο χώραν αὐτῷ κατὰ πάντων ὁ δεσπότης οὐ δίδωσιν, ὡς φιλάνθρωπος. ᾧ πρέπει δόξα καὶ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

De Invidia.

HOMILIA XVII.

Ex ep. 1. ad Cor.

NIhil ita nos ab invicem ſeparare & divellere conſuevit, ſicut Invidia & Livor, gravis ille morbus, omnique carens venia; ipſa quoque omnium malorum radice, avaritia, longè ſævior. Avarus enim tunc lætatur, cùm ipſe aliquid accipit: invidus autem cùm alius nihil accipit, delectatur; ſuum exiſtimans beneficium, aliorum infelicitatem. Quo quid inſanius eſſe poſſit? Propria enim mala negligens aliorum bonis contabeſcit, inacceſſum ſibi ipſi faciens cœlum: & verò ante cœlum ipſum, etiam præſentem vitam injucundam & acerbam. Non enim ita lignum & lanam inſidens tinea & vermis corrodere ſolet, ſicut invidiæ febris ipſa invidentium abſumit oſſa, animique labefactat moderationem. Non erravit quis, ſi belluis & dæmonibus pejores invidos appellaverit. Belluæ enim cum alimento indigent, aut cùm priùs à nobis ſunt concitatæ, tum demum ſeſe contra nos armant: hi verò beneficiis etiam affecti, frequenter eodem modo, quo injuria ſe afficientes, benefactores tractaverunt. Et dæmones in nos quidem implacabile odium habent: iis autem, qui ejuſdem generis ſunt, cum ipſis, non inſidiantur: hi verò neque naturæ communitatem reverentur, neq; propriæ ſaluti parcunt; ſed ante illos, quibus invident, ſuas ipſi animas pœnis afficiunt, omni tumultu & triſtitia eas temerè & ſine cauſa complentes. Ejuſmodi quid eſt Invidia, ut ea pejus vitium non facilè fuerit. Etenim adulter voluptatem ſaltem aliquam percipit, & brevi tempore perficit peccatum ſuum: Invidus autem ſeipſum priùs, quàm cui invidet, punit & cruciat, nec unquam à peccato deſiſtit, ſed in eo faciendo eſt aſſiduus.

Περὶ Φθόνου.

Λόγος ιζʹ.

ΟΥΔΕΝ οὕτω μερίζειν καὶ διασπᾶν ἡμᾶς ἀπ᾽ ἀλλήλων εἴωθεν, ὡς φθόνος καὶ βασκανία. τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πάσης ἀπεστερημένον συγγνώμης, καὶ τῆς τῶν κακῶν ῥίζης τῆς φιλαργυρίας, κατὰ πολὺ χαλεπώτερον. ὁ μὲν γὰρ φιλάργυρος τότε ἥδεται, ὅταν αὐτὸς λάβῃ· ὁ δὲ βάσκανος τότε ἥδεται, ὅταν ἕτερος μὴ λάβῃ, εὐεργεσίαν οἰκείαν νομίζων τὴν ἑτέρων κακοπραγίαν. οὗ τί γένοιτ᾽ ἂν μανικώτερον; τῶν γὰρ οἰκείων κακῶν ἀμελῶν, ἐπὶ τοῖς ἀλλοτρίοις τήκεται καλοῖς, ἄβατον ἑαυτῷ κατασκευάζων τὸν οὐρανόν· καὶ πρὸ τοῦ οὐρανοῦ δὲ, καὶ τὸν παρόντα βίον ἀβίωτον. οὐδὲ γὰρ οὕτω ξύλον καὶ ἔριον σὴς ἐγκαθήμενος καὶ σκώληξ διατρώγειν οἶδεν, ὡς ὁ τῆς βασκανίας πυρετὸς αὐτὰ κατεσθίει τὰ ὀστᾶ τῶν βασκαινόντων, καὶ τὴν τῆς ψυχῆς σωφροσύνην λυμαίνεται. οὐκ ἄν τις ἁμάρτοι καὶ θηρίων καὶ δαιμόνων χείρους τοὺς βασκαίνοντας προσειπών. τὰ μὲν γὰρ ἢ τροφῆς δεόμενα, ἢ πρότερον ὑφ᾽ ἡμῶν παροξυνθέντα, τότε καθ᾽ ἡμῶν καθοπλίζεται· οὗτοι δὲ καὶ εὐεργετηθέντες πολλάκις τὰ τῶν ἀδικούντων τοὺς εὐεργέτας διέθηκαν. καὶ οἱ μὲν δαίμονες πρὸς μὲν ἡμᾶς ἄσπονδον ἔχουσιν ἔχθραν· τοῖς δὲ ὁμογενέσιν οὐκ ἐπιβουλεύουσιν· οὗτοι δὲ οὐδὲ τὴν κοινωνίαν αἰδοῦνται τῆς φύσεως, οὐδὲ τῆς οἰκείας φείδονται σωτηρίας, ἀλλὰ πρὸ τῶν φθονουμένων τὰς ἑαυτῶν ψυχὰς κολάζουσι, θορύβου παντὸς καὶ ἀθυμίας πληροῦντες αὐτὰς εἰκῇ καὶ μάτην. τοιοῦτον ἡ βασκανία, ἧς οὐκ ἂν γένοιτο κακία χείρων. ὁ μὲν γὰρ μοιχὸς καὶ ἡδονὴν καρποῦταί τινα, καὶ ἐν βραχεῖ χρόνῳ τὴν ἁμαρτίαν ἀπαρτίζει τὴν ἑαυτοῦ. ὁ δὲ βάσκανος πρὸ τοῦ φθονουμένου ἑαυτὸν κολάζει καὶ τιμωρεῖται, καὶ οὐδέποτε παύεται τῆς ἁμαρτίας, ἀλλ᾽ ἐν τῷ πράττειν αὐτὴν ἐστὶ διηνεκής. καθάπερ

ὥσπερ γὰρ χοῖρος βορβόρῳ, καὶ δαίμων βλάβῃ χαίρει τῇ ἡμετέρᾳ, οὕτω καὶ οὗτος τοῖς τοῦ πλησίον χαίρει κακοῖς· κἂν γένηταί τι ἀηδὲς, τότε ἀναπαύεται καὶ ἀναπνεῖ, τὰς ἀλλοτρίας συμφορὰς οἰκείας εὐθυμίας ἡγούμενος, καὶ οἰκεῖα κακὰ τὰ τῶν ἄλλων ἀγαθά. καὶ καθάπερ οἱ κάνθαροι τρέφονται κόπρῳ, οὕτω καὶ οὗτοι ταῖς ἑτέρων δυσημερίαις, κοινοί τινες ἐχθροὶ καὶ πολέμιοι τῆς φύσεως ὄντες. καὶ οἱ μὲν ἄλλοι ἄλογον κατασφαττόμενον ἐλεοῦσιν· οὗτοι δὲ ἄνθρωπον ὁρῶντες εὐεργετούμενον, ἐκθηριοῦνται, καὶ τρέμουσι, καὶ ὠχριῶσι. καὶ τί ταύτης τῆς μανίας χεῖρον γένοιτ' ἄν; τί ὠχριᾷς εἰπέ μοι; καὶ τρέμεις, καὶ περιδεὴς ἕστηκας; τί γέγονε δεινόν; ὅτι λαμπρὸς ὁ ἀδελφὸς καὶ περιφανὴς καὶ εὐδόκιμος; οὐκ οὖν στεφανοῦσθαί σε ἔδει καὶ χαίρειν καὶ τὸν Θεὸν δοξάζειν, ὅτι τὸ μέλος τὸ σὸν ὁρᾷς λαμπρὸν καὶ περιφανές; ἀλλὰ ἀλγεῖς ὅτι ὁ Θεὸς δοξάζεται; ὁρᾷς ποῦ ὁ πόλεμος τείνει. οὐκ οὗτό με λυπεῖ, φησὶν, ἀλλὰ δι' ἐμοῦ τὸν Θεὸν ἐβουλόμην δοξάζεσθαι· οὐκοῦν χαῖρε εὐδοκιμοῦντος τοῦ ἀδελφοῦ, καὶ δοξάζεται διά σου πάλιν ὁ Θεός. εἰ γὰρ καὶ πολέμιος ἦν καὶ ἐχθρὸς, ὁ δὲ Θεὸς δι' αὐτοῦ ἐδοξάζετο, φίλον ἔδει ποιήσασθαι διὰ τοῦτο. σὺ δὲ τὸν φίλον ἐχθρὸν ποιεῖς, ἐπειδὴ ὁ Θεὸς δοξάζεται δι' αὐτῆς εὐδοκιμήσεως ἐκείνου. καὶ πῶς ἂν ἑτέρως τὸν πρὸς Χριστὸν ἐπεδείξω πόλεμον; διὰ τοῦτο κἂν σημεῖά τις ποιῇ, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν χαμευνίαν ἐπιδείξηται, καὶ πρὸς τοὺς ἀγγέλους διὰ ταύτης φθάσῃ τῆς ἀρετῆς, τῷ δὲ τῆς βασκανίας ὑποκείμενος ᾖ πάθει, πάντων ἐστὶν ἐναγέστερος. εἰ γὰρ τὸ φιλεῖν τοὺς φιλοῦντας οὐδὲν ἡμᾶς πλέον ἔχειν ἀφίησι τῶν ἐθνικῶν, ὁ τοῖς φιλοῦσι βασκαίνων, ποῦ στήσεται; καὶ γὰρ τοῦ πολεμεῖν χεῖρόν ἐστι τὸ βασκαίνειν. ὁ μὲν γὰρ πολεμῶν, τῆς αἰτίας λυθείσης, δι' ἣν ὁ πόλεμος, καὶ τὴν ἔχθραν κατέλυσεν· ὁ δὲ βάσκανος οὐδέποτε ἂν γένοιτο φίλος. καὶ ὁ μὲν φανερὰν τὴν μάχην ἐπιδείκνυται· ὁ δὲ συνεσκιασμένην. καὶ ὁ μὲν αἰτίαν ἔχει πολλάκις εἰπεῖν εὔλογον τοῦ πολέμου· ὁ δὲ οὐδὲν ἕτερον ἢ μανίαν καὶ γνώμην σατανικήν. καὶ ὥσπερ ὁ ἀδικῶν οὐκ ἀδικεῖ, ἀλλ' ἀδικεῖται· οὕτω καὶ ὁ τῷ πλησίον ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ. καὶ ὥσπερ εἰ ἀδικοῦμεν τοὺς πλησίον, ἑαυτοὺς ἀδικοῦμεν, οὕτως εὖ ποιοῦντες αὐτοὺς, ἑαυτοὺς εὖ ποιοῦμεν. ὁ γὰρ κακῶς ἀκούων ψευδῆ, οὐ μόνον οὐκ ἠδίκηται, ἀλλὰ μισθὸν ἔχει μέγιστον. οὐ γὰρ ὁ πάσχων, ἀλλ' ὁ δρῶν κακῶς, οὗτός ἐστιν ὁ τῆς τιμωρίας ἄξιος, ἂν μὴ παράσχῃ λαβὰς τῆς κακηγορίας εὐλόγους ἐκεῖνος. καὶ ὥσπερ ἀμήχανον παρὰ πάντων ἀκούειν καλῶς τὸν ἐνάρετον, οὕτως ἀμήχανον παρὰ πάντων ἀκούειν κακῶς, ἂν μὴ πολλὰς πολλαχόθεν αὐτὸς ἑαυτῷ παράσχῃ τὰς ἀφορμάς. αἱ δημόσιαι δὲ γινόμεναι κακηγορίαι πολλάκις ἰταμοὺς καὶ ἀναισχυντοτέρους τοὺς ἀνθρώπους ποιοῦσιν. ἕως μὲν γὰρ ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, ἐπανελθεῖν ῥᾳδίως αἱροῦνται· ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσίν τε ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. ἀλλ' ἠδικήθης τι παρ' αὐτοῦ. τί τοίνυν καὶ σαυτὸν ἀδικεῖς; ὁ γὰρ ἀμυνόμενος καθ' ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. εἰ τοίνυν βούλει καὶ σαυτὸν εὐεργετῆσαι κἀκεῖνον ἀμύνασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· ἂν δὲ κακῶς εἴπῃς, οὐ πιστευθήσῃ, τὴν ἔχθραν τὴν ὑποψίαν δεχόμενος. ἡ γὰρ ἔχθρα προαπαντῶσα τῇ τῶν ἀκουόντων διανοίᾳ, οὐκ ἀφίησιν αὐτῶν ἐντεθῆναι ταῖς ἀκοαῖς τὰ λεγόμενα. μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σαυτὸν μολύνῃς· μηδὲ βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ πλινθείας, ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε καὶ ἴων, καὶ τῶν λοιπῶν ἀνθέων. μηδὲ κόπρον ἀπὸ τοῦ στόματος φέρε, καθάπερ οἱ κάνθαροι· τοιοῦτοι γὰρ οἱ κακηγοροῦντες· αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτον. τὸν μὲν γὰρ λοίδορον πάντες ἀποστρέφονται, ὡς σαπρὸν ὄζοντα, καθάπερ τινὰ βδέλλαν ἢ κάνθαρον κόπρῳ τρεφόμενον, τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα, ὡς κοινὸν προσίενται μέλος, καὶ ὡς ἀδελφὸν γνήσιον. τί γὰρ τὸν Ἄβελ ἠδίκησεν ὁ Κάϊν; οὐκ ἐκεῖνον μὲν ταχύτερον ἄκων εἰς βασιλείαν παρέπεμψεν, ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς; τί τὸν Ἰακὼβ ἔβλαψεν Ἡσαῦ; οὐχ ὁ μὲν ἐπλούτει, καὶ μυρίων ἀπέλαυεν ἀγαθῶν· αὐτὸς δὲ καὶ τῆς πατρῴας οἰκίας ἐξέπιπτεν; οἱ δὲ ἀδελφοὶ τί τὸν Ἰωσὴφ ἐποίησαν χεῖρον· καίτοι μέχρις αἵματος ἐλθόντες; οὐχὶ οὗτοι μὲν καὶ λιμὸν ὑπέμειναν, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, ἐκεῖνος δὲ βασιλεὺς τῆς Αἰγύπτου γέγονε πάσης; ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ μειζόνων γίγνῃ πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ. Θεὸς γάρ ἐστιν ὁ πάντα ἐφορῶν· καὶ ὅταν ἴδῃ τὸν οὐδὲν ἀδικοῦντα ἀδικούμενον, μᾶλλον ἐπαίρει καὶ ποιεῖ λαμπρὸν, καὶ ταύτῃ σε κολάζει. εἰ γὰρ τοὺς ἐφηδομένους τοῖς ἐχθροῖς οὐκ ἀφίησιν ἀτιμωρήτους παρελθεῖν, πολλῷ μᾶλλον τοὺς βασκαίνοντας τοῖς οὐδὲν ἠδικηκόσιν. εἰ γὰρ ὁ τὸν φιλοῦντα ἀγαπῶν, οὐδὲν πλέον ἔχει τελωνῶν, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν, ποίας τεύξεται φιλανθρωπίας; τίνος οὖν ἕνεκεν ἀλγεῖς, ἄνθρωπε, τοῖς τοῦ πλησίον καλοῖς; εἰ γὰρ ἀλγεῖν δεῖ, ἐφ' οἷς αὐτοὶ πάσχομεν κακοῖς,

Quemadmodum enim porcus luto, & dæmon pernicie noſtra gaudet: ita hic quoque proximi lætatur malis: ac ſi quid triſte accidat, tunc refocillatus ac reſpirat, alienas calamitates ſuam jucunditatem, ſuáque mala aliorum bona ducens. Et ſicuti ſcarabæi aluntur ſtercore; ita etiam iſti alienis adverſitatibus; communes quidam inimici & hoſtes naturæ. Et alii quidem bruti animalis, cùm mactatur, miſerentur: iſte verò hominem cernentes beneficio affici, efferantur, & tremunt & expalleſcunt. Et quid hac inſania pejus eſſe poſſit? Cur expalleſcis, dic mihi, & tremis & ſtas trepidus? Quid mali accidit? An quia clarus eſt frater, & ſpectabilis & probus? Non igitur coronari te oportebat & gaudere, Deúmque laudibus celebrare, quòd membrum tuum illuſtre & conſpicuum videas? An verò doles quòd Deus laudibus cumuletur? vide quò bellum tendat. Non hoc me turbat, inquit, ſed per me Deum cuperem celebrari. Gaude igitur, cùm frater tuus bene audit, & denuo per te Deus laudibus celebratur. Etiamſi enim hoſtis eſſet & inimicus, Deus autem per ipſum celebraretur, amicum facere ob hoc oporteret. Tu verò ex amico inimicum facis, quoniam Deus per hunc nominis illius ſplendorem laudibus colitur. Et quomodo aliter bellum contra Chriſtum oſtendiſſes? Propterea ſive ſigna quis faciat; ſive virginitatem, ſive jejunium, ſive humi dormitionem oſtenderit, ac per ejuſmodi virtutem ad Angelos uſque pervenerit, invidiæ verò ſubjectus ſit affectui, omnibus eſt execrabilior. Si enim amicos diligere, nihil nos amplius Ethnicis habere ſinit; ubi ille ſtabit, qui etiam amicis invidet? Etenim invidere pejus eſt, quàm bellum inferre. Qui enim bellum infert, ſublata belli cauſa, inimicitias quoque diſſolvit: At invidus nunquam amicus fuerit. Et ille quidem manifeſtum certamen oſtendit: hic verò obſcurum. Atque ille rurſus frequenter juſtam cauſam belli dicere habet: hic verò nihil, quàm inſaniam, mentémque ſatanicam. Et ſicut qui injuria afficit, non lædit, ſed læditur: ita qui proximo inſidias ſtruit, ſeipſum interimit. Ac velut cùm proximos lædimus, nos ipſos lædimus: ſic etiam cùm illis benefacimus, nobis ipſis benefacimus. Nam qui malè audit, falsò tamen, non ſolùm læſus non eſt, ſed & maximam habet mercedem. Non enim qui mala patitur, ſed qui facit, hic ſupplicio dignus eſt: ſi ille non juſtas maledicentiæ anſas præbeat. Et ſicut fieri non poteſt, ut ab omnibus bene audiat virtute præditus: ita non poteſt fieri, ut ab omnibus malè audiat, niſi multas ex multis rebus ipſe ſibi præbeat occaſiones. Quæ verò publicè fiunt maledicta, frequenter improbos & impudentiores faciunt homines. Pleríque enim peccantium, quandiu vident ſe latere poſſe, facilè reditum in animo conſtituunt: cùm verò ſuam apud vulgus exiſtimationem amiſerint, & in deſperationem incidunt, & impudentes evadunt. At enim injuriæ aliquid ab ipſo accepiſti. Quid igitur teipſum quoque injuria afficis? Qui enim ſuam injuriam ulciſcitur, contra ſeipſum gladium impellit. Si igitur & tibi ipſe benefacere, & illum ulciſci velis, loquere honorificè de eo, qui te offendit: Si verò malè de eo loquaris, non habeberis dignus fide, de inimicitiis ſcilicet ſuſpectus. Etenim inimicitiæ, dum audientium cogitationibus occurrunt, non permittunt, ea quæ dicuntur, in eorum auribus reponi. Ne igitur maledicas, ne teipſum quoque contamines: neque ſordes cum luto & opere lateritio texas, ſed necte ex roſis & violis, cæteriſque floribus, coronas. Neque ſtercus ab ore profer, quemadmodum ſcarabæi; tales enim ſunt vituperatores: ipſi primò graveolentiam percipiunt. Omnes enim convitiatorem averſantur, tanquam putidum ſeu rancidum quid olentem; velut hirudinem quandam, aut ſcarabæum, qui fimo alitur, aliorum ſcilicet malis: qui verò os favens & bona verba dicens habet, hunc velut commune membrum, & tanquam fratrem germanum recipiunt. Quid enim Abeli nocuit Cain? nonne illum quidem citius ad regnum invitus tranſmiſit, ſeipſum verò innumeris malis confodit? Quid Jacobo damni attulit Eſau? nonne ille quidem dives erat, atque innumerabilibus perfruebatur bonis; hic verò paterna etiam domo ejiciebatur? Fratres porrò Joſephi, quodnam gravius malum ipſi intulerunt? maximè cùm ad ſanguinem uſque pervenerint. Nonne illi quidem famem paſſi ſunt, & extrema pericula adierunt; hic verò Rex univerſæ Ægypti factus eſt? Quanto enim magis invides, tanto majora bona ei, cui invides, procuras. Deus enim eſt, qui omnia inſpicit: ac ſi injuria affici videat eum, qui injuriam nulli infert, magis extollit, clarúmque reddit; atque hunc in modum te caſtigat. Quòd ſi inimicis inſultantes non permittit impunitos tranſire, multò magis eos, qui invident his, qui nihil nocuerunt. Si enim qui amicum diligit, nihil plus habet Publicanis, quam ille experietur clementiam, qui innocentem odio proſequitur? Quare igitur doles, ô homo, proximi bonis? Nā ſi dolere oporteret, ob ea, quæ nos patimur mala, dolere

Ex interpr. Evang. S. Matth.

Ex interpr. ep. ad Rom.

Ex interpr. ep. ad Phil.

Ex interpr. Pſalm. 49.

Ex interpr. Evang. S. Joan.

dolere oportebat, non ob quæ alios probos haberi videmus. A An ignoras, omni venia hoc ipſum peccatum carere? Ac merito illud quidem. Etenim fornicator cupiditatem prætendere poteſt, fur inopiam, & homicida iram: frigidas quidem cauſas & minime juſtas: habent tamen quas dicant: tu verò quam cauſam commemorabis, dic mihi? nullam, niſi vehementem tuam improbitatem. Si enim inimicos diligere jubemur, quam perſolvemus pœnam, ſi amicos quoque odio proſequamur? Nam ſi is, qui amantes ſe diligit, nihil melius ſeſe ha- B bet quam ethnici, quam habebit veniam, qui nullam injuriam inferentes vexat? Dæmon invidet quidem, ſed hominibus, dæmonum verò nulli: Tu verò homo cùm ſis, hominibus invides? Et quam veniam conſequeris? Malum quoddam invidia eſt, grave inquam malum: propriamque jubet deſpicere ſalutem. Sic enim Saul malum dæmonem contra animam ſuam accerſivit: & poſtquam accerſiſſet, medicum invidia proſequebatur. Talis enim res eſt invidia. Sciebat ſe ſanatum, & C perire malebat, quàm celebrem videre eum, qui ſe ſanaſſet. Et ſi vultis, declarabo vobis quibus David Saulem beneficiis affecerit, & quibus hic illum deinde remuneratus ſit. Cùm aliquando Judæos bellum graviſſimum occuparet, omnéſque conſternati & in metu eſſent, nec quiſquam proſpicere auderet: ſed in extremis tota civitas eſſet, & mortem ſinguli ante oculos viderent, omnéſque indies morituros ſe exiſtimarent, ingreſſus iſte ab ovibus ad aciem, bellum, quod omnibus inſtabat, in ſe ſuſce- D pit: idque nullam videns neceſſitatem ſibi incumbentem, imò etiam multos habens ſibi obſtantes (etenim & frater eum increpabat, & Rex ad immaturam ætatem reſpiciens retinebat, & manere jubebat) in ſe calefactus ad barbaros accurrit, tantámque erga Regem curam oſtendit, ut etiam ante bellum & victoriam in facie ipſum jacentem erigeret, dicens: Ne concidat cor Domini mei propter ipſum: quia ſervus tuus ibit, & pugnabit cum alienigena iſto. An hoc parum eſt, rogo? quòd, E qui nulla neceſſitate urgeretur, animam ſuam impenderet, atque ob illorum commodum, à quibus unquam beneficio eſſet affectus, in medios inſiliret hoſtes? An non ipſum poſt hæc oportebat domini titulo inſignire, & communem civitatis ſervatorem appellare, ut qui omnium vitam, adjuvante Dei gratia, conſervaſſet? Quod enim aliud majus iſto beneficium erat? Non enim in pecuniis, nec in honore & potentia, ſed ipſa ſua anima beneficium hoc contulit, & ab ipſis eum revocavit por- A tis mortis: perque illum de cætero Rex vivebat, regnoque perfruebatur. Quibus igitur poſtea eum remuneratus eſt? Si enim quis rectè factorum magnitudinem reſpiciat, licet coronam à ſuo capite ablatam Davidis capiti impoſuiſſet, nondum juſtum reddidiſſet præmium, ſed plus debuiſſet. Hic ſiquidem & vitam & regnum ipſi largitus eſt: ille verò ſolo regno cedere deberet. Videamus tamen quæ ſint ipſius remunerationes. Poſtquam barbaro caput abſtuliſſet, & ſpolia habens rediſſet, ex- B iverunt chori mulierum cantantes & dicentes: Percuſſit Saul mille, & David decem millia. Et iratus eſt Saul, & reſpiciebat Davidem à die illa. Cujus quæſo gratia? Si enim mirabile quid dicere oportet, Sauli potiùs quàm Davidi gratificatæ ſunt, hæc dicentes: Et contentum ipſum eſſe oportebat, quòd millenos ſaltem ei dediſſent. Quid ergo indignatur, quòd denos millenos illi dederint? Si enim aliquid ad hoc bellum feciſſet, & aliquam ſaltem exiguam partem contuliſſet, rectè hæc C diceretur, quòd Saul mille & David decem millia. Cùm verò ipſe quidem metuens & tremens ſederit, in ſingulos dies moriturum ſe exiſtimans; David verò totum confecerit: quomodo non abſurdum erat, eum qui nihil ad pericula propulſando contuliſſet, indignari, quòd non potiorem lætæ acclamationis partem tulerit? Si enim indignari oportebat, Davidem certè oportebat quòd cùm ipſe totum laudabiliter geſſiſſet, alium haberet laudis partitorem. Sed ejuſmodi res eſt invidia: non ſuſti- D net benignè aliorum aſpicere felicitatem: ſed proximi proſperitatem, ſuam infelicitatem eſſe arbitratur, boniſque proximi contabeſcit. Quale quid Rex Gerarorum paſſus eſt: dum videret Iſaaci quotidie augeri facultates, timebat, & inde diſcedere juſtum cogebat. Sed æquum eſt, ipſa ſacræ Scripturæ verba audire. *Seminabat autem,* inquit, *Iſaac in terra illa, & invenit in illo anno hordeum centuplum.* Vides liberalitatem Domini? vides beneficentiæ amplificationem? Sed videamus et- E iam Regis invidiam, quæ naſcebatur ob abundantiam Juſti. Recede, inquit, à nobis, quoniam potentior nobis factus es. Et revera potentior erat; quippe qui ſupernum in omnibus auxilium haberet, & à dextra Dei protegeretur. Quò igitur expellis juſtum? An neſcis, quia quocunque ipſum contingat abire,

Ex interp. ep. 2. ad Cor. — *Ex interpr. ep. 1. ad Cor.* — Gen. 26, 12. — *Ex interpr. hexaem.*

A ἀλγεῖν ἐχρῆν, οὐκ ἐφ' οἷς ἑτέρους εὐδοκιμοῦντας ὁρῶμεν. ἢ οὐκ οἶδας, ὅτι πάσης ἀπεστέρηται συγγνώμης τοῦτο τὸ ἁμάρτημα; καὶ εἰκότως. ὁ μὲν γὰρ πόρνος ἔχει τὴν ἐπιθυμίαν εἰπεῖν, καὶ ὁ κλέπτης τὴν πενίαν, καὶ ὁ ἀνδροφόνος τὸν θυμὸν, ψυχρὰς μὲν καὶ ἀλόγους· ὅμως δὲ ἔχουσί τινας προφάσεις εἰπεῖν· σὺ δὲ ποίαν αἰτίαν ἐρεῖς εἰπέ μοι; οὐδεμίαν, ἀλλ' ἢ πονηρίαν ἐπιτεταμένην μόνον. εἰ γὰρ ἐχθροὺς ἀγαπᾷν κελευόμεθα, ὅταν καὶ τοὺς φιλοῦντας μισῶμεν; ποίαν τίσομεν δίκην; εἰ γὰρ ὁ B τοὺς φιλοῦντας ἀγαπῶν, οὐδὲν ἄμεινον τῶν ἐθνικῶν διακείσεται, ὁ τοὺς μηδὲν ἠδικηκότας ἐπηρεάζων, ποίας ἔξει συγγνώμης; ὁ δαίμων φθονεῖ μὲν, ἀνθρώποις δὲ, δαίμονι δὲ οὐδενί. σὺ δὲ ἄνθρωπος ὢν, ἀνθρώποις φθονεῖς; καὶ ποίας τεύξῃ συγγνώμης; δεινὸν ἡ βασκανία, δεινὸν, καὶ τῆς οἰκείας ἀναπείθει καταφρονεῖν σωτηρίας. οὕτω γὰρ ὁ Σαοὺλ δαίμονα πονηρὸν ἐκάλεσε κατὰ τῆς ἑαυτοῦ ψυχῆς· καὶ καλέσας τὸν ἰατρὸν πάλιν ἐβάσκαινε. τοιοῦτον γὰρ ὁ φθόνος. ᾔδει ὅτι ἐσώθη, καὶ ἀπολέσθαι C μᾶλλον ἤθελεν, ἢ τὸν σώσαντα εὐδοκιμοῦντα ἰδεῖν. καὶ εἰ βούλεσθε, διηγήσομαι ὑμῖν τίνας εὐεργεσίας εὐηργέτησεν ὁ Δαβὶδ τὸν Σαοὺλ, καὶ τίσιν αὐτὸν μετὰ ταῦτα ἐκεῖνος ἠμείψατο. πολέμου ποτὲ τοὺς Ἰουδαίους καταλαβόντος χαλεπωτάτου, καὶ πάντων καταπεπληγότων καὶ δεδοικότων, καὶ οὐδενὸς προκύψαι τολμῶντος, ἀλλ' ἐν ἐσχάτοις τῆς πόλεως οὔσης ἁπάσης, καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἑκάστου βλέποντος, καὶ καθ' ἑκάστην ἀποθανεῖσθαι τὴν ἡμέραν προσδοκώντων ἁπάντων, εἰσελθὼν οὗτος ἀπὸ τῶν προβάτων ἐπὶ τὴν παράταξιν, τὸν ἁπάντων ἀνε- D δέξατο πόλεμον, καὶ οὐδεμίαν ὁρῶν ἀνάγκην ἐπικειμένην αὐτῷ, ἀλλὰ καὶ πολλοὺς τοὺς κωλύοντας ἔχων· [καὶ γὰρ καὶ ὁ ἀδελφὸς ἐπετίμα, καὶ ὁ βασιλεὺς πρὸς τὸ τῆς ἡλικίας ἄωρον ἀφορῶν κατεῖχε καὶ μένειν ἐκέλευε] διαθερμανθεὶς οἴκοθεν ἐπὶ τοὺς βαρβάρους ἐπεξῆλθε, καὶ τοσαύτην κηδεμονίαν περὶ τὸν βασιλέα ἐπεδείξατο, ὡς καὶ πρὸ τοῦ πολέμου καὶ τῆς νίκης ἐπ' ὄψιν αὐτὸν κείμενον ἀναστῆσαι εἰπὼν, μὴ συμπεσέτω ἡ καρδία τοῦ Κυρίου μου δι' αὐτόν· ὅτι ὁ δοῦλός σου πορεύσεται, καὶ πο- E λεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου. ἆρα μικρὸν τοῦτο, εἰπέ μοι, τὸ μηδεμίαν ἀνάγκην ἔχοντα τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτοῦ, καὶ ὑπὲρ τῆς ἐκείνων ὠφελείας εἰς μέσους πηδῆσαι τοὺς πολεμίους, μηδὲν μηδέποτε παρ' αὐτῶν εὖ παθόντα; ἆρα οὐκ ἔδει αὐτὸν μετὰ ταῦτα δεσπότην αὐτὸν ἐπιγράψαι, καὶ σωτῆρα κοινὸν τῆς πόλεως ἀναγορεύειν, τὸν καὶ τὴν ἁπάντων ζωὴν, μετὰ τῆς τοῦ Θεοῦ χάριτος διατηρήσαντα; ποία γὰρ ταύτης εὐεργεσίας μείζων ἑτέρα ἦν; οὐ γὰρ εἰς χρήματα, οὐδὲ εἰς δόξαν A καὶ δυναστείαν, ἀλλ' εἰς αὐτὴν αὐτὴν τὴν ψυχὴν τὴν εὐεργεσίαν κατέθετο, καὶ ἐξ αὐτῶν αὐτὸν ἀνεκαλέσατο τῶν τοῦ θανάτου πυλῶν· καὶ δι' ἐκεῖνον ἔζη λοιπὸν ὁ βασιλεὺς, καὶ ἀπέλαυε τῆς ἀρχῆς. τίσιν οὖν αὐτὸν μετὰ ταῦτα ἠμείψατο; εἰ μὲν γὰρ αὐτό τις κατορθωμάτων τὸ μέγεθος ἴδοι, οὐδ' εἰ τὸν στέφανον ἀπὸ τῆς αὐτοῦ λαβὼν κεφαλῆς ἐπὶ τὴν τοῦ Δαβὶδ ἔθηκεν, οὐδέπω τὴν ἀξίαν ἦν ἀποδεδωκὼς ἀμοιβὴν, ἀλλ' ἔτι τὸ πλέον ὀφεί- B λων· ἐκεῖνος μὲν γὰρ καὶ ζωὴν καὶ βασιλείαν αὐτῷ ἐχαρίσατο· οὗτος δὲ βασιλείας αὐτῷ παραχωρεῖν ἔμελλε μόνης. πλὴν ἀλλ' ἴδωμεν αὐτοῦ τὰς ἀμοιβάς. ἐπειδὴ τοῦ βαρβάρου τὴν κεφαλὴν ἔλαβε, καὶ τὰ λάφυρα ἔχων ἐπανῄει, ἐξῆλθον αἱ χορεύουσαι, φησιν, ᾄδουσαι καὶ λέγουσαι· ἐπάταξε Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσι. καὶ ὠργίσθη Σαοὺλ, καὶ ἦν ἀποβλεπόμενος τὸν Δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης. τίνος ἕνεκεν εἰπέ μοι; εἰ γὰρ χρή τι θαυμαστὸν εἰπεῖν, τῷ Σαοὺλ ἐχαρίσαντο μᾶλλον ἢ C τῷ Δαβὶδ ταῦτα λέγουσαι· καὶ ἀγαπᾷν αὐτὸν ἐχρῆν, ὅτι τὰς χιλιάδας γοῦν ἔδωκαν αὐτῷ. τί οὖν ἀγανακτεῖ ὅτι ἔδωκαν τὰς μυριάδας ἐκείνῳ; εἰ μὲν γὰρ ἦν τι συντελέσας εἰς τὸν πόλεμον, καὶ μικράν γοῦν τινα μοῖραν εἰσενεγκὼν, καλῶς ταῦτα ἔλεγον, ὅτι Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσιν. εἰ δὲ αὐτὸς μὲν δεδοικὼς καὶ τρέμων ἐκάθητο, καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶν, οὗτος δὲ τὸ πᾶν εἰργάσατο· πῶς οὐκ ἄτοπον ἦν, τὸν μηδὲν εἰς τοὺς κινδύνους συμβαλόμενον ἀγανακτεῖν, ὅτι μὴ τὸ πλέον τῆς εὐφημίας ἔλαβεν; εἰ γὰρ D ἀγανακτεῖν ἐχρῆν, τὸν Δαβὶδ ἀγανακτεῖν ἔδει, ὅτι τὸ πᾶν αὐτὸς κατορθώσας, μεριστὴν ἕτερον ἔσχε τῆς εὐφημίας. ἀλλὰ τοιοῦτον ἡ βασκανία· οὐκ ἀνέχεται πρᾴως ὁρᾶν τὴν ἑτέρων εὐπραγίαν· ἀλλὰ τὴν τοῦ πλησίον εὐημερίαν, οἰκείαν δυσπραγίαν εἶναι νομίζει, καὶ τήκεται τοῖς τοῦ πλησίον ἀγαθοῖς. καθάπερ καὶ ὁ βασιλεὺς Γεράρων ἐπέπονθεν, ὁρῶν τοῦ Ἰσαὰκ καθ' ἑκάστην ἡμέραν αὐξανομένην τὴν εὐπορίαν ἐδεδοίκει, καὶ μεταναστῆναι ἐκεῖθεν καταναγκάζει τὸν δίκαιον. ἄξιον δὲ E ἀκοῦσαι αὐτῶν τῶν ῥημάτων τῆς θείας γραφῆς. ἔσπειρε δὲ, φησιν, Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. εἶδες φιλοτιμίαν δεσπότου; εἶδες ἐπίτασιν εὐεργεσίας; ἀλλ' ἴδωμεν καὶ τοῦ βασιλέως τὸν ζῆλον, ὃν ἐγίνετο διὰ τὴν τοῦ δικαίου εὐπορίαν· ἄπελθε, φησιν, ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου. καὶ ἀληθῶς δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς φρουρούμενος. πῶς τοίνυν ἀπελαύνεις τὸν δίκαιον; οὐκ οἶδας ὅτι ὅπου ἂν συμβαίνῃ ἀπελθεῖν,

ἐν τοῖς

ἐν τοῖς τοῦ δεσπότου τοῦ ἑαυτοῦ εἶναι αὐτὸν ἀνάγκη; κἂν γὰρ εἰς αὐτὴν A ἔρημον ἀπελθεῖν καταναγκάσῃς, οὕτως εὐμήχανον δεσπότην ἔχει, ὡς καὶ ἐκεῖ γενόμενον, πολλῷ πλέον περιφανέστερον ἀποδεῖξαι. διὰ γὰρ τῶν ἐναντίων μάλιστα τὰ ἐναντία πολλάκις οἰκονομεῖ. αὐτῷ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας, Ἀμήν.

in iis quæ Domini ſui ſunt, eum eſſe neceſſe ſit? Licet enim in ipſam ſolitudinem abire coëgeris, æquè potentem Dominum habet, quàm ibi fuit, multo illuſtriorem eum reddat. Per contraria enim maximè contraria frequenter adminiſtrat. Ipſum decet gloria, imperium, honor & adoratio, cum Patre & ſancto Spiritu, in ſecula. Amen.

B

Περὶ μίσους καὶ ἔχθρας.

Λόγος ιη´.

Εἴ τις παρὰ τοῦ πλησίον ἠδίκηται, εἰς μνήμην τὸν Δαβὶδ λαμβανέτω, καὶ εἰς νοῦν βαλλέσθω, ἵνα ὡς ἔτι ζῇ ἡ καρδία, τῇ μνήμῃ τοῦ πρᾳοτάτου καὶ ἀνεξικακωτάτου τούτου δυνηθῇ τὸ πέλαγος τῆς μήνιδος διαλῦσαι. διὰ τί γάρ σοι ἐχθρός ἐστιν ὁ ἀδελφός; ὕβρισέ σε; ἀλλ' οὐδὲν ἠδίκησεν· ἀλλὰ χρημάτων ἕνεκεν τοῦτον περιορᾷς ἐχθραίνοντα; C μή, παρακαλῶ, μὴ ἀναβάλῃ τὰ τῆς μήνιδος διακόψαι σχοινία· αἱ γὰρ ἀναβολαὶ μελλήσεις τίκτουσιν. ἂν σήμερον ὑπερβῇς, μᾶλλον ἐρυθριάσεις· κἂν αὔριον προσθῇς, μείζων ἡ αἰσχύνη· κἂν τὴν τρίτην, ἐπὶ πλέον αἰσχυνθήσῃ τὴν ἀναβολὴν μηκυνόμενος. δότε μοι, παρακαλῶ, μετὰ προθυμίας ταῦτα λέγειν· πείσατέ με ἀκοῦσαι ἀπὸ τῆς συνεχοῦς ταύτης διδασκαλίας, ἐξιόντα με, ὅτι ἐχθρόν τις ἀπελθὼν εὐθέως περιέλαβεν ἀμφοτέραις χερσί, περιεχύθη, περιεπλάκη, D κατεφίλησεν, ἐδάκρυσε. κἂν γὰρ θηρίον ἐκεῖνος ᾖ, κἂν λίθος, κἂν ὁτιοῦν, ὑπὸ τῆς τοιαύτης καταμαλαχθεὶς φιλοφροσύνης ἡμερωθήσεται. καὶ σαυτὸν μὲν ἀπαλλάξεις τῶν ἐγκλημάτων, ἐκεῖνον δὲ πρὸς εὔνοιαν ἐπισπασάμενος κερδανεῖς. καὶ μή μοι λέγε, ὅτι μιαρὸν ἐχθρὸν ἔχω, πονηρόν, διεφθαρμένον, ἀδιόρθωτον, καὶ καταλλάξαι αὐτὸν οὐ δύναμαι. οἷον γὰρ ἂν εἴπῃς, οὐκ ἔστι τοῦ Σαοὺλ χείρων· ὃς καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις διασωθεὶς ὑπὸ τοῦ Δαβίδ, E αὐτὸς μυριάκις ἐπεβούλευσεν· εἶτα ἀντὶ τούτων εὐεργετηθεὶς, ἔμενε τὴν ἑαυτοῦ πονηρίαν διατηρῶν. τί γὰρ ἔχεις εἰπεῖν, ὅτι γῆν ἀπετέμετο, καὶ ἐν ἀγρῷ ἠδίκησε, καὶ οἰκίας ὅρια ὑπερέβη, καὶ ἀνδράποδα ἥρπασε, καὶ ὕβρισε, καὶ ἐπλεονέκτησε, καὶ εἰς πενίαν ἤγαγεν; ἀλλ' οὔπω τὴν ψυχὴν ἀφελεῖν ἐπεχείρησεν, οὐχὶ δίς, καὶ τρίς, καὶ πολλάκις, ἀλλ' οὐδὲ τοσαῦτα εὐεργετηθείς, οὐδὲ εἰς τὰς χεῖρας πολλάκις ἐμπεσὼν καὶ διασωθείς. εἰ δὲ καὶ οὕτω, καὶ οὕτως πλεονεκτεῖ A πάλιν ὁ Δαβίδ, ὅτι ἀτελεστέροις ἐντρεφόμενος νόμοις, καὶ οὐδὲν ἀπαιτοῦσι τοιοῦτον, πρὸς αὐτὴν τὴν κορυφὴν τὴν ἐν τῇ χάριτι ἔφθασε. καὶ σὺ μὲν πολλάκις ὑπὲρ τῶν παρελθόντων ὀργιζόμενος μνησικακεῖς· οὗτος δὲ καὶ ὑπὲρ τῶν μελλόντων δεδοικώς, καὶ εἰδὼς ἀκριβῶς ὅτι ἀοίκητος αὐτῷ ἔσται ἡ πόλις, καὶ ἀβίωτος ὁ βίος σώσαντι τὸν ἐχθρόν, οὐκ ἀφίστατο τῆς ἐκείνου κηδεμονίας, ἀλλὰ πάντα ἐπετέλει καθ' ἑαυτοῦ τὸν πολέμιον τρέφων. τί δή ποτέ ἐστιν εἰπέ μοι, ὅπερ ἐγκαλῶν B τῷ ἐχθρῷ οὐ βούλει καταλλαγῆναι; τί γάρ σε τοσοῦτον ἠδίκησε; χρήματά σε ἀφείλετο; ἀλλ' ἐὰν ἐνέγκῃς γενναίως τὴν ἁρπαγήν, τοσοῦτον λήψῃ μισθόν, ὅσον ἂν εἰ ταῖς τῶν πενήτων χερσὶν ἐναπέθηκας. καὶ γὰρ ὁ πένησι δεδωκώς, καὶ ὁ τῷ πλεονεκτήσαντι μὴ ἐπιβουλευσάμενος, ἢ καὶ καταρασάμενος, διὰ τὸν Θεόν, τὰ αὐτὰ πεποιήκασιν. ὅταν μὲν ἡ ὑπόθεσις τῆς δαπάνης ᾖ μία, εὔδηλον ὅτι καὶ στέφανος εἷς. ἀλλ' εἰς ψυχὴν ἐπεβούλευσε καὶ ἀνελεῖν ἐπεχείρησε; C μαρτύριόν σοι τὸ πρᾶγμα λογίζεται, ἂν τὸν ἐπίβουλον καὶ μέχρι τούτου τὴν ἔχθραν ἐξαγαγόντα, ἐν τοῖς εὐεργέταις ἀριθμῇς, καὶ διατελῇς εὐχόμενος ὑπὲρ αὐτοῦ, καὶ τὸν Θεὸν ἵλεων γενέσθαι παρακαλῶν. μὴ δὴ τοῦτο ἴδωμεν ὅτι διεκώλυσεν ὁ Θεὸς σφαγῆναι τὸν Δαβὶδ ὑπὸ τοῦ Σαοὺλ διωκόμενον· ἀλλ' ὅτι διπλοῦν καὶ τριπλοῦν στέφανον μαρτυρίου ἐδύσατο, ἀπὸ τῆς ἐκείνου ἐπιβουλῆς. ὁ γὰρ διὰ τὸν Θεὸν τὸν πολέμιον σώσας, τὸν ἅπαξ καὶ δίς, καὶ πολλάκις τὸ δόρυ κατὰ τῆς D αὐτοῦ κεφαλῆς ἀκοντίσαντα, καὶ γενόμενος κύριος ἀνελεῖν, ἀποσχόμενος, καὶ ταῦτα εἰδὼς ὅτι μετὰ τὴν φειδὼ ταύτην πάλιν ἐπιθήσεται, εὔδηλον ὅτι μυριάκις ἐσφάγη τῇ προθέσει· μυριάκις δὲ σφαγεὶς διὰ τὸν Θεόν, πολλοὺς ἔχει μαρτυρίου στεφάνους. καὶ ὅπερ ὁ Παῦλος ἔλεγε, τοῦτο καὶ αὐτὸς ἐλογίζετο, καὶ καθ' ἡμέραν ἀπέθνησκε διὰ τὸν Θεόν. δυνάμενος γὰρ ἀνελεῖν τὸν ἐπιβουλεύοντα, διὰ τὸν Θεὸν οὐκ ἠθέλησεν· ἀλλ' εἵλετο κινδυνεύειν καθ' ἑκάστην ἡμέραν E μᾶλλον, ἢ δικαίαν ἐργασάμενος σφαγήν, ἀπὸ τοσούτων ἀπαλλαγῆναι θανάτων. εἰ δὲ τὸν μέχρι ζωῆς αὐτῆς ἐπιβουλεύοντα, οὔτε ἀμύνασθαι οὔτε μισεῖν χρή, πολλῷ μᾶλλον τὸν εἰς ὁτιοῦν ἄλλο ἀδικοῦντα τῶν ἔξω. βούλει μαθεῖν ὅτι δυνατόν, ἂν ἐθέλωμεν, πάντα ἄνθρωπον πρὸς ἡμᾶς ἀπεχθῶς ἔχοντα καταλλάξαι, κἂν πονηρός τις καὶ διεφθαρμένος καὶ ἀδιόρθωτος ᾖ; τί λέοντος

De Odio & Inimicitiis.

HOMILIA XVIII.

Ex interpr. epiſt. 1. ad Theſſ.

SI quis à proximo ſuo injuriam acceperit, in memoriam revocet Davidem; atque ita animo imprimat, ut quouſque vixerit, recordatione hujus mitiſſimi & manſuetiſſimi viri iracundiæ pelagus poſſit diſſipare. Quid enim eſt, quod fratrem tuum pro inimico reputes? Affecit te injuria? at nihil damni intulit. Aut fortè pecuniarum cauſa ipſum velut hoſtem obſervas? C ne quæſo, ne iracundiæ funes reſecare differas: moræ enim moras pariunt: & ſi hunc diem adjicias, magis erubeſcas; & ſi craſtinum, majus erit dedecus; ſi verò etiam tertium appoſueris, major tibi ultra cunctanti pudor erit. Concedite mihi obſecro, ut liberè iſta dicam: efficite ut inaudiam ex continua iſta doctrina, vos aliquid profeciſſe: diſcedentem hinc quempiam ſtatim ambabus inimici manibus apprehenſis, ipſum brachiis coſtrinxiſſe, exoſculatum eſſe, lacrymas profudiſſe: licet enim vel bel- D lua ille ſit, etiamſi lapis, aut aliud quidvis, ejuſmodi tamen benignitate emollitus manſueſcet. Ac tu quid hoc facto teipſum à culpa liberabis, illum verò ad benevolentiam reductum lucrifacies. Et ne mihi dixeris, ſceleſtum inimicum habeo, improbum, perditum, inemendabilem, nec illum reconciliare valeo. Qualemcunque enim dixeris, deterior Saule non erit, qui ſemel ac iterum, & ſæpius à Davide ſervatus, eidem ſæpiſſimè inſidiatus eſt: & cùm adhuc beneficiis ab eo cumularetur, in malitia reti- E nenda perſtitit. Quid enim habes, quod adferre poſſis? an quòd ſolum tuum arando abſciderit? quod agro damnum intulerit? quòd ædium limites tranſierit? quòd mancipia tua interverterit? quòd ignominia te affecerit? quòd aliena invadens te ad paupertatem redegerit? Atqui nondum animam tibi auferre conatus eſt, idque ſemel & iterum & frequenter; & quidem tot acceptis beneficiis, neque in manus tuas ſæpè incidens ſervatus eſt. Et ut hoc ita ſit, adhuc tamen David præcellit; quippe qui imperfe- A ctioribus, & nihil ejuſmodi exigentibus legibus innutritus, ad apicem legis gratiæ contendens te anteverterit. Ac tu quidem haud rarò præteritarum rerum cauſa conceptam iram foves: hic verò etiam dum impendentia mala metuit, probéq; novit, nuſquam in civitate ſibi locum fore, ſed vitam planè miſeram, ſi hoſtem incolumem dimitteret, nihilominus ſuam pro inimico ſollicitudinem non deſeruit, ſed omnia humanitatis officia illi exhibens contra ſeipſum hoſtem nutrivit. Quid igitur, quæſo, eſt, B quod objicias, dum inimico non vis reconciliari? Quantam tanta afficit te injuria? Pecuniis fortè te ſpoliavit? At ſi generoſo animo iſtam rapinam feras, tantam mercedem accipies, quantam ſi in pauperum manibus repoſuiſſes, accepturus fuiſſes. Idem enim eſt, ſive quis egenis elargiatur pecunias, ſive ob Dei amorem inſidias non moliatur, aut etiam maledicat illi, qui alienis inhiat. Cum enim eadem utrobiq; impendii ſit intentio, manifeſtum eſt, eandem quoq; fore coronam. Sed fortè vitæ tuæ in- C ſidias ſtruxit, ac te occidere conatus eſt? At ſi inſidiatorem & eouſque te hoſtiliter inſectantem in benefactorum numero cenſeas, Deumque, ut veniam ipſi dare dignetur, orare non deſinas, pro martyrio tibi hoc reputabitur. Ne porrò hoc attendamus, quòd Deus inhibuerit, ne David, dum à Saule exagitaretur, interficeretur: ſed quòd duplici triplicive martyrii corona, ob eas, quas pertulit, inſidias, ornatus fuerit. Etenim, qui Dei amore hoſtem ſervavit, illum, inquam, qui ſemel atque ite- D rum & ſæpius haſtam in caput ſuum contorſit, & cum in ſua poteſtate illum haberet, à nece tamen ejuſdem abſtinuit, non ignarus, fore, ut poſtquam ei pepercíſſet, denuò ſe invaderet; illum perſpicuum eſt, decies millies voluntate mortuum eſſe. Decies millies verò propter Deum mortuus, multas martyrii laureolas obtinet. Et quod S. Paulus dicebat, hoc ipſum hic noſter animo verſabat, & quotidie mortem propter Deum oppetebat. Cùm enim ſibi perniciem molientem interficere poſſet, pro- E pter Deum noluit, ſed potiùs ſingulis diebus pericula ſubire, quàm juſta etiam cæde patrata, à tot mortibus liberari, elegit. Quòd ſi ad vitam uſque etiam inſidiis graſſantem ulciſci atque odio proſequi nefas ſit, multò minus eum oportebit, qui alia quavis nos in re externa injuria affecit. Vis porrò intelligere, facile eſſe, ſi modò velimus, omnem hominem malè erga nos affectum, quantumvis improbus quis & perditus ac incorrigibilis fuerit, reconciliare? Quid quæſo leone ferocius? illum

tamen homines manſuetum reddunt, & naturam ars coarcet, ac A quavis ove mitior & lenior evadit, qui alioquin omnibus beſtiis ſævior eſt & auguſtior, jamque per medium forum ambulans, nemini ullum terrorem, ob manſuetudinem, incutiat. Quam igitur excuſationem habebimus, quam veniam ſperabimus, ſi belluas quidem domemus, homines interim nunquam nos mitigare, aut ut benè erga nos afficiantur, efficere poſſe dicamus? maximè cùm manſuetudo, præter naturam beſtiarum, ferocitas autem ab hominum natura aliena ſit? Cùm igitur natura ſupe- B riores ſimus, quid nos excuſabit, ſi liberam voluntatem nos corrigere poſſe negemus? Quòd ſi fortè inſanabilis videatur alicujus morbus, cogita, quanto major labor in medicando fuerit, tanto tibi perſeveranti, & deſperatè laborantem curanti ampliorem mercedem futuram. Sed quidnam tam grave in te admiſit inimicus, quòd tantoperè reconciliationem ipſius refugias? Maledixit tibi? Adulterum, fornicatorem appellavit? At quid tum poſtea? Si quidem vera objicit, emenda: ſin falſa, irride. Si tibi eorum, C quæ objecit, conſcius ſis, reſipiſce: ſin minùs, contemne. Imò, non ſolum irride & contemne, ſed etiam gaude & exulta, juxta dictum Domini. Cùm enim, inquit, exprobraverint, & ejecerint nomen veſtrum tanquam malum, propter filium hominis, mentientes, gaudete in illa die & exultate, quoniam merces veſtra multa eſt in cœlo. Si verò, quod res eſt, dixerit, ac tu quidem æquo animo iſta verba tuleris, nec viciſſim illum contumelia affeceris, aut convitia dixeris, ſed vehementer ingemueris, ac delicta tua damnaveris, non minorem, quàm prior ille, mercedem D conſequeris. Frequenter enim quæ laudando & gratificando non effecerunt amici noſtri, hæc præſtiterunt inimici maledictis laceſſendo; etſi vera objiciant. Illi enim, ut conſentaneum eſt, gratificantes, ſive etiam aſſentantes ſuperbiæ, malum in nobis augent: hi verò odio perciti crimina exprobrant, & nos ad vitiorum correctionem compellunt; fitque odium maximæ utilitatis occaſio. Ne igitur dicamus, exacerbavit me quidam; aut, E aliquis me perpulit, ut verba pudenda dicerem. Nos ubique iſtorum cauſa ſumus. Si enim rem bene inquirere & æſtimare velimus, non ſolùm inimicus, ſed ipſe etiam diabolus ad iram nos permovere nequaquam poterit. Quod quidem ex illa de Davide hiſtoria perſpicuum eſt. Cùm enim is ad Saulem dixiſſet: *En oram chlamydis tuæ in manu mea*, & reliqua, quæ ibi ad Saulem pro ſui defenſione dixit; mox ille: *Num tua hæc vox eſt, fili mi David?* Proh quanta repentè ob verborum lenitatem in A hoc efferato homine facta eſt mutatio! Qui enim nunquam vel nudo illum nomine vocare dignatus eſt, imo etiam ipſius allocutionem deteſtatus, nunc in ſuam familiam referens, filium eundem appellat, atque ad ipſum vocis ſonum mox incaleſcebat. Et quemadmodum pater aliquis ſera filii ſui alicunde redeuntis voce audita, non ad aſpectum ſolùm, ſed etiam ad ipſam vocem excitatur: ad eundem modum Saul, poſtquam verba Davidis ingreſſa inimicitias illi animo exemiſſent, de cætero juſtum B agnovit, & affectu uno depoſito, alium aſſumpſit. Ejecta enim ex animo ira, benevolentiam ac commiſerationem ſuſcepit. Quid igitur Davide aut beatius aut ſublimius? Hic ſiquidem ex homicida patrem fecit, ex lupo ovem, hic fornacem iracundiæ largo rore complevit, tempeſtatem tranquillam reddidit, & omnem furoris fervorem reſtinxit. Ne igitur illud ſolùm cogitemus, chariſſimi, ut nihil ab hoſtibus damni patiamur, C ſed ne mali quicquam ipſis inferamus: & nihil mali patiemur, etiamſi innumeras feramus moleſtias. Sic nec David cum in exilium actus, & exagitatus graviſſimis inſidiis appeteretur, quicquam mali tulit; ſed hoſte ipſo clarior & auguſtior, adeóque omnibus hominibus & Deo ipſi gratior evaſit. Quod enim damnum tulit, cùm à Saule tam multa perpeteretur? an non in hodiernum uſque diem tum in terra notus tum in cœlo clarus decantatur? An non ineffabilia illa bona & cœleſte D regnum ipſum manent? Quid verò commodi reportavit miſer ille & infelix, qui tantopere Davidi inſidiatus eſt? nonne & regno excidit, & una cum filio miſerabili morte periit, atque ab omnibus inſuper accuſatur? Et quod hiſce omnibus gravius eſt, æterna nunc luit ſupplicia? Si quando igitur inimicum tuum videas, aut mente cogites; ne dicas, hæc & illa paſſus ſum; hæc & illa audivi; ne videlicet hac ratione iram incendas & inflammationem vehementiùs augeas: E ſed quæcunque moleſta audiveris aut paſſus fueris, omnia oblivioni trade, ſi verò in mentem tibi venerint, diabolo hæc imputa: ac interim reputa, quòd nonnunquam bene tibi dixerit aut fecerit, & continuò diſſolves inimicitiam. Si etiam cum aliquo expoſtulare aut diſceptare velis, depoſito ante affectu, iráque compreſſa, ita demum coargue & rationes exige: ita enim facilè ſuperare poteris. Etenim cum iraſcimur, neque dicere neque audire quicquam rectè valemus: à

A ἀγριώτερον; ἀλλ' ὅμως οὗτοι ἡμεροῦσιν ἄνθρωποι, καὶ ἡ τέχνη τὴν φύσιν βιάζεται, καὶ γίνεται προβάτου παντὸς ἡμερώτερος, καὶ ἐπιεικέστερος, ὁ πάντων θηρίων ἀγριώτερος καὶ βασιλικώτερος· καὶ διὰ τῆς ἀγορᾶς βαδίζει μηδένα φοβῶν ἡμερότητι. τίνα οὖν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, θηρία μὲν ἡμεροῦντες, ἀνθρώπους δὲ λέγοντες μὴ δύνασθαι καταπραΰνειν ποτὲ, μηδὲ πρὸς ἡμᾶς ἔχειν ἡδέως; καίτοι, τῷ θηρίῳ μὲν παρὰ φύσιν τὸ ἥμερον, τῷ ἀνθρώπῳ δὲ B παρὰ φύσιν τὸ ἄγριον; ὅταν οὖν τῆς φύσεως περιγινώμεθα, τίνα ἕξομεν ἀπολογίαν προαίρεσιν λέγοντες, μὴ δύνασθαι διορθοῦν; εἰ δὲ καὶ ἀνίατα νοσεῖ, ὅσος σοι μείζων ὁ πόνος, τοσοῦτος σοι καὶ ὁ μισθὸς παραμένοντι καὶ θεραπεύοντι τὸν νοσοῦντα ἀνίατα. τί δὲ τοσοῦτον ἡμάρτηται τῷ ἐχθρῷ, ὅτι ἀναδύῃ πρὸς τὴν ἐκείνου καταλλαγήν; εἶπέ σε κακῶς, καὶ μοιχὸν, καὶ πόρνον ἐκάλεσε; καὶ τί τοῦτο; εἰ μὲν ἀληθῆ λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον. εἰ συνοίδας σαυτῷ τὰ εἰ- C ρημένα, σωφρόνησον· εἰ μὴ συνοίδας, καταφρόνησον. μᾶλλον δὲ μὴ καταγελάσῃς, μηδὲ καταφρονήσῃς μόνον, ἀλλὰ χαῖρε καὶ σκίρτα κατὰ τὸν τοῦ Κυρίου λόγον. ὅταν γάρ, φησιν, ὀνειδίσωσιν ὑμᾶς καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ψευδόμενοι, χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. εἰ δὲ ἀληθεύων εἴπῃ, σὺ δὲ μετ' ἐπιεικείας ἐνέγκῃς τὰ ῥήματα, καὶ μὴ ἀνθυβρίσῃς, μηδὲ λοιδορήσῃς, ἀλλὰ στενάξῃς πικρῶς καὶ καταγνῷς τῶν πεπλημμελημένων, οὐκ D ἐλάττονα τοῦ προτέρου καρπώσῃ μισθόν. πολλάκις γὰρ ἃ οὐκ ἐποίησαν φίλοι ἐπαινοῦντες καὶ χαριζόμενοι, ἐποίησαν ἐχθροὶ κακῶς λέγοντες, κἂν ἀληθεύωσι. οἱ μὲν γὰρ ὡς εἰκὸς χαριζόμενοι, ἅτε καὶ κολακεύοντες, πρὸς μείζονα ὄγκον τὴν νόσον ἐπαίρουσιν· οἱ δὲ ὑπὸ τῆς ἔχθρας κινούμενοι, καὶ τὰ ἁμαρτήματα ὀνειδίζοντες, εἰς ἀνάγκην ἐνέβαλον διορθώσεως· καὶ γέγονεν ἡμῖν ἡ ἔχθρα μεγίστης ὠφελείας ὑπόθεσις. μὴ τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνά με παρώξυνε καὶ ὁ δεῖνά με προ- E ήγαγεν εἰπεῖν ῥήματα αἰσχρά. ἡμεῖς τούτων αἴτιοι πανταχοῦ. ἂν γὰρ θέλωμεν φιλοσοφεῖν, οὐ μόνον ἐχθρὸς, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος ἡμᾶς δυνήσεται πρὸς ὀργὴν κινῆσαι. καὶ τοῦτο ἀπὸ τῆς περὶ τὸν Δαβὶδ ἱστορίας δῆλον. αὐτοῦ γὰρ εἰπόντος, ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος σου τῇ χειρί μου, καὶ τὰ ἄλλα πάντα, ἃ μετὰ τοῦτον ἀπελογήσατο τῷ Σαοὺλ· ἐκεῖνός φησι, ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; ὢ πόση διὰ A τῆς τῶν ἐκείνου ῥημάτων ἐπιεικείας τῷ τεθηριωμένῳ τούτῳ ἀθρόον γέγονεν ἡ μεταβολή; ὁ γὰρ μηδὲ ἀπὸ ψιλοῦ τοῦ ὀνόματος ἀνεχόμενος αὐτὸν καλέσαι ποτὲ, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ μισῶν τὴν προσηγορίαν, καὶ εἰς συγγένειαν αὐτὸν ἤγαγε, τέκνον αὐτὸν προσειπὼν, καὶ πρὸς αὐτὸν τὸν φθόγγον διεθερμαίνετο τῆς φωνῆς. καὶ καθάπερ πατὴρ χρονίας ἀκούσας φωνῆς παιδὸς ἐπανελθόντος ποθὲν, οὐχὶ πρὸς τὴν ὄψιν μόνον, ἀλλὰ καὶ πρὸς τὴν φωνὴν αὐτὴν διεγείρεται· οὕτω καὶ ὁ Σαοὺλ, ἐπειδὴ τὰ ῥήματα τοῦ Δαβὶδ εἰσελθόντα τὴν ἔχθραν ἐξέβαλεν, ἐπέ- B γνω λοιπὸν τὸν ἅγιον, καὶ πάθος ἀποθέμενος, πάθος ἐδέξατο. ἐκβαλὼν γὰρ θυμὸν, εὐθυμίαν ἐδέξατο καὶ συμπάθειαν. τί οὖν Δαβὶδ μακαριώτερόν τε καὶ ὑψηλότερον; ὅτι τὸν ἀνδροφόνον πατέρα ἐποίησε, καὶ τὸν λύκον, πρόβατον, καὶ τὴν κάμινον τῆς ὀργῆς, δρόσου πολλῆς ἐνέπλησε, καὶ τὰ κύματα εἰς γαλήνην μετέβαλε, καὶ τὴν φλεγμονὴν τοῦ θυμοῦ κατέσβεσεν ἅπασαν; μὴ τοῦτο τοίνυν μόνον σκοπῶμεν, ἀγαπητοὶ, C ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακὸν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἡμεῖς ἐργασώμεθα δεινόν· καὶ οὐδὲν πεισόμεθα κακὸν, κἂν μυρία πάσχωμεν δεινά. ὥσπερ οὖν οὐδὲ Δαβὶδ φυγαδευόμενος, ἐλαυνόμενος, μέχρι τῆς ψυχῆς αὐτῆς ἐπιβουλευόμενος ἔπαθέ τι δεινόν· ἀλλὰ τοῦ πολεμίου λαμπρότερος ἦν καὶ σεμνότερος, καὶ ποθεινότερος ἅπασιν, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ Θεῷ. τί γὰρ ἠδικήθη ὁ ἅγιος ἐκεῖνος τότε, τοσαῦτα παθὼν παρὰ τοῦ Σαοὺλ; οὐχὶ μέχρι τῆς σήμερον ἡμέρας ᾄδεται, καὶ λαμπρὸς μὲν ἐν γῇ, λαμπρὸς δὲ D ἐν οὐρανῷ; οὐχὶ τὰ ἀπόρρητα αὐτὸν ἀγαθὰ μένει, καὶ ἡ τῶν οὐρανῶν βασιλεία; τί δὲ ὠφέλησεν ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος, τοσαῦτα ἐπιβουλεύσας; οὐχὶ καὶ τῆς βασιλείας ἐξέπεσε, καὶ ἐλεεινὸν ὑπέστη θάνατον μετὰ τοῦ παιδὸς, καὶ παρὰ πάντων κατηγορεῖται; καὶ τὸ δὴ χαλεπώτερον, τὰς ἀθανάτους ἐκδέχεται νῦν τιμωρίας. ὅταν οὖν τὸν ἐχθρὸν ἴδῃς τὸν σὸν, ἢ καὶ εἰς νοῦν λάβῃς, μὴ τοῦτο λέγε, ὅτι τὰ καὶ τὰ ἔπαθον, τὰ καὶ τὰ ἤκουσα, καὶ τὸν θυμὸν διὰ τούτων ἀνάψῃς, καὶ τὴν E φλεγμονὴν εἰς ὄγκον ἐπάρῃς μείζονα· ἀλλ' ὅσα μὲν ἤκουσας καὶ ἔπαθες λυπηρὰ, πάντα ἐπιλανθάνου. εἰ δὲ καὶ ἀναμνησθῇς, τῷ διαβόλῳ ταῦτα λογίζου· σύλλεγε δὲ ὅτι σοι χρηστὸν εἶπε πώποτε καὶ ἐποίησε, καὶ ταχέως καταλύσεις τὴν ἔχθραν. κἂν ἐγκαλεῖν καὶ διαλέγεσθαι μέλλῃς, πρότερον τὸ πάθος ἐκβαλὼν, καὶ τὸν θυμὸν σβέσας, οὕτως ἔλεγχε καὶ εὐθύνας ἀπαίτει, καὶ δυνήσῃ περιγενέσθαι ῥᾳδίως. θυμούμενοι γὰρ οὔτε εἰπεῖν οὔτε ἀκοῦσαί τι δυνησόμεθα ὑγιές· ἀπαλλαγέντες

ϑῶτες δὲ τοῦ πάθους, οὔτε αὐτοὶ ῥῆμά ποτε ἐξοίσομεν τραχὺ, οὔτε ἑτέρων λεγόντων * οὕτως ἀκουσόμεθα. οὐ γὰρ οὕτως ἡ τῶν λεγομένων φύσις, ὡς ἡ τῆς ἔχθρας πρόληψις ἡμᾶς ἀγριαίνειν εἴωθε. καθάπερ γὰρ νυκτὸς παρούσης, οὐδὲ παρόντα πολλάκις ἐπιγινώσκομεν φίλον, ἡμέρας δὲ γενομένης καὶ πόρρωθεν αὐτὸν ὁρῶντες γνωρίζομεν· οὕτω καὶ ἐπὶ τῆς ἔχθρας συμβαίνειν εἴωθεν· ἕως μὲν ἂν ὦμεν ἀηδῶς πρὸς ἀλλήλους ἔχοντες, καὶ φωνῆς ἑτέρων ἀκούομεν, καὶ ὄψιν μετὰ διεφθαρμένης βλέπομεν γνώμης· ἐπειδὰν δὲ ἀποθώμεθα τὴν ὀργὴν, ἡ πρὸ τούτου πολεμία ὄψις, καὶ ἀηδὴς, ποθεινὴ καὶ ἐπίχαρις φαίνεται. ὅταν δὲ ὀνειδίσῃ σοι ὁ ἐχθρὸς ἁμάρτημα ὃ σύνοιδας, σὺ ἀκούσας ἐκεῖνον μὲν μὴ ὑβρίσῃς, στενάξῃς δὲ πικρὸν, καὶ τὸν Θεὸν παρακαλέσῃς, εὐθέως ἀπέθου τὴν ἁμαρτίαν ἅπασαν. καὶ ἵνα μὴ νομίσῃς ἡμᾶς ἁπλῶς σε ψυχαγωγεῖν, ἀπὸ τῶν θείων γραφῶν τὴν μαρτυρίαν παρέξομεν. Φαρισαῖος ἦν καὶ τελώνης· ὁ μὲν εἰς ἐσχάτην κακίαν ἐληλακὼς, ὁ δὲ δικαιοσύνης ἐπιμελούμενος· καὶ ἀνῆλθον ἀμφότεροι εἰς τὸ ἱερὸν προσεύξασθαι. εἶτα ἐκεῖνος στὰς ἔλεγεν, ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, πλεονέκται, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· ὁ δὲ τελώνης πόρρωθεν ἑστὼς, οὐκ ἀνθύβρισεν, οὐκ ἀντελοιδόρησεν, οὐκ εἶπέ τι τῶν ψυχρῶν ῥημάτων, ἃ καθ' ἑκάστην ἡμέραν ἀλλήλους πλύνοντες λέγομεν· ἀλλὰ πικρὸν στενάξας, καὶ πατάξας τὸ στῆθος, τοῦτο μόνον εἶπεν ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ κατῆλθε δεδικαιωμένος. εἶδες τάχος; κατεδέξατο ὄνειδος, καὶ ἀπενίψατο ὄνειδος· ἐπέγνω τὰ ἁμαρτήματα, καὶ ἀπέθετο τὰ ἁμαρτήματα, καὶ ἡ κατηγορία τῆς ἁμαρτίας γέγονεν ἀναίρεσις τῆς ἁμαρτίας· καὶ ὁ ἐχθρὸς ἄκων εὐεργέτης κατέστη. ἆρα τί τούτου γένοιτ' ἂν μακαριώτερον; τί δὲ εὐκολώτερον πρὸς ἁμαρτημάτων ἀπαλλαγήν; πόσα ἔδει καμεῖν τὸν τελώνην, νηστεύοντα, ἀγρυπνοῦντα, χαμευνοῦντα, τὰ ὄντα τοῖς δεομένοις παρέχοντα, ἐν σποδῷ καὶ σάκκῳ καθήμενον ἐν πολλῷ τῷ χρόνῳ, ὥστε δυνηθῆναι τὰ ἁμαρτήματα ἀποθέσθαι ἐκεῖνα. καὶ νῦν οὐδὲν τούτων ποιήσας διὰ ψιλοῦ ῥήματος, πᾶσαν ἀπέθετο κακίαν καὶ τὰ ὀνείδη, καὶ αἱ λοιδορίαι τοῦ δόξαντος αὐτὸν ὑβρίζειν, χωρὶς ἱδρώτων καὶ πόνων καὶ χρόνου μακροῦ, στέφανον αὐτῷ δικαιοσύνης ἐκόμισαν. διὰ τοῦτο καὶ ὑπερεύχεσθαι τῶν ἐχθρῶν προσέταξεν ὁ Θεὸς, ὡς μὴ μόνον ἀφιέναι αὐτοῖς τὰ ὀφειλήματα, ἀλλὰ καὶ εἰς τοὺς πρώτους τῶν φίλων αὐτοὺς ἀριθμεῖν. ἐὰν δὲ ἀδικῇς μὲν μηδὲν, ἀποστρέφῃ δὲ καὶ οὐχ ἡδέως ὁρᾷς, καὶ τὸ τραῦμα ἔχῃς ἐνακμάζον σου τῇ ψυχῇ, οὔπω τὴν ἐντολὴν ἐποίησας, ἣν προσέταξεν ὁ Χριστός. πῶς οὖν αὐτὸς ἵλεων γενέσθαι τὸν Θεὸν παρακαλεῖς, τοῖς εἰς σὲ πεπλημμεληκόσιν οὔπω γεγονὼς ἵλεως αὐτός; εἰ δὲ βούλει γνῶναι ὅτι κἂν ἡμεῖς παρακαλέσωμεν ὑπὲρ τῶν ἐχθρῶν ἡμῶν καὶ ἠδικηκότων, ὁ Θεὸς οὐκ ἀφίησιν, ἐὰν μέλλωσι γίνεσθαι χείρους διὰ τῆς ἡμετέρας ἀνεξικακίας, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν· κατελάλησέ ποτε τοῦ Μωσέως ἡ Μαριάμ. τί οὖν ὁ Θεός; λέπραν ἐπαφῆκεν αὐτῇ, καὶ ἀκάθαρτον ἐποίησε, καίτοιγε τὰ ἄλλα οὖσαν ἐπιεικῆ τε καὶ σώφρονα. εἶτα τοῦ Μωσέως αὐτοῦ τοῦ ὑβρισμένου παρακαλοῦντος, ἱκετεύοντος ἀφεῖναι τὴν ὀργὴν, οὐκ ἠνέσχετο ὁ Θεός· ἀλλὰ τί φησιν; εἰ πατέρα εἶχε, καὶ ἐξ ὄψεως αὐτῆς ἐποίησεν, οὐκ ἂν ἠνέσχετο τὴν ἐπιτίμησιν; σὲ μὲν οὖν ἀποδέχομαι τῆς πρᾳότητος καὶ τῆς ἀνεξικακίας, ἐμὲ δὲ οὐδέπω αὐτὴν ἀφεῖναι δεῖ τῆς κολάσεως. ἀναμνήσθητι τοίνυν τῆς φοβερᾶς κρίσεως, καθ' ἣν ἅπαντα γυμνὰ καὶ τετραχηλισμένα· ἐννόησον ὅτι τὰ κρυπτόμενα νῦν, ἀνακαλύπτεται τότε. ἂν τοίνυν ἀφῇς τῷ πλησίον τὰ ἁμαρτήματα ἅπερ ἀποκαλύπτεσθαι μέλλει τότε, ταῦτα ἐνταῦθα ἀφανίζεται πάντα· καὶ ἀπελεύσῃ μηδὲν ἐπισυρόμενος ὧν ἐπλημμέλησας. ὥστε μείζονα λαμβάνεις, ἢ δίδως. καὶ γὰρ πολλάκις ἡμαρτήκαμεν τοιαῦτα, ἃ μηδεὶς ἕτερος οἶδεν. εἶτα ἐννοοῦντες ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην πρὸ τῶν ὀφθαλμῶν ἁπάντων κείσεται ἡμῶν τὰ ἁμαρτήματα ἐν τῷ κοινῷ τῆς οἰκουμένης θεάτρῳ, οὐ τῆς κολάσεως χαλεπώτερον ἀλγήσομεν πνιγόμενοι καὶ αἰσχυνόμενοι τῷ συνειδότι; ἀλλὰ τὴν τοσαύτην αἰσχύνην, τὰ τοσαῦτα ἁμαρτήματά ἐστιν ἀποψήσασθαι, διὰ τῆς εἰς τὸν πλησίον συγχωρήσεως. καὶ εἰ βούλεσθε, ἀκούσατε ταύτης τῆς ἐντολῆς τὴν δύναμιν· ἐὰν στῇ Μωσῆς καὶ Σαμουὴλ, φησὶν, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. ἀλλ' ὅμως, οὓς οὐκ ἠδυνήθη Μωσῆς καὶ Σαμουὴλ ἐξαρπάσαι τῆς ὀργῆς τοῦ Θεοῦ, αὕτη δύναται ἐξαρπάσαι ἡ ἐντολή· διὰ τοῦτο ἐκείνοις εἰς οὓς ταῦτα εἶπεν, συνεχῶς παρεκάλει λέγων· κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν· καὶ τὴν κακίαν τοῦ πλησίον ὑμῶν μὴ λογίζεσθε. εἰ δὲ τοὺς ἐχθροὺς ἀγαπᾷν κελευόμεθα, ὅταν καὶ τοὺς φιλοῦντας μισῶμεν, ποίαν τίσομεν δίκην; εἰ ὁ τὸν φιλοῦντα ἀγαπῶν, οὐδὲν πλέον ἔχει τῶν τελωνῶν, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν, ποῦ στήσεται; πῶς δὲ ἐκφεύξεται γέενναν τῶν ἐθνικῶν χείρων γινόμενος; εἰ ὁ μὴ φιλῶν τὸν ἀδελφὸν, κἂν χρήματα κενώσῃ, κἂν ἐν μαρτυρίῳ διαλάμψῃ, οὐδὲν ἀνύει πλέον, ὁ πολεμῶν τῷ μηδὲν ἠδικηκότι, ἐννόησον πόσης ἂν εἴη τιμωρίας ἄξιος. εἰ τοῖς ταῖς αὐτοὺς μὴ συγχωροῦσιν ἁμαρτήματα, οὐκ

A perturbatione verò liberi, nec ipſi unquam verbum aſperum efferemus, nec gravatè aliis auſcultabimus. Non enim tam eorum, quæ dicuntur, natura, quam præconceptum animo odium, exaſperare nos conſuevit. Et veluti cùm nocte eſt, frequenter etiam præſentem non cognoſcimus amicum; die autem facto, procul etiam hunc conſpicientes novimus: ita in odio atque inimicitiis contingere ſolet. Quamdiu enim alienis ab invicem ſumus animis, & aliorum voces audimus, & vultum animo cor- B rupto intuemur: poſtquam verò iram diſpoſuimus, mox hoſtilis antea & triſtis vultus, gratus & amabilis apparet. Si verò adverſarius crimen aliquod, cujus tibi conſcius es, objecerit; tu verò hoc audito, illum non vituperaveris, ſed amarè potiùs ingemiſcens Deum oraveris, mox omne delictum depoſuiſti. Et ne putes, nos leviter te conſolari, teſtimonium ex divinis literis afferemus. Pharisæus erat, & Publicanus: hic ad extremam malitiam progreſſus, ille verò juſtitiæ ſtudioſus erat: Et ambo ad C templum aſcenderunt, ut orarent. Tunc ille ſtans dicebat: Gratias tibi ago Deus, quòd non ſim ſicuti cæteri hominum, raptores, injuſti, aut etiam ſicut Publicanus iſte. Publicanus verò à longè ſtans, illum non viciſſim contumelia affecit, non maledicta regeſſit; nec abſurdum quid dixit, qualia indies nos mutuò conviciantes dicimus, ſed amarè gemens pectúſque tundens, hoc unum dixit, O Deus propitius eſto mihi peccatori. Et deſcendit juſtificatus. Vidiſti quàm ſubitò? Accepit probrum, & D abſterſit probrum; agnovit delicta, & depoſuit delicta, factaq; eſt criminis accuſatio, abolitio criminis; & hoſtis etiam invitus fit benefactor. Quid quæſo illo beatius fuerit? quid ad peccatorum remiſſionem facilius? Quantum laborandum Publicano fuiſſet, jejunando, vigilando, humi cubando, facultates pauperibus erogando, longóque tempore in cinere & ſacco ſedendo, ut peccata à ſe amoliri poſſet? Jam verò nihil horum fecit, ſed nudo verbo totam malitiam & probra exuit: conviciáque illius, E qui ei inſultare videbatur, abſque ſudore & labore, longàque mora, juſtitiæ coronam ei attulerunt. Ideo etiam Deus pro inimicis orare præcepit, ut non ſolùm illis debita condonemus, ſed inter præcipuos quoque amicos eos numeremus. Quòd ſi nihil quidem injuſtè agas, alios autem averſeris, nec libenter videas, vulnúſque in animo tuo invaleſcens habeas; nondum præcepto ſatisfeciſti, quod Chriſtus dedit. Quomodo igitur Deum, ut tibi placatus ſit, rogas; cùm ipſe aliis, qui in te deliquerunt, non- A dum ſis placatus? Quòd ſi cognoſcere lubet, Deum inimicis noſtris non parcere, nobis etiam pro iiſdem orantibus, ſi per clementiam noſtram futuri ſint deteriores, antiquam vobis narrabo hiſtoriam. Oblocuta fuit olim Moyſi ſoror ipſius Maria. Quid ergo Deus? lepram ei immiſit, & immundam fecit, licet cætera juſta & proba eſſet. Moyſen igitur injuria affectum, & pro ea orantem & ſupplicantem ut iram remitteret, non tulit Deus: ſed quid inquit? Si patrem haberet, & à conſpectu ſuo B eam ejeciſſet, an non tuliſſet correctionem? Tuam quidem probo lenitatem & clementiam, me verò pœnam ei remittere non oportet. Memento igitur terribilis judicii, in quo nuda & aperta ſunt omnia: Conſidera, quòd quæ modo occulta ſunt, tunc omnia manifeſtentur. Si itaque proximo delicta condones, quæ tunc revelanda erunt, hæc eadem ibi univerſa evaneſcent; ac de nullo eorum, quæ perpetraſti, appellatus, abibis. Majora igitur C accipis, quàm des: frequenter enim ejuſmodi deliquimus, quæ nemo alius præter nos, novit. Cùm ergo cognoſcamus, quòd in illa die omnia noſtra facinora in conſpectu hominum, in communi totius orbis terrarum ſpectaculo, ſint futura, nonne acerbiùs à propria conſcientia, quàm quovis tormento preſſi & exagitati cruciabimur? Atqui hanc tantam ignominiam, hæc tanta crimina diluere licebit, ſi proximo tuo ſimiliter errata condonaveris. Quot ſi libet, vim hujus mandati percipite. Si ſteterit, D inquit Deus, Moyſes & Samuel, non eſt anima mea ad ipſos: & tamen quos neq; Moyſes neq; Samuel ab ira Dei eripere valuerunt, illos hoc præceptum liberare potuit. Atq; idcirco eos, quibus iſta dixit, aſſiduè adhortabatur inquiens; unuſquiſque malitiam fratri ſuo in cordibus veſtris dimittite: Et, Malitiam proximi veſtri ne reputate. Si verò etiam inimicos diligere jubeamur, quaſnam pœnas dabimus, ſi eos qui nos amore complectuntur, averſemur? Si is, qui diligentem ſe diligit, nihil plus habet Publi- E canis, ubi ſtabit quis nihil injuſtè agentem odio habet? Quomodo verò gehennam effugiet, qui ipſis Ethnicis extitit deterior? Si is, qui fratrem non amat, licet pecunias exhauriat, aut martyrio clareſcat, nihil proficit? cogita, quanto ille ſupplicio dignus ſit; qui nihil injuſte operatum hoſtiliter infeſtat. Si Deus non ignoſcat peccata illis, qui contra ſe commiſſa non

ſorſ. ἀκύονι.

Ex orat. ad Monach.

Ex hom. in Statuas.

Ex interpr. Evang. S. Matth.

Ex interpr. ep. ad Rom.

condonant: quam veniam dabit illis, qui innocentes injuria afficere audent? Quid ergo temerè nos invicem impugnamus? quid mutuis bellis nos perſequimur, quibus etiam odientes diligere præceptum eſt? Quid dicis, ô homo? inimicum habes, nec erubeſcis? An non ſufficit nos diabolus, quod etiam conſanguineos provocemus? utinam nec ille nos impugnare voluiſſet: utinam neque ille calumniator eſſet. An ignoras quanta poſt pacificationem ſequatur voluptas? Quid enim ſi in odio nô ita appareat? Si verò dicas, exæſtuare te dum injuriæ meminiſti, recorderis, ſi boni aliquid ab ipſo tibi præſtitum ſit ab eo, qui triſtitia te affecit; & rurſus, quantis tu alios malis affeceris: ſic enim continuò odium iſtud dimittes: nullum enim tantum malum paſſus es, quantum ipſe tibi conflaſti. Quomodo enim veniam conſequeris, quam aliis non tribuis? Ipſi Gentiles, qui nihil magni expectabant, in malorum tolerantia ſæpè magnum ſtudium collocârunt; & tu, pro quo, cùm inimicus eſſes, Chriſtus animam ſuam dedit, nec occidi recuſavit, quique cum tanta ſpe hinc migraturus es, inimicitias diſſolvere metuis & refugis? Et quod ipſum quidem tempus facit, tu facere propter divinam legem nô audes: ſed ſine ullo præmio potiùs, quàm pro præmio affectum vis extingui neque enim ſi tempus hoc fecerit, amplius quid tibi erit, ſed grave potiùs ſupplicium, cùm, quod tempus præſtitit, hoc ut tu faceres, Dei lex tibi non perſuaſerit. Ob hoc enim maximè inenarrabilem tibi parat mercedem, ut ipſum antevertas. Itaque ſi non niſi rogatus alteri reconcilieris, jam non tuo, Dei mandatum ſervandi ſtudio, ſed alterius diligentiæ aſcribetur amicitia: ideóque illo præmia capiente, tu ſine corona diſcedis. Latrones ſi quibus conſueſcant, jam non ampliùs latrones ſunt illis, quibuſcum conſueverint: ſed menſa immutat mores, & qui belluis erant immaniores, ovibus manſuetiores efficit: Nos verò tantæ participes menſæ, qui * tales communes habemus delicias, in nos mutuò armamur? Et quomodo non beſtiis ipſis deteriores fuerimus? Propter hanc itaque cauſam nos quidem infirmiores, ipſe verò communis omnium noſtrum inimicus indies fortior evadit. Non enim nos invicem contra illum munimus, ſed cum ipſo contra nos mutuò ſtamus, atque eodem ad ejuſmodi prælia ductore utimur. Cujus nos militiam effugere contingat, gratia Jeſu Chriſti? quem decet gloria, imperium, honor & adoratio, cum Patre & ſancto Spirito, in ſecula. Amen.

Ex interpr. Evang. S. Matth.

talem alteram communem habemus. fortè τροφῆς.

εἰ φείσεται ὁ Θεὸς, τοῖς τοὺς οὐδὲν ἠδικηκότας ἀδικεῖν ἐπιχειροῦσι, ποίαν ἀφήσει δίκην; τί τοίνυν μαχόμεθα πρὸς ἀλλήλους εἰκῆ; τί πολεμοῦμεν ἀλλήλοις, προστεταγμένοι καὶ τοὺς μισοῦντας φιλεῖν; τί λέγεις, ἄνθρωπε, ἐχθρὸν ἔχεις καὶ οὐ καταισχύνῃ; οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ διάβολος, ὅτι καὶ ὁμογενεῖς ἐπισπώμεθα; εἴθε μήτε ἐκεῖνος ἠθέλησεν ἡμῖν πολεμεῖν, εἴθε μηδὲ ἐκεῖνος διάβολος ἦν. οὐκ οἶδας πόση ἡδονὴ μετὰ τὰς καταλλαγάς; τί γὰρ εἰ καὶ ἐν ἔχθρᾳ οὐ σφόδρα φαίνεται; εἰ δὲ λέγεις ἔτι φλεγμαίνειν τῆς ὕβρεως μεμνημένος, ἀναμνήσθητι εἴ γέγονέ σοι καλὸν παρὰ τοῦ λελυπηκότος, καὶ ὅσα ἑτέροις σὺ διέθηκας κακὰ, καὶ ταχέως καταλύσεις τὴν ἔχθραν. οὐδὲν γὰρ τοσοῦτον κακῶς ἔπαθες, ὅσον σαυτὸν εἰργάσω κακόν. πῶς γὰρ ἐπιτεύξῃ συγγνώμης, ἧς ἑτέροις οὐ μεταδίδως; Ἑλλήνων παῖδες οὐδὲν μέγα προσδοκῶντες, πολλάκις ἐπὶ ἀνεξικακίᾳ ἐφιλοσόφησαν· καὶ σὺ ὑπὲρ οὗ τὴν ψυχὴν ὁ Χριστὸς ἔδωκε, καὶ οὐδὲ σφαγῆναι παρῃτήσατο, ἐχθροῦ ὄντος, καὶ ἐπὶ τοιαύταις ἐλπίσι μέλλων ἀποδημεῖν, εἶτα δύῃ καὶ ὀκνεῖς πρὸς τὸ καταλῦσαι τὴν ἔχθραν; καὶ ὅπερ ὁ χρόνος ποιεῖ, τοῦτο οὐκ ἀνέχῃ πρὸ τοῦ χρόνου ποιῆσαι διὰ τὸν Θεοῦ νόμον· ἀλλ' ἀμισθὶ μᾶλλον ἢ ἐπὶ μισθῷ βούλει σβεσθῆναι τὸ πάθος· οὐδὲ γὰρ ἂν διὰ τοῦ χρόνου γένηται τοῦτο, ἔσται σοί τι πλέον. ἀλλὰ καὶ πολλὴ ἡ κόλασις, ὅτι ὅπερ ὁ χρόνος εἰργάσατο, τοῦτο ὁ Θεοῦ νόμος οὐκ ἔπεισε ποιῆσαι. διὰ γὰρ τοῦτο μάλιστά σοι μισθὸν ἄφατον παρέχει, ἵνα φθάσῃς ἐκεῖνον. εἰ δὲ ἐὰν παρακληθεὶς καταλλαγῇς, οὐκ ἔτι τῆς τοῦ Θεοῦ προσταγῆς γέγονεν ἡ φιλία, ἀλλὰ τῆς ἐκείνου σπουδῆς· διὸ καὶ ἀστεφάνωτος ἀναχωρεῖς, ἐκείνου τὰ βραβεῖα λαμβάνοντος. λῃσταὶ κοινωνοῦντές τισιν, οὐκέτι εἰσὶ λῃσταὶ πρὸς οὓς ἂν κοινωνήσωσιν, ἀλλὰ μεταβάλλει τὸν τρόπον ἡ τράπεζα, καὶ τοὺς τῶν θηρίων ἀγριωτέρους, προβάτων ἡμερωτέρους ποιεῖ· ἡμεῖς δὲ τοιαύτης τραπέζης μετέχοντες, τοιαύτης κοινωνοῦντες * τρυφῆς, ὁπλιζόμεθα κατ' ἀλλήλων; καὶ πῶς οὐκ ἂν ὦμεν καὶ τῶν θηρίων χείρους; διά τοι τοῦτο ἡμεῖς μὲν ἀσθενέστεροι, ὁ δὲ πάντων ἡμῶν πολέμιος ἰσχυρότερος καθ' ἑκάστην γίνεται τὴν ἡμέραν. οὐ γὰρ μετ' ἀλλήλων κατ' ἐκείνου φραττόμεθα· ἀλλὰ μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμεθα, καὶ αὐτῷ στρατηγῷ πρὸς τὰς τοιαύτας παρατάξεις χρώμεθα. οὗ τὴν στρατηγίαν ἐκφύγοιμεν χάριτι τοῦ Χριστοῦ· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

De Triſtitia & Mœrore.

HOMILIA XIX.

Ex orat. ad Stagyrium.

INdidit Deus naturæ noſtræ triſtitiam, non ut ſimpliciter & intempeſtivè, etiam in rebus adverſis ea utamur, neque ut nos ipſos perdamus, ſed ut maxima ex eadem conſequamur commoda. Tempus enim triſtitiæ eſt, non quando mala patimur, ſed cùm male agimus. Nos verò ordinem pervertimus, & tempora permutavimus: & cùm quidem infinita mala facimus, ne quidem ad breve tempus animo contrahimur: ſi verò exiguum quid ab aliquo patiamur, animo concidimus, vertigine corripimur, & liberam è præſenti vita optamus, ignorantes, quòd tribulationes & tentationes, quæque nobis contingunt triſtia: non minùs quàm bona, Dei curam nobis commendent. Et quid dico tribulationes quæ hîc ſunt? Nec enim minùs gehennæ comminatio, quàm regnum cœlorum ipſius clementiam demonſtrat. Nam ſi gehennam non minaretur, fortaſſe quis non aſſequeretur bona cœleſtia. Neque enim ſola bonorum promiſſio ad virtutem nos exhortari ſufficit, niſi etiam malorum metus impellat eos, qui ſegnius eam colunt: Præſertum cùm ideo triſtitia & mœror facta ſint: non ut morte aut pecuniarum jactura, aut alia aliqua ejuſmodi re doleamus, verùm ut ad peccatorum demolitionem ipſa utamur. Etenim miles, qui mortem timet, nihil unquam præclari efficiet. Qui itaque iis dolet, non propter quæ punitur, ſed quibus peccans Deum irritat, atque inimicum reddit: ille & maximè ipſum nobis reconciliat; & propinquum nobis eſſe facit. Propterea enim in præſentem vitam productus es, ô homo, non ut inutio vivens educeris, neque ut nihil patiaris mali, ſed paſſus illuſtrior ſis. Non enim viri generoſi eſt, otium quærere & deliciis perfrui: ſed deſiderium potiùs eſt vermis nulla ratione utentie, quàm rationem habentis. Et ora quidem, ut ne incidas in tentationem. Sin fortè intraveris, ne graviter & ægrè feras, nec tumultueris aut turberis, ſed omnia fac, quo illuſtrior evadas. An non vides, militum fortiſſimos, quomodo tuba vocante, ad tropæa reſpiciant,

Ex interpr. Pſal. 154.

lege ὁ τοίνυν ἀλγῶν.

Περὶ λύπης καὶ ἀθυμίας.

Λόγος ιθ'.

ΤΗΝ ἀθυμίαν ἐνέθηκεν ἡμῶν ὁ Θεὸς τῇ φύσει, οὐχ ἵνα ἁπλῶς καὶ ἀκαίρως καὶ ἐν τοῖς ἐναντίοις αὐτῇ χρώμεθα πράγμασιν, οὐδ' ἵνα φθειρώμεθα ἑαυτοὺς, ἀλλ' ἵνα τὰ μέγιστα κερδαίνωμεν ἐξ αὐτῆς. καιρὸς γὰρ ἀθυμίας, οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ' ὅταν δρῶμεν κακῶς. ἡμεῖς δὲ τὴν τάξιν ἀντεστρέψαμεν, καὶ τοὺς καιροὺς ἀντηλλαξάμεθα. καὶ ποιοῦντες μὲν μυρία κακὰ, οὐδὲ πρὸς τὸ βραχὺ συστελλόμεθα· ἂν δὲ μικρόν τι παρά τινος πάθωμεν, καταπίπτομεν καὶ ἰλιγγιῶμεν, καὶ ἀπαλλαγῆναι τοῦ παρόντος βίου εὐχόμεθα, οὐκ εἰδότες, ὅτι αἱ θλίψεις καὶ οἱ πειρασμοὶ καὶ τὰ συμβαίνοντα ἡμῖν ἀνιαρὰ τῶν χρηστῶν οὐχ ἧττον τὴν τοῦ Θεοῦ ἡμῖν κηδεμονίαν ἐνδείκνυνται. καὶ τί λέγω τὰς θλίψεις τὰς ἐνταῦθα; τῆς γὰρ βασιλείας τῆς τῶν οὐρανῶν οὐκ ἔλαττον ἡ τῆς γεέννης ἀπειλὴ παρίστησι τὴν φιλανθρωπίαν αὐτοῦ. εἰ γὰρ μὴ γέενναν ἠπείλησεν, οὐκ ἄν τις ταχέως ἐπέτυχε τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν. οὐδὲ γὰρ ἀρκεῖ μόνη ἡ τῶν χρηστῶν ἐπαγγελία προτρέψαι πρὸς ἀρετὴν, μὴ καὶ τοῦ φόβου τῶν δεινῶν ὠθοῦντος τοὺς ῥαθυμοτέρους πρὸς ἐκείνην διαναστῆναι. ἄλλως τε καὶ διὰ τοῦτο λύπη καὶ ἀθυμία γεγένηται, οὐχ ἵνα ἐπὶ θανάτῳ, οὐδ' ἵνα ἐπὶ ζημίᾳ χρημάτων, οὐδὲ ἵνα ἐπ' ἄλλῳ τινὶ τῶν τοιούτων ἀλγῶμεν· ἀλλ' ἵνα εἰς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν αὐτῇ κατακεχρώμεθα. καὶ γὰρ στρατιώτης θάνατον δεδοικὼς οὐδὲν οὐδέποτε γενναῖον ἐργάσεται. * τὸν τοίνυν ἀλγοῦντα, οὐχ ὑπὲρ ὧν κολάζεται, ἀλλ' ὑπὲρ ὧν ἁμαρτάνων παροξύνει τὸν Θεὸν, καὶ ἐχθρὸν ποιεῖ, ἐκεῖνος καταλλάττει τε αὐτὸν ἡμῖν μάλιστα, καὶ ἐγγὺς ἡμῶν εἶναι παρασκευάζει. διὰ γὰρ τοῦτο εἰς τὸν παρόντα βίον ἐξηνέχθης, ἄνθρωπε, οὐχ ἵνα ἀργῶν τρυφῇς, οὐδ' ἵνα μὴ πάσχῃς μηδὲν δεινὸν, ἀλλ' ἵνα παθὼν λαμπρότερος ᾖς. οὐ γὰρ ἀνδρὸς γενναίου τὸ τὴν ἄνεσιν ζητεῖν καὶ τρυφῆς ἀπολαύειν, ἀλλὰ σκώληκος ἀλόγου μᾶλλον ἡ ἐπιθυμία, ἢ λόγον ἔχοντος. καὶ εὔχου μὲν μὴ ἐμπεσεῖν εἰς πειρασμόν· εἰ δέ ποτε ἐμβαίης, μὴ δυσχέραινε, μηδὲ θορύβει, μηδὲ ταράττου, ἀλλ' ὅπως γένῃ λαμπρότερος, πάντα ποίει. ἢ οὐχ ὁρᾷς τῶν στρατιωτῶν τοὺς ἀνδρειοτάτους, πῶς τῆς σάλπιγγος καλούσης, πρὸς τὰ τρόπαια βλέπουσι,

πρὸς

πρὸς τὰς νίκας, πρὸς τοὺς κατωρθωκότας τῶν προγόνων, καὶ σὺ τοίνυν τῆς σάλπιγγος ἠχούσης τῆς πνευματικῆς, γίνου λέοντος σφοδρότερος· ἔμβηθι, κἂν πῦρ ᾖ, κἂν σίδηρος. οἶδε καὶ τὰ στοιχεῖα τοὺς ἀνδρείους αἰδεῖσθαι· οἶδε καὶ τὰ θηρία τοὺς οὕτω γενναίους δεδοικέναι, κἂν ὑπὸ λιμοῦ, κἂν ὑπὸ τῆς φύσεως αὐτῆς ἀγριαίνηται, πάντων ἐπιλανθάνεται καὶ κρατεῖ τοῦ πάθους. Τὸν Χριστιανὸν οὖν εἴποτε λυποῖτο, δύο μόνας ὑποθέσεις ἀθυμίας ἔχειν δεῖ· ἢ ὅταν αὐτὸς, ἢ ὅταν ὁ πλησίον προσκρούσῃ Θεῷ. τοὺς κακηγορουμένους οὐκ ἀγωνιᾷν δεῖ καὶ τρέμειν, ἀλλὰ τοὺς κακηγοροῦντας. οὐ γὰρ ἐκεῖνοι ἀναγκάζονται ἀπολογεῖσθαι ὑπὲρ ὧν κακῶς ἤκουσαν, ἀλλ' οὗτοι ὑπὲρ ὧν κακῶς εἶπον· τούτοις γὰρ ἀποκρέμαται ὁ κίνδυνος ἅπας. ὥστε τοὺς μὲν κακῶς ἀκηκοότας, ἀμερίμνους δεῖ εἶναι· οὐ γὰρ παρέξουσιν εὐθύνας ὑπὲρ ὧν ἕτερος εἶπεν κακῶς· τοὺς δὲ κακῶς εἰρηκότας ἀγωνιᾷν καὶ τρέμειν, ἅτε αὐτοὺς μέλλοντας εἰς τὸ φοβερὸν δικαστήριον ὑπὲρ τούτων ἕλκεσθαι. διὰ τοῦτο μὴ τῷ κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλὰ τῷ δικαίως ἀκούειν κακῶς· ἂν μὲν γὰρ ἐν πονηρίᾳ ζῶμεν, κἂν μηδεὶς ὁ κακηγορῶν ᾖ, πάντων ἐσμὲν ἀθλιώτεροι· ἂν δὲ ἀρετῆς ἐπιμελώμεθα, κἂν ἡ οἰκουμένη λέγῃ κακῶς, τότε πάντων ἐσόμεθα ζηλωτότεροι. ἐὰν γὰρ ἡ διάνοια καλῶς ἡμῖν ᾖ κατεσκευασμένη, κἂν μυρίοι πανταχόθεν ἐγείρωνται χειμῶνες, ἐν γαλήνῃ καὶ λιμένι καθεδούμεθα διαπαντός. ὥσπερ οὖν οὐκ εὖ ἐχούσης αὐτῆς, κἂν ἐξ οὐρίων ἡμῖν ἅπαντα φέρηται, τῶν ἐν ναυαγίοις ὄντων, οὐδὲν ἄμεινον διακεισόμεθα· τοῦτο καὶ ἐπὶ τῶν σιτίων ἐστὶν ἰδεῖν. ὅταν μὲν γὰρ ἰσχυρὸν καὶ ἐρρωμένον ἡμῖν τὸ σῶμα τῆς γαστρὸς ᾖ, πᾶν ὅπερ ἂν δέχηται, κἂν σκληρὸν ᾖ, κἂν ἀκατέργαστον, πρὸς καθαρὸν αὐτὸ μετασχηματίζει χυμὸν, τῆς φυσικῆς κράσεως περιγινομένης τῆς ἐν τῷ σιτίῳ κακίας. ὅταν δὲ ὁ τόνος αὐτοῦ καταλελυμένος ᾖ καὶ χαῦνος, κἂν τὸ πάντων εὐχυμότερον αὐτῇ προσενέγκῃς ἔδεσμα, εἰς τὸ χείριστον αὐτὸ μετερρύθμισε, καὶ διέφθειρε, τῆς ἀσθενείας τὴν ἀρετὴν αὐτοῦ λυμαινομένης. οὐ γάρ ἐστι ψυχὴν ὀδυνωμένην καὶ νέφει κατεχομένην ἀθυμίας δυνηθῆναι μετὰ προθυμίας, ἢ ἀκοῦσαί τι τῶν λεγομένων χρησίμως, ἢ εἰπεῖν. τῶν γὰρ ὀδυνωμένων αἱ ψυχαὶ οὐ θέλουσι μακροὺς ἀποτείνειν λόγους, ἀλλ' ὥσπερ νεφέλη τις πυκνὴ γινομένη, καὶ τὴν ἡλιακὴν ἀκτῖνα ὑποδραμοῦσα, ἀποστρέφει αὐτὴν ἅπασαν εἰς τὰ ὀπίσω· οὕτω δὴ καὶ ἀθυμίας νέφος, ἐπειδὰν στῇ περὶ τῆς ψυχῆς τῆς ἡμετέρας, οὐκ ἀφίησιν αὐτῇ εὔκολον γενέσθαι τὴν τοῦ λόγου διάβασιν, ἀλλ' ἀποπνίγει καὶ συνέχει μετὰ πολλῆς ἀνάγκης ἔνδον αὐτόν· καὶ τοῦτο οὐκ ἐπὶ τῶν λεγόντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀκουόντων γίνεται· ὥσπερ γὰρ ἀπὸ τῆς τοῦ λέγοντος ψυχῆς οὐκ ἀφίησιν αὐτὸν ἐκπηδῆσαι μετ' εὐκολίας, οὕτως οὐδὲ εἰς τὴν τῶν ἀκουόντων διάνοιαν ἐμπεσεῖν συγχωρεῖ, μετὰ τῆς οἰκείας δυνάμεως. καὶ γὰρ οἱ τοῦ Ἰὼβ φίλοι πρὸς αὐτὸν παραγενόμενοι, καὶ τὴν τραγῳδίαν τῆς οἰκίας ἐκείνης ἰδόντες, καὶ τὸν δίκαιον ἐπὶ τῆς κοπρίας ἐκείνης καθήμενον καὶ ἡλκωμένον, διέρρηξάν τε τὰ ἱμάτια καὶ ἀνῴμωξαν, καὶ σιγῇ παρεκάθηντο, δηλοῦντες, ὅτι οὐδὲν οὕτως ἐπιτήδειον παρὰ τὴν ἀρχὴν τοῖς ὀδυνωμένοις, ὡς ἡσυχία καὶ σιγή. μάθε τοίνυν ὡς ὁ συγχωρήσας τὸν πειρασμὸν γενέσθαι, αὐτὸς οἶδε καὶ τὸν καιρὸν τῆς λύσεως τοῦ πειρασμοῦ· δυνατὸς γὰρ ὁ Θεὸς ἅπαντα λῦσαι τὰ δεινά. ἀλλ' ἕως ἂν ἴδῃ γινομένην ἐπιστροφὴν, οὐ καταλύει τὴν θλῖψιν· καὶ θαύμαζε τοὺς πειραζομένους, καὶ γενναίως τοὺς πειρασμοὺς ὑπομένοντας· καθάπερ τοὺς παῖδας τοὺς τρεῖς, οὓς οὐδεὶς ἂν ἐθαύμασε μὴ κατακαέντας, εἰ πόρρω τῆς Βαβυλωνίας ἦσαν καμίνου. τὸ γὰρ ἐκπλῆξαν ἅπαντας τοῦτό ἐστιν, ὅτι τῷ πυρὶ τοσοῦτον ὁμιλήσαντες χρόνον, τῶν οὐχ ὁμιλησάντων ἐξέβησαν ἀλυπότεροι. οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἐστὶν εἰπεῖν, ὅτι εἰ μηδεὶς αὐτοῖς ἐπήγετο πειρασμὸς, οὐκ ἂν αὐτοὺς ἐθαυμάσαμεν διηνεκῶς φέροντας. καίτοι γὰρ μυρίοις κυκλούμενοι κύμασι πανταχόθεν, τῶν γαλήνης καθαρᾶς ἀπολαυόντων, ἄμεινον διέκειντο. εἰ μὲν γὰρ μηδὲν ἦν τὸ λυποῦν, οὐκ ἦν αὐτοῖς μέγα τὸ δύνασθαι διηνεκῶς χαίρειν· τὸ δὲ πολλῶν ἐπικειμένων τῶν εἰς ἀθυμίαν ἐμβαλλόντων, ἀνωτέρους ἁπάντων εἶναι, καὶ ἐν μέσοις τοῖς λυπηροῖς εὐφραίνεσθαι, τοῦτό ἐστι παράδοξον. καὶ γὰρ ὁ θάνατος οὐ πάντων ἀφορητότερος εἶναι δοκεῖ, ἀλλ' ἡ τούτου προσδοκία οὐ μόνον αὐτοὺς οὐ λυπεῖ, ἀλλὰ καὶ μειζόνως εὐφραίνει. οἴδασι γὰρ ὅτι ἡ τοῦ θανάτου παρουσία, πόνων ἐστὶν ἀπαλλαγή· καὶ ὅτι ἔθος τῷ φιλανθρώπῳ Θεῷ τιμᾷν τοὺς αὐτοῦ δούλους, καὶ χαρίζεσθαι αὐτοῖς καὶ τὴν ἑτέρων σωτηρίαν. ὥσπερ καὶ ἐπὶ τοῦ ἁγίου Παύλου πεποίηκε, τοῦ διδασκάλου τῆς οἰκουμένης, τοῦ πανταχοῦ τὰς ἀκτῖνας τῆς οἰκείας διδασκαλίας ἀφιέντος. ἡνίκα γὰρ οὗτος ἐπὶ τὴν Ῥώμην ἀνήγετο, χειμῶνος κατὰ τὴν θάλασσαν πολλοῦ γινομένου, καὶ πάντων τῶν ἐν πλοίῳ περὶ αὐτῆς τῆς σωτηρίας δεδοικότων, καὶ οὐδεμίαν ἐλπίδα χρηστὴν ἐχόντων διὰ τὸ τοῦ κλύδωνος μέγεθος, καλέσας ἅπαντας, φησίν· εὐθυμεῖτε ἄνδρες, ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ Θεοῦ, οὗ εἰμι, καὶ λατρεύω, ἄγγελος λέγων· μὴ φοβοῦ Παῦλε· κεχάρισται γάρ σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. τούτου συνεχῶς μνημονεύωμεν. οὐδὲν γὰρ οὕτως ὠφελεῖ,

A ad victorias, ad majores ſuos, qui præclarè ſe geſſerunt? Et tu i-
gitur tuba inſonante ſpirituali, ſta leone validior: intra, ſive ignis
ſit, ſive ferrum. Sciunt etiam elementa animoſos revereri: ſci-
unt & ipſæ beſtiæ ita generoſos timere; ſive à fame ſive etiam à
natura efferentur, omnium obliviſcuntur, & affectum ſuperant. *Ex interpr. Pſalm. 14.*
Chriſtianum igitur ſi quid contriſtet, duas duntaxat materias
triſtitiæ habere oportet: cùm ſcilicet aut ipſemet, aut proximus
Deum offenderit. Qui maledicta ſuſtinent, non oportet anxios *Ex orat. ad Stagirium.*
B eſſe & tremere; ſed eos, qui maledicunt. Neque enim illi ex-
cuſare ſe coguntur, de detractionibus quas audiverunt, ſed hi de
maledictis, quibus uſi ſunt? his enim totum periculum impen- *Ex interpr. Evang. S. Matth.*
det. Igitur malè audientes ſecuros eſſe oportet; cùm rationem
reddituri non ſint de alterius maledictis: Qui verò maledixe-
runt, eos anxios eſſe & tremere oportet, quippe qui ad formida-
bile illud tribunal pro his trahendi ſunt. Ideóque ne doleamus
nos malè audire, ſed ſi meritò malè audiamus. Si enim in nequi-
C tia vitam agamus, licet nullus ſit qui maledicat, omnium tamen
miſerrimi ſumus: At ſi virtuti ſtudeamus, quamvis totus ter-
rarum orbis maledicat, omnium tunc feliciſſimi erimus. Nam *Ex hom. de provid.*
ſi mens nobis benè conſtituta ſit, etiamſi infinitæ undique exci-
tentur tempeſtates, in tranquillitate tamen, & in portu ſemper
ſedebimus: Quemadmodum illa non benè habente, etſi nobis
omnia ſecundis provehantur ventis, nihil tamen naufragium
patientibus meliùs habebimus: Hoc in alimentis quoque vi-
D dere eſt. Si enim corpus ventriculi, forte ſit & robuſtum, om- *[illegible]*
ne quod ſuſceperit, ſive durum ſit, ſive per ſe rude & inconfe-
ctum, in purum ipſum commutat ſuccum, naturali tempera-
mento alimenti vitium ſuperante. Si verò robur ipſius remiſ-
ſum & ſolutum ſit, etiamſi cibum omnium optimum ſuccum
habentem ei obtuleris, in peſſimum tamen hunc tranſmutave-
rit & corruperit, imbecillitate virtutem ipſius labefactante.
Anima enim quæ dolore cruciatur, nubéque occupatur triſti-
E tiæ, nequaquam cum alacritate poteſt vel audire vel referre ali-
quid eorum, quæ utiliter dicuntur. Nam dolentium animi
longos extendere ſermones nolunt: ſed ſicuti nubes aliqua den-
ſa facta, ſoliſque radios intercludens totos ipſos retro avertit:
ita etiam triſtitiæ nubes, ſi animo noſtro obſiſtet, non permittit
ei facilem ſermonis eſſe tranſitum, ſed magno cum impedi-
mento eum intus ſtrangulat & cohibet. Atque hoc non in lo-
quentibus modò ſed etiam in audientibus fit. Quemadmodum
A enim ex dicentis animo non permittit ſermonem expeditè exi-
lire: ita nec in audientium mentem cum ſua virtute illabi con-
cedit. Etenim amici Job, ubi eum acceſſiſſent, vidiſſéntque ipſi- *Ex Statuis.*
us tragœdiam domus, & juſtum in illo ſterquilinio ſedentem,
ulceribúſque plenum, tum veſtimenta diſciderunt & plorave-
runt, atque in ſilentio aſſiderunt: oſtendentes, nihil utilius eſſe
circa initium, iis qui dolore cruciantur, quàm quies & ſilen-
tium. Diſce itaque, quòd is, qui tentationem fieri permiſit,
B tempus quoque liberationis à tentatione noverit (potens enim
eſt Deus omnia diſſolvere mala, ſed donec converſionem fa-
ctam viderit, tribulationem non finit) & admirare eos qui ten-
tantur, fortique animo tentationes ſuſtinent: utputa tres pue-
ros, quos nemo miratus eſſet, non eſſe combuſtos, ſi procul à
fornace Babylonica fuiſſent. Quod enim omnes obſtupefecit,
illud eſt, quod tanto tempore in igne verſati, lætiores evaſe-
rint, quàm qui in eo minimè fuiſſent. Atque eodem modo de
C Sanctis dicendum; quòd ſi nulla ipſis immiſſa eſſet tentatio, ne-
quaquam eos, quòd tam conſtanter tulerint, ſuſpexiſſemus.
Enimverò dum innumerabilibus agitarentur undique fluctibus,
meliùs habebant, quàm qui pura tranquillitate fruebantur.
Quòd ſi nihil fuiſſet, quod eos contriſtaret, non magnum illis
fuiſſet, jugiter poſſe gaudere: quòd verò multis, quæ in mœro-
rem eos conjicere potuiſſent, imminentibus, omnibus ſuperio-
res eſſent, atque in mediis moleſtiis lætitia afficerentur, hoc no-
D vum & inuſitatum eſt. Etenim mors non videtur omnibus eſſe
intolerabilior, ſed hujus expectatio eos non tantùm non contri-
ſtat, ſed vehementiùs etiam exhilarat. Noverunt enim quòd *[illegible]*
mortis adventus laborum finis ſit, quódque benignus Deus ſer-
vos ſuos honorare, eiſque aliorum etiam ſalutem donare con-
ſuevit. Quemadmodum etiam cum S. Paulo fecit qui totius
terrarum orbis magiſter erat, qui ubique doctrinæ ſuæ radios
emittebat. Cùm enim hic Romam abduceretur, gravi tem-
E peſtate in mari exorta, omnibúſque, qui in navi erant, ſalu-
ti ſuæ metuentibus, nec ullam ſpem bonam propter æſtus
magnitudinem habentibus, omnibus convocatis, inquit:
Bono animo eſtote, viri; amiſſio enim nullius animæ erit ex *Act. 27, 22*
vobis, præterquam navis. Aſtitit enim mihi hac nocte Ange-
lus Dei cujus ſum, & cui deſervio, dicens, Ne timeas
Paule; donavit enim tibi Deus omnes qui navigant tecum.
Hujus aſſiduè recordemur. Nihil enim tantopere nos juvat,

quàm

quàm jugiter beneficiorum Dei, tum communium, tum privatorum, meminiſſe. *Ex epiſt. ad Titum.* Si enim benefactorum amici recordati, aut jucundo verbo vel re audita, incaleſcimus: multo magis, ſi cognoſcamus quanta in pericula incidetimus, quodque ab omnibus nos Deus exemerit, promtiores in virtutis ſtudio erimus. Quemadmodum ipſe quoque Paulus. Cujus famem quidem & ſitum, & naufragia, & timores, & inſidias, & carceres, aliáque omnia quæcunque præconii Evangelici cauſa B. Paulus ſuſtinuit, nihil opus eſſe arbitror commemorare. *Ex orat. ad Stagirium. 2. Cor. 12.* Sufficit enim horum unumquodque & vehementer conturbaſſe & fregiſſe ſanctam illam Animam. Cum verò dicit, Quis infirmatur & ego non infirmor, quis ſcandalizatur, & ego non uror? hoc eſt quod omnium maximè ipſi aſſiduam & intolerabilem exhibuit animi ægritudinem. Si enim ob unumquémque eorum, qui ſcandalizabantur, ipſe urebatur, non potuit reſtingui incendium ex ipſius anima. Nec enim deerant qui ſcandalizarentur, ignique materiam præberent. At verò Judæos infideles videre, quam vel exiguam triſtitiæ & doloris requiem habere potuit? *Rom. 9.* Optabam enim, inquit, anathema eſſe à Chriſto pro fratribus meis, qui mihi cognati ſunt ſecundùm carnem, qui ſunt Iſraëlitæ. Quod verò dicit, ejuſmodi eſt: Optabilius erat mihi in gehennam incidere, quàm Iſraëlitas infideles videre. Qui verò gehennæ pœnas eligit, ut Judæos omnes adducere poſſet, hunc manifeſtum eſt, iſtud non conſecutum, acerbiorem egiſſe vitam iis qui in inferno ſunt. *Ex interpr. ep. 2. ad Cor. 2. Cor. 12.* Ad quem etiam illud dictum eſt, Sufficit tibi gratia mea: virtus enim in infirmitate perficitur. Hoc eſt, ſufficit tibi quòd mortuos excites, quòd cæcos cures, quòd mundes leproſos, aliáque miracula edas: ne quæras etiam abſque periculis & timore eſſe, & ſine moleſtiis prædicare. Sed doles & triſtaris? Ne opineris id meæ imbecillitatis eſſe, quòd multi ſint, qui inſidias tibi moliuntur, & verberant & ejiciunt & flagellis cædunt. Quin hoc ipſum meam potentiam oſtendit. Virtus enim mea, inquit, in infirmitate perficitur. cùm perſecutionem patientes perſequentibus ſuperiores evaditis: cùm exagitati vincitis exagitantes: cùm ligati ligantes convertitis. *Ex orat. ad Stagirium.* Verùm grave quidem eſt, à quovis etiam malè audire: ſi verò aliquis ex iis, qui beneficia acceperint, hoc faciat, collatáque in ſe beneficia vituperet, & crimini objiciat; tunc verò, tunc contumelia fit non ferenda, tantámque cum triſtitia iram quoque adducit, ut vel ſoffocare injuria affectum queat. Certè qui à viro magno injuriam tulit, ei non parvo honori eſt ipſa maleficientis excellentia: qui verò à vili & abjecto, majorem ſuſtinet dolorem, & intolerabilem reputat calamitatem. *Ex hom. ad infidelem parentem.* Sed non illud attende, an nos aliqui cavillentur, ſed an rectè & meritò. Et ſi quidem rectè, illis etiam non ridentibus, nos lacrymemur: ſi immeritò, licet omnes rideant, ipſi quidem nos beatos prædicemus, illos verò, velut omnium miſerrimos, nihilque ab inſanientibus differentes, deploremus: *Ex interpr. ep. ad Cor.* Etſi dolentibus nihil moleſtius ſit, quàm ſermo ad animum mordendum idoneus. *Ex hom. in Stat.* Hæc tum vobiſipſis, tum alter alteri quotidie loquimini, cùm tempus opportunum habetis. *Ex hom. in Stat.* Si enim rogare aliquem volens, licet rationi conſentanea petere velit, temporis commoditatem expectat, ut illum, qui petita dare debet, mitem & benè affectum conveniat, multo magis dicentem tempus quærere idoneum oportet. Sic enim pro nobis invicem ſoliciti eſſe debemus, ſicut pro nobiſipſis; & parcere proximis, quemadmodum ſcilicet nobis quoque Deus. Nemo enim ita ſibi parcit, ſicuti nobis omnibus Deus: qui multo magis quam nosipſi, deſiderat, ut nihil mali patiamur. Quem decet gloria, Imperium, honor & adoratio, nunc & in ſecula ſeculorum, Amen.

A ὡς τὸ συνεχῶς μεμνῆσθαι τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ τῶν κοινῶν καὶ τῶν ἰδίων. εἰ γὰρ φίλων εὐεργεσιῶν ἀναμνησθέντες, ἢ ῥῆμα τερπνὸν ἀκούσαντες, ἢ πρᾶγμα διαθερμαινόμεθα· πολλῷ μᾶλλον ὅταν ἴδωμεν ποίοις κινδύνοις περιεπέσομεν, καὶ ἀπὸ πάντων ἡμᾶς ἐξείλετο ὁ Θεὸς, προθυμότεροι περὶ τὴν ἀρετὴν ἐσόμεθα, ὥσπερ οὖν καὶ ὁ Παῦλος. οὗ τὸν μὲν λιμὸν, καὶ τὸ δίψος, καὶ τὰ ναυάγια, καὶ τοὺς φόβους, καὶ τὰς ἐπιβουλὰς, καὶ τὰ δεσμωτήρια, καὶ τὰ ἄλλα πάντα ὅσα τοῦ κηρύγματος ἕνεκεν ὁ μακάριος Παῦλος ὑπέμεινεν, οὐδὲν οἶμαι δεῖν λέγειν. B ἱκανὸν γὰρ καὶ τούτων ἕκαστον συνταράξαι σφοδρῶς καὶ κατακλάσαι τὴν ἁγίαν ἐκείνην ψυχήν. ὅταν δὲ λέγῃ, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; τοῦτό ἐστιν ὃ μάλιστα πάντων αὐτῷ διηνεκῆ καὶ ἀφόρητον παρεῖχε τὴν ἀθυμίαν. εἰ γὰρ καθ' ἕκαστον τῶν σκανδαλιζομένων ἐπυροῦτο αὐτὸς, οὐκ ἐνῆν σβεσθῆναι τὴν πύρωσιν ταύτην ἀπὸ τῆς ἐκείνου ψυχῆς. οὐ γὰρ διέλιμπανον οἱ σκανδαλιζόμενοι, καὶ τὴν C ὑπόθεσιν παρέχοντες τῷ πυρί. τὸ δὲ καὶ τοὺς Ἰουδαίους ἀπιστοῦντας ὁρᾶν, τίνα ἂν ἀθυμίας καὶ ὀδύνης μικρὰν γοῦν ἀνακωχὴν ἔχειν ἠδύνατο; ηὐχόμην γὰρ, φησὶ, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. ὃ δὲ λέγει, τοῦτό ἐστι· ποθεινότερον ἦν μοι εἰς γέενναν ἐμπεσεῖν, ἢ τοὺς Ἰσραηλίτας ἀπιστοῦντας ὁρᾶν. ὁ δὲ τὴν ἐν γεέννῃ κόλασιν ἑλόμενος ὑπὲρ τοῦ δυνηθῆναι προσαγαγεῖν τοὺς Ἰουδαίους ἅπαντας, εὔδηλον ὅτι D τούτου μὴ τυχὼν, τῶν ἐν τῇ γεέννῃ κολαζομένων διῆγε βαρύτερον. πρὸς ὃν εἴρηται καὶ τὸ, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τουτέστιν, ἀρκεῖ σοι ὅτι νεκροὺς ἐγείρεις, ὅτι τυφλοὺς θεραπεύεις, ὅτι λεπροὺς καθαίρεις, ὅτι τὰ ἄλλα θαυματουργεῖς· μὴ ζήτει καὶ τὸ ἀκίνδυνον, καὶ ἀδεῶς, καὶ τὸ χωρὶς πραγμάτων κηρύττειν. ἀλλ' ἀλγεῖς καὶ ἀθυμεῖς· μὴ δόξῃ τοῦτο ἀσθενείας εἶναι ἐμῆς, τὸ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας, καὶ δέροντάς σε, καὶ ἐλαύνοντας, καὶ μαE στίζοντας. τοῦτο μὲν οὖν αὐτὸ δεικνυσί μου τὴν δύναμιν. ἡ γὰρ δύναμίς μου, φησὶν, ἐν ἀσθενείᾳ τελειοῦται, ὅταν διωκόμενοι τῶν διωκόντων περιγένησθε· ὅταν ἐλαυνόμενοι τῶν ἐλαυνόντων κρατῆτε· ὅταν δεσμούμενοι τοὺς δεσμοῦντας τρέπητε. ἀλλὰ δεινὸν μὲν, καὶ τὸ ὑφ' ὁτουοῦν ἀκούειν κακῶς· ὅταν δὲ καὶ τῶν εὐεργετηθέντων τις ἐκεῖνο ποιῶν, καὶ τὰς εἰς αὐτὸν εὐεργεσίας ὀνειδίζῃ καὶ προφέρῃ, τότε δὴ τότε ἡ ὕβρις ἀφόρητος γίνεται, καὶ τοσοῦτον μετὰ τῆς ἀθυμίας ἐπάγει, καὶ τὸν θυμὸν, ὡς καὶ ἀποπνίA ξαι τὸν ὑβριζόμενον δύνασθαι. ὁ μὲν οὖν ὑπό τινος μεγάλου παθὼν κακῶς, ἔχει φιλοτιμίαν οὐ μικρὰν, τὴν τοῦ ποιοῦντος ὑπεροχήν· ὁ δὲ ὑπὸ εὐτελοῦς καὶ ἀπερριμμένου, μείζονα ἔχει τὴν ἀνίαν, καὶ αὐτομεμπτον τὴν θλῖψιν λογίζεται. ἀλλὰ μὴ τοῦτο σκόπει, εἰ σκώπτουσιν ἡμᾶς τινες, ἀλλ' εἰ καλῶς καὶ δικαίως. κἂν μὲν δικαίως, καὶ μὴ γελώντων ἐκείνων, ἡμεῖς δακρύωμεν· ἂν δὲ ἀδίκως, κἂν ἅπαντες γελῶσιν, ἡμεῖς ἑαυτοὺς μὲν μακαρίζωμεν, ἐκείνους δὲ θρηνῶμεν, ὡς πάντων ἀθλιωτέρους B ὄντας, καὶ τῶν μαινομένων οὐδὲν διαφέροντας· εἰ καὶ μηδὲν ἀφορητότερον τοῖς ὀδυνωμένοις ἐστὶ λόγου δυναμένου δακεῖν ψυχήν. ταῦτα καὶ ὑμῖν αὐτοῖς καὶ ἀλλήλοις λέγετε καθ' ἑκάστην, καιροῦ τυγχάνοντες. εἰ γὰρ ὁ μέλλων δεῖσθαί τινος, κἂν εὔλογα μέλλῃ παρακαλεῖν, ἐπιτηδειότητα ἀναμένει καιροῦ, ὅπως ἥμερον καὶ εὖ διακείμενον προσέλθοι τῷ μέλλοντι διδόναι τὴν αἴτησιν, πολλῷ μᾶλλον τὸν λέγοντα καιρὸν ἐπιτήδειον ζητεῖν δεῖ. οὕτω γὰρ ὑπὲρ ἀλλήλων ὀφείλομεν, ὥσπερ C ἑαυτῶν μεριμνᾷν, καὶ φείδεσθαι τῶν πλησίον, καθὰ δή τοι καὶ ἡμῶν ὁ Θεός. οὐδεὶς γὰρ οὕτως ἑαυτοῦ φείδεται, ὡς πάντων ἡμῶν ὁ Θεὸς, ὃς πολλῷ μᾶλλον ἡμῶν βούλεται μηδὲν πάσχειν ἡμᾶς δεινόν. ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

De ira & furore.

D

HOMILIA XX.

Ex interpr. Evang. S. Joan. VIS diſcere quantum malum ſit iraſci? Aſta pugnantibus in foro. In teipſo enim dedecus non facilè cernere poteris, tenebras jam offuſas habente & ebrio: Sed cùm à perturbatione liber fueris, tunc potiùs tua contemplaberis. Cùm enim ira circa pectus conſurgit & ſævit, os ignem ſpirat, flammam oculi emittunt, tumet undique facies: manus immoderatè extenduntur, pedes ridiculè ſaltant, in cohibentes inſiliunt; nec quicquam diſtant ab inſanientibus, imò nec à feris aſinis, calcitrantes, mordentes. Tam fœdus & malè compoſitus eſt homo iracundus. Sed tumet, inquit, pectus, & injuriis mordetur. Scio & ego: ob id enim eos, qui vincunt, ſuſpicio. Si enim velimus hunc animi morbum repellere, poſſumus. Quare enim magiſtratibus nobis inſultantibus,

Περὶ ὀργῆς καὶ θυμοῦ.

Λόγος κ'.

ΒΟΥΛΕΙ μαθεῖν πόσον τὸ ὀργίζεσθαι κακόν; παράστηθι μαχομένοις ἐν ἀγορᾷ· ἐν γὰρ σαυτῷ τὴν ἀσχημοσύνην οὐ δύνασαι ῥᾳδίως ἰδεῖν, ἐσκοτωμένῳ καὶ μεθύοντι· ἀλλ' ὅταν καθαρεύσῃς τοῦ πάθους, τότε ἂν μᾶλλον θεωρήσῃς τὰ σά. ὅταν γὰρ περὶ τὸ στῆθος ὁ θυμὸς ζέσας διανιστᾶται καὶ ἀγριαίνῃ, πῦρ πνεῖ τὸ στόμα, πῦρ ἀφιᾶσιν οἱ E ὀφθαλμοὶ, οἰδεῖ πάντοθεν ἡ ὄψις, ἀτάκτως αἱ χεῖρες ἐκτείνονται, καὶ καταγελάστως οἱ πόδες πηδῶσι καὶ ἐνάλλονται τοῖς κατέχουσι, καὶ μαινομένων οὐδὲν διεστήκασιν· ἀλλ' οὐδὲ τῶν ἀγρίων ὄνων, λακτίζοντες, δάκνοντες. οὕτως ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. ἀλλ' οἰδαίνει, φησὶν, ἡ καρδία, καὶ ταῖς ὕβρεσι δάκνεται· οἶδα κἀγώ· διὰ γὰρ τοῦτο τοὺς κρατοῦντας θαυμάζω. ἂν γὰρ θέλωμεν, δυνατὸν διακρούσασθαι τὸ πάθος. διὰ τί γὰρ ἀρχόντων ὑμᾶς ὑβριζόντων,

τοῦτο

τοῦτο μὴ πάσχομεν; ὅτι φόβος ἀντίῤῥοπος ἕστηκε τῷ πάθει ἡμῖν; διὰ τί καὶ οἰκέται παρ' ὑμῶν ὑβριζόμενοι μυρία, σιγῇ πάντα φέρουσιν; ὅτι καὶ αὐτοὶ τὸν αὐτὸν ἐπικείμενον ἔχουσι δεσμόν. νῦν δὲ ἀνθρώπων μὲν ἕνεκα καὶ τὰ ἀφόρητα φέρομεν, καὶ πρὸς τοὺς ὑβρίζοντας λέγομεν· ὁ δεῖνα με ὑβρίζει, οὐ σύ· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲ τοσαύτην ἕξομεν τὴν εὐλάβειαν; εἴπωμεν καὶ πρὸς τὴν ἡμετέραν ψυχήν· ὁ Θεὸς ἡμᾶς ὑβρίζει νῦν, ὁ κελεύων σιγᾶν· μὴ σκιρτῶμεν, μηδὲ ἔστω Θεὸς ἀτιμότερος ἀνθρώπων. ὅταν οὖν σε λυπήσῃ τις, ἐννόησον τὰ ἡμαρτημένα σοι πρὸς τὸν Θεόν, καὶ ὅτι τῇ πρὸς ἐκεῖνον ἐπιεικείᾳ πρᾳότερον σοὶ καταστήσεις τὸ δικαστήριον, τὸ τῶν μελλουσῶν εὐθυνῶν. ἄφετε γάρ, φησι, καὶ ἀφεθήσεται ὑμῖν. πρὸς τούτοις δὲ κἀκεῖνο σκόπησον, εἴποτε εἰς ἀγριότητα ἐξενεχθεὶς ἐκράτησας σαυτοῦ, καὶ εἴποτε παρεσύρης ὑπὸ τοῦ πάθους, καὶ ἀμφοτέρους παράβαλε τοὺς καιρούς· πότε σαυτὸν ἐπῄνεσας, ἡνίκα ἡττήθης, ἢ ὅτε σαυτοῦ ἐκράτησας; οὐχὶ τότε μὲν καταρώμεθα ἑαυτοῖς πολλάκις, καὶ πολὺ τῆς μεταμελείας ἡμῖν ἐπεισέρχεται, καὶ ῥημάτων ἕνεκα καὶ πραγμάτων; ὅταν δὲ περιγενώμεθα, τρυφῶμεν, γαυριῶμεν νενικηκότες; νίκη γὰρ ἐπὶ τῆς ὀργῆς, οὐ τὸ τοῖς ἴσοις ἀμύνεσθαι [ἐσχάτη γὰρ αὕτη ἧττά ἐστιν] ἀλλὰ τὸ πράως ἐνεγκεῖν παθόντα κακῶς καὶ ἀκούσαντα. μηδὲ πρὸς τοὺς παραινοῦντας σιγᾶν ἀντίτεινε λέγων· οὐκ ἀνέξομαι ἵνα μὴ καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. οὐ γὰρ δὴ τότε σου καταγελάσεται, ἀλλ' ὅταν ἐπεξέλθῃς. εἰ δὲ καὶ τότε καταγελάσεται, ὡς ἀνόητος τοῦτο ποιήσει. σὺ δὲ μὴ ζήτει νικῶν τὴν παρὰ τῶν ἀνοήτων μαρτυρίαν, ἀλλ' ἀποχρῶσαν νόμιζε τὴν παρὰ τῶν συνετῶν· μᾶλλον δὲ πρὸς τὸν Θεὸν ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσει. τὸν δὲ παρ' ἐκείνου θαυμαζόμενον, οὐ δεῖ τὴν παρὰ τῶν ἀνθρώπων τιμὴν ἐπιζητεῖν. κἂν χρήματά τις ἔχῃ πολλὰ καὶ κτήματα, οὕτως αὐτοῖς κεχρῆσθαι, ὡς πάροικος, καὶ μικρὸν ὕστερον αὐτῶν ἀποστησόμενος καὶ ἑκὼν καὶ ἄκων. κἂν ἠδικημένος τις ᾖ παρά τινος, μὴ „ἀθάνατα ὀργιζέσθω, μᾶλλον δὲ μηδὲ πρόσκαιρα· μὴ ἐπιδυέτω „γάρ, φησιν, ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καὶ γὰρ οἰκίας ὁλοκλήρους ἀνέτρεψε, καὶ συνηθείας ἀρχαίας διέλυσε, καὶ τραγῳδίας ἀπαραμυθήτους εἰργάσατο τοῦτο τὸ πάθος. ὅταν οὖν ἐπηρεάζῃ σοί τις, μὴ πρὸς αὐτὸν ἴδῃς, ἀλλὰ πρὸς τὸν κινοῦντα αὐτὸν δαίμονα, καὶ τὴν ὀργὴν ἅπασαν κατ' ἐκείνου κένωσον· αὐτὸν δὲ καὶ ἐλέει τὸν ὑπ' ἐκείνου κινούμενον. εἰ γὰρ τὸ ψεύδεσθαι ἀπὸ τοῦ διαβόλου, τὸ ὀργίζεσθαι εἰκῆ, πολλῷ μᾶλλον. ὀργίζεσθαι μὲν οὖν οὐκ ἔνι, μηδενὸς ὄντος τοῦ παροξύνοντος· ἐπιθυμεῖν δὲ ἀνάγκη, καὶ τῆς ὄψεως τῆς εἰς τοῦτο κινούσης μὴ φαινομένης. ὅταν σε ὑβρίσῃ τις, ἐννόησον τὴν κόλασιν ἣν κολάζεται· καὶ οὐ μόνον οὐχ ἕξεις ὀργήν, ἀλλὰ καὶ δάκρυα ἀφήσεις. οὐδεὶς γὰρ πρὸς τὸν πυρέττοντά τις παροξύνεται, οὐδὲ πρὸς τὸν φλεγμαίνοντα· ἀλλ' ἐλεεῖ πάντας τοὺς τοιούτους καὶ δακρύει. εἰ δὲ καὶ ἀμύνασθαι βούλει, σίγησον, καὶ καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. ἂν δὲ δηχθεὶς ὑβρίσῃς, ἀναγκάζεις ἀληθῆ νομίζεσθαι τὰ λεγόμενα. διὰ τί γὰρ ὁ πλούσιος ἀκούων ὅτι πένης ἐστί, γελᾷ; ὅτι μὴ σύνοιδεν ἑαυτῷ πενίαν. ἂν τοίνυν μέλλωμεν γελᾶν ἐπὶ ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρεξόμεθα τοῦ μὴ συνειδέναι τοῖς λεγομένοις. ὑβρίσει σέ τις; παρακάλεσον τὸν Θεόν, ὥστε ἵλεων αὐτῷ γενέσθαι ταχέως· ἀδελφός ἐστι σός· μέλος ἐστὶ σόν. ἀλλὰ πολλὰ ἐπεμβαίνει μοι, φησιν. οὐκοῦν διὰ ταῦτα μείζων ὁ μισθός. διὰ ταῦτα μάλιστα τὸν θυμὸν ἀφεῖναι δίκαιον, ἐπειδὴ ἔτρωσεν αὐτὸν ὁ διάβολος. μὴ τοίνυν ἐπιπλήξῃς, καὶ σὺ μηδὲ καταβάλῃς σαυτὸν μετ' ἐκείνου. ἕως ἕστηκας, δύνασαι κἀκεῖνον διασῶσαι· ἂν δὲ καὶ σαυτὸν καταῤῥίψῃς διὰ τοῦ ἀνθυβρίσαι, τίς ὑμᾶς ἀναστήσει λοιπόν; ἐκεῖνος ὁ τρωθείς; ἀλλ' οὐ δυνήσεται κείμενος. ἀλλὰ σὺ ὁ πεσὼν μετ' ἐκείνου; καὶ πῶς οὐκ ἀρκέσας σεαυτῷ, χεῖρα ὀρέξεις ἑτέρῳ; ἔτρωσεν αὐτὸν ὁ διάβολος, μὴ τρώσῃς καὶ σύ· ἀλλὰ καὶ τὸ πρότερον ἔκβαλε βέλος. ἂν γὰρ οὕτως ἀλλήλοις ὁμιλῶμεν, ταχέως ὑγιεῖς πάντες ἐσόμεθα· ἂν δὲ κατ' ἀλλήλων καθοπλιζώμεθα, οὐδὲ τοῦ διαβόλου χρεία πρὸς τὴν ἡμετέραν ἀπώλειαν. ἀλλ' ἔπαθες πρῶτος κακῶς; ἀλλ' οὐ τὸ κακῶς παθεῖν ἐστιν ἄθλιον, ἀλλὰ τὸ ποιῆσαι κακῶς. μὴ γὰρ εἴπῃς· οὐδέν ἐστι κακόν, ἂν τὸν δεῖνα ὑβρίσω. διὰ τοῦτο μέγα ἐστὶ κακόν, ἐπειδὴ οὐδὲν εἶναι δοκεῖ. τὰ γὰρ μηδὲν εἶναι δοκοῦντα εὐκόλως καὶ καταφρονεῖται· τὰ δὲ καταφρονούμενα, καὶ αὔξεται· τὰ δὲ αὐξανόμενα, καὶ ἀνίατα γίνεται. οὐδὲν τοίνυν ἡγῇ ποιεῖν δεινὸν τοῦ ἀδελφοῦ κατηγορῶν; πῶς οὖν καλεῖς ἀδελφόν; εἰ δὲ οὐκ ἔστιν ἀδελφός, πῶς λέγεις, Πάτερ ἡμῶν; τὸ γὰρ ἡμῶν, πολλῶν ἐστι προσώπων σημαντικόν. οὐ γὰρ δύναται πατέρα καλεῖν τὸν φιλάνθρωπον Θεόν, ὁ τὴν γνώμην ἔχων θηριώδη καὶ ἀπάνθρωπον· οὐδὲ γὰρ σώζει τοὺς χαρακτῆρας τοὺς ἐν τῷ ἐπουρανίῳ πατρὶ ἀγαθότητος, ἀλλ' εἰς τὸ θηριῶδες εἶδος ἑαυτὸν μετεμόρφωσε, καὶ τῆς θεϊκῆς εὐγενείας ἐξέπεσεν. ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, μνησικακῇ δὲ ὡς κάμηλος, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκτος, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορπίος, ὕπουλος δὲ ᾖ ὡς ἀλώπηξ, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν ὡς ἵππος θηλυμανής, πῶς δύναται ὁ τοιοῦτος τὴν υἱῷ πρέπουσαν ἀναπέμψαι φωνήν.

A eundem non patimur? Quia æqualis huic affectioni metus nobis aſtat. Quare etiam famuli, infinitis licet à nobis contumeliis afficiamur, cum ſilentio tamen omnia tolerant? Quia & ipſi idem impoſitum habent vinculum. Jam verò hominum quidem gratia etiam non ferenda ferimus, & ad injurios & contumelioſos dicimus: Quidam me injuria affecit, non tu: erga Deum verò non tantam habebimus reverentiam? Dicamus etiam ad animam noſtram: Deus jam nos lædit, qui tacere jubet: ne inſultemus, neque Deus vilior ſit hominibus. Cùm igitur aliquis te contriſtaverit, cogita quæ tu in Deum peccata admiſeris, & quod tua erga illum manſuetudine mitius ſis redditurus judicium, cùm rationes erunt reddendæ: Ait enim, dimittite & dimittetur vobis. Ad hæc verò, illud quoque conſidera, an aliquando ad immanitatem efferatus teipſum viceris, & an aliquando à perturbatione in tranſverſum actus fueris: & utraq; deinde confer tempora, quando teipſum laudaſti? túncne, cùm ſuperatus es, C an verò cùm teipſum viciſti? Nonne tunc quidem etiam nobis ipſis frequenter maledicimus, & multa nobis ſubit pœnitudo, tum propter verba, tum propter opera? cum verò ſuperavimus, voluptatem capimus: gloriamur, qoando vicimus. Victoria enim ex ira parta eſt, par pari non referre (extrema ſiquidem hæc clades eſt) ſed ferre placidè, ſi quis mala vel patiatur, vel audiat. Ne repugnes his, qui te hortantur, ut taceas, dicens: Non patiar, ut ille me irriſo, ita abeat. Non enim tunc irridebit te: ſed, ſi vin-D dictam expetiveris. Quod ſi tunc quoque te irriſerit, tanquam ſtultus id faciet. Tu autem cum vincis, ne teſtimonium quæras ſtultorum: ſed prudentum ſufficiens eſſe puta: magis verò ad Deum reſpice, & ille te laudabit. Quem verò ille ſuſpicit, non debet ab hominibus honorem quærere. Et ſi pecunias quis multas habeat & poſſeſſiones, ita ipſis utatur, tanquam advena, & paulo poſt eaſdem, volens nolens, relicturus. Et, ſi injoria quis læſus ab aliquo ſit, ne perpetuò iraſcatur, imo verò nec ad tempus. *Sol ne* E *occidat ſuper iracundiam veſtram.* Etenim integras domos ſubvertit, antiquas familiaritates diſſolvit, & inconſolabiles tragœdias excitavit iſte morbus. Si igitur quis te infeſtet, ne ad ipſum reſpicias, ſed ad dæmonem hunc commoventem, atque univerſam iram contra illum effunde: ejus verò, qui ab illo concitatur, miſerere. Si enim mentiri à diabolo eſt, multo magis ſine cauſa iraſci. Iraſci ſane non contingit, ſi nemo ſit, qui nos irritet: concupiſcere verò neceſſe eſt, forma ad hoc movente etiam non ap-A parente. Si te injuria quis affecerit, cogita pœnam qua punitur? & non modò iram non concipies, ſed & lachrymas emittes. Nemo enim contra febri laborantem exacerbatur, aut contra æſtuantem, ſed tales omnes miſeretur & lacrymatur. Si tamen etiam ulciſci velis taceas & opportunam ei plagam dediſti: Si verò morſus, contumelioſè eum tractes, planè efficis, ut qoæ dicuntur, vera eſſe exiſtimentur. Quare enim dives aliquis ridet, ſi quis eum pauperem appellet? quia nullius ſibi paupertatis conſcius B eſt. Si igitur ob vituperia riſerimus, maximum dabimus indicium, eorum, quæ dicuntur, nos conſcios eſſe. Contumeliis te quis affecit? roga Deum, ut citò ei fiat placatus. frater tuus eſt, membrum tuum eſt. Sed multum, inquit, mihi inſultat. Enimverò propterea major eſt merces. Propterea maximè iram dimittere oportet, quoniam diabolus eum vulneravit. Ne igitur objurgaveris, téque cum ipſo pariter proſtraveris. Quoſque quidem ſtas, illum etiam conſervare potes: ſi verò te quoque dejeceris, C viciſſim contumelias inferendo, quis jam vos eriget? Illéne qui vulneratus eſt? ſed non poterit, cùm jaceat: an tu qui cum eo pariter cecidiſti? & quomodo, qui tibi ipſi non ſufficis, alteri manum porriges? Sauciavit illum diabolus, ne tu quoque ſauciareris; quin & priùs jaculum extrahe. Si enim hoc modo inter nos converſemur, citò omnes ſani erimus: At ſi contra nos mutuo armemur, ne diabolo quidem ad noſtrum interitum opus eſt. An prior damno affectus es? At miſerum non eſt mala pati, ſed mala D agere. Ne enim dixeris, nihil eſt mali, ſi neſcio quem contumelia afficiam. Oh hoc grande malum eſt, quoniam nullum eſſe videtur. Quæ enim nihil videntur eſſe, facilè etiam contemnuntur: quæ verò contemnuntur, illa quoque augentur: quæ verò augentur, illa etiam inſanabilia fiunt. Nihil igitur mali te facere exiſtimas, cùm fratrem accuſas? Quomodo ergo appellas fratrem? Si verò frater non eſt, quomodo dicis, Pater noſter? Illud enim Pater noſter, multarum perſonarum ſignificationem ha-E bet. Non enim poteſt patrem vocare benignum Deum, qui animum habet ferum & inhumanum: nec enim conſervat ſigna & notas illius bonitatis, quæ in patre cœleſti eſt, ſed in ſpeciem ferinam ſeipſum tranſmutavit, divináque nobilitate excidit. Si enim quis ſaltet inſtar tauri; aut calcitret ſicut aſinus, aut cameli more malorum recordetur, aut veluti urſus, guloſus ſit; rapiat ſicut lupus, inſtar ſcorpii feriat, ſubdolus ſit ut vulpes, & tanquam equus fœminarum amore inſaniens, ad mulieres hinniat; quomodo talis poteſt dignã filio ſurſum emittere vocem, & pa-

trem

Ex hom. 1 in Pater noſter.

Ex interpr. Evang. S. Ioan.

Ex interpr. ep. ad Epheſ.

tream ſuum vocare Deum? Quid ergo talis dicendus eſt? An beſtia? At beſtiæ uno ex iſtis vitiis tenentur: iſte verò omnia in ſeipſo collegit, & illarum ſtultitia factus eſt ſtultior. Etenim ipſæ beſtiæ, natura licet feroces, humanam tamen ioduſtriam nactæ, frequenter manſuetæ fiunt: iſte verò, cùm ſit homo, & naturalem illarum feritatem in manſuetudinem contra naturam commutet, quam excuſationem habebit, quòd naturalem ſuam ipſius manſuetudinem, in eam, quæ contra naturam eſt, feritatem abducat? Et animal quidem natura ferum, manſuefacit: ſeipſum verò natura manſuetum, ferum reddit: Et leonem quidem manſuetum & manu tractabilem facit, proprium verò animum leone reddit ferociorem. Leonem cicurat & hominem facit: ſeipſum verò negligit, ex homine in leonem degenerantem. Illi donat, quæ ſupra naturam ſunt: ſibi verò nec ea, quæ ſecundùm naturam ſunt, comparat. Quod ſi nihil ita ſimilem Deo reddit, quàm injuriam accipientem, ad veniam injuſtè agentibus dandam, facilem eſſe: quanta pœna illi digni non fuerint, qui poſt hæc omnia non ſolùm ipſis non remittunt, ſed Deum etiam pro inimicorum ultione rogant? & contra eos ioterpellant? Quam verò ſalutis ſpem de reliquo habebunt, ſi etiam tunc, cum placare ipſum oporteret, eum exacerbant, ſupplicis quidem habitum induentes, belluæ autem vocem emittentes, & contra ſeipſos tela maligni exacuentes? Si enim ne tum quidem, cùm miſericordia tibi opus eſt, iram remittis, ſed maximè ipſius memor es, idque non ignorans, quòd contra teipſum gladium impellas, quando tandem humanus fieri poteris? Accepiſti injuriam, & eum, qui intulit, ulciſci cupis? Beneficiis eum affice, & ultus es. Si enim ulciſcaris, ſimiliter & te & illum vituperabunt omnes: ſi verò toleres, te quidem ſuſpicient, de illo autem malè loquentur. Quod verò majus malum & acerbius contingere inimico poſſit, quàm videre, inimicum omnibus eſſe admirationi, plauſúque excipi: ſe verò in oculis inimici ab omnibus vituperari? Beſtia quædam eſt ira, facilè exſiliens: atque idcirco infinitis nobis opus eſt vallis & ſeptis ad eam ſuperandam & cohibendam. Ideo enim hanc maximè partem ex oſſibus, veluti ex quibuſdam lapidibus, Deus nobis condidit: poſito ei firmamento, ut ne aliquando ea dirupta & diſciſſa, facilè totum animal læderet. Ignis enim eſt, inquit, & gravis procella: nec facilè alia totius corporis pars iſtam violentiam ſuſtinuerit. Non ita martyrum viſcera diſcerpere interiora poſſunt ſicut ira ferreis ungulis ſemper incidens univerſa perdit. Non enim corpus ſolum vaſtat, ſed ipſam quoque animæ lædit ſanitatem. Cùm igitur quis venerit & dixerit, quòd aliquis te vituperaverit, & apud omnes malè de te loqui pergat, lauda apud præſentes vituperantem: & licet vel maximè imprudentes fuerint, te quidem laudabunt & admirabuntur? illum verò ceu quavis beſtia ſæviorem, odio proſequentur: quoniam hic quidem nulla laceſſitus injuria te contriſtavit, tu verò etiam injuriam paſſus, contraria ei retribuiſti. Ad hæc verò, omnia quoque dicta vana eſſe oſtendere poteris. Qui enim dum mordetur, exacerbatur, indicat ſe conſcium ſibi eſſe eorum quæ narrantur. At qui irridet, hoc ipſo omni ſuſpicione apud præſentes ſeſe liberavit. Quòd ſi illum quoque ulciſci deſideras, & hoc ex abundanti conſequetur, Deo ſcilicet ipſum, ob ea quæ dixit, puniente; & ante pœnam dum tua illa Philoſophia ei velut opportuna quædam plaga exiſtit. Nihil enim ita caſtigare ſoles eos, qui nos vituperant, quàm ſi nos dum vituperamur, vituperia irrideamus. Si verò vituperatus viciſſim vituperes, ſuperatus es; non quidem ab homine, ſed quod turpius eſt, ab affectu illiberali, ira ſcilicet, commotus. Si verò tacueris, viciſti, & citra laborem tropæum erexiſti, & infinitos habebis qui te coronent, convitiúmque mendacii condemnent: Qui enim contradicit, tanquam moleſtè ferens, contradicere videtur: qui autem moleſtè fert, ſuſpicionem præbet, quòd eorum quæ narrantur, ſibi conſcius ſit. At ſi irriſeris, & riſu calculum contra te ſuſtuliſti, & ignominia te afficienti hinc majorem dolorem excitaſti. Non enim tantopere gaudet ſe non vituperari; quàm moleſtè ferat, ſe mordere non poſſe. Si igitur eo, quod maximè deſiderat, ipſum deſtitueris, totum ei eripuiſti; deſpiciendum illum attenuans & mordens. Non enim tam illuſtres Reges facit victoria ab hoſtibus reportata, quàm iram & furorem ſuperaſſe. Ibi enim armorum & militum facinus bellicum fuit: at hic apertè tua eſt victoria. Et ibi quidem, victoriæ alios habes participes: hic verò ſolus tropæum ſtatuiſti. Cùm igitur contumelia te quis affecerit, generoſo fer animo: ſeipſum enim læſit, non te. Si dexteram percuſſerit, ne repugnes: ille enim eſt, qui feritur: te quidem manu, ſeipſum verò animo percutiens. Quod ſi difficilia iſta tibi videantur, cogita ſi furioſus aliquis veſtem tuam undique laceraſſet, quem ſis dicturus malis affici: téne qui paſſus es: an

Ex interpr. ep. ad Heb. — *Videtur ſive.* — *Ex interpr. Evang. S. Matth.* — *Ex hom in Stat.* — *Ex interpr. Pſalm 7.*

A καὶ πατέρα ἑαυτοῦ καλεῖν τὸν θεόν; τί οὖν ὀνομάζεσθαι χρὴ τὸν τοιοῦτον; θηρίον; ἀλλὰ τὰ θηρία ἑνὶ τούτων τῶν ἐλαττωμάτων κατέχεται· οὗτος δὲ πάντα συναγαγὼν ἐν ἑαυτῷ, καὶ τῆς ἐκείνων ἀλογίας γέγονεν ἀλογώτερος. τὰ μὲν γὰρ θηρία καίτοι κατὰ φύσιν ὄντα ἄγρια, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης, ἥμερα πολλάκις γίνεται· οὗτος δὲ ἄνθρωπος ὤν, καὶ τὴν ἀγριότητα ἐκείνων τὴν κατὰ φύσιν, εἰς τὴν ἡμερότητα μεταβάλλων τὴν παρὰ φύσιν, ποίαν ἕξει ἀπολογίαν, τὴν ἑαυτοῦ πραό- B τητα τὴν κατὰ φύσιν, εἰς ἀγριότητα ἐξάγων τὴν παρὰ φύσιν; καὶ τὸ μὲν ἄγριον φύσει ποιῶν ἥμερον, ἑαυτὸν δὲ τὸν ἥμερον φύσει, ποιῶν ἄγριον· καὶ λέοντα μὲν τιθασσεύων καὶ χειροήθη ποιῶν, τὸν δὲ θυμὸν τὸν ἴδιον, λέοντος κατασκευάζων ἀγριώτερον. καὶ γὰρ τὸν μὲν λέοντα ἡμεροῖ καὶ ποιεῖ ἄνθρωπον, ἑαυτὸν δὲ περιορᾷ ἐξ ἀνθρώπου γινόμενον λέοντα· καὶ ἐκείνῳ μὲν τὰ ὑπὲρ φύσιν χαρίζεται, ἑαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν πορίζεται. εἰ οὐδὲν οὕτως ὁμοιοῖ τῷ θεῷ, ὡς τὸ τοῖς ἀδικοῦσιν C εἶναι συγγνωμονικὸν τὸν ἀδικούμενον· πόσης οὐκ ἂν εἶεν κολάσεως ἄξιοι, οἱ μετὰ ταῦτα πάντα, μὴ μόνον αὐτοῖς οὐκ ἀφιέντες, ἀλλὰ καὶ τὸν θεὸν ἐπὶ τὴν ἄμυναν τῶν ἐχθρῶν παρακαλοῦντες, καὶ κατ' αὐτῶν ἐντυγχάνοντες; τίνα δὲ λοιπὸν ἕξουσι σωτηρίας ἐλπίδα, ὅταν καὶ ἡνίκα ἐξιλεώσασθαι αὐτὸν δέῃ, καὶ τότε αὐτὸν παροξύνωσιν, ἱκέτου μὲν σχῆμα περικείμενοι, θηρίου δὲ φωνὰς ἀφιέντες, καὶ κατ' ἑαυτῶν τὰ τοῦ πονηροῦ βέλη ἐξακοντίζοντες; εἰ γὰρ ὅτε ἐλέου χρείαν ἔχεις, οὐδὲ τότε ἀφίης D τὴν ὀργήν, ἀλλὰ καὶ σφόδρα αὐτῆς μέμνησαι· καὶ ταῦτα εἰδὼς ὅτι κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, πότε δυνήσῃ γενέσθαι φιλάνθρωπος; ἔπαθες κακῶς, καὶ ἀμύνασθαι βούλει τὸν κακῶς σε ποιήσαντα; ποίησον αὐτὸν καλῶς, καὶ ἠμύνω. ἂν μὲν γὰρ ἐπεξέλθῃς, ὁμοίως καί σε κἀκεῖνον ἅπαντες μέμψονται· ἂν δὲ ἐνέγκῃς, σὲ μὲν στεφανώσουσι καὶ θαυμάσονται, ἐκείνου δὲ κατηγορήσουσι. τί δὲ ἐχθρῷ γένοιτ' ἂν μεῖζον κακὸν καὶ πικρότερον, ἢ τὸν ἐχθρὸν ἰδεῖν παρὰ πάντων θαυμαζόμενον καὶ κρο- E τούμενον, ἑαυτὸν δὲ παρὰ πάντων ὑβριζόμενον ἐν ὄψεσι τοῦ ἐχθροῦ; θηρίον ἐστὶν εὐκόλως ἐκπηδῶν ὁ θυμός· καὶ διὰ τοῦτο μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δεῖ, πρὸς τὸ περιγενέσθαι αὐτοῦ καὶ κατασχεῖν. διὰ γὰρ τοῦτο ἡμῖν μάλιστα τοῦτο τὸ μέρος ὥσπερ ἔκ τινων λίθων τῶν ὀστῶν ᾠκοδόμησεν ὁ θεός, ἔρεισμα αὐτῷ θείς, ὥστε μὴ διαρραγέντα ποτέ, μηδὲ διατμηθέντα, εὐκόλως τὸ πᾶν λυμήνασθαι ζῷον. πῦρ γάρ ἐστι, φησί, καὶ ζάλη μεγάλη· καὶ οὐκ ἂν ἕτερον μέρος τοῦ ὅλου σώμα- A τος, ταύτην ἂν τὴν βίαν ἀνάσχοιτο. οὐχ οὕτω μαρτύρων τὰ σπλάγχνα διασπαράξαι δύναται τὰ ἔντερα, ὡς θυμὸς σιδηροῖς ὄνυξι διαπαντὸς ἐγκαθήμενος ἀπόλλυσι ἅπαντα. οὐ γὰρ δὴ τῷ σώματι λυμαίνεται μόνον, ἀλλὰ καὶ αὐτὴν τῆς ψυχῆς διαφθείρει τὴν ὑγίειαν. ὅταν οὖν ἐλθών τις εἴπῃ σοι, ὅτι ὁ δεῖνα ὕβρισέ σε, καὶ κακῶς σε πρὸς ἅπαντας λέγων διατελεῖ, ἐπαίνεσον πρὸς τοὺς παρόντας τὸν ὑβρίσαντα· κἂν σφόδρα ὦσιν ἀνόητοι, σὲ μὲν ἐπαινέσονται καὶ θαυμάσονται, B ἐκεῖνον δὲ μισήσουσιν, ὡς θηρίου παντὸς χαλεπώτερον, εἰ ὁ μὲν οὐδὲν ἠδικημένος ἐλύπησε, σὺ δὲ καὶ κακῶς παθών, τοῖς ἐναντίοις ἠμείψω. πρὸς τούτοις δὲ καὶ τὰ εἰρημένα πάντα δυνήσῃ δεῖξαι ψευδῆ ὄντα. ὁ μὲν γὰρ δακνόμενος, τοῦ συνειδέναι τοῖς λεγομένοις ἀπόδειξιν παρέχεται τὸ ἀλγεῖν· ὁ δὲ καταγελάσας, αὐτῷ τούτῳ παρὰ τοῖς παροῦσι, πάσης ἀπήλλαξεν ἑαυτὸν ὑποψίας. εἰ δὲ καὶ ἐκεῖνον ἀμύνασθαι ἐπιθυμεῖς, καὶ τοῦτο ἐκ περιουσίας ἔψεται, καὶ τοῦ θεοῦ κολάζοντος αὐτὸν C ἀνθ' ὧν εἴρηκε, καὶ πρὸ τῆς κολάσεως ἐκείνης τῆς σῆς φιλοσοφίας, ἀντὶ καιρίας αὐτῷ γινομένης πληγῆς. οὐδὲν γὰρ οὕτως ὑβρίζοντας ἡμᾶς κολάζειν οἶδεν, ὡς τὸ τοὺς ὑβριζομένους ἡμᾶς καταγελᾶν τῆς ὕβρεως. ὅταν δὲ ὑβρισθεὶς ἀνθυβρίσῃς, ἡττήθης, οὐχ ὑπὸ ἀνθρώπου, ἀλλ', ὅπερ ἐστὶν αἰσχρότερον, ὑπὸ πάθους ἀνελευθέρου τοῦ θυμοῦ κινηθείς. ἂν δὲ σιγήσῃς, ἐνίκησας, καὶ ἀπονητὶ τὸ τρόπαιον ἔστησας, καὶ μυρίους ἕξεις τοὺς στεφανοῦντας, καὶ τῆς λοιδορίας ψευδῆ καταγινώσκοντας. D ὁ μὲν γὰρ ἀντιλέγων, ὡς δακνόμενος ἀντειπεῖν δοκεῖ· ὁ δὲ δακνόμενος, ὑπόνοιαν παρέχει τοῦ συνειδέναι τοῖς λεγομένοις. ἂν δὲ καταγελάσῃς, τῷ τε γέλωτι τὴν κατὰ σαυτοῦ ψῆφον ἔλυσας, καὶ τὸν ὑβριστὴν μᾶλλον ἀλγεῖν ἐντεῦθεν ἐποίησας. οὐδὲ γὰρ οὕτως ἥδεται τῷ μὴ ὑβρίζεσθαι, ὡς δάκνεται, τῷ μὴ δύνασθαι καθάψασθαι. ὅταν οὖν οὗ μάλιστα ἐπιθυμεῖ, τούτου μάλιστα ἀποστερήσῃς αὐτόν, τὸ πᾶν ἀπεστέρησας, ἐξευτελίσας καὶ δείξας εὐκαταφρόνητον. οὐ γὰρ οὕτω τὸ κρατῆσαι πολεμίων λαμπροὺς ποιεῖ τοὺς βασιλεύοντας, ὡς τὸ κρατῆσαι θυ- E μοῦ καὶ ὀργῆς. ἐκεῖ μὲν γὰρ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν τὸ κατόρθωμα γέγονεν· ἐνταῦθα δὲ γυμνὸν σόν ἐστι τὸ τρόπαιον. καὶ ἐκεῖ μὲν καὶ ἑτέρους ἔχεις τοὺς συμμεριζομένους τὴν νίκην, ἐνταῦθα δὲ μόνος τὸ τρόπαιον ἔστησας. ὅταν οὖν σε ὑβρίσῃ τις, φέρε γενναίως· ἑαυτὸν γάρ, οὐ σὲ ὕβρισεν. ἂν πλήξῃ, τὴν δεξιὰν μὴ ἀντιτείνῃς· ἐκεῖνος γάρ ἐστιν ὁ πληττόμενος, σὲ μὲν τῇ χειρί, ἑαυτὸν δὲ τῷ θυμῷ παίων. εἰ δὲ δοκεῖ σοι δύσκολα ταῦτα εἶναι, ἐννόησον, ὅτι εἰ μαινόμενός τις τὸ ἱμάτιόν σου περιέρρηξε, τίνα ἂν ἔφης πάσχειν κακῶς, σὲ τὸν παθόντα, ἢ ἐκεῖνον τὸν

ποιήσαντα

ποιήσαντα; εὔδηλον ὅτι ἐκεῖνον. εἶτα ἔνθα μὲν σοι ἱμάτιον διαῤῥήγνυται, ὁ ποιήσας τοῦ παθόντος χαλεπώτερα πέπονθεν· ἔνθα δὲ καρδία διαῤῥήγνυται [ὁ γὰρ θυμὸς τοῦτο ποιεῖ,] οὐκ ἐκεῖνον ἡγήσῃ μείζονα πεπονθέναι δεινὰ, σοῦ τοῦ μηδ' ὁτιοῦν ὑπομείναντος; εἰ κακὸν ἀντὶ κακοῦ οὐ χρὴ ἀποδιδόναι, πολλῷ μᾶλλον κακὸν ἀντὶ ἀγαθοῦ, καὶ μὴ προϋπάρξαντος κακοῦ, ἀποδοῦναι κακόν. ἀλλ' ὁ δεῖνα, φησὶ, πονηρός ἐστι, καὶ ἐλύπησε καὶ πολλά με ἠδίκησε. βούλει αὐτὸν ἀμύνασθαι; μὴ ἀνταποδῷς· ἔασον ἀτιμώρητον· εὐχαρίστησον. αὕτη γὰρ ὄντως ἄμυνα, κἀκείνῳ βλάβην φέρουσα, καί σε ὠφελοῦσα. ἀπὸ ταύτης γὰρ χαρὰ τίκτεται. ὅταν γὰρ τοιαύτην ἔχωμεν ψυχὴν, ὥστε μηδένα ἀμύνασθαι, ἀλλὰ πάντας εὐεργετεῖν, πόθεν εἰπέ μοι, τὸ τῆς λύπης κέντρον παρεισελθεῖν δυνήσεται; ὁ γὰρ οὕτω χαίρων τῷ παθεῖν κακῶς, ὡς καὶ εὐεργεσίαις ἀμείβεσθαι τὸν πεποιηκότα κακῶς, πῶς δυνήσεται ἀνιαθῆναι λοιπόν; τί γὰρ εἰπέ μοι, κακὸν πέπονθας; νόσος ἐπέπεσεν; ἀλλ' οὐδὲν ξένον· θνητὸν γὰρ ἡμῖν τὸ σῶμα καὶ παθητόν. ἀλλὰ πενία σωμάτων; ἀλλὰ καὶ ταῦτα κτητὰ, καὶ ἀποκτητὰ καὶ ἐνταῦθα μένοντα. ἀλλ' ἐπιβουλαὶ καὶ συκοφαντίαι, ἀλλ' οὐχ ἡμεῖς ἀδικούμεθα ἐν τούτοις, ἀλλ' ἐκεῖνοι οἱ πεποιηκότες· ψυχὴ γὰρ, φησὶν, ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται. ἥμαρτε δὲ οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ ποιήσας κακῶς. μηδὲν τοίνυν οὕτω σπουδάζωμεν, ἀγαπητοὶ, ὡς ὀργῆς καθαρεύειν, καὶ τοὺς πρὸς ἡμᾶς ἀηδῶς ἔχοντας καταλλάττειν, εἰδότες, ὅτι οὔτε εὐχὴ, οὔτε ἐλεημοσύνη, οὔτε νηστεία, οὔτε κοινωνία μυστηρίων, οὔτε ἄλλο τι τῶν τοιούτων οὐδὲν, ἐὰν μνησικακῶμεν, δυνήσεται ἡμᾶς προστῆναι κατὰ τὴν ἡμέραν ἐκείνην. ὥστε οὐκ ἄν τις ἁμάρτοι, πάσης ἁμαρτίας χαλεπωτέραν ταύτην ἀποφηνάμενος. οὐδὲν γὰρ οὕτως ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς ἄνθρωπον μνησίκακον καὶ διατηροῦντα ὀργήν. πῶς γὰρ βούλει τὸν δεσπότην ἡμερόν σοι γενέσθαι καὶ πρᾷον, τῷ συνδούλῳ γινόμενος αὐτὸς χαλεπὸς καὶ ἀσύγγνωστος; ἀλλ' ὕβρισέ σε ὁ σύνδουλός σου; καὶ σὺ τὸν Θεὸν ὑβρίζεις πολλάκις. ποῦ δὲ ἴσον σύνδουλος καὶ δεσπότης; καὶ οὗτος μὲν ἐκ πάθους καὶ ἠδικημένος ἴσως ὕβρισε, καὶ παροξυνθείς· σὺ δὲ τὸν Θεὸν ὑβρίζεις οὐκ ἠδικημένος, οὐδὲ ἐπηρεασμένος, ἀλλ' εὐεργετούμενος ὑπ' αὐτοῦ καθ' ἑκάστην ἡμέραν. καὶ τίνα ἕξομεν ἀπολογίαν ἢ συγγνώμην; ἐννόησον τοίνυν, ὅτι εἰ βουληθείη μετ' ἀκριβείας τὰ εἰς αὐτὸν γινόμενα ὁ Θεὸς ἐξετάζειν, οὐδεμίαν βιωσόμεθα ἡμέραν. ἀνομίας γὰρ, φησὶν, ἐὰν παρατηρήσῃς Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A illum qui fecit? perſpicuum eſt, quod illum. Ergóne cùm tibi veſtis diſcinditur, graviora paſſus eſt ille, qui hoc fecit; cum verò cor diſrumpitur (hoc enim ira facit) illum non exiſtimas majora mala paſſum, quàm te, qui ne tantillum quidem ſuſtinuiſti? Si malum pro malo reddere non oportet, multo magis malum erit, pro bono, nullo etiam malo præcedente, malum reddere. Sed quidam, inquit, improbus eſt, méque contriſtavit, & multa injuria affecit. Viſne illum ulciſci? ne vicem reddas, im-
B punitum relinque: age gratias. Illa enim ipſa verè ultio eſt, quæ & ipſi damnum, & tibi utilitatem adfert. Ex ea enim gaudium naſcitur. Cùm enim tali ſumus animo, ut neminem ulciſcamur, ſed omnes beneficiis perſequamur, unde quæſo, mœroris ſtimulus irrepere poterit? Qui enim ira mala perpeti gaudet, ut etiam benefactis mala inferentem remuneretur, quomodo de cætero contriſtari poterit? Quid enim quæſo mali tibi contingit? Morbusne invaſit? at nihil hoc novi: mortale enim & pa-
C tibile corpus habemus. An penuria mancipiorum? ſed & hæc comparari & amitti poſſunt, & hic remanent. An inſidiæ & calumniæ? At non nos in his lædimur, ſed illi, qui eas ſtruxerunt: Anima enim, inquit, quæ peccaverit, ipſa morietur. Peccavit autem non qui injuriam accepit, ſed qui injuriam intulit. Nihil ergo tantoperè ſtudeamus, chariſſimi, ab ira liberi eſſe, & eos qui nobis infenſi ſunt, reconciliare: ſcientes, quòd nec oratio, nec eleemoſyna, nec jejunium, nec myſteriorum participatio,
D nec aliud quid ejuſmodi rerum, in illa die nobis patrocinari poterit, ſi injuriarum memores ſimus. Non igitur quis erraverit, ſi hoc peccatum omnium eſſe graviſſimum oſtendat. Nihil enim ita Deus odio proſequitur & averſatur, ſicut hominem injuriæ memorem, & retinentem iram. Quomodo enim Dominum tibi mitem & facilem eſſe cupis, conſervo tuo difficilis & inexorabilis exiſtens? Sed injurius in te fuit conſervus tuus? Et tu in Deum frequenter injurius es. Quæ verò æqualitas eſt
E inter conſervum & Dominum? Et ille quidem ex perturbatione fortè, & injuria laceſſitus atque exacerbatus injuriam intulit: tu verò Deum contumelia afficis, nulla provocatus injuria, nec læſus; ſed in dies ab eo beneficia accipiens. Et quam habituri ſumus excuſationem, aut veniam? Cogita igitur, quòd ſi exactè Deus examinare velit quæ in ipſum committuntur, nullum diem ſupervicturi ſimus. *Iniquitates enim*, inquit, *ſi obſervaveris Domine, Domine quis ſuſtinebit?* Quia tua eſt gloria in ſe-
A cula ſeculorum. Amen.

Ex hom. in illud, Simile factum eſt regnum cælorum, homini patriſam.

In 𝔗 ὑδὁλι. *Ex Stat.*

Περὶ ἀρχῆς καὶ ἐξουσίας.

Λόγος κά.

Ὁ ΜΑΚΑΡΙΟΣ λέγεται Κωνσταντῖνος, τοῦ εἰκόνος αὐτοῦ καταλευσθείσης ποτὲ, παροξυνάντων αὐτὸν πολλῶν, ἐπεξελθεῖν τοῖς ὑβρισάσι, καὶ δίκην ἀπαιτῆσαι, λεγόντων, ὅτι πᾶσαν αὐτοῦ τὴν ὄψιν ἐτραύμασαν τοῖς λίθοις ἐξακοντίζοντες, ψηλαφήσας ἑαυτοῦ τῇ χειρὶ τὸ πρόσωπον, καὶ ἠρέμα μειδιάσας εἰπεῖν, ὅτι οὐδαμοῦ πληγὴν ἐπὶ τοῦ μετώπου ὁρῶ γεγενημένην· ἀλλ' ὑγιὴς μὲν ἡ κεφαλὴ, ὑγιὴς δὲ ἡ ὄψις ἅπασα· κἀκείνους ἐρυθριάσαντας καὶ αἰσχυνθέντας ἀποστῆναι τῆς ἀδίκου ταύτης συμβουλῆς ἐποίησεν. εἰ δὲ παρὰ ἀνθρώποις τοσαύτης ἀπέλαυσε δόξης δι' ἐκεῖνο τὸ ῥῆμα, πόσων ἀγαθῶν ἀπολαύσεται παρὰ τῷ φιλανθρώπῳ Θεῷ; καὶ γὰρ οὗτος ἀληθῶς βασιλεὺς, ὁ θυμοῦ, καὶ φθόνου, καὶ ἡδονῆς κρατῶν, καὶ πάντα ὑπὸ τοὺς νόμους ἄγων τοῦ Θεοῦ, καὶ τὸν νοῦν ἐλευθέριον τηρῶν καὶ οὐκ ἐῶν ἐνδυναστεῦσαι τῇ ψυχῇ τὴν δεσποτείαν τῶν ἡδονῶν· τὸν τοιοῦτον ἡδέως ἂν εἶδον καὶ γῆς καὶ θαλάττης ἄρχοντα, καὶ πόλεων καὶ δήμων καὶ στρατοπέδων. ὁ γὰρ τοῖς πάθεσι τῆς ψυχῆς τὸν λογισμὸν ἐπιστήσας, ῥᾳδίως ἂν ἐπισταίη καὶ ἀνθρώποις μετὰ τῶν θείων νόμων, ὥστε αὐτὸν ἐν πατρὸς τάξει τοῖς ἀρχομένοις εἶναι, μετὰ πάσης ἡμερότητος ὁμιλοῦντα ταῖς πόλεσιν. ὁ δὲ ἀνθρώπων μὲν ἄρχειν δοκῶν, θυμῷ δὲ φιλαρχίᾳ καὶ ἡδοναῖς δουλεύων, πρῶτον μὲν καταγέλαστος εἶναι δόξειεν ἂν τοῖς ἀρχομένοις, ὅτι στέφανον μὲν φορεῖ λιθοκόλλητον καὶ χρυσοῦν, σωφροσύνῃ δὲ οὐκ ἐστεφάνωται· καὶ ἁλουργίδι μὲν ὅλον τὸ σῶμα λάμπεται, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει· ἔπειτα δὲ, οὐδὲ ὅπως μεταχειρίσεται τὴν ἀρχὴν, ἐπιστήσεται· ὁ γὰρ ἑαυτοῦ μὴ δυνηθεὶς ἄρχειν, πῶς ἂν ἑτέρους δυνηθείη κατευθύνειν τοῖς νόμοις; μηδὲ τοῦτο σκοπῶμεν ὅπως ἐν τιμαῖς ὦμεν καὶ ἐξουσίαις, ἀλλ' ὅπως ὦμεν ἐν ἀρετῇ καὶ φιλοσοφίᾳ. αἱ γὰρ ἐξουσίαι πολλὰ τῷ Θεῷ μὴ δοκοῦντα ποιεῖν πείθουσι· καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς, ὥστε εἰς δέον χρήσασθαι τῇ διδομένῃ τιμῇ, καὶ ἀρχῇ, καὶ ἐξουσίᾳ. ὁ μὲν ἀπεστερημένος ἀρχῆς, καὶ ἄκων φιλοσοφεῖ· ὁ δὲ ἀπολαύων αὐτῆς τοιοῦτόν τι πάσχει, οἷον ἂν εἴ τις κόρῃ συνοικῶν εὐειδεῖ καὶ καλῇ, νόμους δέξηται τὸ μηδέποτε εἰς αὐτὴν ἀκολάστως ἰδεῖν. τοιοῦτον γὰρ ἡ ἐξουσία. διὸ πολλοὺς καὶ ἄκοντας εἰς τὸ ὑβρίζειν ἐνέβαλε, καὶ θυμὸν ἤγειρε,

De Imperio & Poteſtate,

HOMILIA XXI.

FErtur beatus Conſtantinus, cùm fortè ſtatua ipſius lapidata eſſet, & multi illum incitarent, ut requiſitos injuriæ il-
B latores, ad pœnam depoſceret, dicentes, quòd totam ipſius faciem lapidibus jactis vulneraſſent; manu ſua faciem palpaſſe, & placidè ſubridendo dixiſſe: Ego verò nuſquam in fronte plagam video: ſed ſanum eſt caput, & ſana tota facies. Atque hac ratione rubore ſuffuſos & pudefactos ab iniquo conſilio avertit. Quòd ſi apud homines tantam gloriam ob illud dictum obtinuit, quot bonis apud benignum Deum fruetur? Verè enim Rex ille eſt, qui iræ & invidiæ voluptatique dominatur, atque
C omnia Dei legibus ſubjicit; mentemque liberam conſervans, voluptatum imperium animæ prævalere non ſinit. Talem ego libenter & terræ & mari civitatibus quoque, populis & exercitibus imperantem viderem. Qui enim rationem affectionibus præfecit, ille facilè etiam hominibus juxta divinas leges præfuerit, ut ſubditis inſtar patris ſit, moderatiſſiméque cum civitatibus agat. Qui verò hominibus quidem imperitare videtur, iræ vero & ambitioni & voluptatibus ſervit, primò quidem ridicu-
D lus ſubditis eſſe videatur, quòd auream gemmiſque ornatam coronam ferat, Temperantia verò coronatus non ſit: quódque purpura totum quidem corpus fulgeat, animam verò habeat incultam. Ad hæc verò neque, quomodo adminiſtret imperium, ſciet. Qui enim ſibipſi imperare non potuit, quomodo is alios moderari legibus poſſit? Neque hoc animis cogitemus, quomodo honores & poteſtatem adipiſcamur, ſed ut virtute ac ſapientia præditi ſimus. Magna enim potentia
E facere ſuadet, quæ Deo diſplicent; & admodum forti animo opus eſt, ut quis collato ſibi honore, dignitate ac poteſtate utatur, ut oportet. Qui dignitate caret, ille vel invitus Sapientiæ ſtudio incumbit: qui verò ea potitur, ei idem evenire ſolet, ac ſi quis virgini formoſæ ac decoræ cohabitans, leges accipiat, ut haudquaquam impudicè in illam oculos conjiciat. Ejuſmodi enim res eſt poteſtas. Ac idcirco multos, eóſque invitos, ad injuriam inferendum impulit,

Ex hom. in Stat.

iram excitavit, & frænum linguæ abſtulit, & portam oris patefecit, animam inſtar venti cujuſdam jactans, & in extremam malorum profunditatem navim demergens. Honoris enim magnitudo, iis qui non convenienter vivere volunt, augmentum eſt ſupplicii. In magna enim exiſtimatione eſſe & felices ſucceſſus apud populum habere, quanto clariorem facit, tanto majora pericula & curas habet. Talis enim reſpirare & conſiſtere omnino non poteſt, qui tam ſævum & moleſtum habet Dominum. Et quid dico conſiſtere & reſpirare? Etiamſi talis infinita habeat rectè facta, difficulter tamen in regnum ingreditur. Nihil enim ita inſolenter efferre ſolet homines, ſicut vulgi exiſtimatio. Ferre enim contemptum, præclarum & generoſum eſt; ac gloriam obtinere, animo indiget forti & valde magno, ut qui honore fruitur, non extollatur. Si tamen honorem deſideras adipiſci, honorem reſpue, at ſi honorem ſecteris, honorem perdes. Umbra enim gloriæ eſt ipſa gloria. Nemo videns pictum panem, picturam guſtat, licet decies millies eſuriat. Qui igitur in præſenti omnia recepiſſe ſe fatentur, in futurum ſeipſos omnino deſertos faciunt. Sic etiam Adamus ſpe majoris honoris, præſenti quoque excidit. Et multi perſæpe, ampliora deſiderantes, ſimul præſentia amiſerunt: & qui omnia hîc ſeſe obtenturos ſperabant, etiam partem non ſunt conſecuti. Res enim humanæ, quo magis elatæ fuerint & ſplenduerint, tanto majorem ruinam faciunt: nec ſubditorum tantùm, ſed etiam eorum qui illis imperant. Neque enim privatam domum tantis plenam periculis quis invenerit, quantis regum palatia referta ſunt malis. Ob hoc igitur, quæſo, proximo invides, quòd eum honore multâq; dignitate frui conſpicis? Ergo non animadvertis, quàm facilè res iſtæ marceſcant, quantúmque inde malum oriatur? Quod enim ex illis omnium miſerrimum eſt, damna, quæ inde promanant, perpetuò manent; ipſa verò voluptas, antequam apparuerit, evaniut. Sed multum apud imperium habentem valet: depopulatur diripitque omnia, ubi vult, & inimicos moleſtia afficit, aſſentatoribus benefacit, & ingenti pollet potentia. Quid igitur mali facere poteſt? dignitatem fortaſſe abrogabit? Et quid tum? Si eum juſtè quidem id fecerit, prodeſt, cùm nihil tantopere Deum offendat, quàm ſi quis honoribus afficiatur: Si verò injuſtè, rurſus crimen in illum & non in hunc redundat. Qui enim immeritò aliquid paſſus fuerit, & fortiter tulerit, majorem apud Deum ſibi acquiſivit fiduciam. Nam qui magiſtratibus obedit, ille non magiſtratibus, ſed Deo, qui lege ejuſmodi res ſancivit, obedit: & qui illis non obtemperat, Deo repugnat.

Ex hom. in adoleſcentiorem viduam.

Non enim eſt poteſtas, inquit, niſi à Deo. Etenim magiſtratus eſſe, & hos quidem imperare, alios verò ſubditos eſſe, & non promiſcuè omnia inſtar fluctuum ferri, populis huc illuc circumactis, divinæ ſapientiæ opus eſt. Ideo horum quoque, ſi contemnantur, acerrimus vindex eſt. Nec enim vulgarem pœnam de te ſumet, ſi iſtos ſpreveris, ſed longè maximam. Nec quicquam te contradicentem eripiet: ſed & apud homines graviſſimum ſubibis ſupplicium, & Deum vehementiùs irritabis.

Ex expoſit. ep. ad Rom. Rom. 13.

Ut enim ſi navim rectore deſtituas, navim ipſam ſubmerſeris: & ſi ducem ab exercitu abſtrahas, milites vinctos hoſtibus tradideris, ita ſi civitatum rectores tollas, ipſis beſtiis alieniorem à ratione vitam vivemus. Quod enim in ædibus lignorum colligationes ſunt, hoc in civitatibus ſunt magiſtratus. Si igitur Princeps in omnibus * inculpatus ſit, tunc quanta vult poteſtate, univerſos ſibi ſubditos punire, iiſdémque indulgere poterit. Sontes enim non punire, & ignoſcere iis qui facinora nulla venia digna admiſerunt, vix unius aut alterius hominis eſt: & maximè ſi Rex ſit, cui injuria infertur. Et verò timore civitatem ſubjicere facile eſt: at omnes ſibi amore conjungere, &, ut bene erga imperium affecti ſint, perſuadere, res eſt, quam difficulter quis conſequatur, ſive infinitas quis pecunias expendat, ſive innumeros moveat exercitus, ſive quidvis aliud faciat, haud facilè tamen tot hominum affectum ad ſe trahere poterit. Nihil ita commendat principem, ſicut erga ſibi ſubjectos amor. Patrem enim non ſola generatio facit, ſed etiam amor poſtquam genuerit. Si verò ubi natura eſt, requiritur dilectio; multò magis ubi gratia.

Ex Orat. in Stat.

** vel ſi abſolutum imperium habeas.*

Major omnino Sacerdotii eſt poteſtas, poteſtate Regia, & tanto quidem major, quòd Regi corpora credita ſint, Sacerdoti verò animæ. Et ille quidem pecuniarum reliquatores liberat, hic verò reliquatores peccatorum: ille cogit, iſte hortatur: ille arma ſenſibilia, hic arma ſpiritualia habet: ille contra barbaros bellum gerit, hic contra dæmones. Idcirco & in veteri lege ſacerdotes ipſos Reges ungebant, & jam Sacerdotis manibus Deus caput ſubjecit; erudiens nos, quòd hic major ſit Princeps quàm ille: nam minus à meliore benedicitur. Ingreſſus enim eſt

Ex expoſit. ep. ad Cor. Ex hom. 2. in Oziam.

A καὶ χαλινὸν γλώττης ἀφεῖλε, καὶ θύραν ἀνεπέτασε στόματος, ὥσπερ ὑπὸ πνεύματος τὴν ψυχὴν ἀναῤῥιπίζουσα, καὶ εἰς τὸν ἔσχατον τῶν κακῶν βυθὸν τὸ σκάφος καταποντίζουσα. τιμῆς γὰρ μέγεθος τοῖς οὐκ ἀξίως τῆς τιμῆς ζῆν προαιρουμένοις προσθήκη τιμωρίας ἐστί. τὸ γὰρ εὐδοκιμεῖν καὶ προκόπτειν ἐν δήμῳ, ὅσον λαμπρότερον ποιεῖ, τοσοῦτον μείζους τοὺς κινδύνους ἔχει, καὶ τὰς φροντίδας. ἀναπνεῦσαι γὰρ καὶ στῆναι ὁ τοιοῦτος ὅλως οὐ δύναται, οὕτω πικρὸν ἔχων καὶ βαρὺν τὸν δεσπότην.
B καὶ τί λέγω στῆναι καὶ ἀναπνεῦσαι; κἂν μυρία ἔχῃ κατορθώματα ὁ τοιοῦτος, δυσκόλως εἰς βασιλείαν εἰσέρχεται. οὐδὲ γὰρ οὕτως ἐκτραχηλίζειν εἴωθεν, ὡς ἡ παρὰ τῶν πολλῶν δόξα. τὸ μὲν γὰρ ἀτιμίαν ἐνεγκεῖν, μέγα καὶ γενναῖον· τὸ δὲ δόξης μετασχεῖν, νεανικῆς δεῖται ψυχῆς, καὶ σφόδρα μεγάλης, ὥστε δόξης ἀπολαύοντα μὴ ἐκτραχηλισθῆναι. ἀλλ' εἰ βούλει δόξαν λαβεῖν, διάπτυσον δόξαν· εἰ δὲ διώκεις δόξαν, ἐκπίπτεις δόξης. σκιὰ γάρ ἐστι δόξης, αὕτη ἡ δόξα.
C οὐδεὶς ἄρτον ἰδὼν ἐζωγραφημένον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς γραφῆς ἅψηται. οἱ οὖν κατὰ τὸ παρὸν λέγοντες ἀπειληφέναι τὸ πᾶν, εἰς τὸ μέλλον ἐρήμους ἑαυτοὺς παντελῶς καθιστῶσιν. οὕτω καὶ ὁ Ἀδὰμ, ἐλπίδι πλείονος τιμῆς, καὶ τῆς οὔσης ἐξέπεσε. καὶ πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀπώλεσαν, καὶ οἱ προσδοκῶντες τὸ ἐνταῦθα τὸ πᾶν ἕξειν, καὶ τοῦ μέρους ἐξέπεσον. τὰ γὰρ ἀνθρώπινα πράγματα, ὅσον ἂν ἐπαρθῇ καὶ λάμψῃ, τοσοῦτον μείζονα τὴν πτῶσιν ἐργάζεται, οὐ τῶν ἀρχομένων μόνον, ἀλλὰ καὶ τῶν
D βασιλευόντων αὐτῶν. οὐδὲ γὰρ ἂν εὕροι τις οἰκίαν ἰδιωτικὴν τοσούτων ἐμπεπλησμένην συμφορῶν, ὅσων τὰ βασίλεια γέμει τῶν κακῶν. διὰ τοῦτο οὖν, εἰπέ μοι, βασκαίνεις τῷ πλησίον, ὅτι τιμῆς ἀπολαύοντα βλέπεις καὶ δόξης πολλῆς; εἶτα οὐκ ἐννοεῖς τὸ τούτων εὐμάραντον, καὶ ὅσον ἐντεῦθεν τίκτεται τὸ κακόν; τὸ γὰρ δὴ χαλεπώτατον τούτων, ὅτι τὰ μὲν ἐξ αὐτῶν κακὰ ἀθάνατα μένει· ἡ δὲ ἡδονὴ πρὶν
E φανῆ καὶ ἀπέστη. ἀλλ' ἐξουσίαν ἔχει παρὰ τῷ κρατοῦντι πολλήν, καὶ ἄγει καὶ φέρει πάντα ὅπου θέλει, καὶ τοὺς ἐχθροὺς λυπεῖ, καὶ τοὺς κολακεύοντας εὐεργετεῖ, καὶ πολλὴν ἔχει δύναμιν. τί οὖν ἐργάσασθαι δύναται δεινόν; ἀποχειροτονήσει τῆς ἀξίας; καὶ τί τοῦτο; ἂν μὲν γὰρ δικαίως, καὶ ὠφελεῖ· οὐδὲν γὰρ οὕτω παροξύνει Θεὸν ὡς τὸ παρ' ἀξίαν τιμᾶσθαι· ἂν δὲ ἀδίκως, τὸ ἔγκλημα πάλιν ἐπ' ἐκεῖνον, οὐκ ἐπὶ τοῦτον χωρεῖ. ὁ γὰρ ἀδίκως τι παθὼν, καὶ γενναίως ἐνεγκὼν, πλείονα ταύτην πρὸς τὸν
A Θεὸν κέκτηται τὴν παῤῥησίαν. ὁ γὰρ τοῖς ἄρχουσιν ὑποταττόμενος, οὐ τοῖς ἄρχουσιν ὑποτάσσεται, ἀλλὰ τῷ Θεῷ τῷ ταῦτα νομοθετήσαντι πείθεται· καὶ ὁ μὴ ὑπακούων ἐκείνοις, τῷ Θεῷ πολεμεῖ. οὐ γάρ ἐστιν ἐξουσία, φησὶν, εἰ μὴ ὑπὸ Θεοῦ. τὸ γὰρ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, καὶ μὴ ἁπλῶς ἀνέδην ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων τῇ δε κἀκεῖσε τῶν δήμων περιαγομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστί. διὸ καὶ σφοδρός ἐστι τιμωρὸς, καταφρονουμένων τούτων. οὐ γὰρ
B τὴν τυχοῦσαν δίκην ἀπαιτήσει περιφρονήσαντα, ἀλλὰ καὶ σφόδρα μεγίστην· καὶ οὐδέν σε ἐξαιρήσεται ἀντιλέγοντα· ἀλλὰ καὶ παρὰ ἀνθρώπων ὑποστήσῃ τιμωρίαν χαλεπωτάτην, καὶ τὸν Θεὸν παροξυνεῖς μειζόνως. ὥσπερ γὰρ νηὸς τὸν κυβερνήτην ἐὰν ἀποστήσῃς, κατεπόντισας τὸ σκάφος· καὶ στρατηγὸν ἂν ἀπαγάγῃς τοῦ στρατοπέδου, δεδεμένους τοῖς πολεμίοις παρέδωκας τοὺς στρατιώτας· οὕτω τῶν πόλεων ἂν τοὺς ἄρχοντας ἀνέλῃς, θηρίων ἀλόγων ἀλογώτερον βιωσόμεθα βίον. ὅπερ γάρ ἐστιν ἐν ταῖς οἰκίαις τῶν ξύλων αἱ ἱμαντώσεις,
C τοῦτο οἱ ἄρχοντες ἐν ταῖς πόλεσιν. ὅταν οὖν ἀρχὴν ἀνεπίληπτος ᾖ πάσι, τότε δυνήσεται μεθ' ὅσης βούλεται ἐξουσίας, καὶ κολάζειν, καὶ συγχωρεῖν τοὺς ὑπ' αὐτὸν ταττομένους ἅπαντας. τὸ μὲν γὰρ μὴ κολάσαι τοὺς ὑπευθύνους, καὶ συγγνώμην δοῦναι τοῖς ἀσύγγνωστα ἡμαρτηκόσιν, ἑνός που ἢ δευτέρου μόλις ἐστὶν ἀνθρώπου· καὶ μάλιστα ὅταν βασιλεὺς ὑβριζόμενος ᾖ. καὶ τῷ φόβῳ μὲν ὑποτάξαι πόλιν εὔκολον, τὸ δὲ πάντας ἐραστὰς καταστῆσαι, καὶ μετ' εὐνοίας πεῖσαι διακεῖσθαι περὶ
D τὴν βασιλείαν, δυσκατόρθωτον, κἂν μυρία τις ἀναλώσῃ χρήματα, κἂν μυρία κινήσῃ στρατόπεδα, κἂν ὁτιοῦν ἐργάσηται, οὐκ εὐκόλως τοσοῦτον ἀνδρῶν διάθεσιν πρὸς ἑαυτὸν ἐπισπάσασθαι δυνήσεται. οὐδὲν οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ φιλοστοργία ἡ περὶ τοὺς ἀρχομένους. καὶ γὰρ πατέρα οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι· εἰ δὲ ἔνθα φύσις, ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις. μείζων οὕτως ἡ τῆς ἱερωσύνης ἀρχὴ, τῆς ἀρχῆς τῆς
E βασιλικῆς· καὶ τοσοῦτον μείζων, ὅσον ὁ μὲν βασιλεὺς σώματα ἐμπεπίστευται, ὁ δὲ ἱερεὺς ψυχάς. καὶ ὁ μὲν λοιπάδας χρημάτων ἀφίησιν, ὁ δὲ λοιπάδας ἁμαρτημάτων κἀκεῖνος ἀναγκάζει, οὗτος παρακαλεῖ· ἐκεῖνος ὅπλα αἰσθητὰ, οὗτος ὅπλα πνευματικά· ἐκεῖνος πολεμεῖ πρὸς βαρβάρους, οὗτος πρὸς δαίμονας. διὰ τοῦτο καὶ ἐν τῇ παλαιᾷ ἱερεῖς τοὺς βασιλεῖς ἔχριον, καὶ νῦν τὴν κεφαλὴν ὑπὸ τὰς τοῦ ἱερέως χεῖρας φέρων τίθησιν ὁ Θεὸς, παιδεύων ἡμᾶς, ὅτι οὗτος ἐκείνου μείζων ἄρχων· τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. εἰσῆλθε γὰρ

ποτε

ποτε ὁ βασιλεὺς Ὀζίας εἰς τὸν ναὸν τοῦ Κυρίου θυμιάσαι θέλων, καὶ
εἰσῆλθεν Ἀζαρίας ὁ ἱερεὺς ὀπίσω αὐτοῦ· οὐ γὰρ ὡς βασιλέα μέλλων
ἐξελαύνειν, ἀλλ' ὡς δραπέτην καὶ οἰκέτην ἀγνώμονα, οὕτως ἐπεισ-
ῆλθε μετὰ σφοδρότητος, ὥσπερ τις σκύλαξ γενναῖος ἐπιπηδήσας
τῷ ἀκαθάρτῳ θηρίῳ, ὥστε αὐτὸν τῆς δεσποτικῆς ἐξαγαγεῖν οἰκίας.
οὐκ εἶδεν εἰς τὸν τῆς ἀρχῆς ὄγκον· οὐκ ἤκουσε τοῦ Σαλομῶντος λέγοντος,
ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος· ἀλλὰ πρὸς τὸν ἀληθινὸν
βασιλέα τῶν οὐρανῶν ἰδὼν, καὶ τούτου τῷ φόβῳ ἑαυτὸν ὀχυρώσας, οὕ-
τως ἐπεπήδησε τῷ τυράννῳ. ἀλλ' εἰσέλθωμεν καὶ ἡμεῖς, εἰ δοκεῖ,
ἵνα ἴδωμεν τί πρὸς τὸν βασιλέα διαλέγεται. οὐκ ἔξεστί σοι, φησὶν,
Ὀζία, θυμιάσαι τῷ Κυρίῳ· οὐκ ὠνόμασεν αὐτὸν βασιλέα, ἐπειδὴ
αὐτὸς ἑαυτὸν προλαβὼν ἐξέβαλε τῆς τιμῆς· ὁ μὲν γὰρ τὴν ἁμαρτίαν
ποιῶν, δοῦλός ἐστι, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους· ὁ δὲ
τὴν δικαιοσύνην ἐργαζόμενος, κἂν ἁπάντων ἔσχατος ᾖ, καὶ αὐτοῦ τοῦ
βασιλέως βασιλικώτερός ἐστι. καὶ πρόσεχε ὃ λέγω. ἔδει ποτὲ
βασιλέα χειροτονηθῆναι τοῖς Ἰουδαίοις, ἐπειδὴ ὁ πρότερον γενόμενος ἀνάξιος
ἦν. πέμπεται οὖν ὁ Σαμουὴλ πρὸς τὸν Ἰεσσαὶ, καί φησιν· ἔπεμψέ με ὁ
„Θεὸς ποιῆσαι βασιλέα ἐκ τῶν υἱῶν σου. ὁ Ἰεσσαὶ ἀκούσας βασιλέα,
νομίσας ἐπιτήδειον εἶναι πρὸς τὸ πᾶσαν ἀξίωμα, ἄγει πρῶτον υἱόν·
ἄπαγε αὐτὸν, φησιν, οὐκ εὐδόκησεν ὁ Θεὸς ἐν αὐτῷ· ἄγει τὸν δεύτε-
ρον, οὐδὲ οὗτος· ἄγει τὸν τρίτον, οὐδὲ οὗτος· τὸν τέταρτον, τὸν πέμπτον,
τὸν ἕκτον, οὐδὲ οὗτος. καὶ ἀνηλώθη ὁ χορὸς τῶν παίδων, καὶ ὁ ζητούμενος
οὐχ εὑρίσκετο. λέγει αὐτῷ, ἔχεις ἄλλον υἱόν; ᾐσχύνθη ὁ πατὴρ, ἔχω
ἕνα, φησὶ, μικρὸν, εὐτελῆ, ποιμένα. τί οὖν; βασιλέα ποιῆσαι ζητεῖς,
καὶ τὸν ἐλάττω κρείττονα ἡγῇ τοῦ κρείττονος; ἄνθρωπος ἄνθρωπον ἐξου-
θενεῖ, ὁ δὲ Θεὸς στεφανοῖ· οὐ γὰρ ὡς ὄψεται ἄνθρωπος, ὄψεται Θεός· ἄν-
θρωπος εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν. μὴ γὰρ πολυσαρκίαν
ζητοῦμεν; ψυχῆς εὐγένειαν ἐπιζητοῦμεν. καὶ διὰ τί μὴ ἐξ ὀνόματος
εἶπεν ὁ Θεός· ἀπελθὲ χρῖσόν μοι τὸν Δαβὶδ εἰς βασιλέα, ἀλλ' ἕνα τῶν
υἱῶν Ἰεσσαί; ἵνα μὴ πάθῃ ὁ Δαβὶδ, ὅπερ ἔπαθεν Ἰωσήφ. ὥσπερ γὰρ
μαθόντες ἐκεῖνοι τὸν ζητούμενον βασιλέα, ἐπεβούλευσαν· οὕτω δέος
ἦν μὴ καὶ οὗτοι τοῦτο ἐργάσωνται. ὥστε ἡ ἄγνοια ἀσφαλείας μήτηρ ἐγένε-
το τῷ Δαβίδ. ἦλθε τοίνυν ὁ Δαβὶδ, καὶ χρίεται τῷ ἐλαίῳ, καὶ ἀπῆλθεν
ἔχων τὴν βασιλείαν, οὐ θώρακα, οὐκ ἀσπίδα περιβεβλημένος, οὐδὲ δό-
ρατα, ἀλλὰ τὴν τοῦ Θεοῦ ψῆφον, τὴν πάντων δυνατωτέραν. καὶ πολέμου
καλοῦντος, ἀπῆλθεν ἰδεῖν τὴν παράταξιν, καὶ εὗρε τὸν βάρβαρον προσ-
καλούμενον εἰς μονομαχίαν, καὶ οὐδεὶς ἐτόλμα προσπηδῆσαι, οὐδὲ
ἐξελθεῖν κατ' αὐτοῦ. ἔστη καὶ λέγει· τίς ἐστιν ὁ ἀπερίτμητος οὗτος, ὃς
ὠνείδισε παράταξιν Θεοῦ ζῶντος; καὶ λέγουσιν αὐτῷ, πόθεν σοι ἡ ἀπό-
νοια αὕτη; ὁ δὲ, οὐκ ἀπόνοια, ἀλλὰ πίστις· οὐ θώρακι, ἀλλὰ θεοσε-
βείᾳ καθοπλίζομαι· οὐ σκοπῶ αὐτοῦ τὸ μέγεθος, ἀλλὰ τὴν ἐρημίαν
τῆς διανοίας· οὐ βλέπω ὅτι μέγα τὸ πλοῖον, ἀλλ' ὅτι κυβερνήτην οὐκ
ἔχει. τί οὖν οἱ ἀδελφοί; πάλιν φθόνος, πάλιν βασκανία. ἐπὶ τίνα
ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα; ἡμεῖς οἴδαμεν τὴν ὑπερηφανί-
αν τῆς καρδίας σου, καὶ τὴν κακίαν· ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης.
ὁ δὲ ὑποτεμνόμενος τοῦ ἕλκους ἀπέστη ἀπ' αὐτῶν, καὶ παραγενόμενος
εἰς τὸ ἕτερον μέρος τοῦ πολέμου, λέγει· τί ἔσται τῷ ἀνθρώπῳ τῷ αἴ-
ροντι τὴν κεφαλὴν αὐτοῦ; οἱ δὲ εἰσάγουσιν αὐτὸν πρὸς τὸν βασιλέα. εἶδε
τοίνυν τὸν βασιλέα καταπεπτωκότα, δεδοικότα καὶ τρέμοντα, καὶ λέ-
γει πρὸς αὐτόν· ἵνα τί συνέπεσε τὸ πρόσωπον τοῦ κυρίου μου; καὶ ἐν τῇ
εὐημερίᾳ τὴν δουλείαν ὁμολογεῖ· τίς ἐστιν οὗτος; οὐχὶ πορεύσομαι καὶ ἀφ-
ελῶ τὴν κεφαλὴν αὐτοῦ; τί οὖν ὁ βασιλεύς; καὶ πῶς δύνασαι σὺ παι-
δάριον ὢν μικρὸν, αὐτὸς δὲ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ; ἀπιστεῖ ὁ
βασιλεύς· ἀναγκάζεται ὁ Δαβὶδ τὰ κατορθώματα εἰπεῖν· ἐγώ,
φησι, παιδάριον ἤμην μικρὸν, ποιμαίνων τὰ πρόβατα τοῦ πατρός μου·
καὶ ὅτε ἤρχετο λέων ἢ ἄρκος, καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ποίμνης
μου, ἐξεπορευόμην ὀπίσω αὐτῶν, καὶ ἐξέσπων ἐκ τοῦ στόματος αὐτῶν, καὶ
ἐπάταξα τὸν λέοντα καὶ τὴν ἄρκον· καὶ ἔσται οὗτος ὡς ἓν τῶν θηρίων ἐκείνων·
διότι ὠνείδισε παράταξιν Θεοῦ ζῶντος; καὶ εἶπε Σαοὺλ πρὸς τὸν Δα-
βὶδ, πορεύου, καὶ Κύριος μετὰ σοῦ. ἔδωκε δὲ αὐτῷ ὁ βασιλεὺς τὰ ἑαυτοῦ
ὅπλα καὶ οὐκ ἐδύνατο βαστάξαι· διὰ τί; ἵνα μὴ τὰ ὅπλα
συμμερίσωνται τὴν νίκην τῶν κατορθωμάτων· ἵνα μὴ εἴπῃ ὁ βα-
σιλεὺς, ὅτι τὰ ὅπλα μου ἐνίκησαν· ῥίπτει τὰ ὅπλα, καὶ ἐνδύεται τὴν πί-
στιν· ἀφίησι βῶλον· ἔπεσεν ὁ ἀλλόφυλος. οὐ γὰρ τῇ φύσει τοῦ σώματος,
ἀλλὰ τῇ δυνάμει τοῦ πνεύματος τὴν νίκην ἀπηνέγκατο. ἔδραμε καὶ ἔλαβεν
αὐτοῦ τὸ ξίφος, καὶ ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν· καὶ ἐπληρώ-
„θη τὸ γεγραμμένον· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελή-
„φθη ὁ ἁμαρτωλός. εἰ τοίνυν δόξης ἐρᾷς, καὶ τιμῆς, μὴ τὴν οἰ-
κίαν, μηδὲ τὸν ἵππον, ἀλλὰ τὴν ψυχὴν καλλώπιζε· καὶ θερά-
πευε· ὡς οὐδέν σοι γένοιτ' ἂν εὐτελέστερον ἐρήμην ἔχοντος ψυχὴν, καὶ τὸ τῆς οἰκίας, καὶ τὸ τῶν ἵππων περιβαλλομένου κάλ-
λος. ἀλλὰ κἀκεῖνα καὶ ταῦτα γίνεται, φησί· τί φῄς; οὐ δέδοικας ταῦτα φθεγγόμενος, καὶ μετὰ τῶν ἵππων καὶ τῶν λίθων τὸν Χριστὸν ἀριθμῶν;

A aliquando Rex Ozias in templum Domini adolere volens in-
cenſum: & ſecutus eſt eum Azarias Sacerdos, non ut Regem,
ſed ut ſervum fugitivum & improbum expulſurus: itaque cum
vehementia quadam irripuit; non ſecus ac generoſus aliquis
canis in impuram beſtiam inſiliens, ut illum Dominica æde exi-
geret. Non attendit imperii faſtum: non audivit Salomonem
dicentem: terror Regis ſicut rugitus leonis; ſed ad verum cœ-
lorum Regem reſpexit, atque hujus timore ſeipſum muniens,
B tyrannum invaſit. Sed ingrediamur & nos, ſi videtur: ut videa-
mus, quid cum Rege loquatur. Non licet tibi, inquit, Ozia, *Prov. 20.*
adolere Domino incenſum. Non appellavit illum Regem, cùm
ipſe prior ſeſe hoc honore exuiſſet: qui enim peccatum facit,
ſervus eſt, quamvis infinitas in capite geſtet coronas: Qui ve-
rò Juſtitiam facit, etiamſi omnium abjectiſſimus fuerit, regiâ
tamen dignitate Regem ipſum ſuperat. Et attende, quod dico,
Regem aliquando Judæis creari oportuit, quoniam qui ante
C fuit, regno indignus erat. Mittitur igitur Samuel ad Jeſſe, & ait *1. Reg. 16*
illi: *Miſit me Deus, ut unum ex filiis tuis Regem conſtituam:*
Jeſſe eo audito, primum producit filium, idoneum hunc arbi-
tratus ad dignitatem tuendam. Apage, inquit, cum iſto: non ele-
git hunc Dominus. Adducit ſecundum: ſed neque iſte eſt. Ad-
ducit tertium, neque iſte. Quartum, quintum, ſextum, neque
iſte. Et jam abſolutus fuit filiorum chorus; & quæſitus nondum
inveniebatur. dicit ergo illi, habéſne alium adhuc filium? Eru-
D buit pater; &, unum, ait adhuc habeo filium parvum, abje-
ctum, paſtorem. Quid ergo? Regem facere intendis, & mino-
rem meliorem ducis præſtantiore? Homo hominem ſpernit;
Deus verò coronat: Non enim ſicut videbit homo, Deus vide-
bit: homo enim faciem, Deus verò cor intuetur. Numquid e-
nim corporis molem quærimus? imò animi generoſitatem deſi-
deramus. Et quare non dixit Deus nominatim, abi & unge mi-
hi Davidem in Regem, ſed unum ex filiis Jeſſe? ut ne Davidi ac-
E cideret quod Joſepho. Ut enim illi, ſcientes eum, qui in Re-
gem quærebatur, ei inſidiati ſunt: ita metuendum erat, & ne
iſti idem molirentur. Ignorantia ergo Davidi mater ſecuritatis
fuit. Venit igitur David, & ungitur oleo, & abiit regia pote-
ſtate præditus: non lorica, non clypeo protectus, nec haſta, ſed
omnibus rebus potentius divinum habens ſuffragium. Et bello
urgente abiit, ut aciem videret, invenitque barbarum quen-
dam ad ſingulare certamen hoſtes provocantem, & nemo au-
A debat proſilire, neque contra eum prodire. Subſiſtit ergo & in-
quit: Quis eſt hic incircumciſus, qui exprobravit aciem Dei vi-
ventis? & dicunt ei; unde iſta tibi ſuperbia? Ille verò, non eſt
hæc ſuperbia, ſed fides: Non lorica, ſed religione me armo:
non conſidero ipſius magnitudinem, ſed mentis inopiam: Non
hoc reſpicio, quod grandis ſit navis, ſed quod rectore careat.
Quid igitur fratres? Rurſus invidia: rurſus livor. Cui reliquiſti
pauculas oves illas? nos novimus ſuperbiam & nequitiam cor-
B dis tui: quia ut videres prælium, deſcendiſti. Ipſe autem reſcan-
dens ulcus ab illis diſceſſit; & ut ad alteram partem prælii venit,
inquit, quid habebit homo ille, qui auferet caput iſtius? Ipſi ve-
rò introducunt eum ad Regem. Vidit ergo David Regem ani-
mo concidiſſe, conſternatum & trementem, aitque ad ipſum:
Quare concidit vultus Domini mei? (& quidem opportunè ſer-
vitium profitetur) quis eſt iſte? nonne ibo & auferam caput
ipſius? Quid igitur Rex? Et quomodo poteris, cùm puer ſis
C parvus, ipſe verò bellator ab adoleſcentia ſua? non credit Rex:
cogitur David facinora ſua recenſere. Ego, inquit, puer eram
parvus, oves patris mei paſcens, & quando veniebat leo vel ur-
ſus, & tollebat ovem de grege meo, perſequebar illos, &
eruebam ex ore ipſorum, & percutiebam leonem & urſum.
Erit igitur iſte tanquam una ex beſtiis illis. Quare exprobravit
exercitus Dei viventis? Et dixit Saul ad Devidem, Vade, & Do-
minus ſit tecum. Dedit autem ipſi Rex arma ſua, & non potuit
D illa ferre; Quare? Ne ſcilicet armis aliqua pars victoriæ & rectè
factorum aſcriberetur: ne Rex diceret; arma mea vicerunt. Ab-
jicit igitur arma, & induit fidem: emittit lapidem: cecidit Phili-
ſtæus. non enim corporis naturali robore, ſed virtute Spiritus
victoriam retulit. Cucurrit deinde, & arrepto gladio ipſius,
caput eidem amputavit. Ac ita impletum eſt, quod ſcriptum
eſt: *In operibus manuum ſuarum comprehenſus eſt peccator.* *Pſal. 11. 6*
Si ergo gloriam ames & honorem, non ædes tuas aut equum, *Ex expoſit.*
E ſed animum exornes & cures oportet. Quoniam nihil te ab- *ep. ad Rom.*
jectius fuerit, quàm ſi animum inanem geras, ac inte-
rim ædium & æquorum ornatum oſtentes. Sed & hæc &
illa mihi ſunt, inquit. Quid dicis? An non iſta profer-
re, nec inter equos lapidéſque Chriſtum numerare metuis?

Ex hom. de incomprehensib.

Ignoráſne quòd corpus ipſe formaverit, & animam dederit, & A orbem univerſum attribuerit? tu verò nec exiguam ei reddis gratiarum actionem? Et tu quidem, cùm anguſtam domunculam elocaſti, magna cura & ſtudio mercedem exigis: dum verò tota creatura ipſius frueris, mundúmq; iſtum inhabitas, nec parvam quidem mercedem perſolvere dignaris? Et qua excuſatione dignus fueris? Sicut ille qui lapidem ſurſum jacit, cœleſte quidem corpus diſſindere nequit, nec altitudinem illam attingere poteſt, ſed in ſuo potiùs vertice vulnus accipit, dum in ipſum B projicientem lapis recidit: ita etiam qui beatam illam Dei eſſentiam blaſphemat, ei quidem nullum unquam damnum inferet, ut quæ longè major ſit & excelſior, quàm quæ detrimentum ullum accipere queat: ſed potiùs in proprium caput gladium exacuit, in benefactorem ſuum factus ingratus. Audiant, qui beatam illam divinitatis eſſentiam curioſè ſcrutantur, & incomprehenſibilem illam naturam comprehenſibilem aſſerunt; ut cognoſcant, quòd nec Angeli eſſentiam homo poſſit ſine timore C intueri.

Dan. 10.

Sanctus ille Propheta Daniel, ille Dei amicus, qui magnam apud ipſum libertatem & fiduciam habebat, tres dierum hebdomadas jejunavit, & panem deſiderabilem non comedit, & vinum & caro in os ipſius non intraverunt: ſed neq; unguento unctus fuit: & cùm aptior eſſet anima ipſius ad ejuſmodi viſionẽ ſuſcipiendam, per jejunium ſcilicet expeditior facta, tunc Angelum conſpexit, & dicit: Converſa ſunt interiora mea in viſione mea, & ſpiritus non remanſit in me, neq; fortitudo, & gloria D mea in corruptionem commutata eſt. Cùm enim formoſus eſſet juvenis, timor autem Angeli præſentis ipſum morientibus ſimilem reddidiſſet, magna coloris pulchritudine diſſipata, perdito venuſtatis decore, ad decente aſpectus colore univerſo conſumpto; Idcirco, inquit, converſa eſt gloria mea in corruptionem. Erexit ipſum igitur Angelus: ſurrexit verò ipſe tremebundus: & cùm Angelus ipſi loqui inciperet, denuò in terram concidit. E Et ſicuti qui metu exanimantur, poſtquam erecti ſunt, & ad ſe redierunt, & ſuſpexerunt, adhuc nobis illos ſuſtinentibus: & frigidis aquis faciem illorum conſpergentibus, interim ſæpè in ipſis manibus noſtris deficiunt: ita & Prophetæ accidit. Anima enim timore perculſa, & intuitum præſentiæ conſervi ſui non ferens, nec lumen illud ſuſtinere valens, tumultuabatur, ſeipſam à vinculo carnis, tanquam à catena quadam liberare contendens: Sed ille cohibebat. Quòd ſi Daniel, quem leonum A oculi reverebantur, Daniel, qui in corpore humano humanas vires ſuperavit, & qui Sapientiæ Juſtitiæq; laude, multorúmq; aliorum rectè factorum teſtimonio notus erat, conſervi præſentiam non ſuſtinuit, ſed exanimis jacebat: quid illis accidet qui tantum adhuc à virtute iſtius juſti abſunt, & tamen ipſum Angelorum Dominum curioſè ſcrutantur, & eſſentiæ ipſius exactam cognitionem pollicentur, ſupremæ inquam illius, & primæ eſſentiæ, quæ tot myriades ſuperat Angelorum, quorum unum inB tueri Daniel non valuit? Sicuti enim inacceſſos ſolares radios non ita cæcus, ſicut videns aliquis, cernit; ſic nos immenſam Dei naturam, non ita ſicuti Angelicæ virtutes novimus; & tanto quidem minùs, quanto puriores ipſæ, ſapientiores & perſpicaciores ſunt humana natura. Quantum enim inter cæcum & videntem diſcrimen eſt, tantum eſt inter Angelos & nos. Quando ergo prophetam dicentem audis? Vidi Dominum, ne ſuſpiceris, quòd ipſam eſſentiam viderit, ſed demiſſionem quandam: & hanc verò obſcuriùs, quàm ipſæ ſupernæ virtutes. Id verò etiam de C Apoſtolis manifeſtum eſt.

Matth. 17. 1. Marc. 9, 2.

Aſcendit enim, inquit, *Jeſus in montem, & transfiguratus eſt coram illis.* Quid eſt, transfiguratus eſt, modicum quid divinitatis patefecit, & inhabitantem Deum monſtravit. Et reſplenduit facies ipſius tanquam ſol, & veſtimenta ipſius facta ſunt alba ſicut lux. Voluit Evangeliſta oſtendere ipſius ſplendorem, & ait: reſplenduit. Reſplenduit? quomodo? valdè, ait, reſplenduit: Et quàm quæſo vehementer? Tanquam Sol. Tanquam Sol, inquis? Utique. Quam D ob cauſam? Non aliud habeo aſtrum tam illuſtre, tam ſerenum. Candidus erat ſicut nix. non aliam habeo materiam candidiorem. Quòd enim non ita fulſerit, ex eo, quod ſequitur, oſtenditur: Et diſcipuli ceciderunt in terram. Quòd ſi ſplenduiſſet ut ſol, diſcipuli non procidiſſent in terram: quotidie enim ſolem videbant, & tamen non cadebant. Sed quia ſolem ſplendore longè ſuperabat & nivem, idcirco E non ſuſtinentes tantum fulgorem, in terram conciderunt. Sed quo me vertam? Homo ſum, & hominibus loquor, terreſtrem habeo linguam: veniam Deum rogo. Nec enim arrogantia quadam talibus uſus ſum vocibus, ſed ob imbecillitatem & ingenium linguæ noſtræ. Ignoſce Domine; non enim faſtu uſus iſta profero verba: ſed quia alia non ſuppetunt.

Ex Orat. contra Anom.

Nec porrò in vilitate vocabuli ſiſto, ſed veluti ala intelligentiæ ſurſum aſcendo. Hanc verò ob cauſam etiam iſta attulimus, & hiſtoriam beati Danielis vobis prælegimus,

A οὐκ οἶσθα ὅτι καὶ σῶμα αὐτὸς διέπλασε καὶ ψυχὴν ἐχαρίσατο, καὶ τὸν κόσμον ἀπένειμεν ἅπαντα; σὺ δὲ οὐδὲ μικρὰν τούτῳ ἀντιδίδως ἀμοιβήν; καὶ σὺ μὲν οἰκίσκον μικρὸν ἐκμισθώσας, μετὰ πολλῆς ἀκριβείας τὸν μισθὸν ἀπαιτεῖς· τὴν δὲ κτίσιν αὐτοῦ πᾶσαν καρπούμενος, καὶ κόσμον τοσοῦτον οἰκῶν, οὐδὲ ὀλίγον ἀνέχῃ τὸν μισθὸν καταβαλεῖν; καὶ ποίας ἂν εἴης ἀπολογίας ἄξιος; καθάπερ γὰρ ὁ λίθον πρὸς τὸ ὕψος ἀκοντίζων, τὸ οὐράνιον μὲν τὸ σῶμα διατεμεῖν οὐ δυνήσεται, οὐδὲ πρὸς τὸ ὕψος B φθάσαι ἐκεῖνο, τὴν δὲ πληγὴν τῇ οἰκείᾳ δέχεται κορυφῇ, πρὸς τὸν ἀκοντίζοντα ἐπανιόντος τοῦ λίθου, οὕτω δὴ καὶ ὁ τὴν μακαρίαν ἐκείνην οὐσίαν τοῦ Θεοῦ βλασφημῶν, ἐκείνην μὲν οὐδὲν παραβλάψει ποτὲ, πολλῷ μείζονα οὖσαν, καὶ ὑψηλοτέραν ὥστε δέξασθαί τινα βλάβην, κατὰ δὲ τῆς ἑαυτοῦ κεφαλῆς τὸ ξίφος ἀκονᾷ, ἀγνώμων περὶ τὸν εὐεργέτην γινόμενος. ἀκουέτωσαν οἱ τὴν μακαρίαν τῆς θεότητος οὐσίαν περιεργαζόμενοι, καὶ τὴν ἀκατάληπτον ἐκείνην φύσιν, καταληπτὴν εἶναι λέ-C γοντες, ἵνα γνῶσι, ὡς οὐδὲ ἀγγέλου οὐσίαν δύναται ἄνθρωπος μετὰ ἀδείας ἰδεῖν. ὁ ἅγιος προφήτης Δανιὴλ, ὁ τοῦ Θεοῦ φίλος, ὁ ἔχων παῤῥησίαν πολλὴν πρὸς αὐτὸν τρεῖς ἑβδομάδας ἐνήστευσεν ἡμερῶν, καὶ ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγεν, οὐδὲ οἶνος καὶ κρέας οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ, οὐδὲ ἄλειμμα ἠλείψατο· καὶ ὅτε ἐπιτηδειοτέρα αὐτῷ ἦν ἡ ψυχὴ πρὸς τὴν τῆς τοιαύτης θεωρίας ὑποδοχὴν, ὑπὸ τῆς νηστείας κουφοτέρα γινομένη, τότε τὸν ἄγγελον εἶδεν· καί φησιν, ἐστράφη τὰ ἐντός μου ἐν τῇ ὁράσει μου, καὶ πνεῦμα οὐχ ὑπελείφθη ἐν ἐμοὶ, οὔτε ἰσχύς· καὶ ἡ δόξα D μου μετεστράφη εἰς διαφθοράν. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν ὁ νεανίας, ὁ δὲ φόβος τῆς παρουσίας τοῦ ἀγγέλου καθάπερ τοὺς ἐκπνέοντας οὕτως αὐτὸν διέθηκε, πολλὴν κατασκεδάσας τὴν ὠχρίαν, καὶ ἀναλώσας τὸ ἄνθος τῆς ὥρας, καὶ δαπανήσας τὴν εὐχροιαν τῆς ἐπιφανείας ἅπασαν, διὰ τοῦτο, φησὶ, μετεστράφη ἡ δόξα μου εἰς διαφθοράν· ἀνέστησε τοίνυν αὐτὸν ὁ ἄγγελος· ὁ δὲ ἀνέστη ἔντρομος· καὶ ἀρχομένου τοῦ ἀγγέλου διαλέγεσθαι πρὸς αὐτὸν, πάλιν κατέπεσεν ἐπὶ τὴν γῆν· καὶ καθάπερ οἱ E ἀπὸ τοῦ φόβου ἐκλελυμένοι, διεγερθέντες καὶ εἰς ἑαυτοὺς ἐπανελθόντες, καὶ διαβλέψαντες, κατεχόντων ἡμῶν αὐτῶν καὶ ῥαινόντων τὸ πρόσωπον ψυχροῖς νάμασιν, ἐν αὐταῖς ἡμῶν πολλάκις ἐκλύονται μεταξὺ τῶν χερσίν· οὕτω καὶ ὁ προφήτης ἔπαθεν. ἡ γὰρ ψυχὴ φοβηθεῖσα, καὶ τὴν ὄψιν τῆς παρουσίας οὐ φέρουσα τοῦ συνδούλου, οὐδὲ τὸ φῶς ἐκεῖνο δυναμένη βαστάζειν, ἐθορυβεῖτο καθάπερ τινὰς ἁλύσεις τοὺς δεσμοὺς τῆς σαρκὸς ἑαυτὴν ἀποῤῥῆξαι ἐπειγομένη· ἀλλ' ἐκεῖνος κατεῖ-A χεν. εἰ δὲ ὁ Δανιὴλ, ὃν ᾐδέσθησαν ὀφθαλμοὶ λεόντων, Δανιὴλ ὁ τὰ ὑπὲρ ἄνθρωπον ἐν ἀνθρωπίνῳ σώματι δυνηθεὶς, ὁ ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ, καὶ ἐπὶ πολλοῖς ἑτέροις μαρτυρηθεὶς κατορθώμασι, συνδούλου παρουσίαν οὐκ ἤνεγκεν, ἀλλ' ἄπνους ἔκειτο· οἱ τοσοῦτον τῆς ἀρετῆς ἀφεστηκότες τοῦ δικαίου, καὶ τὸν τῶν ἀγγέλων δεσπότην περιεργαζόμενοι, καὶ αὐτὴν ὑπισχνούμενοι τὴν οὐσίαν εἰδέναι μετὰ ἀκριβείας ἁπάσης, τὴν ἀνωτάτω καὶ πρώτην, καὶ τὰς μυριάδας τῶν ἀγγέλων τούτων πα-B ραγαγοῦσαν, ὧν ἕνα ὁ Δανιὴλ ἰδεῖν οὐκ ἴσχυσε, τί πείσονται; καθάπερ γὰρ τὸ τῶν ἀκτίνων τῶν ἡλιακῶν ἀπρόσιτον οὐχ οὕτω οἶδεν ὁ τυφλὸς, ὡς ὁ βλέπων· οὕτω καὶ τὸ τοῦ Θεοῦ ἀκατάληπτον, οὐχ οὕτως ἡμεῖς ἴσμεν, ὡς αἱ τῶν ἀγγέλων δυνάμεις, ὅσῳ καθαρώτεραι καὶ σοφώτεραι καὶ διορατικώτεραι τῆς ἀνθρωπίνης φύσεως· ὅσον γὰρ τυφλοῦ καὶ βλέποντος τὸ μέσον, τοσοῦτον ἡμῶν κἀκείνων τὸ διάφορον. ὥστε κἂν τοῦ προφήτου λέγοντος ἀκούσῃς, εἶδον τὸν Κύριον, μὴ τοῦτο ὑπο-C πτεύσῃς, ὅτι τὴν οὐσίαν εἶδεν ἐκείνην· ἀλλὰ τὴν συγκατάβασιν, καὶ ταύτην δὲ ἀμυδρότερον ἤπερ αἱ ἄνω δυνάμεις. τοῦτο δὲ καὶ ἀπὸ τῶν ἀποστόλων φανερόν· ἀνέβη γάρ, φησιν, εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. τί ἐστι μετεμορφώθη; παρεγύμνωσεν ὀλίγον τῆς θεότητος, καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεόν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. ἠθέλησε δεῖξαι τὴν λαμπηδόνα αὐτοῦ ὁ εὐαγγελιστὴς, καὶ λέγει, ἔλαμ-D ψεν· ἔλαμψε· πῶς; ἔλαμψε σφοδρῶς, εἰπέ· καὶ πῶς; ὡς ὁ ἥλιος· ὡς ὁ ἥλιος λέγεις; ναί· διὰ τί; οὐκ ἔχω ἄλλο ἄστρον φαιδρὸν καὶ λευκόν. λευκὸς ἦν ὡς χιών· οὐκ ἔχω ἄλλην ὕλην λαμπροτέραν. ὅτι γὰρ οὐχ οὕτως ἔλαμψεν, ἀπὸ τοῦ ἑξῆς δείκνυται· καὶ ἔπεσον χαμαὶ οἱ μαθηταί· εἰ δὲ ὡς ὁ ἥλιος ἔλαμψεν, οὐκ ἔπιπτον οἱ μαθηταί· ἥλιον μὲν γὰρ ἔβλεπον καθ' ἡμέραν καὶ οὐκ ἔπιπτον. ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε, καὶ ὑπὲρ τὴν χιόνα, διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα, E κατέπεσον. ἀλλὰ τί πάθω; ἄνθρωπός εἰμι καὶ ἀνθρώποις διαλέγομαι· πηλίνην κέκτημαι γλῶτταν· συγγνώμην αἰτῶ παρὰ τοῦ δεσπότου· οὐ γὰρ ἐξ ἀπονοίας ταῖς λέξεσι ταύταις κέχρημαι, ἀλλὰ δι' ἀπορίαν τῆς ἀσθενείας καὶ τῆς φύσεως τῆς γλώττης τῆς ἡμετέρας, ἵλεως ἔσο, δέσποτα· οὐ γὰρ ἀπονοίᾳ κεχρημένος ταύτας λέγω τὰς λέξεις· ἀλλ' οὐκ ἔχω ἄλλας. οὐ μένω εἰς ἀεὶ τῇ εὐτελείᾳ τῆς λέξεως, ἀλλ' ἀναβαίνω τῷ πτερῷ τοῦ νοήματος. διὰ τοῦτο δὲ καὶ ταῦτα εἰρήκαμεν, καὶ τὴν κατὰ τὸν μακάριον Δανιὴλ ἱστορίαν ὑμῖν ἀνέγνωμεν.

καὶ

καὶ συνεχῶς ἐδείκνυμεν ὠχριῶντα, τρέμοντα, ψυχορραγοῦντα, τῆς ψυχῆς ἐπειγομένης ἀπορρῆξαι τὸν τῆς σαρκὸς δεσμόν· ἵνα ἐκ πολλῆς περιουσίας εἰδῆτε οἱ τὸν Θεὸν καταληπτὸν εἶναι λέγοντες, ὅτι οὐχὶ Θεοῦ ἐπιφάνειαν μόνον, ἀλλ' οὐδὲ ἀγγέλου φορητὸν κατιδεῖν. καθάπερ γὰρ περιστερὰ χειροήθης καὶ ἥμερος ἐν οἰκίσκῳ τινὶ διατρίβουσα, ὅταν ποτὲ αἴσθηται τινὸς φόβου, πτοηθεῖσα πρὸς τὸν ὀροφὸν ἵπταται, καὶ διὰ τῶν θυρίδων ἔξοδον ἵνα ἐπιζητεῖ, τῆς ἀγωνίας ἀπαλλαγῆναι ἐπιθυμοῦσα, οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ μακαρίου τότε ἐκείνου, ἐκ τοῦ σώματος ἀναθορεῖν ἔσπευδε, καὶ πρὸς τὰ ἔξωθεν ἠπείγετο. καὶ ἐξῆλθεν ἂν καὶ ἀπέπτη, καὶ τὸ σῶμα κατέλιπεν ἔρημον, εἰ μὴ ταχέως ὁ ἄγγελος προκαταλαβὼν αὐτὴν ἀπήλλαξε τῆς ἀγωνίας, καὶ πρὸς τὸ οἰκεῖον πάλιν ἐπανήγαγε καταγώγιον. εἰ δὴ ὁ δίκαιος ἐκεῖνος, ὁ παρρησίαν τοσαύτην ἔχων, ἄγγελον ἰδεῖν οὐκ ἤνεγκεν, οἱ τοσοῦτον ἀφεστηκότες αὐτοῦ, καὶ οὐχὶ ἄγγελον, ἀλλ' αὐτὸν τὸν τῶν ἀγγέλων περιεργαζόμενοι δεσπότην, τί πείσονται; ἐκεῖνος λεόντων θυμὸν ἐδάμασεν· ἡμεῖς δὲ οὐδὲ ἀλωπέκων περιγενέσθαι δυνάμεθα. ἐκεῖνος δράκοντα μέσον ἔρρηξεν· ἡμεῖς δὲ καὶ τὰ ψιλὰ ἑρπετὰ δεδοίκαμεν. καὶ εἰ ὁ τοσοῦτος καὶ τηλικοῦτος ἄγγελον ἐλθόντα πρὸς αὐτὸν ἰδὼν, σκοτοδινίᾳ κατείχετο χαλεπῇ, τίνα ἕξουσιν ἀπολογίαν, οἱ τὴν μακαρίαν ἐκείνην φύσιν ἐμβατεύειν ἐπιχειροῦντες; διὰ τοῦτο Παῦλος ἐκπληττόμενος „ἔλεγεν, ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύ„νητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. οὐκ εἶπεν, ἀκατάληπτα, ἀλλ' ἀνεξερεύνητα. εἰ δὲ ἐξερευνηθῆναι οὐ δύναται, πολλῷ μᾶλλον καταληφθῆναι ἀδύνατον. καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, καὶ αὐτὸς καταληπτὸς εἰπέ μοι; τί „λέγεις; τὰ κρίματα αὐτοῦ ἀνεξερεύνητα, αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνία„στοι, ἃ ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτὸν, οὐκ ἀνέβη ἐπὶ καρδίαν ἀνθρώπου; ἡ μεγαλωσύνη αὐτοῦ πέρας οὐκ ἔχει, ἡ σύνεσις ἀριθμὸν οὐκ ἔχει, πάντα ἀκατάληπτα· καὶ αὐτὸς μόνος καταληπτός; καὶ ποίαν οὐκ ἂν ἔχοι τοῦτο μανίας ὑπερβολήν; τίς δὲ οὐκ ἂν θρηνήσειεν ὑμᾶς τῆς παραπληξίας καὶ τῆς ἐσχάτης ταύτης ἀνοίας; ἣν ἀποβαλέσθαι σπουδάσαντες, ἀγαπητοὶ, ὅση δύναμις, τὸν Παῦλον ἀεὶ πρὸ τῶν ὀφθαλμῶν εἶναι δοκοῦντες τῶν ἡμετέρων, μετ' ἐκπλήξεως βοῶντα καὶ λέγοντα· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

& continuo oſtendebamus expalleſcentem, trementem, animo deficientem, conante anima corporis vinculum diſrumpere. ut ſatis abundéque cognoſcatis, quicunque Deum comprehenſibilem eſſe dicitis, quòd non Dei ſolum, ſed etiam Angeli aſpectum nemo ſuſtinere poſſit. Sicut enim columba cicur & manſueta in domuncula quapiam degens, ſi quando metum aliquem ſentit, trepidans in tectum evolat, ac per feneſtras exitum aliquem quærens, à certamine liberari deſiderat: ita nimirum ſancti illius anima ex corpore aſcendere properabat, & exire feſtinabat. Et ſanè exiviſſet atque avolaſſet, corpuſque inane reliquiſſet, niſi Angelus confeſtim præoccupatam illam à diſcrimine liberaſſet, & ad proprium hoſpitium reduxiſſet. Quòd ſi juſtus ille, qui tantam habebat fiduciam, Angeli aſpectum non tulit; quid illis continget, qui tam longè ipſo ſunt inferiores, & non Angelum, ſed ipſum Angelorum dominum curioſè ſcrutantur? Ille leonum furorem compeſcuit: nos verò ne vulpes quidem ſuperare poſſumus. Ille draconem per medium dirupit: nos verò etiam minuta reptilia metuimus. Et ſi tantus ac talis vir, Angelum ad ſe venientem videns gravi corripiebatur vertigine, quam excuſationem habebunt, qui ad beatam illam naturam irruere conantur? Hanc ob cauſam Paulus obſtupeſcens dicebat: *O altitudo divitiarum ſapientiæ & ſcientiæ Dei! quàm inſcrutabilia ſunt judicia ejus, & inveſtigabiles viæ ejus!* Non dixit, incomprehenſibilia, ſed inſcrutabilia. Quòd ſi inſcrutabilia ſunt, multo minùs comprehendi poterunt. Et inveſtigabiles viæ ejus. Viæ ejus inveſtigabiles ſunt, & ipſe erit comprehenſibilis? Quid dicis: *Inſcrutabilia ſunt judicia ejus, & inveſtigabiles viæ ejus, & quæ præparavit diligentibus ſe, in cor hominis non aſcenderunt?* magnitudo ejus terminum non habet, & ſapientiæ ipſius non eſt numerus; omnia incomprehenſibilia ſunt; & ipſe ſolus comprehenſibilis erit? Et quomodo hoc non ſummæ dementiæ fuerit? Quis autem vos ob vecordiam iſtam & extremam inſaniam non deploret? Quam nos pro viribus abjicere ſtudeamus, chariſſimi: ſemper Paulum ante oculos ſtare putantes, cum ſtupore clamantem & dicentem: Quàm inſcrutabilia ſunt judicia ejus & inveſtigabiles viæ ejus. Ipſi gloria in ſecula. Amen.

Dan. 8. — Rom. 11, 33. — 1. Cor. 2, 9.

Περὶ Ὑπομονῆς.

Λόγος κβ΄.

Ἐβούλεσθε προθῶμεν ὑμῖν εἰς ὑπομονῆς παράκλησιν, ἀγαπητοὶ, τὰ τοῦ δικαίου Ἰὼβ ἀνδραγαθήματα. οὗτος γὰρ οὗτος ὁ τοσαύτης ἀπολαύσας δόξης, καὶ παρὰ πάντων δορυφορούμενος, καὶ πανταχοῦ μετὰ πολλῆς ἀνακηρυττόμενος τῆς περιφανείας, εἰς ἀτιμίαν καὶ εὐτέλειαν ἀθρόον κατενεχθεὶς, πενίᾳ, καὶ νόσῳ, καὶ παίδων ἀποβολῇ, καὶ ἐχθρῶν ἐπαναστάσει, καὶ φίλων ἀγνωμοσύνῃ, καὶ λιμῷ, καὶ σαρκὸς ὀδύναις, καὶ λοιδορίαις καὶ συκοφαντίαις προσεπάλαιε· καὶ τὸ δὴ χαλεπώτερον, ὅλως καὶ ἀμελετήτῳ ὄντι ταῦτα ἐπέθεντο. ὁ γὰρ ἐκ πενήτων τεχθεὶς καὶ ἐν οἰκίᾳ τοιαύτῃ τραφεὶς, ἅτε γυμνασάμενος καὶ μελετήσας ῥᾳδίως ἂν ἐνέγκοι τῆς πενίας τὸ βάρος· ὁ δὲ τοσούτοις περιρρεόμενος χρήμασι, καὶ τοσούτῳ πλούτῳ κομῶν, εἶτα ἀθρόον εἰς τὸ ἐναντίον μεταπεσὼν, οὐκ ἂν εὐκόλως ὑπομείνῃ τὴν τοιαύτην μεταβολήν. καὶ ὁ παῖδας ἀποβαλὼν πάλιν, κἂν ἅπαντας ἀποβάλῃ, μὴ ἐν ἑνὶ δὲ καιρῷ, τοὺς λειπομένους τῶν ἀπελθόντων ἔχει παραμυθίαν· καὶ τοῦ τῆς προτέρων τελευτῆς τοῦ πάθους λήξαντος, ἂν ἡ τοῦ δευτέρου προσγένηται μετὰ χρόνον, τοῦτο αὐτῷ προσηνέστερον γίνεται τὸ πάθος· οὐ γὰρ νεαρῷ ὄντι ἐπιπεσεῖται τῷ ἕλκει, ἀλλὰ κοιμηθέντι ἤδη καὶ ἀφανισθέντι· ὅπερ οὐκ ὀλίγον ὑποτέμνεται τῆς ὀδύνης. οὗτος δὲ ὁλόκληρον αὐτῷ τὸν χορὸν εἶδεν, ἐν μιᾷ ἁρπασθέντα καιροῦ ῥοπῇ, καὶ τρόπῳ πικροτάτῳ τελευτῆς, καὶ ἐν ὥρᾳ συμποσίου, καὶ ἐν οἰκίᾳ τῇ τοῖς ξένοις ἀνεῳγμένῃ, καὶ τάφος αὐτοῖς ὁ οἶκος ἐγίνετο. πῶς δ' ἄν τις εἴποι τὸν λιμὸν ἐκεῖνον τὸν καινότερον, καὶ ἑρμηνευθῆναι μὴ δυνάμενον, τὸν ἑκούσιον ἢ τὸν ἀκούσιον; οὐ γὰρ οἶδα πῶς αὐτὸν καλέσω. ἑκούσιον; ἀλλ' ἐβούλετο ἀπογεύσασθαι τῶν προκειμένων. ἀλλ' ἀκούσιον; ἀλλὰ παρῆν τὰ σιτία, καὶ οὐδεὶς ὁ κωλύων παρῆν· ἀλλὰ παρακειμένης ἀπείχετο τῆς τραπέζης, καὶ ὁρωμένων οὐχ ἥπτετο τῶν σιτίων. τῶν γὰρ περὶ τὸ σῶμα τραυμάτων ἡ δυσωδία προσαπαντῶσα κατέλυε τὴν ἐπιθυμίαν, καὶ αὐτὴν ἐπίμπλα τὴν τράπεζαν τῆς ἀηδίας. βρόμον γάρ, φησιν, ὁρῶ τὰ σιτά μου. καὶ ἡ μὲν ἀνάγκη τοῦ λιμοῦ, τῶν προκειμένων ἅπτεσθαι ἐβιάζετο· ἡ δὲ ὑπερβολὴ τῆς δυσωδίας τῆς ἐκ τῶν σαρκῶν γινομένης, ἐνίκα τοῦ λιμοῦ τὴν βίαν. πῶς ἂν διηγησαίμην τὰς ὀδύνας, τὰς πηγὰς τῶν σκωλήκων, τὸν ἰχῶρα

De Patientia.

HOMILIA XXI.

Edita eſt olim ex interpr. Lalii Tifernatis, homil. 5. de patientia Iob.

PRoponamus vobis, chariſſimi, ſi placet, pro exhortatione ad patientiam, juſti Job fortia facta. Iſte enim, iſte, inquam, qui tanta fruebatur gloria, & ab omnibus protegebatur, & ubique multo cum ſplendore proclamabatur, in ignominiam & inopiam repentè dejectus, cum paupertate & morbo, & amiſſione liberorum; cum inimicorum quoque inſultu, amicorúmque infidelitate, cum fame & carnis doloribus, cum convitiis & calumniis colluctabatur. Et quod gravius eſt, hæc ipſum ſecurum & nihil tale cogitantem invadebant. Qui enim pauperibus parentibus natus eſt, & tali in domo educatus, tanquam exercitatus jam & meditatus facilè paupertatis moleſtiam tulerit: Qui verò tantis circumfluit opibus, tantiſque nitet divitiis, deinde verò ſubitò in contrarium incidit, non facilè talem mutationem ſuſtinuerit. Et qui iterum liberos amittit, etiamſi omnes amittat, non uno tamen tempore, is pro demortuorum conſolatione habet eos, qui ſuperſtites ſunt: & ceſſante animi ægritudine ex morte priorum hauſta, ſi mors ſecundi poſt aliquod tempus accedat, eo ipſo mitius ei malum efficitur. Non enim recenti vulneri, ſed compreſſo jam & obliterato ſupervenit, quod quidem dolorem non parum imminuit. Iſte verò univerſum cœtum uno temporis momento ereptum videbat; idque acerbiſſimo mortis genere, & tempore convivii, & domo peregrinis patente; & ſepulchrum ipſis domus fiebat. Quis verò edicat famem illam, tam inuſitatam, & quæ explicari nequit; voluntariam illam ſive non voluntariam? Neſcio enim quomodo illam appellem. Voluntariámne? At deguſtare cupiebat quæ erant propoſita. An non voluntariam? Atqui aderant cibi, nemóque aderat, qui prohiberet: appoſita tamen abſtinebat menſa, & quos videbat, non attingebat, cibos. Nam vulnerum, quæ in corpore habebat, occurrens graveolentia appetitum deſtruebat, ipſámque faſtidio replebat menſam. Fœtorem enim, inquit, video cibos meos. Et famis quidem neceſſitas propoſita guſtare cogebat; ſed nimius fœtor, qui ex carnibus oriebatur, vim ſuperabat famis. Quomodo explicem dolores, vermium

mium ſcatebras, defluentem ſaniem, amicorum probra, contemptum famulorum? *Iob. 30.* Non enim cohibuerunt, inquit, famuli mei ſputum à facie mea: & quos dignos non duxi, qui cum canibus gregis mei eſſent, hi jam irruerunt in me, & increpant me minimi. *Ex hom. de reſurrectione mort.* Nonne gravia hæc omnia eſſe videntur? Enimvero gravia ſunt & intolerabilia. Attamen poſtquàm benignus Deus dignatus eſt ipſi horum cauſam certaminum aperire, quòd ſcilicet hæc permiſſa eſſent, ut juſtus oſtenderetur, ita recreatus eſt, ut nihil moleſtiarum illarum paſſus videretur. Quemadmodum enim in certamine athletam, cum ſudore & pulvere & æſtu multo, cum laboribus & ærumnis pugnare oportet: ſic juſtum quoque in hac vita multa tolerare eſt neceſſe, omniaque generoſo ferre animo, ſiquidem ſplendidas ibi coronas recipere debet. Si enim beatum judicamus corpus, quod frigus & æſtum citra moleſtiam ferre poteſt; famem quoque & egeſtatem, & iter, cæteráſque ærumnas: multo magis animam beatam prædicare oportet, quæ conſtanter fortiterque omnes malorum inſultus ferre, & invictam perpetuo mentem conſervare valet. Quemadmodum igitur anima quæ in otio vivit & ſecuritate, facilè ab affectionibus capitur: ita etiam quæ aſſiduè certaminibus pro pietate ſuſceptis occupatur, non aliquando ceſſat iſta cogitare; cura, quæ circa luctationes eſt, eam ab omnibus illis abducente. Nec enim boni aliquid agere duntaxat, ſed etiam malum pati, multa habet præmia. Oſtendit hoc Job, qui ob mala quæ perpeſſus eſt, potiùs quàm ob rectè facta clarus factus eſt. Non enim tam illuſtris erat, quando pecunias poſſidebat, domúmque aperiebat pauperibus, & facultates elargiebatur: quàm cùm domum corruiſſe audiens, id iniquè non tulit. Non ita erat clarus, quando ex ovium tonſura nudos veſtiebat, quàm erat nobilis & admirandus, cùm ignem de cœlo cecidiſſe & omnia conſumpſiſſe audiens, gratias egit. Tunc erat amator hominum, jam factus eſt amator ſapientiæ. Tunc miſerebatur pauperum; at jam Domino gratias agit. Nec ad ſeipſum dixit, Quidnam hoc eſt? Greges conſumpti ſunt, unde infiniti pauperes alebantur. Etſi ego indignus eram ut illa rerum copia fruerer, propter egenos ſaltem parcere oportebat. Sed nihil tale dixit, aut cogitavit: ſed Deum ſciebat ad utilitatem omnia diſponere. Atque ut intelligas, quòd majus poſtea diabolo vulnus inflixerit, quando rebus ſuis ſpoliatus gratias egit, quàm cùm poſſeſſor miſerebatur, attende. Cùm poſſideret, ſuſpicionem aliquam habuit diabolus; ut diceret, Nunquid gratis Deum colit Job? poſtquam verò omnia abſtuliſſet, omnibúſque eum exuiſſet, hic verò ſuam in Deum benevolentiam ſervaret, tunc demum impudens ipſius os obſtructum fuit, nec amplius, quod diceret, habuit. Illuſtrior enim jam, quàm ex prioribus, Juſtus erat. Longè enim majus eſt, omnibus rebus ſpoliatum, fortiter & cum gratiarum actione ferre, quàm in divitiis viventem eleemoſynas facere. *Ex interpr. ep. ad Rom.* Rebus enim proſperè procedentibus, Deo gratias agere, nihil admiratione dignum eſt: Si verò gravis tempeſtas exiſtat & navis circumagitetur & periclitetur, tunc magnum eſt tolerantiæ & gratitudinis indicium. Si enim innumerabilium ſibi conſcii malefactorum, cùm vel parum auri perdunt, idque ſæpè ex rapina habenter, acerbam ſibi & intolerabilem vitam putant, quot coronis dignus non fuerit Job, qui juſtis modis collecta, temerè & fortuito diripi cernebat? & præter illa infinitos ſuſtinebat tentationum fluctus, pérque omnes immobilis permanens, debitam de illis Domino offerebat gratiarum actionem? Nam ut cætera quis omnia taceat, ſola uxoris verba vel petram commovere ſufficiebant. Si enim multos, dum in hilaritate eſſent, nihilque moleſti paterentur, mulieres oratione flexerunt: cogita quàm ſtrenuus fuerit animus, qui cum tantis armis eam repulerit. Cùm enim uxor ſit, & miſerabiliter dicat, tempuſque ſibi commodum habeat, vulnera quoque & vibices, ac infinitos cogitationum fluctus, quomodo non meritò quis animum à tanta tempeſtate nihil perpeſſum quovis adamante firmiorem aſſeveraverit? *Ex interpr. Evang. S. Matth.* Concedite mihi, ut liberè dicam, quòd ipſis etiam Apoſtolis, ſi non ſuperior, ſaltem non inferior ſanctus ille fuerit. His ſiquidem conſolatio erat, quòd pro Chriſto paterentur: ille verò etiam hoc ipſo ſolatio deſtitutus erat: Et quod majus eſt, multis in deliciis educatus, nequaquam de piſcatoribus & publicanis, & tenuiter viventibus, ſed tantum honorem adeptus, paſſus eſt omnia. Et quod graviſſimum in Apoſtolis videbatur, ipſe ſuſtinuit, dum ab amicis & domeſticis, & qui beneficiis ab eo affecti fuerant, & non ab inimicis, probra & odium ſuſtineret. *Ex 3. ad Olymp. ep.* Et quia hæc ita ſe habent, age igitur deinceps eorum quæ cum laude geſſit, & quæ paſſus eſt, comparationem faciamus; ut manifeſtè intelligatis, non rectè factorum modò, ſed eorum etiam, quæ quis patitur, præmia repoſita eſſe, & præmia quidem admodum magna, nec minora quàm ſint rectè factorum. Et introducamus, ſi placet, ipſum

A καταῤῥέοντα, τὰ ὀνείδη τῶν φίλων, τὴν καταφρόνησιν τῶν οἰκετῶν; οὐ γὰρ ἐφείσαντό μου, φησὶν, οἱ οἰκέταί μου, ἀπὸ προσώπου ἐμπτυσμάτων· καὶ οὓς οὐχ ἡγησάμην ἀξίους εἶναι κυνῶν τῶν ἐμῶν νομάδων, οὗτοι νῦν ἐπιπεπτώκασί μοι, καὶ νουθετοῦσί με ἐλάχιστοι. ἆρα οὐχὶ χαλεπὰ ταῦτα ἅπαντα εἶναι δοκεῖ; καὶ γάρ ἐστι χαλεπὰ καὶ ἀφόρητα· ἀλλ' ὅμως ὅτε κατηξίωσεν ὁ φιλάνθρωπος Θεὸς εἰπεῖν αὐτῷ τὴν αἰτίαν τῶν ἀγώνων τούτων, ὅτι ἵνα δίκαιος ἀναφανῇς, ταῦτα συνεχωρήθη, B οὕτως ἀνέπνευσεν, ὡς μηδὲν δόξαι πεπονθέναι τῶν λυπηρῶν ἐκείνων. ὡς γὰρ ἐν τοῖς σκάμμασι τὸν ἀθλητὴν, καὶ ἱδρῶτι, καὶ κόνει, καὶ θέρμῃ πολλῇ, καὶ πόνοις, καὶ ταλαιπωρίαις μάχεσθαι δεῖ· οὕτω καὶ τὸν δίκαιον ἐνταῦθα πολλὰ ὑπομένειν χρὴ, καὶ φέρειν ἅπαντα γενναίως, εἴγε μέλλει λαμπροὺς ἀπολήψεσθαι τοὺς στεφάνους ἐκεῖ. εἰ γὰρ δὴ σῶμα μακαρίζομεν τὸ δυνάμενον ψῦχος καὶ καῦμα ἀλύπως φέρειν, καὶ λιμὸν, καὶ ἔνδειαν, καὶ ὁδοιπορίαν, καὶ ταλαιπωρίας ἑτέρας· πολλῷ C μᾶλλον ψυχὴν μακαρίζειν δεῖ τὴν δυναμένην καρτερῶς καὶ γενναίως ἁπάσας τῶν δεινῶν φέρειν τὰς προσβολὰς, καὶ διατηρεῖν ἀδούλωτον αὐτῆς διαπαντὸς τὸ φρόνημα. ὥσπερ οὖν ἡ ἀργίας καὶ ἀδείας ἀπολαύουσα ψυχὴ, εὐκόλως ὑπὸ τῶν παθῶν ἁλίσκεται, οὕτω καὶ ἡ διηνεκῶς ὑπὲρ εὐσεβείας ἀγῶσιν ἐσχολακυῖα, οὐδὲ σχολὴν ἄγει ταῦτα ἐννοῆσαί ποτε, τῆς περὶ τὰ παλαίσματα μερίμνης πάντων αὐτὴν ἀπαγούσης ἐκείνων. οὐ γὰρ τὸ ποιῆσαί τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ D παθεῖν κακὸν, πολλὰς ἔχει τὰς ἀμοιβάς· καὶ δείκνυσιν ὁ Ἰὼβ ἀπὸ τῶν παθημάτων μᾶλλον, ἢ ἀπὸ τῶν κατορθωμάτων εὐδοκιμήσας. οὐδὲ γὰρ οὕτω λαμπρὸς ἦν, ἡνίκα τὰ χρήματα ἐκέκτητο, καὶ τὴν οἰκίαν ἀνεῴγει τοῖς πένησι, καὶ τὰ ὄντα ἐξεδίδου, ὡς ὅτε ἀκούσας αὐτὴν καταπεπτωκέναι, οὐκ ἀπεδυσπέτησεν. οὐκ ἦν οὕτω λαμπρὸς ὅτε ἀπὸ τῆς κουρᾶς τῶν προβάτων τοὺς γυμνοὺς περιέβαλλεν, ὡς ἦν λαμπρὸς καὶ εὐδόκιμος, ὅτε ἀκούσας ὅτι πῦρ κατέπεσε καὶ πάντα ἀνήλωσεν, εὐχαρίστησε. τότε φιλάνθρωπος ἦν, νῦν γέγονε φιλόσοφος. τότε E ἠλέει τοὺς πένητας, νῦν δὲ εὐχαριστεῖ τῷ δεσπότῃ. καὶ οὐκ εἶπε πρὸς ἑαυτὸν, τί ποτε τοῦτό ἐστι; τὰ ποίμνια ἀνάλωται ἀφ' ὧν ἐτρέφοντο μυρίοι πένητες· καὶ εἰ ἀνάξιος ἤμην ἐγὼ ἀπολαύειν εὐπορίας, διὰ γοῦν τοὺς μὴ ἔχοντας ἔδει φείσασθαι. ἀλλ' οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ᾔδει τὸν Θεὸν πρὸς τὸ συμφέρον πάντα οἰκονομοῦντα. καὶ ἵνα μάθῃς ὅτι μείζονα ὕστερον ἔδωκε τὴν πληγὴν τῷ διαβόλῳ, ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν, ἢ ὅτε κεκτημένος ἠλέει, ἄκουσον. ὅτε ἐκέ- A κτητο, καὶ ὑποψίαν τινὰ εἶχεν εἰπεῖν ὁ διάβολος, ὅτι μὴ δωρεὰν σέβεταί σε Ἰώβ; ἐπεὶ δὲ πάντα ἔλαβε καὶ πάντων αὐτὸν ἐγύμνωσεν, ὁ δὲ εὔνοιαν πρὸς τὸν Θεὸν διετήρησε, τότε λοιπὸν ἐνεφράγη τὸ ἀναίσχυντον αὐτοῦ στόμα, καὶ οὐκ ἔτι οὐδὲν εἶχεν εἰπεῖν. λαμπρότερος γὰρ ἢ ἀπὸ τῶν προτέρων ὁ δίκαιος ἦν. τὸ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην, τοῦ πάντα ἀφαρπαγέντα γενναίως ἐνεγκεῖν καὶ μετ' εὐχαριστίας, πολλῷ μεῖζόν ἐστι. τὸ μὲν γὰρ ἐξ οὐρίας φερομένων τῶν πραγμά- B των εὐχαριστεῖν τῷ Θεῷ, θαυμαστὸν οὐδέν· ὅταν δὲ πολὺς ὁ κλύδων ᾖ, καὶ τὸ σκάφος περιτρέπηται καὶ κινδυνεύῃ, τότε ἐστὶν ἡ πολλὴ τῆς ὑπομονῆς καὶ τῆς εὐγνωμοσύνης ἐπίδειξις. εἰ γὰρ οἱ μυρία συνειδότες ἑαυτοῖς κακὰ, ἂν ὀλίγον χρυσίον ἀπολέσωσι, καὶ τοῦτο πολλάκις ἐξ ἁρπαγῆς ἔχοντες, ἀβίωτον τὸν βίον εἶναι νομίζουσι· πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος ὁ Ἰὼβ, τὰ ἐκ δικαίων συλλεγέντα ὁρῶν ἁπλῶς, καὶ ὡς ἔτυχεν ἁρπαζόμενα· καὶ μετὰ πάντα ἐκεῖνα, μυρίας ὑπομένων C πειρασμῶν νιφάδας, καὶ διὰ πάντων ἀκίνητος μένων, καὶ τὴν προσήκουσαν περὶ τούτων ἀναφέρων τῷ δεσπότῃ εὐχαριστίαν; ἂν μὲν γὰρ μηδὲν τῶν ἄλλων μηδεὶς εἴπῃ, τὰ τῆς γυναικὸς μόνον ῥήματα καὶ πέτραν ἦν ἱκανὰ διασαλεῦσαι. εἰ γὰρ ἐν εὐθυμίᾳ ὄντας, καὶ μηδὲν πάσχοντας ἄνδρας πολλοὺς πολλάκις ἔπεισαν αἱ γυναῖκες· ἐννόησόν πως ἦν νεανικὴ ψυχὴ ἡ μετὰ τοσούτων ὅπλων αὐτὴν ἀποκρουσαμένη. ὅταν γὰρ γυνὴ ᾖ, καὶ ἐλεεινὰ λέγῃ, καὶ τὸν καιρὸν ἔχῃ συμπράττοντα [illegible] τὰ D τραύματα καὶ τοὺς μώλωπας, καὶ μυρία κύματα τῶν λογισμῶν, πῶς οὐκ ἄν τις δικαίως ἀδάμαντος παντὸς στεῤῥοτέραν τὴν οὐδὲν ὑπὸ τοσούτου χειμῶνος παθοῦσαν ψυχὴν ἀποφήνηται; δότε μοι μετὰ παῤῥησίας εἰπεῖν, ὅτι καὶ τῶν ἀποστόλων εἰ μὴ μείζων, ἀλλ' οὐκ ἐλάττων ὁ μακάριος ἐκεῖνος ἦν. τοὺς μὲν γὰρ, τὸ διὰ τὸν Χριστὸν ταῦτα πάσχειν, παρεμυθεῖτο· ἐκεῖνος δὲ καὶ ταύτης ἔρημος ἦν τῆς παραμυθίας. καὶ τὸ δὴ μεῖζον, ὅτι ἐν πολλῇ τρυφῇ τραφεὶς, οὐκ ἐξ ἁλιέων καὶ τελωνῶν καὶ E τῶν εὐτελῶς βεβιωκότων, ἀλλὰ τοσαύτης ἀπολελαυκὼς τιμῆς, ἔπασχεν ἅπαντα. καὶ ὃ φορτικώτατον ἐδόκει τῶν ἀποστόλων εἶναι ἰδικὸν, αὐτὸς ὑπέμεινε παρὰ φίλων καὶ οἰκετῶν, καὶ τῶν εὖ πεπονθότων, οὐ παρὰ τῶν ἐχθρῶν ὀνειδιζόμενος καὶ μισούμενος. καὶ ἐπεὶ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, φέρε λοιπὸν κατορθωμάτων καὶ παθημάτων ποιησώμεθα σύγκρισιν· ἵνα μάθητε σαφῶς, ὅτι οὐ κατορθώμασι μόνον, ἀλλὰ καὶ παθήμασιν ἀμοιβαὶ κεῖνται, καὶ ἀμοιβαὶ σφόδρα μεγάλαι, καὶ κατορθωμάτων οὐκ ἐλάττους. καὶ εἰσαγάγωμεν, εἰ δοκεῖ, αὐτὸν τοῦτον τὸν

μέγαν

μέγαν ὑπομονῆς ἀθλητὴν Ἰὼβ, τὸν ἑκατέρωθεν λάμψαντα τούτοις, καὶ ἴδωμεν συγκρίναντες πότε λαμπρότερος ἦν, ὅτε τὴν οἰκίαν αὐτοῦ πᾶσι τοῖς παριοῦσιν ἀνέῳξεν, ἢ ὅτε κατενεχθείσης αὐτῆς οὐδὲν ἐφθέγξατο ῥῆμα πικρὸν, ἀλλ' εὐφήμησε τὸν Θεόν; πότε φαιδρότερος ἦν, εἰπέ μοι, ὅτε ἔθυεν ὑπὲρ τῶν παίδων καὶ πρὸς ὁμόνοιαν αὐτοὺς ἦγεν, ἢ ὅτε καταχωσθέντων, καὶ τῷ πικροτάτῳ τρόπῳ τῆς τελευτῆς καταλυσάντων τὸν βίον, μετὰ πολλῆς τῆς φιλοσοφίας ἤνεγκε τὸ συμβάν; πότε μᾶλλον ἐξέλαμψεν, ὅτε ἀπὸ τῆς κουρᾶς τῶν ἀρνῶν αὐτοῦ ἐθερμάνθησαν τῶν γυμνῶν οἱ ὦμοι, ἢ ὅτε ἀκούσας, ὅτι πῦρ ἐξ οὐρανοῦ ἔπεσε καὶ κατέφαγε τὴν ἀγέλην μετὰ τῶν ποιμένων, οὐκ ἐθορυβήθη οὐδὲ ἐταράχθη, ἀλλὰ πρᾴως ἤνεγκε τὴν συμφοράν; πότε μείζων ἦν, ὅτε τῇ ὑγιείᾳ τοῦ σώματος πρὸς τὴν τῶν ἀδικουμένων ἐκέχρητο προστασίαν, συντρίβων τὰς μύλας τῶν ἀδίκων, καὶ ἐκ μέσου ὀδόντων αὐτῶν ἐξαρπάζων ἁρπάγματα· ἢ ὅτε τὸ σῶμα αὐτὸ τὸ τῶν ἀδικουμένων ὅπλον ἑώρα κατεσθιόμενον ὑπὸ σκωλήκων, καὶ καθήμενος ἐπὶ τῆς κοπρίας αὐτὸς αὐτοῦ κατέξυεν ὄστρακον λαβών; τήκω γὰρ βώλακας γῆς ἀπὸ ἰχῶρος ξέων, φησί. καίτοι ἐκεῖνα μὲν πάντα κατορθώματα, ταῦτα δὲ παθήματα ἦν· ἀλλ' ὅμως ταῦτα αὐτὸν λαμπρότερον ἐκείνων ἀπέφηνεν. ἐκείνων μὲν γὰρ γινομένων, εἰ καὶ ἀναισχύντως σφόδρα καὶ ἰταμῶς, ἀλλ' ὅμως ἀντεῖπεν ὁ διάβολος λέγων· μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; τούτων δὲ συμβαινόντων ἐγκαλυψάμενος ἀνεχώρησεν οὕτως ἅπας, καὶ οὐδὲ ἀναισχύντου τινὸς ἀντιλογίας σκιὰν γοῦν ἔχων προβαλέσθαι. τοιγαροῦν ὅταν ἴδῃς ἄνδρα δίκαιον μεγάλα κατορθοῦντα καὶ μυρία πάσχοντα δεινὰ, μὴ θαυμάσῃς· τοὐναντίον γὰρ ἔδει θαυμάζειν, εἰ πολλὰς λαμβάνων ὁ διάβολος πληγὰς ἔμελλεν ἡσυχάζειν, καὶ πρᾴως φέρειν τὰ τραύματα. οὐδὲ γὰρ εἰ ὄφις κεντούμενος συνεχῶς ἀγριαίνοι, καὶ ἐφάλλοιτο κεντοῦντι, θαυμάζειν χρή· καὶ τὸν ἐν πολέμῳ δὲ καὶ νίκης καὶ σφαγῆς ἐπανιόντα ἀνάγκη καὶ ᾑμάχθαι, πολλάκις δὲ καὶ τραύματα ἔχειν. ὅταν τοίνυν ἴδῃς τινὰ ἐλεημοσύνας ποιοῦντα, καὶ ἄλλα μυρία ἐργαζόμενον ἀγαθὰ, καὶ ταύτῃ συγκόπτοντα τοῦ διαβόλου τὴν δύναμιν, εἶτα πειρασμοῖς περιπεσόντα καὶ κινδύνοις, μὴ διὰ τοῦτο θορυβηθῇς· διὰ γὰρ τοῦτο περιέπεσε πειρασμοῖς, ἐπειδὴ σφόδρα ἔπληξε τὸν διάβολον. καὶ πῶς ὁ Θεὸς συνεχώρησε, φησίν; ἵνα μᾶλλον στεφανωθῇ· ἵνα πλείονα τὴν πληγὴν λάβῃ ἐκεῖνος. μέγα μὲν γὰρ καὶ ἐξ οὐρίας φερομένων τῶν πραγμάτων, καὶ ἐλεεῖν, καὶ ἀρετῆς ἀντέχεσθαι· πολλῷ δὲ μεῖζον, τὸ δεινὰ πάσχοντα ἀμετάστρεπτον καὶ μετὰ πλείονος ἔχεσθαι τῆς προθυμίας τῶν ὑπὲρ ἀρετῆς πόνων. ὥσπερ γὰρ ἐπὶ τῶν ἁμαρτανόντων οἱ μηδὲν παθόντες δεινὸν ἐνταῦθα, μείζονα ὑφίστανται τὴν τιμωρίαν ἐκεῖ, οὕτως ἐπὶ τῶν κατορθούντων οἱ πολλὰ παθόντες ἐνταῦθα δεινὰ, πολλῆς ἀπολαύσονται ἐκεῖ τιμῆς. καὶ καθάπερ ἁμαρτωλῶν ὄντων δύο, ἂν ὁ μὲν ἐνταῦθα κολασθῇ, ὁ δὲ μὴ κολασθῇ, μακαριώτερος ὁ κολασθεὶς τοῦ μὴ κολασθέντος ἐστίν· οὕτω δὴ καὶ δικαίων ἐνταῦθα ὄντων δύο, ἂν ὁ πλείους, ὁ δὲ ἐλάττους ὑπομένῃ τὰς θλίψεις, μακαριώτερος ὁ τὰς πλείους ὑπομένων ἐστίν. οἱ δὲ τὴν τοῦ Θεοῦ παιδείαν εὐχαρίστως μὴ φέροντες, ἀλλὰ δυσανασχετοῦντες, πρὸς τῷ μηδὲν ἐξ αὐτῆς καρπώσασθαι, καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιβάλλουσι συμφοραῖς. ἀλλ' ἐν πενίᾳ διάγεις, καὶ λιμῷ, καὶ μυρίοις κινδύνοις; οὐκοῦν ἀπὸ τῶν πενήτων μάθε εὐχαριστεῖν τῷ δεσπότῃ· οὗτοι γὰρ πάντα τὸν βίον ἑαυτῶν, ἐν τῷ ἐπαιτεῖν καταναλίσκοντες οὐ βλασφημοῦσιν, οὐκ ἀγανακτοῦσιν, οὐδὲ δυσχεραίνουσιν; ἀλλ' εὐχαρίστως φέρουσι. τί γὰρ τοιοῦτον ἔπαθες οἷον ἐκεῖνος; ἐξεκόπης τὸν ὀφθαλμόν; ἀλλ' ἐκεῖνος τοὺς δύο. ἐνόσησας νόσον μακράν; οὗτος δὲ καὶ ἀνίατον· ἀπέβαλες τοὺς * παῖδας; ἀλλ' ἐκεῖνος καὶ τὴν ὑγείαν τοῦ οἰκείου σώματος. ἐζημιώθης ζημίαν μεγάλην; ἀλλ' οὐδέπω πρὸς τὸ ἑτέρων δεῖσθαι κατέστης. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; ἐννόησόν μοι τὸν Ἰὼβ τὸν τῆς ὑπομονῆς ἀπερίτρεπτον πύργον. τίς γὰρ τούτου πτωχότερος γέγονεν, ὃς καὶ τῶν ἐν βαλανείοις ἐρριμμένων, καὶ τῶν ἐν τῇ καμινιαίᾳ τέφρᾳ καθευδόντων, καὶ πάντων πτωχότερος ἦν. οὗτοι μὲν γὰρ κἂν ἱμάτιον ἔχουσι διερρωγός· ἐκεῖνος δὲ γυμνὸς ἐκάθητο· καὶ ὃ μόνον ἱμάτιον εἶχε παρὰ τῆς φύσεως τὸ τῆς σαρκὸς τὸ περιβόλαιον, χαλεπῇ σηπεδόνι καὶ τοῦτο διέφθειρεν ὁ διάβολος. καὶ οἱ μὲν πένητες κἂν ὑπὸ στέγην εἰσὶ προπυλαίων τῶν ἐν βαλανείοις, καὶ καλάμῃ καλύπτονται· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἀεὶ διετέλει, οὐδὲ τὴν ἀπὸ ψιλῆς στέγης παραμυθίαν ἔχων· καὶ τὸ δὴ μεῖζον, ὅτι οὗτοι μὲν πολλὰ ἑαυτοῖς συνίσασι τὰ δεινά. καὶ οὐ μικρὸν τοῦτο εἰς παραμυθίαν συμφορᾶς, τὸ συνειδέναι ἑαυτῷ δικαίως τιμωρουμένῳ· ἐκεῖνος δὲ καὶ ταύτης ἀπεστέρητο τῆς παραμυθίας, καὶ πολιτείαν ἐπιδεδειγμένος ἀρετῆς γέμουσαν τὰ τῶν ἔσχατα τετολμηκότων ὑπέμεινε. καὶ οὗτοι μὲν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐμελέτησαν τῇ συμφορᾷ· ἐκεῖνος δὲ ἀμελέτητον ὑπέμεινε πενίαν, ἀθρόον δεξάμενος τὴν ἐκ τοῦ πλούτου μεταβολήν. εἶδες αὐτὸν πρὸς ἐσχάτην ἐλθόντα πενίαν, καὶ μεθ' ἣν ἑτέραν οὐκ εὑρεῖν; τί γὰρ ἂν τοῦ γυμνοῦ καὶ μηδὲ στέγην ἔχοντος πτωχότερον γένοιτ' ἄν, μηδὲ ἐδάφους αὐτοῦ ἀπολαύοντος; οὐ γὰρ ἐπὶ τῆς γῆς.

hunc magnum patientiæ luctatorem Job, hinc atque inde hiſce illuſtrem; videamúſque collatione facta, quando clarior fuerit, quando domum ſuam omnibus advenientibus aperuit, an quando eadem collapſa nullum aſperum verbum locutus eſt, ſed Deum laudavit? Quando, dic mihi, illuſtrior fuit, cùm pro liberis ſacrificium offerebat, & ad concordiam adducebat, aut quando ipſis contumulatis, mortiſque acerbiſſimo genere vita functis, caſum ſapientiſſimè tulit? Quando magis fulgebat, cùm de velleribus agnorum ſuorum calefacti ſunt nudorum humeri, aut cùm audiens, de cœlo ignem decidiſſe, gregémque cum paſtoribus conſumpſiſſe, turbatus non eſt, aut conſternatus, ſed leniter tulit calamitatem? Quando major fuit, cùm ad oppreſſorum defenſionem corporis ſanitate utebatur, conterens molares iniquorum, & è medio dentium eorum prædam eripiens: aut cum hoc ipſum corpus, oppreſſorum ſcutum à vermibus conſumi videbat, ſedenſque in ſterquilinio, idem ipſe accepta teſta radebat? Ait enim, liquefacio glebas terræ, dum ſaniem abrado. Et illa quidem omnia præclara facta, hæc autem paſſiones erant: ſed tamen hæc clariorem Job effecerunt, quàm illa. Siquidem cùm illa fiebant, quamvis impudenter valdè & præfractè, contradixit tamen diabolus, dicens: *Nunquid fruſtra colit Deum Job?* His verò contingentibus, pudore affectus receſſit & terga dedit, neque impudentis alicujus contradictionis umbram ſaltem objicere habuit. Igitur ſi quando virum juſtum magnorum operum profectu clarere videris, & infinita interim perpeti mala, ne mireris. Nam è diverſo mirari oportebat, ſi multas diabolus accipiens plagas taciturus fuiſſet, manſuetéque vulnera laturus. Neque enim ſi ſerpens aſſiduè ſtimulatus, ſæviat, & in ſtimulantem inſiliat, mirandum fuerit: & à prælio victoriáque & cæde redeuntem ſanguine eſſe perfuſum, ſæpè etiam vulnera habere neceſſe eſt. Cùm ergo videris quempiam eleemoſynas facientem, aliáque innumera operantem bona, & ſic concidentem diaboli vires, poſtea in tentationes periculáque incidentem, ne ideo turberis: nam propterea in tentationes incidit, quoniam diabolo plagas vehementer inflixit. Et quomodo id Deus, inquis, permiſit? Quo magis ſcilicet coronetur, quo luculentiorem ille recipiat plagam. Magnum quidem eſt, ſecundis rebus durantibus, & miſereri & virtuti adhærere: longè verò majus, gravia patientem invictum ſe & promptiorem ad virtutis labores præſtare. Quemadmodum enim peccatoribus contingit, ut qui nihil hîc paſſi ſunt mali, majorem ibi ſubeant pœnam: ſic etiam ex rectè agentibus qui adverſa tolerârunt, multo illic fruentur honore. Et quemadmodum peccatoribus duobus exiſtentibus, ſi alter quidem hîc puniatur, alter verò minimè; ille, qui punitus eſt, altero non punito, felicior eſt: ſic & duobus juſtis hic exiſtentibus, ſi quidem alter plures, alter pauciores ærumnas ſuſtineat; qui plures ſuſtinet, beatior eſt. Qui verò Dei diſciplinam cum gratiarum actione non ſuſtinent, ſed iniquo animo ferunt, illi faciunt ut nullum ex ea fructum percipiant, & in extrema ſeipſos conjiciunt diſcrimina. Sed in paupertate vitam agis, & fame, innumeriſque periculis? diſce igitur vel ab egenis Domino gratias agere: iſti enim totam vitam ſuam mendicando conſumentes non blaſphemant, non indignantur, non moleſtè ferunt, ſed cum gratiarum actione tolerant. Quid enim tale paſſus es, quale ille? Oculo privatus es? at ille ambobus. Morbo diuturno laboraſti? at ille inſanabili. Amiſiſti liberos? at ille proprii etiam corporis ſanitatem. Damno magno plexus es? at necdum eo perveniſti, ut aliis indigeas. Sed non ſufficiunt iſta? Conſidera mihi immotam illam patientiæ turrim Job. Quis enim hoc pauperior fuit? qui etiam ad publica balnea abjectis, & his qui ſuper fornacis dormiunt cinere, atque omnibus denique, erat pauperior? Hi namque vel veſtimentum lacerum habent, ille verò nudus ſedebat: & quod ſolum habuit à natura indumentum, carnis ſcilicet velamen, gravi hoc ipſum putredine diabolus corrupit. Et pauperes quidem ſub tecto ſaltem veſtibulorum ſunt balneorum, aut etiam ſtipula teguntur; ille verò ſub dio noctes ſemper tranſigebat, neque exilis tecti ſolatium habebat: & quod majus eſt, quoniam iſti multorum ſibi malorum ſunt conſcii. Neque parum valet ad ſolatium calamitatis, ſi quis ſibi conſcius ſit, juſtè ſe pœnas luere. Ille autem & hac conſolatione privatus erat, ut qui converſationem virtute plenam oſtendiſſet, & ſupplicia extrema auſis debita ſuſtineret. Et hi quidem olim & à principio de calamitate cogitaverunt? ille verò inopinatam ſubiit paupertatem, repentina ex divitiis accepta mutatione. Vidiſti eum ad extremam deveniſſe paupertatem, & eam, poſt quam non eſt ullam aliam invenire? Quid enim vel nudo, vel tectum non habente, nec ipſo ſolo utente, pauperius? non enim in terra,

Job. 1.

Ex interpr. ep. 1 ad Cor.

Ex hom. in Divitem & Lazarum.

Ex orat. ad Stagirium.

Ex interpr. ep. 1 ad Theſ.

Aliqui legiſſe videntur nudum.

ſed

ſed in ſterquilinio ſedebat. Itaque cum temetipſum videris paupertate urgeri, cogita hujus juſti cauſam, atque illicò exurges, & omnem mœroris cogitationem depelles. Si verò etiam à natura illatum juſto magna cum vehementia bellum audire velis, ad ea, quæ dico, adverte. Decem amiſit liberos, decem repentè, decem ipſo in ætatis flore, decem multam oſtendentes virtutem, & non communi lege naturæ, ſed nece violenta & miſeranda. Quiſnam talem poterit calamitatem explicare? quis vel ferreus homo, quis adamas tot mala pertulerit? non eſt quiſquam, non eſt. Si enim horum unumquodque etiam per ſe intolerabile eſt, cogita cùm ſimul omnia convenerunt, quantum excitaverint tumultum. Cùm igitur filium amiſeris & filiam ſimul, refuge ad juſtum illum, & omnino magnam tibi conſolationem invenies. Memento verborum ipſius, in filiorum calamitate, quæ mille coronis auguſtius ſanctum illud caput cinxerunt. Cogita calamitatis magnitudinem, novum illud naufragium, novámque illam & inopinatam tragœdiam. Tu quidem unum fortè amittes, aut ſecundum, aut tertium: ille verò tam multos & tam multas: & qui multis abundabunt liberis, repentè ſine liberis factus eſt: neque ei ſenſim viſcera conſumebantur, ſed omnis repentè fructus abripiebatur, eóque nec præſente, vel aſſidente, quo vel ultima audiens verba, ullum haberet tam acerbæ mortis ſolatium; ſed præter omnem ſpem, & una acerbitas alteram ſuperabat. Non enim mors importuna ſolum, ſed etiam quod in ætatis vigore omnes eſſent; omnes virtute præſtarent, amabiles eſſent: omnes ſimul, utriuſque ſexus: quod non communi naturæ lege, poſt talem tantámque jacturam interierant; quòd nullius mali nec ſibi, nec illis conſcius, ejuſmodi pateretur: Horum enim unumquodque etiam per ſe ſatis erat, quod conturbaret. Cum verò unà concurrere cernantur, cogita altitudo fluctuum quanta fuerit, quanta tempeſtatis & procellæ vehementia. Miranda quidem hæc, ſi vel nudè audiantur. At ſi eadem diligenter examinaveris, tunc amplius miraculum perſpicies. Cogita enim quod non dimidiam partem diabolus abſtulerit, & mediam partem reliquerit: ſed omnem omnino fructum decerpſerit, arboremque non dejecerit: Totum ſuperinduxit mare cum fluctibus, & navim non ſubmerſit: omnem evacuavit virtutem, & turrim non concuſſit, ſed ea omni ex parte perſtabat & firma manebat: ferebantur jaculorum imbres, & minimè conſternebatur: imò verò mittebantur quidem, non tamen ſauciabant. Cogita quantum ſit, tot liberis orbari. Quid enim dignum lacrymis non erat? an non, quòd poſt tot tantaſque plagas hæc extrema inſuper adderetur? non quòd genitor naturali liberorum teneretur amore? non quòd amabiles eſſent vita functi? Cùm enim improbos quis amittit liberos, paſſione quidem mordetur, ſed acerbitate vehementiáque minore: nam defunctorum malitia acerbiorem non ſinit eſſe dolorem. Si verò virtute ornati fuerint, conſtanter manens ſit vulnus, quod non ſolùm à natura, ſed à pietate quoque ortum faciat deſiderium. Rurſus cum partim ſurripiuntur, habet aliquod ſolatium illud malum: nam qui reliqui ſunt, demortuorum triſtitiam obumbrant. Cùm verò univerſus chorus obierit, ad quemnam reſpicere poterit, qui multorum filiorum pater, repentè ſine liberis factus eſt? Si enim tribus aut quinque diebus quibuſdam decedentibus, mulieres & cognati quique id maximè deplorant, quòd citò & repentè ab illorum oculis moriens abreptus ſit: multo magis hic doluerit, qui non diebus duobus tribúſve, aut uno, ſed hora una omnibus eſt orbatus. Nam cogitatum tempore malum, licet intolerabile ſit, expectatione tamen ſeu mora levius fuerit: At quod præter ſpem contingit & derepentè, licet natura ſua leve ſit, eo ipſo quòd præter ſpem eveniat, fit intolerabile. Quòd ſi quid & per ſe grave ſit, & ex inſperato quoque eventu incrementum ſumat, perpende quàm intolerabile fiat, omnémque ſermonem ſuperet. Non enim ipſos in lectulo aſpirantes, animámque reddentes vidit, ſed domo contumulatos omnes. Cogita igitur, quis erat ille, qui tumulum illum effodiebat; & nunc quidem lapidem, nunc filii membrum protrahens, & manum videns adhuc phialam tenentem, dextrámque alteram in tabulam recumbentem; ipſam quoque corporis corruptam figuram; naſo contrito, confracto capite, oculis extinctis, cerebro diſperſo, tota omnino forma corrupta, vulnerúmque varietate patrem non permittente deſideratæ faciei cognoſcere formam. Turbati eſtis hæc audientes, & lacrymas funditis. Cogitate igitur, quis ille erat, qui iſta videbat. Si enim nos poſt tantum temporis, nequimus ſine lacrymis illius tragœdiæ ferre auditum, idque alienam calamitatem audientes; qualis ille adamas fuit, qui coram hæc percipiebat,

Ex interpr. ep. 1. ad Cor.

exeſa hic fuit ſcriptura; ſubſtituimus has duas voces ex Latino,

ἀλλ' ἐπὶ τῆς κοπρίας ἐκάθητο. οὐκοῦν ὅταν ἴδῃς σαυτὸν ἐν πενίᾳ γενόμενον, ἐννόησον τοῦ δικαίου τὸ πάθος, καὶ εὐθέως διαναστήσῃ, καὶ πάντα ἀποκρούσῃ λογισμὸν τῆς ἀθυμίας. εἰ δὲ βούλει καὶ τὸν παρὰ τῆς φύσεως πόλεμον τὸν μετὰ πολλῆς τῆς ὑπερβολῆς τῷ γενναίῳ τούτῳ ἐπενεχθέντα ἀκούειν, πρόσεχε οἷς λέγω. δέκα παιδία ἀπώλεσε, δέκα ἀθρόως, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, τὰ δέκα πολλὴν ἀρετὴν ἐπιδεδειγμένα, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, ἀλλὰ βιαίῳ θανάτῳ καὶ ἐλεεινῷ. τίς ἂν ἔχοι τοιαύτην συμφορὰν εἰπεῖν; ποῖος σιδηροῦς ἄνθρωπος, ποῖος ἀδάμας τοσαῦτα ἂν ὑπέμεινε δεινά; οὐκ ἔστιν οὐδεὶς οὐκ ἔστιν. εἰ γὰρ καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον, ἐννόησον εἰς ὁμοῦ πάντα συνελθόντα, πόσον ἤγειρε καὶ τὸν θόρυβον. ὅταν τοίνυν ἀποβάλῃς υἱὸν καὶ θυγατέρα ὁμοῦ, ἀνάδραμε πρὸς τὸν δίκαιον ἐκεῖνον, καὶ πάντως εὑρήσεις πολλὴν σαυτῷ τὴν παραμυθίαν. ἀναμνήσθητι τῶν ῥημάτων αὐτοῦ τῶν ἐπὶ τῇ συμφορᾷ τῶν παίδων, ἃ μυρίων στεφάνων μᾶλλον ἀνέδησε τὴν ἁγίαν κεφαλὴν ἐκείνην. λόγισαι τὸ μέγεθος τῆς συμφορᾶς, καὶ τὸ καινὸν ἐκεῖνο ναυάγιον, καὶ τὴν ξένην καὶ παράδοξον ἐκείνην τραγῳδίαν. σὺ μὲν γὰρ ἴσως ἕνα ἀπώλεσας, ἢ δεύτερον, ἢ τρίτον· ἐκεῖνος δὲ τοσούτους καὶ τοσαύτας· καὶ ὁ πολύπαις ἐξαίφνης ἄπαις ἐγένετο· καὶ οὐδὲ κατὰ μικρὸν αὐτοῦ τὰ σπλάγχνα ἀνηλίσκετο, ἀλλ' ἀθρόον ἅπας ὁ καρπὸς ἀνηρπάζετο· καὶ οὐδὲ παρόντος, οὐδὲ παρακαθημένου, ἵνα κἂν ἐσχάτων ἀκούσας ῥημάτων ἔχῃ τινὰ παραμυθίαν τῆς οὕτω πικρᾶς τελευτῆς· ἀλλὰ παρ' ἐλπίδα πᾶσαν, καὶ θάτερον ὑπερέβαλλε θατέρου τῶν λυπηρῶν. οὐ γὰρ ἄωρος θάνατος μόνον, ἀλλὰ καὶ τὸ ἐν ἀκμῇ πάντας εἶναι· τὸ ἐναρέτους εἶναι καὶ φιλικούς· τὸ πάντας ὁμοῦ· τὸ * γενεᾶς εἶναι ἑκατέρας· τὸ μὴ τῷ κοινῷ νόμῳ τῆς φύσεως· τὸ μετὰ τοσαύτην ζημίαν· τὸ μηδὲν ἑαυτῷ συνειδότα τῶν πονηρῶν μηδὲ ἐκείνων ταῦτα παθεῖν· τούτων γὰρ ἕκαστον ἱκανὸν μὲν καὶ καθ' ἑαυτὸ θορυβῆσαι. ὅταν δὲ ὁμοῦ φαίνηται συντρέχοντα, ἐννόησον τῶν κυμάτων ὅσον τὸ ὕψος, ὅση τοῦ χειμῶνος ἡ ὑπερβολὴ καὶ τῆς ζάλης. θαυμαστὰ μὲν οὖν ταῦτα, καὶ ἁπλῶς ἀκουόμενα· ἂν δὲ μετ' ἀκριβείας ἐξετάσῃς αὐτά, τότε μειζόνως εἴσῃ τὸ θαῦμα. ἐννόησον γὰρ ὅτι οὐ τοὺς ἡμίσεις ἔλαβεν ὁ διάβολος, καὶ τοὺς ἡμίσεις ἀφῆκεν· ἀλλ' ὁλόκληρον ἐτρύγησε τὸν καρπόν, καὶ τὸ δένδρον οὐ κατέβαλε· πᾶσαν ἐπήγαγε τὴν θάλασσαν μετὰ τῶν κυμάτων, καὶ τὸ σκάφος οὐ κατεπόντισεν· ὅλην τὴν δύναμιν ἐκένωσε, καὶ τὸν πύργον οὐκ ἔσεισεν, ἀλλ' εἱστήκει πάντοθεν βαλλόμενος καὶ ἀκλινὴς μένων· καὶ νιφάδες ἐφέροντο βελῶν, καὶ οὐκ ἐπλήττετο, μᾶλλον δὲ ἐνέπιπτον μέν, οὐκ ἐτίτρωσκον δέ. ἐννόησον ὅσον ἐστὶ τοσούτους παῖδας ἀπολέσαι· τί γὰρ οὐκ ἦν ἱκανὸν δακρύων, οὐχὶ τὸ μετὰ τοσαύτας πληγὰς ἐσχάτην ἐπενεχθῆναι ταύτην; οὐχὶ τὸ φιλόστοργον εἶναι τὸν γεγεννηκότα; οὐ τὸ ποθεινοὺς εἶναι τοὺς ἀπελθόντας; ὅταν γὰρ πονηρούς τις ἀποβάλῃ παῖδας, δάκνεται μὲν τῷ πάθει, πλὴν οὐ μετὰ τοσαύτης τῆς σφοδρότητος· ἡ γὰρ πονηρία τῶν ἀπελθόντων, δριμυτέραν οὐκ ἀφίησι γενέσθαι τὴν λύπην. ὅταν δὲ καὶ ἐνάρετοι ὦσι, μόνιμον τὸ τραῦμα γίνεται, οὐχὶ τὸν ἀπὸ τῆς φύσεως μόνον ἐπιδεικνύμενον πόθον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς εὐλαβείας. πάλιν ὅταν κατὰ μέρος ἁρπάζωνται, ἔχει τινὰ παραμυθίαν τὸ πάθος· οἱ γὰρ ἐπιλειπόμενοι τὴν ἐπὶ τοῖς ἀπελθοῦσι συσκιάζουσιν ἀθυμίαν. ὅταν δὲ ὁλόκληρος ὁ χορὸς ἀπέλθῃ, πρὸς τίνα δυνήσεται ἰδεῖν ὁ πολύπαις, ἀθρόον ἄπαις γενόμενος; εἰ γὰρ ἐν τρισὶν ἢ πέντε ἡμέραις ἀπελθόντων τινῶν, αἱ γυναῖκες καὶ οἱ προσήκοντες ἅπαντες τοῦτο μάλιστα πάντων ὀλοφύρονται, ὅτι ταχέως καὶ ἐξαίφνης ἀνηρπάγη τῆς ἐκείνων ὄψεως ὁ τετελευτηκώς, πολλῷ μᾶλλον οὗτος ἂν ἤλγησεν, οὐκ ἐν ἡμέραις τρισὶ καὶ δυσὶ καὶ μιᾷ, ἀλλ' ἐν ὥρᾳ μιᾷ ἅπαντας ἀφαιρεθείς. τὸ γὰρ μελετηθὲν χρόνῳ δεινόν, κἂν σφόδρα ἀφόρητον ᾖ, τῇ προσδοκίᾳ κοῦφον ἂν γένοιτο ῥᾳδίως. τὸ δὲ παρ' ἐλπίδα συμβὰν καὶ ἐξαίφνης, κἂν φύσει κοῦφον ᾖ, τὸ παρ' ἐλπίδα συμβῆναι καὶ ἐξαίφνης, ἀφόρητον γίνεται. ὅταν οὖν τι καὶ καθ' ἑαυτὸ χαλεπὸν ᾖ, καὶ τὸ ἐκ τοῦ παρ' ἐλπίδα συμβῆναι λάβῃ προσθήκην, ἐννόησον πῶς ἀφόρητον γίνεται καὶ πάντα ὑπερβαίνει λόγον. οὐδὲ γὰρ ἐπὶ κλίνης εἶδεν αὐτοὺς ἀποπνέοντας καὶ ψυχορραγοῦντας, ἀλλὰ τῇ οἰκίᾳ καταχωσθέντας ἅπαντας. ἐννόησον τοίνυν, τίς ἄρα ἦν ἀνορύττων ἐκεῖνο τὸ χῶμα· καὶ νῦν μὲν λίθον, νῦν δὲ μέλος ἀνέλκων παιδός, καὶ χεῖρα ἰδὼν ἔτι φιάλην κατέχουσαν, καὶ δεξιὰν ἑτέραν ἀνακλινομένην τῷ πίνακι, καὶ αὐτὸν τοῦ σώματος διεφθαρμένον τὸν τύπον· ῥινὸς συντεθλασμένης, κεφαλῆς διακλασθείσης, ὀφθαλμῶν ἀφανισθέντων, ἐγκεφάλου διεσπαρμένου, πάσης ἁπλῶς μορφῆς διεφθαρμένης, καὶ τῆς τῶν τραυμάτων ποικιλίας οὐκ ἀφιείσης τὸν πατέρα τὸν ποθουμένων ὄψεων ἐπιγνῶναι τὸν τύπον. συνεχύθητε ταῦτα ἀκούοντες καὶ δακρύετε. ἐννοήσατε τοίνυν τίς ἦν ἐκεῖνος ταῦτα ὁρῶν. εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον χρόνον οὐ δυνάμεθα ἀδακρυτὶ τῆς τραγῳδίας ἐκείνης τὴν ἀκοὴν ἐνεγκεῖν, καὶ ταῦτα ἀλλοτρίας ἀκούοντες συμφοράς, τίς ἦν ὁ ἀδάμας ἐκεῖνος, θέᾳ ταῦτα παραλαμβάνων, οὐκ

ἐκ

Digitized by Google

ἐν ἀλλοτρίοις, ἀλλ' ἐν οἰκείοις φιλοσοφῶν κακοῖς; οὐδὲ γὰρ ἀπεδυσπέ- A
τησεν, οὐδὲ εἶπεν, τί ποτε τοῦτό ἐστιν; αὕτη μοι τῆς φιλοφροσύνης ἡ ἀ-
μοιβή; διὰ τοῦτο τοῖς ξένοις ἀνέῳξα τὴν οἰκίαν, ἵνα τάφον τῶν παίδων
γινομένην αὐτὴν ἐπίδω; διὰ τοῦτο πᾶσαν περὶ αὐτοὺς ἀρετὴν ἐπε-
δειξάμην, ἵνα τοιοῦτον ὑπομείνωσι θάνατον; οὐκ εἶπε τούτων οὐδὲν,
οὐκ ἐνενόησεν, ἀλλ' ἔφερε πάντα γενναίως, καὶ μετὰ τοσαύτην ἐπιμέ-
λειαν αὐτῶν ἀφαιρεθείς. ἆρ' οὖν ταῦτα μόνον αὐτῷ συνέβη τὰ δεινά; ἡ
δὲ τῶν φίλων ἐγκατάλειψις καὶ προδοσία, τὰ δὲ σκώμματα καὶ αἱ λοιδο- B
ρίαι, ἡ δὲ χλευασία καὶ ὁ γέλως, τὸ δὲ ὑπὸ πάντων διασύρεσθαι, ἆρα
φορητὰ ταῦτα καὶ παραμυθίας ἄξια; ταῦτά γε οὐδὲ ἀκοῦσαι φορητά,
μήτι γε διὰ τῶν πραγμάτων αὐτῶν ὑπομεῖναι· οὐδὲ γὰρ οὕτως ἡ τῶν
συμφορῶν φύσις, ὡς οἱ παρὰ τὰς συμφορὰς ἡμῖν ὀνειδίζοντες, δά-
κνειν εἰώθασιν ἡμῶν τὴν ψυχήν. θέα μοι κἀντεῦθεν λοιπὸν τὸ ἐπιει-
κὲς καὶ φιλόθεον τῆς γενναίας ἐκείνης καὶ ἀδαμαντίνης ψυχῆς. ἐπειδὴ γὰρ
ἑαυτὸν μὲν ἐν τοῖς ἐσχάτοις ὄντα εἶδε κακοῖς, τὸν πᾶσαν ἐπελθόντα ἀρετὴν, C
πονηροὺς δὲ ἀνθρώπους καὶ γόητας εὐημεροῦντας, οὐκ εἶπεν οὐδὲν τοιοῦ-
τον, οἷον εἰκός τινας τῶν ἀσθενεστέρων εἰπεῖν· ἐπὶ τούτοις ἔθρεψα τοὺς
παῖδας, καὶ μετὰ ἀκριβείας ἤσκησα πάσης; ἐπὶ τούτοις ἀνέῳξά μου
τὴν οἰκίαν τοῖς παριοῦσιν, ἵνα μετὰ τοὺς πολλοὺς δρόμους ἐκείνους τοὺς
ὑπὲρ τῶν δεομένων, τοὺς ὑπὲρ τῶν ὀρφανῶν, ταύτας ἀπολαύω τὰς ἀμοι-
βάς; ἀλλ' ἀντὶ τούτων τὰ πάσης θυσίας κρείττονα ῥήματα ἀνήνεγ-
κεν, ἐκεῖνα εἰπών· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. εἰ δὲ δι- D
έρρηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, μὴ θαυμάσῃς· πατὴρ
γὰρ ἦν καὶ πατὴρ φιλόστοργος, καὶ ἔδει δειχθῆναι καὶ τὴν τῆς φύσεως συμ-
πάθειαν, καὶ τὴν τῆς γνώμης φιλοσοφίαν· εἰ γὰρ μηδὲ τοῦτο ἐποίησε, τά-
χα ἄν τις καὶ ἀναισθησίας ἐνόμισε τὴν φιλοσοφίαν ταύτην. καὶ σὺ τοί-
νυν ὅταν χρήματα ἀπολέσῃς καὶ μὴ δυσχεράνῃς, ἀλλὰ γενναίως
ἐνεγκὼν εὐχαριστήσῃς τῷ Θεῷ, καὶ τὰ τοῦ Ἰὼβ ἀποφθέγξῃ ῥήματα·
ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, κέρδος τὴν ζημίαν διὰ τούτων E
ἐποίησας. τί λέγεις· ὁ Κύριος ἀφείλετο; ὁ κλέπτης ἀφείλετο, καὶ πῶς
δυνήσομαι εἰπεῖν ὁ Κύριος ἀφείλετο; μὴ θαυμάσῃς· καὶ γὰρ ὁ Ἰὼβ, ἃ
ὁ διάβολος ἔλαβε, ταῦτα ἔφησεν ὅτι ὁ Κύριος ἀφείλετο· καὶ πῶς ἃ ὁ
κλέπτης ἔλαβε; σὺ οὐκ ἐρεῖς ὅτι ὁ Κύριος ἀφείλετο; μὴ γὰρ εἴπῃς,
οὐκ ἔχω χάριν· οὐκ ἐμῆς γνώμης τὸ πρᾶγμα ἦν· οὐκ εἰδότος οὐδὲ
βουλομένου ὁ λῃστὴς ἔλαβε· ποῖος ἔσται μοι μισθός; οὐδὲ γὰρ τοῦ Ἰὼβ εἰδό-
τος, οὐδὲ βουλομένου ταῦτα ἐγένετο. πῶς γάρ; ἀλλ' ὅμως οὐκ ἔλαττον A
ἔχει τῶν ἐλεημοσύνην δόντων ἐκεῖνος, ὁ μὴ δοὺς τότε. ἂν δὲ καὶ πρὸς
μάντιν σε παραινέσωσί τινες ἀπελθεῖν, σὺ δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον,
ἐπειδὴ κεκώλυται, ἕλῃ μᾶλλον μὴ λαβεῖν τὰ χρήματα ἢ παροξῦ-
σαι τὸν Θεὸν, ἴσον ἔχεις τὸν μισθὸν, τῶν εἰς πένητας αὐτὰ διδόντων· ὅτι
ἀπολέσας ηὐχαρίστησας, καὶ δυνάμενος πρὸς μάντεις ἀπελθεῖν,
ἠνέσχου μὴ λαβεῖν αὐτὰ μᾶλλον, ἢ οὕτω λαβεῖν. καθάπερ γὰρ ἐκεῖνος
διὰ τὸν τοῦ Θεοῦ φόβον εἰς τοὺς δεομένους ἐκένωσεν, οὕτω καὶ σὺ διὰ τὸν τοῦ B
Θεοῦ φόβον, ἁρπασάντων ἐκείνων, οὐκ ἀνέλαβες. ἀπεστέρησέ σε χρη-
μάτων ἐκεῖνος; σὺ σαυτὸν μὴ ἀποστερήσῃς τῆς σωτηρίας. ἀλγῶν γὰρ
ἐφ' οἷς παρ' ἑτέρων κακὸν ἔπαθες, αὐτὸς πλείοσι σαυτὸν περιβάλ-
λεις κακοῖς. ἐκεῖνός σε ἴσως πενίᾳ περιέβαλε· σὺ δὲ σαυτὸν ἐν ταῖς
καιρίαις καταβλάπτεις κακούργως. ἐκεῖνος ἀπεστέρησέ σε τὰ ἐκ-
τὸς ὄντα, καὶ ὕστερον καὶ ἄκοντός σου ἀποπηδήσοντα· σὺ δὲ τὸν αἰώνιον
πλοῦτον σαυτὸν ἀφαιρῇ. ἐλύπησέ σε ὁ διάβολος ἀφελόμενος τὰ C
χρήματα· λύπησον αὐτὸν καὶ σὺ εὐχαριστήσας, καὶ μὴ εὐφράνῃς.
ἂν πρὸς μάντεις ἀπέλθῃς, εὔφρανας· ἂν εὐχαριστήσῃς τῷ Θεῷ,
καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. καὶ ὅρα τί γίνεται· οὔτε αὐτὰ εὑρή-
σεις, ἀπελθὼν πρὸς τοὺς μάντεις· οὐ γάρ ἐστιν ἐκείνων εἰδέναι. εἰ δέ
που καὶ εἴπωσιν ἐπιτυχόντες, καὶ τὴν ψυχὴν προσαπολλύεις, καὶ ὑπὸ τῶν
ἀδελφῶν καταγελασθήσῃ τῶν σῶν, καὶ πάλιν αὐτὰ κακῶς ἀπολεῖς.
ὁ γὰρ δαίμων εἰδὼς ὅτι ζημίαν οὐ φέρεις, ἀλλὰ ὑπὲρ τούτων καὶ τὸν Θεόν D
σου ἀρνῇ, πάλιν χρήματα δίδωσιν, ἵνα ἀφορμὴν ἔχῃ τοῦ πάλιν σε ἀπα-
τῆσαι καὶ ἀποσπάσαι. καὶ καθάπερ ἐκεῖνα τοῖς ἐχθροῖς διατιθέμεθα,
οἷς λυποῦμεν αὐτούς· ἂν δὲ ἴδωμεν ὅτι οὐκ ἀλγοῦσιν, ἀφιστάμεθα λοι-
πὸν, ὡς οὐκ ἔχοντες αὐτοὺς δακεῖν· οὕτω καὶ ὁ διάβολος, ἂν ἴδῃ καταγε-
γελῶντα καὶ καταφρονοῦντα τῆς αὐτοῦ ἐγχειρήσεως, ἀποστήσεται τῆς τοι-
αύτης ὁδοῦ, προσεγγίζων οὐκέτι. ἔξεστιν οὖν σοι ταῦτα ὑπομένοντα
τοσοῦτον λαβεῖν μισθὸν, ὅσον ἂν ἔρριψας αὐτά. καὶ εἰκότως τοῦτον E
μᾶλλον θαυμάζομεν, τὸν ἐπηρείας εὐχαρίστως φέροντα, ἢ τὸν
ἑκόντα διδόντα. τί δήποτε; ὅτι ἐκεῖνος μὲν τοῖς ἐπαίνοις τρέφεται
καὶ τῷ συνειδότι, καὶ χρηστὰς ἔχει τὰς ἐλπίδας, καὶ πρότερον γενναί-
ως ἐνεγκὼν τὴν στέρησιν τῶν χρημάτων, τότε αὐτὰ ἔρριψεν· οὗτος
δὲ ἔτι προσδεδεμένος ἀφῃρέθη βίᾳ. οὐκ ἔστι δὲ ἴσον, πρότερον πει-
σθέντα ἀποστῆναι χρημάτων, οὕτως αὐτὰ κινῆσαι, καὶ ἔτι αὐτῶν πο-
θοῦντα ἀποστερηθῆναι· οὐδὲ πάλιν ἐν πολλῷ χρόνῳ μελετῆσαι καταφρονῆσαι χρημάτων, καὶ ἀθρόον ζημίαν συμβᾶσαν ὑπενεγκεῖν.

A nec in alienis, ſed in propriis philoſophatus malis? Neque e-
nim indignè tulit, neque dixit, Quidnam hoc eſt? ea eſt beni-
gnitatis & hoſpitalitatis merces? Ideone advenis domum ape-
rui, ut eam liberorum viderem ſepulturam? an idcirco omnem
circa illos virtutis modum oſtendi, ut talem ſubirent mortem?
Nihil horum dixit, neque cogitavit; ſed poſt tantam etiam cu-
ram ipſis orbatus, fortiter omnia ferebat. An igitur hæc ſo-
lum illi mala contigerunt? amicorum verò deſertio & prodi-
B tio, cavillationes item & calumniæ, ſubſannatio & deriſio, &
à cunctis lacerari, tolerabilia ne hæc & ſolatio digna? Hæc
ſanè ne auditu quidem, nedum rebus ipſis ferenda. Neque e-
nim ita calamitatum natura, ſicuti qui inter calamitates nobis
improperant, animum noſtrum mordere conſueverunt. Re-
ſpice mihi conſequenter vel hoc in loco, manſuetudinem & in
Deum amorem ſtrenuæ illius & adamantinæ animæ. Cùm enim
ſemetipſum extremis malis implicitum videret, qui totius vir-
C tutis ſummam impleverat: improbos verò homines & vene-
ficos vitam jucundam agentes, nihil ejuſmodi dixit, quale ve-
riſimile eſt infirmiorum quoſdam dicere? Ad hæc filios educa-
vi, & omni diligentia inſtitui? ad hæc domum meam peregri- *Ex interpr.*
nis aperui, ut poſt multos illos curſus pro egenis ſuſceptis & *ep. ad Eph.*
pro orphanis, ejuſmodi accipiam retributiones? Sed horum
loco, omni ſacrificio præſtantiora illa verba protulit, dicens:
Dominus dedit, Dominus abſtulit. Si autem veſtimenta ſcidit, *Ex interpr.*
D comamque totondit, ne mireris: Pater enim erat, & pius pa- *ep. 1 ad*
ter: & oſtendere tam naturalem condolentiam, quàm mentis *Theſſ.*
Philoſophiam debebat: ſi enim nec hoc feciſſet, inſenſibilem
ac ſtupidam fortè quis putaſſet hanc Philoſophiam. Et tu igi-
tur, ſi pecuniam amiſeris, neque indignè tuleris, ſed fortiter
ferens, Deo gratias egeris, & illa Jobi verba dixeris: Dominus
dedit, Dominus abſtulit; lucrum, per hæc, ex damno feceris.
Quid dicis? Dominus abſtulit? fur abſtulit, & qua ratione di-
E cere poſſum, Dominus abſtulit? Ne mireris: etenim Job, quæ
diabolus rapuit, eadem Dominum abſtuliſſe dicit: & quomo-
do, quæ fur ſurripuit, tu Dominum non dicis abſtuliſſe? Ne e-
nim dixeris, non habeo gratiam: non ex mea mente hoc erat:
ne me ſciente aut volente, latro rapuit: quæ mihi merces erit?
nec enim ſciente nec volente Job iſta facta ſunt. Quomodo e-
nim? Sed tamen non minus habet, quàm qui eleemoſynam
dant, ille qui tunc non dat. Si verò etiam ad vatem abire te ali-
A qui fuerint hortati, tu verò propter Dei timorem, quoniam
prohibitum eſt, magis eligas pecuniam non recipere, quàm
Deo adverſari; æqualem mercedem habes iis, qui eas pauperi-
bus dederunt: quoniam ea amiſſa gratias egiſti, & cùm ad vates
abire poſſes, potiùs non habere ſuſtinebas, quàm hac ratione
recipere: Quemadmodum enim ille ob Dei timorem in paupe-
res erogavit; ſic tu quoq; Dei timore, poſtquam illi rapuiſſent,
non recepiſti. Privavit te ille pecuniis? tu teipſum ſalute mini-
B mè privaveris. Dolens enim ob ea, quæ ab aliis paſſus es mala,
ipſe pluribus teipſum malis implicabis. Ille te in paupertatem
fortè conjecit: tu verò teipſum funeſtis malis ſceleratè afficis.
Ille exterioribus te bonis privavit, quæ poſt, etiam te invito exi-
lient; tu verò æternis teipſum divitiis ſpolias. Mœrore te dia-
bolus affecit, pecuniam auferens: affice tu quoque hunc, gratias
Deo agendo, & minimè delectes. Si ad vates abieris, lætum red-
C dideris: ſi gratias Deo egeris, lethalem ei plagam intuleris. Et vi-
de quid fiat: neque pecuniam invenies, ſi ad vates abieris; non e-
nim illorum eſt ſcire, quod ſi aliquando dixerint, rem quomo-
documq; attingentes, & animam perdes, & à fratribus tuis deri-
deberis, & eam denuò malè amittes. Nam dæmon ſciens, te
damni impatientem eſſe, & propter hæc Deum tuum negare,
iterum pecuniam ſuppeditat, ut occaſionem habeat iterum te
decipiendi & abducendi. Et quemadmodum nos adverſus ho-
D ſtes illa præparamus, quibus dolore eos afficiamus: ſi verò
eos minùs dolere viderimus, deſiſtimus porrò, tanquam non
habentes, quo mordere ipſos poſſimus; Ita diabolus quoque,
ſi viderit deridentem te & deſpicientem ſuos conatus, ab
hac via recedet, non jam ulteriùs appropinquans. Licet er-
go tibi hæc ſufferenti, tantam mercedem accipere, quantam,
ſi pecuniam projeciſſes. Ac non immeritò hunc magis mi-
ramur, qui cum gratiarum actione tentationes ſuffert, quàm
qui ultro dat. Quid enim quod hic quidem laudibus nutri-
E tur & conſcientia, bonáſque habet ſpes; & primò fortiter fe-
rens pecuniæ jacturam, poſtea eandem abjecit; ille verò ad-
huc ei inhærens, violenter ea ſpoliatus eſt? Neque verò æqua-
le eſt, eum, qui priùs paratus & perſuaſus erat à pecunia rece-
dere, ita eam amovere, atque eum, qui amore ejus adhuc tene-
tur, privari: neque iterum, multo tempore pecuniæ contem-
ptum cogitaſſe, ut repentè contingens damnum tolerare poſſe.

Ex Orat. ad Stagirium.

Qui enim paratus ad calamitates fuerit, facilè eas invadentes tulerit: qui verò ſupinus eſt, curaſque tollit & cogitationes, ſi tale quid, quale prius, eveniat, dupliciter conturbatur, victúſque facilis efficitur; tum quòd inexſpectatum ſit; tum quòd omnem ſolicitudinem, & ad res adverſas præparationem abjecerit. Non parum autem ad dolorem intereſt, ſed etiam omnibus eſt intolerabilius, ſi quis liberatum ſe, & malum jam finem accipere putans, curâque & cogitatione omni depoſita; aliud denuo principium malorum inveniat. Quare enim uxorem Job cum liberis non extinxit diabolus? Quia videbat multum eam ſibi conferre ad illius inſidias. Si enim paradiſo, inquit, per mulierem Adamum ejeci, multo magis in ſterquilinio Job ſubvertere potero. Et vide mihi malitiam. non enim bobus pereuntibus, neque aſinis, neque camelis, neque domo dejectâ, neque filiis ruinâ oppreſſis, hanc machinam adhibuit: ſed eouſque tacet, & quieſcere ſinit, athletam videns. Cùm autem vermium fons erumperet, pelliſque putrefacta deflueret, & carnes conſumptæ ſaniem facerent, multo plenam fœtore; eúmque ſartagine & fornace, omnique flamma acerbior diaboli manus eum accederet, quavis bellua truculentius undique corpus perrodens & conſumens; multúmque in tali calamitate tranſiret temporis; ac propterea ſitienter expetentem liberationem & mori deſiderantem videret, utpote qui reſpirare non poſſet, (ait enim, ſi poſſem meipſum ulciſci, aut rogare alterum ut hoc faceret) tunc ipſam adducit, & ait: Quouſque ſuſtines dicens, *Ecce expecto tempus adhuc modicum, præſtolans ſpem ſalutis meæ?* Etenim turbantem ille ſemper conſolans & repellens, talia loquebatur: Paululum adhuc expecta, & ſtatim horum finis erit. Improperans igitur ei dicit; adhuc ipſum dicis? multum enim jam temporis præteriit, & nondum horum videtur finis: Periit autem tua memoria de terra, filii tui & filiæ tuæ, uteri mei partus, & labores, quibus cum moleſtia in vanum laboravi: atque ergo errabunda & ſerva, locum ex loco, domum ex domo peto: neque enim mendico ſolùm, ſed & vaga oberro, & ſervitio novo ac inconſueto ſervio, ubique circumiens, pignúſque calamitatis mecum ferens, & omnes mala mea edocens. Et quod omnium eſt miſerrimum, ſolis occaſum præſtolor, ut ſic ab ærumnis & continuis doloribus, qui me circundant, quieſcam. Sed dic verbum aliquod ad Dominum, & morere. Quid igitur beatus hic & adamante durior, amarè in eam reſpiciens? O mentem caſtam & moderatam! antequam vocem emittat, ab ipſo aſpectu machinamenta repulit. Illa quidem arbitrata eſt ſe lacrymarum moviſſe fontes: hic verò leone validior eſt factus: furoréque plenus atque indignatione, ait: Quare, ſicut una de ſtultis mulieribus locuta es? *Si bona ſuſcepimus de manu Domini, mala quare non ſuſtineamus?* Pro quibus enim illa nobis dedit Deus? quam ei ſolvis mercedem? nullam: ſed ex mera bonitate & clementia. Nudus enim egreſſus ſum, ait, de utero matris meæ, & nudus revertar illuc. Fingite igitur vobis ipſi dimicatorem illum, & videre vos putate illum fimum, ipſúmque in medio fimo ſedentem, auream illam ſtatuam, gemmis diſtinctam? illum, quem, quomodo appellem, neſcio. Non enim tam pretioſam invenire materiam poſſum, cui cruentatum illud corpus comparare queam: adeò omni pretioſa materia, ſupra modum, carnis illius natura clarior apparebat, & vulnera radiis ſolaribus ſplendidiora. Hi ſiquidem corporis illuminant oculos; illa verò oculos mentis noſtræ illuſtrant. Quis vidit, quis audivit tales támque admirandas luctas? Nam exteriorum certaminum pugiles, cùm adverſariorum capita amputaverint, tunc demum vincunt & coronantur: hic autem cùm juſti corpus dejecit, tunc victus fuit & receſſit. Quid factum eſt, o diabole? quamobrem diſcedis? nonne omnia facta ſunt quæ voluiſti? nonne gregem ipſius occidiſti? nonne boum & equorum & mulorum armenta? nonne chorum illum liberorum perdidiſti, & univerſam carnem concidiſti. Qua igitur de cauſa diſceſſiſti? Quoniam, inquit, quæ volui, facta quidem ſunt: quod verò maximè factum volui, & propter quod omnia feci, id factum non eſt: Nec enim Deo maledixit. Hujus enim gratia omnia illa faciebam, inquit, ut hoc prodiret. Quia autem hoc factum non eſt, nihil amplius mihi ex bonorum jactura, ex liberorum internecione, & corporis plaga acceſſit: ſed contrarium illius quod ego volebam, evenit. Clariorem feci inimicum, illuſtriorem adverſarium reddidi. Cognoviſti quantum tribulationis lucrum fuerit? Pulchrum quidem erat & ſanum corpus: multo verò auguſtius evaſit, ubi vulneribus illis

Iob.

ὁ μὲν γὰρ ἔτι παρεσκευασμένος πρὸς τὰ δεινά, ῥᾷον ἂν οἴσῃ τῶν τούτων ἐπαγωγήν· ὁ δὲ ἀναπεσὼν καὶ τὴν φροντίδα ἀπολέσας τοὺς λογισμούς, ἂν συμβῇ τι τοιοῦτον οἷον καὶ πρότερον, διπλῆ ταράττεται καὶ εὐχείρωτος γίνεται, τῷ τε ἀπροσδοκήτῳ, καὶ τῷ διαλελυκέναι τὴν σπουδὴν ἅπασαν αὐτοῦ, καὶ τὴν πρὸς ἐκεῖνα παρασκευήν. οὐ μικρὸν δὲ εἰς ὀδύνης λόγον, ἀλλὰ καὶ πάντων ἀφορητότερον, ἑαυτὸν ἀπηλλάχθαι νομίσαντα, καὶ πρὸς τὸ τέλος ἥκειν αὐτό, καὶ φροντίδα καὶ μέριμναν ἅπασαν ἀποθέμενον, πάλιν ἄνωθεν ἀρχὴν ἑτέραν εὑρεῖν τῶν δυσχερῶν. διὰ τί γὰρ τὴν γυναῖκα τοῦ Ἰὼβ μετὰ τῶν τέκνων οὐκ ἠφάνισεν ὁ διάβολος; ἐπειδὴ ᾔδει μεγάλα αὐτῷ συντελοῦσαν πρὸς τὴν ἐπιβουλὴν ἐκείνην. εἰ γὰρ παραδείσου, φησί, δι' αὐτῆς ἐξέβαλον τὸν Ἀδάμ, πολλῷ μᾶλλον ἐπὶ κοπρίας ὑποσκελίσαι δυνήσομαι τὸν Ἰώβ. καὶ θέα τὴν κακουργίαν· οὐδὲ γὰρ τῶν βοῶν ἀπολλυμένων προσήγαγε τὸ μηχάνημα τοῦτο, οὐδὲ τῶν ὄνων, οὐδὲ τῶν καμήλων, οὐδὲ τῆς οἰκίας κατενεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων· ἀλλὰ σιγᾷ τέως, καὶ ἡσυχάζειν ἐᾷ, τὸν ἀθλητὴν ὁρῶν. ὅτε δὲ τῶν σκωλήκων ἀνέβλυσεν ἡ πηγή, καὶ σηπόμενον τὸ δέρμα κατέρρει, καὶ δαπανώμεναι αἱ σάρκες ἰχῶρα πολλῆς γέμοντα δυσωδίας ἐποίουν· καὶ τηγάνου καὶ καμίνου καὶ πάσης φλογὸς ὀδυνηρότερον αὐτὸν ἡ διαβόλου κατηνάλισκε χείρ, θηρίου παντὸς χαλεπώτερον διατρώγουσα πάντοθεν καὶ κατεσθίουσα τὸ σῶμα, καὶ πολὺς ἐν τῇ τοιαύτῃ συμφορᾷ παρῆλθεν ὁ χρόνος, καὶ διὰ ταῦτα αὐτὸν εἶδε διψῶντα ἀπαλλαγῆς καὶ ἀποθανεῖν ἐπιθυμοῦντα, ὡς οὐδὲ ἀναπνεῖν δυνάμενον· [εἰ γὰρ δυναίμην, φησί, ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθῆναι ἑτέρου, καὶ ποιήσει μοι τοῦτο] τότε αὐτὴν προσάγει, καί φησι· μέχρι τίνος καρτερεῖς λέγων, ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρόν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου. καὶ γὰρ ἐκεῖνος ἐνοχλοῦσαν ἀεὶ παραμυθούμενος καὶ διακρουόμενος, τοιαῦτα ἐφθέγγετο· ἀνάμεινον ἔτι μικρόν, καὶ ταχέως ἔσται τούτων τὸ τέλος. ὀνειδίζουσα τοίνυν αὐτῷ, φησί· μὴ καὶ αὐτὸ ἐρεῖς; πολὺς γὰρ ἤδη χρόνος παρέδραμε, καὶ τέλος τούτων οὐκ ἐφάνη· ἀπώλετο δέ σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς, οἱ υἱοί σου, καὶ αἱ θυγατέρες σου, τῆς ἐμῆς κοιλίας ὠδῖνες, καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων, κἀγὼ πλανῆτις καὶ λάτρις τόπον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας περιερχομένη· οὐδὲ γὰρ προσαιτῶ μόνον, ἀλλὰ καὶ πλανῶμαι, καὶ δουλεύω δουλείαν ξένην καὶ καινήν, πανταχοῦ περιοῦσα καὶ τὰ σύμβολα τῆς συμφορᾶς περιφέρουσα, καὶ πάντας διδάσκουσα τὰ ἐμὰ κακά. καὶ ὃ πάντων ἐστὶν ἐλεεινότερον, προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ ἀναπαύσομαι τῶν μόχθων μου, καὶ τῶν περιεχουσῶν με ὀδυνῶν, αἵ με νῦν συνέχουσιν. ἀλλ' εἰπὼν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. τί οὖν ὁ μακάριος οὗτος καὶ ἀδάμαντος στερρότερος, βλέψας εἰς αὐτὴν πικρῶς; ὢ διανοίας σώφρονος καὶ μετρίας· καὶ πρὸ τῆς φωνῆς, ἀπὸ τῆς ὄψεως διεκρούσατο τὰ μηχανήματα. ἐκείνη μὲν γὰρ προσεδόκησε δακρύων κινῆσαι πηγάς· οὗτος δὲ λέοντος φοβερώτερος γέγονε, θυμοῦ πληρωθεὶς καὶ ἀγανακτήσεως· καί φησιν· ἵνα τί ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀντὶ τίνων γὰρ ἐκεῖνα ἡμῖν ἔδωκεν ὁ Θεός; ποίαν ἐκείνοις ἀμοιβήν; οὐδεμίαν· ἀλλ' ἐξ ἀγαθότητος μόνης καὶ φιλανθρωπίας. γυμνὸς γὰρ ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι, φησίν. ὑπογράψατε τοίνυν τὸν ἀθλητὴν καὶ ὑμεῖς ἑαυτοῖς, καὶ νομίσατε βλέπειν τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν ἐν μέσῃ τῇ κοπρίᾳ καθήμενον, τὸν ἀνδριάντα τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν πῶς εἴπω οὐκ οἶδα. οὐδὲ γὰρ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ᾗ δυνηθείην παραβαλεῖν ἡμαγμένον ἐκεῖνο σῶμα· οὕτω πάσης ὕλης τιμίας ἐκ πολλοῦ τοῦ περιόντος τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἐδείκνυτο λαμπροτέρα, καὶ τὰ τραύματα τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα. αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις· ἐκεῖνα δὲ τῆς διανοίας ἡμῶν φωτίζουσι τὰ ὄμματα. τίς εἶδε, τίς ἤκουσε τοιαῦτα θαυμαστὰ παλαίσματα; οἱ γὰρ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν καρακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται· οὗτος δὲ ὅτε κατέβαλε τὸ σῶμα τοῦ δικαίου, τότε ἐνικήθη καὶ ἀνεχώρησε. τί γέγονεν ὦ διάβολε; τίνος ἕνεκεν ἀναχωρεῖς; οὐκ ἐγένετο πάντα ὅσα ἠθέλησας; οὐκ ἀπώλεσας αὐτοῦ τὰ ποίμνια; τὰ βουκόλια, τὰς ἀγέλας τῶν ἵππων, τῶν ἡμιόνων; οὐχὶ καὶ τὸν χορὸν τῶν παίδων ἀπώλεσας, καὶ τὴν σάρκα ἅπασαν κατέκοψας; τίνος ἕνεκεν ἀνεχώρησας; ὅτι ἐγένετο μὲν ὅσα ἠθέλησα, φησίν· ὃ δὲ γενέσθαι μάλιστα ἐβουλόμην, καὶ δι' ὃ πάντα ἐποίησα, τοῦτο οὐκ ἐγένετο. οὐδὲ γὰρ ἐβλασφήμησε. διὰ γὰρ τοῦτο πάντα ἐκεῖνα ἐποίουν, φησίν, ἵνα τοῦτο ἐξέλθῃ· τούτου δὲ μὴ γενομένου, οὐδέν μοι πλέον ἀπὸ τῆς ζημίας τῶν χρημάτων ἐγένετο, καὶ τῆς τῶν παίδων ἀπωλείας, καὶ τῆς τοῦ σώματος πληγῆς· ἀλλὰ τοὐναντίον ὅπερ οὐκ ἐβουλόμην, ἐξέβη. λαμπρότερον ἐποίησα τὸν ἐχθρόν, φαιδρότερον εἰργασάμην τὸν ἀντίδικον. εἶδες ὅσον τῆς θλίψεως τὸ κέρδος ἐγένετο; καλὸν μὲν γὰρ τὸ σῶμα καὶ ὑγιαῖνον ἦν· πολλῷ δὲ σεμνότερον γέγονε κατατμηθὲν ὑπὸ

τῶν

τῶν τραυμάτων ἐκείνων. ἐπεὶ καὶ ἔρια καλὰ μέν ἐστι καὶ πρὸ τῆς βαφῆς· ἐπειδὰν δὲ πορφύρα γένηται, ἄφατον προσλαμβάνει τὸ κάλλος, καὶ πολλὴν τὴν εὐπρέπειαν. εἰ γὰρ μὴ ἀπέδυσεν αὐτὸν, οὐκ ἂν ἔγνωμεν τοῦ στεφανίτου τὴν εὐεξίαν. εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς πληγαῖς, οὐκ ἂν ἀντέλαμψαν ἔνδοθεν αἱ ἀκτῖνες. εἰ μὴ ἐκάθισεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἂν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον. οὐδὲ γὰρ οὕτω λαμπρὸς βασιλεὺς ἐπὶ θρόνου καθήμενος, ὡς ἐκεῖνος τότε ἐπὶ τῆς κοπρίας καθήμενος ἐπίσημος ἦν καὶ περιφανής. μετὰ γὰρ τὸν βασιλικὸν θρόνον, θάνατος· μετὰ δὲ τὴν κοπρίαν ἐκείνην, ἡ τῶν οὐρανῶν βασιλεία. διὰ γὰρ τοῦτο τὴν οὐσίαν αὐτοῦ ἐσύλα ὁ διάβολος, οὐχ ἵνα πένητα ποιήσῃ, ἀλλ' ἵνα βλάσφημόν τι ῥῆμα ἐκβαλεῖν δυνηθῇ. καὶ τὸ σῶμα κατέτεμεν, οὐχ ἵνα ἀρρωστίᾳ περιβάλῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ τὴν ψυχὴν τῆς ἀρετῆς. ἀλλ' ὅμως πάντα αὐτοῦ κινήσας τὰ μηχανήματα, καὶ πένητα ἀντὶ πλουτοῦντος ποιήσας [ὃ δὴ τοῖς πᾶσιν ἡμῖν φρικωδέστατον εἶναι δοκεῖ, καὶ ἀντὶ πολυπαίδος ἄπαιδα] καὶ καταξάνας αὐτοῦ τὸ σῶμα ἅπαν τῶν ἐν δικαστηρίοις δημίων χαλεπώτερον (οὐ γὰρ οὕτω διορύττουσιν ἐκείνων ὄνυχες τὰς πλευρὰς τῶν ἐμπιπτόντων αὐτοῖς, ὡς κατέξανον αὐτοῦ τὸ σῶμα τῶν σκωλήκων τὰ στόματα) καὶ οὐχὶ τῆς πόλεως ἐκβαλὼν μόνον, οὐδὲ τῆς οἰκίας, καὶ εἰς ἄλλην μεταστήσας πόλιν, ἀλλὰ τὴν κοπρίαν αὐτῷ καὶ οἰκίαν καὶ πόλιν καταστήσας, οὐ μόνον οὐδὲν αὐτὸν ἐλυμήνατο, ἀλλὰ καὶ λαμπρότερον δι' ὧν ἐπεβούλευσεν, ἀπέφηνε. καὶ σὺ τοίνυν ἂν ἀφέληταί σου τὰ χρήματα, καὶ γενναίως ἐνέγκῃς, τοῖς εἰς τοὺς πένητας πάντα δεδαπανηκόσι τὸν αὐτὸν λήψῃ μισθόν. ὥσπερ γὰρ σπουδάζοντες, καὶ ἀπὸ τῶν λυπούντων κερδαίνομεν, οὕτω ῥᾳθυμοῦντες οὐδὲ ἀπὸ τῶν ὠφελούντων ἀμείνους γινόμεθα. εἰ γὰρ ὁ Ἰὼβ τοσαῦτα παθὼν οὐδὲν ἠδίκηται, καὶ παθὼν οὐ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ τοῦ πάντων ἀνθρώπων πονηροῦ πονηροτέρου δαίμονος, τίς ἕξει λοιπὸν ἀπολογίαν τῶν λεγόντων· ὁ δεῖνά με ἠδίκησε καὶ παρέβλαψεν; εἰ γὰρ ὁ διάβολος ὁ τοσαύτης γέμων κακίας πάντα αὐτοῦ κινήσας τὰ ὄργανα, καὶ πάντα ἀφεὶς τὰ βέλη, καὶ ὅσα ἦν ἐν ἀνθρώποις κακά, μετὰ πολλῆς τῆς ὑπερβολῆς καὶ εἰς τὴν οἰκίαν τοῦ δικαίου καὶ εἰς τὸ σῶμα κενώσας, οὐδὲν τὸν ἄνδρα ἠδίκησεν, ἀλλὰ καὶ μᾶλλον ὠφέλησε, πῶς δυνήσονταί τινες τὸν δεῖνα, καὶ τὸν δεῖνα αἰτιᾶσθαι, ὡς παρ' αὐτῶν, ἀλλ' οὐχ ὑφ' ἑαυτῶν ἠδικημένοι; θαυμάζεις τοὺς τρεῖς παῖδας; καὶ γὰρ κἀγώ· ὅτι κατετόλμησαν καμίνου, ὅτι κατεξανέστησαν τοῦ τυράννου. τοῖς θεοῖς σου, λέγοντες, οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησας, οὐ προσκυνοῦμεν. ἀλλὰ μεγίστη ἦν παραμυθία ἐν αὐτοῖς, τὸ σαφῶς εἰδέναι, ὅτι διὰ τὸν Θεὸν ταῦτα πάσχουσιν, ἅπερ ἂν πάθωσιν. ὁ δὲ μακάριος ἐκεῖνος οὐκ ᾔδει ὅτι ἀγωνίσματα καὶ πάλη ἦν ἅπερ ἔπαθεν. εἰ γὰρ ᾔδει, οὐδ' ὅλως ἂν ᾔσθετο τῶν γινομένων. ὅτε γοῦν ἤκουσεν, ἄλλως με οἴει κεχρηματικέναι σοι, ἢ ἵνα ἀναφανῇς δίκαιος; ἐννόησον πῶς ἀπὸ ψιλοῦ ῥήματος ἀνέπνευσε, πῶς ἑαυτὸν ἐξευτέλισε, πῶς οὐδὲ πεπονθέναι ἐνόμισεν ἅπερ ἔπαθεν, οὕτω λέγων· τί ἔτι κρίνομαι νουθετούμενος ὑπὸ Κυρίου καὶ ἐλεγχόμενος, ἀκούων τοιαῦτα, οὐδὲν ὢν ἐγώ; ζηλώσωμεν τοίνυν τὴν τοῦ ἁγίου τούτου εὐλάβειαν ἕκαστος μαθόντες ὅσα ἀπὸ τῆς ὑπομονῆς βλαστάνει καλά. καθάπερ γὰρ ἐν κοινῷ θεάτρῳ τῆς οἰκουμένης ἑστὼς ὁ μακάριος καὶ γενναῖος ἐκεῖνος ἀνὴρ, ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται, πάντα φέρειν τὰ συμπίπτοντα γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πάθος ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι. ἅπερ γὰρ ἐν πάσῃ οἰκουμένῃ διέσπαρται πάθη, ταῦτα ὁμοῦ συνελθόντα εἰς ἓν σῶμα κατέσκηψε τὸ ἐκείνου. τίς οὖν ἔσται συγγνώμη τοῖς μὴ δυναμένοις τὸ μέρος τῶν ἐπαχθέντων ἐκείνῳ δεινῶν μετ' εὐχαριστίας ἐνεγκεῖν, ὃς μὴ μέρος μόνον, ὁλόκληρα φαίνεται τὰ πάντων ἀνθρώπων φέρων κακά; ἀλλ' ὁ δεῖνα τοσαύτας ἐλεημοσύνας ποιῶν, φησὶ, πάντων ἐγυμνώθη· ἕτερος γενομένου τινὸς ἐμπρησμοῦ πάντα ἀπώλεσεν· ἄλλοι ναυαγίοις περιέπεσον, καὶ εἰς πενίαν κατηνέχθησαν· ἕτεροι πάλιν ἀρρωστίᾳ καὶ νόσῳ, καὶ παρ' οὐδενὸς οὐδεμιᾶς ἀπέλαυσαν βοηθείας. καὶ τί οὖν; ἀναμνήσθητι τῶν τῷ Ἰὼβ συμβεβηκότων, καὶ εὐχαρίστησον τῷ δεσπότῃ, τῷ δυναμένῳ κωλῦσαι καὶ μὴ κωλύσαντι. ἀλλ' ἐν πενίᾳ διάγεις καὶ λιμῷ καὶ μυρίοις κινδύνοις; ἀναμνήσθητι τοῦ Λαζάρου τῇ πενίᾳ καὶ ἐρημίᾳ, καὶ μυρίοις ἑτέροις τοιούτοις πυκτεύοντος· καὶ ταῦτα μετὰ πολλὴν ἀρετήν. ἀναμνήσθητι τῶν ἀποστόλων, οἳ ἐν λιμῷ καὶ δίψῃ, καὶ γυμνότητι διῆγον· τῶν προφητῶν, τῶν δικαίων· καὶ πάντας αὐτοὺς εὑρήσεις, οὐ τῶν πλουτούντων οὐδὲ τῶν τρυφώντων, ἀλλὰ τῶν πενομένων, τῶν στενοχωρουμένων. ταῦτα παρ' ἑαυτῷ συλλέγων εὐχαρίστησον τῷ δεσπότῃ, ὅτι σε τῆς μοίρας ταύτης ἐποίησεν, οὐχὶ μισῶν, ἀλλὰ καὶ σφόδρα φιλῶν. ἐπεὶ καὶ ἐκείνους οὐχὶ μισῶν ἀφῆκε τοσαῦτα πάσχειν δεινά· ἀλλ' ἐπειδὴ σφόδρα ἐφίλει, λαμπροτέρους αὐτοὺς διὰ τῶν δεινῶν τούτων εἰργάζετο. εἰ γὰρ ἄνθρωποι τοὺς ὑπὲρ αὐτῶν κάμνοντας οὐκ ἀφιᾶσι χωρὶς μισθῶν καὶ ἀμοιβῶν ἀπελ-

A conciſum fuit. Quoniam & lanæ quidem ante tincturam pulchræ ſunt: cùm verò purpureæ factæ fuerint, incompasabilem pulchritudinem, multúmque decorem accipiunt. Niſi enim eum exuiſſet, nunquam coronati illius bonam cognoviſſet habitudinem. Niſi vulneribus corpus ipſius perforaſſet, non reſplenduiſſent interiùs radii. Niſi in fimeto eum ſedere coëgiſſet, nequaquam ipſius divitias cognoviſſemus. Neque enim Rex tam illuſtris eſt, cùm in throno ſedet, quàm ille tunc in ſterqui-

B linio ſedens, inſignis erat & conſpicuus. Nam poſt regalem thronum mors; poſt ſterquilinium verò illud, regnum cœlorum. Propterea enim facultates ipſius depsædatus fuit diabolus, non ut ad paupertatem eum redigeret, ſed ut verbum aliquod blaſphemum extrudere poſſet: Et corpus concidit, non ut in infirmitatem conjiceret, ſed ut animæ virtutem labefactaret. Sed tamen univerſas admovens ſuas machinas, & ex divite pauperem faciens; quódque omnibus nobis horribile eſſe videtur,

C ex multorum liberorum patre, liberis orbatum reddens: & totum ipſius corpus acerbiùs, quàm carnifices in publicis judiciis ſolent, diſcerpens; nec enim ita horum ungues perfodiunt latera eorum, qui in ipſorum incidunt manus, ſicuti corpus ipſius vermium diſcerpſerunt ora; nec urbe ſolùm domóque ejiciens, & in aliam transferens urbem, ſed ſterquilinium ipſi pro domo & urbe conſtituens, non modo ipſum non læſit, ſed ſplendidiorem etiam per inſidias, quas ei ſtruxit, reddidit. Et tu igitur, ſi

D quis pecuniam tibi ſurripuerit, atque hoc fortiter tuleris, integram eorum qui in pauperes eam erogant, mercedem accipies. Sicut enim cùm ſtudioſi ſumus, etiam à lædentibus lucrum capere ſolemus: ſic & pigritantes nec ab his quæ proſunt, meliores efficimur. Si enim Job tot tantáque paſſus, nihil detrimenti accepit; nec ab homine paſſos, ſed à pejore omnibus hominibus, malo dæmone, quis deinceps excuſationem habebit eorum qui dicunt: quidem me injuria læſit & damno

E affecit? Si enim diabolus tanta plenus malitia, omnia ſua inſtrumenta movit, omniaque emittens tela, & quotquot erant in hominibus mala, multa cum atrocitate, & in domum & in corpus juſti affudit, nec tamen damno virum effecit, ſed potiùs profuit; qui poterunt aliqui hunc aut illum accuſare, quòd ab ipſis, & non potiùs à ſeipſis ſint læſi? Miraris tres pueros? Et ego: quod contra caminum ignis ſint auſi, quòd contra tyrannum inſurrexerint, Deos tuos, dicentes, non colimus,

A & ſtatuam auream quam erexiſti, non adoramus. Sed hoc pro magno illis erat ſolatio, quòd probè ſcirent, ſe propter Deum iſta pati, quæ paſſi ſunt. Beatus verò ille ignorabat, certamina eſſe & luctam, quæ patiebatur. Si enim ſeviſſet, nequaquam ea, quæ fiebant, ſenſiſſet. Cùm igitur audivit; An putas, me aliter tibi reſpondiſſe, niſi ut appareas juſtus? cogita quomodo nudo ex verbo reſpiraverit, quomodo ſeſe exinaniverit, quomodo ſe nihil eorum, quæ pertulit, paſſum eſſe putaverit, *Iob. 40. ſecundum Græcum.*

B ſic dicens: Quid etiam judicor dum à Domino corripior & reprehendor; audiens talia, qui nihil ſum? Imitemur igitur ſinguli hujus ſancti innocentiam, diſcentes quot ex patientia germinent bona. Sicut enim in communi orbis theatro ſtans beatus ille & ſtrenuus vir, per ea, quæ ei contigerunt, alloquitur omnes, ut fortiter quoſvis caſus perferant, neque uſquam ingruentibus malis cedant. Non enim eſt ulla humana calamitas, *Ex Orat. quod vi[illegible]*

C quæ conſolationem inde accipere non poſſit. Quæ enim univerſo terrarum orbe ſparſæ ſunt paſſiones, ſi in unum coëant, in unum ipſius corpus incubuerunt. Quæ igitur erit illi excuſatio, qui vel partem illatorum illi malorum cum gratiarum actione ferre nequit; qui non partem ſolùm, ſed univerſa hominum ſuſtinere videtur mala? Sed tantas, inquit, eleemoſynas faciens neſcio quis, omnibus rebus nudatus eſt: Alius incendio exorto, univerſa perdit: Alii in naufragia inciderunt, & ad paupertatem ſunt redacti: Alii item in infirmitate & morbo, à nullo

D auxilium acceperunt. Et quid hoc? Recordare eorum, quæ Job evenerunt, & gratias age Domino qui prohibere potuit, nec prohibuit. Sed fortè in paupertate degis, & fame, & mille periculis? Recordare Lazari, eum egeſtate & ſolitudine cæteriſque innumeris ejuſmodi certantis: & hæc poſt multam virtutem. Recordare Apoſtolorum, qui in fame & ſiti ac nuditate vitam agebant: Prophetarùm item juſtorum: & omnes ipſos invenies, non divites aut in *Ex hom. in Statut.*

E deliciis viventes, ſed pauperes & in anguſtiis verſantes. Hæc apud te colligens, gratias Domino age, quòd te ad hanc ſortem vocaverit, non odio te proſequens, ſed diligens. Quoniam & illos, non odio habens, talia ac tanta pati permiſit, ſed quia eos vehementer diligebat, ſplendidiores per ejuſmodi calamitates reddidit. Si enim homines, illos qui in eorum cauſa deſudant, ſine præmiis & retributione abire non ſinunt: multo magis

A Deus eos, qui tot tantiſque inſudaverunt laboribus, nunquam volet mercede laborum ſuorum fraudare: ſed neceſſe eſt, alterum quoddam tempus poſt mortem eſſe, quo laborum hujus vitæ præmia recipiant. *Ex interpr. ep. ad Eph.* Etenim multos audivi dicentes: quidam moderatus & benignus homo, ab alio quodam iniquo & improbo quotidie in judicium trahitur: alius calumniis oneratus injuſtè occiſus eſt: alius, inquit, ſubmerſus eſt: alius præcipitatus, & Deus hæc fieri permiſit. Quare? Ne eo ſuperbia B extollerentur miraculorum & rectè factorum magnitudine, permittit ipſos Deus affligi: ac ne opinionem natura humana majorem cæteri de ipſis haberent, Deóſque & non homines eos exiſtimarent; atque ut Dei potentia per infirmos appareat, per vinctos vincens & ſuperans, & prædicationem augens: & ut illorum ipſorum tolerantia manifeſtior fieret, non pro mercede Deo ſervientium, ſed tantam animi gratitudinem exhibentium, ut etiam poſt tot tantaſque mala, ſuam erga ipſum benevolentiam oſtenderent: C Præterea ut omnes qui in calamitates incidunt, ſufficientem admonitionem & conſolationem habeant, dum in illos reſpicientes memores ſunt, quæ ipſis contigerunt, malorum: & ne, ſi ad illorum virtutem vos exhortaremur, & ad unumquemque veſtrum diceremus, Imitare Paulum, æmulare Petrum, vos, exiſtimantes, ob rectè factorum excellentiam, aliam ipſos habuiſſe naturam, ſegnes & tardi ad imitationem eſſetis: ut denique ſi beatos aut miſeros dicere aliquos oporteret, D ſciremus, quoſnam felices, quos vero miſeros & ærumnoſos exiſtimare debeamus. *Ex interpr. Evang. S. Matth.* Si autem diſcere volueris, quod non male facere potentiores reddat, ſed ſi malis quis affectus, toleret; reſpice Jacob, quot injuriis à Laban ſit affectus. Quis igitur fortior factus eſt, illéne qui cùm in manus ipſum accepiſſet, tangere non auderet; ſed timebat & tremebat; an verò is, qui abſque armis & militibus, eo ipſo innumeris regibus factus E eſt terribilior? Nonne iſte? Quemadmodum enim ignem calcans ſeipſum comburit; & adamantem feriens ſeipſum lædit; & contra ſtimulum calcitrans ſeipſum cruentat: ita qui offendere cogitat, ſeipſum lædit, omnique fit luto infirmior. Ejectus eſt aliquando etiam beatus David, deque libertate atque anima ipſa periclitabatur, & exercitu ad improbum adoleſcentem, tyrannum illum & parricidam, deficiente, errabat per deſertum: neque indignabatur, aut ſtomachabatur contra Deum, A neque dixit, quidnam hoc eſt? permiſit puerum adverſus genitorem inſurgere? Enimvero ſi habuit, in quo juſtè [illegible], non tamen hoc ita fieri oportebat. Jam verò nec parva nec magna à nobis laceſſitus injuria, circumit, dexteram paterno ſanguine inficere deſiderans: & Deus hæc videns ſuſtinet? *Ex orat. 2. in Annam propheteſſam.* Sed nihil horum dixit: quodque magis mirandum, cùm oberrantem & univerſis exutum, Semei quidam homo improbus & impurus invaderet, virum ſanguinum eum appellans & impium, *2. Reg. 15.* innumeráque objiceret vitia, nec ſic exaſperatus eſt; quinimo B exercitus imperatorem rogantem, ut tranſire ſibi liceret & caput illius amputare, non modò non permiſit, ſed moleſtè inſuper tulit, dicens: Quid mihi & tibi fili Sarujæ? dimittite eum ut maledicat, ut Dominus humilitatem meam videat, & reddat mihi bona pro maledictione ipſius. Vides quomodo noverit juſtus, quoniam generoſo animo maledicta perferre, adoptionis gloriæ majoris fiat occaſio? Etenim res ſic ſe habet, quando C probra & infinitas adverſitates ſuſtinentes, eos qui probris nos inſectantur, fortiter toleramus, longè majorem Dei benevolentiam nobis conciliamus. Voluit & Moyſes cuidam injuriam patienti opem ferre, & extremis implicatus eſt periculis, patriaque excidit: atque hoc Deus permiſit, ut tu Sanctorum patientiam diſcas. Si enim providentes ut nihil adverſi patiamur, ita ad ſpiritualia negotia accedamus, nihil magni facere videbimur. *Dan. 3.* Hoc etiam tres pueri dicebant: *eſt Deus in cælo potens eripere nos de manibus tuis. Quòd ſi noluerit, notum ſit tibi Rex, quia* D *Deos tuos non colimus: & ſtatuam auream, quam erexiſti, non adoramus.* *Ex hom. in Stat.* Et tu igitur, ſi quando eorum aliquid quæ ſecundùm Deum ſunt, aggreſſurus es, multa provide pericula, multa incommoda, multas mortes; neque his eventibus obſtupeſcas aut turberis. Fili, inquit, accedens ad ſervitutem Dei, præpara animam tuam ad tentationem. Nemo certare volens, ſine vulneribus coronam expectat. Cùm igitur ipſe boni aliquid egeris, & contraria receperis, vel alteri idipſum accidere videris, lætare & gaude: hoc enim majorem habet fructum & utilitatem. E Nec porrò de animi tui alacritate quid remittas, neque ſegnior fias: ſed potiùs majori cum ſtudio proficias: etiamſi decies millies diabolum te interpellantem videris: nunquam deſiſtas. Quoniam & Apoſtoli, cùm prædicarent, verberati, & [illegible] in carceribus degentes, non modò poſt periculorum

A θεὸν, πολλῷ μᾶλλον ὁ θεὸς τοὺς τοσαῦτα πεπονηκότας οὐκ ἂν ἕλοιτο τῆς τῶν πόνων αὐτῶν ἀμοιβῆς ἀποστερῆσαί ποτε· ἀλλ᾽ ἀνάγκη καιρὸν ἕτερόν τινα εἶναι μετὰ τὴν τελευτὴν, καθ᾽ ὃν ἀπολήψονται τὰς ἀμοιβὰς τῶν ἐν ζωῇ πόνων. καὶ γὰρ πολλοὺς ἤκουσα λέγοντας· ὁ δεῖνα μέτριος καὶ ἐπιεικὴς ἄνθρωπος ὑφ᾽ ἑτέρου παρανόμου τινὸς καὶ πονηροῦ, καθ᾽ ἑκάστην εἰς δικαστήριον ἕλκεται· ἕτερος συκοφαντηθεὶς ἀδίκως ἀπέθανεν· ἄλλος κατεποντίσθη, φησίν· ἕτερος κατεκρημνίσθη· καὶ ὁ θεὸς B ἠνέσχετο ταῦτα συγχωρήσας. διὰ τί; διὰ τὸ μὴ ταχέως αἴρεσθαι εἰς ἀπόνοιαν τῷ μεγέθει τῶν θαυμάτων καὶ τῶν κατορθωμάτων, ἀφίησιν αὐτοὺς ὁ θεὸς κακοῦσθαι· καὶ ἵνα μὴ μείζονα τῆς ἀνθρωπίνης φύσεως περὶ αὐτῶν ὑπόνοιαν ἔχωσιν ἕτεροι, καὶ θεοὺς, ἀλλ᾽ οὐκ ἀνθρώπους αὐτοὺς εἶναι νομίσωσι, καὶ ἵνα ἡ τοῦ θεοῦ φανῇ δύναμις διὰ τῶν ἐξασθενούντων, διὰ τῶν δεσμουμένων κρατοῦσα καὶ περιγινομένη, καὶ τὸ κήρυγμα αὔξουσα· καὶ ἵνα αὐτῶν ἐκείνων ἡ ὑπομονὴ φανερωτέρα γένηται, οὐκ ἐπὶ μισθῷ C τῷ θεῷ δουλευόντων, ἀλλὰ καὶ τοσαύτην ἐπιδεικνυμένων εὐγνωμοσύνην, ὡς καὶ μετὰ τοσαῦτα κακὰ, τὴν οἰκείαν περὶ αὐτὸν ἐπιδείκνυσθαι εὔνοιαν· καὶ ἵνα πάντες περιπίπτοντες τοῖς δεινοῖς, ἱκανὴν ἔχωσι παράκλησιν καὶ παραμυθίαν, εἰς ἐκείνους ἀφορῶντες, καὶ τῶν συμβεβηκότων αὐτοῖς μεμνημένοι κακῶν· καὶ ἵνα ὅταν παρακαλῶμεν ὑμᾶς πρὸς τὴν ἐκείνων ἀρετὴν, καὶ πρὸς ἕκαστον ὑμῶν λέγωμεν, μίμησαι Παῦλον, ζήλωσον Πέτρον, νομίζοντες διὰ τὴν τῶν κατορθωμά- D των ὑπερβολὴν ἑτέρας αὐτοὺς μετεσχηκέναι φύσεως, ἀποκνήσητε πρὸς τὴν μίμησιν· καὶ ὅταν δέῃ μακαρίζειν καὶ ταλανίζειν, μάθωμεν, τίνας μὲν χρὴ μακαρίους ἡγεῖσθαι, τίνας δὲ ἀθλίους καὶ ταλαιπώρους. εἰ δὲ βούλει μαθεῖν ὅτι οὐ τὸ ποιεῖν κακῶς τοῦτο ποιεῖ δυνατωτέρους, ἀλλὰ τὸ κακῶς πάσχοντας φέρειν, θέα μοι τὸν Ἰακὼβ ὅσα παρὰ τοῦ Λάβαν ἠδικήθη. τίς οὖν ἰσχυρότερος γέγονεν, ὁ λαβὼν αὐτὸν εἰς χεῖρας, καὶ μὴ τολμῶν ἅψασθαι, ἀλλὰ δεδοικὼς καὶ τρέμων, ἢ οὗτος ὁ χωρὶς ὅ- E πλων καὶ στρατοπέδων, μυρίων αὐτοῦ βασιλέων γενόμενος φοβερώτερος; οὐχ οὗτος; καθάπερ γὰρ ὁ πῦρ πατῶν ἑαυτὸν κατακαίει, καὶ ὁ ἀδάμαντα παίων ἑαυτῷ ἐπηρεάζει, καὶ ὁ πρὸς κέντρα λακτίζων ἑαυτὸν αἱμάττει, οὕτως ὁ ἀδικεῖν μεμελετηκὼς, ἑαυτὸν ἀδικεῖ, καὶ πηλοῦ παντὸς ἀσθενέστερος γίνεται. ἐξέπεσέ ποτε καὶ ὁ μακάριος Δαβὶδ τῆς πατρίδος, καὶ περὶ τῆς ἐλευθερίας καὶ τῆς ψυχῆς αὐτῆς ἐκινδύνευσε, καὶ τοῦ στρατοπέδου πρὸς τὸν ἀκόλαστον νεανίσκον τὸν τύραννον ἐκεῖνον καὶ πα- A τραλοίαν μεταταξαμένου, ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ οὐκ ἐδυσχέραινεν, οὐδὲ ἀπεδυσπέτησε πρὸς τὸν θεὸν, οὐδὲ εἶπε τί ποτε τοῦτο ἐστί; συνεχώρησε τῷ παιδὶ κατεξαναστῆναι τοῦ γεγεννηκότος; καίτοι καὶ εἰ δίκαια ἐγκαλεῖν εἶχεν, οὐδὲ οὕτως τοῦτο γενέσθαι ἔδει. νυνὶ δὲ οὐ μικρὸν οὐ μέγα ἠδικημένος παρ᾽ ἡμῶν, περιέρχεται τὴν δεξιὰν ἐπιθυμῶν αἵματι μολῦναι πατρικῷ· καὶ ὁ θεὸς ταῦτα ἀνέχεται ὁρῶν; ἀλλ᾽ οὐδὲν τούτων εἶπεν. καὶ τὸ δὴ μεῖζον καὶ θαυμαστὸν, ὅτι πλανωμένῳ καὶ B πάντων ἐκπεπτωκότι Σεμεΐ τις ἄνθρωπος πονηρὸς καὶ μιαρὸς ἐπέθετο, μιαιφόνον ἀποκαλῶν καὶ ἀσεβῆ, καὶ τὰ μυρία κακά· καὶ οὐδὲ οὕτως ἠγρίανεν, ἀλλὰ καὶ τοῦ στρατηγοῦ ἀξιοῦντος ἐπιτραπῆναι διαβῆναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν ἐκείνου, οὐ μόνον οὐκ ἐπέτρεψεν, ἀλλὰ καὶ δυσχέραινε λέγων· τί ἐμοὶ καὶ σοὶ υἱὲ Σαρουΐας; ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου Κύριος, καὶ ἀνταποδώσῃ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ. ὁρᾷς πῶς οἶδεν ὁ δίκαιος, ὅτι C τὸ φέρειν γενναίως τὰς λοιδορίας, ἀφορμὴ πλείονος εὐδοκιμήσεως γίνεται; καὶ γὰρ οὕτως ἔχει· ἐπειδὰν λοιδορηθέντες καὶ μυρία παθόντες δεινὰ, τοὺς ὀνειδίζοντας φέρωμεν γενναίως, μείζονα παρὰ τοῦ θεοῦ τὴν εὔνοιαν κατὰ πολὺ ἐπισπασόμεθα. ἠθέλησε καὶ ὁ Μωσῆς ἀδικουμένῳ βοηθῆσαί τινι, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσε, καὶ τῆς πατρίδος ἐξέπεσε· καὶ ὁ θεὸς συνεχώρησεν, ἵνα σὺ μάθῃς τῶν ἁγίων τὴν ὑπομονήν. εἰ γὰρ προειδότες ὦμεν, ὡς οὐδὲν πεισόμεθα δεινὸν, οὕτως [illegible] D τῶν πνευματικῶν πραγμάτων, οὐδὲν μέγα ἂν ἐδόξαμεν ποιεῖν. τοῦτο καὶ οἱ τρεῖς παῖδες ἔλεγον· ἔστι θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῶν χειρῶν σου. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. καὶ σὺ τοίνυν ὅταν μέλλῃς τι ἐργάζεσθαι τῶν κατὰ θεὸν, πολλοὺς πρόσδεχε τοὺς κινδύνους, πολλὰς τὰς ζημίας, πολλοὺς τοὺς θανάτους, καὶ μὴ ξενίζου, μηδὲ θορυβοῦ συμβαινόντων τούτων. τέκνον γὰρ, E φησὶν, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. οὐδεὶς πυκτεύειν αἱρούμενος χωρὶς τραυμάτων προσδοκᾷ στέφανον ἀναδήσασθαι. ὅταν οὖν αὐτός τι ποιήσῃς ἀγαθὸν, τὰ ἐναντία ἀπολάβῃς, ἢ ἕτερον παθόντα τοῦτο ἴδῃς, εὐφραίνου καὶ χαῖρε· μείζονος γὰρ ἀπολαύσεως τὸ πρᾶγμα γίνεται. μὴ δὴ καταπέσῃς τῇ προθυμίᾳ, μὴ δὲ ὀκνηρότερος γένῃ, ἀλλὰ μᾶλλον ἐπιτίθεσο μετὰ πλείονος τῆς προθυμίας· κἂν μυριάκις ἴδῃς διακόπτοντά σε τὸν διάβολον, μηδέποτε ἀποστῇς. ἐπεὶ καὶ οἱ ἀπόστολοι, ἡνίκα ἐκήρυττον μαστιζόμενοι, δεσμωτήρια συνεχῶς οἰκοῦντες, οὐ μόνον μετὰ τὴν τῶν παθῶν ἀπαλ-

Digitized by Google

ἀπαλλαγὴν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις μετὰ μείζονος τῆς προθυμίας τὸ τῆς ἀληθείας κατήγγελλον κήρυγμα. καὶ ἔστιν ἰδεῖν Παῦλον ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, ἐν αὐταῖς ταῖς ἁλύσεσι κατηχοῦντα, μυσταγωγοῦντα. καὶ ἐν δικαστηρίῳ πάλιν τὸ αὐτὸ τοῦτο ποιοῦντα. καὶ θέα μοι τὴν μακαρίαν ἐκείνην ψυχὴν, ἐν τίσι καυχᾶται· ἐν δεσμοῖς, ἐν „θλίψεσιν, ἐν ἁλύσει, ἐν στίγμασι. πορεύομαι γάρ, φησιν, εἰς „Ἱερουσαλὴμ δεδεμένος τῷ πνεύματι, τὰ ἐν αὐτῇ συναντήσοντά „μοι μὴ εἰδώς· πλὴν ὅτι τὸ πνεῦμα μοι κατὰ πόλιν διαμαρτύρεται „λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσι. τί οὖν ἀπέρχῃ, εἰ δεσμά „σε καὶ θλίψεις μένουσι; διὰ τοῦτο, ἵνα δεσμευθῶ διὰ Χριστὸν, ἵνα ἀποθάνω δι' αὐτόν. οὐ γὰρ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου μου. τί οὖν ἐστι τοῦτο; οὐκ αἰσχύνῃ; οὐ δέδοικας τὴν οἰκουμένην δεσμώτης περιιών; οὐ φοβῇ μή τις ἀσθένειαν τοῦ Θεοῦ σου καταγνῷ; μή τις διὰ τοῦτο οὐ μὴ προσέλθῃ; οὐ τοιαῦτα μου, φησὶ, τὰ δεσμὰ, οἶδα καὶ ἐν βασιλείοις λάμπειν· ὥστε τοὺς δεσμούς μου, φησὶ, φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν. ὁρᾷς δεσμῶν ἰσχὺν μᾶλλον, ἢ νεκρῶν ἀναστάσεως; ἐδεσμεύθη ἐν Ῥώμῃ, καὶ τοὺς πλείονας ἐπεσπάσατο. ἐδεσμεύθη ἐν Ἱεροσολύμοις, καὶ δεδεμένος δημηγορῶν τὸν βασιλέα κατέπληξε, καὶ τὸν ἄρχοντα εἰς φόβον ἤγαγεν· ἔμφοβος γὰρ γενόμενος ἀπέλυσεν αὐτόν. δεδεμένος ἔπλει, καὶ τὸ ναυάγιον ἔλυσε, καὶ τὸν χειμῶνα ἐπέδησεν. ἐν δεσμοῖς ὄντος αὐτοῦ τὸ θηρίον ἐκεῖνο καθῆψατο, καὶ μηδὲν λυμηνάμενον ἐξέπεσε. καὶ θέα, πανταχοῦ τοῦτο γινόμενον. μεμαστίγωτο, καὶ μεμαστίγωτο ἰσχυρῶς· [πολλὰς γὰρ αὐτῷ, φησι, ἐπιθέντες πληγάς.] καὶ ἐδέδετο, καὶ τοῦτο πάλιν ἰσχυρῶς· εἰς γὰρ τὴν ἐσωτέραν φυλακὴν ἐνέβαλλον αὐτὸν, τὸ μετὰ πλείονος ἀσφαλείας. καὶ ἐν τοσούτοις ὢν κατὰ τὸ μεσονύκτιον ὅτε καὶ οἱ σφόδρα ἀνειμένοι καθεύδουσιν, ᾖδε καὶ ὕμνει τὸν Θεόν. τί ταύτης γένοιτ' ἂν τῆς ψυχῆς ἀδαμαντινώτερον; ἐνενόει ὅτι καὶ οἱ παῖδες ἐν πυρὶ ᾖδον καὶ ἐν καμίνῳ. ἴσως ἐλογίζετο, ὅτι οὐδὲν τοιοῦτον ἐγὼ πέπονθα. ἀλλὰ καλῶς ποιῶν ὁ λόγος, εἰς ἑτέρους πάλιν ἐξήνεγκε δεσμοὺς, καὶ δεσμωτήριον ἕτερον. τί πάθω; βούλομαι σιγῆσαι, ἀλλ' οὐ δύναμαι. ἕτερον δεσμωτήριον εὗρον ἐκείνου πολλῷ θαυμασιώτερον καὶ ἐκπληκτικώτερον. βούλομαι διακόψαι τὸν λόγον, καὶ οὐκ ἀνέχεται. οὐ δύναμαι παύσασθαι, οὐ δύναμαι σιγῆσαι. πολλά με περιρρεῖ· οὐκ οἶδα ποῖον πρῶτον εἴπω, ποῖον δεύτερον. διὸ παρακαλῶ, μή με τάξιν τις ἀπαιτείτω· πολλὴ γὰρ ἡ τῶν πραγμάτων συγγένεια. μακρὰ ἡ τοῦ Παύλου γέγονεν ἅλυσις, καὶ διὰ τοῦτο κατέχει ἡμᾶς. ἀλλ' οὐ διὰ τοῦτο σιγήσομαι· εἰ γὰρ αὐτὸς ἐν δεσμωτηρίῳ οὐκ ἐσίγησεν, οὐδὲ ἐν μάστιξιν, ἐγὼ σιωπήσομαι καθήμενος ἡμέρας οὔσης, καὶ μετὰ πολλῆς ἀνέσεως φθεγγόμενος; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; πολλὰ μὲν οὖν πολλαχοῦ τὰ τοῦ Παύλου θαυμάτων τὰ σημεῖα τυγχάνει, ἀλλ' οὐχ οὕτως ἐστὶ ποθεινὰ, ὡς τὰ στίγματα· οὐδ' οὕτω με ἐν ταῖς γραφαῖς εὐφραίνει θαύματα ἐργαζόμενος, ὥσπερ κακῶς πάσχων, μαστιζόμενος, συρόμενος, λιθαζόμενος. λιθάσαντες γὰρ αὐτὸν, φησιν, ἔσυρον ἔξω τῆς πόλεως. καὶ πάλιν· δείραντες αὐτὸν καὶ ἐπιθέντες πληγὰς πολλὰς ἔβαλον εἰς φυλακήν· πόσον καύχημα, πόση ἡδονὴ, πόση τιμὴ, πόση λαμπρότης εἰδέναι, ὅτι διὰ Χριστὸν ἐδέθη, ἀλλ' ὅρα τὸ θαυμαστόν. καὶ „ἐσείσθη, φησὶ, τὸ δεσμωτήριον δεδεμένου Παύλου, καὶ πάντων τὰ „δεσμὰ ἀνέθη. εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ ἀναλύουσαν; ἔξυπνος „δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας „τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν. τί „οὖν ὁ Παῦλος; ἐφώνησε φωνῇ μεγάλῃ λέγων· μηδὲν πράξῃς σεαυτῷ κακὸν, πάντες γάρ ἐσμεν ἐνθάδε. ὁρᾷς αὐτοῦ τὸ ἀκενόδοξον, καὶ τὸ ἄτυφον, καὶ τὸ φιλόστοργον. οὐκ εἶπεν ὅτι δι' ἡμᾶς ταῦτα γέγονεν, ἀλλ' ὡσανεὶ τῶν δεσμωτῶν εἷς φησί· πάντες γάρ ἐσμεν ἐνθάδε. εἰ γὰρ ἐσίγησε, καὶ μὴ διὰ τῆς φωνῆς κατέσχεν ἐκείνου τὰς χεῖρας, ᾤχετο ἂν διὰ τοῦ λαιμοῦ τὸ ξίφος. ἐβόησε δὲ, ἐπειδὴ εἰς τὴν ἐσωτέραν φυλακὴν ἦν βεβλημένος. κατὰ σαυτοῦ τοῦτο πεποίηκας, φησιν, ἐνδοτέρω βαλὼν τοὺς μέλλοντάς σε ἐλευθεροῦν τοῦ κινδύνου. εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικὸν τοῦ Παύλου; εἵλετο δεδέσθαι μᾶλλον καὶ κινδυνεύειν αὐτὸς, ἢ ἐκεῖνον περιιδεῖν ἀπολλύμενον. τίνα οὐκ ἂν ἐξέπληξεν ἡ τῶν περικειμένων αὐτῷ δεσμῶν δύναμις; ὅτι τοὺς δήσαντας εἰς τοὺς πόδας ἦγε τοῦ δεδεμένου, καὶ ὑποχειρίους ἐκείνους τούτου ἐποίει. προσέπεσε γάρ, φησιν, ὁ δεσμοφύλαξ τῷ Παύλῳ, καὶ ὁ λελυμένος ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου· καὶ ὁ δήσας ἠξίου τὸν δεδεμένον λυθῆναι τοῦ φόβου. οὐχὶ σὺ ἔδησας εἰπέ μοι; οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακήν; οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις, τί θορυβῇ, τί δακρύεις, τί τὸ ξίφος ἀπεσπάσω; οὐκ ᾔδειν, φησὶν, ὅτι τοσαύτη τῶν τοῦ Χριστοῦ δεσμίων ἡ δύναμις. τί λέγεις; οὐρανοὺς ἔλαβεν ἐξουσίαν ἀνοίγειν, καὶ δεσμωτήριον οὐκ ἔμελλεν ἀνοίγειν; τοὺς ὑπὸ δαιμόνων δεδεμένους ἔλυε, καὶ σίδηρον ἔμελλεν αὐτὸν περιέσεσθαι; ὁ ψυχὰς δεδεμέ-

A evaſionem, ſed inter ipſa etiam diſcrimina majori cum animi promptitudine veritatis annunciaverunt prædicationem. Atque videre Paulum licet in ipſo carcere, in ipſis catenis constitutum, docentem, ſacris imbuentem, atque in judicio rurſus hoc ipſum facientem. Et intuere mihi beatam illam animam, in quibus glorietur: in vinculis, in tribulationibus, in catena, in ſtigmatibus. *Vado*, inquit, *in Hieruſalem alligatus ſpiritu, quæ in ea ventura ſint mihi, ignorans: niſi quod Spiritus ſan-* B *ctus per omnes civitates proteſtatur eſt mihi, quoniam vincula & tribulationes me manent*. Cur igitur abis, ſi te vincula & tribulationes manent? Ob hoc, ut pro Chriſto vinciar, ut pro ipſo moriar. Nec enim alligari ſolum, ſed etiam mori paratus ſum, pro nomine Domini mei. Quid igitur eſt hoc? Non erubeſcis, non times orbem terrarum vinctus obire? non times, ne quis Dei damnet infirmitatem? ne quis ideo te non accedat? Non ejuſmodi, inquit, ſunt mea vincula, in Regiis etiam C ſplendere ſcio: ut vincula mea, inquit, clara notáque fiant in univerſo prætorio, & plerique fratrum vinculis meis permoti, amplius ſine timore verbum loqui audeant. Vides vinculorum potius fortitudinem, quàm ſuſcitationis mortuorum? Vinctus eſt Romæ, & pleróſque attraxit: vinctus eſt Hieroſolymis, & ligatus concionans Regem exterruit, præſidi timorem incuſſit. *Timens eum*, inquit, *dimiſit eum*. Vinctus navigabat, & naufragium ſolvit, & tempeſtatem impe- D divit. In vinculis poſitum ipſum beſtia illa apprehendit, & nihil nocens decidit. Et vide, ubique hoc fieri. Cædebatur flagellis, & fortiter cædebatur, (at enim multas ei plagas imponentes) & vinciebatur, atque hoc iterum fortiter: in interiorem enim carcerem ipſum miſerunt, & cũ arctiori cuſtodia. Atque in his tot tantiſque exiſtens circa mediam noctem, cùm quietiſſimi quique dormiunt, cantabat & Dominum laudabat. Quid hac anima firmius & conſtantius fuerit? Conſiderabat E quod tres quoque pueri in igne cantabant, & in fornace. Fortè cogitabat, nihil tale ſe paſſum eſſe. Sed opportunè nos oratio ad aliam rerum vincula, aliúmque carcerem traduxit. Quid faciam? Tacere volo, ſed non poſſum: alium inveni carcerem longe illo mirabiliorem, magiſque ſtupendum. Sermonem præcidere volo, ſed non permittit: quieſcere nequeo, tacere non poſſum. Multa me circumfluunt: quid primò dicam, quid ſecundo, neſcio. Proinde, ne quis ordinem à me exigat, oro; A magna enim rerum eſt affinitas. Longa fuit Pauli catena, ideóque nos detinuit. At non idcirco tacebo. Si enim in vinculis ipſe non tacuit, neque in flagellis, ego ſedens tacebo, jam die exiſtente, multáque cum quiete loquens? Et quomodo hoc rationi conſentaneum fuerit? Multa igitur multis in locis Pauli miraculorum ſigna ſunt, ſed nulla ſtigmatibus deſiderabiliora: nec in ſcripturis tanto me gaudio reficit miranda operans, quanto dum mala ſuſtinet, flagellis cæditur, trahitur, lapidatur. B *Lapidantes autem eum*, inquit, *extra civitatem traxerunt*. Et rurſum: Verberantes & plagas imponentes multas in carcerem miſerunt. Quanta gloriatio, quanta voluptas, quantus honor, quantus ſplendor, videre, quoniam pro Chriſto vinctus eſt. Sed rem mirandam vide. *Et commotus eſt carcer*, inquit, vincti Pauli, *omniúmque vincula ſoluta ſunt*. Vidiſti vinculorum naturam vincula ſolventem? *Expergefactus autem cuſtos carceris, & videns januas carceris apertas, evaginato gladio volebat ſe in-* C *terficere*. Quid ergo Paulus? clamavit voce magna dicens: *Nihil tibi feceris mali, univerſi enim hic ſumus*. Vidéſne omni inani gloria & ſuperbia vacuum: vidiſti pietatem? Non dixit? Propter nos hæc facta ſunt: ſed tanquam unus ex vinctis ait: univerſi enim hic ſumus. Si enim tacuiſſet, & voce illius manus non continuiſſet, gladium fortaſsè per guttur tranſegiſſet. Clamavit autem, quoniam in interiorem carcerem miſſus erat. D Contra teipſum hoc egiſti, inquit, interius eos mittens, qui te à periculo liberaturi erant. Vidiſti Pauli humanitatem, & pro proximo curam? Elegit vinciri & ipſemet periclitari potiùs, quàm illum deſpicere pereuntem. Quemnam igitur non in ſtuporem rapuiſſet vinculorum, quæ ei circumpoſita erant, potentia? quoniam eos, qui vinxerant, ad vincti pedes adigebat, & illos hujus velut mancipia efficiebat. Cecidit, inquit, cuſtos carceris ad pedes Pauli, & ſolutus ſub vincti pedibus erat: & E qui ligaverat, rogabat ligatum à timore ſolvi. Nonne tu ligaſti, dic mihi? non in interiorem carcerem miſiſti? nonne in ligno firmaſti pedes? Quid tremis? quid turbaris? quid lacrymaris? quid gladium eduxiſti? Neſciebam, inquit, tantam eſſe Chriſti vinctorum potentiam. Quid dicis! Cœlos aperiendi poteſtatem accepit, & carcerem non aperiret? Vinctos à dæmone ſolverat, & ferrum ipſum ſuperaret? Qui animas ſolvit,

Act. 20, 22.

Act. 28, 16.

Act. 16, 25.

Act. 14, 19.

corpus

corpus proprium ſolvere non poſſet? Qui per ſua veſtimenta cæteros à vinculis ſuis ſolvebat, & à dæmonibus liberabat, ipſe per ſemetipſum ſeſe non ſolviſſet? Idcirco primùm vinctus eſt, & tunc vinctos ſolvit, ut diſcas, Chriſti ſervos ligatos, multò majorem, quàm ſolutos, fortitudinem habere. Sic enim Sancti fortitudo clarior oſtenditur, cùm etiam ligatus ſolutos vincit: cùmque vinctus non ſemetipſum modò, ſed & ipſos vinctos ſolvit. Quænam enim murorum utilitas? quid profuit in interiorem carcerem miſiſſe, quando etiam exteriorem aperuit? Sed audiamus ipſum in hoc ipſo gloriantem, & dicentem: *Obſecro igitur vos ego vinctus in Domino.* Magna enim & ampla eſt dignitas, regnóque & conſulatu, atque omnibus major, propter Chriſtum vinctum eſſe. Nihil enim tam clarum eſt, quàm vinctus pro Chriſto; quàm ſanctis illis manibus circumdatæ catenæ. Hoc longè ſplendidius eſt & auguſtius, quàm Apoſtolum eſſe, quàm eſſe Doctorem, quàm eſſe Evangeliſtam. Si quis amat Chriſtum, novit quod dico. Si quis inſanit & uritur Domini amore, vinculorum poteſtatem novit: mallet fortaſſe pro Chriſto vinctus eſſe, quàm cœlos inhabitare. Fortè enim etiam honeſtius hoc & beatius, quàm ſuper ſedes duodecim ſedere. Si quis mihi cœlum univerſum daret: vel eam, qua Pauli manus ligabantur, catenam, hanc ego illi præferrem. Si quis me inter Angelos supernè ſtatueret, aut cum Paulo vincto: vincula eligerem. Si quis me cum illis eſſe faceret poteſtatibus, quæ circa thronum ſunt, aut vinctum talem: vinctus potius talis eſſe eligerem. Etenim nihil melius, quàm mala pro Chriſto pati. Si quis mihi ſuſcitare mortuos daret, non jam id, ſed catenam eligerem: illa ſiquidem catena nihil beatius. Vellem nunc in locis illis verſari, in quibus vincula illa manent: & videre catenas, quas timuerunt dæmones & horrent, Angeli verò reverentur. Si à curis Eccleſiaſticis eſſem vacuus, corpúſque robuſtum haberem: nequaquã peregrinationem talem facere recuſarem, quo catenas ſolùm viderem: & carcerem, ubi Paulus vinctus erat. O beata vincula, ò beatas manus, quas ornavit catena illa Paulo circundata. Non tam pretioſæ erant ipſius manus, cùm claudum in Lyſtris erexerunt, quàm cùm in vinculis circundarentur. Si per illa tempora ego fuiſſem, tunc potiſſimùm eas amplexatus fuiſſem, & oculorum meorum pupillis impoſuiſſem:

2. Cor. 12. 4.

nunquam ceſſaſſem deoſculari manus dignas effectas pro Domino meo ligari. Non tam eum beatum prædico, quòd in tertium cœlum & in paradiſum raptus ſit, quàm quòd in carcerem conjectus fuerit. Non tam eum beatum dico, quòd verba arcana audiverit, quàm quòd vincula ſuſtinuerit. Etenim

Ex orat. 2. in S. Paulum.

hæc illis longè ſunt majora. Optatius enim mihi eſt, incommodis affici pro Chriſto, quàm honorari à Chriſto. Hoc etiam

Joan. 17. 5.

Paulus, ut conſentaneum eſt, cogitans dicebat: Si ipſe propter me ſervus factus, & gloriam evacuans, non ſic in gloria ſe eſſe ducebat, quàm dum pro me cruci affigeretur: quid me pati non oportet? Ipſum enim dicentem audi: *Glorifica me pater.* Quid dicis? Ad crucem cum latronibus & ſepulchrorum effoſſoribus duceris, ut ſceleratorum mortem ſuſtineas; conſpuendus es & colaphis cædendus; atque hæc gloriam appellas? Etiam, inquit: pro dilectis iſta patior, meritóque hæc eadem gloriam exiſtimo. Si igitur Dominus meus miſeros & ærumnoſos amans, gloriam hoc vocat, atque hoc gloriæ ſpiritualis throni potiùs præfert: multò magis ego iſta gloriam exiſtimare debeo. Obſtupeſcunt omnes homines Job, propter ipſius patientiam, propter vitæ puritatem, propter Dei teſtimonium, & propter fortem illam pugnam, propter admirabilem illam poſt pugnam victoriam: ſed Pauli tolerantiam quænam adamantina anima exhibere poterit? Non enim menſes multos decertans hoc modo vitam egit, ſed annos multos. Non glebas terræ dum ſaniem abradit, liquefaciens; ſed in ipſius os leonis intelligibile continuè incidens, & cum innumeris dimicans tentationibus; & non à tribus aut quatuor amicis, ſed à cunctis infidelibus probro affectus, conſputus, maledictis oneratus, & infinitos tentationum globos ſuſtinens, & nunc quidem flagellis, nunc verò lapidibus corpore attritus, faméque aſſidua & frigore conſumptus. Sed hoſpitalitas Job magna. Neque id nos inficiamur: at tanto inferiorem eam inveniemus hoſpitalitate Pauli, quanto corpus anima vilius eſt. Quæ enim ille in carne læſis faciebat, eadem iſte in anima damnum paſſis præſtabat. Et ille quidem innumeros habens boves, hæc faciebat: hic verò præter corpus nihil poſſidens, ab hoc ipſo indigentibus ſufficiebat, & clamabat, dicens:

Act 20. 34.

Neceſſitatibus meis, & eorum, qui erant mecum, adminiſtraverunt manus iſtæ. Hos æmulemur, hos imitemur omnes: quo pares ipſis laudes & præmia conſequamur, in Chriſto Jeſu Domino noſtro, cui gloria in ſecula. Amen.

A τὰς λύων, τὸ σῶμα τὸ αὐτοῦ οὐκ ἂν ἴσχυσε λῦσαι; ὁ διὰ τῶν ἱματίων αὐτοῦ ἑτέρους τῶν δεσμῶν ἐκείνων λύων, καὶ τῶν δαιμόνων ἀπαλλάττων, αὐτὸς δι' ἑαυτοῦ ἑαυτὸν οὐκ ἂν ἔλυσεν; διὰ τοῦτο πρῶτον ἐδέθη, καὶ τότε τοὺς δεδεμένους ἔλυσεν, ἵνα μάθῃς ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι δεδεμένοι πολλῷ τῶν λελυμένων μείζονα ἔχουσι τὴν ἰσχύν. οὕτω γὰρ λαμπροτέρα ἡ ἰσχὺς τοῦ ἁγίου δείκνυται, ὅταν καὶ δεδεμένος τῶν λελυμένων κρατῇ. ὅταν ὑπὸ δεδεμένος μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς δεδεμένους λύῃ. τί τῶν τει-
B χῶν τὸ ὄφελος; τί τὸ πλέον ἀπὸ τοῦ εἰς τὴν ἐσωτέραν αὐτὸν φυλακὴν ἐμβαλεῖν, ὅπου γε καὶ τὴν ἐξωτέραν ἀνέῳξεν; ἀλλ' ἀκούσωμεν αὐτοῦ τὸ αὐτὸ τοῦτο ἐγκαυχωμένου καὶ λέγοντος· παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. καὶ γὰρ μέγα ἀξίωμα, καὶ σφόδρα, καὶ βασιλείας καὶ ὑπατείας καὶ πάντων μεῖζον, τὸ διὰ Χριστὸν δεδέσθαι. οὐδὲν γὰρ οὕτω λαμπρὸν ὡς δέσμιος διὰ Χριστόν, ὡς αἱ ἁλύσεις αἱ περικείμεναι ταῖς ἁγίαις χερσὶν ἐκείναις. τοῦτο, τοῦ ἀπόστολον εἶναι, τοῦ διδάσκαλον
C εἶναι, τοῦ εὐαγγελιστὴν εἶναι, κατὰ πολὺ λαμπρότερον καὶ σεμνότερον. εἴ τις φιλεῖ τὸν Χριστόν, οἶδε τὸ λεγόμενον· εἴ τις μαίνεται καὶ περικαίεται τοῦ δεσπότου, οἶδε τὴν δύναμιν τῶν δεσμῶν· εἵλετ' ἂν δέσμιος εἶναι διὰ Χριστόν, ἢ τοὺς οὐρανοὺς οἰκεῖν. τάχα γὰρ καὶ τοῦ καθίσαι ἐπὶ δώδεκα θρόνων, τοῦτο σεμνότερον καὶ μακαριστότερον· εἴ τις ἐμοὶ τὸν οὐρανὸν ἐχαρίζετο πάντα, ἢ τὴν ἅλυσιν ἐκείνην ᾗ τὰς χεῖρας ὁ Παῦλος ἐδέδετο, ἐκείνην ἂν ἐγὼ προετίμησα. εἴ τίς με μετὰ τῶν ἀγγέλων ἔστησεν ἄνω,
D ἢ μετὰ Παύλου δεδεμένου, τὸ δεσμωτήριον ἂν εἱλόμην. εἴ τίς με ἐκείνων ἐποίει τῶν δυνάμεων, τῶν περὶ τὸν θρόνον, ἢ δεσμώτην τοιοῦτον, τοιοῦτος ἂν μᾶλλον εἱλόμην γενέσθαι δεσμώτης. καὶ γὰρ οὐδὲν βέλτιον τοῦ κακῶς παθεῖν διὰ Χριστόν. εἴ τις μοι νεκροὺς ἐδίδου ἀναστῆσαι νῦν, οὐκ ἂν τοῦτο εἱλόμην, ἀλλὰ τὴν ἅλυσιν· καὶ γὰρ οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον. ἐβουλόμην ἐν τοῖς τόποις γενέσθαι νῦν ἐκείνοις, ἐν οἷς ἐκεῖνα τὰ δεσμὰ μένει, καὶ ἰδεῖν τὰς ἁλύσεις, ἃς δε-
E δοίκασι μὲν δαίμονες καὶ φρίττουσιν, αἰδοῦνται δὲ ἄγγελοι. εἰ τῶν ἐκκλησιαστικῶν φροντίδων ἐκτὸς ἤμην, καὶ τὸ σῶμα εὔρωστον εἶχον, οὐκ ἂν παρῃτησάμην ἀποδημίαν τοιαύτην ποιήσασθαι· ὑπὲρ τοῦ ἁλύσεις μόνον ἰδεῖν, καὶ τὸ δεσμωτήριον ἔνθα ὁ Παῦλος ἐδέδετο. ὢ μακαρίων δεσμῶν, ὢ μακαρίων χειρῶν ἃς ἐκόσμησεν ἡ ἅλυσις ἐκείνη περιτεθεῖσα τῷ Παύλῳ. οὐκ ἦσαν οὕτω τίμιαι αἱ χεῖρες αὐτοῦ, τὸν χωλὸν ἐν Λύστροις ἐγείρουσαι, ὡς τὰ δεσμὰ περικείμεναι. εἰ κατ' ἐκείνους τοὺς χρόνους ἤμην ἐγώ, τότε ἂν μάλιστα αὐτὰς περιεπτυξά-
A μην, καὶ ἐπὶ τὰς κόρας ἔθηκα τὰς ἐμάς· οὐκ ἐπαυσάμην καταφιλῶν χεῖρας καταξιωθείσας ὑπὲρ τοῦ δεσπότου δεθῆναι τοῦ ἐμοῦ. οὐχ οὕτως αὐτὸν μακαρίζω ὅτι εἰς τρίτον οὐρανὸν ἡρπάγη, καὶ εἰς τὸν παράδεισον, ὡς ὅτι εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. οὐχ οὕτως αὐτὸν μακαρίζω ὅτι ἤκουσεν ἄρρητα ῥήματα, ὡς ὅτι ὑπέμεινε τὰ δεσμά. καὶ γὰρ ταῦτα ἐκείνων κατὰ πολὺ μείζονα. αἱρετώτερον ἐμοὶ παθεῖν κακῶς ὑπὲρ τοῦ Χριστοῦ, ἢ τιμᾶσθαι παρὰ τοῦ Χριστοῦ. τοῦτο καὶ Παῦλος ἐνθυ-
B μούμενος ἔλεγεν ὡς εἰκός· εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτω ἐν δόξῃ εἶναι ἡγεῖτο, ὡς ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ, τί με παθεῖν οὐ δεῖ; ἄκουε γὰρ αὐτοῦ λέγοντος· δόξασόν με πάτερ. τί λέγεις; ἐπὶ τὸν σταυρὸν ἄγῃ μετὰ λῃστῶν καὶ τυμβωρύχων, τὸν τῶν ἐπαράτων ὑφίστασθαι θάνατον· ἐμπτύεσθαι μέλλεις καὶ ῥαπίζεσθαι, καὶ ταῦτα δόξαν καλεῖς; ναί, φησιν· ὑπὲρ τῶν φιλουμένων ἐγὼ πάσχω ταῦτα, καὶ εἰκότως αὐτὰ δόξαν ἡγοῦμαι. εἰ οὖν ὁ δεσπότης ὁ ἐμὸς τοὺς
C οἰκτροὺς καὶ ταλαιπώρους φιλήσας, δόξαν τὸ πρᾶγμα καλεῖ, καὶ τοῦτο τῆς ἐν τῷ πνευματικῷ θρόνῳ δόξης μᾶλλον προτίθησι, πολλῷ μᾶλλον ὀφείλω ἐγὼ ταῦτα δόξαν ἡγεῖσθαι. ἐκπλήττονται τὸν Ἰὼβ ἅπαντες ἄνθρωποι διὰ τὴν ὑπομονὴν αὐτοῦ, διὰ τὴν τοῦ βίου καθαρότητα, διὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν, διὰ τὴν καρτερὰν μάχην ἐκείνην, διὰ τὴν θαυμαστὴν νίκην τὴν μετὰ τὴν μάχην· ἀλλὰ τὴν Παύλου ὑπομο-
D νὴν ποία ἂν ἀδαμαντίνη ψυχὴ δύναιτ' ἂν ἐπιδείξασθαι; οὐδὲ γὰρ μῆνας πολλοὺς ἀγωνιζόμενος οὕτω διῆγεν, ἀλλ' ἔτη πολλά. οὐχὶ τήκων βώλακας γῆς ἀπὸ ἰχῶρος ξέων, ἀλλ' εἰς αὐτὸ τοῦ λέοντος τὸ νοητὸν στόμα συνεχῶς ἐμπίπτων, καὶ μυρίοις παλαίων πειρασμοῖς, καὶ οὐδὲ παρὰ φίλων τριῶν ἢ τεσσάρων, ἀλλὰ παρὰ πάντων τῶν ἀπίστων ὀνειδιζόμενος, ἐμπτυόμενος, λοιδορούμενος, καὶ μυρίας νιφάδας πειρασμῶν ὑπομένων, καὶ νῦν μὲν μάστιξι, νῦν δὲ λίθοις τὸ σῶμα κα-
E τατεινόμενος, καὶ λιμῷ διηνεκεῖ καὶ κρυμῷ τηκόμενος. ἀλλ' ἡ φιλοξενία τοῦ Ἰὼβ μεγάλη· οὐδὲ ἡμεῖς ἀντεροῦμεν. ἀλλὰ τῆς Παύλου τοσοῦτον καταδεεστέραν εὑρήσομεν, ὅσῳ ψυχῆς σῶμα ἀφέστηκεν. ἃ γὰρ ἐκεῖνος πρὸς τοὺς τὴν σάρκα πεπηρωμένους ἐποίει, ταῦτα οὗτος περὶ τοὺς τὴν ψυχὴν λελωβημένους ἐπεδείκνυτο. καὶ ὁ μὲν προβάτων αὐτῷ καὶ βοῶν ὄντων ἀπείρων, ταῦτα ἔπραττεν· οὗτος δὲ οὐδὲν πλέον κεκτημένος τοῦ σώματος, ἀπ' αὐτοῦ τούτου τοῖς δεομένοις ἐπήρκει, καὶ ἐβόα λέγων· ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται. τούτους ζηλώσωμεν, τούτους μιμησώμεθα ἅπαντες, ἵνα καὶ τῶν ὁμοίων αὐτοῖς ἐπαίνων καὶ μισθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

Περὶ Ἐλεημοσύνης.

Λόγος κγʹ.

Ο ΤΗΣ ἐλεημοσύνης λόγος, ἀγαπητοὶ, οὐ πρὸς τοὺς πλουσίους ἁρμόζει μόνον, ἀλλὰ καὶ πρὸς τοὺς πένητας· κἂν ᾖ τις ἐκ τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος οὗτος. οὐ γάρ ἐστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ, ὡς δύο λεπτῶν μόνων μὴ εὐπορεῖν. ἔνεστιν οὖν καὶ ἐξ ὀλίγων ὀλίγα διδόντας τοὺς πολλὰ κεκτημένους ὑπερβαλέσθαι πλεῖον διδόντας. καθάπερ καὶ ἐκείνη ἡ χήρα. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόντων κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος. οὐ γὰρ χρὴ τοῦτο σκοπεῖν, ὅτι δύο κατέβαλεν ὀβολοὺς ἡ χήρα, ἀλλ᾽ ὅτι μόνους ἔχουσα τούτους οὐκ ἐφείσατο, ἀλλ᾽ ὁλόκληρον τὴν οὐσίαν εἰσήνεγκεν. οὐ τοίνυν περιουσίας, ἀλλὰ προθυμίας ἡμῖν δεῖ. ὥσπερ γὰρ ταύτης παρούσης, οὐδὲν βλάβος γένοιτ᾽ ἂν ἀπὸ πενίας· οὕτως ἀπούσης οὐδὲν ὄφελος γένοιτ᾽ ἂν ἐξ εὐπορίας. διὰ γὰρ τοῦτο οἱ πλουτοῦντες τῶν πενήτων μᾶλλον κολασθήσονται κακοὶ ὄντες, ὅτι μηδὲ ἐν εὐθηνίᾳ γεγόνασιν ἥμεροι. μὴ γάρ μοι λέγε, ὅτι ἔδωκαν ἐλεημοσύνην. εἰ γὰρ μὴ κατ᾽ ἀξίαν ἔδωκαν τῆς οὐσίας, οὐδὲ οὕτως τὴν κόλασιν διαφεύξονται. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων ἡ ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης. καὶ ἔστι δυνατόν, φησὶ, πλούσιον σωθῆναι; καὶ πάνυ. ὁ Ἀβραὰμ πλούσιος ἦν· εἶδες αὐτοῦ τὸν πλοῦτον; βλέπε αὐτοῦ καὶ τὴν φιλοξενίαν. κατὰ δὲ τὸ μεσημβρινὸν ὤφθη αὐτῷ Κύριος πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ καθημένῳ, καὶ τρεῖς ἄνδρες. καὶ ἀναστὰς, οὐ γὰρ ἐνόμιζεν ὅτι Θεὸς ἦν ὁ παρών· πῶς γάρ; προσεκύνησε καὶ λέγει, εἰ κεκρίκατέ με ἄξιον, ἵνα εἰσέλθητε εἰς τὴν σκηνὴν τῶν δοκῶν μου. εἶδές τι ἐποίει ἐν μεσημβρίᾳ ὁ γέρων; οὐχ ὑπὸ στέγην καθήμενος, ἀλλ᾽ ὡς ξένος καὶ ὁδοιπόρος, ὁ πλούσιος καὶ εὐγενὴς, καταλιπὼν οἰκίαν, γυναῖκα, παῖδας, οἰκέτας, ἐξῆλθεν ἁλιεῦσαι, σαγήνην ἁπλώσας φιλοξενίας, μή που ξένος, μή που ὁδοιπόρος, καὶ παραδράμῃ τὴν οἰκίαν. καὶ βλέπε τί ποιεῖ. οὐκ ἐπιτρέπει οἰκέτῃ· καίτοι τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων· ᾔδει γὰρ ὅτι ῥάθυμόν ἐστι τὸ γένος τῶν οἰκετῶν, μήπου ἀπονυστάξῃ ὁ οἰκέτης, καὶ παραδράμῃ ὁ ξένος, καὶ ἀπολέσωμεν τὴν ἄγραν· ἀλλ᾽ αὐτὸς ἐκάθητο, τὰς θερμὰς ἀκτῖνας ὡς δρόσον ἐν καύματι δεχόμενος· καὶ σκιὰ ἦν αὐτῷ ἡ ἐπιθυμία τῆς φιλοξενίας. ἰδοὺ ὁ Ἀβραάμ· ἰδοὺ ὁ πλούσιος. καταξιοῖς σὺ ὅμως κἂν ἰδεῖν πένητας; καὶ ἀποκριθῆναι, καὶ διαλεχθῆναι; καὶ ἀνέστη, φησὶν, Ἀβραὰμ, καὶ προσεκύνησεν, οὐκ εἰδὼς τίνες ἦσαν οἱ παρόντες. εἰ γὰρ ᾔδει, οὐδὲν θαυμαστὸν ἐποίει, ὅτι Θεὸν ἐθεράπευεν· ἀλλ᾽ ἡ ἄγνοια τῶν παραγινομένων μείζονα αὐτοῦ δείκνυσι τῆς φιλοξενίας τὴν προθυμίαν. καὶ καλεῖ καὶ τὴν Σάρραν, κοινωνὸν ποιῶν τῆς φιλοξενίας· κοινὰ, φησὶ, τὰ τοῦ γάμου ἐστὶ, καὶ τὰ τῆς ἀρετῆς· σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως. καὶ οὐκ εἶπεν τι τοιοῦτο· ἐπὶ ταύταις τὰς ἐλπίσιν ἔλαχον, ἵνα μυλωθρίδα καὶ ἀρτοποιὸν ποιήσῃς, τὴν πλοῦτον ἔχουσαν τοσοῦτον; τριακοσίους δέκα καὶ ὀκτὼ δούλους ἔχεις, καὶ οὐκ ἠλθες ἐκείνοις ἐπιτάξαι, ἀλλ᾽ ἐμὲ εἰς διακονίαν ταύτην ἐμβάλλεις· ἀλλ᾽ ἀκούει, σπεῦσον, καὶ ἁρπάζει τὸ ἐπίταγμα. ποῦ αἱ γυναῖκες ἄρα τοιαῦτα ἐπιτάγματα δέχονται; ἔκβαλέ μοι αὐτῆς τὴν χεῖρα, καὶ ὁρᾷς αὐτὴν καταχρυσωμένην ἔξωθεν, ἔσωθεν δὲ * πολιορκίαν κεκτημένην. πόσων πενήτων πλεονεξίαν ἡ χείρ σου βαστάζει; ἔκβαλέ μοι τὴν χεῖρά σου· δεῖξον αὐτήν τί ἐνδέδυται πλεονεξίαν. ἔκβαλε τὴν χεῖρα τῆς Σάρρας, τί ἐνδέδυται; φιλοξενίαν, ἐλεημοσύνην, ἀγάπην, φιλοπτωχίαν. σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως. καὶ αὐτὸς ἔδραμεν ἐπὶ τὴν ἀγέλην τῶν βοῶν. μερίζονται τὸν πόνον, ἵνα μερίσωνται τὸν στέφανον. εἶτα ἔθυσε τὸν μόσχον. ὁμοῦ δρομεὺς ἐγένετο ὁ γέρων. οὐδὲ γὰρ ἐχαυνοῦτο αὐτῷ τὸ σαρκὸς σθένος, ἀλλ᾽ ἐπενευροῦτο τῇ φιλοσοφίᾳ ἡ διάνοια· ἐνίκησε τὴν φύσιν ἡ προθυμία· ὁ δεσπότης τριακοσίων δέκα καὶ ὀκτὼ οἰκετῶν, μόσχον βαστάζων οὐκ ἐβαρύνετο, ἀλλ᾽ ἐκουφίζετο τῇ διανοίᾳ καὶ τῇ προθυμίᾳ. ὁ δρόμος τῷ γέροντι πρόκειται. πόσος ὁ πόνος; ἀλλ᾽ οὐκ ᾐσθάνετο τοῦ πόνου, διὰ τὴν ἐλπίδα τοῦ κέρδους. τί οὖν ὁ παραγινόμενος; κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. εἶδες οἷον καρπὸν ἐβλάστησεν ἡ τράπεζα; πῶς καλόν; πῶς ταχύν; πῶς ὥριμον; πῶς ὁ βότρυς περκάζων καὶ ἀπηρτισμένος; τοιοῦτοι τῆς φιλοξενίας οἱ καρποί. μὴ τοίνυν νομίζωμεν ἡμῶν ἐλαττοῦσθαι τὴν οὐσίαν, ὅταν ἐλεημοσύνην παρέχωμεν. οὐ γὰρ ἐλαττοῦται, ἀλλ᾽ αὔξεται· οὐ δαπανᾶται, ἀλλὰ πλεονάζει· καὶ πραγματεία τίς ἐστι καὶ σπόρος τὸ γινόμενον· μᾶλλον δὲ ἀμφοτέρων τούτων κερδαλεώτερον καὶ ἀσφαλέστερον· ἡ μὲν γὰρ ἐμπορία καὶ πνεύμασι καὶ κύμασι θαλάσσης ὑπόκειται, καὶ ναυαγίοις πολλοῖς· καὶ τὰ σπέρματα καὶ αὐχμοῖς, καὶ ἐπομβρίαις, καὶ ἑτέραις ἀέρων ἀνωμαλίαις. τὰ δὲ εἰς τὴν χεῖρα τοῦ Κυρίου καταβαλλόμενα χρήματα ἀνώτερα πάσης ἐστὶν ἐπιβουλῆς, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ λαβόντος τὰ δοθέντα ἅπαξ· ἀλλὰ μένει πολλὴν ὑμῖν καὶ ἄφατον ἐργαζόμενα τὸν καρπόν,

De Eleemoſyna.

HOMILIA XXIII.

SErmo de eleemoſyna, dilectiſſimi, non ad divites ſolùm, ſed etiam ad pauperes pertinet: Etiamſi quis mendicato vivat, id ipſum tamen hic ſermo ſpectat. Nullus enim adeò eſt pauper, licet admodum pauper ſit, ut duo ei minuta non ſuppetant. Licet igitur etiam ex paucis pauca dantem locupletes B vincere, plus dantes. Sicut & illa vidua. Neque enim ex eorum quæ dantur, menſura; ſed facultate & intentione dantium magnitudo eleemoſynæ judicatur. Non enim hoc attendere oportet, quòd duos obolos pependerit vidua, ſed quòd hos tantùm habens, his non pepercerit, ſed univerſam ſubſtantiam contulerit. Non igitur abundantia, ſed animi promptitudine nobis opus eſt. Quemadmodum enim hac præſente, nihil paupertas obfuerit: ſic abſente ea, nihil nobis profuerit abundantia bo- C norum. Ideo enim divites improbi magis quàm pauperes punientur, quòd nec in abundantia mites fuerint. Nec enim mihi dicas, quia eleemoſynam dederunt, niſi enim pro dignitate dederint facultatem, ne ſic quidem pœnam effugient. Non enim datorum menſura eleemoſyna æſtimatur, ſed animi obſequio. Et fieri poteſt, dicet aliquis, ut dives ſalvus fiat? & maximè. Abraham dives erat. Vidiſti ipſius divitias? Vide ejuſdem quoq; hoſpitalitatē. Circa meridianum tempus *apparuit ei Dominus, ad quercum Mambre ſedenti, & tres viri.* Et ſurgens (quia non D putabat Deum eſſe, qui aderat: quomodo enim?) adoravit, & inquit? *ſi dignum me judicaſtis, ut ingrediamini in tabernaculum tignorum meorum.* Vidiſti quid in meridie fecerit ſenex? Non ſub tecto ſedet, ſed tanquam peregrinus & viator, dives ille & nobilis, relinquens domum, uxorem, liberos, ſervos, exivit piſcatum, ſagenam explicans hoſpitalitatis, ne fortè peregrinus aut viator domum præteriret. Et vide quid faciat. Non committit famulo; quamvis trecentos decem & octo haberet (ſciebat E enim negligens eſſe famulorum genus) ne fortè famulus obdormiſceret, & peregrinus prætergrederetur, & perdamus, inquit, capturam: ſed ipſemet ſedebat, calidos radios, quaſi rorem in æſtu, ſuſcipiens: eratque ipſi loco umbræ hoſpitalitatis ſtudium. Ecce Abraham: ecce dives. Viſne omnino etiam videre pauperem? & reſpondere & colloqui? Et ſurrexit, inquit, Abraham, & adoravit, nec ſciens quinam eſſent advenientes. Si A enim ſciviſſet, nihil admiratione dignum feciſſet, quoniam Deum coluiſſet, ſed ignoratio advenientium majus ipſius oſtendit hoſpitalitatis ſtudium. Et vocat etiam Saram participem hoſpitalitatis faciens: Communia, inquit, ſint, ut conjugii, ita & virtutis bona: feſtina, & commiſce tria ſata ſimilæ. Quæ non dixit tale quippiam: num per iſtas ſpes conſecuta ſum, ut moluricem & panificam faceres, tantas divitias habentem? Trecentos decem & octo famulos habes, nec iviſti ut illis hoc B juberes, ſed me in hoc miniſterium conjicis? ſed audit illud, Feſtina, & præceptum rapit. Ubi nunc ſunt mulieres? num talia mandata ſuſcipiunt? Excute mihi manum ipſius, & videbis eam foris auro * exornatam, interius autem urbium obſidionem habentem. Quot pauperum prædas tua fert manus? Excute mihi manum tuam: oſtende quo ſit induta avaritia. Excute manum Saræ; quo induta? hoſpitalite, eleemoſyna, charitate, pauperum amore. Feſtina, & miſce tres menſuras ſimilæ. Et C ipſe cucurrit ad armentum boum. Partiuntur laborem, ut partiantur coronam. Deinde mactavit vitulum: Simul curſor factus eſt ſenex non enim ei laxatum eſt carnis robur, ſed confirmabatur in ſapientia ipſius animus. Vicit naturam alacritas animi. herus trecentorum decem & octo famulorum portare vitulum non gravabatur, ſed per cogitationem & animi promptitudinem ſublevabatur. Curſus ſeni propoſitus erat. Quantus labor? ſed tamen laborem non ſenſit, propter ſpem lucri. Quid D ergo peregrinus? Tempore hoc veniam, & erit Saræ filius. Vidiſti qualem fructum produxerit menſa? quàm bonum? quàm citum? quàm maturum? quàm uva fuerit maturitate nigreſcens & perfecta? Tales ſunt hoſpitalitatis fructus. Ne igitur facultates noſtras imminui exiſtimemus, cùm eleemoſynam damus. Non enim minuitur ſed augetur: non conſumitur, ſed affluit & abundat; & eſt res iſta veluti negotiatio quædam & ſatio: imò verò his ambabus aliquid quæſtuoſius & ſecurius. E Mercatura enim tum ventis, tum fluctibus maris & naufragiis eſt obnoxia, & ſemina ariditati & imbrium vi, cæteriſque aëris inæqualitatibus Quæ verò in Domini manus deponitur pecunia, omnibus inſidiis ſuperior eſt, nec quiſquam rapere è manu ſuſcipientis valet, quæ ſemel data ſunt: ſed permanent, multúmque nobis & immenſum fructum præſtant, meſſem-

Marc. 12, 41. Luc. 21, 2.

Ex interpr. Evang. S. Matth.

Gen. 18. 1.

forte legendum πολιορκίαν, ſufficientiam multam. Vide obſervat. in fine.

meſſémque tempore ſuo divitem adferunt. Si enim homo iſta accipiens, non contemneret, ſed gratias referret, multò magis *Ex hom. Prov. 19.* Chriſtus id faciet. Qui enim dat, cùm etiam nihil accepit; quomodo, poſtquam acceperit, non dabit? Audi Salomonem: Qui miſeretur, inquit, pauperis, fœneratur Deo. Vidiſti fœnoris naturam novam & admirabilem? Alius eſt, qui accipit, & alius qui fœnoris debitorem ſeipſum conſtituit. Quare non dixit, Qui miſeretur, dat Deo, ſed, fœneratur? Ne vulgarem retributionem exiſtimares. Novit Scriptura avaritiam noſtram; attendit quod inexplebilis noſtra cupiditas potiora commoda reſpiciens * *uſuram* abundantiam quærat; & nequaquam velle pecuniam habentem pauperi mutuo dare, ſine cautione, aut hypotheca, aut pignore, aut fidejuſſione. Et quoniam novit Deus, neminem abſque his mutuum dare, neque humanitatis rationem habere, ſed ad ſolum lucrum reſpicere: uſdem verò omnibus pauperem eſſe deſtitutum: nec hypothecam habere, cum nihil poſſideat: nec ferre pignus, cum jam exhauſtus ſit: nec promittentem exhibere; quod ob egeſtatem nulla ei fides habeatur: cum videret, hunc quidem propter inopiam, pecuniam verò habentem, propter inhumanitatem periclitari; medium *Ex ep. ad Rom.* ſeipſum interpoſuit: ſponſorem quidem pauperi, mutuum verò danti, pignus. Qui miſeretur, inquit, pauperis, fœneratur Deo. Jam verò cùm mutuum dare oportet, ſolicitè inquirimus, qui multa dent, eoſque qui grati ſint, circumſpicimus: hic autem contrarium facimus. Memorem beneficiorum Deum: & centuplum retribuentem dimittimus: eos verò, qui ne ſummam quidem capitalem nobis ſunt reddituri, quærimus. Quid enim nobis venter, qui pleráque conſumit, retribuet? Stercus & corruptionem. Quid verò inanis gloria? invidiam & livorem. Quid item tenacitas? curam & ſolicitudinem. Quid porrò luxus & laſcivia? gehennam & venenoſos vermes. Hi enim divitum ſunt debitores, has pro capitali pendentes uſuras: præſentia ſcilicet mala & futuras calamitates. Quare igitur non das ei qui certo daturus eſt, & plura daturus? Fortè quia poſt mul- *Matt. 6,33.* tum temporis dat. Atqui etiam hîc dat. verax enim eſt, qui ait: *Quærite regnum cælorum, & hæc omnia adjicientur vobis.* Præter hæc vero, id quod poſt longum tempus recipias, divitias quoque tibi auget: nam uſura multiplicatur & creſcit. Etenim hæc fœneratores agere videmus cum his, qui in fœnus accipiunt, ut ſcilicet promptiùs illis mutuò dent, qui poſt longum tempus ſolvunt. Qui enim ſummum continuò reddit, uſuræ intercidit curſum: qui verò longiore tempore retinuit, quæſtum etiam majorem fecit. Ergóne in hominibus moleſtè non ferimus dilationem, ſed de induſtria etiam quærimus, ut ea *Ex hom. de Pœn.* major fiat; erga Deum verò animo ita puſillo & illiberali ſumus? Qui miſeretur pauperis, fœneratur Deo. Et fœneraris à me, Domine, pauperi datam eleemoſynam? Ut igitur aliquando iſta reddas, da mihi remunerationis tempus: conſtitue retributionis terminum. Quando & ubi debitum recipiam? Cùm ſederit filius hominis in ſede majeſtatis ſuæ, & conſtituerit oves *Ex interpr. Evang. S. Matth.* quidem à dextris, hædos autem à ſiniſtris: & dicet iis, qui à dextris ſunt: Venite benedicti Patris mei, poſſidete paratum vobis regnum à conſtitutione mundi. Pro quibus? Quia eſurivi, & dediſtis mihi manducare; ſitivi, & dediſtis mihi bibere: nudus eram, & operuiſtis me. Et quare, ô Domine, aliarum * *id eſt aliorum operum actionumve; phraſi Heb.* viarum non meminiſti, ſed eleemoſynæ tantùm? Non judico, inquit, peccatum, præter inhumanitatem: non judico eos qui deliquerunt; ſed qui pœnitentiam non egerunt. Propter inhumanitatem vos condemno; quia tantum habentes, & tale ſalutis remedium, eleemoſynam, inquam, qua univerſa delentur peccata, tantum beneficium prætermiſiſtis. Non enim ad hoc pecuniam accepiſti, ut in luxum profundas, ſed ut in eleemoſynam impendas. Nunquid tua ſunt quæ habes? pauperum bona tibi ſunt credita: ſive juſtis ex laboribus, ſive ex paterna hæreditate poſſideas. Ne enim ideo, quòd magna cum humanitate de tuis dare juſſus es, exiſtimes ea eſſe tua: nec excellentiam humanitatis, materiam facias ingratitudinis. An enim auferre iſta Deus non potuit? Sed tamen non facit, ſed poteſtatem tibi dat, liberalitatis in egenos exercendæ. Qua igitur de cauſa non dediſti? An te recepturum diffidis? & quomodo hoc rationi conſentaneum fuerit? Qui enim non danti dat, quomodo non multo magis dabit, poſtquam acceperit? Propterea enim plura quàm alios te Deus habere permiſit, non ut in fornicationes & ebrietatem, in edacitatem & veſtium luxum, aliámque mollitiem expendas, ſed ut in egenos ea eroges. Si enim *Ex interpr. ep. ad Rom.* aliquid ultra neceſſitatem in teipſum impenderis, difficillimas ibi rationes daturus es. Sed ſcio multos eò feritatis deveniſſe, ut propter exiguam ignaviam fame laborantes deſpiciant pauperes, atque ejuſmodi ad eos dicere: Non adeſt mihi jam famulus: procul à domo abſum: nemo ex præſentibus mihi notus eſt.

A καὶ τὸν ἄμητον ἐν καιρῷ φέροντα πλούσιον. εἰ γὰρ ἄνθρωπος οὐ περιόψεται λαβὼν, ἀλλ' ἀποδώσει τὴν χάριν, πολλῷ μᾶλλον ὁ Χριστός. ὁ γὰρ καὶ χωρὶς τοῦ λαβεῖν διδοὺς, πῶς μετὰ τὸ λαβεῖν οὐ δώσει; ἄκουε Σολομῶντος· ὁ ἐλεῶν πτωχὸν, φησὶ, δανείζει Θεῷ. εἶδες δανείου φύσιν ξένην καὶ παράδοξον; ἕτερός ἐστιν ὁ λαμβάνων, καὶ ἕτερος ὁ τοῦ δανείου ὑπεύθυνον ἑαυτὸν καθιστῶν. διὰ τί οὐκ εἶπεν, ὁ ἐλεῶν δίδωσι Θεῷ, ἀλλὰ δανείζει; ἵνα μὴ ἁπλῆν τὴν ἀντιμισθίαν νομίσῃς. οἶδεν ἡ B γραφὴ τὴν ἡμετέραν πλεονεξίαν· προσέχει ὅτι ἡ ἀπληστία ἡμῶν πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ, καὶ μηδαμοῦ τὸν χρήματα ἔχοντα δανείζειν θέλοντα τῷ πτωχῷ ἄνευ ἀσφαλείας ἢ ὑποθήκης, ἢ ἐνεχύρου, ἢ ἐγγύης. καὶ ἐπειδὴ οἶδεν ὁ Θεὸς, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ, πάντων δὲ τούτων ἔρημος ὁ πτωχὸς, οὐχ ὑποθήκην ἔχων, κέκτηται γὰρ οὐδέν· οὐκ ἐνέχυρα φέρων, γεγύμνωται γάρ· οὐ τὸν ἀντι- C φωνοῦντα παρέχει, ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν· ὡς εἶδεν αὐτὸν μὲν διακινδυνεύοντα τῇ ἀπορίᾳ, τὸν δὲ ἔχοντα χρήματα, κινδυνεύοντα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρενέθηκεν, ἔγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. ὁ ἐλεῶν πτωχὸν, φησὶ, δανείζει Θεῷ. καὶ μὴν ἂν δανείζειν δέῃ τοὺς πολὺ διδόντας περιεργαζόμεθα, καὶ τοὺς εὐγνώμονας περισκοποῦμεν· ἐνταῦθα δὲ τἀναντίον ποιοῦμεν. τὸν μὲν εὐγνωμονοῦντα Θεὸν, καὶ ἑκατονταπλασίονα παρέχοντα ἀφίε- D μεν, τοὺς δὲ ἀποδώσοντας ἡμῖν οὐδὲ τὸ κεφάλαιον, τούτους ἐπιζητοῦμεν. τί γὰρ ἡμῖν ἡ γαστὴρ ἀποδώσει, τὰ πλείονα ἀναλίσκουσα; κόπρον καὶ φθοράν. τί δὲ ἡ κενοδοξία; φθόνον καὶ βασκανίαν. τί δὲ ἡ φειδωλία; φροντίδα καὶ μέριμναν. τί δὲ ἡ ἀσέλγεια, γέενναν καὶ σκώληκα ἰοβόλον. οὗτοι γὰρ τῶν πλουτούντων οἱ χρεῶσται, τούτους τοῦ κεφαλαίου τοὺς τόκους καταβάλλοντες, τὰ ἐνταῦθα κακὰ, καὶ τὰ προσδοκώμενα δεινά. τίνος οὖν ἕνεκεν οὐ διδοὺς τῷ E καὶ δώσοντι πάντως, καὶ πλείονα δώσοντι; τάχα ὅτι διὰ πολλοῦ δίδωσι χρόνου. καίτοι καὶ ἐνταῦθα δίδωσιν. ἀψευδὴς γὰρ ὁ λέγων· ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. * χωρὶς δὲ τούτου, καὶ τὸ διὰ μακροῦ λαβεῖν τοῦ χρέους πλεονάζειν ποιεῖ τὸν πλοῦτον· ὁ γὰρ τόκος γίνεται πλείων. καὶ γὰρ καὶ ἐπὶ τῶν δανειζομένων τοῦτο ὁρῶμεν τοὺς δανειστὰς ποιοῦντας προθυμότερον τοῖς μετὰ πλείονα καταβάλλουσι χρόνον δανείζοντας. ὁ μὲν γὰρ τὸ πᾶν εὐθέως ἀποδοὺς, ἐνέ- A κοψε τοῦ τόκου τὸν δρόμον· ὁ δὲ ἐπὶ πλείονα κατασχὼν χρόνον, καὶ τὴν ἐργασίαν πλείω πεποίηκεν. εἶτα ἐπὶ ἀνθρώπων μὲν οὐ δυσχεραίνομεν τὴν ἀναβολὴν, ἀλλὰ καὶ σοφιζόμεθα αὐτὴν πλείω γενέσθαι, ἐπὶ Θεοῦ δὲ οὕτω μικροψύχως διακείμεθα; ὁ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. καὶ δανείζῃ παρ' ἐμοῦ, Κύριε, τὴν εἰς τὸν πτωχὸν ἐλεημοσύνην; ἵνα ποτέ μοι ταῦτα ἀποδῷς, δός μοι τὸν ἀντιδόσεως τὸν καιρόν· ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδω- B μαι; ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ στήσῃ τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ὑπὲρ τίνων; ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ μοι· γυμνὸς ἤμην καὶ ἐνεδύσατέ με. καὶ διὰ τί, ὦ Κύριε, οὐκ ἄλλων ὁδῶν φέρεις μνήμην, ἀλλ' ἢ τῆς ἐλεημοσύνης; οὐ κρίνω, C φησὶ, τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀπανθρωπίαν· οὐ κρίνω τοὺς ἁμαρτήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας. ὑπὲρ ἀπανθρωπίας ὑμᾶς καταδικάζω, ὅτι ἔχοντες τοσοῦτον, καὶ τηλικοῦτον φάρμακον σωτηρίας τὴν ἐλεημοσύνην, ἐν ᾗ ἐξαλείφεται πάντα τὰ ἁμαρτήματα, παρήκατε τοσαύτην εὐεργεσίαν. οὐ γὰρ διὰ τοῦτο τὰ χρήματα ἔλαβες, ἵνα εἰς τρυφὴν δαπανήσῃς, ἀλλ' ἵνα εἰς ἐλεημοσύνην ἀναλώσῃς. μὴ γὰρ τὰ σαυτοῦ ἔχεις; τὰ τῶν πενήτων ἐνεπιστεύθης· κἂν ἐκ πόνων δικαίων, κἂν ἀπὸ κλήρου πατρῴου κεκτημένος τύχῃς. μὴ γὰρ D ἐπειδὴ ἀπὸ πολλῆς φιλανθρωπίας ἐκ τῶν σῶν ἐκελεύσθης διδόναι, διὰ τοῦτο καὶ σαυτοῦ νομίζῃς εἶναι ταῦτα, μηδὲ τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας ὑπόθεσιν ποιοῦ ἀγνωμοσύνης. μὴ γὰρ οὐκ ἠδύνατο αὐτὰ ὁ Θεὸς ἀφελέσθαι σου, ἀλλ' οὐ ποιεῖ τοῦτο, σὲ κύριον ποιῶν τῆς εἰς τοὺς δεομένους φιλοτιμίας. τίνος οὖν ἕνεκεν οὐκ ἔδωκας; ἀπιστεῖς ὅτι λήψῃ πάλιν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁ γὰρ τῷ μὴ δεδωκότι διδοὺς, πῶς ἂν οὐ πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν δώσει; διὰ γὰρ τοῦτό σοι πλείονα τῶν E ἄλλων ἔχειν συνεχώρησεν ὁ Θεὸς, οὐχ ἵνα εἰς πορνείας καὶ μέθην καὶ ἀδηφαγίαν, καὶ ἱματίων πολυτέλειαν καὶ τὴν ἄλλην βλακείαν ἀναλώσῃς, ἀλλ' ἵνα τοῖς δεομένοις αὐτὰ διανέμῃς. ἂν γὰρ πλέον ὑπὲρ τὴν χρείαν εἰς σεαυτὸν ἀναλώσῃς τῆς ἀναγκαίας, χαλεπωτάτας ἐκεῖ τὰς εὐθύνας παρέξεις. ἀλλ' οἶδα πολλοὺς εἰς τοῦτο θηριωδίας ἐλθόντας, ὡς δι' ὄκνον μικρὸν λιμώττοντας περιορᾶν τοὺς πένητας, καὶ ταῦτα πρὸς αὐτοὺς λέγοντας· οὐ πάρεστιν οἰκέτης ἐμοὶ νῦν· πόῤῥω τῆς οἰκίας εἰμί· οὐδεὶς τῶν ἐνταῦθά ἐστί μοι γνώριμος·

α τῆς

Digitized by Google

ὢ τῆς ὠμότητος· ὢ τῆς ὕβρεως. εἰ καὶ δέκα στάδια βαδίσαι ἐχρῆν, οὐδ' οὕτως ὀκνῆσαι ἔδει· ὅτι μείζων ὁ μισθός. ὅταν μὲν γὰρ δῷς, ὑπὲρ τῶν διδομένων λαμβάνεις μισθὸν μόνον· ὅταν δὲ καὶ αὐτὸς βαδίσῃς, καὶ τούτου σοι πάλιν ποιεῖται ἡ ἀμοιβή. ἐπεὶ δὲ τὸν πατριάρχην Ἀβραὰμ διὰ τοῦτο μάλιστα θαυμάζομεν, ὅτι τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἔχων, οὐδενὶ τοῦτο ἐπέταξεν, ἀλλ' αὐτὸς ἐπὶ τὰς βοῦς ἔδραμε, καὶ τὸ μοσχάριον ἥρπασε· μὴ οὖν ἐπαισχυνθῇς διὰ τῆς σαυτοῦ χειρὸς θεραπεῦσαι τὸν πένητα. ὁ Χριστὸς οὐκ ἐπαισχύνεται χεῖρα ἐκτεῖναι καὶ λαβεῖν διὰ τοῦ πένητος· καὶ σὺ χεῖρα ἐκτεῖναι καὶ δοῦναι ἀργύριον ἐπαισχύνῃ; καὶ πῶς τοῦτο οὐκ αἰσχύνης ἄξιον; εἰ γὰρ ποτήριον ψυχροῦ μόνον βασιλείαν οὐρανῶν προξενεῖ· τὸ καὶ ὁμωρόφιον ποιῆσαι καὶ τραπέζης κοινωνὸν, καὶ ἀναπαῦσαι πένητα, πόσον οἴσει τὸν καρπόν, εἰπέ μοι; μὴ τοίνυν ἐπαισχυνώμεθα ταῖς τῶν πενήτων θεραπείαις μηδὲ παραιτώμεθα δι' ἑαυτῶν θεραπεύειν αὐτούς. ἁγιάζονται γὰρ ἡμῶν αἱ χεῖρες διὰ τῆς τοιαύτης διακονίας· κἂν εἰς εὐχὰς αὐτὰς ἀνατείνωμεν ἀπὸ τῆς θεραπείας ἐκείνης, ὁρῶν αὐτὰς ὁ Θεὸς, δυσωπεῖται μᾶλλον, καὶ τὴν αἴτησιν δίδωσι. τὸ μὲν γὰρ χρήματα δοῦναι πολλῶν ἂν εἴη· τὸ δὲ δι' ἑαυτῶν θεραπεῦσαι τοὺς δεομένους, καὶ μετὰ προθυμίας ποιῆσαι τοῦτο, μεγάλης ψυχῆς δεῖται καὶ φιλοσόφου. ἂν ἴδῃς ἐν τοῖς βιωτικοῖς σοι βοηθοῦντα πράγμασιν, ἢ ἐν δικαστηρίῳ συμπράττοντα, ἢ ἄλλῳ τινὶ τοιούτῳ, καὶ ἀπαντᾷς, καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐνοίας, καὶ χεῖρας καταφιλεῖς, καὶ ἀργύρια καταβάλλεις, καὶ τὰ τῶν θεραπευόντων ποιεῖς· σὺ δὲ τὸν Χριστὸν εἰσελθόντα ἰδὼν, ὀκνεῖς καὶ ἀναδύῃ πρὸς τὴν αὐτοῦ θεραπείαν; εἰ μὴ ὡς τὸν Χριστὸν δέχῃ τὸν ξένον, μὴ δέξῃ· εἰ δὲ ὡς τὸν Χριστὸν δέχῃ, μὴ ἐπαισχυνθῇς τοῦ Χριστοῦ νίψαι τοὺς πόδας. ἀλλ' ἐν ὅσῳ πρόκειται ἡ πανήγυρις, ἀγοράσωμεν ἐλεημοσύνην, μᾶλλον δὲ διὰ τῆς ἐλεημοσύνης ἀγοράσωμεν τὴν σωτηρίαν. Χριστὸν ἐνδύεις πτωχὸν ἐνδύων. εἰ γὰρ ποτήριον ψυχροῦ ἠμείφθη· ἱμάτια καὶ χρήματα διδόμενα δι' εὐεργεσίαν οὐκ ἀμειφθήσεται, τοὐναντίον οὖν καὶ πολὺ μισθωθήσεται. εἰ γὰρ ἐπὶ ἀδαπάνου ἡ δόσις, τοσαύτη τῆς εὐεργεσίας ἡ χάρις· ὅπου ἱματίων ἀφθονία, χρημάτων χορηγία, τῶν ἄλλων ἀγαθῶν ἡ περιουσία, πόσην ἀπεκδέχεσθαι χρὴ μισθὸν παρὰ τοῦ δικαίου κριτοῦ; οἶδα ὅτι ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις μεμαθήκατε· ἀλλ' εἴθε πολλάκις μαθόντες, κἂν ὀλιγάκις τὸ καλὸν ἐργαζοίμεθα. καὶ γὰρ πολλῆς ἀλογίας, ἀγρὸν μὲν βουλομένους ὠνήσασθαι, τὴν εὔφορον ζητεῖν γῆν· ἐπιζητοῦντ' οὐρανοῦ δὲ ἀντὶ γῆς προκειμένου, παρὸν ἐκεῖ κτήσασθαι χωρίον, μένειν ἐπὶ τῆς γῆς, καὶ τὴν ἐν ταύτης ἀνέχεσθαι πόνων. εἰπὲ δή μοι, εἴ τις σοι ἔλεγεν, ὅτι μετ' ἐνιαυτὸν πεσεῖται αὕτη ἡ πόλις, ἡ ἑτέρα δὲ οὐ· ἆρα ἂν ᾠκοδόμησας οἰκίας ἐν τῇ μελλούσῃ καταπίπτειν; μὴ τοίνυν οἰκοδομῶμεν ἐν τῷ κόσμῳ τούτῳ· πεσεῖται γὰρ μικρὸν ὕστερον καὶ ἀπολεῖται. τί δὲ λέγω πεσεῖται; πρὸ τῆς πτώσεως ἡμεῖς ἀπολλύμεθα, καὶ δεινὰ πεισόμεθα. οἰκοδομήσωμεν δὲ μᾶλλον ἡμῶν ἐν οὐρανοῖς τὴν οἰκοδομὴν, ἔνθα οὐ χρεία τεκτόνων ἡμῖν, οὐδὲ οἰκοδόμων, ἀλλ' αἱ τῶν πενήτων χεῖρες, τὰς τοιαύτας οἰκοδομοῦσιν οἰκοδομάς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ βασιλείαν οὐρανῶν προξενοῦσι, καὶ παρρησίαν διδόασι πρὸς τὸν Θεόν. τοιοῦτο τὸ τῆς ἐλεημοσύνης ὕψος. καὶ καθάπερ βασιλίδος εἰσιούσης οὐδεὶς τολμᾷ τῶν φυλασσόντων τὰς θύρας ἐξετάσαι, τίς εἴη καὶ πόθεν, ἀλλὰ πάντες μετὰ χαρᾶς ὑποδέχονται· οὕτω δὴ καὶ τοὺς ταύτην ἐργαζομένους παρὰ τὸν θρόνον ἵστησι τὸν βασιλικόν. φιλεῖ γὰρ αὐτὴν ὁ Θεὸς, καὶ ἀεὶ πλησίον αὐτοῦ ἕστηκε, καὶ ὑπὲρ ὧν δ' ἂν αἰτήσῃ χάριν, εὐθέως λαμβάνει. τοσαύτη τῆς ἐλεημοσύνης ἡ περιουσία, ὡς μὴ μόνον ἁμαρτήματα καθαίρειν, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον φυγαδεύειν. καὶ τίς, φησὶν, ἐλεημοσύνην ἐπιδειξάμενος τοῦ θανάτου κρείττων γέγονε; καὶ μὴν ἅπαντας ὁρῶμεν ὑπὸ τὴν τυραννίδα τοῦ θανάτου γινομένους. μὴ θορυβηθῇς, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων μάνθανε, ὅπως ἡ τῆς ἐλεημοσύνης δύναμις ἐνίκησε ταύτην τὴν τυραννίδα. καὶ γὰρ Ταβηθά τις ἐγένετο γυνὴ, ἥτις ἔργον ἐποιεῖτο καθ' ἑκάστην τὴν ἀπὸ τῆς ἐλεημοσύνης εὐπορίαν συλλέγειν· καὶ ἐνεδίδυσκε, φησὶ, τὰς χήρας, καὶ τὴν ἄλλην ἅπασαν εὐπορίαν αὐταῖς παρεῖχεν. ἐγένετο δὲ ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. τί οὖν αἱ τῆς θεραπείας ἀπολαύσασαι, καὶ τὰ σώματα σκεπόμεναι ἀπ' αὐτῆς; ἐν καιρῷ τὴν εὐεργέτιν τὴν αὐτῶν ἀμείβονται· περιστᾶσαι γὰρ τὸν ἀπόστολον ἐδείκνυον τὰ ἱμάτια, καὶ ὅσα ἐποίει μετ' αὐτῶν, καὶ δάκρυα ἐπέχεον, καὶ εἰς οἶκτον τοῦτον ἐπέφερον. τί οὖν ὁ Πέτρος; τὰ γόνατα θεὶς, φησὶ, προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβηθὰ, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησε, καὶ φωνήσας τὰς χήρας, καὶ τοὺς παρεστῶτας παρέδωκεν αὐτὴν ζῶσαν. εἶδες ὅση τῆς εὐποιίας ἡ περὶ τὰς χήρας ἀμοιβή; τί γὰρ τοσοῦτον, εἰπέ μοι, παρέσχεν αὐτὴ ταῖς χήραις, ὅσον αὗται αὐτὴν ἠμείψαντο; τὸ γὰρ τῆς ἐλεημοσύνης μέγεθος, οὐκ ἐν τῷ πλήθει τῶν διδομένων κρίνεται, ἀλλ' ἐν τῇ προθυμίᾳ τῶν διδόντων. οὕτως μεγάλα δύνανται πόδες ἁγίων εἰς οἰκίαν εἰσιόντες· αὐτὸ τὸ ἔδαφος ἁγιάζουσι, θησαυροὺς μυρίων εἰσάγουσιν ἀγαθῶν·

A O crudelitatem! ô injuriam! Etiamſi decem ſtadia ambulare oporteret, nec ita tamen ſegnis eſſe deberes: major enim eſt merces. Etenim ſi dederis, pro ſolo dato mercedem recipis: ſi verò ipſemet iveris, hujus quoque tibi rurſus propoſita eſt merces. Quoniam verò Abraham Patriarcham ob hoc potiſſimùm miramur, quòd trecentos decem & octo vernaculos habens, nulli iſtorum mandaverit, ſed ipſe ad armenta cucurrerit, vitulúmque rapuerit: Ne igitur & te pudeat manu tua pauperem curare. Chri-
B ſtus non erubeſcit manum extendere, & accipere per pauperem: & tu extendere manum daréq; pecuniam erubeſcis? Et quomodo hoc non dignum pudore? Si enim poculum frigidæ aquæ ſolùm, regnum cœlorum conciliat: quantû quæſo adferet fructum, ſub idem tectum induxiſſe, menſæ participem feciſſe & refeciſſe pauperem? Ne igitur nos pudeat curæ pauperum: neq; ipſis per nosipſos officia impendere detrectemus. Sanctificantur enim manus noſtræ per ejuſmodi miniſterium, ac ſi ad orationem eas
C ab illa cura extendamus, videns eas Deus, magis placatur, & petitionem dat. Etenim pecuniam dare fortè multorum eſt; at per ſeipſum curam impendere egenis, idq; alacriter & ſtudioſè facere magni & ſapientis animi. Si tibi quem videris, in rebus ad vitam hanc ſpectantibus, opitulari, aut in judicio operam præſtare, aut alia ejuſmodi in re, ei occurris, & magna cum benevolentia amplecteris, & manus deoſcularis, & pecuniam expendis, famulorúmque munera obis: Cùm verò Christum ingredientem
D cernis, pigeres, & ſubterfugis ipſius obſequium? Si non tanquam Christum ſuſcipis peregrinum, non ſuſcipies: ſi verò veluti Christum ſuſcipis, ne te pudeat Christi lavare pedes. Sed quandiu propoſitæ ſunt nundinæ, emamus eleemoſynas: imò verò eleemoſynis comparemus nobis ſalutem. Christum veſtis, cùm pauperem veſtis. Si enim poculum frigidum mercedem habet, veſtimentis & pecuniis, quæ ex liberalitate dantur, merces non deberetur? imò verò magna eis debetur merces. Si enim cùm datio ſine ſumptu fit, tanta eſt beneficentiæ gratia: quan-
E tam neceſſe eſt à juſto judice mercedem recipere, ubi veſtium copia, pecuniæ erogatio, aliorúmque bonorum eſt abundantia? Scio quòd hæc & ſimilia frequenter didiceritis. Sed utinam bonum quod frequenter didicimus, raro ſaltem operemur. Etenim magnæ eſt ſtultitiæ, agrum quidem emere volentem terram fertilem quærere, cùm verò pro terra cœlum proponatur, & promptum ſit, prædium ibi comparare, manere in terra, at-
A que hujus labores ſuſtinere. Dic mihi quæſo, ſi quis tibi diceret, poſt annum ruituram hanc urbem; aliam verò quandam non item, nunquid domos extrueres in ea quæ caſura eſſet? ne igitur ædificemus in hoc mundo: cadet enim non longè pòſt, & peribit. Et quid dico cadet? antequam cadat, nos interimus, & gravia atque indigna patiemur. Ædificemus verò potiùs ædificium noſtrum in cœlis, ubi nihil opus erit opificibus aut ſtructoribus, ſed pauperum manus ejuſmodi ſtructuras extruunt: nec hoc ſo-
B lùm, ſed cœleſte etiam regnum procurant, fiduciámq; præbent apud Deum, tanta eleemoſynæ eſt excellentia. Et quemadmodum Regina ingrediente nemo ex portarum cuſtodibus examinare audet, quæ ſit, aut unde; ſed omnes cum gaudio ſuſcipiunt: ita nimirum eleemoſyna ſui operatores juxta regium thronum conſtituit. Amat enim ipſam Deus, & ſemper prope iſtam aſtat, & pro quibuſcunque gratiam poſtulaverit, continuò impetrat. Tanta eſt eleemoſynæ præſtantia, ut non ſolùm delicta expiet,
C ſed & mortem ipſam depellat. At quis, inquit, eleemoſynam faciens, morte ſuperior factus eſt? Enimverò omnes videmus ſub mortis imperio poſitos. Verùm ne turberis, ſed ipſis ex rebus diſce, quomodo eleemoſynæ virtus hujus ſuperaverit imperium. Tabitha quædam mulier fuit: hæc opus faciebat per ſingulos dies, ut eleemoſynæ copiam colligeret: Et veſtiebat, inquit, viduas, & aliam omnem abundantiam eis ſuggerebat. Factum eſt autem, ut ipſa infirmaretur & moreretur. Quid igitur obſe-
D quium ipſius expertæ, & in corporibus ab ea protectæ viduæ? In tempore benefactrici ſuæ gratiam rependunt. Circumſtantes enim Apoſtolum, oſtendebant veſtes, & quæ cum ipſis fecerat: lacrymáſque profundebant, atque hunc ad miſericordiam trahebant. Quid ergo Petrus? Poſitis, inquit, genibus oravit: & converſus ad corpus dixit: *Tabitha ſurge.* Illa verò aperuit oculos ſuos, & videns Petrum, reſedit. Dans autem ei manum, erexit eam: & cùm vocaſſet vi-
E duas & aſtantes, exhibuit eam viventem. Vidiſti quanta ſit erga viduas beneficentiæ merces? Quid enim quæſo, tantum hæc viduis tribuit, quantum ei ipſæ retribuerunt? Eleemoſynæ enim magnitudo non datorum multitudine, ſed dantium promptitudine æſtimatur. Verè magna poſſunt Sanctorum pedes, domum ingredientes. Ipſum pavimentum ſanctificant, theſauros innumerabilium adducunt bonorum:

Margin notes: *lego διακονίαν.* — *Ex illo: Pacem ſequimini cum omnibus.* — *Act. 9. 36.* — *Ex hom. in viduam eligendam.*

naturam vitiatam corrigunt : famem ſolvunt : magnámq; invehunt abundantiam. Etenim Heliæ pedes domum viduæ ingreſſi, *3. Reg. 17, 9 ſeq.* novam quandam & admirabilem beneficentiæ oſtenderunt rationem : agrum ex viduæ domo fecerunt, & ex hydria aream. Novus quidam ſationis & meſſis tunc factus eſt modus. Quomodo? Seminavit vidua in os juſti : & quæ injecta fuerant, cum magna abundantia ex hydria metens collegit. Seminavit farinam, & meſſuit farinam. Non indiguit bobus, & jugo, & aratro, & ſulco : nec etiam pluvia, & aëre, & falce, nec area aut manipulis : neque ventis paleas à frumento diſcernentibus : neque mola conterente : ſed uno temporis momento horum omnium conſummationem in hydria invenit. Talia ſunt ſanctorum munera: ejuſmodi largiuntur pedes ſanctorum : imò verò his etiam pluea. Et niſi prolixum nimis facerem ſermonem, frequenter iſtiuſmodi enumerarem dona. Verùm quemadmodum hæc magni æſtimanter ejuſmodi dona ferunt : ita aſpernantes magnam ibi pœnam, ignémq; accerſunt inevitabilem. Sed ille, dicit aliquis, erat Petrus, & ille Helias erat. Quid quæſo dicis? Et Petrus & *Ex Orat. Quod non oportet ad ſpectacula accedere, & in Abraham.* Helias erat : an non eandem habebant naturam? nónne per eandem viam in vitam producti ſunt, qua nos? nónne iiſdem alimentis enutriti ſunt? nónne iiſdem rebus ſunt uſi? nónne quidam ipſorum etiam uxores & liberos habuerunt? quidam verò etiam ad victum comparandum artes? alii verò in ipſum quoq; malitiæ barathrum ſunt immerſi? Sed magnam, dicis, conſecuti ſunt gratiam. Verùm, ſi quidem mortuos ſuſcitare, oculos aperire cæcorum, mundare leproſos, claudos erigere, dæmones ejicere, alióſque ejuſmodi ſanare morbo juberemur, opportuna nobis eſſet excuſatio : cùm verò de vitæ inſtituto & converſatione examen propoſitū ſit, de obedientiæ item exhibitione, vitiorúmq; emendatione, quamnam hæc ad illa rationem habere poſſunt? Etenim Chriſtus non iis, qui ſigna tantum fecerunt, dat præmia, ſed his qui præceptis ipſius obtemperaverunt. *Venite*, inquit, *benedicti Patris mei : poſſidete paratum vobis regnum à conſtitutione mundi* : *Math. 25, 34.* non quia miracula edidiſtis : ſed quia eſurivi, & dediſtis mihi manducare : ſitivi, & dediſtis mihi bibere : hoſpes eram, & collegiſtis me. Quamvis igitur illum in officio continuerit gratia, nihil tamen id nobis obeſſe, ſed nec excuſare nos poterit, cùm factorum rationes dabimus. Recta enim vitæ converſatio etiam citra ſigna coronas recipiet : vita verò ſcelerata ne cum ſignis quidem pœnam effugere poterit. *Ex interpr. Evang. 6 Math.* Tales itaque perſequamur virtutes, quæ unà cum noſtra ſalute, proximis etiam prodeſſe queant. Ejuſmodi eſt eleemoſyna. Hinc & oratio, & jejunium, omniſque alia virtus nervos habet. Quamvis enim jejunaveris, abſq; eleemoſyna, ne quidem pro jejunio hoc reputabitur : ſed alvum explente & ſeſe inebriante tanto pejus, quanto gravius vitium eſt crudelitas quàm luxus. Et quid dico de jejunio? Etiamſi temperans ſis, etiamſi virginitatem ſerves; extra ſponſi thalamum ſtabis, ſi eleemoſyna careas. Jam verò, quid virginitati æquale? quæ ne in novo quidem teſtamento ſub legis neceſſitatem, ob excellentiam ſuam, venit. Quod ſi virgines ejiciantur, quando eleemoſynam cum ea, qua par eſt, abundantia, non habent : quis abſque hac veniam obtinere poterit? Non eſt quiſquam, non eſt : ſed perire omnino neceſſe eſt eam non habentem. *Ex interpr. ep. ad Rom.* Si enim in rebus hujus vitæ nemo ſibi ſoli vivit, ſed & artifex & miles & agricola & mercator, ad communem utilitatem & proximi commodum conferunt omnes : multò magis in ſpiritualibus hoc facere oportet. Hoc enim maximè eſt vivere. Qui igitur ſibi ſoli vivit, omnéſque deſpicit, inutilis eſt; & neque homo, neque de genere noſtro. Qui itaque dives fieri deſiderat, ille pauper fiat, ut evadat dives : expendat, ut colligat : diſpergat, ut congreget. Quod ſi nova hæc & admirabilia videntur, ſeminantem aliquem conſidera, & cogita, quod nec ille plura congregare alia ratione poſſit, niſi præſentia ſpargat, & quæ parata habet, projiciat. Quare enim egenis non præberes? Liberorum me chorus circumſtat, inquis, & divites eos relinquere deſidero. Quare igitur pauperes eos facis? Si enim univerſa ipſis reliqueris, periculoſæ iterum cuſtodiæ bona tua commiſiſti : ſi verò Deum ipſis coheredem reliqueris & procuratorem, immenſum ipſis theſaurum reliquiſti. Si itaque liberis tuis magnas relinquere velis divitias, Dei ipſis relinque providentiam. Qui enim, nihil te conferente, animam & corpus formavit, vitámque largitus eſt, ſi tantam te oſtendere videat liberalitatem, quomodo non omnes ipſis aperiret divitias? Si enim Helias exigua nutritus farina, quoniam vidit, quód ipſum mulier illa filiis ſuis præferret : areas & torcularia in domo viduæ fecit : *Ex Orat. in Stat.* cogita Heliæ Dominus quantam oſtenſurus ſit liberalitatem. Si liberos tuos opulentos relinquere velis, Deum ipſis relinque debitorem. Ipſi enim ſi pecuniam acceperint; ne quidem ubi & quando dare debeant, noverint : ſi vero tu præveniens, eam Deo mutuam dederis, tu-

A Φύσιν πεπηρωμένην διορθοῦνται· λιμὸν λύουσι, καὶ πολλὴν εἰσάγουσι τὴν εὐπορίαν. καὶ γὰρ οἱ τοῦ Ἠλία πόδες εἰς τὴν οἰκίαν τῆς χήρας εἰσελθόντες καινόν τινα καὶ παράδοξον εὐεργεσίας ἐπεδείξαντο τρόπον· ἄρουραν τὴν οἰκίαν τῆς χήρας ἐποίησαν, καὶ τὴν ὑδρίαν, ἅλωνα. καινός τις τρόπος σπόρου καὶ ἀμητοῦ ἐγένετο τότε. πῶς; ἔσπειρεν εἰς τὸ τοῦ δικαίου στόμα, καὶ τὰ καταβληθέντα μετὰ πολλῆς τῆς ἀφθονίας ἐκ τῆς ὑδρίας ἐθέριζεν. ἔσπειρεν ἄλευρον, καὶ ἐθέριζεν ἄλευρον. οὐκ ἐδεήθη βοῶν, καὶ ζεύγους, καὶ
B ἀρότρου, καὶ αὔλακος· οὐδὲ ὑετοῦ, καὶ ἀέρος, καὶ δρεπάνης· οὐδὲ ἅλωνος καὶ δραγμάτων· οὐκ ἀνέμων διακρινόντων ἀπὸ τοῦ καρποῦ τὰ ἄχυρα· οὐδὲ μύλης τριβούσης· ἀλλ' ἐν μιᾷ καιροῦ ῥοπῇ τούτων ἁπάντων τὸ τέλος εὗρεν ἐπὶ τῆς ὑδρίας. τοιαῦτα τῶν ἁγίων τὰ δῶρα· τοιαῦτα χαρίζονται πόδες ἁγίων μᾶλλον δὲ καὶ πλείονα τούτων. καὶ εἰ μὴ μακρὸν ἐποίουν τὸν λόγον, πολλάκις ἂν ἀπηριθμησάμην τοιαύτας δωρεάς. ἀλλ' ὥσπερ δεχόμενοι τοιαῦτα φέρουσι δῶρα, οὕτως ἀτιμαζόμενοι
C μεγάλην ἐπάγουσι κόλασιν, καὶ πῦρ ἀπαραίτητον. ἀλλ' ἐκεῖνος Πέτρος ἦν, φησὶ, καὶ ἐκεῖνος Ἠλίας ἦν. τί λέγεις, εἰπέ μοι; καὶ Πέτρος καὶ Ἠλίας ἦν· οὐ τῆς αὐτῆς μετεῖχον φύσεως; οὐ διὰ τῆς αὐτῆς ὁδοῦ παρῆλθον εἰς βίον ἡμῖν; οὐ ταῖς αὐταῖς τροφαῖς ἐτράφησαν; οὐ τοῖς αὐτοῖς ἐχρήσαντο πράγμασιν; οὐ τινὲς αὐτῶν καὶ γυναῖκας εἶχον καὶ παῖδας; οἱ δὲ καὶ τέχνας βιωτικάς; ἕτεροι δὲ καὶ εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον κατηνέχθησαν; ἀλλὰ πολλῆς ἀπήλαυσαν, φησὶ, τῆς χάριτος. ἀλλ' εἰ μὲν νεκροὺς ἀναστῆσαι ἐκελευόμεθα, καὶ ὀφθαλμοὺς
D ἀνοῖξαι τυφλῶν, καὶ καθᾶραι λεπροὺς, καὶ χωλοὺς ὀρθῶσαι, καὶ δαίμονας ἐκβαλεῖν, καὶ τὰς ἄλλας τὰς τοιαύτας ἰᾶσθαι νόσους, καιρὸν ἂν εἶχε τὰ τῆς ἀπολογίας τῆς τοιαύτης ἡμῖν. εἰ δὲ πολιτείας ἐξέτασις πρόκειται νῦν, καὶ ὑπακοῆς ἐπίδειξις, καὶ τῶν κακῶν ἀλλοτρίωσις, ποῖον ταῦτα πρὸς ἐκεῖνα ἂν ἔχοι λόγον; καὶ γὰρ ὁ Χριστὸς οὐ τοῖς τὰ σημεῖα ἐργασαμένοις ἁπλῶς, τὰ ἔπαθλα δίδωσιν, ἀλλὰ τοῖς τὰ προστάγματα πεποιηκόσι τὰ αὐτοῦ. δεῦτε γάρ, φησιν, οἱ
E εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· οὐχ ὅτι ἐθαυματουργήσατε, ἀλλ' ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην καὶ συνηγάγετέ με. ὥστε εἰ καὶ ἐκείνους συνέσχεν ἡ χάρις, οὐδὲν ἡμᾶς οὔτε παραβλάψαι δυνήσεται· ἀλλ' οὐδὲ ἀπολογήσασθαι ὑπὲρ ἡμῶν, ὅταν τὰς εὐθύνας τῶν πεπραγμένων ὑπέχωμεν. πολιτεία μὲν γὰρ ὀρθή, καὶ χωρὶς σημείων ἀπολήψεται τοὺς στεφάνους·
A βίος δὲ παράνομος οὐδὲ μετὰ σημείων δυνήσεται τὴν κόλασιν ἐκφυγεῖν. τοιαύτας τοίνυν μετιώμεν ἀρετάς, αἳ μετὰ τῆς ἡμετέρας σωτηρίας, καὶ τοὺς πλησίον ὠφελῆσαι δύναιντ' ἄν. τοιαύτη ἡ ἐλεημοσύνη· ἐντεῦθεν καὶ εὐχὴ, καὶ νηστεία, καὶ πᾶσα ἄλλη ἀρετὴ τὰ νεῦρα ἔχει. κἂν γὰρ νηστεύῃς, χωρὶς ἐλεημοσύνης, οὐδὲ νηστεία τὸ πρᾶγμα λογίζεται. ἀλλὰ γαστριζομένου καὶ μεθύοντος χεῖρον, ὅσῳ τρυφῆς ὠμότης χαλεπωτέρα. καὶ τί λέγω νηστείαν; κἂν γὰρ σωφρονῇς, κἂν παρθενεύῃς,
B ἐκτὸς ἕστηκας τοῦ νυμφῶνος ἐλεημοσύνην οὐκ ἔχων. καίτοι τί παρθενίας ἴσον; ὃ μηδὲ ἐν τῇ καινῇ ὑπὸ νόμον ἦλθεν ἐξ ἀνάγκης, διὰ τὸ ὑπερέχον. εἰ δὲ παρθένοι ἐξεβάλλοντο, ἐπειδὴ ταύτην μετὰ δαψιλείας τῆς πρεπούσης οὐκ εἶχον, τίς δυνήσεται ταύτης ἄνευ συγγνώμης τυχεῖν; οὐκ ἔστιν οὐδεὶς, οὐκ ἔστιν, ἀλλ' ἀπολέσθαι πάντως ἀνάγκη τὸν ταύτην οὐκ ἔχοντα. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς οὐδεὶς ἑαυτῷ ζῇ, ἀλλὰ καὶ χειροτέχνης, καὶ στρατιώτης, καὶ γεωργὸς καὶ ἔμπορος, πρὸς τὸ κοινῇ συμφέρον καὶ τὸ
C τοῦ πλησίον ὠφέλιμον συντελοῦσιν ἅπαντες, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο δεῖ ποιεῖν. τοῦτο γὰρ μάλιστά ἐστι ζῆν. ὡς ὅ γε ἑαυτῷ ζῶν μόνῳ καὶ πάντων ὑπερορῶν περιττός ἐστι, καὶ οὐδὲ ἄνθρωπος, οὐδὲ τοῦ γένους τοῦ ἡμετέρου. ὁ τοίνυν βουλόμενος γενέσθαι πλούσιος, γενέσθω πένης, ἵνα γένηται πλούσιος· ἀναλισκέτω, ἵνα συλλέξῃ· σκορπιζέτω, ἵνα συναγάγῃ. εἰ δὲ καινὰ ταῦτα καὶ παράδοξα, τὸν σπείροντα σκόπει, καὶ λογίζου, ὅτι οὐδὲ ἐκεῖνος δυνήσεται ἑτέρως πλείω συναγαγεῖν, ἂν μὴ
D τὰ ὄντα σκορπίσῃ, καὶ τὰ ἕτοιμα προῆται. διὰ τί γὰρ μὴ τοῖς δεομένοις παρέχεις; παίδων μοι χορὸς περιέστηκε, φῄς, καὶ ἐπιθυμῶ πλουτοῦντας αὐτοὺς καταλιπεῖν. τίνος οὖν ἕνεκεν πένητας αὐτοὺς ποιεῖς; ἂν μὲν γὰρ αὐτοῖς τὰ πάντα ἀφῇς, πάλιν ἐπισφαλεῖ φυλακῇ τὰ σὰ πάντα ἐπέτρεψας· ἂν δὲ τὸν Θεὸν αὐτοῖς καταλίπῃς συγκληρονόμον καὶ ἐπίτροπον, θησαυρὸν μυρίον κατέλιπες. εἰ τοίνυν βούλει τοῖς παισὶ καταλιπεῖν πλοῦτον πολὺν, κατάλιπε τοῦ Θεοῦ τὴν πρόνοιαν. ὁ γὰρ
E μηδὲν συμπράξαντος, καὶ ψυχὴν καὶ σῶμα διαπλάσας, καὶ ζωὴν χαρισάμενος, ὅταν ἴδῃ τοσαύτην ἐπιδεικνυμένον φιλοτιμίαν, πῶς οὐ πάντα αὐτοῖς ἀνοίξει πλοῦτον; εἰ γὰρ Ἠλίας ὀλίγῳ τραφεὶς ἀλεύρῳ, ἐπειδὴ εἶδε τὴν γυναῖκα ἐκείνην τῶν παίδων αὐτὸν προτιμήσασαν, ἅλωνας καὶ ληνοὺς ἐπὶ τοῦ δωματίου τῆς χήρας ἔδειξεν· ἐννόησον ὁ τοῦ Ἠλία δεσπότης, πόσην ἐπιδείξεται φιλοφροσύνην. εἰ βούλει πλουσίους τοὺς παῖδας καταλιπεῖν, τὸν Θεὸν κατάλιπε ὀφειλέτην αὐτοῖς. αὐτοὶ μὲν γὰρ τὰ χρήματα ἂν λάβωσιν, οὐδὲ ὅπη δώσουσιν, ἴσασιν· ἂν δὲ σὺ προλαβὼν αὐτὰ τῷ Θεῷ δανείσῃς,

ἄσυλος

ἄσυλος μένει λοιπὸν ὁ θησαυρὸς, καὶ μετὰ πολλῆς ἔσται εὐκολίας ἡ ἀνταπόδοσις. καὶ γὰρ χάριν ἔχει καὶ ὀφείλων καὶ καταβάλλων ἡμῖν ὁ θεὸς, καὶ τοὺς δανειστὰς αὐτοῦ, τῶν οὐ δεδανεικότων ἥδιον ὁρᾷ· καὶ οἷς μάλιστα ὀφείλει, τούτους μάλιστα φιλεῖ. ὥστε εἰ βούλει φίλον αὐτὸν ἔχειν, κατάστησον χρεώστην. οὐ γὰρ οὕτως χαίρει δανειστὴς ὀφειλέτας ἔχων, ὡς ὁ θεὸς εὐφραίνεται δανειστὰς ἔχων. καὶ οἷς μὲν οὐδὲν ὀφείλει, τούτους καὶ ἀποφεύγει· οἷς δὲ ὀφείλει, τούτοις καὶ ἐπιτρέχει. τί τοίνυν τοῖς ἀνθρώποις τὰς παρακαταθήκας παρέχεις; ἕστηκεν ὁ Χριστὸς ἕτοιμος ὑποδέξασθαι καὶ τηρῆσαι· οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι, καὶ μετὰ πολλῆς ἀποδοῦναί σοι τῆς προσθήκης. ἐκ τῆς ἐκείνου χειρὸς οὐδεὶς ἁρπάζει. οὐ τηρεῖ δὲ ταύτας μόνον, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ τούτου λύει σου τοὺς κινδύνους. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οἱ δεξάμενοι τὰς παρακαταθήκας, χάριν ἡμῖν δεδωκέναι νομίζουσι, φυλάττοντες ἅπερ ἔλαβον· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον. οὐ γὰρ δεδωκέναι χάριν, ἀλλ' εἰληφέναι ὁμολογεῖ, ὅταν παρά σου ταύτας δέξηται. καὶ ὁ μὲν τὰς παρακαταθήκας λαβὼν, καὶ μισθοὺς ἀπαιτεῖ παρὰ σοῦ· ὁ δὲ Χριστὸς μᾶλλον καὶ μισθὸν ὑπὲρ τούτου σοι δίδωσι. διὰ γὰρ τοῦτό σοι τὰ χρήματα ἐκέλευσεν ὁ θεὸς δοῦναι ἑτέρῳ, ἵνα σὺ αὐτὰ ἔχῃς. ἕως μὲν γὰρ ἂν μόνος κατέχῃς, οὐδὲ αὐτὸς ἔχεις· ὅταν δὲ ἑτέρῳ δῷς, τότε καὶ αὐτὸς ἔλαβες. ὥσπερ γὰρ εἰ παιδίῳ τις ἀργύριον μικρὸν δοίη φυλάττειν σφοδρῶς, ὥστε μὴ ἐξεῖναι ἁρπάσαι τῷ βουλομένῳ, οὕτω καὶ ὁ θεὸς ποιεῖ. δὸς τῷ δεομένῳ, φησὶν, ἵνα μὴ ἁρπάσῃ τις αὐτὰ ἀπὸ σοῦ, οἷον ἢ συκοφάντης, ἢ διάβολος, ἢ κλέπτης, ἢ μετὰ πάντας, ὁ θάνατος. ἕως μὲν γὰρ αὐτὸς ταῦτα κατέχεις, οὐκ ἀσφαλῶς κατέχεις· ἐὰν δὲ ἐμοὶ ταῦτα δῷς διὰ τῶν πενήτων, ἐγώ σοι φυλάττω μετὰ ἀκριβείας ἅπαντα. οὐ γὰρ ἵνα ἀφέλω λαμβάνω, ἀλλ' ἵνα πλείονα ποιήσω· ἵνα ἀκριβέστερον φυλάξω· ἵνα κατ' ἐκεῖνόν σοι αὐτὰ τηρήσω τὸν χρόνον, καθ' ὃν οὐδεὶς ὁ δανείζων, οὐδὲ ὁ ἐλεῶν ἐστι. τί ματαιοπονεῖς, ὦ πλούσιε, τὰ τῶν πενήτων ἐν τοῖς σοῖς θησαυροῖς ἀποκρύπτων; τί αἰτούμενος παρ' αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων; τὰ πατρῷα θέλουσιν, οὐ τὰ σά. τὰ ἐγχειρισθέντα σοι δι' αὐτοὺς, οὐ μετὰ σοῦ γεννηθέντα. ἃ ἔλαβες δὸς, καὶ τὸ χρῆσαι κέρδανον· ἀρκεῖ σοι ὅτι διδόναι οὐ λαμβάνειν ἐτάχθης. τί τῇ γῇ παραδίδως τὸν θησαυρόν; δὸς τῇ ἐμῇ χειρί, φησίν. οὐ δοκεῖ σοι τῆς γῆς ἀξιοπιστότερος εἶναι ὁ τῆς γῆς δεσπότης; ἔδωκα, φησίν. ἀλλ' οὐ χρὴ διαλιμπάνειν ταῦτα ποιοῦντα· τότε γὰρ μόνον ἀπολογήσῃ, ὅταν μὴ ἔχῃς. κἂν μυρίοις ᾖς δεδωκὼς, ὦσι δὲ καὶ ἕτεροι πεινῶντες, οὐδεμία σοι ἀπολογία ἐστί. μήτε γοῦν ὁ πλούσιος μέγα φρονείτω πολλὰ διδοὺς, μήτε ὁ πένης καταπιπτέτω, ὡς ὀλίγα παρέχων· πολλάκις γὰρ οὗτος ἐκείνου πλείονα δέδωκε. τὸ γὰρ πολὺ καὶ τὸ ἔλαττον, οὐ τῷ μέτρῳ τῶν διδομένων κρίνεται, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τῶν παρεχόντων. σὺ δὲ παρασίτους μὲν τρέφων καὶ κόλακας ὡς ἀπὸ πηγῶν δαπανῶν, οὕτω χαίρεις· εἰ δὲ πτωχὸν ἴδοις, τότε σοι ὁ τῆς πενίας ἐπιτίθεται φόβος. δὸς τῷ δεομένῳ καὶ μὴ δὸς τῷ ὀρχουμένῳ, ἵνα μὴ μετὰ τῶν σῶν χρημάτων καὶ τὴν ψυχὴν ἀπολέσῃς τὴν ἐκείνου. σὺ γὰρ αἴτιος εἶ τῆς ἐκείνου ἀπωλείας, διὰ τῆς ἀκαίρου φιλοτιμίας. εἰ γὰρ οἱ ἐπὶ τῆς ὀρχήσεως ᾔδεισαν, ὅτι τὸ ἐπιτήδευμα αὐτοῖς ἀκερδὲς ἔμελλεν ἔσεσθαι, πάλαι ἂν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες. τυφλὸς οἶδεν ἐλεούμενος εἰς οὐρανῶν βασιλείαν χειραγωγεῖν, καὶ τοίχοις προσκρούων καὶ βόθροις ἐνολισθαίνων, οὗτος ὁδοποιὸς γίνεται τῆς εἰς οὐρανὸν ἀναβάσεως. ὅταν γὰρ μὴ πρὸς ἐπίδειξιν ἀνθρώπων ποιῇς, κἂν ἡ οἰκουμένη εἰδῇ, οὐδεὶς οἶδεν· ἐπειδὴ οὐχ οὕτως ἐποίησας. οὐ γὰρ εἶπε, μὴ ποιεῖτε ἁπλῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλὰ προσέθηκε, πρὸς τὸ θεαθῆναι αὐτοῖς. ὢ πηλίκον ἀξίωμα τῆς πενίας· τοῦ θεοῦ γίνεται προσωπεῖον· κρύπτεται ἐν πενίᾳ θεὸς, καὶ πένης μὲν ὁ τὴν χεῖρα προτείνων, θεὸς δὲ ὁ δεχόμενος. ὅταν σοι λυπηρόν τι συμβῇ, δὸς ἐλεημοσύνην εὐθέως· εὐχαρίστησον ὅτι συνέβη, καὶ ὄψει πόση χαρὰ ἐπεισέρχεται. τὸ γὰρ κέρδος τὸ πνευματικὸν κἂν ὀλίγον ᾖ, τοσοῦτόν ἐστιν, ὡς πᾶσαν ἀποκρύψαι ζημίαν σωματικήν. καὶ εἰ ἀπιστεῖτε, πειράσατε καὶ ὄψεσθε τὴν δόξαν τοῦ θεοῦ. ἀλλ' ὢ τῆς ῥᾳθυμίας, ὢ τῆς ἀγνωμοσύνης, ὅτι διὰ παντὸς μὲν ἐν ἁμαρτίαις καὶ πονηρίαις ζῶμεν. ἂν δέ ποτέ τι καὶ ποιήσωμεν μικρὸν ἀγαθὸν, κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν, μετὰ πολλῆς τῆς καπηλείας ἐξετάζομεν καὶ ἀκριβολογούμεθα περὶ τῆς ἀντιδόσεως, εἴγε ἔχει μισθόν τινα τὸ γινόμενον. καίτοι μείζων ὁ μισθὸς, ἐὰν μὴ ἐπ' ἐλπίδι μισθοῦ ποιῇς· δεῖ γὰρ πάντα διὰ τὸν Χριστὸν, καὶ μὴ διὰ τὴν ἐλπίδα ποιεῖν τοῦ μισθοῦ. εἰ γὰρ ποιήσας ἡμᾶς ὁ θεὸς ἐξ ἀρχῆς, οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου καλοῦ, τοσαῦτα ἡμῖν εὐθέως ἐχαρίσατο, τοῖς τοσαῦτα πεπονηκόσι καὶ ὑπὲρ αὐτοῦ ὑπομεμενηκόσι, τί οὐ χαρίσεται; καὶ ἡμεῖς μὲν ὑπὲρ αὐτῶν ἡμῶν, μόλις ὀλίγου χρυσίου καταφρονοῦμεν, αὐτὸς δὲ ὑπὲρ ἡμῶν καὶ τὸν υἱὸν αὐτοῦ δέδωκε. καὶ ὑπὲρ μὲν φιλίας ἀνθρώπων, καὶ κινδύνους πολλάκις αἱρούμεθα· ὑπὲρ δὲ τῆς τοῦ θεοῦ φιλανθρωπίας οὐδὲ χρήματα προϊέμεθα; καὶ πῶς οὐ δεινὸν, ὅτι ὁ μὲν Χριστὸς καὶ τὴν ψυχὴν ἔθηκεν ὑπὲρ ἡμῶν, καὶ τὸ αἷμα τὸ τίμιον ἐξέχεε δι' ἡμᾶς,

A tus jam & à furibus intactus manet theſaurus, & admodum prompta erit compenſatio. Etenim, gratiam nobis habet, & cùm debet, & cùm ſolvit, Deus: ſuóſque fœneratores libentiùs videt, quàm qui nihil ei fœnerarunt: & quibus maximè debet, hos maximè amat. Igitur ſi amicum eum habere deſideras, debitorem conſtitue. Non enim ita gaudet fœnerator, habens debitores, ſicut oblectatur Deus, creditores habens. Et quibus nihil quidem debet, eos quoque refogit; quibus verò debet, his ultro et- B iam occurrit. Quid igitur hominibus depoſita tradis? ſtat Chriſtus paratus ſuſcipere & cuſtodire: nec verò cuſtodire ſolùm, ſed etiam augere, & magno cum augmento tibi reſtituere. Ex ipſius manibus nemo rapit. Nec vero ea tantùm conſervat, ſed etiam de hoc ipſo omnia tua ſolvis pericula. Apud homines quidem, qui depoſita ſuſcipiunt, beneficium ſe nobis præſtare exiſtimant, quòd à nobis accepta cuſtodiant: Apud Chriſtum verò econtra fit. Nec enim beneficium dediſſe, ſed accepiſſe ſe profi- C tetor, cum ea à te ſuſcipit. Et quidem qui depoſita accepit, mercedem etiam à te poſtulat: Chriſtus verò etiam pro hoc mercedem potius tibi dat. Propterea enim pecuniam juſſit te Deus dare alteri, ut eam tu habeas. Quonſque enim tu ſolus habueris, nec ipſe habes: ſi verò alteri tradas, tunc tu quoque recepiſti. Quemadmodum enim ſi puero quis parvum argenteum nummum det, ut diligenter cuſtodiat, ne liceat ſurripere, volenti: ſic Deus quoq; facit. Da, inquit, egeno, ne quis eam tibi auferat, ut D puta calumniator, aut diabolus, aut fur, aut poſt omnes, ipſa mors. Quamdiu enim ipſe eam retines, ſecurè non tenes: ſi verò mihi, inquit, per pauperes dederis, totam tibi ego diligenter cuſtodio. Non enim ut auferam, accipio, ſed ut auctiorem reddam; ut diligentius cuſtodiam; ut in illud tempus tibi eam conſervem, quo nullus fœnerator, aut commiſerans erit. Quid fruſtrà laboras, o dives! pauperum res in theſauris tuis abſcondens? Quare indignaris cùm à te aliquid petitur, tanquam de tuis ex- E pendens? patria bona volunt, non quæ tua ſunt: quæ tibi propter ipſos ſunt credita, non quæ tecum nata. Quæ accepiſti, da; & uſum lucrifacias, ſufficit tibi quòd ad dandum ſis deſtinatus, non ad accipiendum. Quare terræ theſaurum tradis? da manui meæ, inquit. Non videtur tibi terra fidelior eſſe terræ Dominus? Dedi, inquit. Verùm, ceſſare non oportet iſta facere: tunc enim ſolùm excuſaberis, ſi non habeas. licet decem millibus dederis, adhuc autem ſuperfuerint eſurientes, nullam habes excuſatio- A nem. Ne igitur dives altum ſapiat, quòd multa det, neq; pauper animo concidat, quaſi pauca præbens: frequenter enim hic illo plura dedit. Multum enim & parum, non datorum menſura cenſetur, ſed facultate ſubſtantiæ eorum qui dant. Tu verò paraſitos quidem alens & adulatores, velut ex fontibus profundens, ita gaudes: ſi verò pauperem videas, tunc paupertatis tibi timor incumbit. Da egenti, & ne des ſaltatori, ne una cum pecunia tua, ipſius quoque animam perdas. Tu enim cauſa es perditionis illius, per intempeſtivam tuam liberalitatem. Si enim ſaltatores B ſciviſſent, inſtitutum ſuum inutile ſibi fore, jam olim ejuſmodi res ſectari deſtitiſſent. Novit cæcus, miſericordiam conſequens, in cœleſte regnum manu ducere, & qui in parietes impingit, atque in foveas incidit, hic in cœlum aſcendendi viam parat. Si non ad oſtentandum te hominibus eleemoſynam facias, licet totus orbis ſciat, nemo tamen ſcit: quoniam non hac intentione feciſti. Non enim dixit, ne omnino coram hominibus faciatis, ſed appoſuit, ut ab illis videamini. Proh quanta pau- C pertatis eſt dignitas! Dei induit perſonam: abſconditur in paupertate Deus, & pauper quidem eſt qui manum protendit, Deus verò, qui accipit. Si tibi triſte quid accidat, ſtatim da eleemoſynam: gratias age, quod tibi contigerit: & videbis, quantum gaudium ſuccedat. Lucrum enim ſpirituale, licet exiguum ſit, tantum tamen eſt, ut quodvis damnum corporale tegat. Et ſi non creditis, probate & videbitis gloriam Dei. Sed ô ſocordiam! ô ingratitudinem! quoniam continuè quidem in peccatis & ſcele- D ribus vivimus: Si verò exiguum quid boni faciamus, improborum ſervorum more, multa velut arte cauponaria inquirimus, & diligenter perſcrutamur de retributione, an aliquam mercedem reſipſa habeat. Et quidem magna eſt merces, ſi non ſpe mercedis facias: omnia enim propter Chriſtum, & non ob ſpem mercedis facere oportet. Si enim qui ab initio nos facit, Deus nullo à nobis ante exiſtente bono, tanta nobis continuo largitus eſt: quid tot tantiſque laboribus perfunctis, & propter ipſum E paſſis non largietur? Et nos quidem, pro nobiſipſis ægrè vel exiguam pecuniam deſpicimus? ipſe verò pro nobis etiam filium ſuum dedit. Et pro hominum quidem amicitia etiam multa ſubire pericula non recuſamus: pro Dei verò amore ne pecuniam quidem projicimus? Et quomodo non indignum eſt, quod, cùm Chriſtus quidem etiam animam pro nobis poſuerit, & pretioſum ſanguinem effuderit propter nos,

Ex interpr. ep. ad h. m.

Ex ep. 2. ad Cor.

Ex ep. ad Rom.

Ex interpr. Evang. S. Ioan.

Ex ep. 2. ad Corinth.

Ex interpr. ep. ad Rom.

Ex hom. in illud: Paſſim ſequ...

Ex interpr. Evang. S. Matth.

qui neque ipſius amantes, neque boni fuimus: nos nec pecuniam profundamus ipſius cauſa, ſed deſpicimus nudum & peregrinum, qui pro nobis mortuus eſt? Et quis tandem à futuro ſupplicio nos eripiet? Si enim non Deus, ſed ipſi nos puniremus, nónne contra nos ipſos ſententiam tuliſſemus? nónne nos ipſos igni gehennæ damnaſſemus, deſpicientes fame tabeſcentem eum, qui animam pro nobis poſuit? Et quid dico de pecunia? Si vel decem millia animarum haberemus, nónne omnes pro eo ponere oporteret? Si quis ex nobis ad mortem duceretur, & ei proponeretur, ut ſi omnes opes abjiceret, liber eſſet; beneficium utique hoc exiſtimaret: jam verò cùm ad gehennam ducamur, & liceat vel dimidium dando evadere, eligimus potiùs ſubire pœnas & noſtra temerè retinere, ut noſtra perdamus? Et quam habebimus excuſationem, quam veniam, qui & hujus alterius vitæ bonis nos ipſos privamus, cùm utriſque ſecurè frui liceret? Si pro dignitate ſeculari ſæpè univerſam ſubſtantiam ſuam quis dederit, pro dignitate, inquam, quæ hic manſura eſt, & ne hic quidem longo permanet tempore (multi ſiquidem longè ante obitum hoc principatu exuti ſunt; alii verò propter hunc, vita quoque ipſa) & hæc tamen ſcientes, omnia propter ipſam movent: ſi itaque propter eam tot tantáque homines faciunt, quid miſerius fuerit nobis, qui pro permanente illa, & quæ auferri non poteſt, ne pauca quidem dimittimus, neque ea damus, quæ paulo poſt vel inviti hic ſumus relicturi? quantæ hic non fuerit inſaniæ, ea, quæ etiam invitis auferuntur, cum ea ſpontè dare liceat, & ſecum ſumere, non velle? Verum, noſtris quidem famulis, & mulis, & equis aurea collo monilia circundamus: Dominum autem nudum circumeuntem, & ſub dio agentem, manúmque extendentem deſpicimus; ſæpè etiam crudeli intuemur oculo. Quid iſta inſania pejus eſſe poteſt? quando enim Deus ad nos pauperes mittit, de ſuis, ipſis dare jubens, nos verò præterquam quod nihil damus, contumelia etiam affectos ejicimus, cogita quot turbinibus, quótve fulminibus dignam rem faciamus. Si enim famulus tuus à te juſſus, ad alium famulum pecuniam tuam habentem abeat, accipere ab eo aliquid, & non ſolùm vacuis revertatur manibus, ſed contumeliis etiam affectus, quid non faceres illi qui hunc injuria affeciſſet? quam non de eo pœnam ſumeres? quippe cùm tu jam ille ſis injuria affectus. Quod ſi apud homines ita ſe res habet, quanto magis apud eum qui & hominum & cunctorum eſt Dominus? Si petenti nihil dare velis pauperi, quare etiam probris increpans animam ipſius vulneras? Nunquid enim; ſi talia auditurum ſe ſperaſſet, ad te acceſſiſſet? Sed impudens eſt, inquit, & incurſans vociferatur. Quid dicis? Quoties menſa jam appoſita, miniſtrantem tibi famulum accerſens, ubicunque tardiùs iverit, omnia ſtatim propter exiguam moram evertis; quanquam probè ſcias te, ſi non continuò, at paulo tamen poſt voluptate potiturum: pauperem verò propter majora timentem & trementem (neque enim à cunctatione, ſed à fame omnis illius metus) hunc temerarium & impudentem appellas? & quomodo hoc non extremæ eſt impudentiæ? Si tu exiguam aliquam guttam de tecto decidentem videns, & famulos advocas & opifices, totámque ſubvertis domum: quomodo pauperem in pannis, & fœno, ac luto jacentem, atque omnem algorem ſuſtinentem deſpicis? Quænam beſtia his rebus non frangatur? quis adeò crudelis eſt & inhumanus, ut per hæc mitior non fiat? Sed enim ſunt nonnulli qui euſque crudelitatis devenerunt, ut non ſolum non miſereantur & lacrymas fundant, calamitatéſq; ſublevent; ſed etiam contumelioſè illos tractent & dicant, digna ipſos pati. Quare, dic mihi, digna patiuntur? An quia nutriri volunt, & non laborare fame? Non, inquit, ſed quia otioſi ſunt. Tu verò, nonne torpeſcens voluptatibus indulges? Nonne etiam frequenter opus, quovis otio pernicioſius facis, rapinas exercens, violenter alios opprimens, & avaritiæ ſtudens? præſtaret, te quoque tale otium agere. Longè enim melius eſt, hoc modo otioſum eſſe quàm alienis inſiliare & rapere. Cùm igitur videris pauperem, & dixeris: Enecor, quod juvenis, ita ſanus, nihil habens, ali velit, cùm otioſus ſit: hæc quæ dixiſti, ad teipſum dicas, imò verò, concede illi, ut liberè tibi hæc dicat; enecor quòd cùm ſanus ſis & otioſus, nihil facias eorum, quæ præcepit Deus. Et tu quidem de otio eum accuſas; ipſe verò te etiam de malis operibus, quòd rapias, quod alienis inhies, aliorúmque domos ſubvertas. Sed multa, inquis, mentitur & fingit. Verùm, hinc quoque miſericordia dignus eſt, quòd in talem inciderit neceſſitatem, ut nec horum ipſum pudeat. Nos verò, non modo non miſeremus, ſed etiam verba illa crudelia apponimus, dicentes: nonne ſemel atq; iterum accepit? Quid ergo? non oportet ipſum rurſus nutriri, quoniam ſemel nutritus eſt? Quare non tuo quoque ventri has leges ponis, eíque dicis; repletus es heri: ne jam quæras: ſed hunc quidem ſupra modum diſrumpis, illum

Ex interpr. ep. ad Cor. fortè legendum. εἰ ὀχληρότερον.

ἐγὼ.

Ex interpr. Evang. S. Matth.

A τοὺς οὐκ οὕτως οὐδὲ ἀγαθοὺς γεγενημένους; ἡμεῖς δὲ οὐδὲ χρήματα προϊέμενοι δι᾽ αὐτὸν, ἀλλὰ περιορῶμεν γυμνὸν καὶ ξένον τὸν ὑπὲρ ἡμῶν ἀποθνήσκοντα; καὶ τίς ἡμᾶς τῆς μελλούσης ἐξαιρήσεται κολάσεως; εἰ γὰρ μὴ ὁ Θεὸς, ἀλλ᾽ ἡμεῖς ἑαυτοὺς ἐκολάζομεν, ἆρα οὐκ ἂν καθ᾽ ἑαυτῶν τὴν ψῆφον ἐξηνέγκαμεν; ἆρα οὐκ ἂν τῷ τῆς γεέννης ἑαυτοὺς κατεδικάσαμεν πυρὶ, τὸν ὑπὲρ ἡμῶν τὴν ψυχὴν θέντα λιμῷ τηκόμενον περιορῶντες; καὶ τί λέγω χρήματα; εἰ γὰρ μυρίας εἴχομεν ψυχὰς, οὐχὶ

B ἁπάσας ὑπὲρ αὐτοῦ θεῖναι ἐχρῆν; εἴ τις ἡμῶν ἐπὶ θάνατον ἤγετο, εἶτα προὔκειτο πάντα τὰ ὄντα προϊέμενον ἀπαλλαγῆναι, καὶ χάριν ἂν τὸ πρᾶγμα ἐνόμισε· νῦν δὲ ἐπὶ γέενναν ἀγομένους ὁδὸν, παρὸν τὰ ἡμίση διδόντας ἐλευθερωθῆναι, αἱρούμεθα καὶ κολάζεσθαι καὶ κατέχειν εἰκῆ τὰ ἡμέτερα, ὥστε τὰ ἡμέτερα προέσθαι; καὶ ποίαν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἑαυτοὺς ἀποστεροῦντες, παρὸν ἀμφοτέροις μετ᾽ ἀδείας καρποῦσθαι; εἰ ὑπὲρ ἀξιώ-

C ματός τινος βιωτικοῦ ὅλην πολλάκις τὴν οὐσίαν ἐπιδιδόασιν, ἀξιώματος τοῦ μένοντος ἐνταῦθα μόνον, καὶ οὐδὲ ἐνταῦθα πολὺν παραμένοντος χρόνον [πολλοὶ γὰρ καὶ πρὸ πολλοῦ τῆς τελευτῆς ταύτην ἀπεδύσαντο τὴν ἀρχὴν, ἕτεροι δὲ διὰ ταύτην, καὶ τὴν ζωὴν αὐτὴν πολλάκις] ἀλλ᾽ ὅμως καὶ ταῦτα εἰδότες πάντα κινοῦσιν ὑπὲρ αὐτοῦ· εἰ τοίνυν ὑπὲρ ταύτης τοσαῦτα ποιοῦσιν, ὑπὲρ τῆς μενούσης ἐκείνης καὶ ἀναφαιρέτου, τί γένοιτ᾽ ἂν ἡμῶν ἀθλιώτερον, μηδὲ ὀλίγα προϊεμένων, μηδὲ ταῦτα παρ-

D έχοντας, ἃ καὶ μικρὸν ὕστερον ἄκοντες ἐνταῦθα ἀφήσομεν; ποίας ἐνταῦθα οὐκ ἂν εἴη μανίας, ἅπερ ἄκοντες ἀφαιρούμεθα, ταῦτα παρὸν ἑκόντας δοῦναι, καὶ μεθ᾽ ἑαυτοῦ λαβεῖν, μὴ βουληθῆναι; ἀλλ᾽ οἰκέτας μὲν καὶ ἡμιόνους, καὶ ἵππους περιδέραια χρυσᾶ περιτίθεμεν· τὸν δὲ Δεσπότην γυμνὸν περιιόντα καὶ θυραυλοῦντα καὶ χεῖρα ἐκτείνοντα περιορῶμεν, καὶ πολλάκις ἀπηνεῖ βλέπομεν ὀφθαλμῷ. τί ταύτης τῆς μανίας χεῖρον γένοιτ᾽ ἄν; ὅταν γὰρ ὁ Θεὸς πρὸς ἡμᾶς ἀποστέλλῃ τοὺς πένητας,

E ἐκ τῶν ἐκείνου δοῦναι κελεύων αὐτοῖς, ἡμεῖς δὲ πρὸς τῷ μὴ δοῦναι καὶ ὑβρισθέντας ἐκπέμπωμεν, ἐννόησον πόσων σκηπτῶν, πόσων κεραυνῶν ἄξιον πρᾶγμα ποιοῦμεν. εἰ γὰρ σὸς οἰκέτης παρὰ σοῦ κελευσθεὶς εἰς ἕτερον ἀπελθεῖν οἰκέτην ἀργύριον ἔχοντα σὸν λαβεῖν, οὐ μόνον κεναῖς ἐπανέλθῃ χερσὶν, ἀλλὰ καὶ ὑβρισθεὶς, τί οὐκ ἂν εἰργάσω τὸν ὑβρικότα, πόσην οὐκ ἂν δίκην ἀπῄτησας, ἅτε λοιπὸν αὐτὸς ὢν ὁ ὑβρισμένος; εἰ δὲ ἐπὶ ἀνθρώπων οὕτω, ἐπὶ τοῦ καὶ τῶν ἀνθρώπων καὶ τῶν ἁπάντων δεσπότου πόσῳ μᾶλλον; εἰ μηδὲν βούλει δοῦναι αἰτοῦντι τῷ πένητι,

A τί καὶ ὀνειδίζων πλήττεις τὴν ἐκείνου ψυχήν; μὴ γὰρ εἰ προσεδόκησε τοιαῦτα ἀκούσεσθαι, προσῆλθέ σοι ἄν; ἀλλ᾽ ἀναίσχυντός ἐστι, φησὶ, καὶ ἐπιτρέχων βοᾷ. τί λέγεις; ποσάκις τραπέζης παρακειμένης τὸν ὑπηρετοῦντα οἰκέτην καλέσας, * ἵνα σχολαιότερον βαδίσῃ, πάντα ἀνέτρεψας ὑπὲρ ἀναβολῆς μόνον μικρᾶς· καίτοιγε σφόδρα εἰδὼς, ὅτι κἂν μὴ εὐθέως, ἀλλὰ μικρὸν ὕστερον ἀπολαύσῃ τῆς ἡδονῆς, καὶ σαυτὸν μὲν ὑπὲρ τοῦ μηδενὸς ἐκθηριούμενον, οὐ καλεῖς ἀναίσχυντον· τὸν

B δὲ πένητα, τὸν ὑπὲρ τῶν μειζόνων δεδοικότα καὶ τρέμοντα [οὐδὲ γὰρ περὶ μελλήσεως, ἀλλὰ περὶ λιμοῦ ἅπας ὁ φόβος αὐτῷ] τοῦτον ἰταμὸν καλεῖς καὶ ἀναίσχυντον; καὶ πῶς οὐκ ἐσχάτης ταῦτα ἀναισχυντίας; εἰ σὺ μικράν τινα σταγόνα κατενεχθεῖσαν * ἀπὸ τῆς στέγης, καὶ οἰκέτας καλεῖς καὶ τεχνίτας, καὶ πάντα ἀνατρέπεις τὸν οἶκον· πῶς τὸν πένητα ἐν ῥακίοις, καὶ χόρτῳ, καὶ πηλῷ κείμενον, καὶ ἅπαντα κρυμὸν ὑπομένοντα

C περιορᾷς; ποῖον θηρίον τούτοις οὐ κατακλασθείη τοῖς πράγμασι; τίς οὕτως ὠμὸς καὶ ἀπάνθρωπος, ὡς μὴ γενέσθαι τούτοις ἥμερος; ἀλλὰ γὰρ εἰσί τινες οἳ πρὸς τοῦτο ἀπηνείας ἥκασιν, ὡς οὐ μόνον οὐκ ἐλεεῖν, καὶ δακρύειν, καὶ συνδιαλύειν ταῖς συμφοραῖς, ἀλλὰ καὶ ὑβρίζειν πολλάκις καὶ λέγειν, ἄξια πάσχουσιν αὐτοί. τίνος ἕνεκεν ἄξια πάσχουσιν εἰπέ μοι; ὅτι τρέφεσθαι βούλονται καὶ μὴ λιμώττειν; οὐχὶ, φησίν· ἀλλ᾽ ὅτι ἀργοῦντες. σὺ δὲ οὐκ ἀργῶν κατατρυφᾷς; οὐχὶ καὶ ἐργασίαν πολλάκις πάσης ἀργίας χαλεπωτέραν ἐργάζῃ, ἁρπάζων καὶ βια-

D ζόμενος καὶ πλεονεκτῶν; κρεῖττον ἦν, εἰ καὶ σὺ τοιαύτην ἤργεις ἀργίαν· τοῦ γὰρ πλεονεκτεῖν καὶ ἁρπάζειν τὸ οὕτως ἀργεῖν κατὰ πολὺ βέλτιον. ὅταν οὖν ἴδῃς πένητα καὶ εἴπῃς, ὅτι ἀποπνίγομαι, ὅτι νέος ὢν, οὕτως ὑγιὴς, μηδὲν ἔχων βούλεται τρέφεσθαι ἀργὸς ὤν· ταῦτα ἅπερ εἶπας εἰπὲ πρὸς ἑαυτὸν μᾶλλον· δὲ ἐκείνῳ δὸς αὐτὰ μετὰ παῤῥησίας εἰπεῖν πρὸς σὲ, ὅτι ἀποπνίγομαι ὅτι ὑγιὴς ὢν ἀργεῖς, καὶ οὐδὲν πράττεις ὧν προσέταξεν ὁ Θεός. καὶ σὺ μὲν ὑπὲρ ἀργίας ἐγ-

E καλεῖς. αὐτὸς δέ σοι ἔργων πονηρῶν, ὅτι ἁρπάζεις καὶ πλεονεκτεῖς, καὶ τὰς ἑτέρων ἀνατρέπεις οἰκίας. ἀλλὰ ψεύδεται πολλὰ καὶ πλάττεται; ἀλλὰ καὶ ἐντεῦθεν ἄξιος ἐλεεῖσθαι, ὅτι εἰς τοιαύτην ἐνέπεσεν ἀνάγκην, ὡς καὶ τοιαῦτα ἀναισχυντεῖν. ἡμεῖς δὲ οὐ μόνον οὐκ ἐλεοῦμεν, ἀλλὰ καὶ τὰ ὠμὰ ἐκεῖνα προστίθεμεν ῥήματα· οὐκ ἔλαβεν ἅπαξ καὶ δίς; λέγοντες. τί οὖν; οὐ δεῖ τραφῆναι πάλιν, ἐπειδὴ ἅπαξ ἐτράφη; διατί μὴ καὶ τῇ σαυτοῦ γαστρὶ τούτους τίθης τοὺς νόμους καὶ λέγεις πρὸς αὐτὴν, ἐνεπλήσθης χθὲς, μὴ ζήτει νῦν· ἀλλ᾽ ἐκείνην μὲν καὶ ὑπὲρ τὸ μέτρον διαῤῥηγνύεις.

τὸν

τοῦτον δὲ καὶ τὰ σύμμετρα αἰτοῦντα ἀποστρέφῃ. καὶ πῶς αὐτὸς εἰσακουσθῆναι βούλει προσευχόμενος; ὁ γὰρ περιορῶν τὸν θλιβόμενον, καὶ μὴ διδοὺς ἐκ τῶν αὐτοῦ, πῶς ζητήσει λαβεῖν ἐκ τῶν αὐτοῦ; ἆρα κατηγορίας ἄξια ταῦτα, ὅτι παρασίτους μὲν τρέφων καὶ κόλακας, ζημίαν τὸ πρᾶγμα οὐχ ἡγούμεθα εἶναι· ἂν δὲ πένητα προσιόντα λιμῷ καὶ κρυμῷ καταπονούμενον ἴδωμεν, οὐ μόνον περιορῶμεν αὐτὸν, ἀλλὰ καὶ κατεπεμβαίνομεν εὐθέως; τί γὰρ οὐκ ἐργάζεται, φησί· τί δὲ ἀργὸν τρέφεται; σὺ δὲ ἐργαζόμενος ἔχεις ἃ ἔχεις; οὐχὶ κλῆρον πατρῷον λαβών; εἰ δὲ καὶ ἐργάζῃ, διὰ τοῦτο ὀνειδίζεις ἑτέρῳ; ἀλλ' ἐπιθέτης ἐστὶ τί λέγεις; ἄρτου ἕνεκεν καὶ ἱματίου ἐπιθέτην καλεῖς; ἀλλ' εὐθέως πωλεῖ αὐτό, φησί· σὺ δὲ πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς; τί δέ, πάντες ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ ναυαγίου; οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ νόσου; οὐδεὶς ἀπὸ κινδύνων; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως; ἀλλ' ἂν ἀκούσωμέν τινος τοιαῦτα ἀποδυρομένου, καὶ μεγάλα βοῶντος, καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανόν, εὐθέως τὸν ἐπιθέτην, τὸν ἀπατεῶνα, τὸν * εἴρωνα καλοῦμεν. οὐκ αἰσχύνῃ τινὰ ἐπιθέτην καλῶν; μηδὲν δῷς, καὶ μὴ κατηγορήσῃς τοῦ πένητος. ἀλλ' ἔχει, φησί, καὶ σχηματίζεται. τοῦτό σου κατηγορία, οὐκ ἐκείνου. οἶδεν πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον ἢ πρὸς ἀνθρώπους· καὶ ὅτι κἂν ἐλεεινὸν φθέγξηται ῥῆμα, οὐδὲνα ἐφέλκεται· καὶ διὰ τοῦτο ἀναγκάζεται καὶ σχῆμα περιθεῖναι ἑαυτῷ ἐλεεινότερον, ἵνα σου τὴν ψυχὴν ἐπικλάσῃ. ὢ τῆς ὠμότητος· ὢ τῆς ἀπηνείας· ὢ τῆς ἀπανθρωπίας. ἐὰν ἴδωμεν πένητα ἐν ἐλευθερίῳ σχήματι προσιόντα, οὗτος ἐπιθέτης ἐστί, φησί, καὶ ἵνα ἀπὸ εὐγενῶν εἶναι δόξῃ, οὕτω προσέρχεται· ἐὰν ἴδωμεν γυμνὸν ἢ ῥακενδυτοῦντα, καὶ τοῦτον κακίζομεν. ὢ τῆς ἀναισχυντίας ταύτης θηριώδους. ἂν μὲν βούλῃ, δός· ἂν δὲ μὴ βούλῃ, ἀπόπεμψον. διὰ τί ἄθλιος εἶ καὶ ταλαίπωρος; διὰ τί οὐδὲ αὐτὸς ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀποτρέπεις; ὅταν γὰρ ὁ δεῖνα ἀκούσῃ παρὰ σοῦ, ὅτι οὗτος ἀπατεών, ἐκεῖνος ὑποκριτής, οὐδὲ τούτοις δίδωσιν, οὔτε ἐκείνοις· πάντας γὰρ ὑποπτεύσει τοιούτους εἶναι. καὶ τίνος ἕνεκεν, φησί, τὰ ἠκρωτηριασμένα μέλη γυμνοῦσι; διὰ σέ· εἰ ἐλεήμονες ἦμεν, οὐκ ἂν ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν. εἰ πρώτης προσόδου ἔπειθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. τίς γάρ ἐστιν οὕτως ἄθλιος, ὡς θέλειν ἀποδύρεσθαι δημοσίᾳ μετὰ τῆς γυναικὸς γεγυμνωμένης καὶ τῶν παίδων, πόσης ταῦτα πενίας οὐ χείρονα; καὶ οὐ μόνον οὐκ ἐλεοῦνται, ἀλλὰ καὶ κατηγοροῦνται παρ' ἡμῶν ὡς ἀναίσχυντοι. καὶ σὺ μὲν ἁρπάζων οὐκ ἀναίσχυντος; ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος, ἀναίσχυντος; παντὶ τῷ αἰτοῦντί σε δίδου· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. πῶς γὰρ οὐκ ἄτοπον, ὅτι σὺ μὲν γαστριζόμενος καὶ πιαινόμενος, καὶ εἰς ἑσπέραν βαθεῖαν τὸν πότον παρασύρων, καὶ μαλακοῖς ἐντυλισσόμενος στρώμασι τὸν βίον διατελεῖς· τὸν δὲ πένητα γυμνὸν καὶ τρέμοντα καὶ λιμώττοντα περιορᾷς; καὶ τί λέγω γυμνότητα καὶ τρόμον, ὅπου γε καὶ παῖδας ἠναγκάσθησαν πηρῶσαί τινες ἄωρον ἄγοντας ἡλικίαν, ἵνα τῆς ἡμετέρας ἀναισθησίας καθίκωνται; ἐπειδὴ γὰρ βλέποντες καὶ γυμνοὶ περιϊόντες, οὔτε ἀπὸ τῆς ἡλικίας, οὔτε ἀπὸ τῆς συμφορᾶς τοὺς ἀπηνεῖς ἐπεσπάσαντο, προσέθηκαν τοῖς τοσούτοις κακοῖς ἑτέραν χαλεπωτέραν τραγῳδίαν, ἵνα λύσωσι τὸν λιμόν· κουφότερον εἶναι νομίζοντες ἀποστερεῖσθαι τοῦ κοινοῦ τούτου φωτὸς, καὶ τῆς πᾶσι διδομένης ἀκτῖνος, ἢ λιμῷ παλαίειν διηνεκεῖ, καὶ τὸν οἴκτιστον ὑπομένειν θάνατον. ὄντως μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. ἐλεημοσύνη γάρ ἐστιν, ὅταν μετὰ προθυμίας γίνηται, ὅταν μετὰ δαψιλείας, ὅταν μὴ νομίσῃς διδόναι ἀλλὰ λαμβάνειν· ὅταν ὡς εὐεργετούμενος, ὅταν ὡς κερδαίνων καὶ μὴ ἀπολλύς· ἐπεὶ τοῦτο οὐδὲ χάρις. τὸν γὰρ ἕτερον ἐλεοῦντα χαίρειν, οὐ δυσχεραίνειν χρή. πῶς γὰρ οὐκ ἄτοπον, εἰ τοῦ ἑτέρου λύων ἀθυμίαν αὐτὸς ἀθυμεῖς; εἰ γὰρ ἀθυμεῖς ὅτι ἕτερον ἀπήλλαξας ἀθυμίας, ἐσχάτης ὠμότητος καὶ ἀπανθρωπίας δεῖγμα ἐκφέρεις. βέλτιον γὰρ μὴ ἀπαλλάττειν, ἢ οὕτως ἀπαλλάττειν. τί δὲ καὶ ὅλως ἀθυμεῖς, ἄνθρωπε; μὴ ἐλαττὸν σοι γίνηται τὸ χρυσίον; εἰ ὅλως οὐ τοιαύτην ἔχεις προαίρεσιν, μηδὲ δός. εἰ μὴ θαρρεῖς, ὅτι πολυπλασιάζεταί σοι ἐν οὐρανοῖς, μὴ παράσχῃς. ἀλλ' ἐνταῦθα ζητεῖς τὴν ἀντίδοσιν; διὰ τί; ἄφες τὴν ἐλεημοσύνην, ἐλεημοσύνην εἶναι, καὶ μὴ ἐμπορίαν. πολλοὶ μὲν γὰρ καὶ ἐνταῦθα ἀπέλαβον, ἀλλ' οὐχ οὕτως ἔλαβον ὡς πλέον ἔχοντες τῶν οὐ λαβόντων. οἱ δὲ ἐνταῦθα ἐπιζητοῦντες, καὶ λαμβάνοντες, τὸν μισθὸν ἐλαττοῦσι τὸν ἐκεῖ. μὴ τοίνυν λέγωμεν ὅτι ὁ δεῖνα πονηρὸς, καὶ οὐκ ἄξιος εὖ παθεῖν, ὁ δεῖνα εὐτελής, ὁ δεῖνα ἀπερριμμένος. μὴ πρὸς τὴν ἀξίαν ἴδῃς τοῦ δεομένου τῆς θεραπείας, ἀλλὰ πρὸς τὴν χρείαν μόνον. κἂν γὰρ εὐτελὴς ᾖ καὶ ἀπερριμμένος, κἂν εὐκαταφρόνητος, οὕτω σοι ὁ Χριστὸς λογίζεται τὸν μισθὸν, ὡς αὐτὸς εὖ παθὼν δι' ἐκείνου. Πέτρος καὶ Ἰωάννης ἀνέβαινόν ποτε εἰς τὸ ἱερὸν προσεύξασθαι, καὶ ἰδοὺ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ βασταζόμενος, ἔκειτο πρὸς τὴν θύραν τοῦ ἱεροῦ·

A illum verò mediocria petentem averſaris? & quomodo ipſemet orans exaudiri deſideras? Qui enim in anguſtia poſitum deſpicit, nec de ſuis aliquid dat, quomodo de ipſius bonis accipere petet? Nunquid igitur reprehenſione hæc digna ſunt, quod cùm quis noſtrûm paraſitos quidem alit & adulatores, damnum id minimè exiſtimamus: ſi verò pauperem accedere videamus, fame & algore attritum, non modo ipſum deſpicimus, ſed ſtatim etiam inſultamus? Quare igitur non operatur? dicet aliquis:
B quare otioſus alitur? Tu verò, num operando habes, quæ poſſides? Nonne ex paterna hæreditate accepiſti? Quod ſi etiam operêris, ideóne alteri convitiaris? Sed impoſtor eſt. Quid dicis? panis & veſtimenti cauſa impoſtorem appellas? Sed ſtatim, inquis, illud vendit. Tu verò, tuáne omnia benè diſpenſas? Quid autem? nónne omnes propter otium pauperes fiunt? nemo propter naufragium? nemo propter judicia? nemo propter furtum? nemo propter morbum? nemo propter pericula? nemo propter
C aliam cladem, & ſtatus afflictionem? Verùm, cùm aliquem ejuſmodi deplorantem audimus, & magna voce clamantem, nudúmque in cœlum reſpicientem, continuò impoſtorem, deceptorem & diſſimulatorem vocamus. An non pudet te aliquem impoſtorem appellare? Nihil dederis & nihil inſimulaveris pauperem. Sed habet, inquis, & pauperem ſe fingit. Hoc tuum eſt crimen: non illius, novit ſe ad crudeles accedere, & ad beſtias potiùs quàm ad homines, & licet miſerabilia proferat verba, neminem tamen moveri: atque ideo ſpeciem miſerabiliorem in-
D duere cogitur, ut tuum animum emolliat. O crudelitatem! ô ſævitiam! ô inhumanitatem? Cùm pauperem liberali habitu accedentem conſpicimus, iſte impoſtor eſt, mox aliquis dicit; atque ut ex nobilibus eſſe videatur: ſic homines adit: Si verò nudum cernamus & pannis obſitum, & hunc quoque improbamus. O improbam hanc feritatem! Si quidem velis, da: ſi verò nolis, dimitte. Quare miſer es & ærumnoſus? Quare nec ipſe
E miſereris, & volentes avertis? Si enim ex te aliquis audierit, quòd hic impoſtor ſit, ille ſimulator, neque his dat, neque illis: omnes enim tales eſſe ſuſpicabitur. Et cujus cauſa, dicit, extrema membra fœdata aut mutilata denudant? Tui cauſa. Si miſericordes eſſemus, nihil illis opus foret his artibus: ſi primo congreſſu perſuaderent, tam multa non excogitaſſent. Quis enim ita miſer eſt, ut publicè cum uxore, omnibus ſpoliata, & liberis lamentari velit? qua paupertate hæc deteriora non
A fuerint? Et tamen non modo miſericordiam non conſequuntur, ſed à nobis etiam tanquam impudentes criminantur. Et tu quidem dum aliena rapis, non impudens, ille verò propter panem egenus impudens cenſebitur? Omni petenti te, da: & mutuum à te accipere volentem ne averſeris. Quomodo enim abſurdum non eſt, quòd tu quidem helluans téque ſaginans, & in profundā veſperam compotationem protrahens, ac mollibus te involvens ſtragulis vitam tranſigas; pauperem verò nudum & tre-
B mentem & eſurientem deſpicias? Et quid dico de nuditate & tremore? quando etiam nonnulli liberos immaturam agentes ætatem excæcare coacti ſunt, ut ſtuporem noſtrum ferirent? Quoniam enim videntes, nudique circumeuntes, neque ob ætatem, neque ob miſeriam crudeles attrahebant, appoſuerunt tantis malis aliam graviorem tragœdiam, ut famem ſolverent, tolerabilius eſſe arbitrantes, communi hoc lumine privari, & conceſſo omnibus ſolis radio, quàm cum perpetua fame luctari, &
C miſerrimam ſuſtinere mortem. Verè magnum quid eſt homo, & res pretioſa, vir miſericors. Eleemoſyna enim eſt, ſi promptè fiat, ſi liberaliter: ſi te non accipere putes: ſi ſis tanquam beneficium accipiens: ſi veluti lucrans & non perdens: quoniam hoc beneficium non eſſet. Nam qui alterius miſeretur, gaudere, & minimè gravatè facere debet. Quomodo enim non abſurdum, ſi alterius ſolvens triſtitiam, ipſemet triſteris? Si enim animo diſcrucieris, quod mœrore alium liberaveris, extremæ crudelitatis
D & inhumanitatis indicium profers. Præſtaret enim non liberare, quàm hoc modo liberare. Quid verò etiam omnino afflictaris, o homo? ne pecunia tibi imminuatur? Planè ſi ejuſmodi tibi mens eſt, ne quidem des: Si non confidis, tibi multiplicatum iri in cœlis, ne præbeas. Sed fortè in hoc ſeculo retributionem deſideras? & quare hoc? Sine eleemoſynam, eſſe eleemoſynam, & non mercaturam. Quin & multi hîc receperunt? ſed non ita tamen receperunt, ut hac ratione plus haberent iis, qui non rece-
E perunt. Qui verò hîc quærunt & recipiunt, mercedem, illic imminuunt. Ne itaque dicamus, illum improbum eſſe & beneficio indignum, alium, neſcio quem, vilem & abjectum. Ne dignitatem reſpicias ope indigentis, ſed neceſſitatem tantum. Licet enim vilis ſit & abjectus, licet contemptus, ita tamen Christus mercedem tibi imputat, ac ſi ipſemet beneficio per illum eſſet affectus. Petrus & Joannes aſcendebant aliquando ad templum orare; & ecce claudus ex utero matris ſuæ bajulabatur, & jacebat ad portam templi,

Ex op. ad Hebr.

mala in exempl. ſpons.

Ex op. 2. ad Cor.

Ex orat. in inſcriptionem Act. Apoſt.

Act. 3.

Et cùm eos vidiſſet, intendebat in ipſos, ſperans ſe eleemoſynam acceptutum ab illis. Quid ergo Petrus? Reſpice, inquit, in nos; " ſufficiens habes ex aſpectu indicium paupertatis: nihil verbis opus, aut reſponſo: veſtitus oſtendit inopem. Quid ergo? hoccine totum officium eſt Apoſtolici muneris circa egenum, ut paupertatem non ſublevet; ut ei dicas, aurum & argentum non habeo? Expecta paulìſper, & videbis majores divitias. Argentum & aurum, inquit, non eſt mihi: quod verò habeo, hoc tibi do. In nomine Jeſu Chriſti ſurge & ambula. Vidiſti inopiam pecuniæ & divitias gratiarum? Vide porrò ipſius benignitatem. Reſpice, inquit, in nos. Non contumeliis eum affecit, non convitiatus eſt, non repulit: quod nos frequenter cum iis facimus, qui nos adeunt, rationes ab ipſis expoſcentes, ad opus aliquod eos dimittentes, objicientes, quod dormiant. Hoccine, o homo, edoctus? Non juſſus es otium objicere, aut vitium accuſare neque ſegnitiem exprobare; ſed ſublevare paupertatem, & miſeriam curare, manúmque jacentibus porrigere. Ne igitur vitam & actiones curioſè ſcruteris, cum eleemoſynam es daturus. hoc enim extremæ eſt ineptiæ, pro uno pane univerſam perſcrutari vitam. Et ſi enim homicida ſit, etſi latro, etſi quidlibet, ille mendicans, an ideo paucis nummis indignus tibi eſſe videtur? ſed Dominus quidem tuus ipſi ſolem oriri facit; tu verò quotidiano victu indignum judicas? An ignoras, hac de cauſa etiam Abrahamum potiſſimùm majori in admiratione eſſe, quòd ignorans, quinam eſſent, qui ad ſe venerant; iis tamen viſis, exilierit, & in occurſum feſtinaverit, atque in terram adorans dixerit: Domine, ſi inveni gratiam coram te, ne tranſeas puerum tuum. Ne igitur tu quoque anxiè inquiras: propter Chriſtum enim ſuſcipis. Si enim curioſè ſemper ſcrutari velis, ſæpè probum etiam virum præteribis, & quam ex hoc habuiſſes, mercedem perdes. Neque etiam domeſticorum fidei tantùm habeamus curam, alios verò negligamus: ſed ſi quem malis premi viderimus, aliud nihil inquiramus. Ipſum enim mala pati, jus auxilii habet. Sed neſcio unde iſta invaluerit conſuetudo: cùm ſecularem quidem cernimus in calamitate poſitum, manum non porrigimus: circa eos verò, qui in montibus morantur, ſtudium noſtrum oſtendimus. Sive Græcum ſive Judæum, ſive alium quempiam in miſeria videris, benefacere ei oportet. Etenim ſi ſolos monachos inquiris, iiſque ſolis benefacere deſideras, atque illos rurſus curioſè ſcruteris, utrum dignus ſit, utrùm ſit juſtus, utrùm ſigna faciat, & manum non porrigas, eleemoſynæ emolumentum abſtuliſti: & hoc verò ipſum per tempus iterum tolles. Si enim aſinum, cùm ſuffocari eum vides, erigis, nec multum ſciſcitaris cujus ſit; multò minùs in hominem anxiè inquirere oportet, quiſnam ſit, utrùm Græcus ſit, an verò Judæus, ſed, an auxilio egeat. Si enim bonis abundantem aut nomine celebrem videres, rectè hæc diceres: cùm verò malis eum affligi cernas, ne dixeris, quia malus eſt & improbus. Crudelitatis ſiquidem hoc & inhumanitatis, maximæque arrogantiæ eſt argumentum. Ideo Eleemoſyna, (id eſt, miſericordia) dicitur, ut & dignis & indignis præbeamus. Si enim indignos curioſè inquiramus & ſolicitè ſcrutemur; ne digni quidem aliquando nobis facilè ſeſe offerent: ſi verò indignis etiam demus, omnino etiam digni, & omnibus illis æquiparandi ad manus noſtras venient. Si enim dignitatem perquirere velimus conſervorum noſtrorum, diligentérque perſcrutari, idipſum etiam nobiſcum Deus facturus eſt: & qui rationes à conſervis expoſcere quærunt, ipſi cœleſti clementia excident. Qui enim liberalitatem exhibet, eum non oportet expetere rationes vitæ, ſed paupertatem corrigere & indigentiam explere. Cùm itaque pauperem videris, ne præteriveris, ſed ſtatim cogita quiſnam eſſes: ſi tu loco illius eſſes. Cogita ipſum ſimilem tibi liberum eſſe, & ejuſdem tecum ſocietatis, omniaque tecum communia poſſidere; teque ipſum frequenter ne eodem quidem cum canibus tuis loco habere: ſed hos quidem ſatiari, hunc verò ſæpè eſurientem dormire: & qui è ſervis tuis liber eſt, magis factus eſt neglectus. Sed illi tibi amiſſa reparant? Ego itaque oſtendam, & iſtum amiſſa tibi reparare, multóque magis quàm illos. Opitulabitur enim in die judicii, & ab igni te eripiet. Quid tale ſervi tui facere poſſunt? Quando Tabitha defuncta fuit, quis eam ſuſcitavit? ſervine circunſtantes, an pauperes? tu verò nec liberum æquali cum ſervis conditione dignaris, qui vel ſolo habitu & aſpectu ad liberalitatem te flectere poſſit? Et quomodo Deum rogas, ut in periculis conſtitutum te eripiat, ſi tu eum, qui nihil in te admiſit, dolentem & plangentem, atque à fame & frigore vexatum deſpicias? Quomodo te, qui in eum peccaſti, impunitum dimittet? Qui enim obturat aures ſuas ne audiat pauperem, ipſius preces Deus non exaudiet. Tales itaque erga conſervos ſimus, qualem erga nos dominum eſſe volumus.

quaſi diceret. (margin)
Ex interpr. ep. ad Heb. (margin)
Ex hom. 2. in divitem & Lazarum (margin)
Ex interp. ep. ad Heb. (margin)
Act. 9, 36. (margin)

A καὶ ἰδὼν αὐτοὺς εἰσιόντας προσεῖχεν αὐτοῖς, ζητῶν ἐλεημοσύνην λαβεῖν παρ' αὐτῶν. τί οὖν ὁ Πέτρος; Βλέψον εἰς ἡμᾶς, φησι, ἱκανὴ ἀπὸ τῆς ὄψεως ἡ ἀπόδειξις τῆς ἀκτημοσύνης. οὐ χρεία λόγων οὐδὲ ἀποκρίσεως· ὁ σχηματισμὸς δείκνυσι τὸν ἀκτήμονα. τί οὖν; τοῦτο ὅλον τὸ κατόρθωμα τῆς ἀποστολῆς πρὸς τὸν πένητα, ἵνα μὴ διορθώσῃ τὴν πενίαν, ἵνα εἴπῃς αὐτῷ, οὐκ ἔχω χρυσίον καὶ ἀργύριον; ἀνάμεινον μικρὸν, καὶ ὄψει μείζονα πλοῦτον· ἀργύριον, φησι, καὶ χρυσίον οὐχ ὑπάρχει μοι· B ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει. εἶδες πενίαν χρημάτων, καὶ πλοῦτον χαρισμάτων; ὅρα λοιπὸν αὐτοῦ καὶ τὴν ἐπιείκειαν. Βλέψον εἰς ἡμᾶς, φησιν. οὐχ ὕβρισεν, οὐκ ἐλοιδόρησεν, οὐκ ἀπεκρούσατο, ὃ πολλάκις ποιοῦμεν ἡμεῖς πρὸς τοὺς ἐντυγχάνοντας ἡμῖν, εὐθύνας αὐτοὺς ἀπαιτοῦντες, πρὸς ἐργασίαν αὐτοὺς παραπέμποντες, ἐγκαλοῦντες αὐτοῖς ὅτι καθεύδουσι. μὴ γὰρ τοῦτο ἐπαιδεύθης, ἄνθρωπε; οὐκ ἐκελεύσθης ἀργίαν ἐγκαλεῖν, C οὐδὲ κακίαν κατηγορεῖν, οὐδὲ νωθρείαν ὀνειδίζειν· ἀλλὰ πενίαν διορθοῦσθαι, καὶ συμφορὰν ἰᾶσθαι, καὶ χεῖρα τοῖς κειμένοις ὀρέγειν. μὴ τοίνυν βίους καὶ πράξεις πολυπραγμόνει, μέλλων ἐλεημοσύνην ποιεῖν. καὶ γὰρ ἐσχάτης τοῦτο ἀπειροκαλίας ἐστὶν, ὑπὲρ ἑνὸς ἄρτου ζωὴν ὁλόκληρον περιεργάζεσθαι. εἰ γὰρ ἀνδροφόνος, εἰ γὰρ λῃστὴς, εἰ γὰρ ὁτιοῦν ὁ προσαιτῶν ἐστιν, ἄρτου καὶ ἀργυρίων ὀλίγων οὐ δοκεῖ σοι ἄξιος εἶναι; ἀλλ' ὁ μὲν δεσπότης σου, καὶ ἥλιον αὐτῷ ἀνατέλλει· σὺ δὲ καὶ τῆς ἐφημέρου τροφῆς D ἀνάξιον κρίνεις; οὐκ οἶσθα ὅτι καὶ ὁ Ἀβραὰμ ἐντεῦθεν μάλιστα μειζόνως θαυμάζεται, ὅτι μηδὲ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ἰδὼν ἀνεπήδησε, καὶ εἰς ἀπάντησιν ἔδραμε, καὶ προσεκύνησεν ἐπὶ τῆς γῆς, καὶ εἶπε· Κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ παρέλθῃς τὸν παῖδά σου. μὴ τοίνυν μηδὲ σὺ πολυπραγμόνει· διὰ γὰρ τὸν Χριστὸν δέχῃ. ἂν γὰρ ἀεὶ περιεργάζεσθαι μέλλῃς, πολλάκις καὶ δόκιμον ἄνδρα παραδραμῇ, καὶ τὸν ἐκ τούτου μισθὸν ἀπολέσῃς. μηδὲ τῶν οἰκείων μόνον τῆς πίστεως E φροντίζωμεν, τῶν δὲ ἄλλων ἀμελῶμεν· ἀλλ' ἐάν τινα ἴδωμεν πάσχοντα κακῶς, μηδὲν ἕτερον περιεργαζώμεθα. ἔχει γὰρ τὸ δικαίωμα τῆς βοηθείας, τὸ κακῶς πάσχειν αὐτόν. ἀλλ' οὐκ οἶδα πόθεν αὕτη κεκράτηκεν ἡ συνήθεια· κἂν μὲν κοσμικὸν ἴδωμεν ἐν περιστάσει, οὐκ ὀρέγομεν χεῖρα· περὶ δὲ τοὺς ἐν ὄρεσι μόνον καθημένους ἐσμὲν σπουδαῖοι. κἂν Ἕλληνα κἂν Ἰουδαῖον, κἂν ἕτερόν τινα ἴδῃς ἐν περιστάσει, εὖ ποιεῖν δεῖ. καὶ γὰρ τοὺς μονάζοντας μόνους ἐπιζητῶν, κἀκείνους μόνους εὖ ποιεῖν ἐθέλων, A κἀκείνους δὲ πάλιν περιεργαζόμενος, ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δίκαιος, ἐὰν μὴ ᾖ σημεῖα ποιῶν, καὶ οὐκ ὀρέγων χεῖρα, τὸ πλέον τῆς ἐλεημοσύνης ἐξεῖλες· καὶ τοῦτο δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσεις. εἰ γὰρ ὄνον ἐὰν ἴδῃς ἀγχόμενον ἐγείρεις, καὶ οὐ περιεργάζῃ τίνος ἐστὶ, πολλῷ μᾶλλον ἄνθρωπον οὐ δεῖ περιεργάζεσθαι τίς ἐστι, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος, ἀλλὰ βοηθείας δεῖται. εἰ μὲν γὰρ εὐθηνοῦντα ἢ εὐδοκιμοῦντα εἶδες, καλῶς ταῦτα ἔλεγες· εἰ δὲ κακῶς πάσχοντα ὁρᾷς, μὴ λέγε ὅτι πονηρός ἐστι καὶ φαῦλος· ὠμότητος γὰρ B τοῦτο καὶ ἀπανθρωπίας, καὶ μεγίστης ἀλαζονείας τεκμήριον. ἐλεημοσύνη διὰ τοῦτο λέγεται, ἵνα καὶ τοῖς ἀξίοις καὶ τοῖς ἀναξίοις παρέχωμεν. ἂν γὰρ τοὺς ἀναξίους περιεργαζώμεθα καὶ πολυπραγμονῶμεν, οὐδὲ ἄξιοί ποτε ῥᾳδίως ἐμπεσοῦνται ἡμῖν· ἂν δὲ καὶ ἀναξίοις παρέχωμεν, πάντως καὶ οἱ ἄξιοι, καὶ πάντων ἐκείνων ἀντάξιοι εἰς τὰς ἡμετέρας ἥξουσι χεῖρας. εἰ γὰρ μέλλοιμεν τὴν ἀξίαν ἐπιζητεῖν ἐπὶ τῶν συνδούλων τῶν ἡμετέρων καὶ ἀκριβολογεῖσθαι, τοῦτο καὶ ὁ Θεὸς ἐφ' ἡμῶν ἐργάζεται· καὶ ζητοῦντες C τοὺς ὁμοδούλους ἀπαιτῆσαι εὐθύνας, αὐτοὶ τῆς ἄνωθεν ἐκπεσοῦνται φιλανθρωπίας. τὸν γὰρ φιλοφροσύνην ἐπιδεικνύμενον εὐθύνας ἀπαιτῆσαι οὐ δεῖ βίου, ἀλλὰ πενίαν διορθοῦν καὶ τὴν χρείαν πληροῦν. τοιγαροῦν ὅταν ἴδῃς πένητας, μὴ παραδράμῃς, ἀλλ' εὐθέως ἐννόησον τίς ἂν ἦς, εἰ σὺ ἦς ἐκεῖνος. ἐννόησον ὅτι ὅμοιός σοι ἐλεύθερός ἐστι, καὶ τῆς αὐτῆς σοι κοινωνίας, καὶ πάντα σοι κοινὰ κέκτηται, καὶ οὐδὲ τῶν κυνῶν τῶν σῶν πολλάκις ἴσον ποιεῖς αὐτόν· ἀλλ' οἱ μὲν κορέννυνται, οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν. καὶ τῶν D δούλων τῶν σῶν ὁ ἐλεύθερος, ἀτιμότερος γέγονεν. ἀλλ' ἐκεῖνοί σοι χρείας πληροῦσι καὶ δουλεύουσί σοι καλῶς; ἐγὼ οὖν δείξω καὶ τοῦτον χρείας σοι πληροῦντα πολλῷ μείζονας ἐκείνων. παραστήσεται γὰρ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ ἐξαιρήσεταί σε τοῦ πυρός. τί τοιοῦτον οἱ δοῦλοί σου ποιῆσαι δύνανται; ὅτε ἡ Ταβιθὰ ἐτελεύτησε, τίς ἀνέστησεν αὐτήν; δοῦλοι περιστάντες, ἢ πτωχοί; σὺ δὲ οὐδὲ τὸν δοῦλον τῷ ἐλευθέρῳ ἐν ἴσῳ ποιεῖν ἐθέλεις, τὸν καὶ ἀπὸ μόνου τοῦ σχήματος καὶ τῆς ὄψεως ἱκανὸν ὄντα σε πρὸς E ἐλευθερίαν ἐπικάμψαι; καὶ πῶς ἀξιοῖς τὸν Θεὸν ἐν συμφορᾷ ὄντα ἐξελέσθαι, εἰ σὺ τὸν οὐδὲν ἁμαρτόντα εἰς σὲ, ἀλγοῦντα καὶ κοπτόμενον καὶ βασανιζόμενον ὑπὸ λιμοῦ καὶ κρυμοῦ περιορᾷς; πῶς σε τὸν ἁμαρτόντα εἰς αὐτὸν ἀτιμώρητον ἀφήσει; ὃς γὰρ ἀποφράττει, φησὶ, τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός. τοιοῦτοι τοίνυν περὶ τοὺς συνδούλους γινώμεθα, οἷον βουλόμεθα περὶ ἡμᾶς τὸν δεσπότην γενέσθαι.

ἐλεη

ἐλεημοσύνη, καὶ εὐχῆς, καὶ νηστείας, καὶ πολλῶν ἑτέρων μείζων ἐστὶ θυσία, μόνον ἂν ἐκ δικαίων γίνηται κερδῶν καὶ πόνων τοιούτων, καὶ πάσης ᾖ καθαρὰ πλεονεξίας καὶ ἁρπαγῆς καὶ βίας. τοιαύτας προσίεται προσφορὰς ὁ Θεός· τὰς δὲ ἑτέρας ἀποστρέφεται καὶ μισεῖ. οὐδὲ γὰρ βούλεται ἐξ ἀλλοτρίων τιμᾶσθαι συμφορῶν· ἀκάθαρτος γὰρ καὶ βέβηλος ἡ τοιαύτη θυσία, καὶ παροξύνειεν ἂν μᾶλλον ἢ ἐξιλεώσαιτο τὸν Θεόν. ἐλεημοσύνη γὰρ διὰ τοῦτο εἴρηται ἵνα ἐλεῶμεν, οὐχ ἵνα κολάζωμεν τοὺς ὁμοδούλους. ὁ δὲ τὰ ἑτέρων λαμβάνων καὶ ἑτέροις διδοὺς, οὐκ ἠλέησεν, ἀλλ' ἐτιμωρήσατο μᾶλλον, καὶ ἀδικίαν οὐ τὴν τυχοῦσαν ἠδίκησεν. ὁ βουλόμενος πλουτεῖν, χρείαν ἔχει χρημάτων· ὁ μὴ βουλόμενος πλουτεῖν, ἀεί ἐστιν ἐν εὐπορίᾳ. οὐ γὰρ τὸ πλουτεῖν, ἀλλὰ τὸ μὴ βούλεσθαι πλουτεῖν, τοῦτό ἐστι πλοῦτος, οἷον τι λέγω· ἔστι πλούσιος τὰ πάντων ἁρπάζων· καὶ ἔστι πλούσιος τὰ ἑαυτοῦ τοῖς πένησι παρέχων· ὁ μὲν ἐν τῷ συνάγειν, ὁ δὲ ἐν τῷ ἀναλίσκειν πλουτῶν· καὶ ὁ μὲν σπείρει τὴν γῆν, ὁ δὲ γεωργεῖ τὸν οὐρανόν. ἀλλ' ὅσον ὁ οὐρανὸς τῆς γῆς βελτίων, τοσοῦτον τούτου ἡ εὐφορία ἐκείνης ἀσθενεστέρα. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ἐπὶ μὲν τοῦ ἅρπαγος, οὐ μόνον οἱ ἠδικημένοι, ἀλλὰ καὶ οἱ μηδὲν παθόντες κακὸν, μισοῦσιν ἐκεῖνον, συναλγοῦντες τοῖς κακῶς πεπονθόσι. εἰ δὲ καὶ πέσῃ, βοαὶ μυρίαι παρὰ πάντων, ὁ μιαρὸς, ὁ πονηρὸς, ὁ παμπόνηρος· καὶ πάντες ἐπεμβαίνουσιν αὐτῷ. ἐπὶ δὲ τοῦ ἐλεήμονος, οὐ μόνον οἱ ἐλεηθέντες, ἀλλὰ καὶ οἱ μὴ ἐλεηθέντες φιλοῦσιν αὐτὸν, τὰς εἰς ἐκείνους γινομένας εὐποιίας εἰς ἑαυτοὺς λογιζόμενοι. εἰ δέ τι καὶ ἀηδὲς πάθῃ, εὔχονται πάντες, ὁ Θεὸς αὐτὸν ἐλεήσει· ποιήσει αὐτῷ καλῶς, παραμείνειεν αὐτῷ τὰ ἀγαθά. εἶδες πῶς ἡ κακία καὶ τοὺς μὴ ἀδικηθέντας πολεμίους ἔχει, ἡ δὲ ἐλεημοσύνη καὶ τοὺς μὴ ἐλεηθέντας ἐραστὰς κέκτηται; πρῶτον τοίνυν ἀπαλλάγηθι τοῦ ἁρπάζειν, καὶ τότε τὴν ἐλεημοσύνην ἐπίδειξαι. στῆσον τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ οὕτως αὐτὰς ἐπὶ τὴν ἐλεημοσύνην ἄγε. ἂν δὲ αὐτοὺς καὶ τοὺς πτωχοὺς ἀποδυώμεθα, εἰ καὶ τοῖς ἐξ ἐκείνων διδομένοις ἐνδύωμεν, ἀλλ' οὐδὲ οὕτως τὴν κόλασιν διαφευγόμεθα. ἡ γὰρ ὑπόθεσις τοῦ ἐλέους πλημμελείας ὑπόθεσις γίνεται. τοῦ γὰρ οὕτως ἐλεεῖν τὸ μὴ ἐλεεῖν κρεῖττον. εἰ γὰρ τὰ ἐλάττω κομίσας ὁ Κάϊν τὸν Θεὸν παρώξυνεν, ὁ καὶ τὰ ἀλλότρια διδοὺς, πῶς οὐ παροξυνεῖ; ἡ ἐλεημοσύνη τέχνη τίς ἐστιν ἀρίστη καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν· φίλη γὰρ τῷ Θεῷ ἐστιν, εἰ μὴ ἀδικεῖται παρ' ἡμῶν· ἀδικεῖται δὲ, ὅταν ἐξ ἁρπαγῆς αὐτὴν ἐργαζώμεθα. ὡς ἐὰν ᾖ καθαρὰ, πολλὴν τοῖς ἀναπέμπουσιν αὐτὴν δίδωσι παρρησίαν, καὶ ὑπὲρ προσκεκρουκότων δεῖται. τοσαύτη γὰρ αὐτῆς ἡ ἰσχύς. αὕτη διαρρήγνυσι τὰ δεσμὰ, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, καὶ ὁμοίους Θεῷ καθίστησι τοὺς ἐργαζομένους αὐτήν. γίνεσθε γὰρ, φησὶν, οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν. μὴ δὴ προδῶμεν τὴν εὐκαιρίαν τοῦ παρόντος βίου, ἀλλ' ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας τῆς ἡμετέρας. ἔστι γὰρ, ἔστι καὶ εἰς ἐσχάτας ἀναπνοὰς εὐαρεστῆσαι τῷ Θεῷ. ἔστι δὲ ἀπὸ διαθήκης εὐδοκιμῆσαι, οὐχ οὕτως μὲν ὡς ζῶντας· ἔστι δὲ ὅμως. πῶς καὶ τίνι τρόπῳ; ἂν τὸν Θεὸν ἐγγράψῃς μετὰ τῶν σῶν κληρονόμων, καὶ μοῖραν καὶ αὐτῷ τοῦ παντὸς ἀπονείμῃς κλήρου. οὐκ ἔθρεψας αὐτὸν ζῶν; κἂν ἀπελθὼν ὅτε οὐκέτι κύριος εἶ, μετάδος αὐτῷ τῶν σῶν. μείζονος μὲν γὰρ καὶ πλείονος μισθοῦ τὸ ζῶντά σε τρέφειν αὐτόν· εἰ δὲ τοῦτο αὐτῷ μὴ πεποίηκας, κἂν ἐπὶ τὸ δεύτερον ἐλθέ. εἰ δὲ καὶ τοῦτο ὀκνεῖς, ἐννόησον ὅτι ὁ πατὴρ αὐτοῦ συγκληρονόμον αὐτοῦ σε πεποίηκε, καὶ κατάλυσον τὴν ἀπανθρωπίαν. ποίας γὰρ τεύξῃ συγγνώμης, ὅταν πρὸς τῷ μὴ θρέψαι αὐτὸν ζῶν, μηδὲ μέλλων ἀπιέναι πρὸς αὐτὸν, ἀπὸ τῶν χρημάτων τούτων, ὧν οὐκ εἶ κύριος λοιπὸν, βουληθῇς αὐτῷ μικρόν τι χαρίσασθαι, ἀλλ' οὕτως ἐχθρῶς διάκεισαι καὶ πολεμίως, ὡς μηδὲ τῶν ἀχρήστων σοι γινομένων αὐτῷ μεταδοῦναι; οὐχ ὁρᾷς ὅσοι τῶν ἀνθρώπων οὐδὲ τούτου κατηξιώθησαν τοῦ τέλους ἀλλὰ ἁρπαγέντες ἀπῆλθον; σὲ δὲ ὁ Θεὸς καὶ ἐπισκῆψαι τοῖς προσήκουσι καὶ εἰπεῖν περὶ τῶν ὄντων, καὶ τὰ κατὰ τὴν οἰκίαν ἅπαντα διαθεῖναι ἐποίησε κύριον. ποίαν οὖν ἀπολογίαν ἕξεις, ὅταν καὶ ταύτην παρ' αὐτοῦ λαβὼν τὴν χάριν, προδῷς τὴν εὐεργεσίαν, καὶ μηδὲ ὑπὸ τῆς ἀνάγκης ἐλεήμων γένῃ καὶ φιλάνθρωπος; τὸ μὲν γὰρ ἄμεινον καὶ πολλὴν παρέχον τὴν χάριν, ζῶντα διορθοῦν πενίαν· εἰ δὲ ἐκεῖνο μὴ βουληθῇς, κἂν τελευτῶν ποίησόν τι γενναῖον. οὐ πολλῆς μὲν γάρ ἐστι γενναιότητος, ἔστι δ' οὖν ὅμως. εἰ γὰρ μὴ τὴν προεδρίαν ἕξεις τὴν μετὰ τῶν ἀρνῶν, ἀλλ' οὐ μικρὸν τὸ κἂν μετ' ἐκείνους γενέσθαι, καὶ μὴ στῆναι μετὰ τῶν ἐρίφων. ἂν δὲ μηδὲ τοῦτο ποιήσῃς, τίς σε λοιπὸν ἐξαιρήσεται λόγος; ὅταν γὰρ ἔζης, ὡς ἀθάνατος, οὕτως ἀντεῖχες τῶν ὄντων· νυνὶ δὲ ἐπειδὴ ἔμαθες ὅτι θνητὸς γέγονας, κἂν νῦν τὸ δόγμα κατάλυσον, καὶ ὡς θνητὸς περὶ τῶν σαυτοῦ βούλευσαι. εἰ γὰρ καὶ φορτικὸν τὸ μέλλον ῥηθήσεσθαι καὶ φρίκης γέμον, ἀλλ' ὅμως ἀναγκαῖον εἰπεῖν. ἀρίθμησον μετὰ τῶν δούλων σου, τὸν δεσπότην. ἐλευθεροῖς τοὺς δούλους; ἐλευθέρωσον τὸν Χριστὸν λιμοῦ, καὶ

A Eleemoſyna majus quoddam eſt ſacrificium, quàm oratio & jejunium, aliáque multa; modò ea juſto ex lucro, & ejuſmodi laboribus, fiat; atque ab omni avaritia, rapina & violentia munda ſit. Tales oblationes admittit Deus: cæteras vero averſatur & odit. Non enim vult ex alienis calamitatibus honorari: ſed immundum ac prophanum eſt ejuſmodi ſacrificium, Deúmque potiùs irritaverit quàm placaverit. Eleemoſyna enim ideo ſic dicta eſt, ut conſervorum miſereamur, non ut pœ- B nis afficiamus. Qui veró quæ aliorum ſunt, aufert & aliis dat, non miſertus eſt, ſed magis ſupplicio affecit, & injuriam non vulgarem intulit. Qui dives eſſe vult, pecuniis opus habet: qui non deſiderat dives fieri, ſemper eſt in abundantia. Non enim divitem eſſe, ſed divitem fieri non velle, hoc divitiæ ſunt cujuſmodi ego dico. Eſt dives qui omnium bona rapit; & eſt dives qui ſua pauperibus erogat: ille quidem in congregando, hic vero in expendendo dives: Et ille quidem terram ſeminat, hic C vero cœlum colit. Sed quanto cœlum eſt præſtantius terra, tanto infirmior eſt illius copia, quàm hujus. Et quod mirabile eſt, rapacem non modò, qui injuria ſunt læſi, ſed etiam nihil injuriæ paſſi, illum oderunt, injuria ſcilicet affectis condolentes. Si verò etiam cadat, innumeri ſtatim ab omnibus clamores: ſceleſtus, improbus, perditus: omnéſque ipſi inſultant. In miſericorde verò, non modo qui miſericordiam ſunt conſecuti, ſed etiam qui illam non ſunt experti, eum amant, in ſe collatum reputantes D beneficium, quod aliis præſtitum eſt. Si veró & triſte quid ei acciderit, omnes orant, ut Deus ipſius miſereatur; ut faciat illi bene; ut bona ipſi conſtanter maneant. Vidiſti, quomodo malitia eos quoque ſibi habeat infenſos, qui injuriam non acceperunt: miſericordia verò etiam hos, quibus impenſa non eſt, amatores habeat. Primó igitur á rapina ceſſa, & tum demum eleemoſynam oſtende. Cohibe manus tuas ab avaritia, & ſic eas ad eleemoſynam faciendam adducas. Quod ſi iiſdem etiam pau- E peres ſpoliemus, licet datis de illorum bonis veſtiamus, non tamen ſic ſupplicium evademus. Materia enim miſericordiæ materia fit omnis iniquitatis. Melius enim eſt non miſereri, quàm hoc modo miſereri. Nam ſi Cain viliora offerens, Deum irritavit, quomodo non irritabit, qui enim aliena donat? Eleemoſyna optima quædam ars eſt, & eorum qui eam faciunt, patrona. Chara enim eſt Deo, niſi injuria à nobis violetur: violatur autem, ſi illam ex rapina faciamus. Si ergo pura ſit: magnam A præbet illis fiduciam, qui ſurſum eam mittunt, & pro iis qui offenderunt, orat. Tanta enim eſt ipſius vis. Ipſa dirumpit vincula, ſolvit tenebras, reſtinguit ignem, eóſque, qui ipſam faciunt, Deo ſimiles efficit. *Eſtote*, inquit, *miſericordes, ſicut & pater veſter miſericors eſt.* Ne porró negligamus præſentis vitæ opportunitatem, ſed fortiter inhæreamus noſtræ ſaluti. Licet enim, licet, inquam etiam ad extremum ſpiritum Deo placere. Licet verò ex teſtamento laudem conſequi; non quidem ſicut B viventes, licet tamen. Qui verò iſtud, & qua ratione? Si Deum una cum tuis hæredem ſcripſeris, déque tota hæreditate ipſi quoque partem aſſignaveris. Non nutriviſti eum vivens? at defunctus ſaltem, cùm non ampliùs dominus es, de tuis ipſi impertiaris. Majoris quidem & amplioris eſt præmii, ſi vivens ipſum nutrias: ſi tamen hoc non præſtiteris, ad ſecundum ſaltem venias. Si verò etiam hoc facere dubites, cogita quod pater ipſius eidem te cohæredem fecerit, & dimitte illam inhumanitatem. C Quam enim conſequeris veniam, ſi præterquam quod videns ipſum non nutriveris, ne quidem ad ipſum abiturus, de bonis iſtis, quorum non ampliùs es dominus, vel exiguum quid largiri velis; ſed adeó inimico & infeſtoſis animo, ut ne de tibi inutilibus, ei aliquid impertiaris? Non vides, quot homines nec tali morte digni ſunt habiti ſed rapti deceſſerunt? Tibi veró, ut de bonis propinquis tuis ſtatueres & loquereris, omniáque tua domeſtica negotia componeres, facultatem conceſſit. Quam D igitur excuſationem habebis, ſi & hanc ab ipſo conſecutus gratiam, hoc beneficium neglexeris, & ne per neceſſitatem quidem benignus fieri volueris? Præſtantius illud quidem, multámque conferens gratiam, viventem, ſublevare paupertatem: Si verò illud nolueris, at moriens ſaltem generoſum quid facias. Non quidem magnæ eſt generoſitatis: utique tamen eſt. Etſi enim primam ſedem cum agnis non ſis habiturus, parum tamen non eſt, illos ſaltem ſequi, & cum hircis non ſtare. Quòd ſi nec hoc E quidem facias, quæ te oratio liberabit? Cùm enim viveres, velut immortalis, ita bona tua tenebas: jam verò poſtquam te mortalem eſſe didiciſti, nunc ſaltem illam tuam dimitte ſententiam, & tanquam mortalis de rebus tuis ſtatue. Quamvis enim grave ſit quod dicendum eſt, & horrore plenum, neceſſe tamen eſt dicere: Numera inter ſervos tuos Dominum. Libertate donas ſervos? libera Chriſtum

Ex interp. Evang. S. Ioan.

Ex ep. ad Hebr.

Ex ep. ad Rom.

ſtum à fame, & neceſſitate, & carceribus, & nuditate. Horruiſti hoc audiens? Atque magis horrendum, ſi idipſum non facias. Et hic quidem verbum illud te obſtupefecit: cùm verò illuc perveneris, & quæ his longè ſunt graviora, audieris, & crudeliſſima videris ſupplicia, quid dicturus es? ad quem confugies? quem invocabis adjutorem & auxiliatorem? Nunquid Abraham? ſed non audiet: an vero patrem? an avum? verùm nec horum quiſquam poteſtatem habebit, licet admodum ſanctus ſit, ſententiam illam relaxandi. Sed inhumanus es, & crudelis & immiſericors: revetere dignitatem petentis. At non te placat dignitas? ad calamitatem tamen inflectere. Sed neque calamitas ad miſericordiam te inflectit? da propter petitionis facilitatem. Quòd ſi neque authoritas, neque rei neceſſitas, neque dandi facilitas tibi quicquam perſuadere poſſit, propter promiſſorum ſaltem magnitudinem da egeno. Quæ enim erit venia his, qui poſt tantam cohortationem egentes deſpiciunt? Audiant qui ſacris imbuti ſunt. Quando tu alendus es, ipſe ne propriæ quidem carni ſuæ parcit: quando te potare neceſſe eſt, non parcit vel ſanguini: Tu verò nec panem impertiris, nec potum? Et quam veniam habebis, illa accipiens; & vilibus rebus tantopere parcens? Nunquid enim ſi propter Chriſtum non moriaris, immortalis eris? Hæc ille à te petit, quæ ipſo etiam non petente, daturus es; eo quòd ſis mortalis. Hæc te voluntate tua facere vult, quæ vel neceſſario te facere oportet. Quæ pati omnino eſt neceſſe, propter me pati velis. Hoc unum propoſitum ſit, & ſufficientem habeo obedientiam. Nunquid tolerabilia hæc, quod Deus quidem etiam filium ſuum pro te tradiderit, tu verò nec panem cum ipſo communices, qui pro te traditus eſt, qui pro te occiſus eſt? Propter te pater ei non pepercit? idque cùm verus eſſet filius: tu verò fame contabeſcentem negligis; idque cùm de bonis ipſius expendere, & propter te erogare debes? Et quid hac iniquitate pejus fuerit? Traditus eſt propter te: de ipſius das bonis, ut tu commodum ſentias, & ne ſic quidem das? Et quibus lapidibus ſtupidior non fueris, ſi tot rebus te trahentibus, in diabolica iſta perſeveres crudelitate? Si enim non rependas mihi, ait, tanquam aliquid pro te paſſo: propter egeſtatem miſerearis: ſi verò propter egeſtatem miſereri nolis, propter morbum tamen flectere, propter vincula emollire. Si verò nec iſta humanum te faciunt: propter petitionis facilitatem ſaltem annue: nihil enim petit pretioſi, ſed panem & tectum, verborúmque conſolationem. Quod ſi poſt hæc omnia immitis eſſe pergas, propter regnum ſaltem eſto benignior. Sed neque illius rationem habes? ad ipſam ſaltem naturam inflectere, nudum videns; atque illius recordare nuditatis, qua ego propter te nudatus fui in cruce. Si verò illud nolis, hujus certè memineris, quàm in pauperibus patior. Non dico, Tolle meam paupertatem; nec, Dona mihi divitias: ſed panem peto & veſtem, & famis ſolatium exiguum. Etſi in carcerem incidero, non cogo te ut vincula ſolvas & excutias; ſed unum duntaxat requiro, ut vinctum propter te videas, & magnam ſatis recepero gratiam. Poſſum enim etiam abſque iſtis te coronare; ſed debitor tuus eſſe volo, ut fructum aliquem & fiduciam tibi corona adferat. Propterea quoque, cùm meipſum alere poſſim, mendicans tamen circumeo, & ſtans ad fores tuas manum extendo, à te petens nutriri. Atque hac in re mihi placeo, ut tunc in univerſi terrarum orbis ſpectaculo te proclamem, cunctíſque audientibus, nutritorem meum oſtendam. Et vos quidem ſi à quopiam alamini, ob hoc erubeſcitis, & occultatis: Ego verò quoniam vehementer vos amo, vobis etiam tacentibus, multa cum laude publicè factum pronuncio: nec me dicere pudet, vos nudum me operuiſſe, eſurientem nutriviſſe; ſed magis hiſce glorior, ut vos hæredes regni cœleſtis efficiamini. Hæc igitur cogitantes, chariſſimi, ſtrenuè in ſalutem noſtram incumbamus, ut æternis quoque bonis potiamur, in Chriſto Jeſu Domino noſtro; cui gloria in ſecula ſeculorum. Amen.

De peccato & confeſſione.

HOMILIA XXVI.

Ex orat. in ep. 1. ad Theſſ.

PEregrinatúſque eſt aliquando ex vobis aliquis in Palæſtina? Ego verò exiſtimo. Quid ergo? Teſtimonium dicite vos, qui loca illa vidiſtis. Eſt ibi regio magna & fertilis. Imò verò fuit: jam autem non eſt. Ipſa igitur olim tam florida, & cum omnibus regionibus certans, & abundantia paradiſum Dei præcedens, cunctis ſolitudinibus magis eſt deſolata. Et arbores quidem etiamnum ſtant & fructum habent: ſed fructus iræ divinæ quædam eſt

A ἀνάγκης, καὶ δεσμωτηρίων, καὶ γυμνότητος. ἔφριξας ἀκούσας
τοῦτο; φρικωδέστερον ὅταν μηδὲ τοῦτο αὐτὸ ποιῇς; καὶ ἐνταῦθα μὲν
τὸ ῥῆμά σε ναρκᾶν ἐποίησεν· ὅταν δὲ ἀπέλθῃς ἐκεῖ, καὶ τὰ πολλῷ
χαλεπώτερα τούτων ἀκούσῃς, καὶ τὰ ἀνήκεστα βλέπῃς βασανιστήρια;
τί ἐρεῖς; πρὸς τίνα καταφεύξῃ; τίνα καλέσεις σύμμαχον καὶ βοη-
θόν; τὸν Ἀβραάμ; ἀλλ' οὐκ ἀκούσεται· ἀλλὰ τὸν πατέρα; ἀλλὰ τὸν
πάππον; ἀλλ' οὐδὲ τούτων οὐδεὶς ἔσται κύριος, κἂν σφόδρα ἅγιος ᾖ, ὁ
B λῦσαι τὴν ψῆφον ἐκείνην. ἀλλ' ἀπάνθρωπος εἶ, καὶ ὠμὸς, καὶ ἀνηλεής·
αἰδέσθητι τὸ ἀξίωμα τοῦ αἰτοῦντος· ἀλλ' οὐ δυσωπεῖ σε τὸ ἀξίωμα;
πρὸς τὴν συμφορὰν ἐπικάμφθητι· ἀλλ' οὔτε ἡ τῆς συμφορᾶς εἰς ἔλεόν
σε ἐπικάμπτει; διὰ τὸ τῆς αἰτήσεως εὔκολον δός. εἰ δὲ οὔτε τὸ ἀξίω-
μα, οὔτε τὸ ἀναγκαῖον τῆς χρείας, οὔτε τὸ εὔκολον τῆς δόσεως δυνατόν
σε πεῖσαι· οὐκοῦν διὰ τὸ μέγεθος τῶν ἐπηγγελμένων ἀγαθῶν παρά-
σχου τῷ δεομένῳ. τίς γὰρ ἔσται συγγνώμη τοῖς μετὰ τοσαύτην παράκλη-
C σιν τῶν δεομένων ὑπερορῶσιν; ἀκουέτωσαν οἱ μεμυημένοι· αὐτὸς ὅταν
δέῃ σε θρέψαι, οὐδὲ τῆς σαρκὸς φείδεται τῆς ἑαυτοῦ· ὅταν δέῃ ποτίσαι, οὐ-
δὲ τοῦ αἵματος φείδεται· σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως οὐδὲ ποτηρίου; καὶ
ποίαν ἕξεις συγγνώμην τοιαῦτα λαμβάνων, καὶ τῶν εὐτελῶν φειδό-
μενος; οὐδὲ γὰρ ἂν διὰ τὸν Χριστὸν μὴ ἀποθάνῃς, ἀθάνατος ἔσῃ. ταῦ-
τα ἀπαιτεῖ παρά σου, ἃ καὶ μὴ ἀπαιτοῦντος δώσεις, διὰ τὸ θνητὸν
εἶναι· ταῦτά σε βούλεται ποιεῖν σῇ γνώμῃ, ἃ καὶ ἀνάγκῃ σε δεῖ ποιῆ-
D σαι· ἃ πάντως ἀνάγκη σε παθεῖν, ἐμοῦ παθεῖν δι' ἐμέ. τοῦτο προκεί-
σθω μόνον, καὶ ἀρκοῦσαν ἔχω τὴν ὑπακοήν. ἆρά γε φορητὰ ταῦτα,
ὅτι ὁ μὲν Θεὸς καὶ τὸν υἱὸν ἐξέδωκεν ὑπέρ σου, σὺ δὲ οὐδὲ ἄρτου μεταδί-
δως αὐτῷ τῷ διά σε ἐκδοθέντι, τῷ διά σε σφαγέντι; ὁ πατὴρ
διά σε οὐκ ἐφείσατο, καὶ ταῦτα γνησίου ὄντος· σὺ δὲ καὶ λιμῷ τηκό-
μενον περιορᾷς, καὶ ταῦτα ἀπὸ τῶν αὐτοῦ μέλλων ἀναλίσκειν, καὶ διὰ
σαυτὸν ἀναλίσκειν; καὶ τί ταύτης τῆς παρανομίας χεῖρον γένοιτ' ἄν;
E ἐξεδόθη διά σε, ἐσφάγη διά σε, περιέρχεται πεινῶν· ἐκ τῶν αὐτοῦ
δίδως, ἵνα αὐτὸς ὠφεληθῇς, καὶ οὐδὲ οὕτω δίδως; καὶ ποίων οὐκ ἂν εἴης
ἀναισθητότερος λίθων, τοσούτων σε ἑλκόντων πραγμάτων, ἐπὶ τῆς
διαβολικῆς ταύτης μένων ὠμότητος; εἰ γὰρ μὴ ἀμείβῃ με, φησὶν,
ὡς ὑπέρ σοῦ τι παθόντα, διὰ τὴν πενίαν ἐλέησον· εἰ δὲ μὴ βούλει διὰ
τὴν πενίαν ἐλεῆσαι, διὰ τὴν νόσον ἐπικάμφθητι, διὰ τὸ δεσμωτή-
ριον ἐπικλάσθητι. εἰ δὲ μηδὲ ταῦτά σε ποιεῖ φιλάνθρωπον, διὰ τὸ
A κοῦφον τῆς αἰτήσεως ἐπίνευσον· οὐδὲν γὰρ αἰτεῖ πολυτελές. ἀλλ' ἄρτον
καὶ στέγην, καὶ ῥημάτων παράκλησιν. εἰ δὲ καὶ μετὰ ταῦτα ἐπιμένεις
ἄγριος ὢν, κἂν διὰ τὴν βασιλείαν γενοῦ βελτίων. ἀλλ' οὐδὲ ἐκείνης
σοί ἐστί τις λόγος; κἂν πρὸς τὴν φύσιν αὐτὴν ἐπικλάσθητι γυμνὸν
ὁρῶν, καὶ τῆς γυμνότητος ἀναμνήσθητι ἐκείνης, ἣν * ἐγυμνώθην ἐπὶ τοῦ
σταυροῦ διά σε. εἰ δὲ ἐκείνου οὐ βούλει, κἂν ταύτης ἣν διὰ τῶν πενήτων
γυμνοῦμαι. οὐ λέγω, λῦσόν μου τὴν πενίαν, οὐδὲ χάρισαί μοι πλοῦτον,
B ἀλλ' ἄρτον αἰτῶ καὶ ἱμάτιον, καὶ λιμοῦ παραμυθίαν μικράν· κἂν εἰς
δεσμωτήριον ἐμπέσω, οὐκ ἀναγκάζω τὰ δεσμὰ λῦσαι καὶ ἐκβα-
λεῖν, ἀλλ' ἓν ἐπιζητῶ μόνον, ἵνα ἴδῃς δεδεμένον διὰ σὲ, καὶ ἀρκοῦσαν
ἔλαβον χάριν. δύναμαι μὲν γὰρ χωρὶς τούτων σε στεφανοῦν, βούλομαι
δέ σοι καὶ ὀφειλέτης εἶναι, ἵνα φέρῃ σοί τινα καρπὸν, καὶ παρρησίαν
ὁ στέφανος. διὰ τοῦτο καὶ δυνάμενος ἐμαυτὸν θρέψαι, περιέρχομαι
προσαιτῶν, καὶ τὰς θύρας σου προσστάμενος προτείνω χεῖρα, παρὰ σοῦ
C τραφῆναι ἐπιθυμῶν. καὶ ἐγκαλλωπίζομαι τούτῳ, ἵνα τοῦ θεάτρου παρ-
όντος τῆς οἰκουμένης ἀνακηρύξω σε τότε, καὶ πάντων ἀκουόντων ἐνδεί-
κνυμαι τὸν τροφέα τὸν ἐμόν. καίτοιγε ὑμεῖς ὅταν παρά τινος τραφῆ-
τε, αἰσχύνεσθε τοῦτο καὶ συσκιάζετε· ἐγὼ δὲ ἐπειδὴ σφόδρα ὑμᾶς φι-
λῶ, κἂν ὑμεῖς σιγᾶτε, ἀναγορεύω τὸ γεγενημένον μετὰ πολλῶν τῶν
ἐγκωμίων· καὶ οὐκ αἰσχύνομαι εἰπεῖν, ὅτι γυμνὸν ὄντα με περιεβά-
λετε, καὶ πεινῶντα ἐθρέψατε· ἀλλὰ μᾶλλον ἐγκωμιάζω τούτοις, ὅ-
D τι ὑμεῖς κληρονόμοι τῆς βασιλείας ἀναδειχθῆτε τῶν οὐρανῶν. ταῦτα τοί-
νυν ἐννοοῦντες, ἀγαπητοὶ, ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας, ἵνα καὶ τῶν
αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ
ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Περὶ ἁμαρτίας καὶ ἐξαγορεύσεως.

Λόγος κδʹ.

E Ἐπεδήμησέ τις ἐξ ὑμῶν, ἀγαπητοὶ, τῇ Παλαιστίνῃ ποτέ; ἐγὼ μὲν
γε οἶμαι. τί οὖν; μαρτυρήσατε ὑμεῖς οἱ τοὺς τόπους ἑωρακότες.
ἔστιν ἐκεῖ χώρα πολλή τις καὶ εὔφορος. μᾶλλον δὲ ἦν· νῦν δὲ οὐκ ἔστιν.
αὕτη μὲν ἡ οὕτως εὐθαλὴς, καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλω-
μένη, ἡ φθάνουσα τῇ εὐθηνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν
τῶν ἐρήμων ἐστὶν ἐρημοτέρα. καὶ ἑστήκασι μὲν δένδρα καὶ
νῦν, καὶ καρπὸν ἔχει· ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπό-
μνησις

μενος. ἑστήκασι μὲν ῥοιαί, καὶ τὸ ξύλον λέγω, καὶ ὁ καρπὸς λαμπρὰν τὴν ἐπιφάνειαν ἔχων, καὶ τῷ ἀγνοοῦντι παρέχων πολλὰς τὰς ἐλπίδας. εἰ δὲ λάβοιμεν εἰς χεῖρας, διακλασθέντα καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν ἐπιδεικνύουσιν εἰς τὰ ἐναποκείμενα ἔνδον. τοιαύτη πᾶσα ἡ γῆ ἐκείνη· καὶ τὰ ξύλα καὶ οἱ λίθοι, καὶ ὁ ἀὴρ, καὶ τὰ ὕδατα τῆς τοιαύτης μετέσχηκε συμφορᾶς. καὶ γὰρ γῆν ἔστιν ἰδεῖν, ἀλλ' οὐδὲν γῆς ἔχουσαν· δένδρα καὶ καρποὺς, ἀλλ' οὐδὲν δένδρων καὶ καρπῶν, ἀλλὰ πάντα τέφραν· ἀέρα καὶ ὕδωρ, ἀλλ' οὐδὲν ἀέρος καὶ ὕδατος. καὶ γὰρ καὶ ταῦτα τέφρα γέγονε τῇ δυνάμει τοῦ ταῦτα πεποιηκότος. καθάπερ γὰρ σώματος ἐμπρησθέντος, τὸ μὲν σχῆμα μένει καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει, ἡ δὲ δύναμις οὐκ ἔτι· οὕτω δὴ κἀκεῖνα. μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; ἀλλὰ φορτικὰ ταῦτα; ἐκεῖνα μὲν οὐ φορτικὰ ὅταν λέγῃς, ὅτι οὐκ ἔστι γέεννα; σὺ μὲν ταῦτα ἀναγκάζεις λέγειν ὁ ἀπιστῶν· σύ με εἰς τούτους ἐξήγαγες τοὺς λόγους. εἰ γὰρ τοῖς ῥήμασιν ἐπίστευσας τοῦ Χριστοῦ, οὐκ ἂν ἠναγκαζόμην τὴν ἀπὸ τῶν πραγμάτων ἐπιστήμην ἐπαγαγεῖν. ὁ δὲ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ἐκχέων ὀργὴν, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δυσωπηθεὶς, μήτε τοῦ Λὼτ τοσούτων ὄντων τῶν παρ' ἡμῶν γινομένων ἁμαρτημάτων φείσεται; γέλως ὄντως ταῦτα καὶ λῆρος καὶ πλάνη διαβολικὴ καὶ ἀπάτη. εἰ δὲ βούλει καὶ ἐκ τῶν πιστευόντων καὶ προσεχόντων τῷ Θεῷ, βίον δὲ οὐκ ὄντως ὀρθὸν ἐπιδεικνυμένων ἰδεῖν τιμωρουμένους, ἄκουσον Παύλου λέγοντος· μηδὲ πορνεύωμεν, καθώς τινες ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. εἰ δὲ εἰς τοσοῦτον πορνεία ἴσχυσε, τί οὐκ ἐργάσεται τὰ ἡμέτερα; εἰ δὲ καὶ μὴ δῷς δίκην νῦν, μὴ θαυμάσῃς. ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεσαν τὴν γέενναν, διὸ ταῖς παρὰ πόδας ἐκολάζοντο τιμωρίαις· σὺ δὲ ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν ὧδε δίκην δῷς, πάντα ἀποτίσεις ἐκεῖ. κἂν γὰρ τὰ αὐτὰ ἁμαρτάνωμεν ἐκείνοις, μείζονός ἐσμεν ἐκείνων κολάσεως ἄξιοι. διὰ τί; ὅτι πλείονος ἀπελαύσαμεν χάριτος. ὅταν δὲ πλείονα καὶ μείζονα ἐκείνων πλημμελῶμεν, πῶς οὐχ ὑποστησόμεθα τιμωρίαν; εἰ μὲν γὰρ ἁμαρτάνοντες καὶ λέγοντες μένειν ἀτιμώρητοι, μὴ ἐγινόμεθα χείρους, κἂν ἀφῆκεν ἡμῖν τὴν κόλασιν ὁ Θεός. ἀλλ' οἶδε τοῦτο σαφῶς, ὅτι τῶν ἁμαρτημάτων αὐτῶν οὐκ ἔλαττον ἡμᾶς τὸ μὴ κολάζεσθαι ἁμαρτάνοντας βλάπτει. διὰ τοῦτο ἐπιτίθησι τὴν τιμωρίαν, οὐ μόνον τῶν ἀπελθόντων ἀπαιτῶν δίκην, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα διορθούμενος. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον τί φησι πρὸς τὸν Μωσέα· ἄφες με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτούς· ἄφες με, λέγων, οὐχ ὅτι Μωσῆς αὐτὸν κατεῖχεν, οὐδὲν γὰρ ἐφθέγξατο πρὸς αὐτὸν, ἀλλὰ σιγῇ παρειστήκει· ἀλλὰ πρόφασιν αὐτῷ δοῦναι βουλόμενος τῆς ὑπὲρ αὐτῶν ἱκετηρίας. τοῦτο καὶ ἡμεῖς πολλάκις ποιοῦμεν, καὶ οἰκέτας ἄξια κολάσεως πλημμελήσαντας οὔτε κολάσαι βουλόμενοι, οὔτε τοῦ ἐκ κολάσεως ἀπαλλάξαι φόβου, φίλοις κελεύομεν τῶν ἡμετέρων αὐτοὺς ἐξαρπάσαι χειρῶν, ὥστε καὶ τὸν φόβον αὐτοῖς ἐνακμάζοντα μένειν, καὶ τὰς παρ' ἡμῶν πληγὰς διαφυγεῖν. τοῦτο καὶ ἐπὶ τοῦ Ἰωνᾶ γενόμενον ἔστιν ἰδεῖν. ἐγένετο γάρ, φησι, λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν προφήτην, λέγων· ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευῒ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ· ὅτι τρεῖς ἡμέραι καὶ Νινευῒ καταστραφήσεται. ἀκούσας δὲ Ἰωνᾶς κατέβη εἰς Ἰόππην τοῦ φυγεῖν εἰς Θαρσεῖς ἀπὸ προσώπου Κυρίου. ποῦ φεύγεις, ἄνθρωπε; τὸν δεσπότην φεύγεις εἰπέ μοι; οὐκοῦν μικρὸν ἀνάμεινον, καὶ δι' αὐτῶν τῶν πραγμάτων μαθήσῃ, ὅτι οὐδὲ τῆς δούλης θαλάσσης τὰς χεῖρας δυνήσῃ διαφυγεῖν. οὐδὲ γὰρ ἐπέβη τῆς νηὸς οὗτος, καὶ ἐκείνη τὰ κύματα διανέστησε, καὶ πρὸς ὕψος ἤγειρε μέγα. καὶ καθάπερ θεράπαινά τις εὐγνώμων, σύνδουλον εὑροῦσα φυγάδα, τῶν δεσποτικῶν ὑφελόμενόν τι κτημάτων, οὐ πρότερον ἀφίσταται μυρία τοῖς ὑποδεξαμένοις αὐτὸν παρέχουσα πράγματα, ἕως ἂν λαβοῦσα αὐτὸν ἀπέλθῃ· οὕτω δὴ καὶ ἡ θάλασσα τὸν σύνδουλον εὑροῦσα καὶ ἐπιγνοῦσα, μυρία τοῖς ναύταις παρέχει πράγματα, ταράττουσα, βοῶσα, οὐκ εἰς δικαστήριον ἕλκουσα, ἀλλ' αὔτανδρον ἀπειλοῦσα καταδύειν τὸ σκάφος, εἰ μὴ τὸν ὁμόδουλον ἀποδῶσιν αὐτῇ. τούτων γινομένων, ἐποιήσαντο, φησὶν, ἐκβολὴν τῶν σκευῶν· τὸ δὲ πλοῖον οὐκ ἐκουφίζετο· ὁ γὰρ φόρτος ἅπας ἔνδον ἔμενεν ἔτι, τοῦ προφήτου τὸ σῶμα, τὸ βαρὺ φορτίον, οὐ παρὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ παρὰ τὸ τῆς ἁμαρτίας ἄχθος. οὐδὲν γὰρ οὕτω βαρὺ καὶ δυσβάστακτον ὡς ἁμαρτία καὶ παρακοή. καὶ καθάπερ ἐν δικαστηρίῳ καὶ κατηγόρων παρόντων, καὶ μαρτύρων ἐφεστηκότων, καὶ ἐλέγχων γινομένων, οὐ πρότερον οἱ καταδικάζοντες τὴν ψῆφον ἐκφέρουσιν, ἕως ἂν αὐτὸς ὁ κατάδικος, κατήγορος τῆς οἰκείας ἁμαρτίας γένηται· οὕτω δὴ καὶ ἐπὶ τῶν αὐτῶν καὶ τοῦ προφήτου ἐστὶν ἰδεῖν. ἔβαλον, φησὶ, κλήρους· καὶ παραδίδωσιν ὁ κλῆρος λοιπὸν τῇ ψήφῳ τὸν ὑπεύθυνον. οἱ δὲ οὐδὲ οὕτως αὐτὸν λαβόντες κατεπόντισαν, ἀλλὰ θορύβου τοσούτου καὶ ταραχῆς ἐπικειμένης, καὶ τῆς θαλάσσης οὐδὲ ἀνάπαυσιν ἐπιτρεπούσης, ἀλλὰ καὶ μαινομένης καὶ καταβοώσης, καὶ συνεχῆ τὰ κύματα ἐπεγειρούσης, ὥσπερ ἡσυχίας πολλῆς ἀπολαύοντες,

A monitio. Stant quidem mala punica: & tum arbor, tum fructus eleganti ſunt aſpectu: ignorantique magnas ſpes exhibent: Si verò in manus ſumantur, confracta, in iis, quæ intus latent, fructum quidem nullum, pulverem verò multum oſtendunt. Ejuſmodi eſt univerſa terra illa, & ligna & lapides, aër quoque & aqua in partem venerunt talis calamitatis. Et videre quidem eſt terram, ſed nihil habentem terræ: Arbores & fructus, nihil tamen arborum & fructuum, ſed cinerem omnia: aërem & a-
B quam: ſed veri aëris & aquæ nihil. Etenim & hæc in cinerem redacta ſunt poteſtate illius, qui ea fecit. Quemadmodum enim corpore aliquo incenſo, figura quidem & forma in aſpectu ignis remanet, virtus autem non item: eodem modo illa. Nunquid & hæc verborum ſunt comminationes? An moleſta ſunt ita? illa igitur moleſta non ſunt ſi dicas, non eſſe gehennam? tu quidem iſta dicere cogis, qui non credis: tu me ad hos deduxiſti ſermones. Si enim verbis Chriſti credidiſſes, non jam cogerer ex ipſis
C rebus petitam adducere ſcientiam. Qui verò propter unum peccatum tantam effundit iram, & neque Abrahæ ſupplicibus placatur precibus, neque ipſius Lot: tot à commiſſis à nobis criminibus parcet? Reverà riſus iſta ſunt: & nugæ & error deceptióque diabolica. Quod ſi videre placet, etiam ex illis, qui Deo & credunt & auſcultant, vitam autem non rectam agunt, aliquos luere pœnas, audi Paulum dicentem: *Neque fornicemur, ſicut quidam ex ipſis fornicati ſunt: & ceciderunt una die viginti*
D *tria millia.* Si verò tantum fornicatio potuit, quid noſtra non facient delicta? Quod ſi nullas fortè jam pœnas perſolveris, nihil mireris. Illi enim gehennam ignorabant, unde præſentibus caſtigabantur ſuppliciis: tu verò ſi quæ commiſeris, licet nulla hic pœna afficiaris, omnia illic lues. Etſi enim eadem quæ illi, peccata admiſerimus, majori tamen ſumus, quàm illi digni ſupplicio. Quare hoc? Quia abundantiorem conſecuti ſumus gratiam. Si verò & in pluribus & gravioribus, quàm illi offenda-
E mus, quod non ſubibimus ſupplicium? Si enim peccantes & dicentes, impunitos nos manere, deteriores non fieremus. Deus ſaltem pœnam remitteret. Sed probè novit, non minus damni nobis peccatorum noſtrorum impunitatem, quàm ipſamet afferre peccata. Idcirco pœnam injungit, non ſolùm, ut propter præterita puniat, ſed etiam ut ad futura emendet. Atque hoc verum eſſe, audi quid Deus ad Moyſen loquatur: Dimitte me ut iraſcatur furor meus contra eos, & deleam eos. Dimitte me,
A inquit, non quòd Moyſes eum retineret, nihil enim locutus fuit ad ipſum, nam in ſilentio coram eo ſtabat: ſed occaſionem ei præbere volens pro illis ſupplicandi. Idipſum nos quoque frequenter facimus; cùm famulos animadverſione digna committentes nec pœnis afficere, nec pœnarum metu volumus liberare, amicos monemus, ut è manibus noſtris eos eripiant, quo & timor in ipſis creſcens maneat, & plagas noſtras effugiant. Tale quid etiam in Jona factum videre licet. *Factum eſt,*
B inquit, *Verbum Domini ad Jonam Prophetam dicens, Surge & vade in Ninivem civitatem grandem, & prædica in ea: Adhuc* * *tres dies, & Ninive ſubvertetur. Audiens autem Jonas deſcendit in Joppen, ut fugeret in Tharſis à facie Domini.* Quo fugis, ô homo! Dominum fugis, dic mihi? Parumper igitur expecta, & re ipſa diſces, quod nec famulantis maris effugere manus valeas. Vix enim hic navim ingreſſus erat, & illum fluctus elevavit, & in magnam altitudinem ſe erexit. Et quemadmodum
C proba aliqua famula, ſi fortè conſervum aliquid de herilibus bonis furatum & fugientem deprehenderit, non priùs deſiſtit, ſexcenta his, qui illum ſuſceperunt, faceſſere negotia, donec ipſo recepto abeat: eodem modo etiam mare conſervo invento & cognito, innumeras exhibet nautis moleſtias, conturbans, mugiens; non in carcerem rapiens, ſed unà cum hominibus navim ſubmergere comminitans, niſi conſervum ſibi reddant. Dum iſta fierent, miſerunt, inquit, vaſa in mare:
D navis verò non levabatur. Onus enim totum adhuc intus remanſit, corpus ſcilicet Prophetæ, grave pondus, non ob corporis naturam, ſed ob peccati gravitatem. Nihil enim tam grave & portatu difficile quàm peccatum & inobedientia. Et quemadmodum in judicio, cùm accuſatores adſunt, & teſtes aſtant, fiúntque probationes, non antè judices ſententiam proferunt, quàm ipſe reus criminis ſui factus ſit accuſator: ita nimirum in his viris & Propheta videre li-
E cet. Miſerunt, inquit, ſortem: tradiditque poſtea ſors reum ſententiæ. Hi verò ne ſic quidem ipſum apprehenſum ſubmerſerunt; ſed tanto tumultu & perturbatione urgente, & mari nullam quietem relinquente, imò etiam furente & clamore eos obruente, continuóſque excitante fluctus, ipſi tanquam multa quiete fruerentur: ita ſci-

Ex Orat. *Quod periculoſum ſit & dicentibus & audientibus ad gratiam convenire.*

1. Cor. 10, 8.

Jonæ 1. & 3. * ſecundum LXX. interpret.

licet judicium in navi conſtituto, & ſermonem cum eo communicârunt, & defenſione dignati ſunt, omniáque exactè perquiſiverunt, perinde ac ſi rationes cuipiam dare deberent, quomodo ſententiam tuliſſent: & neque mari reclamante, neque ſorte contra teſtificante, neque ipſo, peccatum proprium confitente, ſuffragium dabant. Unde igitur tanta fuit providentia? Ex Dei diſpenſatione. Deus enim iſta fieri permittebat; Prophetam benignum & manſuetum eſſe, per hæc docens, & tantum non clamans ad eum, & dicens; Imitare nautas, homines barbaros & rudes. Ipſi ſi quidem ne unam quidem deſpiciunt animam, neque unum tuum corpus contemnunt: tu verò integram civitatem, tot continentem hominum myriades, quantum in te eſt, tradidiſti. Et iſti quidem invento eo, qui paratorum illis malorum cauſa extitit, neque ita ad ſententiam condemnatoriam prorumpunt: tu verò nullam habens contra Ninivitas cauſam, eos demerſiſti & perdidiſti. Sed vulgus hominum, propriorum quidem delictorum patroni ſunt; alienorum verò accuſatores. Et multi frequenter dicunt, malo loco eſſe rerum noſtrarum & civitatis ſtatum; cauſámque ex imprudentia dominantium eſſe perhibent. Ego verò dico, non magiſtratus imprudentia, ſed noſtrum peccatum: illud omnia ſubvertit, illud omnes calamitates invexit: nec aliunde rerum triſtium examina nobis ſuperfuſa ſunt. Sive igitur Abraham aliquis ſit, ſive Moyſes, ſive David, ſive Salomon ſapientiſſimus, ſive omnium hominum vitioſiſſimus, ſi nos malè ſimus affecti, non alia tamen eſt malorum cauſa. Etenim nos ſecundùm cor noſtrum accipere magiſtratus, nihil aliud eſt, quàm quia ante peccavimus, atque ideò ejuſmodi nacti ſumus præſidem. Quòd ſi etiam valde juſtus fuerit, & tam juſtus, ut ad Moyſis uſque virtutem pertigerit, non tamen ſola illa ipſius juſtitia, immenſa ſubditorum abſcondere poterit delicta. Imò verò ſi vultis, oſtendam vobis, quomodo etiam unius ſæpè peccatum bonorum ſubditorum ſuperet libertatem. Joſue filius Nave olim adortus eſt Jericho, & novam illam moliens obſidionem, mœ-

Jos. 6, 17. nibus jam ruituris, ad populum, inquit: *anathema eſt civitas hæc, & omnia quæ in ea ſunt, Domino Sabaoth: Cavete igitur vobis ab anathemate, ne fortè animo cogitetis ut de eo aliquid accipiatis, & conterat vos Deus.* Quid igitur poſt hæc? Conciderunt mœnia, & in obſidentium manus civitas univerſa devenit. Omni igitur populo præceptum hoc obſervante, unius tranſgreſſio in univerſam multitudinem Dei exſuſcitavit iram. Peccaverunt, inquit, filii Iſraël peccatum magnum: & tamen unus erat qui peccaverat, Achor ſcilicet. Quomodo igitur peccaverunt filii Iſraël? Et iratus eſt, inquit, Dominus filiis Iſraël. Miſit verò Joſue viros ex Jericho in Gai. Et aſcenderunt quaſi tria millia virorum Gai, & occiderunt ex eis triginta & ſex viros. Vide peccati unius ultionem: vide plagam inconſolabilem. Unus peccavit, & univerſum populum mors & angu-

Ps. 118, 137. ſtia invaſit. Quid igitur hoc? ò bonorum amator Domine: *Tu ſolus juſtus es, & recta ſunt judicia tua*: tu unicuique ſecundùm opera ſua judicium tribuis: Tu hominum amator, dixiſti, in ſuo unumquemque moriturum peccato, nec alium pro alio ſupplicia luiturum: Quæ igitur hæc juſta tua ſententia? Bona ſunt omnia tua Domine, & valde bona, & ad utilitatem noſtram diſponuntur: Quare autem pro alterius pœna aliis pœnam intuliſti? Lues quædam eſt, inquit, peccatum: publicetur per pœnam omnibus, ne omnes corrumpat. Vides quomodo unius peccatum univerſo populo ſupplicium comparaverit? Vide porro etiam ignominioſam & gravem mortem. Et duxit ipſum, inquit, Joſue in vallem Achor, & filios ipſius, & filias ipſius, & oves ipſius, & jumenta ipſius, & oves ipſius & tabernaculum ipſius, & cuncta quæ ipſius erant; & lapidaverunt ea omnis Iſraël lapidibus. Ne igitur ſecuri ſimus, ſi injuria affectus Deus æquo animo ferat: ſed ob hoc ipſum ſimus ſoliciti. Si enim

Ex interpr. ep. ad Cor. apud homines, cùm quis in dexteram maxillam percuſſus, etiam ſiniſtram præbet, magis ulciſcitur, quàm ſi infinitas plagas dediſſet: & ſi is, cui maledicetur, non modo non viciſſim maledicat, ſed etiam benedicat, graviùs percuſſerit, quàm ſi innumeris probris & maledictis alium proſcidiſſet, multo magis apud Deum ſibi timere debent ii, qui aſſiduè peccant, nec quicquam mali patiuntur. Etenim in malum capitis ipſorum, immenſum illis aſſervatur ſupplicium. Non enim malum eſt peccanti, quòd caſtigetur, ſed ſi talis exiſtens non caſtigetur: quemadmodum ſi ægrotanti remedia non adhibeantur. Si enim exigua ſint & vilia noſtra rectè facta, magna verò peccatorum moles:

A οὗτοι δὴ καὶ δικαστήριον ἐν τῷ πλοίῳ καθίσαντες, καὶ λόγου μετέδωκαν αὐτῷ, καὶ ἀπολογίας ἠξίωσαν, καὶ πάντα μετ᾽ ἀκριβείας ἐξήταζον, ὥσπερ οἱ μέλλοντες εὐθύνας παρασχεῖν, ὡς ἂν ψηφίσαιντο· καὶ οὐδὲ τῆς θαλάσσης καταβοώσης, οὐδὲ τοῦ κλήρου καταμαρτυρήσαντος, οὐδὲ ἑαυτοῦ καθομολογήσαντος τὸ ἁμάρτημα, τὴν ψῆφον ἐπήνεγκαν. πόθεν ἂν ἡ τοσαύτη γέγονε πρόνοια; ἀπὸ τῆς τοῦ Θεοῦ οἰκονομίας. ὁ γὰρ Θεὸς συνεχώρει ταῦτα γίνεσθαι, τὸν προφήτην διὰ τούτων
B παιδεύων φιλάνθρωπον εἶναι καὶ ἥμερον, καὶ μονονουχὶ βοῶν πρὸς αὐτὸν καὶ λέγων, μίμησαι τοὺς ναύτας, ἀνθρώπους βαρβάρους καὶ ἀνοήτους. αὐτοὶ μὲν γὰρ οὐδὲ μιᾶς καταφρονοῦσι ψυχῆς, οὐδὲ ἑνὸς ἀφειδοῦσι σώματος τοῦ σοῦ· σὺ δὲ ὁλόκληρον πόλιν, τοσαύτας ἔχουσαν μυριάδας, ἐξέδωκας, τό γε σὸν μέρος. καὶ οὗτοι μὲν τὸν αἴτιον γεγενημένων αὐτοῖς κακῶν εὑρόντες, οὐδὲ οὕτως ὁρμῶσιν ἐπὶ τὴν καταδικάζουσαν ψῆφον· σὺ δὲ οὐδὲν ἔχων ἐγκαλεῖν τοῖς Νινευίταις, κατέδυσας
C αὐτοὺς καὶ ἀπώλεσας. ἀλλ᾽ οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι. καὶ πολλοὶ πολλάκις κακῶς τὰ τῶν πραγμάτων καὶ τῆς πολιτείας διακεῖσθαί φασι, καὶ τὴν αἰτίαν ἐκ τῆς τῶν κρατούντων ἀβουλίας γίνεσθαι λέγουσιν. ἐγὼ δέ φημι, οὐχ ἡ τῶν κρατούντων ἀβουλία, ἀλλ᾽ ἡ ἡμῶν ἁμαρτία, ἐκείνη τὰ ἄνω κάτω πεποίηκεν, ἐκείνη πάντα τὰ δεινὰ εἰσήγαγεν· οὐκ ἄλλοθεν ἡμῖν ὁ τῶν κακῶν ἑσμὸς ἐπεχύθη. ἄν τε καὶ Ἀβραάμ τις ᾖ, κἂν Μωσῆς, κἂν Δαβίδ, κἂν Σαλομὼν ὁ σοφώτατος, κἂν
D ἁπάντων ἁμαρτωλότερος ἀνθρώπων, ἡμῶν κακῶς διακειμένων, ἀδιάφορον ἔχει τὴν πρὸς τὰ κακὰ αἰτίαν. τὸ γὰρ κατὰ τὰς καρδίας ἡμῶν λαμβάνειν ἄρχοντας, οὐδὲν ἕτερόν ἐστιν, ἢ ὅτι προημαρτηκότες ἦμεν, καὶ διὰ τοῦτο τοιούτου προστάτου ἐτύχομεν. εἰ δὲ καὶ λίαν δίκαιος ᾖ, καὶ οὕτω δίκαιος ὡς μέχρι τῆς Μωσέως ἀρετῆς ἐληλακέναι, οὐχ ἡ αὐτοῦ μόνη δικαιοσύνη τὰ ἄμετρα τῶν ὑπηκόων συγκαλύψαι δυνήσεται πταίσματα. μᾶλλον δὲ εἰ βούλεσθε, δείξω ὑμῖν,
E πῶς καὶ ἡ τοῦ ἑνὸς πολλάκις ἁμαρτία, τὴν τῶν καλῶς πολιτευομένων ὑπερακοντίζει παρρησίαν. Ἰησοῦς ὁ τοῦ Ναυῆ προσέβαλέ ποτε τῇ Ἱεριχῷ, καὶ τὴν ξένην ἐκείνην πολιορκίαν ἐνεργῶν, ἤδη τῶν τειχῶν καταπίπτειν μελλόντων, φησὶ πρὸς τὸν λαόν· ἔστι ἀνάθεμα ἡ πόλις αὕτη, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, Κυρίῳ Σαβαώθ· φυλάξασθε ὑμεῖς ἀπὸ τοῦ ἀναθέματος, μήποτε ἐνθυμηθέντες ὑμεῖς λάβητε ἀπ᾽ αὐτοῦ, καὶ ἐκτρίψῃ ὑμᾶς ὁ Θεός. τί οὖν μετὰ ταῦτα; κατέπεσον
A τὰ τείχη, καὶ ἐν χερσὶ τῶν πολιορκούντων τὰ τῆς πόλεως ἐγένετο. παντὸς τοίνυν τοῦ λαοῦ τὴν ἐντολὴν ταύτην διατηροῦντος, ἡ τοῦ ἑνὸς παράβασις εἰς ἅπαν τὸ πλῆθος τὴν τοῦ Θεοῦ ἀνῆψεν ὀργήν. ἐπλημμέλησαν γάρ, φησιν, οἱ υἱοὶ Ἰσραὴλ πλημμέλειαν μεγάλην· καὶ μόνος εἷς ἦν ὁ πλημμελήσας ὁ Ἀχάρ. πῶς οὖν ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραήλ; καὶ ἐθυμώθη, φησί, Κύριος τοῖς υἱοῖς Ἰσραήλ. ἀπέστειλε δὲ Ἰησοῦς ἄνδρας ἀπὸ Ἱεριχὼ εἰς Γαί· καὶ ἀνέβησαν ὡσεὶ τρισχίλιοι ἄνδρες,
B καὶ ἔφυγον ἀπὸ προσώπου τῶν ἀνδρῶν Γαί, καὶ ἀπέκτειναν ἀπ᾽ αὐτῶν τριάκοντα καὶ ἓξ ἄνδρας. ὅρα μιᾶς ἁμαρτίας εἴσπραξιν, ὅρα πληγὴν ἀπαραμύθητον. εἷς ἐπλημμέλησε, καὶ εἰς ἅπαντα τὸν δῆμον ὁ θάνατος καὶ ἡ δειλία ἐπέπεσε. τί οὖν τοῦτο, ὦ φιλάγαθε δέσποτα; σὺ εἶ μόνος δίκαιος, καὶ εὐθεῖς αἱ κρίσεις σου· σὺ ἑκάστῳ κατὰ τὰ οἰκεῖα ἔργα ἀπονέμεις τὴν κρίσιν· σὺ ἔφης, φιλάνθρωπε, ἐν τῇ οἰκείᾳ ἕκαστον ἀποθνήσκειν ἁμαρτίᾳ, καὶ μὴ ἄλλον ἀντιτιμωρηθήσεσθαι
C ἑτέρου. τίς οὖν αὕτη ἡ δικαία σου ψῆφος; καλὰ σοῦ τὰ πάντα, Κύριε, καὶ λίαν καλά, καὶ πρὸς τὸ συμφέρον ἡμῖν οἰκονομούμενα. διὰ τί δὲ ὑπὲρ τῆς ἑτέρου τιμωρίας ἑτέροις τὴν τιμωρίαν ἐπήγαγες; λύμη τίς ἐστι, φησίν, ἡ ἁμαρτία· ἐκπομπευέσθω διὰ τῆς τιμωρίας εἰς πάντας, ἵνα μὴ τοὺς πάντας καταλυμήνηται. ὁρᾷς πῶς ἡ τοῦ ἑνὸς ἁμαρτία παντὶ τῷ λαῷ τὴν τιμωρίαν προεξένησεν; ὅρα λοιπὸν καὶ τὸν ἐπονείδιστον αὐτοῦ καὶ ὀλέθριον θάνατον. καὶ ἀνήνεγκεν
D αὐτόν, φησίν, Ἰησοῦς εἰς φάραγγα Ἀχώρ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια αὐτοῦ, καὶ τὰ πρόβατα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ πάντα ὅσα ὑπῆρχεν αὐτῷ, καὶ ἐλιθοβόλησαν αὐτὰ πᾶς Ἰσραὴλ ἐν λίθοις. μὴ τοίνυν ἐπειδὴ μακροθύμως φέρει ὑβριζόμενος ὁ Θεός, διὰ τοῦτο θαρρῶμεν, ἀλλὰ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο δεδοίκωμεν. εἰ γὰρ ἐπ᾽ ἀνθρώπων ὅταν τις πληγεὶς τὴν δεξιὰν σιαγόνα, δῷ καὶ τὴν ἀριστεράν, μειζόνως ἀμύνεται, ἢ εἰ μυ-
E ρίας ἔδωκε πληγάς· καὶ ὅταν λοιδορηθεὶς μὴ μόνον ἀντιλοιδορήσῃ, ἀλλὰ καὶ εὐλογήσῃ, χαλεπώτερον ἔπληξεν ἢ εἰ μυρίαις ὀνείδεσιν ἔπλυνε· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ δεδοικέναι χρὴ τοὺς ἁμαρτάνοντας διηνεκῶς, καὶ οὐδὲν πάσχοντας δεινόν. καὶ γὰρ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς ἡ ἄφατος αὐτοῖς θησαυρίζεται τιμωρία. οὐ γὰρ τὸ κολάζεσθαι κακὸν τῷ πλημμελοῦντι, ἀλλὰ τὸ οὕτως ἔχοντα μὴ κολάζεσθαι, ὥσπερ ἀμέλει τὸ τὸν ἄρρωστον μὴ θεραπεύεσθαι. ὅταν μὲν γὰρ μικρὰ καὶ εὐτελῆ κατορθώματα ἡμῶν ᾖ, καὶ πολὺς ὁ τῶν ἁμαρτημάτων ὄγκος·

ἄτα

ἔτα ἐνταῦθα εὐπραγίας ἀπολαύσωμεν, καὶ μηδὲν πάσχωμεν δεινόν, αὐτῆς τῆς τῶν ἀγαθῶν ἀμοιβῆς ἔρημοι καὶ γυμνοὶ πάντες ἀπελευσόμεθα, πάντα ἐνταῦθα ἀπολαβόντες. ὥσπερ οὖν ὅταν μεγάλα μὲν ᾖ τὰ κατορθώματα καὶ πολλά, μικρὰ δὲ καὶ εὐτελῆ τὰ ἁμαρτήματα· εἶτα πάθωμεν τι δεινόν, καὶ αὐτὰ τὰ μικρὰ ἐνταῦθα ἀποθέμεθα, καθαρὰν καὶ ἀπηρτισμένην ἐκεῖ τῶν ἀγαθῶν ἀπολαμβάνοντες τὴν ἀνταπόδοσιν. μὴ δὴ τὸ κολάζεσθαι, ἀλλὰ τὸ ἁμαρτάνοντας μὴ κολάζεσθαι μᾶλλον χαλεπὸν εἶναι νομίσωμεν. εἰ γὰρ καὶ ὁ Θεὸς μὴ ἐκόλαζεν ἡμᾶς, αὐτοὺς ἐχρῆν ἀπαιτῆσαι δίκην ἑαυτούς, οὕτως ἀγνώμονας περὶ τὸν εὐεργέτην γεγενημένους. εἴπω τι παράδοξον καὶ θαυμαστόν· μείζων ἐστὶ παραμυθία τῷ κολαζομένῳ μετὰ τὸ παροξῦναι τὸν οὕτω φιλάνθρωπον [ἐὰν νοῦν ἔχῃ καὶ φιλῇ τὸν δεσπότην ὡς φιλεῖν δεῖ] ἢ τῷ μὴ κολαζομένῳ. ὁ γὰρ εἰς τὸν φίλτατον ἠδικηκώς, τότε μάλιστα ἀναπαύεται, ὅταν ἑαυτὸν ἀπαιτήσῃ δίκην καὶ πάθῃ κακῶς. οὐχ ὁρᾶτε τοὺς ἀποβαλόντας παῖδας γνησίους, ὅτι δι᾽ αὐτὸ καὶ κόπτονται καὶ τρίχας τίλλουσιν· ἐπειδὴ παραμυθίαν ἔχει τὸ κολάζειν ἑαυτοὺς ὑπὲρ τῶν φιλουμένων; εἰ δὲ ὅτε μηδὲ ἐργασάμεθα ἡμεῖς τοὺς φιλτάτους δεινόν, φέρει παραμυθίαν ἡμῖν τὸ κακῶς παθεῖν, ὑπὲρ ὧν ἐκεῖνοι πεπόνθασιν· ὅταν αὐτοὶ ὦμεν οἱ παροξύναντες καὶ ὑβρικότες, οὐ πολλῷ μᾶλλον ἡμᾶς ἀναπαύσει τὸ δίκην διδόναι, καὶ τὸ μὴ κολάζεσθαι κολάσει; παντί που δῆλον. τοῖς γὰρ ὄντως ἐρῶσιν, οὐ τὸ κακόν τι παθεῖν ἀηδὲς ὑπὲρ ὧν παρώξυναν τὸν ἐρώμενον, ἀλλ᾽ αὐτὸ τὸ πρὸ πάντων, τὸ παροξῦναι τὸν ἀγαπώμενον. κἂν ὀργισθεὶς οὗτος μὴ κολάσῃ, μειζόνως ἐβασάνισε τὸν ἐργασάμενον ἂν ἢ δίκην ἀπαιτήσῃ, μᾶλλον παραμυθήσαιτο. ὃ τις φιλεῖ τὸν Χριστὸν ὡς φιλεῖν δεῖ, οὐδὲ αὐτοῦ συγχωροῦντος ἀνέξεται μὴ κολάζεσθαι. τὴν γὰρ μεγίστην κόλασιν ὑπομένει ὁ παροξύνας αὐτόν. καὶ γὰρ οὐκ ἔστιν οὐδεὶς οὐκ ἔστι κἂν πατήρ, κἂν μήτηρ, κἂν φίλος, κἂν ὁστισοῦν, ὃς οὕτως ἡμᾶς ἠγάπησεν, ὡς ὁ ποιήσας Θεός. εἰ δὲ τὰς λύπας μοι λέγεις, καὶ τὰς ὀδύνας, καὶ τὰ τοῦ βίου κακά, ἐννόησον ὅσα αὐτὸν προσκρούεις καθ᾽ ἑκάστην ἡμέραν. καὶ οὐκέτι θαυμάσῃ κἂν πλείονα τούτων ἐπέλθῃ κακά· ἀλλ᾽ ἄν τινος ἀγαθοῦ ἀπολαύσῃς, τότε καὶ θαυμάσῃ καὶ ἐκπλαγήσῃ. νῦν δὲ τὰς μὲν συμφορὰς ὁρῶμεν τὰς ἐπιούσας, τὰ δὲ προσκρούσματα οὐχ ὁρῶμεν, ἃ καθ᾽ ἑκάστην προσκρούομεν τὴν ἡμέραν· καὶ διὰ τοῦτο ἀλύομεν. ὡς εἴγε μιᾶς ἡμέρας μόνον, μετὰ ἀκριβείας τὰ ἁμαρτήματα ἡμῶν ἐλογισάμεθα, τότε ἂν ἔγνωμεν καλῶς, πόσων ἂν εἴημεν ὑπεύθυνοι κακῶν. ἀλλὰ διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισέρχεται, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. διὰ τοῦτο αἱ ἄτοποι μεταβολαὶ καὶ μεταπτώσεις· διὰ τοῦτο αἱ συνεχεῖς καὶ ἄωροι θάνατοι, ἐπειδὴ ὡς πρὸς αὐτὸν φθάσαντες τὸν οὐρανόν, οὕτω διακείμεθα τῷ φρονήματι· καὶ ὡς οὐδέποτε τεθνηξόμενοι, οὕτως ἁρπάζομεν· καὶ ὡς οὐδέποτε δώσοντες λόγον, οὕτω πλεονεκτοῦμεν· καὶ οὐδὲ ὁ τοῦ Θεοῦ λόγος, οὐδὲ αὐτὰ παιδεύει τὰ πράγματα· ἀλλὰ πάντα μάτην καὶ τῆς σκληρότητος ἡμῶν οὐδὲν καθικνεῖται. οὐδεὶς καταφρονεῖ τῶν ἐν τῇ γῇ· οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ· ἀλλ᾽ ὥσπερ οἱ χοῖροι κάτω νεύουσι πρὸς τὴν γαστέρα κύπτοντες, τῷ βορβόρῳ ἐγκαλινδούμενοι· οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων βορβόρῳ χαλεπωτάτῳ ἑαυτοὺς μολύνοντες οὐκ αἰσθάνονται. βέλτιον γὰρ πηλῷ μολυνθῆναι ἀκαθάρτῳ, ἢ ἁμαρτήμασιν. ὁ μὲν γὰρ ἐκεῖθεν μολυνθείς, ἀπενίψατο ἐν βραχεῖ χρόνῳ καὶ γέγονεν ὅμοιος τῷ μηδὲ ἐμπεσόντι παρὰ τὴν ἀρχὴν εἰς ἐκεῖνο τὸ τέλμα. ὁ δὲ εἰς τὸ βάραθρον τῆς ἀπωλείας ἐμπεσών, ἐδέξατο μολυσμόν, οὐχ ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου καὶ μετανοίας ἀκριβοῦς, καὶ δακρύων, καὶ κοπετῶν, καὶ πλείονος θρήνων καὶ θερμοτέρου, ἢ ἐπὶ τοῖς φιλτάτοις ἡμῶν θανοῦσιν ἐπιδεικνύμεθα. ὥσπερ γὰρ οὐδὲν ὄφελος βασιλέως ἁλουργίδα μὲν περικειμένου καὶ ὅπλα ἔχοντος, οὐδένα δὲ ὑπήκοον κεκτημένου, ἀλλὰ προκειμένου πᾶσι τοῖς βουλομένοις ἐνάλλεσθαι καὶ ὑβρίζειν αὐτόν· οὕτω καὶ Χριστιανοῦ οὐδὲν ἔσται κέρδος, πίστιν μὲν ἔχοντος καὶ τὴν ἀπὸ τοῦ βαπτίσματος δωρεάν, πᾶσι δὲ τοῖς πάθεσι παίγνιον προκειμένου· ἀλλ᾽ ὥσπερ ἐκεῖνος οὐ μόνον οὐδὲν ἀπὸ τῆς στολῆς κερδαίνει ταύτης εἰς τὴν οἰκείαν τιμήν, ἀλλὰ καὶ ἐκείνην καθυβρίζει διὰ τῆς οἰκείας αἰσχύνης, οὕτω καὶ ὁ πιστὸς βίον διεφθαρμένον βιῶν, οὐ μόνον οὐκ αἰδέσιμος ἐντεῦθεν, ἀλλὰ καὶ μείζονος καταγέλαστος ἔσται. μὴ τοίνυν καταισχύνωμεν ἡμῶν τὸν βίον, μηδὲ καταγέλαστον ζῶμεν ζωήν. μηδὲ μολύνωμεν τὸ σῶμα τῇ πορνείᾳ. πῶς γὰρ εἰς ἐκκλησίαν εἰσελθεῖν δυνήσῃ μετὰ τὴν πρὸς τὰς πόρνας ὁμιλίαν; πῶς τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι, αἷς τὴν πόρνην περιέλαμβανες, πῶς κινῆσαι γλῶτταν, καὶ τῷ στόματι εὔξασθαι τούτῳ, ᾧ τὴν πόρνην ἐφίλησας; ποίοις ὀφθαλμοῖς ὄψει τῶν εἰς τοῦτο βλεπόντων σε φίλων σεμνοτέρους; καὶ τί λέγω τοὺς φίλους; κἂν γὰρ μηδεὶς ὁ συνειδὼς ᾖ, σὺ σαυτὸν ἀναγκασθήσῃ πρὸ πάντων ἐρυθριᾷν καὶ αἰσχύνεσθαι, καὶ πάντων μᾶλλον τὸ ἑαυτοῦ βδελύττεσθαι σῶμα. εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν ἐπὶ βαλανεῖον μετὰ τὴν ἁμαρτίαν τρέχεις ἐκείνην; οὐχ ἐπειδὴ βορβόρου

deinde verò proſpero rerum ſucceſſo fruemur, nec quicquam patiamur mali; à bonorum etiam retributione vacui & nudi omnes diſcedemus, ut qui omnia hic receperimus. Quemadmodum etiam, ſi magna multáque fuerint noſtra rectè facta, exigua verò & levia peccata: deinde mali quid ſuſtinuerimus, & ipſa parva hic deponemus delicta, & puram perfectámque bonorum ibi accipiemus remunerationem. Ne igitur grave exiſtimemus quòd peccantes caſtigemur, ſed ſi non caſtigemur. Si enim nec Deus nos puniret, ipſimet tamen à nobis pœnas ſumere deberemus, qui tam ingrati erga benefactorem extitimus. Dicam novum quid & admirabile. Major accedit illi conſolatio, qui poſtquam tam benignum Deum ad iram concitavit, caſtigatur. Qui enim in amiciſſimum injurius extitit, tunc maximè recreatur, ſi à ſeipſo pœnas expetat, malóque afficiatur. Non videtis, eos qui legitimos ſuos amiſerunt filios, quomodo ob idipſum plangant, & capillos vellant; quòd nonnihil ſolatii ea res habeat, ſi ſeipſos pro dilectis pœna afficiant? Si ergo, cùm nullo etiam amiciſſimos affecimus malo, ſolatium nobis adfert, mœrorem percipere, propter ea quæ illi paſſi ſunt; nónne multo magis nos recreabit, ſi ipſis ad iram à nobis concitatis & injuria affectis, pœnas demus, & non vera punitione caſtigemur? Cuilibet manifeſtum eſt. Illis enim qui quantumlibet amant, minimè moleſtum eſt, ideò mali quid pati, quòd quem amant, irritaverint, ſed illud præ omnibus, dilectum irritaſſe. Ac ſi iſte iratus, non puniret, amplius amantem diſcruciaret: ſi verò pœnam expetat, magis conſolabitur. Si quis amet Chriſtum ut amare oportet, ne ipſo quidem condonante, impœnitum ſe manere patietur. Maximum enim ſuſtinet ſupplicium, qui ipſum ad iram provocavit. Etenim nemo eſt, nemo inquam ſive pater, ſive mater, ſive amicus, ſive quiſquis tandem qui tantopere nos amaverit, ſicuti qui nos fecit, Deus. Quòd ſi ægritudines animi commemores & dolores, vitæque miſerias, cogita quantopere ipſum quotidie offendas, & ultra non miraberis, etiamſi his plura ſuperveniant mala: ſed ſi vel aliquo fruaris bono, tunc & mirare & obſtupeſce. Jam verò ingruentes quidem videmus calamitates, offenſiones autem, quibus indies offendimus, non videmus; ac proinde turpiter hallucinamur. Igitur, ſi vel uno die tantum, diligenter noſtra reputaremus peccata, probè agnoſceremus, quot malorum rei eſſemus. Propterea autem præcipua irrepſerunt ſcelera, quoniam minoribus debita correctio non adhibetur. Hinc præpoſteræ mutationes & varietates: hinc continuæ & immaturæ mortes, quoniam veluti jam antè cœlum occupaſſemus, ita animis affecti ſumus: & veluti nonquam morituri, rapimus; & alienis inhiamus, quaſi nonquam rationem reddituri. Et neque Dei verbum, neque res ipſæ nos emendant: ſed fruſtrà ſunt omnia: nec quicquam noſtram penetrat duritiem. Nemo terrena deſpicit: nemo in cœlum oculos tollit: ſed ſicut porci deorſum reſpiciunt, ad ventrem inclinati, & in cœno ſeſe volutantes; ita pleríque hominum pernicioſo cœno ſeipſos defœdantes, non ſentiunt. Melius enim eſſet immundiſſimo luto eos contaminari, quàm peccatis. Qui enim ab illo defœdatur, brevi tempore abluere, & ſimilis fieri poterit ei, qui nunquam in cœnum illud lapſus eſt: Qui verò in perditionis incidit barathrum, fœditatem accepit, quæ non aqua emundatur, ſed longo eget tempore, exactáque pœnitentia: lacrymis item & planctu, & abundantiori ardentiorique fletu, quàm mortuis illis, qui nobis ſunt amiciſſimi, oſtendamus. Quemadmodum enim nemini prodeſt, quod purpura Regis indutus, & armis cinctus ſit, nullum verò habeat ſubditum, ſed omnibus inſoltare & injuriam inferre volentibus ſit expoſitus; ita etiam Chriſtianum nihil juvat, ſi fide quidem & baptiſmi dono ſit præditus, omnibus verò affectibus ludibrium ſit propoſitus: Sed ſicuti ille non modò nihil ad honorem ſuum ex iſta veſte acquirit, ſed hanc etiam per proprium dedecus contumelia afficit, ſic fidelis quíque vitam vivens perditam, non modò nulla hinc reverentia dignus, ſed etiam magis ridiculus erit. Ne igitur ignominia vitam noſtram afficiamus; ne vitam vivamus deriſione dignam neque contaminemus corpus fornicatione. Quomodo enim in Eccleſiam ingredi poteris, poſtquam cum ſcortis es converſatus? quomodo manus illas ad cœlum extendere, quibus meretricem comprehendiſti? Quomodo movere linguam, & ex ore preces fundere, quo ſcortum deoſculatus es? Quibus oculis honeſtiores amicos ad hoc reſpicientes intueberis? Et quid dico de amicis? etiamſi enim nemo hujus rei conſcius exiſtat, tu tamen præ omnibus teipſum erubeſcere & revereri cogeris, & proprium corpus plus omnibus execrari. Niſi enim hoc ita ſit, cujus cauſa poſt peccatum illud ad balneum curris? Nonne quia

Ex interpr. ep. 2. ad Corinth.

Ex interpr. ep. ad Gal.

Ex interpr. ep. ad Hebr.

teipſum quovis cœno immundiorem arbitraris? Quam igitur Deum ſententiam laturum exiſtimas, quando tu prævaricatus ejuſmodi de factis tuis opinionem habes? Si quidem igitur corporale quid ſordes illæ eſſent, merito balnearum expurgationibus teipſum abſtergeres? quoniam verò animam defœdans immundam totam reddidiſti, ejuſmodi jam quæras purgationem, quæ illius extergere maculam poſſit. Quod niſi faciamus, licet omnes fluviorum percurramus fontes, nec exiguam tamen peccati ſubducere partem valebimus. Si in ciſtam aliquam, ubi veſtimenta herilia repoſita eſſent, famulus quis veſtem ſervilem, & ſordibus multiſque pediculis plenam ſimul repoſuiſſet, num-

Ex orat. 2. in David & Saul.

quid, dic mihi, ignominiam illam leniter tuliſſes? Quid verò, ſi quis in aureum vas, quod aſſiduè unguenta continere ſolet, ſtercus & ſordes infudiſſet, nonne etiam vulnera ei infligeres, qui hoc peccatum commiſiſſet? Ergone ciſtarum quidem & vaſorum veſtiúmque tanta nobis eſt cura, animam verò noſtram omnibus iſtis viliorem æſtimabimus? Et ubi unguentum illud ſpirituale infuſum eſt, diabolicas pompas, & auditiones ſcortorum commercio plenas injiciemus? Et quomodo, rogo, Deus iſta feret? Cùm enim ibi per ſpectaculum abductus fueris, ac caſtimoniæ omnis inimicus factus, rediens uxorem videris, triſtiori omnino vultu eam aſpicies, qualiſnam ſit. A laſcivo enim captus ſpectaculo, caſtam quidem & honeſtam, totiúſque vitæ conſortem ſpernis, contumelia afficis, innumeris probris oneras: ad ſceleſtam verò & impuram illam biante ore reſpicis libidinem, à qua vulnus accepiſti, & ſonitum vocis inſidentem habens, animæque inſonantem, & habitum, & aſpectum, & motus, & omnia fornicationis ſimulacra; nihil eorum, quæ in domo ſunt, cum voluptate aſpicis. Quemadmodum enim qui capitis gravedine & temulentia tenentur, temerè huc illuc circumferuntur, & in foſſas ac præcipitia, etiamſi quidvis ſubſtratum ſit, incautè incidunt: ſic etiam qui ad peccatum prorumpunt, & veluti gravi quadam ebrietate peccati deſiderio tenentur, quid faciant, neſciunt, nihil aut præſentium aut futurorum prævident. Ejuſmodi enim res eſt peccatum: poſtquam factum atque omnino abſolutum eſt, tunc dolores excitat animæ, quæ ipſum peperit, modo legibus noſtræ nativitatis contrario. Etenim nos, ſimul ac nati ſumus, dolores ſolvimus: illud verò quam primùm eſt natum, mentem quæ ipſum peperit doloribus diſ-

Evang. S. Ioan.

rumpit. Quando enim peccatum committimus, à voluptate ebrii, non ita ſentimus: cùm verò jam factum eſt, finémq; accepit, tum verò maximè voluptate omni extincta, acerbus pœnitudinis ſubintrat ſtimulus: & dum peccatum fit, & antequam fiat, atque etiam poſtquam factum eſt, vehemens aſtat conſcientia

Ex hom. in Stat.

noſtra teſtis. Ejuſmodi ſunt peccantium mores: omnia ſuſpecta habent, umbras timent, omnem ſtrepitum metuunt, & quemlibet ſe adire putant: multos enim non raro vidi ad aliud currentes miniſterium, dum me ad ipſos accedere exiſtimarent. Aliis etiam alia inter ſe colloquentibus, ii, qui peccati ſibi conſcii ſunt, de ſe loqui illos putant. Tale enim quid eſt peccatum: nemine arguente prodit; nemine accuſante, condemnat, & formidoloſum timidúmq; reddit eum, qui deliquit. Sicut econtrà facit Juſtitia. Audi & peccatoris timiditatem & confidentiam juſti. *Fugit*, inquit,

Proverb. 28, 1.

impius, nemine perſequente. Quomodo nemine perſequente fugit? Intus habet, qui ipſum exagitat, accuſatorem, conſcientiam ſcilicet: atque hunc ubique circumfert: Et ſicuti fugere ſeipſum nequit, ita nec illum, qui intus eum exagitat. Verùm non ita ju-

Ibid.

ſtus: Sed quomodo? *Juſtus ut leo confidit.* Talis erat Helias. Vidit is Regem ad ſe venientem: & dicente illo, Quare pervertis Iſraël?

3. Reg. 18, 18.

Non ego, inquit, *perverto, ſed tu, & domus patris tui.* Revera juſtus ut leo confidit. Quemadmodum enim leo contra vilem aliquem catellum, ſic iſte contra Regem inſurrexit. Et quidem purpuram ille habebat: ſed habebat hic meloten purpura illa honorabiliorem. Illa enim purpura gravem illam famem peperit: iſta verò melote calamitates ſuſtulit: hæc Jordanem diviſit, hæc Eliſæum duplicem fecit Heliam. Quod igitur immundos ſeipſos exiſtiment, qui in fornicatione volutantur, admodum laudo & amplector: quod verò non ad convenientẽ purgationis modum veniant, ob hoc eos accuſo & reprehendo. Optimum igitur eſt, abominandi iſtius ſceleris, nec experientiam quidem ſenſiſſet. Si autem fortè quis lapſus fuerit, talia prius adhibeat medicamenta, (pollicitus, non ultra ſe in illud velle incidere) quæ peccati abſtergere naturam valeant. Igitur, ſi delinquentes jam commiſſa quidem damnemus, rursus verò ad eadem animum adjiciamus, nihil expiationes nobis proderunt. Qui enim abluitur, & in eodem iterum cœno ſeſe volutat: qui item deſtruit, quod extruxit, & rurſus extruit ut deſtruat, nihil plus lucratur, quàm inutiles labores & ærumnas,

πάντος ἀκαθαρτότερον σαυτὸν εἶναι νομίζεις; πῶς ἂν τὸν Θεὸν προσδοκᾷς ψῆφον οἴσειν, ὅταν ὁ πλημμελήσας σὺ τοιαύτην περὶ τῶν γεγενημένων γνώμην ἔχῃς; εἰ μὲν οὖν σωματικὸν ὁ ῥύπος ἦν, ἀπὸ τοῖς τῶν βαλανείων καθαρσίοις ἑαυτὸν ἀποσμήχεις· ἐπειδὴ δὲ τὴν ψυχὴν καταρυπάνας ἀκάθαρτον ὅλην ἐποίησας, τοιοῦτον ζήτει καθάρσιον, ὃ τὴν ἐκείνης κηλῖδα ἀποσμῆξαι δυνήσεται. ὡς ἐὰν μὴ τοῦτο ποιῶμεν, κἂν ἁπάσας τῶν ποταμῶν διέλθωμεν τὰς πηγάς, οὐδὲ μικρὸν τῆς ἁμαρτίας ὑφελέσθαι δυνησόμεθα μέρος. εἴ τις οἰκέτης εἰς κιβώτιον, ἔνθα τὰ δεσποτικὰ ἱμάτια ἀπέκειτο, ἱμάτιον δουλικὸν ῥύπου γέμον καὶ πολλῶν φθειρῶν ἐναπέθετο, ἆρα οὖν πρᾴως ἂν ἤνεγκας τὴν ὕβριν, εἰπέ μοι; τί δέ, εἴ τις εἰς ἀγγεῖον χρυσοῦν μύρα διηνεκῶς ἔχειν εἰωθός, κόπρον καὶ βόρβορον ἐνέχεεν, οὐκ ἂν καὶ πληγὰς ἐπέθηκας τῷ πλημμελήσαντι τοῦτο; εἶτα κιβωτίων μὲν καὶ σκευῶν καὶ ἱματίων τοσαύτην ποιούμεθα τὴν πρόνοιαν, τὴν δὲ ψυχὴν τὴν ἡμετέραν πάντων τούτων εὐτελεστέραν εἶναι νομίζομεν; καὶ ἔνθα τὸ μύρον τὸ πνευματικὸν ἐξεχύθη, διαβολικὰς πομπὰς ἐμβάλλομεν, καὶ ἀκούσματα πορνείας γέμοντα; καὶ πῶς ταῦτα οἴσει ὁ Θεός, εἰπέ μοι; ὅταν γὰρ ὑπὸ τῆς ἐκεῖ θεωρίας ἀναχθῇς, καὶ σωφροσύνης ἁπάσης ἐχθρὸς γενόμενος, ἐπανελθὼν ἴδῃς τὴν γυναῖκα, ἀηδέστερον ὄψει πάντως οἵα ἂν ᾖ. ὑπὸ γὰρ τῆς ἀκολάστου θεωρίας ἁλούς, τὴν μὲν σώφρονα, καὶ κοσμίαν, καὶ τοῦ βίου παντὸς κοινωνὸν ἀτιμάζεις, ὑβρίζεις, μυρίοις περιβάλλεις ὀνείδεσι· πρὸς δὲ τὴν μιαρὰν καὶ ἀκάθαρτον κεχηνὼς ἐκείνην ἐπιθυμίαν, παρ' ἧς τὸ τραῦμα ἐδέξω, καὶ τὸν ἦχον τῆς φωνῆς ἔχων ἐγκαθήμενον τῇ ψυχῇ ἔναυλον, καὶ τὸ σχῆμα, καὶ τὸ βλέμμα, καὶ τὰ κινήματα, καὶ πάντα τῆς πορνείας τὰ εἴδωλα, οὐδὲν μεθ' ἡδονῆς λοιπὸν τῶν ἐπὶ τῆς οἰκίας ὁρᾷς. καθάπερ γὰρ οἱ καρηβαρίᾳ καὶ μέθῃ κατεχόμενοι ἁπλῶς καὶ εἰκῇ περιφέρονται, καὶ βάραθρον καὶ κρημνὸν κἂν ὁτιοῦν ὑποκείμενον ᾖ, καταπίπτουσιν ἀφυλάκτως· οὕτω καὶ οἱ πρὸς τὴν ἁμαρτίαν ὁρμήσαντες, καθάπερ μέθῃ δεινῇ τῇ τῆς ἁμαρτίας ἐπιθυμίᾳ κατεχόμενοι, οὐκ ἴσασιν ὅπερ πράττουσιν· οὐ τῶν παρόντων, οὐ τῶν μελλόντων ἐνορῶσι. καὶ γὰρ τοιοῦτον ἡ ἁμαρτία· μετὰ τὸ πραχθῆναι καὶ τελείως ἀπαρτισθῆναι, τότε τὰς ὠδῖνας ἐγείρει τῇ τεκούσῃ ψυχῇ, ἀπεναντίας τῷ νόμῳ τῆς ἡμετέρας γεννήσεως. ἡμεῖς μὲν γὰρ ὁμοῦ τεχθέντες τὰς ὠδῖνας λύομεν, ἐκείνη δὲ ὁμοῦ τεχθεῖσα διασπᾷ ταῖς ὀδύναις τοὺς τεκόντας αὐτὴν λογισμούς. ἐν γὰρ τῷ πράττειν τὴν ἁμαρτίαν ὑπὸ τῆς ἡδονῆς μεθύοντες οὐχ οὕτως αἰσθανόμεθα· ἐπειδὰν δὲ γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα τῆς ἡδονῆς σβεσθείσης ἁπάσης, τὸ πικρὸν τῆς μετανοίας ἐπεισέρχεται κέντρον· καὶ ἐν τῷ γίνεσθαι τὴν ἁμαρτίαν, καὶ πρὶν γενέσθαι, καὶ μετὰ τὸ γενέσθαι, σφοδρὸς ἐφέστηκε τὸ συνειδὸς ἡμῶν κατήγορος. τοιοῦτον τὸ τῶν ἁμαρτανόντων ἔθος ἐστί· πάντα ὑποπτεύουσι, τὰς σκιὰς τρέμουσι, πάντα ψόφον δεδοίκασι, καὶ ἕκαστον ἐπ' αὐτοὺς βαδίζειν νομίζουσι· πολλοὺς γὰρ πολλάκις εἶδον ἐφ' ἑτέραν τρέχοντας διακονίαν, καὶ ἐνόμισαν ἐπ' αὐτοὺς ἥκειν. καὶ ἄλλα ἄλλων πρὸς ἀλλήλους διαλεγομένων, οἱ συνειδότες ἑαυτοῖς ἁμαρτίαν, περὶ αὐτῶν ἐκείνους διαλέγεσθαι νομίζουσι. τοιοῦτον γὰρ ἁμαρτία· οὐδενὸς ἐλέγχοντος προδίδωσιν, οὐδενὸς κατηγοροῦντος καταδικάζει, καὶ ψοφοδεῆ ποιεῖ καὶ δειλὸν τὸν ἡμαρτηκότα. ὥσπερ οὖν ἡ δικαιοσύνη τοὐναντίον. ἄκουσον καὶ τούτου τὴν δειλίαν, καὶ τοῦ δικαίου τὴν παρρησίαν· Φεύγει ὁ ἀσεβής, φησί, μηδενὸς διώκοντος. πῶς οὐδενὸς διώκοντος φεύγει; ἔνδον ἔχει τὸν ἐλαύνοντα, τὸν τοῦ συνειδότος κατήγορον, καὶ τοῦτον πανταχοῦ περιφέρει· καὶ καθάπερ ἑαυτὸν οὐκ ἂν δυνηθείη φυγεῖν, οὕτως οὐδὲ τὸν ἔνδον αὐτὸν ἐλαύνοντα. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως· ἀλλὰ πῶς; Δίκαιος ὡς λέων πέποιθε. τοιοῦτος ἦν ὁ Ἠλίας. εἶδεν οὖν τὸν βασιλέα πρὸς αὐτὸν ἐρχόμενον· καὶ εἰπόντος ἐκείνου, Διὰ τί διαστρέφεις τὸν Ἰσραήλ; Οὐκ ἐγώ, φησί, διαστρέφω, ἀλλὰ σύ, καὶ ὁ οἶκος τοῦ πατρός σου. ἀληθῶς δίκαιος ὡς λέων πέποιθε· καθάπερ γὰρ λέων κυνιδίου τινὸς εὐτελοῦς, οὕτω κατεξανέστη τοῦ βασιλέως. καίτοι πορφυρίδα εἶχεν ἐκεῖνος, ἀλλ' εἶχε μηλωτὴν οὗτος τῆς πορφυρίδος ἐκείνης σεμνοτέραν. ἡ μὲν γὰρ πορφυρὶς ἐκείνη τὸν λιμὸν ἔτεκε τὸν χαλεπόν· ἡ μηλωτὴ δὲ αὕτη τὰ δεινὰ ἔλυσεν, αὕτη τὸν Ἰορδάνην ἔσχισεν, αὕτη τὸν Ἐλισσαῖον διπλοῦν Ἠλίαν ἐποίησεν. ὅτι μὲν οὖν ἀκαθάρτους ἑαυτοὺς εἶναι νομίζουσιν οἱ τῇ πορνείᾳ ἐγκυλινδούμενοι, σφόδρα ἐπαινῶ καὶ ἀποδέχομαι· ὅτι δὲ οὐκ ἐπὶ τὸν προσήκοντα τῶν καθαρσίων ἔρχονται τρόπον, ἐγκαλῶ διὰ τοῦτο καὶ μέμφομαι. τὸ μὲν οὖν ἄριστον, μηδὲ πεῖραν λαβεῖν τοῦ μυσαροῦ ταύτης ἁμαρτίας. εἰ δ' ἄρα τις ὑποσκελισθῇ ποτε, τοιαῦτα ἐπιτιθέτω τὰ φάρμακα πρότερον, ὑποσχόμενος μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, οἷά τε τῆς ἁμαρτίας φύσιν ἀποσμήχειν δύναται. ὡς ἐὰν ἁμαρτάνοντες καταγινώσκωμεν τῶν ἤδη γεγενημένων, πάλιν δὲ τοῖς αὐτοῖς ἐπιχειρῶμεν, οὐδὲν ὄφελος ἡμῖν ἔσται τῶν καθαρσίων. ὁ γὰρ ἀπολουόμενος, καὶ τῷ αὐτῷ πάλιν ἐγκυλινδούμενος βορβόρῳ· καὶ ὁ καθαιρῶν πάλιν ἅπερ ᾠκοδόμησε, καὶ οἰκοδομῶν πάλιν ἵνα καθέλῃ, οὐδὲν κερδαίνει πλέον, ἀλλ' ἢ τὸ περιττὰ πονεῖν καὶ

καὶ

καὶ ταλαιπωρῶν. ἐὰν γὰρ καθ' ἑκάστην ἡμέραν ἁμαρτάνοντες καὶ παίομεν τὴν ψυχὴν τὴν ἡμετέραν, μηδέποτε δὲ αἰσθανώμεθα, καθάπερ οἱ συνεχῆ τραύματα λαμβάνοντες, εἶτα καταφρονοῦντες, πυρετοὺς καὶ θανάτους ἑαυτοῖς ἐπισπῶνται, οὕτω δὴ καὶ ἡμεῖς ἐκ τῆς συνεχοῦς ταύτης ἀναισθησίας ἀπαραίτητον ἐπισπασόμεθα τὴν τιμωρίαν. οὐδὲν γὰρ οὕτως ἀπόλλυσιν ἄνθρωπον, ὡς τὸ τὸν φόβον ἐκπεσεῖν τοῦ Θεοῦ· ὥσπερ οὐδὲ σώζει, ὡς τὸ διηνεκῶς βλέπειν ἐκεῖ. εἰ γὰρ ἄνθρωπον βλέποντες πρὸ ὀφθαλμῶν, ὀκνηρότεροι γινόμεθα περὶ τὰ ἁμαρτήματα πολλάκις, καὶ οἰκέτας ἐρυθριάσαντες ἐπιεικεστέρους, οὐδὲν πράττομεν ἄτοπον, ἐννόησον πόσης ἀπολαυσόμεθα ἀσφαλείας τὸν Θεὸν πρὸ ὀφθαλμῶν ἔχοντες. τὸ μὲν οὖν ἄμεινον, τὸ μηδὲ ὅλως ἁμαρτάνειν· τὸ δὲ μετ' ἐκεῖνο, ἁμαρτάνοντας αἰσθάνεσθαι καὶ διορθοῦσθαι. εἰ δὲ μὴ τοῦτο ἔχοιμεν, πῶς δεησόμεθα τοῦ Θεοῦ, καὶ ἄφεσιν αἰτήσομεν ἁμαρτημάτων, οἱ μηδένα λόγον τούτων ποιούμενοι; ὅταν γὰρ αὐτὸς πεπλημμεληκὼς, μηδὲ αὐτὸ τοῦτο, ὅτι ἥμαρτες, εἰδέναι θέλῃς, ὑπὲρ ποίων παρακαλέσεις τὸν Θεὸν πλημμελημάτων; ὑπὲρ ὧν οὐκ οἶδας; καὶ πῶς εἴσῃ τῆς εὐεργεσίας τὸ μέγεθος; δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν· τὸ δὲ πράττοντα αἰσχύνεσθαι, ἐξ ἡμισείας ἐστὶ δεινόν. ὅταν δέ τις καὶ ἐγκαλλωπίζηται τούτῳ, ὑπερβολὴ ἀναισθησίας ἐστίν. ὁ μὲν γὰρ μετὰ τὸ πλημμελῆσαι καταγινώσκων τῆς ἁμαρτίας, χρόνῳ ποτὲ δυνήσεται ἀνακτήσασθαι· ὁ δὲ ἐπαινῶν τὴν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν. ὥσπερ οὖν οὐχ οἱ τὰ φαῦλα πράττοντες μόνον, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τὰς αὐτὰς ἢ καὶ χαλεπωτέρας ἐκείνοις κινδυνεύουσι κολάσεις, οὕτως οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες καὶ θαυμάζοντες, συμμερισταὶ τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσί. μὴ οὖν διότι οὐκ ἀλγεῖς ἁμαρτάνων, καταφρόνει τῆς ἁμαρτίας, ἀλλὰ διὰ τοῦτο αὐτὸ μάλιστα στέναξον, ἐπειδὴ οὐκ αἰσθάνῃ τῆς τῶν πλημμελημάτων ὀδύνης. οὐ γὰρ παρὰ τὸ μὴ δάκνειν τὴν ἁμαρτίαν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὸ ἀναίσθητον εἶναι τὴν πλημμελοῦσαν ψυχήν. εἰ γὰρ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν, κατηγορίας ἄξιός ἐστιν, ὁ ἐπὶ τοῖς ἑαυτοῦ ἀναλγήτως διακείμενος καὶ ἀμελῶν, ποίας ἂν εἴη συγγνώμης ἄξιος; εἰ ὁ Παῦλος τὸ οἰκεῖον παρορᾷ συμφέρον, ἵνα τὸ τῶν ἄλλων εὕρῃ, πόσης οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, μηδὲ τῆς οἰκείας ἀποστῆναι βλάβης αἱρούμενοι; ὑπὲρ τοῦ τὸ ἑτέρων συμφέρον εὑρεῖν, καὶ ἡδέως μεθ' ἑαυτῶν, καὶ ἑτέρους διασῶσαι. διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· διὰ τοῦτο λογισμοὶ τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσιν ἁμαρτήματα. ἀλλ' ἀγνοεῖν λέγεις σὺ τὰ ἁμαρτήματα; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; εἰ γὰρ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι καὶ νόμους γράφεις καὶ τιμωρίας ὁρίζεις, καὶ ἀκριβὴς εἶ δικαστής, ποίαν σχοίης ἀπολογίαν ἐν οἷς αὐτὸς ἁμαρτάνεις, λέγων ἀγνοεῖν τὰ πρακτέα; ἐμοίχευσας καὶ σὺ κἀκεῖνος· τίνος οὖν εἵνεκεν ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ συγγνώμης ἀξιοῖς; εἰ μὲν γὰρ ᾔδεις κακὸν τὴν μοιχείαν, οὐδὲ ἕτερον τιμωρεῖσθαι ἔδει· εἰ δὲ ἕτερον μὲν κολάζεις, σὺ δὲ νομίζεις διαφεύγειν τὴν κόλασιν, πῶς ἂν ἔχοι λόγον, τῶν αὐτῶν ἁμαρτημάτων μὴ τὰς αὐτὰς διδόναι δίκας; ἀπὸ γὰρ τῆς ψήφου, φησὶν, ἧς ἐξέφερες καθ' ἑτέρου, ἀπὸ ταύτης σε κρινεῖ ὁ Θεός. καὶ ἄκουε Παύλου λέγοντος· λογίζῃ τοῦτο, ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; τὸ σὸν οὐκ ἐξέφυγες κρίμα, καὶ τὸ τοῦ Θεοῦ διαφεύξῃ; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; οὐ γάρ ἐστι ταυτὸν ἁμαρτάνειν ἁπλῶς, καὶ ἕτερον ἁμαρτόντα καὶ κολάσαντα, τοῖς αὐτοῖς περιπεσεῖν πάλιν. εἰ γὰρ σὺ τὸν ἐλάττονα ἁμαρτόντα κολάζεις, καίτοιγε μᾶλλον αἰσχύνειν σαυτὸν, πῶς ὁ Θεὸς τὸν μείζονα πλημμελήσαντά σε, καὶ ταῦτα οὐ μᾶλλον ἑαυτὸν αἰσχύνειν, οὐ καταδικάζει καὶ κατακρινεῖ μειζόνως, ἤδη κατακεκριμένον ἀπὸ τῶν οἰκείων λογισμῶν; εἰ δὲ λέγεις ὅτι οἶδα μὲν ὅτι ἄξιός εἰμι κολάσεως, διὰ δὲ τὴν μακροθυμίαν καταφρονεῖς, καὶ διὰ τὸ μὴ δοῦναι παραυτὰ δίκην θαρρεῖς· δεδοικέναι μὲν οὖν τρέμειν διὰ τοῦτο ἂν εἴης δίκαιος. οὐ γὰρ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ δοῦναι χαλεπωτέραν, εἰ μένοις ἀδιόρθωτος ὢν, τὸ μήπω δοῦναι συμβήσεταί σοι. καὶ γὰρ εἰ μέγα τις ἁμάρτῃ, λαθὼν δὲ τοῦτο ἐργάσηται, καὶ μηδένα σκανδαλίσῃ, ἐλάττονα δώσει δίκην τοῦ καταδεέστερα μὲν ἡμαρτηκότος, μετὰ παρρησίας δὲ καὶ τοὺς πολλοὺς σκανδαλίσαντος. ὁ μὲν γὰρ εὐτελὴς καὶ ἀπερριμμένος κἂν ὑποσκελισθῇ καὶ καταπέσῃ, οὐ τοσαύτην τῷ κοινῷ φέρει βλάβην. ὁ δὲ ὥσπερ ὑψηλῇ τινὶ τῇ τῆς ἀρετῆς κορυφῇ μετὰ πολλῆς τῆς περιφανείας ἑστὼς, καὶ πᾶσι γνώριμος καὶ δῆλος ὢν, καὶ παρὰ πάντων θαυμαζόμενος, ὅταν ἐπηρεασθεὶς καταπέσῃ, μεγάλην τὴν πτῶσιν καὶ ζημίαν ἐργάζεται· οὐχ ὅτι μόνον ἐξ ὕψους κατέπεσεν, ἀλλ' ὅτι καὶ πολλοὺς ῥαθυμοτέρους ἐποίησε τῶν εἰς αὐτὸν βλεπόντων. καὶ καθάπερ ἐν σώματι μέλους μὲν ἑτέρου διαφθαρέντος, οὐ πολλὴ ἡ βλάβη· τῶν δὲ ὀφθαλμῶν πηρωθέντων, ἢ τῆς κεφαλῆς βλαβείσης, ὅλον τὸ σῶμα ἄχρηστον γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν πολλὰ κατορθωσάντων ἐστὶν εἰπεῖν, ὅταν ἐκεῖνοι σβεσθῶσιν, ὅταν κηλῖδα τινὰ περιτρίψωνται,

A Si enim in dies delinquamus, noſtrámque feriamus animam, nec unquam ſentiamus, ſicuti qui continua vulnera accipiunt, deinde condemnunt, febres & mortes ſibiipſis acceſſunt, ita ſanè nos ex continuo iſto ſtupore inevitabile nobis ſupplicium conciliamus. Nihil enim ita hominem perdit, quàm Dei timorem reliquiſſe: Sicuti nihil ita conſervabit, quàm jugiter illuc reſpicere. Si enim hominem coram videntes, ſæpè tardiores ad peccata ſimus, & æquiores famulos reverentes, B nihil abſurdi faciamus, cogita quanta fruemur ſecuritate, ſi Deum ante oculos habeamus. Optimum igitur eſt, nihil omnino delinquere: proximum verò, ut, qui delinquunt, animadvertant & corrigantur. Si verò etiam hoc nobis deſit, quomodo Deum rogabimus peccatorum remiſſionem, qui nullam iſtorum rationem habemus? Si enim tu, cùm prævaricatus es, hoc ipſum agnoſcere nolis, quòd peccaveris, pro quibuſnam peccatis Deum orabis? An pro his quæ ignoras? Et C quomodo beneficii cognoſces magnitudinem? Grave quidem malum eſt, turpia facere, facientem autem erubeſcere, dimidia ex parte malum. At ſi quis etiam in hoc glorietur, id extremæ eſt dementiæ. Qui enim, poſtquam deliquit, peccatum ſuum damnat, aliquo tempore ſe recuperare poterit: qui verò laudibus improbitatem proſequitur, ille ſeipſum pœnitentiæ remedio privavit. Quemadmodum igitur non ſolùm qui mala agunt, ſed etiam qui hoſce laudant, eandem cum illis, aut etD iam graviorem pœnam habent: ita etiam qui bonos collaudant & admirantur, participes ſunt earum, quæ illis repoſitæ ſunt, coronarum. Ne igitur quia peccans non doles, peccatum condemnas, ſed ob hoc ipſum potiùs ingemiſce, quod peccatorum dolorem non ſentias. Non enim hoc inde fit, quod peccatum non remordeat, ſed quòd ſtupida peccans anima & ſenſus expers facta ſit. Quòd ſi ob aliena delicta non dolens, reprehenſione dignus eſt, qua venia ille dignus erit, qui etiam ob propria nullo dolore tangitur? Si Paulus proprium negligit comE modum, ut aliorum inveniat: quanto non digni fuerimus ſupplicio, ſi ne à propria quidem recedere velimus pernicie? Majus hoc eſt, quòd aliorum utilitas inveniatur, & ut libenter nobiſcum alios quoque ſalvos faciamus. Propter hoc alæ ſunt paſſeribus, ut laqueum fugiant: propter hoc data eſt hominibus ratio, ut peccata evitent. Sed ignorare te dicis peccata. At quomodo id rationi conſentaneum eſt? Si enim in alienis peccatis & leges ſcribis, & pœnas decernis, & ſedulus es judex, qua- A lem habere poteris excuſationem, ſi in quibus ipſe delinquis, te facienda ignorare dicas? Adulterium commiſiſti tu, & ſimiliter ille: Quare igitur illum quidem caſtigas, te verò venia dignaris? Si enim malum eſſe adulterium ſciebas, nec alium quidem pœnis afficere oportebat: ſi verò alium quidem punias, te verò exiſtimes pœnam effugere debere, quomodo rationi conſentaneum fuerit, pro iiſdem peccatis non eaſdem etiam pœnas dare? B Quod enim in alium fers judicium, inquit, eodem te judicabit Deus. Et audi Paulum dicentem. Exiſtimas hoc, ô homo, qui judicas malè agentes, & facis ea, quia tu effugies judicium Dei? Judicium tuum non effugiſti, & judicium Dei effugies? Et quomodo hoc rationi congruum fuerit? Non enim eſt idem, aliquem peccare tantùm, & alium peccaſſe ſimul & puniviſſe, ac in eadem rurſus incidiſſe. Si enim tu illum caſtigas, qui minora commiſit crimina; licet teipſum pudefacere debeas: quomodo C te, qui majora admiſiſti, atque à propria mente damnatus es, non graviùs accuſabit & condemnabit Deus, qui non habet, unde pudefacere ſeipſum poſſit? Quod ſi dicas, ſcire quidem te, quòd pœna ſis dignus, interim propter Dei manſuetudinem nihil pendas, & quod non ſtatim in te animadvertatur, confidas: timere potiùs & tremere te ob hoc oportet. Quod enim nondum pœnas dederis, id non tibi accidit, ut nullas des pœnas, ſed ut graviores luas, ſi ſine emendatione perſeveres. Et quidem ſi D vehementer quis peccaverit, fecerit autem hoc occultè, nec cuiquam offenſioni fuerit, levioribus mulctabitur pœnis quàm ille, qui imparia admiſit, ſed palam & cum multorum offenſione. Vilis enim homo & abjectus, licet ſupplantatus fuerit & ceciderit, non tantum communitati adfert damnum: Qui verò in faſtigio virtutis, tanquam in ſublimi loco, magno cum ſplendore conſiſtit, cunctiſque notus ac manifeſtus, atque apud omnes in admiratione eſt, ſi malis tentatus ceciderit, ingentem ruiE nam & jacturam facit: non tantùm quia è ſublimi lapſus eſt, ſed etiam quia multos in ſe reſpicientes ſegniores reddidit. Et quemadmodum in corpore, alio quidem membro vitiato, non tantum oritur damnum; oculis verò excæcatis, aut capite læſo, univerſum corpus fit inutile: eodem quoque modo de iis, qui multa præclarè & cum laude geſſerunt, dicendum: obſcurati fuerint, ſi maculam aliquam incurrerint,

Ex interp. Evang. S. Joan.

Ex interp. ep. ad Phil.

Ex orat. 2. in David & Saul.

Ex interp. Evang. S. Matth.

Ex hom. in Stat.

Ex interp. ep. ad Rom. Rom. 2.

Ex ibid.

genetale & intolerabile reliquo corpori adferre nocumentum. *Ex orat. quod extra Ecclesiam inventus Eutrop. abstractus sit.* Ne igitur Judicis time insidias, sed peccati vim exhorreſce. Homo te non lædit, ſi tu teipſum non læſeris. Ac ſi à peccato immunis ſis, licet infiniti impendeant gladii, Deus tamen te eripiet. Sin peccati tibi ſis conſcius, licet in paradiſo fueris, expelleris. In paradiſo erat Adamus, & ejectus eſt: in ſterquilinio erat Job, & coronatus fuit. Quid illi profuit paradiſus? quid huic damni attulit ſterquilinium? Illi nemo inſidias ſtruxit, & ſupplantatus eſt: huic diabolus inſidiabatur, & coronatus eſt. Nonne pecunias ei abſtulit? attamen ipſius in Deum pietatem non diripuit. Nonne corpus ipſius dirupit? ſed theſaurum tamen non invenit. Hanc mihi, obſecro, legem obſervate & genua veſtra amplectar, ſi non manu, attamen animo, lacrymáſque effundam. Hanc mihi legem obſervate, & nemo unquam vobis officere poterit. Vidiſtis Prophetam illum, Davidem dico, pugnantem, cadentem, ſurgentem & vincentem? Vidiſtis peccatum incumbens, & per pœnitentiam jugulatum? Videte ipſum etiam poſt acceptam Spiritus gratiam, poſt libertatem apud Deum, poſt bonorum operum copiam, poſt tanta denique tropæa, proclamantem & dicentem:

Pſal. 50. *Miſerere mei Deus, ſecundum magnam miſericordiam tuam.* Dixiſti, Magnam: dic porrò, quanta? Quod magna ſit, novi: metiri vero aut comprehendere nequeo: Super pelagus clementiæ Domini mei meipſum expandi. Et quid ais quæſo? Audiviſti Prophetam dicentem, *Dominus quoque tranſtulit peccatum tuum* (*2. Reg. 12. 13.*): quid ultrà quæris? Non hoc ſolum, quæro, ait, ſed pulchritudinem meam quæro, libertatem meam quæro: Amplius lava me ab iniquitate mea. Vides ne quid quærat? Et adhuc majorem quærit ſplendorem, majorémque puritatem. Et quidnam præſtas, o David, quia iſta petis? Quid præſtem? Quoniam iniquitatem meam ego cognoſco, hoc præſtas: & quis eſt homo, qui iniquitatem ſuam non cognoſcat? Imo inquit, quot ſunt qui peccant & audacter libereque agunt? quot ſunt qui proximos ſuos opprimunt, & non lugent? Ego verò iniquitatem meam cognoſco, & peccatum meum contrà me ſemper. O generoſam animam! oblivioni peccati memoriam non tradit, ſed ipſum jam remiſſum in conſcientia ſua, veluti in effigie quadam pinxit. Et vide, quid accidit. Si tu illius memineris, Deus ejuſdem non meminit: Si verò tu oblitus fueris Deus reminiſcitur. Mali quid egiſti? memineris ut Dominus tuus obliviſcatur: Feciſti aliquid boni? obliviſcere ut Dominus tuus illud commemoret. Non enim tu tua rectè facta ſic recenſes, ſicut ille. Et quomodo, audi. Si pauperi dederis, interrogatus reſpondes, vidi pauperem eſurientem, & nutrivi ipſum: non verò ita Dominus tuus, ſed quomodo? Eſurientem me vidiſtis & nutriviſtis. Poſtquam igitur peccaveris, ne expectes donec alius te accuſet, ſed priuſquam accuſatus fueris, tu tua facta condemna: Nam ſi alius poſteà te arguerit, non jam tuæ confeſſionis, ſed illius reprehenſionis bonum opus eſt, ipſa emendatio. Non enim hoc eſt confiteri, cùm quis, poſtquam reprehenſus eſt, ſeipſum accuſat, ſed ſeipſum primò accuſet, neque aliorum expectet reprehenſiones. *Ex orat. contra. Iud.* Etenim Petrus poſt gravem illam negationem, poſtquam peccatum ſibiipſi in memoriam revocaſſet, nulloque accuſante & delictum percenſuiſſet & amarè fleviſſet, ita negationem illam abſterſit, ut & primus inter Apoſtolos factus ſit, & univerſum terrarum orbem *Ex orat. in Statuas.* ſuæ curæ commiſſum habuerit. Si porro Sacerdos peccata in Deum perpetrata ſolvendi poteſtatem accepit, multo magis quæ in hominem fiunt auferre & obliterare poterit. Princeps etiam hic eſt, & princeps Rege honorabilior. Etenim, ipſum Regium caput ſacræ leges Sacerdotis manibus ſubjecerunt: & ſi forte boni aliquid deſuper fieri neceſſe ſit, Rex ad Sacerdotem, non Sacerdotes ad Regem confugere ſolet. Idcirco non Angelos ex cœlo Deus deducens humano generi magiſtros fecit, ne ob ſuæ naturæ excellentiam & humanæ imbecillitatis ignorationem nimis immodicas in nos facerent objurgationes: ſed homines mortales dedit magiſtros & Sacerdotes, homines inquam infirmitate circundatos, ut, dum iiſdem & docens & diſcentes obnoxii eſſent, hoc ipſum dicentis linguæ velut frænum quoddam eſſet, quod reprehenſiones ultra modum facere non ſineret. Quam verò ob cauſam hæc dixi? Ut ne dicatis, Quia tu mundus es à delictis & liber à reprehenſionis dolore, magna cum inſolentia graviorem nobis infers ſectionem. Ego enim primus ſectionem percipio, quoniam iiſdem criminibus obnoxius ſum. Omnes enim pœna digni ſumus, nec quiſquam cor mundum ſe habere gloriabitur. Non igitur in alienis philoſophans malis, nec ex inhumanitate quadam, ſed ex magna ſolicitudine vos reprehendo. In illis quidem, qui corporibus medentur, ita ſe res habet, ut qui ſectionem infert, nullum illius ſenſum percipiat: qui vero ſecatur, ille ſolus eſt qui

A ὁλόκληρον καὶ ἀφόρητον τῷ λοιπῷ σώματι τὴν βλάβην φέρουσι. μὴ τοίνυν φοβηθῇς ἐπιβουλὴν δικαστοῦ, ἀλλὰ φοβήθητι ἁμαρτίας δύναμιν. ἄνθρωπός σε οὐ βλάπτει, ἐὰν μὴ σὺ σεαυτὸν βλάψῃς. κἂν μὴ ἔχῃς ἁμαρτίας, κἂν μυρία ξίφη ἐπίκειται, ἐξελεῖταί σε ὁ Θεός. ἐὰν ἔχῃς ἁμαρτίαν, κἂν ἐν παραδείσῳ ᾖς, ἐκπίπτεις. ἐν παραδείσῳ ἦν ὁ Ἀδάμ, καὶ ἔπεσεν· ἐν κοπρίᾳ ἦν ὁ Ἰώβ, καὶ ἐστεφανώθη. τί ὠφέλησεν ἐκεῖνον ὁ παράδεισος; τί ἔβλαψεν τοῦτον ἡ κοπρία; ἐκείνῳ
B οὐδεὶς ἐπεβούλευσε, καὶ ὑπεσκελίσθη· τούτῳ ὁ διάβολος, καὶ ἐστεφανώθη. οὐ τὰ χρήματα αὐτοῦ ἔλαβεν; ἀλλὰ τὴν εὐσέβειαν αὐτοῦ οὐκ ἐσύλησεν. οὐ τὸ σῶμα αὐτοῦ διέρρηξεν; ἀλλὰ τὸν θησαυρὸν οὐχ εὗρε. τοῦτόν μοι τὸν νόμον τηρήσατε παρακαλῶ, καὶ γονάτων ὑμῶν ἅπτομαι, εἰ καὶ μὴ τῇ χειρί, ἀλλὰ τῇ γνώμῃ, καὶ δάκρυα ἐκχέω. τοῦτόν μοι τὸν νόμον τηρήσατε, καὶ οὐδεὶς ὑμᾶς οὐδέποτε ἀδικῆσαι δυνήσεται. εἴδετε τὸν προφήτην καὶ βασιλέα, τὸν Δαβὶδ λέγω, πολεμοῦντα, πί-
C πτοντα, ἐγειρόμενον καὶ νικῶντα; εἴδετε τὴν ἁμαρτίαν ἐπικειμένην καὶ σφαζομένην διὰ τῆς μετανοίας; βλέπετε αὐτὸν καὶ μετὰ τὴν τοῦ πνεύματος χάριν, μετὰ τὴν πρὸς Θεὸν παρρησίαν, μετὰ κατορθωμάτων πλῆθος, μετὰ τρόπαια τοσαῦτα ἀνακηρύττοντα καὶ λέγοντα· ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου. εἶπες μέγα, εἰπὲ πόσον. ὅτι μέγα, οἶδα· μετρῆσαι δέ, ἢ καταλαβεῖν οὐ δύναμαι· ἐπὶ τὸ πέλαγος ἐμαυτὸν ἥπλωσα τῆς τοῦ δεσπότου μου φιλανθρωπίας. καὶ τί λέγεις;
D εἰπέ μοι. ἤκουσας τοῦ προφήτου λέγοντος, καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. τί πλέον ζητεῖς; οὐ τοῦτο ζητῶ μόνον, φησίν, ἀλλὰ τὸ κάλλος μου ζητῶ, τὴν παρρησίαν μου ζητῶ· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου. ὁρᾷς τί ζητεῖ; καὶ ἔτι πλείονα ζητεῖ λαμπρότητα καὶ μείζονα καθαρότητα. καὶ τί δίδως σὺ Δαβίδ, ὅτι ταῦτα ζητεῖς; τί δίδωμι; ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. τοῦτο δίδως; καὶ τίς ἐστιν ἄνθρωπος μὴ ἐπιγινώσκων αὐτοῦ τὴν ἁμαρτίαν; ναί φησι· πόσοι εἰσὶν ἁμαρτάνοντες καὶ παρρησιαζόμενοι; πόσοι θλίβουσι τοὺς πλησίον
E καὶ οὐ πενθοῦσιν; ἀλλ' ἐγὼ τὴν ἀνομίαν μου γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. ὢ εὐγένεια ψυχῆς· οὐ παρέδωκε τῇ λήθῃ τὴν μνήμην τῆς ἁμαρτίας, ἀλλὰ καὶ συγχωρηθεῖσαν αὐτὴν ἔγραψε καθάπερ ἐν εἰκόνι τῷ συνειδότι· καὶ βλέπε τί γίνεται· ἐὰν σὺ αὐτῆς μνημονεύσῃς, ὁ Θεὸς αὐτῆς οὐ μνημονεύει· ἐὰν δὲ σὺ ἐπιλάθῃς, ὁ Θεὸς αὐτῆς μέμνηται. ἐποίησάς τι κακόν; μνήσθητι, ἵνα ὁ δεσπότης σου αὐτοῦ ἐπιλάθηται. ἐποίησας ἀγαθόν; λάνθανε, ἵνα ὁ δεσπότης
A σου αὐτὸ εἴπῃ. οὐ γὰρ οὕτως σὺ λέγεις τὰ κατορθώματά σου, ὡς ἐκεῖνος. καὶ πῶς, ἄκουε. ἐὰν δῷς πτωχῷ, ἐρωτώμενος λέγεις, εἶδον πτωχὸν πεινῶντα, καὶ ἔθρεψα αὐτόν· ὁ δὲ δεσπότης σου οὐχ οὕτως· ἀλλὰ πῶς; πεινῶντά με εἴδετε καὶ ἐθρέψατε. ἐπειδὰν οὖν ἁμάρτῃς, μὴ τὴν παρ' ἑτέρου κατηγορίαν ἀνάμενε, ἀλλὰ πρὶν ἢ κατηγορηθῇς, σὺ καταγίνωσκε τῶν δρωμένων· ὡς ἐὰν ἕτερος ἐλέγξῃ λοιπόν, οὐκέτι τῆς ἐξομολογήσεως τὸ κατόρθωμα γίνεται, ἀλλὰ τῆς ἐκείνου κατη-
B γορίας ἡ διόρθωσις. οὐ γὰρ τοῦτό ἐστιν ἐξομολογεῖσθαι, τὸ κατηγορεῖν ἑαυτοῦ μετὰ τοὺς ἐλέγχους, ἀλλὰ τὸ πρῶτον ἑαυτοῦ κατηγορεῖν, καὶ τὸ μὴ ἀναμένειν τοὺς παρ' ἑτέρων ἐλέγχους. καὶ γὰρ καὶ ὁ Πέτρος μετὰ τὴν ἄρνησιν ἐκείνην τὴν χαλεπήν, ἐπειδὴ ταχέως ἑαυτὸν ἀνέμνησε τῆς ἁμαρτίας, καὶ μηδενὸς κατηγοροῦντος, καὶ τὸ πλημμέλημα εἶπε, καὶ πικρῶς ἔκλαυσεν· οὕτω τὴν ἄρνησιν ἀπενίψατο, ὡς καὶ πρῶτος γενέσθαι τῶν ἀποστόλων, καὶ τὴν οἰκουμένην ἐγχειρισθῆναι ἅπασαν. εἰ γὰρ τὰς εἰς τὸν Θεὸν ἁμαρ-
C τίας λύειν ἔλαβεν ἐξουσίαν ὁ ἱερεύς, πολλῷ μᾶλλον τὰς εἰς ἀνθρώπους γινομένας ἀνελεῖν καὶ ἀφανίσαι δυνήσεται. ἄρχων ἐστὶ καὶ οὗτος· καὶ ἄρχων τοῦ βασιλέως σεμνότερος. καὶ γὰρ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν οἱ ἱεροὶ νόμοι ταῖς τούτου χερσὶ φέροντες ὑπέταξαν· καὶ ὅταν τι δέῃ χρηστὸν γενέσθαι ἄνωθεν, ὁ βασιλεὺς πρὸς τὸν ἱερέα, οὐχ ὁ ἱερεὺς πρὸς τὸν βασιλέα καταφεύγειν εἴωθε. διὰ τοῦτο οὐκ ἀγγέλους ἐκ τῶν οὐρανῶν καταγαγὼν ὁ Θεὸς τῆς τῶν ἀνθρώπων φύσεως διδασκάλους ἐποίησεν, ἵνα μὴ διὰ τὸ τῆς φύσεως ὑπερέχον, καὶ τῆς ἀνθρωπίνης ἀσθενείας τὴν
D ἄγνοιαν, ἀφειδεστέρας ποιῶνται τὰς καθ' ἡμῶν ἐπιτιμήσεις· ἀλλ' ἀνθρώπους θνητοὺς ἔδωκε διδασκάλους καὶ ἱερέας, ἀνθρώπους ἀσθένειαν περικειμένους, ἵνα αὐτὸ τοῦτο τὸ τοῖς αὐτοῖς ὑπευθύνους εἶναι καὶ τοὺς λέγοντας καὶ τοὺς ἀκούοντας, χαλινὸς γίνηται τῇ τοῦ λέγοντος γλώττῃ, μὴ συγχωρῶν πέρα τοῦ μέτρου ποιεῖσθαι τὰς κατηγορίας. τίνος δὲ ἕνεκεν ταῦτα εἶπον; ἵνα μὴ λέγητε, ὅτι σὺ καθαρὸς ὢν ἁμαρτημάτων, ἀπηλλαγμένος τῆς ὀδύνης τῆς κατὰ τὴν ἐπιτίμησιν, μετὰ πολλῆς τῆς ἐξουσίας
E ἐπιφέρεις ἡμῖν βαρυτέραν τὴν τομήν, ἐγὼ γὰρ πρότερος αἰσθάνομαι τῆς ὀδύνης, ἐπειδὴ καὶ αὐτὸς ὑπεύθυνός εἰμι τοῖς ἁμαρτήμασι. πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις, καὶ οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν. ὥστε οὐκ ἐν ἀλλοτρίοις φιλοσοφῶν κακοῖς, οὐδὲ ἐξ ἀπανθρωπίας τινός, ἀλλ' ἀπὸ κηδεμονίας πολλῆς τοὺς ἐλέγχους ποιοῦμαι. ἐπὶ μὲν γὰρ τῶν τὰ σώματα ἰατρευόντων, ὁ μὲν ἐπάγων τὴν πληγήν, οὐδεμίαν λαμβάνει τῆς πληγῆς αἴσθησιν, ὁ δὲ τεμνόμενος οὗτός ἐστιν ὁ δια-

σπώ-

ἀπολλύμενος ταῖς ἀλγηδόσι μόνος· ἐπὶ δὲ τῶν τὰς ψυχὰς θεραπευόντων, οὐχ οὕτως· εἰ μή τι γε σφάλλομαι ἀπ' ἐμαυτοῦ τὰ τῶν λοιπῶν δοκιμάζων, ἀλλ' αὐτὸς πρότερος ὀδυνᾶται ὁ λέγων, ἡνίκα ἂν ἑτέρους ἐπιτιμᾷ. οὐδὲ γὰρ οὕτως ἐλεγχόμενοι παρ' ἑτέρων ἀλγοῦμεν, ὡς ἐλέγχοντες ἑτέρους ὑπὲρ ἁμαρτημάτων ὧν ἐσμὲν ὑπεύθυνοι. Βούλεσθε μαθεῖν ὅσον κατόρθωμα τὸ τῶν οἰκείων μεμνῆσθαι ἁμαρτημάτων; ἐπὶ τῆς τῶν χρημάτων δαπάνης εὐθέως ἀναστάντες ἀπὸ τῆς κλίνης, πρὶν εἰς ἀγορὰν ἐμβαλεῖν, ἢ μεταχειρίσασθαί τι τῶν ἰδιωτικῶν ἢ δημοσίων πραγμάτων, τὸν οἰκέτην καλέσαντες ἀπαιτοῦμεν τὸν λόγον τῶν δαπανηθέντων, ἵνα ἴδωμεν, τί μὲν κακῶς, τί δὲ εἰς δέον ἀνήλωται, πόσον δὲ ὑπολέλειπται· κἂν ἴδωμεν ὀλίγον τὸ ὑπολελειμμένον, πανταχοῦ προσόδων ἀφορμὰς ἐπινοοῦμεν, ἵνα μὴ λάθωμεν διαφθαρέντες λιμῷ. Οὕτω τοίνυν καὶ ἐπὶ τῶν πράξεων τῶν ἡμετέρων ποιῶμεν, τὸ συνειδὸς τὸ ἡμέτερον καλέσαντες, ἀπαιτῶμεν αὐτὸ λόγον τῶν ῥημάτων, τῶν πραγμάτων, τῶν ἐνθυμήσεων, ἐξετάσωμεν τί μὲν εἰς δέον ἀνήλωται, τί δὲ ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ· ποῖος λόγος ἐδαπανήθη κακῶς, εἰς λοιδορίας, εἰς αἰσχρολογίας, εἰς ὕβρεις· ποῖον ἐνθύμημα τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν ἐκίνησε· τίς λογισμὸς ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ εἰς ἔργον ἐξηνέχθη, ἢ διὰ χειρῶν, ἢ διὰ γλώττης, ἢ διὰ τῶν ὀμμάτων αὐτῶν· καὶ σπουδάσωμεν τῆς μὲν ἀκαίρου δαπάνης ἀποστῆναι, ἀντὶ δὲ τῶν ἅπαξ ἀναλωθέντων κακῶς, ἑτέραν ἀποθέσθαι πρόσοδον· ἀντὶ τῶν ῥημάτων τῶν εἰκῇ προενεχθέντων, εὐχάς· ἀντὶ τῶν ὄψεων τῶν ἀκολάστως γινομένων ἐλεημοσύνας, νηστείας. εἰ γὰρ μέλλοιμεν δαπανᾶν μὲν ἀκαίρως, μηδὲν δὲ ἀποτίθεσθαι, μηδὲ θησαυρίζειν ἑαυτοῖς ἀγαθόν, εἰς ἐσχάτην κατενεχθέντες πενίαν, λανθάνομεν πρὸς τὴν αἰώνιον τοῦ πυρὸς ἑαυτοὺς παραπέμποντες κόλασιν. πόσῳ τοίνυν βέλτιον, πρόσκαιρον κατάνυξιν καὶ ὀδυρμὸν, αἰωνίων ἀνταλλάξασθαι καλῶν, καὶ ἡδονῆς τέλος οὐκ ἐχούσης, ἢ τὸν βραχὺν τοῦτον καὶ πρόσκαιρον βίον ἐνταῦθα γελάσαντας ἀπελθεῖν ἐκεῖ κολασθησομένους αἰώνια; εἰ γὰρ Παῦλος [ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ καθάπερ ὑπόπτερος τὴν οἰκουμένην διαδραμὼν ἅπασαν, καὶ τῶν σωματικῶν ἀναγκῶν ἀνώτερος γεγονὼς, καὶ τῶν ἀρρήτων ἐκείνων ῥημάτων ἀκοῦσαι καταξιωθεὶς, ὧν μέχρι τῆς σήμερον οὐδεὶς ἄλλος ἤκουσε] γράφων ἔλεγεν· Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι, τί ἂν εἴποιμεν ἡμεῖς, οἱ φορτίοις ἁμαρτημάτων βεβαρημένοι, καὶ πρὸς τούτοις πολλὴν τὴν ῥᾳθυμίαν ἐπιδεικνύμενοι; μὴ γὰρ ἀνακωχὴν ἔχει ὁ πόλεμος οὗτος; πάντοτε νήφειν καὶ ἐγρηγορέναι δεῖ, καὶ μηδέποτε ἐν ἀδείᾳ εἶναι, ἐπεὶ μηδέ ἐστι καιρὸς ὡρισμένος τῆς τοῦ πολεμοῦντος ἡμῖν ἐπιθέσεως.

Περὶ τῆς μελλούσης κρίσεως.

Λόγος κε΄.

ΠΟΛΛΟΙ τῶν παρ' ἡμῖν ἀνθρώπων τῇ σαρκὶ προσηλωμένοι καὶ τοῖς παροῦσι δουλεύοντες πράγμασιν, οὐδὲν εἶναι τὰ μετὰ ταῦτα νομίζουσι, καὶ τὴν τοῦ Θεοῦ προβαλλόμενοι φιλανθρωπίαν, μὴ εἶναι κόλασιν, μηδὲ τιμωρίαν λέγουσιν. εἰ οὖν φιλάνθρωπός ἐστιν ὁ Θεὸς, ὥσπερ οὖν καὶ ἔστι, δίκαιος πάντως ἂν εἴη. εἰ δὲ δίκαιος, πῶς οὐκ ἂν εἴη δίκαιον τὸν μυρία παθόντα ἐξ ἀρχῆς ἀγαθὰ, εἶτα κολάσεως ἄξια πράξαντα, καὶ μήτε ἀπειλῇ, μήτε εὐεργεσίᾳ γινόμενον βελτίω, κολάζεσθαι; εἰ γὰρ τὸ δίκαιον ἐξετάζοις, ἐξ ἀρχῆς ἡμᾶς καὶ εὐθέως ἔδει κατὰ τὸν τοῦ δικαίου λόγον μᾶλλον (καὶ γὰρ καὶ φιλανθρωπίαν εἶχεν, εἰ καὶ τοῦτο ἐπάθομεν τὰ μὴ γινόμενα). ὅταν μὲν γάρ τις τὸν οὐδὲν ἠδικηκότα ὑβρίζῃ, κατὰ τὸν τοῦ δικαίου λόγον, πάντως δίδωσι δίκην· ὅταν δὲ εἰς τὸν εὐεργέτην, τὸν οὐδὲν παθόντα μὲν, εὖ ποιήσαντα δὲ μυρία, καὶ μόνον τοῦ εἶναι γινόμενον αἴτιον, οὐχ ὑβρίζῃ μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν λυπῇ δι' ὧν πράττει, ποίας ὁ τοιοῦτος συγγνώμης ἔσται ἄξιος; πῶς οὐ δέδοικας εἰπέ μοι τὰ τοιαῦτα φθεγγόμενος, ὅταν λέγῃς, Φιλάνθρωπός ἐστιν ὁ Θεὸς καὶ οὐ κολάζει; εἰ δὲ κολάσει, εὑρεθήσεται κατὰ σὲ οὐκέτι φιλάνθρωπος. Διὰ τί γὰρ, εἰπέ μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτάνων; οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠπείλησεν; οὐχὶ ἐβοήθησεν; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ τῆς σωτηρίας τῆς σῆς; εἰ οὖν οἱ πονηροὶ μὴ κολάζονται, ἐρεῖ πάλιν ἄλλος ἴσως, ὅτι οὔτε οἱ ἀγαθοὶ στεφανοῦνται· καὶ ποῦ ἡ φιλανθρωπία καὶ ἡ δικαιοκρισία τοῦ Θεοῦ; μὴ τοίνυν φενακίζετε ἑαυτοὺς, ὦ ἄνθρωποι, τῷ διαβόλῳ πειθόμενοι· ἐκείνου γάρ εἰσι ταῦτα τὰ νοήματα. εἰ γὰρ δικασταὶ, καὶ δεσπόται, καὶ διδάσκαλοι τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονηροὺς κολάζουσι, πῶς ἂν ἔχοι λόγον παρὰ τῷ Θεῷ τὰ ἐναντία γενέσθαι, καὶ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς ἀγαθοὺς καὶ τοὺς πονηρούς; πότε δὲ καὶ ἀπαλλαγήσονται τῆς κακίας οἱ πονηροί; εἰ γὰρ καὶ κόλασιν προσδοκῶντες οὐκ ἀφίστανται τῆς πονηρίας, ἂν καὶ τὸν φόβον

A doloribus diſrumpitur: In his verò qui animas curant, non ita eſt (ex meipſo, niſi fallor, alios æſtimo) ſed prior ille dolorem percipit, qui dicit, cùm cæteros reprehendit. Non enim ita dolemus cùm ab aliis reprehendimur, quàm cùm alios ob peccata quibus ipſimet obnoxii ſumus, reprehendimus. Vultiſne intelligere quantum officium ſit, ſuorum reminiſci peccatorum? Cùm pecunias expendimus, continuò poſtquam è lecto ſurreximus, antequam in forum nos conferamus, aut ullum B ſive privatum ſive publicum aggrediamur negotium, famulo accerſito, rationes exigimos expenſarum; ut videamus, quidnam malè, quid vero rectè ſit expenſum, & quantum ſuperſit. Ac ſi parum ſupereſſe advertamus, omnibus modis lucri occaſiones comminiſcimur, ne incauti fame pereamus. Hoc igitur in noſtris quoque agamus negotiis: advocata conſcientia noſtra rationem ei conficiamus, verborum, actionum, cogitationum: examinemus, quid utiliter, quid veró cum no- C ſtro damno inſumptum ſit: quod verbum malè expenſum, in convitia, in turpiloquia, in contumelias: quæ cogitatio oculum ad laſciviam commoverit: quis ſermo cum noſtra pernicie in opus perductus ſit, ſive per manus, ſive per linguam, ſive per ipſos oculos: & operam demus, ut ab intempeſtivo illo impendio deſiſtamus: pro iis verò quæ ſemel malè expenſa ſunt, aliud reponamus lucrum: pro verbis ſcilicet temerè prolatis, preces, pro laſcivis obtutibus eleemoſynas, D jejunia. Si verò ineptè ſumptus facere, & nihil reponere velimus, neque bonum in theſauro nobis recondere, ad extremam redacti paupertatem, imprudentes in æternum ignis ſupplicium nos tranſmittemus. Quanto igitur melius eſt, temporariam compunctionem & luctum cum ſempiternis bonis, & voluptate finem non habente, commutare, quàm brevi hac & temporali vita riſu tranſacta, illuc perpetuò puniendum E abire? Si enim Paulus, (qui tantus & talis erat, qui veluti alatus univerſum orbem terrarum percurrit, & neceſſitatibus corporalibus ſuperior factus, atque arcana illa verba audire dignus habitus eſt, quæ huc uſque nemo audivit) ſcribens dixit, *Caſtigo corpus meum, & in ſervitutem redigo, ne fortè, cùm aliis prædicaverim, ipſe reprobus efficiar*, quid nos dicturi ſumus, qui peccatorum ſarcinis gravamur, & magnam præterea ſocordiam oſtendimus? Nunquid enim inducias ha- A bet hoc bellum? Semper ſobrium eſſe & vigilare, nec unquam ſecurum eſſe oportet, quoniam nec tempus inſidiarum noſtri adverſarii certum ac definitum eſt.

2.Cor.12. 4.

1.Cor.9. 27.

De futuro judicio,

B HOMILIA XXV.

MULTI homines ex iis, qui apud nos ſunt carni affixi, & præſentibus rebus ſervientes, nihil eſſe futura exiſtimant, & Dei clementiam prætendentes, nullam eſſe pœnam aut ſupplicium dicunt. Si igitur Deus eſt clemens, ut ſanè eſt, omnino etiam juſtus erit. Si verò juſtus, quomodo juſtum non fuerit, eum, qui innumeris jam inde ab initio affectus eſt bene- C ficus, deinde animadverſione digna admiſit, & neque minis, neque beneficentia factus eſt melior, puniri? Si enim Juſtitiam exquiras, ab initio potiùs & continuò ſecundùm Juſtitiæ rationem nos oportebat. Etenim benignitatem adhuc aliquam haberet, ſi hoc quoque paſſi eſſemus, quod factum non fuit. Si enim quis innocentem injuria afficiat, ſecundùm Juſtitiæ rationem, omnino dat pœnas: ſi verò quis benefactorem, qui nullum beneficium accepit, innumera verò præſtitit, & ſolus D cauſa, ut eſſemus, exiſtit, non injuria tantùm afficiat, ſed indies etiam ſuis factis contriſtet, qua venia talis dignus erit? Quomodo, dic mihi, non metuis, tam temeraria loqui, dum inquis, Benignus eſt Deus & non punit? At ſi puniverit, non jam benignus erga te invenietur. Quare enim dic mihi, puniri non vis, cum delinquis? Nonne omnia tibi prædixit? Nonne comminatus eſt? nonne tibi ſuccurrit? nonne innumerabilia pro ſalute tua præſtitit? Si igitur improbi non E puniuntur, alius fortè iterum dicet, nec probos coronari: & ubi clementia & juſtum Dei judicium? Nolite igitur voſipſos, ô homines, decipere, diabolo obſequentes. Illius enim cogitationes iſtæ ſunt. Si enim judices & domini ac magiſtri bonos quidem remunerantur, malos verò pœnis afficiunt, quomodo rationi conſentaneum fuerit apud Deum contraria fieri, atque iiſdem probos ac improbos dignos cenſeri? Quando verò etiam mali ab improbitate diſcedent? Cùm enim pœnam expectantes, à ſcelere non deſiſtant, ſi iſto quoque liberentur

Ex hom. quòd pœna ſit ſempiterna.

Ex hom. quòd omnes ante tribunal Christi ſtabunt.

timore, ac non ſolùm io gehennam non abjiciantur, ſed regnum quoque obtineant, ubi improbè & nequiter agentes ſtabunt? Audivi nonnullos, peccandi cupidos, dicentes, quòd ad hominum timorem Deus gehennam comminatus ſit, abſit enim, ajunt, ut qui miſericors eſt, pœnis aliquem afficiat, maximè ex iis, qui eum agnoſcunt. Dicite ergo mihi, qui Deum mendacem facitis, quis univerſum terrarum orbem temporibus Noë undis obruit, & immane illud naufragium molitus eſt, totiúſque generis noſtri internecionem effecit? Quis fulmina illa & igneos turbines terræ immiſit Sodomorum? Quis univerſam Ægyptum ſubmerſit? Quis ſexcenta illa millia in deſerto conſumpſit? Quis congregationem Abiron exuſſit? Quis terræ mandavit, ut os aperiret, & Core ac Datham deglutiret? Quis ſeptuaginta millia uno quaſi temporis momento tempore Davidis proſtravit? Quis centum illa octuaginta quinque millia in una nocte, ut eſt in prophetia Eſaiæ, interfecit? Quotidianas verò calamitates quot peccantes feramus, non vides? Quomodo igitur rationi conſentaneum fuerit, hos quidem puniri, hos verò non puniri? Si enim Deus injuſtus non ſit, ut revera injuſtus non eſt, omnino etiam tu pœnas dabis, qui peccas: Si verò Deus non punit, quia clemens eſt, ergo nec iſtos pœnis affici oportebat. Jam verò propter hæc verba veſtra, multos etiam in hac vita Deus punit, ut ſi verbis comminationis non credatis, ſaltem re ipſa illato ſupplicio fidem adhibeatis. Nunquid contradicentibus perſuademus ſermonem de gehenna non eſſe fabulam? Tam enim eſt verus, ut non ſolùm nos, ſed etiam Poetæ & Philoſophi & oratores de futura remuneratione diſſeruerint, & in inferno improbos pœnis affici dixerint. Quamvis enim hæc ita, ut revera ſunt, dicere non potuerint, ſolis quippe cogitationibus & iis quæ apud vos audiverunt, commoti, conjecturam tamen aliquam judicii acceperunt. Cocytos enim quoſdam commemorant, & Pyriphlegethontas fluvios, & Stygis aquas, ac Tartarum, tantum à terra diſtantes, quantum hæc à cœlo: multóſque ſupplicii modos: Ac rurſus Elyſium campum, & beatorum inſulas & florida prata, & magnam odoris ſuavitatem, leniterque ſpirantem auram: choros etiam ibi exercentes quoſdam, & candida amictos veſte, aliquos item cantantes hymnos: Et in univerſum, tam probis tum improbis repoſitam eſſe poſt diſceſſum ex hac vita, retributionem. Ne igitur gehennæ fidem abrogemus, ne in eam illabamur. Qui enim non credit, ſegnior fit: qui vero ſegnis eſt, prorſum in ipſam abibit: Sed & indubitanter credamus, & aſſiduè de ea colloquamur: & non facilè delinquemus. Ejuſmodi enim ſermonum memoria, veluti acerba quædam medicina omne vitium abſtergere valebit, ſi continuè animæ noſtræ inſederit. Si crudelis ſis & immiſericors, recordare virginum illarum quæ lampadibus ipſarum, eo quod oleum non haberent, extinctis, ſponſi thalamo excluſæ ſunt; & ſtatim benignus eſſe incipies. Si rapere volueris, audi judicem dicentem, *Ligatis manibus & pedibus ejus, mittite eum in tenebras exteriores*: & iſtam cupiditatem expelles. Si te inebriare cupias, audi divitem dicentem, *mitte Lazarum, ut extremo digito torridam meam refrigeret linguam*, petitionem tamen non impetrantem; & ſtatim ab hoc affectu ceſſabis. Si ignem improbæ libidinis ſentias, cogita illum ſupplicii ignem, & extinctus iſte recedet. Conſidera verò, etiamſi ignis non eſſet, quanta ſit pœna, à Deo repelli & ignominioſum abſcedere. Credite, malum hoc verbis explicari non poteſt. Si enim illi, qui lumen Solis non vident, vitam tolerant quavis morte acerbiorem, quid illo nos lumine privatos pati credendum? Quare verò etiam vivimus & ſpiramus & ſumus, ſi aſpectu illo non potituri ſimus; ſi tunc Dominum noſtrum videre nemo ſit nobis conceſſurus? Si ex illis, qui ingenuè educati ſunt, in carcerem quis conjectus, ſolum fœtorem, & in tenebris jacere, ac cum homicidis vinctum eſſe, quavis morte acerbius putat: cogita, quid futurum ſit, ſi cum totius orbis terrarum homicidis illic comburamur, nec videntes, nec aliis apparentes, ſed in tanta multitudine nos ſolos eſſe exiſtimantes? Nam tenebræ & obſcuritas ne proximos quidem nos cognoſcere permittunt, ſed ita quilibet affectus erit, ac ſi ſolus ipſe hoc ſuſtineret. Quamvis enim ignis dicatur, tenebroſus tamen eſt, & lucem non habens. Atque hoc eſt, quod maximè nos turbat & infeſtat, quòd & vehementer exurens non extinguatur, & lucem nullam habeat. Quòd ſi ſolæ tenebræ per ſe tantoperè animas noſtras vexant & conturbant, quid igitur erit, ſi cum tenebris & tanti ſint dolores, & incendia? Nec enim, cum gehennæ ignis appellatur, ſimilem huic ignem putes. Hic enim ſi quid arripuerit, comburit & ceſſat: ille verò ſemel apprehenſos perpetuò urit, & nunquam quieſcit. Atque idcirco etiam inextinctus vocatur.

Gen.19.24 Exod.14 Num.16.20. 2. Reg 24.15. Eſa.37.36. Matth 25.12. Matth 22.13. Luc.16,24. *Ex interp. Evang S. Ioan.* *Ex hom. Pacem ſequimini cum omnibus.* *Ex orat. 2. ad Theod. Lapſum.*

τοῦτον ἀποθῶνται, καὶ μὴ μόνον εἰς γέενναν μὴ ἐμπέσωσιν, ἀλλὰ καὶ βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι ἔσονται; ἀκήκοά τινων φιλαμαρτημόνων λεγόντων, ὅτι πρὸς φόβον τῶν ἀνθρώπων ἠπείλησε τὴν γέενναν ὁ Θεός· μὴ γένοιτο γὰρ ὅτι ἐλεήμων ὢν κολάσει τινὰ, καὶ μάλιστα τῶν ἐπεγνωκότων αὐτόν. λέγετε οὖν μοι οἱ ψεύστην τὸν Θεὸν ἀποφαίνοντες, τίς τὴν οἰκουμένην ἐπέκλυσεν ἅπασαν ἐπὶ τοῦ Νῶε, καὶ τὸ χαλεπὸν ἐκεῖνο ναυάγιον εἰργάσατο, καὶ τὴν παντὸς τοῦ γένους ἡμῶν πανωλεθρίαν ἐποίησε; τίς τοὺς κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; τίς τὴν Αἰγυπτίων ἅπασαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατηνάλωσε; τίς τὴν συναγωγὴν Ἀβειρὼν κατέφλεξε; τίς τοὺς περὶ Κορὲ καὶ Δαθὰν ἀνοῖξαι τῇ γῇ τὸ στόμα, καὶ καταπιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκεν ἐπὶ τοῦ Δαβίδ; τίς ὁ τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἐν μιᾷ νυκτὶ θανατώσας ἐπὶ τῆς προφητείας Ἠσαΐου; τὰς δὲ καθημερινὰς συμφορὰς οὐχ ὁρᾷς ὅσας φέρομεν ἁμαρτάνοντες; πῶς ἂν ἔχοι λόγον, τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; εἰ γὰρ οὐκ ἄδικος ὁ Θεὸς, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ δίκην δώσεις ἁμαρτάνων· εἰ δὲ ἐπειδὴ φιλάνθρωπός ἐστιν ὁ Θεὸς, οὐ κολάζει, οὐδὲ τούτους ἔδει κολασθῆναι. νυνὶ δὲ διὰ ταῦτα ὑμῶν τὰ ῥήματα, πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ Θεὸς, ἵνα ὅταν τοῖς ῥήμασι μὴ πιστεύσητε τῆς ἀπειλῆς, κἂν τοῖς πράγμασι πιστεύσητε τῆς τιμωρίας. ἆρα πείθομεν τοὺς ἀντιλέγοντας ὅτι οὐκ ἔστι μῦθος ὁ περὶ τῆς γεέννης λόγος; οὕτω γάρ ἐστιν ἀληθὴς, ὅτι οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ λογοποιοὶ, περὶ τῆς μελλούσης ἀνταποδόσεως ἐφιλοσόφησαν, καὶ ἐν ᾅδῃ κολάζεσθαι τοὺς πονηροὺς εἰρήκασι. εἰ γὰρ καὶ μετ' ἀληθείας, ὡς ἔχει ταῦτα, εἰπεῖν οὐκ ἠδυνήθησαν, ἅτε ἀπὸ λογισμῶν κινηθέντες, καὶ παρ' ἀκουσμάτων τῶν παρ' ἡμῖν, ἀλλ' ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον. Κωκυτοὺς γάρ φασί τινας καὶ Πυριφλεγέθοντας ποταμοὺς, καὶ Στυγὸς ὕδωρ καὶ Τάρταρα, τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὕτη τοῦ οὐρανοῦ, καὶ πολλοὺς κολάσεως τρόπους· καὶ πάλιν Ἠλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λειμῶνας εὐανθεῖς, καὶ εὐωδίαν πολλὴν, καὶ αὔρας λεπτάς· καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευκὴν περιβεβλημένους στολὴν, καὶ ᾄδοντας ὕμνους τινάς· καὶ ὅλως καὶ ἀγαθοῖς καὶ πονηροῖς ἀποκειμένην ἀντίδοσιν, μετὰ τὴν ἐντεῦθεν ἔξοδον. μὴ τοίνυν ἀπιστῶμεν γεέννῃ, ἵνα μὴ ἐμπέσωμεν εἰς αὐτήν. ὁ γὰρ ἀπιστῶν, ῥαθυμότερος γίνεται· ὁ δὲ ῥαθυμῶν, εἰς αὐτὴν ἀπελεύσεται πάντως. ἀλλὰ καὶ πιστεύωμεν ἀνενδοιάστως καὶ διαλεγώμεθα συνεχῶς περὶ αὐτῆς, καὶ οὐ ταχέως ἁμαρτησόμεθα. τῶν γὰρ τοιούτων λόγων ἡ μνήμη καθάπερ τι φάρμακον πικρὸν πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, συνεχῶς ἡμῶν ἐνιζάνουσα τῇ ψυχῇ. ἂν ὠμὸς καὶ ἀνελεήμων ᾖς, ἀναμνήσθητι τῶν παρθένων ἐκείνων, αἳ τῶν λαμπάδων αὐτῶν σβεσθεισῶν, διὰ τὸ μὴ ἔχειν ἔλαιον τοῦ νυμφῶνος ἐξέπεσον, καὶ ταχέως ἔσῃ φιλάνθρωπος. ἂν ἁρπάσαι βουληθῇς, ἄκουσον τοῦ δικαστοῦ λέγοντος, "δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον·" καὶ ταύτην ἐκβαλεῖς τὴν ἐπιθυμίαν. ἂν μεθύειν καὶ τρυφᾶν ἐπιθυμῇς, ἄκουσον τοῦ πλουσίου λέγοντος, "πέμψον Λάζαρον, ἵνα ἄκρῳ τοῦ δακτύλου καταψύξῃ τηγανιζομένην γλῶσσαν·" καὶ οὐ τυγχάνοντος τῆς αἰτήσεως· καὶ ταχέως ἀποστήσῃ τοῦ πάθους. ἂν πῦρ ἔχῃς ἐπιθυμίας πονηρᾶς, ἐννόησον τῆς κολάσεως ἐκείνης τὸ πῦρ, καὶ οὗτος κατασβεσθεὶς οἰχήσεται. σκόπει δὲ εἰ καὶ πῦρ μὴ ἦν, τὸ ἐκ τοῦ Θεοῦ ἀπωσθῆναι καὶ ἄτιμον ἀναχωρῆσαι, πόση κόλασις. πιστεύσατε παραστῆσαι λόγῳ τὸ πάθος οὐκ ἔστιν. εἰ γὰρ οἱ τὸ φῶς τὸ ἡλιακὸν μὴ θεώμενοι παντὸς πικρότερον θανάτου ὑπομένουσι ζωὴν, τί παθεῖν εἰκὸς ἡμᾶς ἀποστερηθέντας τοῦ φωτὸς ἐκείνου; τί δὲ καὶ ζῶμεν καὶ ἀναπνέομεν, καὶ ἐσμὲν, ἂν τῆς θεωρίας ἀποτυγχάνωμεν ἐκείνης· ἂν τὸν δεσπότην τὸν ἡμέτερον μηδεὶς ἡμῶν τότε συγχωρηθῇ θεάσασθαι; εἰ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν εὐγενῶς τεθραμμένων, τὴν δυσωδίαν μόνον, καὶ τὸ ἐν σκότῳ κεῖσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι, παντὸς θανάτου χαλεπώτερον εἶναι δοκεῖ· ἐννόησον τί ἔσται ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων ἐκεῖ καιώμεθα, μήτε ὁρῶντες, μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. τὸ γὰρ σκότος καὶ τὸ ἀλαμπὲς οὐκ ἀφίησιν, οὐδὲ τοὺς πλησίον ἡμᾶς διαγινώσκειν, ἀλλ' ὡς μόνος οὕτω πάσχων ἕκαστος, οὕτω διακείσεται. εἰ γὰρ καὶ πῦρ εἴρηται, ἀλλὰ σκοτεινόν ἐστι καὶ φῶς οὐκ ἔχον. καὶ τοῦτό ἐστι τὸ μάλιστα θορυβοῦν ἡμᾶς καὶ ταράττον, ὅτι καὶ σφοδρῶς ἐκκαιόμενον οὔτε σβέννυται, καὶ φῶς οὐκ ἔχει. εἰ δὲ σκότος, μόνον οὕτω θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ; τί ἔσται ἄρα ὅταν μετὰ τοῦ σκότους καὶ ὀδύναι τοσαῦται ὦσι καὶ ἐμπρησμοί; μὴ γὰρ ἐπειδὴ πῦρ ἡ γέεννα λέγεται, τοιοῦτον εἶναι νομίσῃς τὸ πῦρ. τοῦτο μὲν γὰρ ὅπερ ἂν λάβῃ κατέκαυσε καὶ ἀπήλλαξεν· ἐκεῖνο δὲ τοὺς ἅπαξ καταληφθέντας καίει διαπαντὸς, καὶ οὐδέποτε παύεται. διό τι οὗτο καὶ ἄσβεστον εἴρηται.

καὶ

καὶ γὰρ τοὺς ἡμαρτηκότας ἀφθαρσίαν ἐνδύσαι θέλει, οὐ πρὸς τιμὴν, ἀλλ' ὥστε διηνεκὲς ἐφόδιον τῆς τιμωρίας ἔχειν ἐκείνης. ἀλλὰ ταῦτα μὲν ἐν τῇ γεέννῃ, καὶ τὰ τούτων πικρότερα. ἡ δὲ τῶν ἀγαθῶν ἀποτυχία τοσαύτην ἔχει τὴν ὀδύνην, τοσαύτην τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν, ὡς εἰ καὶ μηδεμία τιμωρία τοῖς ἐνταῦθα ἁμαρτάνουσιν ἀπέκειτο, αὐτὴν καθ' ἑαυτὴν ἀρκέσαι τῶν ἐν τῇ γεέννῃ βασανιστηρίων πικρότερον δάκνειν, καὶ συνταράσσειν τὰς ἡμετέρας ψυχάς. οἱ δὲ εἰς δεσμωτήριον εἰσιόντες καὶ τοὺς μὲν αὐχμῶντας ὁρῶντες, τοὺς δὲ σιδηραῖς ἁλύσεσι δεδεμένους, τοὺς δὲ σκότῳ κατακεκλεισμένους, κατακλώμεθα, φρίττομεν, πάντα πράττομεν, ὑπὲρ τοῦ μὴ ἐμπεσεῖν εἰς τοιαύτην ἀνάγκην καὶ θλῖψιν, ὅταν ἡμεῖς αὐτοὶ ἀπαγώμεθα εἰς αὐτὰ τὰ τῆς γεέννης βασανιστήρια δεδεμένοι, τίνες ἐσόμεθα, τί δὲ πράξομεν; οὐ γὰρ ἐκ σιδήρου τὰ δεσμὰ ἐκεῖνα, ἀλλ' ἀπὸ πυρὸς οὐδέποτε σβεννυμένου· οὐδὲ ὁμότιμοί τινες οἱ ἐφεστῶτες ἡμῖν, οὓς καὶ ἐκμειλίξασθαι πολλάκις ἔνι, ἀλλ' ἄγγελοι πονηροὶ καὶ ἀσυμπαθεῖς, οἷς οὐδὲ ἀντιβλέψαι δυνατὸν, σφοδρῶς ὑπὲρ ὧν τὸν δεσπότην ὑβρίσαμεν, ὀργιζομένοις. οὐκ ἔστι καθάπερ ἐνταῦθα, τοὺς μὲν ἀργύριον, τοὺς δὲ τροφὰς, τοὺς δὲ λόγους εἰσάγοντας παρακλητικοὺς ἰδεῖν καὶ παραμυθίας τυχεῖν, ἀλλὰ πάντα ἐκεῖ ἀσύγγνωστα· κἂν Νῶε ᾖ, κἂν Ἰὼβ, κἂν Δανιὴλ, καὶ τοὺς οἰκείους ἴδωσι κολαζομένους, οὐ τολμῶσι παραστῆναι καὶ χεῖρα ὀρέξαι. καὶ γὰρ τὴν ἐκ φύσεως συμπάθειαν ἀναιρεῖσθαι τότε συμβαίνει. ἐπειδὴ γὰρ εὑρίσκονται δίκαιοι τέκνων ἁμαρτωλῶν πατέρες, καὶ παῖδες ἀγαθοὶ γονέων πονηρῶν, δεῖ δὲ καθαρὰν αὐτοῖς εἶναι εὐφροσύνην, καὶ μὴ τῇ συμπαθείας ἀνάγκῃ κατακλᾶσθαι τούτους ἀπολαύοντας τῶν ἀγαθῶν ἐκείνων, καὶ ταύτην σβέννυσθαί φημι, καὶ αὐτοὺς συναγανακτεῖν τῷ δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. τοιγαροῦν μηδεὶς ἐλπιζέτω χρηστὰ, μὴ ἐργασάμενός τι χρηστὸν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. ὅταν γὰρ τὸν δοθέντα ἡμῖν χρόνον ἀναλώσωμεν εἰς οὐδὲν δέον, ἀπελευσόμεθα πάντες ἐκεῖ, τῆς ἀκαίρου δαπάνης δίκην δώσοντες τὴν ἐσχάτην. εἰ γὰρ ὁ χρήματα ἐμπορεύσασθαι λαβὼν, εἶτα καταφαγὼν, ἀπαιτηθήσεται παρὰ τοῦ πιστεύσαντος, καὶ δώσει δίκην, ὁ ζωὴν ταύτην δαπανήσας μάτην, πόσῳ μᾶλλον; καὶ καθάπερ ἡμεῖς τοὺς οἰκέτας τοὺς ἡμετέρους, οὐχὶ τῆς ἐξόδου μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς εἰσόδου ποιούμενοι τὸν λόγον ἐξετάζομεν, πόθεν καὶ πόσα καὶ παρὰ τίνων, καὶ πῶς ὑπεδέξατο τὰ χρήματα· οὕτω δὴ καὶ ὁ Θεὸς, καὶ τῆς δαπάνης, καὶ τῆς κτήσεως ἀπαιτεῖ τὰς εὐθύνας, καὶ πλουσίῳ καὶ πένητι. τῷ μὲν πλουσίῳ πότερον ἐκ δικαίων πόρων, ἢ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας τὸν πλοῦτον συνέλεξε· πότερον εἰς πορνείας ἢ εἰς πένητας τὰ χρήματα κατηνάλωσε· πότερον εἰς τρυφὴν, καὶ ἀσωτίαν, καὶ μέθην, ἢ εἰς τὴν τῶν ἐπηρεαζομένων βοήθειαν. τῷ δὲ πένητι, εἰ γενναίως καὶ εὐχαρίστως τὴν πενίαν ἤνεγκεν· εἰ μὴ ἀπεδυσπέτησεν, εἰ μὴ ἐδυσχέρανεν, εἰ μὴ κατηγόρησε τῆς τοῦ Θεοῦ προνοίας, ἑαυτὸν μὲν ἐν ἐνδείᾳ ὑπάρχοντα ὁρῶν, ἕτερον δὲ τρυφῶντα, καὶ μηκέτι τοῦ [illegible]. οὐ πλούσιοι δὲ καὶ πένητες μόνον, ἀλλὰ καὶ ἄρχοντες καὶ δικασταὶ μετὰ πολλῆς ἐξετάζονται τῆς ἀκριβείας· εἰ διέφθειραν τὸ δίκαιον, εἰ πρὸς χάριν, ἢ πρὸς ἀπέχθειαν ἐψηφίσαντο τοῖς δικαζομένοις· εἰ κολακευθέντες ἔδωκαν παρὰ τὸ δέον τὴν ψῆφον. ὅσῳ γὰρ ἕκαστος πρὸς μείζονα ὄγκον ἀρχῆς ἀναβέβηκε, τοσούτῳ καὶ πλείονα ἀπαιτηθήσεται λόγον. καὶ αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδέν. πρὶν ἢ γὰρ τελεσθῆναι τὰ τῆς ἁμαρτίας, σβέννυται τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις πέρας οὐκ ἔχουσι. καὶ τὸ μὲν ἡδὺ πρὸς ὀλίγον, τὸ δὲ ἀνιαρὸν αἰώνιον. διὰ δὴ τοῦτο περὶ γεέννης συνεχῶς ἡμῖν ὁ Θεὸς διαλέγεται, ἵνα πολύ τι καρπωσώμεθα ἀπὸ τῆς ἀπειλῆς καὶ τοῦ φόβου. εἰ γὰρ μέλλων ἐμβάλλειν εἰς αὐτὴν τοὺς ἁμαρτάνοντας, μὴ προεῖπε ταύτης τὴν ἀπειλὴν, πολλοὶ ἐνέπεσον ἂν εἰς αὐτήν. εἰ γὰρ νῦν τοῦ φόβου κατασείοντος ἡμῶν τὰς ψυχὰς, εἰσί τινες οἱ οὕτω ῥᾳδίως ἁμαρτάνοντες, ὡς οὐδὲ οὔσης αὐτῆς· εἰ μηδὲν τούτων εἴρητο, μηδὲ ἠπείλητο, τί οὐκ ἂν εἰργασάμεθα δεινόν; ὥστε οὐκ ὠμότητος τὸ πρᾶγμα, ἀλλ' ἐλέους μᾶλλον, καὶ φιλανθρωπίας ἐστί. καὶ γὰρ εἰ μὴ ἠπειλήθη καταστροφὴ ἐπὶ Ἰωνᾶ, οὐκ ἂν ἐκωλύθη ἡ καταστροφή. εἰ μὴ εἶπεν ὅτι καταστραφήσεται Νινευΐ, οὐκ ἂν ἔστη Νινευΐ. καὶ εἰ μὴ ἠπειλήθη γέεννα, ἅπαντες ἂν εἰς γέενναν ἐνεπέσομεν. εἰ γὰρ μηδὲν ἔμελε τῷ Θεῷ, μήτε ἁμαρτανόντων ἡμῶν μήτε κατορθούντων, ἴσως εἶχέ τινα λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν. εἰ δὲ τοσαύτην σπουδὴν ποιεῖται, ὥστε μὴ ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται ὥστε κατορθοῦν ἡμᾶς τὰς ἐντολὰς, εὔδηλον ὅτι καὶ ἁμαρτάνοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ. ἀλλὰ σκόπει μοι τῶν πολλῶν τὴν ἀνωμαλίαν. ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι τῷ Θεῷ ὅτι μακροθυμεῖ πολλάκις καὶ περιορᾷ πολλοὺς μιαροὺς, ἀσελγεῖς, πλεονέκτας, μὴ διδόντας δίκην· ἐκεῖ δὲ πάλιν ἐὰν ἀπειλήσῃ κολάζειν αὐτοὺς, σφοδροὶ καὶ βαρεῖς εἰσιν αἰτιώμενοι· καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέχεσθαι καὶ θαυμάζειν ἐχρῆν, ἀλλ' ὢ τῆς ἀνοίας, ὢ τῆς φιλαμαρτήμονος καὶ φιληδόνου ψυχῆς,

ΕΙΣΙ τινὲς τῶν ἐνταῦθα τῆς ἀρετῆς ἐπιμελούμενοι, καὶ τὴν ἀπὸ τῆς πόλεως ἀναχώρησιν προτιμώμενοι, οἱ τὰ ὄρη καταλαμβάνουσι. κἂν ἐρωτᾷ τις τῆς ἀναχωρήσεως τὴν αἰτίαν, εὑρίσκει πρόφασιν, συγγνώμης οὐκ ἔχουσαν. ἵνα γὰρ μὴ παραπόλωμαι, φησὶ, μηδὲ ἀμβλύτερος γένωμαι τὴν ἀρετὴν, ἀποπηδῶ. καὶ πόσῳ βέλτιον ἀμβλύτερόν σε γενέσθαι, καὶ τοὺς ἄλλους κερδᾶναι, ἢ μένοντα ἐν ὕψει περιορᾶν ἀπολλυμένους τοὺς ἀδελφούς; ὅταν οὖν οἱ μὲν ἀρετῆς ἀμελῶσιν, οἱ δὲ ἐπιμελούμενοι πόῤῥω τῆς παρατάξεως γίνωνται, πῶς αἱρήσομεν τοὺς ἐχθρούς; εἰ γὰρ καὶ σημεῖα ἦν νῦν, τίς ἂν * ἐπεστήχθη, ἢ τίς προσέσχεν ἡμῖν τῶν ἔξωθεν, τῆς κακίας οὕτως ἐπιπολαζούσης; καὶ γὰρ ὁ ὀρθὸς βίος ἡμῶν ἀξιοπιστότερος τοῖς πολλοῖς εἶναι δοκεῖ. σημεῖα μὲν γὰρ παρὰ τῶν ἀναισχύντων καὶ πονηρῶν ἀνθρώπων, καὶ ὑπόνοιαν δέξεται πονηράν· βίος δὲ καθαρὸς, καὶ αὐτοῦ τοῦ διαβόλου τὸ στόμα, μετὰ πολλῆς τῆς περιουσίας ἐμφράξαι δυνήσεται. εἰ τοίνυν τὸ εἶναι ἐν τῇ γῇ καὶ μὴ εἶναι, τρόπῳ καὶ προαιρέσει γίνεται· ἔξεστι δὲ μὴ εἶναι ἐν τῇ γῇ τὸν βουλόμενον, ὡς τοὺς περὶ τὸν Παῦλον, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς, καὶ πρὸς τὸν οὐρανὸν ἀνέλθωμεν. οὐδὲν γάρ ἐστι τὸ κωλῦον ἡμᾶς πάντας ὑπερβαλέσθαι, εἴγε βουλοίμεθα. εἰ γὰρ τέχνας οὕτω κατορθοῦμεν ὑπερβαινούσας τοὺς πολλοὺς, πολλῷ μᾶλλον ὃ μὴ τοσούτου δεῖται πόνου; τί γὰρ, εἰπέ μοι, χαλεπώτερον τοῦ διὰ σχοινίου τεταμένης βαδίζειν καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω περιπατοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλίνης καθήμενον; τί δὲ, εἰπέ μοι, χαλεπώτερον, τοῦ κοντὸν ἐπὶ τοῦ μετώπου λαβεῖν, εἶτα ἐπιβιβάσαι ἄνω παιδίον, μυρία ποιεῖν, καὶ τέρπειν τοὺς θεατάς; οὐχὶ οὕτω φρικτὸν ἡμῖν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς μηδὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν καὶ πρὸς τὴν ὄψιν αὐτήν; ἀλλὰ πάντων τούτων εὐκολωτέρα ἡ ἀρετὴ, ἐὰν βουλώμεθα καὶ εἰς τὸν οὐρανὸν ἀναβῆναι. καὶ μή μοι λέγε, θέλω ἀλλ' οὐ δύναμαι. εἰ γὰρ πράγματος τινὸς ἐντὸς γενέσθαι βουλόμενοι, οὐχὶ τὸ θελῆσαι μόνον ἀρκούμεθα, ἀλλὰ καὶ τοῦ πράγματος ἁπτόμεθα, πολλῷ μᾶλλον οἱ εἰς τὸν οὐρανὸν ἀνελθεῖν βουλόμενοι τῆς πρακτικῆς ἀρετῆς δεησόμεθα. εἰ δὲ βούλει μαθεῖν, ὡς οὐκ ἔστιν ἐπίπονος ἡ ἀρετὴ, οὐδὲ δυσκατόρθωτος, ἐννόησόν μοι τοὺς ἐν τοῖς ὄρεσιν ἡσυχάζοντας· οἱ καὶ οἰκίας ἀφιᾶσι, καὶ γυναῖκας, καὶ παῖδας, καὶ προστασίαν ἅπασαν, καὶ ἐκτὸς ἑαυτοὺς τοῦ κόσμου ποιήσαντες, σάκκον περιθέμενοι, σποδὸν ὑποστρωσάμενοι, κλοιὸν τὸν τράχηλον ἐξαρτήσαντες, ἐν οἰκίσκῳ μικρῷ κατακλείσαντες ἑαυτοὺς, οὐδὲ μέχρι τούτου ἵστανται, ἀλλὰ νηστείαις καὶ λιμῷ διηνεκεῖ κατατείνουσιν ἑαυτούς. καὶ μή μοι εἴπῃς ὅτι ἐκεῖνοι ἠδυνήθησαν· πολλοὶ γὰρ πολλῷ ἀσθενέστεροί σου, καὶ πλουσιώτεροι, καὶ τρυφερώτεροι τὸν σκληρὸν ἐκεῖνον καὶ τραχὺν ἀνεδέξαντο βίον. ἀλλὰ μέγας ἐκεῖνος ὁ ἀγὼν καὶ ὑψηλὸς ὁ σκόπελος καὶ ἐγγὺς τοῦ οὐρανοῦ ἡ κορυφή· καὶ οὐ δύνασαι φθάσαι πρὸς τὸ μέγα; οὐκοῦν κἂν τὴν ἐλάττονα ἔχε, καὶ τῶν κατωτέρων ἐφίεσο. οὐ δύνασαι κενῶσαι τὰ χρήματα; κἂν τὰ τῶν ἄλλων μὴ ἅρπαζε· οὐ δύνασαι νηστεῦσαι, κἂν μὴ εἰς τρυφὴν σαυτὸν ἐξαγάγῃς. τοσαῦτα γὰρ παθόντος τοῦ Χριστοῦ δι' ἡμᾶς ἐχθροὺς ὄντας, τί δυνάμεθα ἐπιδεῖξαι ἡμεῖς, ὧν δι' αὐτὸν πεπόνθαμεν; οὐδέν. πόθεν οὖν ἡμῖν παῤῥησία ἔσται κατ' ἐκείνην τὴν ἡμέραν; οὐκ ἴστε ὅτι καὶ ὁ στρατιώτης, ὅταν τραύματα καὶ πληγὰς ἐπιδείκνυται, τότε δυνήσεται λαμπρὸς εἶναι παρὰ τῷ βασιλεῖ· ἂν δὲ μὴ ἔχῃ δεῖξαι κατόρθωμα, κἂν μηδὲν ᾖ προδεδωκὼς, ἐν τοῖς ἐσχάτοις ταχθήσεται; ἀλλ' οὐκ ἔστι πολέμου καιρὸς, φησί. εἰ γὰρ ἦν, εἰπέ μοι, τίς ἂν ἠγωνίσατο; τίς ἂν ἐπεπήδησε; τίς ἂν τὴν φάλαγγα διέῤῥηξε; τάχα οὐδείς. ὅταν γὰρ ἴδω ὅτι οὐδὲ χρημάτων καταφρονεῖς ἕνεκεν τοῦ Χριστοῦ, πῶς σοι πιστεύω ὅτι πληγῶν καταφρονήσεις; εἶπεν, φέρετε τοὺς ὑβρίζοντας γενναίως, καὶ εὐλογεῖτε· καὶ τοῦτο οὐ ποιεῖς, καὶ πληγὰς οὐκ οἴσεις, εἰπέ μοι, ἔνθα πολὺ τὸ τῆς ὀδύνης καὶ τῆς ἀλγηδόνος; μὴ τοίνυν ἑαυτοὺς ἀπατῶμεν, λέγοντες, ὅτι τέως μὲν ἀπολαύσωμεν τῶν ἡδέων τοῦ βίου, ὕστερον δὲ ὀλίγον χρόνον πονήσαντες, τοῦ παντὸς χρόνου ληψόμεθα τὸν μισθόν. εἰ γὰρ τὸν ἐπὶ γῆς βασιλέα μετὰ τὸ πολλοὺς μὲν ὑπομεῖναι κινδύνους, πολλοὺς δὲ ἀνύσαι πολέμους, μόλις τις ὁρᾶται μετὰ παῤῥησίας, πῶς τὸν οὐράνιον δυνήσεταί τις τὸν ἅπαντα χρόνον ἑτέρῳ ζήσας καὶ στρατευσάμενος; ἔλαβες εὐγένειαν παρὰ τοῦ Θεοῦ· τί προδίδως τὴν ἀρετὴν τῆς φύσεως; τί ποιεῖς, εἰπέ μοι; ἕτεροι τέχνας ἔχουσι τὰ ἄλογα κατὰ τὸ ἐγχωροῦν εἰς ἀνθρώπων εὐγένειαν μετατιθέναι, ψιττακοὺς καὶ κίττας παιδεύοντες φωνῇ ἀνθρωπίνῃ φθέγγεσθαι· καὶ τῇ τέχνῃ τὴν φύσιν βιάζονται· λέοντας ἡμέρους ἐργάζονται διὰ τῆς ἀγορᾶς ἕλ-

κοντες

ποιεῖς. τὸν λέοντα ἥμερον ποιεῖς, καὶ σαυτὸν λύκων ἀγριώτερον καθιστᾷς; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι τῶν μὲν ἀλόγων ἕκαστον ἓν ἐλάττωμα ἔχει, ἐπὶ δὲ ἀνθρώπου πονηροῦ, οὐκ ἔστιν οὕτω. οὐδὲ γὰρ ἓν ἐλάττωμα πολλάκις κέκτηται ἄνθρωπος, ἀλλὰ καὶ τὰς τῶν πολλῶν ἀλόγων κακίας, εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν. μή μοι οὖν δείξῃς ὅτι ψυχὴν ἀνθρώπου ἔχεις, ἀλλ' εἰ τὸ φρόνημα ἄνθρωπος, ἄρχων εἶ τῶν ἀλόγων, καὶ γέγονας τῶν ἀλόγων παθῶν δοῦλος; πῶς οὖν σε καλέσω ἄνθρωπον, ὃς οὐκ ἔχεις τῆς βασιλείας τὸ σύνθημα; B ἐννόησον κατὰ τίνος εἰκόνα ἐγένου, καὶ μὴ κατενεχθῇς εἰς τὴν τῶν ἀλόγων εὐτέλειαν. καθάπερ γὰρ ἐν τοῖς θεάτροις οἱ τὴν σχοῖνον τὴν κάτωθεν ἄνω τεταμένην ἀναβαίνειν καὶ καταβαίνειν μελετῶντες, ἂν μικρὸν παραβλέψωσι παρατραπέντες, κατενεχθήσονται κάτω καὶ ἀπολοῦνται· οὕτω καὶ οἱ τὴν πνευματικὴν ὁδεύοντες ὁδόν, ἂν μικρὸν ῥᾳθυμήσωσι, κατακρημνίζονται. καὶ γὰρ ἐκείνης τῆς σχοίνου ἡ ὁδὸς αὕτη καὶ στενοτέρα, καὶ ὀρθία καὶ * προσάντης μᾶλλόν ἐστι, καὶ ὑψηλοτέρα πολλῷ· C πρὸς γὰρ αὐτὸν ἄνω τελευτᾷ τὸν οὐρανόν· καὶ τότε ἡμῖν σφαλερώτερα ἔσται τὰ βήματα, ὅταν ἄνω καὶ πρὸς αὐτῇ γενώμεθα τῇ κορυφῇ. τοὺς γὰρ ἐφ' ὕψους ἑστῶτας πολὺς ὁ τρόμος, καὶ μία μόνον ἀσφάλεια λείπεται, τὸ μὴ κατακύψαι κάτω, μηδὲ εἰς τὴν γῆν ἰδεῖν. καὶ γὰρ πολὺς ἐντεῦθεν καὶ χαλεπὸς ὁ σκοτόδινος γίνεται. καὶ ὥσπερ ἐπὶ τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἀπὸ μιᾶς νευρᾶς τὴν μελῳδίαν ἐργάσασθαι, ἀλλὰ πάσας ἐπιέναι δεῖ μετὰ ῥυθμοῦ τοῦ προσήκοντος, οὕτω καὶ ἐπὶ D τῆς κατὰ ψυχὴν ἀρετῆς οὐκ ἀρκεῖ ἡμῖν νόμος εἷς εἰς σωτηρίαν, ἀλλὰ δεῖ πάντας μετὰ ἀκριβείας φυλάττειν. τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν τις εὔχηται μὲν ἐκτενῶς, μὴ ἐλεῇ δὲ δαψιλῶς· ἢ ὅταν ἐλεῇ μὲν δαψιλῶς, πλεονεκτῇ δὲ καὶ βιαζόμενος; ἢ ὅταν μὲν μὴ πλεονεκτῶν μηδὲ βιαζόμενος, πρὸς ἐπίδειξιν δὲ ἀνθρώπων καὶ φιλοτιμίαν τῶν ὁρώντων· ἢ ὅταν ἐλεῇ μὲν μετὰ πάσης ἀκριβείας, καὶ πρὸς τὸ τῷ Θεῷ E δοκοῦν, ἐπαίρηται δὲ αὐτῷ τούτῳ καὶ μέγα φρονεῖ· ἢ ὅταν ταπεινὸς μὲν ᾖ καὶ νηστείαις προσέχων, φιλάργυρος δὲ καὶ ἐμπορικὸς καὶ τῇ γῇ προσηλωμένος, καὶ τὴν μητέρα τῶν κακῶν ἐπεισάγων τῇ ψυχῇ τὴν φιλαργυρίαν. οὐκ ἔστι γάρ, φησί, Θεῷ δουλεύειν καὶ Μαμωνᾷ. διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς οὕτως ᾠκονόμησε κατὰ ταυτὸν ἅπαντας εἶναι, καὶ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθοὺς ἀναμεμῖχθαι, ἵνα καὶ τῶν πονηρῶν ἡ κακία ἐκκόπτηται, καὶ τῶν ἀγαθῶν ἡ ἀρετὴ λαμπροτέρα δείκνυται· καὶ A τὰ μέγιστα κερδαίνωσιν οἱ ῥᾴθυμοι ἐθέλοντες, ἀπὸ τῆς τῶν σπουδαίων συνουσίας. ὥσπερ γὰρ οἱ καλοὶ καὶ ἀγαθοὶ διπλῆς ἄξιοι τιμῆς, ὅτι καὶ χρηστοὶ γεγόνασι, καὶ οὐδὲν παρὰ τῶν πονηρῶν ἐβλάβησαν· οὕτω καὶ οἱ φαῦλοι διπλῆς ἄξιοι κολάσεως, ὅτι τε πονηροὶ γεγόνασι δυνάμενοι γενέσθαι καλοί, καὶ ὅλως οὐδὲν ἀπὸ τῶν ἀγαθῶν ἐκέρδανον· καὶ ὥσπερ τοὺς ἀγαθοὺς οὐχ οἱ ἀγαθοὶ μόνον ἀλλὰ καὶ οἱ πονηροὶ θαυμάζουσιν, οὕτω καὶ τοὺς κακοὺς οὐχ οἱ χρηστοὶ μόνον, ἀλλὰ καὶ οἱ φαῦλοι μισοῦσιν. ἀλλ' οἱ πολλοὶ τοὺς πονη- B ροὺς θαυμάζουσιν, ὡς ἱκανοὺς ὄντας ἀδικεῖν καὶ βλάπτειν, οὐκ εἰδότες ὅτι μάλιστα πάντων αὐτοὺς ταλανίζειν ἐχρῆν, ὅτι νομίζοντες ἑτέρους βλάπτειν καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦσιν· ὅπερ ἀνοίας ἐστὶν ἐσχάτης, ἑαυτὸν πλήττοντα, μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ἀλλὰ ἕτερον δοκεῖν ἀδικεῖν, ἐν τῷ κατασφάττειν ἑαυτόν. οὐ γὰρ τὸ ἀδικεῖσθαι κακόν, ἀλλὰ τὸ ἀδικεῖν, καὶ εἰδέναι φέρειν ἀδικούμενον. πόσα γὰρ ἠδικήθη ὁ Δαβίδ; πόσα δὲ ἠδίκει ὁ Σαούλ; τίς οὖν γέγονεν ἀθλιώτερος καὶ ἐλεεινότερος, τίς C δὲ λαμπρότερος καὶ μακαριώτερος; οὐχ ὁ μὲν ἀπεπνίγετο ὑπὸ τῆς ἀθυμίας καὶ τοῦ πονηροῦ δαίμονος, ὁ δὲ ὑπὲρ τὸν ἥλιον ἔλαμπε τοῖς τροπαίοις, καὶ τῇ πρὸς Θεὸν εὐνοίᾳ; οὐχ ὁ μὲν ἀπηγχονίζετο τῷ φθόνῳ, ὁ δὲ σιγῇ πάντα φέρων, ἅπαντας εἷλε καὶ ἑαυτῷ προσεδήσατο; ἐπειδὴ δὲ ὁ μὲν ἀνελεῖν ἐπεχείρει πολλάκις, ὁ δὲ διωκόμενος, τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε, καὶ λαμβάνων ἐφείδετο; τίς ἀσθενέστερος, τίς δὲ ἀδυνατώτερος δείκνυται; οὐχ οὗτος ὁ μηδὲ δικαίως ἐπεξελθών; καὶ μά- D λα εἰκότως. ὁ μὲν γὰρ στρατιώτας ὡπλισμένους, ὁ δὲ τὴν δικαιοσύνην, τῶν μυρίων στρατοπέδων ἰσχυροτέραν εἶχε σύμμαχον καὶ βοηθόν. ὅτε δὲ αὐτὸς οὗτος ὁ ἀδικηθεὶς καὶ ἰσχύσας ἠδίκησεν ὕστερον, ὅρα πῶς ἀσθενέστερος γίνεται. ἠδίκησε τὸν Οὐρίαν, καὶ μετέστη πάλιν ἡ τάξις· καὶ ἡ μὲν ἀσθένεια πρὸς τὸν ἀδικήσαντα, ἡ δὲ δύναμις πρὸς τὸν ἀδικηθέντα διέβη· καὶ νεκρὸς ὤν, ἐπόρθει τὴν οἰκίαν τὴν ἐκείνου. καὶ αὐτὸς μὲν βασιλεὺς ὢν καὶ ζῶν οὐδὲν ἴσχυσεν· ἐκεῖνος δὲ στρατιώτης ὢν καὶ σφαγείς, πάντα E τὰ ἐκείνου ἄνω καὶ κάτω πεποίηκεν. ὅταν οὖν ἴδῃς τινὰ ὀρθῶς ζῶντα καὶ ἀεὶ πρὸς εὐσέβειαν βλέποντα, κἂν μυρίαις ἁλύσεσι περίκειται, κἂν δεσμωτήριον οἰκῇ διαπαντός, κἂν ἀναξίοις δουλεύῃ, κἂν πένηται, κἂν ἐξορίζηται, κἂν καίηται, κἂν κατὰ μικρὸν δαπανᾶται τὸ σῶμα, κἂν ὁτιοῦν πάσχῃ δεινόν, μακάριζε τὸν τοιοῦτον, καὶ ζηλωτὸν εἶναι νόμιζε. ὅταν δὲ ἴδῃς ἕτερον ἐν ἀσελγείᾳ καὶ πονηρίᾳ καὶ τοῖς ἐσχάτοις ζῶντα κακοῖς, καὶ πολλῆς ἀπολαύοντα τιμῆς, ἐπὶ τὸν θρόνον αὐτὸν ἀναβαίνοντα τὸν βασιλικόν, καὶ διάδημα περικείμενον καὶ ἁλουργίδα ἔχοντα,

A trahentes. Manſuetum igitur reddis leonem & teipſum lupis ferociorem efficis? Quod verò ægriùs ferendum, beſtiarum unaquæque vitium habet unum; in homine verò improbo haud ita eſt. Neque enim uno ſæpius vitio laborat, ſed multarum ſimul belluarum vitia in animam ſuam congerit. Ne igitur mihi perſuadeas, humanam tibi eſſe animam, niſi, quod hominis eſt, ſapias. Tú ne belluarum cum ſis dominus, belluarum cupiditatibus ſervies? Quomodo igitur hominem ego B te appellem, qui nulla regis inſignia teneas? Veniat tibi in mentem, ad cujus imaginem factus ſis; & ad beſtiarum vilitatem non facilè te abjicies. Ut enim in theatris, qui per funem ſurſum extentum ſcandere & deſcendere exercent, ſi parum oculis aberraverint, præcipites deorſum ruunt & pereunt; ità qui per ſpiritualem pergunt viam, ſi brevi tempore deſidiæ ac inertiæ ſe dederint, præcipites aguntur. Etenim fune illo hæc via multo eſt anguſtior, & erecta magis atque ardua, multó- C que ſublimior: ad ipſum enim ſummum cœlum pertingit: & cum ad ſupremum illud faſtigium pervenerimus, tum verò nobis gradus incertior. Quippe in ſublimi ſtantes multus circumdat horror, atque una hæc illis ſecuritas reſtat, ut ne deorsùm oculos flectant, neque terram reſpiciant: magna ſiquidem & gravis hinc oritur vertigo. Et ſicuti in cithara, non unius tantùm fidis excitaſſe melodiam ſatis eſt, ſed omnes pari quodam numero percurrendæ: ſic in virtute animi non una tantùm lex D nobis ad ſalutem ſufficit, ſed omnes exactè obſervandæ ſunt. Quid enim, obſecro te, quid prodeſt prolixius orare, non tamen largè miſereri? aut largè quidem miſereri, ſed interim avarè agere & vim inferre? aut non avarè quidem & violenter agere, ad hominum tamen oſtentationem, & ambitionem ſpectantium facere? vel etiam miſericordia quidem alios proſequi, idque omni diligentia & pro voluntate Dei, ſed hoc ipſo fidenter E inniti, & animos tollere? vel denique humilem præſtare ſe, & impenſiùs vacare jejuniis; avarum interim eſſe, negotiatorem eſſe, terræ penitus affixum eſſe, & animæ ſuæ vitiorum omnium matrem Avaritiam induxiſſe? Non poteſtis Deo ſervire, inquit, & Mammonæ. Idcirco etiam hominum amator Deus ita diſpoſuit omnes homines coaleſcere, & malos pariter ac bonos eſſe commixtos, ut & malorum vitium reſecetur, & bonorum virtus illuſtrior reddatur; atque ut ignavi magnam ex A diligentium converſatione utilitatem conſequantur. Quemadmodum enim boni ac probi viri duplici honore digni ſunt; quòd & frugi ſcilicet fuere, & nihil ab improbis vitii contraxere: ſic & mali duplici pœna digni; tum quòd improbi extiterint, cùm boni eſſe potuiſſent; tum quòd ex proborum converſatione nihil utilitatis ceperint. Et ſicuti bonos non improbi ſolùm, ſed etiam probi mirantur: ita & improbos non boni ſolùm, ſed & mali oderunt. Sed pleríque hominum improbos B admirantur, ut qui nocere aliis, & injuriam potiſſimum inferre poſſint: ignari, quòd eos vel maximè miſerrimos omnium dicere oporteat, eò quòd alios lædere ſe exiſtimantes, in ſeipſos gladium adigant: quod utique ſupremæ eſt dementiæ, ſeipſum vulnerare, nec tamen hoc ipſum ſentire, ſed dum ſe alteri quis injuriam credit inferre, ſeipſum jugulare. Quid enim injuriæ paſſus eſt David? quid verò intulit Saul? uter igitur infelicior fuit, & miſerabilior? & rurſus: uter illuſtrior fuit & felicior? C Nonne hic moleſtia & iniquo dæmone angebatur, ille autem vel ſole clarior erat tropæis & erga Deum charitate? Nonne hic invidia ſtrangulabatur, ille verò dum tacitè omnia ferret, omnes ſibi devinciebat? Quoniam hic quidem ſæpe illum interficere tentavit: ille vero dum fugit, hoſtem in manibus cepit, capto deinde pepercit? Uter ergo horum imbecillior, uter verò invalidior apparet? nonne qui alterum injuſtè perſequebatur? Et meritiſſimo id quidem, quia hic milites armatos, ille ve- D rò juſtitiam, innumeris militibus fortiorem, ſociam ſibi & auxiliatorem habebat. Poſtquam verò idem hic affectus injuria & victor: ipſe deinde alium injuria affecit, vide quomodo infirmior efficitur. Injuria læſerat Uriam: & permutata eſt rurſus acies: & infirmitas ad lædentem, robur vero ad injuſtè læſum tranſiit: qui etiam mortuus domum illius ſubvertit. Ac ille quidem Rex & ſuperſtes nihil potuit: hic verò miles, & mactatus jam omnia illius ſurſum deorsùm fecit. Si igitur aliquem rectè vivere, ſem- E pérque ad divinum cultum reſpicere videas, quamvis innumeris obſitus ſit catenis, ſive etiam perpetuò in carcere vivat: ſive ſervitutem apud indignos toleret, ſive paupertate prematur; ſive ſepulchro revulſus exuratur, ſive tractim corpus conſumatur, ſive quodlibet tandem ſuſtineat malum, beatum illuſmodi hominem prædica, & æmulatione dignum puta. Quod ſi alium in improbitate & nequitia, ſummiſque vitiis agere vitam, conſpexeris, atque interim multis honoribus fungi, conſcendere regium ſolium, diademate redimiri, purpuráque indui;

&

* προσάντης.

Ex interpr. Evang. S. Ioann.

Ex interpr. hexaem.

Ex interpr. Evang. S. Matt.

Ex interpr. Evang. ſecundum Ioan.

Ex interpr. Evang. S. Matt.

Ex hom. de providentia.

& toti denique terrarum orbi dominari: ob hoc ipſum talem deplora & miſerum judica. Nihil enim revera miſerius anima ſic affecta, licet totum orbem terrarum ſibi ſubjectum habeat. Quid enim alicui prodeſt divitiis affluere, ſi virtute omnibus ſit pauperior? Quid verò lucri eſt tam multis imperare, cum quis ſeipſum ſuaſque perturbationes ſuperare non poſſit? Si enim ad ſalutem noſtram virtus noſtra non ſufficiat, ſed alios quoque habentes decedere neceſſe ſit: quid nobis continget, unde ſalutis ſpem habebimus, ſi neque nos ipſos neque alios ſervemus?

Ex interpret. Evang. S. Matth.

Ex interpret. Evang. S. Joann.

Si Deo placere hoc demum eſt hominem eſſe? is qui nec hoc quidem, dicto audiens præſtiterit, quid aliud eſſe quàm fera cenſebitur? Conſidera quanta ſit iniquitas, quòd, Chriſto volente nos ex hominibus Angelis æquales reddere, ipſi nos ex hominibus in beſtias mutemus. Nam ventri ſervire & pecuniarum cupiditate teneri, irâ excandeſcere, mordere, calcibus ferire, non hominum, ſed beſtiarum eſt. Ut igitur ſi ad deſidiam inclinare cœperimus, à quibuſvis etiam damnum accipiemus: ita ſi ſobrii eſſe velimus, licet innumeri ſunt, qui ad vitia nos trahant, nihil tamen ſtudio noſtro officere poterunt. Quòd ſi perdiſcere cupias, Deum naturæ indidiſſe leges, quibus diſcerni poſſit, quid bonum quidve malum, ipſam noſtram converſationem percontare. Quare omnes qui mala agunt, malorum nomina refugiunt? Mœchus mœchatur? & tamen mœchus audire erubeſcit, pervulgaro etiam mœcho dixeris, ô mœche, & quod facere gaudet, hoc audire ipſum pudet. Dic perjuro, Heus perjure, & pro contumelis ſuorum operum appellationem accipiet. Si bonom igitur exiſtimas peccatum, quid nomen refugis peccati? ſed temperantem voca temperantem: & cujus opere delectatur, ejus nequaquam appellationem erubeſcet. Juſtum appella juſtũ: & opere ipſe ſuo triumphat, & nomine gloriatur. Etſi enim ob religionem quandam nomen repudiet, bonam tamen animo famam ſuſcipere non veretur. Et nullũ denuò vitium quiſquam inveniet aperta fronte prodire, niſi mutuam prius à virtute perſonam acceperit. Quod quomodo fiat, ſic accipe. Qui mentitur, is nunquam, confitendo mendacium, mentitur, ſed veritatem ſimulando. Decipit homo fraudulentus, nec dolum oſtendit, ſed amicitiam fingit, & nequitiam machinatur. Calumniator, cum in judicium venit, non hoc quod eſt, confeſſus, venit: ſed ſpecie teſtem veritatis oſtendens, mendacio teſtem ſe iniquitatis exhibet. Sed & anima noſtra, quanquam in vitiis volutetur, nomen tamen bonum amplectitur. Multi enim ſæpè potentes avaritiam ſpirantes, nec quicquam aliud animo volventes quàm rapinam & injuſtitiam, adeo ab aliquibus exorantur, ut pauperem aut ab urgente neceſſitate liberent, aut aliquid de debito remittant, aut ne ulciſcantur eos, à quibus moleſtia affecti ſunt, aut affectos ſe putârunt. Et qui legationem apud iniquum principem benè expoſiturus venit, non ſtatim à veritate exorſus rem ipſam continuò narrat, ſed virtutis nomen ei præloquutus: Vir bonus es, inquit: nomen tuum ubique divulgatur, tua omnes benefacta celebrant: & multa ejuſmodi contexit, ut & laude hac flectatur, & improbitatem declinet. Aſpice, quomodo vitium decora virtutis appellatione vincatur.

Ex Evang S. Joann.

Nemo malus malè audire vult. Natura enim quod ſuum eſt, complectitur, licet libera voluntas contrarium eligat. Ne igitur dicamus, Hic natura bonus eſt; Ille natura malus. Si enim natura bonus eſſet, nunquam malus fieri poſſet: & ſi natura malus, nunquam fieret bonus. Etenim ſi in arbitrio noſtro poſitum non eſſet, malos nos eſſe, aut bonos, nec ſui juris naturam noſtram hominum amator Deus condidiſſet, oporteret omnes ejuſdem naturæ participes, & iiſdem affectionibus obnoxios, aut malos eſſe, aut virtute præditos. Cum verò noſtri generis homines iiſdem perturbationibus agitari videamus, nec tamen eadem, quæ nos, pati; ſed valida ratione naturam aurigari, motúſque ſuperare incompoſitos; univerſam quoque hujus vitæ felicitatem ludibrio habere, atque ad veram gloriam incenſos ferri; nonne perſpicuum eſt, hæc divina ſuggerente gratia, ſuo cuique ſtudio poſſe comparari?

Ex Hexaem.

Et nos quidem inertiæ dediti prodimus noſtram ipſi ſalutem, noſipſos ſuperna illa gratia deſtituentes? Nemo igitur alium quempiam accuſet, quaſi ad virtutis labores ſibi impedimento ſit, ſed propriæ ſocordiæ omnia aſcribat. Et quid dico alium? ne ipſum quidem diabolum exiſtimet quis intercludere poſſe viam, quæ ad virtutem ducit: ſed ſeducit ille quidem & ſupplantat ſegniores, ſed tamen nec coërcet quemquam, nec vim infert. Atque hoc ipſa rerum experientia docet. Cùm enim reſipiſcere volumus, tantam animi contentionem adhibemus, ut ne multis quidem ad vitii capeſſendam viam hortantibus, conſilium hoc ſuſtineamus; ſed adamante quovis firmiores ſimus; & his, qui turpia conſulunt, aures noſtras obſtruamus.

A καὶ τῆς οἰκουμένης ἁπάσης κρατοῦντα, δάκρυσον διὰ τοῦτο τὸν τοιοῦτον καὶ ταλάνιζε. οὐδὲν οὕτως ἀθλιώτερον τῆς οὕτω διακειμένης ψυχῆς, κἂν ἅπασαν ὑποτεταγμένην ἔχῃ τὴν οἰκουμένην. τί γὰρ ὄφελος ἐν χρήμασι πλουτεῖν, ὅταν κατὰ τὴν ἀρετὴν πάντων πτωχότερος ᾖ; τί δὲ κέρδος τοσούτων κρατεῖν ὅταν ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ παθῶν περιγενέσθαι μὴ δύνηται; εἰ γὰρ οὐκ ἀρκεῖ εἰς σωτηρίαν ἡμῶν ἡ καθ' ἡμᾶς αὐτοὺς ἀρετή, ἀλλὰ δεῖ καὶ ἑτέρους ἔχοντας ἀπελθεῖν, ὅταν μήτε αὐτοὺς μήτε ἑτέρους διασώσωμεν, τί ποιήσομεθα, πόθεν λοιπὸν ἐλπίδα σωτηρίας ἕξομεν; B εἰ τὸ εὐαρεστεῖν τῷ Θεῷ τοῦτό ἐστιν ἄνθρωπον εἶναι· ὁ μηδὲ οὕτως τοῦτο κατορθῶσαι ἀκοῦσαι θέλων, τί ἂν ἕτερον ἢ θηρίον ᾖ; ἐννόησον ἡλίκον ἂν εἴη κακόν, τοῦ Χριστοῦ θέλοντος ἡμᾶς ἐξ ἀνθρώπων ἰσαγγέλους ποιεῖν, αὐτοὺς ἐξ ἀνθρώπων εἰς θηρία μεταπεσεῖν. τὸ γὰρ τῇ γαστρὶ δουλεύειν, καὶ τῇ τῶν χρημάτων ἐπιθυμίᾳ κατέχεσθαι, καὶ ὀργίζεσθαι, καὶ δάκνειν, καὶ λακτίζειν, οὐκ ἀνθρώπων ἀλλὰ θηρίων ἐστίν. ὥσπερ C οὖν εἰς ῥᾳθυμίαν ἀποκλίνοντες καὶ ὑπὸ τῶν τυχόντων βλαπτόμεθα, οὕτως ἐὰν βουλώμεθα νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς τὴν κακίαν ἕλκοντες, οὐδὲν ἡμῶν τὴν σπουδὴν λυμήνασθαι δυνήσεται. εἰ δὲ θέλεις μαθεῖν ὅτι ἐν τῇ φύσει ἐνέπηξεν ὁ Θεὸς τοὺς νόμους, τοὺς διακρίνοντας τὸ καλὸν καὶ τὸ πονηρόν, αὐτὴν τὴν ἡμῶν ἀναστροφὴν ἐρώτησον. πῶς ἅπαντες οἱ ποιοῦντες τὰ κακὰ φεύγουσι τὴν τῶν κακῶν προσηγορίαν; ὁ μοιχὸς μοιχεύει· μοιχὸς δὲ ἀκούων αἰσχύνεται. εἰπὲ τῷ ἐμαλακισμένῳ, μαλακέ, D καὶ ὃ ποιῶν ἥδεται, ἀκούων αἰσχύνεται. εἰπὲ τῷ ἐπιόρκῳ, ἐπίορκε, καὶ εἰς ὕβριν λαμβάνει τὴν προσηγορίαν τῶν ἰδίων ἔργων. εἰ οὖν καλὸν ἡγῇ τὴν ἁμαρτίαν, τί φεύγεις τὴν προσηγορίαν, ἀλλ' εἰπὲ τῷ σώφρονι, σῶφρον· καὶ οὐ τῷ ἔργῳ ἥδεται, οὐδὲ τὴν προσηγορίαν αἰσχύνεται. κάλεσον τὸν δίκαιον δίκαιον· καὶ τῷ ἔργῳ στεφανοῦται, καὶ τῇ προσηγορίᾳ σεμνύνεται· κἂν γὰρ δι' εὐλάβειαν παραιτήσηται τὸ ὄνομα, ἀλλ' ἐν τῇ ψυχῇ δέχεται τὴν εὐφημίαν. καὶ οὐδεμίαν δὲ πάλιν εὑρήσεις τις κακίαν E ἐξ οἰκείου προσώπου φαινομένην, ἐὰν μὴ δανείσηται προσωπεῖον ἀρετῆς. καὶ πῶς ἄκουε. ὁ ψευδόμενος οὐχ ὁμολογῶν τὸ ψεῦδος ψεύδεται, ἀλλ' ἀλήθειαν ὑποκρινόμενος. ἀπατᾷ ὁ δόλιος, οὐ δεικνὺς τὸν δόλον, ἀλλὰ σχηματίζεται τὴν φιλίαν καὶ πραγματεύεται τὴν πονηρίαν. ὁ συκοφάντης, ὅταν εἰσέλθῃ εἰς δικαστήριον, οὐ τοῦτο ὁμολογήσας ὅπερ ἐστίν, εἰσέρχεται· ἀλλὰ μάρτυρα ἀληθείας περιστησάμενος τῷ σχήματι, διὰ τοῦ ψεύδους τὸν μάρτυρα τῆς κακίας ἐνδείκνυται. A ἀλλὰ καὶ ἡ ψυχὴ ἡ ἡμετέρα, κἂν ἐν κακίαις ἐμφυρῆται, τὸ ὄνομα τὸ ἀγαθὸν ἀσπάζεται. πολλοὶ γὰρ πολλάκις δυνάσται πλεονεξίαν πνέοντες, καὶ μηδὲν ἕτερον ἐννοοῦντες, ἢ ἁρπαγὴν καὶ ἀδικίαν, δυσωποῦνται παρά τινων, ἢ ἀνεῖναι τῷ πένητι τὴν ἐπικειμένην ἀνάγκην, ἢ συγχωρῆσαί τι τοῦ χρέους, ἢ μὴ ἀμύνασθαι τοὺς λυπήσαντας, ἢ λυπεῖν νομισθέντας. καὶ ὁ ἐλθὼν καλῶς πρεσβεῦσαι παρὰ ἀνδρὶ δυνάστῃ καὶ πονηρῷ, οὐκ εὐθέως ἀπὸ τῆς ἀληθείας ἄρχεται, καὶ λέγει αὐτῷ B ὃ ἐστιν, ἀλλὰ περιέθηκεν αὐτῷ ὄνομα ἀρετῆς· ἀνὴρ εἶ, φησίν, ἀγαθός· διαβεβόηταί σου τὸ ὄνομα· πάντες σου τὰς εὐεργεσίας ᾄδουσι· καὶ πολλὰ τοιαῦτα συνάπτει, ἵνα καμφθῇ τῇ εὐφημίᾳ, καὶ φύγῃ τὴν πονηρίαν. ὅρα πῶς ἡ κακία νικᾶται τῆς εὐφημίας τῆς ἀρετῆς· οὐδεὶς κακὸς, κακῶς ἀκούειν βούλεται· ἡ γὰρ φύσις τὸ ἴδιον ἀσπάζεται, ἀλλ' ἡ προαίρεσις τοὐναντίον αἱρεῖται. μὴ τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνα φύσει καλὸς, καὶ ὁ δεῖνα φύσει κακός· εἰ γὰρ φύσει ἀγαθὸς, οὐδέ C ποτε δυνήσεται γενέσθαι κακός· καὶ εἰ φύσει κακὸς, οὐκ ἄν ποτε γενήσεται ἀγαθός. εἰ γὰρ μὴ ἐν τῇ προαιρέσει ἡμῶν ἔκειτο τὸ πονηροὺς εἶναι καὶ ἀγαθοὺς, μηδὲ αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ φιλάνθρωπος κατεσκεύασεν, ἐχρῆν ἅπαντας εἶναι κακοὺς τοὺς τῆς φύσεως κοινωνοῦντας, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένους· ἢ πάντας εἶναι ἐναρέτους. ὅταν δὲ ἴδωμεν τοὺς ὁμογενεῖς ἡμῶν, καὶ ὑπὸ τῶν αὐτῶν παθῶν ἐνοχλουμένους, οὐ τὰ αὐτὰ ἡμῖν ὑπομένοντας, ἀλλὰ καὶ ἐρ- D ρωμένῳ τῷ λογισμῷ ἡνιοχοῦντας τὴν φύσιν, καὶ περιγινομένους τῶν ἀτάκτων σκιρτημάτων, καὶ πάσης τῆς τοῦ παρόντος βίου εὐημερίας καταγελῶντας, καὶ πρὸς τὴν ἀληθῆ δόξαν ἐπτοημένους, οὐκ εὔδηλον ὅτι τῇ οἰκείᾳ σπουδῇ ταῦτα κατορθοῦν δύνανται μετὰ τῆς ἄνωθεν χάριτος; καὶ ἡμεῖς τῇ οἰκείᾳ ῥᾳθυμίᾳ κεχρημένοι προδιδόαμεν ἡμῶν τὴν σωτηρίαν, ἐρήμους ἑαυτοὺς καθιστῶντες τῆς ἐκεῖθεν εὐνοίας; μηδεὶς τοίνυν ἕτερόν τινα αἰτιάσθω, ὡς πρὸς τοὺς τῆς ἀρετῆς πόνους αὐτὸν ἐμποδίζοντα, E ἀλλὰ τῇ οἰκείᾳ ῥᾳθυμίᾳ τὸ πᾶν ἐπιγραφέτω. καὶ τί λέγω ἕτερον; μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἱκανὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν δύνασθαι· ἀλλ' ἀπατᾷ μὲν καὶ ὑποσκελίζει τοὺς ῥᾳθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται. καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν, ὅτι ἡνίκα ἂν βουλώμεθα νήφειν, τοσαύτην τότε ἐπιδεικνύμεθα, ὡς μηδὲ πολλῶν ὄντων τῶν προτρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδὸν ἀνέχεσθαι τῆς συμβουλῆς, ἀλλὰ παντὸς ἀδάμαντος στερροτέρους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς.

οὕτω

Digitized by Google

ὅταν δὲ ῥαθυμῶμεν, καὶ μηδενὸς ὄντος τοῦ συμβουλεύοντος ἢ ὑποσκελίζοντος οἴκοθεν κινούμενοι, ἐπὶ τὴν κακίαν ὁρμῶμεν. ἔστι μὲν οὖν καὶ καθ' ἑαυτὴν ἡ ἀρετὴ θαυμαστή. ὅταν δὲ ἐν μέσῳ τῶν κωλυόντων τυγχάνων τις ταύτην μετίῃ, πολλῷ μᾶλλον θαυμαστοτέραν ταύτην ἀποφαίνει. οὐ γὰρ ὁ τόπος τὴν ἀρετὴν, ἀλλ' ἡ ἀρετὴ πέφυκε τὸν τόπον σεμνύνειν. καὶ τῆς μὲν ἑνὸς ἀρετῆς πολλοὶ συναπολαύουσι καὶ τῶν πονηρῶν· τῇ δὲ πολλῶν κακίᾳ, κἂν εἷς ὁ κατορθῶν ᾖ μεταξὺ δήμου πολλοῦ, οὐ συγκαταφέρεται. καὶ εἷς μὲν ἄνθρωπος ὀρθῶς ζῶν, δῆμον ὁλόκληρον ἐξαρπάσαι δυνήσεται τῆς ὀργῆς τοῦ Θεοῦ· πόλις δὲ ὁλόκληρος διεφθαρμένη πρὸς τὴν οἰκείαν κόλασιν καὶ τιμωρίαν ἐπισπάσασθαι τὸν εὖ ζῶντα καὶ καθελεῖν οὐ δυνήσεται. καὶ τοῦτο ἀπὸ τοῦ Νῶε δῆλον· πάντων γὰρ ἀπολλυμένων διεσώζετο μόνος. καὶ ἀπὸ τοῦ Μωσέως φανερόν· μόνος γὰρ ἴσχυσε δῆμον τοσοῦτον ἐξαιτήσασθαι. ἐγὼ δὲ καὶ ἕτερον ἔχω τῆς φιλανθρωπίας τοῦ Θεοῦ δεῖγμα εἰπεῖν. ὅταν γὰρ ζῶντας καὶ παρρησίαν ἔχοντας μὴ εὕρῃ δυναμένους ἐξαιτήσασθαι τοὺς ἡμαρτηκότας, ἐπὶ τοὺς τελευτήσαντας καταφεύγει, καὶ δι' ἐκείνους, φησὶν, ἀφιέναι τὰ ἁμαρτήματα. ὥσπερ οὖν τῷ Ἐζεκίᾳ φησίν· ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου, τὸν ἤδη τετελευτηκότα. εἶδες πόση τῶν ἁγίων ἡ ἀρετή; οὐ γὰρ τὰ ῥήματα αὐτῶν μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ ἱμάτια τῇ κτίσει πάσῃ πάντοτέ ἐστιν αἰδέσιμα. ἡ τοῦ Ἠλίου μηλωτὴ τὸν Ἰορδάνην ἔσχισε. τὰ ὑποδήματα τῶν τριῶν παίδων τὸ πῦρ κατεπάτησαν. τὸ ξύλον τοῦ Ἐλισσαίου τὰ ὕδατα μετέβαλε, καὶ σίδηρον ὑπὲρ τῆς ἐμφανείας βαστάζειν ἐποίησεν. ἡ ῥάβδος Μωσέως τὴν ἐρυθρὰν ἔσχισε θάλασσαν, τὴν πέτραν ἔρρηξε. τὰ ἱμάτια Παύλου δαίμονας ἤλασαν. αἱ σκιαὶ Πέτρου θάνατον ἐφυγάδευσαν. ἡ τέφρα τῶν ἁγίων μαρτύρων πονηροὺς ἀπελαύνει δαίμονας. διὰ τοῦτο μετ' ἐξουσίας ἅπαντα πράττουσι καθάπερ ὁ Ἠλίας. οὐ γὰρ δὴ μόνον ἑώρα τὸ διάδημα καὶ τὴν ἔξωθεν φαντασίαν τοῦ βασιλέως, ἀλλ' ἑώρα καὶ τὴν ψυχὴν ῥάκκια περιβεβλημένην, αὐχμῶσαν, ῥυπῶσαν, καὶ καταδίκου παντὸς ἀθλιώτερον διακειμένην, καὶ ἰδὼν αὐτὸν αἰχμάλωτον, καὶ δοῦλον ὄντα τῶν παθῶν, κατεφρόνησεν αὐτοῦ τῆς ἀρχῆς. καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς, ἀλλ' οὐκ ἐπὶ τῆς ἀληθείας ἐδόκει βασιλέα βλέπειν. τί γὰρ ὄφελος τῆς ἔξωθεν εὐπορίας, ὅταν τὰ ἔνδον ἐν πενίᾳ τοσαύτῃ ᾖ; τί δὲ βλάβος τῆς ἔξωθεν πενίας, ὅταν ἔνδον τοσοῦτος ἀπόκειται θησαυρός; τοιοῦτος λέων ἦν καὶ ὁ μακάριος Παῦλος. εἰσελθὼν γὰρ εἰς τὸ δεσμωτήριον, καὶ βοήσας μόνον, τὰ θεμέλια ἔσεισε· τὰ δεσμὰ κατέφαγεν, οὐκ ὀδοῦσι χρησάμενος, ἀλλὰ ῥήμασι. διόπερ οὐχὶ λέοντας αὐτοὺς μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον λεόντων χρὴ καλεῖν. ὁ μὲν γὰρ λέων εἰς δίκτυον πολλάκις ἐμπεσὼν ἁλίσκεται· οἱ δὲ ἅγιοι δεθέντες, τότε ἰσχυρότεροι γίνονται. ὁ λέων φθέγγεται καὶ τὰ θηρία φυγαδεύει πάντα· ὁ ἅγιος φθέγγεται, καὶ τοὺς δαίμονας φυγαδεύει πανταχόθεν. ἀλλὰ τίς λόγος ἀρκεῖ τοῖς Παύλου κατορθώμασιν, ἢ ποία δυνήσεται γλῶσσα ἐφικέσθαι τῶν ἐγκωμίων τούτου; εἴτε γὰρ προφῆται ἐπεδείξαντό τι γενναῖον, εἴτε πατριάρχαι, εἴτε δίκαιοι, εἴτε ἀπόστολοι, εἴτε μάρτυρες, πάντα ταῦτα ὁμοῦ συλλαβὼν εἶχε μετὰ τοσαύτης ὑπερβολῆς, μεθ' ὅσης οὐδεὶς ἐκείνων ὅπερ ἕκαστος εἶχε καλὸν, ἐκέκτητο. ὅταν οὖν ἅπαντα τὰ ἐν ἀνθρώποις καλὰ συλλαβοῦσα ἔχῃ ψυχὴ μία, καὶ πάντα μεθ' ὑπερβολῆς, οὐ μόνον δὲ τὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων, πῶς περιεσόμεθα τοῦ μεγέθους τῶν ἐγκωμίων; πόσης οὐκ ἂν εἴημεν καταγνώσεως ἄξιοι, ὅταν εἷς ἄνθρωπος πάντα συνειλοχὼς ἐν ἑαυτῷ τὰ καλὰ, ἡμεῖς οὐδὲ τὸ πολλοστὸν μέρος αὐτοῦ μιμήσασθαι σπουδάζωμεν; ἐκ πολλῶν μὲν γὰρ καὶ ἄλλων κατορθωμάτων ὁ πατριάρχης θαυμάζεται Ἀβραὰμ, μάλιστα δὲ ἐκ τοῦ τὸν υἱὸν καταθῦσαι τὸν ἑαυτοῦ. ὁ δὲ Ἰσαὰκ ἐπὶ τῇ ἀνεξικακίᾳ, ὅτι τῶν οἰκείων ἐλαυνόμενος ὅρων, οὐκ ἐπεξῄει, ἀλλὰ παρεχώρει πανταχοῦ τῶν οἰκείων κτημάτων, ἕως τῶν λυπούντων τὴν ἄδικον ἐκόρεσεν ἐπιθυμίαν· καὶ ὁ Ἰακὼβ δὲ ἐπὶ τῇ καρτερίᾳ καὶ τῇ ὑπομονῇ, καὶ ὁ Δαβὶδ ἐπὶ τῇ πρᾳότητι, καὶ ὁ Ἠλίας, ὅτι ὑπὲρ τοῦ δεσπότου ἐζήλωσεν. ἀλλὰ τί Παύλου γένοιτ' ἂν ἴσον, ὃς πάντα ταῦτα ὁμοῦ συλλαβὼν εἶχε μεθ' ὑπερβολῆς; οὐδὲ γὰρ υἱὸν κατέθυσεν οὗτος, ἀλλ' ἑαυτὸν μυριάκις κατέθυσεν· καὶ οὐδὲ τῶν οἰκείων ὅρων ἠλαύνετο μόνον, ἀλλὰ καὶ γῆν, καὶ θάλατταν, καὶ Ἑλλάδα, καὶ βάρβαρον, καὶ πᾶσαν ἁπαξαπλῶς ὅσην ἥλιος ἐφορᾷ γῆν, ὥσπερ τις ὑπόπτερος περιῆλθε, συρόμενος, τυπτόμενος, λιθαζόμενος, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων· οὐδὲ δὶς ἑπτὰ ἔτη ἐδούλευσε συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτὸς, ἀλλὰ τὸν ἅπαντα βίον ἐν λιμῷ, καὶ γυμνότητι, καὶ ἁλύσεσι, καὶ δεσμωτηρίοις, καὶ ἐπιβουλαῖς, καὶ κινδύνοις διατελῶν. ἐπιείκειαν δὲ καὶ λαμπρότητα τίς μὲν μᾶλλον, τίς δὲ ἴσον τῆς Παύλου ψυχῆς ἀμφότερα ταῦτα κατώρθωσεν; εἰ δὲ τὸν ζῆλον ἴδοις αὐτοῦ, τοσοῦτον εὑρήσεις κρατοῦντα τοῦ Ἠλίου, ὅσον ἐκεῖνος τῶν ἄλλων προφητῶν. ἀλλ' ὁ Ἰωάννης ἀκρίδας ἤσθιε καὶ μέλι ἄγριον· ἀλλ' οὗτος ἐν μέσῃ τῇ οἰκουμένῃ καθάπερ ἐκεῖνος ἐν τῇ ἐρήμῳ διέτριβεν, ἀκρίδας μὲν καὶ μέλι ἄγριον οὐ σιτούμενος, πολὺ δὲ εὐτελεστέραν ταύτης [illegible]

At ſi langueſcere cœperimus, tum verò nemine etiam conſulente aut ſupplantante, ipſi à nobis perſuaſi in vitium ruimus. Eſt igitur per ſeipſam virtus quidem admiranda: Si verò quis in medio ſit eorum qui ei obſiſtunt, atque eandem perſequatur, longè admirabiliorem eam facit. Non enim virtutem locus, ſed locum virtus natura ſua digniorem præſtat. Et unius quidem virtute multi etiam improbi ſæpe fruuntur: vitiis verò multorum, ſi vel unus multo in populo ſtrenuus fuerit, nunquam tamen ille in perniciem collabetur. Et homo quidem unus rectè vivens, à divina ira univerſum populum eripere poterit: è contra verò univerſa civitas corrupta in ſuam pœnam atque imminens ſupplicium benè viventem trahere ac rapere non valebit. Atque hoc ex Noë patet: omnibus enim pereuntibus, ſolus ſervatus eſt. Ex Moyſe etiam liquidum eſt: unus enim ipſe tanto populo veniam impetrare potuit. Ego verò & aliud, quod dicam, divinæ clementiæ habeo exemplum. Quando enim vivos homines quibus loquendi fiducia ſit, quique peccatores reſtituere poſſit; nullos invenerit, tum ad mortuos confugiens, per eos, inquit, peccata remitto. Quemadmodum ad Ezechiam ait: Protegam civitatem hanc, propter me & David puerum meum jam defunctum. Vidiſti quanta ſanctorum ſit virtus? Non enim ipſorum verba tantùm, ſed & veſtimenta univerſæ creaturæ ſunt veneranda. Heliæ melote Jordanem diviſit. Trium puerorum calcei ignem calcarunt. Heliſæi lignum aquarum naturam mutavit; & ferrum in ſuperficie portare fecit. Virga Moyſis rubrum mare diviſit, & petram dirupit. Pauli veſtes dæmones ejecerunt: Umbra Petri fugavit mortem. Sanctorum martyrum cinis improbos dæmones expulit. Cum poteſtate igitur faciunt omnia: ſicut Helias. Non enim diadema ſolum, & exteriorem Regis ſpeciem aſpiciebat, ſed animam quoque indutam lacerna, ſqualidam, ſordidam & quovis damnato miſeriùs affectam. Et cùm captivum, totque obnoxium morbis vidiſſet, illum cum ſuo regno contempſit. Tanquam enim in ſcena fictum, & non tevera Regem ſibi cernere videbatur. Quid igitur refert exteriùs divitiis affluere, cùm interius tanta recondita ſit inopia? Contrà verò, quid nocet exterius pauperem videri, cùm interiùs tanta ſit repoſita copia? Talis nimirum leo & ipſe beatus Paulus erat. Is enim carcerem ingreſſus ſola voce fundamenta concuſſit; & vincula, non dentibus uſus, ſed verbis contrivit. Quapropter non leones illi, ſed majus quippiam aliud ſupra leones appellandi ſunt. Sæpè enim leo, ubi in rete incidit, capitur: at verò ſancti, in vincula conjecti, fortiores evadunt. Leo fremit, & feras omnes in fugam convertit: clamat ſanctus, & dæmones undique fugat. Quæ verò Pauli rebus præclarè geſtis ſuffecerit oratio: aut quæ lingua hujus aſſequi laudes poterit? Si enim egregium quid edidere Prophetæ, ſive Patriarchæ, ſive juſti, ſive Apoſtoli, ſive martyres, hæc ſimul omnia complexus, tanta excellentia poſſidet, quanta illorum, quicquid virtutis cuique fuit, nullus poſſedit. Quando igitur quæcunque in hominibus bona fuere, ſola unius anima complectitur, & quidem omnia cum exceſſu quodam non hominum modò, ſed & Angelorum, quonam pacto tantarum laudum cumulum æquare verbis poterimus? Quanta animadverſione non digni eſſemus, ſi, cùm unus omnia in ſe complecti bona potuerit, nos nec minimam quidem illius partem imitari ſtuderemus? Ob multa quidem & alia bene geſta Abraham in admiratione eſt; maximè verò, quòd filium ſuum immolare non recuſaverit. Iſaac autem propter manſuetudinem: quia cùm propriis finibus pelleretur, non renitens, ſuis undique poſſeſſionibus ceſſit, quoad moleſtorum ſibi hominum iniquam expleret libidinem. Et Jacob itidem fortitudine & tolerantia inſignis; & David manſuetudine: Helias quoque quia pro Domino zelatus eſt. Verùm, quidnam Paulo æquale fuerit, qui cuncta hæc majorem in modum eſt complexus: Neque enim filium ipſe immolavit, ſed ſeipſum decies ſacrificavit: nec propriis ſolùm finibus expulſus eſt, ſed & terram & mare, Græciam & barbaras nationes, & omnem denique quantam ſol aſpicit, terram ceu alatus quis peterravit; raptatus, cæſus, lapidibus obrutus, & in ſingulos dies mortem oppetens: nec bis ſeptem annis ſervivit, diurno æſtu & frigore noctis exuſtus; ſed vitam omnem, fame, nuditate, & catenis & carceribus, inſidiis ac periculis tranſegit. Modeſtiam verò & manſuetudinem quis Paulo magis, quis verò peræquè ac Pauli anima, utrámque hanc præſtitit? Quòd ſi ardorem ejus aſpicias, tanto ſuperiorem Helia invenies, quantum ille cæteros Prophetas excelluit. Sed locuſtis & melle ſylveſtri Joannes veſcebatur. at hic in medio terrarum orbe, ſicut ille in deſerto, vivens, locuſtis quidem & melle ſylveſtri non veſcebatur, ſed menſam multo hac tenuiorem apponebat; & ne quis

Ex hom. in [illegible]

ne quidem neceſſario inſtructus alimento, ob prædicationis ſtudium. Reliquum nunc eſt, ut cum Angelis ipſum componamus. Nec quiſquam orationis audaciam reprehendat. Nam ſi Angelum Joannem ſcriptura appellaverit, quid mirandum ſi hominem omnium excellentiſſimum virtutibus illis comparare velimus? Etenim quid tandem ſit homo, & quanta naturæ noſtræ nobilitas, quantæque virtutis capax hoc animal, omnem maximè Paulus oſtendit: qui nunquam ex quo natus eſt, magnifica voce contra omnes, qui naturæ noſtræ fabricam accuſant, pro Domino defenſionem facere deſtitit, oſtenditque non multum inter Angelos & homines intereſſe, ſi nobis ipſis attendere velimus. Non enim alterius naturæ particeps, neque alium mundum inhabitans, ſed in eadem terra & regione, iiſdem legibus & moribus educatus, omnes qui unquam fuerunt, ex quo nati ſunt homines, ſuperavit. Et quemadmodum cadavere adverſo dejectum, nihilo ſecius immobile fuerit, ita naturæ impetus ſedans,

Ex Stat.

nulli unquam ulla in re humana perturbationi ſuccubuit. Nam ſicut in pecuniis, ſi quis duorum aureorum lucrum fecerit, majorem animum ſumit ad decem aut viginti colligendos & congerendos; pari modo in virtute accidit, qui opus bonum fecit & aliquid cum laude geſſit, laboris aliquam adhortationem & admonitionem capit, ut alia quoque plura ſimiliter aggrediatur. Ne mihi quiſpiam dicat, multos eſſe qui rectè agant: non enim hoc eſt quod quærimus; ſed, ut omnes rectè agant. Nonne & in corpore noſtro hoc fieri cernis? Etenim ſi pedem offendentes vel unguem ſolum diſturbemus, totum corpus membro condolet. Ne igitur illud dixeris: pauci relicti ſunt, qui non rectè egerint: ſed illud potiùs conſidera, fore, ut pauci iſti, qui non rectè

Ex interpr. Evang. S. Ioann.

agunt, cæteros corrumpant. Etenim apud Corinthios unus erat, qui fornicatus erat, & non ſecus tamen Paulus ingemuit, quàm ſi tota civitas periiſſet. Nec id ſine magna ratione. Sciebat

Ex interpr. Evang. S. Ioann.

enim, niſi ille emendaretur, ſubitò progredientem morbum omnes invaſurum. Si enim ex membris aliquod putredine aut inſanabili morbo læſum recidimus, metuentes, ne reliquum quoque corpus eandem perniciem concipiat; atque hoc facimus, non quòd illud parvi pendamus, ſed quia totum potiùs conſervare cupimus: quanto magis in vitiis eorum, qui nobiſcum vivunt, hoc facere neceſſarium fuerit: Non ſi ita illos corrigere poſſumus, ut ipſimet nihil nocumenti capiamus, omnia facere oportet. Si verò & illi incorrecti maneant, & nos ſimul damno afficiant, reſecandi ſunt atque abjiciendi. Si enim cùm improbi nobis ſunt filii, eos expellimus, & ne ipſam quidem naturam reveremur; multo magis familiares & notos, ſi improbi fuerint, fugere & vitare debemus. Sed ſcandalizantur, inquit,

Ex interpr. Evang. S. Matth.

& malè ſuſpicantur. Et quid tum? Tu teipſum cohoneſta, & nemo te afficere ignominia poterit, quod ſi teipſum dedecore afficias, etſi omnes te honoraverint, nunquam tamen in honore eris. Si enim quis pro improbo habeatur, cum probus ſit; nihil inde damni faciet, quo minus idem ipſe ſit, qui eſt: Qui verò temerariam & vanam ſuſpicionem de aliquo habuerit, extremum luet ſupplicium. Improbus autem, ſi bonam habeat opinionem, nihil inde lucri percipiet, quin & majorem damnationem habebit, & in majorem ignaviam prolabetur. Qui talis quidem eſt, & pro tali habetur, animum ſaltem demittet, & peccata ſua agnoſcet: At ſi quis latuerit, in ſtupiditatem facilè incidet. Si enim delinquentes, omnibus etiam accuſantibus, vix adducuntur, ut dolore compungantur: ubi non modò accuſari eos, ſed etiam laudari ob aliquibus contigerit, quando tandem ſuſpicere & ſe corrigere poterunt? Fieri igitur non poteſt, ut qui virtutibus dediti ſunt, ab omnibus benè ſemper audiant; nec rurſus, ut virtutis curam agens non multos habeat adverſarios. Bona enim apud omnes fama, argumentum vel maximum eſt, haud multam virtutis haberi rationem. Quomodo enim à cunctis laudetur, ſi quis affectos injuria homines ab injuriam inferentibus eripere ſtudeat? Rurſus verò, ſi peccatores corrigere, & rectè agentes laudare velit, nonne par eſt, hos quidem laudare, illos autem vituperare? Itaq; qui diligens virtutis ſectator eſſe volet, & à ſolo Deo recipere laudem, eum ab omnibus hominibus laudari & bene audire impoſſibile eſt.

Ex Menandro.

Multam enim ſemper in virtute oſtendit vitium inſaniam: ſed non modò nullam ei cladem affert, ſed oppugnando etiam fortiorem reddit. Tanta enim vis ineſt virtuti, ut dum læditur, lædentes ſuperet; dum oppugnatur, ipſis oppugnantibus evadat ſuperior. Jam enim mihi cogites, Abel: nonne à Cain interfectus eſt: ſed cæſus ob illo tempore ad hunc uſq; diem laudibus celebratur & decoratur; nec tantum tempus illius memoriã obſcurare potuit: At homicida ille cùm viciſſet, tunc vitam ſuſtinuit morte graviorem, & ex illo uſq; nunc infamia notatur, & ab omnibus accuſatur. Atq; hæc quidem in præſenti vita. Quæ verò in altero ſeculo ſuſtineat, quæ oratio aut quæ mens exprimere poterit? Audi verò Chriſtum dicentem:

Matth. & Luc. 13.

A τράπεζαν, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς, διὰ τὴν ὑπὲρ τοῦ κηρύγματος σπουδήν. λείπεται πρὸς τοὺς ἀγγέλους αὐτὸν ἐξισῶσαι λοιπόν. καὶ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. εἰ γὰρ τὸν Ἰωάννην ἄγγελον ἐκάλεσεν ἡ γραφή, τί θαυμαστὸν εἰ τὸν ἁπάντων ἀμείνω ταῖς δυνάμεσι παραβάλλομεν ἐκείναις; καὶ γὰρ τί ποτέ ἐστιν ἄνθρωπος, καὶ ὅση τῆς φύσεως τῆς ἡμετέρας ἡ εὐγένεια, καὶ ὅσης ἐστὶ δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον, ἔδειξε μάλιστα πάντων ἀνθρώπων Παῦλος· ὃς νῦν ἐξ οὗ γέ-

B γονε, λαμπρᾷ τῇ φωνῇ, πρὸς ἅπαντας τοὺς ἐγκαλοῦντας ἡμῶν τῇ κατασκευῇ, ἀπολογούμενος ὑπὲρ τοῦ δεσπότου, καὶ δεικνὺς ὅτι ἀγγέλων καὶ ἀνθρώπων οὐ πολὺ τὸ μέσον, ἐὰν ἑαυτοῖς προσέχειν ἐθέλωμεν. οὐ γὰρ ἄλλην φύσιν λαχών, οὐδὲ ἑτέρας κοινωνήσας ψυχῆς, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ' ἐν αὐτῇ γῇ καὶ χώρᾳ, καὶ νόμοις, καὶ ἔθεσι τραφείς, πάντας ἀνθρώπους ὑπερηκόντισε τοὺς ἐξ οὗ γεγόνασιν ἄνθρωποι, γενομένους. καὶ ὡς ἂν νεκρὸς πρὸς νεκρὸν ἀκίνητος γένοιτο, οὕτω

C μετ' ἀκολουθίας τῆς φύσεως τὰ σκιρτήματα κατευνάζων, οὐδὲν οὐδέποτε πρὸς οὐδὲν ἀνθρώπινον ἔπαθε. καθάπερ γὰρ ἐπὶ τῶν χρημάτων ὁ δύο κερδάνας χρυσίνους, πλείονα λαμβάνει παραμυθίαν πρὸς τὸ δέκα καὶ εἴκοσι συλλέξαι καὶ συναγαγεῖν, οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς γίνεται ὁ ποιήσας ἓν καλὸν ἔργον καὶ κατορθώσας, τῆς ἐργασίας παράκλησίν τινα λαμβάνει καὶ παραίνεσιν, ὥστε καὶ ἑτέρων πλειόνων ὁμοίως ἅψασθαι. καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ κατώρθωσαν· οὐ γὰρ τοῦτό ἐστι

D τὸ ζητούμενον, ἀλλ' ἵνα πάντες. οὐχ ὁρᾷς καὶ ἐπὶ τοῦ σώματος τοῦτο γινόμενον; ἐὰν γὰρ τὸν ὄνυχα μόνον προσπταίσαντες ἀνατρέψωμεν, ὅλον τῷ μέλει συναλγεῖ τὸ σῶμα. μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι ὀλίγοι εἰσὶν ὑπολειφθέντες οἱ μὴ κατορθώσαντες· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι οὗτοι οἱ ὀλίγοι οἱ μὴ διορθώσαντες, πολλοὺς διαφθείρουσιν ἑτέρους. καὶ γὰρ εἷς ἦν πεπορνευκὼς παρὰ Κορινθίοις, καὶ ὅμως οὕτως ἔστενεν ὁ Παῦλος, ὡς ὅλης τῆς πόλεως ἀπολωλυίας. καὶ μάλα εἰκότως· ᾔδει γὰρ ὅτι μὴ σω-

E φρονισθέντος ἐκείνου, ταχέως τὸ νόσημα ὁδῷ βαδίζον καὶ τοὺς ἄλλους ἐπινεμήσεται πάντας. εἰ γὰρ ἐν τοῖς μέλεσι τὸ σεσηπὸς καὶ ἀνιάτως ἔχον ἐκκόπτομεν, φοβούμενοι, μὴ τὸ λοιπὸν τὴν αὐτὴν λύμην ὑποδέξηται σῶμα· καὶ ποιοῦμεν τοῦτο, οὐκ ἐκείνου καταφρονοῦντες, ἀλλὰ τὸ λοιπὸν διαφυλάξαι μᾶλλον βουλόμενοι, πόσῳ μᾶλλον ἐπὶ τῶν συνόντων ἡμῖν κακίᾳ τοῦτο πράττειν ἀναγκαῖον; εἰ μὲν γὰρ δυνάμεθα τοὺς κακίους διορθῶσαι, καὶ αὐτοὶ μὴ παραβλαβῆναι, πάντα ποιεῖν χρή. εἰ δὲ κἀ-

A κεῖνοι μένοιεν ἀδιόρθωτοι, καὶ ἡμᾶς παραβλάπτοιεν, ἐκκόπτειν αὐτοὺς καὶ ῥίπτειν ἀναγκαῖον. εἰ γὰρ υἱοὺς φαύλους ἔχοντες ἐκκηρύττομεν, καὶ οὐδὲ τὴν φύσιν αἰδούμεθα, πολλῷ μᾶλλον τοὺς συνήθεις καὶ γνωρίμους, φεύγειν δεῖ πονηροὺς ὄντας. ἀλλὰ σκανδαλίζονται, φησί, καὶ κακῶς ὑποπτεύουσι. καὶ τί τοῦτο; σὺ σαυτὸν τίμησον, καὶ οὐδείς σε ὑβρίσαι δυνήσεται. ἂν δὲ σὺ σαυτὸν ἀτιμάζῃς, κἂν ἅπαντές σε τιμήσωσιν, οὐ τιμηθήσῃ ποτέ. ὁ μὲν γὰρ πονηροῦ δόξαν λαβὼν ἀγαθὸς

B ὤν, οὐδὲν ἐντεῦθεν βλάπτεται, ὥστε τὸ εἶναι τοῦτο ὅπερ ἐστίν· ἀλλ' ὁ ὑποπτεύσας εἰκῆ, καὶ μάτην, τὴν ἐσχάτην δίδωσι δίκην· ὁ δὲ πονηρὸς ἂν ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύηται, οὐδὲν ἐντεῦθεν κερδαίνει, ἀλλὰ καὶ κρίμα ἐξεργάζεται, καὶ εἰς πλείονα ἐξέρχεται ῥᾳθυμίαν. ὁ μὲν γὰρ ὢν τοιοῦτος καὶ ὑποπτευόμενος, κἂν συσταλείη καὶ ἐπιγνοίη τὰ ἁμαρτήματα ἑαυτοῦ· ὅταν δὲ λανθάνῃ, καὶ εἰς ἀναλγησίαν ἐκπίπτει. εἰ γὰρ πάντων κατηγορούντων μόλις διανίστανται οἱ πλημμελοῦντες εἰς τὸ κατ-

C ανυγῆναι, ὅταν μὴ μόνον κατηγορῶσιν, ἀλλὰ καὶ ἐπαινῶσί τινες αὐτούς, πότε ἀναβλέψαι δυνήσονται; ὥστε οὐ δυνατὸν τὸν ἐν ἀρετῇ ὄντα παρὰ πάντων ἀκούειν καλῶς· οὐδὲ ἔστι τὸν ἀρετῆς ἐπιμελούμενον, μὴ πολλοὺς ἔχειν ἐχθρούς. ἡ γὰρ παρὰ πάντων εὐφημία τεκμήριον ἂν εἴη μέγιστον, τοῦ μὴ πολλοῦ τῆς ἀρετῆς ποιεῖσθαι λόγον. πῶς γὰρ παρὰ πάντων ἐπαινεθείη ὁ τοιοῦτος, εἰ βούλοιτο τοὺς ἀδικουμένους ἐξαρπάζειν τῶν ἀδικούντων; πάλιν, εἰ βούλοιτο διορθοῦν τοὺς ἁμαρτάνοντας,

D καὶ ἐπαινεῖν τοὺς κατορθοῦντας, οὐκ εἰκὸς τοὺς μὲν ἐπαινεῖν, τοὺς δὲ ψέγειν; ὥστε τὸν μετ' ἀκριβείας τὴν ἀρετὴν μετιόντα, καὶ τὸν παρὰ τοῦ θεοῦ μόνου δεχόμενον ἔπαινον, ἀδύνατον ἂν εἴη παρὰ πάντων ἀνθρώπων ἐπαινεῖσθαι καὶ καλῶς ἀκούειν. πολλὴν γὰρ ἀεὶ τὴν μανίαν ἐπιδείκνυται ἡ κακία κατὰ τῆς ἀρετῆς· ἀλλ' οὐ μόνον οὐδὲν αὐτὴν βλάπτει, ἀλλὰ καὶ τῷ πολεμεῖν ἰσχυροτέραν ταύτην ἀπεργάζεται. τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχύς, ὅτι καὶ ἐν τῷ πάσχειν τῶν τοιούτων περιγίνεται, καὶ ἐν τῷ πολεμεῖσθαι τῶν πολεμούντων ἀνωτέρα καθίσταται. ἐννόησον γάρ

E μοι τὸν Ἄβελ· οὐχὶ ἀνῃρέθη ὑπὸ τοῦ Κάϊν; ἀλλ' ὁ μὲν ἀναιρεθεὶς ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀνακηρύττεται καὶ στεφανοῦται, καὶ ὁ τοσοῦτος χρόνος τὴν μνήμην οὐκ ἐμάρανεν· ὁ δὲ ἀνελὼν καὶ περιγενόμενος, καὶ τὴν ζωὴν βαρυτέραν θανάτου ὑπέμεινε, καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν στηλιτεύεται, καὶ τὰς παρὰ πάντων κατηγορίας δέχεται. καὶ ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ· τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ποῖος λόγος, ποία διάνοια παραστῆναι δυνήσεται; ἄκουσον δὲ καὶ τοῦ Χριστοῦ λέγοντος·

ὁμοιω-

καὶ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία. ὥστε ζύμης δύναμιν ἔχουσιν οἱ δίκαιοι, ἵνα πρὸς τὴν ἑαυτῶν ποιότητα τοὺς πονηροὺς μεταστήσωσιν. ἀλλ' ὀλίγοι οἱ δίκαιοι· καὶ γὰρ καὶ ἡ ζύμη μικρά· ἀλλ' ἡ μικρότης ἐκείνη ἅπαν τὸ φύραμα πρὸς ἑαυτὴν μεθίστησι, διὰ τῆς ἐνούσης αὐτῇ δυνάμεως. οὕτω καὶ ἡ δύναμις τῶν δικαίων οὐκ ἐν τῇ ποσότητι τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ τοῦ πνεύματος χάριτι τὴν ἰσχὺν ἔχει. καὶ ὅπως, ἄκουε. δώδεκα ἦσαν οἱ ἀπόστολοι· εἶδες πῶς μικρὰ ἡ ζύμη; ὅλη ἡ οἰκουμένη ἐν ἀπιστίᾳ ἦν· εἶδες πόσον τὸ φύραμα; ἀλλ' ἐκεῖνοι οἱ δώδεκα πᾶσαν τὴν οἰκουμένην εἰς ἑαυτοὺς ἐπέστρεψαν. καὶ γὰρ καὶ ἡ ζύμη καὶ τὸ φύραμα τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς ποιότητος. εἰ δὲ βούλει καὶ ἑτέρωθεν γνῶναι ὅσον δύναται πλέον παῤῥησία δικαίου δυναστείας τυραννικῆς, τοῦ Ἰωάννου ἄκουσον λέγοντος τῷ Ἡρώδῃ· οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. ὁ Ἡρώδης, βασιλεὺς, δορυφόρους ἔχων, πλούτῳ περιβεβλημένος, δυναστείαν δυναστεύων βασιλικήν· ὁ Ἰωάννης πτωχὸς, ἄοικος, ἄπολις, ἀκτήμων, ἄσιτος, ἀκρίδας ἐκ βοτανῶν ἐσθίων, καὶ μέλι ἄγριον. ἀλλ' οὗτος ὁ πτωχὸς, ὁ ἐν ταῖς ἐρήμοις πορευόμενος, τῷ τῶν πολυάνδρων ἄρχοντι πόλεων ἐξ αὐθεντίας προστάττει, οὐκ ἔξεστί σοι. βλέπεις πῶς κατὰ φύσιν τῇ ἀρετῇ τὸ ἄρχειν τῆς κακίας; ἀλλ' ὑπὲρ τούτων ἐμβάλλεται εἰς δεσμωτήριον ὁ δίκαιος· γίνεται τὸ πικρὸν ἐκεῖνο συμπόσιον, καὶ εἰσέρχεται ὀρχουμένη τὸ κοράσιον ἐν μέσῳ τοῦ συμποσίου, καὶ ἀρέσκει τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, ὥστε τὸν Ἡρώδην ὀμόσαι, αἴτησαι ὃ θέλεις, καὶ δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. βλέπεις πῶς τὴν βασιλείαν ἀπέῤῥιψεν; ὃ ἐὰν αἰτήσῃς δώσω σοι, καὶ ἕως ἡμίσους τῆς βασιλείας μου. ἄθλιε καὶ ταλαίπωρε, οὕτω ταχέως ἐνεφράγης τῆς διανοίας τοὺς ὀφθαλμούς; τοσούτου κρίνεις τὴν βασιλείαν ἀξίαν; ἅπαξ ὠρχήσατο τὸ κοράσιον, καὶ ἀπεδίδοσο τὸ ἥμισυ· ἐὰν δὲ δεύτερον ὀρχήσηται, τί ποιήσεις; εὖξαι μὴ πάλιν ὀρχήσασθαι, ἢ μὴ πάλιν ὀρχησαμένην εὐδοκιμεῖν· εἰ δὲ μὴ, λείπεταί σοι τὸ προσαιτεῖν. οἱ γὰρ πρὸς τὰ παρόντα κεχηνότες, κἂν μυρία πλουτῶσι, κἂν δυναστείαν ὦσι περιβεβλημένοι πολλὴν, ἐν τάξει δούλων καὶ ἀνδραπόδων τοῖς τὴν ἀρετὴν μετιοῦσιν εἰσίν. ἔστω γάρ τις βασιλεὺς πονηρὸς, καὶ ἰδιώτης χρηστός· ἴδωμεν τίς τίνος κύριος ἐστι, καὶ πῶς τὰ τῆς δεσποτείας διαλάμπει· καὶ τίς ὁ κρατῶν, καὶ τίς ὁ κρατούμενος. πῶς οὖν εἰσόμεθα τοῦτο; ἐπιταττέτω τῷ ἰδιώτῃ ὁ βασιλεὺς πονηρόν τι πρᾶγμα, καὶ πλημμελείας γέμον· τί οὖν ὁ χρηστὸς ἰδιώτης ὑπήκοος; οὐ μόνον οὐκ εἴξει οὐδὲ ὑπακούσεται, ἀλλὰ πειράσεται καὶ τὸν ἐπιτάττοντα ἀπαγαγεῖν τοῦ προκειμένου, κἂν ἀποθανεῖν δέοι. τίς οὖν ἐλεύθερος; ὁ ποιῶν ὃ βούλεται, καὶ μηδὲ τὸν βασιλέα δεδοικώς; ἢ ὁ παρὰ τοῦ ὑπηκόου καταφρονούμενος; ὥσπερ γὰρ ὁ αἰχμάλωτος κἂν μυρίον ἔχῃ πλοῦτον διὰ τοῦτ' αὐτὸ μάλιστα πᾶσιν εὐάλωτός ἐστιν· οὕτω καὶ ὁ ὑπὸ τῶν παθῶν ἁλισκόμενος, κἂν αὐτὸ περίκειται τὸ διάδημα, ἀράχνης πάσης ἐστὶν εὐτελέστερος. τί τοίνυν ἐλεεινότερον γένοιτο τῶν τὴν κακίαν μετιόντων, ὅταν καὶ αὐτῆς τῆς προσηγορίας τοῦ καλεῖσθαι ἄνθρωποι ἀποστερῶνται, καὶ τιμωρίαν ὑπέχωσιν, ὅτι πολλὰς ἀπὸ τῆς φύσεως ἀφορμὰς δεξάμενοι, ταύτας προδεδώκασιν, ἑκόντες ὑποσυρέντες, καὶ πρὸς τὴν κακίαν αὐτομολήσαντες; εἰ γὰρ ὁ τὸ δοθὲν ἀποδιδοὺς πονηρὸς, ἐπεὶ μὴ ἐδιπλασίασεν, ὁ καὶ τοῦτο διαφθείρας, τί ἀκούσεται; εἰ ἐκεῖνος δεθεὶς ἐξεβλήθη, ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων, ἡμεῖς τί πεισόμεθα μυρίων ἡμᾶς ἑλκόντων ἐπ' ἀρετὴν, ἀναδυόμενοι καὶ ὀκνοῦντες; οὐχ ὁρᾷς τὸ εὐτελὲς τοῦ βίου καὶ τὸ ἄδηλον τῆς ζωῆς, καὶ τὸν ἐν τοῖς παροῦσι πόνον; μὴ γὰρ τὴν μὲν ἀρετὴν μετὰ πόνου, τὴν δὲ κακίαν ἄνευ πόνων ἔστι μετελθεῖν; εἰ οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ πόνος, διὰ τί μὴ ταύτην ἀλλὰ τὴν πολὺ κέρδος ἔχουσαν; μὴ τοίνυν ἐπειδὴ ἱερέα ἴδῃς ἀνάξιον, τὴν ἱερωσύνην διάβαλλε. οὐ γὰρ τὸ πρᾶγμα διαβάλλειν δεῖ, ἀλλὰ τὸν κακῶς τῷ καλῷ κεχρημένον· ἐπεὶ καὶ Ἰούδας προδότης ἐγένετο, ἀλλ' οὐ κατηγορία τοῦτο τῆς ἀποστολῆς, ἀλλὰ τῆς ἐκείνου γνώμης. καὶ ἰατροὶ πολλοὶ δήμιοι ἐγένοντο, καὶ δηλητήρια δεδώκασιν ἀντὶ φαρμάκων· ἀλλ' οὐ τὴν τέχνην διαβάλλω, ἀλλὰ τὸν κακῶς τῇ τέχνῃ χρησάμενον. καὶ ναῦται κατεπόντισαν πλοῖα, ἀλλ' οὐχ ἡ ναυτιλία, ἀλλ' ἡ κακὴ γνώμη ἐκείνων. ἀνάγκη μὲν ἐλθεῖν τὰ σκάνδαλα, φησί· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὰ σκάνδαλα ἔρχεται. τί οὖν; ἡ πρόῤῥησις αὐτοῦ τὰ σκάνδαλα ἄγει; οὐχ ἡ πρόῤῥησις αὐτοῦ, ἄπαγε· οὐδὲ ἐπειδὴ προεῖπε, διὰ τοῦτο γίνεται· ἀλλ' ἐπειδὴ πάντως ἔμελλεν ἔσεσθαι, διὰ τοῦτο προεῖπεν· ὡς εἴγε μὴ ἐβούλοντο οἱ φέροντες αὐτὰ πονηρεύεσθαι, οὐδ' ἂν ἦλθον. εἰ δὲ μὴ ἔμελλον ἔρχεσθαι, οὐδ' ἂν προεῤῥήθη. ἐπειδὴ δὲ ἐκακούργησαν ἐκεῖνοι, καὶ ἀνίατα ἐνόσησαν, ἦλθον, καὶ προλέγει τὸ μέλλον ἔσεσθαι. καὶ εἰ διωρθώθησαν ἐκεῖνοι; φησὶ, καὶ μηδεὶς ἦν ὁ τὰ σκάνδαλα κομίζων, οὐκ ἔμελλεν ὁ λόγος οὗτος ψευδὴς ἀναλίσκεσθαι; οὐδαμῶς. οὐ γὰρ ἂν ἐλέχθη· εἰ γὰρ ἔμελλον διορθοῦσθαι πάντες, οὐκ ἂν εἶπεν, ὅτι ἀνάγκη ἐλθεῖν. ἀλλ' ἐπειδὴ

E νῦν ἐπιθώμεθα, οὐδεὶς ἔσται πόνος ἡμῖν. Ταῦτα ἀκούσας ὁ τύραννος καλεῖ καὶ τὸν Χουσὶ, τὸν αὐτομολήσαντα τῇ ὑποκρίσει πρὸς αὐτὸν, καί φησι· μεταδῶμεν καὶ τούτῳ τοῦ λόγου· [ὅπερ οὐκ ἦν κατὰ ἀκολουθίαν ἀνθρωπίνην, τὸν ἀθρόον ἐλθόντα οὕτω, οὕτω τιμῆσαι καὶ νομίσαι ἀξιόπιστον εἶναι, ὡς καὶ συμβουλῆς ἀξιοῦν πραγμάτων οὕτω τοιούτων· ἀλλ' ὅπερ ἔφθην εἰπὼν, ὅταν ὁ Θεὸς στρατηγῇ, καὶ τὰ δύσκολα εὔκολα γίνεται·] καὶ εἰσάγεται ὁ Χουσὶ, καὶ μεταδίδωσι παρρησίας
A αὐτῷ ὁ τύραννος, καὶ ἀξιοῖ λέγειν τὰ παριστάμενα. τί οὖν ὁ Χουσί; οὐδέ ποτέ φησιν, οὕτως διήμαρτεν Ἀχιτόφελ. εἶδες σύνεσιν ἀνδρός; οὐκ εὐθέως αὐτοῦ τὴν γνώμην ἐκβάλλει, ἀλλὰ μετ' ἐγκωμίων. θαυμάσας γὰρ αὐτὸν πρῶτον ὡς ἐν τοῖς ἔμπροσθεν χρόνοις καιρίως συμβουλεύσαντα, οὕτω τὴν παροῦσαν κακίζει γνώμην, μονονουχὶ λέγων, θαυμάζω, πῶς νῦν διήμαρτεν· οὐ γάρ μοι δοκεῖ συμφέρειν οὗτος ὁ λογισμός. ἂν μὲν γὰρ νῦν ἐπιθώμεθα, καθάπερ ἄρκτος τις πα-
B ροιστρῶσα θυμοῦ γέμων ὁ πατήρ σου, καὶ ἀπεγνωκὼς τῆς ἑαυτοῦ ζωῆς, ἐν ἀκμαζούσῃ τῇ ὀργῇ πολεμῶν, οὐδένα τῆς σωτηρίας ποιήσεται λόγον, καὶ μετὰ πολλῆς ἐμπεσεῖται τῆς σφοδρότητος ἡμῖν. εἰ δὲ μικρὸν ἐνδοίημεν, μετὰ πλείονος ἐπιθησόμεθα τῆς παρασκευῆς, καὶ μετὰ μείζονος τῆς ἀσφαλείας, καὶ ἀπονητὶ, μετ' εὐκολίας ἁπάσης, ὥσπερ ἐν σαγήνῃ λαβόντες αὐτὸν, οὕτως ἐπανήξομεν. ἐπαινεῖ τὴν γνώμην ὁ Ἀβεσσαλὼμ ταύτην, καὶ λυσιτελεστέραν εἶναι ἔφησεν αὐτῷ. ταῦτα
C δὲ ἔλεγεν ὁ Χουσὶ, βουλόμενος δοῦναι καιρὸν τῷ Δαβίδ, ὥστε στῆναι μικρὸν καὶ ἀναπνεῦσαι, καὶ στρατεύματα συναγαγεῖν. εἶτα τούτῳ ἐκβαλὼν τοῦ Ἀχιτόφελ τὴν γνώμην, διά τινων κεκρυμμένων πέμψας ἀνδρῶν, ἀπήγγειλεν ἅπαντα τῷ Δαβίδ· καὶ ὅτι τὴν αὐτοῦ γνώμην ἐκύρωσεν ὁ τύραννος, τὴν φέρουσαν τῷ Δαβὶδ τὴν νίκην. οὕτω γοῦν καὶ ἐξέβη. ἐπειδὴ γὰρ μικρὸν ἔδοσαν οἱ περὶ τὸν τύραννον, παρασκευασάμενος ὁ Δαβὶδ ἐπέθετο, καὶ τὸ τρόπαιον ἔστησεν. ὅπερ ὁ
D Ἀχιτόφελ ἀπὸ πολλῆς συνέσεως καὶ δεινότητος συνορῶν, καὶ ἐντεῦθεν ἤδη τὸ τέλος καταμαθὼν, ὅτι ὄλεθρος ἦν τῷ Ἀβεσσαλὼμ αὕτη ἡ γνώμη, οὐκ ἐνεγκὼν τὴν ἐντεῦθεν ἀθυμίαν, ἀπελθὼν, βρόχον ἅψας καὶ ἀπήγξατο, καὶ οὕτω τὸν βίον κατέλυσε. περὶ τοῦ Ἀχιτόφελ οὖν καὶ τοῦ Ἀβεσσαλὼμ εἴρηται τὸ, ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ· ἀμφοτέρων γὰρ εἰς κεφαλὴν ἡ τιμωρία κατέβη· ὁ μὲν γὰρ ἀγχόνῃ χρησάμενος, οὕτω τὸν βίον κατέλυσεν· ὁ Ἀβεσσαλὼμ δὲ, οὐκ ἀπήγ-
E ξατο, ἀλλ' ἄκων ἐκρέματο, καὶ οὐκ εὐθέως ἀνῄρητο, ἀλλ' ὥσπερ ἐν δικαστηρίῳ πρότερος ἀνηρτήθη καὶ τῷ ξύλῳ προσηλώθη. καὶ τοῦ Θεοῦ τὴν ψῆφον ἄνωθεν φέροντος, ἐπὶ πολὺ ἐκρέματο χρόνον ὑπὸ τοῦ συνειδότος λοιπὸν μαστιζόμενος. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀνθρωπίνης ἦν σπουδῆς τὸ γενόμενον, ἀλλ' ὅλον θεῖον ἦν τὸ δικαστήριον, τρίχες αὐτὸν καὶ ξύλον ἔδησε, καὶ ζῶον ἄλογον παρέδωκε· καὶ ἀντὶ μὲν σχοίνου ἡ κόμη, ἀντὶ δὲ ξύλου τὸ δένδρον γέγονεν, ἀντὶ δὲ στρατιώτου ἡ ἡμίονος. καὶ σκόπει τοῦ Θεοῦ τὴν μακροθυμίαν· καὶ γὰρ ἀφῆκεν αὐτὸν χρόνον πολὺν, ὡς μετάνοιαν ἐφελκόμενος, καὶ πάρεσιν λαβεῖν

ἐποίησε

ἐπειρᾶτο τῆς τοῦ πατρὸς γλυκύτητος. εἰ γὰρ μὴ θηρίον ἦν, καὶ λιθίνην εἶχε ψυχὴν, ἱκανὰ ἦν ἐκεῖνα πάντα αὐτὸν ἀπαγαγεῖν τῆς ἀκαίρου μανίας· ἡ τράπεζα, καθ' ἣν ἐκοινώνει τῷ πατρὶ τῶν ἁλῶν· ὁ οἶκος, τὰ συνέδρια, ἐν οἷς οἱ λόγοι πρὸς αὐτὸν ἐγίνοντο· τὰ ἄλλα πάντα, ἐν οἷς αὐτῷ κατηλλάγη φόνον τοιοῦτον πεποιηκότι. μετὰ τούτων καὶ ἕτερα ἦν ἱκανὰ αὐτὸν μαλάξαι. καὶ γὰρ ἤκουσεν ὅτι φυγὰς καὶ ἀλήτης περιέρχεται, ὅτι τὰ ἔσχατα ἔπασχε δεινά. πῶς δὲ οὐκ ἐνενόησεν, ὅτι καὶ νικήσας, πάντων ἀθλιώτερον ἀνέζη βίον, ἐναγὴς ὢν καὶ ἀκάθαρτος ἀπὸ τοῦ τροπαίου, καὶ ταῦτα λοιπὸν, γέροντος ὄντος τοῦ πατρὸς, καὶ ἐπὶ θύραις τῆς προσδοκίας οὔσης, οὐκ ἀνέμεινε χρόνον ἔτι μικρόν. ποῦ νῦν εἰσιν οἱ πενίαν ὀδυρόμενοι; πόσης ταῦτα πενίας χαλεπώτερα, πόσης νόσου, πόσης ὀδύνης; οὐκ εἶπεν οὐδὲν τοιοῦτον πρὸς ἑαυτὸν ὁ δίκαιος οὗτος, οὐδὲ ἀπεδυσπέτησε· καλάς γε ἀπολαμβάνω τὰς ἀμοιβὰς, ὁ ἐν τῷ νόμῳ αὐτοῦ μελετῶν ἡμέρας καὶ νυκτός. ὁ ἐν ἀξιώματι τοσούτῳ πάντων γενόμενος ἀτιμότερος· ὁ τῶν ἐχθρῶν φεισάμενος, εἰς χεῖρας ἀκολάστου παιδὸς ἐκδίδομαι· οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἔφερεν ἅπαντα μετὰ φιλοσοφίας, μίαν μόνον ἔχων παραμυθίαν ἐν τοῖς γινομένοις, τὸ πεπεῖσθαι, ὅτι τοῦ Θεοῦ ταῦτα εἰδότος γίνεται. καὶ καθάπερ οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ ὄντες ἔλεγον· καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησας, οὐ προσκυνοῦμεν· εἰ δέ τις εἶπεν πρὸς αὐτοὺς, καὶ ποίᾳ ἐλπίδι ἀποθνήσκετε; τί προσδοκῶντες, τί δὲ ἐλπίζοντες μετὰ τὸν θάνατον, μετὰ τὸ πῦρ; [οὐδέπω γὰρ τῆς ἀναστάσεως ἦν προσδοκία] ἤκουσεν ἂν παρ' αὐτῶν· ὅτι αὕτη μεγίστη ἐστὶν ἡμῶν ἀντίδοσις, τὸ διὰ τὸν Θεὸν ἀποθανεῖν· οὕτω καὶ οὗτος μεγίστην ταύτην ἡγεῖτο αὐτῷ εἶναι παραμυθίαν, τὸ τὸν Θεὸν εἰδότα ταῦτα μὴ κωλύειν. εἰ γὰρ ἐραστὴς μυριάκις ἀνείλετο ὑπὲρ ἐρωμένης κατασφαγῆναι, καίτοι οὐδὲν μετὰ θάνατον προσδοκῶν παρ' ἐκείνης· πολλῷ μᾶλλον ἡμᾶς δεῖ μὴ βασιλείας προσδοκίᾳ, μὴ ἄλλῃ τινὶ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι, ἀλλὰ δι' αὐτὸν τὸν Θεὸν ταῦτα πάσχειν. ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A paternam dulcedinem experiretur, facit. Et ſanè niſi bellua fuiſſet, & ſaxeam animam habuiſſet: ſuffeciſſent utique iſta omnia, quæ ipſum, ab importuna illa dementia avocarent: menſa, inquam, in qua cum patre ſale veſcebatur: domus, conſeſſus, ubi ſermones ad illum habebantur: alia omnia, in quibus ipſi talis homicidii reo parens conciliabatur. Præter hæc erant etiam alia, quæ ipſum emollire poſſent, accommoda. Audivit enim quòd exul & vagus oberraret: quòd extrema pa- B teretur incommoda. Quomodo verò non intellexit, quod etiam victoria obtenta, omnium miſerrimam vitam viveret, execrabilis & ſceleſtus ob tropæum? Accedit, quòd ſene jam patre, & ſpe in finibus poſita, ne modicum quidem tempus expectaret. Ubi nunc ſunt qui paupertatem ſuam deplorant? qua, quæſo, egeſtate, quo morbo, quo dolore iſta non ſunt graviora? Iſte tamen juſtus nihil ejuſmodi ſibi ipſe locutus eſt, neque indignè tulit, dicens: Bonas potiùs reciperem retributiones, C qui in lege Domini meditor die ac nocte. Qui paulò antè in tanta dignitate poſitus eram, nunc omnium factus ſum abjectiſſimus: qui hoſtibus meis peperci, in manus flagitioſi pueri trador, nihil penitus ejuſmodi dicebat aut cogitabat: ſed omnia ſapienter ferebat, unicam conſolationem, in his quæ ei contingebant iſtam habens, quòd ſibi certò perſuaderet, Deo conſcio, univerſa iſta accidere. Et quemadmodum tres pueri in camino exiſtentes dicebant: Et ſi non feceris, notum ſit tibi, D Rex, quòd Deos tuos non colemus, & auream ſtatuam quam erexiſti non adorabimus: Si verò quis ad illos dixiſſet, Et quanam ſpe mortem oppetitis, quid expectantes, quidve ſperantes poſt mortem: poſt ignem (nec dum enim reſurrectionis erat ſpes) audiviſſet ab illis, quia hæc maxima nobis remuneratio eſt, quod propter Deum moriamur: Sic etiam iſte ſummum ſibi duxit ſolatium, quod Deus iſta perſpecta habens non impediret. Si enim amans quiſpiam, millies pro amata occidi E optet, quamvis nihil poſt fata ab illa ſperet: Multò magis convenit, nos non ob ſpem regni, nec ob ſpem aliquam futurorum bonorum, ſed propter Deum ipſum iſta perferre. Quoniam ipſum decet gloria in ſecula ſeculorum. Amen.

Περὶ ὅρκων.

Λόγος κη'.

A

ΜΗ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελῶμεν, ἀγαπητοί. ποία γὰρ ὀδύνη, εἰπέ μοι, ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; ὀδύνη μᾶλλον οὖν ἐστι τὸ μνησικακεῖν καὶ μὴ καταλλάττεσθαι. ποῖος πόνος μὴ κακῶς εἰπεῖν μηδένα; ποία δυσκολία ἀπαλλαγῆναι φθόνου, καὶ ἔριδος, καὶ βασκανίας; ποῖος μόχθος ἀγαπᾶν τὸν πλησίον; ποῖος κάματος μὴ ὀμνύναι; πολλάκις γὰρ ὑπὸ θυμοῦ καὶ ὀργῆς κατεχόμενοι διωμοσάμεθα μηδέποτε διαλλάττεσθαι τοῖς λελυπηκόσιν· εἶτα τῆς ὀργῆς σβεσθείσης βουληθέντες καταλλαγῆναι, ὑπὸ τῆς ἀνάγκης τῶν ὅρκων, ὥσπερ ὑπὸ παγίδος κατεχόμενοι, οὐ τὸ ποιῆσαι οὐ βουλόμεθα· ὡς δυοῖν θάτερον πάθωμεν, ἢ καταλλαγέντες ἐπιορκήσομεν, ἢ μὴ καταλλαγέντες τοῖς τῆς μνησικακίας ἐπιτιμίοις ὑπευθύνους ἑαυτοὺς καταστήσομεν. πῶς γὰρ οὐκ ἄτοπον, ἱμάτιον μὲν ἔχοντες τῶν λοιπῶν βέλτιον μὴ ἀνέχεσθαι συνεχῶς αὐτῷ καταχρᾶσθαι, τὸ δὲ τοῦ Θεοῦ ὄνομα πανταχοῦ περισύρειν ἁπλῶς καὶ ὡς ἔτυχεν; οὐ γὰρ δὴ πᾶν ἁμάρτημα τὴν αὐτὴν φέρει κόλασιν, ἀλλὰ τὰ εὐκατόρθωτα, μείζονα ἡμῖν ἐπάγει τὴν τιμωρίαν. οὐδὲ γὰρ οἱ ὀμνύοντες ἔχουσί τινα πρόφασιν προβαλέσθαι, ἀλλὰ καταφρόνησιν μόνον. καὶ οἶδα μὲν ὅτι ἐπαχθὴς εἶναι δοκῶ λοιπὸν καὶ φορτικὸς τῇ συνεχείᾳ τῆς παραινέσεως δοκῶν ἐνοχλεῖν· ἀλλ' ὅμως οὐκ ἀφίσταμαι, ἵνα κἂν τὴν ἀναισχυντίαν αἰδεσθέντες τὴν ἐμὴν, ἀποστῆτε τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. εἰ γὰρ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀπηνὴς καὶ ὠμὸς, χήρας ἐνόχλησιν αἰδεσθεὶς, τὸν τρόπον μετέβαλε, πολλῷ μᾶλλον ὑμᾶς τοῦτο ἐργάσασθαι· καὶ μάλιστα ὅταν ὁ παρακαλῶν ὑμᾶς μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῆς ὑμετέρας σωτηρίας τοῦτο ποιῇ. μᾶλλον δὲ καὶ ὑπὲρ ἐμαυτοῦ, οὐκ ἂν ἀρνησαίμην τοῦτο ποιεῖν. τὰ γὰρ ὑμέτερα ἀγαθὰ ἐμαυτοῦ νομίζω εἶναι κατορθώματα. εἰ γὰρ μηδὲ γέεννα ἦν μηδὲ κόλασις, ἐγὼ δὲ προσελθὼν ὑμῖν τοῦτο ἐν χάριτος ᾐτησάμην μέρει, ἆρα οὐκ ἂν ἐπενεύσατε; οὐκ ἂν ἐδώκατε τὴν αἴτησιν οὕτω κούφην, οὕτως αἰτοῦντι χάριν; ὅταν δὲ ὁ Θεὸς αὐτὴν αἰτῇ, δι' ὑμᾶς τοὺς διδόντας, οὐ δι' ἑαυτὸν λαμβάνοντα, τίς οὕτως ἀγνώμων, τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς Θεῷ χάριν αἰτοῦντι μὴ δοῦναι; παρακαλῶ οὖν ὑμᾶς, τὴν κεφαλὴν Ἰωάννου λαβόντας ἀποτετμημένην, καὶ θερμοῦ τοῦ αἵματος ἔτι ἀποστάζουσαν,

---

DE JURAMENTIS.

HOMILIA XXVIII.

VIrtutem animi ne negligamus, chariſſimi. Quis enim dolor, obſecro te, iram contriſtanti remittere? Dolor B potiùs eſt, injuriæ meminiſſe & non reconciliari. Quis labor, nemini maledicere? Quæ difficultas ab invidia & contentione ac livore liberari? Quæ moleſtia proximum diligere? Quantus labor, non jurare? Sæpius enim ira & furore detenti jurando affirmavimus, nunquam velle nos lædentibus reconciliari: deinde verò, ira extincta, reconciliari cupientes, juramentorum neceſſitate veluti laqueo detenti, idipſum facere nolumus: Unde è duobus alterum nobis evenit, ut aut reconciliati peje- C remus; aut non reconciliati odii pœnis obnoxios nos conſtituamus. Quomodo enim abſurdum non eſt, veſtem quidem habentes reliquis meliorem, eadem continuè abuti non ſuſtinere, Dei verò nomen ubique temerè, & ut fors obtulerit, traducere? Nec porro quodvis peccatum eandem fert pœnam, ſed quæ facilè corrigi poſſunt, majus ſupplicium nobis conciliant. Qui enim jurant, nullam poſſunt prætendere excuſationem, præter contemptum. Novi quidem quod moleſtus & oneroſus D eſſe deinceps videar, dum vos aſſidua videor cohortatione fatigare. Sed tamen non ceſſo: ut vel hanc meam quaſi impudentiam veriti à prava jurandi conſuetudine deſiſtatis. Si Luc. 18. enim judex ille improbus & crudelis, viduæ importunitatem veritus, mores mutavit: multò magis vos id faciatis: maximè cùm vos exhortans non ſui causâ, ſed propter ſalutem veſtram hoc præſtet. Quin & propter meipſum me id agere non negaverim. Veſtra enim commoda, mea propria rectè facta E exiſtimo. Si enim neque gehenna eſſet, nec ullum ſupplicium; ego vero vos adiens beneficii loco à vobis id petiiſſem, nonne mihi annuiſſetis? nonne petitionem tam facilem, hoc modo petenti gratiam, conceſſiſſetis? Cùm verò Deus idipſum petat, & quidem propter vos, qui datis, non propter ſe qui accipit, quis adeo ingratus, quis ita miſer & infelix eſt, ut Deo beneficium petenti dare nolit? Vos itaque adhortor, ut caput Joannis reſectum, & calido adhuc cruore ſtillans accipientes, ſic domum

mum quiſque ſuam redeatis; illúdque ante oculos videre vos putetis, vocem emittens & dicens: Odio habete jugulatorem meum, juramentum. Sæpè enim artifex quiſpiam jurejurando diſcipulo dixit, non prius ſe permiſſurum, ut comedat & bibat, donec datum ſibi opus integrum perfecerit. Idipſum quoque ſubinde pædagogus erga adoleſcentem, & erga ancillam domina fecit: Et neceſſe tamen eſt, veſpera adveniente & opere nondum completo, aut hos, qui non abſolverint, fame perire; aut jurantes omnino pejeraſſe. Non rarò etiam domi prandium nobis facientibus, & ſervorum aliquo delinquente, illum flagellaturum ſeſe uxor juravit: mox contrarium juravit maritus, & reſtitit contendens, nec id permittens. Hic quicquid fecerint, neceſſe omnino eſt perjurium conſtitui. Quicquid enim fiat, alter ipſorum perjurii reus erit: quin prorſus ambo ſimul. Idque qua ratione fiat, dicam: mirabile enim hoc eſt. Juratus flagellaturum ſe ſervum vel ancillulam, deinde prohibitus, & ipſe pejeravit, quia non fecit quod juravit; & prohibentem, ac juramenti veritatem impedientem perjurii crimine alligavit. Non enim pejerantes tantùm, ſed alii quoque neceſſitatem hanc afferentes, eorundem criminum rei ſunt. Quomodo verò abſurdum non eſt, famulum quidem non audere Dominum ſuum nomine proprio compellare, nec temere & quocunque modo: Angelorum verò Dominum leviter & magno cum contemptu ubique circumferre? Vis diſcere qua ratione à prava jurandi conſuetudine liberari poſſis? Ego modum te docebo, quem ſi obſervaveris, omnino victor evades. Si igitur teipſum, aut etiam alios aliquos gravi hoc morbo captos, eóſque aſſiduè admonitos, nec tamen emendatos videris; jube ut incœnati dormiant: atque hanc tibi pariter & illis mulctam impone: mulctam dico, quæ non damnum, ſed lucrum adfert. Lingua enim quæ hoc modo aſſiduè torquetur, nomine etiam ſuggerente, ſufficientem accipit admonitionem: & licet omnium ſtupidiſſimi fuerimus, pœnæ tamen illius magnitudine toto die commonefacti, alio conſilio aut adhortatione non indigebimus. Sicut enim ſervus, inquit, interrogatus aſſiduè, à livore non minuitur: ſic omnis jurans & nominans ſemper nomen Dei, in toto à peccato non purgabitur. (Eccleſ. 23. juxta Lat.) Ipſi igitur nobis perſuadeamus, jurandi fugere conſuetudinem, & in melius facere commutationem. Etſi enim & heri & ante illam diem, de iſta materia apud vos diſſeruerim: nec hodie tamen deſiſtam, nec craſtina die, nec ſequenti, hæc monere. Et quid dico craſtina die & ſequenti? donec vos emendatos videro, non ceſſabo. Eadem enim aſſiduè ſuggerere, non dicentis, ſed auditorum, perpetua doctrina indigentium, culpa eſt. Quid enim facilius quàm non jurare? Conſuetudo duntaxat eſt illa correctio; labor corporis non eſt. Qui jam prævenit, ſeſéque correxit, increpet poſt ſe relictum, ut amplius illum cavillis excitet: Qui vero tardior fuit, & necdum ſe emendavit, præcedentem conſideret, eúmque propediem aſſequi contendat. Nec mihi quis dicat: Quid ſi neceſſitatem quiſpiam jurandi nobis imponat? Quid vero ſi non credat? Maximè equidem ubi lex violatur, nullam neceſſitatis facere mentionem oportet: una enim inevitabilis eſt neceſſitas, Deum non offendere. Cæterùm illa dico, ut interim ſuperflua juramenta præſcindamus, ea, inquam, quæ temerè & ſine neceſſitate, quæ domi, quæ in amicis & famulis fiunt. Ac ſi iſta ſuſtuleris, in illis me deinceps non indigebis. Illud enim os quod timere & fugere juramenta didicit, ſi vel decies millies quis coëgerit, nunquam admittet, ut in illam conſuetudinem incidat. Fertur quidam externorum oratorum abſurda conſuetudine dexterum humerum inter ambulandum moviſſe: quam tamen conſuetudinem ſuperavit, cultris acutis utrique humero impoſitis, ut vulneris timore membrum illud, ſi moveretur, compeſceret. Hoc igitur & tu in lingua tua facito, & loco cultri, ſupplicii metum ei imponas: ſic enim omnino vinces. Fieri enim haud poteſt; haud, inquam, fieri poteſt, ut qui curam ſtudiúmque adhibent, atque hoc efficere contendunt, aliquando vincantur. Quæ enim nobis reliqua eſt excuſatio, aut quæ venia, ſi poſt tantam admonitionem in juramentorum vitio perſeveremus? Quomodo igitur nos ab incumbentibus malis liberari poſcemus, ſi vel unum mandatum perficere nequeamus? Quomodo verò bonam commutationem ſperabimus? Quomodo etiam preces fundemus, aut qua lingua Deum invocabimus? Quo pacto enim non abſurdum eſt, Rege quidem mandante, difficillima etiam ſubire: Deo verò nihil grave aut difficile præſcribente, contemnere & pravam conſuetudinem prætendere? Ne quæſo, ne uſque adeo noſtram ſalutem negligamus: Timeamus Deum, ſicuti hominem timemus. Turpe enim eſt, regias tam exactè ſervare leges,

οὕτως ἀπελθεῖν οἴκαδε ἕκαστον, καὶ νομίζειν πρὸ τῶν ὀφθαλμῶν ὁρᾶν αὐτὴν, φωνὴν ἀφιεῖσαν, καὶ λέγουσαν· μισήσατε τὸν ἐμὸν σφαγέα, τὸν ὅρκον. πολλάκις γὰρ τεχνίτης διώμοσε τῷ μαθητῇ, μὴ πρότερον αὐτὸν ἀφήσειν φαγεῖν καὶ πιεῖν, ἕως τὸ δοθὲν ἔργον ἅπαν ἀνύσῃ. τοῦτο δὲ καὶ παιδαγωγὸς πολλάκις πρὸς νέον, καὶ πρὸς θεράπαιναν ἐποίησε δέσποινα· καὶ ἀνάγκη τῆς ἑσπέρας καταλαβούσης, καὶ τοῦ ἔργου μὴ πληρωθέντος ἢ λιμῷ διαφθαρῆναι τοὺς οὐκ ἀνύσαντας, ἢ ἐπιορκῆσαι πάντως τοὺς ὀμόσαντας. πολλάκις καὶ ἐπὶ τῆς οἰκίας ἀριστοποιουμένων ἡμῶν, καὶ τῶν οἰκετῶν τινος διαμαρτάνοντος, ὤμοσε μαστιγώσειν ἡ γυνή· ἀντώμοσεν ὁ ἀνὴρ τἀναντία, καὶ ἀνέστη φιλονεικῶν καὶ οὐκ ἐπιτρέπων. ἐνταῦθα κἂν ὅτιοῦν ποιήσωσιν, ἀνάγκη πάντως ἐπιορκίαν συστῆναι (ὅπερ γὰρ ἂν γένηται), θάτερος αὐτῶν ἐπιορκίας ἁλώσεται· μᾶλλον δὲ ἀμφότεροι πάντως. καὶ πῶς, ἐγὼ λέγω· τοῦτο γάρ ἐστι τὸ παράδοξον. ὀμόσας μαστιγώσειν τὸν οἰκέτην ἢ τὴν θεραπαινίδα, εἶτα κωλυθεὶς, αὐτός τε ἐπιώρκησε μὴ ποιήσας ὅπερ ὤμοσε, καὶ τῷ κωλύσαντι πάλιν καὶ διακόψαντι τὴν εὐορκίαν, τὸ ἔγκλημα τῆς ἐπιορκίας περιέπησεν. οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ ἑτέροις τὴν ἀνάγκην ταύτην ἐπιφέροντες, ὑπεύθυνοι τῶν αὐτῶν ἐγκλημάτων εἰσί. πῶς γὰρ οὐκ ἄτοπον, οἰκέτην μὲν μὴ τολμᾶν ἐξ ὀνόματος τὸν δεσπότην τὸν ἑαυτοῦ καλεῖν, μηδὲ ἁπλῶς καὶ ὡς ἔτυχε, τὸν δὲ τῶν ἀγγέλων δεσπότην ἁπλῶς καὶ μετὰ πολλῆς τῆς καταφρονήσεως πανταχοῦ περιφέρειν; βούλει μαθεῖν πῶς δυνατὸν ἀπαλλαγῆναι τῆς πονηρᾶς συνηθείας τοῦ ὅρκου; ἐγώ σε διδάξω τρόπον τινὰ, ὃν ἂν ποιήσῃς, περιέσῃ πάντως. ὅταν γὰρ ἴδῃς σαυτὸν ἢ καὶ ἑτέρους τινὰς ἁλόντας τῷ κακῷ τούτῳ πάθει, καὶ συνεχῶς ὑπομνησθέντας, καὶ οὐ διορθώσαντας, κέλευσον μὴ δειπνήσαντας καθευδῆσαι· καὶ ταύτην καὶ σαυτῷ κἀκείνοις τὴν καταδίκην ἐπίθες· καταδίκην, οὐ ζημίαν, ἀλλὰ κέρδος φέρουσαν. ἡ γὰρ γλῶσσα οὕτω βασανιζομένη διηνεκῶς, καὶ μηδενὸς ὑπομιμνήσκοντος, ἱκανὴν λαμβάνει παράκλησιν· κἂν ἁπάντων ὦμεν ἀναισθητότεροι, διὰ πάσης ἡμέρας τῷ μεγέθει τῆς βασάνου ταύτης ὑπομιμνησκόμενοι, οὐ δεησόμεθα συμβουλῆς ἑτέρας καὶ παραινέσεως. ὥσπερ γάρ, φησιν, οἰκέτης ἐνδελεχῶς ἐξεταζόμενος, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται· οὕτως ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς τὸ ὄνομα τοῦ Θεοῦ, ἀπὸ ἁμαρτίας οὐ καθαρισθήσεται. πείσωμεν τοίνυν ἑαυτοὺς τὴν τῶν ὅρκων φυγεῖν συνήθειαν, καὶ τὴν ἐπὶ τὸ βέλτιον ποιήσασθαι μεταβολήν. εἰ γὰρ καὶ χθὲς, καὶ πρὸ ἐκείνης περὶ ταύτης ὑμῖν διελέχθην τῆς ὑποθέσεως, ἀλλ' οὐδὲ σήμερον ἀποστήσομαι, οὐδὲ τῇ ἐπιούσῃ οὐδὲ τῇ μετ' ἐκείνην, ταῦτα συμβουλεύων. καὶ τί λέγω τὴν αὔριον καὶ τὴν μετ' ἐκείνην; ἕως ἂν ἴδω κατορθώσαντας, οὐκ ἀφέξομαι. τὸ γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ὑπομιμνήσκειν, οὐ τῶν λεγόντων, ἀλλὰ τῶν ἀκουόντων ἐστὶν ἔγκλημα διηνεκοῦς δεομένων διδασκαλίας. τί γὰρ εὐκολώτερον τοῦ μὴ ὀμνύναι; συνήθειά ἐστι τὸ κατόρθωμα μόνον, οὐκ ἔστι πόνος σώματος. ὁ προλαβὼν καὶ κατορθώσας ὀνειδιζέτω τῷ λειπομένῳ, ἵνα αὐτὸν τοῖς σκώμμασι διεγείρῃ πλέον· ὁ ὑστερήσας καὶ μηδέπω κατορθωκὼς βλεπέτω τὸν προλαβόντα, καὶ φιλονεικείτω φθάσαι πρὸς ἐκεῖνον ταχέως. καὶ μή μοι λεγέτω τις· τί δὲ ἐὰν ἀνάγκην ὅρκου τις ἡμῖν ἐπιθῇ; τί δὲ ἐὰν μὴ πιστεύῃ; μάλιστα μὲν οὖν ὅπου παραβαίνεται νόμος, ἀνάγκης μεμνῆσθαι οὐ χρή· μία γάρ ἐστιν ἀνάγκη ἀπαραίτητος τὸ μὴ προσκροῦσαι Θεῷ. πλὴν ἐκεῖνα λέγω τέως τοὺς περιττοὺς περικόψωμεν ὅρκους, τοὺς ἁπλῶς καὶ χωρὶς ἀνάγκης, τοὺς ἐπὶ τῆς οἰκίας, τοὺς ἐπὶ τῶν φίλων, τοὺς ἐπὶ τῶν οἰκετῶν. κἂν τούτους ἀνέλῃς, ἐν ἐκείνοις ἐμοῦ οὐδὲν δεήσῃ λοιπόν· αὐτὸ γὰρ τὸ στόμα μελετῆσαν δεδοικέναι καὶ φεύγειν τοὺς ὅρκους, οὐδ' ἂν μυριάκις ἀναγκάσῃ τις, καταδέξεται λοιπὸν εἰς ἐκείνην ἐμπεσεῖν τὴν συνήθειαν. λέγεταί τις τῶν ἔξωθεν ῥητόρων ὑπό τινος συνηθείας ἀλόγου, τὸν δεξιὸν ὦμον κινεῖν βαδίζων· ἀλλ' ὅμως περιεγένετο τῆς συνηθείας, καὶ μαχαίρας ἀκονήσας ὀξυτάτας ἐπέθηκε τοῖς ὤμοις, ὥστε τῷ φόβῳ τῆς τομῆς σωφρονίσαι τὸ μέλος κινούμενον. τοῦτο καὶ σὺ ποίησον ἐπὶ τῆς γλώττης, καὶ ἀντὶ μαχαίρας, ἐπίθες αὐτῇ τὸν φόβον τῆς κολάσεως· καὶ περιέσῃ πάντως. ἀμήχανον γὰρ, ἀμήχανον μεριμνῶντας καὶ σπουδάζοντας, καὶ ἔργον τοῦτο ποιουμένους ἡττηθῆναί ποτε. ποία γὰρ ἡμῖν ἀπολογία λοιπὸν ἔσται, τίς δὲ συγγνώμη, ὅταν μετὰ τοσαύτην παραίνεσιν, τοῖς ἐπὶ τῶν ὅρκων κακοῖς ἐπιμένωμεν; πῶς ἐξαιτησόμεθα ἀπαλλαγὴν τῶν κατεχόντων ἡμᾶς δεινῶν, μίαν ἐντολὴν ἀνύσαι μὴ δυνηθέντες; πῶς δὲ προσδοκήσομεν τὴν χρηστὴν μεταβολήν; πῶς δὲ εὐξόμεθα; ποίᾳ γλώττῃ τὸν Θεὸν καλέσομεν; πῶς γὰρ οὐκ ἄτοπον, βασιλέως μὲν ἐπιτάττοντος, καὶ τὰ χαλεπώτατα φέρειν, Θεοῦ δὲ νομοθετοῦντος οὐδὲν χαλεπὸν, οὐδὲ δύσκολον, καταφρονεῖν, καὶ συνήθειαν πονηρὰν προβάλλεσθαι; μὴ, παρακαλῶ, μὴ μέχρι τοσούτου τῆς ἑαυτῶν καταφρονῶμεν σωτηρίας· φοβηθῶμεν τὸν Θεὸν ὡς φοβούμεθα ἄνθρωπον. ἄτοπον γὰρ τοὺς βασιλικοὺς νόμους μετὰ ἀκριβείας φυλάττειν

τὰς δὲ θείας καὶ ἐκ τῶν οὐρανῶν καταβάντας ἀλόγως καταφρονεῖν. Τίνος γὰρ ἕνεκεν ὁ Θεὸς οὐ τὸν ὀμόσαντα μόνον, ἀλλὰ καὶ τὴν οἰκίαν αὐτοῦ τῇ δρεπάνῃ καταλύει; ὅτι τῶν χαλεπωτάτων ἁμαρτημάτων τὰς τιμωρίας βούλεται μένειν ἀεὶ διηνεκῶς, ὥστε τοὺς μετὰ ταῦτα σωφρονίζεσθαι πάντας. καὶ γὰρ τὸν ἐπίορκον ἀποθανόντα ἀνάγκη ταφῆναι, καὶ τοῖς κόλποις παραδοθῆναι τῆς γῆς. ὥστε οὖν μὴ τῷ σώματι καὶ τὴν πονηρίαν αὐτοῦ συνταφῆναι, τὴν οἰκίαν ἐποίησε χῶμα, ἵνα οἱ παριόντες ἅπαντες ὁρῶντες αὐτὴν, καὶ τὴν αἰτίαν μανθάνοντες τῆς καταστροφῆς, φεύγωσι τὴν τῆς ἁμαρτίας μίμησιν. τοῦτο καὶ ἐπὶ τῶν Σοδόμων γέγονεν· ἐπειδὴ γὰρ ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἐξεκαύθη καὶ ἡ τῆς γῆς φύσις, καὶ φωνῆς ἁπάσης λαμπρότερον πάσαις ταῖς μετὰ ταῦτα παραινεῖ γενεαῖς ἡ τῆς γῆς ὄψις μονονουχὶ φωνοῦσα, καὶ λέγουσα· Μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. Τί ποιεῖς, ἄνθρωπε; ἐπὶ τραπέζης ὁρκίζεις ἱερᾶς, καὶ ἔνθα Χριστὸς κεῖται τεθυμένος, ἐκεῖ τὸν ἀδελφὸν καταθύεις τὸν σόν; καὶ οἱ μὲν λησταὶ ἐπὶ τῶν ὁδῶν θύουσι· σὺ δὲ ἔμπροσθεν τῆς μητρὸς, τὸν υἱὸν καταθύεις ἐναγέστερον τοῦ Κάϊν ἐργαζόμενος φόνον; ἐκεῖνος μὲν γὰρ ἔθυσε τὸν ἀδελφὸν ἐπὶ τῆς ἐρημίας κατὰ τὸν παρόντα θάνατον· σὺ δὲ θύεις τὸν ἀδελφὸν ἐν μέσῳ τῆς ἐκκλησίας κατὰ τὸν μέλλοντα θάνατον; μὴ γὰρ ἐκκλησία διὰ τοῦτο γέγονεν ἵνα ὀμνύωμεν; διὰ τοῦτο γέγονεν ἵνα εὐχώμεθα. μὴ γὰρ τράπεζα διὰ τοῦτο ἕστηκεν ἵνα ὁρκίζωμεν; διὰ τοῦτο ἕστηκεν ἵνα τὰ ἁμαρτήματα ἡμῶν λύωμεν, οὐχ ἵνα δεσμῶμεν. σὺ δὲ, εἰ μηδὲν ἕτερον, αὐτὸ γοῦν τὸ βιβλίον αἰδέσθητι, ὃ προτείνεις εἰς ὅρκον, καὶ τὸ εὐαγγέλιον ὃ μετὰ χεῖρας λαμβάνων, κελεύεις ὀμνύναι, ἀναπτύξας, καὶ ἀκούσας τί περὶ ὅρκων ὁ Χριστὸς ἐκεῖ διακελεύεται, φρίξον καὶ ἀπόστηθι. τί οὖν ἐκεῖ περὶ ὅρκων φησίν; ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· σὺ δὲ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, ὅρκον ποιεῖς; ὢ τῆς ὕβρεως, ὢ τῆς παρανομίας. ταυτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἴ τις τὸν νομοθέτην τὸν κωλύοντα φονεύειν, αὐτὸν σύμμαχον λαβὼν κελεύοι σφαγέα γενέσθαι. καθάπερ οὖν μάχης γενομένης, πολλάκις ὑβριζόμενοι φέρομεν γενναίως, καὶ πρὸς τὸν ὑβρίζοντα λέγομεν· τί σοι ποιήσω; ὁ δεῖνα με ἐκώλυσεν ὁ προστάτης σου· ἐκεῖνός μου κατέχει τὰς χεῖρας. καὶ ἀρκεῖ τοῦτο εἰς παραμυθίαν· οὕτω καὶ ἐπειδὰν μέλλῃς τινὰ ὁρκίζειν, ἐπίσχε σαυτὸν καὶ κώλυσον, καὶ εἰπὲ πρὸς τὸν μέλλοντα ὀμνύναι· τί σοι ποιήσω; ὅτι ὁ Θεὸς ἐκέλευσε μὴ ὀμνύειν, μήτε ὁρκίζειν· ἐκεῖνός με κατέχει νῦν. ἀρκεῖ τοῦτο καὶ εἰς τιμὴν τοῦ νομοθετήσαντος, καὶ εἰς ἀσφάλειαν σὴν, καὶ εἰς φόβον τοῦ μέλλοντος ὀμνύναι. δότε μοι τοῦτο τοῖς ἐνταῦθα ἀφικνουμένοις λέγειν, ὅτι ὅπερ ἐστὶν ἐν Ἀντιοχείᾳ, τοῦτο οὐδαμοῦ τῶν πόλεων ἐστιν ἰδεῖν. εἵλοντο γὰρ ἄνθρωποι οἱ τὴν πόλιν οἰκοῦντες ἐκείνην, τὴν γλῶτταν ἀποκοπῆναι πρότερον, ἢ ὅρκον ἀπὸ τοῦ στόματος προέσθαι. εἰ γὰρ ἕνα τις ἢ δύο κερδάνας, τοσοῦτον λήψεται παρὰ τοῦ Θεοῦ τὸν μισθὸν, οἱ τὴν οἰκουμένην ἅπασαν παιδεύοντες, πόσας οὐ λήψονται τὰς ἀμοιβάς; ἀλλ' ἀπὸ τῆς συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶττα τὸ πονηρὸν ἐκεῖνο φθέγξασθαι ῥῆμα. ἀλλ' ἐπειδὰν ὁρμήσῃ, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάδακε τοῖς ὀδοῦσιν αὐτὴν πάντοθεν σφοδρῶς. βέλτιον γὰρ αὐτὴν αἷμα ῥέειν νῦν, ἢ τότε σταγόνος ὕδατος ἐπιθυμοῦσαν μὴ δυνηθῆναι τῆς παραμυθίας τυχεῖν. ἢ οὐκ αἰσθάνῃ κατὰ κρημνοῦ φερόμενος, καὶ εἰς βάραθρον σαυτὸν ἐμβάλλων ἀπωλείας ἐσχάτης, τὸν εὐεργέτην, καὶ σωτῆρα, καὶ κηδεμόνα βλασφημῶν; μὴ γὰρ ἐὰν βλασφημήσῃς, κουφότερον τὸ πρᾶγμα ποιεῖς; ἐπιτείνεις μὲν οὖν αὐτὸ, καὶ χαλεπωτέραν ἐργάζῃ τὴν ὀδύνην. διὰ γὰρ τοῦτο διάβολος μυρία ἐπάγει δεινὰ, ἵνα εἰς ἐκεῖνό σε καταγάγῃ τὸ βάραθρον. κἂν μὲν ἴδῃ βλασφημοῦντα ὁ διάβολος, αὔξει τὴν ἀλγηδόνα καὶ μείζω ποιεῖ, ἵνα κεντούμενος ἀποδυσπετήσῃς πάλιν. εἰ δὲ ἴδῃ γενναίως φέροντα, καὶ ὅσῳ τὸ πάθος ἐπιτείνεται, τοσούτῳ μᾶλλον εὐχαριστοῦντα τῷ Θεῷ, εὐθέως ἀφίσταται, ὡς εἰκῆ καὶ μάτην ἐφεδρεύων λοιπόν. καὶ καθάπερ κύων τραπέζῃ παρεστηκώς, ἂν μὲν ἴδῃ τὸν ἐσθίοντα ἄνθρωπον συνεχῶς αὐτῷ ῥιπτοῦντα τῶν ἐπὶ τῆς τραπέζης τι παρακειμένων, μένει διηνεκῶς· ἂν δὲ ἅπαξ καὶ δεύτερον παραστὰς μηδὲν ἀπέλθῃ λαβὼν, ἀφίσταται λοιπὸν ἅτε εἰκῆ προσεδρεύων καὶ μάτην· οὕτω καὶ ὁ διάβολος συνεχῶς κέχηνε πρὸς ἡμᾶς· ἂν ῥίψῃς αὐτῷ καθάπερ κυνὶ ῥῆμα βλάσφημον, δεξάμενος πάλιν ἐπιθήσεται· ἐὰν δὲ μείνῃς εὐχαριστῶν, ἀπέπνιξας αὐτὸν τῷ λιμῷ, καὶ ταχέως αὐτὸν ἀπήγαγες, καὶ ἀποπηδῆσαι ἐποίησας. καὶ ὅτι ταῦτα οὕτως ἔχει τὸν τρόπον, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν. ἐπελθόντων ποτὲ πολεμίων τοῖς Ἰουδαίοις, καὶ τοῦ Ἰωνάθαν [υἱὸς δὲ ἦν τοῦ Σαοὺλ οὗτος] τοὺς μὲν κατακόψαντος, τοὺς δὲ εἰς φυγὴν ἐμβαλόντος, βουλόμενος ὁ Σαοὺλ ὁ τούτου πατὴρ μειζόνως κατὰ τῶν ὑπολειφθέντων τὸ στρατόπεδον διεγεῖραι, καὶ ποιῆσαι μὴ πρότερον ἀποστῆναι, ἕως ἂν πάντας χειρώσωνται, τοὐναντίον ὅπερ ἠθέλησεν ἔπραξεν, ὀμόσας μηδένα φαγεῖν ἄρτον, ἕως ἐκδικήσωσι τῶν ἐχθρῶν αὐτοῦ. ἆρα τί τούτου γένοιτ' ἂν ἀνοητότερον;

A divinas autem & è cœlis deſcendentes præter rationem contemnere. Qua verò de cauſa non jurantem ſolùm, ſed ejusdem quoque domum Deus falce deſtruit? Quia ſcilicet graviſſimorum peccatorum ſupplicia Deus perpetuò vult remanere, ut poſteri omnes modeſti & ſobrii reddantur. Etenim perjurium vita functum ſepeliri, terræque mandari viſceribus neceſſe eſt. Ne igitur cum ipſo ſimul corpore malitia ſepeliretur; domum ipſam tumulum fecit, ut omnes, qui tranſirent, eam videntes B & cauſam ſubverſionis cognoſcentes, peccati imitationem fugerent. Hoc in Sodomitis quoque factum eſt. Cùm enim in deſiderio ſuo in invicem exarſiſſent, ipſa quoque terræ natura exuſta eſt; omnique voce clariùs, omnia deinceps ſecula, terræ illius facies admonet, tantum non clamans, & dicens: Nolite talia facere, ne talia quoque patiamini. Quid agis, ò homo? Apud ſacram menſam juras, & ubi Chriſtus jacet immolatus, ibi fratrem tuum mactas? Et latrones quidem in viis mactant; C tu verò coram matre filium mactas, execrabiliorem, quàm ipſe Cain, cædem faciens? Ille ſiquidem in deſerto fratrem præſenti morte mactavit; tu verò in medio Eccleſiæ fratrem morte jugulas æterna. Nunquid ad hoc Eccleſia facta eſt, ut ibi juremus? Ad hoc ſcilicet eſt facta, ut preces in ea offeramus. Anne idcirco ſacra menſa aſtat, ut jurejurando alterutrum obſtringamus? Ideò aſtat, ut peccata noſtra ſolvamus, non verò ut ligemus. Tu verò, ſi aliud nihil, librum ſaltem D illum revetere, quem ad juramentum porrigis: & Evangelium, quod in manus accipis, alterum jurare jubens, eúmque revolvens, & attendens quid ſibi Chriſtus de juramentis præcipiat, perhorreſce, & deſiſte. Quid ergo ibi de juramentis inquit? *Ego autem dico vobis, non jurare omnino:* Tu verò eam legem, quæ jurare prohibet, juramentum facis? O injuriam: ò iniquitatem. Idem enim facis, ac ſi quis legiſlatorem occidere prohibentem, eundem ſocium aſciſceE ret, & homicidam fieri juberet. Sicut igitur pugna exorta, licèt ſæpe contumeliis afficiamur, fortiter tamen ferimus, & ad inferentem dicimus: Quid tibi faciam? Ille me læſit patronus tuus, ille manus meas cohibet; atque hoc ad ſolatium nobis ſufficit: eodem modo, ſi juramentum à quopiam exigere velis, temetipſum inhibe & reprime, & dic ad eum, qui juraturus eſt: Quid tibi faciam? quia Deus præcepit nec jurare, nec ad juramentum adigere: ille me jam inhibet. Satis A hoc eſt ad legiſlatoris honorem, ad tuam ſecuritatem, & illius, qui jurare debet, timorem. Date mihi ergo, hoc advenientes dicere: In nulla civitate id videre eſt, quod Antiochiæ: Mallent enim homines civitatem illam inhabitantes, ſibi linguam priùs exſcindi, quàm juramentum ex ore emittere. Si enim, qui unum aut duos lucrifecerit, tantam à Deo accepturus eſt mercedem, quanta illi præmia non conſequentur, B qui univerſum orbem erudiunt? Sed fortè ex conſuetudine frequenter ad malignum illud verbum proferendum lingua prorumpit. Verùm, cùm impetum ceperit, antequam verbum extuleris, undique dentibus ipſam validè mordeas. Melius enim eſt, eam ſanguine jam perfluere, quàm tunc aquæ guttam deſiderare, nec obtinere ſolatium poſſe. An non animadvertis, te ad præcipitium ferri, & teipſum in profundum extremæ perditionis dejicere, dum benefactorem, dum ſervaC torem & curatorem tuum maledictis inſectaris? Nunquid enim cùm maledicta profers, levius negotium reddis? Imò verò auges, doloréṁque efficis acerbiorem. Idcircò enim diabolus innumera mala invehit, ut in illam foveam te deturbet. Ac ſi quidem te maledicta proferre videat, dolorem auget, majoremque reddit, ut punctus iterum ſtomacheris. Sin fortiter te illa ferentem conſpiciat, & quanto malum fit gravius, tanto magis Deo agentem gratias, continuò abſiſtit, utpote qui teD merè fruſtráque deinceps inſidias tendat. Et ſicut canis ante menſam ſtans, ſi hominem comedentem ſubinde aliquid de appoſitis in menſa cibis projicere videat, aſſiduè manet: ſi verò ſemel & iterum aſtiterit & nihil accipiens adjecit, deſiſtit porro, tanquam temerè & fruſtra expectans: Ad eundem modum diabolus, aſſiduè ad nos intentus eſt; cui ſi tanquam cani, maledictum objeceris, eo arrepto, iterum inſidiabitur. Si verò in gratiarum actione perſeveres, fame ipſum enecabis, citò abiges, & reſilire facies. Et quòd iſta E hoc modo ſeſe habeant, veterem hiſtoriam narrando oſtendam. Invadentibus aliquando hoſtibus Judæos, & Jonatha (filius iſte erat Saulis) aliquos quidem trucidante, aliquos verò in fugam conjiciente, volens Saul hujus pater, ampliùs contra reliquos exercitum excitare, & facere ne priùs deſiſterent, quàm omnes opprimerent; contrarium, quàm volunt, fecit; juratus neminem, uſque ad hoſtium ultionem ſuorum, comeſturum panem. Quid igitur hac re ſtultius fieri poſſet?

Labore enim fatigatos & vulneribus confectos milites cùm refocillare debuiſſet, & recentiores hoſtibus immittere, ipſis hoſtibus graviùs eos habuit, per juramenti neceſſitatem fami graviſſimæ eos tradens, periculoſum quippe de ſeipſo quempiam jurare; ſæpius enim à rerum circumſtantia impediuntur: aliorum autem ſententiam juramentorum ſuorum neceſſitati alligare, longè periculoſius, id quod Saul tunc inconſideratè fecit. Sylvam tranſibat exercitus ſavum habentem, & favus ante faciem populi erat: ingreſſúſque eſt populus ad favum, & tranſibat loquens: Vidiſti quanta vorago? Menſa extemporanea: ut & accedendi facilitas, & nutrimenti ſuavitas, & latendi ſpes ad juramentorum prævaricationem ipſos invitaret. Etenim Jonathas, qui non audierat patrem ſuum jurantem, extendit ſummitatem ſceptri, quod in manu ſua habebat, & intinxit in favum mellis, & convertit manum ſuam in os ſuum, & reſpexerunt oculi ipſius. Vide quem malignus ad perjurium impulit? non unum ex militibus, ſed ipſum jurati Regis filium. Nec enim perjurium tantum patrare volebat, verùm & filii parabat cædem, & naturam ipſam contra ſeipſam dividere nitebatur; quodque olim fecerat in Jephthe, hoc & poſtea facturum ſe ſperabat. Etenim ille Deo pollicitus, ſe primum ſibi occurrentem poſt belli victoriam jugulaturum, in filiæ necem incidit; filiolam enim primò ſibi occurrentem mactavit. Et quid dico filii cædem? Excogitavit enim malignus ille, & hac ſceleratiorem denuò reperire cædem. Si enim ſciens peccaſſet, & jugulatus fuiſſet, filii cædes tantùm id erat: nunc autem ex ignorantia prævaricatus (nec enim audivit juramenta) deinde interfectus, duplicem patri mœrorem attuliſſet. Poſtea conſpicatus quidam militum, ait: Juratus adjuravit pater tuus populum, Qui comederit panem hodie: & diſſolutus eſt populus. Et dixit, Jonathas: * *diſſolvit & perdidit pater meus univerſos.* Temerato igitur jurejurando, omnes tacebant, & nemo reum in medium producere audebat. Non modicum autem & hoc aliud crimen factum eſt: Non enim tantum pejerantes, ſed etiam conſcii & obtegentes criminibus communicant. Et dixit ſacerdos: Accedamus ad Deum. Et interrogavit Saul Deum: *An deſcendam poſt alienigenas, & trades ipſos in manus meas? Et non reſpondit ei in die illa Dominus.* Reſpice benignitatem & manſuetudinem clementiſſimi Dei. Non enim fulmen immiſit, neque terram concuſſit: ſed quod erga amicos amici faciunt, ſi contumeliis affecti fuerint, hoc & in ſervum Dominus fecit. Et dixit Saul: *Adducite omnes tribus populi, & videte per quem acciderit peccatum hoc hodie. Vivit Dominus Salvator Iſrael, quia* * *reſponderit contra Jonathan filium meum, morte morietur.* Et nondum comperto, quis peccaſſet, judicium fecit; & reum neſciens, tulit ſententiam; factúſque eſt pater filii carnifex, & ante examinationem damnationis ſententiam pronunciavit. Et quid opus multis? Sorti rem commiſit. Et dixit Saul: *Jacite ſortem inter me & Jonathan.* dixitque Saul ad Jonathan: *Annuncia mihi, quid feciſti?* cui Jonathas, *Guſtans guſtavi*, ait, *ſummitate ſceptri, quod habebam in manu mea, parum mellis, & en ego morior.* Quem non flexiſſent, quem non ad miſericordiam adduxiſſent verba iſta? Conſidera quantam procellam deinde Saul ſuſtinuit, cùm ipſius viſcera diſſecarentur, & utrinque profundiſſimum appareret præcipitium. Sed tamen nec ſic emendabatur: ſed quid, inquit? *Hæc faciat mihi Deus, & hæc adjiciat, quoniam morte morieris hodie.* Et dixit populus ad Saul: *Hæc faciat nobis Deus, & hæc addat, ſi morte morietur qui fecit ſalutem magnam in Iſrael: vivit Dominus, ſi cadet capillus de capite ejus in terram, quia miſericordiam Dei fecit in die hac.* Ecce & populus ſecundùm juravit, & regi contrarium juravit. Neceſſe jam ſcindi juramentum: omnes enim hos verè juraſſe, fieri non poteſt. Si enim voluiſſet Rex reſiſtere, & ad juramentum procedere, reſtitiſſet populus, & tyrannis crudeliſſima facta fuiſſet: & rurſum, ſi voluiſſet filius propter parcens ſaluti, ſeipſum exercitio dedere, parricida ſtatim extitiſſet. Vides & tyrannidem, & filii cædem, & bellum civile, & pugnam & jugulationes, & cruorem, & infinita cadavera ob unum jacere juramentum? Vidiſti quantam perditionis voraginem juramentum paravit? Ne igitur nos quoque conſimilia illis patiamur, ab improba juramentorum conſuetudine deſiſtamus, quo Dei favorem nobis hic conciliemus, & præſentem vitam ſecurè peragamus, ac futura bona adipiſcamur, gratia & benignitate Domini noſtri Jeſu Chriſti: cui gloria & imperium, cum Patre & ſanctiſſimo Spiritu, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

* lat. Turbavit pater meus terram.

* lat. per Jonath. filium meum factum eſt.

πεπονηκότας γὰρ καὶ κατακοπέντας στρατιώτας ὀφείλων διαναπαῦσαι, καὶ νεαρωτέρους ἐπαφεῖναι τοῖς πολεμίοις, τῶν πολεμίων αὐτῶν χαλεπώτερον ἀπειργάσατο, διὰ τῆς ἀνάγκης τοῦ ὅρκου, λιμῷ παραδοὺς αὐτοὺς χαλεπωτάτῳ. σφαλερὸν μὲν γὰρ καὶ τὸ περὶ ἑαυτοῦ ὀμνύναι· πολλὰ γὰρ ὑπὸ τῆς τῶν πραγμάτων περιστάσεως ἐμποδιζόμενα· τὸ δὲ καὶ τὴν ἑτέρων γνώμην τῇ τῶν οἰκείων ὅρκων ἀνάγκῃ καταδῆσαι, πολλῷ σφαλερώτερον. ὅπερ ὁ Σαοὺλ τότε ἀπερισκέπτως ἐποίησε. δρυμῶνα παρῄει τὸ στρατόπεδον, μελισσῶνα ἔχοντα, καὶ ὁ μελισσὼν κατὰ πρόσωπον τοῦ λαοῦ· καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ διεπορεύετο λαλῶν. εἶδες, οἷον τὸ βάραθρον; τράπεζα αὐτοσχεδιασμένη, ἵνα τὸ εὔκολον τῆς ἐπιχειρήσεως, καὶ τὸ ἡδὺ τῆς τροφῆς, καὶ ἡ τοῦ λαθεῖν ἐλπὶς εἰς τὴν παράβασιν αὐτοὺς προσκαλέσηται τῶν ὅρκων. καὶ γὰρ ὁ Ἰωνάθαν οὐκ ἀκούσας ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ, ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐβάπτισεν εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. ὅρα ἵνα ὁ πονηρὸς πρὸς τὴν ἐπιορκίαν ὤθησεν· οὐχ ἕνα τῶν στρατιωτῶν, ἀλλ' αὐτὸν τὸν υἱὸν τοῦ ὀμωμοκότος βασιλέως. οὐδὲ γὰρ ἐπιορκίαν ἐργάσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ παιδοκτονίαν κατεσκεύαζε, καὶ τὴν φύσιν αὐτὴν καθ' ἑαυτῆς χωρίζειν ἠπείγετο· καὶ ὅπερ ἐπὶ τοῦ Ἰεφθαέ ποτε ἐποίησε, τοῦτο καὶ μετὰ ταῦτα ποιήσειν ἤλπιζε. καὶ γὰρ ἐκεῖνος ὑποσχόμενος τῷ Θεῷ τὸν πρῶτον ἀπαντήσοντα αὐτῷ μετὰ τὴν τοῦ πολέμου νίκην κατασφάξειν, εἰς παιδοκτονίαν ἐνέπεσε. τὸ γὰρ θυγάτριον πρῶτον ἀπαντῆσαν αὐτῷ κατέθυσε. καὶ τί λέγω παιδοκτονίαν; ἐπενόησε γὰρ ὁ πονηρὸς καὶ τούτου πάλιν ἐναγέστερον φόνον εὑρεῖν. εἰ μὲν γὰρ εἰδὼς ἡμάρτε καὶ ἐσφάγη, παιδοκτονία μόνον τὸ γινόμενον ἦν· νυνὶ δὲ καὶ ἀγνοίας ἁμαρτὼν (οὐδὲ γὰρ ἤκουσε τῶν ὅρκων), εἶτα ἀναιρεθεὶς, διπλοῦν ἂν ἐποίησε τῷ πατρὶ ἄλγος. εἶτα ἰδών φησί τις τῶν στρατιωτῶν, λέγει· ὁρκώσας ὥρκωσεν ὁ πατήρ σου τὸν λαὸν, ὃς φάγεται ἄρτον σήμερον. καὶ ἐξελύθη ὁ λαός. καὶ εἶπεν Ἰωνάθαν, ἀπώλεσε καὶ διέφθειρεν ὁ πατήρ μου ἅπαντας. παραβαθέντος τοίνυν τοῦ ὅρκου πάντες ἐσίγων, καὶ οὐδεὶς τὸν ὑπεύθυνον εἰς μέσον ἀγαγεῖν ἐτόλμα. οὐ μικρὸν δὲ καὶ τοῦτο ἔγκλημα λοιπὸν ἐγένετο· οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ συνειδότες καὶ περιστέλλοντες κοινωνοῦσι τῶν ἐγκλημάτων. καὶ εἶπεν ὁ ἱερεύς· προσέλθωμεν πρὸς τὸν Θεόν· καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεόν, εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, καὶ παραδώσεις αὐτοὺς εἰς χεῖράς μου; καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ Κύριος. ὅρα πρᾳότητα καὶ ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ. οὐ γὰρ σκηπτὸν ἀφῆκεν, οὐδὲ τὴν γῆν ἔσεισεν, ἀλλ' ὅπερ φίλοι πρὸς φίλους ποιοῦσιν, ἐπειδὰν ὑβρισθῶσι, τοῦτο πρὸς τὸν δοῦλον ὁ Δεσπότης ἐποίησε. καὶ εἶπε Σαούλ· προσαγάγετε πάσας φυλὰς τοῦ λαοῦ, καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον· ὅτι ζῇ Κύριος ὁ σώσας Ἰσραήλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. καὶ οὔπω τοῦ ἡμαρτηκότος φανέντος, τὴν κρίσιν πεποίηται, καὶ τὸν ἁλόντα οὐκ εἰδὼς ἀπεφήνατο, καὶ ὁ πατὴρ ἐγένετο δήμιος, καὶ πρὸ τῆς ἐξετάσεως τὴν καταδικάζουσαν ψῆφον ἐξήνεγκε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψε. καὶ εἶπε Σαοὺλ, βάλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ καὶ Ἰωνάθαν. καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν, ἀπάγγειλον δή μοι τί ἐποίησας; καὶ εἶπεν Ἰωνάθαν, γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρί μου, μικρὸν μέλιτος, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω; τίνα οὐκ ἂν ἔκαμψε, τίνα οὐκ ἂν εἰς οἶκτον ἐνήγαγε ταῦτα τὰ ῥήματα; ἐννόησον ὅσον χειμῶνα λοιπὸν ὁ Σαοὺλ ὑπέμεινε, τῶν σπλάγχνων αὐτοῦ διασπωμένων, καὶ ἑκατέρωθεν βαθυτάτου κρημνοῦ φαινομένου· καὶ οὐδὲ οὕτως ἐσωφρονίζετο. ἀλλὰ τί, φησί; τάδε ποιήσαι μοι ὁ Θεὸς, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· τάδε ποιήσαι ἡμῖν ὁ Θεὸς, καὶ τάδε προσθείη, εἰ θανάτῳ θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην τῷ Ἰσραήλ· ζῇ Κύριος εἰ πεσεῖται τῆς τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν γῆν, ὅτι ἔλεον Θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. ἰδοὺ καὶ ὁ δῆμος δεύτερον ὤμοσε, καὶ ἀντώμοσε τῷ βασιλεῖ. ἀνάγκη λοιπὸν διαρραγῆναι τὸν ὅρκον· πάντας γὰρ εὐορκῆσαι τούτους ἀδύνατον. εἰ γὰρ ἠθέλησεν ὁ βασιλεὺς ἀντιστῆναι καὶ ἐπεξελθεῖν τῷ ὅρκῳ, πᾶς ὁ δῆμος ἀντέστη, καὶ τυραννὶς ἂν ἐγένετο χαλεπωτάτη· πάλιν εἰ ἠθέλησεν ὁ παῖς τῆς οἰκείας φειδόμενος σωτηρίας δοῦναι ἑαυτὸν τῷ στρατοπέδῳ, πατροκτόνος εὐθέως ἂν ἐγένετο. ὁρᾷς καὶ τυραννίδα καὶ παιδοκτονίαν, καὶ πατροκτονίαν καὶ πόλεμον ἐμφύλιον, καὶ μάχην καὶ σφαγὰς καὶ αἵματα, καὶ μυρίους νεκροὺς ἀφ' ἑνὸς ὅρκου κειμένους; εἶδες ὁποῖον ὁ ὅρκος τῆς ἀπωλείας τὸ βάραθρον κατεσκεύασεν; ἵν' οὖν μὴ καὶ ἡμεῖς τὰ παραπλήσια ἐκείνοις πεισώμεθα, ἀποστῶμεν τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας, ὡς ἂν τοῦ Θεοῦ τὴν εὔνοιαν ἐνταῦθα ἐπισπασάμενοι, καὶ τὸν παρόντα βίον ἀσφαλῶς διανύσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Περὶ

A

Περὶ Ἀκακίας καὶ μνησικακίας.

Λόγος κθ'.

ΤΙΝΑ ἂν ἕτερον εἰς μέσον ἀγαγεῖν χρὴ περὶ ἐπιεικείας ἡμᾶς διαλέγεσθαι βουλομένους, ἀγαπητοὶ, ἢ τὸν μαρτυρίαν ἄνωθεν δεξάμενον, καὶ ἐπὶ τούτῳ θαυμασθέντα; εὗρον γὰρ, φησὶ, Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου· ὃς οὐ μόνον ἐψώμιζε καὶ ἐπότιζε τοὺς ἐχθροὺς, ἀλλὰ καὶ κινδυνεύοντας πολλάκις ἐξήρπαζε τοῦ θανάτου. ὁ μὲν γὰρ Σαοὺλ οὕτως αὐτὸν ἐμίσει καὶ ἀπεστρέφετο, μετὰ τὰς μυρίας εὐεργεσίας, μετὰ τὰ λαμπρὰ τρόπαια, καὶ τὴν ἐπὶ τοῦ Γολιὰθ σωτηρίαν, ὡς μηδὲ τῆς προσηγορίας ἀνέχεσθαι τῆς ἐκείνου μεμνῆσθαι. ἑορτῆς γάρ ποτε ἐπιστάσης, ἐπειδὴ δόλον αὐτῷ πλέξας ἵνα καὶ χαλεπὴν ἐπιβουλὴν ῥάψας, οὐκ εἶδε παραγενόμενον, ποῦ ἐστὶ, φησὶν, ὁ υἱὸς Ἰεσσαί; καὶ πονηρίαν οὐδεμίαν ἔχων εἰπεῖν, τὴν τοῦ γένους δυσγένειαν εἰς μέσον ἔφερε· ταύτῃ προσδοκῶν ἐπισκοτήσειν αὐτοῦ τὴν λαμπρότητα. ὁ δὲ εὑρὼν αὐτὸν ἔνδον ἐν τῷ σπηλαίῳ καθεύδοντα, οὐκ ἐκάλεσεν αὐτὸν υἱὸν Κὶς, ἀλλὰ τῷ τιμῆς ὀνόματι· οὐ γὰρ μὴ ἐπάγω τὴν χεῖρά μου ἐπὶ τὸν Χριστὸν τοῦ Κυρίου. οὕτω καθαρὸς ἦν ὀργῆς καὶ μνησικακίας ἁπάσης. Χριστὸν Κυρίου καλεῖ τὸν τοσαῦτα ἠδικηκότα, τὸν τοῦ αἵματος αὐτοῦ διψῶντα, τὸν μετὰ μυρίας εὐεργεσίας πολλάκις αὐτὸν ἐπιχειρήσαντα ἀνελεῖν. οὐ γὰρ ἐσκόπει τί παθεῖν ἐκεῖνος ἄξιος ἦν, ἀλλ' ἐσκόπει τί καὶ ποιῆσαι καὶ εἰπεῖν αὐτῷ πρέπον ἦν. τί οὖν; ὥσπερ ἐν δεσμωτηρίῳ λαβὼν τὸν ἐχθρὸν, τριπλῷ κατεχόμενον δεσμῷ, καὶ τῇ τοῦ τόπου στενοχωρίᾳ, καὶ τῇ τῶν βοηθησόντων ἐρημίᾳ, καὶ τῇ τοῦ ὕπνου ἀνάγκῃ, οὐκ ἀπαιτεῖς δίκην οὐδὲ τιμωρίαν αὐτόν; ἀλλ' οὐ μὴ ἐπάγω τὴν χεῖρά μου, λέγεις, ἐπὶ τὸν Χριστὸν Κυρίου; ναὶ, φησίν. οὐ γὰρ τί παθεῖν δίκαιός ἐστιν οὗτος, ὁρῶ νῦν, ἀλλὰ τί ποιῆσαί μοι προσήκει. ὑμεῖς μὲν οὖν αὐτὸν ἴσως θαυμάζετε, ὅτι οὐδενὸς ἐμνήσθη τῶν παρελθόντων κακῶν· ἐγὼ δὲ δι' ἕτερον πολλῷ μεῖζον αὐτὸν ἐκπλήττομαι. ποῖον δὴ τοῦτο; ὅτι οὐδὲ φόβος αὐτὸν τῶν μελλόντων ἦρε πρὸς τὸ διαχειρίσασθαι τὸν ἐχθρόν. ᾔδει γὰρ σαφῶς, ὅτι διαφυγὼν αὐτοῦ τὰς χεῖρας, πάλιν κατ' αὐτοῦ στήσεται· ἀλλ' εἵλετο μᾶλλον αὐτὸς κινδυνεύειν ἀπολύσας τὸν ἠδικηκότα, ἢ τῆς καθ' ἑαυτὸν ἀσφαλείας προνοῶν διαχειρίσασθαι τὸν πολέμιον. καὶ οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὐχ ὁ φόβος τῶν μελλόντων, οὐχ ἡ προτροπὴ τοῦ στρατηγοῦ, οὐχ ἐρημία τοῦ τόπου, οὐ τὸ τῆς σφαγῆς εὔκολον, οὐκ ἄλλο οὐδὲν διήγειρεν αὐτὸν πρὸς φόνον· ἀλλ' ὥσπερ εὐεργέτου τινὸς, καὶ τὰ μεγάλα αὐτὸν πεποιηκότος ἀγαθὰ, οὕτω τοῦ ἐχθροῦ καὶ λελυπηκότος ἐφείσατο, καὶ τὸ κράσπεδον ἀποτεμὼν τοῦ ἱματίου, καὶ τὸν φακὸν τοῦ ὕδατος ἀφελόμενος, ἀπελθὼν πόρρωθεν, καὶ στὰς ἐβόησε, καὶ τῷ διασωθέντι ταῦτα ὑπέδειξεν· οὐχὶ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν ποιῶν, ἀλλὰ διὰ τῶν ἔργων αὐτὸν πεῖσαι βουλόμενος, ὅτι εἰκῇ καὶ μάτην ὑπώπτευεν αὐτὸν ὡς ἐχθρόν· καὶ διὰ τούτου αὐτὸν πρὸς φιλίαν ἐπισπάσασθαι σπουδάζων. τὸ μὲν γὰρ ἁπλῶς ἐχθρὸν λυπήσαντα μὴ ἀμύνασθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ ἄνθρωπον εὐεργετηθέντα πολλὰς καὶ μεγάλας εὐεργεσίας, εἶτα ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων, καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις ἀνελεῖν ἐπιχειρήσαντα τὸν εὐεργέτην, λαβόντα εἰς χεῖρας, καὶ κύριον γενόμενον ἀνελεῖν καὶ αὐτὸν ἀφεῖναι, καὶ τῆς ἑτέρων ἐπιβουλῆς ἐξαρπάσαι, καὶ ταῦτα πάλιν τοῖς αὐτοῖς ἐπιθήσεσθαι μέλλοντα, τίνα ἂν καταλίποι λοιπὸν φιλοσοφίας ὑπερβολήν; τίνα δὲ ἔχοι ἂν πονηρίας ὑπερβολὴν τὰ παρὰ τοῦ Σαοὺλ εἰς τὸν Δαβὶδ ἐνδεικνύμενα; ὅτι ἄρτι τῶν πολεμίων ἀπελαθέντων παρ' αὐτοῦ, καὶ τῆς πόλεως ἑαυτὴν ἀνακτησαμένης, καὶ πάντων ἐπινίκια θυόντων, αὐτὸς τὸν εὐεργέτην, καὶ σωτῆρα, καὶ τῶν ἀγαθῶν ἐκείνων ἁπάντων αἴτιον ἀνελεῖν ἐπεχείρησε. καὶ οὐδὲ ἡ τῆς εὐεργεσίας ὑπόθεσις τὸν μεμηνότα καὶ παραπαίοντα κατέστελεν ἐκεῖνον, ἀλλὰ καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις ἠκόντισε βουλόμενος αὐτὸν ἀνελεῖν, καὶ τοιαύτας ἀντὶ τῶν κινδύνων ἐκείνων ἐδίδου τὰς ἀμοιβάς. Δαβὶδ γὰρ ἔψαλλε τῇ χειρὶ αὐτοῦ, φησὶ, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ τοῦ Σαοὺλ, καὶ ἦρε Σαοὺλ τὸ δόρυ, καὶ εἶπε· παταξω ἐν Δαβίδ· καὶ ἐξέκλινε Δαβὶδ ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξε τὸ δόρυ ἐν τῷ τοίχῳ. τίνα οὐκ ἂν καὶ τῶν σφόδρα φιλοσοφεῖν ἐπισταμένων, εἰς θυμὸν ταῦτα ἐξήγειρεν; ἀλλ' οὗτος ᾑρεῖτο φυγὰς μᾶλλον, καὶ τῆς πατρῴας οἰκίας ἐκπεσεῖν, καὶ πλανήτης εἶναι καὶ δραπετεύειν, καὶ ταλαιπωρούμενος τὴν ἀναγκαίαν πορίζειν τροφὴν, ἢ τῷ βασιλεῖ γενέσθαι σφαγῆς αἴτιος. οὐ γὰρ ὅπως ἑαυτὸν ἐκδικήσειεν, ἀλλ' ὅπως ἐκεῖνον ἀπαλλάξῃ τοῦ πάθους, ἐσκόπει· διὰ τοῦτο τῶν ὀφθαλμῶν ἑαυτὸν ὑπεξήγαγε τοῦ ἐχθροῦ, ὥστε ὑποσύρειν τὸν ὄγκον καὶ καταστεῖλαι τὴν φλεγμονὴν, καὶ παραμυθήσασθαι τὴν βασκανίαν. βέλτιον γάρ με, φησὶ, ταλαιπωρεῖσθαι καὶ μυρία πάσχειν δεινὰ, ἢ τοῦτον ἀδίκου σφαγῆς παρὰ τῷ Θεῷ κρίνεσθαι.

De ſimplicitate ſive manſuetudine, & Injuriarum memoria.

HOMILIA XXIX.

B DE manſuetudine diſſerere volentes, chariſſimi, quemnam alium in medium adducere oportet, quàm qui teſtimonium deſuper accepit, atque in hac re ſumma admiratione habitus fuit? Ait enim: *Inveni David filium Jeſſe, virum ſecundùm cor meum:* qui non modo inimicis cibum & potum præbuit, ſed etiam frequenter periclitantes à morte eripuit. Tanto enim odio Saul ipſum proſecutus eſt & averſatus, poſt innumera licet beneficia, poſt ſplendida tropæa, & partam ex Goliath ſalutem, ut ne nominis quidem illius meminiſſe vellet. Feſto enim C aliquando imminente, cum dolum contra ipſum ſtruxiſſet, & graves inſidias molitus eſſet; jam verò eum non adeſſe cerneret; ubi eſt, inquit, filius Jeſſæ? & cum flagitium, quod de eo diceret, non haberet generis obſcuritatem in medium protulit; hac ratione claritatem ipſius obſcuraturum ſe ſperans. Hic verò in ſpelunca dormientem ipſum inveniens, non eum appellavit filium Cis, ſed dignitatis nomine: *abſit*, inquit, *ut manum meam mittam in Chriſtum Domini.* Adeo mundus erat ab D ira, atque omni injuriarum memoria. Chriſtum Domini vocat eum, & quo tantas injurias acceperat, qui ſanguinem ipſius ſitiebat; qui poſt infinita beneficia ſæpè interficere ipſum conabatur. Non enim reſpiciebat, quid ille pati dignus eſſet; ſed, quid & facere & loqui ſeſe deceret, conſiderabat. Quid hoc eſt? Hoſtem velutì in carcere comprehendiſti, triplici detentum vinculo, loci anguſtia, adjutorum ſolitudine, & neceſſitate ſomni, nec pœnam aut ſupplicium de eo ſumis. ſed dicis? *Abſit,* E *ut mittam manum meam in Chriſtum Domini?* Utique, inquit. Non enim quid ille pati mereatur, ſed quid facere me deceat, nunc expendo. Vos igitur ipſum fortaſſe miramini, quòd nullius præteritorum malorum memor fuerit: ego verò propter aliud multo magis ipſum obſtupeſco. Qualenam illud? Quod nec futurorum timor eum impulerit, ut hoſtem interimeret. Perſpicue enim noverat, fore, ut è manibus ſuis elapſus denuò A contra ſe erigeretur, ſed elegit potius ipſemet, dimiſſo illo iniquo, pericula ſubire, quàm ſecuritati ſuæ proſpiciendo, hoſtem obtruncare. Et neque præteritorum memoria, neque metus futurorum, neque exhortatio exercitus neque loci ſolitudo, neque facilitas cædis, neque aliud quidlibet ipſum ad homicidium excitavit: ſed tanquam benefactori cuidam, & qui magna ipſi bona præſtitiſſet, ita inimico ſibique infeſto pepercit: oráque veſtimenti præciſa, & aquæ lenticula ſublata, procul receſſit, B & ſtans clamavit, illique incolumi ſervato hæc oſtendit. Nec ad oſtentationem aut ambitionem hæc faciebat, ſed reipſa voluit, quòd temerè & fruſtra ſe tanquam hoſtem ſuſpectum haberet: atque per hoc ad amicitiam eum attrahere enitebatur. Illum enim qui tantùm inimicus eſt & moleſtias infert, non ulciſci, nihil mirandum: hominem verò multis magniſque beneficiis affectum, deinde pro benefactis illis & ſemel & iterum & ſæpius molitum interficere benefactorem, in manus capere, C & neci tradere poſſe, dimittere tamen atque ab aliorum etiam inſidiis eripere; idque cùm iiſdem denuo ſit inſidiaturus, quemnam ſummum Philoſophiæ gradum non habet? Quid vero ad improbitatem, in his quæ Saul erga Davidem oſtendit, addi poſſit? Quia hoſtibus nuper ab eo repulſis, & civitate ſeipſam recreante, atque omnibus ob partam victoriam hoſtias immolantibus, ipſe benefactorem & ſervatorem ſuum omniúmque illorum bonorum cauſam, interficere aggreſſus eſt: Et nec beD neficentiæ prætextus furentem illum ac inſanientem continuit: ſed & ſemel & iterum & frequenter jaculatus eſt, ipſum occidere cupiens: & talia pro illis periculis reddebat præmia. David enim pſallebat manu ſua, inquit, & haſta in manu Saul: & tulit Saul lanceam, dixitque: *Infigam in David.* Et declinavit David à facie ipſius, & infixit lanceam in parietem. Quem, quæſo, etiam eorum, qui egregiè philoſophari norunt, iſta ad furorem non efferrent? Verùm iſte E fugere potius elegit, & patria exulare domo, erronem, profugúmque agere, & in calamitate neceſſarium ſibi parare victum, quàm Regi cædis occaſionem dare. Nec enim eò ſpectabat, ut ſeipſum ulciſceretur, ſed ut illum ab eo malo liberaret. Idcirco ab oculis inimici ſeſe ſubduxit, ut tumorem ſubduceret, ſiſteret inflammationem, & invidiam mitigaret. Satius enim eſt, inquit, me miſerum eſſe, innumeraſq; pati calamitates, quàm hunc apud Deum ob injuſtam cædem condemnari. Quid igitur

æquale fuerit generoſo illi & adamantino animo; quando pro divitiis paupertatem, ſolitudinem pro patria, labores quoque & pericula pro deliciis & ſecuritate elegit, ut inimicum ab odio, quod in eum habebat, liberaret? Cui tam efferato & agreſti hæc non perſuadeant, inimicitias deponere & ab invidia ceſſare? ſed crudelem tamen illum & inhumanum nihil horum adduxit, ut ad benignitatem flecteretur: ſed perſequebatur & ubique circuibat, quærens eum, qui nihil injuriæ intulerat, ſumma verò injuria affectus infinita ipſi pro his bona præſtiterat. Ac imprudens in ipſa deinde Davidis incidit retia. Erat enim, inquit, ibi ſpelunca, & ingreſſus eſt Saul, ut exoneraret alvum: David autem & viri ipſius in interiore ſpelunca ſedebant. Dixerúntque viri David ad ipſum: *Ecce dies, ſicut dixit Dominus, Tradam inimicum tuum in manus tuas, facieſque ei quod placitum eſt in oculis tuis.* Et ſurrexit David, abſtulitque oram chlamydis Saulis clanculum. Et poſt hæc percuſſit Davidem cor ipſius, quòd abſtuliſſet laciniam chlamydis, dixitque ad viros ſuos: Avertat à me Dominus, ne faciam verbum hoc domino meo, mittámque manum meam in ipſum, quia Chriſtus Domini eſt: ac ſi diceret: Propitius ſit mihi Dominus; etiamſi ipſemet vellem, nunquam tamen me hoc facere permittat, nec ad peccatum iſtud devenire ſinat. Quid hac anima manſuetius eſſe poſſit? Nunquid hominem iſtum dicemus, qui in humana natura Angelicam oſtendit converſationem? Sed non patereutur divinæ leges. Quis enim, obſecro te, citò ejuſmodi à Deo optare velit? & quid dico optare? Quis imò contra moleſtos ſibi non precari facilè ſuſtineat? Vidiſti Davidis tenſa retia, & prædam interceptam, venatorem ſtantem, & omnes adhortantes ut gladium in hoſtis pectus immergeret? Nunc mihi ſpecta Philoſophicam animi moderationem: ſpecta mihi luctam, victoriam, coronam. Etenim ſtadium quoddam erat ſpelunca illa, & lucta quædam mirabilis dictúque incredibilis facta eſt. Luctatus enim eſt David, pugilem egit iracundia, certaminis præmium Saul poſitus erat, Agonotheta erat Deus. Non enim adverſus ſeipſum modò, propriámque cupiditatem ei bellum erat, ſed & adverſus milites qui aderant. Etenim ſi animo voluiſſet moderari, & parcere ei, qui læſerat, conſentaneum erat, ut & illos metueret, ne forte ipſum in ſpelunca contrucidarent, tanquam perditorem & proditorem ſalutis ipſorum, & qui communem hoſtem ſervaret. Probabile enim erat eos talia indignabundos dicere: Errones exuléſque nos facti ſumus, domo, patria cæteriſque omnibus ejecti ſumus, omniúmque difficultatum tuarum conſortes facti ſumus: & tu malorum iſtorum authorem in manus traditum cogitas dimittere, ne nobis unquam à calamitatibus liceat reſpirare? & inimicum ſtudes ſervare, ut amicos prodas? Et quo pacto iſta ſunt æqua? Nam ſi tuam ipſius ſalutem negligis, noſtræ certè parcas animæ. Si non dolent tibi anteacta, neque memor es eorum, quæ ab ipſo perpeſſus es mala? Verùm nihil horum juſtus ille reputabat, unum illud ſpectabat, quomodo clementiæ redimiri corona poſſet. Neque perinde mirum fuiſſet, ſi ſolus & abſque comitibus exiſtens infeſtanti ſe pepercîſſet, atque nunc eſt, quòd idem aliis præſentibus fecerit: aliis, inquam, non hominibus æquis & moderatis, ſed militibus, & bellum gerere edoctis, & qui multis difficultatibus jam in deſperationem erant adducti, à quibus paululum reſpirare cupiebant; quique non ignorarent, totam malorum diſſolutionem in hoſtis nece ſitam eſſe; nec malorum duntaxat diſſolutionem, ſed & plurimorum adeptionem bonorum. Nihil enim obſtabat, quominus illo occiſo regnum ad hunc tranſiret. Attamen cum eſſent tam multa, quæ milites irritabant, tantum valuit generoſus ille, ut omnes iſtos vinceret, & ut hoſti parcerent, perſuaderet. Magnum quiddam eſt, propter aliquem affectiones ſuperaſſe: longè verò majus, aliis quoque perſuadere potuiſſe, ut eandem reciperent ſententiam. Jam vero multi ſunt inimici, qui per Philoſophiam affectus moderatos habere videntur, qui, licet ipſimet hoſtem interficere non ſuſtineant; ab aliis tamen cùm interficiendi ſunt, obſtare nolint. Non ita David: ſed perinde ac ſi depoſitum quoddam accepiſſet, de quo rationem reddere deberet, ita non modò ipſemet hoſtem non attigit, ſed alios quoque interimere volentes prohibuit, pro hoſte, corporis cuſtos factus, & ſatelles optimus. Non igitur aliquis erraverit, ſi Davidem potiùs quàm Saulem in diſcrimen tunc incidiſſe dixerit. Non enim vulgare certamen ſuſtinuit, omnibus modis ab illorum inſidiis ipſum liberare ſatagens. Neque ita timuiſſet, ſi ipſemet jugulari debuiſſet, quàm metuebat ne quis militum iræ indulgens hominem perderet. Idcirco etiam

τί τοίνυν γένοιτ' ἂν ἴσον τῆς γενναίας ἐκείνης καὶ ἀδαμαντίνης ψυχῆς, ὅτι πενίαν ἀντὶ πλούτου, καὶ ἐρημίαν ἀντὶ πατρίδος, καὶ πόνους καὶ κινδύνους ἀντὶ τρυφῆς καὶ ἀδείας εἵλετο, ἵνα τὸν ἐχθρὸν ἀπαλλάξῃ τῆς πρὸς αὐτὸν ἀπεχθείας; τίνα οὐκ ἂν ἔπεισε ταῦτα κατευνῆσαι μὲν καὶ ἄγριον, καταλῦσαι τὴν ἔχθραν καὶ ἀπαλλαγῆναι τῆς βασκανίας; ἀλλὰ τὸν ὠμὸν ἐκεῖνον καὶ ἀπάνθρωπον, οὐδὲν τούτων ἔπεισε πρὸς φιλανθρωπίαν ἐπικαμφθῆναι, ἀλλ' ἐδίωκε, καὶ πανταχοῦ περιῄει ζητῶν τὸν ἠδικηκότα μὲν οὐδέν, ἀδικηθέντα δὲ τὰ ἔσχατα, καὶ μυρία αὐτὸν ἀντὶ τούτων ποιήσαντα ἀγαθά. καὶ οὐκ εἰδὼς εἰς αὐτὰ λοιπὸν τοῦ Δαβὶδ ἐμπίπτει τὰ δίκτυα. ἦν γὰρ ἐκεῖ σπήλαιον, φησί, καὶ εἰσῆλθε Σαοὺλ παρασκευάσασθαι· Δαβὶδ δὲ καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῷ ἐσωτέρῳ σπηλαίῳ ἐκάθηντο. καὶ εἶπον οἱ ἄνδρες Δαβὶδ πρὸς αὐτόν· ἰδοὺ ἡ ἡμέρα καθὼς εἶπεν ὁ Κύριος, δίδωμι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς σου. καὶ ἀνέστη Δαβίδ, καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. καὶ μετὰ ταῦτα ἐπάταξε τὸν Δαβὶδ ἡ καρδία αὐτοῦ, ὅτι ἀφείλετο τὸ πτερύγιον τῆς διπλοΐδος· καὶ εἶπε πρὸς τοὺς ἄνδρας αὐτοῦ· μηδαμῶς μοι παρὰ Κυρίου ποιῆσαι τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου, τοῦ ἐπενεγκεῖν τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι Χριστὸς Κυρίου ἐστίν· ὡς ἂν εἰ ἔλεγεν· ἵλεως μακάριος· εἰ γὰρ καὶ αὐτὸς βουληθείην, μὴ συγχωρήσαι μοι, τοῦτο πραγματεύσασθαι, μηδὲ ἐπιτρέψειεν εἰς ταύτην ἐλθεῖν τὴν ἁμαρτίαν. τί ταύτης γένοιτ' ἂν τῆς ψυχῆς ἡμερώτερον; ἆρα ἄνθρωπον τοῦτον ἐροῦμεν τὸν ἐν ἀνθρωπίνῃ φύσει ἀγγελικὴν πολιτείαν ἐπιδειξάμενον; ἀλλ' οὐκ ἀνέχονται οἱ θεῖοι νόμοι. τίς γὰρ ἄν, εἰπέ μοι, ταχέως ἕλοιτο τοιαύτην εὐχὴν εὔξασθαι τῷ Θεῷ· καὶ τί λέγω εὔξασθαι; μὴ κατεύξασθαι μὲν ἂν τοῦ λελυπηκότος, τίς ἂν ῥᾳδίως ὑπομείνειεν; εἶδες τοῦ Δαβὶδ τὰ δίκτυα τεταμένα, καὶ τὸ θήραμα ἐναπειλημμένον, καὶ τὸν κυνηγέτην ἑστῶτα, καὶ πάντας ἐγκελευομένους βαπτίσαι τὸ ξίφος εἰς τὸ τοῦ πολεμίου στῆθος; θέα μοι λοιπὸν καὶ τὴν φιλοσοφίαν, θέα μοι τὴν πάλην, τὴν νίκην, τὸν στέφανον. καὶ γὰρ στάδιον ἦν τὸ σπήλαιον ἐκεῖνο, καὶ πάλη θαυμαστή τις ἐγένετο καὶ παράδοξος. ἐπάλαιε μὲν γὰρ ὁ Δαβίδ, ἐπύκτευε δὲ ὁ θυμός, καὶ ἔπαθλον ὁ Σαοὺλ ἔκειτο, καὶ ἀγωνοθέτης ἦν ὁ Θεός. οὐ γὰρ πρὸς ἑαυτὸν μόνον καὶ τὴν ἐπιθυμίαν τὴν οἰκείαν αὐτῷ ὁ πόλεμος, ἀλλὰ καὶ πρὸς τοὺς παρόντας στρατιώτας. εἰ γὰρ καὶ φιλοσοφεῖν ἤθελε, καὶ φείσασθαι τοῦ λελυπηκότος, εἰκὸς ἦν καὶ δεδοικέναι αὐτὸν ἐκείνους, μήποτε καὶ συλλήψωσιν αὐτὸν ἐν σπηλαίῳ, ἅτε λυμεῶνα καὶ προδότην ὄντα τῆς αὐτῶν σωτηρίας, καὶ τὸν κοινὸν ἐχθρὸν αὐτῶν διασώζοντα. καὶ γὰρ εἰκὸς ἦν ταῦτα αὐτοὺς δυσχεραίνοντας λέγειν· πλανῆται καὶ φυγάδες ἐγενόμεθα ἡμεῖς, καὶ οἰκίας, καὶ πατρίδος, καὶ τῶν ἄλλων ἁπάντων ἐξεπέσομεν, καὶ τῶν δυσχερῶν σοι πάντων ἐκοινωνήσαμεν· καὶ σὺ τῶν κακῶν τούτων τὸν αἴτιον εἰς χεῖρας λαβὼν ἀφεῖναι διανοῇ, ἵνα μὴ τῶν κακῶν τούτων ἡμεῖς ἀναπνεύσωμεν; καὶ σπουδάζεις τὸν ἐχθρὸν διασῶσαι, προδιδοὺς τοὺς φίλους; καὶ πῶς ταῦτα δίκαια; εἰ γὰρ τῆς ἑαυτοῦ καταφρονεῖς σωτηρίας, ἀλλὰ τῆς ἡμετέρας φεῖσαι ψυχῆς. οὐ λυπεῖ σε τὰ παρελθόντα, οὐδὲ μέμνησαι τῶν κακῶν ὧν ἔπαθες παρ' αὐτοῦ, κἂν διὰ τὰ μέλλοντα ἄνελε, ἵνα μὴ μείζονα καὶ χαλεπώτερα ὑποστῶμεν κακά. ἀλλ' οὐδὲν τούτων ὁ δίκαιος ἐκεῖνος ὑπελογίζετο, ἀλλ' εἰς ἓν ἔβλεπε μόνον, ὅπως τὸν τῆς ἀνεξικακίας ἀναδήσασθαι δυνηθῇ στέφανον. οὐδὲ ἦν οὕτω θαυμαστὸν εἰ μόνος ὢν καὶ καθ' ἑαυτὸν ἐφείσατο τοῦ λελυπηκότος, ὡς νῦν παράδοξόν ἐστιν, ὅτι παρόντων ἑτέρων αὐτὸ τοῦτο ἐποίησε· καὶ ἑτέρων οὐκ ἐπιεικῶν ἀνθρώπων καὶ μετρίων, ἀλλὰ στρατιωτῶν καὶ πολεμεῖν μεμαθηκότων, καὶ τοῖς πολλοῖς ἀπειρηκότων πόνοις, καὶ μικρὸν ἀναπνεῦσαι ἐπιθυμούντων, καὶ εἰδότων ὅτι τῶν κακῶν ἡ λύσις πᾶσα ἐν τῇ τοῦ πολεμίου σφαγῇ τότε ἔκειτο· οὐ μόνον δὲ λύσις κακῶν, ἀλλὰ καὶ μυρίων κτῆσις ἀγαθῶν. οὐδὲν γὰρ ἐκώλυεν, ἐκείνου σφαγέντος ἐπὶ τοῦτον εὐθὺς διαβῆναι τὴν βασιλείαν. ἀλλ' ὅμως τοσούτων ὄντων τῶν παροξυνόντων, ἴσχυσεν ὁ γενναῖος ἐκεῖνος πάντων περιγενέσθαι τούτων, καὶ πεῖσαι φείσασθαι τοῦ πολεμίου. μέγα μὲν οὖν τὸ καὶ αὐτόν τινα τῶν οἰκείων περιγενέσθαι παθῶν· πολὺ δὲ μεῖζον, τὸ καὶ ἑτέρους δυνηθῆναι πεῖσαι τὴν αὐτὴν αὐτῷ κτήσασθαι γνώμην. καίτοι πολλοὶ τῶν ἐχθρῶν καὶ δοκοῦντες φιλοσοφεῖν, κἂν αὐτοὶ μὴ καταδέξωνται ἐχθροὺς ἀνελεῖν, ὑφ' ἑτέρων ἀναιρεῖσθαι μέλλοντας, οὐκ ἂν ἕλοιντο κωλῦσαι. ὁ Δαβὶδ οὐχ οὕτως· ἀλλ' ὥσπερ τινὰ παρακαταθήκην λαβών, καὶ μέλλων αὐτῆς εὐθύνας διδόναι, οὕτως οὐ μόνον αὐτὸς οὐχ ἥψατο τοῦ πολεμίου, ἀλλὰ καὶ τοὺς ἑτέρους αὐτοῦ βουλομένους ἀνελεῖν ἐκώλυσε, σωματοφύλαξ ἀντὶ πολεμίου γενόμενος, καὶ δορυφόρος ἄριστος. ὥστε οὐκ ἄν τις ἁμάρτοι τὸν Δαβὶδ μᾶλλον κινδύνῳ τότε περιπεπτωκέναι εἰπών, ἢ τὸν Σαούλ. οὐ γὰρ τὸν τυχόντα ἀγῶνα ὑπέμεινε, παντὶ τρόπῳ σπουδάζων αὐτὸν ἐξελέσθαι τῆς ἐπιβουλῆς τῆς παρ' ἐκείνων. οὐδὲ οὕτως ἐδεδοίκει μέλλων αὐτὸς ἀποσφάττεσθαι, ὡς ἐδεδοίκει μήποτε τῶν στρατιωτῶν τις ἐνδοὺς τῷ θυμῷ διαφθείρῃ τὸν ἄνθρωπον.

Διὸ

διὰ τοῦτο καὶ δικαιολογίαν τοιαύτην συνέθηκε, καὶ κατηγόρουν μὲν ἐκεῖνοι, κατηγορεῖτο δὲ ὁ καθεύδων· ἀπελογεῖτο δὲ ὁ πολέμιος· ἐδίκαζε δὲ ὁ Θεός, καὶ τὴν τοῦ Δαβὶδ ψῆφον ἐκύρωσεν. οὐ γὰρ ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς ἴσχυσεν ἂν τῶν μαινομένων ἐκείνων περιγενέσθαι· ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἦν, ἡ τοῖς χείλεσιν ἐγκαθημένη τούτου, καὶ πειθώ τινα διδοῦσα τοῖς ῥήμασιν ἐκείνοις. ἆρα οὐχὶ καὶ ἐντεῦθεν μάλιστα ἄν τις αὐτὸν θαυμάσειε τῆς μεγαλοψυχίας, ὅτι τὸν ἐχθρὸν εἰς χεῖρας λαβὼν καθεύδοντα, καὶ ἀκίνητον μένοντα, καὶ οὐδὲν δυνάμενον ἐργάσασθαι, οὐ μόνον αὐτὸς οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ τοὺς βουλομένους ἐκώλυσεν; ἆρα πῶς ἦν εἰκὸς αὐτοὺς προσέχειν ἐκείνῳ λοιπόν, μεθ' ὅσης εὐνοίας διακεῖσθαι πρὸς αὐτόν; εἰ γὰρ μυρίας ψυχὰς εἶχον λοιπόν, οὐκ ἂν ἁπάσας ἐπέδωκαν ὑπὲρ τοῦ στρατηγοῦ, ἔργῳ μαθόντες ἐν τῇ πολεμίου κηδεμονίᾳ τὴν περὶ τοὺς οἰκείους εὔνοιαν; ὁ γὰρ περὶ τοὺς λελυπηκότας πρᾶος καὶ ἥμερος ὤν, οὐ πολλῷ μᾶλλον περὶ τοὺς εὐνοϊκῶς διακειμένους οὕτως ἔμελλε διακεῖσθαι; ἆρ' οὐκ ἄν τις εὐκαίρως ἐντεῦθεν ἀποδείξειεν ὅτι μεῖζον ἔστησε τρόπαιον φεισάμενος τοῦ Σαοὺλ ὁ Δαβίδ, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε, καὶ τὴν τοῦ βαρβάρου κεφαλὴν ἐναπέτεμε; καὶ γὰρ αὕτη λαμπροτέρα ἐκείνης ἡ νίκη, καὶ τὸ τρόπαιον ἐνδοξότερον. ἐκεῖ μὲν γὰρ σφενδόνης ἐδεήθη, καὶ λίθων, καὶ παρατάξεως· ἐνταῦθα δὲ πάντα ὁ λογισμὸς εἰργάσατο, καὶ χωρὶς ὅπλων ἡ νίκη κατωρθοῦτο, καὶ ἀναίμακτον τὸ τρόπαιον ἵστατο. ἐπεὶ οὖν τὴν καλὴν ταύτην καὶ θαυμαστὴν νίκην ἐνίκησεν, ἀνέστη λοιπὸν τοῦ ὕπνου ἡ τῶν ἀγώνων ὑπόθεσις ὁ Σαούλ, καὶ ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου, τῶν εἰς αὐτὸν γεγενημένων εἰδὼς οὐδέν. ἐξῄει δὲ καὶ ὁ Δαβὶδ ὄπισθεν, ἐλευθέροις λοιπὸν ὀφθαλμοῖς πρὸς τὸν οὐρανὸν βλέπων· ἐξῄει, οὐ κεφαλὴν βαστάζων βαρβάρου, ἀλλὰ θυμὸν νενεκρωμένον, καὶ ὀργὴν ἐκνενευρισμένην, καὶ τῷ πολεμίῳ μυρία τραύματα δούς· καὶ τὸν μὲν Σαοὺλ διασώσας, τὸν δὲ ἀληθῶς ἐχθρὸν τὸν διάβολον πολλαῖς καταικίσας πληγαῖς· ἐξῄει τὴν δεξιὰν μετὰ τῆς κεφαλῆς ἐστεφανωμένην ἔχων· δεξιὰν ἐκείνην, ἢ τὸ ξίφος ἴσχυσε καθαρὸν ἐξελκύσαι, καὶ ἀναίμακτον τῷ Θεῷ δεῖξαι τὴν μάχαιραν, καὶ πρὸς τοσαύτην ἀντιστῆναι θυμοῦ ῥύμην· ἐξῄει μετὰ τοσαύτης περιφανείας, μεθ' ὅσης οἱ τρεῖς παῖδες ἀπὸ τῆς καμίνου. καθάπερ γὰρ ἐκείνους οὐ κατέκαυσε τὸ πῦρ, οὕτω καὶ τοῦτον ἡ πυρὰ τῆς ὀργῆς οὐκ ἐνέπρησε. κἀκείνοις μὲν τὸ πῦρ ἔξωθεν ὁμιλοῦν, οὐδὲν ἐποίησεν· οὗτος δὲ ἔνδοθεν ἔχων τοὺς ἄνθρακας καιομένους, καὶ τὸν διάβολον ἔξωθεν τὴν κάμινον ὑποκαίοντα, ἀπὸ τῆς ὄψεως τοῦ ἐχθροῦ, ἀπὸ τῆς παρακελεύσεως τῶν στρατιωτῶν, ἀπὸ τῆς εὐκολίας τῆς κατὰ τὴν σφαγήν, ἀπὸ τῆς ἐρημίας τῶν βοηθούντων, ἀπὸ τῆς μνήμης τῶν παρελθόντων κακῶν, ἀπὸ τῆς τῶν μελλόντων ἀγωνίας· καὶ γὰρ ταῦτα καὶ κληματίδος, καὶ πίσσης, καὶ στυππίου, καὶ πάντων τῶν τὴν Βαβυλωνίαν ἀναπτόντων κάμινον λαμπροτέραν ἀνῆπτε τὴν φλόγα, οὐκ ἐνεπρήσθη, οὐδὲ ἔπαθέ τι τοιοῦτον οἷον εἰκὸς ἦν· ἀλλ' ἐξῆλθε καθαρὸς καὶ ἀνέπαφος. ἐξελθὼν τοίνυν ὁ Δαβὶδ ὄπισθεν τοῦ Σαούλ, ἐβόησε λέγων, Κύριέ μου βασιλεῦ. καὶ ἀνέβλεψε Σαοὺλ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαβὶδ ἐπὶ πρόσωπον αὐτοῦ καὶ προσεκύνησεν αὐτῷ. ἆρά γε ταῦτα τοῦ σῶσαι τὸν ἐχθρὸν ἐλάττονα φέρει τὸν ἔπαινον; ὅτι αὐτὸς σώσας αὐτὸς προσκυνεῖ τὸν σωθέντα. καὶ βασιλέα καλεῖ, καὶ δοῦλον ἑαυτὸν ὀνομάζει, καὶ πάντα ποιεῖ, ὥστε ἐκείνου καταστεῖλαι τὸ φρόνημά τε, καὶ φύσημα, καὶ τὸν θυμὸν παραμυθήσασθαι, καὶ τὴν βασκανίαν ἀνελεῖν; ἀλλ' ἀκούσωμεν καὶ τῆς ἀπολογίας αὐτῆς. „ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λέγοντος, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; ἰδοὺ ἑωράκασιν οἱ ὀφθαλμοί σου σήμερον, ὡς παρέδωκέ σε Κύριος εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε, καὶ ἐφεισάμην σου, καὶ εἶπον, οὐκ ἐποίσω τὴν χεῖρά μου ἐπὶ τὸν κύριόν μου, ὅτι Χριστὸς Κυρίου ἐστί, καὶ ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ χειρί μου, ὃ ἐγὼ ἀφεῖλον καὶ οὐκ ἀπέκτονά σε. οὐ γὰρ ἂν εἰ μὴ πλησίον ἐγενόμην, φησί, καὶ τοῦ σώματος ἐγγὺς ἔστην τοῦ σοῦ, τὸ μέρος ἂν ἔκοψα τοῦ ἱματίου. καὶ γὰρ εἰ μὴ ἔκοψεν, οὐδαμόθεν ἑτέρωθεν εἶχε πιστώσασθαι τὸν ἐχθρόν. πῶς γὰρ μετὰ τοσαύτας εὐεργεσίας πολεμοῦντα μηδὲν ἠδικηκότι ἐδύνατο ὑποπτεῦσαι, ὅτι ἀδικηθεὶς ἕτερος τὸν ἀδικήσαντα λαβὼν εἰς χεῖρας ἐφείσατο; νυνὶ δὲ ἀναμφισβήτητον ἀπόδειξιν τῆς αὐτοῦ προνοίας παρέσχετο, καὶ αὐτὸν τὸν ἐχθρὸν καὶ δικαστὴν καὶ μάρτυρα καλεῖ τῆς οἰκείας κηδεμονίας, οὑτωσὶ λέγων, γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου τοῦ λαβεῖν αὐτήν. οὕτως ἦν ἄτυφος, καὶ κενοδοξίας καθαρὸς ἁπάσης, καὶ πρὸς ἓν ἔβλεπε μόνον, τὴν τοῦ Θεοῦ ψῆφον. φησὶ γάρ, κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. τοῦτο δὲ εἶπεν, οὐχὶ κολασθῆναι βουλόμενος τὸν ἄνδρα, οὐδὲ τιμωρίαν παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ φοβῆσαι τῇ μνήμῃ τῆς μελλούσης κρίσεως· ὅτι οὐκ ἂν ἐτόλμησε καλέσαι τὸν ἀπαραλόγιστον δικαστήν, καὶ ἐπ' αὐτοῦ τὴν δίκην εἰσαγαγεῖν, εἰ μὴ σφόδρα ἦν πεπεισμένος ἑαυτὸν ὅτι πάσης ἐπιβουλῆς ἦν καθαρὸς καὶ ἀμέτοχος.

A Idcirco etiam talem concinnavit defenſionem. Et illi quidem recuſabant, accuſabatur verò dormiens: defenſorem agebat hoſtis, Deus verò judicabat, & Davidis ſententiam ſua authoritate comprobabat. Nec enim abſque Dei nutu furentes illos ſuperare valuiſſet: ſed Dei gratia erat, quæ iſtius inſidebat labiis, & verbis illis quandam perſuadendi vim addebat. Nunquid & hinc maximè propter animi magnitudinem quis ipſum miretur, quòd inimicum in manus nactus, cùm dormiret & immotus

B permanens nihil quicquam moliri poſſet, non ſolùm ipſemet non interfecit, ſed etiam interficere volentes impedivit? Quomodo ipſos veriſimile eſt jam illi obtemperare, quantam benevolentiam erga ipſum habere? ſi enim vel infinitas poſtea animas habuiſſent, nonne omnes pro ſuo imperatore impendiſſent, ubi reipſa ex ſolicitudine quam pro hoſte gerebat, ipſius erga familiares benevolentiam didiciſſent? Qui enim erga eos, à quibus moleſtia affectus eſt, mitis & manſuetus eſt, nónne magis in bene

C erga ſe affectos talis eſſe debebat? Nónne opportunè quis hinc oſtenderit, majus tropæum erexiſſe Davidem, cùm pepercisſet Sauli, quàm cùm Goliath proſtraviſſet, ac barbari caput amputaſſet? Si quidem hæc illa magnificentior erat victoria & glorioſius tropæum. Illic enim & funda, & lapidibus, & acie indigebat: hic verò cuncta ratione peragebantur, & ſine armis parata victoria, atque incruentum tropæum erectum eſt. Poſtquam igitur præclaram hanc & admirabilem victoriam peperiſſet,

D ſurrexit tandem à ſomno, horum certaminum materia, Saul, & egreſſus eſt à ſpelunca ignarus omnium, quæ circa ſe geſta eſſent. Egreſſus eſt autem poſt illum & David, liberis deinceps oculis cœlum intuens: egreſſus eſt, non caput barbari geſtans, ſed animi commotionem mortificatam, ſed iram enervatam: poſtquam innumera hoſti dediſſet vulnera; poſtquam Saulem ſervaſſet, & illum revera hoſtem diabolum multis plagis confixiſſet. Egreſſus eſt, dexteram cum capite coronatam habens: dexteram dico

E illam, quæ gladium purum educere, enſemque Deo nullo ſanguine contaminatum oſtendere, denique adverſus tantum iracundiæ impetum reſiſtere potuit. Egreſſus eſt tanto cum ſplendore, quanto tres pueri ex illo camino. Quemadmodum enim illos non exuſſit ignis: ita hunc non inflammavit rogus iracundiæ. Et illis quidem foris nihil ignis, in quo verſabantur, nocuit: hic verò intus habens carbones accenſos, & foris diabolum videns caminum incendentem, & ab inimici conſpectu, & ab adhorta-

A tione militum, à facilitate perficiendi cædem, à ſolitudine eorum qui Sauli poſſent auxiliari, à præteritorum malorum memoria, à futurorum periculorum trepidatione; ſiquidem hæc & ſarmentis, & reſina & ſtupa, ac ceteris omnibus, quibus caminus ille Babylonius incendebatur, lucidiorem excitabant flammam, tamen non incenſus eſt David, neque ullo pacto ſic affectus fuit, quemadmodum conſentaneum erat illum tot malis irritatum affici; ſed purus & integer exivit. Egreſſus itaque David poſt Saulem

B clamavit dicens: Domine mi Rex. Et reſpexit Saul poſt tergum ſuum inclinavitque David ſe pronus in terram & adoravit ipſum. Nunquid iſta minorem adferunt laudem, quàm inimicum ſervaſſe? Quoniam idem qui ſervaverat, ſervatum nunc adorat; appellat regem, ſeipſum ſervum vocat, omniaque facit ut faſtum illius atque arrogantiam reprimere, iram mitigare & invidiam tollere poſſit. Sed excuſationem quoque ipſam audiamus.

C *Cur audis verba populi dicentis: Ecce David quærit animam tuam? Ecce viderunt oculi tui hodie, quòd tradiderit te Dominus in manus meas, in ſpelunca; & nolui interficere te, ſed peperci tibi, & dixi: Non inferam manum meam in dominum meum, quia Chriſtus Domini eſt; & ecce oram chlamydis tuæ in manu mea, quam ego abſtuli, nec interfeci te.* Neque enim, ſi non fuiſſem, inquit, proximus, ac corpori tuo vicinus ſtetiſſem, potuiſſem veſtimenti amputare partem. Etenim ſi non amputaſſet, non potuiſſet aliunde fidem inimico facere. Quomodo enim poſt tot beneficia,

D nihil commeritum oppugnans, ſuſpicari potuit, quòd alter injuria læſus, in manus lædentem nactus, ei pepercisſet? Jam verò indubitatum ſuæ erga ipſum providentiæ argumentum exhibuit, ipſumque inimicum, & judicem & teſtem vocat ſuæ ſolicitudinis, ita dicens: Cognoſce & vide hodie, quòd non ſit in manu mea iniquitas: tu verò conſtringis animam meam, ut eam capias. Uſque adeo faſtus expers erat, & ab omni inani gloria

E immunis, atque ad unum ſolum reſpiciebat, Dei ſcilicet judicium. Ait enim: *Judicet Deus inter me & te.* Hoc vero dixit, non quòd puniri hominem cuperet, aut pœnas de illo ſumere, ſed ut formidinem illi injiceret venturi judicii commemoratione: quia nequaquam auſus eſſet appellare judicem illum, qui decipi nequit, & in ſe damnationem accerſere, niſi certiſſimum habuiſſet, ſe ab omni inſidiarum crimine purum & immunē eſſe.

Quis

Quis non obſtupeſcat, quis non miretur generoſum illum & adamantinum animum? Multa ſiquidem magnáque poterat Sauli enumerare beneficia. Poterat, ſi voluiſſet, dicere: Cùm bellum barbaricum, veluti diluvium quoddam, univerſam civitatem eſſet diſſipaturum, conſternatis vobis ac metu trepidantibus, inque dies ſingulos mortem expectantibus, ego tranſiens, nemine compellente, imò & te prohibente & retinente, me non continui, ſed pro cæteris omnibus inſilui, & * bellum ſuſcepi & caput amputavi: & velut torrentis impetum, barbarorum illorum inſultum repuli, rempublicam vacillantem ſtabilivi: ac per me tu quidem regnum & vitam, cæteri verò omnes præter vitam, civitatem ac domus & uxores obtinent. Ac poſt illud rurſus tropæum, & alia bella, quæ fortiter ac feliciter geſſerat, illo non inferiora. Et quod, cùm ſemel atque iterum, imò ſæpius ipſum è medio tollere conatus eſſet, lanceámque in caput illius torſiſſet, malorum non meminerit, atque alia multò plura & majora. Verùm nihil horum dixit, ſed tantum ea, quæ illo die acciderant, in ſui defenſionem adduxit, ita dicens. Cognoſce & vide hodie, quòd non ſit in manu mea malitia neque iniquitas: tu verò conſtringis animam meam, ut eam accipias. Quem, quæſo, verba iſta frangere non poſſint? Quia beneficia ipſi exprobrare non volebat, ſed ſolùm ut perſuaderet, ſe unum ex eorum numero eſſe, qui ipſum amarent & revererentur, non qui inſidias aut rebellionem molirentur. Et tu ergo, ſi quando in manus inimicum tuum nactus fueris, ne hoc cogites, ut ipſum ulciſcens & infinitis contumeliis afficiens ejicias: ſed ut ipſum cures, ut ad manſuetudinem ipſum adducas, nec prius omnia facere & dicere deſiſtas, donec crudelitatem ipſius lenitate ſuperes. Id quod David quoque præſtitit: qui dum hoſtem contra ſalutem ſuam armari videret, atque ob hoc omnia movere, non modò efferatus non eſt, ſed magis etiam ei condoluit: quoque majores inſidias ei ſtruxit, tanto magis ipſum deflevit, nec antè deſtitit omnia facere, donec ipſum quoque cum fletu & lacrymis ad excuſationem excitaret. Poſtquam enim Saul audiviſſet dicentem ipſum: Domine mi Rex, non ſuſtinuit abſque lacrymis vocem illam audire, ſed ingemuit, amaram edidit vocem, & ejulabat vehementer, dicens: *Juſtior tu es, quàm ego: tu enim tribuiſti mihi bona*, pro inſidiis, pro cæde, pro innumeris illis malis: *ego verò tibi reddidi mala:* nec ita factus ſum melior, ſed poſt beneficia illa in malitia perſtiti. Tu verò ne ſic quidem mutatus es, ſed more tuo perrexiſti, atque iterùm nos inſidias molientes beneficiis afficiens, quæ hodie mihi bona præſtiteris, mihi indicaſti: quod ſcilicet in manus tuas Dominus me concluſerit, tu verò me non interfeceris. Quid Davide beatius fuerit, qui brevi temporis momento ita inimicum transformavit, & animam ſanguinis & cædis ſitientem nactus, in lacrymas & ululatus repentè conjecit? non ita Moyſen admiror, quod ex prærupta petra aquarum fontes eduxerit, quàm juſtum ſuſpicio, quod ex talibus oculis ſcatebras deduxerit lacrymarum. Ille ſiquidem naturam vicit: hic verò voluntatem liberam ſuperavit. Ille virga percuſſit lapidem: hic ſermone cor pulſavit, non ut triſtitiam inferret, ſed ut mundum & manſuetum efficeret. Quantumcunque igitur illum ob propriam manſuetudinem laudibus effero, magis tamen hunc propter mutationem Saulis admiror. Siquidem multò minus eſt, propriis dominari affectibus, quàm aliorum vincere furorem, quàm cor ira intumeſcens compeſcere, & ex tanta tempeſtate, tam quietum facere, oculóſque unde homicidium emicabat, calidis implere lacrymis. Atque hoc eſt ſtuporis ac miraculi plenum. Etenim ſi Saul fuiſſet homo æquus & moderatus, non adeo magni erat negotii ad propriam ipſum reducere virtutem. At efferatum, & ad extremam provectum malitiam, jámque ad cædem properantem brevi temporis momento ſic afficere, ut omnem illam amaritudinem evomat ex animo, quem non obſcuret omnium, qui unquam Philoſophiæ doctrina clari extiterunt? Laude quidem ſummáque admiratione dignum eſt, quòd enſem in ipſum non immerſerit, neque hoſtile caput amputaverit: quòd verò liberam ipſius mutaverit voluntatem, eámque meliorem reddiderit, & ad propriam reduxerit manſuetudinem, quid quæſo ad ſummam Philoſophiam reliquum fecerit? Sed plerique hominum, non ſolùm ſeipſos à converſatione inimicorum abſtinent, imò ne vultum quidem illorum intueri aut vocem audire volunt. Verùm non hoc pacto David: ſed & inimicum ſervavit, & prior honore affecit, hoc modo alloquens, *Domine mi Rex.* Et non hoc ſolùm, ſed in faciem quoque procidens ſuam, ipſum adoravit: & honoratus in eo, dum ille diceret, fili mi David, iterum majorem honorem exhibuit, dicens: *Servus tuus, Domine,*

* *forte τεμὼν*

* *hoſtem excepi.*

τίς οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειε τὴν γενναίαν ἐκείνην καὶ ἀδαμαντίνην ψυχήν; ὅτι πολλὰς καὶ μεγάλας εὐεργεσίας εἶχεν ἀριθμεῖν τῷ Σαούλ· καὶ γὰρ ἐδύνατο, εἴπερ ἐβούλετο, εἰπεῖν, ὅτι τοῦ βαρβαρικοῦ πολέμου καθάπερ κατακλυσμοῦ τινος ἅπασαν μέλλοντος ἀφανίζειν τὴν πόλιν, καταπεπληχότων ὑμῶν καὶ δεδοικότων, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκώντων, ἐγὼ παρελθὼν οὐδενὸς ἀναγκάσαντος, ἀλλὰ καί σου κωλύοντος καὶ κατέχοντος, οὐκ ἠ[illegible]μην, ἀλλὰ πρὸ τῶν ἄλλων ἁπάντων ἐπήδησα, καὶ τὸν * πολέμιον ὑπεδεξάμην, καὶ τὴν κεφαλὴν ἀπέτεμον· καὶ ὥσπερ χειμάρρου ῥύμην ἀνέστειλα τὴν ἔφοδον τῶν βαρβάρων ἐκείνων, καὶ τὴν πόλιν σειομένην ἔστησα· καὶ δι' ἐμὲ σὺ μὲν τὴν βασιλείαν καὶ τὴν ψυχήν, οἱ δὲ λοιποὶ πάντες μετὰ τῆς ψυχῆς, τὴν πόλιν, καὶ τὰς οἰκίας, καὶ τὰ γύναια ἔχουσι. καὶ μετ' ἐκεῖνο δὲ πάλιν ἑτέρους ὡς κατώρθωσε πολέμους οὐκ ἐλάττους ἐκείνου· καὶ ὅτι ἅπαξ, καὶ δίς, καὶ πολλάκις ἐπιχειρήσαντος ἀνελεῖν, καὶ τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀφέντος, οὐκ ἐμνησικάκησε· καὶ ἕτερα πολλῷ πλείονα τούτων καὶ μείζονα. ἀλλ' οὐδὲν τούτων εἶπεν, ἀλλ' ἀπὸ τῶν κατ' ἐκείνην τὴν ἡμέραν συμβάντων, τὴν ἀπολογίαν ποιεῖται, μόνον οὕτως εἰπών· γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου κακία οὐδὲ ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου τοῦ λαβεῖν αὐτήν. τίνα οὐκ ἂν τὰ τοιαῦτα κατακλάσειε ῥήματα; ὅτι οὐχὶ ὀνειδίσαι αὐτῷ τὰς εὐεργεσίας ἐβούλετο, ἀλλὰ πεῖσαι μόνον, ὅτι τῶν φιλούντων καὶ κηδομένων, οὐχὶ τῶν ἐπιβουλευόντων καὶ πολεμούντων ἐστί. καὶ σὺ τοίνυν ἐὰν εἰς χεῖρας τὸν ἐχθρὸν λάβῃς τὸν σόν, μὴ τοῦτο σκόπει ὅπως αὐτὸν ἀμυνόμενος καὶ μυρίαις πλύνων λοιδορίαις ἐκπέμψῃς, ἀλλ' ὅπως αὐτὸν θεραπεύσῃς, ὅπως αὐτὸν ἐπαγάγῃς πρὸς ἐπιείκειαν, καὶ μὴ πρότερον ἀποστῇς πάντα ποιῶν καὶ λέγων, ἕως ἂν περιγένῃ τῇ πραότητι τῆς ἐκείνου ὠμότητος. ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἐποίησεν, ὁρῶν τὸν πολέμιον κατὰ τῆς αὐτοῦ σωτηρίας ὁπλιζόμενον, καὶ πάντα διὰ τοῦτο κινοῦντα, οὐ μόνον οὐκ ἠγρίαινεν, ἀλλὰ καὶ εἰς πλείονα ἦλθε συμπάθειαν· καὶ ὅσῳ μείζονα ἐπεβούλευσε, τοσούτῳ μᾶλλον αὐτὸν ἐδάκρυε, καὶ οὐ πρότερον ἀπέστη πάντα ποιῶν, ἕως καὶ αὐτὸν ἀπολογήσασθαι παρεσκεύασε μετὰ δακρύων καὶ θρήνων. ἐπειδὴ γὰρ ἤκουσεν εἰπόντος αὐτοῦ, Κύριέ μου βασιλεῦ, οὐκ ἠνέσχετο ἀδακρυτὶ ταύτην ἀκοῦσαι τὴν φωνὴν ὁ Σαούλ, ἀλλ' ἀνῴμωξε, καὶ πικρὰν ἀφῆκε φωνήν, καὶ μέγα ἀνωλόλυξε, καὶ εἶπε· δίκαιος σὺ ὑπὲρ ἐμέ· ὅτι σὺ μὲν ἀνταπέδωκάς μοι ἀγαθά, ἀντὶ τῆς ἐπιβουλῆς, ἀντὶ τῆς σφαγῆς, ἀντὶ τῶν μυρίων κακῶν ἐκείνων· ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά· καὶ οὐδὲ οὕτως ἐγενόμην βελτίων, ἀλλὰ μετὰ τὰς εὐεργεσίας ἐκείνας ἐπέμεινα τῇ πονηρίᾳ· καὶ οὐδὲ οὕτω μετέβαλες, ἀλλὰ διέμεινας τὸν σαυτοῦ τηρῶν τρόπον, καὶ πάλιν ἡμᾶς ἐπιβουλεύοντας εὐεργετῶν. καὶ ἀπήγγειλάς μοι σήμερον, ἃ ἐποίησάς μοι ἀγαθά· ὡς ἀπέκλεισέ με Κύριος εἰς τὰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με. τί τοῦ Δαβὶδ γένοιτ' ἂν μακαριώτερον, ὃς ἐν βραχείᾳ καιροῦ ῥοπῇ, οὕτω τὸν ἐχθρὸν μετερρύθμισε, καὶ ψυχὴν αἵματος, καὶ σφαγῆς διψῶσαν λαβών, εἰς θρήνους ἐνέβαλεν ἀθρόον καὶ ὀλολυγμούς. οὐχ οὕτω τὸν Μωσέα θαυμάζω ὅτι ἀπὸ πέτρας ἀκροτόμου ὑδάτων πηγὰς ἐξήγαγεν, ὡς θαυμάζω τοῦτον, ὅτι ἐξ ὀφθαλμῶν τοιούτων πηγὰς δακρύων κατήγαγεν. ἐκεῖνος μὲν γὰρ τὴν φύσιν ἐνίκησεν· οὗτος δὲ τῆς προαιρέσεως περιεγένετο. ἐκεῖνος ἐπάταξεν ἐν τῇ ῥάβδῳ τὸν λίθον· οὗτος ἔκρουσε τῷ λόγῳ τὴν καρδίαν, οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα καθαρὰν ἐργάσηται. καὶ ὅσον μὲν αὐτὸν ἐπαινῶ διὰ τὴν οἰκείαν πραότητα, μειζόνως αὐτὸν θαυμάζω, διὰ τὸ τὸν Σαοὺλ μεταβαλεῖν. οὐ γὰρ τὸ οἰκείων κρατῆσαι παθῶν πολὺ πλέον ἐστί, τὸ καὶ τῆς ἑτέρων περιγενέσθαι μανίας, καὶ φλεγμαίνουσαν καταστεῖλαι καρδίαν, καὶ τοσαύτην ἀπὸ τοσαύτης ἐργάσασθαι ζάλης, καὶ ὀφθαλμοὺς φόνον βλέποντας, δακρύων ἐμπλῆσαι θερμῶν. καὶ τοῦτό ἐστιν ὃ πολλῆς ἐκπλήξεως γέμει καὶ θαύματος. καὶ γὰρ εἰ μὲν τῶν ἐπιεικῶν καὶ μετρίων ἀνθρώπων ὁ Σαοὺλ ἦν, οὐ μέγα ἦν σφόδρα ἐπαναγαγεῖν αὐτὸν πρὸς τὴν οἰκείαν ἀρετήν. τὸ δὲ ἐκτεθηριωμένον καὶ πρὸς ἐσχάτην κακίαν ἐξοκείλαντα, καὶ πρὸς σφαγὴν ἐπειγόμενον ἐν βραχείᾳ καιροῦ ῥοπῇ παρασκευάσαι πᾶσαν τὴν πικρίαν ἐμέσαι ἐκείνην· τίνα οὐκ ἂν ἀποκρύψειε τῶν πώποτε ἐπὶ διδασκαλίᾳ φιλοσοφίας βεβοημένων; ἐπαίνου μὲν γὰρ ἄξιον καὶ μεγίστου θαύματος, καὶ τὸ μὴ βαπτίσαι τὸ ξίφος, μηδὲ ἀποτεμεῖν τὴν πολεμίαν ἐκείνου κεφαλήν· τὸ δὲ καὶ αὐτὴν αὐτοῦ μεταβαλεῖν τὴν προαίρεσιν, καὶ βελτίω ποιῆσαι, καὶ πρὸς τὴν οἰκείαν αὐτὸν ἐπιείκειαν μεταγαγεῖν, τίνα ἂν σχοίη λοιπὸν φιλοσοφίας ὑπερβολήν; ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐ μόνον τῆς πρὸς τοὺς ἐχθροὺς ὁμιλίας ἀπείργουσιν ἑαυτούς, ἀλλ' οὐδὲ τὴν ὄψιν ἰδεῖν ἀνέχονται τὴν ἐκείνων, οὐδὲ τῆς φωνῆς ἀκοῦσαι. ὁ δὲ Δαβὶδ οὐχ οὕτως· ἀλλὰ καὶ τὸν ἐχθρὸν ἔσωσε, καὶ πρότερος ἐτίμησε προσειπών, Κύριέ μου βασιλεῦ. καὶ οὐ τότε μόνον, ἀλλὰ καὶ πεσὼν ἐπὶ πρόσωπον αὐτοῦ, προσεκύνησεν αὐτόν· καὶ τιμηθεὶς ἐν τῷ εἰπεῖν ἐκεῖνον, τέκνον Δαβίδ, πάλιν μειζόνως ἀντετίμησεν εἰπών· δοῦλός σου, κύριέ

μου

μου βασιλεῦ. Τίς ἂν χροίη μείζονα ταύτης ἀνεξικακίας εἰπεῖν; ἐκεῖ-
νος μέχρι τῆς ψυχῆς αὐτῆς εὐεργετηθεὶς εἰς συγγένειαν τὸν εὐεργέτην
ἤγαγεν· οὗτος εὐεργετήσας δεσπότην εὐεργετηθέντα ὀνόμασε. Τέ-
κνον μου, φησὶν, ἐκάλεσεν, ἐγὼ δὲ ἀγαπῶ καὶ στέργω, ἐὰν δοῦλόν μου ἔ-
χῃς, μόνον μετὰ τοῦ ἀποθέσθαι τὴν ὀργὴν μόνον μετὰ τοῦ μηδὲν ὑποπτεύειν
περὶ ἐμὲ πονηρὸν, καὶ μὴ νομίζειν ἐπίβουλον εἶναι καὶ πολέμιον. Καὶ ὅρα ὅ-
σον τὸ κέρδος εἰργάσατο. Ἐπειδὴ γὰρ εἶπεν τοῦτο, οὐκ ἠνέγκεν ἐκεῖνος
ἀδακρυτὶ λοιπὸν ταύτην ἀκούειν τὴν φωνὴν, ἀλλ' ὠλόλυξε πικρὸν, τὴν
ὑγίειαν τὴν ἐν τῇ ψυχῇ καὶ τὴν φιλοσοφίαν, ἣν ὁ Δαβὶδ ἐνέθηκε, διὰ τῶν
δακρύων δηλῶν. Πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος ὁ Δαβὶδ, ὅτι οὕτω
τῇ ἑαυτοῦ πραότητι καὶ ἐπιεικείᾳ τοῦ Σαοὺλ περιεγένετο, ὡς καὶ τῆς οἰκείας
αὐτὸν πεῖσαι καταγνῶναι ὠμότητος, καὶ τὴν ἐκείνου ἀνυμνεῖν ἀρετήν;
Εἰ γάρ τις εὕροι τὸν ἐχθρὸν αὐτοῦ, φησὶν, ἐν θλίψει, ἐκπέμψει αὐ-
τὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀνταποδώσει αὐτῷ ἀγαθὰ, καθὼς
„πεποίηκας σὺ μετ' ἐμοῦ σήμερον· καὶ ἰδοὺ ἐγὼ γινώσκω ὅτι βασι-
„λεύων βασιλεύσεις, καὶ στήσεται ἡ βασιλεία Ἰσραὴλ ἐν τῇ χειρί σου.
„Καὶ νῦν ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα
„μου ὀπίσω μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ πατρός μου. Καὶ
πόθεν ἔγνως εἰπέ μοι τοῦτο; παρὰ σοὶ τὰ στρατόπεδα· παρὰ σοὶ τὰ
χρήματα, τὰ ὅπλα, αἱ πόλεις, οἱ ἵπποι, οἱ στρατιῶται, ἅπασα ἡ
βασιλικῆς παρασκευῆς ἡ δύναμις· οὗτος δὲ ἔρημος καὶ γυμνὸς ἄπο-
λις, ἄοικος, ἀνέστιος. Πόθεν οὖν ταῦτα λέγεις εἰπέ μοι; ἀπ' αὐτῶν τῶν
τοῦ τρόπου. Οὐ γὰρ ἂν ὁ γυμνὸς καὶ ἄπολις, καὶ ἔρημος, ἐμοῦ τοῦ καθωπλι-
σμένου καὶ τοσαύτην περιβεβλημένου δύναμιν περιεγένετο, εἰ μὴ τὸν
Θεὸν εἶχε μεθ' ἑαυτοῦ· ὁ δὲ Θεὸν ἔχων μεθ' ἑαυτοῦ πάντων ἐστὶν ἰσχυρό-
τερος. Εἶδες ἄρα φιλοσοφεῖ μετὰ τὴν ἐπιβουλὴν ὁ Σαούλ; εἶδες πῶς δυ-
νατὸν ἅπασαν ἀποπτύσαι πονηρίαν καὶ μεταβαλέσθαι καὶ πρὸς τὸ
βέλτιον ἐπανελθεῖν; ἆρα πόσων ἂν εἴη στεφάνων ἄξιος καθ' ἕκαστον
τῶν ῥημάτων τούτων ὁ Δαβίδ; εἰ γὰρ καὶ τὸ στόμα αὐτοῦ ἐφθέγγετο τοῦ Σαούλ,
ἀλλ' ἡ τοῦ Δαβὶδ σοφία εἰς τὴν ἐκείνου ταῦτα ψυχὴν κατεφύτευσεν.
Ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου, καὶ μὴ
ἀφανίσῃς τὸ ὄνομά μου, ἐκ τοῦ οἴκου τοῦ πατρός μου. Δέησιν ὁ βασιλεὺς τῷ
ἰδιώτῃ προσάγει λοιπόν· καὶ ἱκετηρίαν οὗτος ἐστὶν ὁ τὸ διάδημα περικεί-
μενος, ὑπὲρ τῶν παίδων τῶν ἑαυτοῦ παρακαλῶν τὸν φυγάδα· καὶ ὅρκον ἀπ-
αιτεῖ οὐκ ἀπιστῶν τῷ τρόπῳ, ἀλλὰ ἐννοῶν ὅσα εἰς αὐτὸν εἰργάσατο
κακά. Ὄμοσόν μοι μὴ ἀφανίσῃς τὸ σπέρμα μου ὀπίσω μου. Ἐπίτρο-
πον τὸν πολέμιον καταλιμπάνει τῶν ἑαυτοῦ παίδων, καὶ ταῖς ἐκείνου χερ-
σὶν ἐντίθησι τὰ ἔγγονα· μονονουχὶ τῆς δεξιᾶς αὐτῶν λαβόμενος διὰ τῶν ῥη-
μάτων αὐτῶν, καὶ τὸν Θεὸν μεσίτην εἰσάγων. Τί οὖν ὁ Δαβίδ; ἆρα
κἂν μικρὸν εἰρωνεύσατο πρὸς ταῦτα; οὐδαμῶς· ἀλλ' εὐθέως ἐπένευ-
σε, καὶ τὴν χάριν ἔδωκε, καὶ τελευτήσαντος τοῦ Σαοὺλ, οὐ μόνον οὐκ
ἀπέκτεινεν, ἀλλὰ καὶ πλέον, ὧν ὡμολόγησε, τότε παρέσχε. Τὸν γὰρ
ἔγγονον τὸν τούτου χωλὸν ὄντα καὶ πεπηρωμένον τὸ σκέλος, εἰς τὴν οἰ-
κίαν εἰσήγαγε τὴν ἑαυτοῦ, καὶ ὁμοτράπεζον ἐποίησε, καὶ τῆς μεγίστης
ἠξίωσε τιμῆς· καὶ οὐκ ἠρυθρίασεν, οὐδὲ ἐνεκαλύπτετο, οὐδὲ τὴν τράπεζαν
ἐνόμιζε καταισχύνειν τὴν βασιλικὴν, τῇ πηρώσει τοῦ παιδός. Ἀλλ'
ἐκαλλωπίζετο καὶ ἐνεσεμνύνετο μᾶλλον. Τίς γὰρ τῶν συνδειπνούντων αὐτῷ
ὁρῶν τὸν ἔγγονον τοῦ Σαοὺλ τοῦ τοσαῦτα κακὰ ἐργασαμένου τὸν Δαβὶδ,
τοσαύτης ἀπολαύοντα παρ' αὐτῷ τιμῆς, εἰ καὶ πάντων θηρίων
ἀγριώτερος ἦν, οὐχὶ πρὸς πάντας ἐσπένδετο τοὺς ἐχθροὺς αἰσχυνό-
μενος καὶ ἐρυθριῶν; εἰ γὰρ ἑτέρωθι τροφὴν ἐπέταξε, καὶ σιτηρέσιον ἀφω-
ρισμένον, πολὺ μέγα ἦν τοῦτο· καὶ εἰς αὐτὴν ἀγαγεῖν τὴν τρά-
πεζαν, ὑπερβολὴν ἔχει φιλοσοφίας. Καὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων
οὐ μόνον ζῶντας ἠμύναντο τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τελευτησάντων εἰς
τοὺς ἐκείνων παῖδας τὴν πρὸς ἐκείνους ἀφῆκαν ὀργήν. Ἀλλ' οὐχ ὁ Δα-
βὶδ οὕτως, ἀλλὰ καὶ ζῶντα τὸν πολέμιον διετήρησε, καὶ ἀπελθόντος
ἐκείνου τὴν περὶ ἐκεῖνον εὔνοιαν εἰς τοὺς παῖδας ἐπεδείξα-
το. Τί τούτου μακαριώτερον γένοιτ' ἂν, ὅτι οὐ μόνον τὸν ἐχθρὸν
ὑπὸ τοὺς πόδας ἰδὼν τοὺς ἑαυτοῦ κείμενον αἰχμαλώτου χεῖρον, ἐφεί-
σατο· ἀλλὰ καὶ πάλιν μετὰ τὴν σωτηρίαν ταύτην ἐπιθέμενον αὐτῷ καὶ
ἀνελεῖν βουλόμενον εἰς χεῖρας λαβὼν, καὶ δυνάμενος αὐτὸν μετὰ τοῦ
στρατοπέδου κατασφάξαι παντὸς, ἀφῆκέ τε ὑγιῆ καὶ σῶον· καὶ συνειδὼς
ὡς ἀνήκεστα νοσεῖ, καὶ τῆς πρὸς αὐτὸν ἔχθρας οὐδαμῶς λήξει ποτὲ,
ἐξήγαγεν ἑαυτὸν τῶν ὀφθαλμῶν τῶν ἐκείνου, καὶ παρὰ τοῖς βαρβάροις
ἔζη δουλεύων, ἠτιμασμένος, αἰσχυνόμενος, ἐκ πόνων καὶ ταλαιπωρίας τὴν
ἀναγκαίαν ἑαυτῷ πορίζων τροφήν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ θαυμαστὸν, ἀλλ'
ὅτι καὶ πεσόντα ἀκούσας ἐπὶ τῆς παρατάξεως, διέρρηξε τὸν χιτωνίσκον,
καὶ σποδὸν * κατεπάσατο, καὶ θρῆνον ἐθρήνησεν, ὃν ἄν τις θρηνήσειεν,
παῖδα μονογενῆ καὶ γνήσιον ἀποβαλών· συνεχῶς αὐτοῦ τὸ ὄνομα ἀνα-
καλῶν μετὰ τοῦ παιδὸς, καὶ ἐγκώμια συντιθεὶς, καὶ πικρὰν ἀφιεὶς φωνὴν,
καὶ μέχρις ἑσπέρας ἄσιτος μένων, καὶ τὰ χωρία καταρώμενος τὰ δεξάμενα τὸ αἷμα Σαοὺλ. Ὄρη, φησὶ, τὰ Γελβουὲ, μὴ πέσοι ἐφ' ὑμᾶς μήτε

mi Rex. Quis majorem hac manſuetudinem dicere poſſit? Ille uſque ad vitam ipſam beneficiis affectus in cognationem benefactorem aſcivit; hic qui beneficia exhibuerat, Dominum appellat illum, in quem beneficia contulerat. Filium me vocavit, ait, ego verò ſatis habeo & contentus ſum, ſi pro ſervo me habeas, tantùm ut iram deponas, tantùm ut ne quid de me ſuſpicere mali, & ne inſidiatorem aut hoſtem me exiſtimes. Et vide quantum fecerit lucri. Priuſquam enim hoc dixiſſet, non jam ſuſtinuit ille ſine lacrymis hanc vocem audire, ſed ploravit amarè: animi ſanitatem & ſapientiam, quam David inſeruerat, lacrymis declarans. Quot coronis non dignus fuerit David, cùm adeò ſua manſuetudine & modeſtia Saulem ſuperaverit, ut ei propriam condemnare crudelitatem, virtutémque illius celebrare perſuaſerit? Si enim, inquit, quis inimicum ſuum in tribulatione conſtitutum invenerit, & in via bona ipſum dimiſerit, Dominus ei bona retribuet, ſicuti tu mecum feciſti hodie. *Et ecce agnoſco quòd regnans regnabis, quodque regnum Iſrael conſtituetur in manu tua. Et nunc jura mihi per Dominum, quòd non aboliturus ſis ſemen meum poſt me, & non extincturus nomen meum de domo patris mei.* Et unde, quæſo, hoc noſti. Penes te ſunt exercitus: penes te ſunt pecuniæ, arma, civitates, equi, milites, omnis denique vis regii apparatus; hic contra deſertus ac nudus, nec civitatem, nec domum, nec familiam habens: Unde igitur, dic mihi, iſta loqueris? nimirum ex ipſis Davidis moribus. Neque enim nudus & extorris & deſertus, me armatum, tantáque circum vallatum potentia ſuperaſſet, niſi Deum haberet adjutorem. Porro qui Deum habet ſecum, omnibus eſt potentior. Vides ad quantam Philoſophiam Saul poſt inſidias deductus ſit? Vides, qui fieri poſſit, ut quis omnem expuat malitiam, immutatúſque ad meliora ſe recipiat? Quotnam coronis in ſingulis hiſce verbis dignus fuerit David? Quanquam enim os Saulis iſta ſonabat, ſapientia tamen Davidis ea in animum illius inſeruerat. Jura mihi per Dominum, quòd non delebis ſemen meum, nec obliterabis nomen meum de domo patris mei. Preces jam Rex privato offert: & diademate cinctus ſupplicem agit pro filiis ſuis, exulem rogans: & juſjurandum exigit, non diffidens ipſius moribus, ſed quot malis ipſum affecerit, reputans. Jura mihi, te non aboliturum ſemen meum poſt me. Hoſtem filiis ſuis relinquit tutorem, ſuóſque poſteros in illius manibus deponit: tantum non dexteram ipſorum verbis iſtis apprehendens, & Deum ſequeſtrem inducens. Quid igitur David? Num vel leviter diſſimulatione vel ironia ad hæc uſus eſt, Nequaquam: ſed protinus annuit, quodque petebatur, conceſſit, ac mortuo Saule, non modò illos non occidit, ſed & plura tunc præſtitit, quàm pollicitus eſſet. Siquidem filium ejus cùm eſſet claudus ac debilis cruribus, in ſuam ipſius domum induxit, ſuæque menſæ fecit participem, ſummóque dignatus eſt honore: nec erubuit, nec occultavit, nec ſe regiam menſam claudicatione pueri dehoneſtare arbitratus eſt: ſed in eo ſibi complacebat potius & gloriabatur. Quis enim eorum, qui cum eo cœnabant, dum filium videret Saulis, qui tot malis Davidem affecerat, tanto in honore apud ipſum haberi, etiamſi feris omnibus immitior eſſet, non cum omnibus inimicis ſuis, pudore ac rubore ſuffuſus, in gratiam redibat? Si enim alibi cibum ei dari juſſiſſet, certúmq; victus modum ordinaſſet, valdè magnum erat: ſed ad ipſam recipere menſam, eximiæ cujuſdam eſt Philoſophiæ. Etenim plerique hominum non viventes ſolum ulciſcuntur hoſtes, ſed etiam ipſis defunctis, in illorum liberos, iram quam in illos habebant, effundunt. Verùm, non ita David, ſed & viventem inimicum ſervavit, & illo defuncto, benevolentiam, quam erga illum geſſerat, filiis exhibuit. Quidnam iſto viro beatius fuerit? quia non tunc ſolùm, cùm inimicum ſub pedibus ſuis, captivo miſeriùs jacentem videret, eidem pepercit: ſed etiam poſt ſalutem iſtam inſidias ſibi molientem & interficere volentem in manus nactus, cùm eum ſimul & totum exercitum cædere poſſet, ſalvum & incolumem tamen dimiſit: & quamvis non ignoraret, quàm inſanabili laboraret morbo, & quòd nequaquam ab inimicitiis, quas erga ſe habebat, deſiſteret, ſeipſum ab oculis illius ſubduxit, & apud barbaros veluti ſervus vitam agebat, inhonoratus, pudefactus, ex labore & ærumna neceſſarium ſibi victum parans. Nec hoc ſolùm admirandum, ſed etiam quòd in acie ipſum cecidiſſe audiens, tunicam diſciderit, cinere ſe conſperſerit, & planctu planxerit, quaſi quis plangeret, filio ſuo unigenito & naturali amiſſo: aſſiduè interim nomen ipſius & filii ſimul inclamans, encomia componens, amaram emittens vocem, & uſque ad veſperam jejunus permanens, locíſque illis quæ ſanguinem Saulis exceperant, maledicens. *Montes*, inquit, *Gelboe*, *nec ros*, nec

* Reg. 1. κατεπάσατο.

nec pluviæ cadant ſuper vos : montes mortis : quia ibi ſublata ſunt tabernacula potentium.* Odi & locum ipſum, inquit, propter mortuos, ibi proſtratos : ne igitur poſthac pluviis deſuper irrigemini, quando ſemel amicorum meorum ſanguine malè irrigati eſtis. Et aſſiduè verò ipſorum nomina verſat, ita inquiens: *Saul, Saul, & Jonathan, amabiles & decori, in vita ſua non diviſi, etiam in morte ſua disjuncti non ſunt.* Quoniam enim præſentia illorum corpora non licuit amplecti, nomina eorum amplexus eſt, ſuum dolorem hiſce modis quatenus licuit, liniens, & calamitatis magnitudinem mitigans. Non enim dici poteſt, inquit, quòd filius orphanum ſe eſſe lugeat, neque quod pater orbitatem ſuam deploret : ſed quod nemini, inquit, contingit, illis contigit : ſimul & uno die è vita abrepti ſunt, nec alteri ſuperſtes relictus eſt : quòd vitam injucundam ſibi ob talem divulſionem fore exiſtimaret. Nunc mihi quiſque recordetur inimici & qui ipſum læſit, dolore adhuc in animo æſtuante, atque hunc vivum tueatur, & vita functum deploret : etiamſi quid ferendum ſit incommodi, ne offendat eum qui læſit, omnia & faciat & patiatur, magna à Deo expectans præmia. Nihil enim ſecurius eſt, quàm hoc pacto inimicis parcere, neque periculoſius quicquam, quàm ſuam perſequi injuriam & ſeſe ulciſci velle. Qui enim occiderit, ſeipſum ſæpè condemnabit, & ſceleratam habebit conſcientiam, in ſingulos dies & horas ab illo peccato veluti ſtimulis punctus. Qui vero pepercerit, & brevi tempore æquo animo tulerit, lætabitur poſt hæc & deliciis perfruetur, ſpem bonam expectans, præmiaque injuriarum oblivionis à Deo ſperans. Ac ſi fortè in periculum inciderit, magna cum fiducia à Deo retributionem poſcet. Atque hoc ex iis, quæ inter Davidem & Saulem contigerunt, videre eſt. Etenim hic dum occidere vellet, nudus, inermis, ab omnibus deſtitutus, ac veluti captivus traditus, ita in ſpelunca jacebat : ille verò ubique cedens & locum dans, & ne juſtam quidem de eo vindictam ſumere volens, abſque machinis & armis, abſque equis & militibus, hoſtem in manus nactus eſt : & quod majus omnibus eſt, Deum ad majorem benevolentiam flexit, & magna mirandaque pro ſua erga inimicum ſolicitudine accepit præmia. Quam igitur nos habebimus veniam, dum præteritorum peccatorum memores ſumus : & eos, qui nos læſerunt, ulciſcimur, quando inſons ille, tanta quidem paſſus, plura vero & graviora ſibi mala eventura expectans, ita inimici parcere ſaluti cernitur, ut potius eligat ipſemet periclitari, & in timore ac tremore vitam agere, quàm cum, innumeras ei exhibiturus erat moleſtias, juſtè occidere? Præclarum quidem eſt, injuriam non inferre : longè verò præclarius injurias inferentem non ulciſci. Et lex quidem hanc menſuram tunc dedit, jubens, oculum pro oculo, & dentem pro dente excutere, nec iſta erat legis tranſgreſſio. Sed tam ſapientiæ amans erat David, ut non ſolùm legem non tranſgrederetur, ſed etiam ex magna quadam abundantia eam ſuperaret, metas, ut dici ſolet, tranſiliens. Non enim ſibi ad virtutem ſufficere exiſtimabat, niſi etiam juſſa longo intervallo ſuperaſſet. A nobis autem non hoc ſolùm requiritur, ut injuriam non reddamus, ſed etiam, ut benefaciamus. Ait enim, *orate pro perſequentibus vos : benefacite his qui oderunt vos.* Quamnam ergo nos veniam habebimus, & quam excuſationem, qui poſt Chriſti adventum non pervenimus ad menſuram eorum, qui in veteri teſtamento vixerunt? idque cum à nobis longè majora exigantur. *Niſi enim abundaverit*, inquit, *juſtitia veſtra plusquam Scribarum & Phariſæorum, non intrabitis in regnum cœlorum.* Quemadmodum enim non eſt æqualis is, qui ſe in lege rectè gerit, ei, qui in iiſdem rectè ſe geſſit ante legem : ita nec qui in gratia, ei, qui ante legem, imò vero ei qui ſub lege : ſed ab ipſo tempore magnum diſcrimen naſcitur. Audi enim, quid dicat Petrus ad Chriſtum : *Si peccaverit in me frater meus, quoties dimittam ei?* uſque ſepties? ſimul interrogat & promittit : & antequam diſcat, liberaliter donat. Cùm enim magiſtri mentem probè perſpectam haberet, quòd ad clementiam potius eſſet inclinata, placere magiſtro volens, ait : uſque ſepties? Deinde, ut noveris, quid interſit inter hominem & Deum : & quomodo diſcipuli liberalitas, quouſq; etiam perveniat; cum magiſtri comparata abundantia, omni paupertate ſit vilior : & ſicut eſt gotta ad infinitum pelagus, ita noſtram bonitatem ad immenſam illius eſſe benignitatem : cùm ille dixiſſet, ſepties, & magna donare ſe, ſingularémque liberalitatem oſtendiſſe exiſtimaret, Chriſtus inquit : *Non dico, uſque ſepties, ſed uſque ſeptuagies ſepties*, quod facit quadringenta & nonaginta. Et ne putes, difficile eſſe hoc præceptum. Si enim paratus ſis, toties peccata in te commiſſa deſpicere, ſemel & iterùm, & tertiò veniam dando exercitatus, nullam deinceps difficultatem in hac Philoſophia ſenties,

ſublatum eſt præſidium.

Ex Interpret.
Pſal. 7.
Deut. 19.

Math. 5, 44.

Ex hom. in parab. de eo qui decem millia talenta debebat.
Math. 18, 21.

A δρόσος μήτε ὑετός· ὄρη θανάτου· ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυναστῶν. μισῶ καὶ τὸν τόπον αὐτὸν διὰ τοὺς ἐκεῖ πεσόντας νεκρούς, φησί· μηκέτι τοίνυν βρεχέτωσαν τοὺς ἄνωθεν ὑετούς, ἐβράχητε γὰρ ἅπαξ κακῶς τῷ τῶν φίλων μου αἵματι. καὶ συνεχῶς δὲ αὐτῶν ἐπιστρέφει τὰ ὀνόματα, οὑτωσὶ λέγων· Σαοὺλ, Σαοὺλ, καὶ Ἰωνάθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ κεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐκ ἐχωρίσθησαν. ἐπειδὴ γὰρ τὰ σώματα παρόντα περιπλέξασθαι οὐκ εἶχε, B περιπλέκεται αὐτῶν ταῖς προσηγορίαις, τὴν οἰκείαν ὀδύνην ὡς ἐνῆν τούτοις καταπραΰνων, καὶ τὸ τῆς συμφορᾶς παραμυθούμενος μέγεθος. οὐ γάρ ἐστι, φησὶν, εἰπεῖν, ὅτι ὀρφανίαν ὁ παῖς ἐθρήνησεν, οὐδὲ ἀπαιδίαν ὁ πατὴρ ὠδύρατο· ἀλλ' ὃ μηδενὶ συνέβη, συνέβη, φησὶν, ἐκείνοις· ὁμοῦ καὶ κατὰ μίαν ἡμέραν τῆς ζωῆς ἀπερράγησαν, οὐδὲ κατελείφθη θάτερος ἀβίωτον ἑαυτῷ εἶναι τὸν βίον τῇ διαστάσει ταύτῃ νομίσας. νῦν ἕκαστος ἀναμιμνησκέσθω μοι τοῦ ἐχθροῦ καὶ τοῦ λελυπηκότος ἔτι ζεούσης τῷ πένθει τῆς διανοίας, καὶ τοῦτον καὶ ζῶντα φυλαττέτω, καὶ ἀπελθόντα πενθείτω· κἂν δέῃ τι παθεῖν, ὥστε μὴ λυπῆσαι τὸν ἠδικηκότα, πάντα ποιείτω καὶ πασχέτω, παρὰ τοῦ Θεοῦ μεγάλας ἀναμένων τὰς ἀμοιβάς. οὐδὲν γὰρ οὕτως ἀσφαλέστερον τοῦ φείδεσθαι τῶν ἐχθρῶν, οὐδὲ σφαλερώτερον τοῦ βούλεσθαι ἐκδικεῖν ἑαυτὸν καὶ ἀμύνασθαι. ὁ μὲν γὰρ διαφθείρας καταγνώσεται πολλάκις ἑαυτοῦ, καὶ πονηρὸν ἕξει συνειδὸς, καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ὑπὸ τῆς ἁμαρτίας ἐκείνης D κεντούμενος· ὁ δὲ φεισάμενος καὶ μικρὸν καρτερήσας χρόνον, γανοῦται μετὰ ταῦτα καὶ τρυφᾷ, χρηστὰς ἀναμένων ἐλπίδας, καὶ τὰς ἀμοιβὰς τῆς ἀνεξικακίας παρὰ τοῦ Θεοῦ προσδοκῶν. κἄν ποτε περιπέσῃ κινδύνῳ, μετὰ πολλῆς παρρησίας ἀπαιτήσει τὸν Θεὸν τὴν ἀντίδοσιν. καὶ τοῦτο ἀπὸ τῶν κατὰ τὸν Δαβὶδ καὶ τὸν Σαοὺλ γενομένων ἔστιν ἰδεῖν. ὁ μὲν γὰρ βουληθεὶς ἀνελεῖν, γυμνὸς καὶ ἄνοπλος καὶ πάντων ἔρημος καὶ καθάπερ αἰχμάλωτος παραδοθεὶς, οὕτως εἰς τὸ σπήλαιον ἔκειτο· ὁ δὲ εἴκων καὶ παρα- E χωρῶν πανταχοῦ, καὶ μηδὲ δικαίως ἐπεξελθεῖν βουλόμενος, χωρὶς μηχανημάτων καὶ ὅπλων, καὶ ἵππων, καὶ στρατιωτῶν, τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε· καὶ ὃ δὴ μεῖζον ἁπάντων ἦν, τὸν Θεὸν εἰς πλείονα εὔνοιαν ἐπεσπάσατο, καὶ μεγάλας καὶ θαυμαστὰς τῆς περὶ τὸν ἐχθρὸν κηδεμονίας τὰς ἀμοιβὰς ἀπέλαβεν ὕστερον. ποίαν οὖν ἕξομεν ἡμεῖς συγγνώμην ἁμαρτημάτων παρελθόντων μνημονεύοντες, καὶ τοὺς λελυπηκότας ἀμυνόμενοι, ὅταν ὁ ἀναίτιος ἐκεῖνος τοσαῦτα μὲν πεπονθὼς, A πλείονα δὲ καὶ χαλεπώτερα προσδοκῶν αὐτῷ συμβήσεσθαι κακὰ ἀπὸ τῆς τοῦ ἐχθροῦ σωτηρίας φαίνηται φειδόμενος οὕτως, ὡς ἑλέσθαι κινδυνεῦσαι μᾶλλον αὐτὸς, καὶ μετὰ φόβου καὶ τρόμου ζῆν, ἢ τὸν μέλλοντα μυρία πράγματα αὐτῷ παρέχειν ἀποσφάξαι δικαίως; καλὸν μὲν γὰρ τὸ μὴ ἀδικεῖν· πολλῷ δὲ μᾶλλον τὸ ἀδικηθέντα μὴ ἀμύνασθαι. καίτοιγε ὁ νόμος τότε παρεῖχε τὸ μέτρον, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κελεύων, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτειν, καὶ οὐκ ἦν πα- B ράβασις τὸ γινόμενον· ἀλλ' οὕτω φιλόσοφος ἦν ὁ Δαβὶδ, ὡς μὴ μόνον μὴ παραβαίνειν τὸν νόμον, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνειν, καὶ ὑπὲρ τὰ σκάμματα πηδᾷν. οὐ γὰρ ἐνόμιζεν αὐτῷ ἀρκεῖν εἰς ἀρετὴν, εἰ μὴ καὶ ὑπερακοντίσειε τὰ προστάγματα. ἡμεῖς δὲ οὐ τοῦτο ἀπαιτούμεθα μόνον, τὸ μὴ ἀνταποδοῦναι, ἀλλὰ καὶ τὸ εὐεργετεῖν. εὔχεσθε γὰρ, φησὶν, ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. ποίαν οὖν ἕξομεν συγγνώμην λοιπὸν, τί- C να δὲ ἀπολογίαν, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, μὴ φθάνοντες εἰς τὰ μέτρα τῶν ἐν τῇ παλαιᾷ πολιτευσαμένων· καὶ ταῦτα πολλῷ περισσότερα ἀπαιτούμενοι. ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὥσπερ γὰρ οὐκ ἔστιν ἴσος ὁ ἐν τῷ νόμῳ κατορθῶν τῷ πρὸ τοῦ νόμου, οὕτως οὐδὲ ὁ ἐν τῇ χάριτι τῷ πρὸ τοῦ νόμου, μᾶλλον δὲ τῷ ἐν τῷ νόμῳ· ἀλλ' ἀπὸ τοῦ καιροῦ πολλὴ ἡ διαφορὰ γίνεται. D ἄκουσον γὰρ τί φησιν ὁ Πέτρος πρὸς τὸν Χριστόν· ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; ὁμοῦ καὶ ἐπερωτᾷ καὶ ὑπισχνεῖται· καὶ πρὶν ἢ μάθῃ, φιλοτιμεῖται. τὴν γὰρ γνώμην τοῦ διδασκάλου σαφῶς εἰδὼς, ὅτι πρὸς φιλανθρωπίαν ῥέπει πλέον, βουλόμενος ἀρέσαι τῷ διδασκάλῳ, φησίν· ἕως ἑπτάκις; εἶτα ἵνα μάθῃς, τί μὲν ἄνθρωπος, τί δὲ Θεός· καὶ πῶς ἡ τοῦ μαθητοῦ φιλοτιμία, ὅποι περ ἂν ἀφίκηται, πρὸς τὴν εὐπορίαν τοῦ διδασκά- E λου συγκρινομένη, πενίας ἐστὶ πάσης εὐτελεστέρα· καὶ ὅσον σταγὼν πρὸς πέλαγος ἄπειρον, τοσοῦτον ἡ ἡμῶν ἀγαθότης πρὸς τὴν ἐκείνου ἄφατον φιλανθρωπίαν· εἰπόντος αὐτοῦ ἑπτάκις, καὶ νομίσαντος μεγάλα φιλοτιμεῖσθαι καὶ δαψιλεύεσθαι, φησὶν ὁ Χριστός· οὐ λέγω ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά· ὅπερ ἐστὶ τετρακόσια καὶ ἐνενήκοντα. καὶ μὴ νομίσῃς δύσκολον εἶναι τὸ ἐπίταγμα. ἐὰν γὰρ ἧς παρεσκευασμένος τοσαυτάκις καταφρονεῖν τῶν εἰς σὲ ἁμαρτημάτων, ἀπὸ μιᾶς, καὶ δευτέρας, καὶ τρίτης συγχωρήσεως γυμνασθεὶς, οὐδὲ πόνον ἕξεις λοιπὸν τῆς τοιαύτης φιλοσοφίας καθα-

καθάπαξ ἐμμελετήσας τῇ πυκνότητι τῆς συγχωρήσεως, μηδὲ ἀπληκτίζεσθαι παρὰ τῶν τοῦ πέλας ἁμαρτημάτων. ἀλλὰ καὶ εἴ τις ἁρπαγὴν ὑποσταίη ἄδικον, ὑπὲρ τῆς τοιαύτης ἀδικίας εὐχαριστήσει τῷ Θεῷ, μυρίας διὰ τῆς εὐχαριστίας ἐκείνης καρπώσεται τοὺς μισθούς. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν εὐφραίνει, ὡς τὸ μὴ ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ. εἰ δὲ λέγοι τις· τί γὰρ ἠδυνάμην ἀμύνασθαι τὸν ἀδικήσαντα ἀσθενέστερος ὤν; ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἐδυνάσω πρᾶξαι, τὸ δυσχερᾶναι, τὸ ἀποδυσπετῆσαι, τὸ καταρεύξασθαι τοῦ λελυπηκότος, τὸ κατερᾶσθαι αὐτῷ μυρία, τὸ πρὸς πάντας διαβάλλειν. ταῦτα γὰρ ἐν ἐξουσίᾳ κεῖται τῇ ἡμετέρᾳ. ὁ τοίνυν ταῦτα μὴ ποιήσας, καὶ τοῦ μὴ ἀμύνασθαι μισθὸν λήψεται. δῆλον γὰρ ὅτι καὶ ἐκεῖνα κύριος ὤν, οὐκ ἂν ἐποίησεν. ὅταν οὖν ἴδῃς τὸν ἐχθρὸν ἐμπεσόντα εἰς τὰς χεῖρας τὰς σάς, μὴ νόμιζε τιμωρίας, ἀλλὰ σωτηρίας ἐκεῖνον εἶναι τὸν καιρόν. τότε γὰρ μάλιστα δεῖ φείδεσθαι τῶν ἐχθρῶν, ὅταν αὐτῶν γινώμεθα κύριοι. κἂν οὕτως τὰ καθ᾽ ἑαυτοὺς οἰκονομώμεθα, καὶ τῆς τῶν πλησίον ἀντιλαμβανώμεθα σωτηρίας, ταχέως κἀκείνοις αὐτοῖς ποθεινοὶ ἐσόμεθα καὶ ἐπέραστοι· καὶ ὃ πάντων μεῖζον, τῶν ἀποκειμένων ἀπολαύσομεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ἐγκώμιον εἰς τὸν ἅγιον ἀπόστολον Παῦλον, συντεθὲν παρὰ Θεοδώρου Μαγίστρου, ἀπὸ διαφόρων λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Λόγος λ΄.

ΤΗΣ μὲν ἐπιγραφῆς τῶν ἀποστολικῶν Πράξεων ἅπαν ὑμῖν ἤδη τὸ χρέος καταβεβλήκαμεν· ἀκόλουθον δὲ λοιπὸν ἦν, καὶ τῆς ἀρχῆς ἅψασθαι τοῦ βιβλίου, καὶ εἰπεῖν, τί ποτέ ἐστι, τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. ἀλλὰ Παῦλος οὐκ ἀφίησιν ἡμᾶς χρήσασθαι τῇ τάξει ταύτῃ τῆς ἀκολουθίας, πρὸς ἑαυτὸν, καὶ τὰ οἰκεῖα κατορθώματα, τὴν ἡμετέραν γλῶτταν καλῶν. ἐπιθυμῶ γὰρ αὐτὸν ἰδεῖν εἰς Δαμασκὸν εἰσαγόμενον, δεδεμένον, οὐκ ἐν ἁλύσει σιδηρᾷ, ἀλλὰ φωνῇ δεσποτικῇ. ἐπιθυμῶ δὲ ἰδεῖν ἁλιευθέντα τὸν ἰχθὺν τοῦτον τὸν μέγαν, τὸν ἅπασαν ἀναβράσαντα τὴν θάλασσαν, τὸν μυρία κύματα κατὰ τῆς ἐκκλησίας ἐπεγείραντα. ἐπιθυμῶ ἰδεῖν αὐτὸν ἁλιευθέντα, οὐχὶ ἀγκίστρῳ, ἀλλὰ λόγῳ δεσποτικῷ. καθάπερ γάρ τις ἁλιεὺς ἐπὶ πέτρας ὑψηλῆς καθήμενος, καὶ τὸν κάλαμον μετεωρίζων ἀφ᾽ ὑψηλοῦ τὸ ἄγκιστρον ἀφίησιν εἰς τὸ πέλαγος· οὕτω δὴ καὶ ὁ δεσπότης ὁ ἡμέτερος, ὁ τὴν ἀλήθειαν δείξας τὴν πνευματικὴν καθάπερ ἐφ᾽ ὑψηλῆς πέτρας τῶν οὐρανῶν καθήμενος, ὥσπερ ἄγκιστρον τὴν φωνὴν ἐκείνην ἀφεὶς ἄνωθεν, καὶ εἰπών, Σαῦλε, Σαῦλε, τί με διώκεις, οὕτως τὸν ἰχθὺν τοῦτον τὸν μέγαν ἡλίευσε. τίς γὰρ τὸν ὠμὸν καὶ ἀπάνθρωπον, καὶ διώκτην καὶ βλάσφημον, καὶ οὕτως τὴν ἐκκλησίαν λυμαινόμενον, ὡς καὶ κατὰ τοὺς οἴκους πορευόμενον, σύρειν ἄνδρας τε καὶ γυναῖκας, καὶ πάντα συγχέειν καὶ ταράττειν, ὑπέμεινεν, εἰ μὴ ἐξαίφνης ὁ βασιλεὺς ὁ ἡμέτερος καλέσας μετέστησε, καὶ πρὸς ἑαυτὸν ἐπανήγαγε; καὶ γὰρ καὶ οἱ μαθηταὶ ὅπουπερ ἂν παραγινόμενον εἶδον, δεδοικότες ἔφριττον, καὶ οὐδὲ ἀντιβλέψαι ἐτόλμων, καὶ ὅτε πάλιν τῷ φίλον ἐγένετο, τὸν αὐτὸν φόβον ἐδείκνυον. εἰ οὖν καταλλαγέντα αὐτὸν ἐδεδοίκεσαν, ἐχθρὸν ὄντα καὶ πολέμιον τί οὐκ ἂν ἐποίουν; ἐγὼ δὲ τί πάθω; ἀνάγκη φυγεῖν, πολλῇ τῇ σφοδρότητι χρησάμενον· μὴ πάλιν κατασχὼν ἀπαγάγῃ τοῦ προκειμένου. καὶ γὰρ, ἴστε, πολλάκις ἑτέρωθι με βαδίζοντα, καὶ τετραμμένον, ἀπαντήσας, ἐν μέσῳ τοῦ λόγου κατέσχε, καὶ οὕτως εἷλεν, ὡς ἐν αὐτῷ πεῖσαι καὶ καταλῦσαι τὸν λόγον. οὗτος τοίνυν ὁ μακάριος Παῦλος, ὁ τὴν οἰκουμένην φωτίσας πᾶσαν ἐν καιρῷ τῆς κλήσεως, ἐτυφλώθη ποτέ· ἀλλ᾽ ἡ πήρωσις ἐκείνου φωτισμὸς τῆς οἰκουμένης ἐγένετο. ἐπειδὴ γὰρ ἔβλεπε κακῶς, ἐπήρωσεν αὐτὸν καλῶς ὁ Θεὸς, ὥστε ἀναβλέψαι χρησίμως· καὶ ἐπειδὴ καθ᾽ ὑπερβολὴν ἐδίωκε τὴν ἐκκλησίαν, καὶ οὕτως σφοδρὸς ἦν καὶ ἀπηνής, σφοδρότερον δέχεται τὸν χαλινόν· ἵνα μὴ τῇ ῥύμῃ τῆς προθυμίας ἐκείνης ἀγόμενος παρακούσῃ τῶν λεγομένων· καὶ ἵνα μάθῃ τίνα πολεμεῖ, ὃν οὐ μόνον κολάζοντα, ἀλλ᾽ οὔτε εὐεργετοῦντα ἴσχυεν ἐνεγκεῖν δύναται· οὐδὲ γὰρ σκότος αὐτὸν ἐπήρωσεν, ἀλλ᾽ ὑπερβολὴ φωτὸς αὐτὸν ἐσκότισεν. εἰ πόλεμος ἡμῖν περιέστηκε βαρβαρικὸς, καὶ ἐπὶ τῆς παρατάξεως οἱ πολέμιοι μυρία παρεῖχον ἡμῖν πράγματα· εἶτα ὁ στρατηγὸς τῶν βαρβάρων ὁ μυρία προσάγων μηχανήματα, καὶ πάντα συγχέων τὰ ἡμέτερα, καὶ πολλοῦ θορύβου καὶ ταραχῆς ἐμπιπλῶν, καὶ τὴν πόλιν αὐτὴν ἀπειλῶν κατασκάψειν καὶ παραδώσειν πυρὶ, καὶ δουλείαν ἡμῖν ἐπανατεινόμενος, ἐξαίφνης ὑπὸ τοῦ βασιλέως τοῦ ἡμετέρου δεθεὶς, αἰχμά-

A ſemel meditatus, ut frequenter ignoſcas, nec proximi peccatis offendaris. Sed & ſi injuſtam quis patiatur rapinam, atque pro hac injuria gratias agat Deo, innumera per illam gratiarum actionem præmia conſequetur. Nihil enim ita Deo jucundum eſt, quàm malum pro malo non reddere. Quod ſi quis dicat: Quomodo ego infirmior injuria me afficientem ulciſci potui? Illud reſponderim, quòd facere id potueris, iniquè ferendo, ſtomachando, contra lædentem te, orando, imprecando ipſi B innumera mala, apud omnes denique criminando. Hæc enim in noſtra poteſtate ſunt poſita. Qui igitur hæc non fecerit, mercedem accipiet illius, qui ultus non eſt. Manifeſtum enim eſt, quòd, ſi illud quoque potuiſſet, id tamen non feciſſet. Cùm igitur inimicum in manus tuas incidiſſe videris, ne tunc exiſtimes ultionis tempus eſſe, ſed ſalutis & incolumitatis. Tunc enim vel maximè parcere inimicis oportet, cùm poteſtatem in eos nacti ſumus. Ac ſi hoc pacto noſtras res adminiſtremus, proximo- C rúmque noſtrorum ſalutem adjuvemus, citò & illis ipſis jucundi erimus & amabiles: & quod maximum eſt omnium, recondita illa bona adipiſcemur, gratia & benignitate Domini noſtri Jeſu Chriſti. Cui gloria, & imperium, cum Patre & ſancto ac vivifico Spiritu, nunc & ſemper, & in infinita ſecula ſeculorum. Amen.

D

Oratio de laudibus Sancti Pauli Apoſtoli, compoſita à Theodoro Magiſtro, ex diverſis orationibus S. Patris noſtri Joannis Chryſoſtomi.

HOMILIA XXX.

E INſcriptionis quidem actuum Apoſtolicorum totum debitum vobis perſolvimus. Conſequens porro erat, ut principium etiam libri aggrederemur, & diceremus, quidnam ſit illud, Primum quidem ſermonem feci de omnibus, o Theophile, quæ cœpit Jeſus facere & docere. Sed Paulus non ſinit nos hoc ordine conſequentiæ uti: ad ſeipſum & ſua præclara facta linguam noſtram vocat. Deſidero enim ipſum videre Damaſcum introduci, ligatum, non catena ferrea, ſed voce domi- A nica. Deſidero etiam videre captum piſcem hunc magnum, qui univerſum mare æſtu extulit: qui innumeras tempeſtates adverſus Eccleſiam excitavit. Deſidero captum illum videre, non hamo, ſed ſermone Dominico. Ut enim piſcator aliquis in excelſa rupe ſedens, & tollens arundinem, ex alto hamum in mare demittit: ſic etiam Dominus noſter, dum ſpiritualem veritatem aperuit, velut in ſublimi cœlorum rupe ſedens, & quaſi hamum vocem illam demittens & inquiens, *Saule, Saule,* B *quid me perſequeris?* immanem hunc piſcem piſcatu cepit. Quis enim crudelem illum & inhumanum, perſecutorem ac blaſphemum, & uſque adeo Eccleſiam vaſtantem, ut etiam per domos vagans & viros & mulieres protraheret, confunderet & perturbaret omnia, ſuſtinuiſſet, niſi Rex noſter derepentè ipſum accerſitum tranſmutaſſet, & ad ſeipſum reduxiſſet? Etenim diſcipuli, quocunque illum perveniſſe ſciebant, timore correpti horrebant, neque audebant adverſis oculis illum intueri: at- C que eundem timorem oſtendebant, cùm jam è contrario amicus factus eſſet. Quòd ſi jam conciliatum ipſum metuebant, quid non faciebant cùm adverſarius adhuc & hoſtis eſſet? At ego quid agam? neceſſe eſt fugere tam violentum virum: ne iterum occupatum me à propoſito abducat. Non enim ignoratis, quòd alibi ſæpe mihi progredienti & jam ad alia converſo obvius factus, in medio ſermone me retinuerit, atque ita rapuerit, ut in ipſo perſuaderet etiam finire orationem. Hic igi- D tur beatus Paulos, qui univerſum orbem illuminavit, vocationis ſuæ tempore, aliquando excæcatus eſt: ſed cæcitas ipſius totius orbis terrarum facta eſt colluſtratio. Quoniam malè videbat, benè illum Deus viſu privavit, ut ſcilicet utiliter viſum reciperet, & quia ſupra modum Eccleſiam perſequebatur, adeóque truculentus & inhumanus erat, acrius frenum accipit, ne animi alacritatis impetu ductus, dicta contemneret: & ut intelligeret quem oppugnaret, quem non ſolum punien- E tem, ſed & benefacientem ſuſtinere nequibat. Non enim caligo ipſum excæcavit, ſed nimia lux ipſum obſcuravit. Si bellum barbaricum nos circumdaret, & in prælio hoſtes innumera nobis faceſſerent negotia: deinde dux exercitus barbarici infinitas adhiberet machinationes, & omnia noſtra labefactaret, magnóque tumultu & turbis compleret, urbem noſtram everſurum ſe comminans, ignique traditurum, ſervitutem inſuper nobis intendens, ſubitò à Rege noſtro ligatus in urbem captivus duceretur: nunquid

Ex orat. quòd utile ſit ferre reprehenſ.

Ex orat. 4. in S. Apoſt. Paulum.

Ex orat. in illud, Saulus autem adhuc ſpirans minarum & cædis.

A quid omnes cum uxoribus & liberis ad ſpectaculum illud proſiliremus? Cùm igitur jam quoque bellum exortum ſit, Judæis tumultuantibus & omnia turbantibus, & contra Eccleſiæ tranquillitatem multas machinas adhibentibus, hoſtium verò caput ſit Paulus, & rebus & verbis plus omnibus præſtans, omnia perturbans & confundens, hunc verò Dominus & Rex noſter Jeſus conſtrinxerit, & ligatum captivum duxerit, non exibimus univerſi ad hoc ſpectaculum, ut captivum illum duci videamus? Etenim ipſi Angeli è cœlis aſpicientes ipſum ligatum introduci, B exultabant: non quidem, quia ligatum ipſum videbant, ſed quia intelligebant, quot homines à vinculis ſoluturus eſſet: non etiam, quia manu duci ipſum conſpiciebant, ſed quia conſiderabant, quàm multos ille à terra eſſet manu ducturus: non denique gaudebant, quia oculis captum cernebant, ſed quia ſecum reputabant quàm multos è tenebris educturus eſſet. Propter hanc cauſam & ego omnibus aliis relictis, ad Paulum exilire contendo. Paulus enim & Pauli deſiderium nos hunc C ſaltum ſaltare coëgit. Quis loquetur potentias tuas, Domine, quia Paulum latere non permiſiſti, quia talem virum orbi terrarum oſtendiſti? Laudaverunt te unanimi conſenſu omnes Angeli, cùm aſtra conderes & ſolem: ſed non ita, ſicuti cùm toti orbi terrarum Paulum exhibuiſti. Idcirco ſplendidior facta eſt terra ipſo cœlo, quando & hic ſolari lumine ſplendidior eſt. Et iſte quidem ſol nocti cedit: ille verò diabolum ſuperavit. Hic in ſublimi decurrens, deorſum D ſuos radios mittit: ille verò inferius oriens, non dimidium cœli & terræ lumine replevit, ſed ſimul ac os aperuit, etiam ipſos Angelos magna voluptate perfudit. Si enim uno peccatore pœnitentiam agente, gaudium fit in cœlis, ipſe verò prima concione quinque hominum millia venatus ſit, quanta lætitia ſupernas virtutes non replevit? Et quid hæc ita ſimpliciter dico? Sufficit Paulum loqui, & cœlos exultare atque lætari. Quid enim calidius quàm hujus viſcera, qui ubique per E orbem terrarum circumcurrebat, trahebatur, lapidibus petebatur, ut ligatos ſolveret, & ad ſeipſum traduceret? Non enim velut pugnans negotia confecit, ſed tanquam ad promptam & expeditam victoriam veniens, ita erigebat tropæa, evertens, dejiciens, deſtruens diaboli munitiones, & dæmonum machinas, & vix mora interpoſita avolavit, ab his ad illos, & rurſus ab illis ad alios tranſiliens, & velut optimus Imperator ſingulis diebus, imò ſingulis horis tropæa erigens. A Cum tunicula enim ſolùm ad pugnam progreſſus, populoſas adverſariorum urbes capiebat. Pro arcubus verò, & haſtis & ſagittis atque omnibus, lingua Pauli erat, tantummodo enim loquebatur, & expugnationes quovis igne vehementius in hoſtes incidentes, ipſos quidem dæmones fugarunt, homines autem, qui ab illis tenebantur, ad ipſum reduxerunt. Quando enim malum illum dæmonem ejecit, virorum maleficorum quinque millia congregati, libros incantationum combure- B bant, & ad veritatem tranſibant. Et quemadmodum in bello collapſa turri, aut tyranno proſtrato, omnes qui cum ipſo ſunt, abjectis armis ad imperatorem accurrunt; ad eundem modum etiam tunc contingit, ſiquidem ejecto dæmone, obſeſſi omnes etiam libris abjectis, imò verò diſcerptis, ad pedes Pauli accurrebant: hic verò adverſus orbem terrarum, tanquam contra unum exercitum, aciem inſtruens, nuſquam C ſubſiſtebat, ſed perinde ac ſi alatus eſſet, omnia perficiebat. Et jam quidem claudum ſanabat, jam verò mortuum ſuſcitabat, jam alium aliquem, magum ſcilicet, excæcabat: & ne in carcere quidem concluſus quieſcebat, ſed ibi quoque carceris cuſtodem ad ſeipſum traduxit, hanc captivitatem præclaram efficiens. Admirationi nobis eſt David uno duntaxat lapide Goliath dejiciens: ſed ſi quis Pauli præclara facta examinet, puerile opus illud videtur: & quantum diſtat paſtor D ab Imperatore, tantum & ille ab hoc abeſt. Hic enim non lapidem jaciendo, inviſibilem Goliath dejecit, ſed loquendo, ſolum univerſum diaboli agmen diſſolvit. Et quemadmodum leo frendens, & flammam ex lingua emittens, ita intolerabilis erat, cùm inſtaret: & tranſiliens aſſiduè omnem in partem, nunc cucurrit ad hos, nunc venit ad illos, mox tranſivit ad iſtos, iterum proſilit ad alios, vento celeriùs adveniens. Et ſicut E unicam domum, aut navim unam, totum orbem terrarum regebat, eripiens eos qui mergebantur, hæſitantes ſtabiliens & confirmans, nautas adhortans, in gubernaculo ſedens, proram circumluſtrans, funes tendens, remum ducens, velum protrahens, in cœlum aſpiciens: omnium ipſe unus vicem ſubibat: & nauta erat, & rector navis, & proreta, & velum, & navis, & omnia ferens, ut aliorum mala diſſolveret. Et velut athleta aliquis luctabatur, currebat, pugnabat: aut ſicut miles mœnia expugnans aut pedeſtri prælio congrediens,

Ex interpret. ep. ad Pſal.

Ex interpret. ep. 2. ad Cor.

ἀνίτου.

* *Βρυχώμενος.*

A λαῦτες εἰς τὴν πανήγυριν οὐκ ἂν ἅπαντες μετὰ γυναικῶν καὶ παιδίων πρὸς τὴν θεωρίαν ἐκείνην ἐξεπηδήσαμεν; ἐπειδὴ δὲ καὶ νῦν πόλεμος συνέστηκεν Ἰουδαίων θορυβούντων καὶ ταραττόντων ἅπαντα, καὶ πολλὰ τῇ τῆς ἐκκλησίας ἀσφαλείᾳ προσαγόντων μηχανήματα· τὸ δὲ κεφάλαιον τῶν πολεμίων ὁ Παῦλος ὁ πάντων μείζονα καὶ ποιῶν καὶ λέγων, ὁ πάντα θορυβῶν καὶ ταράττων, ἔδησε δὲ αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ βασιλεὺς ὁ ἡμέτερος, ἔδησε καὶ αἰχμάλωτον ἤγαγεν· οὐκ ἐξελθώμεθα ἅπαντες ἐπὶ τὴν θεωρίαν ταύτην, ὥστε ἰδεῖν αὐτὸν αἰχμάλωτον ἀ- B γόμενον; καὶ γὰρ οἱ ἄγγελοι ἐκ τῶν οὐρανῶν ὁρῶντες αὐτὸν δεδεμένον καὶ εἰσαγόμενον, ἐσκίρτων· οὐκ ἐπειδὴ δεδεμένον αὐτὸν εἶδον, ἀλλ' ἐπειδὴ ἐνόουν, ὅσους ἀνθρώπους ἀπὸ τῶν δεσμῶν λύειν ἔμελλεν· οὐκ ἐπειδὴ χειραγωγούμενον ἐθεάσαντο, ἀλλ' ἐπειδὴ ἐλογίζοντο ὅσους ἔμελλεν ἀπὸ τῆς γῆς χειραγωγεῖν ἐκεῖνος· οὐκ ἐπειδὴ πεπηρωμένον εἶδον, ἀλλ' ἐπειδὴ ἐνόουν ὅσους ἔμελλεν ἀπὸ σκότους ἐξάγειν. Διὰ τοῦτο κἀγὼ πάντας ἀφεὶς τοὺς ἄλλους, εἰς Παῦλον ἀλλεσθαι σπεύδω. Παῦλος γὰρ C Παύλου πόθος ἠνάγκασεν ἡμᾶς πηδῆσαι τοῦτο τὸ πήδημα. Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ὅτι Παῦλον οὐκ ἀφῆκας λαθεῖν, ὅτι ἔδειξας τῇ οἰκουμένῃ τοιοῦτον ἄνδρα; ᾔνεσάν σε πάντες ἄγγελοι ὁμοθυμαδὸν, ὅτε τὰ ἄστρα εἰργάσω, καὶ ὅτε τὸν ἥλιον· ἀλλ' οὐχ οὕτως ὡς ὅτε Παῦλον ἔδειξας τῇ οἰκουμένῃ πάσῃ. Διὰ τοῦτο φαιδροτέρα γέγονεν ἡ γῆ τοῦ οὐρανοῦ, ἐπειδὴ φαιδρότερος οὗτος τοῦ ἡλιακοῦ φωτός. καὶ οὗτος μὲν ὁ ἥλιος παραχωρεῖ τῇ νυκτί· ἐκεῖνος δὲ τοῦ διαβόλου περιεγένετο. καὶ D ὁ μὲν ἀφ' ὕψους φερόμενος, κάτω τὰς ἀκτῖνας ἀφίησιν· αὐτὸς δὲ κάτωθεν ἀνατέλλων, οὐχὶ τὸ μέσον οὐρανοῦ καὶ τῆς γῆς τοῦ φωτὸς ἐπλήρωσεν, ἀλλ' ἅμα τὸ στόμα ἤνοιξε, καὶ τοὺς ἀγγέλους ἐνέπλησε πολλῆς τῆς ἡδονῆς. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, αὐτὸς δὲ ἐν πρώτης δημηγορίας μυριάδας πέντε ἀνδρῶν ἐθήρευσε, πόσης οὐκ ἐμπίπλησι χαρᾶς τὰς ἄνω δυνάμεις; καὶ τί λέγω ἁπλῶς; ἀρκεῖ Παῦλον φθέγξασθαι, καὶ τοὺς οὐρανοὺς σκιρτᾶν E καὶ εὐφραίνεσθαι. τί γὰρ τῶν σπλάγχνων τούτου θερμότερον, ὃς πανταχοῦ τῆς οἰκουμένης περιέτρεχε συρόμενος, λιθαζόμενος, ἵνα τοὺς δεδεμένους λύσῃ, καὶ πρὸς ἑαυτὸν μεταστήσῃ; οὐδὲ γὰρ ὡς μαχόμενος οὕτω τὰ πράγματα ἔλυεν, ἀλλ' ὡς ἐπὶ ἑτοίμην καὶ πρόχειρον νίκην ἐρχόμενος, οὕτως ἵστη τὰ τρόπαια, καταστρέφων, κατασκάπτων, καταβάλλων τοῦ διαβόλου τὰ ὀχυρώματα, καὶ τῶν δαιμόνων τὰ μηχανήματα, καὶ οὐδὲ μικρὸν* ἀνιεὶς, ἀπὸ τούτων ἐπ' ἐκείνους, καὶ πάλιν ἀπ' ἐκείνων A ἐφ' ἑτέρους μεταπηδῶν, καὶ καθάπερ τις στρατηγὸς ἄριστος καθ' ἑκάστην ἡμέραν ἱστῶν τρόπαια, μᾶλλον δὲ καθ' ἑκάστην ὥραν. ἀπὸ γὰρ χιτωνίσκου μόνον εἰς τὴν παράταξιν εἰσελθὼν, αὐτάνδρους ᾕρει τῶν ἐναντίων τὰς πόλεις· καὶ τόξα καὶ δόρατα, καὶ βέλη, καὶ πάντα ἡ γλῶττα Παύλου. καὶ γὰρ ἐφθέγγετο μόνον, καὶ παντὸς πυρὸς σφοδρότεροι τοῖς πολεμίοις αἱ ῥήσεις ἐμπίπτουσαι, τοὺς μὲν δαίμονας ἤλαυνον, τοὺς δὲ ὑπ' αὐτῶν κατεχομένους ἀνθρώπους πρὸς αὐτὸν ἐπανήγαγον. ὅτε γὰρ τὸν δαίμονα B ἐκεῖνον τὸν πονηρὸν ἐξέβαλε, γοήτων ἀνδρῶν μυριάδες πέντε συνελθόντες τὰ βιβλία τῶν μαγειῶν κατέκαυσαν, καὶ πρὸς τὴν ἀλήθειαν μεθίσταντο. καὶ καθάπερ ἐν πολέμῳ πύργου πεσόντος, ἢ τυράννου καθαιρεθέντος, οἱ μετ' ἐκείνου πάντες τὰ ὅπλα ῥίψαντες τῷ στρατηγῷ προστρέχουσιν, οὕτω δὴ καὶ τότε συνέβη. τοῦ γὰρ δαίμονος ἐκβληθέντος πολιορκηθέντες ἅπαντες, καὶ τὰ βιβλία ῥίψαντες, μᾶλλον δὲ καταλύσαντες, τοῖς Παύλου ποσὶ προσέτρεχον. ἐν δὲ καθάπερ εἰς στρατό- C πεδον τὴν οἰκουμένην παρατατλόμενος, οὐδαμοῦ ἵστατο· ἀλλ' ὥσπερ τις ὑπόπτερος ὢν, πάντα ἐποίει· καὶ νῦν μὲν χωλὸν διώρθου, νῦν δὲ νεκρὸν ἤγειρε, νῦν δὲ ἕτερον ἐπήρου. τὸν μάγον λέγω, καὶ οὐδὲ ἐν δεσμωτηρίῳ κατακλειόμενος ἡσύχαζεν, ἀλλὰ καὶ ἐκεῖ τὸν δεσμοφύλακα μετῆγε πρὸς ἑαυτὸν, τὴν καλὴν ταύτην αἰχμαλωσίαν ἐργαζόμενος. θαυμάζομεν Δαβὶδ τὸν Γολιὰθ καταφέροντα ἀπὸ λίθου μόνου ἑνός· ἀλλ' εἰ τὰ Παύλου κατορθώματά τις ἐξετάσειεν, παιδὸς ἔργον ἐκεῖνο· καὶ ὅσον D ποιμένος καὶ στρατηγοῦ τὸ μέσον, τοσοῦτον τούτου κἀκείνου τὸ διάφορον. οὗτος γὰρ οὐ λίθον ῥίπτων τὸν νοητὸν Γολιὰθ κατέφερεν, ἀλλὰ φθεγγόμενος μόνον ἅπασαν κατέλυσε τοῦ διαβόλου τὴν φάλαγγα. καὶ καθάπερ λέων* βρυχώμενος καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιεὶς, οὕτω τότε ἦν ἀφόρητος ἐπιών· καὶ πανταχοῦ μετεπήδα συνεχῶς, ἔδραμεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους, μετέστη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους, ἀνέμου ταχύτερον ἐπιών. καὶ καθάπερ μίαν οἰκίαν ἢ πλοῖον, E τὴν οἰκουμένην ἅπασαν ἐκυβέρνα, καὶ τοὺς μὲν βαπτιζομένους ἀνέλκων, τοὺς δὲ ἰλιγγιῶντας στηρίζων, τοῖς ναύταις παρακελευόμενος, ἐπὶ τῶν οἰάκων καθήμενος, τὴν πρῷραν περισκοπῶν, κάλως τείνων, κώπην ἐλαύνων, ἱστίον ἕλκων, πρὸς τὸν οὐρανὸν βλέπων, πάντα αὐτὸς ὢν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρῳρεὺς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ πάντα πάσχων ἵνα τὰ ἑτέρων λύσῃ κακά. καὶ καθάπερ τις ἀθλητὴς αὐτὸς παλαίων, τρέχων, πυκτεύων· ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν

μαχῶν, ἤτοι πᾶν εἶδος μετῄει μάχης· καὶ πῦρ ἔπνει, καὶ πᾶσιν A ἀπρόσιτος ἦν, ἑνὶ σώματι καταλαμβάνων τὴν οἰκουμένην, καὶ μιᾷ γλώττῃ πάντας τρεπόμενος. οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐκεῖναι τοὺς λίθους τῆς Ἱεριχουντίων πόλεως, καὶ καθεῖλον αὐτούς, ὡς ἡ Παύλου φωνὴ ἠχοῦσα, τὰ ὀχυρώματα τὰ διαβολικὰ χαμαὶ ἔρριψε, καὶ πρὸς * τοὺς ἑαυτοῦ] τοὺς ἐναντίους μετέστησε· καὶ διὰ θυρίδος ἀπὸ τοῦ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἄνω διαπέμψῃ τοὺς ἐρριμμένους χαμαί. τὸν μὲν οὖν λιμὸν, καὶ τὸ δίψος, καὶ τὴν γύμνωσιν, καὶ B τὰ ναυάγια, καὶ τοὺς φόβους, καὶ τὰς ἐπιβουλὰς, καὶ τὰ δεσμωτήρια, καὶ τὰς πληγὰς, καὶ τὰ ἄλλα πάντα ὅσα τοῦ κηρύγματος ἕνεκεν ὁ μακάριος Παῦλος ὑπέμεινεν, οὐδὲν οἶμαι δεῖν λέγειν, ὧν ἕκαστον ἱκανὸν συνταράξαι σφοδρῶς, καὶ κατακλάσαι τὴν ἁγίαν ἐκείνην ψυχήν. ὅταν δὲ λέγῃ, τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι; τοῦτ' ἐστὶν ὃ πάντων μάλιστα διηνεκῆ καὶ ἀφόρητον παρεῖχε τὴν ἀθυμίαν αὐτῷ. εἰ γὰρ καθ' ἕκαστον τῶν σκανδα- C λιζομένων αὐτὸς ἐπυροῦτο, οὐκ ἐνῆν σβεσθῆναι τὴν πύρωσιν ταύτην ἀπὸ τῆς ἐκείνου ψυχῆς· οὐ γὰρ διελίμπανον οἱ σκανδαλιζόμενοι, καὶ τὴν ὑπόθεσιν παρέχοντες τῷ πυρί. τὸ δὲ καὶ τοὺς Ἰουδαίους ἀπιστοῦντας ὁρᾶν; τίνα ἂν ἀθυμίας καὶ ὀδύνης μικρὰν γοῦν ἀνακωχὴν ἔχειν ἠδύνατο; ηὐχόμην γάρ, φησιν, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· ποθεινότερον ἦν μοι εἰς γέενναν ἐμπεσεῖν, ἢ D τοὺς Ἰσραηλίτας ἀπιστοῦντας ὁρᾶν· ὁ δὲ τὴν ἐν τῇ γεέννῃ κόλασιν ἑλόμενος ὑπὲρ τοῦ δυνηθῆναι προσαγαγεῖν τοὺς Ἰουδαίους ἅπαντας, εὔδηλον ὅτι τούτου μὴ τυχὼν, τῶν ἐν τῇ γεέννῃ κολαζομένων διῆγε βαρύτερον. βαβαὶ τοῦ διαπύρου ἔρωτος τῆς ἀγάπης· ὁ πυρὸς καταγελῶν Παῦλος ὁ ἀδαμάντινος, ὁ στερρὸς, ὁ ἄκλιτος, ὁ ἀκαμπὴς, ὁ λέγων, τίς ἡμᾶς χωρίσει ἀπὸ τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα· ὁ γῆς καὶ E θαλάττης καταγελῶν, ὁ τῶν ἀδαμαντίνων τοῦ θανάτου πυλῶν καταγελῶν· οὗτος, ἐπειδή τινων ἀγαπητῶν εἶδε δάκρυα, οὕτω κατεκλάσθη καὶ συνετρίβη, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ' εἰπεῖν εὐθέως· τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ὢ τοῦ θαύματος· ἄβυσσος αὐτὸν οὐ συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψε καὶ κατέκλασε. τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; τί λέγεις, εἰπέ μοι· ἐκείνην τὴν ἀδαμαν- A τίνην ψυχὴν συντρῖψαι δάκρυα ἴσχυσε; ναί, φησι· πολλὴ γὰρ ἡ τῆς ἀγάπης ἰσχύς· αὕτη με περιγίνεται, καὶ κρατεῖ· πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης. ἀκούσατε ὅσοι μηδὲ χρημάτων διὰ τὸν Χριστὸν καταφρονεῖτε, μᾶλλον δὲ δι' ἑαυτούς, καὶ φρίξατε τὸ περὶ τὸν Χριστὸν τοῦ Παύλου φίλτρον ἐν διανοίαις λαμβάνοντες· οὐδὲ γὰρ τὸν Χριστὸν οὗτος διὰ τὰ τοῦ Χριστοῦ, ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου· καὶ ἓν ἐδεδοίκει μόνον, τὸ μὴ τῆς ἀγάπης ἐκπεσεῖν τῆς πρὸς ἐκεῖνον· τοῦτο γὰρ αὐτῷ καὶ γεέννης B φοβερώτερον ἦν, ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ βασιλείας ποθεινότερον. ὅταν οὖν ἐκεῖνος μὲν διὰ τὸν τοῦ Χριστοῦ πόθον, καὶ εἰς γέενναν καταδέχηται ἐμπεσεῖν, καὶ βασιλείας ἐκπεσεῖν, εἴγε ἀμφότερα ταῦτα πρόκειντο· ἡμεῖς δὲ μηδὲ τοῦ παρόντος καταφρονῶμεν βίου· ἆρα ἄξιοι τῶν ὑποδημάτων αὐτοῦ ἐσμὲν λοιπὸν, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῇ μεγαλονοίᾳ; εἰ γὰρ οἰκίας τις μιᾶς προεστηκὼς, καὶ οἰκέτας ἔχων καὶ ἐπιτρόπους, καὶ οἰκονόμους, οὐδὲ ἀναπνεῖ πολλάκις ἀπὸ τῆς C φροντίδος, οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος· ὁ οὐκ οἰκίας μιᾶς, ἀλλὰ καὶ πόλεων καὶ δήμων, καὶ ἐθνῶν, καὶ ὁλοκλήρου τῆς οἰκουμένης τὴν φροντίδα ἔχων, καὶ ὑπὲρ τηλικούτων πραγμάτων, καὶ τοσούτων ὄντων τῶν ἐπηρεαζόντων, καὶ μόνος ὢν, καὶ τοσαῦτα πάσχων καὶ οὕτω κηδόμενος, ὡς οὐδὲ πατὴρ παίδων, ἐννόησον τί ὑπέμεινεν. εἴ τις φιλεῖν ἐθέλοι γνησίως, καὶ δύναμιν ἀγάπης ἐπίστασθαι, ἐπὶ τὸν ταύτης τρόφιμον τὸν μακάριον Παῦλον δραμέτω, κἀκεῖνος αὐτὸν διδάξει, ἡλίκος ἐστὶν D ἆθλος ἐκκοπῆναι χωρισμὸν φιλουμένου, καὶ ἡλίκης δεόμενος ψυχῆς. οὗτος γὰρ οὗτος ὁ τὴν σάρκα ἀποδυσάμενος, καὶ τὸ σῶμα ἀποθέμενος, καὶ γυμνῇ σχεδὸν τὴν οἰκουμένην περιιὼν τῇ ψυχῇ, καὶ πᾶν πάθος ἐξορίσας τῆς διανοίας, καὶ τὴν τῶν ἀσωμάτων δυνάμεων ἀπάθειαν μιμούμενος· τὰ μὲν ἄλλα πάντα ῥᾳδίως ἔφερεν ὡς ἐν ἀλλοτρίῳ πάσχων σώματι, καὶ δεσμωτήρια, καὶ ἁλύσεις, καὶ ἀπαγωγὰς, καὶ μάστιγας, καὶ ἀπειλὰς, καὶ θάνατον, καὶ πᾶν κολάσεως εἶδος· μιᾶς δὲ ψυχῆς ἀγα- E πωμένης παρ' αὐτοῦ χωρισθεὶς, οὕτω συνεχύθη καὶ διεταράχθη, ὡς ἐν ᾗ τὸν ἀγαπώμενον προσεδόκα ἰδεῖν οὐχ εὑρὼν, εὐθέως καὶ τῆς πόλεως ἀποπηδῆσαι. τί τοῦτο, ὦ μακάριε Παῦλε; ξύλῳ μὲν δεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ἔχων ἐπικειμένας, καὶ τὰ νῶτα αἵματι περιρρεόμενος, καὶ ἐμυσταγώγεις, καὶ ἐβάπτιζες, καὶ θυσίαν προσῆγες, καὶ ἑνὸς οὐ κατεφρόνησας μέλλοντος σώζεσθαι· εἰς δὲ τὴν Τρωάδα ἐλθὼν, καὶ τὴν ἄρουραν εὑρὼν ἐκκεκαθαρμένην, καὶ ἑτοίμην οὖσαν τὰ σπέρματα ὑποδέξασθαι, τοσοῦτον ἔρριψας ἀπὸ τῶν χειρῶν κέρδος.

ita certaminis omne genus aggrediebatur, & igneum ſpirans omnibus inacceſſus erat, unico corpore totum orbem terrarum invadebat, & lingua una omnes in fugam convertebat. Non ita multæ illæ tubæ in Hierichuntinæ urbis muros irruentes eos dejecerunt, ſicut vox Pauli reſonans munitiones diabolicas humi proſternebat, & hoſtes ad ſe transferebat. *redundat.* Per feneſtram ex muro demiſſus eſt, ut humi ejectos ab imo ſurſum tranſmitteret. Famem igitur & ſitim, & nuditatem, & naufragia, & timores, & inſidias, & carceres, & verbera & cætera *Ex orat. 3. ad Stagir.* omnia, quæ propter divini verbi præconium beatus Paulus ſuſtinuit, nihil opus eſſe arbitror commemorare, quorum vel ſingula ad conturbandum & conſternandam ſanctam illam animam ſufficerent. Quando verò, inquit, Quis infirmatur, & ego non infirmor? quis ſcandalizatur, & ego non uror? hoc nimirum eſt, quod omnium maximè continuum & intolerabilem ipſi peperit mœrorem. Etenim, ſi in unoquoque eorum qui ſcandalizabantur, ipſe urebatur, non potuit incendium iſtud in anima ipſius reſtingui, nunquam enim deerant, qui ſcandalizarentur, & igni huic materiam ſubminiſtrarent. Nam qui Judæos infideles eſſe cernebat, quomodo vel exiguam ab animi ægritudine & dolore requiem habere potuit? Optabam enim, inquit, anathema eſſe à Chriſto, pro fratribus meis, qui mei ſecundùm carnem cognati ſunt, qui ſunt Iſraelitæ. Quod verò dicit, hunc ſenſum habet. Deſiderabilius mihi erat in gehennam incidere, quàm Iſraelitas infideles videre. At qui inferni pœnas elegit, ut Judæos omnes convertere poſſet, illum manifeſtum eſt, hac ſpe fruſtratum, acerbiorem vitam agere, quàm qui gehennæ pœnas ſuſtinet. Papæ quàm ignitus charitatis amor. Paulus contra ignem imperteritus, adamantinus ille, firmus, *Ex interpret. ep. 2. ad Theſſ.* immotus, dicens. Quis ſeparabit nos à Chriſto? tribulatio, an anguſtia, an perſecutio, an fames, an nuditas, an periculum, an gladius? ille, qui terram & mare aggreditur, qui adamantinas mortis portas deridet, idem, dum aliquorum charorum lachrymas videret, tantoperè fractus & contritus eſt, ut affectum ſuum amplius occultare non poſſet, ſed protinus diceret, Quid facitis plorantes & affligentes cor meum? O rem admirandam! profundiſſimarum vorago aquarum ipſum non confregit, & exiguæ lacrymæ ipſum contriverunt & fregerunt? *Quid facitis plorantes & affligentes cor meum?* Quid dicis quæſo te? anne adamantinum illum animum lacrymæ frangere potuerunt? Utique, inquit, magna enim eſt charitatis vis, ipſa me ſuperat, ipſa me vincit, omnibus enim reſiſto, ſola charitate excepta. Audite, quicunque pecunias propter Chriſtum, imò verò propter *Ex interpret. ep. ad Rom.* vos ipſos, non contemnitis, & perhorreſcite, Pauli erga Chriſtum cauſam amoris animo percipientes. Hic enim non Chriſtum propter bona Chriſti, ſed hæc propter illum diligebat, & hoc unum metuebat, ne charitate ipſius excideret: hoc enim ipſa gehenna formidabilius ei erat: ſicut & regno optabilius, in eadem dilectione manere. Quando igitur ille quidem ob Chriſti amorem etiam in gehennam conjici paratus eſt, & regno carere, ſi hæc ambo proponerentur, nos verò nec præſentem vitam deſpicimus, jamne calceamentis ipſius digni ſumus, qui tantùm ab animi ipſius magnitudine diſtamus? Si enim quis unius *Ex interpret. ep. 2. ad Cor.* domus curam gerens, famulos licet habeat, & procuratores ac diſpenſatores, frequenter tamen à curis reſpirare non poſſit, nemine etiam, qui eum perturbet, exiſtente: Cogita quid ille ſuſtinuerit, qui non unius duntaxat domus, ſed urbium, & populorum & nationum atque adeo univerſi terrarum orbis curam habebat, & in tanti quidem momenti rebus, inter tot perſecutores ſolus exiſtens, tam multa perferens, tàmque ſollicitus, quàm nec pater aliquis pro liberis ſuis fuerit. Si quis ſincerè diligere cupiat, & virtutem charitatis cognoſcere ad hujus alumnum, beatum Paulum, inquam, ſe conferat, & ille ipſum docebit, quantum *Ex ep. 2. ad Olympiad.* certamen ſit, ab eo quem quis amat, divelli, quantóque ad hoc ferendum opus ſit animo. Hic enim, hic, inquam, qui veluti carne exuta, corporeque depoſito, nuda totum ferè terrarum orbem anima peragravit, qui omni ex animo perturbatione exterminata, corporis expertium virtutum liberam affectione naturam imitans, cætera omnia facilè tolerabat, perinde ac ſi alieno in corpore & carceres & vincula & exilia & flagella & minas & mortem, ac omne denique ſuppliciorum genus pateretur: ab una porro ſibi dilecta anima ſeparatus, adeo contriſtatus & conturbatus ſuit, ut ex ea civitate, in qua ſe dilectum viſurum ſperabat, protinus, eo non invento, exiliret. Quid iſtud eſt, o beate Paule? tu quidem compedibus vinctus, in carcere poſitus, incumbentia tibi flagella ſuſtinens, & ſcapulas habens ſanguine perfuſas, docebas myſteria, baptizabas, ſacrificium offerebas, & nec unum, qui ſalvandus erat, deſpexiſti; in Troadem autem profectus, cum terram expurgatam & ad ſatus excipiendos præparatam inveniſſes, tam præclarum è manibus lucrum abjeciſti,

con-

confeſtim inde exiluiſti? Utique inquit: magna enim mœroris violentia occupatus fui, vehementérq; Titi abſentia coarctavit animum meum, adeóque me vicit & ſuperavit, ut me id facere cogeret. Vidéſne, quomodo maximus ſit labor, dilecti ſeparationem æquo animo ferre poſſe? quàm ſit res gravis & acerba? quàm excelſo opus ſit & forti animo? Non enim invicem ſe diligentibus ſatis eſt, animo duntaxat copulatum amore eſſe, neque ad conſolandum illos hoc ſufficit, ſed corporali inſuper indigent præſentia: ac ſi iſta deſtituantur, haud exigua lætitiæ pars B præciſa eſt. Vis intelligere quantum ſit ſubſidium, ad alliciendum fratres, etiam infideles, mitem eſſe & manſuetum, morúmq; exhibere ſuavitatem? Audi quid Paulus dicat, cùm ad infidelem judicem judicandus accedit. *Beatum me æſtimavi, quod apud te judicandus ſim.* Hæc vero dicebat, non illi aſſentans: abſit: ſed manſuetudine illum lucrifacere volens. Unde & aliquo modo lucratus eſt & judicem cepit, qui euſque judicio damnatus eſſe putabatur: ac victoriam ipſe nuncupatus confitetur, C clara voce dicens: *In modico ſuades me Chriſtianum fieri.* Quid igitur Paulus? *Optarem,* inquit, *non te ſolum, ſed etiam omnes, qui adſunt, hoc fieri, quod ego ſum.* Multa igitur quidem multis in locis miraculorum à Paulo factorum extant monumenta, ſed nihil in illo tam deſiderabile eſt, quàm ſtigmata, ſeu cicatrices: Nec ita me lætitia afficit, dum miracula operatur, quàm cùm tot malis afficitur: quando nimirum cæditur flagellis, trahitur, lapidibus impetitur. *Lapidantes enim,* inquit, *ipſum ex-* D *tra civitatem trahebant.* Et iterum: *Cæſum ipſum, & multis ei plagis impoſitis, miſerunt in carcerem.* Quantum gaudium, quanta voluptas, quantus honor, quantus ſplendor ipſum propter Chriſtum ligatum videre! Sed ecce tibi rem mirandam. *Ex contremuit,* inquit, *carcer, Paulo ligato, & univerſorum vincula ſoluta ſunt.* Vides ne virtutem vinculorum ſolventem vincula? Expergefactus autem cuſtos carceris, & videns januas carceris E apertas, evaginato gladio volebat ſe interficere. Quid igitur Paulus? clamavit voce magna, dicens, *Nihil tibi mali feceris: univerſi enim hic ſumus.* Cernis in ipſo vanæ gloriæ contemptum, & modeſtiam & charitatem? Non dixit, propter nos iſta contigerunt. ſed tanquam unus ex captivis, Omnes, inquit, hic ſumus. Si enim tacuiſſet, nec elata voce illius cohibuiſſet manus, gladium per guttur tranſegiſſet. Clamavit autem Paulus, quia in interiorem carcerem conjectus erat. Ex te ipſo hoc feciſti, inquit, ut interius retruderes, qui ſe à periculo erant liberaturi. Vidéſne benignitatem & intentam curam Pauli? Maluit ligatus eſſe: & ipſemet ſubire periculum, quàm illum videre pereuntem. Et quemadmodum miles aliquis, quis univerſum orbem terrarum ſibi infeſtum habet, & inter media hoſtium agmina verſatur, nec quicquam accipit detrimenti, ſic etiam Paulus, ſolus inter barbaros, ſolus inter gentiles, ubique terrarum, ubique in mari apparebat. Et ſicut ſcintilla in ſtipulam aut fœnum incidens, res ſuccenſas in ſuam naturam convertit, ſic ille quoq; omnes invadens, ad veritatem univerſos traducebat. Quem non in ſtuporem ageret vinculorum, quibus beatus Paulus circundabatur, potentia? quippe quæ ad ipſius vincti pedes trahebant eos, qui ante eundem ligarant, & hos illius mancipia efficiebant. *Procidebat enim,* inquit, *cuſtos carceris Paulo ad pedes,* & ſolutus vinctis pedibus ſubjacebat, quiq; ligaverat, is ligatum, ut ſe metu ſolveret, rogabat. Dic age, nonne tu ligaſti? nonne tu in interiorem carcerem miſiſti? Nonne tu cippo pedes ſtrinxiſti? Quid times? Quid turbaris? quid ploras? quid gladium ſtringis? Ignorabam, quòd tanta eſſet vinctorum Chriſti poteſtas. Quid dicis? cœlos aperiendi poteſtatem accepit, & carcerem non aperiret? A dæmonibus conſtrictos ſolvebat, & ferreum inſtrumentum, ipſum ſuperaret? Qui igitur animas ligatas ſolvebat, corpus ſuum ſolvere non valeret? Qui alios ſuis veſtimentis à vinculis eximebat, & à dæmonibus liberabat, is ſeipſum per ſe non liberaret? Hanc ob cauſam verò primò ligatus eſt, & deinde alios vinctos liberavit, ut intelligas, ſervos Chriſti, cùm vinculis conſtricti ſunt, longè majorem habere, quàm ſolutos, potentiam. Hac enim ratione illuſtrior fortitudo juſti oſtenditur, quando etiam vinctus liberos ſolutóſq; ſuperat. Quando igitur vinctus non ſe ſolum, ſed & alios vinctos liberat, quid proſunt muri? Quid profuit ipſum in interiorem carcerem miſiſſe, quando etiam exteriorem patefecit? Vultis cognoſcere quàm ſit res eximia, catena ferrea, propter Chriſtum ſervili corpori circumpoſita? beatum Paulum audite, hac ipſa in re gloriantem & dicentem, *Rogo igitur vos ego vinctus in Domino.* Ampla ſiquidem & valida dignitas eſt, & quæ Regiam, Conſularem, atque omnem omnino dignitatem excellat, propter Chriſtum eſſe ligatum. Nihil enim tam ſplendidum eſt, quàm propter Chriſtum vinctus: quàm circundatæ ſanctis illis manibus catenæ.

Ex interpret. ep. 2. ad Cor. Act. 26.

Ex interpret. ep. ad Epheſ.

Act. 14, 19. Act. 16, 23.

Ibid.

Ex interpret. ep. 2. ad Cor.

Ex ep. ad Epheſ.

A καὶ ἀπεπήδησας εὐθέως; ναί, φησί· πολλῇ γὰρ κατεσχέθην ἀθυμίας τυραννίδι, καὶ σφόδρα με συνεῖχε τῶν διανοιῶν ἡ Τίτου ἀπουσία· καὶ οὕτως με ἐκράτησε καὶ περιεγένετο, ὡς ἀναγκάσαι τοῦτο ποιῆσαι. εἶδες πῶς μέγιστος ἆθλος τὸ δυνηθῆναι ἐνεγκεῖν πρᾴως ἀγαπωμένου χωρισμόν; πῶς ἐπώδυνον πρᾶγμα καὶ πικρόν, πῶς ὑψηλῆς δεόμενον καὶ νεανικῆς ψυχῆς, οὐδὲ γὰρ ἀρκεῖ τοῖς ἀγαπῶσι μόνον τὸ τῇ ψυχῇ συνδεδέσθαι, οὐδὲ ἀπαρκεῖ τοῦτο εἰς παραμυθίαν, ἀλλὰ καὶ B σωματικῆς δέονται παρουσίας· κἂν μὴ τοῦτο προσῇ, οὐ μικρὸν τῆς εὐφροσύνης ἀποτέτμηται μέρος. βούλει μαθεῖν ἡλίκον ὅπλον ἐστὶν εἰς τὸ τοὺς ἀδελφοὺς ἐπισπάσασθαι, κἂν ἄπιστοί τινες ὦσι, τὸ πρᾶον εἶναι καὶ ἥμερον, καὶ γλυκὺν παρεχόμενον τρόπον, ἄκουσον τί φησιν ὁ Παῦλος πρὸς δικαστὴν εἰσιὼν ἄπιστον κριθησόμενος· μακάριον ἥγημαι ἐμαυτόν, μέλλων ἐπὶ σοῦ κρίνεσθαι. ταῦτα δὲ ἔλεγεν, οὐ κολακεύων αὐτόν· ἄπαγε· ἀλλὰ διὰ τῆς ἡμερότητος κερδᾶναι βουλόμενος. C διὸ καὶ ἐκ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν, ὁ τέως καταδικ͵ος εἶναι νομιζόμενος, καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ λέγων· ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. τί οὖν ὁ Παῦλος; εὐξαίμην ἂν ἔγωγε, μὴ μόνον σέ, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας τοῦτο γενέσθαι, ὅπερ ἐγώ. πολλὰ καὶ ἐν πολλοῖς ἀχοῦ τῶν Παύλου θαυμάτων τὰ σημεῖα τυγχάνει, ἀλλ᾽ οὐχ οὕτως ἐστὶ ποθεινὰ ὡς τὰ στίγματα· καὶ οὐχ οὕτω με ἐν τοῖς γραφαῖς εὐφραίνει θαύματα ἐργα- D ζόμενος, ὥσπερ πάσχων κακῶς, μαστιζόμενος, συρόμενος, λιθαζόμενος. λιθάσαντες γὰρ αὐτόν, φησίν, ἔσυρον ἔξω τῆς πόλεως. καὶ πάλιν· δείραντες αὐτόν, καὶ ἐπιθέντες πολλὰς πληγάς, ἔβαλον εἰς φυλακήν. πόσον καύχημα, πόση ἡδονή, πόση τιμή, πόση λαμπρότης, εἰδέναι, ὅτι διὰ τὸν Χριστὸν ἐδέθη; ἀλλ᾽ ὅρα τὸ θαυμαστόν· καὶ ἐσείσθη, φησί, τὸ δεσμωτήριον δεδεμένου Παύλου, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ ἀναλύουσαν; ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας E τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν. τί οὖν ὁ Παῦλος; ἐφώνησε φωνῇ μεγάλῃ, λέγων, μηδὲν πράξῃς σαυτῷ κακόν, πάντες γάρ ἐσμεν ἐνθάδε. ὁρᾷς αὐτοῦ τὸ ἀκενόδοξον, καὶ τὸ ἄτυφον, καὶ τὸ φιλόστοργον; οὐκ εἶπεν ὅτι δι᾽ ἡμᾶς ταῦτα γέγονεν, ἀλλ᾽ ὡς εἷς τῶν δεσμωτῶν εἷς, φησί· πάντες γάρ ἐσμεν ἐνθάδε. εἰ γὰρ ἐσίγησε καὶ μὴ διὰ τῆς μεγάλης φωνῆς ἀπεῖ- A ρξεν ἐκείνου τὰς χεῖρας, ὤθησεν ἂν διὰ τοῦ λαιμοῦ τὸ ξίφος. ἐβόησε δέ, ἐπειδὴ εἰς τὴν ἐσωτέραν φυλακὴν ἦν βεβλημένος. κατὰ σαυτοῦ τοῦτο πεποίηκας, φησίν, ἐσωτέρω βαλὼν τοὺς μέλλοντάς σε ἐλευθεροῦν τοῦ κινδύνου. εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικὸν τοῦ Παύλου; εἵλετο δεδέσθαι μᾶλλον καὶ κινδυνεύειν αὐτός, ἢ ἐκεῖνον ἰδεῖν ἀπολλύμενον. καὶ καθάπερ τις στρατιώτης τὴν οἰκουμένην πολεμίαν ἔχων ἅπασαν, καὶ ἐν μέσοις τοῖς τάγμασι τῶν πολεμίων στρεφόμενος, καὶ B μηδὲν πάσχων δεινόν· οὕτω καὶ Παῦλος, μόνος ἐν βαρβάροις, ἐν Ἕλλησι, πανταχοῦ γῆς, πανταχοῦ θαλάττης φαινόμενος. καὶ ὥσπερ σπινθὴρ εἰς καλάμην ἢ χόρτον ἐμπίπτων πρὸς τὴν αὐτοῦ φύσιν μετατίθησι τὰ καιόμενα, οὕτω καὶ οὗτος ἅπασιν ἐπιών, πάντας μεθίστη πρὸς τὴν ἀλήθειαν. τίνα οὐκ ἂν ἐξέπληξεν ἡ τῶν περικειμένων τῷ μακαρίῳ Παύλῳ δεσμῶν δύναμις; ὅτι τοὺς δήσαντας εἰς τοὺς πόδας ἦγε τοῦ δεδεμένου, καὶ ὑποχειρίους ἐκείνους τούτου ἐποίει. προσέ- C πεσε γάρ, φησίν, ὁ δεσμοφύλαξ τῷ Παύλῳ, καὶ ὁ λελυμένος ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου, καὶ ὁ δήσας ἤξιου τὸν δεθέντα λῦσαι τοῦ φόβου. οὐχὶ σὺ ἔδησας, εἰπέ μοι; οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακήν; οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις; τί θορυβῇ; τί δακρύεις; τί τὸ ξίφος ἐπεσπάσω; οὐκ ᾔδειν, φησίν, ὅτι τοσαύτη τῶν τοῦ Χριστοῦ δεσμίων ἡ δύναμις. τί λέγεις; οὐρανοὺς ἔλαβεν ἐξουσίαν ἀνοίγειν, καὶ δεσμωτήριον οὐκ ἔμελλεν ἀνοίγειν; τοὺς ὑπὸ δαιμόνων δεδεμένους ἔλυε, καὶ σιδηρίου ἔμελλεν αὐτοῦ περιέσεσθαι; ὁ D ψυχὰς τοίνυν δεδεμένας λύων, τὸ σῶμα τὸ αὐτοῦ οὐκ ἂν ἴσχυσε λῦσαι; ὁ διὰ τῶν ἱματίων αὐτοῦ ἑτέρους τῶν δεσμῶν ἐκείνων λύων, καὶ τῶν δαιμόνων ἀπαλλάττων, αὐτὸς δι᾽ ἑαυτοῦ ἑαυτὸν οὐκ ἂν ἔλυσε; διὰ τοῦτο πρῶτον ἐδέθη, καὶ τότε τοὺς δεδεμένους ἔλυσεν, ἵνα μάθῃς, ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι δεδεμένοι πολλῷ τῶν λελυμένων μείζονα ἔχουσι τὴν ἰσχύν. οὕτω γὰρ λαμπροτέρα ἡ ἰσχὺς τοῦ ἁγίου δείκνυται, ὅταν καὶ δεδεμένος E τῶν λελυμένων κρατῇ. ὅταν οὖν ὁ δεδεμένος μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς δεδεμένους λύῃ, τί τῶν τειχῶν τὸ ὄφελος; τί τὸ πλέον ἀπὸ τοῦ εἰς τὴν ἐσωτέραν αὐτὸν βαλεῖν φυλακήν, ὅπου γε καὶ τὴν ἐξωτέραν ἀνέῳξεν; βούλεσθε μαθεῖν ὅσον ἐστὶν ἅλυσις σιδηρᾶ διὰ Χριστὸν περικειμένη σώματι δουλικῷ; ἀκούσατε τοῦ μακαρίου Παύλου τὸ αὐτὸ τοῦτο ἐγκαυχωμένου καὶ λέγοντος· παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. καὶ γὰρ μέγα ἀξίωμα καὶ σφοδρόν, καὶ βασιλείας, καὶ ὑπατείας, καὶ πάντων μεῖζον τὸ διὰ τὸν Χριστὸν δεδέσθαι. οὐδὲν γὰρ οὕτω λαμπρόν, ὡς δέσμιος διὰ Χριστόν, ὡς αἱ ἁλύσεις αἱ περικείμεναι τ[αῖς] ἁγίαις χερσὶν ἐκείναις.

τοῦ

τοῦτο τοῦ ἀπόστολον εἶναι, τοῦ διδάσκαλον εἶναι, τοῦ εὐαγγελιστὴν εἶναι, καὶ πολὺ λαμπρότερον καὶ σεμνότερον. εἴ τις φιλεῖ τὸν Χριστόν, ἔγνω τὸ λεγόμενον. εἴ τις μαίνεται καὶ περικαίεται τοῦ δεσπότου, οἶδε τὴν δύναμιν τῶν δεσμῶν, ἕλοιτο ἂν δέσμιος εἶναι διὰ Χριστόν, ἢ τοὺς οὐρανοὺς οἰκεῖν. τὸ γὰρ καὶ τοῦ καθίσαι ἐκ δεξιῶν αὐτοῦ, τοῦτο λαμπρότερον· καὶ τοῦ καθίσαι ἐπὶ δώδεκα θρόνων τοῦτο σεμνότερον καὶ μακαριστότερον. εἴ τις ἐμοὶ τὸν οὐρανὸν ἐχαρίζετο πάντα, ἢ τὴν ἅλυσιν ἐκείνην ᾗ τὰς χεῖρας ὁ Παῦλος ἐδέδετο, ἐκείνην ἂν ἐγὼ προετίμησα. εἴ τις μετὰ τῶν ἀγγέλων ἵστη ἄνω, ἢ μετὰ Παύλου δεδεμένου, τὸ δεσμωτήριον ἂν εἱλόμην· εἴ τις με μετ' ἐκείνων ἐποίει τῶν δυνάμεων τῶν περὶ τὸν θρόνον, ἢ δεσμώτην τοιοῦτον, τοιοῦτος ἂν εἱλόμην γενέσθαι δεσμώτης· καὶ γὰρ οὐδὲν βέλτιον τοῦ κακῶς παθεῖν τι διὰ Χριστόν· εἴ τις μοι νεκροὺς ἔδωκεν ἀναστῆσαι νῦν, οὐκ ἂν τοῦτο εἱλόμην, ἀλλὰ τὴν ἅλυσιν· καὶ γὰρ οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον. ἐβουλόμην ἐν τοῖς τόποις γενέσθαι νῦν ἐκείνοις, ἐν οἷς ἐκεῖνα τὰ δεσμὰ μένει, καὶ ἰδεῖν τὰς ἁλύσεις, ἃς δεδοίκασι μὲν δαίμονες καὶ φρίττουσιν, αἰδοῦνται δὲ ἄγγελοι. εἰ τῶν ἐκκλησιαστικῶν φροντίδων ἐκτὸς ἤμην, καὶ τὸ σῶμα εὔρωστον εἶχον, οὐκ ἂν παρῃτησάμην ἀποδημίαν τοσαύτην ποιήσασθαι ὥστε τὰς ἁλύσεις μόνον ἰδεῖν, καὶ τὸ δεσμωτήριον ἔνθα ὁ Παῦλος ἐδέδετο. εἴ τις μοι τὸν Παῦλον ἐδίδου ἀπὸ τοῦ οὐρανοῦ διακύπτοντα ἰδεῖν, καὶ φωνὴν ἀφιέντα, ἢ ἐκ τοῦ δεσμωτηρίου ἂν εἱλόμην· οἱ γὰρ ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτὸν ἔρχονται, ὅταν εἰς τὸ δεσμωτήριον ᾖ. ὢ μακαρίων δεσμῶν, ὢ μακαρίων χειρῶν, ἃς ἐκόσμησεν ἡ ἅλυσις ἐκείνη περιτεθεῖσα τῷ Παύλῳ. οὐκ ἦσαν οὕτως τίμιαι αἱ χεῖρες αὐτοῦ, τὸν χωλὸν τὸν ἐν Λύστροις ἐγείρασαι, ὡς τὰ δεσμὰ περικείμεναι. εἰ κατ' ἐκείνους τοὺς χρόνους ἤμην ἐγώ, τότε ἂν μάλιστα αὐτὰς περιεπτυξάμην, καὶ ἐπὶ τὰς κόρας ἔθηκα τὰς ἐμάς, οὐκ ἂν ἐπαυσάμην καταφιλῶν χεῖρας καταξιωθείσας ὑπὲρ τοῦ δεσπότου δεθῆναι τοῦ ἐμοῦ. οὐχ οὕτως ἐγὼ τὸν μακαρίζω ὅτι εἰς τρίτον οὐρανὸν ἡρπάγη, καὶ εἰς τὸν παράδεισον, ὡς ὅτι εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. οὐχ οὕτως αὐτὸν μακαρίζω ὅτι ἤκουσεν ἄρρητα ῥήματα, ὡς ὅτι ὑπέμεινε τὰ δεσμά· καὶ γὰρ ταῦτα ἐκείνων καὶ πολὺ μείζονα. αἱρετώτερον γάρ μοι παθεῖν κακῶς ὑπὲρ τοῦ Χριστοῦ, ἢ τιμᾶσθαι παρὰ τοῦ Χριστοῦ. τοῦτο καὶ Παῦλος ἐνθυμούμενος ἔλεγεν ὡς εἰκός· εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτως ἐν δόξῃ εἶναι ἡγεῖτο, ὡς ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ, τί ἐμὲ παθεῖν οὐ δεῖ; ἄκουε γὰρ αὐτοῦ λέγοντος· δόξασόν με πάτερ. τί λέγεις; ἐπὶ σταυρὸν ἄγῃ μετὰ λῃστῶν καὶ τυμβωρύχων, τὸν τῶν ἐπαράτων ὑφίστασαι θάνατον, ἐμπτύεσθαι μέλλεις καὶ ῥαπίζεσθαι, καὶ ταῦτα δόξαν καλεῖς; ναί φησιν· ὑπὲρ γὰρ τῶν φιλουμένων ἐγὼ πάσχω ταῦτα, καὶ εἰκότως αὐτὰ δόξαν ἡγοῦμαι. εἰ οὖν ὁ δεσπότης ὁ ἐμός, τοὺς ἀθλίους καὶ ταλαιπώρους φιλήσας, δόξαν τὸ πρᾶγμα καλεῖ, καὶ τοῦτο τῆς ἐν τῷ πατρικῷ θρόνῳ δόξης μᾶλλον προτίθησι, πολλῷ μᾶλλον ἐγὼ ὀφείλω ταῦτα δόξαν ἡγεῖσθαι. ὥστε οὐδὲν τῆς Παύλου ψυχῆς μακαριώτερον. ἐν τίσι καυχᾶται; ἐν δεσμοῖς, ἐν θλίψεσιν, ἐν ἁλύσει, ἐν στίγμασι. πορεύομαι γάρ, φησιν, εἰς Ἱερουσαλήμ, δεδεμένος τῷ πνεύματι, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς, πλὴν ὅτι τὸ πνεῦμά μοι κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσι. τί οὖν ἀπέρχῃ, εἰ δεσμά, καὶ θλίψεις σε μένουσι; δι' αὐτὸ τοῦτο, ἵνα δεσμευθῶ διὰ Χριστόν, ἵνα ἀποθάνω δι' αὐτόν· οὐ γὰρ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου μου. τί οὖν ἐστι τοῦτο; οὐκ αἰσχύνῃ; οὐ δέδοικας τὴν οἰκουμένην δεσμώτης περιιών; οὐ φοβῇ, μήτις ἀσθένειαν τοῦ Θεοῦ σου καταγνῷ; μήτις διὰ τοῦτο οὐ μὴ προσέλθῃ; οὐ τοιαῦτά μου, φησί, τὰ δεσμά· οἶδε καὶ ἐν βασιλείοις λάμπειν· ὡς τοὺς δεσμούς μου, φησί, φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. ὁρᾷς δεσμῶν ἰσχὺν μᾶλλον ἢ νεκρῶν ἀναστάσεως; ἐδεσμεύθη ἐν Ῥώμῃ, καὶ τοὺς πλείονας ἐπεσπάσατο· ἐδεσμεύθη ἐν Ἱεροσολύμοις, καὶ δεδεμένος δημηγορῶν, τὸν βασιλέα κατέπληξε, καὶ τὸν ἄρχοντα εἰς φόβον ἤγαγεν· ἔμφοβος γὰρ γενόμενος ἀπέλυσεν αὐτόν. δεδεμένος ἔπλει, καὶ τὸ ναυάγιον ἔλυσε, καὶ τὸν χειμῶνα ἐπέδησεν· ἐν δεσμοῖς ὄντος αὐτοῦ, τὸ θηρίον ἐκεῖνο καθήψατο, καὶ μηδὲ λυμηνάμενον ἐξέπεσε· καὶ θέα πανταχοῦ τοῦτο γινόμενον. μεμαστίγωτο, καὶ μεμαστίγωτο ἰσχυρῶς. [πολλὰς γὰρ αὐτῷ, φησιν, ἐπιθέντες πληγάς·] καὶ ἐδέδετο, καὶ τοῦτο πάλιν ἰσχυρῶς· [εἰς γὰρ τὴν ἐσωτέραν φυλακὴν ἐνέβαλον αὐτόν, καὶ μετὰ πλείονος ἀσφαλείας·] καὶ ἐν τούτοις ὤν, κατὰ τὸ μεσονύκτιον, ὅτε καὶ οἱ σφόδρα ἀνειμένοι καθεύδουσιν, ᾖδε καὶ ὕμνει τὸν Κύριον. τί ταύτης γένοιτ' ἂν τῆς ψυχῆς ἀδαμαντινώτερον; ἐννοῶν ὅτι καὶ οἱ παῖδες ἐν πυρὶ ᾖδον, καὶ ἐν καμίνῳ. ἴσως ἐλογίζετο, ὅτι οὐδὲν τοιοῦτον ἐγὼ πέπονθα. ἀλλὰ καλῶς ποιῶν ὁ λόγος, εἰς ἑτέρους πάλιν ἐξήνεγκε δεσμοὺς καὶ δεσμωτήριον ἕτερον. τί πάθω; βούλομαι σιγῆσαι,

A Nimirum hoc longè nobilius eſt & auguſtius, quàm Apoſtolum eſſe, quàm eſſe diſcipulum, quàm eſſe Evangeliſtam. Si quis Chriſtum diligit, ille novit quod dico. Si quis amore Domini velut inſanit & exardeſcit, ille vinculorum poteſtatem intelligit: ille propter Chriſtum vinctus eſſe potiùs, quàm cœlos inhabitare eligit. hoc ſiquidem magnificentius eſt, quàm ad dexteram ipſius conſidere, honeſtius quoque & beatius quàm ſedere ſuper ſedes duodecim. Si quis mihi cœlum totum largiri velit, B aut catenam illam, qua Pauli manus conſtrictæ fuerunt, hanc ego illi præferrem. Si quis me cum angelis in cœlo conſtitueret, aut cum Paulo in vincula conjecto, carcerem ego eligerem. Si quis virtutum illarum, quæ ante thronum ſunt, conſortio me jungeret, aut talem captivum faceret, captivus talis eſſe mallem. nihil enim præſtantius eſt, quàm mala propter Chriſtum perpeti. Si quis mortuos excitandi poteſtatem mihi jam daret, non hanc ego, ſed catenam iſtam eligerem: quandoquidem ni- C hil ea beatius. Optarem nunc illis in locis verſari: in quibus vincula illa manent, & videre catenas, quas dæmones metuunt & perhorreſcunt, angeli verò reverentur. Si Eccleſiaſticarum rerum cura vacarem, & corpore ſano ac robuſto eſſem, non recuſarem tantam peregrinationem facere, quo videre ſaltem catenas & carcerem liceret, ubi Paulus vinctus erat. Si Paulum quis mihi concederet è cœlo proſpicientem & vocem emittentem intueri, aut è carcere, mallem ex carcere: ad ipſum enim in carcere poſitum cœlites perveniunt. O beata vincula! ò beatas D manus, quas catena illa Paulo circundata exornavit! Non tam honorabiles erant ipſius manus, cùm claudum illum Lyſtris erigerent, quàm cum vinculis circundatæ eſſent. Si tunc temporis ego vixiſſem, maximè tunc illas amplexatus oculis meis impoſuiſſem: nec exoſculari deſtitiſſem manus illas, quæ dignæ ſunt habitæ, ut pro Domino meo ligarentur. Non tam beatum illum prædico, quòd in tertium cœlum ſit raptus, atque in paradiſum, quàm quod in carcerem ſit conjectus. Non tam felicem E ipſum judico, quòd arcana verba audiverit, quàm quòd vincula tulerit. hæc ſiquidem illis multò ſunt majora. Optatius enim mihi mala propter Chriſtum perferre, quàm à Chriſto honore affici. Iſtud Paulus quoque, ut conſentaneum eſt, animo perpendens, dixit: Si ille pro me ſervus factus, & gloriam evacuans exiſtimabat non majore ſe in honore eſſe, quàm ſi pro me crucifigeretur: quid me pati non oportet? ipſum enim loquentem audi: *Clarifica me pater.* Quid dicis? Ad crucem duceris A cum latronibus & ſepulchrorum effoſſoribus, & debitam ſceleratis mortem ſuſtines, conſpuendus es & cædendus, atque hæc gloriam appellas? Utique, inquit: pro dilectis enim iſta patior, ac meritò pro gloria duco. Si igitur Dominus meus miſeros & ærumnoſos diligendo, hoc gloriam appellat, & cœleſtis throni gloriæ præponit, multo magis ego iſtas tribulationes gloriæ mihi ducere debeo. Quare anima Pauli nihil beatius eſt. In qui- B bus enim gloriatur? in vinculis, in tribulationibus, in catena, in ſtigmatibus. Ait enim: *alligatus ego ſpiritu vado in Hieroſolymam, quæ in ea ventura ſint mihi, ignorans, niſi quòd Spiritus ſanctus per omnes civitates mihi proteſtatur, dicens: quoniam vincula & tribulationes me manent.* Cur igitur abis, ſi vincula & tribulationes te manent? Propter hoc ipſum, inquit, ut propter Chriſtum vinciar, utque ipſius cauſa moriar. *Ego enim non alligari tantum, ſed & mori paratus ſum propter nomen Domini* C *mei.* Quid igitur eſt hoc? non erubeſcis? non vereris orbem terrarum vinctus circumire? non times ne quis imbecillitatem Dei tui hinc arguat? ne quis hac de cauſa te accedere nolit? Non ſunt ejuſmodi, inquit, vincula: noverunt enim etiam in Regiis aulis ſplendeſcere, ut vincula mea, ait, in toto prætorio conſpicua fiant, & plures fratres in Domino, vinculis meis perſuaſi, ampliùs verbum loqui audeant. Cernis vinculorum potius virtutem, quàm ſuſcitationis mortuorum? Vinctus eſt Romæ, D & pleroſque attraxit: Vinctus eſt Jeroſolymis, & vinctus verba faciens Regem perterruit, & præſidi timorem injecit; exterritus enim, ipſum dimiſit. Vinctus navigabat, & naufragium ſolvit, tempeſtatemque impedivit. Ipſum vinculis conſtrictum beſtia illa apprehendit, & ruſus ab eo, nullo illato damno, excidit. Et vide ubique hoc contingere. Flagellis cædebatur, & quidem vehementer cædebatur (*multas enim*, inquit, *imponentes ipſi plagas*) & ligabatur, atque hoc itidem vehementer E (*in interiorem enim carcerem ipſum miſerunt, & cum majori cuſtodia*) atq; ipſe inter hæc, mediam circa noctem, quando etiam planè cura ſoluti dormiunt, cantabat, Dominúmque laudabat. Quid hoc animo firmius & conſtantius? Conſiderabat quòd pueri quoq; in igne & fornace cantabant. Fortè cogitabat nihil tale ſe paſſum eſſe. Sed oportuniè nos oratio ad alia iterum vincula, aliúmque carcerem traduxit. Quid faciam? Tacere volo, ſed

Ex interpr. epiſt. ad Coloſſ.

2. Cor. 12.

Joh. 17. 5.

Act. 16, 23.

ſed non poſſum: alium inveni carcerem, longè illo mirabiliorem, magiſque ſtupendum. Sed mihi, tanquam novum ſermonem auſpicanti aſſurgite, & recentibus animis adeſte. Præcidere ſermonem volo, ſed non patitur: deſiſtere nequeo, ſilere non poſſum. multa me hic circumfluunt: neſcio quid primò dicam, quid ſecundò. Proinde vos obſecro, ne ordinem quis à me requirat: magna enim eſt rerum affinitas. Longa fuit Pauli catena, & diu nos detinuit. Sed non idcirco tacebo. Si enim ipſe in carcere non ſiluit, neque inter flagella, egóne ſilebo, qui ſedens ipſa die, & multò cum otio loquor? Et quomodo hoc rationi conſentaneum fuerit? Quis enim non obſtupeſcat & admiretur, imò quis dignè ſatis admirari & obſtupeſcere queat, generoſum illum, & uſque ad cœlos ſublimem Pauli animum? Siquidem vinculis conſtrictus & carcere concluſus à tanta intercapedine ad Philippenſes literas ſcripſit. Non enim ignoratis quantum intervallum inter Macedoniam & Romam interſit. Sed neque longitudo viæ, neque temporis diuturnitas, neque negotiorum multitudo, neque pericula & continuò ſibi ſuccedentia mala, neque aliud quidlibet amorem & recordationem diſcipulorum ipſi exemit, ſed eos omnes in corde habuit: nec tam manus ipſius conſtrictæ catenis erant, quàm animus alligatus & affixus deſiderio diſcipulorum. Et quemadmodum Rex aliquis conſcenſo manè ſolio, in regia aula conſidet, ac innumeras continuò ex omni loco accipit epiſtolas: ſic ille in carcere, velut in regia quadam aula reſidens, longè frequentiores aſſiduè tranſmittebat & recipiebat literas, eorum ſcilicet, qui undiq; gentium ad ipſius ſapientiam de ſuis negotiis accurare referebant. Et tantò quidem plura, quæ adminiſtraret negotia, quàm quivis Rex habebat, quantò eidem amplius regnum creditum fuerat. O

Ex ep. ad Tim.

καὶ ἕκαστος δὲ τῶν ἀναγκαῖον ἐπιτήδευμα μετιόντων, εἰ βουληθείη μὴ με-
ταδοῦναι ἑτέρῳ τῆς ἀπὸ τῆς τέχνης ὠφελείας, οὐχὶ τοὺς ἄλλους μόνον,
ἀλλὰ καὶ ἑαυτὸν προσαπώλεσε. καὶ γὰρ οἱ πένητες εἰ τὴν ὑμετέραν τὴν
πλεονεξίαν καὶ πλουτούντων κακίαν μετῆλθον, ταχέως ἂν ὑμᾶς ἐποίησαν
πένητας, εἰ μὴ δεομένοις τῶν ἑαυτῶν μεταδοῦναι ἠβουλήθησαν. ἀλλὰ παι-
δίον ἀπώλεσα, φησί, μονογενές, ἐν πλούτῳ πολλῷ τρεφόμενον, ἐλ-
πίδας ὑποφαῖνον χρηστάς, αὐτόν μοι μέλλον διαδέξασθαι τὴν κληρο- E
νομίαν. καὶ τί τοῦτο; μὴ στενάξῃς, ἀλλ' εὐχαρίστησον τῷ Θεῷ, καὶ δόξα-
σον τὸν εἰληφότα, καὶ οὐδὲν ἔσῃ τοῦ Ἀβραὰμ κατὰ τοῦτο χείρων. καθάπερ γὰρ
ἐκεῖνος ἔδωκε τῷ Θεῷ κελεύσαντι, οὕτω καὶ σὺ λαβόντος αὐτοῦ οὐκ
ἐστέναξας. εἰ γὰρ τελευτῶντα ἰδὼν τὸν υἱὸν εὐχαριστήσῃς τῷ φιλαν-
θρώπῳ Θεῷ, οὐκ ἔλαττον λήψῃ μισθὸν τοῦ τὸν υἱὸν ἀγαγόντος καὶ
καταθύσαντος. κἂν τοὺς κωκυτούς, καὶ τοὺς θρήνους διαλύσῃς, καὶ εἰς
δοξολογίαν ἅπαντας διεγείρῃς, μυρία ἄνωθεν καὶ κάτωθεν δέξῃ τὰ A
βραβεῖα, ἀνθρώπων σε θαυμαζόντων, ἀγγέλων κροτούντων, καὶ τοῦ
Θεοῦ στεφανοῦντος. καὶ πῶς δυνατὸν μὴ πενθεῖν ἐκεῖνον, φησί, παρ' οὗ
πατὴρ οὐκέτι καλοῦμαι λοιπόν; τί λέγεις; μὴ γὰρ ἀπέβαλες τὸ παι-
δίον; μὴ γὰρ ἀπώλεσας τὸν υἱόν; μᾶλλον ἐκτήσω καὶ ἀσφαλέστερον ἔσχες.
οὐ γὰρ τὸ πατὴρ καλεῖσθαι ἀπώλεσας, ἀλλὰ τὸ μειζόνως καλεῖσθαι
προσέλαβες. οὐ γὰρ θνητοῦ παιδίου, ἀλλ' ἀθανάτου λοιπὸν κληθήσῃ πα-
τήρ. μὴ γὰρ ἐπειδὰν μὴ πάρεστι, καὶ αὐτὸν ἀπολωλέναι αὐτὸν νόμιζε· B
οὐδὲ γὰρ ἂν ἀποδημῶν ἐτύγχανεν, ἀπέστη ἄν σου καὶ τοὔνομα τῆς συγ-
γενείας μετὰ τοῦ σώματος. οὐχ οὗτός ἐστι τὸ παιδίον τὸ κείμενον, ἀλλ'
ἐκεῖνος ὁ ἀποπτὰς καὶ ἀναδραμὼν εἰς τὸν οὐρανόν. ὅταν οὖν ἴδῃς τοὺς
ὀφθαλμοὺς καθηρημένους, καὶ τὸ στόμα συμπεπηγμένον, καὶ τὸ σῶμα ἀ-
κίνητον, μὴ τοῦτο ἐννόει, ὅτι τοῦτο μὲν τὸ στόμα οὐκέτι φθέγγεται, οὗτοι
οἱ ὀφθαλμοὶ οὐκέτι βλέπουσιν, οὗτοι οἱ πόδες οὐκέτι βαδίζουσιν·
ἀλλ' ὅτι τοῦτο μὲν τὸ στόμα ἄμεινον φθέγξεται, καὶ οἱ ὀφθαλμοὶ μείζο- C
να ὄψονται, καὶ οἱ πόδες ἐπὶ νεφελῶν ἀρθήσονται, καὶ τὸ διαφθειρό-
μενον τοῦτο σῶμα ἀθανασίαν ἐνδύσεται, καὶ λαμπρότερον τὸν υἱὸν
ἀπολήψομαι. ἀναμνήσθητι τοῦ πατριάρχου Ἀβραάμ, ὃς οὐκ εἶδε
μὲν τὸν Ἰσαὰκ ἀποθανόντα, ἀλλ' ὃ πικρότερον ἦν καὶ ὀδυνηρότερον,
αὐτὸς αὐτὸν κατασφάξαι ἐπετάττετο· καὶ οὐκ ἀντεῖπε πρὸς τὸ ἐπί-
ταγμα, οὐδὲ ἐδυσχέρανεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον· διὰ τοῦτό με
πατέρα ἐποίησας, ἵνα παιδοκτόνον ἐργάσῃ; βέλτιον ἦν μὴ δοῦναι D
τὴν ἀρχήν, ἢ δόντα, τοιούτῳ τρόπῳ πάλιν αὐτὸν ἀφελέσθαι. βούλει
λαβεῖν; τίνος ἕνεκεν ἐμὲ κατασφάττειν κελεύεις, καὶ τὴν δεξιὰν μιαίνειν
τὴν ἐμαυτοῦ; οὐκ ἀπὸ τούτου μοι τοῦ παιδίου τὴν οἰκουμένην ἐμπλῆσαι τῶν
ἀπογόνων ὑπέσχου; πῶς οὖν τοὺς καρποὺς δίδως, τὴν ῥίζαν ἀναιρῶν;
τίς ταῦτα εἶδε, τίς τοιαῦτα ἤκουσεν; ἠπάτημαι καὶ παρελογίσθην. οὐδὲν
τούτων εἶπεν, οὐκ ἐνενόησεν, οὐκ ἀντεῖπε τῷ κελεύοντι, οὐκ ἀπήτη-
σεν εὐθύνας· ἀλλ' ἀκούσας, λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγά- E
πησας τὸν Ἰσαάκ, καὶ ἀνένεγκέ μοι αὐτὸν εἰς ὁλοκάρπωσιν, ἐφ' ἓν τῶν
ὀρέων ὧν ἄν σοι εἴπω, μετὰ τοσαύτης προθυμίας τὸ ἐπίταγμα ἐπλή-
ρωσεν, ὡς καὶ πλείονα τῶν ἐπιταχθέντων ποιῆσαι. καὶ γὰρ καὶ τὸ γύναιον
ἀπέκρυψε, καὶ τοὺς παῖδας ἔλαθε, κάτω μένειν ἀφείς. ἐννόησον τοίνυν
ἡλίκον ἦν μόνον μόνῳ διαλέγεσθαι τῷ παιδί, μηδενὸς παρόντος, ὅτε
μᾶλλον τὰ σπλάγχνα διεθερμαίνετο, καὶ σφοδρότερον τὸ φίλτρον ἐγί-
νετο· ποῖος λόγος παραστῆσαι δυνήσεται; ἀνήγαγε τὸ παιδίον, συνεπό-

In his enim indignari, eſt eorum, qui ipſa natura majus aliquid
requirunt. Homo natus es & mortalis: quid igitur doles, quod,
quæ ſecundum naturam ſunt, acciderint? Anne doles quòd com-
edens nutriaris? Quæris ne ut abſq; alimento vivas? Ita etiam
in morte eſt: cùm mortalis natus ſis, immortalitatem ne quæ-
ras. Semel hoc definitum eſt & ſtatutum. Verùm cùm Deus vo-
cat, aut accipere aliquid à nobis vult, ne velut improbi famuli,
ea quæ Domini ſunt, ſuffuremur. Sive enim pecuniam accepe-
rit, ſive honorem & gloriam, ſive corpus, ſive animam ipſam,
ſua accepit: etſi filium tuum accepit, non tuum filium accepit,
ſed proprium ſervum ſuum. Si igitur nos non ſumus noſtri, quo-
modo quæ ſunt illius, noſtra erunt? Si enim anima tua non ſit
tua, quomodo pecuniæ erunt tuæ? Quod ſi tuæ non ſunt, quo-
modo quæ non ſunt tuæ, ſecus quàm oportet, conſumis? Ne
igitur dicas, Quæ mea ſunt conſumo, de meis lautè vivo: non
enim de tuis, ſed de alienis fit. Dico verò de alienis, quia tu ita
C vis. Quoniam Deus tua eſſe vult, quæ pauperum nomine tibi
ſunt credita: fiunt autem quæ aliena ſunt, tua, ſi in ipſos eroga-
veris: Si verò in teipſum conſumpſeris, aliena facta ſunt, quæ
tua erant. Non vides, ut in corporibus noſtris manus miniſtrant,
os molit, venter ſuſcipit? nonne dicit venter, Quoniam ſuſcepi,
totum retinere debeo, & oculus verò, quia totum lumen exci-
pit, an ideirco illud ſolus retinet, & non potius univerſum cor-
pus illuſtrat? pedes quoque quia ſoli ambulant, nunquid ſeipſos
D tantum tranſponunt, & non totum transferunt corpus? Et verò
quilibet ex iis qui neceſſarium aliquod munus exercent, niſi artis
ſuæ commodum alteri quoque impertiri velit, non ſolùm alios,
ſed ſeipſum ſimul perdit. Etenim pauperes, ſi veſtram avarorum
& divitum improbitatem ulti fuiſſent, cito vos ad paupertatem
redegiſſent, niſi egentibus de ſuis communicare voluiſſent. Sed
filium, inquit, per ſi unicum, multis divitiis nutritum, præ-
claram ſpem oſtendentem, illum qui mihi in hæreditatem ſuc-
E cedere debebat. Et quid hoc? Noli ingemiſcere, ſed gratias Ex ep. ad Theſ.
Deo age, & eum, qui accepit, laudibus celebra: ſic enim nihil
Abrahamo, quoad hoc, inferior eris. Sicuti enim ille Deo ju-
benti dedit, ſic tu quoque illo accipiente, non ingemuiſti. Si
enim filium mori cernens, gratias benigniſſimo Deo egeris,
non minus recipies mercedem, quàm ille, qui filium abduxit,
ut immolaret. Ac ſi ploratus & luctus diſcuſſeris, omneſque
A ad Dei laudes excitaveris, infinita à cœlo, & terra præmia per-
cipies, hominibus te admirantibus, plaudentibus Angelis, &
Deo coronante. Et quomodo fieri poteſt, dicit aliquis, ut illum
non defleam, à quo jam non ampliùs pater appellor? Quid dicis?
Nunquid enim amiſiſti puerum? nunquid filium perdidiſti? imò
verò acquiſiviſti & firmiùs obtinuiſti. Non enim patris appella-
tionem perdidiſti, ſed ut ampliùs etiam voceris, adeptus es:
quia non filii mortalis, ſed immortalis deinceps pater vocabe-
B ris. Nec ideo, quia tibi non adeſt, perdidiſſe te illum exiſtima-
re debes. Neque enim ſi peregrè abiiſſet, à te etiam quoad no-
men familiæ unà cum corpore ſeparatus eſſet. Non iſte eſt Ex hom. dorm.
puer ille qui jacet, ſed ille qui ad cœlos evolavit, curſúque
contendit. Si igitur oculos videas depreſſos, os contractum,
corpúſque immobile, ne ita cogites: iſtud quidem os non am-
pliùs loquetur, oculi iſti jam non videbunt, nec ampliùs pedes
iſti ambulabunt: ſed, os quidem iſtud meliùs loquetur, majora
C videbunt oculi, pedes ſupra nubes elevabuntur, & corpus hoc,
quod corrumpitur, induet immortalitatem, majoréque cum
magnificentia filium meum recipiam. Recordare Abrahami
Patriarchæ, qui filium ſuum Iſaac non quidem morientem vi-
dit, ſed, quod acerbius erat & gravius, ipſemet eum interficere
jubebatur, nec mandato huic contradixit, nec indignè ferebat,
nec denique tale quid locutus eſt: An ob id patrem me feciſti,
ut me filii interfectorem faceres? Melius fuiſſet ab initio non
D dediſſe, quàm poſtquam dederis, tali modo ipſum denuò ſu-
ſtuliſſe. Eumne accipere vis? Quare mihi præcipis, ut eum ju-
gulem, dexteràmque meam contaminem? nonne mihi per
hunc filium orbem terrarum nepotibus impleturum te promi-
ſiſti? Quomodo igitur fructus davis, cùm radicem tollas? Quis
talia vidit, quis unquam audivit? deceptus ſum ac circumven-
tus. Nihil tale dixit neque cogitavit. Non adverſatus eſt im-
peranti, non popoſcit facti rationem: ſed poſtquam audiviſſet
E hæc verba: Accipe chariſſimum filium quem diligis Iſaacum,
eumque in holocauſtum, ſupra unum montium, quem dixero
tibi, offer, tanta animi alacritate mandatum implevit, ut plu-
ra etiam, quàm præcepta eſſent, præſtaret. Nam & uxorem
hoc celavit, & ſervos latuit, infra montem ipſus relinquens.
Tecum igitur perpende, quantum erat ſolum cum ſolo filio
loqui, nemine præſente, cùm viſcera jam magis incaluiſ-
ſent, & vis amoris eſſet vehementior. Quis ſermo hoc ſatis
explicare poſſit? Deduxit puerum ſurſum, pedes implicavit,

lignis impoſuit, & gladium arripuit, vulnus inferre paratus erat. Quomodo & qua ratione dicam, non habeo, ſolus ipſe novit, qui hæc operatus eſt: oratio ob oculos rem ponere nulla valet. Quomodo manus non obſtupuit? Quomodo nervorum robur ſolutum non eſt? Quomodo ipſum non confudit filii aſpectus? Et erat ſimul videre hunc patrem eſſe, & ſacerdotem, hoſtiamque abſque ſanguine offerri, holocauſtum ſine igne. Etenim filium occidit, & non occidit. Non occidit manu, ſed occidit animi alacritate: ut omnes poſthac doceret, & filiorum naturam, & opes omnes, atque adeo ipſam animam Dei mandatis poſthabendam eſſe. Conſidera enim mihi generoſum viri animum, quod filium juſſus ſit mactare illum, unigenitum, chariſſimum illum, illum, qui præter ſpem ei datus eſſet, quot inſurgentes ſibi habuerit cogitationes: ſed omnes tamen ille ſubegit, omneſque ipſum magis extimuerunt, quàm Regem ſatellites: ſoloque aſpectu univerſas compeſcebat, nec muttire quidem harum ulla audebat: ſed ita compoſitè conſiſtebant, ut ipſum ornarent potiùs, quàm timore percellerent. Et contemplare mihi conſtantiam. Natura cum armis ſuis humi proſternebatur, & ipſe ſtabat, manum extendens, non habentem coronam, ſed gladium corona qualibet ſplendidiorem: & Angelorum applaudebat turba, & Deus ex cœlis laudum præconium tribuebat. Quid quæſo huic æquale fuerit tropæo! Si enim athletam, poſtquam vicit, non præco ab inferiori loco, ſed Rex deſuper ipſum victorem in Olympiis pronuntiaſſet, nunquid hoc ipſis coronis magnificentius ei viſum fuiſſet, & univerſum theatrum attentum reddidiſſet? Quando igitur non homo Rex, ſed Deus ipſe, non in ejuſmodi theatro, ſed in ſpectaculo totius orbis, in Angelorum Archangelorúmque turba ipſum victorem pronunciat, magnifica deſuper voce clamat: Ubi, age dic mihi, ſanctum illum collocabimus? Si enim filios improbos non facilè contemnere ſolent parentes, ſed hos quoque luctu proſequuntur, hic cùm filius eſſet germanus, unigenitus & chariſſimus, atq; ab ipſo patre mactari deberet, quis eximiam illius animi moderationem verbis aſſequi poterit? O beatam dexteram, quali gladio digna es habita! o gladium admirandum, in qualem olim paratus fuit, & quale peregit miniſterium, quali typo ſubſervit, quomodo cruentatus eſt, & quomodo non cruentatus eſt? Neſcio enim quid dicam, adeo horrendum myſterium erat. Non attigit filii collum, neq; penetravit ſancti illius jugulum, neq; rubuit juſti ſanguine: quin potius attigit & penetravit, & rubuit, & immerſus eſt, & non eſt immerſus. Forte extra me raptus eſſe vobis videor, qui tam pugnãtia loquor. Certè extra me raptus ſum mecum reputans juſti illius miraculũ, ſed pugnantia tamen non loquor. Nam manus quidem juſti, gladium infixit in jugulum filii, ſed Dei manus non paſſa eſt, etiam impactam pollui ſanguine pueri. Nec enim Abraham tantum tenebat enſem, ſed etiam Deus. Atq; ille quidem impellebat ex animi ſententia: hic verò cohibuit voce. Conſidera verò, dixit, Occide, & continuò armabatur: dixit, Ne occidas, & protinus exarmabatur. Elegit enim potiùs non appellari pater, ut ſervum bonum & gratum ſe oſtenderet. Et quoniam reliquit ſua propter Deum, ideo Deus cum illis, ei etiam ſua largitus eſt: & animi promptitudinem in præceptum ſtatuit. Et ne mihi illud dixeris, quod aram tantùm extruxerit, ligna que impoſuerit, ſed & vocis pueri memineris, tecúmque reputa, quanti cogitationum velut globi in ipſum irruerint, flammeis haſtis armati, & undiq; ipſum confodientes & concidentes, cùm filium audiret dicentem: Pater, ubinam eſt ovis? Quòd ſi nunc quoque multi ſe non continent, qui etiam patres non ſunt, quid illi accidiſſe conſentaneum erat, qui ipſum generaverat, qui enutrierat, qui in ſenectute ipſum acceperat, qui unicum hunc habebat, qui videbat, qui audiebat, qui mox ipſum erat occiſurus? Sed nihil iſtorum adamantem illum ſubvertit neq; concuſſit: neque dixit: Quid patrem appellas, qui paulò poſt pater tuus futurus nõ eſt, qui jam hoc honoris perdidit? ſed quid? Deus providebit ſibi ovem in holocauſtum, fili. ambo naturæ nominibus utuntur: ille patrem appellat: hic filium: utrinque grave bellum excitabatur, & magna erat tempeſtas, naufragium tamen nequaquam. Iſaac verò poſtquam audivit Deum, nihil ampliùs locutus, nec curioſè ſcrutatus eſt: adeò ſapiens erat puer, in ipſo ætatis flore. Nunquid non omnes incaluiſtis: nonne quilibet veſtrum puerum illum mente amplectitur & deoſculatur, ſuſcipit prudentiam, veneratur pietatem? Etenim dum colligaretur & lignis imponeretur, non expaveſcebat, non reſiliebat, nec patrem velut inſanientem condemnabat: ſed & vinciebatur, & tollebatur, imponebatur, atque omnia veluti agnus aliquis, ſilentio perferebat. Quin potiùs ſicut communis omnium dominus, cujus etiam manſuetudinem imitabatur, & figuram ſervabat. *Tanquam ovis enim ad occiſionem ductus eſt, & velut agnus coram tondente ſe, obmuteſcens.*

διος, τοῖς ξύλοις ἐπέθηκε, καὶ τὴν μάχαιραν κρατῶν, ἐπάγειν τὴν πληγὴν ἔμελλε. πῶς εἴπω καὶ τίνι τρόπῳ, οὐκ ἔχω. μόνος αὐτὸς οἶδεν ὁ ταῦτα ἐργασάμενος· λόγος οὐδεὶς παραστῆσαι δυνήσεται. πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς οὐκ ἐλύθη τῶν νεύρων ἡ ἰσχύς; πῶς οὐ συνέχεεν αὐτὸν ἡ τοῦ παιδὸς ὄψις; καὶ ἦν ὁμοῦ πατέρα ὁρᾷν καὶ ἱερέα γινόμενον τοῦτον, καὶ θυσίαν χωρὶς αἵματος ἀναφερομένην, ὁλοκαύτωμα χωρὶς πυρός. καὶ γὰρ ἔσφαξε τὸν υἱὸν, καὶ οὐκ ἔσφαξεν. οὐκ ἔσφαξε τῇ χειρὶ, ἀλλ' ἔσφαξε τῇ προθυμίᾳ· ὥστε παιδεῦσαι μετὰ ταῦτα πάντας, ὅτι καὶ παίδων φύσεως, καὶ τῶν ὄντων ἁπάντων, καὶ αὐτῆς τῆς ψυχῆς, τὰ προστάγματα τοῦ Θεοῦ προτιμᾷν χρή. ἐννόει γάρ μοι τοῦ ἀνδρὸς τὸ γενναῖον, ὅτι τὸν υἱὸν ἐκελεύετο σφαγιάσαι τὸν μονογενῆ, τὸν ἀγαπητόν· τὸν παρ' ἐλπίδα πᾶσαν δεδομένον αὐτῷ, πόσους ἐπανισταμένους αὐτῷ εἶχε τοὺς λογισμούς. ἀλλ' ὅμως πάντας ὑπέταξε, καὶ πάντες αὐτὸν ἔτρεμον μᾶλλον, ἢ βασιλέα οἱ δορυφόροι· καὶ βλέμματι μόνῳ πάντα κατέστελλε, καὶ οὐδὲ γρύξαι ἐτόλμα τούτων οὐδείς· ἀλλ' οὕτως εὐτάκτως ἑστήκεισαν, ὡς καὶ κοσμεῖν αὐτὸν μᾶλλον ἢ περιφοβεῖν. καὶ ἴδε τὴν καρτερίαν· ἡ φύσις ἔρριπτο χαμαὶ μετὰ τῶν ὅπλων αὐτῆς, καὶ αὐτὸς εἱστήκει τὴν χεῖρα ἀνατείνας, οὐχὶ στέφανον ἔχουσαν, ἀλλὰ μάχαιραν στεφάνου παντὸς λαμπροτέραν· καὶ ὁ τῶν ἀγγέλων ἐπεκρότει δῆμος, καὶ ὁ Θεὸς ἐκ τῶν οὐρανῶν ἀνεκήρυττεν. ἆρα ἴσον τούτῳ γένοιτ' ἄν τι τοῦ τροπαίου; εἰ γὰρ ἀθλητὴν νικήσαντα, μὴ κῆρυξ κάτωθεν, ἀλλ' ἄνωθεν αὐτὸν ὁ βασιλεὺς ἀνηγόρευσε τὸν ὀλυμπιονίκην, ἆρ' οὐχὶ τοῦτο τῶν στεφάνων αὐτῷ λαμπρότερον ἔδοξεν εἶναι, καὶ τὸ θέατρον ἅπαν ἐπέστρεψεν ἄν; ὅταν οὖν μὴ ἄνθρωπος βασιλεὺς, ἀλλ' αὐτὸς ὁ Θεὸς, οὐκ ἐν θεάτρῳ τούτῳ, ἀλλ' ἐν θεάτρῳ τῆς οἰκουμένης, ἐν τῷ δήμῳ τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, αὐτὸν ἀνακηρύττῃ λαμπρᾷ τῇ φωνῇ βοῶν ἄνωθεν· ποῦ θησόμεθα τὸν ἅγιον τοῦτον, εἰπέ μοι; εἰ γὰρ φαύλους παῖδας οὐκ ἂν εὐκόλως καταφρονήσειαν πατέρες, ἀλλὰ καὶ τούτους πενθοῦσιν· ὅταν καὶ υἱὸς ᾖ καὶ γνήσιος, καὶ μονογενὴς, καὶ ἀγαπητὸς, καὶ ὑπ' αὐτοῦ μέλλῃ σφάττεσθαι τοῦ πατρὸς, τίς ἂν εἴποι τὴν ὑπερβολὴν τῆς φιλοσοφίας; ὦ δεξιᾶς μακαρίας, οἵας κατηξιώθη μαχαίρας· ὦ μαχαίρας θαυμαστῆς, οἵᾳ ἦν κατεσκευασμένη χειρὶ, καὶ ποίαν ἐπλήρωσε διακονίαν, καὶ ποίῳ ὑπηρετήσατο τύπῳ; πῶς ᾑμάχθη, πῶς οὐχ ᾑμάχθη; οὐ γὰρ οἶδα τί εἴπω. οὕτω φρικτὸν τὸ μυστήριον ἦν. οὐχ ἥψατο τοῦ παιδὸς δέρης, οὐδὲ διῆλθε διὰ τοῦ λαιμοῦ τοῦ ἁγίου ἐκείνου, οὐδὲ ἐφοινίχθη αἵματι δικαίου· μᾶλλον δὲ καὶ ἥψατο καὶ διῆλθε, καὶ ἐφοινίχθη, καὶ ἐβαπτίσθη, καὶ οὐκ ἐβαπτίσθη. τάχα ἐξεστηκέναι ὑμῖν δοκῶ, οὕτως ἐναντιολογῶν. καὶ γὰρ ἐξέστηκα τὸ θαῦμα ἐννοῶν τοῦ δικαίου, ἀλλ' οὐκ ἐναντιολογῶ. ἡ μὲν γὰρ τοῦ δικαίου χεὶρ ἐνέπηξεν αὐτὴν τῇ φάρυγγι τοῦ παιδὸς, ἡ δὲ τοῦ Θεοῦ χεὶρ καὶ ἐμπαγεῖσαν οὐκ ἀφῆκεν αἵματι μολυνθῆναι τοῦ παιδός. καὶ γὰρ οὐχ ὁ Ἀβραὰμ αὐτὴν κατεῖχε μόνον, ἀλλὰ καὶ ὁ Θεός. καὶ ὁ μὲν ὠθεῖ διὰ τῆς γνώμης, ὁ δὲ ἀνέστελλε διὰ τῆς φωνῆς. σκόπει δέ· εἶπε, σφάξον, καὶ εὐθέως ὡπλίζετο· εἶπε, μὴ σφάξῃς, καὶ εὐθέως ἀφωπλίζετο. εἵλετο γὰρ μὴ κληθῆναι πατὴρ, ὥστε δοῦλος εὐγνώμων φανῆναι· καὶ ἐπειδὴ ἀπέστη τῶν αὑτοῦ διὰ τὸν Θεὸν, διὰ τοῦτο καὶ ὁ Θεὸς μετὰ τούτων ἐχαρίσατο αὐτῷ καὶ τὰ αὑτοῦ· καὶ μέχρι τῆς προθυμίας ἔστησε τὸ ἐπίταγμα. καὶ μή μοι τοῦτο εἴπῃς μόνον, ὅτι θυσιαστήριον ᾠκοδόμησε, καὶ ξύλα ἐπέθηκεν, ἀλλ' ἀναμνήσθητι καὶ τῆς φωνῆς τοῦ παιδίου, καὶ λόγισαι ὅσαι νιφάδες ἐπῆλθον αὐτῷ λογισμῶν, φλογίνοις δόρασιν ὡπλισμέναι, καὶ πανταχόθεν κατακεντοῦντες αὐτὸν καὶ διατέμνοντες, ὅτε ἤκουσε τοῦ παιδίου λέγοντος· πάτερ ποῦ τὸ πρόβατον; εἰ γὰρ καὶ νῦν καταγελῶνται πολλοὶ, καὶ μὴ πατέρες ὄντες, τί πάσχειν ἐκεῖνον εἰκὸς ἦν, τὸν αὐτὸν γεννήσαντα, τὸν θρέψαντα, τὸν ἐν γήρᾳ τὸν μόνον ἔχοντα τοῦτον, τὸν ὁρῶντα, τὸν ἀκούοντα, τὸν εὐθέως μέλλοντα αὐτὸν ἀναιρεῖν. ἀλλ' οὐδὲν τούτων τὸν ἀδάμαντα ἐκεῖνον περιέτρεψεν, οὐδὲ διέσεισεν. οὐδὲ εἶπε, τί πατέρα καλεῖς τὸν μικρὸν ὕστερον οὐκ ἐσόμενόν σου πατέρα; τὸν ἤδη ταύτην ἀπολέσαντα τὴν τιμήν; ἀλλὰ τί; ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. ἑκάτεροι τοῖς ὀνόμασι τῆς φύσεως καλοῦσιν· ἐκεῖνος, πατέρα, καὶ τέκνον οὗτος· καὶ χαλεπὸς ἑκατέρωθεν ὁ πόλεμος διηγείρετο, καὶ πολλὴ ἡ ζάλη. καὶ ναυάγιον οὐδαμοῦ. ὁ δὲ Ἰσαὰκ ἐπειδὴ ἤκουσε τὸν Θεὸν, οὐκέτι εἶπεν οὐδὲν, οὐδὲ περιειργάσατο· οὕτω συνετὸν ἦν τὸ παιδίον. καὶ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει. ἆρα οὐ διεθερμάνθητε πάντες; οὐχὶ ἕκαστος ὑμῶν περιπτύσσεται τῇ διανοίᾳ, καὶ καταφιλεῖ τὸ παιδίον, καὶ θαυμάζει τὴν σύνεσιν, καὶ αἰδεῖται τὴν εὐλάβειαν; καὶ γὰρ συμποδιζόμενος καὶ τοῖς ξύλοις ἐπιτιθέμενος οὐκ ἐξεπλήττετο, οὐκ ἀπεσκίρτα, οὐ κατεγίνωσκε τοῦ πατρὸς ὡς μαινομένου· ἀλλὰ καὶ ἐδεσμεῖτο καὶ ἀνεβαστάζετο, καὶ ἐπετίθετο, καὶ πάντα ἔφερε σιγῇ καθάπερ τις ἀμνός· μᾶλλον δὲ καθάπερ ὁ κοινὸς πάντων δεσπότης· οὗ καὶ τὴν ἐπιείκειαν ἐμιμεῖτο, καὶ τὸν τύπον ἐφύλαττεν. ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος,

Digitized by Google

νος. καὶ μή μοι λεγέτω τις ὅτι οὐκ ἤλγησεν ὁ Ἀβραάμ, οὐδὲ τὰ τῶν πατέρων ὑπέμεινε, μηδὲ πέρα τοῦ μέτρου δεῖξαι βουλόμενος φιλοσοφοῦντα, τὸ κεφάλαιον ἀποστερείτω τῶν ἐγκωμίων αὐτόν. εἰ γὰρ τοὺς ἐπὶ τοῖς αἰσχίστοις ἁλόντας καὶ πολὺν χρόνον ταύτης ἀπολαύσαντας τῆς ζωῆς, καὶ ἀγνῶτας ὄντας, καὶ οὐδὲ ὀφθέντας ἡμῖν ποτε, τούτους ἐξαίφνης ὁρῶντες ἐπὶ τῆς ἀγορᾶς τὴν ἐπὶ θάνατον ἀπαγομένους, συστελλόμεθα καὶ ἀλγοῦμεν, πολλάκις δὲ καὶ δακρύομεν· ὁ τὸν υἱὸν τὸν αὐτοῦ τὸν γνήσιον, τὸν μονογενῆ, τὸν παρ' ἐλπίδα τεχθέντα, τὸν μετὰ χρόνον τοσοῦτον, τὸν πρὸς ἐσχάτῳ γήρᾳ, οὗτον ἔτι νέον ὄντα τῇ ἑαυτοῦ χειρὶ καταθῦσαι καὶ κατακαῦσαι κελευόμενος, πῶς οὐ πάσης τιμωρίας χαλεπωτέραν θλῖψιν καὶ ἀλγηδόνα ὑπέμεινεν; εἰ γὰρ λίθος ἦν, εἰ γὰρ σίδηρος, εἰ γὰρ αὐτοαδάμας, οὐκ ἂν ἐκάμφθη καὶ κατεκλάσθη πρὸς τὴν ὥραν τοῦ παιδὸς, πρὸς τὴν σύνεσιν τῶν ῥημάτων, πρὸς τὴν εὐλάβειαν τῆς ψυχῆς; καὶ γὰρ ἤκουσεν ὅτι ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, ὦ τέκνον, καὶ οὐδὲν περιειργάσατο πλέον. ἑώρα τὸν πατέρα δεσμεύοντα αὐτὸν, καὶ οὐκ ἀντέτεινεν· ἐπετέθη τοῖς ξύλοις, καὶ οὐκ ἀπεπήδησεν· εἶδε τὴν μάχαιραν κατ' αὐτοῦ φερομένην, καὶ οὐκ ἐταράχθη. τί ταύτης εὐλαβέστερον γένοιτ' ἂν τῆς ψυχῆς; ἔτι οὖν τολμήσει τις εἰπεῖν, ὡς οὐδὲν ὑπὸ τούτων ἁπάντων ἔπαθεν ὁ Ἀβραάμ; εἰ γὰρ ἐχθρὸν καὶ πολέμιον καταθύειν ἔμελλεν; εἰ γὰρ θηρίον ἦν, ἆρα ἀναλγητὶ ταῦτα ἐποίησεν; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ, ὅταν υἱὸν ἢ θυγατέρα ἀποβάλῃς ἄνθρωπε, μὴ οὕτως ἀσχημόνως θρήνει καὶ κόπτε σεαυτὸν, ἀλλ' ἐννόησον ὅτι ὁ Ἀβραὰμ κατέσφαξε τὸν υἱὸν ἑαυτοῦ, καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν ῥῆμα ἐξέβαλε. καὶ ὁ Ἰὼβ ἤλγησε μὲν, τοσοῦτον δὲ, ὡς εἰκὸς πατέρα φιλόπαιδα· ὡς ὅγε νῦν ποιοῦμεν ἡμεῖς, ἐχθρῶν καὶ πολεμίων ἐστίν. οὐδὲ γὰρ εἴ τινες εἰς βασιλέα ἀπενεχθέντες καὶ στεφανωθέντες ἐκόπτου σεαυτὸν καὶ ἐθρήνεις, φίλον ἂν τοῦ στεφανωθέντος ἔφην εἶναι, ἀλλ' ἐχθρὸν καὶ πολέμιον. ἀλλ' οὐκ οἶδα ποῦ κεχώρηκε, φησί. διατί γὰρ οὐκ οἶδας εἰπέ μοι; εἴτε γὰρ ὀρθῶς ἐβίω, εἴτε ἑτέρως, δῆλον ποῦ χωρήσει. διὰ γὰρ τοῦτο κόπτομαι, φησὶν, ὅτι ἁμαρτωλὸς ἀπῆλθε. δι' αὐτὸ μὲν οὖν τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ· καὶ βοηθεῖν ὡς ἂν οἷόν τε ᾖ, οὐ δάκρυσιν, ἀλλ' εὐχαῖς, καὶ ἱκετηρίαις, καὶ ἐλεημοσύναις, καὶ προσφοραῖς. οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ τῶν φρικτῶν τελουμένων μυστηρίων βοᾷ, ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας αὐτῶν ἐπιτελούντων, ἀλλὰ πνεύματος ἁγίου διατάξει ταῦτα γίνεται. εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ πατρὸς θυσία, τί ἀμφιβάλλεις εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων, γίνεταί τις αὐτοῖς παραμυθία; μὴ τοίνυν τοὺς ἀποθνήσκοντας ἁπλῶς κλαίωμεν, ἀλλὰ τοὺς ἐν πλούτῳ τετελευτηκότας, καὶ μηδεμίαν ἀπὸ τοῦ πλούτου παραμυθίαν ἑαυτῶν ψυχαῖς ἐπινοήσαντας· τοὺς λαβόντας ἐξουσίαν ἀπολούσασθαι αὐτῶν τὰ ἁμαρτήματα, καὶ μὴ βουληθέντας, τούτους κλαίωμεν, καὶ ἰδίᾳ, καὶ κοινῇ πάντες, μὴ μίαν ἡμέραν μηδὲ δευτέραν, ἀλλὰ τὸν ἅπαντα βίον ἡμῶν, καὶ βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν· ἐπινοήσωμεν αὐτοῖς τινα βοήθειαν, μικρὰν μὲν, καὶ βοηθῶμεν δ' ὅμως. πῶς καὶ τίνι τρόπῳ; εὐχόμενοι καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν διδόντες συνεχῶς. ἔχει τινὰ τὸ πρᾶγμα παραμυθίαν. ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος, ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου. εἰ δὲ μνήμη μόνον δικαίου τοσοῦτον ἴσχυσεν, ὅταν καὶ ἔργα γίνηται ὑπὲρ αὐτοῦ, πόσον οὐκ ἰσχύσει; οὐκ εἰκῆ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν ἀποστόλων, τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων· ἴσασιν αὐτοῖς κέρδος πολὺ γινόμενον, πολλὴν τὴν ὠφέλειαν. ὅταν γὰρ ὁλόκληρος ἑστήκῃ λαὸς, χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικὸν, καὶ πρόκειται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσομεν τὸν Θεὸν ὑπὲρ τούτων παρακαλοῦντες; ἀλλὰ τοῦτο μὲν περὶ τῶν ἐν πίστει παρελθόντων· οἱ δὲ κατηχούμενοι οὐδὲ ταύτης καταξιοῦνται τῆς παραμυθίας, ἀλλ' ἀπεστέρηνται πάσης τοιαύτης βοηθείας, πλὴν μιᾶς τινος. ποίας δὴ ταύτης; ἔξεστι πένησιν ὑπὲρ αὐτῶν διδόναι συνεχῶς, καὶ ποιεῖ τινὰ αὐτοῖς τὸ πρᾶγμα παραψυχήν. ὥστε οὐ τὸ ἀποθανεῖν κακὸν, ἀλλὰ τὸ ἀποθανεῖν κακῶς. βούλεσθε δὲ εἴπω πρὸς τὴν ὑμετέραν ἀγάπην, πόθεν δεδοίκαμεν θάνατον; οὐκ ἔτρωσεν ἡμᾶς ὁ τῆς βασιλείας ἔρως, οὐδὲ ἀνῆψεν ἡμᾶς ὁ τῶν μελλόντων πόθος· ἐπεὶ πάντων ἂν ὑπερεῖδομεν τῶν παρόντων. ὁ γὰρ διαπαντὸς γέενναν δεδοικὼς, οὐδέποτε θάνατον φοβηθήσεται. δότε μοι πρὸς ὑμᾶς εὐκαίρως εἰπεῖν νῦν, ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. καὶ γὰρ τὰ παιδία τὰ μικρὰ προσωπεῖα μὲν δέδοικε, πῦρ δὲ οὐ δέδοικεν, ἀλλ' ἐὰν βασταζόμενα τύχῃ παρὰ λυχνίαν λύχνον ἔχουσαν, ἀπερισκέπτως τὴν χεῖρα ἐπαφίησι τῇ λυχνίᾳ καὶ τῇ φλογί· καὶ τὸ μὲν εὐκαταφρόνητον προσωπεῖον φρίττει, τὸ δὲ ἀληθῶς οὐ δέδοικε φοβερὸν πῦρ. βούλει, εἴπω καὶ ἑτέραν αἰτίαν δι' ἣν τὸν θάνατον δεδοίκαμεν; οὐ ζῶμεν μετ' ἀκριβείας, οὐδὲ ἔχομεν συνειδὸς ἀγαθόν· ὡς εἰ τοῦτο ἦν, οὐδὲν ἡμᾶς ἂν

A Nec mihi quis dicat, Abrahamum non doluiſſe, nec quæ patrum ſunt, ſuſtinuiſſe: neque ultra modum oſtendere volens philoſophantem, præcipua laude ipſum privet. Si enim in maximis flagitiis comprehenſos, & longo tempore vita hac uſos, ignotos, nec unquam à nobis viſos de repentè conſpicientes per forum ad mortem abduci, animo contrahimur, & dolemus, non rarò etiam illachrymamur: is, qui filium germanum & chariſſimum, qui præter ſpem, qui poſt tantum temporis, qui ad extre-
B mam ſenectutem natus erat, hunc jam adultum ſuis manibus mactare & comburere jubetur, quomodo non omni ſupplicio graviorem tribulationem doloremque ſuſtinuit? Nam ſi vel lapis eſſet, ſi ferrum, ſi ipſemet adamas, poſſetne non flecti, nõ frangi ad decorem filii aſpectum, ad pietatem animi? Audivit etenim, Deus providebit ſibi ovem in holocauſtum, fili mi, nec quicquam ſciſcitatus eſt ampliùs. Aſpiciebat patrem ſe ligantem, nec luctabatur: imponebatur rogo, nec reſiliit: videbat
C gladiũ contra ſe vibrari, & non eſt territus. Quid hoc animo religioſius eſſe poſſit? Audebit ne ergo adhuc aliquis dicere, nihil Abrahamum iſtis omnibus perpeſſum eſſe? Si enim inimicum, ſi hoſtem fuiſſet interfecturus, etiamſi bellua eſſet, num iſta ſine dolore perpetraſſet? Non eſt ita, non eſt. Quapropter rogo atq; obteſtor, ſiquando filiũ aut filiã amiſeris, o homo, ne ita indecenter plores & teipſum dilanies: ſed animo tuo reputa, Abrahamum filiũ ſuum occidiſſe, nec lachrymaſſe, aut aſperũ etiam verbum emiſiſſe. Et Job quidem indoluit, ſed tantum, quantum patrem
D filiorum amantem dolere, conſentaneum erat: ſicut quod nos nunc facimus, inimicorum potiùs & hoſtium eſt. Neque enim ſi quopiam ad regia palatia deductũ & coronato, tu plangeres & lugeres, amicum te illius qui coronatus eſſet, dicerem, ſed inimicum & hoſtem. Sed ignoro, inquis, quonam abiverit. Quamobrem enim, dic mihi, ignoras? Sive enim rectè vixerint, ſive ſecùs, manifeſtum eſt quò ſit abiturus. Idcirco, inquit, plango, quia
E peccator è vita diſceſſit. At propter hoc vel maximè gaudere oportet, quòd in peccatis præpeditus ſit, nec malitiam auxerit: & juvare quantum fieri poteſt, non lachrymis, ſed orationibus & ſupplicationibus, eleemoſynis atque oblationibus. Non enim fruſtra hoc excogitatum eſt: nec temerè qui altari aſſiſtit, dum horrenda myſteria peraguntur, clamat, Pro omnibus in Chriſto dormientibus, & pro his qui memorias celebrant illorum: ſed Spiritus S. ordinatione hæc fiunt. Nam ſi Jobi illius liberos pa-
A tris victima purgavit, quid dubitas, nobis quoque pro defunctis offerentibus, aliquid ſolatii illis acceſſurum? Ne igitur morientes temerè deploremus, ſed eos, qui in divitiis mortui ſunt, nec ullam ſuis ipſorum animabus conſolationem ex divitiis procurârunt? Qui item facultatem nacti ſunt peccata ſua abſtergendi, & noluerunt, hos deploremus & privatim & publicè omnes, non uno aut altero die, ſed tota vita noſtra, iiſq; pro viribus ſuccurramus. Procuremus ipſis auxilii aliquid, modici quidem, au-
B xilium tamen feramus. Qui verò iſtud, & quo modo? preces nimirum fundentes, & cæteros, ut orationes pro ipſis faciant hortantes, aſſiduè demq; pauperibus pro iiſdem dantes eleemoſynas. Habet res hæc aliquod ſolatium. Audi enim Deum dicentem: *Protegam civitatem hanc, propter me, & propter David ſervum meum.* Quòd ſi ſola juſti memoria tantum potuit, ſi etiam opera pro ipſo fiant, quid non poterunt? Non fruſtra hæc lege ſtatuta ſunt ab Apoſtolis, ut ſub horrendis myſteriis, defuncto-
C rum fiat commemoratio. Noverunt, multum ipſis lucri inde oriri, multum emolumenti. Quando enim populus univerſus ſtat, manus in cœlum extendens, cœtus item ſacerdotalis, horrendumq; ſacrificium proponitur: quomodo Deum non placaremus, pro iſtis orantes? Verùm iſtud quidem de illis dicimus, qui in fide diſceſſerunt: catechumeni verò neque iſto ſolatio digni habentur, ſed omni deſtituti ſunt ejuſmodi auxilio, uno quo-
D dam excepto. Quonam ille? Pauperibus ſine intermiſſione illorum nomine dare licet: quæ res ipſis nonnihil præſtat conſolationis. Non igitur malum eſt mori, ſed mori malè. Vultis ut charitati veſtræ dicam, unde mortem timeamus? Non vulneravit nos amor regni, nec futurorum deſiderium nos accendit: quoniam omnia alioqui præſentia deſpiceremus. Qui enim ſemper gehennam metuit, nunquam mortem extimeſcet. Conceditemihi nunc fratres, ut liberè vobis loquar: Nolite pueri effici ſenſibus, ſed malitia parvuli eſtote. Parvi ſiquidem pueri lar-
E vam quidẽ timent, ignem verò non timent: ſed ſi fortè ad lucernam lychnum habentem portentur, manum inconſideratè in lucernam & flammam immittunt: & larvam quidem contemnendam horrent, ignem verò qui revera metuendus erat, non timent. Dicam ſi placet, & aliam cauſam, ob quam mortem pavere ſolemus. Vitam accuratam non agimus, nec bonam conſcientiam habemus. Quod ſi eſſet, nihil metu nos percelle-

Hæc ex hom. 40. in 1. ad Cor.

4. Reg. 19, 34.

Ex orat. de Statuis.

ſet, non mors, non pecuniæ jactura, nec quicquam aliud ejuſmodi. Redde me ſecurum de cœleſti Regno, & ſi voles, hodie occidas, & gratiam tibi pro cæde habebo: quoniam citò ad illa bona me tranſmittis. Sed injuſta morte occumbere timeo, inquit. Quid ais, quæſo te, injuſtè mori times, ſed juſtè mori velles? Et quis ita miſer eſt atq; ærumnoſus, qui cùm injuſtè occidi liceat, juſtè mallet? Si enim timenda ſit mors, eam certè timere oportet, quæ juſtè nos invadit: cùm immeritò occiſus, per hoc ipſum omnium Sanctorum conſors fiat. Pleriq; enim eorum, qui grati Deo fuerunt, injuſtã ſuſtinuerunt mortem: Et primus Abel. Neq; enim hic quicquam in fratrem peccaverat, neq; Cain læſerat, ſed quia Deum colebat, ideò occiſus eſt: Deus verò id permiſit. Igitur vel quia eum amabat, vel quia oderat? Perſpicuum eſt quòd quia amabat, coronamq; ei ſplendidiorẽ facere, ex iniquiſſima illa cæde, intendebat. Vidéſne quòd non, injuſtè mori, ſed in peccatis vita defungi timere oportet? Abel injuſtè occiſus eſt, Cain gemens & contremiſcẽs vitã agebat. Uter ergo, quæſo te, beatior erat, illéne qui cum juſtitia obiit, an qui in peccatis vivebat? illéne qui injuſtè mortuus eſt, an qui juſtè puniebatur? Quid verò homicidio inhumanius? potuit tamen olim juſtitiã parere illi, qui hoc perpetraverat. Et quo pacto, audi. Cùm Madianitæ aliquando Judæis Deũ inimicũ reddere vellent, eâq; ratione ſeipſos victuros ſperarent, ſi Domini benevolentia ipſos ſpoliaſſent, puellas exornantes & militib⁹ proſtituentes, eos ineſcârunt & ad fornicationem induxerunt. Hoc cùm vidiſſet Phinees, manu arripiens gladiũ, & duos ſcortantes deprehendens, in ipſo ſcelere utrumq; confixit: non quòd odio occiſos proſequeretur, ſed ut reliquis parceret. Et factum quidem homicidium erat: quod verò præclarum opus ex eo ſequebatur, omnium fuit pereuntium ſalus. Interemit duos, & infinita millia ſervavit. Et ſicut medici putrida membra reſecantes, totum corpus conſervãt, ſic ille quoq; fecit, reputatumque eſt illi in juſtitiam. Ne igitur morientes temerè defleamus, ſed eos, qui in peccatis moriuntur. Hi lamentationibus, hi planctu & lachrymis ſunt digni. Quæ enim, quæſo te, ſpes eſt, ſi quis cum peccatis eò diſcedat, ubi peccat deponere non licet? Quamdiu enim hic erant, magna fortè ſpes erat, ipſos pœnitentiam acturos & meliores futuros: poſtquam verò in infernum abierunt, ubi nihil commodi eſt pœnitentia percipere eſt. (In inferno enim, ait, quis cõfitebitur tibi?) quomodo luctu digni non ſunt? Defleamus itaque eos, qui hoc modo ex vita decedunt, non prohibeo: defleamus, ſed non præter decorum: non crines evellentes, non nudantes brachia, nec unguibus faciẽ lacerantes: ſed modeſtè exiguas lacrymas emittentes. Prodeſt verò hoc nobis. Qui enim illũ hoc pacto luget, multo magis ipſe operam dabit, ne in eodem incidat. Iterum verò, cùm mortuum per forum videris deferri, filios orphanos ſequi, plangere uxorem viduam, famulos plorare, amicos triſtes incedere, rerum præſentium conſidera vanitatem? quódque ab umbra & ſomnis illæ nihil differant. Conſidera mihi magnorum & ſplendidorum hominum ædes, quomodo jam uſque ad ſolum dirutæ ſint. Cogita quanta olim potuerint, quódq; jam ipſorum ne memoria quidem relicta ſit. Multi enim tyranni ſederunt ſuper pavimentum, non ſuſpectus autem, tulit diadema. Sed non ſufficiunt iſta? Conſidera etiam ante mortem, quando dormis, quanti faciendus ſis. Nonne exigua etiam beſtia te occidere poterit? Multis enim frequenter parva aliqua beſtiola è tecto delapſa oculum abſtulit, aut alterius alicujus periculi cauſa extitit. Hæc tecum perpende: nec decorem aſpectus humani admireris, nec erectam cervicem, nec mollios veſtimentum, aut equos aut famulos: ſed quem exitum habeant omnia, conſidera. Quod ſi ea, quæ videntur, admiraris, & ego tibi in picturis longe etiam iſtis ſplendidiora dicam. Sed quemadmodum iſta ob aſpectum non miramur, dum ipſorum videmus ſubſtantiã, quia metum luteum eſt: ita etiam illa: Nam & illa lutum ſunt: atq; adeò priuſquam diſſolvantur & in pulverẽ redigantur. Oſtende mihi iſtum extentum, febri afflictatum, animo deficientem, & nunc ſermonem tecum conſeram, & dicam, Ubi nunc ſunt illi, qui magna cum arrogantia tot ſequentibus famulis, in foro faſtuosè & inſolenter ſeſe infeſunt? qui ſericis induti & unguenta ſpirantes, alentes paraſitos & perpetuò ſcenæ affixi? Ubi nunc cœnarũ illarũ magnificentia, turba muſicorum, aſſentatorũ obſequium, immodicus riſus, animæ quies, cogitationis diffuſio, vita mollis, otioſa & luxu perdita? Omnia abierunt & avolarunt. Quid ex corpore factum eſt, quod tanta cura, tam exquiſita munditia abundabat? Abi ad ſepulchrum, contemplare pulverem, cineres, vermes, *loci deformitatẽ contẽplare, & amarè ingemiſce. Atq; utinam ad pulverẽ tantum ejuſmodi damnum pertingeret. Jam verò à ſepulchro & his vermibus transferas mentẽ ad vermẽ illũ immortalem, ad ſtridorem dentium, ad extremas illas tenebras,

Margin: περὶ τῶν. — Num. 25. 8. — Pſal. 106. 30. — Ex Interp. ep. ad Phil. — Ex Interp. ep. ad Theſ. — Eccleſ. 11. juxta Gr. — Ex ep. ad Cor. — Ex orat. 2. ad Theod. lapſum. — * vultus alias videntur legiſſe. πρόσωπα.

ἐφθόνησεν· οὐ θάνατος, οὐ ζημία χρημάτων, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. δός μοι τοίνυν θαῤῥῆσαι περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ εἰ βούλει, σήμερον κατάσφαξον, καὶ χάριν εἴσομαί σοι τῆς σφαγῆς, ὅτι με ταχέως πρὸς ἐκεῖνα πέμψεις τὰ ἀγαθά. ἀλλὰ τὸ ἀδίκως ἀποθανεῖν δέδοικα, φησί. τί λέγεις, εἰπέ μοι; τὸ ἀδίκως ἀποθανεῖν δέδοικας; ἀλλὰ δικαίως ἐβούλου; καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς * παρὸν ἀδίκως ἀποθανεῖν, δικαίως ἂν ἑλέσθαι; εἰ γὰρ δεδοικέναι χρὴ θάνατον, τὸν δικαίως ἡμῖν ἐπιόντα δεδοικέναι χρή. ὡς ὅ γε ἀδίκως ἀποθανὼν, κατ' αὐτὸ τοῦτο κοινωνεῖ τοῖς ἁγίοις ἅπασιν. οἱ γὰρ πλείους τῶν εὐαρεστησάντων τῷ θεῷ, ἄδικον ὑπέστησαν τελευτήν· καὶ πρῶτος Ἄβελ. οὐ γὰρ δὴ πλημμελήσας εἰς τὸν ἀδελφὸν, οὐδὲ λυπήσας τὸν Κάϊν· ἀλλ' ἐπειδὴ τὸν θεὸν ἐτίμησε, διὰ τοῦτο ἐσφάγη. ὁ δὲ θεὸς συνεχώρησεν· ἆρα φιλῶν αὐτὸν ἢ μισῶν; εὔδηλον ὅτι φιλῶν, καὶ λαμπρότερον αὐτῷ τὸν στέφανον ποιῆσαι βουλόμενος, ἀπὸ τῆς ἀδικωτάτης ταύτης σφαγῆς. ὁρᾷς ὅτι οὐ τὸ ἀδίκως ἀποθανεῖν χρὴ δεδοικέναι, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν; ὁ Ἄβελ ἀπέθανεν ἀδίκως· ὁ Κάϊν ἔζη στένων καὶ τρέμων. τίς οὖν, εἰπέ μοι, μακαριώτερος ἦν; ὁ μετὰ δικαιοσύνης παυσάμενος, ἢ ὁ ἐν ἁμαρτίαις ζῶν; ὁ ἀδίκως ἀποθανὼν, ἢ ὁ δικαίως κολαζόμενος; τί δὲ φόνου χαλεπώτερον; ἀλλ' ἐδυνήθη ποτὲ δικαιοσύνην τεκεῖν τῷ τοῦτο ποιήσαντι· καὶ ὅπως, ἄκουε. οἱ Μαδιναῖοί ποτε βουλόμενοι τὸν θεὸν ἐκπολεμῶσαι τοῖς Ἰουδαίοις, καὶ ταύτῃ προσδοκῶντες αὐτῶν περιέσεσθαι, εἰ τῆς εὐνοίας αὐτοὺς στερήσειαν τοῦ δεσπότου, κόρας καλλωπίσαντες, καὶ τῷ στρατοπέδῳ προστήσαντες, ἐδελέασαν αὐτοὺς, καὶ εἰς τὸ πορνεύειν ἤγαγον. τοῦτο ἰδὼν ὁ Φινεὲς μεταχειρισάμενος ξίφος, καὶ πορνεύοντας δύο καταλαβὼν, ἐν τῇ αὐτῇ ἁμαρτίᾳ ἀμφοτέρους ἐξεκέντησεν, οὐ τοὺς ἀναιρεθέντας μισῶν, ἀλλὰ τῶν λοιπῶν φειδόμενος. καὶ τὸ μὲν γεγενημένον φόνος ἦν, τὸ δὲ κατορθούμενον ἐξ ἐκείνου σωτηρία τῶν ἀπολλυμένων ἁπάντων ἐγένετο. ἀπέκτεινε δύο, καὶ ἔσωσε μυριάδας ἀπείρους. καὶ καθάπερ ἰατροὶ τὸ σεσηπότα τῶν μελῶν ἐκτέμνοντες, ὁλόκληρον σώζουσι τὸ σῶμα· οὕτω κἀκεῖνος ἐποίησε, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. μὴ τοίνυν τοὺς ἀποθνήσκοντας ἁπλῶς κλαίωμεν, ἀλλὰ τοὺς ἐν ἁμαρτίαις ἀποθνήσκοντας. οὗτοι θρήνων ἄξιοι, οὗτοι κοπετῶν καὶ δακρύων. ποία γὰρ ἐλπὶς, εἰπέ μοι, μετὰ ἁμαρτημάτων ἀπελθεῖν, ἔνθα οὐκ ἔστιν ἁμαρτήματα ἀποδύσασθαι; ἕως μὲν γὰρ ἦσαν ἐνταῦθα, ἴσως ἦν προσδοκία πολλὴ, ὅτι μεταμελήσονται, ὅτι βελτίους ἔσονται· ἐὰν δὲ ἀπέλθωσιν εἰς τὸν ᾅδην, ἔνθα οὐκ ἔστιν ἀπὸ μετανοίας κερδᾶναί τι. [ἐν τῷ γὰρ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι;] πῶς οὐκ εἰσὶ θρήνων ἄξιοι; κλαίωμεν οὖν τοὺς οὕτως ἀπερχομένους, οὐ κωλύω· κλαίωμεν· ἀλλὰ μὴ ἀσχημόνως, μὴ τρίχας τίλλοντες, μὴ βραχίονας γυμνοῦντες, μὴ ὄψιν σπαράττοντες, ἀλλὰ μᾶλλον κατὰ ψυχὴν ἠρέμα δάκρυον ἀφέντες μικρόν. τοῦτο δὲ ἡμᾶς ὠφελεῖ. ὁ γὰρ ἐκεῖνον πενθῶν οὕτως, πολλῷ μᾶλλον αὐτὸς σπουδάσει μηδέποτε τοῖς αὐτοῖς περιπεσεῖν. πάλιν δὲ εἰ ἴδοις νεκρὸν ἐπ' ἀγορᾶς φερόμενον, παιδία ὀρφανὰ ἀκολουθοῦντα, χήραν γυναῖκα κατακοπτομένην, οἰκέτας ὀδυρομένους, φίλους κατηφοῦντας, λόγισαι τὸ οὐδαμινὸν τῶν παρόντων πραγμάτων, καὶ ὅτι σκιᾶς καὶ ὀνειράτων οὐδὲν διενήνοχε. σκόπει μοι τὰς τῶν μεγάλων καὶ περιφανῶν οἰκίας, καὶ νῦν εἰς ἔδαφος κατενεχθείσας· ἐννόησον πόσα ἴσχυσαν, καὶ ἤδη οὐδὲ μνήμη αὐτῶν ὑπολέλειπται. πολλοὶ γὰρ τύραννοι ἐκάθισαν ἐπ' ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; ἐννόησον καὶ πρὸ θανάτου ὅταν καθεύδῃς, τίνος ἄξιος εἶ· οὐχὶ καὶ τὸ μικρόν σε θηρίον ἀνελεῖν δυνήσεται; πολλοῖς γὰρ πολλάκις ἀπὸ τοῦ ὀρόφου κατενεχθὲν μικρὸν ζωΰφιον, τὸν ὀφθαλμὸν ἐξεῖλεν, ἢ ἑτέρου τινὸς κινδύνου παραίτιον γέγονε. ταῦτα ἐννόει· καὶ μὴ τὸ τῆς ἀνθρωπίνης ὄψεως ἄνθος θαύμαζε, μηδὲ τὸν ἀνατεταμένον αὐχένα, μηδὲ τὴν χλανίδα καὶ τὸν ἵππον καὶ τοὺς ἀκολούθους. ἀλλὰ ποῦ τελευτᾷ πάντα, λογίζου. ἐὰν δὲ τὰ φαινόμενα θαυμάζῃς, καὶ ἐγώ σοι τὰ ἐν ταῖς γραφαῖς ἐρῶ τὰ πολλῷ τούτων λαμπρότερα. ἀλλ' ὥσπερ ἐκεῖνα οὐ τὴν ὄψιν οὐ θαυμάζομεν, τὴν οὐσίαν αὐτῶν ὁρῶντες, ὅτι πηλός ἐστι πᾶν, οὕτω δὴ μηδὲ ταῦτα. καὶ γὰρ καὶ ταῦτα πηλός· μᾶλλον δὲ καὶ πρὸ τοῦ διαλυθῆναι καὶ γενέσθαι κόνιν. δεῖξόν μοι τοῦτον τὸν ἀνατεταμένον, πυρέττοντα, ψυχορραγοῦντα, καὶ τότε σοι διαλέξομαι καὶ ἐρήσομαι, ποῦ νῦν εἰσιν οἱ μετὰ πολλοῦ τοῦ τύφου, πολλῶν δὲ τῶν ἀκολουθούντων σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς; οἱ τὰ σηρικὰ ἐνδεδυμένοι, καὶ μύρων πνέοντες, καὶ παρασίτους τρέφοντες, καὶ τῇ σκηνῇ προσηλωμένοι διαπαντός; ποῦ ἡ τῶν δείπνων ἐκείνων πολυτέλεια, τὸ τῶν μουσικῶν πλῆθος, ἡ τῶν κολάκων θεραπεία, ὁ γέλως ὁ πολὺς, ἡ τῆς ψυχῆς ἄνεσις, ἡ τῆς διανοίας διάχυσις, ὁ βίος ὁ ὑγρὸς καὶ ἀνειμένος καὶ περιττός; πάντα οἴχεται καὶ ἀπέπτη. τί γέγονε τὸ τοσαύτης ἀπολαῦον θεραπείας καὶ καθαρότητος σῶμα; ἄπιθι πρὸς τὴν σορόν· θέασαι τὴν κόνιν, τὴν τέφραν, τοὺς σκώληκας· ἴδε * τόπου τὸ ἀηδές. θέασαι καὶ στέναξον πικρῶς. καὶ εἴθε μέχρι τῆς τέφρας ἡ ζημία ἦν. νῦν δὲ ἀπὸ τῆς σοροῦ καὶ τῶν σκωλήκων τούτων μετάγαγε τὸν λογισμὸν ἐπὶ τὸν ἀτελεύτητον ἐκεῖνον σκώληκα, ἐπὶ τὸν βρυγμὸν τῶν ὀδόντων, ἐπὶ τὸ σκότος τὸ ἐξώτερον

Fff il

ἐπὶ τὸ πῦρ τὸ ἄσβεστον, καὶ τὰς κολάσεις τὰς πικρὰς καὶ ἀφορήτους ἐκείνας, τοὺς ἀτελευτήτους αἰῶνας. ἐνταῦθα μὲν γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ χαλεπὰ τέλος ἔχει, καὶ τοῦτο τάχιστον· ἐκεῖ δὲ ἀθάνατα ἀμφότερα παρεκτείνεται αἰῶσι· καὶ τῇ ποιότητι δὲ τοσοῦτον τῶν νῦν διενήνοχεν, ὅσον οὐδέ ἐστιν εἰπεῖν. τί τοίνυν γέγονεν ὁ πολὺς κόσμος ἐκεῖνος; ποῦ δὲ οἴχεται ἡ πολλὴ βλακεία, καὶ ἡ θεραπεία τῶν δούλων, καὶ ἡ περιουσία τῶν χρημάτων, καὶ τῶν κτημάτων; ποῖος ἄνεμος ἐπεισελθὼν ἐξεφύσησε πάντα; τί δὲ βούλεται ἡ περιττὴ αὕτη καὶ ἀνόητος περὶ τὸ κήδευμα δαπάνη, πολλὴν δὲ φέρουσα τοῖς κηδεύουσι ζημίαν, τῷ δὲ ἀπελθόντι κέρδος οὐδέν; ὅταν ἀκούσῃς ὅτι γυμνὸς ὁ δεσπότης ἀνέστη, παῦσαι τῆς περὶ τὴν κηδείαν μανίας. οὐδὲ γὰρ εἰπὼν ὁ Χριστὸς ὅτι πεινῶντά με εἴδετε καὶ ἐθρέψατε, διψῶντα καὶ ἐποτίσατε, γυμνὸν καὶ περιεβάλετε, προσέθηκεν ὅτι καὶ τεθνεῶτα, καὶ ἐθάψατε. εἰ γὰρ ζῶντας κελεύει μηδὲν πλέον ἔχειν, ἀλλ' ἢ σκέπασμα, πολλῷ μᾶλλον τελευτήσαντας. ποίαν οὖν ἕξομεν ἀπολογίαν, ὅταν τὸ μὲν σῶμα εἰς ἰχῶρας καὶ σκώληκας δαπανώμενον καλλωπίζωμεν, τὸν δὲ Χριστὸν πεινῶντα, διψῶντα, γυμνὸν περιιόντα καὶ ξένον περιορῶμεν; ἀλλὰ καὶ ἐπὶ τῆς κλίνης κείμενος, φησὶν, ὁ τεθνηκὼς, φέρει τοῦ τύφου καὶ τοῦ πλούτου τὰ σύμβολα· ἐσθῆτος λαμπρᾶς ἐπικειμένης, πενήτων καὶ πλουσίων προπεμπόντων, δήμων εὐφημούντων. μάλιστα μὲν καὶ ταῦτα καταγέλως· πλὴν ἀλλὰ καὶ ταῦτα εὐθέως ὥσπερ ἄνθος διαρρέον ἐλέγχεται. ὅταν γὰρ τὸν οὐδὸν ὑπερβῶμεν τῶν τῆς πόλεως πυλῶν, καὶ τοῖς σκώληξι παραδόντες τὸ σῶμα ὑποστρέφωμεν, πάλιν σε ἐρήσομαι, ποῦ πορεύεται ὁ πολὺς ὄχλος ἐκεῖνος; τί γέγονεν ἡ κραυγὴ καὶ ὁ θόρυβος; ποῦ δὲ αἱ λαμπάδες, ποῦ δὲ οἱ χοροὶ τῶν γυναικῶν; ἆρα μὴ ὄναρ ταῦτά ἐστι; τί δὲ καὶ γεγόνασιν αἱ βοαί; ποῦ τὰ στόματα τὰ πολλὰ ἐκεῖνα; τὰ κραυγάζοντα καὶ παρακελευόμενα θαρρεῖν, ὅτι οὐδεὶς ἀθάνατος; οὐ δὴ ταῦτα ἔδει λέγεσθαι τῷ μὴ ἀκούοντι, ἀλλ' ὅτε ἥρπαζεν, ὅτε ἐπλεονέκτει, τότε μικρὸν παραλλάξαντας ἔδει λέγειν· οὐ δεῖ θαρρεῖν· οὐδεὶς ἀθάνατος. εἰ μέν τις σοι κατεσκεύασεν οἰκίας, ἔνθα μὴ ἔμελλες μένειν, ζημίαν τὸ πρᾶγμα ἐνόμισας ἄν· νῦν δὲ ἐνταῦθα βούλει πλουτεῖν, ὅθεν καὶ πρὸ τῆς ἑσπέρας πολλάκις μέλλεις ἀποδημεῖν; ἐπίσχες τῆς μανίας, σβέσον τὴν ἐπιθυμίαν. τὸ δὲ, θάρσει, τῷ ἀδικουμένῳ. ἀλλ' εἰ καὶ ἐκείνῳ ταῦτα ἀνόνητα λοιπὸν ἐξελθόντι τὸ στάδιον, κἂν οἱ τὰ αὐτὰ ἐκείνῳ νοσοῦντες, καὶ ἐπὶ τὸ σῆμα ἀκολουθοῦντες, ἀκουέτωσαν· ἐπειδὴ γὰρ ἔμπροσθεν ὑπὸ τῆς μέθης τῶν χρημάτων οὐδὲν τούτων ἐνόησαν· ἀλλ' ἐν τῷ καιρῷ ἐκείνῳ ὅτε καὶ ἡ ὄψις τοῦ κειμένου πιστοῦται τὸ λεγόμενον, σωφρονιζέσθωσαν· ἐννοοῦντες ὅτι μικρὸν ὕστερον καὶ αὐτοὺς ἄξουσιν οἱ ἀγαγόντες ἐπὶ τὰς φοβερὰς ἐκείνας εὐθύνας, καὶ τὸ δοῦναι δίκην, ὧν ἐνταῦθα κακῶς ἐπλημμέλησαν. ἵνα οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ ἐκείνοις πεισώμεθα, μεταβαλώμεθα καὶ γενώμεθα βελτίους σπουδάσωμεν, ὅση δύναμις, ὅπως καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A ad ignem inextinctum, ad acerbas illas & intolerabiles pœnas, ad infinita denique ſecula. Hîc enim & bona & moleſta finem habent, & hunc celerrimum: ibi verò utraque cum æternis ſeculis durant: qualitate autem tantum differunt ab his quæ nunc ſunt, ut dici non poſſit. Quid igitur multus ille ornatus? Quo multa illa mollities abiit? quò famulorum obſequium, pecuniarum item poſſeſſionumque abundantia? Quiſnam ventus irruens omnia exſufflavit? Quid verò ſibi vult ſuperfluus B ille & inutilis circa funera ſumptus, qui magnum quidem fœnerantibus damnum, defuncto verò nullum affert emolumentum? Quando Dominum audis nudum à mortuis reſurrexiſſe, deſiſte à tua in funere curando inſania. Nec enim Chriſtus, quando dixit, quia eſurientem me vidiſtis, & nutriviſtis: ſitientem, & potum dediſtis: nudum, & cooperuiſtis, his appoſuit, Quia mortuum, & ſepeliviſtis: Si enim viventes nihil plus habere jubet, quàm tegumentum, quanto magis defun- C ctos? Quam igitur excuſationem habebimus, quando corpus quidem, quod in ſaniem & vermes reſolvitur, ornamus, Chriſtum verò eſurientem & ſitientem, nudum obambulantem & hoſpitem deſpicimus? Sed in lecto jacens mortuus, inquit, faſtus ſui opumque fert indicia: dum veſtis ſplendida imponitur, pauperes ac divites ipſum deducunt, populi fauſta precantur. Sed & hæc maximè quidem ſunt riſu digna: attamen & hæc veluti flos defluens continuò arguentur. Ubi e- D nim limen portarum urbis trangreſſi erimus, corpore vermibus tradito, revertemur, iterum te interrogabo, quò tanta illa hominum turba abiit? quid nunc vociferatio illa & tumultus? ubi verò faces illæ, ubi chori mulierum? Nonne ſomnium ſunt iſta? Quid verò ille clamor? ubi multa illa ora, quæ clamabant, & bono animo eſſe hortabantur, quòd nemo immortalis ſit? Nec porrò hæc non audienti dicenda erant, ſed cùm raperet, cùm avarè ageret, tunc nonnihil alternantes dicere E oportebat: Non confidendum eſſe: neminem eſſe immortalem. Si quis tibi ædes conſtrueret, ubi manſurus non eſſes, damnum hoc exiſtimares. Jam verò dives hîc fieri deſideras, undè ſæpè etiam ante veſperam diſcedendum tibi eſt? Cohibe iſtum furorem, compeſce hanc cupiditatem. Illud verò, Bono ſis animo, ei, qui injuriam patitur. Sed licet & illi hæc nihil proſint, cùm ſtadium jam egreſſus ſit, hi ſaltem, qui iiſdem A morbis tenentur, & ad ſepulchrum comitantur, audiant. Quia enim antè ob pecuniæ ebrietatem nihil iſtorum mente percipiunt: illo ſaltem tempore, cùm jacentis etiam aſpectus fidem dictis facit, caſtigentur: intelligentes quòd paulò poſt ipſos quoque, illi qui ſolent, ad rationes illas terribiles, & ad luendum ſupplicium pro malis quæ hîc commiſerunt, abducent. Ne igitur & nos eadem cum illis patiamur, pro viribus reſipiſcere & emendare nos conemur, quo futuris B etiam bonis potiamur, in Chriſto Jeſu Domino noſtro. Cui gloria & imperium, cum Patre & vivifico Spiritu, nunc & ſemper, & in ſecula ſeculorum. Amen.

Ex 2. ad Cor. Epiſt.

FINIS.

Digitized by Google

Digitized by Google